PATROLOGIÆ
CURSUS COMPLETUS,

SEU

BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, OECONOMICA

OMNIUM SS. PATRUM, DOCTORUM, SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM,

QUI AB ÆVO APOSTOLICO AD ÆTATEM INNOCENTII III (ANN. 1216) PRO LATINIS ET AD PHOTII TEMPORA (ANN. 863) PRO GRÆCIS FLORUERUNT :

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER DUODECIM PRIORA ECCLESIÆ SÆCULA ET AMPLIUS,

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA;
DISSERTATIONIBUS, COMMENTARIIS, VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA;
OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS DETECTIS AUCTA;
INDICIBUS PARTICULARIBUS ANALYTICIS, SINGULOS SIVE TOMOS SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA;
CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA;
OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA;
DUCENTIS ET AMPLIUS INDICIBUS LOCUPLETATA; SED PRÆSERTIM DUOBUS IMMENSIS ET GENERALIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, ABSQUE ULLA EXCEPTIONE, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT.
EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, PERFECTIO CORRECTIONIS, OPERUM RECUSORUM TUM VARIETAS TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO, UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM.

SERIES GRÆCA,

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ A S. BARNABA AD PHOTIUM.

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ Cleri universæ,

SIVE

CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIA NEMPE LATINA, ALIA GRÆCO-LATINA. LATINA, JAM PENITUS EXARATA, VIGINTI-QUINQUE ET DUCENTIS VOLUMINIBUS MOLE SUA STAT, AC QUINQUE-VIGINTI-CENTUM ET MILLE FRANCIS VENIT. GRÆCA DUPLICI EDITIONE TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM, UNA CUM VERSIONE LATINA, LATERALIS AMPLECTITUR, ET FORSAN CENTUM VOLUMINUM EXCEDET NUMERUM. POSTERIOR AUTEM HANC VERSIONEM TANTUM EXHIBET, IDEOQUE INTRA QUINQUAGINTA CIRCITER VOLUMINA RETINEBITUR. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM OCTO, UNUMQUODQUE MERE LATINUM QUINQUE FRANCIS SOLUMMODO EMITUR: UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM SIVE GRÆCAM SIVE LATINAM COMPARET NECESSE ERIT; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT.

PATROLOGIÆ GRÆCÆ TOMUS LXX.

S. CYRILLUS ALEXANDRINUS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM
SEU PETIT-MONTROUGE.

1859

SÆCULUM V.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

OPERA QUÆ REPERIRI POTUERUNT OMNIA;

CURA ET STUDIO

JOANNIS AUBERTI

LAUDUNENSIS ECCLESIÆ PRESBYTERI CANONICI ET IN SCHOLA PARISIENSI LAUDUNENSIS COLLEGII MAGISTRI, AC INTERPRETIS REGII.

EDITIO PARISIENSIS ALTERA DUOBUS TOMIS AUCTIOR ET EMENDATIOR.

ACCURANTE ET RECOGNOSCENTE J.-P. MIGNE,
BIBLIOTHECÆ CLERI UNIVERSÆ,
SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

TOMUS TERTIUS.

VENEUNT 10 VOLUMINA 100 FRANCIS GALLICIS.

—

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM,
SEU PETIT-MONTROUGE.

1859

ELENCHUS

AUCTORUM ET OPERUM QUÆ IN HOC TOMO LXX CONTINENTUR.

Quæ stellula prænotantur, nunc primum inter opera Cyrilli comparent.

S. CYRILLUS ALEXANDRINUS ARCHIEPISCOPUS.

Ex Typis MIGNE, au Petit-Montrouge.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΗΣΑΙΑΝ.

ΒΙΒΛΙΟΝ Α'. ΛΟΓΟΙ ΕΞ (1).

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

COMMENTARIUS IN ISAIAM PROPHETAM.

LIBER I. ORATIONES VI.

—

[ΠΡΟΟΙΜΙΟΝ.]

A Ἀσυμφανὴς μὲν ἀεὶ τῶν ἁγίων προφητῶν ὁ λόγος, μεμέστωται δὲ τῶν κεκρυμμένων ἐννοιῶν, καὶ μυστηρίων ἡμῖν τῶν θείων ὠδίνει προαγόρευσιν. Τέλος γὰρ νόμου, καὶ προφητῶν ὁ Χριστὸς, καθὼς γέγραπται. Χρῆναι δὲ φημὶ, τοὺς ἐθέλοντας διατρανοῦν τὰ οὕτως ἰσχνὰ, καὶ αἰνιγματώδη τῶν θεωρημάτων πλάτη διανοίας ὄμματι περιαθρεῖν ἐπείγεσθαι, καὶ μάλα εὐφρόνως τοῦτο μὲν, τῆς ἱστορίας τὸ ἀκριβὲς, τοῦτο δὲ, τῆς πνευματικῆς θεωρίας τὴν ἀπόδοσιν, ἵνα πανταχόθεν τοῖς ἐντευξομένοις ἐκβαίη τὸ ὠφελοῦν, καὶ ἡ τῆς τῶν προκειμένων ἐννοίας διασάφησις οὐδὲν ἔχουσα τὸ ἐνδεὲς διαφαίνοιτο. Οἶδα μὲν οὖν ὅτι φθάσαντές τινες προγεγράφασιν εἰς ταῦτα, καὶ μακροὺς ἡμῖν περὶ αὐτῶν ἐποιήσαντο λόγους· ἀπόχρη δὲ οἶμαι τουτὶ, καὶ πρός γε τὸ δεῖν ἑτέραις ὄκνου B πρόφασιν οὐκ ἀγεννῆ παρασχεῖν, ἀναπεῖσαί τε σιωπῆσαι ἑλέσθαι μᾶλλον, οἷς ἕτεροι προειρήκασιν ἐπειπεῖν καινὸν μὲν οὐδὲν, ταυτοεπεῖν δὲ μᾶλλον, καὶ διὰ τῶν αὐτῶν ἰέναι θεωρημάτων. Ἐπειδὴ δὲ κἂν τοῦτο συμβαίνῃ παθεῖν, τὸ λυποῦν ἂν εἴη παντελῶς οὐδὲν, καὶ διὰ τῆς τῶν πλειόνων συμφωνίας ἐμπεδοῦσθαι πρὸς ἀλήθειαν τοὺς ἀκροωμένους, ὄκνου κρείττονα γενέσθαι καὶ νῦν ἐμαυτὸν ἀναπείθω, τὸν ἐπ' ἀγαθοῖς

[PROOEMIUM.]

1 Obscura semper est sanctorum prophetarum oratio, et reconditis sententiis referta, ac divinorum mysteriorum prædictionem continet. Finis enim legis et prophetarum est Christus, quemadmodum scriptum est. Qui vero hanc tam subtilem et ænigmaticam horum theorematum vim et amplitudinem explicaturi sunt, eos ego cum historiæ accuratam rationem, tum spiritualis sensus accommodationem oculo mentis, idque valde prudenter intueri oportere statuo, ut et his qui ea lecturi sunt, undecunque occurrat utilitas, et sententiæ eorum de quibus agitur explanatio plena sit ut nihil desiderare videatur. Equidem scio esse, qui superioribus temporibus in hæc scripserunt, et prolixos de his sermones instituerunt. Et hæc quidem sufficere arbitror, ut occasionem otii non injustam præbeat aliis, persuadeatque ut tacere malint, et ad ea quæ prius dixerunt alii, nihil addant novi, sed idem dicant potius, iisdemque observationibus insistant. Cum autem etiamsi usu quidem id veniat, nihil incommodi sit per consensum plurimorum, auditores in veritate confirmari: etiam nunc otium mihi excutiendum putavi, ratus su-

(1) Libri duo priores ex codice Regio sunt editi; posteriores tres ex Vaticano cod. In cod. Regio totum procemium deerat et nonnulli versus capitis I usque ad verba φάλαγγας καταδηούσας. Interpretationem Laurentii Hunfredi aliquot in locis emendatam atque recensitam e regione Græci textus posuimus. Aubertus.

derem et industriam in bonis studiis locatam ignavia præstabiliorem esse, ac laborare melius esse, quam stertere : nec plane diffisus, quin aliquando possem aliquid novum et varium invenire : quandoquidem Deus hanc commentationum viam rationemque dilatat. Scriptum est enim : « Latum mandatum tuum vehementer [1]. »

Prophetavit igitur beatus Isaias temporibus regni Ochoziæ, et Joathami, Achazi et Ezechiæ. Age vero, tempora uniuscujusque memoria repetamus et quo pacto quisque vixerit, cursim et strictim dicamus. Perspiciemus enim hinc ' propheticum sermonem rebus gestis et temporibus ipsis accommodatum esse, et peropportunum. Ozias itaque, qui et Ochozias dictus est, vir pius fuit, eoque amplitudinis et potentiæ provectus, ut gentes Judææ finitimas subegerit, multis tributa imposuerit ac sceptris suis subjecerit, urbes instaurarit, alias acceperit, finibusque Judaicæ terræ adjunxerit. Ad extremum vero humanum quiddam passus est. Immoderata enim hac affluentia et gloriæ amplitudine victus, altum quodammodo sapuit, morboque superbiæ correptus, I* ipsi adeo divinæ legi se opposuit, quippe qui sacerdotii divini prærogativa ornandum se ac coronandum existimarit. In templum enim Dei irrumpere, ac Deo suffitus ipsemet adolere, et quæ in lege erant præscripta, præter legem exsequi molitus est. Eamque ob causam lepra continuo percussus, evasit contemptissimus : exsecrabilis enim secundum legem est, qui morbo lepræ tenetur. Post succedit in regnum Oziæ ejus gnatus Joathamus, homo quidem pius, verumtamen excelsa non diruit, sed Israelitæ etiamnum sacrificarunt operibus suarum manuum, montes et colles occupantes, sub quercu et populo, et arbore umbrosa, quia bonum umbraculum, sicut ait Oseas. [2] Defuncto autem Joathamo, capessit sceptrum Achazus, vir exsecratissimus a divina religione abhorrens, omnique flagitiorum genere coopertus. Is templum ipsum Dei clausit, sacrificiis ex legis præscripto universitatis Deum colere vetuit, festa Judæorum pro more celebrata prohibuit, aris in omni loco Hierusalem erectis, manu condita adorare jussit, et cœlorum militiam venerari : quin et liberos suos per ignem traduxit, id est, cremavit in sacrificium impuris dæmonibus, atque, ut summatim et semel dicam, in omni impietatis genere volutatus est. Deinde secundum hunc regnavit Ezechias, vir pius et religiosus, æqui et boni administer, omnis boni sectator, et divinæ voluntatis effector. Is omnia mandavit fieri et valere, quæcunque fuerant Achazi prævaricationibus contraria, ut qui templi fores aperuit, dein sacrificia et libationes constituit Deo offerendas, ut legalibus ministeriis honoraretur : etiam Paschæ legem, longo tempore intermissam, revocandam curavit et renovandam : aras et manu condita excidit : hariolos et falsos

A σπουδάσμασιν ἱδρῶτα καὶ πόνον τῆς ἐν τῷ ῥέγχειν ἀργείας ἀμείνω τε εἶναι πεπιστευκὼς, καὶ οὐκ εἰσάπαν ἀπειρηκὼς τὴν ἐλπίδα, τοῦ καὶ ἔσθ' ὅτε καινὸν καὶ ἐξηλλαγμένον προσευρεῖν τι δύνασθαι, κατευρύνοντος Θεοῦ τὴν ἔν γε τοῖς θεωρήμασι τρίβον. Γέγραπται γὰρ, ὅτι « Πλατεῖα ἡ ἐντολή σου σφόδρα. »

Προφητεύει τοίνυν ὁ μακάριος Ἡσαΐας ἐν καιροῖς βασιλείας Ὀχοζίου, καὶ Ἰωάθαμ, καὶ Ἄχαζ, καὶ Ἐζεχίου. Καὶ φέρε τῶν ἑκάστου καιρῶν διαμνημονεύσωμεν, διεβίω τε ὅπως ἐπιδρομάδην λέγωμεν. Εἰσόμεθα γὰρ ἐντεῦθεν, ὅτι τοῖς δρωμένοις κατὰ καιροὺς πρέπων τέ ἐστι καὶ ἁρμοδιώτατος τῆς προφητείας ὁ λόγος. Γέγονε τοίνυν εὐσεβὴς ἀνὴρ ὁ Ὀζίας, ὁ καὶ Ὀχοζίας, προβέβηκε δὴ ὁμοῦ δόξης τε καὶ
B ἰσχύος εἰς τοῦτο, ὡς καταχρατῆσαι τῶν ἐθνῶν τῶν προσηκόντων τὴν Ἰουδαίαν, καὶ μὴν καὶ δασμοὺς ἐπιθεῖναι πολλοῖς, καὶ σκήπτροις ἰδίοις ὡς ἐξ ἀνάγκης ὑπενεγκεῖν, ἀναδείμασθαί τε πόλεις, καὶ προσλαβεῖν ἑτέρας, καὶ συνάψαι τοῖς ὁρίοις τῆς Ἰουδαίων γῆς. Εἶτά τι πέπονθε τῶν ἀνθρωπίνων. Ἀπὸ γάρ τοι τῆς ἄγαν τρυφῆς, καὶ τῇ τῆς εὐκλείας ὑπεροχῇ νενικημένος, τρόπον τινὰ πεφρόνηκεν ὑψηλὰ, καὶ τῇ τῆς ὑπεροψίας νόσῳ κεκρατημένος, καὶ αὐτοῦ τοῦ θείου κατεξανέστη νόμου. Ὠήθη γὰρ δεῖν καὶ τοῖς τῆς θείας ἱερωσύνης αὐχήμασιν ἑαυτὸν στεφανοῦν. Ἐπεχείρησε γὰρ εἰς τὸν θεῖον εἰσελάσαι ναὸν, αὐτὸς δὲ δι' ἑαυτοῦ θυμιᾷν τῷ Θεῷ καὶ πληροῦν ἐκνόμως τὰ νενομισμένα. Ταύτης ἕνεκα τῆς αἰτίας λελέπρωται
C παραχρῆμα, καὶ ἦν ἀτιμότατος· μιαρὸς γὰρ κατὰ νόμον ὁ τῷ τῆς λέπρας πάθει κατισχυμένος. Εἶτα διαδέχεται τὴν τοῦ Ὀζίου βασιλείαν ὁ ἐξ αὐτοῦ γεγονὼς Ἰωάθαμ, φιλόθεος μὲν ἀνὴρ, πλὴν οὐκ ἐξῆρε, φησὶ, τὰ ὑψηλὰ, ἀλλ' ἔθυον ἔτι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν οἱ ἐξ Ἰσραὴλ, ὄρη τε καὶ βουνοὺς καταλαμβάνοντες, ὑποκάτω δρυὸς, καὶ λεύκης, καὶ δένδρου σκιάζοντος, καθά φησιν Ὠσηὲ, ὅτι καλὸν σκέπη. Τελευτήσαντος δὲ Ἰωάθαμ διαδέχεται τὸ σκῆπτρον ὁ Ἄχαζ ἀνὴρ βδελυρώτατος, καὶ θεομισὴς, καὶ τῆς εἰς ἄκρον φαυλότητος ἡκούσης ἔμπλεως. Οὗτος καὶ αὐτὸν τὸν θεῖον ἔκλεισε ναὸν, καὶ ταῖς κατὰ νόμον θυσίαις οὐκ ἠφίει καταγεραίρεσθαι τὸν τῶν ὅλων Θεὸν, κεκώλυκε δὲ καὶ τὰς ἐξ ἔθους τῶν Ἰουδαίων ἑορτὰς, καὶ ἐν παντὶ τόπῳ τῆς Ἱερουσαλὴμ βωμοὺς ἀναστή-
D σας προσκυνεῖν ἐκέλευε τὰ χειρόκμητα, καὶ λατρεύειν τὴν στρατιὰν τοῦ οὐρανοῦ· καὶ μὴν καὶ τὰ ἴδια τέκνα διήγαγεν ἐν πυρὶ, τουτέστι, κατέκαυσεν εἰς θυσίαν τοῖς ἀκαθάρτοις δαίμοσι, καὶ ἁπαξαπλῶς εἰπεῖν, τρόπος αὐτῷ δυσσεβείας ἀνεπιτήδευτος ἦν οὐδείς. Εἶτα μετὰ τοῦτον βεβασίλευκεν Ἐζεχίας ἀνὴρ εὐσεβὴς καὶ φιλόθεος, καὶ δικαιοσύνης πρύτανις, καὶ παντὸς ἀγαθοῦ ζηλωτὴς, καὶ τῶν θείων θελημάτων ἐργάτης. Οὗτος τοῦ Ἄχαζ παρανομήμασιν πᾶν πράττεσθαί τε καὶ ἰσχύειν ἐκέλευεν· ἀνῆκε μὲν γὰρ τὰς τοῦ ναοῦ θύρας, εἶτα θυσίας, καὶ σπονδὰς διετύπου προσάγεσθαι τῷ Θεῷ, καὶ ταῖς κατὰ νόμον ἱερουργίαις γεραίρεσθαι· καὶ μὴν καὶ δίχα χρόνων μακρῶν

[1] Psal. CXVIII, 96. [2] Osee. IV, 13.

τὸν ἐπὶ τῷ Πάσχα νόμον ἀνανεώσασθαι ὁρᾶται. Καθεῖλε τεμένη, καὶ βωμοὺς, καὶ χειρόκμητα, γνώστας τε καὶ ψευδομάντεις, καὶ τὰς τῶν ἐπῳδῶν ἀγέλας ἠρεμεῖν ἐκέλευσε, καὶ ἦν ἀνὴρ ἀγαθὸς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ. Οὐκοῦν ἐπειδήπερ ἐν καιροῖς βασιλείας τῶν ἀρτίως ἡμῖν εἰρημένων, ποτὲ μὲν ὠξύνετο πρὸς ὀργὰς ὁ τῶν ὅλων Θεὸς, εἰδωλολατροῦντος τοῦ Ἰσραήλ· ποτὲ δὲ καὶ ἐμαλάσσετο πρὸς τὸ ἥμερον, μεταπλαττομένου πρὸς εὐσέβειαν διὰ τῆς τοῦ κρατοῦντος ἐπιεικείας· ταύτῃ τοι μέμικται τῆς προφητείας ὁ λόγος, καὶ πλείστην μὲν ὅσην ἔσθ' ὅτε ποιεῖται τὴν ἀπειλὴν, ὡς δυσσεβοῦντος τοῦ Ἰσραὴλ, ὑποσχέσεως δὲ τῆς ἐπ' ἀγαθοῖς εἰσκομίζει λόγον. Διαμέμνηται δὲ πανταχοῦ τῆς διὰ τοῦ Χριστοῦ λυτρώσεως, καὶ φησὶν ὅτι κατὰ καιροὺς μὲν ἔσται τῆς πρὸς Θεὸν οἰκειότητος ἀπόπεμπτος ὁ Ἰσραὴλ, εἰσδεχθήσεται δὲ τῶν ἐθνῶν ἡ πληθὺς δικαιουμένη διὰ τῆς πίστεως τῆς ἐν Χριστῷ. Ὥστε μοι δοκεῖ στεφανοῦν εὖ μάλα τὸν μακάριον προφήτην Ἡσαΐαν, οὐχὶ τῇ τῆς προφητείας χάριτι μόνῃ, ἀλλὰ γὰρ καὶ τοῖς ἀποστολικοῖς αὐχήμασιν. Ἐν ταὐτῷ γὰρ ἔστιν προφήτης τε ἅμα, καὶ ἀπόστολος, καὶ τῆς τῶν εὐαγγελικῶν κηρυγμάτων φαιδρότητος οὐκ ἠμοιρηκότας τοὺς τῆς ἑαυτοῦ συγγραφῆς ποιήσεται λόγους.

A vates, et incantamentorum turbam quasique greges sustulit : et vir bonus erat in conspectu Dei. Itaque cum universitatis Deus, temporibus horum, quos jam diximus, nunc ad iram exacueretur, idololatriæ dedito : nunc, eo converso ad religionem propter virtutem et probitatem principis, ad placabilitatem emollesceret : hinc oratio hujus prophetiæ mista est et velut Israele impie agente, minas interdum graves intendit : aliis autem promissionis bonorum mentionem facit : ubique vero redemptionis per Christum mentionem injicit, aitque subsequentibus temporibus a societate et contubernio Dei exterminandum Israelem, successuram vero gentium multitudinem, per fidem in Christo justificatam. Quare mihi videtur beatus propheta Isaias non sola B prophetiæ gratia plurimum exornatus, sed et decoribus apostoli. Est enim hic propheta simul et apostolus : et in hac scriptione sua habebit sermones evangelicæ prædicationis splendore non carentes.

ΛΟΓΟΣ Α'.

Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ Ἱερουσαλὴμ ἐν βασιλείᾳ Ὀζίου, καὶ Ἰωάθαμ, καὶ Ἄχαζ, καὶ Ἐζεκίου οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας.

Οὐκ ἂν οἶμαι διαψεύσαιτό τις ἐκεῖνο εἰπὼν περὶ τῶν ἁγίων προφητῶν, ὡς οὐ μόνην ἐδέχοντο τῶν ἐσομένων τὴν γνῶσιν, καταλαμπρύνοντος τὸ χρῆμα αὐτοῖς τοῦ ἁγίου Πνεύματος, καὶ ἐνηχοῦντος εἰς νοῦν, ἀλλὰ γὰρ καὶ αὐτῶν ἔσθ' ὅτε τῶν πραγμάτων εἰπὼν ὅτι ἐγίνοντο θεωροί. Ἔοικε τοίνυν ὁ μακάριος προφήτης Ἡσαΐας τοῖς τῆς διανοίας ὄμμασι τὰ κατὰ καιροὺς ἐσόμενα κατὰ τῆς Ἰουδαίας τεθεᾶσθαι πάθη, τοῦτο μὲν τὰς τῶν πολεμίων φάλαγγας καταδηούσας τὴν γῆν, τοῦτο δὲ τὰς πόλεις ἠρημωμένας, καὶ οἴκους ἐμπιπραμένους, καὶ ὅσα τοῖς τοῦ πολέμου νόμοις πράττεται παρ' ἐχθρῶν ταύτῃ τοι προγέγραπται τῆς προφητείας· « Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς, κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ. » Ἐπισημαίνεται δὲ χρησίμως τοὺς τῶν βασιλέων καιροὺς, ἵνα φαίνηται Θεὸς προσφόρως τοῖς ἑκάστου τρόποις τὰ ἐν τῷ προφήτῃ λαλῶν.

Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν, Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν.

Τί τὸ χρῆμα, τίς ὁ λόγος, καὶ τί ἂν βούλοιτο δηλοῦν περιαθρεῖν ἀναγκαῖον. Διαμαρτύρεται γὰρ ὥσπερ οὐρανόν τε καὶ γῆν ὁ μακάριος προφήτης, καὶ τοῦτο πράττων οὐκ ἀθεεὶ, πλὴν, οὐχ ἰδίους, Θεοῦ δὲ μᾶλλον εἶναι τοὺς λόγους φησίν. Ὅτι πάντη τε καὶ πάντως πρὸς πέρας ἐκβήσονται διὰ τούτου σημαίνων, καὶ τοῖς τοῦ παθεῖν δείμασι καταπτοῶν τοὺς ἀκροωμένους. Ἀμήχανον γὰρ ψευδοεπῆσαι Θεόν· ὁμοῦ δὲ κἀκεῖνο, καθάπερ ἐγῷμαι, κατασκευάζων. Ἐπειδὴ γὰρ ἔμελλεν τὰς κατὰ τῆς Ἰουδαίας καὶ

ORATIO I.

CAP. I, VERS 1. *Visio, quam vidit Isaias filius Amos, quam vidit contra Judæam, et contra Hierusalem, in regno Oziæ et Joatham, et Achaz, et Ezechiæ, qui regnarunt in Judæa.*

Si quis dicat, sanctos prophetas non solam rerum futurarum cognitionem accepisse, prælu- C cente hoc illis, et in animos insonante sancto Spiritu, verumetiam rerum ipsarum quandoque spectatores exstitisse, eum ego minime errare posse arbitror. Itaque beatus propheta Isaias, mala quæ contra Judæam temporibus insequentibus futura erant, **1**'' phalanges hostium terram vastantium, urbes desolatas, domos incensas, et quæcunque tandem jure belli fieri solent ab hostibus, mentis oculo contemplatus videtur : ideoque prophetiæ quasi prooemio scriptum est : « Visio quam vidit Isaias filius Amos, contra Judæam et contra Jerusalem. » Opportune sane regum tempora designat, ut appareat Deum hæc uniuscujusque moribus accommo- D date per prophetam dicere.

VERS. 2. *Audi, cœlum, et auribus percipe, terra, quia Dominus locutus est : Filios genui et evexi, ipsi autem spreverunt me. Cognovit bos possessorem, et asinus præsepe domini sui ; at Israel me non cognovit, et populus me non intellexit.*

Quid hoc rei sit, quæ oratio, et quid significare velit, operæ pretium erit considerare. Obtestatur enim veluti cœlum et terram beatus propheta : quod dum facit, non sine divino consilio facit; imo non suos esse dicit sermones, sed Dei. Quo innuit omnino ea ad exitum perventura, et horum malorum metu auditores percellit : nec enim fieri potest, ut Deus falsum dicat : simulque illud, ut ego quidem sentio, præmunit. Quoniam enim contra Judæam et Jerusalem vaticinaturus erat, et mala omni ora-

tione majora, calamitatesque non sanandas præmonstraturus, eos, ad quos hic sermo habetur, ira mirum in modum flagraturos non ignoravit. Ideo Dominum hæc locutum ait, impiorum furorem artificiosissime reprimens, injustasque iras quasi retundens. Si enim quasi sequester adhibetur, et minister, et sermones e supernis et a Deo quasi legatus annuntiat, quis ei merito succensere poterit? imo potius audax hoc facinus ex ira ebulliens, quidni impium contra Deum qui locutus est haberi debeat? Proinde et merito sane cœlum et terram contestatur. Nam de Israele conquesturus cum esset, cum angelos cœlestes, tum ipsam terram universam scire vult mores ejus impios; ne quis eum esse commotum sine causa putet, vel populum dilectum et in sortem sibi deputatum, in leviculis, et vulgaribus criminibus deprehensum, propterea fuisse rejectum: maxime quem olim summa vi ex Ægyptiorum tyrannide vindicavit. Nam misertus est illius, **2** ut et injuria affecti præter æquum et bonum, et ut præter nobilitatem et dignitatem tum patriam, et avitam, tum suam, violenta servitute oppressi. Cumque hi qui oppresserant restitissent, graviter puniti sunt, Deo illos omni genere supplicii multante. Itaque ut Israelitarum assumptio insignis et illustris fuit, ita rejectionis modum non vult ignorari. Quod si cui videatur, ipsa elementa vocari hac prophetæ voce: qui hoc ita considerat, nec ab eo quod est rationi et probabilitati consentaneum, nec a sensu verborum aberrabit. Redimebatur enim per Mosem, uti dixi, ab Ægyptiaca impietate Israel. Cum autem Pharao Dei nutui et voluntati impie resisteret ac diceret, « Dominum non novi, et Israelem non dimittam [a], » creatura a Domino suo contra inobedientes et rebelles est armata. E supernis enim et e cœlo plurima, et conspicua signa facta sunt: plurima item et in ipsa terra mirabilia. Cœlum enim demisit grandinem, terra produxit ranas, sicuti scriptum est: et aqua in sanguinem conversa est: cinere vero camini discurrente et dissipato, aeremque corrumpente, ulcera et pustulæ effervescentes omnium corporibus insederunt. Itaque perinde quasi ipsamet elementa tantum non frustra pro his qui liberati fuerunt laborassent: « Audi, inquit, cœlum, et ausculta, terra, quia Dominus locutus est. » Aliter etiam hæc explicari possunt. Israelitæ siquidem legis doctrina contempta, et salutaribus disciplinis neglectis, uno natura Deo derelicto, impuris dæmoniis cultum tribuerunt in montibus atque collibus et in silvosis vallibus incenderunt suffitum, et opera manuum suarum adoraverunt. Indignatus vero propterea universitatis Deus, et quidem justissime, dixit cuidam e sanctis prophetis: « Surge et judicare apud montes, et audiant colles vocem tuam: Audite, colles, judicium Domini, et valles fundamenta terræ, quia judicium Domino adversus populum suum, et cum Israele judicabitur [b]. » Neque tamen

[a] Exod. v, 2. [b] Mich. vi, 1, 2.

A Ἱερουσαλὴμ προαγορεύσεις ποιεῖσθαι, καὶ τὰ λόγου παντὸς ἐπέκεινα προκαταμηνύσειν πάθη, καὶ τὰς ἀνηκέστους συμφορὰς, οὐκ ἠγνόησεν ὅτι πάντη τε καὶ πάντως ἀκονηθήσονται πρὸς ὀργὰς οἱ πρὸς οὓς ὁ λόγος. Κύριον τοίνυν τὰ τοιάδε πρὸς αὐτοὺς λαλῆσαί φησιν, τὸν τῶν ἀνοσίων θυμὸν εὐτεχνέστατα διωθούμενος, καὶ οἷον ἐκδυσωπῶν τὰς ἀδίκους ὀργάς. Εἰ γὰρ παρελήφθη μεσίτης καὶ διάκονος, καὶ τοὺς ἄνωθεν καὶ παρὰ Θεοῦ διαπορθμεύοι λόγους, πῶς ἂν ἐπ' αὐτῷ δικαίως ὀργίζοιτό τις; μᾶλλον δὲ, πῶς οὐχὶ κατὰ Θεοῦ τοῦ λελαληκότος τὰ ἐξ ὀργῆς γένοιτ' ἂν δυσσεβῆ τολμήματα. Διαμαρτύρεται τοίνυν σφόδρα εἰκότως οὐρανόν τε καὶ γῆν; Ἐπειδὴ γὰρ ἔμελλε τὰς κατὰ τοῦ Ἰσραὴλ ποιεῖσθαι μομφὰς, καὶ ἀγγέλους εἰδέναι βούλεται τοὺς κατ' οὐρανὸν, καὶ αὐτὴν B δὲ τὴν σύμπασαν γῆν, τῆς ἐκείνου δυσσεβείας τοὺς τρόπους, ἵνα μή τις οἴηται κεκινῆσθαι μάτην ἢ καὶ προαλῶσι ἐπὶ μικροῖς τε καὶ εὐτελεστάτοις πταίσμασιν, ἀπόβλητον ποιεῖσθαι τὸν ἠγαπημένον, καὶ εἰς κλῆρον αὐτῷ τεθέντα λαὸν, καὶ τὸ πάλαι διὰ πολλῆς ἄγαν ἰσχύος, τῆς τῶν Αἰγυπτίων πλεονεξίας ἐξῃρημένον. Ἠλέησε μὲν γὰρ ὡς ἀδικούμενον παρά τε τὸ εἰκὸς, καὶ τὴν τοῖς πατράσι πρέπουσάν τε καὶ ἐνοῦσαν εὐγένειαν, ἀβουλήτῳ θητείᾳ κατηχθισμένους. Ἐπειδὴ δὲ ἀντέπραττον οἱ πλεονεκτήσαντες, ἐκολάζοντο πικρῶς, πάντα τρόπον αὐτοῖς αἰκίας ἐπιῤῥιπτοῦντος Θεοῦ. Ὥσπερ τοίνυν ἐπισημοτάτη γέγονεν ἡ πρόσληψις τοῖς ἐξ Ἰσραὴλ, οὕτω βούλεται καὶ τὸν τῆς ἀποβολῆς μὴ ἀγνοεῖσθαι τρόπον. Εἰ δὲ δὴ βού- C λοιντό τινες καὶ αὐτὰ καλεῖσθαι τὰ στοιχεῖα διὰ τῆς τοῦ προφήτου φωνῆς, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος λόγου τῶν ἐννοιῶν ἡ δύναμις, ἐκεῖνο διεσκεμμέναις. Ἐλυτροῦτο μὲν γὰρ, ὡς ἔφην, τῆς Αἰγυπτίων ἀνοσιότητος διὰ Μωσέως ὁ Ἰσραήλ. Ἐπειδὴ δὲ τοῖς τοῦ Θεοῦ νεύμασιν ἀνοσίως ἀντανιστάμενος ἔφασκεν ὁ Φαραὼ, Οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἀποστελῶ, συνωπλίζετο τῷ ἰδίῳ δεσπότῃ κατὰ τῶν ἀπεχθούντων ἡ κτίσις. Ἄνωθεν μὲν γὰρ καὶ ἐξ οὐρανοῦ πλεῖστά τε ὅσα καὶ περιφανῆ γεγόνασι σημεῖα, πλεῖστα δὲ ὁμοίως καὶ οὐκ ἀθαύμαστα ἐν αὐτῇ τῇ γῇ. Ὁ μὲν γὰρ οὐρανὸς καθίει τὴν χάλαζαν, ἡ δὲ γῆ βατράχους ἐξέῤῥιψε, καθὰ γέγραπται· καὶ τὸ μὲν ὕδωρ εἰς αἷμα μετεσκευάζετο, αἰθάλης δὲ καμιναίας κατασκιδναμένης, καὶ τὸν ἀέρα θολούσης, ἕλκη καὶ D φλυκτίδες ἀναζέουσαι τοῖς ἐν πάντων συνέβαινε σώμασιν. Ὡς οὖν καὶ αὐτῶν τῶν στοιχείων μονονουχὶ μάτην ἐπὶ ταῖς λελυτρωμένοις πεπονηκότων, « Ἄκουε, οὐρανὲ, φησὶν, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. » Προσβαλοῦμεν δὲ καὶ ἑτέρως ταῖς τῶν προκειμένων ἐννοίαις. Ἀτιμήσαντες μὲν γὰρ τὴν διὰ νόμου παίδευσιν οἱ ἐξ Ἰσραὴλ, καὶ τῶν σωτηρίων μαθημάτων ὀλιγωρήσαντες τὸν ἕνα τε καὶ φύσει καταλελοιπότες Θεὸν τοῖς ἀκαθάρτοις δαίμοσιν τὰς θεραπείας προσῆγον ἐν ὄρεσι καὶ βουνοῖς, καὶ ἐν ταῖς εὐδενδροτάταις φάραγξιν τεθυμιάκασί τε καὶ προσκεκυνήκασι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν. Καὶ ἠγανάκτει μὲν ἐπὶ τούτοις, καὶ μάλα εἰκότως, ὁ τῶν ὅλων Θεὸς, ἔφη δὲ πρὸς ἕνα τῶν ἁγίων προφητῶν·

« Ἀνάστηθι καὶ κρίθητι πρὸς τὰ ὄρη, καὶ ἀκουσάτωσαν οἱ βουνοὶ τὴν φωνήν σου. Ἀκούσατε, βουνοί, τὴν κρίσιν τοῦ Κυρίου, καὶ αἱ φάραγγες, θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ διελεγχθήσεται. » Καὶ οὔτι που φαμὲν ὅτι πρός γε τὰ ὄρη καὶ τοὺς βουνοὺς γέγονεν ἡ κρίσις τῷ Κυρίῳ διὰ τῆς τοῦ προφήτου φωνῆς, ἐδικάζετο δὲ μᾶλλον τῷ πρὸς αὐτὴν τὴν ἀσέβειαν τοῦ Ἰσραὴλ τοῖς ἐν τοῖς ὄρεσι καὶ βουνοῖς καὶ νάπαις. Ἠλέγχετο γὰρ ἀμετρίως δεδυσσεβηκώς, καὶ βωμοὺς καὶ τεμένη κατασκευάσας ἐκεῖ τοῖς ἀκαθάρτοις δαίμοσιν. Οὐκοῦν ἐπειδήπερ οἱ ἐξ Ἰσραὴλ τῆς εἰς Θεὸν αἰδοῦς ἀλογήσαντες προσεκύνησαν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ἡλίῳ τε φημὶ καὶ σελήνῃ, δεχόμενοι δὲ καὶ τὴν ἐκ γῆς ὕλην, ξύλα τέ φημι καὶ λίθους, ἐποίησαν ἑαυτοῖς εἴδωλα κατὰ τὸ ἑκάστῳ δοκοῦν, οἰκονομώτατα λίαν τὴν ἐν τούτοις αὐτῶν ἀσέβειαν ὑπαινίττεται, καὶ οἷον εἰς ἔλεγχον καὶ ἀπόδειξιν οὐρανόν τε καὶ γῆν εἰς μέσον ὥσπερ παρακομίζει λέγων. « Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. » Καὶ καθ' ἕτερον δὲ τρόπον, πολλοὺς εἶναι φαμὲν τοὺς πατέρας ἐν οὐρανῷ, τοὺς πνευματικοὺς δῆλον ὅτι· πολλοὺς δὲ ὁμοίως καὶ ἐπὶ τῆς γῆς, τοῦτο μὲν σαρκικούς, τοῦτο δὲ πνευματικούς. Ἀλλὰ τούτοις μὲν ἅπασι τοῖς πατράσι τοῖς ἄνω τε καὶ κάτω παρὰ τῶν ὑπὸ χεῖρα τέκνων προσάγονται τιμαί. Χαίρουσι δὲ λίαν οἱ τετιμημένοι, καὶ οὐδείς ἐστιν ἐν αὐτοῖς, ὃς οὐ πάντῃ τε καὶ πάντως ποιεῖται δυσφόρητον τὸ ἀχαριστεῖσθαι παρὰ τῶν τέκνων. Ὁ δὴ πεπονθὼς ὁ τῶν ὅλων Θεός, τούς τε ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς πατέρας διαμαρτύρεται λέγων· *Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.* Εἰσδεχθεὶς γὰρ ὁ Ἰσραὴλ διὰ τῆς χάριτος, καὶ τῆς τοῖς τέκνοις πρεπούσης ἠξιωμένος φειδοῦς, γεγεννῆσθαι λέγεται παρὰ Θεοῦ, τῆς ἀληθοῦς καὶ πνευματικῆς ἀναγεννήσεως ἐφ' ἡμῖν ἐκπεπερασμένης. Διὰ πίστεως δὲ δῆλον ὅτι τῆς ἐν Χριστῷ· γεγεννήμεθα γὰρ ἐξ ὕδατος καὶ πνεύματος, καὶ δέδοται μὲν τοῖς ἀρχαιοτέροις πνεῦμα δουλείας, εἰ καὶ πρωτότοκος ἦν καὶ ὠνόμασται λαός. Ἡμῖν δὲ, τῆς υἱοθεσίας ὄνομά τε καὶ πνεῦμα, κεχάρισται ὁ Θεός. « Ὅτι γάρ ἐστε, » φησίν, « υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον Ἀββᾶ ὁ πατήρ. » Γεγέννηκα γάρ, φησίν, υἱούς, καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ γὰρ καὶ ὕψωσα, τοῦτ' ἔστιν, ἀνέθρεψα. Τοῦτο γὰρ ἡ τῶν ἑτέρων μηνυτῶν ἐπίδοσις ἔχει. Λελυτρωμένος γὰρ ὁ Ἰσραήλ, οὐκ ἀνεπικούρητος ἦν μετὰ τοῦτο, καὶ ἀγάπης ἔρημος τῆς παρὰ Θεοῦ. Τέθραπτο γὰρ καθάπερ τις υἱὸς ἐκ φιλόπαιδος ἀληθῶς καὶ φιλοστοργοτάτου πατρός. « Ἄρτον γὰρ οὐρανοῦ, » φησίν, « ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος. » Ἐτρέφετο δὲ ἑτέρως καὶ εἰς εὐεξίαν πνευματικὴν διὰ τῆς ἐννόμως σοφίας καὶ προφητικῶν παιδευμάτων, ἀποκομιζόντων ἀστείως εἰς ἐπίγνωσιν ἀληθείας, τοῦτ' ἔστι Χριστοῦ. Γράφει γοῦν ὁ Παῦλος, ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν.

A per hanc prophetæ vocem propterea dicimus adversus montes et colles judicium Domino fuisse : at potius contra ipsam impietatem Israelis, quæ erat in montibus, et collibus, et lucis
B judicio confiictabantur. Etenim reprehensus est, quod haud mediocri se impietate fœdarit, illicque immundis dæmonibus aras atque delubra exstruxerit. Cum ergo Israelitæ, observantia et reverentia erga Deum posthabita, militiam cœli, solem dico et lunam adorarent, et sumpta ex terra materia, lignis, inquam, et lapidibus, idola sibi quisque pro abitratu facerent : appositissime eorum in istis impietatem subinnuit, et velut in argumentum et demonstrationem cœlum ac terram producit in medium, inquiens : « Audi, cœlum, et ausculta, terra, quia Dominus locutus est. » Jam et alio modo dicimus esse multos in cœlo patres, spiritales videlicet : multos item in terra tam carnales, quam spiritales. Omnibus autem his tum superis, tum inferioribus honores exhibentur a liberis, potestati ipsorum subditis : et impendio gaudent, honore affecti : nec est eorum quisquam qui non omnino intolerabile ducat, ingratis modis tractari a liberis. Hoc jam passus et sentiens universitatis Deus, patres tam in cœlo, quam in terra contestatur, dicens : *Audi, cœlum, et ausculta, terra, quia Dominus locutus est : Filios genui et evexi, ipsi autem spreverunt me.* Receptus enim per gratiam Israel, et misericordia filiorum dignatus, a Deo genitus esse dicitur : dum vera ac spiritualis regeneratio
C in nobis per fidem, nempe in Christo consummatur. Geniti enim sumus ex aqua et spiritu. Majoribus quidem datus est spiritus servitutis, quantumvis fuerit primogenitus, et dictus etiam populus: nobis autem Deus spiritum adoptionis et nomen tribuit. « Quoniam enim, » inquit « filii estis, emisit Deus spiritum Filii sui in corda vestra, clamantem Abba, pater [a]. » Idcirco dicit : Genui filios, nec id modo, sed Evexi, id est, enutrivi : nam hoc aliorum interpretum expositio habet. Liberatus quippe Israel, non desertus ac destitutus auxilio deinceps fuit, non amoris divini expers : utpote qui tanquam filius a patre vere filiorum amante et indulgentissimo nutriebatur, « Panem
D namque cœli » inquit, « dedit illis, panem angelorum comedit homo [b]. » Quin et alio modo enutritus est, vegetatione ac robore spirituali, per sapientiam legis et præcepta institutaque prophetarum, quæ ad 4 agnitionem veritatis, nimirum Christi, placide ac molliter provehunt. Scribit siquidem Paulus: « Itaque lex pædagogus noster factus in Christum [c]. » At enim eum qui genuerat repudiavit. Et quis tandem hujus repudii modus? Aversus est enim ut etiam coluerit eos qui natura dii non sunt, laboravitque morbo alio magnæ cujusdam effrenationis, ac quod his longe absurdius est, ne brutorum quidem animantium bene-

[a] Rom. VIII, 15. [b] Psal. LXXV, 24, 25. [c] Galat. III, 24.

volentiam quam illa erga dominos habent, est imitatus. Hinc non sine causa ait: « Cognovit bos possessorem suum, et asinus præsepe domini sui; Israel autem me non cognovit, et populus me non intellexit. » Nam si emat quis bovem, illum utique habebit ad rei rusticæ munera utilissimum, sive terram arare velit, sive in area triturare, et frumenti paleam excutere. Si vero quis asinum coemat, naturæ etiam motu et impulsu vocatur ad obsequium et pro his quæ jacent in præsepibus subjectionem quasi rependit et obedientiam. Onus enim bajulat volens, et herilis laboris fit socius ac particeps. At hæc quidem ita se habent in his. Israel autem sapiens, in legis pædagogia initiatus, quo id quod e re est, intelligere posset, majestatem Dei multis et admirabilibus signis edoctus, asino et bove inferiorem se præstat, et a brutis mansuetudine et probitate superatus, Dominum ignoravit. Bene sane illud dixit: Non novit, non intellexit. Tametsi enim, ut dixi, gloriam et majestatem Dei didicerat, tamen quod in effrenatam quamdam perversitatem prolapsus est, propterea ei qui non noverat, non dissimilis fuit. Quod ni ita vere esset, neutiquam dixisset ligno: « Deus meus es tu, » et lapidi: « Tu genuisti me. » Unde et « obstupuit, » inquit, « cœlum super hoc, et vehementer supra modum inhorruit, dicit Dominus. Quia duo mala patravit populus meus: me dereliquerunt fontem aquæ vivæ, et foderunt sibi cisternas contritas, quæ non poterunt aquam continere [6]. » Posset autem hoc Christo accommodari ut dicat de illis: Israel vero me non novit, et populus me non intellexit. Siquidem per illum facta est illa etiam antiqua redemptio. Et posita est lex ad tempus usque correctionis, sicuti scriptum est. Cum autem umbra nullo modo nos justificare posset, illuxit nobis in carne unigenitum Dei Verbum, ut fide ad ipsum accedentes justificaret, et a morte atque peccato liberaret [7].
5 Verumtamen eum non novit Israel quantumvis aperte dicentem: « Amen, amen dico vobis, qui sermonem meum audit, et credit ei qui misit me, habet vitam æternam, et in judicium non venit, sed transiit ex morte ad vitam. [8] »

A Ἀλλ' ἠθέτησε τὸν γεννήσαντα. Καὶ τίς ὁ τῆς ἀθετήσεως τρόπος εἴη ἄν; ἐτράπετο γὰρ εἴς γε τὸ θέλειν τοῖς μὴ φύσει λατρεύειν θεοῖς, νενόσηκε δὲ καὶ ἑτέρως, πολὺ τὸ ἐξήνιον, καὶ τὸ ἔτι τούτων εἰς ἀτοπίαν ἐπέκεινα, οὔτε αὐτὴν μεμίμηται τῶν ἀλόγων ζώων τὴν εὔνοιαν, ἣν ἂν ἔχοιεν ἐκεῖνα πρὸς τοὺς δεσπότας. Ταύτῃ τοι φησίν· « Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. » Ἄνθρωπος μὲν γὰρ εἰ ἐκπρίαιτο βοῦν, ἕξει δὴ πάντως αὐτὸν εἰς τὰ τῆς γεωπονίας ἔργα χρησιμώτατον, τοῦτο μὲν ἀροῦν, εἰ ἕλοιτο, τὴν γῆν, τοῦτο δὲ εἰς τὴν ἅλω καταλεπτύνειν, καὶ ἀποκρίνειν τοῦ σίτου τὸ ἄχυρον. Εἰ δὲ δή τις πρίαιτο καὶ ὄνον, φυσικοῖς καὶ αὐτὸς κινήμασιν καλεῖται πρὸς εὐπείθειαν,
B καὶ οἷόν τινα τῶν ἐν φάτναις αὐτῷ κειμένων ἀντίδοσιν ποιεῖται τὴν ὑπόταξιν. Ἀχθοφορεῖ γὰρ ἑκών, καὶ τὸν τοῦ δεσπότου μερίζεται πόνον. Ἀλλὰ ταυτὶ μὲν ἐν τούτοις. Ὁ δὲ σοφὸς Ἰσραὴλ ἐν νόμῳ παιδαγωγούμενος, ἐπὶ τὸ δεῖν εἰδέναι τὸ ὠφελοῦν ὁ τὴν τοῦ Θεοῦ δόξαν διὰ πολλῶν καὶ ἀξιαγάστων σημείων ἐκμεμαθηκώς, ὄνου καὶ βοὸς κατόπιν ἔρχεται, καὶ τῆς τῶν ἀλόγων ἐπιεικείας ἡττώμενος ἠγνόηκε τὸν δεσπότην. Εὖ δὲ δὴ σφόδρα τὸ, οὐκ ἔγνω, φησὶν, οὐ συνῆκεν. Καίτοι γὰρ μεμαθηκώς, ὡς ἔφην, τὴν τοῦ Θεοῦ δόξαν, καὶ διὰ τὸ ἀπονεῦσαι λίαν εἰς ἀχάλινον ἐκτροπὴν, ἐν ἴσῳ γέγονεν τῷ ἠγνοηκότι. Εἰ γὰρ μὴ τοῦτό ἐστιν ἀληθῶς, οὐκ ἂν ἔφη τῷ ξύλῳ, « Θεός μου εἶ σύ· » καὶ τῷ λίθῳ, « Σὺ ἐγέννησάς με. »
C Ὅθεν « ἐξέστη, » φησὶν, « ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος. Ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν αὐτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. » Πρέποι δ' ἂν καὶ αὐτῷ τῷ Χριστῷ τὸ φάναι περὶ αὐτῶν, τὸ, Ἰσραὴλ δὲ οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. Γέγονε μὲν γὰρ καὶ ἡ πάλαι λύτρωσις δι' αὐτοῦ. Τέθειται δὲ καὶ ὁ νόμος μέχρι καιροῦ διορθώσεως, καθὰ γέγραπται. Ἐπειδὴ δὲ. . . ἀνέφικτον δικαιοῦν ἡμᾶς δύνασθαι τὴν σκιὰν, ἐπέφανεν ἡμῖν μετὰ σαρκὸς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵνα δικαιώσῃ τῇ πίστει τοὺς προσιόντας αὐτῷ, καὶ ἀπαλλάξῃ θανάτου καὶ ἁμαρτίας. Ἀλλ' οὐ συνῆκεν αὐτὸν ὁ Ἰσραὴλ, καίτοι λέγοντος σαφῶς· « Ἀμὴν, ἀμὴν
D λέγω ὑμῖν, ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. »

VERS. 4. *Væ gens peccatrix, populus plenus peccatis, semen nequam, filii scelesti, dereliquistis Dominum, et concitastis ad iracundiam Sanctum Israel.*

Repudii modo optime jam exposito, et magnitudine brutæ eorum insulsitatis demonstrata, transfert statim orationem partim ad eorum miseriæ prædicationem, partim ad territationem. Decet enim, opinor, in primis personam prophetæ, tantum non eos deplorare, et ex immenso zelo pietatis insurgere ac dicere: Væ genti improbæ, populo vitiis onusto, se-

Οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι· ἐγκατελίπετε τὸν Κύριον, καὶ παρωργίσατε τὸν Ἅγιον *τοῦ Ἰσραήλ.*

Τὸν τῆς ἀθετήσεως τρόπον εὖ μάλα διηγγελκὼς, καὶ τῆς ἐνούσης αὐτοῖς ἀλογίας παραδείξας τὸ μέγεθος, μεθίστησι παραχρῆμα τὸν λόγον, τοῦτο μὲν εἰς ταλανισμὸν ἐπ' αὐτοῖς δηλονότι, τοῦτο δ' αὖ πάλιν πρὸς ἐπίπληξιν. Πρέποι δ' ἂν, οἶμαι, τῷ προφητικῷ προσώπῳ μάλιστα τὸν μονονουχὶ κατοιμώζειν αὐτοὺς, καὶ ἐκ πολλῆς ἄγαν φιλοθείας κατ-

[6] Jerem. II, 12 seq. [7] Hebr. IX, 10. [8] Joan. V, 24

ἐξανίστασθαί τε καὶ λέγειν· Οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι. Ἕπεται γοῦν πάντως τοῖς ἀθετεῖν με θέλουσιν, τὸν ἁπάντων ἡμῖν ἀγαθῶν δωτῆρα Θεὸν, τὸ ἀναπόνιπτον ἔχειν τὴν ἁμαρτίαν, καὶ πεφορτίσθαι δεινοῖς ἀφύκτοις ἐγκλήμασιν. Νοσεῖ γάρ πως ἀεὶ ἡ ἀθέτησις τὴν ἀπόστασιν, τῆς εἰς πᾶν ὁτιοῦν τῶν ἐκ τόπων μεταβολήν. Ταύτῃ τοι καὶ ἐπήγαγεν εὐθὺς, τὸ ἐγκατελείπετε τὸν Κύριον. Σπέρμα δὲ ὀνομάζει πονηρὸν, οὐχ ὡς ὄντας, ἢ πεποιημένους κατὰ φύσιν τοιούτους, ἀλλ' ὅτι γεγόνασιν ἐκ πονηρῶν πατέρων υἱοὶ πονηροὶ, κατά γε τὴν Ἰωάννου φωνήν· ἔφη γὰρ καὶ αὐτοῖς τοῖς γραμματεῦσι καὶ Φαρισαίοις ἐρχομένοις ἐπὶ τὸ τῆς μετανοίας βάπτισμα, « γεννήματα ἐχιδνῶν. » Ἅγιοι μὲν γὰρ ὁμολογουμένως οἱ πρῶτοί τε καὶ ἐξ ἀρχῆς πατέρες, βδελυροὶ δὲ λίαν οἱ μετ' ἐκείνους. Ἐντεθραμμένοις δὴ οὖν τοῖς τῶν πατέρων ἔθεσι, καὶ προγονικὴν ζηλοῦντας ἀνοσιότητα, σπέρμα πονηρὸν ὠνόμασεν εἰκότως. Ἐγκαταλελοίπασι γὰρ τὸν Κύριον, καὶ παροτρύνοντες οὐκ ἐπαύσαντο τὸν ἅγιον τοῦ Ἰσραὴλ, τουτέστι Χριστόν. Οὐ γὰρ συνῆκαν τὸ ἐπ' αὐτῷ μυστήριον. Τοιγάρτοι καὶ μεμενήκασιν ἐν πληρώματι τῶν ἰδίων ἁμαρτιῶν. Καὶ τοῦτο αὐτοῖς ἔφασκεν ὁ Χριστός· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε, ὅτι ἐγὼ εἰμὶ, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Πλήρης τοίνυν ἁμαρτιῶν ὁ Ἰσραὴλ, καὶ εἰς τοῦτο λοιπὸν ἀφιγμένος φαυλότητος, ὡς πρέπειν αὐτῷ τὸ κολάζεσθαι δεῖν. Πεπληρώκασι γὰρ καὶ αὐτοὶ τὸ μέτρον τῶν ἰδίων πατέρων, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Μέχρι μὲν γάρ τινος καιροῦ καὶ μέτρου φορητὴν ποιεῖται ὁ Θεὸς, τῶν πλημμελούντων τὴν καταφρόνησιν· ἀφιγμένης δὲ ἤδη πρὸς πλήρωσιν τὴν ἐγνωσμένην αὐτῷ τῆς ἁμαρτίας, ἐπιφέρει τὰς δίκας, καὶ ἀναλόγως τοῖς πλημμελήμασι κολάζει τὸν ἀπειθῆ. Καὶ γοῦν ὁ προφήτης Ζαχαρίας μέτρον τεθεαμένος, ἤρετο μὲν τὸν μακάριον ἄγγελον, ὅ τι δὴ τοῦτό ἐστι τὸ μέτρον τὸ ἐκπορευόμενον. Ὁ δὲ πρὸς αὐτὸν, Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. Μεμένηκε τοίνυν ἀναπότριπτον ἔχων τὴν ἁμαρτίαν ὁ Ἰσραὴλ, καὶ τὴν διὰ Χριστοῦ κάθαρσιν οὐκ ἠθέλησε λαβεῖν, ἀλλὰ γὰρ πρὸς τούτῳ καταλελοιπὼς αὐτὸν, διὰ τοῦ μήτε τὴν εἰς αὐτὸν προσήκασθαι πίστιν, εἰπεῖν τε πρὸς τούτῳ, τὸ Αἶρε, αἶρε, σταύρου αὐτὸν, καὶ, Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.

A mini malefico, filiis perditis. Omnino autem qui omnium largitorem bonorum Deum repudiare volunt, hi ut vitiis contaminentur, nunquam eluendis, gravibusque atque inexpiabilibus flagitiis onerentur, necesse est. Trahit enim semper quodammodo hæc repudiatio morbum defectionis et apostasiæ, demigratione in omne genus fœditatis. Hinc illud mox inducit, « Dereliquistis Dominum. » Semen porro maleficum dicit, non quia essent aut fierent ex natura tales, sed quod nati sunt ex patribus improbis filii quoque improbi, juxta vocem Joannis. Is enim Scribis et Pharisæis ad baptismum pœnitentiæ accedentibus: « Progenies, inquit, viperarum*. » Primi nimirum illi ab initio patres, plane sancti exstiterunt; qui vero illos secuti sunt, sceleratissimi fuerunt. B Innutritos ergo patriis moribus, et avitam sectantes impietatem, semen maleficum non immerito nominavit. Dereliquerunt namque Dominum, et Sanctum Israelis, scilicet Christum, concitare non destiterunt. Mysterium enim de illo non intellexerunt: itaque in cumulo ac plenitudine suorum peccatorum hæserunt. Quod etiam illis Christus dixit: « Amen, amen dico vobis, si non credideritis, quia ego sum, in peccatis vestris moriemini [10]. » Onustus itaque vitiis Israel eo demum pervenit nequitiæ, ut pœnas eum luere fuerit æquissimum. Etenim expleverunt et ipsi mensuram patrum suorum, juxta vocem Servatoris [10*]. 6 Ad aliquod enim tempus et mensuram fert Deus contemptum delinquentium: cum autem ad plenitudinem et maturitatem peccati notam sibi et perspe- C ciam jam pertigerint, supplicium irrogat, ac pro modo et ratione delictorum inobedientes pœna afficit. Nimirum hanc mensuram conspicatus propheta Zacharias, interrogavit beatum angelum, quænam esset hæc mensura quæ egreditur: hic vero ad illum, Hæc est iniquitas eorum qui sunt in universa terra. Hæsit proinde Israel in peccato indelebili, nec emundari voluit per Christum: imo vero etiam dereliquit eum, cum fidem quæ in illum est non recipiendo, tum ad hæc dicendo: Tolle, tolle, crucifige eum, et: Non habemus regem nisi Cæsarem [11].

Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην· Ἀπὸ ποδῶν ἕως κεφαλῆς, οὐκ ἔστιν ἐπ' αὐτοῖς ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα; οὐκ ἔστιν μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους.

D VERS. 5. *Quid percutiamini ultra, addentes iniquitatem? Omne caput in labore et omne cor in mærore: a pedibus ad caput usque non est in eo integritas, neque vulnus, neque livor, neque plaga tumens, non est malagma imponere, neque oleum, neque alligaturas.*

Ὡς ἐφ' ἑνὸς σώματος τῶν Ἰουδαϊκῶν συστημάτων, μικρῶν τέ φημι καὶ μεγάλων, καὶ τῶν ἐν μεσότητι νοουμένων ποιεῖται τοὺς λόγους. Ἔοικε δὲ κεφαλὴν μὲν ὀνομάζειν, τὸν τοῖς βασιλείας αὐχήμασιν εὐπρεπῆ. Καρδίαν δὲ, τὴν ἱερὰν καὶ ἀπόλεκτον φυλὴν, τουτέστι τὴν Λευϊτικὴν, ὡς τῷ νόμῳ σεσοφισμένην, καὶ τοῦ παντὸς σώματος ἔχουσαν τὴν φροντίδα. « Χείλη γὰρ ἱερέως, » φησὶν, « φυλάξεται

De uno velut corpore Judaicæ societatis, de pravis, inquam, et magnis et mediocri sorte præditis hominibus sermonem instituit. Caput videtur dicere eum, qui regni prærogativis ornatus est: Cor vero, sacrosanctam et selectam tribum, id est, Leviticam, veluti lege eruditam, et curam totius corporis gerentem. « Labia enim sacerdotis, » inquit, « custodient judicium, et legem requirent ex ore ejus [11*]. »

* Matth. III, 7. [10] Joan. VIII, 21. [10*] Matth. XXIII, 32. [11] Joan. XIX, 15. [11*] Malach. II, 7.

Pedes demum eos esse ait, qui in postremis sunt, et qui tanquam infimam in populo stationem obtinent. Proinde cum terra Judaica calamitates non ferendas sustinuisset, depopulantibus eam nunc Babyloniis, nunc finitimis gentibus, et propter impietatem in Christum, Romanorum manibus esset concremanda, cum eorum etiam regnum evertendum esset, (alienigenæ enim eos subegerunt) cumque sacerdotii munia apud eos cessarent, sacrificiis subversis, templo sublato non aris manentibus, non sacerdotio, non declarationibus, juxta prophetæ vocem, hinc dicit : Quid percutiamini ultra, addentes iniquitatem? Inflictum est, inquit, vobis omne genus iræ et supplicii a Deo, diras continuasque alias super alias pœnas deposcente : **7** nihilo tamen minus contemptores estis, et alumni iniquitatis. Ergo quid percutiemini ultra? quænam ultionis mensura vobis erit satis ad emendationem? In summa quæ acerbitas, quæ calamitas inferri possit, quæ jam non accidit? Omne caput dolet, omne cor mœret, a pedibus ad caput usque. Etenim qui regia dignitate pollebant, laboribus haud parum affictabantur, cum ad resistendum impressionibus hostium pares non essent. Sacerdotes item dolore affecti afflictique sunt abolito, ut dixeram, sacrificio. Pedes quoque, hoc est, extremi et homines infimi percutiebantur, tam hostili gladio concisi, quam fame et sterilitate domiti, et in summæ miseriæ discrimen adducti. Dicit itaque vulnus, livor, plaga tumens, nec est malagma quod apponas, non oleum, non alligaturæ. Quando scilicet modicæ plagæ humanum corpus infestant, et unum tantummodo membrum pervasit læsio; tunc moderatæ curationes eorum qui rei medicæ gnari sunt, puta malagma, ligamenta, et olei inunctio contentas partes ac rigidas resolvens, esse poterunt usui. Cum autem corpus totum corruptum est, quodnam curationis genus proderit? Superat enim omnem remediorum vim ac virtutem artis magnitudo morbi. Itaque populus Judaicus jam consauciatus sanari non potest : et inveteratis morbis cum laboret intolerabiliter, nec ullo modo ei succurri possit, omnino periit. Unde et divini prophetæ dixerunt : « Curavimus Babylonem, non est sanata, deseruimus eam [12]. » Babyloni siquidem gentium urbi; et hæc urbs licet sancta dicta sit, propter impietatem in Christum maxime, et quia eam manufactis oppleverunt, comparata est : utpote cum a consuetudine institutoque Babyloniorum neutiquam recederet : quæ dicta est etiam civitas sculptilium.

VERS. 7. *Terra vestra deserta, civitates vestræ igni crematæ sunt, regionem nostram in conspectu vestro alieni devorant. Et vastata est, eversa a populis alienis.*

Quod dictum videbatur quodammodo obscurius, quam dici oportuit, id planum et apertum facit. Quid enim hoc significat, non est malagma quod

A χρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. » Πόδας δὲ εἶναί φησι τοὺς ἐν ἐσχάτοις, καὶ οἷον κατωτάτω λαχόντας τάξιν ἐν τοῖς λαοῖς. Οὐκοῦν ἐπειδήπερ δύσοιστον μὲν ἤδη ταλαιπωρίαν ἡ τῶν Ἰουδαίων ὑπομεμένηκε γῆ, καταδῃούντων αὐτὴν, ὅτε μὲν Βαβυλωνίων, ὅτε δὲ τῶν προσοίκων ἐθνῶν, ἔμελλε καταπίμπρασθαι ταῖς Ῥωμαίων χερσὶν διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν, καὶ ἀνατραπήσεσθαι μὲν ἡ παρ' αὐτοῖς βασιλεία, κεκρατήκασι γὰρ αὐτῶν ἀλλομενεῖς, ἀπρακτήσειν δὲ παρ' αὐτοῖς, καὶ τὰ τῆς ἱερωσύνης ἔργα, θυσιῶν ἀνατετραμμένων, καθῃρημένου τοῦ ναοῦ, θυσιαστηρίων οὐκ ὄντων, οὔτε ἱερατείας, οὔτε δήλων, κατὰ τὴν τοῦ προφήτου φωνὴν, ταύτῃ τοί φησι, τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; ἐπενήνεκται, φησὶν, ὑμῖν πᾶν εἶδος ὀργῆς,
B καὶ αἰκία παρὰ Θεοῦ σκληρὰς καὶ ἀλλεπαλλήλους ἐξῄτησθε δίκας, ἀλλ' οὐδὲν ἧττον ἐστὲ καταφρονηταὶ καὶ ἀνομίας σύντροφοι. Τί οὖν ἔτι πληγῆτε; ποῖον ὑμῖν αἰκίας ἀρκέσει μέτρον εἰς ἐπανόρθωσιν; τί δὲ ὅλως ἐπενεχθήσεται τῶν δεινῶν, ὃ μή πως συμβέβηκεν; πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην ἀπὸ ποδῶν ἕως κεφαλῆς. Οἱ μὲν γὰρ τὴν βασιλίδα τιμὴν λαχόντες πεπονήκασιν οὐ μετρίως, ἀντισχεῖν οὐκ ἔχοντες ταῖς τῶν πολεμίων ἐμβολαῖς. Λελύπηνται καὶ οἱ ἱερεῖς ἀργούσης ὡς ἔφην θυσίας. Ἐπλήττοντο δὲ καὶ οἱ πόδες, τουτέστιν οἱ τελευταῖοι καὶ κατώτατοι. Τοῦτο μὲν τοῖς τῶν πολεμίων ξίφεσι δαπανώμενοι, τοῦτο δὲ καὶ λιμοῖς τε καὶ ἀκαρπίαις κατατρυχόμενοι, καὶ τῆς ἀκράτου ταλαιπωρίας εἰς πεῖραν ἐνηνεγμένοι. Τοιγάρτοι φη-
C σὶν, οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτ' ἔλαιον, οὔτε καταδέσμους. Ὅτ' ἂν μὲν γὰρ σύμμετροί τινες τῷ ἀνθρωπίνῳ σώματι συμβαίνωσι πληγαὶ, καὶ καθ' ἑνὸς ἴοι μέλους ἡ βλάβη. Τηνικάδε χρήσιμα τῆς τῶν θεραπεύσειν εἰδότων ἐπιεικείας τὰ εὑρήματα, οἷον μάλαγμα, καὶ κατάδεσμοι, καὶ ἐλαίου χρίσις χολῶσα τὰ συντεινόμενα. Ὅταν δὲ δι' ὅλον τὸ σῶμα νοσῇ, καὶ ἐφ' ἑαυτῷ καταφθείρηται, ποῖος αὐτῷ θεραπείας ὀνίνησι τρόπος; νικᾷ γὰρ πάντως τῶν ἐκ τέχνης ἐπικουρημάτων τὴν δύναμιν, τῆς νόσου τὸ μέγεθος. Ἀνίατος τοιγαροῦν ἡ τῶν Ἰουδαίων πληθὺς περιπεσοῦσα τραύμασιν, καὶ ἀφορήτως νοσοῦσα τὰ ἐξ ὀργῆς, ἀπόλωλεν ὁλοτρόπως, μηδενὸς αὐτοῖς βοηθήσαντος τρόπου. Τοιγάρτοι ἔφασκον καὶ οἱ θε-
D σπέσιοι προφῆται; « Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη, ἐγκατελείπομεν αὐτήν. » Βαβυλῶνι γὰρ τῇ τῶν ἐθνῶν παρεικάζεται, καίτοι πόλις ἁγία κατωνομασμένη, διά τοι μάλιστα τὴν εἰς Χριστὸν ἀσέβειαν, ἢ καὶ ὅτι τῶν χειροποιήτων ἐνεπίμπλασαν αὐτὴν, ὡς κατ' οὐδένα τρόπον τῇ Βαβυλωνίων παραχωρήσειν, ἢ καὶ ὠνόμασται γῆ τῶν γλυπτῶν.

Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν. Καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων.

Τὸ ἀσαφέστερόν πως ἢ χρῆν εἰρῆσθαι δοκοῦν καθίστησιν ἐναργές. Τί γὰρ ἂν βούλοιτο δηλοῦν τὸ, οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε κατα-

[12] Jerem. LI, 9.

δέσμους· διερμηνεύει λευκῶς, ἠρημῶσθαι τὴν γῆν λέγων αὐτῶν, ἐμπρησθῆναι δὲ καὶ τὰς πόλεις καὶ ὑπόχειρα γενέσθαι τῶν ἐχθρῶν, καὶ τοῦτο ἀλλογενῶν, ὡς μονονουχὶ καὶ ἅπασαν ἐκ βάθρων αὐτὴν ἀνατετράφθαι. Πλειστάκις μὲν οὖν συμβέβηκεν ἁλῶναι τὴν Ἰουδαίαν, ὑπό τε Ἀσσυρίων καὶ Αἰγυπτίων, Σύρων τε καὶ Μωαβιτῶν, Ἰδουμαίων τε καὶ τῶν καλουμένων Φυλιστιεὶμ, ἤτοι Παλαιστινῶν. Ἀλλ' ὀλίγα παθοῦσα, καὶ συμμέτροις ἐσθ' ὅτε περιπεσοῦσα συμφοραῖς πάλιν ἀνήνεγκεν ἐπαμύνοντος Θεοῦ, καὶ αὐτοῦ μοτοῦντος τοῦ πλήξαντος. Ἀπόλωλεν δὲ ὁλοτρόπως μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν, καταδηούντων αὐτὴν Οὐεσπασιανοῦ τε καὶ Τίτου. Τότε γὰρ δὴ συμβέβηκεν κατεμπρησθῆναι μὲν πόλεις, ἅπασαν δὲ τῶν ἐνοικούντων κενὴν γενέσθαι τὴν χώραν, καὶ ὑπὸ χεῖρα πεσεῖν τῶν κεκρατηκότων, παμμοχθηρὸν δὲ τὸ ἐνώπιον αὐτῶν ἤγουν ὁρώντων καὶ ἀλγυνομένων, ὑφ' ἑτέροις εἶναι τὴν γῆν κατεσθιομένην τρόπον τινὰ καὶ δαπανωμένην. Τὸ μὲν γὰρ ἀπόντας ἀκοῦσαι μόνον τάχα που φορητὴν αὐτοῖς ἂν ἐνεποίησε τὴν λύπην. Τὸ δὲ καὶ παρόντας ὁρᾷν, εἶτα μηδὲν ἐπαμύνειν δύνασθαι κατηχθῆσθαι δὲ ὥσπερ ταῖς ἐξ ἀνάγκης συμφοραῖς δύσοιστον ἔχει καὶ παμπολὺ τὸ λυποῦν. Δεῖ δὴ οὖν ἡμᾶς μὴ παροργίζειν τὸν ἅγιον τοῦ Ἰσραὴλ, ἵνα μὴ ὁρατοῖς τε καὶ ἀοράτοις περιπίπτωμεν ἐχθροῖς εἰς τὰ τῆς ἀτιμίας καταβιβάζουσι πάθη, καὶ πᾶν ὀχύρωμα τοῦ ἐν ἡμῖν ὄντος νοῦ καταστρέφουσιν, ὡς κατανέμεσθαι τρόπον τινὰ τὴν ἀθλίαν ψυχὴν, καὶ πάντας αὐτῆς δαπανᾷν τοὺς καρποὺς, ἵνα οἷον ξηρά τε καὶ ἄτιμος ᾖ, καὶ ἀκανθοτόκος εὑρίσκηται γῆ, ἧς τὸ τέλος εἰς καῦσιν, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν.

Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ὡς πόλις πολιορκουμένη.

Ἐλεεινὸν τὸ χρῆμα· πῶς γὰρ οὐ θρήνου τε καὶ οἰμωγῆς ἄξιον; ἡ γὰρ πάλαι θυγάτηρ, καὶ τῇ κλήσει τοιᾷδε τετιμημένη, καὶ οἷον ὑπὸ πατρὶ φιλοστοργοτάτῳ πράττουσα τῷ Θεῷ, ἡ φειδοῖ καὶ ἀγάπῃ τῇ παρ' αὐτοῦ μεθύουσα, καὶ ταῖς εἰς λῆξιν εὐκλείαις παρ' αὐτοῦ στεφανουμένη, καὶ κατακρατοῦσα τῶν ἀνθεστηκότων, καὶ ἀμετρήτῳ πληθυῖ τῶν ἐνοικούντων αὐτὴν περιεχομένη, ἡ παμμακαρία καὶ διαβόητος Σιὼν, ἤγουν, Ἱερουσαλὴμ, ἐγκαταλειφθήσεταί φησιν. Τοῦτ' ἔστιν, ἔρημος ἔσται. Γυμνή τε ἀπομενεῖ, καὶ τῆς τοῦ σώζοντος εὐσθενείας, καὶ τῶν ἐνοικούντων αὐτήν. Ἐγκαταλειφθήσεται δὲ οὕτως, ὡσεὶ σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ καὶ ὡς πόλις πολιορκουμένη. Οἱ μὲν γὰρ τῶν ἀμπελώνων τεταγμένοι φύλακες, ἐντεθηλότων αὐτοῖς τῶν βοτρύων ἔτι, πλείστην τε ὅσην ποιοῦνται τὴν ἀσφάλειαν, καὶ τοὺς ἀποκείρειν ἐθέλοντας καταπτύουσι λῃστάς. Καὶ τὰ τῶν θηρίων ἐλαύνουσι γένη. Ἔθος δὲ τοῦτο δρᾷν, καὶ τοῖς τῶν σικυηλάτων ἐπιτηρηταῖς ἤτοι δεσπόταις. Συγκεκομισμένων δὲ τῶν βοτρύων, καὶ πεπατημένων, καὶ τῶν ἐν σικυηλάτοις ἐξῃρημένων, τὸ τῶν φυλαττόντων ἐπιεικὲς ἀνεῖται

[12] Hebr. VI, 8.

A apponatur, non oleum, non alligaturæ? Terram eorum vastatam esse candide et perspicue interpretatur, dicitque urbes incensas, in manuque esse hostium atque adeo alienigenarum, totamque modo non a **8** fundamentis excisam esse. Sæpenumero quidem accidit, ut caperetur Judæa, ab Assyriis et Ægyptiis, Syris et Moabitis, ab Idumæis, et ab his qui Philisthim seu Palæstini vocantur : at levia pertulit, et in mala incidit tolerabilia, et opitulante Deo ipsoque vulnerante percutientem, rursus emersit. Verum post Servatoris crucem Vespasiano ac Tito eam populantibus funditus est deleta. Tunc enim evenit, ut urbes incenderentur, universa etiam regio incolis vacua, vastaque redderetur et in manum victorum recideret, quodque omnium
B miserrimum est, in conspectu ipsorum, ipsis scilicet coram spectantibus, atque dolentibus terram esse aliis subditam, et exesam quodammodo atque consumptam. Nam absentes auribus haurire solum, dolorem afferret fortassis, at tolerabilem : præsentes vero intueri, nec tamen quidquam opis afferre posse, necessariisque quasi ingemiscere calamitatibus, intolerabilius quidem est, et sane quam molestum. Quare non est nobis sanctus Israelis concitandus, ne in hostes tam aspectabiles, quam inaspectabiles incidamus, qui in fœdas perturbationes demergunt, et omne propugnaculum mentis nostræ subvertunt, ut miseram animam depascant quodammodo omnesque ejus fructus absumant, ita ut
C arida quasi ac ignobilis et senticosa terra reperiatur, cujus finis combustio, secundum beati Pauli dictum [12].

VERS. 8. *Derelinquetur filia Sion, ut casa in vinea, ut tugurium in horto cucumerum, ut urbs obsessa.*

Misera res profecto : qui enim non sit lamentis et luctu digna? Nam quæ filia quondam fuit, et tali vocatione ornata, quæ sic egit sub patre indulgentissimo Deo, quæ misericordia et charitate ejus ebria quodammodo facta est, nobilissima sorte ab eo coronata, quæ hostes subjugavit, et innumerabili multitudine incolentium referta et cincta fuit, perbeata illa quidem et percelebrata Sion, Jerusalem videlicet : hæc, inquam, derelinquetur,
D nempe deserta erit, et cum robore corporis, tum incolis suis nudata : et ita derelinquetur, ut casa in vinea, ut tugurium in cucumerario, **9** et ut urbs obsessa. Qui vinearum enim custodiis præficiuntur, racemis jam vigentibus ut in tuto ac securo sint, plurimum adnituntur, et fures, qui decerpere volunt, terrent, et ferarum genera arcent : quod etiam factitare in more est, excubitoribus, seu dominis cucumerariorum. Racemis vero comportatis et calcatis, et fructibus qui in cucumerariis sunt ablatis, sedulitas custodientium in posterum remittitur, et illi, suis relectis umbraculis, liberam irrumpendi potestatem faciunt quibuscun-

que, qui ea perlustrare voluerint. Tale quiddam A et in misera Sion fieri propheticus nos sermo docet. Dum enim adhuc fructus justitiæ haberet, secura munitione et custodia et omni eam misericordia dignatus est Deus. Dixit enim: « Ego ero illi, ait Dominus, murus ignis circumclusus, et gloria ero in medio ejus [14]. » Canit etiam beatus David: « Ecce non dormitabit, nec dormiet, qui custodit Israel [15]. » Quandiu erat Israel, vinea Domini Sabaoth, obvallabatur et sepimento digna judicabatur. Peperit autem spinas, traditaque est a Deo opprimentibus; inquit enim: « Auferam sepem ejus, et erit direptioni: et auferam maceriam ejus, et erit conculcationi, et relinquam vineam meam, et non putabitur, neque fodietur [16]. » Fuisse etiam illam B ab apro silvestri depopulatam, et ab asino agresti depastam, desertamque a Deo vineam ac derelictam, Servator docet hisce verbis: « Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas eos qui mittuntur ad te: quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos suos sub alas, et noluistis.! Ecce relinquitur vobis domus vestra deserta [17]. » Exclamavit et hoc ante per vocem prophetæ, dicens: « Dereliqui domum meam, dimisi hæreditatem meam, dedi dilectam animam in manus inimicorum suorum. Facta est hæreditas mea mihi, ut leo in silva; edidit contra me vocem suam, propterea odi eam [18]. » Josephus item Judaicæ terræ mala tragice amplificans, cum jam in proximo erat ut caperetur Jerusalem, commemorat audi- C visse in templo vocem sacerdotes, velut angelorum in eo clamantium: **10** Migremus hinc. Obsessa vero urbe, modum effugii ab omnibus qui in ea erant, quæsitum fuisse, qui dubium id quiddam esse potest? Hinc conjicere licet, quæ Judaicæ regionis mala fuerint. Nam obsessis ter optabile videbatur, vel vitam conservare: de domo autem et facultatibus, vel etiam de civitate nulla illis omnino cura erat. Sciendum præterea hominis animam derelinqui a Deo multifariam: nisi præscripta recte exsequatur, et Domini oraculis cervicem submittat, pietatisque fructus pariat. [¡Etenim si quis nostrum ab initio probus fuerit,] si nuncupatus filius aut filia Dei, si etiam Sion, hoc est, specula exstiterit, nimirum animo excelso et mente purissima, mysteria D intuente ac considerante: si vero deinde, quæ fas non est perpetrare, et sanctum Israel exacerbare conspiciatur: ab ipso deseretur, ac velut incustodita vinea prodetur Satanæ, et carnis affectibus, omnique virtute vacuus, præclarisque vitæ instituendæ ac conversationis decoribus nudus, omnibus onustus malis efficietur.

λοιπόν· οἷ καὶ αὐτὰς ἀφέντες τὰς ἑαυτῶν σκηνὰς, ἐλευθέραν τοῖς ἐθέλουσι περιεργάζεσθαι τὰ λοιπὰ ποιοῦνται τὴν εἰσβολήν. Πεπράχθαι τι τοιοῦτον καὶ ἐπὶ τῇ ταλαιπώρῳ Σιὼν ὁ προφητικὸς ἡμᾶς διδάσκει λόγος. Ἔτι μὲν γὰρ τοὺς τῆς δικαιοσύνης ἔχουσαν καρποὺς, ἀσφαλείας τε καὶ παραφυλακῆς καὶ φειδοῦς ἁπάσης ἠξίου Θεός. Ἔφη γὰρ ὅτι « Ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κύκλωθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. » Ψάλλει γὰρ καὶ ὁ μακάριος Δαβίδ· « Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. » Ἐπειδὴ δὲ καίτοι γεγονὼς ὁ Ἰσραὴλ, ἀμπελὼν Κυρίου Σαβαὼθ, κεχαράκωται μὲν καὶ ἠξιώθη φραγμοῦ. Τέτοκε δὲ ἀκάνθας, καὶ δέδοται παρὰ Θεοῦ τοῖς ἀδικεῖν εἰωθόσιν, « Καθελῶ γὰρ, φησὶ, τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα, καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ. » Τοιγάρτοι καὶ ἐλυμήνατο αὐτὴν κάπρος ἐκ δρυμοῦ, καὶ ὄνος ἄγριος κατενεμήσατο αὐτὴν, ὅτι δὲ ἀνῆκε τὸν ἀμπελῶνα Θεὸς, καὶ ἐγκαταλέλειπται παρ' αὐτοῦ διδάσκει λέγων ὁ Σωτήρ· « Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτενοῦσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε· ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. » Προανακεκράγει δὲ τοῦτο καὶ διὰ φωνῆς προφήτου λέγων· Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου. Δέδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. Ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ, ὡς λέων ἐν δρυμῷ, δέδωκεν ἐπ' ἐμὲ φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν. » Διαμέμνηται δέ που Ἰώσηπος, ὁ τὰ τῆς Ἰουδαίων γῆς ἐκτραγῳδήσας πάθη. Ὅτι μελλούσης ἁλῶναι τῆς Ἱερουσαλὴμ, ἤκουον οἱ ἱερεῖς ἐν τῷ ναῷ φωνῆς, ὡς τῶν ἐν αὐτῷ βοώντων ἀγγέλων, Μεταβαίνωμεν ἐντεῦθεν. Ὅτι δὲ πόλεως πολιορκουμένης, φυγῆς παρὰ πάντων ζητεῖται τρόπος τῶν ἐν αὐτῇ, πῶς ἔστιν ἀμφιβαλεῖν; ἐντεῦθέν ἐστι τὰ τῆς Ἰουδαίων χώρας διατεκμαίρεσθαι πάθη. Τριπόθητον γὰρ τοῖς πολιορκουμένοις κατεφαίνετο καὶ τὸ μόνην δύνασθαι διασῶσαι ψυχήν. Οἴκου δὲ καὶ περιουσίας ἢ καὶ τῆς πόλεως αὐτῆς οὐδεὶς ἦν αὐτοῖς παντελῶς λόγος. Ἰστέον δὲ ὅτι καὶ τὴν τοῦ ἀνθρώπου ψυχὴν ἐγκαταλείπεσθαι παρὰ Θεοῦ συμβαίνει πολλάκις, εἰ μὴ ἕλοιτο διορθοῦν τὰ διατεταγμένα, καὶ δεσποτικοῖς θεσπίσμασιν ὑποφέρουσα τὸν αὐχένα, τοὺς τῆς εἰς αὐτὸν εὐσεβείας ἀποτίκτει καρπούς. Εἰ καὶ κεχρημάτικεν υἱὸς ἢ θυγάτηρ Θεοῦ, εἰ καὶ γέγονε Σιὼν, ὅ ἐστι σκοπευτήριον, τοῦτ' ἔστιν ἐν ὑψηλῇ διανοίᾳ καὶ νῷ καθαρωτάτῳ καὶ ὁρᾷν εἰδότι μυστήρια. Εἶτα δρῶν, ἃ μὴ θέμις παροτρύνων ὁρῷτο τὸν ἅγιον τοῦ Ἰσραὴλ, ἐγκαταλειφθήσεται παρ' αὐτοῦ, καὶ οἷά τις ἀφρούρητος ἀμπελὼν ἐκδοθήσεται τῷ Σατανᾷ, καὶ τοῖς πάθεσι τῆς σαρκὸς, ἔρημός τε ἁπάσης ἀρετῆς ἀναδειχθήσεται, καὶ γυμνὸς αὐχημάτων τῶν ἐκ πολιτείας ἀγαθῆς, καὶ παντὸς ἀνάπλεως κακοῦ.

VERS. 9. *Et nisi Dominus Sabaoth reliquisset no-*

Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλειπεν ἡμῖν

[14] Zach. II, 5. [15] Psal. CXX, 3. [16] Isa. V, 6. [17] Matth. XXIII, 37, 38. [18] Jerem. XII, 7, 8.

σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γομόῤῥα ἂν ὡμοιώθημεν.

Καταπρησθείσης τῆς χώρας διάτοι τὴν εἰς Χριστὸν ἀσέβειαν, σέσωσται καὶ οὕτω τὸ κατάλειμμα τοῦ Ἰσραὴλ, Θεοῦ κατοικτείροντος, καὶ ταῖς τῶν πατέρων μνήμαις δῶρον καθάπερ τι καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐξαίρετον ἀπονέμοντος. Οὐ γὰρ ἀπόλωλεν ὁλοτρόπως, οὔτε μὴν ἐξ αὐτῶν κατεσείσθη βάθρων, ἀλλὰ μεμένηκεν ἐν λειψάνοις. Ἦσαν γὰρ ἐξ αὐτῶν καὶ οἱ θεσπέσιοι μαθηταὶ, καὶ μὴν καὶ ὅσοι πεπιστεύκασιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Κληθήσονται δὲ καὶ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, καὶ οἱ μήπω πιστεύσαντες. Καὶ πρός γε τοῦτο ἡμᾶς πιστώσεται λόγος προφητικός. Λέγει δὲ οὕτως· « Ἔτι πολλὰς ἡμέρας καθήσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως οὐδὲ ὄντος ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὔτε ἱερατείας οὔτε δήλων. Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν. Καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτου τῶν ἡμερῶν. » Καὶ μὴν καὶ ἑτέρωθι ὁ τῶν ὅλων Θεός· « Τί σε διαθῶ Ἐφραΐμ; Ὑπερασπιῶ σου, Ἰσραήλ; Τί σε διαθῶ; Ὡσεὶ Ἀδάμα θήσομαί σε, καὶ ὡς Σεβωείμ· μετεστράφη ἡ καρδία μου, ἐν τῷ αὐτῷ. Συνεταράχθη ἡ μεταμέλειά μου· οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου. Οὐ μὴ ἐγκαταλείψω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ, διότι ἐγὼ Θεός εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος. » Ἀκούεις ὅπως οὐ κατὰ τὸ μέγεθος τῆς ὀργῆς ποιήσειν κατ' αὐτῶν ἐπηγγείλατο, προὐπισχνεῖτο δὲ μᾶλλον πλημμε . . . .

. . . . ἠπείθησαν μὲν γὰρ καὶ κατὰ τὴν ἔρημον οἱ ἐξ Ἰσραὴλ πρὸς αὐτοῖς γεγονότες τοῖς τοῦ Ἰορδάνου νάμασι, καὶ κληρονομεῖν μέλλοντες τῆς ἐπαγγελίας τὴν γῆν. Ὅθεν ἔφη Θεός· « Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. » Πέπτωκε γὰρ τὰ κῶλα αὐτῶν ἐν τῇ ἐρήμῳ, καὶ ἅπαντες δεδαπάνηνται, πλὴν Χαλὲβ υἱὸς Ἰεφονῆ, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ. Συνεισέβησαν τῷ νέῳ λαῷ, καὶ διῆλθον τὸν Ἰορδάνην, καὶ κλῆρον ἐσχήκασι τὸν παρὰ Θεοῦ. Τύπος δ' ἂν εἶεν οὗτοι τοῦ καταλείμματος τοῦ Ἰσραὴλ, σεσωσμένου μὲν δι' ὑπακοῆς πίστεως τῆς εἰς Χριστὸν, διαβιβασθέντος δὲ μεθ' ἡμῶν τὸν ἅγιον Ἰορδάνην, καὶ κληρονομήσειν μέλλοντος τὴν τῶν οὐρανῶν βασιλείαν. Εὐχαριστεῖ τοιγαροῦν ὁ προφήτης, λέγων· « *Εἰ μὴ Κύριος Σαβαώθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γομόῤῥα ἂν ὡμοιώθημεν.* Λελατρευκότος γὰρ εἰδώλοις τοῦ Ἰσραὴλ, ἀνελόντος δὲ καὶ προφήτας, ἀρνησαμένου τε Χριστὸν, μᾶλλον δὲ καὶ ἀπεκτονότος τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν εἰσάπαν ὄλεθρον καταψηφίσασθαι παντὸς γένους ἐχρῆν τὸν τῶν ὅλων Θεόν. Ἐπειδὴ δέ ἐστιν ἀγαθὸς ὑπὲρ λόγον, τετήρηκε τὸ κατάλειμμα, καὶ οὐ γεγόνασιν ἐν ἴσῳ τοῖς Σοδόμοις, οἱ παγγενεί τε καὶ πανοικεὶ καὶ αὐταῖς . . . .

A *bis semen, essemus ut Sodoma, et quasi Gomorrha similes essemus.*

Incensa regione propter impietatem in Christum, ita tamen reliquiæ Israelis servatæ sunt, miserante Deo; atque hoc quasi beneficium inter cætera eximium memoriæ patrum largiente. Nec enim prorsus interiit, nec ab ipsis fundamentis convulsus est, sed hæsit in reliquiis. Nam ex illis exstiterunt divini discipuli, et quidem quotquot in Dominum nostrum Jesum Christum spem fidemque conjecerunt: tum vocabuntur extremis sæculi temporibus et hi, qui nondum crediderunt. Ad hæc fidem nobis faciet Verbum; quod ita habet: « Quia multos dies sedebunt filii Israelis, sine rege, sine principe, sine sacrificio, sine altari, sine sacerdotio, sine manifestatio-B nibus. Postea revertentur filii Israel, et quærent Dominum Deum suum, et David regem suum, et stupebunt ad Dominum, et super bonis ejus, in novissimis diebus [19]. » Et alicubi universorum Deus: « Quid tibi, » inquit, « faciam Ephraim? Protegam te Israel? Quid tibi faciam? Ut Adama ponam te, **11** et ut Seboim. Conversum est cor meum in ipso, conturbata est pœnitudo mea, non faciam, juxta iram furoris mei, non relinquam ut deleatur Ephraim, quippe ego Deus sum, non homo, in te sanctus.[20] » Audin, quo pacto non pro iræ magnitudine se contra eos facturum polliceatur, at denuntiet ante potius clementiam delinquentibus, ac in paucis reliquiis Israelem remansurum? Quod eodem C etiam modo superiori memoria nobis ostendit. Erant enim Israelitæ increduli in deserto, cum essent prope ipsum rivum Jordanis, jamjamque terram promissionis possessuri, unde Deus: « Sic juravi, » inquit, « in ira mea, Si introibunt in requiem meam [21]. » Ceciderunt membra eorum in deserto; et omnes consumpti sunt præter Calebum filium Jephone, et Jesu filium Nave, qui ingressi sunt una cum populo novo, et transierunt Jordanem, et a Deo sortem consecuti sunt. Figura esse possunt et hi reliquiarum Israelis, quæ per obedientiam fidei in Christum servatæ, trajectoque nobiscum sacrosancto Jordane, etiam regnum cœlorum hæreditario accipient. Gratias itaque agens propheta, dicit: *Nisi Dominus Sabaoth reliquisset nobis semen,* D *essemus ut Sodoma, essemus Gomorrhæ similes.* Nam quoniam idolis servit Israel, eque medio prophetas sustulit, ac negavit Christum, imo potius principem vitæ, vita privavit: omnino totam gentem morte damnare universitatis Deum oportuerat. Cum autem sit supra quam dici potest bonus, residuum servavit, et pari conditione cum Sodomitis non fuerunt, qui cum toto genere ac familia, cum ipsis urbibus igni consumpti sunt. Si qui etiam vitiorum sordibus teneri, peccatoque vix delebili contaminari volunt: his quoque hoc idem accidet; quibus a nobis dici potest non male: « An divitias bonitatis ejus, et patientiæ, et longanimitatis con-

[19] Osee. III, 4, 5. [20] Osee. XI, 8. [21] Psal. XCIV, 11.

temnitis? ignorans quoniam benignitas Dei ad pœnitentiam te adducit? Secundum autem duritiam tuam, et impœnitens cor thesaurizas tibi iram in die iræ et revelationis justi judicii Dei.[22] Omnes enim nos repræsentari oportet apud tribunal Christi, ut referat unusquisque quæ per corpus gessit, sive bonum, sive malum.[23] »

A καὶ δυσαπόνιπτον ἔχειν τὴν ἁμαρτίαν. Καὶ μάλα ὀρθῶς εἰρήσεται πρὸς ἡμῶν· « Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς; ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει. Κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ Θεοῦ. Τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος, τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον. »

VERS. 10-14. *Audite verbum Domini principes Sodomorum, attendite legem Dei, populus Gomorrhæ. Quo mihi multitudinem sacrificiorum vestrorum, dicit Dominus? plenus sum victimis arietum.* **12** *Adipem agnorum et sanguinem taurorum, et hircorum nolo; neque veniatis, ut appareatis mihi. Quis enim quæsivit hæc de manibus vestris? Calcare atrium meum ne perrexeritis. Si afferatis similam, vanum incensum, abominatio mihi est. Neomenias vestras, et sabbata, et diem magnum non fero: jejunium, et otium, festa vestra odit anima mea.*

Ἀκούσατε λόγον Κυρίου ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ λαὸς Γομόῤῥας. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ
B *αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστιν, τὰς Νουμηνίας ὑμῶν, καὶ τὰ σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, νηστείαν καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου.*

Cum futurorum malorum comminatione satis perterruerit, et illis hæc omnino ac certissime eventura, suo tempore, prænuntiaverit, nisi meliora sapere, simulque exsequi, quæ divinæ leges postulant, voluerint: commode transfert sermonem, ostenditque quod in rem est ut meliora cogitare et sentire velint, quo ab impendente pœna liberentur. Nam quia in Christum debacchati sunt Israelitæ, perierunt: et præterea dicimus, eos propter impietatem eorum qui præficiebantur docendi provinciæ, cecidisse. Licet enim illum hæredem esse noverint, interfecerunt tamen: nam ejus vineam, sortem suam facere voluerunt. Quod autem stupidus Israel, principum malignitati obsecutus, a spe in Christum deciderit, confirmat universitatis Deus, voce prophetarum loquens: « Pastores multi corruperunt vineam meam, polluerunt hæreditatem meam, dederunt partem meam desiderabilem in solitudinem inviam, redacta est ad interitum pessimum.[24] » Et rursus: « Quia pastores desipuerunt, et Dominum non quæsierunt, propterea omnis grex non intellexit, et dispersi sunt.[25] » Vere enim desipuerunt pastores, et populo suo interitum accersiverunt. Annon decebat eos potius, utpote per legem ac prophetas Christi mysterium probe doctos, aliis viam ad illi credendum patefacere? Atqui Servator dicit, gloriam eos ab hominibus accepisse, gloriam vero, quæ est a solo Deo, non quæsivisse. Si enim Mosi credidissent, credidissent et illi. De illo enim is scripsit. Facti sunt igitur cæci, et duces cæcorum, itaque præcipitati sunt, et in voraginem exitii corruerunt. Quid ergo conatur propheta bonis eos monitis mutare? Ut melius sapiant, et Servatoris dicto audientes sint. His vero admonitionibus territationem quoque utiliter admiscet:
13 variis quodammodo pharmacis adhibitis, curans

Καταπτοήσας ἀρχούντως ταῖς τῶν ἐσομένων ἀπειλαῖς, καὶ προσαγορεύσας αὐτοῖς, τὰ πάντη τε καὶ πάντως ἐσόμενα κατὰ καιροὺς, εἰ μὴ ἕλοιντο φρονεῖν τε ὁμοῦ τὰ ἀμείνω καὶ δρᾷν, καὶ τοῖς θείοις νόμοις, μεθίστησι τὸν λόγον ἐπὶ καιροῦ, καὶ εἰσηγεῖται τὸ χρήσιμον, ἵνα τὰ βελτίω φρονεῖν ᾑρημένοι, τῆς ἐπηρτημένης αὐτοῖς ἀπαλλάττοιντο δίκης.
C Ἐμπαροινήσαντες γὰρ ἐν Χριστῷ, διολώλασιν οἱ ἐξ Ἰσραὴλ, πεσεῖν τε πρὸς τοῦτο φαμὲν αὐτοὺς, διὰ τὴν τῶν καθηγεῖσθαι λαχόντων ἀνοσιότητα. Καίτοι γὰρ ἐπεγνωκότες, ὅτι αὐτός ἐστιν ὁ κληρονόμος, ἀπεκτόνασιν αὐτόν. Ἤθελον γὰρ ἴδιον ποιεῖσθαι κλῆρον τὸν ἀμπελῶνα αὐτοῦ. Ὅτι δὲ ταῖς τῶν ἡγουμένων δυστροπίαις ἀκολουθῶν, τῆς εἰς Χριστὸν ἐλπίδος διημάρτηκεν ὁ ἀπόπληκτος Ἰσραὴλ πιστώσεται λέγων ὁ τῶν ὅλων Θεὸς, διὰ φωνῆς προφητῶν. « Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν κληρονομίαν μου, ἔδωκαν μερίδα ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον. Ἐγενήθη εἰς ἀφανισμὸν ἀπωλείας. » Καὶ πάλιν· « Ὅτι ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐζήτησαν, διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν. »
D Ἠφρονεύσαντο γὰρ οἱ ποιμένες ἀληθῶς, καὶ τοῖς ὑπὸ χεῖρα λαοῖς ὀλέθρου γεγόνασιν ἀφορμή. Καίτοι πῶς οὐκ ἔδει μᾶλλον αὐτοὺς ὡς διὰ νόμου καὶ προφητῶν τὸ Χριστοῦ μυστήριον μάλα πεπαιδευμένους, ὁδὸν γενέσθαι τοῖς ἄλλοις ἐπὶ τὸ χρῆναι πιστεύειν αὐτῷ; Ἀλλ' ἦ φησιν ὁ Σωτὴρ, δόξαν παρὰ ἀνθρώπου ἐλάμβανον, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου τοῦ Θεοῦ οὐκ ἐζήτουν. Εἰ γὰρ ἐπίστευον Μωσῇ, ἐπίστευον ἂν αὐτῷ, περὶ γὰρ αὐτοῦ ἐκεῖνος ἔγραφεν. Γεγόνασι τοίνυν τυφλοὶ καὶ τυφλῶν ὁδηγοί. Ταύτῃ τοι καὶ διωλισθήκασι, καὶ εἰς τοὺς τῆς ἀπωλείας πεπτώκασι βόθρους. Τί οὖν ὁ προφήτης ἀγαθαῖς αὐτοὺς νουθεσίαις μετασκευάζειν πειρᾶται; πρὸς τὸ δεῖν ἑλέσθαι τὰ ἀμείνω φρονεῖν, καὶ τοῖς τοῦ Σωτῆρος πειρᾶσθαι λόγοις. Ἀναμίσγει δὲ χρη-

[22] Rom. II, 5. 6. [23] II Cor. V, 10. [24] Jerem. XII, 10. [25] Jerem. X, 21.

σίμως ταῖς εἰς τοῦτο νουθεσίαις τὴν ἐπίπληξιν, μονονουχὶ ποικίλως ἐσκευασμένῳ φαρμάκῳ, τὰ τῆς ἐν αὐτοῖς δυσβουλίας θεραπεύων τραύματα. Ταύτῃ τοι, φησὶν, ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας. Ἀκούεις ὅπως δήμοις καὶ ἄρχουσι τὴν ἐξ ἀγάπης ὁμοῦ καὶ θεοφιλοῦς φρονήματος ἐπιφέρει ῥάβδον, καὶ πλήττει πολὺ νοσοῦντας τὸ ἀπειθές. Πόλεσι δὲ ταῖς δυσσεβεστάταις παρεικάζει τὴν Ἱερουσαλὴμ, ὡς πλείστης μὲν ὅσης ἀνάμεστον ἁμαρτίας, καὶ ὡς οὐδένα παντελῶς ἔχουσαν ἐν ἑαυτῇ . . . . ἐβουλεύετο μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς τὰς τῶν Σοδομιτῶν κατεμπρῆσαι πόλεις, καὶ ἀνεκοινώσατο τὸ χρῆμα τῷ Ἀβραάμ· ὁ δὲ πρὸς αὐτόν. « Μὴ ἀπολέσῃς δίκαιον μετ' ἀσεβοῦς; καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής; » Ἐπηγγέλλετο δὲ Θεὸς, εἰ εὑρεθεῖεν ἐν Σοδόμοις δέκα δίκαιοι, τῆς ἐπ' αὐτοῖς καταπλήξειν ὀργῆς. Ἀλλ' οὐχ ηὕρηνται. Τοιγάρτοι καὶ ἐκτετίκασι, τὰς τοῖς ἑαυτῶν δυσσεβήμασιν ἰσομέτρους δίκας. Τοιαύτη τις ἦν ἡ κυριοκτόνος Ἱερουσαλὴμ πολλὴν ἔχουσα τῶν δικαίων τὴν σπάνιν. Καὶ γοῦν ἐλιπάρει μὲν ὁ προφήτης Ἱερεμίας περὶ αὐτῆς. Ἔφη δὲ Θεός· « Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ἴδετε, καὶ γνῶτε, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, ἐὰν εὕρητε ἄνδρα, εἰ ἔστι ποιῶν κρῖμα, καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτῇ, λέγει Κύριος. » Ὅτι τοίνυν, ῥυπῶσά τε, καὶ τοῖς ἐν φαυλότητος μολυσμοῖς πολυτρόπως κεκηλιδωμένη, καὶ πολλὴν ἔχουσα τῶν ἁγίων τὴν σπάνιν, Σόδομά τε αὐτὴν καὶ Γομόρρα καλεῖ, λαοῖς τε καὶ ἡγουμένοις, τῆς Σοδομιτῶν ἀκαθαρσίας ἐπιφέρει τὸν μῶμον. Τί δὲ δὴ καί φησιν; ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ λαὸς Γομόρρας. Ἀνανήψατε, φησὶν, βραχύ. Καὶ ταῖς τοῦ πανσόφου Μωσέως φωναῖς, τῆς ἑαυτῶν διανοίας τὸν ὀφθαλμὸν ἐνιδόντες, τὸ Χριστοῦ νοεῖτε μυστήριον. Ἔφη γὰρ ὁ Μωσῆς· « Ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. » Ἀκούσατε τοίνυν λόγον Κυρίου, προσέχετε τὸν τοῦ Θεοῦ νόμον· τοῦτ' ἔστι, νοήσατε καὶ αὐτοὶ τῶν εὐαγγελικῶν θεσπισμάτων τὴν δύναμιν. Τοῦτο προστέταχεν ὁ Μωσῆς; παιδαγωγεῖ γὰρ ἐπὶ Χριστὸν, καὶ τῶν νομικῶν θεσπισμάτων τὸ πέρας εἰς τὸ ἐπ' αὐτῷ βλέπει μυστήριον. Ἀλλ' οἴεσθε, φησὶν, εὐαρεστεῖν τῷ Θεῷ, διὰ τοῦ πληροῦν ἐθέλειν τὰ ἐν τύποις καὶ σκιαῖς. Ἀκούσατε λέγοντος τοῦ καὶ αὐτὸν ὑμῖν τὸν πάλαι λαλήσαντος νόμον. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος. Πλήρης εἰμί. Εἰ μὲν γὰρ ὡς δεομένῳ προσάγετε, πεπλάνησθε τοῦ εἰκότος, σοφοῦ τε καὶ ἀληθοῦς διημαρτήκατε λογισμοῦ. Ἐνδεῖ γὰρ ὅλως οὐδὲν τῇ τὰ πάντα πληρούσῃ φύσει, ὅτι αὐτῆς τὰ πάντα, καὶ παρ' αὐτῆς τοῖς ἄλλοις. « Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες. » Πρέποι ἂν λέγεσθαι τῇ φύσει κτίσει. Ἀπέχω γὰρ νῦν, φησὶν, καὶ πεπλήρωμαι, καὶ οὐκ ἂν ἑλοίμην ἔτι τὰς παρ' αὐτῶν θυσίας. Ὀνή-

A in illis hæc stultitiæ vulnera. Ideoque dicit : Audite sermonem Domini, principes Sodomorum, attende legem Dei, populus Gomorrhæ. Audisne quomodo plebi et principibus ex amore simul et pio affectu virgam inferat, et inobedientiæ morbo corruptos feriat ? Urbibus autem perditissimis et maxime impiis Jerusalem comparat, ut multis coopertam vitiis, nec quidquam plene in se habentem, unde verisimile esset posse eam minarum vim impetumque effugere. Voluit enim universitatis Deus urbes Sodomitanorum incendere, remque cum Abrahamo communicavit. Cui ille : « Nunquid perdes justum cum impio? Et erit justus perinde ut impius [26]? » Promisit autem Deus, si in Sodomis decem justi invenirentur, se ab ira destiturum. Atqui non sunt inventi : itaque B dignas ac suis flagitiis pares pœnas dederunt. Talis quoque fuit hæc Jerusalem Domini interfectrix, in qua magna erat justorum hominum penuria. Nam cum pro ea Jeremias propheta supplicaret, dixit Deus : « Circumcursate in viis Jerusalem et videte, et cognoscite, perque plateas ejus conquirite, si quem comperietis virum, qui jus faciat et fidem quærat, et propitius ero illi, dicit Dominus [27]. » Quia ergo inquinata esset, et in scelerum sordibus multifariam volutata, magnaque laboraret sanctorum inopia, Sodomam vocat eam, et Gomorrham, et cum populo tum principibus Sodomiticæ impuritatis labem aspergit. Quid enim ait? Audite verbum Domini, principes Sodomorum, attende legem Dei, popule Gomorrhæ. Evigilate, inquit, parumper, C et sapientissimi Mosis verbis oculo mentis vestræ intento, Christi mysterium intelligite. Dixit quippe Moses : « Prophetam excitabit vobis Dominus Deus vester, ex fratribus vestris similem mei. Ipsum audietis in omnibus quæcunque locutus fuerit vobis [28, 29]. » Audite igitur verbum Domini, attendite legem Dei, id est, intelligite etiam ipsimet angelicorum oraculorum vim. Hoc Moses præcepit, pædagogus enim est ad Christum, et finis legalium oraculorum pertinet ad hoc de illo mysterium. » Vel legem Dei, reprehensionem dicit (1). « Verum existimatis, inquit, vos pulchre placere Deo, quod 14 typica et umbratica implere studeatis. Audite eum loquentem antiquam legem, vobisque dicentem, D Quorsum mihi multitudo sacrificiorum vestrorum? dicit Dominus. Plenus sum. Nam si tanquam egenti offertis, jam ab officio recessistis, et a considerata veraque ratione aberrastis. Omnino enim nihil deest ei naturæ, quæ complet omnia, quia ejus sunt omnia, et ab ea aliis suppeditatur. « Quid enim habes, quod non accepisti? [30] » Id enim merito dici poterit creaturæ. Fastidio enim nunc, inquit, et plenus sum : nec cuperem ab illis sacrificia amplius. Quid? dic mihi, ecquid proderit universitatis Deo aries sacrificatus? Ecquid proderit agnorum adeps? Et si taurorum et hircorum sanguis offeratur,

[26] Gen. XVIII, 25. [27] Jerem. V, 1. [28, 29] Deut. XVIII, 15. [30] I Cor. IV, 7.

(1) Desunt hæc verba in Græco cod.

quam voluptatem ex istis caperet Deus? Quis exegit hæc de manibus vestris? Etsi enim Moses locutus est de victimis et hostiis, ea tamen cultus ratio antiquitus Deo minime fuit accepta. Nimirum quia per figuram et umbram ad veritatem erudiri oportebat, legalia constituta sunt usque ad tempus instaurationis, nec ita tamen constituta, quasi vere Deo grata. Nec omnino et absolute de sacrificiis legalibus est locutus : at quia infirma mens erat eorum, qui hisce rudimentis tunc instituebantur, per typum et umbram ad veritatem quasi manu ducebantur. Sed adventante tempore, quo veritatis pulchritudinem oportebat enitescere, typus irritus est, umbra inutilis. Ideo ait : Calcare atria mea ne perrexeritis. Si obtuleritis similaginem, inane incensum est, abominatio mihi est. Nos enim fide in Christum illustrati, spirituales hostias Deo offerentes, sancta ejus implemus atria, nimirum ecclesias. Christus autem in ecclesiis Judaici cultus ritum minime recipit. Nam qui similaginem oleo maceratam et incensum cadens sub sensum offerre volent, neutiquam admittentur. Meminimus enim de eo locutum esse Deum : Abominatio est mihi. Et nos quidem certe sacrosancta in Christo festa celebramus. At Judæi a typicis significationibus non recedentes, in Neomeniis tubas inflant, diem feriatum putant esse Sabbatum, et diem quæ magna dicitur, colunt. Ea vero est festi, quod tabernaculorum fixio vocatur, dies extrema. Etiamsi Deo jejunent, pugnis humiliter se verberant. Quamobrem audiant ipsum dicentem : **15** Festa vestra odit anima mea. Hæc autem dicit, quo a typis ad veritatem traducat, persuadeatque ut Christi oraculis cervicem mentis supponant, ut nobiscum evangelice versentur, et suavitate odorum spiritalium Deum permulceant, quasique thymiama spirituale ei consecrent morum modestiam, charitatem, mutuum amorem, patientiam, temperantiam, et ante alia, fidem. His hostiis placatur Deus, et evangelicorum vaticiniorum virtus his ornamentis coronat credentes.

A σει γὰρ ὅπως, εἰπέ μοι, τὸν τῶν ὅλων Θεὸν κριὸς ὡλοκαυτωμένος; τί δὲ τὸ τῶν ἀρνῶν ἥσει στέαρ; εἰ δὲ δὴ καὶ τράγων καὶ ταύρων αἷμα προσφέροιτο, πῶς ἡσθείη διὰ τοῦτο Θεός; τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; εἰ γὰρ καὶ λελάληκεν ὁ Μωσῆς περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν, ἀλλ' ἦν καὶ πάλαι τῆς τοιᾶσδε λατρείας ὁ τρόπος ἀβούλητος τῷ Θεῷ. Ἐπειδὴ δὲ διὰ τύπου καὶ σκιᾶς παιδαγωγεῖν ἔδει πρὸς ἀλήθειαν μέχρι καιροῦ διορθώσεως τέθειται τὰ ἐν νόμῳ, οὐκοῦν ὅσον ἧκεν εἴς γε τὸ ἀληθὲς ἀρέσκειν τῷ Θεῷ· οὐδ' ἂν ὅλως ἐλάλησε περὶ θυσιῶν τῶν κατὰ νόμον. Ἐπειδὴ δὲ τῶν τὸ τηνικάδε παιδαγωγουμένων ἀσθενὴς ἦν ὁ νοῦς, κεχειραγώγηντο διὰ τύπου καὶ τῆς κατὰ τὸ γράμμα σκιᾶς εἰς ἀλήθειαν. Ἐνεστηκότος δὲ τοῦ καιροῦ, καθ' ὃν ἔδει τὸ λοιπὸν τὸ τῆς ἀλη- B θείας ἐκφαίνεσθαι κάλλος, περιττὸς ὁ τύπος, ἀνόνητος ἡ σκιά. Ταύτῃ τοι φησὶν, ὅτι πατεῖν τὴν αὐλῶνά μου οὐ προσθήσεσθε. Ἐὰν φέρησθε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστιν. Ἡμεῖς μὲν γὰρ οἱ πίστει τῇ εἰς Χριστὸν ἐκλελαμπρυσμένοι, τὰς πνευματικὰς θυσίας προσκομιοῦντες τῷ Θεῷ, τὰς ἁγίας αὐτοῦ πληροῦμεν αὐλὰς, τοῦτ' ἔστιν ἐκκλησίας. Ἀπαράδεκτος δὲ παρὰ Χριστοῦ παντελῶς ἐν ἐκκλησίαις τῆς Ἰουδαϊκῆς λατρείας ὁ τρόπος. Εἰσδεχθεῖεν γὰρ ἂν ἥκιστά γε σεμίδαλιν ἐλαιόδευτον, καὶ τὸ αἰσθητὸν θυμίαμα προσάγειν ἐθέλοντες. Μεμνήμεθα γὰρ Θεοῦ λέγοντος περὶ αὐτοῦ. Βδέλυγμά μοί ἐστιν. Καὶ ἡμεῖς μὲν τὰς ἁγίας ἐπὶ Χριστῷ τελοῦμεν ἑορτάς. Ἰουδαῖοί γε μὴν τῶν ἐν τύποις οὐκ ἐξιστάμενοι, σαλπίζουσιν ἐν Νεομηνίας ἡμέρᾳ, ἀργὸν C ἡγοῦνται τὸ Σάββατον, καὶ τὴν καλουμένην μεγάλην τιμῶσιν ἡμέραν. Ἔστι δὲ αὕτη τῆς ἑορτῆς τῆς καλουμένης σκηνοπηγίας ἡ τελευταία, κἂν εἰ νηστεύσειαν τῷ Θεῷ, τύπτουσι πυγμαῖς ταπεινόν. Οὐκοῦν ἀκουέτωσαν λέγοντος αὐτοῦ. Τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. Ταῦτα δέ φησι μεθιστὰς ἐκ τύπων ἐπὶ τὸ ἀληθὲς, καὶ τοῖς διὰ Χριστοῦ θεσπίσμασιν ὑποφέρειν ἀναπείθων τὸν τῆς διανοίας αὐχένα, ἵνα πολιτεύοιντο μεθ' ἡμῶν εὐαγγελικῶς. Ταῖς νοηταῖς εὐοσμίαις κατευφραίνοντες Θεόν. Καὶ ὥσπερ τι θυμίαμα πνευματικὸν ἀνατιθέντες αὐτῷ τὸ ἐπιεικὲς εἰς τρόπους, τὴν ἀγάπην, τὴν φιλαλληλίαν, τὴν ὑπομονὴν, τὴν ἐγκράτειαν, καὶ πρό γε τῶν ἄλλων τὴν πίστιν. Τοιαύταις θυσίαις εὐαρεστεῖται Θεὸς, καὶ τῶν εὐαγγελικῶν θεσπισμάτων ἡ δύναμις τοῖς τοιούτοις αὐχήμασιν, τοὺς πιστεύοντας στεφανοῖ.

VERS. 15. *Facti estis mihi in satietatem, nequaquam ultra dimittam peccata vestra. Cum manus expanderitis ad me, avertam oculos meos a vobis. Et si orationem multiplicetis, non exaudiam vos. Manus enim vestræ plenæ sunt sanguine.*

Quæ res satietatem et nauseam pariunt, fastidiri debent, et omnino parvi fiunt, imo in odium veniunt. Siquidem sapientissimus Salomon, inquit : « Tarde infer pedem tuum ad amicum tuum, ne satur tui oderit te [21]. » Dicit itaque universitatis Deus Judæis : Exsaturatus sum exsoleta umbra, vosque molestos mihi esse duco, si ingrediamini ad comparandum coram me. Aversor etiam solum con-

D *Ἐγενήθητέ μοι εἰς πλησμονὴν, οὐκ ἔτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. Καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ ἀκούσομαι ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.*

Τὰ εἰς πλησμονὴν ἤτοι κόρον ἥκοντα τῶν πραγμάτων καταφρονεῖσθαι φιλεῖ, καὶ ὀλίγου παντελῶς ἀξιοῦται λόγου, μᾶλλον δὲ ἤδη καὶ διὰ μίσους ἔρχεται. Καὶ γοῦν ὁ σοφώτατος Σολομὼν, « Βραδέως εἴσαγε, φησὶ, σὸν πόδα πρὸς τὸν φίλον, ἵνα μὴ πλησθείς σου μισήσῃ σε. » Ἔφη τοίνυν Ἰουδαίοις ὁ τῶν ὅλων Θεὸς, κατακεκόρεσμαι τῆς ἑώλου σκιᾶς, ἡγοῦμαι δὲ ἤδη φορτικοὺς, κἂν εἰσέρχησθε ὀφθῆναί μοι. Παρ-

[21] Prov. XXV, 17.

αἰτοῦμαι δὲ καὶ μόνην ὑμῶν τὴν θέαν· οὐκ ἔτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Πάλαι μὲν γὰρ οἱ ἐξ Ἰσραὴλ ἀνοσίως ἀπονενευκότες ἐπὶ τὸ ἐλέσθαι δεῖν τὸν τῶν ὅλων Θεὸν παροτρύνειν ἐφ' ἑαυτοὺς, διὰ τοῦ λατρεύειν τῇ κτίσει, προσκυνεῖν δὲ καὶ αὐτοῖς τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, δέδονται τοῖς Βαβυλωνίοις καὶ ἀπεκομίσθησαν τῆς Ἰουδαίας αἰχμάλωτοι, καὶ κατῳκήκασιν ἐν τοῖς ὅρεσιν Περσῶν καὶ Μήδων, πικρὰν καὶ δύσοιστον ἀνατλάντες δουλείαν. Ἐπειδὴ δὲ αὐτοῖς ἑβδομηκοστὸν ἔτος τετέλεσται, κατηλέει πάλιν ὁ φιλοικτίρμων Θεός. Καὶ γοῦν ὡς ἐν τῷ Ζαχαρίᾳ γέγραπται, τὰς ὑπὲρ αὐτῶν ἐποιεῖτο λιτὰς ὁ μακάριος ἄγγελος, λέγων· « Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσεις τὴν Ἱερουσαλὴμ, καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερίδες; τοῦτο ἑβδομηκοστὸν ἔτος· » καὶ πρός γε ταῦτα Θεός· « Ἐζήλωσα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ' ὧν ἐγὼ μὲν ὀργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. Οὐκοῦν ἀνῆκε μὲν τότε τὰς ἁμαρτίας αὐτῶν, λελύτρωται γὰρ, καὶ ἀνεκομίσθη πάλιν εἰς τὴν ἑαυτῶν. Μετὰ δέ γε τὸν τοῦ Σωτῆρος σταυρὸν, οὐκέτι τὰς ἁμαρτίας αὐτοῖς ἀνήσειν ἐπαγγέλλεται, διά τοι τὸ μακροὺς ἐφ' ἑαυτοῖς διαγενέσθαι καιροὺς, καθὼς μεμενήκασι τοῖς ἐξ ὀργῆς κινήμασιν ὑπενηνεγμένοι. Ὅτι μὲν γὰρ ἐν ἐσχάτοις ἐλεηθήσονται καιροῖς, τῇ εἰς Χριστὸν χάριτι μεθ' ἡμῶν δικαιούμενοι, διεκήρυξε τὸ γράμμα τὸ ἱερὸν, ἐπειδὴ δὲ, ὡς ἔφην, πολὺ τῶν πάλαι μακρότεροι γεγόνασιν ἐπ' αὐτοὺς οἱ τῆς ὀργῆς χρόνοι. Ταύτῃ τοί φησιν· Οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν, καὶ καθ' ἕτερον δὲ, εἰ βούλει, τρόπον, τῇ τῶν προκειμένων ἐννοίᾳ προσβαλεῖς. Προσεκόμιζον θυσίας κατὰ τὸν πάλαι νόμον οἱ ἐξ Ἰσραὴλ, τὰς ὑπέρ γε τῶν ἰδίων πλημμελημάτων. Ἔριφος δὲ καὶ ἀμνὸς ἐσφάζετο, καὶ συνεχώρει Θεός. Οὐκ ἀνικάνως ἔχοντος καὶ πάλαι τοῦ νόμου βοηθεῖν ἀρχαιοτέροις, ἐμορφοῦτο γὰρ ἐν αὐτῷ τὸ Χριστοῦ μυστήριον. Ἐπειδὴ δὲ ἐπέφανεν ὁ Χριστὸς, ἀπρακτεῖν ἔδει λοιπὸν τὴν ἐν τύπῳ κάθαρσιν, ὡς τῆς ἀληθείας ἤδη παρούσης. Ὅτι τοίνυν οὐκ ἀρκέσει πρὸς ἄφεσιν αὐτοῖς ἡ νόμου σκιὰ τὴν διὰ Χριστοῦ λύτρωσιν, οὐ προσιεμένοις, διδάσκει, λέγων· Οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Οὔπω μὲν γὰρ παρούσης τῆς ἀληθείας, φησὶν, συγκεχώρηκα τοῖς τύποις ὠφελεῖν δύνασθαι τοὺς ἐνόχους ἁμαρτίαις, αἰδοῖ τῇ πρὸς τὴν ἀλήθειαν καὶ τοῦτο ποιῶν, παρούσης δὲ ἤδη καὶ ἀναδεδειγμένης, ἀδρανὴς ὁ τύπος, ἀνόνητος ἡ σκιά. Καὶ ἀνήσω μὲν οὐκέτι τὰς ἁμαρτίας ὑμῶν, ἐπαιρόντων δὲ τὰς χεῖρας, ἀποστρέψω τοὺς ὀφθαλμούς μου, κἂν εἰ πλείστας ὅσας ποιεῖν ἔλοισθε τὰς λιτὰς, οὐκ εἰσδέξομαι. Ἆρ' οὖν ἀπέστη τοῦ εἶναι χρηστὸς ὁ τῶν ὅλων δημιουργός; ἤγουν ἐπελάθετο τοῦ οἰκτειρῆσαι Θεός; οὐδαμῶς, φησὶν, εἰμὶ γὰρ, εἰμὶ χρηστός τε καὶ ἀγαθὸς καὶ φιλοικτίρμων, μόνον δὲ οὐχὶ ἄκων ἀποστρέφω τοὺς ὀφθαλμούς. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. Ἀκούεις ὅπως τὸ τῆς μιαιφονίας αὐτοῖς εἰσκεκόμικεν ἔγκλημα, σιωπήσας τὰ ἕτερα τῶν πταισμάτων; καίτοι πολλοῖς

[22] Zachar. I, 12-15.

A spectum vestri, non remittam amplius peccata vestra. Olim enim Israelitæ cum impie descivissent, ita ut universitatis Deum in se exacerbarent, creaturam colendo, ipsaque opera manuum suarum adorando, traditi sunt Babyloniis, et ex Judæa abducti sunt captivi, et in Persarum atque Medorum finibus habitaverunt, acerbam ac non ferendam servitutem subeuntes. Exacto demum septuagesimo anno, iternm misericors Deus commiseratus est. Siquidem ut in Zacharia scriptum est, preces supplices pro illis fudit beatus angelus, dicens: « Domine omnipotens, quousque tu non misereberis Jerusalem, et urbium Juda, quas despexisti? Hic annus est septuagesimus. » Et ad hæc Deus: « Zelatus sum Jerusalem et Sion, zelo magno, et ira B magna irascor super gentes quæ una conspirant. Pro eo quod ego iratus sum parum, ipsi una conspirarunt ad mala [22]. » Itaque tum remisit illorum peccata; liberatus **16** enim est; et denuo in suam ipsorum terram reductus. Post crucifixionem denique Servatoris, non amplius se peccata remissurum denuntiat, propterea quod in illis perseverarent longo tempore, quo quidem intervallo manserunt iræ ejus furori et ictui obnoxii. Quod tamen novissimis temporibus misericordiam consequerentur, gratia in Christum nobiscum justificati, sacræ Litteræ prædicant; sed, ut dixi, longe diutius quam ante, iræ tempus duravit; idcirco dicit: Non amplius remittam peccata vestra. Addas autem si placet et aliud C huic sententiæ. Israelitæ ex veteri ritu instituloque legis sacrificia offerebant, pro suis delictis, hædus autem et agnus mactabatur, et indulgebat Deus. Quippe cum vetus etiam lex non inefficax fuerit ad opitulandum majoribus, delineabatur enim in ea Christi mysterium. Quando vero apparuit Christus, enervem esse oportebat deinceps legalem purificationem, utpote cum jam adesset veritas. Non ergo satis esse ad remissionem legis umbram, illis Christi redemptionem non amplectentibus, docet, inquiens: Non remittam amplius peccata vestra. Veritate enim, inquit, nondum præsente, concessi, ut typi juvare possent peccatis implicitos, ipsius veritatis reverentia etiam hoc faciens, qua præsente jam ac demonstrata, imbecillis figura est, et umbra D parum efficax. Et non remittam amplius peccata vestra; sed si expanderitis manus, avertam oculos meos, et si preces multiplicaveritis, non suscipiam. Ergone desiit esse benignus hic universitatis opifex? Ergone oblitus est misereri Deus? Nequaquam, inquit: Sum enim, sum et humanus, et bonus, et misericors, tantum non invitus avertens oculos. Manus siquidem vestræ plenæ sunt sanguine. Audisne eum cæteris criminibus præteritis, cædis dicam impingere? Tametsi pluribus eos vitiis implicatos esse deprehendimus. Nam audiverunt: Væ genti improbæ, populo vitiis onusto, semini malefico,

illis perditis. Cum vero etiam prophetas trucidarint, A ipsique Christo, omnium nostrum Servatori impias manus attulerint: hinc et quidem jure optimo gravissimam accusationem et ad condemnandum satis capitalem illis intendit, dicens: Manus vestræ plenæ sunt sanguine. Avertit autem faciem Deus, et Pater, **17** quippe non sustinens videre manus homicidarum filii sui sanguine rubentes.

αἰτιάμασιν ἐνόχους ὄντας εὑρήσομεν. Ἤκουον γάρ, Οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι. Ἐπειδὴ δὲ ἀπεκτόνασι τοὺς προφήτας, καὶ αὐτῷ τὰς ἀνοσίους ἐπήγαγον χεῖρας τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ, ταύτῃ τοι καὶ μάλα εἰκότως τὸ παγχάλεπον ἔγκλημα, καὶ τὸ εἰς πᾶσαν κατάκρισιν ἀρκοῦν αὐτοῖς ἐπιφέρει, λέγων· Αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις. Ἀποστρέφει δὲ τὸ πρόσωπον ὁ Θεὸς καὶ Πατὴρ, ὡς ὁρᾷν οὐκ ἀνεχόμενος τῷ αἵματι τοῦ Υἱοῦ πεφοινιγμένας ἔτι τῶν μιαιφόνων τὰς χεῖρας.

Vers. 16. *Lavamini, mundi estote.*

Peccatis in memoriam revocatis, eos despondere animum non sinit, sed gratiam ex bonitate et clementia profectam percommode infert, nec fraudat eos beneficio, quod per Christum omnibus per uni- B versum terrarum orbem est propositum. « Omnes enim declinaverunt, simul inutiles facti sunt [33]. » Et obnoxius factus est mundus Deo, quia gentes creaturam coluerunt, Israelitæ legem sibi per Mosem datam violarunt. Cæterum gentibus illuxit Christus, et ad mirabilem ejus lucem vocatæ sunt, et qui non populus quondam, facti sunt populus. Judæi autem miseri in ipsum debacchati sunt, et Principem vitæ neci dederunt impie, etiamsi rursus ut Deus revixit. Quia vero bonus est, et omnes homines servari vult, et ad agnitionem veritatis venire, illisque adeo viam salutis patefacere: eos quoque jubet peccata abjicere, justificatos gratis et non ex operibus legis, imo magis per fidem et sacrum baptisma, ideoque ait: « Lavamini, mundi estote. » C Quod vetus lex etiam illis per umbras figuravit, et gratiam per sacrum lavacrum ante prædicavit. Dixit enim alicubi Deus ad sacerdotem Mosem: « Accipe Levitas de medio filiorum Israel, et purificabis eos, et sic facies ipsis purificationem eorum. Asperges eos aqua purificationis, et superveniet novacula super totum corpus eorum, et lavabunt vestes suas, ac mundi erunt [34]. » Dein cujusmodi sit aqua purificationis, Paulus sapientissimus docebit hisce verbis: « Si enim sanguis hircorum et vitulorum, et cinis juvencæ aspersus inquinatos sanctificat ad carnis emundationem: quanto magis sanguis Christi [35]? » Quocirca carnalem quidem lex emundationem D per aquam purificationis effecit: Christus autem per baptismum omnes sordes animi detergit. Baptizati enim sumus Spiritu sancto et igne, qui excoquit omne vitii genus in nobis et colliquefacit quodammodo, et ut inutilem materiam, quasique quisquilias absumit. Nam hoc ignis opus est et proprium. Planum facit hoc B. Paulus, dicens: « Per fidem divinitus admonitus Noe aptavit arcam in salutem domus suæ [36], » in qua paucæ hoc est, **18** octo animæ conservatæ sunt in aqua: « cujus figura baptismus, nunc servat nos, qui non est carnis sordium depositio, sed conscientiæ bonæ interrogatio in Deum [37]. » Quod Judaicum populum facere monet, dicens: « Lavate, mundi estote: » hoc est,

Λούσασθε, καθαροὶ γίνεσθε.

Πάλιν αὐτοὺς εἰς ἀνάμνησιν τῶν ἠσεβημένων αὐτοῖς ἐνεγκὼν ἀπογινώσκειν οὐκ ἐᾷ. Ἐπιφέρει δὲ χρησίμως τὴν ἐξ ἡμερότητος χάριν. Καὶ οὐκ ἐξείργει τῆς δωρεᾶς τῆς προτεθείσης διὰ Χριστοῦ τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανόν. « Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. » Καὶ ὑπόδικος γέγονεν ὁ κόσμος τῷ Θεῷ, τῶν μὲν ἐθνῶν τῇ κτίσει λελατρευκότων, τῶν γε μὴν ἐξ Ἰσραὴλ τὸν διὰ Μωσέως αὐτοῖς δοθέντα παραβεβηκότων νόμον. Ἀλλ' ἐπέλαμψεν ὁ Χριστὸς τοῖς ἔθνεσι, καὶ κέκληται πρὸς τὸ θαυμαστὸν αὐτοῦ φῶς· καὶ ὁ ποτὲ οὐ λαὸς, γεγόνασι λαός. Ἰουδαῖοί γε μὴν οἱ τάλανες πεπαροινήκασιν εἰς Χριστὸν, καὶ ἀρχηγὸν ὄντα τῆς ζωῆς ἀπεκτόνασιν ἀνοσίως, εἰ καὶ ἀνεβίω πάλιν ὡς Θεός. Ἐπειδὴ δέ ἐστιν ἀγαθὸς, καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν ἀνευρύνει καὶ αὐτὸς τὴν τῆς σωτηρίας ὁδὸν καὶ ἀποχρούεσθαι κελεύει τὰ ἐγκλήματα, δικαιουμένου δωρεὰν καὶ οὐκ ἐξ ἔργων νόμου. Μᾶλλον δὲ διὰ τῆς πίστεως, καὶ τοῦ ἁγίου βαπτίσματος, ταύτῃ τοι φησί· « Λούσασθε, καθαροὶ γένεσθε. » Τοῦτο καὶ ὁ πάλαι νόμος αὐτοῖς ὡς ἐν σκιαῖς διετύπου, καὶ προανεκήρυττε τὴν χάριν τὴν διὰ τοῦ ἁγίου βαπτίσματος. Ἔφη γάρ που Θεὸς, πρὸς τὸν ἱεροφάντην Μωσέα· « Λάβε τοὺς Λευΐτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ, καὶ ἁγνιεῖ αὐτοὺς, καὶ οὕτως ποιήσεις αὐτοῖς τὸν ἁγνισμὸν αὐτῶν. Περιῤῥανεῖς αὐτοὺς ὕδωρ ἁγνισμοῦ, καὶ ἐπελεύσεται ξυρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν. Καὶ πλυνοῦσι τὰ ἱμάτια αὐτῶν, καὶ καθαροὶ ἔσονται. » Εἶτα ποῖον ἔτι τὸ ὕδωρ τοῦ ἁγνισμοῦ διδάξει λέγων ὁ σοφώτατος Παῦλος· « Εἰ γὰρ τὸ αἷμα τράγων καὶ μόσχων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα Χριστοῦ; » Οὐκοῦν σαρκικὴν μὲν ὁ νόμος ἐποιεῖτο τὴν κάθαρσιν διὰ τοῦ ὕδατος τοῦ ἁγνισμοῦ. Διασμήχει δὲ ὁ Χριστὸς διὰ τοῦ ἁγίου βαπτίσματος, πάντα ῥύπον ἡμῶν ψυχικόν. Βεβαπτίσμεθα γὰρ ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, πᾶν εἶδος τῆς ἐν ἡμῖν φαυλότητος μονονουχὶ συντήκοντος, καὶ ὡς ἄχρηστον δαπανῶντός τινα συρφετὸν ὕλην· ἔργον γὰρ τοῦτο πυρός. Τοῦτό τοι καὶ ὁ μακάριος Παῦλος διασαφεῖ, λέγων· « Πίστει χρηματισθεὶς Νῶε κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, » εἰς ἣν ὀλίγαι, τοῦτ' ἔστιν, ὀκτὼ ψυχαὶ διεσώθησαν δι' ὕδατος. « Ὃ καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῶς ἐπερώτημα εἰς Θεόν. » Ὃ δὴ καὶ αὐτοῖς

[33] Psal. xiii, 3. [34] Num. viii, 7 seq. [35] Hebr. ix, 13, 14. [36] Hebr. xi, 7. [37] I Petr. iii, 21.

ἐλέσθαι ὀργῆν τοῖς Ἰουδαίων δήμοις συμβουλεύει, λέ- A γων· « Λούσασθε, καθαροὶ γένεσθε· » τοῦτ' ἔστιν, ἀπονίψασθε τὴν κηλῖδα, δικαιοῦντος ἡμᾶς ἐξ ἡμερότητος καὶ φιλανθρωπίας τοῦ παρ' ὑμῶν ὑβρισμένου. Εὑρίσκομεν δὲ καὶ τὸν θεσπέσιον Πέτρον ἐπιπλήττοντα μὲν αὐτοῖς ὡς ἀπεκτονόσι τὸν τῆς ζωῆς ἀρχηγὸν, καὶ αἰτήσασιν ἄνδρα φονέα χαρισθῆναι αὐτοῖς, τοῦτ' ἔστι τὸν Βαραβάμ. Πλὴν διανίστανται πρὸς μετάγνωσιν· ἔφη γάρ· « Καὶ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. Μετανοήσατε οὖν καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. Ὑμῖν γάρ εἰσιν αἱ ἐπαγγελίαι καὶ τοῖς τέκνοις ὑμῶν. »

B *Ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν.*

Ἀπόχρη μὲν πρὸς ἀπόνιψιν ἁμαρτίας τὸ σωτήριον καὶ ἅγιον βάπτισμα, καὶ τὴν τῶν ἤδη προεπταισμένων διασμήχει κηλῖδα. Χρῆναι δέ φημι τοὺς ἅπαξ ἡγιασμένους, καθαρὰς καὶ ἀμώμους, ὡς ἂν οἷοί τε εἶεν, τὰς ἑαυτῶν φυλάττειν ψυχὰς καὶ διαμεμνῆσθαι μὲν τοῦ λέγοντος· « Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν. » Καὶ πάλιν· « Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου (1) μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. » Πλεῖσται μὲν ὅσαι πρὸς τὰ αἴσχιω βλέπουσαι τὴν τοῦ ἀνθρώπου ψυχὴν κατασείουσιν ἡδοναὶ, καὶ πρό γε τῶν ἄλλων, ὁ ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἔμφυτός τε καὶ ἀγριαίνων νόμος· C εἶτα πρὸς τούτοις διαλογισμοὶ πονηροὶ, πρὸς πᾶν εἶδος φαυλότητος οὐκ ἀγεννῶς καταβροχιζόμενοι τὸν ἐν ἡμῖν ὄντα νοῦν. Δεῖ δὴ οὖν τῶν τοιούτων ἁπάντων ἀπέχεσθαι κακῶν τοὺς βεβαπτισμένους, καὶ τὰς πονηρίας ἀφελεῖν ἀπὸ τῆς ἰδίας ψυχῆς· καὶ οὔτι μόνον ἐν ὀφθαλμοῖς ἀνθρώπων, ἀλλὰ καὶ ἐν ὀφθαλμοῖς μάλιστα τοῦ πάντα εἰδότος τε καὶ ἐφορῶντος Θεοῦ. Ὑποπλάττονται μὲν γὰρ ἔσθ' ὅτε τὸ εἶναι χρηστοὶ, καὶ τὴν τῆς ἐπιεικείας δόκησιν παρακλέπτοντες, ἔσωθεν δέ εἰσιν λύκοι ἅρπαγες, κατὰ τὸ γεγραμμένον. Καὶ περὶ παντὸς, οἶμαι, τοιούτου τὸν τῶν ὅλων Θεὸν, διὰ φωνῆς Ἱερεμίου προφήτου λέγειν· « Τῷ στόματι αὐτοῦ λαλεῖ εἰρηνικὰ, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν. » Καὶ μὴν καὶ φωνῆς τοῦ Δαβίδ· « Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. » Ἀλλ' εἰ καὶ πᾶσαν ποιοῖντο D σπουδὴν εἴς γε τὸ δεῖν δύνασθαι λαθεῖν, ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Οἶδεν γὰρ, οἶδεν καρδίαν καὶ νεφρούς. Ὁ δὲ ἀληθῶς ἀγαθὸς τοιοῦτος ἔσται μετὰ Θεοῦ καὶ ἀνθρώπων, ὡς γὰρ ὁ Παῦλος φησίν· « Προνοούμενοι καλὰ ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. » Μέγα τοίνυν τὸ ἐξᾶραι τὰς πονηρίας ἀπέναντι τῶν ὀφθαλμῶν τοῦ Θεοῦ. Καὶ τάχα που τοιοῦτός τις ἦν ὁ Ναθαναὴλ, περὶ οὗ φησιν ὁ Χριστός· « Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν. » Παύσασθε, φησὶν, ἀπὸ τῶν πονηριῶν ὑμῶν, τοῦτ' ἔστι, καταλείπετε τῆς συντρόφου τε ὑμῖν καὶ ἐντριβοῦς δυστροπίας, μεταστήσατε πρὸς τὰ ἀμείνω τὴν ἑαυτῶν δυσ-

abluite maculam, justificante vos ex clementia et benignitate, eo, qui apud vos contumeliis affectus est. Videmus etiam divinum Petrum eos increpare, quod vitæ principem interfecerint, et quod homicidam, scilicet Barabbam, sibi donari postulaverint. Is tamen etiam excitat ad pœnitentiam; ait enim : « Et nunc, fratres, scio vos per ignorantiam fecisse, sicut et principes vestri. Resipiscite igitur, et baptizetur unusquisque vestrum in nomine Domini nostri Jesu Christi, et accipietis donum Spiritus sancti. Vobis enim sunt promissiones et filiis vestris [38]. »

VERS. 16. *Auferte mala ex animabus vestris, ab oculis meis; quiescite a malitiis vestris.*

Ad peccati namque ablutionem sufficit salutare et sacrum lavacrum, abstergitque superiorum delictorum maculam. Qui vero semel sanctificati sunt, animas suas quoad ejus fieri potest, puras et illibatas servare oportere ait, et memores esse ejus qui dicit : « Omni custodia serva cor tuum [39]. » Et rursus : « Si spiritus dominantis ascenderit in te, cor tuum ne dimittas, quia medela reprimet peccata multa [40]. » Voluptas enim magna quæ etiam cum turpitudine conjuncta est, hominis animam labefactat, imprimisque præ aliis lex in membris carnis insita et efferata; ad hæc, pravæ cogitationes in omne vitiorum genus mentem nostram plane demergentes. Baptizates igitur oportet ab illiusmodi sceleribus omnibus desistere : nec solum ab his partibus quæ exstant et in conspectu positæ sunt, sed et ab anima sua nequitiam removere : maxime cum videat Deus et inspiciat omnia. Simulant etenim nonnunquam bonos, et probitatis opinionem aucupantur et quasi suffurantur, intus cum sint lupi rapaces, secundum id quod scriptum est [41]. De quibus omnibus arbitror universitatis Deum voce Jeremiæ dicere : « Ore suo loquitur pacifica, et **19** apud sese habet odium [42]. » Quin et voce Davidis : « Molliti sunt sermones eorum super oleum, et ipsi sunt jacula [43]. » Imo quantumvis latere cupiant, qui habitat in cœlis irridebit eos et Dominus subsannabit eos. Novit enim ille, novit corda et renes. At qui vere bonus est, ita erit et apud Deum et apud homines, ut et dicit Paulus : « Providentes bona non solum coram Domino, sed et coram hominibus [44]. » Magnum itaque hoc est, iniquitates ab oculis Dei submovere. Qualis erat Nathanael, de quo Christus : « Ecce vere Israelita, in quo dolus non est [45]. » Desistite igitur, inquit, ab iniquitatibus vestris : id est, desinite committere peccatum quod nobiscum una coalescit et inhærescit; ad meliora cor vestrum convertite. Quod si hæc Christus loquitur, Judæos crimine arcessens, cogita quæ fecerint

[38] Act. III, 17; II, 38, 39. [39] Prov. IV, 23. [40] Eccl. X, 4. [41] Matth. VII, 15. [42] Jerem. IX, 8. [43] Psal. LIV, 22. [44] Rom. XII, 17. [45] Joan. I, 47.

(1) Humfredus legit καρδίαν σου.

cum debaccharentur in eum, laqueos ponerent, foveas foderent, cumque modis omnibus ac totis viribus omne genus immanitatis in eum machinarentur. Nunc etenim quosdam e suis discipulis subornant cum his qui vocantur Herodiani, ut interrogarent et dicerent : « Licetne dare tributum Cæsari, an non [46] ? » Nunc etiam iterum accedunt et inquiunt : « An licet curare Sabbato? ut accusarent eum [47]. » Audiant proinde dicentem : « Amovete scelera animarum vestrarum ab oculis meis, desistite ab iniquitatibus vestris. »

τροπίαν. Εἰ δὲ δὴ ταῦτα λέγοι Χριστὸς, καὶ καταιτιῷτο τοὺς Ἰουδαίους, ἐννοήσεις ὅσα πεπράχασιν ἐμπαροινοῦντες αὐτῷ, καὶ παγίδα ἱστάντες, καὶ διορύττοντες βόθρους. Καὶ τό γε ἧκον εἰς αὐτοὺς, καὶ εἰς δύναμιν ἐπιχειρημάτων πᾶν εἶδος σκαιότητος ἀρτύοντες ἐπ' αὐτῷ. Ποτὲ μὲν γὰρ ἀπεστάλκασί τινας τῶν ἰδίων μαθητῶν, μετὰ τῶν καλουμένων Ἡρωδιανῶν, ἐρομένους τε καὶ λέγοντας· « Ἔξεστι δοῦναι φόρους Καίσαρι, ἢ οὔ; » Ποτὲ δὲ πάλιν προσίεσαν λέγοντες, « Εἰ ἔξεστι τῷ Σαββάτῳ θεραπεῦσαι; Ἵνα κατηγορήσωσιν αὐτοῦ. » Ἀκουέτωσαν τοίνυν λέγοντος.

« Ἀφέλεσθε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. Παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν. »

VERS. 17, 18. *Discite facere bonum, quærite judicium, oppressum liberate, judicate pupillos et justificate viduam, et venite, et arguamur, dicit Dominus. Et si sint peccata vestra quasi phœniceum, sicut nivem dealbabo. Et si sint ut coccinum, velut lanam dealbabo.*

Imbecillitatem cultus legalis definivit, cum ait : « Quorsum mihi multitudo sacrificiorum vestrorum, dicit Dominus? Satur sum. » Et ubi subintulit : « Quis enim exegit hæc de manibus vestris? » Commode jam denuo evangelicæ conversationis dignitatem, et quasi elegantiam exponit, et sanctæ vitæ viam ostendit vere, quæ non in typis porro aut in umbris, sed ex rebus ipsis ornamentisque virtutum laudem habet et approbationem. Quid enim ait : « Discite bene facere? » An igitur, quæso, dixerit quispiam, eximit omnino **20** a legis præcepto, neque sinit omnino ad illa per Mosen divinitus tradita præcepta respicere? At qui fit ut postea dicat Christus : « Nolite putare quoniam veni solvere legem aut prophetas; non veni solvere, sed adimplere [48]. » Et quomodo etiam ait Paulus : « Quare lex quidem sancta, et præceptum sanctum, et justum, et bonum [49]? » Ad quæ nos rursum dicemus, bonam quidem esse legem, si quidem intelligatur spiritualiter, neque eximit nos omnino a lege Christus, imo magis deducit ad id quod excellentius est et præstantius : cum pædagogiam legis ceu fundamentum in nobis præstruxerit, et umbras illas quasi typos, veri cultus tanquam progymnasma ac tyrocinium veteribus præmonstraverit. Illud ad hæc alioqui dicendum est : Lex Mosaica docet a vitio ac peccato abstinere, et commonstratrix est turpitudinis. Paulus itaque ait : « Peccatum non cognovi nisi per legem [50]. » Verum prædicatio Evangelii reddit nos omnis virtutis studiosos. Idcirco merito et proprie, et vere bonum reipsa dici potest. Nam illud, « Non occides, Non adulterabis, » initiatos quidem deterrebat a peccato, non tamen quid perfecte bonum sit ostendebat, nimirum fratri non esse irascendum, non concupiscendum, nec ad virtutis apicem et ornamentum perducebat. Eximium quippe est iram vincere : admirabile est posse revellere mali cupiditates, nec permittere mentem ad tetræ et exsecratissimæ cupiditatis principia evagari.

Μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν, καὶ δεῦτε, καὶ διελεγχθῶμεν, λέγει Κύριος. Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. Ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ.

Τῆς ἐν νόμῳ λατρείας τὸ ἀδρανὲς καθορίσας, διά τε τοῦ φάναι, « Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; Πλήρης εἰμί. » Καὶ τούτοις ἐπενεγκὼν, « Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; » Ἐπὶ καιροῦ πάλιν τῆς εὐαγγελικῆς πολιτείας ἐξηγεῖται τὴν ἀστειότητα, καὶ τῆς ἀληθῶς ἁγίας ζωῆς καταδείκνυσι τὴν ὁδὸν, οὐκ ἐν τύποις ἔτι καὶ σκιαῖς, ἀλλ' ἐν αὐτοῖς πράγμασι, καὶ τοῖς κατ' ἀρετὴν νοουμένοις αὐχήμασιν ἔχουσι τὸ εὐδόκιμον. Τί γάρ φησι, « Μάθετε καλὸν ποιεῖν; » Ἆρ' οὖν, εἰπέ μοι, φαίη τις ἂν, ἐξίστησι παντελῶς τῆς νομικῆς ἐντολῆς; οὐκ ἐᾷ τοῖς διὰ Μωσέως τεθεσπισμένοις ἐνατενίζειν ὅλως; Εἶτα πῶς ἔφασκε Χριστός· « Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. » Πῶς δὲ καὶ ὁ Παῦλος ἔφασκεν· « Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή; » Πρὸς δὴ τὰ τοιάδε πάλιν ἐροῦμεν, ὅτι καλὸς ὁ νόμος, εἰ δὴ νοοῖτο πνευματικῶς, οὐκ ἐξίστησιν ἡμᾶς ὁλοτρόπως τοῦ νόμου Χριστός; ἀναβιβάζει δὲ μᾶλλον ἐπὶ τὸ προῦχον καὶ ἄμεινον, ὑποβάθραν ὥσπερ τινὰ προκαταθεὶς ἐν ἡμῖν τὴν διὰ νόμου παιδαγωγίαν, καὶ τῆς ἀληθοῦς λατρείας οἱονεὶ προγύμνασμα προαναδείξας τοῖς ἀρχαιοτέροις τὰ ὡς ἐν σκιαῖς καὶ τύποις. Ἄλλως τε κἀκεῖνο τούτοις ἀναγκαίως ἔστ' εἰπεῖν· Ὁ μὲν νόμος ὁ διὰ Μωσέως, φαυλότητός τε καὶ ἁμαρτίας ἀποσχέσθαι διδάσκει, καὶ τῶν αἰσχιόνων ἐστὶ παραδεικτικός. Καὶ γοῦν ὁ Παῦλός φησι· « Τὴν δὲ ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ τοῦ νόμου. » Τὸ δὲ κήρυγμα τὸ εὐαγγελικὸν ἀρετῆς ἁπάσης ἡμᾶς ἐπιμελητὰς ἀποφαίνει. Ταύτῃ τοι καὶ ὀνομάζοιτο ἂν εἰκότως, κυρίως τε καὶ ἀληθῶς αὐτὸ χρῆμα τὸ καλόν. Τὸ γὰρ, « Οὐ φονεύσεις, οὐ μοιχεύσεις, » ἐξιστᾷν ἦν ἁμαρτίας τοὺς παιδευομένους, οὔπω γε μὴν ὅ τί ποτέ ἐστι τὸ καλὸν τελείως ἐκφαίνοντος. Τὸ δὲ δεῖν ὅλως μήτε ὀργίζεσθαι τῷ ἀδελφῷ, μήτε μὴν ἐπιθυμεῖν, τοῖς τῆς ἀρετῆς αὐχήμασιν ἐμβιβάζοντος. Ἐξαίρετον γὰρ τὸ καταθλεῖν ὀργῆς, ἀξιάγαστον δὲ πρὸς τοῦτο τὸ ἀνασειράζειν δύνασθαι τὰς εἰς τὸ φαῦλον ἐπιθυμίας, καὶ μὴ ἐπιτρέπειν

[46] Marc. XII, 14. [47] Matth. XII, 10. [48] Matth. V, 17. [49] Rom. VII, 12. [50] ibid. 7.

τὸν νοῦν, κἂν γοῦν εἰς ἀρχὰς ἰέναι τῆς ἐκτόπου καὶ βδελυρωτάτης ἐπιθυμίας. Οὐκοῦν τὸ καλὸν ἀληθῶς εἴη ἂν τὸ μάθημα τὸ εὐαγγελικὸν, καὶ τῆς ἐν Χριστῷ πολιτείας ἡ δύναμις. Ἐπιφωνητέον δὴ οὖν τοῖς τοῦ γράμματος φίλοις, « Μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, » τοῦτ' ἔστι, τὸ κρίνειν ὀρθῶς. Πρὸς γὰρ τοῖς ἄλλοις ἀτοπήμασιν ἅπασιν, νενοσήκασι καὶ τοῦτο τῆς Ἰουδαίων συναγωγῆς οἱ καθηγεῖσθαι λαχόντες, τὸ μὴ ὀρθὰς, φημὶ, ποιεῖσθαι τὰς ἐφ' ἑκάστῳ πράγματι κρίσεις· ψηφοφορεῖν δὲ μᾶλλον ἀδίκως, καὶ δώρων ἡττᾶσθαι καὶ χρημάτων ἡδονῆς, καὶ τοῖς ἀδικεῖν ἐθέλουσι καταπωλεῖν τῆς ἑαυτῶν ἀνοσίου βουλῆς τὴν σύνεσιν. Ὡς γάρ φησιν ὁ προφήτης, « Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον. » Ἀναγκαία τοιγαροῦν ἡ ἐντολὴ, καὶ τοῖς εὐαγγελικῶς ἐθέλουσι ζῇν οὐκ ἀσυντελὴς εἰς δικαιοσύνην τὸ κρίνειν ὀρθῶς, οὐκ ἔν γε μόνον τοῖς ἔξω πράγμασιν, ἀλλὰ καὶ τοῖς εἰς νοῦν καὶ καρδίαν. Οἷον δή τί φημι· Θεοῦ τὴν φαυλότητα καταψέγοντος, ἐπαινεῖ ταύτην ὁ Σατανᾶς. Καὶ ὁ μὲν τοῦ Σωτῆρος ἡμᾶς ἀναπείθει νόμος, ἀξιέραστον ποιεῖσθαι τὸ ἀγαθόν· ἀνθέλκει πρὸς τὸ ἐναντίον ἐκεῖνος. Τότε δὴ τότε κριτὴς ὥσπερ τίς ἐστι καὶ δικαστὴς ἐν ἡμῖν ὁ νοῦς· καὶ ἐπαινέσας μὲν τὸ ἀγαθὸν, καὶ αὐτὸ τὸ χρῆναι κρατεῖν ἀπονέμων, ἐξεζήτησε κρίσιν. Ἐπιδούς γε μὴν φαυλότητι τὸ νικᾷν, ἔξω γέγονε τοῦ κρίνειν ὀρθῶς, καὶ ἀκούσεται δικαίως· « Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· οἱ τιθέντες τὸ σκότος εἰς φῶς, καὶ τὸ φῶς εἰς σκότος. » Αὔχημα τοίνυν εὐαγγελικὸν τὸ κρίνειν ὀρθῶς, καὶ ἐπαμύνειν ἀδικουμένοις. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ, τὸ, « Ῥύσασθε ἀδικούμενον. » Ἐπιτηδεύειν δὲ χρὴ πρὸς τούτῳ τὸ συμπαθὲς, καὶ τὸ ἀπροσωπόληπτον. « Κρίνατε ὀρφανῷ, » φησὶ, « καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διελεγχθῶμεν, λέγει Κύριος· » οὐχ ὡς κρινόμενοι τῷ Δεσπότῃ; « Δικαιωθήσεται γὰρ, φησὶ, πάντως ἐν τοῖς λόγοις αὐτοῦ, καὶ νικήσει κρινόμενος. » Ἔσται γὰρ οὐδεὶς ἀπὸ ῥύπου καθαρὸς, ἀλλ' οὐδὲ καυχήσεταί τις ἁγνὴν ἔχειν τὴν καρδίαν, διελεγχόμενοι δὲ μᾶλλον, καὶ οἱονεὶ καθ' ἑαυτοὺς δοκιμάζοντες, εἰ μὴ τῆς θείας φιλοτιμίας μέγεθος πολύ τέ ἐστι καὶ ἀξιόληπτον. Ὥς γε ὁ σοφὸς ἡμῖν γράφει Παῦλος· « Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. « Ὑπισχνεῖται τοιγαροῦν τοῖς ἐκ νομικῆς ἀγωγῆς μεθορμιζομένοις τρόπον τινὰ διὰ τῆς πίστεως εἰς ἀστειότητα βίου τοῦ κατὰ Χριστὸν, ἄφεσιν τῶν ἤδη προεπταισμένων. Αὕτη γὰρ ἡμῶν ἡ τῆς ἐλπίδος εἰσβολὴ, καὶ τῆς θείας εἰς ἡμᾶς ἡμερότητος ἀπαρχὴ, θύρα τε ὥσπερ καὶ ὁδός. Ὅτι δὲ καὶ τοῖς εἰσάγαν μεμολυσμένοις, καίτοι ἐπ' ἔλαττον τοῦτο νενοσηκόσιν, ἀρκέσει πρὸς ἀποκάθαρσιν ἡ διὰ πίστεως χάρις, ἀναπείθει λέγων· « Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. » Δυσέκπλυτον γὰρ οὐδὲν Θεοῦ διασμήχοντος. Ὡς γὰρ ὁ Παῦλος φησὶν, « Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. Καὶ πάλιν· « Τίς ἐγκαλέσει μετὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; »

A Proinde vere bona est disciplina Evangelii, et Christianæ institutionis virtus atque efficacia. Clamandum est igitur litteræ amatoribus : « Discite benefacere, exquirite judicium, » scilicet, ut recte judicetis. Nam præter alias fœditates omnes, hoc etiam morbo laborabant Judaicæ Synagogæ nacti principatum, quod recte scilicet nusquam judicarent, sed injuste potius ferrent calculos, et munerum atque donorum illecebra corrumperentur, volentibusque inferre injuriam, impio suo consilio suffragarentur. Ut enim propheta inquit : « Duces ejus propter munera judicabant [81]. » Necessaria igitur præceptio est, etiam his, qui evangelice cupiunt vivere, nec ad justitiam inutilis, recte judicare, non in externis solum rebus, **21** sed in aliis etiam quæ ad
B animum et ad cor spectant : puta, cum Deus vitium damnat, Satanas laudat; cum lex Servatoris suadet bonum esse amabile, ille trahit ad contrarium. Tunc in nobis mens veluti judex est et arbiter. Si quod bonum est probarit, eique superiores partes tribuat, jam exquisivit judicium. Sin vitio adjudicet victoriam, discedit tum a recte judicando, et merito audiet : « Væ his qui dicunt malum bonum, et bonum malum : qui dicunt amarum dulce, et dulce amarum : qui vertunt tenebras in lucem, et lucem in tenebras [82]. » Gloria igitur et laus Evangelii est, recte judicare, et oppressos defendere. Hoc enim, opinor, est, « Liberate oppressum. » Exercenda est præterea commiseratio quædam, nec
C personarum respectus habendus. Patrocinamini, inquit, pupillo, et viduæ causam agite, et adeste, et disputemus, dicit Dominus, non quasi judicio decertantes cum Domino : « Justificabitur enim omnino in sermonibus suis, et vincet cum judicabitur [83]. » Nemo quippe erit integer sordiumque purus, sed neque gloriabitur quisquam mundum se habere cor : at potius arguentes et velut apud seipsos probantes, sitne magnitudo divinæ magnificentiæ multa, et amplectenda. Sicut et nobis sapiens Paulus scribit : « Non sunt condignæ passiones hujus temporis ad futuram gloriam quæ revelabitur in nobis [84]. » Qui ergo a legis institutione et conversatione ad Christianæ vitæ elegantiam per fidem quodammodo traducuntur, his promittit re-
D promissionem eorum, in quibus jam ante offenderunt. Illa enim est nostræ spei introitus, et divinæ erga nos clementiæ primitiæ, et veluti janua ac via. Fidei autem gratiam cum his qui valde inquinati sunt, tum etiam paulum morbo affectis, satis ad emundationem valituram esse, fidem facit, dicens : « Si sint peccata vestra ut purpura, velut nivem inalbabo : et si sint ut coccinum, quasi lanam inalbabo. » Nihil enim difficulter eluitur, Deo detergente. Quemadmodum et Paulus ait : « Ubi abundavit peccatum, superabundavit et gratia [85]. » Et rursus : « Quis accusabit adversus electos Dei? Deus qui justificat, quis est qui condemnet [86]? »

[81] Isa. v, 23. [82] Isa. v, 20. [83] Psal. L, 6. [84] Rom. VIII, 18. [85] Rom. v, 20. [86] Rom. VIII, 33, 34.

A Vers. 19, 20. *Et si volueritis, et si audieritis, bona* **22** *terræ comedetis. Si vero nolueritis, et non audiveritis me, gladius vos devorabit. Os enim Domini locutum est hæc.*

Affatus est Israelitas universitatis Deus, per sapientissimum Moysen : « Ecce ego posui in conspectu tuo viam vitæ et viam mortis [57]. » Posita enim est nobis ad utrumque semita, et fructus voluntatum cujusque ceu flosculorum est præclare et legitime, aut contra culpate vivere. Sed nec esse potest cuiquam dubium, quin hi qui probam et præclaram Deoque acceptissimam vivunt vitam, semper ad vitam subvehantur : qui autem voluptatibus malis dediti sunt et addicti, exitum habent tendentem in exitium et interitum. Itaque fructus obedientiæ erit, bona terræ comedere, quæ sanctis præparata est; cujus B meminit etiam ipse Dominus noster Jesus Christus, in hanc sententiam : « Beati mites, quia ipsi hæreditabunt terram [58]. » Fructus autem malitiæ et vitæ flagitiosæ, est inutilis pœnitentia, et ex divina ira gladius et interitus, ut dictum est, et quid non istiusmodi malorum? Orationem vero suam fide dignam esse demonstrat propheta, cum mox infert : « Os Domini locutum est hæc. » Cum enim fieri non possit ut Deus mentiatur, manet enim semper idem quod est, nempe veritas : annon est necessario intelligendum ea quæ prænuntiata sunt, certissime ad finem esse perventura? Etenim illud necessum est considerare, mirifice et insigniter prodesse sermonem propheticum, cum animis C perfectorum et maturorum, tum eorum etiam qui genuina germanaque fide nondum confirmantur. Cum enim posuerit universitatis Deus in propensione eorum, qui erudiantur, cum bonum eligere, tum a malis recedere, liquido probat rerum faciendarum et fugiendarum habenas cuique mortalium dedisse, ut ad id quod elegerit quis, libere ire posset. Cum hoc verum sit, vana nimirum et frigida sutela est, contendere ac dicere, naturale esse in homine malum, vel fortunam aut fatum, aut nativitatem clavum rerum humanarum gubernare, et ad quod cuique eorum placet, quoslibet pro suo arbitratu adigere, ut vitium, aut virtutem colant, non ad id voluntario impulsu, sed tanquam inevitabili nutui subjugati et subditi, necessitate D dominantium ægre ac difficulter impulsi. Etenim si malum natura est, **23** ac in substantia inhæret, ut isti nugantur, quomodo pro uniuscujusque voluntate, vel invalescit, vel debilitatur? Si enim vellem bonus esse, nihil obstat quominus talis quoque videar. Si item malus, nihil etiam impediet quominus ad id etiam delabar. Ubi tandem fortunæ et fati virtus? Et quæ est illa nativitas, quæ ulli hominum necessitatis jugum imponit, si modo hoc cujusque voluntatem sequatur, ut præstantes obedientiam, bona terræ comedant?

Καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

Προσπεφώνηκέ που τοῖς ἐξ Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς διὰ τοῦ πανσόφου Μωσέως· « Ἰδοὺ δέδωκα πρὸ προσώπου σου τὴν ὁδὸν τῆς ζωῆς, καὶ τὴν ὁδὸν τοῦ θανάτου. » Τέθειται γὰρ ἐν ἡμῖν ἡ ἐπ' ἄμφω τρίβος, καὶ τῶν ἑκάστου διανευμάτων, ἤγουν θελημάτων καρπὸς ἂν γένοιτο τὸ διαβιῶναι λαμπρῶς καὶ ἐννόμως, ἤγουν ἑτεροίως κατεψεγμένως. Ἀλλ' οὐκ ἂν ἐνδοιάσειέ τις, ὡς οἱ μὲν τὸν ἀγαθὸν καὶ ἀπόλεκτον καὶ Θεῷ φιλαίτατον βιοῦντες βίον, πάντη τε καὶ πάντως καταίρουσιν εἰς ζωήν. Οἵγε μὴν ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς ἡττώμενοι, τὸ τέλος ἔχουσιν εἰς ὄλεθρον B καὶ ἀπώλειαν. Εὐπειθείας οὖν ἄρα καρπὸς τὸ φαγεῖν ἔσται τὰ ἀγαθὰ τῆς γῆς τῆς τοῖς ἁγίοις ηὐτρεπισμένης, ἧς καὶ αὐτὸς διαμέμνηται λέγων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· « Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. » Σκαιότητος δὲ καὶ βίου φιλαμαρτήμονος ἡ ἀνόνητος ὑστεροβουλία, καὶ τὰ ἐκ θείας ὀργῆς, μάχαιρά τε καὶ ὄλεθρος, ὡς ἔφην, καὶ τί γὰρ οὐχὶ τοιούτων κακῶν; Ἀξιόπιστον δὲ τὸν ἑαυτοῦ λόγον ὁ προφήτης ἀποφαίνει, προσεπάγων εὐθύς, ὅτι « Τὸ στόμα Κυρίου ἐλάλησε ταῦτα. » Ἐπειδὴ δὲ ἀμήχανον τὸ ψεύσασθαι τὸν Θεὸν (μένει γὰρ ἀεὶ τοῦθ' ὅπερ ἐστὶν, ἀλήθεια δὲ δηλονότι), πῶς οὐκ ἀνάγκη νοεῖν ὅτι πάντη τε καὶ πάντως εἰς πέρας ἐκβήσεται τὰ προηγγελμένα; Πλὴν ἐκεῖνο περιαθρεῖν ἀναγκαῖον, ὡς ὀνίνησι πλουσίως ὁ προφητικὸς λόγος, C τάς τε τῶν ἀκεραιοτέρων ἔτι ψυχάς, καὶ μὴν καὶ τὰς τῶν ἤδη γνησίων καὶ ἱδρυμένων ἐν πίστει. Ἐπειδὴ γὰρ τέθεικεν ὁ τῶν ὅλων Θεὸς ἐν ταῖς τῶν παιδαγωγουμένων ῥοπαῖς τὸ ἑλέσθαι μὲν τὸ ἀγαθὸν, ἀποφοιτᾷν δὲ τῶν φαύλων, πεπληροφόρηκεν ὅτι τὰς τῶν πρακτέων ἢ μὴ δέδωκεν ἑκάστῳ τῶν ἐπὶ γῆς ἡνίας, καὶ ἐφ' ὅπερ ἂν ἕλοιτό τις, ἐλάσει μετ' ἐξουσίας. Ἐπειδὴ δὲ τοῦτό ἐστιν ἀληθὲς, εἰκαῖον ἤδη καὶ ψυχρὸν, καὶ ῥαψῴδημα τὸ διατείνεσθαί τε καὶ λέγειν, ὅτι φυσικὸν ἐν ἀνθρώπῳ τὸ κακόν· ἤγουν ὅτι τύχη τε καὶ εἱμαρμένη, καὶ γένεσις πηδαλιουχοῦσι τὰ ἀνθρώπινα, καὶ πρός γε τὸ ἑκάστῃ δοκοῦν, οὓς ἂν ἕλοιντο κατασφίγγουσαι φαυλότητός τε καὶ ἀρετῆς ἀποτελοῦσιν ἐργάτας, οὐκ ἐθελουσίοις ῥοπαῖς ἰόντας D εἰς τοῦτο, κατεζευγμένους δὲ ὥσπερ ἀφύκτοις νεύμασι, καὶ δυσφορήτως ἔχοντας τῇ τῶν κρατούντων ἀνάγκῃ. Εἰ γὰρ φύσει τὸ κακὸν, καὶ ἐνυπόστατόν ἐστιν, ὡς γοῦν ἐκεῖνοι ληροῦντές φασι· πῶς τοῖς ἑκάστου θελήμασι κρατύνεταί τε καὶ ἀσθενεῖ; εἰ γὰρ ἑλοίμην εἶναι χρηστὸς, τὸ κωλύον οὐδὲν ὁρᾶσθαι τοιοῦτον. Εἰ δὲ δὴ καὶ πονηρὸς, ἀπείρξειεν ἂν οὐδὲν καὶ πρός γε τοῦτο κατολισθεῖν. Ποῦ δὲ δὴ τύχης καὶ εἱμαρμένης ἡ δύναμις; ἢ ποία τις γένεσις ἐπιφέρει τισὶ τὸν ἐξ ἀνάγκης ζυγὸν, εἰ τοῖς ἑκάστου θελήμασιν ἀκολουθεῖ, καὶ τὸ φαγεῖν τὰ ἀγαθὰ τῆς γῆς πληροῦν ἑλομένους τὴν ὑπακοὴν, καὶ μὴν καὶ τὸ ἔργον γενέ-

[57] Deut. xxx, 15. [58] Matth. v, 4.

σθαι τῆς μαχαίρας (1), εἰ τοῖς θείοις ἀντεξάγοιεν νόμοις τὸ ἀπειθὲς καὶ δυσήκοον;

Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως; πρὶν ἡ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί.

Καταθαυμάζει τρόπον τινὰ τῆς Ἰουδαίων συναγωγῆς τὴν οὕτω σαθρὰν, καὶ οὐκ εὐάφορμον μεταβολὴν, τῆς εἴς γε τὰ χείρω, φημὶ, καὶ τὴν ἐκ τῶν ἀμεινόνων εἰς τὰ αἴσχιω μετάστασιν. Νόμῳ μὲν γὰρ τῷ διὰ Μωσέως τὴν τοῦ συμφέροντος γνῶσιν ἐπαιδεύετο, καὶ εἰς ἕκαστα τῶν πρακτέων διακομιστὴν ἔχουσαν τὸν τοῦ Θεοῦ λόγον, λαμπρὰ καὶ εὐδοκιμωτάτη, καὶ ἀξιάγαστος ἦν, πλείστοις ὅσοις ἀνδράσι διαπρεπὴς, οἷς ὁ τῆς δικαιοσύνης καρπὸς ἐπήνθησε πλουσίως, καὶ ἀξιόληπτος ἦν τῷ Θεῷ. Ἦσαν μὲν γὰρ ἐν αὐτῇ προφῆταί τε καὶ ἱερεῖς, καὶ τῶν τῆς δικαιοσύνης ἔργων μελεδωνοὶ, καὶ λαῶν ἡγούμενοι φυλάττοντες κρίσιν, καὶ νόμον ἔχοντες ἐπὶ γλώττης, καὶ τρόπῳ παντὶ χρηστῷ τε καὶ ἀγαθῷ κατηγλαϊσμένοι. Εἶτα τῶν τοιούτων ἁπάντων ἐστερημένη, μᾶλλον τῆς ἀρχαίας ἐκείνης ἐπιεικείας ἀλογεῖν ἑλομένη, καὶ θεμένη παρ' οὐδὲν τὴν εἰς Θεὸν αἰδῶ, καὶ ἀγάπησιν πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας προσκεχύνηκε τοῖς μὴ φύσει θεοῖς, τὸν ἕνα τε καὶ ἀληθῶς Δεσπότην ταῖς εἰς τοῦτο πορνείαις ἐκτόπως περιυβρίζουσα. Καὶ οἷά τις πολύκοινος καὶ σεσοβημένη γυνὴ κατὰ πολλοὺς ἠσέβησε τρόπους. Ἄλλοτε ἄλλοις προσκειμένη καθηγηταῖς, πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχθημένων παρὰ Θεοῦ διακομίζειν εἰδόσιν. Αἰτιᾶται γοῦν αὐτὴν διὰ φωνῆς Ἱερεμίου λέγων ὁ τῶν ὅλων Θεός· «Ἴδε ἃ ἐποίησέ μοι ἡ κατοικία τοῦ Ἰσραὴλ, ἐπεπορεύθη ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ ἐπόρνευσεν ἐκεῖ.» Καὶ πάλιν ὡς πρὸς αὐτήν· «Ἐὰν ἐξαποστέλλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀπελθοῦσα ἀπ' αὐτοῦ γένηται ἀνδρὶ ἑτέρῳ, μὴ ἀνακαλύπτουσα ἀνακαλύψει πρὸς αὐτὸν ἔτι; οὐ μαινομένη μιανθήσεται γυνὴ ἐκείνη; καὶ σὺ ἐξεπόρνευσας ἐν ποιμέσι πολλοῖς, καὶ ἀνεκάλυπτες πρός με, λέγει Κύριος. Ἆρον τοὺς ὀφθαλμούς σου εἰς εὐθεῖαν, καὶ ἴδε, ποῦ οὐκ ἐξεφύρθης, ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας αὐτοῖς, ὡσεὶ κορώνη ἐν ἐρήμῳ μόνη. Καὶ ἐμίανας τὴν γῆν ἐν ταῖς πορνείαις σου, καὶ ἐν ταῖς κακίαις σου, καὶ ἔσχες ποιμένας πολλοὺς εἰς πρόσκομμα σεαυτῇ. Ὄψις πόρνης ἐγένετό σοι, ἀπηνησχύν[τ]ησας πρὸς πάντας.» Καταφρονήσασα γὰρ, ὡς ἔφην, τῆς ὑπὸ Θεῷ δουλείας, ἐτράπετο πρὸς ἀπόστασιν καὶ τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ τοῖς τῶν εἰδώλων θεραπευταῖς, ἐχρῆτο ποιμέσι καὶ διδασκάλοις. Καὶ ταυτὶ μὲν, ὡς ἔφην, πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τῆς τῶν Ἰουδαίων Συναγωγῆς τὰ ἐγκλήματα. Ἐπειδὴ δὲ τοῖς ἐπὶ τῆς γῆς ἐπέλαμψεν ὁ Χριστὸς (ἐπέφανε γὰρ ἡμῖν, κατὰ τὸ γεγραμμένον, Θεὸς Κύριος), οὐκ αὐτῷ μᾶλλον ἐχρῆτο παιδευτῇ· τετίμηκε δὲ διδασκαλίας, ἐντάλματα ἀνθρώπων· καὶ τὸν καλὸν ἀφεῖσα ποι-

adeoque gladio pereant, si per inobedientiam pervicaciamque divinis legibus adversentur?

VERS. 21. *Quomodo facta est meretrix Sion, civitas fidelis, plena judicii? In qua justitia dormivit, in ea nunc homicidæ.*

Admiratur quodammodo Judaicæ Synagogæ adeo flaccidam et lubricam mutationem, mutationem dico et transitum in deteriora, et ex melioribus in turpiora. Ex Mosis siquidem lege, notitiam ejus quod utile est, docebatur: et cum Dei sermonem quasi internuntium et tabellarium haberet, qui singula quæ agenda sunt referret et deportaret, illustris ac spectatissima, et admiratione digna fuit, ac percelebris apud quamplurimos homines, in quibus justitiæ fructus opulenter et affatim effloruit, eratque Deo accepta. Exstiterunt enim in ea prophetæ ac sacerdotes, et qui justitiæ muneribus fungebantur: multitudinis quoque præfecti, judicii tenaces et custodes fuerunt, legemque in lingua habuerunt, bonis commodisque moribus omnibus honestati et exornati. Ad extremum vero his tot ac tantis bonis, et antiqua adeo illa probitate, quasi orbata, inconsiderate maluit agere, et religionem ac reverentiam erga Deum amoremque pro nihilo duxit atque contempsit. Siquidem ante Servatoris nostri adventum, adoravit haud natura deos: unum autem et vere Dominum fornicationibus in hoc repertis impie lædens, et tanquam prostituta quæpiam ac lasciva mulier multis variisque modis impia fuit, alias aliis adhærescens doctoribus, qui ad quidvis Deo invisum infestumque adducere noverant. Accusat itaque illam universitatis Deus voce Jeremiæ: «Scis quæ fecit mihi domus Israel: abierunt ad omnem montem excelsum et sub omni ligno frondoso scortati sunt [23]. » Et rursus quasi ad illam: «Si dimiserit quis uxorem suam, eaque recedens ab illo, nubat viro alteri, numquid revertens revertetur **24** ad eum? nonne polluta polluetur uxor illa? Et tu fornicata es in pastoribus multis, et revertebaris ad me, dicit Dominus. Attolle oculos tuos in rectum, et vide, ubi non conspurcata sis. In viis sedebas eis, quasi cornix solitaria; polluisti terram in scortationibus tuis, et in malitia tua. » Habuisti pastores multos in offensionem tibi ipsi. Facies meretricis facta est tibi, sine rubore facta es ad omnes [24]. » Etenim, uti dixeram, cultum divinum aspernata, in apostasiam conversa est: ac pastoribus doctoribusque usa est, impuris spiritibus et idolorum cultoribus. Hæc, ita ut dixi, fuerunt ante Servatoris adventum Judaicæ Synagogæ scelera. Postquam vero in terris Christus effulsit, apparuit enim nobis Deus Dominus, ut scriptum est, non illum adhibuit præceptorem, sed coluit potius doctrinas, mandata hominum; ac bono pastore repudiato, qui ad omnia præclarissima

[23] Jerem. III, 6. [24] ibid. 1, 2, 3.

(1) Humfred., *materia et opus fiant gladii.* Tritum apud Græcos loquendi genus. Heliod. lib. I, ἔργον γενέσθαι πολέμου· Synes., ἔργον γενέσθαι συκοφάντου.

instituta perducere noverat, Scribis et Pharisæis agglutinata est, et addicta. Hunc ad modum scortata est, etiamsi lex et prophetæ Christi mysterium ei prædicerent, et ipsum adfuturum aliquando prænuntiarent. « Quomodo igitur, » inquit, « facta est meretrix civitas fidelis Sion, plena judicio? » Perinde est ac si diceret : Quæ tot ad intelligendum occasiones accepit, imo vero quæ spiritualibus adjumentis abundavit, in defectionem et apostasiam defluxit, olim fidelis et justitiæ operatrix? In qua justitia habitavit, hoc est, lex conquievit (domicilium enim quoddam ejus fuit, his elementis primis erudita multitudo), nunc in ea diversantur homicidæ? Audisne eum, reliquis omnibus prætermissis, actionem cædis illis intentare? Attraxerunt namque in caput suum pretiosum Christi sanguinem, cum Pilato dicerent : « Sanguis ejus super nos et super filios nostros [61]. » Quin et sanctos prophetas sustulerunt; id quod illis beatus Stephanus objecit : « Dura cervice et increduli corde, vos semper Spiritui sancto resistitis. Quem e prophetis non interfecerunt patres vestri? Ut patres vestri, ita et vos [62]. »

A μένα, τὸν εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀποκομίζειν εἰδότα, προσεκολλήθη τοῖς ἀρχιερεῦσι καὶ Γραμματεῦσι, καὶ μὴν δὲ καὶ Φαρισαίοις. Ἐκπεπόρνευκε δὲ κατὰ τοῦτον τὸν τρόπον. Καίτοι καὶ νόμου καὶ προφητῶν προανακεκραγότων αὐτῇ τὸ Χριστοῦ μυστήριον, καὶ ὅτι παρέσται κατὰ καιροὺς προαπηγγελκότων. « Πῶς οὖν ἐγένετο, φησὶ, πόρνη πόλις πιστὴ Σιὼν πλήρης κρίσεως; » Ὅμοιον ὡσεὶ λέγοι· Ποίας λαβοῦσα τὰς τοῦ νοεῖν ἀφορμὰς, μᾶλλον δὲ πῶς ἀνάμεστος οὖσα πνευματικῶν ἐπικουρημάτων κατώλισθεν εἰς ἀπόστασιν ἡ πάλαι πιστὴ καὶ δικαιοσύνης ἐργάτις, ἐν ᾗ κατέλυσεν ἡ δικαιοσύνη, τοῦτ' ἔστιν, ἀνεπαύσατο νόμος; οἶκος γὰρ ὥσπερ τις αὐτοῦ γέγονεν ἡ τῶν παιδαγωγουμένων πληθὺς, νῦν δὲ καταλελύκασι φονευταί. Ἀκούεις ὅτι πάντα παρεὶς B τὰ ἕτερα τὴν μιαιφονίαν αὐτοῖς ἐγκαλεῖ; Κατηντλήκασι γὰρ τῆς ἑαυτῶν κεφαλῆς τὸ τίμιον αἷμα Χριστοῦ, Πιλάτῳ λέγοντες· « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. » Ἀνῃρήκασι δὲ καὶ προφήτας ἁγίους· καὶ τοῦτο αὐτοῖς ὁ μακάριος Στέφανος ὠνείδισε, λέγων· « Σκληροτράχηλοι καὶ ἀπειθεῖς τῇ καρδίᾳ, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε. Τίνα τῶν προφητῶν οὐκ ἀπέκτειναν οἱ πατέρες ὑμῶν; Ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς. »

Vers. 22, 23. *Argentum vestrum reprobum. Caupones tui miscent vinum aqua, principes tui inobedientes sunt, socii furum,* **25** *diligentes munera, sequentes retributionem, pupillis non judicantes, et judicio viduæ non attendentes.*

Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον. Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες.

Causas mutationis in deterius plane enumerat ac perspicue : et quemadmodum potissimus medicus quispiam ægrotis morbi occasiones aperit, sic et ille cupiens « omnes homines salvos fieri, atque ad agnitionem veritatis pervenire [63], » his qui ex imperitia ab honesto decoroque deflexerunt, causas afflictionum et delictorum exponit. « Reprobum » enim, inquit, est « argentum vestrum. » Argentum vocat reprobum, præcepta, quæ apud ipsos inoleverunt, non ingenua aut liberalia, sed omni potius detestatione referta, ac quæ obesse, non prodesse auditoribus poterant. Solet nimirum Scriptura divinitus aspirata, catecheseos sermones, qui apud populum subditum habentur, argentum appellare. Et sane Dominus noster Jesus Christus simile esse dicit [64] regnum cœlorum homini patrifamilias, qui profecturus peregre vocavit servos suos : et huic quidem dedit quinque talenta, illi vero duo, unum alteri, quibus labore suo defunctis, dignas laudes reddens : « Euge, inquit, serve bone et fidelis. » Ei autem qui abscondit talentum, nihilque omnino labore acquisivit : « Serve, » ait, « nequam et piger, oportebat te mittere argentum meum nummulariis, et ego reversus meum cum fenore recepissem. » Canit etiam beatus David : « Eloquia Domini, eloquia pura, argentum igne examinatum, probatum terræ [65]. » Adulterinum itaque et non probatum argentum fuit, quod apud Judæos erat, id est, quæ

C Τῆς ἐπὶ τὰ χείρω μεταβολῆς τὰς αἰτίας ἀπαριθμεῖται σαφῶς. Καὶ ὥσπερ τις τῶν εὐτεχνεστάτων ἰατρῶν τοῖς ἠῤῥωστηκόσι λέγει τὰς τοῦ νοσεῖν ἀφορμὰς, οὕτω καὶ αὐτὸς ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, τοῖς ἐξ ἀμαθίας ἠῤῥωστηκόσι τοῦ πρέποντος διατρανοῖ τὰς αἰτίας τῶν ἐν αὐτοῖς παθῶν καὶ πλημμελημάτων. « Ἀδόκιμον γὰρ τὸ ἀργύριον ὑμῶν, » φησί. Καὶ ἀργύριον μὲν ἀδόκιμον ὀνομάζει τῶν παρ' αὐτοῖς διδασκάλων τὸν οὐκ εὐφυᾶ, μᾶλλον δὲ καὶ βδελυρίας ἁπάσης ἐπίμεστον λόγον· καὶ ἀδικῆσαι μᾶλλον ἤπερ ὀνῆσαι δυνάμενον τοὺς ἀκροωμένους. Κατείθισται δέ πως ἡ θεόπνευστος Γραφὴ τοὺς τῆς κατηχήσεως λόγους, οὓς ἂν ποιοῖντό τινες τοῖς ὑπὸ χεῖρα λαοῖς ἀργύριον ἀποκαλεῖν. Καὶ γοῦν ὁ D Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὁμοιοῦσθαί φησι τὴν βασιλείαν τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὃς μέλλων ἀποδημεῖν ἐκάλεσε τοὺς ἑαυτοῦ δούλους· καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ ἓν, καὶ ἀπεδήμησεν· πεπονηκόσι δὲ αὐτοῖς περ. . . . τοὺς ἐπαίνους ἀποδιδοὺς, « Εὖ, δοῦλε ἀγαθὲ, καὶ πιστὲ, » φησί. Τῷ γε μὴν ἀποκρύψαντι τὸ τάλαντον, προσειργασμένῳ δὲ παντελῶς οὐδὲν, « Πονηρὸς δοῦλε, » φησὶ, « καὶ ὀκνηρὲ, ἔδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. » Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβίδ· « Τὰ λόγια Κυρίου, λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον δόκιμον τῇ γῇ. Κίβδηλον οὖν ἄρα καὶ ἀδόκιμον παν-

[61] Matth. xxvii, 25. [62] Act. vii, 51, 52. [63] I Timoth. ii, 4. [64] Matth. xxv, 14-29. [65] Psal. xi, 7.

τελῶς ἀργύριον τὸ παρὰ τοῖς Ἰουδαίοις, τοῦτ' ἔστιν, ὁ παρὰ τῶν Γραμματέων καὶ Φαρισαίων λόγος, οἷα δὴ καὶ καπήλοις προσεοικότες ὕδατι τὸν οἶνον μίσγειν ἤθελον· τοῦτ' ἔστι, νενοθευμένην, καὶ οὐκ ἀκαπήλευτον ἐποιοῦντο τοῦ νόμου τὴν ἐξήγησιν· παραπλέκοντές τι καὶ ἰδίων αὐτοῖς θελημάτων, καὶ ψυχρῶν καὶ ὑδαρεστέρων ἐννοιῶν παρεισκρίνοντες οὐχ ἀμιγεῖ τοῦ χείρονος, οὐδὲ ὡς ἂν εἴποι τις ἄκρατον ἐποιοῦντο τῆς τοῦ νομοθέτου βουλῆς τὴν ἀπόδοσιν. Καὶ γοῦν προσίεσαν μὲν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι τῷ Σωτῆρι λέγοντές ποτε· « Διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν, ὅταν τὸν ἄρτον ἐσθίουσιν. Ὁ δὲ πρὸς αὐτούς· Διὰ τί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ, διὰ τὴν παράδοσιν ὑμῶν; Ὁ γὰρ Θεὸς εἶπεν, Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καὶ, ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω· ὑμεῖς δὲ λέγετε, Ὃς ἂν εἴπῃ τῷ πατέρι ἢ μητέρι, Δῶρον, ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς, οὐ μὴ τιμήσει τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα· καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. » Ὁρᾷς ἐν τούτοις τῆς Ἰουδαϊκῆς καπηλείας σαφῆ τὰ ἐγκλήματα; ταῖς γὰρ οἰκείαις παραδόσεσιν ἕπεσθαι δεῖν ἐθέλοντες, ἀκύρους ἀπέφαινον τοὺς τοῦ Θεοῦ νόμους. Ὑποπλαττόμενοι μὲν ἐξηγεῖσθαι καὶ αὐτοὺς, συνεισφέροντες δὲ παραδόσεις ἑώλους καὶ ψυχράς. Αἰτιᾶται δὲ τοὺς ἄρχοντας, ὡς πολὺ νοσοῦντας τὸ ἐξήνιον, καὶ γαῦρον ὥσπερ ἀνατείνοντας τὸν αὐχένα, καὶ ἀπειθεῖν ᾐρημένους. Οὐ γὰρ ἤθελον προσίεσθαι τὴν πίστιν τὴν εἰς Χριστὸν δηλονότι, καίτοι τοῦ νόμου διακεκραγότος αὐτοῖς ἄνω τε καὶ κάτω, τὸ ἐπ' αὐτῷ μυστήριον, καὶ κατὰ μυρίους ὅσους αὐτὸ δεικνύοντος τρόπους. Καὶ γοῦν ἔφη πρὸς αὐτοὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· « Ἢ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα; Ἔστιν ὁ κατηγορῶν ὑμῶν, Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίσατε. Εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοὶ, περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Ἀπειθεῖς οὖν ἄρα, μήτε τὴν τοῦ νόμου βούλησιν ἄκρατον ὥσπερ καὶ ἀνόθευτον διερμηνεύειν ἐθέλοντες τοῖς ἄλλοις, μήτε μὴν τὴν διὰ Μωσέως καὶ προφητῶν καὶ ἁγίων προκεκηρυγμένην τιμήσαντες πίστιν. Οὐ γὰρ ἤθελον ὑπακοῦσαι λέγοντι τῷ Χριστῷ· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. » Καὶ πρός γε τῷ εἶναι σκληροί τε καὶ ἀπειθεῖς, κοινωνοὶ γεγόνασι κλεπτῶν· τοῦτο μὲν τοῖς δωροδοκοῦσι συνκαστάμενοι (Sic), τοῦτο δὲ συνδεδραμηκότες ταῖς ἀνοσίοις βουλαῖς τοῦ προδόντος αὐτοῖς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ὃς ἦν πονηρός τε ἅμα καὶ κλεπτίστατος μαθητής. Ἐρασιχρήματοι δὲ καὶ ἑτέρως οἱ τῶν Ἰουδαίων καθηγηταὶ, τὸ κύμινόν τε καὶ τὸ ἄνηθον, καὶ πᾶν λάχανον ἀποδεκατοῦντες, καὶ ἀφιέντες τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸ ἔλεος, καὶ τὴν πίστιν. Οὐ γὰρ ἔκρινον ὀρφανοῖς καὶ χήραις. Ζητοῦντες δὲ μᾶλλον παρὰ τῶν προσαγόντων αὐτοῖς ἀνταπόδομα, κατεδί-

A a Scribis ac Pharisæis proficiscebatur oratio; qui cauponibus assimiles, aqua vinum permiscuerunt, id est, legis interpretationem spuriam et adulterinam affinxerunt: et intexentes sua quædam placita, ac frigidos dilutosque sensus interponentes, non meram, ut ita dixerim, simplicem ac puram, sed cum deteriore mistam legislatoris voluntatis explicationem reddiderunt. Adierunt nimirum Servatorem Scribæ ac Pharisæi aliquando, ac dixerunt: « Quare discipuli tui transgrediuntur traditionem seniorum? Non enim lavant manus suas, cum panem edunt? » Quibus ille: « Quare et vos, inquit, transgredimini præceptum Dei propter traditionem vestram? Nam Deus dixit: Honora patrem et matrem; **26** et: Qui maledicit patri aut matri, morte

B moriatur. At vos dicitis: Si quis dixerit patri vel matri, Munus, quodcunque est ex me, tibi proderit, non honorificabit patrem suum vel matrem suam; et irritum fecistis præceptum Dei propter traditionem vestram [66]. » Videsne in his verbis manifestum crimen Judaicæ fallaciæ? Dum enim suas ac proprias traditiones consectari volunt, irritas Dei leges fecerunt: fingentes quidem eas se exposuisse: inferentes tamen traditiones futiles ac frigidas. Insimulat porro principes ut qui effreni quodam fastu laborarent, et sublata quasi cervice obedire nollent. Non enim fidem Christi admittere voluerunt, quantumvis lex passim supra et infra, ejus mysterium clamitaret, idque innumeris modis ostenderet. Si-

C quidem et Dominus noster Jesus Christus illis dixit: « Putatisne me accusaturum vos apud Patrem? Est qui accuset vos, Moses, in quo vos fiduciam collocastis. Si enim credidissetis Mosi, credidissetis et mihi: de me enim ille scripsit [67]. » Præfracti itaque erant, neque legis voluntatem puram, simplicem genuinamque interpretari volebant populo, neque fidem per Mosem et prophetas sanctos prædicatam colere, neque obtemperare Christo dicenti: « Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos. Imponite jugum meum vobis [68]. » Etenim quoniam duri et inobedientes fuerunt, consortes furum exstiterunt: partim largientibus munera consentiendo, partim cum nefariis consiliis perditi simul et furacissimi discipuli, Do-

D minum nostrum Jesum Christum prodentis, conspirando. Quin et alioqui attenti fuerunt ad rem Judæorum præfecti, cuminum, anethum, et omne olus decumantes; graviora autem legis capita, judicium, misericordiam, fidem prætermittentes. Nec enim orphanis judicabant, neque viduis, sed petentes potius ab his qui offerrent, mercedem, impie quandoque condemnabant injuste oppressos, iniquissimum in eos calculum ac sententiam ferentes. Ex eo autem quod injuste judicarent, et turpiter muneribus servirent, etiam in ipsum Christum sunt furiose debacchati. Ut enim a populis munera haberent, vineæ dominum non receperunt, cum in

[66] Matth. xv, 1-6. [67] Joan. v, 45, 46. [68] Matth. xi, 28, 29.

suam proprie **27** sortem sevocantes, quæ ipsi et quidem soli debebatur. Quamvis enim lex diceret: « Innocentem ac justum non occides [69], » eum tamen insontem justumque interfecerunt.

A καζον ἀνοσίως τῶν ἀδικουμένων ἔσθ' ὅτε, ψῆφον ἐπ' αὐτοῖς τὴν ἐκνομωτάτην ἐκφέροντες. Ἀπὸ δὴ τοῦ κρίνειν ἀδίκως καὶ αἰσχρῶς ἡττᾶσθαι λημμάτων, καὶ εἰς αὐτὸν πεπαρῳνήκασι τὸν Χριστόν. Ἵνα γὰρ ἔχοιεν τὰς παρὰ τῶν λαῶν δωροφορίας, οὐ προσήκαντο τὸν τοῦ ἀμπελῶνος δεσπότην, ἴδιον ποιούμενοι κλῆρον τὸν αὐτῷ καὶ μόνῳ πρέποντά τε καὶ ὀφειλόμενον. Ἀπεκτόνασι γὰρ ἀθῶον ὄντα καὶ δίκαιον, καίτοι τοῦ νόμου λέγοντος· « Ἀθῶον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. »

VERS. 24. *Idcirco hæc dicit dominator Dominus Sabaoth: Væ fortes Israel: non cessabit enim furor meus contra adversarios, et judicium de inimicis meis faciam.*

Διὰ τοῦτο τάδε λέγει ὁ δεσπότης Κύριος Σαβαώθ· Οὐαὶ οἱ ἰσχύοντες Ἰσραήλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω.

Causas cur perierit Jerusalem refert in eos qui principatum obtinebant, et sane merito. Sequitur enim illos ut plurimum vulgus quod ipsis subest: quemadmodum certe et pastores, quibus subjectus est, grex. Si enim ad pinguia illos et copiosa prædia deducant, habitiores evadent illi et bene saginati; sin in terram salsam et spinarum altricem, inedia illos perdent ac periment. Idem et in nobis ipsis verum esse inveniemus. Nam interpretationibus illis, quæ ad rectitudinem, virtutem, Deique notitiam inculpatam adducunt, mens eorum qui initiantur et informantur, fecundatur quasi et pinguescit: consiliis vero ad impietatem vergentibus, ad rerum turpiorum desiderium aviditatemque quam facillime delabitur. Tale quiddam passi Israelitæ Scribarum ac Pharisæorum traditionibus atque doctrinis, miseri disperierunt. Non enim sinebant eos veram et servatricem viam insistere, viam, inquam, per fidem, quæ est in Dominum nostrum Jesum Christum. Siquidem curato eo, qui ab ortu cæcus erat, cum per totam Jerusalem divini miraculi magnitudinem admirarentur, cumque is qui a morbo liberatus est, medicum prædicaret, diserte clamarunt hi, quorum munus erat ad veritatem instruere: « Da gloriam Deo, nos scimus hunc hominem peccatorem esse [70]. » Testatur præterea quidam e sanctis evangelistis jam convenisse Scribas et Pharisæos, ut qui illum confiteretur esse Christum a communione Ecclesiæ segregaretur. Idcirco, dum pudorem ac reverentiam, quam erga se ipsi habuerunt, saluti suæ imprudentissime anteferrent; omnino gloriæ quæ a Deo est inanes expertesque exstiterunt. Quod illis denuntiavit Servator: « Quomodo potestis credere, gloriam a vobis invicem percipientes, et gloriam, quæ a solo Deo est, non quærentes [71]? » Et etiam alicubi: « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quoniam clauditis regnum cœlorum [72]. » Scandalum igitur facti sunt populo, et contra majestatem Christi continue pugnant. **28** Hinc itaque dicit de illis: « Væ potentibus. Non cessabit enim furor meus contra hostes, et judicium de inimicis meis exercebo. » Videsne quo pacto adversarios illos, et quidem hostes appellet? Et in illos maxime divinam iram incursuram ac sævituram ait. Par enim fuit, par fuit plecti gravius eos, et judicanti rationes reddere de

Τοῦ κατεφθάρθαι τὴν Ἱερουσαλὴμ ἀνατίθησι τὰς αἰτίας τοῖς καθηγεῖσθαι λαχοῦσι, καὶ μάλα εἰκότως. Ἕπεται γὰρ ἐπὶ πᾶν αὐτοῖς τὸ ὑπήκοον· καθάπερ B ἀμέλει καὶ τοῖς ποιμέσι τὰ ὑπὸ χεῖρα θρέμματα. Εἰ γὰρ ἀποκομίζοιεν εἰς πίονά τε αὐτὰ καὶ ἀμφιλαφῆ νομὴν, εὐρωστά τε εἶεν ἂν καὶ εὐτραφῆ λίαν· εἰ δὲ εἰς γῆν ἁλμάδα καὶ ἀκανθῶν μητέρα, καταφθεροῦσι πάντως αὐτὰ ταῖς κακοσιτ[ε]ίαις. Τοιοῦτόν τι ἐφ' ἡμῶν αὐτῶν ἀληθὲς ὂν εὑρήσομεν. Εἰσηγήσεσι μὲν γὰρ ταῖς εἰς ὀρθότητά τε καὶ ἀρετὴν καὶ θεογνωσίαν ἀμώμητον ὁ τῶν παιδαγωγουμένων καταπιαίνεται νοῦς. Ταῖς γε μὴν εἰς ἀνοσιότητα συμβουλίαις ἑτοιμότατα καταῤῥεῖ πρὸς τὴν τῶν αἰσχιόνων ἔφεσίν τε καὶ προθυμίαν. Τοιοῦτόν τι πεπονθότες οἱ ἐξ Ἰσραὴλ ταῖς τῶν Γραμματέων καὶ Φαρισαίων παραδόσεσι καὶ διδασκαλίαις οἱ τάλανες διολώλασιν. Οὐ γὰρ εἴων αὐτοὺς τὴν ἀληθῆ καὶ σωτήριον ἰέναι τρίβον, τὴν διὰ πίστεως λέγω, τῆς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν C Χριστόν. Καὶ γοῦν τεθεράπευκε μὲν τὸν ἐκ γεννητῆς τυφλὸν, καὶ τεθαυμάκασι μὲν οἱ κατὰ πᾶσαν τὴν Ἱερουσαλὴμ τῆς θεοσημείας τὸ μέγεθος, κηρύττοντι δὲ τὸν ἰατρὸν τῷ τοῦ πάθους ἀπηλλαγμένῳ διαῤῥήδην ἔφασκον οἱ παιδαγωγεῖν ὀφείλοντες εἰς ἀλήθειαν· « Δὸς δόξαν τῷ Θεῷ, ἡμεῖς οἴδαμεν ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστιν. » Ἐπιμαρτύρεται δέ τις τῶν ἁγίων εὐαγγελιστῶν, ὅτι ἤδη συνετέθειντο οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται. Ταύτῃ τοι καὶ τὴν εἰς ἀλλήλους αἰδῶ τῆς ἑαυτῶν σωτηρίας ἀβουλότατα προτετιμηκότες, ἀμέτοχοι παντελῶς τῆς παρὰ Θεοῦ μεμενήκασι δόξης. Καὶ τοῦτο αὐτοῖς ἔφασκεν ὁ Σωτήρ· « Πῶς δύνασθε πιστεύειν δόξαν παρ' ἀλλήλων D λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε; » Καὶ μὴν καὶ ἑτέρωθι· « Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν. » Σκάνδαλον τοίνυν γεγόνασι τοῖς λαοῖς, καὶ τῇ δόξῃ Χριστοῦ πολεμοῦντες οὐ διαλιμπάνουσιν. Ταύτῃ τοι περὶ αὐτῶν φησιν· « Οὐαὶ οἱ ἰσχύοντες. Οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐκ τῶν ὑπεναντίων, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω. » Ὁρᾷς ὅπως ἐναντίους τε αὐτοὺς καὶ μὴν καὶ ἐχθροὺς ὀνομάζει; Καὶ ἐπ' αὐτοὺς δὴ μάλιστα τὰ ἐκ τῆς θείας ὀργῆς δραμεῖσθαί φησιν. Ἔδει γὰρ, ἔδει μειζόνως κολάζεσθαι, καὶ τοὺς ὑπὲρ τῆς τῶν ἄλλων ἀπωλείας ὑποσχεῖν τῷ κρίνοντι λόγους. Οὓς ἦν εἰκὸς δύνασθαι καὶ διασώζειν αὐτοὺς, εἴπερ ἤθελον ὀρθά τε

[69] Exod. XXIII, 7. [70] Joan. IX, 24. [71] Joan. V, 44. [72] Matth. XXIII, 13.

φρονεῖν αὐτοὶ, καὶ τοῖς ἄλλοις ἅπασιν τὴν εἰς τοῦτο διακομίζουσαν καταδεῖξαι τρίβον. Ἐπεφώνει καὶ ὁ θεσπέσιος Ἰωάννης αὐτοῖς ἐπὶ τὸ τῆς μετανοίας ἰοῦσι βάπτισμα· « Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν, φυγεῖν ἀπὸ τῆς μενούσης ὀργῆς; » Γέγονε τοίνυν ἐκδίκησις παρὰ Θεοῦ κατὰ τῶν ἰσχυόντων· μάλιστα, τοῦτ' ἔστι, τῶν παρ' αὐτοῖς δυνατῶν, ἤγουν ἡγουμένων, καταδηωθείσης αὐτῶν τῆς χώρας καὶ παραδοθείσης τοῖς Ῥωμαίων γενναιοτάτοις στρατεύμασι. Καὶ τοῦτο αὐτοῖς προμεμήνυκεν ὁ Σωτήρ· « Ὅταν ἴδετε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε ἐρεῖτε τοῖς ὄρεσι, Καλύψατε ἡμᾶς· καὶ τοῖς βουνοῖς, Πέσατε ἐφ' ἡμᾶς. » Φοβερὸν οὖν ἄρα τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· οὐχ ὅτι σκληρὸς καὶ ἀμείλικτος· χρηστὸς γὰρ μᾶλλον καὶ ἀγαθός ἐστιν· ἀλλ' ὅτι λυπεῖται καταφρονούμενος, ὅταν ἑαυτοὺς μάλιστα τῶν παρ' αὐτοῦ χαρισμάτων ἀποστεροῦμεν ἡμεῖς, καίτοι παρὸν ἑλεῖν τε πλουσίως· καὶ ἐντρυφᾷν αὐτοῖς ἑλομένοις εἴκειν τοῖς παρ' αὐτοῦ νόμοις. Ἀποσειομένοις τε τοὺς πονηροὺς καὶ ἀνοσίους τῶν ἐν τῷδε τῷ βίῳ διδασκάλους· οἳ καὶ τῆς πίστεως τὴν ὀρθότητα τοῖς ἑαυτῶν ῥήμασι παραλύειν ἐπείγονται, καὶ ταῖς τῶν ἀκεραιοτέρων ψυχαῖς τῆς ἑαυτῶν δυστροπίας τὸν ἰὸν ἐκχέοντες, παρατρέπουσιν αὐτὰς εἰς τὸ δεῖν ἑλέσθαι τὰ πονηρά.

Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ πυρώσω σε εἰς καθαρὸν, τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ πάντας ὑπερηφάνους ταπεινώσω· καὶ ἐπιστήσω τοὺς κριτάς σου, ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπαρχῆς. Καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιών. Μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημοσύνης. Καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλείποντες τὸν Κύριον συντελεσθήσονται.

Ἐπάγει τὴν χεῖρα αὐτοῦ Θεὸς, ὡς πλήττουσαν· τοιοῦτον γάρ πως ἀεὶ τῶν τυπτόντων τὸ σχῆμα. Ὅτι οὐκ ἀνόνητος ἔσται παντελῶς αὐτοῖς ἡ τῆς χειρὸς ἐπαγωγὴ, τοῦτ' ἔστιν, ἡ τῶν δεινῶν ἔφοδός τε καὶ πεῖρα, οὔτε μὴν ἀδιακρίτως ἅπασι τὰ ἐξ ὀργῆς συμβήσεται, φροντίδος δὲ καὶ φειδοῦς ἀξιώσει τοὺς πεπιστευκότας, καὶ τοῖς γνησίοις ἀπονεμεῖν τὴν ἐπὶ τῷ γε δεῖν διασώζεσθαι χάριν διδάσκει σαφῶς. Πάλαι μὲν γὰρ ἡ θεομάχος Ἱερουσαλὴμ ἐκπεπόρνευκε πολυτρόπως διὰ τοῦ λατρεῦσαι θεοῖς ἑτέροις, ἐπήγαγεν δὲ αὐτῇ τὴν χεῖρα Θεὸς, καὶ ὥσπερ τινὶ πυρὶ ταῖς ἐκ τοῦ πολέμου παρεδίδου συμφοραῖς. Ἐπειδὴ δὲ πέπομφεν ἐξ οὐρανοῦ τὸν Υἱὸν ὁ Πατὴρ Σωτῆρα καὶ Λυτρωτὴν, εἶτα πεπαρῴνηκεν εἰς αὐτὸν, καὶ τὰ ἐξ ἀκράτου πέπραχεν ἀπονοίας. Οὐ διαλέλοιπέ τε ταῖς ἀπειθείαις ἀγρίως περιυβρίζουσα, καίτοι δικαιοῦντα τὸν ἀσεβῆ, καὶ τῶν ἀρχαίων πλημμελημάτων ἀπαλλάττοντα διὰ τῆς πίστεως. Ἐπήγαγε δὲ αὐτῇ τὴν χεῖρα πάλιν, καὶ οἷόν τις τεχνίτης διέκρινεν ἐν πυρὶ, καὶ ἅπαν μὲν ὅσον ἦν ἐν αὐτῇ δοκιμώτατόν τε καὶ

A aliorum interitu, quam prohibere ac propulsare potuisse ipsos, verisimile est, si et ipsi recte sapere, et cæteris omnibus callem eo perducentem monstrare voluissent. Occlamavit et divinus Joannes ad pœnitentiæ baptisma accedentibus : « Progenies viperarum, quis monstravit vobis ut fugeretis a futura ira [73]? » Sumpta est ergo ultio a Deo de potentibus maxime præsidibus, id est, qui apud illos erant præpotentes, videlicet principes ; deleta ipsorum regione, et generosissimis Romanorum copiis exposita. Præsignificavit item illis hoc Servator : « Cum videritis Jerusalem ab exercitu circumsessam, tunc dicetis montibus : Operite nos ; et collibus : Corruite in nos [74]. » Horrendum est igitur incidere in manum Dei viventis [74*] ; non quia durus est et im-B placabilis : benignus est enim potius et bonus : sed quia despicatui ac contemptui habitus, moleste fert, maxime quando ipsi nos gratuitis ejus donis privamus : etiam cum liceat illis affatim frui, et circumfluere, modo legibus ab ipso latis parere, improbos ac impios rerum ad vitam pertinentium præceptores arcere in animum induceremus ; qui tum fidei sinceritatem suis verbis enervare, quasique luxare nituntur : tum simpliciorum animis suæ perversitatis virus infundentes in gravia mala detorquent et avertunt.

VERS. 25-28. *Et inducam manum meam super te, et excoquam te ad purum : inobedientes autem perdam, et omnes superbos deprimam. Et imponam* C *judices tuos ut prius, et consiliarios tuos ut ab initio. Et post hæc vocaberis civitas justitiæ, metropolis fidelis Sion. Cum judicio enim servabitur captivitas ipsius, et cum misericordia. Et convertentur iniqui ac peccatores simul, et qui dereliquerunt Dominum consumentur.*

Inducit manum suam Deus, utpote ferientem. Is enim semper est gestus **29** percutientium. Quod autem prorsus non erit sine fructu hæc manus in eos inductio, hoc est, rerum adversarum incursio et tentatio, nec promiscue omnibus hæc supplicia accident, sed quod credentes cura et misericordia dignetur, et genuinis filiis servatricem gratiam sit D largiturus, clare docet. Etenim Jerusalem olim Deo repugnans, cum alienos deos colendo multipliciter scortata fuisset, manum ei Deus induxit, et in belli calamitates tanquam in ignem quemdam conjecit. Cumque deinde Pater Filium e cœlo nobis misisset, Servatorem ac Redemptorem, tamque in eum bacchata esset furiose, eaque ex impotenti patraret amentia, nec desineret per inobedientiam insigni contumelia afficere eum, qui impium justificat, et a veteribus flagitiis per fidem liberat ; induxit ei manum de integro, et velut artifex quispiam igne discrevit : et probatissimum ac selectum genus credentium sibi reservavit : adulterinum

[73] Matth. III, 7. [74] Luc. XXI, 20 ; XXIII, 30. [74*] Hebr. X, 31.

vero et rejectitium exitio dedit ac delevit. Quemadmodum igitur qui igni, vel æs, vel argentum liquant, excoquunt materias ; ita et ego, inquit, exuram te ad purum. Scriptum est autem : « Eluet Dominus sordes filiorum et filiarum Sion, et sanguinem e medio eorum expurgabit, spiritu judicii et ardoris [75]. » Dictum est etiam a quodam e sanctis prophetis : « Subito veniet in templum suum Dominus, quem vos quæritis, et Angelus testamenti quem vos vultis. Ecce venit, dicit Dominus : ecquis sustinebit diem adventus ejus? Vel quis subsistet in conspectu ejus? Quia ipse venit tanquam ignis fornacis, et tanquam herba lavantium, et sedebit conflans, velut argentum et aurum [76]. » Aliter etiam nobis explicabit hoc sapiens Matthæus, loquens de Christo : « Ego baptizo vos in aqua ad pœnitentiam : at qui me sequitur, fortior me est, cujus calceos non sum dignus portare. Ipse vos baptizabit in Spiritu sancto et igne ; cujus ventilabrum in manu ejus, et expurgabit aream suam, congregabitque triticum suum in horreum, paleam autem comburet igne inexstincto [77]. » Itaque triticum in horreum colligitur : infrugiferum vero, id est paleam, ignis fore escam **30** dicit. Modum autem si quis scire cupiat, verba proposita declarabunt. Mox enim inquit : « Inobedientes perdam, et perdam omnes injustos a te, omnesque superbos deprimam. » Periit siquidem Israelitarum antiqua multitudo, quæ in Christum admisit piaculum, et Redemptorem negavit. Exterminati quippe sunt omnes superbi, et qui inique vivunt, Judaicæ scilicet Synagogæ præfecti, et principes sacerdotum et Pharisæi. Qui enim injusti non sunt et arrogantes, qui legis reverentiam ne minimum quidem curant, cornu autem in sublime tollunt, et contra Deum injustitiam loquuntur? Dixerunt enim : « Tolle, tolle, cruci affige illum [78]. » Sublatus est autem eis populorum principatus, designatis in eorum locum sanctis apostolis, de quibus dicit : « Constituam judices tuos ut prius, et consiliarios tuos ut ab initio. » Nihilo autem inferiores fuerunt priscis illis sanctis divini discipuli, quos et judices appellat, et consiliarios nominat. Utrumque enim præstiterunt, dum tanquam judices redarguerent peccatores, infirmos autem cohortarentur quæ ad robur spirituale illis usui forent. Nimirum sapientissimus Paulus eum qui inter Corinthios scortatus est, tradidit quidem Satanæ, ad interitum carnis, ut spiritus salvus fieret : consilium vero dat bonum, et inquit : « Si quis frater nominatus, vel scortator, vel avarus, vel idololatra, vel subsannator, vel ebriosus, vel rapax, cum hujusmodi non comedendum [79]. » De judicibus et de consultoribus qui hic dicuntur, beatus David ad ipsam Jerusalem in Spiritu sancto dixit : « Pro patribus tuis nati sunt filii tibi [79*], » hoc est, loco patrum geniti sunt tibi liberi : quippe qui Judæi erant, et ex Judæis, et filii eius,

A ἀπόλεκτον γένος τῶν πεπιστευκότων τοῦτο τετήρηκεν ἐν ἑαυτῷ, τό γε μὴν κίβδηλον καὶ ἀδόκιμον παραδέδωκεν εἰς ὄλεθρον καὶ ἀφανισμόν. Ὥσπερ οὖν οἱ πυρὶ κατατήκοντες, ἢ χαλκὸν, ἢ ἄργυρον, διακαθαίρουσι τὰς ὕλας· οὕτω κἀγὼ, φησὶ, πυρώσω εἰς καθαρόν. Γέγραπται δὲ, ὅτι « Ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν, ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως. » Εἴρηται δὲ καὶ διὰ φωνῆς ἑνὸς τῶν ἁγίων προφητῶν, ὅτι « Ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται, λέγει Κύριος, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ, ὅτι αὐτὸς εἰσπεπόρευται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόν- B των, καὶ καθιεῖται χωνεύων, ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον. » Ἑτεροτρόπως δὲ τοῦτο καὶ ὁ σοφὸς ἡμῖν Ματθαῖος διασαφεῖ λέγων περὶ Χριστοῦ· « Ἐγὼ μὲν γὰρ ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. » Οὐκοῦν συλλέγεται ὁ μὲν σῖτος εἰς ἀποθήκην, τὸ δὲ ἄχρηστον ἅπαν, τουτ' ἔστι, τὸ ἄχυρον πυρὸς εἴρηκεν ἔσεσθαι τροφήν. Καὶ πῶς, εἴ τις ἕλοιτο μαθεῖν, ἡ τῶν προκειμένων σαφηνιεῖ δύναμις. Ἔφη γὰρ εὐθύς· « Τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ C σοῦ, καὶ πάντας ὑπερηφάνους ταπεινώσω. » Διώλωλε μὲν γὰρ τῶν ἐξ Ἰσραὴλ ἡ πάλαι πληθὺς, καὶ εἰς Χριστὸν ἀσεβήσασα καὶ ἀρνησαμένη τὸν λυτρωτήν· ἐξῄρηνται δὲ πάντες οἱ ὑπερήφανοι καὶ ζῶντες ἀνόμως, τουτ' ἔστιν, οἱ τῆς Ἰουδαίων Συναγωγῆς ἡγεμονεύειν λαχόντες, οἱ ἀρχιερεῖς καὶ Φαρισαῖοι. Πῶς γὰρ οὐκ ἂν ἄνομοί τε καὶ ἀλαζόνες, οἱ μήτε τὴν εἰς τὸν νόμον αἰδῶ κἂν γοῦν ὀλίγα τε πεφροντικότες, ἐπαίροντες δὲ καὶ τὸ κέρας εἰς ὕψος, καὶ λαλοῦντες κατὰ τοῦ Θεοῦ ἀδικίαν; Εἰρήκασι γὰρ, « Αἶρε, αἶρε, σταύρωσον αὐτόν. » Ἐξῄρηνται δὲ τοῦ καθηγεῖσθαι λαῶν, ἀναδεδειγμένων τῶν ἁγίων ἀποστόλων, περὶ ὧν φησιν, « Ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπαρχῆς. » Γεγό- D νασι δὲ κατ' οὐδὲν ἐλάττους τῶν ἀρχαιοτέρων ἁγίων οἱ θεσπέσιοι μαθηταὶ, οὓς καὶ κριτὰς ὀνομάζει, καὶ συμβούλους ἀποκαλεῖ. Δεδράκασι γὰρ ἀμφότερα, τοῖς ἁμαρτάνουσιν ἐπιπλήττοντες ὡς κριταὶ, συμβουλεύοντες δὲ τοῖς ἠσθενηκόσι τὰ πρὸς εὐρωστίαν αὐτοῖς χρήσιμα τὴν πνευματικήν. Καὶ γοῦν ὁ σοφώτατος Παῦλος τὸν ἐν Κορίνθῳ πεπορνευκότα παρεδίδου μὲν τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ Πνεῦμα σωθῇ· βουλὰς δὲ δίδωσιν ἀγαθὰς, καί φησιν· « Ἐὰν δέ τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. » Περὶ τῶν ἐνθάδε λεγομένων κριτῶν ἤτοι συμβούλων καὶ ὁ μακάριος Δαβὶδ ἐν

[75] Isa. IV, 4. [76] Malach. III, 1, 2. [77] Matth. III, 11, 12. [78] Joan. XIX, 15. [79] I Cor. V, 5, 11. [79*] Psal. XLIV, 17.

A Πνεύματι ἁγίῳ πρὸς αὐτὴν ἔφη τὴν Ἱερουσαλὴμ, «Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου,» τοῦτ' ἔστιν, Ἐν τάξει πατέρων γεγόνασί σοι τὰ τέκνα· καὶ γὰρ ἦσαν Ἰουδαῖοι, καὶ υἱοὶ τῆς τὸ τηνικάδε Συναγωγῆς οἱ θεσπέσιοι μαθηταί. Ὅτι δὲ πατέρες γεγόνασι τῶν πεπιστευκότων, ἄκουε Παύλου λέγοντος, «Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα.» Καὶ πάλιν· «Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.» Διαμέμνηται δὲ καὶ ἕτερος ἡμῖν τῶν ἁγίων προφητῶν αὐτοῦ, περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ τῆς ἀναδείξεως τῶν ἁγίων αὐτοῦ μαθητῶν, καί φησιν· «Ἰδοὺ δὴ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσιν.» Οἱ μὲν γὰρ τῆς Ἰουδαίων Συναγωγῆς ἡγούμενοι, καὶ ζωῆς εἴχοντο τῆς ἐκνομωτάτης, καὶ τὸ μετὰ κρίσεως, τοῦτ' ἔστι, δικαιοσύνης B ἄρχειν οὐκ ᾔδεσαν. Βασιλεύσαντος δὲ Χριστοῦ τῆς ὑπ' οὐρανὸν, δίκαιοί τε καὶ ἀγαθοὶ, καὶ μετὰ κρίσεως ἄρχοντες, οἱ θεσπέσιοι γεγόνασι μαθηταί· ὧν ἀναδεδειγμένων, κέκληται πάλιν πόλις δικαιοσύνης, καὶ μητρόπολις πιστὴ Σιὼν, τοῦτ' ἔστιν, ἡ Ἐκκλησία. Ὅτι δὲ οὐκ ἀδιακρίτως, ὡς ἔφην, ἀλλ' ἐν φροντίδι καὶ λόγῳ τῷ μετὰ δικαιοσύνης ἡ παρὰ Θεοῦ γέγονε πύρωσις, ἤτοι δοκιμασία, φανερὸν καθίστησι τὸ εὐδοκιμῆσαν γένος διὰ τῆς πίστεως· προσεπάγει λέγων, «Ὅτι μετὰ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς καὶ μετὰ ἐλεημοσύνης, καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν Κύριον συντελεσθήσονται.» Διακεκριμένων γὰρ ἤδη τῶν γενῶν, καὶ τοῦ μὲν πεπιστευκότος εὐδοκιμοῦντος, C ὡς ἔφην, θατέρου γε μὴν οὐ μετρίως προσκεκρουκότος, σέσωσται μὲν τὸ ἀπόλεκτον, ὠλόθρευτο δὲ πᾶν ὅσον ἦν ἐν αὐτοῖς βδελυρὸν καὶ ἀπηχθημένον, καὶ ἀπονοίας σύντροφον, καὶ βεβιωκὸς ἀνοσίως, καὶ Χριστοῦ μὴ πεφροντικὸς τοῦ σώζειν εἰδότος, καὶ ἀνιέντος ἐγκλήματα καὶ δικαιοῦντος τῇ χάριτι.

quæ tum fuit, Synagogæ, divini discipuli. Quod autem fuerint patres fidelium, Paulum audi loquentem: «In Christo enim Jesu per Evangelium ego vos genui [80].» Et iterum: «Filioli, quos iterum parturio donec formetur Christus in vobis [80*].» Dein et alius e sanctis prophetis, de Servatore omnium nostrum Christo, et sanctorum ipsius discipulorum manifestatione, nobis ita commemorat, et inquit: «Ecce rex justus regnabit, et principes cum judicio præerunt [81].» Nam Judaicæ Synagogæ proceres, et vitam coluerunt a lege **31** alienissimam, et cum judicio, id est justitia, regere haud noverunt. Cæterum regnante in terris Christo, et justi et boni fuerunt divini discipuli, cumque judicio præsederunt: quibus inauguratis, rursus civitas justitiæ, et metropolis fidelis, Sion, id est Ecclesia, est appellata. Quoniam autem non citra delectum, ut dixi, sed cum sollicitudine, et ratione, et justitia, Dei excoctio sive exploratio habetur, quæ genus per fidem approbatum discernit planeque detegit, porro addit, et dicit: «Quia cum judicio servabitur captivitas ejus, et cum misericordia, et atterentur iniqui et peccatores simul, ac derelinquentes Dominum delebuntur.» Discretis enim generibus, ut dicebam, et eo qui credidit approbato, altero autem graviter impingente: electum quidem servatum est; sed periit quidquid nefandum ac odiosum fuit, et vitæ dissolutiori innutritum, quidquid impie vixit, et Christum nihili fecit, qui salvum facere novit, et peccata remittit, ac gratia justum efficit.

Διότι καταισχυνθήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπῃσχύνθησαν ἐπὶ τοῖς κήποις αὐτῶν, ἃ ἐπεθύμησαν. Ἔσονται γὰρ ὡς τερέβινθος, ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων.

Ἔφην ὅτι διττὴν ἐν τούτοις ὁ τοῦ προφήτου λόγος ποιεῖται τὴν πρόφασιν τῆς Ἰουδαίων ἀποβολῆς. Διττὰ γὰρ αὐτῶν τὰ ἐγκλήματα. Πάλαι μὲν γὰρ Θεὸν ἀφέντες, τὸν ἕνα καὶ φύσει, καὶ λυτρωτὴν, λελατρεύκασιν εἰδώλοις, καὶ τεθύκασι θυσίας τῇ στρατιᾷ D τοῦ οὐρανοῦ, καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν τὸ σέβας ἀνάπτοντες, δεδυσσεβήκασιν οὐ μετρίως. Ἐπειδὴ δὲ Θεὸς Κύριος ἐπέφανεν ἡμῖν, κατὰ τὰς Γραφὰς, ἠρνήσαντο καὶ αὐτὸν, καὶ πεπαρῳνήκασιν οὐ μετρίως εἰς τὸν τῆς ζωῆς ἀρχηγόν. Οὐκοῦν ἀδελφὰ τὰ ἐγκλήματα, καὶ τῆς ἀπονοίας ὁ τρόπος οὐκ ἀπεοικὼς τῷ πρώτῳ, μᾶλλον δὲ καὶ ἐν αἰτίᾳ ἀπονοίας μείζονι. Καὶ ἐκολάζοντο μὲν κατά γε τοὺς πρὸ τῆς ἐπιδημίας καιροὺς ταῖς τῶν πολεμίων ἐφόδοις, πόλεων ἐμπρησμοῖς, οἴκων ἀνατροπαῖς . . . . Ταῦτα γὰρ ἔδρων ἐφιέντος Θεοῦ, Πέρσαι τε καὶ Μῆδοι, Μωαβῖται, καὶ Ἰδουμαῖοι, καὶ τὰ περίοικα τῶν ἐθνῶν. Ἐπειδὴ δὲ, ὡς ἔφην, καὶ εἰς αὐτὸν ἠσέβησαν τὸν Χριστὸν, οὐκ ἐν μείοσι τῶν ἀρχαιοτέρων γεγό-

VERS. 29, 30. *Quapropter confundentur in idolis suis, quæ ipsi nolebant: et confusi sunt super hortis suis, quos concupiverunt. Erunt etenim veluti terebinthus quæ abjecit folia, et ut hortus aquam non habens.*

Dixi propheticum sermonem genuinam in his verbis causam afferre Judæorum incusationis. Genuinum enim fuit eorum crimen. Nam olim relicto uno et naturali Deo ac Redemptore, idola coluerunt, sacrificia militiæ cœli sacrificaverunt, et operibus manuum suarum cultum deferentes, non mediocri impietate se obstrinxerunt. Porro etiam, cum Deus Dominus apparuisset nobis, ut est in Scripturis, negarunt et ipsum, ac nefarie in principem vitæ debacchati sunt. Itaque cognata et quasi germana fuerunt crimina; et hujus amentiæ modus priori fuit non absimilis: imo potius major ac gravior est dementia. Et quidem temporibus quæ adventum præcesserunt, hostium irruptionibus, civitatum conflagrationibus, domorum eversionibus, crudelitate gladii, puerorum occisionibus, et feminarum captivitatibus multati sunt et puniti. Deo namque immittente, Persæ, Medi, Moabitæ, Idumæi et accolæ gentes ista factitarunt.

[80] I Cor. IV, 15. [80*] Galat. IV, 19. [81] Isa. 32, 1.

Cæterum ubi, quemadmodum dixi, etiam **32** in ipsum Christum impii fuerunt, in malis versabantur, non minoribus aut levioribus illis, quæ præcesserunt. Inciderunt enim in Romanos exercitus, qui universam Judæam funditus deleverunt, cum nemo, qui quidem posset eripere, et ab illa tam acerba calamitate liberare, subveniret. Idcirco dicit : « Rubore suffundentur in idolis suis, quæ ipsi noluerunt : et erubuerunt in hortis suis, quos concupierunt. » Nemora siquidem occupantes et colles, deinde idola juxta proceriores arbores statuentes, atque aras erigentes, falso cognominatos deos, servatores appellabant, et in ipsis manuum suarum operibus spem omnem locabant ; posse, inquit, se inimicis superiores esse et adversantes facile expugnare. Cum autem advenissent hostes, et hostilia fecissent, et destitutus a diis suis exstitisset Israel, in idolis suis pudefacti sunt. Illos namque ante alios una cum hortis lucisque exustos conspexerunt, et cum delubris ipsis et altaribus. Exciderunt igitur spe, quando deos suos pati conspicarentur, tum denique vix intelligentes illud voce prophetæ dictum a Deo : « Et ubi sunt dii tui, quos ipse tibi fecisti? num surgent et servabunt te in tempore afflictionis tuæ [81*]? » Affecti ergo ignominia, in diis suis quos expetiverunt, et in hortis, erunt tanquam terebinthus abjectis foliis, et ut hortus aquam non habens : id est nudi et despectissimi, et multum laborantes sterilitate, spiritali videlicet bonarum actionum. Terebinthus enim et alia species quæcunque arborum, quandiu suis floribus densa est et ornata, sibi decoram gloriam retinet : amissis autem foliis, erit arida ac parum formosa, ac velut inhonorata. Hortus item, si fontes habeat, densus erit arboribus fructuumque ubertate multifariam luxuriat : siccus vero et humore carens, omnino sterilescet fructuum inopia, imo et ipsarum quoque arborum. Inhonoratus igitur et infructuosus mansit Israel. Quis enim est virtutis fructus in idolorum cultoribus? Aut quidni sit plenus omni dedecore et contemptione, qui deserit unum et natura Deum? « qui dicit ligno : Pater meus es tu, et lapidi : Tu me genuisti [82]? » Erit autem **33** et alio modo Israel velut terebinthus abjectis foliis. Nam ante Servatoris adventum, dum legis umbram retinerent, instar arborum erant, quæ fructum non habent, foliis tamen projectis et propagatis egregie efflorescunt. Cum deinde offendissent Christum, ipsam etiam umbræ observationem perdiderunt. Nec enim ultra observant legis sacrificia, nec sane legalibus ornamentis insigniuntur : sed pauca admodum priscæ gentis instituta retinentes in urbibus, infrugiferi sunt, spoliatique honoribus, et jure quidem optimo. « Interfecerunt enim principem vitæ, quem Deus, solutis doloribus mortis gravissimis, excitavit e mortuis, quandoquidem possibile non erat illum ab ea teneri [83*]. »

A νασι κακῶν. Περιπεπτώκασι γὰρ ταῖς Ῥωμαίων στρατιαῖς, οἳ καὶ πᾶσαν ἄρδην ὠλόθρευσαν Ἰουδαίαν, ἐπαμύνοντος οὐδενὸς, ἤγουν ἐξελέσθαι δυναμένου, καὶ τῆς οὕτω πικρᾶς ἐξελέσθαι συμφορᾶς. Ταύτῃ τοί φησιν, ὅτι « Καταισχυνθήσονται ἐν τοῖς εἰδώλοις αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπῃσχύνθησαν ἐν τοῖς κήποις αὐτῶν, ἃ ἐπεθύμησαν. » Ἄλση μὲν γὰρ καὶ δρυμοὺς καταλαμβάνοντες, εἶτα τοῖς εὐμηκεστέροις τῶν φυτῶν εἴδωλα περιιδρύσαντες, ἐγείροντές τε βωμοὺς, σωτῆρας ἐπεκάλουν, τοὺς ψευδωνύμους θεοὺς, καὶ ἐπ' αὐτοῖς τοῖς ἔργοις τῶν ἰδίων χειρῶν πᾶσαν ἔθεντο τὴν ἐλπίδα, τὴν τοῦ δύνασθαι κατευμεγεθεῖν ἐχθρῶν, καὶ καταγωνίζεσθαι ῥᾳδίως τοὺς ἀνθεστηκότας. Ἐπειδὴ δὲ οἱ μὲν πολέμιοι παρῆσαν, καὶ δεδράκασι τὰ ἐχθρῶν, ἀπομεμένηκε δὲ παρὰ τῶν B ἰδίων θεῶν ἀνεπικούρητος Ἰσραὴλ, κατῃσχύνθησαν ἐπὶ τοῖς εἰδώλοις αὐτῶν. Τεθέανται γὰρ αὐτοὺς καὶ πρό γε τῶν ἄλλων ἐμπιπραμένους ὁμοῦ τοῖς κήποις, ἤγουν τοῖς ἄλσεσι, καὶ αὐτοῖς τεμένεσι καὶ βωμοῖς. Οὐκοῦν διημαρτήκασι τῆς ἐλπίδος, ὅτε παθόντας τεθέανται τοὺς ἑαυτῶν θεοὺς, τότε συνέντες μόλις τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς εἰρημένον παρὰ Θεοῦ· « Καὶ ποῦ εἰσιν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ; εἰ ἀναστήσονται καὶ σώσουσί σε ἐν καιρῷ τῆς κακώσεώς σου ; » Παθόντες τοίνυν τὴν ἐντροπὴν τὴν ἐπί γε τοῖς ἰδίοις θεοῖς, οὓς ἐπεθύμησαν αὐτοὶ, καὶ μέντοι τοῖς κήποις, ἔσονται ὡς τερέβινθος ἀποβεβληκυῖα αὐτῆς τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων· τοῦτ' ἔστι, γυμνοί τε καὶ ἀτιμότατοι, καὶ πολὺ νοσοῦντες C τὴν ἀκαρπίαν, δῆλον δὲ ὅτι τὴν νοητὴν τὴν ἐν πράξεσιν ἀγαθαῖς. Ἡ μὲν γὰρ τερέβινθος, ἤγουν ἕτερόν τι τῶν φυτῶν, ἕως μὲν ταῖς ἰδίαις ἄνθαις ὁρᾶται κατάκομον, τὴν αὐτῷ πρέπουσαν ἀποσώζει δόξαν· ἀποβεβληκὸς δὲ τὰ φύλλα, ξηρὸν ἔσται καὶ ἀκαλλὲς, καὶ οἷον ἠτιμασμένον. Παράδεισος δὲ πάλιν, εἰ μὲν ἔχοι πηγὰς, εὐδενδρότατος ἔσται τις, καὶ ταῖς τῶν καρπῶν ἀφθονίαις πολυειδῶς ἐναβρύνεται. Ξηρὸς δὲ καὶ ἄνυδρος ὤν, ἔσται που πάντως ἐν ἀκαρπίᾳ, μᾶλλον δὲ καὶ αὐτῶν νοσήσει τὴν ἐρημίαν. Ἄτιμος τοίνυν καὶ ἄκαρπος ἀπομεμένηκεν ὁ Ἰσραήλ. Ποῖος γάρ ἐστι καρπὸς ἀρετῆς ἐν τοῖς τῶν εἰδώλων θεραπευταῖς; Ἢ πῶς οὐχ ἁπάσης ἀτιμίας ἔμπλεως, ὁ Θεὸν ἀφεὶς τὸν ἕνα καὶ φύσει, « καὶ λέγων τῷ ξύλῳ, Πατήρ μου εἶ σύ· καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με ; » Ἔσται δὲ D καὶ ἑτέρως Ἰσραὴλ ὡς τερέβινθος, ἀποβεβληκυῖα τὰ φύλλα. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, τὴν τοῦ νόμου τηροῦντες σκιὰν, προσεοίκεσαν φυτοῖς, καρπὸν μὲν οὐκ ἔχουσι, πλὴν εὖ μάλα περιηνθισμένοις ταῖς τῶν φύλλων ἐκβολαῖς. Ἐπειδὴ δὲ προσκεκρούκασι τῷ Χριστῷ, καὶ αὐτὴν ἀποβεβλήκασι τὴν τῆς σκιᾶς τήρησιν. Οὐ γὰρ ἔτι τηροῦσι τὰς κατὰ νόμον θυσίας, οὔτε μὴν τοῖς νομικοῖς αὐχήμασιν ἐπισεμνύνονταί ποθεν· ὀλίγιστα δὲ κατὰ πόλεις τῶν ἀρχαίων τηροῦντες ἐθνῶν, ἄκαρποί εἰσιν καὶ ἠτιμωμένοι· καὶ μάλα εἰκότως. Ἀπεκτόνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθ' ὅτι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.

[81*] Jer. II, 28. [82] ibid. 27. [83*] Act. III, 15.

Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στιππύου, καὶ ἡ ἐργασία αὐτῶν ὡς σπινθῆρες πυρὸς, καὶ κατακαυθήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων. A

Ὁ σοφὸς εἴρηκεν Σολομὼν, ὅτι Σειραῖς τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται· καὶ ἀληθὴς ὁ λόγος. Ἑκάστῳ γὰρ ἡμῶν τὰ ἴδια πλημμελήματα προξενεῖ τὸν ὄλεθρον, καὶ τὰς ἐκ θείας ὀργῆς ἐπιφέρει δίκας. Ὁποῖόν τι πεπόνθασιν οἱ ἐξ Ἰσραήλ. Εἰργάσαντο μὲν γὰρ ἑαυτοῖς τοὺς ψευδωνύμους θεοὺς, καὶ ἐπ' αὐτοῖς ἐσχήκασι τὴν ἐλπίδα, τοῦ δύνασθαι κατακρατεῖν ἐχθρῶν. Ἀλλ' αὐτὸ δὴ τοῦτο γέγονεν αὐτοῖς μονονουχὶ πῦρ τε καὶ ξύλα. Διὰ γὰρ ταύτην τὴν πλημμέλειαν δέδονται πυρὶ, καὶ τοῦτο ἀσβέστῳ, τοῦτ' ἔστι, δειναῖς τε καὶ ἀκαταλήκτοις συμφοραῖς, ἐπαμύνοντος οὐδενός. B Καὶ τοῦτο ἡμῖν σαφὲς καθίστησι, λέγων· Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στιππύου, καὶ ἡ ἐργασία αὐτῶν ὡς σπινθῆρες πυρός. Ἡ προσδοκηθεῖσα, φησὶν, ἔσεσθαι δύναμις αὐτοῖς, ἔσται ὡς καλάμη στιππύου, τοῦτ' ἔστι, τροφὴ πυρὸς καὶ ὑπέκκαυμα, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτῶν, ὡς πυρὸς σπινθῆρες ἀκοντιζόμενοι κατ' αὐτῶν. Καυθήσονται οὖν οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα. Παραιτητέον τοίνυν τὸ προσκρούειν Θεῷ, καὶ τὸ δρᾷν ἐκεῖνα . . . .

. . . . αὐτὰ γὰρ ἡμῶν τὰ ἔργα, καὶ πῦρ ἡμῖν ἔσται καὶ τροφὴ πυρὸς, καθάπερ ἀμέλει καὶ τὰ ἐκ πράξεων ἀγαθῶν αὐχήματα, καὶ ζωῆς καὶ δόξης ἐμποιητικὰ τοῖς κατορθοῦσιν εὑρίσκεται. C

ΛΟΓΟΣ Β'.

Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἡσαΐαν, υἱὸν Ἀμὼς, περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ.

Συγγενῆ τοῖς φθάσασι τὰ προκείμενα, καὶ διὰ τῶν ἴσων ἐννοιῶν ἐρχόμενα κατίδοι τις ἂν αὐτὰ, λεπτὸν ἐπιστήσας τοῖς θεωρήμασι τῆς διανοίας τὸν νοῦν. Γεγόνασι γὰρ οἱ πάλαι παρὰ Θεοῦ λόγοι πρὸς τὸν θεσπέσιον προφήτην περὶ τῆς Ἰουδαίας καὶ περὶ τῆς Ἱερουσαλήμ. Δοκεῖ δέ πως, μέσην τινὰ καὶ οὐ σφόδρα σαφῆ τῆς ὁράσεως τὴν ἀπόδοσιν ἔχειν τοῦ φάναι περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ. Πλὴν ὡς ἔνι σαφηνιοῦμεν αὐτὴν τὴν τῆς ὁράσεως δύναμιν, οἱονεί πως ἐν βραχεῖ συνενεγκόντες εἰς νοῦν. D Ἐπειδὴ γὰρ τῆς μὲν αἰσθητῆς Ἰουδαίας καὶ τῆς Ἱερουσαλὴμ τὴν δῄωσιν πειρᾶται λέγειν, τῆς γε μὴν ἐν Χριστῷ καὶ νοητῆς τὴν ἀνάδειξιν, καὶ τὴν ἐν τῷδε τῷ κόσμῳ φανέρωσιν· ταύτης ἕνεκα τῆς αἰτίας, οὐχ ὑπέρ γε τῆς Ἰουδαίας, οὔτε μὴν κατὰ τῆς Ἱερουσαλὴμ, ἀλλὰ περὶ τῆς Ἰουδαίας, καὶ περὶ τῆς Ἱερουσαλὴμ τελέσθαι φησὶ τὴν ὅρασιν. Αἰσθητὴν δέ φαμεν τὴν Ἰουδαίαν, καὶ μέντοι καὶ Ἱερουσαλὴμ, αὐτὴν μὲν τὴν χώραν ἐν ᾗ κατῴκηκεν ὁ Ἰσραὴλ, καὶ αὐτὸ τὸ σύστημα τῆς Ἰουδαίων συναγωγῆς. Νοητὴν δὲ πάλιν Ἱερουσαλὴμ, ἤγουν Ἰουδαίαν, τὴν Ἐκκλησίαν εἶναι νομιοῦμεν, ἤτοι τὴν ἐν πνεύματι περιτομὴν, τοῦτ' ἔστι, τοὺς ἐν Χριστῷ τὴν ἀχειροποίητον περιτομὴν εἰς νοῦν ἔχοντας καὶ καρδίαν. Καὶ γοῦν Ἰουδαίοις

A Vers. 31. *Et erit fortitudo eorum velut stipula stuppæ, et opus eorum velut scintillæ ignis et comburentur iniqui, et peccatores simul, nec erit qui exstinguat.*

Sapienter dixit Salomon: Quisque peccatorum suorum compedibus stringitur; et quidem vera est hæc oratio. Sua enim cuique nostrum delicta perniciem creant, et ex ira divina pœnas conflabunt. Quod quidem passi sunt Israelitæ. Commentitios enim et falso nuncupatos deos sibi fabricaverunt, atque in illis sperarunt se hostes superaturos. Cæterum hoc ipsum factum est illis tantum non ignis et ligna. Propter hanc enim pravitatem, igni traditi sunt, et quidem igni inexstinguibili, gravibus scilicet et continuis calamitatibus, nullo ferente suppetias. B Id quod nobis perspicuum facit, inquiens: Et erit fortitudo eorum, tanquam culmus stuppæ, et eorum opera velut scintillæ ignis. Quod sperabant sibi fore præsidium et firmamentum, inquit, erit tanquam cumulus stuppæ, id est, alimentum ignis et fomes incendii: atque opera manuum suarum, quasi ignis scintillæ in ipsos conjectæ. Quapropter iniqui comburentur, et peccatores pariter. Ideoque committendum non est, ut Deum posthac offendamus, eave designemus imprudenter, quæ propemodum invitum accendent in nos eum, qui potest omnia. Hæc etenim opera nostra, et ignis erunt nobis, et fomentum ignis: quemadmodum profecto recte ac præclare facta, laudem, vitam et gloriam, C recte viventibus conciliare videmus.

34 ORATIO II.

Cap. II. Vers. 1. *Verbum a Domino factum ad Isaiam, filium Amos, de Judæa et de Jerusalem.*

Similia superioribus sunt hæc quæ proponuntur, et pari quodammodo sententiarum tenore procedere videbit, quisquis ad hanc rem intelligendam et considerandam paululum modo animum mentemque adhibeat. Facta sunt enim olim a Deo verba ad divinum prophetam de Judæa et de Jerusalem. Videtur autem mediam quamdam nec admodum dilucidam visionis explicationem habere quod dicatur de Judæa et de Jerusalem. Nos vero, D quoad ejus fieri potest, ipsam visionis vim breviter animo comprehensam explicabimus. Quoniam enim sensibilis Judææ et Jerusalem vastationem dicere conatur, ejus quæ in Christo est et intelligibilis demonstrationem et patefactionem in hoc mundo: hac de causa, non super Judæa, nec contra Jerusalem, sed de Judæa, et de Jerusalem se vidisse dicit visionem. Sensibilem vero Judæam et Jerusalem dicimus, regionem ipsam in qua habitavit Israel, et ipsum Judaicæ Synagogæ consessum. Intelligibilem rursus Jerusalem sive Judæam, statuemus esse Ecclesiam, seu eam quæ in spiritu est circumcisionem, id est, eos qui in Christo non manibus factam, sed animi ac cordis circumcisionem habent. Quippe Judæis clamavit e sanctis

prophetis unus: Circumcidamini Deo, et circumcidite cordis vestri obstinationem, viri Judæi et habitantes Jerusalem. Agnovit etiam D. Paulus Judæum alterum, non ex carne, sed potius in spiritu. Sic enim scribit: « Non enim qui in manifesto Judæus est, neque quæ in manifesto, in carne, circumcisio est: sed qui in occulto Judæus est, et circumcisio cordis in spiritu, non in littera: cujus laus non ex hominibus, sed ex Deo est[33]. » Diligenter itaque observandum est, quando propheta contra sensibilem Jerusalem, vel Judæam verba facit; quando item de ea quæ in Christo est et intelligibili, quæ etiam **35** vere perfecta est et intaminata. Jam vero quid dicit?

VERS. 2, 3. *Quia erit in novissimis diebus manifestus mons Domini, et domus Dei in verticibus montium, et extolletur supra colles, et venient ad illum omnes gentes. Et ibunt gentes multæ et dicent: Venite, ascendamus in montem Domini, et in domum Dei Jacob, et annuntiabit nobis viam suam, et ambulabimus in ea. Ex Sion enim egredietur lex, et verbum Domini de Jerusalem.*

Terminata est siquidem et absoluta visio prophetæ. Et præcedentis prædictionis ultima clausula erat. Quapropter pudore afficientur super idolis, quæ ipsi voluerunt: et erubuerunt super hortis suis, quos appetiverunt. Quemadmodum vero pudore affecti fuerint Israelitæ in idolis suis, abunde diximus. Cum autem prophetiæ de illis mentio facta sit, incipiens propheta vicinam ordine et secundam visionem, tempus designat, quo, non in aliqua parte orbis terrarum, non in una regione et civitate, diaboli imperium concidet, in totum evulso cultu et profano apparatu idolorum: sed ex omni loco sub cœlo ille morbus et immundorum dæmonum tyrannis eliminabitur. Perfectum istud vero est mortalibus in extremis diebus, id est ultimis hujus sæculi temporibus, quibus unigenitum Dei Verbum factum caro, natum ex muliere, apparuit: cum intelligibilem Judæam vel Jerusalem, hoc est Ecclesiam, sibi ipse repræsentaret ac sisteret, virginem castam, non rugam aut ejusmodi quidpiam habentem, sed potius sanctam et immaculatam, uti scriptum est. De ea vero dicit, « Quia erit in extremis diebus spectabilis mons Domini, et domus Dei Jacob super editis montibus. » Legitur quidem Sion illa Judæorum in monte sita et ædificata; intelligi tamen potest hic non crasse aut sensibiliter, at spiritualiter Ecclesia, quæ etiam monti comparatur. Etenim vere est excelsa et illustris, et omnibus ubique notissima. Aliter etiam excelsa est, quoniam terreni nihil sapit, at supra res terrenas est, et gloriam Dei, quatenus licet, animi oculis intuetur, et sublimibus admodum de Deo opinionibus gloriatur. Græcorum enim eruditi, **36** etiamsi sapientiæ nomine valde supercilium tollerent: creaturæ tamen divinitatem affingunt, mundique elementis venerationem attri-

[33] Rom. II, 28, 29.

A ἐπεφώνησέ τις τῶν ἁγίων προφητῶν· Περιτμήθητε τῷ Θεῷ, καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ. Οἶδεν δὲ ὁ θεσπέσιος Παῦλος Ἰουδαῖον ἕτερον, οὐ τὸν κατὰ σάρκα μᾶλλον, ἀλλὰ τὸν ἐν πνεύματι. Γράφει γὰρ οὕτω· « Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας, ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ. » Χρὴ τοιγαροῦν νηφαλίως ἐπιτηρεῖν, πηνίκα μὲν ὁ προφήτης κατὰ τῆς Ἱερουσαλὴμ, ἤγουν Ἰουδαίας, ποιεῖται λόγους, πηνίκα δὲ περὶ τῆς ἐν Χριστῷ καὶ νοητῆς, ἣ καὶ ἀληθῶς ἐστι τελεία καὶ ἄμωμος. Τί τοίνυν φησίν;

Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς B *τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων. Καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη. Καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσιν· Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ.*

Κατέληξε μὲν γὰρ ἡ ὅρασις αὐτῷ. Καὶ τῆς ἤδη φθασάσης προαγορεύσεως τὸ τέλος ἦν.· Διότι καταισχυνθήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπῃσχύνθησαν ἐπὶ τοῖς κήποις αὐτῶν, ὧν αὐτοὶ ἐπεθύμησαν. Καὶ τίνα μὲν τρόπον κατῃσχύνθησαν οἱ ἐξ Ἰσραὴλ ἐπὶ τοῖς εἰδώλοις αὐτῶν, διαρκῶς εἰρήκαμεν. Ἐπειδὴ δὲ μνήμη γέγονε C τῆς ἐπ' αὐτοῖς προφητείας, ἀρχόμενος ὁ προφήτης γείτονος ἐφεξῆς καὶ δευτέρας ὁράσεως, κατασημαίνει τὸν χρόνον, καθ' ὃν οὐκ εἰς μέρος τι τῆς γῆς, οὐδὲ ἐν μιᾷ χώρᾳ τε καὶ πόλει τὸ τοῦ διαβόλου πεσεῖται κράτος, καθῃρημένης εἰς ἅπαν τῆς τῶν εἰδώλων λατρείας καὶ βεβήλου κατασκευῆς, ἀλλ' ἐξ ἁπάσης ληφθήσεται τῆς ὑπ' οὐρανὸν ἡ τοιάδε νόσος, καὶ τῶν ἀκαθάρτων δαιμονίων ἡ τυραννίς. Κατώρθωται δὲ καὶ τοῦτο τοῖς ἐπὶ τῆς γῆς ἐν ἐσχάταις ἡμέραις, τοῦτ' ἔστιν, ἐν τελευταίοις τοῦ παρόντος αἰῶνος καιροῖς, καθ' οὓς ἐπέλαμψεν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, γενόμενος ἐκ γυναικός. Ὅτε καὶ αὐτὸς ἑαυτῷ παρέστησε τὴν νοητὴν Ἰουδαίαν, ἤγουν Ἱερουσαλὴμ, τοῦτ' ἔστιν, τὴν Ἐκκλη- D σίαν παρθένον ἁγνὴν, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, κατὰ τὸ γεγραμμένον· ἁγίαν δὲ μᾶλλον καὶ ἄμωμον. Καὶ περὶ αὐτῆς φησιν, ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ Ἰακὼβ ἐπ' ἄκρων τῶν ὀρέων. Καὶ ἡμῖν μὲν Σιὼν ἡ κατά γε τὴν Ἰουδαίαν, ἐν ὄρει κεῖσθαί τε καὶ οἰκοδομεῖσθαι λέγεται. Νοηθείη δ' ἂν οὐκ αἰσθητῶς μᾶλλον, ἀλλὰ πνευματικῶς ἐν τούτοις ἡ Ἐκκλησία, ἣ καὶ ὄρει παρεικάζεται. Καὶ γάρ ἐστιν ἀληθῶς ὑψηλὴ καὶ περίοπτος, καὶ γνωριμωτάτη τοῖς ἁπανταχοῦ. Ὑψηλὴ δὲ καὶ ἑτέρως· φρονεῖν γὰρ τῶν ἐπιγείων οὐδὲν ἀλλ', ὑψοῦ τῶν ἐπιγείων ἐστιν, καὶ τὴν τοῦ Θεοῦ δόξαν, ὡς ἔνι, περιαθρεῖ τοῖς τῆς διανοίας ὄμμασι, καὶ ὑψηλοῖς ἄγαν τοῖς περὶ αὐτοῦ δόγμασιν ἐπαυχεῖ. Ἑλλήνων

μὲν γὰρ οἱ λογάδες, καίτοι μεγάλην ἐπὶ σοφίᾳ τὴν ὀφρὺν ἀνασπῶντες, θεοποιοῦσι τὴν κτίσιν, καὶ τοῖς τοῦ κόσμου στοιχείοις τὸ σέβας ἀνάπτουσι. Χθαμαλὸν γὰρ ἔχουσι τὸν νοῦν, καὶ χαμαιριφῆ τὰ θεωρήματα, καὶ τὴν καρδίαν ἐσκοτισμένην· φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, κατὰ τὸ γεγραμμένον. Ἡ δέ γε νοητὴ Σιὼν, τοῦτ' ἔστιν, ἡ Ἐκκλησία, πᾶσαν μὲν ὑπερίπταται κτίσιν ὁρατήν τε καὶ ἀόρατον, ἀφικνεῖται δὲ πρὸς αὐτὴν τὴν τῶν ὅλων ἐπέκεινα φύσιν. Φωτὸς γὰρ τοῦ θείου μεμέστωται, καὶ αὐτὴν ἐπιγινώσκουσα καὶ δημιουργὸν καὶ τεχνίτην τῶν ὅλων αὐτῇ τε καὶ μόνῃ τὸ κατὰ πάντων ἀπονέμει κράτος. Καὶ τῇ τοιᾷδε δόξῃ στεφανοῖ τὸν τῶν ὅλων παμβασιλέα καὶ Θεὸν καὶ Κύριον. Ὄρος τοιγαροῦν νοητὸν ὁ οἶκος τοῦ Θεοῦ δικαίως ἂν λέγοιτο. Καὶ ἔστι διαφανὴς, ὡς ἐπὶ βουνῶν ἡρμένος. Φαίη δ' ἄν τις ἐπ' αὐτοῦ καὶ μάλα εἰκότως τὸ διὰ τῆς τοῦ Σωτῆρος φωνῆς, ὡς ἐκ παραδείγματος ἐναργοῦς εἰρημένον· « Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. » Καὶ πλεῖστα μὲν ἄν τις συλλέξαιτο, καὶ μάλα ῥᾳδίως τὰ δι' ὧν ἔστιν ἰδεῖν παρὰ ταῖς θεοπνεύστοις Γραφαῖς, ὅτι καὶ βουνοῖς, καὶ ὄρεσι παρεικάζεται τῆς νοητῆς Ἱερουσαλὴμ τὸ ἀνάστημα, τοῦτ' ἔστι, τῆς Ἐκκλησίας τὸ ὕψος. Βαδιούμεθα δὲ πρὸς τὰ ἐφ' ἑξῆς, τοῖς φιλομαθέσιν ἀφέντες τὰ τοιάδε συλλέγειν, εἴπερ ἕλοιντο τοῦτο δρᾷν. Ἴδωμεν δὲ τί τὸ τελοῦν εἰς ὄνησιν τοῖς ἐπὶ τῆς γῆς. Ἀπό γε τοῦ τὸν οἶκον τοῦ Θεοῦ περίοπτον οὕτω γενέσθαι τοῖς ἁπανταχοῦ, ὡς δοκεῖν ἤδη πως ὑψοῦσθαί τε ἐπὶ βουνοὺς, καὶ ἐπ' ἄκρων κεῖσθαι τῶν ὀρέων. Οὐκοῦν πληροφορήσει λέγων εὐθὺς ὁ προφήτης. « Καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη· καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσιν· Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ. Καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. » Ὅτι μὲν οὖν συνηθροίσθη πάντα τὰ ἔθνη, καὶ συνδεδραμήκασι διὰ τῆς πίστεως εἰς τὴν Ἐκκλησίαν, οὐ μακρῶν ἡμῖν δεήσει πρὸς ἀπόδειξιν λόγων. Αὐτὴ δὲ τῶν πραγμάτων ἡ ἔκβασις αὐτόμαρτυς ἔσται καὶ ἀληθής. Πλὴν ἐκεῖνο καταθαυμάζειν ἄξιον. Κέκληται γὰρ τῶν ἐθνῶν ἡ πληθὺς, οὐ διὰ τῆς τοῦ νόμου παιδαγωγίας, οὐ διὰ προφητῶν ἁγίων· ἀγείρει δὲ μᾶλλον αὐτὰ θεία τις καὶ ἀπόῤῥητος χάρις νοητῶς ἐλλάμπουσα, καὶ τῆς διὰ Χριστοῦ σωτηρίας ἐντιθεῖσα τὴν ἔφεσιν. Θέα γὰρ ὅπως διακηρύξαντος αὐτοῖς οὐδενὸς ἀλλήλοις ἐπιφωνεῖ· « Δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. » Πρῶτον ἀναβαίνουσιν, εἶθ' οὕτω ζητοῦσιν ἐπαγγέλλεσθαί τε τὸν τοῦ Θεοῦ λόγον αὐτοῖς. Ὑπισχνοῦνται δὲ καὶ βαδίζειν τὴν ὁδὸν τοῦ Κυρίου, δῆλον δὲ ὅτι τὴν εὐαγγελικὴν, προεισβολὴν ἔχουσαν τὴν διὰ πίστεως κάθαρσιν. Ἐοίκασι δὲ τὴν ὁδὸν Κυρίου ζητοῦντες μαθεῖν, τῆς ἀρχαίας ἐκείνης καὶ βεβήλου πλάνης προεισδέξασθαι τὴν κατάγνωσιν. Ἔσται γὰρ οὐχὶ ἑτέρως ἐν ἡμῖν τῶν βελτιόνων ἡ ἔφεσις, μὴ οὐχὶ δὴ πρῶτον προκατεγνωκότων τῶν

A buunt. Terrenam siquidem habent mentem, et humiles cogitationes, et cor obtenebratum: cum se dicerent esse sapientes, infatuati sunt, sicuti scriptum est [33]. At Sion intelligibilis, Ecclesia scilicet, supra omnem creaturam et aspectabilem et inaspectabilem evolat, et ultra ipsam adeo universitatis naturam pertingit, luce enim divina plena est, illamque agnoscit opificem artificemque universorum, illi atque adeo soli potentiam in omnia tribuit, et ejusmodi gloria universorum Regem præpotentem ac Dominum coronat. Hinc igitur mons intelligibilis domus Dei jure dici possit. Et est illustris, utpote supra colles elevata. De illa vero istud merito quis dixerit, quod illustris exempli loco Servatoris voce dictum est: « Non B potest civitas abscondi supra montem posita [34]. » Sunt vero plura alia quæ facillime colligi possent, unde videre est in Scripturis divinitus inspiratis, Jerusalem intelligibilis apicem, id est, Ecclesiæ celsitudinem, collibus et montibus comparari. Cæterum ad sequentia veniemus, hæc studiosis coacervanda relinquentes, si quidem id facere voluerint: videamus vero quid utilitatis mortalibus afferat, domum Dei hanc conspicuam esse ac spectabilem ubilibet omnibus, ita ut jam quodammodo evecta supra collem, et in editis montibus collocata videatur. Id vero mox propheta abunde declarabit, dicens: « Et venient ad eum omnes gentes, et ambulabunt gentes multæ, ac dicent: Adeste, ascen- C damus in montem Domini et in domum Dei Jacob. Et annuntiabit nobis viam suam, et ambulabimus in ea. » Atqui omnes gentes coactas fuisse, et per fidem in Ecclesiam confluxisse, longiori verborum circuitu id demonstrare non erit opus: quin ipse rerum eventus ipsissimus erit ac verus testis. Illud autem admirari operæ pretium fuerit. Vocata est enim gentium multitudo, non per legis pædagogiam, non per sanctos prophetas; sed divina potius et arcana quædam gratia, intelligenter irradians, et salutis per Christum desiderium instillans, eas congregavit. Specta enim quomodo nullo prædicante sibi invicem acclamant: « Adeste et ascendamus in 37 montem Domini, et in domum Dei Jacob. Et annuntiabit nobis viam suam, et ambulabimus in D ea. » Primum ascendunt, dein sic quærunt, ut verbum Domini sibi annuntietur, et recipiunt se ituros viam Domini, nimirum evangelicam, cujus aditus est purgatio per fidem. Qui autem viam Domini cupiunt discere, inveterati illius et profani erroris condemnationem videntur ante suscipere. Alioqui non erit in nobis illa meliorum expetitio, nisi prius vetera prima damnantibus. Quis ergo illis erat mystagogus? Quis deduxit ad agnitionem veritatis, et persuasit eis, ut prima existimarent ridicula, et ad posteriora accurrerent? Annon videlicet Deus? qui, ut dixi, illorum mentibus et cordi illuxit, aduxitque ut dicerent simul et sentirent: « Ex Sion

[33] Rom. I, 22. [34] Matth. x, 14.

egredietur lex, et verbum Domini de Jerusalem. » Quod geminum sensum habet. Aut enim illud dicunt, Nos verbum a domo Dei accipiemus; et cum ibi fuerimus verbum Dei cognoscemus. Aut quod lex reliquit Sion, et ex ea veluti migravit, et ab Jerusalem Dei Verbum excessit. Postquam enim in Christum debacchati sunt, et regnum ejus negarunt, eos reliquit orphanos et orbos; illudque dictum est per prophetam : « Et dixi : Non pascam vos, moriens moriatur, et deficiens deficiat, et posthac edat quisque proximi sui carnes [85]. » Itaque lex egressa est ex Sion, et verbum Domini de Jerusalem. Post Servatoris enim crucem obsignata est visio et prophetia : nec amplius apud ipsos Dei lex et verbum fuit. Ideoque divinus Paulus tantum non desperans, et inemendabilem Judæorum turbam conspicatus : « Vobis, » inquit, « necesse erat loqui verbum Domini : postquam autem repulistis illud, et indignos vos facitis æterna vita, ecce convertimur ad gentes. Sic enim præcepit nobis Dominus [86]. » Disce igitur quo pacto in gratia Dei exsultent gentes. Nam ex Sion et Jerusalem legem et verbum Domini recessisse dicunt, omninoque ad se demigrasse. Transiit enim gratia ab his, qui fidem voluerunt rejicere, ad eos qui per fidem vocati sunt.

A πάλαι. Τίς οὖν ἄρα γέγονεν αὐτοῖς ὁ μυσταγωγός; Τίς ὁ ἀναφέρων εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀναπείθων αὐτοὺς καταγέλαστα μὲν ἡγεῖσθαι τὰ πρῶτα, προστρέχειν δὲ τοῖς δευτέροις; ἢ δηλονότι Θεός; ὁ καὶ ἐλλάμψας αὐτοῖς, ὡς ἔφην, εἰς νοῦν καὶ καρδίαν, καὶ ἀναπείσας εἰπεῖν τε ἅμα καὶ φρονεῖν, ὅτι « Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ. » Ὠδίνει δὲ τοῦτο διπλῆν ἐφ' ἑαυτῷ τὴν ἔννοιαν. Ἢ γὰρ ἐκεῖνό φασιν, ὅτι Ληψόμεθα λόγον ἐκ τοῦ οἴκου τοῦ Θεοῦ, καὶ τὸν τοῦ Θεοῦ λόγον ἐκεῖ γεγονότες εἰσόμεθα· ἢ ὅτι καταλέλοιπε τὴν Σιὼν, καὶ οἷον ἐκδέδηκεν ἀπ' αὐτῆς ὁ νόμος, καὶ ἀπὸ τῆς Ἱερουσαλὴμ ἀποπεφοίτηκεν ὁ τοῦ Θεοῦ Λόγος. Ἐπειδὴ γὰρ πεπαρῳνήκασιν εἰς Χριστὸν, ἠρνήσαντό τε τὴν βασιλείαν αὐτοῦ, καταλέλοιπεν αὐτοὺς, καὶ ἀφῆκεν
B ὀρφανούς. Καὶ τοῦτο ἦν τὸ διὰ τοῦ προφήτου λεγόμενον· « Καὶ εἶπα, οὐ μὴ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα ἐσθιέτω ἄνθρωπος ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. » Ἐξῆλθεν τοίνυν νόμος ἐκ τῆς Σιὼν, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ. Ἐσφραγίσθη γὰρ ὅρασις καὶ προφητεία μετὰ τὴν τοῦ Σωτῆρος σταυρόν. Καὶ οὐκέτι παρ' αὐτοῖς ὁ τοῦ Θεοῦ νόμος τε καὶ λόγος. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος μονονουχὶ καὶ ἀπειρηκὼς, καὶ ἀνουθέτητον βλέπων τὴν τῶν Ἰουδαίων πληθὺν, « Ὑμῖν, » φησὶν, » ἦν ἀναγκαῖον λαληθῆναι τὸν λόγον τοῦ Κυρίου· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη· οὕτω γὰρ ἐντέταλκεν ἡμῖν ὁ Κύριος. » Σύνες οὖν ὅπως ἐπὶ τῇ τοῦ Χριστοῦ χάριτι μεγαλαυχοῦνται τὰ ἔθνη. Ἀπὸ γὰρ τῆς Σιὼν καὶ τῆς Ἱερουσαλὴμ ἐκδεδηκέναι φασὶ νόμον τε καὶ λόγον τοῦ Κυρίου, μεταφοιτῆσαι δὲ πάντως εἰς αὐτά. Μεταβέβηκε γὰρ ἡ χάρις ἐκ τῶν ἀπειθεῖν ἑλομένων εἰς τοὺς διὰ τῆς πίστεως κεκλημένους.

38 VERS. 4. *Et judicabit inter gentes, et arguet populum multum, et contundent gladios suos in aratra, et lanceas suas in falces, et non sumet gens in gentem gladium, neque discent amplius bellum gerere.*

Cum prædixerit potentiam diaboli casuram et in nihilum abituram, idolorumque fictionem irritam cassamque futuram, exhortatione mutua sibi acclamantibus gentibus : « Adeste et ascendamus in montem Domini, et in domum Dei Jacob, et annuntiabit nobis viam suam, et ambulabimus in ea, » tempus ob oculos auditorum constituit : quo ea quæ commemorata ante sunt ad finem pervenient, et ex ipsa rerum conditione facit clarissimum. Etenim olim cum terra non esset uni jugo subdita, sed per civitates et regiones distinguerentur gentes, et quæque sigillatim suum haberet ducem, dissidium erat, et nulla hominum permistio aut consociatio, sed pugnæ et bella ubivis gentium perdentibus sese mutuo terræ habitatoribus, et semper alienas res diripientibus, et rapinam ac feritatem, contra quos quisque poterat, gloriam summam esse existimantibus. Nec igitur tutam habitationem habuerunt, semper migrantes ad alteram, et ab ea quam occuparant deturbati a potentioribus. Cæterum cum universorum Deus Romanorum sceptris orbem

C *Καὶ κρινεῖ ἀναμέσον τῶν ἐθνῶν, καὶ ἐλέγξει λαὸν πολύν· καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς τὰ δρέπανα. Καὶ οὐ λήψεται ἔθνος ἐπὶ ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.*

Προειρηκὼς ὅτι πεσεῖταί τε καὶ οἰχήσεται πρὸς τὸ μηδὲν τὸ τοῦ διαβόλου κράτος· ἀργήσει δὲ καὶ ἡ τῶν εἰδώλων ποίησις προτροπάδην ἀλλήλων ἐπιφωνούντων ἐθνῶν· « Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ· » καθίστησι τοῖς ἀκροωμένοις ἐναργῆ τὸν καιρὸν, καθ' ὃν εἰς πέρας ἥξει τὰ προειρημένα, καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων καταστάσεως ποιεῖται γνωριμώτατον. Πάλαι μὲν γὰρ, οὐκ οὔσης τῆς γῆς ὑπὸ ζυγὸν ἕνα, διωρισμένων δὲ
D κατά τε χώρας καὶ πόλεις τῶν ἐθνῶν, καὶ ἰδικῶς ἑκάστης ἐχούσης τὸν ἡγούμενον, ἀμιξία τε ἦν καὶ μάχαι καὶ πόλεμοι, πανταχῇ καταδηούντων ἀλλήλων τῶν ἐπὶ τῆς γῆς, καὶ διαρπαζόντων ἀεὶ τὰ ἑτέρων, καὶ τὴν καθ' ὧν ἂν δύναιντο ἕκαστοι πλεονεξίαν καὶ ἀγριότητα, δόξαν ἡγούμενοι τὴν ἀνωτάτω. Οὐκοῦν οὐδὲ ἀσφαλῆ τὴν οἴκησιν εἶχον, ἀεὶ μεθιστάμενοι πρὸς ἑτέραν, καὶ ὑπὸ τῶν δυνατωτέρων τῆς εἰλημμένης ἐξωθούμενοι. Ἐπειδὴ δὲ ὁ τῶν ὅλων Θεὸς τοῖς Ῥωμαίων σκήπτροις ὑπήγαγε τὴν ὑπ' οὐρανὸν, μία τε λοιπὸν ἡ κατὰ πάντων, ἐκτέταται

[85] Zach. XI, 9. [86] Act. XIII, 46.

βασιλεία, κατέληξαν μὲν οἱ πόλεμοι, πέπαυται δὲ A μάχη καὶ διχόνοια, καὶ κεκράτηκεν ἡ δικαιοσύνη, καὶ τῆς εὐνομίας τὸ ἀσφαλὲς, οὐδενὸς ἁρπάζοντος· οὐ καταδῃοῦντος ἔτι, καὶ πόλεων ἢ χωρῶν κατατρέχοντος· οὐκ ἀνεπίπληκτον ἔχοντος τὸ πλεονεκτεῖν. Καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ δὲ δίδοται μὲν ἡ τῶν ὅπλων χρεία μόνοις τοῖς μαχιμωτάτοις, καὶ τὴν στρατεύσιμον ἔχουσι τάξιν, ὑπὸ χεῖρά τε οὖσι τὴν βασιλέως. Ἠλέγχθησαν δὲ καὶ ἀσθενῆ τὰ πολλὰ τῶν ἐθνῶν, ὅσα τῆς Ῥωμαίων ἀρχῆς ἀποσεισάμενα τὸν ζυγὸν, πόλεσί τε καὶ χώραις ἀγρίως ἐπιφοιτᾷ. Οὐ γὰρ ἔστιν αὐτοῖς ἐλευθέρως, ὡς ἂν βούλοιντο, κατατρέχειν. Ἀντανίστανται γὰρ τὰ Ῥωμαίων ὅπλα, καὶ ἠρεμεῖν ἀναγκάζουσι, καὶ καταπτοοῦσιν ὡς θῆρας, καὶ ταῖς παρὰ σφῶν εὐσθενείαις ἀνάνδρους ὄντας ἐλέγχουσιν. Ὁρίζεται τοίνυν τὸν καιρὸν, ὡς B ἔφην, ὁ μακάριος προφήτης τῆς τῶν ἐθνῶν κλήσεως καὶ ἐπιστροφῆς. Καὶ ποῖός ἐστιν οὗτος; Ὅτε, φησὶν, ὁ τῶν ὅλων Θεὸς, καὶ παμβασιλεὺς, καὶ Κύριος κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, τοῦτ' ἔστι, δικαιοσύνην καὶ κρίσιν εἰς πάντα ποιεῖται τὰ ἔθνη. Κεκράτηκε μὲν γὰρ ἡ ἀδικία, καθάπερ ἔφην ἀρτίως, διαρπαζόντων ἄλληλα τῶν ἐθνῶν, καὶ πάντα τρόπον ἐπιφερόντων ἀγριότητος καὶ πλεονεξίας. Ἐπειδὴ δὲ ταῦτα γέγονεν ἐκ μέσου, δικαιοσύνη καὶ κρίσις δέδοται παρὰ Θεοῦ, καὶ ἠλέγχθησαν, ὡς ἔφην, ἔθνη πολλὰ τοῖς Ῥωμαίων ὅπλοις νενικημένα. Ὥστε τοὺς ὑπὸ χεῖρα τὴν βασιλέως δεδιέναι μὲν οὐκέτι τάς τινων ἐφόδους, εἰς τοῦτο δὲ ἤδη προελθεῖν τὰ πράγματα αὐτοῖς εἰρήνης τε ὁμοῦ καὶ εὐημερίας, ὡς μηκέτι δεῖσθαι τῆς ἐν τῷ πολεμεῖν ἐμπειρίας, C ἀνθελέσθαι δὲ μᾶλλον καὶ λίαν ἀσμένως τοῖς εἰρήνης ἔργοις ὁμιλεῖν, καὶ τῶν τῆς γεωπονίας μεταποιεῖσθαι πόνων, καὶ φροντίδα τίθεσθαι τὰ ἐν ἀγροῖς· μεταπλάττουσι γὰρ εἰς τοῦτο τοῦ πολέμου τὰ σκεύη, ὥστε καὶ ῥομφαίαν εἰς ἀρότρου χρείαν ἐπιλαμβάνεσθαι· καὶ μὴν καὶ ζιβύνην ἀποτελεῖσθαι δρεπάνην, ἀπομαθεῖν δὲ παντελῶς τὸν πόλεμον, καὶ τὴν πρὸς ἄλληλα παραιτεῖσθαι μάχην. Ἐπειδὴ γὰρ βεβασίλευκε τῶν ἐθνῶν ὁ Χριστὸς, ὅς ἐστιν εἰρήνη, γέγονεν ἐκ μέσου πᾶσά τε διχόνοια καὶ ἔρις, καὶ μάχαι, καὶ πᾶν εἶδος πλεονεξίας· ἐξήρηται δὲ καὶ τὰ ἐκ τοῦ πολέμου βλάβη, καὶ τὰ ἐντεῦθεν δείματα· κεκράτηκε δὲ τὸ αὐτοῦ θέλημα λέγοντος πρὸς αὐτούς· « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. »

terrarum submisisset, et unum deinceps ubique regnum constitutum esset, bella cessarunt, pugna et dissensio conquieverunt, justitia obtinuit, atque æquitatis securitas: cum nemo raperet, nemo jam popularetur; cum non in civitates aut regiones incursiones facerent, nec inflammari cupiditate divitiarum præclarum ducerent. Nec id modo, sed et usus adeo armorum traditus est solis bellatoribus maximis, et militarem ordinem tenentibus, ac regis quasi manui atque potestati subjectis. Deprehensum est etiam multas gentes infirmas esse, quæcunque Romani imperii jugo excusso, civitates et regiones crudeliter invadunt. Non enim licet illis pro arbitratu libere grassari: obsistunt enim Romanorum arma, et quiescere cogunt ac instar ferarum terrefaciunt, et suis viribus illorum infirmitatem arguunt. Præfinit itaque tempus, uti dixi, beatus propheta, gentium vocationis et conversionis. Quando, inquit, universitatis Deus et regnator ac Dominus inter gentes judicabit, hoc est justitiam **39** ac judicium erga omnes gentes exercebit. Prævaluit enim, ut jam dixi, injustitia, gentibus se mutuo diripientibus, et omne genus immanitatis et libidinis invehentibus. His vero e medio sublatis, justitia et judicium a Deo sunt data: et arguebantur, ut dixi, gentes multæ Romanis armis devictæ: adeo ut imperatori subditæ nullos amplius impetus reformidarent. Eo denique tranquillitatis et simul felicitatis res eorum venerunt, ut non jam amplius bellicæ rei facultate et exercitatione indigerent, sed munia pacis longe lubentius amplecterentur, et labores rusticos colerent, reique agrariæ curam susciperent. In hoc enim belli mutant instrumenta, ut gladius ad aratri usum assumatur, lancea efficiatur falx, omninoque bellum dediscant, et prœliari inter se supersedeant. Gentibus enim imperante Christo, qui est pax, e medio submota est omnis dissensio, et contentio, et pugnæ, et omne genus cupiditatis: et sublata sunt quæ ex bello oriuntur incommoda, et metus, qui inde nascitur; obtinuit autem ejus voluntas, qui nobis dicit: « Pacem meam do vobis, pacem meam relinquo vobis [37]. »

Καὶ νῦν, ὁ οἶκος τοῦ Ἰακὼβ, δεῦτε, καὶ πορευθῶμεν τῷ φωτὶ Κυρίου. Ἀνῆκεν γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ Ἰσραήλ. D

Καταπτοήσας ἀρχούντως ταῖς προαναῤῥήσεσι τῶν δεινῶν, οὐκ ἐᾷ ταῖς ἀπογνώσεσιν ἀπολέσθαι τοὺς προσκεκρουκότας· ὑπεμφαίνει δὲ ὅτι μετανοεῖν ἑλομένοις ἵλεως ἔσται Θεός· καὶ μεταμαθεῖν ἐθέλουσι τὰ αἰσχίω, καὶ τῶν ἀμεινόνων ἐφίεσθαι, κατευρυνεῖ πάλιν τῆς σωτηρίας τὴν ὁδὸν, καὶ ἀμνησικάκως προσδέξεται, καίτοι πλεῖστά τε ὅσα καὶ οὐκ οἰστὰ πεπλημμεληκότας. Ταύτῃ τοι, φησὶν, ἀναπλέκων εὐτέχνως τοῖς ἐλέγχοις τὸν παρακαλοῦντα λόγον· « Καὶ νῦν, ὁ οἶκος τοῦ Ἰακὼβ, δεῦτε, καὶ

Vers. 5, 6. *Et nunc, domus Jacob, venite, et ambulemus in luce Domini. Dimisit enim populum suum domum Israel.*

Graviorum malorum vaticiniis abunde perterrefactos, non sinit desperatione eos qui offenderunt perire; at volentibus resipiscere subinnuit Deum fore propitium; et qui vitia deponere et ad meliorem frugem redire voluerint, rursus salutis viam patefacturum; nec mala se refricaturum, sed ipsos recepturum ad se, etiamsi plurima et non ferenda commiserint. Affabre enim reprehensionibus innectens consolationem, dicit: « Et nunc, domus Jacob, venite, et ambulemus in lumine Domini. » Arbitror

[37] Joan. XIV, 27.

vero prophetam in hac exhortatoria oratione quam adhibet, hortari Israelitas, ut dicenti Christo auscultent: « Quandiu lucem habetis, ambulate in luce, ne tenebræ vos comprehendant [88]. » Ipse siquidem est lux. Idque dixit aperte: « Ego sum lux mundi. Qui sequitur me, non ambulabit in tenebris, sed habebit **40** lucem vitæ [89]. » Lux autem Domini, et jure optimo dici potest ipsius prædicatio, id est, evangelica. Perinde est ac si dicat, Vivamus pie, evangelicæ vitæ splendorem colamus, finem typicis rebus imponamus, umbram relinquamus, Mosaicas litteras ad veritatem transferamus, salutarem lucem recipiamus. At cum Judæi patribus carnalibus gloriantes, supercilium erigerent, tanquam propter ipsos dilecti, et pars, et sors Dei dicti, et populus sanctus et selectus; dein nugarentur ac prorsus penitusque se curari ac diligi a Deo crederent, quantumvis multa illi invisa factitarent, quantumvis nihili putarent legem, quantumvis etiam eam dedecori contemptuique haberent, et Servatoris adventum, gratiam scilicet adventus in carne, non reciperent: necessario propheta minime sic affectum esse universorum Deum demonstrat, inquiens: « Dimisit enim populum suum, domum Israel. » Tale quid per alterum quoque prophetam dicit universorum Deus, Judæorum supercilium deprimens, et insulsos illos esse coarguens. Etenim, inquit, concupierunt agros, et rapuerunt pupillos, et domos vi occuparunt, et in Dominum se extulerunt, dicentes: « Nonne Dominus in nobis est? non invadent nos mala. Idcirco, propter nos, Sion ut ager arabitur, et Jerusalem ut pomorum custodia erit, et mons Domini tanquam saltus silvæ [90]. » Si non igitur, inquit, una nobiscum desideratis in luce Domini ambulare, id est, si per Christum prædicationem rejicitis, et illustrationem ipsius aversamini: prorsus penitusque et ipse suum populum dimittet. Et hoc est diserte quod dixit illis Dominus noster Jesus Christus: « Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas missos ad te; quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos suos sub alis suis, et noluistis! Ecce relinquitur vobis domus vestra deserta [91]. » Quin et Jeremiæ voce inquit, « Dereliqui domum meam, dimisi hæreditatem meam [92]. »

A πορευθῶμεν τῷ φωτὶ Κυρίου. » Πρέπειν δὲ οἶμαι τῷ προφήτῃ μάλιστα τὸν ἐπὶ τῷδε λόγον προτρέπειν τοὺς ἐξ Ἰσραὴλ ὑπακούειν λέγοντι τῷ Χριστῷ· « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ. » Αὐτὸς δὲ ἐστι τὸ φῶς. Καὶ γοῦν ἔφασκεν ἐναργῶς· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ μείνῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. » Φῶς δ' ἂν λέγοιτο Κυρίου, καὶ μάλα εἰκότως τὸ αὐτοῦ κήρυγμα, τοῦτ' ἔστι, τὸ εὐαγγελικόν. Ὅμοιον οὖν ὡσεὶ λέγοι, Διαζήσωμεν εὐσεβῶς, τιμήσωμεν τῆς εὐαγγελικῆς πολιτείας τὸ περιφανὲς, παυσώμεθα τῶν ἐν τύποις, καταλήξωμεν τῆς σκιᾶς. Μεταπλάττωμεν τὰ Μωσέως γράμματα πρὸς ἀλήθειαν, εἰσδεξώμεθα τὸ σωτήριον φῶς. Ἐπειδὴ δὲ τοῖς κατὰ B σάρκα πατράσιν ἐπαυχοῦντες Ἰουδαῖοι, μεγάλην ἀεὶ τὴν ὀφρὺν ἀνασπᾷν ἐμελέτων, ὡς δι' αὐτοὺς ἀγαπώμενοι, μερίς τε καὶ κλῆρος χρηματίζοντες τοῦ Θεοῦ, καὶ λαὸς ἅγιος καὶ ἀπόλεκτος· εἶτα ληροῦντες ᾤοντο πάντῃ τε καὶ πάντως ἐν φροντίδι καὶ ἀγάπῃ κεῖσθαι τῇ παρὰ Θεῷ· κἂν εἰ πολλὰ δρῷεν τὰ ἀπηχθημένα αὐτῷ· κἂν εἰ μηδὲν ἡγοῖντο τὸν νόμον· κἂν εἰ αὐτὴν ἀτιμάζοιεν καὶ ἀπαράδεκτον ποιοῖντο τὴν τοῦ Σωτῆρος ἐπιδημίαν, ἤγουν τῆς μετὰ σαρκὸς οἰκονομίας τὴν χάριν· ἀναγκαίως ὁ προφήτης οὐχ ὧδε ἔχοντα τὸν τῶν ὅλων Θεὸν καταδεικνύει, λέγων· « Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰσραήλ. » Τοιοῦτόν τι καὶ δι' ἑτέρου προφήτου φησὶν ὁ τῶν ὅλων Θεὸς, τὴν τῶν Ἰουδαίων ὀφρὺν καταστρέφων, καὶ ἀσυνέτους ὄντας ἐλέγχων C αὐτούς. Καὶ ἐπεθύμουν γὰρ, φησὶν, ἀγροὺς, καὶ διήρπαζον ὀρφανοὺς, καὶ οἴκους κατεδυνάστευον, καὶ ἐπὶ τὸν Κύριον ἐμεγαλύνοντο, λέγοντες· « Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστιν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. Διὰ τοῦτο, δι' ἡμᾶς, Σιὼν ὡς ἀγρὸς ἀροτριωθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ ὄρος τοῦ οἴκου, ὡς ἄλσος δρυμοῦ. » Εἰ μὴ τοίνυν ἔλοισθε, φησὶ, πορεύεσθαι μεθ' ἡμῶν τῷ φωτὶ Κυρίου, τοῦτ' ἔστιν, εἰ ἀπαράδεκτον ποιεῖσθε τὸ κήρυγμα τὸ διὰ Χριστοῦ, καὶ τὸν παρ' αὐτοῦ φωτισμὸν ἀποστρέφεσθε, πάντῃ τε καὶ πάντως ἀνήσει καὶ αὐτὸς τὸν ἑαυτοῦ λαόν. Καὶ τοῦτό ἐστιν ἐναργῶς ὅπερ ἔφη πρὸς αὐτοὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· « Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτενοῦσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε! Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν. » Καὶ μὴν καὶ διὰ τῆς Ἱερεμίου φωνῆς, « Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, » φησίν.

Ibid. *Quoniam repleta est ut ab initio regio illorum auguriis, ut terra alienigenarum, et filii alienigenæ facti sunt inter ipsos.*

41 Apologiam quodammodo et nunc propheta de Dei judiciis instituit, causasque reddit cur a Deo domus Israel, sive populus ipsius adeo juste deseratur: et delictorum Israelis tam veterum quam recentium, ut dixi, meminit, eosque inimicos Dei esse ostendit, et valde crudeles et immites esse, et effrenato impetu tendere ad omnia quæcunque in

D *Ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπαρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα ἀλλόφυλα ἐγεννήθησαν ἐν αὐτοῖς.*

Ἀπολογεῖται τρόπον τινὰ καὶ νῦν ὁ προφήτης ὑπὲρ τῶν τοῦ Θεοῦ κριμάτων, καὶ ἀποδίδωσι τὰς αἰτίας τοῦ καὶ σφόδρα δικαίως ἀνεῖσθαι παρὰ Θεοῦ τὸν οἶκον τοῦ Ἰσραὴλ, ἤτοι τὸν λαὸν αὐτοῦ. Διαμέμνηται δὲ, ὡς ἔφην, παλαιῶν τε καὶ νέων πλημμελημάτων τοῦ Ἰσραὴλ, ἀφιλοθέους ὄντας ἐλέγχων, καὶ πολὺ βλέποντας εἰς τὸ ἀπηνὲς, καὶ ἀχαλίνως ἰόντας, πρὸς

[88] Joan. XII, 35. [89] Joan. VIII, 12. [90] Mich. III, 11, 12. [91] Matth. XXIII, 37, 38. [92] Jerem. XII, 7.

πᾶν ὁτιοῦν τῶν κατεψεγμένων, καὶ πολλὴν ἔχοντας A ἐκ νόμου τὴν καταβοήν. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ὀλίγα πεφροντικότες τῆς εἰς Θεὸν αἰδοῦς, καὶ τῆς δοθείσης αὐτοῖς διὰ Μωσέως ἐντολῆς ἀλογήσαντες, πολυτρόπως ἡλίσκοντο· δεδράκασι δὲ τὰ πάντων χείριστα καὶ εἰς αὐτὸν τὸν τῶν ὅλων Σωτῆρα Χριστόν. Ἐξηγεῖται τοιγαροῦν ποτὲ μὲν τῆς εἰς τὸν νόμον ἀπονοίας αὐτῶν τὰ ἐγκλήματα, καὶ τὰς ἐπὶ τούτῳ δίκας, ἃς ἐξήτηνται δικαίως, πολεμούντων αὐτοῖς τὸ τηνικάδε Περσῶν καὶ Βαβυλωνίων, Ἰδουμαίων, Ἐλαμιτῶν, καὶ ἑτέρων ἐθνῶν· ποτὲ δὲ τῆς κατὰ Χριστοῦ μανίας ἐγκαλεῖ τοὺς τρόπους, καὶ ὅσα συμβέβηκε ταύτης ἕνεκα τῆς αἰτίας παθεῖν αὐτούς, καταστρατευόντων τῆς Ἰουδαίας ἁπάσης τὴν ὑπὸ χεῖρα πληθὺν Οὐεσπασιανοῦ τε καὶ Τίτου. Ἐξηγεῖται τοίνυν τὸ παρὸν ὁ λόγος B ἡμῖν τὰ πρὸ τῆς ἐπιδημίας, τῆς Ἰουδαίων Συναγωγῆς πλημμελήματα· ταύτης ἕνεκα τῆς αἰτίας ἀνεῖσθαί φησι, τοῦτ' ἔστι, δεδόσθαι τοῖς ἐχθροῖς παρὰ Θεοῦ τὸν λαὸν αὐτοῦ, διά τοι τὸ πάλιν ἑλέσθαι νοσεῖν τὰ ἐν ἀρχαῖς, καὶ παλινδρομῆσαι πρὸς ἀνοσιότητα τὴν πρώτην. Λελατρεύκασι μὲν γὰρ ἐν Αἰγύπτῳ τοῖς ἐπιχωρίοις θεοῖς ἤτοι δαίμοσιν· εἶτα λελύτρωνται διὰ Μωσέως Θεοῦ κατοικτείροντος, ἀπηλλάττοντό τε ὁμοῦ ψυχικῆς τε ἅμα καὶ σαρκικῆς δουλείας. Ὥσπερ γὰρ ἀπεσείσαντο τῆς Αἰγυπτίων πλεονεξίας τὸν ζυγόν· οὕτω καὶ τῆς τῶν δαιμόνων σκαιότητος ἀπηλλάττοντο, λατρεύοντες μὲν οὐκέτι τοῖς ψευδωνύμοις θεοῖς, νόμῳ δὲ μᾶλλον τῷ διὰ Μωσέως παιδαγωγούμενοι πρὸς τὸ ἀληθές, ἕνα τε καὶ φύσει καὶ ἀληθῶς ἐπιγινώσκοντες Θεόν. Ἤκουον γὰρ νομοθετοῦντός τε C καὶ λέγοντος ἐν Χωρήβ· « Οὐ ποιήσεις σαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. Οὐ προσκυνήσεις αὐτοῖς· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου. » Γέγραπται δὲ καὶ ἐν τῷ Δευτερονομίῳ· « Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐ μαθήσῃ ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων. Οὐχ εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ, ἢ τὴν θυγατέρα αὐτοῦ ἐν πυρί. Μαντευόμενος μαντείαν, καὶ κληδονιζόμενος, καὶ οἰωνιζόμενος, φαρμακός, ἐπαοιδός, ἐγγαστρίμυθος, καὶ τερατοσκόπος, καὶ ἐπερωτῶν τοὺς νεκρούς. Ἔστι γὰρ βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα. Τέλειος ἔσῃ ἐναντίον Κυρίου D σου. Τὰ γὰρ ἔθνη ταῦτα, οὓς σὺ κατακληρονομεῖς αὐτούς, οὗτοι κληδονισμῶν καὶ μαντειῶν ἀκούσονται. Καὶ σοὶ οὐχ οὕτως ἔδωκε Κύριος ὁ Θεός σου. » Καὶ ταῦτα μὲν ὁ νόμος· ἐπειδὴ δὲ ἦσαν εὐπαρακόμιστοι καὶ πολὺ δὴ λίαν ἕτοιμοι πρὸς ἀπόστασιν, δῆλον δὲ ὅτι τὴν ἀπὸ Θεοῦ, προσενομοθέτει λέγων· « Ἐὰν δὲ εἰσαγάγῃ σε ὁ Κύριος ὁ Θεὸς εἰς τὴν γῆν, εἰς ἣν πορεύσῃ ἐκεῖ κληρονομῆσαι, καὶ ἐξαρεῖς ἔθνη μεγάλα, καὶ πολλὰ καὶ ἰσχυρὰ πρὸ προσώπου σου (τὸν δεῖνα φησί, καὶ τὸν δεῖνα), καὶ παραδῷ αὐτοὺς Κύριος ὁ Θεός σου εἰς χεῖράς σου, καὶ πατάξεις αὐτούς. Ἀφανισμῷ ἀφανιεῖς αὐτούς, οὐ διαθήσῃ αὐ-

vitio sunt, et multum ex lege argui. Nam ante Servatoris nostri adventum, verecundia erga Deum abjecta, et mandati per Moysen illis dati nulla ratione habita, multis nominibus rei peragebantur, atque in universorum Servatorem Christum ipsum pessima quæque fecerunt. Nonnunquam igitur eorum erga legem flagitia, et ob id supplicia, quæ de illis jure sumpta sunt, exponit : bellum cum illis tunc gerentibus Persis, et Babyloniis, Idumæis, Elamitis aliisque gentibus. Alias vero furorem contra Christum objicit, et quæcunque eam ob causam pati eos contigerat, Vespasiano et Tito universam Judæam subjugantibus. Proinde in præsentia commemorat nobis hic sermo quæ fuerunt ante Christi adventum Judaicæ Synagogæ delicta, eaque de causa relictam dicit, id est, a Deo populum suum hostibus traditum, propterea quod prioribus vitiis denuo laborare maluerat, et denuo ad primam impietatem recurrere. Etenim in Ægypto indigenis et gentilitiis diis seu dæmonibus servierunt, dein per Moysen Deo commiserante redempti sunt, et animi juxta ac carnis servitute liberati. Quemadmodum enim excusserant Ægyptiacæ tyrannidis jugum, sic et a dæmonum impia sævitia eximebantur, nec amplius falso nominatis diis servierunt, sed lege potius per Moysen ad veritatem instituti, unum et natura et vere Deum agnoverunt. Quoniam audiverunt eum, et legem ferentem et dicentem in Choreb : « Non facies tibi idolum, nec omnium similitudinem quæ in cœlo sursum, et quæ in terra deorsum, et quæ in aquis sub terra ; non adorabis ea : Ego namque sum Dominus Deus tuus [93]. » Quin et scriptum est in Deuteronomio : « Si vero intraveris in terram quam Dominus Deus dat tibi, **42** non disces facere juxta abominationes gentium illarum, non reperietur in te filium suum aut filiam suam lustrans igne, vaticinans vaticinia, et divinans, et auspex, et veneficus, et incantator, ventriloquus, et præstigiator, et sciscitans mortuos. Est enim abominatio Domino Deo tuo quisquis faciet hæc. Perfectus eris coram Domine Deo tuo. Gentes enim illæ, quarum hæreditatem accipies, divinationes et vaticinationes audient. Tibi autem non sic dedit Dominus Deus tuus [94]. » Hæc quidem lex. Quia vero illi leves et mobiles erant, et valde ad defectionem, scilicet a Deo, proclives, aliud porro præcipit, dicens : « Si vero introducat te Dominus Deus in terram, ad quam proficisceris, ut ibi sortem accipias, et ejeceris gentes magnas et robustas ante faciem tuam (aliam atque aliam nominat), et tradiderit eas Dominus Deus tuus in manus tuas, easque percusseris : delendo delebis eas, non feries cum eis fœdus, neque misereberis earum, neque affinitatem contrahes cum illis ; filiam tuam non dabis filio ejus, nec filiam ejus capies filio tuo : avertet enim filium tuum a me, et serviet diis alienis, et irascetur furore Dominus in vos, ac perdet te cito [95]. » Omnibus enim modis illis cavit Deus,

[93] Deut. v, 8, 9. [94] Deut. xviii, 9-13. [95] Deut. vii, 1-4.

ac, ut sacra Scriptura inquit, Legem ad subsidium dedit. Illi vero præceptionum adeo venerandarum cura abjecta, inconsiderate conversi sunt ad omnia præceptis contraria. Applicabant enim se divinationibus et falsis vaticiniis, et ab iis qui idolis addicti erant ac devoti, futurorum notitiam quærebant : et sane prophetas sanctos increpabant, ac dicebant : « Alia nobis loquimini et annuntiate nobis alium errorem [96]. » Fuit quoque illis cum filiabus vicinarum gentium commercium, etiamsi lex hoc interdixisset, et cum mulieribus malis quas Deus odio habuit, et quæ idololatricis ritibus innutritæ erant, præter legem cohabitarunt, liberorum alienorum exstiterunt patres, qui matrum quoque more institutoque educati, legem Mosaicam, ut ita dicam, nescire quidem videri voluerunt. Itaque impleta est, inquit, ut ab initio, regio eorum divinationibus ut terra alienigenarum, et filii alienigenæ nati sunt illis. Erat autem absurdissimum et turpissimum, **43** ex alienigenis uxoribus natos filios, qui sanctam civitatem inhabitarant, in gentium moribus versari ac vivere extra legem. Et cum Deus juberet omnem masculum octo dierum circumcidendum, et aperto diceret : « Tribus [et quatuor] temporibus anni apparebit omne masculum coram me [96*]; » illi tamen istuc non faciebant, sed eos qui nati sunt offerebant dæmonibus, et in fanis idolorum illorum causa sacrificabant. Vides eos omnino legem conculcasse. At qui consentaneum erat, eos, qui eo impietatis pervenerant, ut ne Redemptorem quidem cognoscere vellent, ipsius populi nomine censeri ? Sanctum est igitur in eos hoc judicium, et aversionis non infirma ratio. « Non enim personarum acceptator est universorum judex [97]. »

A τοῖς διαθήκην, οὔτε μὴ ἐλεήσεις αὐτούς, οὐδ' οὐ μὴ γαμβρεύσηται πρὸς αὐτούς· τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου· ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ λατρεύσει θεοῖς ἑτέροις· καὶ ὀργισθήσεται θυμῷ Κύριος εἰς ὑμᾶς, καὶ ἐξολοθρεύσει σε τὸ τάχος. » Πάντα γὰρ τρόπον ἀσφαλείας αὐτοῖς ἐκενόει Θεὸς, καὶ καθά φησι τὸ Γράμμα τὸ ἱερὸν, Νόμον εἰς βοήθειαν ἔδωκεν. Οἱ δὲ τῶν οὕτω σεπτῶν ἐνταλμάτων ἠφειδηκότες, ἐτράποντο παραλόγως εἰς πᾶν τῶν ἐντεταλμένων τὸ ἐναντίον. Προσέκειντο γὰρ κληδονισμοῖς, καὶ ψευδομαντείαις καὶ παρὰ τοῖς τῶν εἰδώλων προσιζηκότων ζητεῖν ἐσπούδαζον τῶν ἐσομένων τὴν γνῶσιν, καίτοι προφήταις ἁγίοις ἐπιτιμῶντές τε καὶ λέγοντες· « Ἀλλὰ ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλ- B λετε ἡμῖν ἑτέραν πλάνησιν. » Συνῆσαν δὲ καὶ ταῖς τῶν ὁμόρων ἐθνῶν θυγατράσιν, ἀπειρηκότος τοῦ νόμου τὸ χρῆμα. Γύναιά τε πονηρὰ καὶ θεομισῆ, καὶ τοῖς τῆς εἰδωλολατρείας ἔθεσιν ἐντεθραμμένα παρανόμως εἰσοικισάμενοι, παίδων ἀλλοτρίων γεγόνασι πατέρες, οἳ καὶ ἀνετρέφοντο τοῖς τῶν μητέρων ἔθεσι, τὸν διὰ Μωσέως νόμον, οὐδ' ὅσον εἰπεῖν, εἰδέναι προσποιούμενοι. Ταύτῃ τοί φησιν, ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπαρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν ὡσεὶ τῶν ἀλλοφύλων, καὶ τέκνα ἀλλόφυλα ἐγε[ν]ήθησαν αὐτοῖς. Ἦν δὲ σφόδρα τῶν ἀτόπων, καὶ πάναισχρον ἀληθῶς, τὴν ἁγίαν πόλιν κατῳκηκότας, τοὺς ἐξ ἀλλοφύλων γυναικῶν γεγονότας αὐτοῖς υἱεῖς, ἔθεσιν Ἑλληνικοῖς πολιτεύεσθαι καὶ ζῆν ἔξω νόμου. Καὶ τοῦ Θεοῦ προστάττοντος πᾶν παιδίον ἄρσεν ὀκταήμερον περι- C τέμνεσθαι, λέγοντός τε σαφῶς. « Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιόν μου· » οἱ δὲ τοῦτο μὲν οὐκ ἔδρων, ἀπεκομίζοντο δὲ τοῖς δαίμοσι τὰ γεννώμενα, καὶ ἐν τοῖς τῶν εἰδώλων τεμένεσι τὰς ἐπ' αὐτοῖς ἐτέλουν θυσίας. Ὁρᾷς πανταχῇ πεπατηκότας τὸν νόμον. Εἶτα πῶς ἦν ἀκόλουθον τοὺς εἰς τοῦτο λοιπὸν ἥκοντας ἀσεβείας, ὡς μήτε εἰδέναι βούλεσθαι τὸν λυτρωτὴν, αὐτοῦ λαὸν ὀνομάζεσθαι; Οὐκοῦν ὁσία ψῆφος ἡ ἐπ' αὐτοῖς, καὶ τῆς ἀποστροφῆς οὐκ ἀγεννὴς ἡ πρόφασις. « Ἀπροσωπόληπτος γὰρ ὁ τῶν ὅλων κριτής. »

VERS. 7, 8. *Impleta est enim regio eorum argento et auro, nec erat numerus thesaurorum ipsorum : et repleta est terra equis, et non erat numerus quadrigarum ipsorum.*

Duo iterum vitia fœdissima illis inesse ait, avaritiam et superbiam. Avaritiam omnium malorum radicem esse sapientissimus Paulus testatur perspicue [98]. Arrogantiam autem rem Deo odiosam et infestam esse constat omnibus. Scriptum est enim : « Dominus superbis resistit, humilibus vero dat gratiam [99]. » Imo a quo tandem nequitiæ genere eos, qui divitiarum studio tenentur, abesse videas? Corradunt enim hujusmodi homines quæstum, corrogantque pecunias, ex usuris, fenoribus, ex cupiditate et injustitia, ex rapina et calumnia. Adest et divitiis insolentia, et ad proventus nefariarum et exsecratissimarum voluptatum magna proclivitas. Nam ubi deliciæ, illic omnino comessationes sunt, ebrietates, lustra, libidines, omneque genus intemperan-

Ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσοῦ, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν.

D Δύο δὴ πάλιν αὐτοῖς τὰ πάντων μάλιστα τῶν κακῶν αἰσχίονα προσεῖναί φησι, φιλαργυρίαν τε ὁμοῦ καὶ ὑπεροψίαν. Καὶ ῥίζα μὲν ὅτι πάντων ἐστὶ τῶν κακῶν ἡ φιλαργυρία, μεμαρτύρηκεν ἐναργῶς ὁ σοφώτατος Παῦλος. Ἀπηχθημένον δὲ ὅτι τῆς ἀλαζον[ε]ίας τὸ χρῆμα παρὰ Θεῷ, παντί τῳ σαφές. Γέγραπται γὰρ, ὅτι « Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. » Φαυλότητος τίνα τρόπον οὐκ ἄν τις ἐνόντα βλέποι παρά γε τοῖς ἐθέλουσι πλουτεῖν; ποιοῖντο γὰρ οἱ τοιοίδε τὴν τῶν χρημάτων συγκομιδὴν ἔκ τε τόκων καὶ πλεονασμῶν, ἐκ πλεονεξίας καὶ ἀδικίας, ἐξ ἁρπαγῆς καὶ συκοφαντίας. Πρόσεστι δὲ τῷ πλούτῳ καὶ τὸ ἀγέρωχον, καὶ τὸ λίαν ἕτοιμον εἰς ἀποφορὰν τῶν ἐκτόπων καὶ βδελυρωτάτων ἡδονῶν. Ὅπου γὰρ τὸ τρυφᾶν, ἐκεῖ που πάντως κῶμοι

[96] Isa. xxx, 10. [96*] Exod. xxiii, 17, xxxiv, 23; Deut. xvi, 16. [97] Rom. ii, 11. [98] I Timoth. vi, 10. [99] Jac. iv, 6.

καὶ μέθαι, κοῖται, καὶ ἀσέλγειαι, καὶ πᾶν εἶδος ἀκο- A λασίας. Τίς δὲ δὴ τῶν εὖ φρονεῖν εἰωθότων, οὐκ ἂν στυγητὸν ποιήσαιτο τὸν ὑπέροπτον διαπτύοντα τοὺς ἀσθενεστέρους, ὀφρὺν ἀνασπῶντα τὴν ὑψηλὴν, περιορῶντα τοὺς ἐν πτωχείᾳ, καὶ τοῖς ἐν ταλαιπωρίαις συναλγεῖν οὐκ ἀνεχόμενον, ἐλεεῖν οὐκ ἀξιοῦντα τοὺς ἐν ἀνάγκαις καὶ πόνοις, ἠγνοηκότα δὲ λοιπὸν, ὅτι καὶ χοῦς ἐστι καὶ σποδός; Αἰτιᾶται τοίνυν καὶ μάλα εἰκότως ὁ φιλάρετος ἡμῶν Θεὸς, ὡς ἀκόρεστον ἔχοντας εἰς φιλοκερδίαν τὸν νοῦν, ὡς ἵπποις ἐποχουμένους, καὶ τοῖς τῆς φιλοδοξίας ἐναλόντας βρόχοις. Ἐμπεπλῆσθαι δὲ ἵππων τὴν χώραν αὐτῶν φησιν, ὡς οὐχ ἑνὸς ἢ δευτέρου νενοσηκότος τὴν ὑπεροψίαν, ἀλλ' οἷον ὅλης αὐτῶν κατειλημμένης τῆς χώρας τῷ πάθει, καὶ κατὰ πάντων ἰόντος τοῦ κακοῦ. Πλὴν ἐλέγ- B χει καὶ διὰ τούτου τῷ νόμῳ προσκεκρουκότας, καὶ ἀπειθεῖν ἡρημένους Θεῷ, διειρηκότι σαφῶς· « Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ, καὶ κατακληρονομήσῃς αὐτὴν, καὶ κατοικήσῃς ἐπ' αὐτῆς, καὶ εἴπῃς· Καταστήσω ἐμαυτῷ ἄρχοντα, καθὰ καὶ τὰ λοιπὰ ἔθνη τὰ κύκλῳ μου· καθιστῶν καταστήσεις ἐπὶ σαυτὸν ἄρχοντα, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτόν. » Εἶτά φησι περὶ τοῦ καθισταμένου· « Διότι οὐ πληθυνεῖ ἑαυτῷ ἵππον, οὐδὲ μὴ ἀποστρέψει τὸν λαὸν εἰς Αἴγυπτον, ὅπως ἂν μὴ πληθύνῃ ἑαυτῷ ἵππον. » Καὶ πρὸς τούτοις ἔτι· « Καὶ ἀργύριον καὶ χρυσίον οὐ πληθυνεῖ ἑαυτῷ σφόδρα. » Αἰτιᾶται τοίνυν ὡς ποιουμένους μὲν τῶν χρημάτων τὴν ἄθροισιν, καὶ τοῦτο ἀπλήστως, πληθύνοντας δὲ ἑαυτοῖς καὶ ἵππον. Ἅπτεται δὲ, κατὰ τὸ εἰκὸς, C ὁ ἐπὶ τῷδε μῶμος μάλιστα τῶν καθηγεῖσθαι λαχόντων, ὡς παραβαινόντων τὴν ἐντολὴν, οὓς ἦν ἀκόλουθον καὶ πρό γε τῶν ἄλλων ὁρᾶσθαι τετιμηκότας τὰ τεθεσπισμένα, καὶ τοῖς παραβαίνουσιν ἐπιτιμᾷν.

Καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν, οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. Καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνὴρ, καὶ οὐ μὴ ἀνήσω αὐτούς.

Ἐγκαλεῖ πάλιν αὐτοῖς τὴν νοητὴν πορνείαν, καὶ τὸ πολλοῖς ἑλέσθαι προσκυνεῖν τῶν ψευδωνύμων θεῶν. Ἀποφαίνει δὲ ὅτι δυσσεβείας εἰς τοῦτο προήκουσι μέτρον, ὡς παντὸς εἰς λῆξιν ἐλάσαι κακοῦ, καὶ τὸ τελειοτάτην ἀπόστασιν μελετῆσαι τὴν ἀπὸ Θεοῦ τοῦ πάντα εἰδότος, νεύμασιν ὑποφέροντος, καὶ παρενεγκόντος εἰς ὕπαρξιν. D Ἔοικε δὲ τρόπον τινὰ καὶ ὑπεραλγεῖν τῆς ἀνθρώπου φύσεως ὑβρισμένης ἐσχάτως. Τετίμηκε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς αὐτουργίᾳ τὸν ἄνθρωπον. Οὐ γὰρ λόγῳ μετὰ τῶν ἄλλων κτισμάτων ἀπεσχεδιάζετο καὶ αὐτὸς, καθάπερ ἀμέλει τὸ, « Γενηθήτω στερέωμα, καὶ ἐγένετο οὕτως· » ἀλλ' ἔλαβε χοῦν ἀπὸ τῆς γῆς καὶ ἐποίησε τὸν ἄνθρωπον, κατά γε τὰς τοῦ πανσόφου Μωσέως φωνάς. Γέγονε δὲ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν Θεοῦ, καὶ οἷόν τις ἄρχων κεχειροτόνηται τῶν ἐπὶ τῆς γῆς. Τετίμηται δὲ πρὸς τούτῳ καὶ πνεύματι ζωῆς. Ἐνεφύσησε γὰρ εἰς πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. Οὐκοῦν « ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε, » κατὰ τὸ γεγραμμένον·

tiæ. Quis est porro eorum, qui sane sapere solent, qui non oderit superbum, infirmiores despuentem, altum supercilium tollentem, mendicitate pressos despicientem, versari cum calamitosis non sustinentem, nec ad eos etiam qui in angustia sunt et laboribus, accedentem, seque pulverem esse ac cinerem ignorantem? Deus itaque noster virtutis amans, Judæos, et non injuria, accusat, ut inexplebili animo ad rem faciendam, ut equis insidentes, et gloriæ laqueis irretitos. Equis autem plenam esse regionem eorum affirmat, **44** non quasi unus aut alter laboraret fastu, sed velut tota ipsorum regio hoc affectu morboque teneretur, et per omnes hoc malum permearet. Quanquam taxat etiam, quod in legem offenderint, neque Deo obedire voluerint, qui clare dixerat: « Si in terram, quam dat tibi Dominus Deus tuus, sorte veneris, et hæreditate acceperis eam, et incolueris, et dixeris: Præficiam mihi principem, sicut et gentes quæ circum me sunt: omnino constitues super te principem quem elegerit Dominus Deus tuus [1]. » Dein de eo qui constitutus est dicit: « Propterea non multiplicabit sibi equos, nec avertet populum in Ægyptum, ne multiplicet sibi equos. » Ad hæc porro: « Argentum et aurum non coacervabit sibi ipsi multum [2]. » Itaque eos perstringit, ut qui divitias accumularent, idque insatiabiliter, et equitatum quoque sibi augerent. Attingit etiam, ut videtur, hæc reprehensio, maxime eos qui primas tenuerunt, ut qui præceptum violarent, quos etiam præ aliis consentaneum erat videri, et divina edicta colere, et transgredientes reprehendere.

VERS. 8-9. *Et impleta est terra abominationibus operum manuum suarum, et adoraverunt ea quæ effinxerant digiti ipsorum. Et prostratus est homo, et dejectus est vir, et non dimittam illos.*

Vocat rursum eos in crimen fornicationis spiritalis, quod multos fictitios, falsoque nuncupatos deos adorarent: ostenditque ad eam impietatis mensuram processisse, ut ad omnium malorum quasi culmen pertigerint, et ultimam moliti meditatique fuerint defectionem a Deo, qui omnia novit, nutu sustentat, et in ortum educit. Videturque quodammodo etiam indolere vehementer hominis naturæ, extrema contumelia affectæ. Honestavit enim universorum Deus suæ manus artificio hominem, nec verbo cum aliis creaturis statim ille conditus est, ut illud videlicet: « Fiat firmamentum, et factum est sic; » at accepto de terra pulvere hominem effecit, ut a sapientissimo Moyse dictum est, et factus est ad imaginem et similitudinem Dei, ac tanquam princeps quispiam terræ præfectus est, et porro, spiritu vitæ ornatus. Inflavit enim in faciem ejus spiraculum vitæ [3]. Igitur « homo in honore cum esset, non **45** intellexit, » ut scriptum est [3*]: servivit enim scul-

[1] Deut. XVII, 14, 15. [2] ibid. 16. [3] Gen. I, II, *passim*. [3*] Psal. XLVIII, 13.

ptilibus [4], ac, ut prophetica habet oratio, «adoraverunt ea quæ fecerunt digiti ipsorum.» Et incurvatus est homo, et humiliatus est vir. Quæ injuria et in Deum ipsum redundat, et in hominis naturam. Cum enim ex pulchritudine creaturarum earum artificem proportione quadam perspicere potuissent: «Invisibilia enim ejus a creatione mundi, per ea quæ facta sunt intellecta perspiciuntur, æterna» scilicet «ejus potentia et divinitas [5];» istuc haud fecerunt, sed lapidibus cultum deferentes, et lignum adorantes miseri, Dominum ac Deum natura, rerum universarum architectum offenderunt, nec intellexerunt se suam quoque naturam, ut videtur, injuria afficere: siquidem homo est lignis ac lapidibus præstantior. Hinc merito indignatus omnium Opifex ait: «Incurvatus est homo, et humilitatus est vir, et nequaquam illos dimittam.» Unde immutabilitatem iræ ostendit, et duplici hoc nomine, ita uti par fuit contra illos ira commotus est: tum quod divinam majestatem offenderint, tum quod suam quoque naturam vilissimam reddiderint. Impleri dicit abominationibus terram ipsorum: subinnuens non paucos esse, sed innumerabiles, qui huic apostasiæ vitio fuerant obnoxii: nec cultum eorum uniusmodi fuisse, at a singulis pro suo cujusque placito adorari, et multa idolorum examina totam eorum terram complevisse. Dictum est igitur voce Jeremiæ: «Secundum numerum civitatum tuarum erant dii tui, et secundum numerum transituum Jerusalem constituistis altaria ad sacrificandum Baal [6].» Est igitur flagitiosum et Deo intolerandum idolorum figmentum, eorum, inquam, quæ sensibus patent, et illorum etiam quæ in mentem ac intelligentiam cadunt. Deprædatur etenim Satanas hominum animas, graviter ac multipliciter, imaginibus, quas in animum et cor immittit, aliquando etiam idolorum figmentis in peccata impellens, atque in fœdas ac prodigiosas voluptates inducens.

Vers. 10, 11. *Et nunc intrate in petras, et abdimini in terram a facie timoris Domini, et a gloria fortitudinis ejus, quando surrexerit ad quassandam terram. Oculi enim Domini sublimes, homo autem humilis. Et humiliabitur altitudo hominum,* **46** *et extolletur Dominus solus die illa.*

Idololatriæ dedita Jerusalem, imo tota Judæa errore seducta, et in ea omnia quæ Deo, virtutis amanti, invisa sunt, effrenate prolabente, Babyloniorum bellum universam quodammodo Judæam occupavit; qui cum eam totam deprædati essent, captos trucidarunt mulierculas et liberos in suam regionem abduxerunt, loco captivorum longo tempore habuerunt. Expeditione autem hac denuntiata, cumque jam immineret, tantus Judæos invasit metus, et eo consternationis venerunt, ut in speluncis et montium fissuris absconderentur, locosque inaccessos capesserent; quippe cum omnis eorum manus

A λελάτρευκε γὰρ τοῖς γλυπτοῖς· καὶ, ὡς προφητικὸς ἔφη λόγος, «Προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν.» Καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ. Ὕβρις δὲ τοῦτο καὶ εἰς Θεὸν αὐτὸν, καὶ εἰς τὴν ἀνθρώπου φύσιν. Καίτοι γὰρ ἐνὸν ἀπὸ καλλονῆς κτισμάτων ἀναλόγως ἰδεῖν τὸν τούτων τεχνίτην· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται,» ἥ τε «ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης·» τοῦτο μὲν οὖν οὐ πεπράχασιν· ἀπονέμοντες δὲ τοῖς λίθοις τὸ σέβας, καὶ τῷ λίθῳ προσκυνοῦντες οἱ δείλαιοι, προσκεκρούκασι μὲν τῷ φύσει Δεσπότῃ καὶ Θεῷ καὶ τῶν ὅλων δημιουργῷ. Λελήθασι δὲ, κατὰ τὸ εἰκὸς, καὶ τὴν ἰδίαν αὐτοὶ περιυβρίζοντες φύσιν, εἴπερ ἐστὶ ξύλων τε καὶ λίθων ἀμείνων ὁ ἄνθρωπος. Ταύτῃ τοι δικαίως ἀγανακτῶν ὁ πάντων δη- B μιουργός φησιν· «Ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνὴρ, καὶ οὐ μὴ ἀνήσω αὐτούς.» Ἐμφαίνει δὲ διὰ τούτου τὸ ἀπαράτρεπτον τῆς ὀργῆς, εἰ καὶ δι' ἄμφω, κατὰ τὸ εἰκὸς, σεσάλευται κατ' αὐτῶν. Ὅτι καὶ τὴν θείαν λελυπήκασι δόξαν, ἀτιμοτάτην δὲ καὶ αὐτὴν τὴν ἰδίαν ἀπέφηναν φύσιν. Ἐμπεπλῆσθαι δὲ βδελυγμάτων τὴν γῆν αὐτῶν, οὐκ ὀλίγους ὄντας, οὔτε μὴν εὐαριθμήτους ἀποφαίνων τοὺς τοῖς τῆς ἀποστασίας ἐναλόντας ἐγκλήμασι, καὶ ὅτι τὸ σέβας αὐτοῖς οὐχ ἓν, προσκεκύνηται δὲ παρ' ἑκάστου τὸ αὐτῷ δοκοῦν, καὶ πολυειδὴς εἰδώλων ἑσμὸς ὅλην αὐτῶν ἐνέπλησε τὴν γῆν. Καὶ γοῦν εἴρηται διὰ φωνῆς Ἱερεμίου, ὅτι «Κατὰ ἀριθμὸν πόλεών σου ἦσαν θεοί σου, Ἰούδα. Καὶ κατὰ ἀριθμὸν διόδων τῆς Ἱερουσαλὴμ ἐτάξατε βω- C μοὺς, τοῦ θυμιᾷν τῷ Βαάλ.» Πονηρὸν οὖν ἄρα καὶ δύσοιστον τῷ Θεῷ τῶν εἰδώλων ἡ ποίησις, αἰσθητῶν τέ φημι καὶ τῶν κατὰ νοῦν. Καταληΐζεται γὰρ ὁ Σατανᾶς τὰς τῶν ἀνθρώπων ψυχὰς, δεινῶς τε καὶ πολυτρόπως, ταῖς εἰς νοῦν καὶ καρδίαν φαντασίαις, ἔσθ' ὅτε καὶ εἰδώλων ἀναπλασμοῖς κατακομίζων εἰς ἁμαρτίας, καὶ εἰς αἰσχρὰς καὶ ἐκτόπους ἀποφέρων ἡδονάς.

Καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου· καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοὶ, ὁ δὲ ἄνθρωπος ταπεινὸς, καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψω- D *θήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.*

Εἰδωλολατρούσης τῆς Ἱερουσαλὴμ, μᾶλλον δὲ ἁπάσης πεπλανημένης τῆς Ἰουδαίας, καὶ ἀπονευούσης ἀχαλίνως πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχθημένων τῷ φιλαρέτῳ Θεῷ· κατεχεῖτο τρόπον τινὰ τῆς Ἰουδαίας ἁπάσης ὁ Βαβυλωνίων πόλεμος, οἳ πᾶσαν καταδῃώσαντες, ἀπεκτόνασι μὲν τοὺς κατειλημμένους, γύναια δὲ καὶ παῖδας ἀπεκόμισαν εἰς τὴν ἑαυτῶν· καὶ ἐν τῇ τῶν δορυκτήτων ὄντες τάξει, μακροὺς διατετελέκασι χρόνους. Πλὴν τῆς ἐφόδου προαπηγγελμένης, καὶ μελλούσης ἔσεσθαι, τοσοῦτον τοῖς Ἰουδαίοις γέγονε δεῖμα, καὶ ἀγωνίας εἰς τοῦτο πεπτώκασιν, ὡς ἔν τε σπηλαίοις καὶ τοῖς τῶν ὀρῶν ῥωγμοῖς κατα-

[4] Psal. cv, 36. [5] Rom. i, 20. [6] Jerem. xi, 13.

κρύπτεσθαι, τὸ τόπους ἀβάτους καταλαμβάνειν, A ἁπάσης αὐτῶν ἀτονούσης χειρὸς πρὸς τὴν τῶν ἐπιόντων ἀντίστασιν. Οὐκοῦν ὡς ὅσον οὐδέπω παρεσομένων δεινῶν, μᾶλλον δὲ ἤδη θυρῶν τε εἴσω γεγενημένων, καὶ ἐπ' αὐτῆς ὄντων τῆς χώρας, κρύπτεσθαι κελεύει, καὶ μονονουχὶ κατορύττεσθαι τῇ γῇ ζῶντας ἔτι, ἀπὸ τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν, τοῦτ' ἔστι, συντρίψαι τὴν γῆν. Ὅτι δὲ ὑψηλαὶ καὶ ὑπὲρ πάντας ἀνθρώπους αἱ θεῖαι βουλαί τε καὶ σκέψεις, οὐκ ἄν τις αὐταῖς ἀντιμαχήσεται τῶν ἐπὶ τῆς γῆς, σαφὲς καθίστησι λέγων· « Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοί. » Ὀφθαλμοὺς γὰρ Κυρίου ἐν τούτοις φησὶν, τὰς οἱονεὶ προαναβλέψεις τε καὶ βουλὰς αὐτοῦ, καὶ τὰς ἐφ' ἑκάστῳ πράγματι κρίσεις. Ἄνθρωποι μὲν γὰρ μικροὶ μετὰ τὴν φύσιν ὄντες καὶ τὸν νοῦν, μικρὰ καὶ B βουλεύονται, καὶ λογίζονται ταπεινά. Ὑψηλὸς δὲ ὑπάρχων ὁ τῶν ὅλων Θεὸς, καὶ ἐν ἀποῤῥήτοις ὑπεροχαῖς ταῖς κατὰ πάντων νοούμενος, ἄμαχον ἔχει τὴν σκέψιν. Οὐ γὰρ ἂν δύναιτό τις ἀνθυπενεγκεῖν, ἢ βουλὴν, ἢ ἐπικουρίαν ἀποσκευάσασθαι δυναμένην τὰς ἐκ τῶν θείων σκεμμάτων ἐπαγωγάς. Μαθήσεσθαι δὲ τοῦτό φησι, καίτοι πάλαι μὴ εἰδότας τοὺς Ἰουδαίους, ὅταν αὐτῶν ὁ δεινὸς κατασκήψῃ πόλεμος, καὶ πᾶσα μὲν ἡ ἐπαμύνουσα χεὶρ ἀτονήσῃ, ἀπρακτήσῃ δὲ καὶ σκέψις, καὶ ἀνθρωπίνης βουλῆς εὑρήματα, δι' ὧν ἐνόμισαν τάχα που καὶ διαφεύγειν δύνασθαι τὰς ἐκ τοῦ πολέμου συμφοράς. Οὐκοῦν ἡ πεῖρα δείξει, φησὶν, ὅτι ταπεινὸς ὁ ἄνθρωπος, καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, ὑψωθήσεται δὲ Κύριος μόνος C ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ὥσπερ ἔφην ἀρτίως, ἐλεγχομένης αὐτῶν ἰσχύος ἁπάσης ὡς ἀδρανοῦς, τῆς θείας δυνάμεως ἡ ὑπεροχὴ γνωριμωτάτη τοῖς πεποιθόσι γενήσεται. Πάνδεινον οὖν ἄρα τὸ προσκρούειν Θεῷ, καὶ ἁπάσης ἡμῖν παραίτιον συμφορᾶς τὸ χρῆμα γίνεται. Δεῖ δὲ ἡμᾶς μὴ δυνάμεσιν ἰδίαις ἐπιθαρσεῖν, ἀπονέμειν δὲ μᾶλλον τὸ πάντα δύνασθαι Θεῷ, καὶ αὐτὸν ἐπίκουρον ποιεῖσθαι φιλεῖν, ὅταν τι τῶν δεινῶν ἐπιφέρηται προσκεκρουκόσι δι' ἁμαρτίας.

Ἡμέρα γὰρ Κυρίου Σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον· καὶ ταπεινωθήσονται. Καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου, τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον βαλάνου Βασάν· καὶ ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ἐπὶ πάντα βουνὸν ὑψηλὸν, D *καὶ ἐπὶ πάντα πύργον ὑψηλὸν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλὸν, καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους· καὶ ταπεινωθήσεται, καὶ πεσεῖται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.*

Τὸν τοῦ πολέμου καιρὸν, καὶ τῆς ἐπ' αὐτοῖς ὀργῆς τὴν ἐκπλήρωσιν ἡμέραν ὀνομάζει Κυρίου. Τοῦτο γὰρ ἔθος τῇ θεοπνεύστῳ Γραφῇ. Καὶ γοῦν καὶ αὐτὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὸν καιρὸν τῷ τῆς ἡμέρας ὀνόματι κατεσήμαινεν ὁ Δαβὶδ οὕτω λέγων· « Αὕτη ἡ ἡμέρα ἣν ἐποίησε Κύριος, ἀγαλλιασώμεθα

propulsandis his qui irruptionem fecerant par non esset. Proinde, non quasi instantibus, sed potius velut præsentibus malis, et jam intra portas et in ipsa regione versantibus, abscondi jubet, eosque qui adhuc viverent tantum non abdi in terram, a timore Domini et a gloria fortitudinis ejus : quando ad terram percutiendam, id est, conterendam surrexerit. Atqui excelsa esse, et supra omnes homines eminere divina consilia et cogitata, neminemque mortalium illis resistere posse, planum atque perspicuum facit, cum ait : « oculi enim Dei sublimes: » oculos enim Domini hisce verbis vocat ejus velut prospicientias et consilia, et in quaque re judicia. Homines scilicet pusilli natura et mente cum sint, pusilla consultant, et humilia cogitant. Sed altus natura Deus universorum, et in omni re arcana quadam præstantia elucens et apparens, consilium habet inexpugnabile. Non enim quisquam consilium afferre posset vel subsidium satis firmum, ad divinorum consiliorum machinas subvertendas. Hoc cognituros ait Judæos, etsi olim non agnoverint, quando grave Babyloniorum bellum eos impetet, quando omnis manus subsidiaria imbecillis erit et imbellis, cum consultatio humanique consilii inventa nihil proficient : quibus illi forte rati sunt calamitates bellicas posse effugere. Itaque docebit, inquit, experientia, humilem esse hominem et dejectum : et depressum iri celsitatem hominum, extollendum vero Dominum solum in die illa. Nam, ut modo dixi, cum eorum robur omne velut imbecillum apparuerit, divinæ **47** potentiæ excellentia et splendor in illis qui passi sunt et afflicti, maxime inclarescet. Gravissimum itaque est Deum offendere, et causa omnium calamitatum quæ nobis accidunt istud est. Nec vero nostris viribus nitendum est, sed omnipotentia Deo tribuenda : et illius nobis auxilium conciliare debemus, quando aliquod grave malum nobis per peccatum offendentibus infertur.

VERS. 12-17. *Dies enim Domini Sabaoth super omnem contumeliosum, et superbum, et super omnem elatum, et tumidum ; et humiliabuntur. Et super omnem cedrum Libani præaltam et erectam, et super omnem arborem glandis Basan : et super omnem montem editum, et super omnem collem celsum, et super omnem turrim excelsam, et super omnem murum præcelsum, et super omnem navim maris, et super omnem pulchrum navigiorum aspectum; et humiliabitur, et cadet altitudo hominum, et evehetur Dominus solus in die illa.*

Belli ipsum tempus, et iræ expletionem in illos, diem appellat Domini; est enim hoc solemne divinitus inspiratæ Scripturæ. Quippe et ipsum Servatoris nostri adventus tempus, diei appellatione designat David, dicens : « Hæc dies quam fecit Dominus, exsultemus et lætemur in ea [1]. » Fere

[1] Psal. CXVII, 24.

Ideo dicit tempus iræ contra omnem contumeliosum et superbum. Et contumeliosos quidem videtur dicere, qui divinam majestatem dedecorant, eo quod non sustineant eam adorare, sed illis potius diis affigantur, quos ipsi commenti sunt : superbos vero, qui divinam legem contemnunt, et quæ divinitus edicta sunt pro nihilo ducunt ; siquidem et beatus David ait : « Superbi legem prævaricati sunt vehementer [8]. » Quoniam autem cumplures essent per Judæam et Jerusalem divitiis cumulati affatim, et opum copia haud mediocriter circumfluerent, cæteris præcellerent, et potentia septi ac muniti essent, illaque suæ nobilitatis haud exigua mensura exsultarent, sublatique in altum, veluti intumescerent, ideo in eos maxime hanc divinam iram dicit incursuram ; statum cujusque atque gradum ænigmatice subinsinuans. Confert etenim illos et cum Libani cedris : « Vidi enim, » inquit, « impium erectum et elatum velut cedros Libani [9] ; » quin et cum arboribus **48** quercus Basan, id est quercubus quæ sunt in Basanitide terra : est autem is locus in Judæa, qui nunc Basanæa vocatur, plantarum nutrix optima, spissas et bene proceras habens cedros. Confert etiam eos similiter cum collibus et montibus, et cum turribus et muris præaltis. Addit deinde eos cumulandarum opum occasiones in regionem importavisse, cum dicit : « Et super omnem navim maris, et super omnem aspectum pulchrum navigiorum. » Dupliciter autem hoc intelligitur. Cum enim denuntiaretur undique bellum, et Babylonios adventare diceretur, spem in Deum figere destiterunt Israelitæ, et Ægyptios in præsidium asciverunt, Tyro, et accolis gentibus mercede conductis. Omnes enim Tyrii maritimi erant, et rei mercatoriæ periti, et naves habebant magnifice exstructas. Postquam autem advenit Babylonius, antequam terram Judæorum vastaret, deprædatus est Tyrios. Igitur hisce verbis vel hoc dicit propheticus nobis sermo ; vel illud fortassis : Plurimi reges Israel causa negotiandi naves habebant, quæ ex Judæorum regione ac terra merces exportarent, illis rursus ex alienis regionibus ac civitatibus adveherent; ex quo factum est ut ingentes opes illis accreverint; elatiores facti sunt cedris, quercubus, montibus et turribus non dissimiles. Quod vero conflandarum opum occasio, id est, lucra quæ ex negotiatione et commutatione influunt, simul cum superbis peritura sint, luculenter denotat. Quod etiam Israelitæ multos in subsidium conducerent, non obscurum est, cum Deus de illis per alterum prophetam dicat : « Et erat Ephraim columba amens, non habens cor, Ægyptum invocavit, et ad Assyrios abiit. Et cum abierint, injiciam illis rete meum, veluti cœli volucres deducam eos, rumore afflictionis suæ erudiam eos [10]. » Inevitabile est igitur Dei judicium contra quos fit. Nonne vero impia est imperitia, spe

A καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. » Ἔσεσθαι τοίνυν φησὶ τῆς ὀργῆς τὸν καιρὸν κατὰ παντὸς ὑβριστοῦ καὶ ὑπερηφάνου. Καὶ ὑβριστὰς μὲν ἔοικεν ἀνακαλεῖν τοὺς, οἵγε τὴν θείαν ἀτιμάζουσι δόξαν, διὰ τοῦ μὴ ἀνέχεσθαι προσκυνεῖν αὐτῇ, προσκεῖσθαι δὲ μᾶλλον, οἷς ἂν αὐτοὶ διατεκτήναιντο θεοῖς· ὑπερηφάνους δὲ τοὺς τῶν θείων ὑπερορῶντας νόμων, καὶ παρ' οὐδὲν ποιεῖσθαι μεμελετηκότας τὰ τεθεσπισμένα. Καὶ γοῦν ὁ μακάριος ἔφη Δαβίδ· « Ὑπερήφανοι παρενόμουν ἕως σφόδρα. » Ἐπειδὴ δὲ πλεῖστοί τινες ἦσαν κατὰ τὴν Ἰουδαίαν καὶ μέντοι τὴν Ἱερουσαλὴμ, πλούτῳ τε κομῶντες ἀμφιλαφῶς, καὶ ταῖς τῶν χρημάτων περιουσίαις οὐ μετρίως περιεχόμενοι, προὔχοντές τε τῶν ἄλλων καὶ δυναστείαις ὠχυρωμένοι, καὶ τῆς παρ' αὐτοῖς εὐκλείας οὐκ εἰς βραχὺ μέτρον ἀναπηδή- B σαντες, ἠρμένοι τε ὕψου, καὶ οἱονείπως ἐξογκούμενοι· ταύτῃ τοι κατ' αὐτῶν ὅτι μάλιστα τὰ ἐκ τῆς θείας ὀργῆς δραμεῖσθαί φησι τὴν ἑκάστου τάξιν, ἤτοι μέτρον αἰνιγματωδῶς ὑπεμφαίνων. Παρεικάζει γὰρ αὐτοὺς καὶ ταῖς τοῦ Λιβάνου κέδροις· « Ἴδον γὰρ ἀσεβῆ, » φησὶν, « ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· » καὶ μὴν καὶ τοῖς δένδρεσι τῆς βαλάνου Βασὰν, τοῦτ' ἔστι, δρυσὶ ταῖς ἐν τῇ Βασανίτιδι· χώρα δὲ αὕτη κατὰ τὴν Ἰουδαίαν, ἡ νῦν καλεῖται Βασαναία, φυτῶν ἀρίστη τροφὸς, παχείας τε καὶ εὐμηκεστάτας ἔχουσα τὰς κέδρους. Παρεικάζει δὲ αὐτοὺς ὁμοίως βουνοῖς καὶ ὄρεσι, καὶ προσέτι πύργοις καὶ τείχεσιν ὑψηλοῖς. Ὅτι δὲ καὶ τὰς τοῦ πλουτεῖν ἀφορμὰς συναποβαλοῦσι τῇ χώρᾳ, C προσεπάγει, λέγων· « Καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους. » Διχῇ δὲ τοῦτο νοεῖται. Περιαγγελθέντος γὰρ ἤδη τοῦ πολέμου, καὶ προσδοκωμένων παρέσεσθαι τῶν Βαβυλωνίων, τῆς εἰς Θεὸν ἐλπίδος τὴν διάνοιαν ἀποστήσαντες οἱ ἐξ Ἰσραὴλ, Αἰγυπτίους ἐκάλουν εἰς ἐπικουρίαν, κατεμισθοῦντό τε τὴν Τύρον, καὶ τὰ περίοικα τῶν ἐθνῶν. Θαλασσουργοὶ δὲ πάντες οἱ Τύριοι, καὶ ἐμπορικῶν ἐπιτηδευμάτων ἐπιστήμονες, καὶ φιλοτίμως τὰς ναῦς κατεσκευασμένοι. Ἐπειδὴ δὲ ἧκεν ὁ Βαβυλώνιος, πρὸ τῆς Ἰουδαίων γῆς, τὴν Τυρίων κατεληΐζετο. Οὐκοῦν ἢ τοῦτό φησιν ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος, ἢ ἐκεῖνό που τάχα. Πλεῖστοι γὰρ τῶν βεβασιλευκότων τοῦ Ἰσραὴλ, ναῦς εἶχον ἐμπορικὰς, τά[ς] ἐκ τῆς Ἰνδῶν χώρας τε καὶ γῆς ἀποφερούσας αὐτοῖς, D καὶ τά[ς] ἐξ ἑτέρων χωρῶν καὶ πόλεων· ὅθεν αὐτοῖς καὶ ὁ πολὺς συναγήγερτο πλοῦτος· ἐξ οὗ γεγόνασι ὑψηλοὶ, κέδροις τε καὶ δρυσὶν ἐν ἴσῳ, ὄρεσί τε καὶ πύργοις. Οὐκοῦν ὅτι καὶ συναπολεῖται τοῖς ὑπερηφάνοις καὶ ἡ τοῦ πλούτου ἀφορμὴ, τοῦτ' ἔστι, τὰ ἐκ τῆς ἐμπορίας καὶ μεταβολῆς εἰς τρέχοντα κέρδη κατασημαίνει λαμπρῶς. Ὅτι δὲ κατεμισθοῦντο πολλοὺς πρὸς ἐπικουρίαν οἱ ἐξ Ἰσραὴλ οὐκ ἀσυμφανὲς, καὶ δι' ἑτέρου προφήτου λέγοντος Θεοῦ περὶ αὐτῶν· « Καὶ ἦν Ἐφραῒμ περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν, Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύετο. Καθὼς πορεύονται, ἐπιβαλῶ ἐπ' αὐτοὺς τὸ δίκτυόν μου, καθὼς τὰ πετεινὰ τοῦ

[8] Psal. cxviii, 51. [9] Psal. xxxvi, 35. [10] Osee vii, 11, 12.

οὐρανοῦ κατάξω αὐτούς. Παιδεύσω αὐτοὺς ἐν τῇ A ἀκοῇ τῆς θλίψεως αὐτῶν.» Δυσδιάφυκτον οὖν τὸ τοῦ Θεοῦ κρῖμα, καθ' ὧν ἂν γένοιτο· καὶ ἀμαθὲς καὶ ἀνόσιον μὴ οὐχὶ δὴ μᾶλλον ἠρτῆσθαι φιλεῖν τῆς εἰς αὐτὸν ἐλπίδος, κενοῖς δὲ καὶ ἀσυνέτοις διαπαίζεσθαι λογισμοῖς οἰομένους, ὅτι κἂν εἰ βούλοιτο τὸ σώζειν αὐτοὺς, ἐξελεῖται δέ τις ἕτερος καὶ τῆς ἐξ ἀνθρώπων ἐπικουρίας ἡ συνδρομὴ, καὶ περιέσται ποτὲ τῶν παρ' αὐτοῦ νευμάτων. Ἐὰν γὰρ κλείσῃ κατὰ ἀνθρώπου, φησὶ, τίς ἀνοίξει; Ἀγαθὸν τοίνυν τὸ ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄνθρωπον, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν.

in Deum fracta ac debilitata, vanis et inconsideratis ratiunculis ludificari, et existimare, etiamsi servare nolit ipse, alium quempiam erepturum, et humani auxilii accessionem ejus nutus ac voluntates superaturam? Si, inquit, clauserit contra hominem, quis aperiet? Melius igitur est sperare in Domino, quam sperare in homine, juxta **49** vocem psallentis.

Καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν, εἰσενεγκόντες εἰς τὰ σπήλαια, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, καὶ εἰς τὰς τρώγλας τῆς γῆς ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. B

VERS. 19. *Et manufacta omnia abscondent, inferentes in specus et in scissuras petrarum, et in rimas terræ a facie timoris Domini, et a gloria fortitudinis ejus, quando surrexerit ad frangendam terram.*

Γέλωτος ἀξίαν τὴν τῶν Ἰουδαίων ἀποφαίνει σκέψιν, εἰ κατακρύπτουσι τοὺς θεοὺς, καὶ σώζειν ἐπείγονται τοὺς προσκυνουμένους. Καίτοι πῶς οὐκ ἔδει σωτῆρας αὐτοὺς ἔσεσθαι προσδοκᾷν, εἴπερ ὄντως ᾔδεσαν θεούς; Ἀλλ' αὐτοὶ τῶν ἰδίων καταδικάζοντες βουλευμάτων, καὶ μαρτυροῦντες αὐτοῖς τὸ πρὸς πᾶν ὁτιοῦν ἀδρανὲς, ἐπαμύνουσι τοῖς θεοῖς. Κατακρύπτουσι γὰρ εἰς τὰ σπήλαια, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἵνα μὴ εὑρόντες οἱ πολέμιοι συναποφέρωσι τοῖς νενικημένοις οἷον αἰχμαλώτους θεούς. Πῶς οὖν ἔτι θεοὶ παρὰ τῶν προσκυνούντων αὐτοῖ; ἐπικουρίας δεδεημένοι, ἀλλ' ὕλη μὲν ἄψυχος ἐκεῖνα. Καὶ ὥς C φησιν ὁ μακάριος Δαβὶδ, «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.» Νοσήσουσί γε μὴν οἱ θεραπεύοντες αὐτὰ τὴν ἴσην αὐτοῖς ἀναισθησίαν. Αὐτοὶ γὰρ τεχνῖται καὶ δημιουργοὶ γεγονότες αὐτῶν, αἴρουσιν ἐπὶ τῶν ὤμων, καὶ πορεύονται, καὶ προσκυνοῦσιν αὐτῷ, καὶ προσεύχονται λέγοντες· «Ἐξελοῦ με ὅτι Θεός μου εἶ σύ.» Σποδὸς τοιγαροῦν ἡ καρδία αὐτῶν, καὶ πλανῶνται. Πρέποι δ' ἂν τοῖς εὐσεβεῖν εἰωθόσι, ταῖς τῶν πλανωμένων ἀβελτηρίαις ἐῤῥῶσθαι λέγειν, καὶ μὴν κἀκεῖνο βοᾷν· «Θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἀπὸ τῆς γῆς.» Καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ τούτου· «Ἡμῖν γὰρ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν. Καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.»

Ridiculum ostendit Judæorum consilium: siquidem deos occultant, et quos adorarunt, eos servare satagunt. Nam quidni potius servatores illos fore exspectarent, siquidem revera deos esse norant? Atqui sua ipsi decreta damnantes, cumque ipsi testes sint eorum imbecillitatis, diis succurrunt. Abscondunt enim in speluncis et in scissuris saxorum, et in terræ foraminibus, ne hostes inveniant, et una cum victis captivos quoque deos asportent. Qui ergo jam dii sint, qui suorum cultorum ope indigent? Sed materia exanimis illa sunt, et, ut inquit beatus David: «Idola gentium argentum et aurum, opera manuum hominum [11].» Et sane qui colunt ea, simili cum illis stupiditate laborant. Ipsi enim fabri et opifices eorum cum sint, humeris ea imponunt, eunt, adorant, apprecantur, dicentes: «Eripe me, quia Deus meus es tu [12].» Stercus igitur cor eorum, et errant. Decet autem eos qui pietatem colere solent, errantium stultitiæ valedicere, illudque clamare: «Dii qui cœlum et terram non fecerunt, perdantur de terra [13],» et de his quæ sub cœlo sunt: «Nobis enim unus Deus Pater, ex quo omnia, et nos in ipsum, et unus Dominus Jesus Christus per quem omnia, et nos per ipsum [14].»

Τῇ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ χρυσᾶ, ἃ ἐποίησε προσκυνεῖν τοῖς ματαίοις καὶ ταῖς νυκτερίσι, τοῦ εἰσελθεῖν εἰς τὰς τρώγλας τῆς γῆς, στερεὰς πέτρας, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. D

VERS. 20, 21. *Die illa ejiciet homo abominationes suas argenteas et aureas, quas fecit, ad adorandum vana, et vespertiliones, ut ingrediantur in cavernas solidæ petræ, et in scissuras petrarum a facie timoris Domini, et a gloria fortitudinis ejus quando surrexerit ad frangendam terram.*

Τοὺς παρ' αὐτῶν γεγονότας καὶ ψευδωνύμους θεοὺς ὅτι κατακρύπτειν ἔμελλον, οὐκ αἰδοῖ τῇ περὶ αὐτοὺς ἔτι νικώμενοι, κατεγνωκότες δὲ μᾶλλον ὡς ὕλης ἀχρήστου καὶ ἀδρανοῦς καθίστησιν ἐναργὲς προσεπενεγκὼν οἷς ἔφη· «Τῇ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ, ἃ ἐποίησε προσ-

Quod falso nuncupatos deos et ab ipsis factos abscondere debebant, non quia puduerit illorum, sed potius quod eos tanquam materiam inutilem et imbellem damnassent, manifestum reddit cum subjungit his quæ dixerat: «Die **50** illa ejiciet homo abominationes suas quas fecit ut adoraret, et vesper-

[11] Psal. CXIII, 4. [12] Psal. LVIII, 2. [13] Jerem. X, 11. [14] I Cor. VIII, 6.

tiliones.» Collocata enim in adytis manufacta, adoraverunt impie: arbitrabantur nimirum esse deos. Postquam vero imminere bellum viderunt, nullamque auxilii consequendi rationem sibi prorsus esse, et lapides ac ligna esse deprehenderunt, et materia aurea et argentea, quos sospitatores et liberatores fore crediderunt, e templis ejecerunt, et in cavernis abdiderunt, magis ut parcerent materiæ, quam quod illos amplius ceu deos colerent. Frustraneum autem et inutilem illis laborem esse in idolorum efflictione, ostendit dicens: «Ejiciet homo abominationes quas fecit, ut illas et vespertiliones adoraret.» Etenim suorum deorum exstiterunt opifices, et artifices eorum quæ adorabantur. Opis vero nihil ab iis acceperunt, ac fortassis vespertilionibus solis templa ædificarunt. Semper enim ejusmodi volatilia sive animalcula in cæcis locis libenter habitant, et horrore et fœditate replent omnia. Ejiciet itaque homo abominationes quas fecit. Ejiciet vero ut ingrediantur in foramina duræ petræ, et in scissuras petrarum a facie timoris Domini. Vide igitur quo pacto se una cum suis diis conati fuerint sepelire, miseri. Cæterum universorum Deum non viderunt talem esse. Non enim latuit, cum ex terra Ægyptiaca fugerent, et insequeretur Pharao prosequens. Perrupit enim mare, et eduxit inenarrabili eos potentia et nutu inexplicabili, et illi quidem conservati sunt, perinde quasi aridam transirent: hic vero stupidus Pharao præfocatus est cum toto exercitu. Item, cum Rabsaces Babyloniorum dux Jerusalem obsidione undique premeret, ac contra Deum deblateraret, diceretque se totam Judæam facile devicturum: non delituit Deus, nec petrarum rimas quæsivit, nec rupturas montium: sed precatus est Ezechias dicens: «Exaudi, Domine, aspice, Domine, vide sermones Rabsacis, quem rex Assyriorum misit, ut in Deum viventem probra jaceret [15].» Statimque Deum audivit loquentem: «Propugnabo civitatem hanc propter me et propter David servum meum [16].» Et quænam tum fuit periclitantibus subveniendi ratio? **51** Incredibilis sane et Deo digna. «Egressus enim est angelus Domini, et ex castris Assyriorum centum octoginta quinque millia interemit [17].» Quare pudore suffundantur qui adorant sculptilia, qui, omnipotente Deo relicto, diis serviunt, quos ante se recondunt, ne ante ipsos pereant, ubi cupiditati hostium avaritiæque fuerint expositi. Dicamus ergo secundum prophetæ Jeremiæ vocem: «Solium gloriæ exaltatum, sanctificatio vestra, exspectatio Israel, Domine; omnes qui derelinquunt te, pudefiant. Deficientes in terra scribantur, quia dereliquerunt fontem vitæ Dominum [18].» Jam vero si fas sit spiritualibus aliquid etiam spirituale dicere: quicunque idola mentis patiuntur, et pravarum imaginum cogitationes admittunt, sciant fore se nidos vespertilionum, hoc est. spirituum immundorum. «Unusquisque enim tentatur,» inquit, «a propriis cupidi-

A κυνεῖν αὐτοῖς καὶ ταῖς νυκτερίσιν.» Ἱδρυσάμενοι γὰρ ἐν σηκοῖς τὰ χειροποίητα προσκεκυνήκασιν ἀνοσίως· ᾤοντο γὰρ εἶναι θεούς. Ἐπειδὴ δὲ παρόντα τεθέανται τὸν τοῦ πολέμου καιρὸν, εἶτα τῆς ἐπικουρίας οὐδεὶς ἦν ὅλως αὐτοῖς ὁ τρόπος, λίθοι δὲ ὄντες καὶ ξύλα πεφώρανται, ὕλη τε χρυσῆ καὶ περιάργυρος, οὓς ἐνόμισαν ἔσεσθαι σωτῆρας καὶ λυτρωτὰς, ἐξέβαλλον τῶν ναῶν, καὶ κατέκρυπτον ἐν σπηλαίοις, φειδόμενοι μᾶλλον τῆς ὕλης, καὶ οὐχ ὡς θεοὺς τιμῶντες ἔτι. Εἰκαῖος δὲ ὅτι καὶ ἀνόνητος ὁ πόνος αὐτοῖς ὁ περὶ τὴν τῶν εἰδώλων ποίησιν, διέδειξεν εἰπών· «Ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ ἃ ἐποίησε προσκυνεῖν αὐτοῖς καὶ ταῖς νυκτερίσιν.» Γεγόνασι μὲν γὰρ αὐτοὶ δημιουργοὶ τῶν ἰδίων θεῶν, B καὶ τεχνῖται τῶν προσκυνουμένων, ἐσχήκασι δὲ παρ' αὐτῶν εἰς ὄνησιν οὐδέν. Τάχα δέ που μόναις ταῖς νυκτερίσιν ἀνεδείμαντο τοὺς ναούς. Ἀεὶ γάρ πως τὰ τοιάδε τῶν πτηνῶν ἤτοι ζωϋφίων τοῖς ἀφεγγέσι τῶν τόπων ἐμφιλοχωροῦσιν, καὶ τῆς παρ' ἑαυτῶν βδελυρίας καὶ κακοσμίας ἀναπιμπλᾶσι τὰ ἐν αὐτοῖς. Ἐκβαλεῖ τοίνυν ἄνθρωπος ἃ ἐποίησε βδελύγματα, ἐκβαλεῖ δὲ ὅποι, τοῦ εἰσελθεῖν, φησὶν, εἰς τὰς τρώγλας τῆς στερεᾶς πέτρας, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου. Ἄθρει δὴ οὖν ὅπως τοῖς ἰδίοις θεοῖς ἑαυτοὺς ἐσπούδαζον συγκατορύττειν οἱ τάλανες. Ἀλλ' οὐ τοιοῦτον τεθέανται τὸν τῶν ὅλων Θεόν. Ἐκρύπτετο γὰρ οὐδαμῶς, ὅτε τῆς Αἰγυπτίων ἐκδεδραμήκασι γῆς, εἵπετο δὲ διώκων ὁ Φαραώ. Διέῤῥηξε γὰρ τὴν C θάλασσαν, καὶ διήγαγεν αὐτοὺς, ἀῤῥήτῳ δυνάμει, καὶ ἀφράστοις νεύμασι. Καὶ οἱ μὲν ἐσώζοντο βαδίζοντες ὡς ἐπὶ ξηρᾶς· ὁ δὲ ἀπόπληκτος Φαραὼ πανστρατιᾷ κατεπνίγετο. Καὶ μὴν ὅτε Ῥαψάκης ὁ Βαβυλωνίων στρατηγὸς, κύκλῳ περισχὼν τὴν Ἱερουσαλὴμ, πεφλυάρηκε κατὰ Θεοῦ, καὶ ὅλης ἔφη ῥᾳδίως καταχρατήσειν τῆς Ἰουδαίας· οὐκ ἐκρύπτετο Θεὸς, οὐδὲ πετρῶν ἐζήτησε σχισμὰς, οὔτε μὴν διασφαγὰς ὀρῶν, ἀλλ' ηὔχετο μὲν Ἐζεκίας λέγων· «Εἰσάκουσον, Κύριε, εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους Ῥαψάκου, ὃν ἐξαπέστειλε βασιλεὺς Ἀσσυρίων ὀνειδίζειν Θεὸν ζῶντα.» Παραχρῆμα δὲ Θεοῦ λέγοντος ἤκουε· «Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης, δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου.» Καὶ τίς τὸ τηνικάδε κινδυνεύουσιν ὁ τῆς ἐπικουρίας D ἐγένετο τρόπος; Παράδοξος καὶ θεοπρεπής· «Ἐξῆλθε γὰρ ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας.» Αἰσχυνθήτωσαν τοίνυν οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ τὸν πάντα ἰσχύοντα Θεὸν καταλελοιπότες, καὶ λατρεύοντες θεοῖς, οὓς πρὸ ἑαυτῶν καταχρύπτουσιν, ἵνα μὴ πρὸ αὐτῶν ἀπόλοιντο, ταῖς τῶν πολεμούντων περιπεσόντες φιλοκερδίαις. Λέγωμεν τοίνυν κατὰ τὴν τοῦ προφήτου φωνὴν Ἱερεμίου· «Θρόνος δόξης ὑψωμένος, ἁγίασμα ἡμῶν, ὑπομονὴ Ἰσραὴλ, Κύριε· πάντες οἱ καταλιπόντες σε καταισχυνθήτωσαν. Ἀφεστηκότες ἐπὶ τῆς γῆς γραφήτωσαν, ὅτι ἐγκατέλιπον πηγὴν ζωῆς τὸν Κύριον.» Εἰ

[15] Isa. xxxvii, 16 seqq. [16] ibid. 35. [17] ibid. 36. [18] Jerem. xvii, 12, 13.

δὲ χρή τι καὶ πνευματικὸν τοῖς πνευματικοῖς εἰπεῖν, ὅσοι τῶν εἰς νοῦν εἰδώλων ἀνέχονται, καὶ τὰς ἐκ τῶν ἐκτόπων φαντασιῶν ἐννοίας εἰσδέχονται, ἴστωσαν ὅτι νυκτερίδων ἔσονται καλιαί, τοῦτ' ἔστι, τῶν ἀκαθάρτων πνευμάτων. « Ἕκαστος γὰρ πειράζεται, » φησίν, « ὑπὸ τῶν ἰδίων ἐπιθυμιῶν ἐξελκόμενος, καὶ δελεαζόμενος. Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον. » Παραιτητέον οὖν ἄρα τὰς ἀρχὰς τῶν παθῶν, καὶ τὰ εἰς νοῦν εἴδωλα, τὰ διὰ μόνων ἐννοιῶν εἰστρέχοντα παρωσώμεθα, τὸ γεγραμμένον εἰδότες· « Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ τόπον σου μὴ ἀφῇς· ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. »

talibus tractus et inescatus, dein cupiditas postquam concepit, parit peccatum, peccatum consummatum progignit mortem [19].» Repellenda sunt itaque principia malorum; et mentis idola, quæ per solas cogitationes irrepunt, propulsemus, scientes scriptum esse: «Si spiritus dominantis ascenderit super te, locum tuum ne deseras: quia medela sedabit peccata magna [20].»

Ἰδοὺ δὴ ὁ δεσπότης Κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα, καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου, καὶ ἰσχὺν ὕδατος, γίγαντα καὶ ἰσχύοντα, καὶ ἄρχοντα, πολεμιστὴν καὶ δικαστήν.

CAP. III, VERS. 1, 2. *Ecce itaque dominator Sabaoth auferet a Judæa et ab Jerusalem robustum et robustam, robur panis et robur aquæ, gigantem et robustum, et principem, bellatorem et judicem.*

Ἀποχρῶσαν ἡμῖν ποιησάμενος τὴν ἀφήγησιν, τὴν ἐπί γε τοῖς ἀρχαιοτέροις αὐτῶν ἐγκλήμασιν, μεθίστησι πάλιν ἐπὶ καιροῦ τὸν λόγον ἐπὶ τὰς τελευταίας αὐτῶν συμφοράς, δικαίως ὑπομεμενηκόσιν ἐμπαροινήσαντες ἀνοσίως εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Ἐπέταξε γὰρ αὐτοῖς ὁ θυμὸς Κυρίου, καὶ μάλα εἰκότως· ἀνῃρηκότες γὰρ τοὺς προφήτας, καὶ λιθοβολήσαντες τοὺς ἀπεσταλμένους, οὐδὲ αὐτὸν δεδυσώπηνται τὸν Υἱόν, ἐπεπήδησαν δὲ θηριοπρεπῶς, καὶ τὸν ἀρχηγὸν τῆς ζωῆς, τό γε ἧκον εἰς αὐτούς, θανάτῳ περιβεβλήκασι, λέγοντες· « Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι. » Πάνδεινα μὲν οὖν ἐστιν αὐτοῖς τὰ τοῦ πολέμου συμβεβηκότα καὶ δεδαπάνηνται πολυτρόπως· τοῦτο μὲν λιμῷ καὶ πολιορκίαις, πυρὶ καὶ σιδήρῳ, τοῦτο δὲ γυναίων τε καὶ παίδων ἀνδραποδισμοῖς. Ὅτι δὲ καὶ τῶν ἄνωθεν καὶ παρὰ Θεοῦ χαρισμάτων νενοσήκασι τὴν ἀποβολήν, καὶ τῶν εἰς νοῦν καὶ ψυχὴν ἀγαθῶν ἐστέρηνται, διδάσκει λέγων· « Ἰδοὺ δὴ ὁ Δεσπότης Σαβαώθ, ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν. » Καὶ ὁ λόγος τῷ προφήτῃ νῦν οὐ περὶ σωματικῆς ἰσχύος· εὔηθες γὰρ τὸ ὧδε νοεῖν· περὶ νοητῆς δὲ μᾶλλον, καὶ τῆς εἰς νοῦν καὶ καρδίαν, δι' ἧς εἰθίσμεθα κατορθοῦν ἀρετήν. Στρατεύεται μὲν γὰρ ἡ σὰρξ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. Ταῦτα γὰρ ἀντίκειται ἀλλήλοις· πλεῖσται δὲ ὅσαι κοσμικαὶ καὶ ἀκάθαρτοι τὸν ἀνθρώπινον νοῦν διακυκῶσιν ἡδοναί, καταφέρουσαι πρὸς ἁμαρτίας. Χρεία τοίνυν ἰσχύος τῆς ἄνωθεν καὶ παρὰ Θεοῦ. Περιέσται γὰρ οὕτως τις καὶ μόλις, καὶ στεφανοῦται κρατῶν· ἀφῃρῆσθαι δὲ τοῦτό φησιν ἀπὸ τῶν Ἰουδαίων, καὶ αὐτὰ βοήσει τὰ πράγματα. Ποῖος γὰρ ἔτι λόγος ἐστὶ παρ' αὐτοῖς τοῦ κατορθοῦν ἀρετήν; ἢ τίς ὁ εὐδόκιμος καὶ ἀντανίστασθαι μεμελετηκὼς τοῖς πάθεσι τῆς σαρκός, ἤγουν ταῖς ἐφόδοις τῶν ἐκτόπων ἡδονῶν; Πρόκειται γὰρ ὥσπερ ἁπάντων ὁ νοῦς ὡς σευτλίον ἡμίεφθον, κατὰ τὴν τοῦ προφήτου φωνήν. Οὐ γὰρ δύναται λέγειν· « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. » Ἀφῄρηται δὲ ἀπ' αὐτῶν ἰσχὺς ἄρτου καὶ ἰσχὺς ὕδατος· ἄρτου δὲ πάλιν οὐχ αἰσθητοῦ, ἀλλ' οὐδὲ ὑδάτων τῶν ἐν κατα-

Cum fuse satis vetera eorum vitia exposuerit, opportune rursus sermonem ad extremas eorum miserias traducit: quas in omnium nostrum Servatorem Christum impie debacchati, merito subierunt. Effusus est enim in illos furor Domini, idque justissime. Sublatis etenim prophetis, et lapidatis legatis, ne ipsum quidem Filium reveriti sunt, sed instar ferarum insultarunt, et ducem vitæ, quantum in ipsis erat, morti tradiderunt: « Vinciamus, inquiunt, justum, quia incommodus nobis est [21]. » Gravissima igitur illis ex bello evenerunt, et multis modis consumpti sunt, **52** partim fame atque obsidione, et flamma atque ferro: partim feminarum et puerorum captivitatibus. Quod etiam supernorum et divinorum donorum amissione afflicti, et mentis animique bonis orbati fuerint, docet his verbis: « Ecce dominator Dominus Sabaoth auferet a Judæa et Jerusalem robustum et robustam. » Loquitur autem nunc propheta, non de corporea fortitudine (est enim ineptum hoc sic intelligere), sed de ea potius quæ sub intelligentiam venit, quæ ad mentem et cor pertinet: qua recte virtutem exercere consuevimus; pugnat enim caro contra spiritum, et spiritus contra carnem: hæc namque dissident inter se, et plurimæ mundanæ ac immundæ voluptates humanam mentem demergunt, et ad peccata abripiunt. Opus igitur est fortitudine quæ e supernis venit et a Deo. Sic videlicet evadet quispiam superior, idque vix, ac cum vicerit, coronatur. Hanc autem tollendam a Judæis dicit, quod etiam res ipsæ clamitabunt. Quæ est enim jam oratio apud eos de exercenda virtute? vel quis est quem laudibus ornare possis? Quis affectus carnis reprimere studet, aut monstrosarum voluptatum assultus? Exposita etenim est et prostituta quodammodo omnium mens tanquam beta semicocta, juxta prophetæ vocem. Non enim potest dicere: « Omnia possum in eo qui me confortat Christo [22]. » Aufertur etiam ab illis fortitudo panis et fortitudo aquæ: panis rursus non sensibilis, nec aquarum in usu communi positarum: sed ejus verius de quo David

[19] Jac. I, 14, 15. [20] Eccle. X, 4. [21] Sap. II, 12. [22] Philipp. IV, 13.

ait : « Panem cœli dedit illis, panem angelorum manducavit homo [23]. » Aquas item memorare eum dicimus, quæ mentis sunt et intelligentiæ, quarum ipsemet propheta Isaias meminit : « Et haurietis aquam cum gaudio de fontibus Salvatoris [24]. » Et porro ipse Servator : « Omnis qui bibit ex aqua hac, sitiet iterum : qui autem biberit ex aqua quam ego dabo illi, erit in illo fons aquæ salientis in vitam æternam [25]. » Cæterum diligenter observa verba prophetæ. Non enim dixit simpliciter sublatum iri a Judæis panem et aquam, sed robur panis et robur aquæ. Siquidem nos hoc docere vult. Nam qui sacros sermones et divinas Scripturas legimus, easque intelligimus, robur panis, spiritalis accipimus. « Non enim, » inquit, « in solo pane vivet homo, sed in omni verbo quod prodit ex ore Dei [26]. » Eodemque **53** modo intelliges de aquis quæ subjectæ sunt intellectui. Judæi quidem panem et aquam etiamnum habent. Multum enim occupantur in litteris Mosaicis, et legunt legem. Cum autem nihil sciant, nequaquam habent robur panis, nec etiam robur aquæ. Nuda enim et sola littera illis data est, quæ panis quidem et aquæ speciem habet, minime tamen eos ullo modo enutrit ad habitudinem ac vegetationem spiritualem. Astipulabitur huic Paulus, scribens : « Usque ad hodiernum diem, quando legitur Moyses, velum cordi eorum imponitur, non retectum, quia in Christo tollitur [27]. » Aliter item submoveri dicimus ex Synagoga Judæorum robur panis et robur aquæ. Et sermo est mysticus. Etenim nos qui per fidem ad sanctificationem vocati sumus, panem habemus, panem, inquam, de cœlo, hoc est, Christum seu corpus ejus. Si vero quis interroget, cujusmodi tandem illius robur ac vis sit, vivificum esse dicimus : dat enim mundo vitam. Similiter etiam recipimus per Spiritum sanctum baptismi gratiam, qui sanctificat nos : vimque aquæ dicimus esse peccatorum abolitionem, regenerationem spiritualem, ut ipsi Christo conformes simus; præterea etiam, liberum ingressum in viam, quæ ad regnum cœlorum ducit. « Nisi enim quis, » inquit, « natus sit ex aqua et spiritu, non potest ingredi regnum Dei [28]. » Privati sunt itaque Judæi ejusmodi bonis : quoniam apud eos non est panis robur, id est, illa, quæ est in Christo, vivificatio. Neque aquæ vim habent, quia manet in ipsis iniquitas illota : neque regnum cœlorum intrabunt, quia Christum qui introducit, honori non habuerunt; non enim crediderunt dicenti : « Ego sum via; » et, « Ego sum ostium [29]. » Auferet similiter et gigantem et præpotentem. Quisnam demum est ille gigas? quis ille præpotens? Equidem existimo gigantem dicere eum, qui ad terminum metamque spiritualis fortitudinis pervenit, præpotentem autem minorem paulo ac dejectiorem, et hac quæ in illo intelligitur præstantia inferiorem. Unicuique enim nostrum

A χρήσει κοινῇ· ἐκείνου δὲ μᾶλλον περὶ οὗ φησιν ὁ Δαβίδ· « Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς· ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος. » Ὑδάτων δὲ μεμνῆσθαί φαμεν αὐτὸν τῶν νοητῶν, περὶ ὧν αὐτός πού φησιν ὁ προφήτης Ἡσαΐας· « Καὶ ἀντλήσετε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ Σωτῆρος. » Καὶ μὴν καὶ αὐτὸς ὁ Σωτήρ· « Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃ δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον. » Σύνες δὲ ἀκριβῶς τὰς τοῦ προφήτου φωνάς. Οὐ γὰρ εἴρηκεν ἁπλῶς τῶν Ἰουδαίων ἀφαιρεθήσεσθαι ἄρτον τε καὶ ὕδωρ, ἀλλ' ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος. Καὶ δεῖ ἡμᾶς τοιοῦτόν τι βούλεσθαι διδάσκειν αὐτόν. Ἡμεῖς μὲν γὰρ τοῖς ἱεροῖς περιτυγχάνοντες λόγοις, καὶ τὰς θείας ἀναγινώσκοντες B Γραφὰς, εἶτα συνιέντες αὐτὰς, ἰσχὺν ἄρτου νοητοῦ δεχόμεθα. « Οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ, » φησὶ, « ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος τοῦ Θεοῦ. » Ὁμοίως νοήσεις καὶ ἐφ' ὑδάτων νοητῶν. Ἰουδαῖοί γε μὴν ἔχουσι μὲν τὸν ἄρτον καὶ τὸ ὕδωρ ἔτι. Πολυπραγμονοῦσι γὰρ τὰ Μωσέως γράμματα, καὶ ἀναγινώσκουσι τὸν νόμον. Ἐπειδὴ δὲ γινώσκουσιν οὐδὲν, οὐκ ἔχουσι τὴν ἰσχὺν τοῦ ἄρτου, οὔτε μὴν τὴν ἰσχὺν τοῦ ὕδατος. Ψιλὸν γὰρ αὐτοῖς καὶ μόνον τὸ γράμμα δέδοται, ἄρτου μὲν καὶ ὕδατος ὑπόληψιν ἔχον, τρέφον δὲ αὐτοὺς κατ' οὐδένα τρόπον εἰς εὐεξίαν τὴν νοητήν. Καὶ μαρτυρήσει γράφων ὁ Παῦλος· « Ἄχρι γὰρ σήμερον, ἡνίκα ἂν ἀναγινώσκεται Μωσῆς κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. C » Καὶ καθ' ἕτερον δὲ τρόπον, ἀφῃρῆσθαί φαμεν ἐκ τῆς Ἰουδαίων συναγωγῆς, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος. Καὶ ὁ λόγος ἐστὶ μυστικός. Ἡμεῖς μὲν γὰρ οἱ διὰ πίστεως κεκλημένοι πρὸς ἁγιασμὸν, τὸν ἄρτον ἔχομεν τὸν ἐξ οὐρανοῦ, τοῦτ' ἔστι, Χριστὸν, ἤτοι τὸ σῶμα αὐτοῦ. Εἰ δὲ δή τις ἔροιτο, ποία τίς ἐστιν ἡ ἰσχὺς αὐτοῦ, φαμὲν ὅτι ζωοποιός. Δίδωσι γὰρ τῷ κόσμῳ ζωήν. Πρόσιμεν δὲ ὁμοίως καὶ τῇ διὰ τοῦ ἁγίου βαπτίσματος χάριτι, τοῦ ἁγιάζοντος ἡμᾶς, ὕδατος τὴν ἰσχὺν εἶναι λέγοντες ἁμαρτιῶν ἀπόθεσιν, ἀναγέννησιν τὴν πνευματικὴν, εἰς συμμορφίαν τὴν πρὸς αὐτὸν τὸν Χριστόν. Καὶ προσέτι τούτοις, παῤῥησίας εἴσοδον εἰς τὴν τῶν οὐρανῶν βασιλείαν· « Ἐὰν γὰρ μή τις, » φησὶ, « γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ D Θεοῦ. » Ἐστέρηνται τοίνυν οἱ Ἰουδαῖοι τῶν τοιούτων ἀγαθῶν. Οὐ γάρ ἐστι παρ' αὐτοῖς ἰσχὺς ἄρτου, τοῦτ' ἔστιν, ἡ ἐν Χριστῷ ζωοποίησις. Οὐκ ἔχουσι τὴν ὕδατος ἰσχύν· ἀπομεμένηκε γὰρ παρ' αὐτοῖς ἀναπόνιπτος ἁμαρτία. Οὐκ εἰσελάσουσιν εἰς τὴν οὐρανῶν βασιλείαν, τὸν εἰσκομίζοντα Χριστὸν ἀτιμάσαντες· οὐ γὰρ ἐπίστευον λέγοντι· « Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἐγώ εἰμι ἡ θύρα. » Ἀφελεῖ δὲ ὁμοίως γίγαντα καὶ ἰσχύοντα. Εἶτα τίς ὁ γίγας; τίς δὲ καὶ ὁ ἕτερος; Οἶμαι δὴ οὖν ἔγωγε γίγαντα μὲν ὀνομάζειν τὸν εἰς λῆξιν ἰσχύος ἥκοντα τῆς πνευματικῆς, ἰσχύοντα δὲ τὸν

[23] Psal. LXXVII, 24, 25. [24] Isa. XII, 3. [25] Joan. IV, 13, 14. [26] Matth. IV, 4. [27] II Cor. III, 14. [28] Joan. III, 5. [29] Joan. X, 9; XIV, 6.

ὑποβεβηκότα βραχὺ, καὶ τῆς ἐν ἐκείνῳ νοουμένης ὑπεροχῆς ἡττώμενον. Ἑκάστῳ γὰρ ἡμῶν δέδοται παρὰ Θεοῦ χάριτος μέτρον. Τοῦτο ἡμῖν ἐναργὲς ὁ σοφώτατος Παῦλος καθίστησι, λέγων· « Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν· ἀλλ' ἕκαστος ἡμῶν ἴδιον ἔχει χάρισμα ἀπὸ Θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως. » Ἔθος δὲ καὶ ἑτέρως τῇ θεοπνεύστῳ Γραφῇ, τοὺς ἄγαν εὐσθενεστάτους γίγαντας ἀποκαλεῖν. Καὶ γοῦν ἔφη που Θεὸς περὶ τῶν ἐκ Βαβυλῶνος καταστρατευσάντων τῆς Ἰουδαίων χώρας· « Γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες. » Καὶ μὴν καὶ ὁ ψαλμῳδός· « Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ. » Οὐκ ἔσται δὲ παρὰ τοῖς Ἰουδαίοις οὐ πολεμιστής, οὐ δικαστής. Ἡμεῖς μὲν γὰρ οἱ τῇ πίστει τετιμηκότες τὸν τῶν δυνάμεων Κύριον, νευρούμεθα παρ' αὐτοῦ, καὶ ἱκανοὶ πρὸς ἀντίστασιν ἀποτελούμεθα, τὴν πρός γε τὰς πονηρὰς καὶ ἀκαθάρτους δυνάμεις. « Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους· πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. » Οἷς ἀνθιστάμεθα νοητῶς τοῖς τῆς δικαιοσύνης ὅπλοις ἐνηρμοσμένοι, καὶ πανοπλίαν ἔχοντες τὴν πνευματικήν. Ὧν καὶ ὁ θεσπέσιος Παῦλος διαμνημονεύει λέγων· « Στῆτε οὖν περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ. » Καὶ τὰ ἑξῆς· « Τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ· καὶ ἐν σαρκὶ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα. » Παρά δέ γε τοῖς Ἰουδαίοις, οὐδεὶς τοιοῦτός ποθεν· ἀμαχεὶ δὲ ὥσπερ παραχωροῦσιν ἀεὶ τὸ νικᾷν παντὶ τῷ προσβάλλοντι, καὶ ταῖς σφῶν αὐτῶν ἀτιθάσσοις ἡδοναῖς. Οὐδ' ἂν εὕροι τις παρ' αὐτοῖς τὸν εἰδότα δικάζειν ὀρθῶς, ἢ τοῖς εἰς νοῦν κειμένοις, ἤγουν τοῖς ἔξωθεν καὶ βιωτικοῖς πράγμασιν. Εἰστρέχουσι μὲν γὰρ τὸν ἀνθρώπινον νοῦν ἔκτοποί τε καὶ πονηροὶ διαλογισμοὶ, καὶ δεινὸς ἀκαθάρτων ἐπιθυμιῶν διακυκᾷ θόρυβος· ἀλλὰ τοῦ μὲν σοφοῦ καὶ ἐπιεικοῦς ἕστηκεν ὁ νοῦς, οἷά τις κριτὴς δοκιμάζων ἕκαστα, καὶ παραιτούμενος μὲν τὸ φαῦλον, ἀῤῥήτῳ δὲ ψήφῳ τὸ χρήσιμον στεφανῶν. Ἀνεπιτήδευτον παντελῶς καὶ τοῦτό ἐστι παρά γε τοῖς Ἰουδαίων δήμοις. Οὐ γάρ ἐστι μετ' αὐτῶν ὁ καὶ πρὸς τοῦτο ἡμᾶς ἀπευθύνων Θεὸς, ἀλλ' οὐδ' ἂν εἰ καί τι τῶν ἔξωθεν διαγυμνάζοιτό πως, δοκιμάζειν ἴσασι τὸ ἀμωμήτως ἔχον καὶ ἀρέσκον Θεῷ· πῶς γὰρ εἰδεῖεν τὸν ἀκριβῆ τοῦ νόμου σκοπὸν, οἱ τῷ νομοθέτῃ προσκεκρουκότες, ταύτης τε ἕνεκα τῆς αἰτίας συνέσεως ἁπάσης, τῆς ἐπί γέ φημι τοῖς ἱεροῖς Γράμμασι, δικαίως ἐστερημένοι;

A mensura gratiæ a Deo data est. Atque hoc perspicuum nobis reddit sapientissimus Paulus, dicens: « Volo autem omnes homines esse sicut et ego sum; verum unusquisque nostrum peculiare habet donum a Deo, hic quidem sic, alius vero sic [29]. » Est etiam familiare Scripturæ divinitus inspiratæ, gigantes alioqui appellare eos qui sunt robustissimi. Siquidem dixit de his Babyloniis **54** qui Judæorum regionem expugnarant, « Gigantes veniunt ad explendum furorem meum, gaudentes simul et insultantes. » Et Psalmigraphus: « Exsultabit ut gigas ad currendum viam suam [30]. » Nec erat apud Judæos bellator vel judex. Nos enim qui fide Dominum virtutum coluimus, ab eo nervosi reddimur: et idonei efficimur ad oppugnandum pravas impurasque potestates. B « Nec est enim nobis lucta adversus sanguinem et carnem, sed adversus principatus, et adversus auctoritates, adversus mundi dominos, rectores tenebrarum, adversus spiritualia nequitiæ in cœlestibus [31]. » Quibus justitiæ armis instructi, et armatura spirituali præditi, intelligibiliter resistimus. Quorum etiam divinus Paulus mentionem fecit, dicens: « State igitur cincti lumbis vestris in veritate [32]. » Et quæ sunt deinceps: « Arma enim nostra non carnalia, sed potentia Dei; et in carne ambulantes, non juxta carnem militamus [33]. » Apud Judæos vero, nemo ejusmodi unquam fuit, sed citra pugnam cedunt victoriam omni ingruenti, suisque adeo indomitis voluptatibus. Nec quemquam norunt, qui recte novit C judicare, vel in rebus in animo positis, vel etiam externis, et ad vitam pertinentibus. Incursant enim humanam mentem vitiosæ et depravatæ cogitationes, et gravis immundarum cupiditatum tumultuatio confundit, imo a prudentia et modestia mens excidit, quæ velut judex quæpiam explorat singula, malum repudians, optimo calculo utile coronans. Hoc tamen a Judaico populo omnino neglectum est. Non enim est cum illis, qui ad hoc nos dirigit, Deus. Sed nec si quid rerum externarum exerceetur, probare sciunt quid irreprehensibile, quid Deo acceptum sit. Qui enim scirent verum legis scopum hi, qui legislatorem offenderunt? Eamque ob rem, omni intelligentia, sacrarum inquam Litterarum, privati sunt haud immerito.

Ἀφελεῖ δὲ ὁμοίως, φησὶ, *πρὸς τούτῳ προφήτην, καὶ στοχαστὴν, καὶ πρεσβύτερον, καὶ πεντηκόνταρχον, καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν· καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν.*

Ὅτι μὲν οὖν ἐξῄρηται προφητεία τῆς Ἰουδαίων Συναγωγῆς, οὐκ ἂν ἐνδοιάσειέ τις, αὐτοῦ διακεκραγότος τοῦ πράγματος. Οἱ μὲν γὰρ μακάριοι προφῆται κατὰ καιροὺς γεγονότες προεκήρυττον τὸν Χριστὸν

D VERS. 2-4. *Auferet etiam præterea*, inquit, *prophetam et conjectorem, et seniorem, et præfectum quinquagenarium, et admirabilem consiliarium, et sapientem architectum, et gnarum auditorem: et constituam adolescentulos principes eorum, et illusores dominabuntur illis.*

55 Itaque prophetiam ex Judaica Synagoga sublatam esse, non est cur dubitet quis, cum res ipsa clamitet. Beati namque prophetæ olim Jesum prædicaverunt. Postquam autem completum esset quod

[29] I Cor. VII, 7. [30] Psal. XVIII, 6. [31] Ephes. VI, 12. [32] ibid. 14. [33] II Cor. X, 1, 2 3

erat prænuntiatum, venisset etiam legis ac prophetarum finis : Deus enim Dominus, secundum Scripturas, nobis apparuit : deinde ubi in eum debacchati sunt, cessavit apud eos prophetiæ gratia. Non erat enim consentaneum, ut, qui cum Deo bellum gererent, et dominicidæ essent, manusque sanguinibus plenas haberent, prophetiæ spiritu honorarentur. Attestabitur vero his etiam beatus Daniel, obsignari dicens visionem ac prophetam. Expers itaque fuit Israel adeo illustris et inclytæ gratiæ, adeoque rudis fuit et bonæ mentis inops, ut ne ullus quidem apud eos conjector exsisteret. Conjectorem eum esse dicimus, qui singula recte veluti conjectaret, exploratisque indiciis demonstraret, et quo quidque venturum esset, et in quem aliquando finem recasurum, probe dignosceret. Qui enim inconsiderate et levi judicio ad res agendas accedunt, ab utili deviant, et velut in tenebris versantur, ac in saxa impingunt. At qui exquisita cognitione præditi sunt, acuto oculo rerum eventus intuentur : et propterea non sine admiratione, omnia apposite administrant. Est autem hic bonæ mentis fructus, et vere lucrum ac fenus optimi consilii. Seniorem autem vocamus, non tempore (plurimi enim apud Judæos etiamnum sunt, qui ad senilis ætatis summum perveniunt), at intelligentia et cognitione, et qui velut finem ac fastigium prudentiæ attigit : cui et beatus Joannes præcipit, dicens : « Scribo vobis, patres, quia cognovistis eum ab initio [34]. » Senes ergo intelligimus eos, qui mentem habent sedatam, qui constantes ac cani sunt animo et mente provectiore et adultiore. Quinquagenarium appellat, non absolute quinquaginta hominibus præfectum, sed veluti ex una hac re quisquis simpliciter ac omnino præfectus est, et quasi composite et ordinate versari ac vivere persuadet suos subditos. Laboravit autem cum reliquis rebus tum et hæc Judæorum Synagoga. Adhuc enim quandiu cum illis esset omnium nostrum Servator Christus, et per fidem ad vitam æternam, et ad conjunctionem cum **56** Deo vocaret; fuerunt etiam tum apud eos sacerdotum principes, præfecti, Scribæ et Pharisæi : at ubi eum interfecissent, miselli, in omnes ventos dispersi sunt, et hospites facti sunt, atque errones, et ubivis gentium peregrini; non duces, non præfectos, ut olim, sed erant instar gregis qui pastore destitutus est, non habens qui præsint; nec, quod etiam gravius est, consultores admirabiles habebant : quales erant olim prophetæ, qui ad salutem illis conducibilia, docent refractarios, et effrenes monent, et ad omnia necessaria ad usum ac utilitatem scienter manuducunt. Minitatur porro abducturum se ab illis et sapientem architectum, et gnarum auditorem. Quæ dona spiritualia sunt, et a Deo data, et summo in honore habenda ac pretio. Sapientem quippe esse dicimus architectum, qui intelligenter ædificare novit Ecclesiam, rectis et in-

A Ἰησοῦν. Ἐπειδὴ δὲ τετέλεσται τὸ προηγγελμένον, καὶ τὸ τοῦ νόμου καὶ τῶν προφητῶν ἀφῖκται τέλος (ἐπεφάνη γὰρ ἡμῖν ὁ Θεὸς καὶ Κύριος, κατὰ τὰς Γραφάς), εἶτα πεπαρῳνήκασιν εἰς αὐτόν· πέπαυται παρ' αὐτοῖς τῆς προφητείας ἡ χάρις. Οὐ γὰρ ἦν ἀκόλουθον θεομάχους ὄντας καὶ ὑβριστὰς, γεγονότας δὲ καὶ Κυριοκτόνους, καὶ τὰς χεῖρας αἱμάτων ἔχοντας πλήρεις, τῷ τῆς προφητείας τιμᾶσθαι πνεύματι. Ἐπιμαρτυρήσει δὲ τούτοις καὶ ὁ μακάριος Δανιὴλ, ἐσφραγίσθαι λέγων ὅρασιν καὶ προφήτην. Οὐκοῦν ἀμέτοχος τῆς οὕτω λαμπρᾶς καὶ εὐκλεεστάτης χάριτος γέγονεν ὁ Ἰσραήλ· ἀμαθὴς δὲ οὕτω καὶ φρενὸς ἔρημος ἀγαθῆς, ὡς μὴ εἶναι παρ' αὐτοῖς μηδένα τὸν στοχαστήν. Στοχαστὴν δὲ εἶναί φαμεν τὸν οἱονεὶ συμβάλλοντα καὶ διατεκμαιρόμενον ὀρθῶς ἕκαστα τῶν B πραγμάτων, καὶ ὅποι ποτὲ ἥξει, καὶ εἰς ποῖον καταντήσουσι τέλος, εὖ μάλα διαγινώσκοντα. Οἱ μὲν γὰρ ἀπερισκέπτως καὶ ἐξ ἐλαφρῶν ἐννοιῶν χωροῦντες εἰς τὰ πρακτέα, διαμαρτάνουσι τῶν χρησίμων, καὶ ὡς ἐπὶ σκότῳ βαδίζοντες, ἔρχονται κατὰ πετρῶν. Οἱ δὲ ἀκριβεῖς εἰς σύνεσιν, ὀξεῖ βλέπουσιν ὀφθαλμῷ τὰς τῶν πραγμάτων ἐκβάσεις. Καὶ εἰσὶν οὐκ ἀθαύμαστοι, διὰ τοῦτο πάντα δρῶντες οἰκονομικῶς. Φρενὸς δὲ τοῦτο καρπὸς ἀγαθῆς, καὶ ἀρίστης ὄντως ἐπίτευγμα βουλῆς. Πρεσβύτερον δέ φαμεν οὐ τὸν κατὰ χρόνον (πλεῖστοι γὰρ ὅσοι παρὰ τοῖς Ἰουδαίοις εἰσέτι καὶ νῦν, οἳ καὶ εἰς ἄκρον ἥκουσι πρεσβυτικῆς ἡλικίας), ἀλλὰ τὸν κατὰ σύνεσιν, καὶ ὡς ἐν τελειότητι γεγονότα φρενῶν. Οἷς καὶ ὁ μακάριος Ἰωάννης ἐπιστέλλει, C λέγων· « Γράφω ὑμῖν, Πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπαρχῆς. » Πρεσβύτας οὖν ἄρα νοήσωμεν τοὺς τὸν νοῦν ἔχοντας ἠρεμαῖον ἤδη, καὶ καθεστηκότας, καὶ πολιοὺς τὴν φρένα, καὶ τῷ βεβηκότι χρῆσθαι μεμελετηκότας. Πεντηκόνταρχον δέ φησιν, οὐχὶ πάντως τὸν ἀνδρῶν πεντήκοντα προτεταγμένον, ἀλλ' ὡς ἐξ ἑνὸς δὴ τούτου πράγματος ἁπαξαπλῶς τὸν ἡγούμενον. Καὶ ὡς ἐν κόσμῳ καὶ τάξει πολιτεύεσθαί τε διαζῆν ἀναπείθοντα τοὺς ὑπεζευγμένους. » Ἐνόσηκε δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἡ τῶν Ἰουδαίων Συναγωγή. Ἔτι μὲν γὰρ συνόντος αὐτοῖς τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ καλοῦντος διὰ τῆς πίστεως εἰς ζωὴν αἰώνιον, εἰς οὐρανῶν βασιλείαν, εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεόν· ἦσαν ἔτι παρ' αὐτοῖς ἀρχιερεῖς καὶ ἡγούμενοι, Γραμματεῖς τε καὶ Φαρισαῖοι. Ἐπειδὴ D δὲ ἀπεκτόνασιν αὐτὸν οἱ δείλαιοι, διεσπάρησαν εἰς πάντα ἄνεμον, μέτοικοί τε καὶ ἀλῆται γεγόνασιν, καὶ ξένοι πανταχῇ, οὐχ ἡγουμένους ἔχοντες ἔτι καὶ προεστηκότας, καθὰ καὶ πάλαι· ἀλλ' οἷά τις ἀγέλη ποιμένων ἐρήμη, καὶ τοὺς ἐφεστηκότας οὐκ ἔχουσα, καὶ τὸ ἔτι φορτικώτερον, οὔτε συμβούλους ἔχουσα θαυμαστοὺς, ὁποῖοί τινες ἦσαν οἱ πάλαι προφῆται, τὰ εἰς σωτηρίαν αὐτοῖς εἰσηγούμενοι, καὶ ἀφηνιῶσι συμβουλεύοντες, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἀναγκαίων εἰς ὄνησιν χειραγωγοῦντες εὐτέχνως. Ἀπειλεῖ δὲ ἀποστήσειν αὐτῶν καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατὴν, χαρίσματα δὲ καὶ ταῦτα πνευματικὰ καὶ θεόσδοτα, καὶ τοῦ παντὸς ἄξια λόγου. Σοφὸν γὰρ

[34] I Joan. II, 13.

εἶναί φαμεν ἀρχιτέκτονα, τὸν εἰδότα νοητῶς Ἐκκλησίαν οἰκοδομεῖν, ὀρθαῖς τε καὶ ἀμωμήτοις μυσταγωγίαις, καὶ καθαιροῦντα μὲν τῆς ψευδωνύμου γνώσεως τοὺς φεναχισμοὺς, ἀνατειχίζοντα δὲ τοῖς τῆς ἀληθείας δόγμασι τῶν πιστευόντων τὸν νοῦν. Ὁποῖός τις ἦν ὁ θεσπέσιος Παῦλος ἐπιστέλλων καὶ λέγων· « Κατὰ τὴν χάριν τὴν δοθεῖσάν ἐμοί, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα· ἄλλος δὲ ἐποικοδομεῖ. Ἕκαστος δὲ βλεπέτω πῶς οἰκοδομεῖ. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστός. » Οὐδεὶς οὖν ἄρα παρὰ τοῖς Ἰουδαίοις ὁ σοφὸς ἀρχιτέκτων, ἀλλ' οὐδὲ συνετὸς ἀκροατής, λογιζόμεθα δὲ εἶναι τοῦτον, τὸν ἔχοντα διακρίσεις πνευμάτων, καὶ συνιέναι δυνάμενος, τίς μὲν ἔστιν ὁ ἐν πνεύματι Θεοῦ λαλῶν, τίς δὲ πάλιν ἐν τῷ Βεελζεβούλ. Πολλοὶ μὲν γὰρ οἱ παρὰ πολλῶν γεγόνασι λόγοι, καὶ δογματικὴν ἐξήγησιν ἔχοντες, καὶ τῆς ἐν τρόποις ἐπιεικείας τὴν μνήμην εἰσφέροντες. Ἀλλ' οἱ μὲν ἀσύνετοι καὶ ἀμαθεῖς ἀδιακρίτως ἁρπάζουσιν, καὶ ἀβασανίστους εἰσδέχονται τοὺς λόγους, καίτοι τὸ ὠφελοῦν ἔχοντας οὐδὲν, πολὺ δὲ μᾶλλον τὸ βλάβος ἐμποιεῖν εἰωθότας. Ὁ δὲ συνετὸς ἀκροατής, καθάπερ δόκιμος τραπεζίτης εἰσδέχεται μὲν τὸ πεφυκὸς ὠφελεῖν, κατακιβδηλεύει δὲ καθάπερ τι παράσημον νόμισμα τὸ μὴ οὕτως ἔχον. Τοιοῦτόν τι καὶ ὁ μακάριος Παῦλός φησι· « Γίνεσθε φρόνιμοι τραπεζῖται, πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. » Καὶ μὴν καὶ ἕτερος τῶν ἁγίων μαθητῶν συνῳδὰ τούτοις ἐπιτάττει λέγων· « Ἀδελφοί, δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν. » Τούτων δὴ οὖν ἁπάντων ἀφῃρημένων, ἐπιστήσω, φησί, νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν. Νεανίσκους δὲ πάλιν οὐ κατά γε τὸν τῆς ἡλικίας χρόνον ἐνθάδε φησίν, ἀλλὰ τοὺς οὔπω λαχόντας τὸ ἐν συνέσει τέλειον. Ἀφρονεῖ δὲ ἡ νεότης ἀεί, καὶ σεσάλευται πρὸς τὸ ἀπαθὲς, καὶ τῆς ἀρίστης ἡττᾶται βουλῆς. Διατελοῦσι δὲ καὶ εἰς δεῦρο κατὰ τὸ ἀληθὲς τοιούτους ἔχοντες Ἰουδαῖοι τοὺς ἡγουμένους, καὶ νεωτέρους τὴν ἐρημίαν. Ἐμπαῖκται δὲ καὶ ἑτέρως, ὠνούμενοι χρήμασι τὸ καλεῖσθαι Ῥαββί, καὶ φιλοκερδίας ἕνεκα, καὶ λημμάτων συλλογῆς τὸ καθηγεῖσθαι λαχόντες. Ἀλλ' οἵγε τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, τὴν τῆς ὑποκρίσεως διωθούμενοι νόσον, ἀληθεῖς εἰσι προσκυνηταί, καὶ οὐ τοῖς ἔξωθεν ὡραϊσμοῖς πεπλανημένην [*f.* πεπλασμένην] ἔχουσι τῆς ἀρετῆς τὴν δόκησιν, ἀλλ' εἰς νοῦν ἔσω καὶ καρδίαν τὰ τῆς εἰς Θεὸν εὐσεβείας συνενεγκόντες αὐχήματα, περιπατοῦσι μὲν ἐπὶ γῆς, ἐν δὲ οὐρανοῖς πολιτεύονται, καθηγητὴν ἔχοντες αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν.

A culpatis mystagogiis, et falso nominatæ scientiæ fucos tollere, atque mentes fidelium veritatis opinionibus communire. Cujusmodi erat divinus Paulus præcipiens et dicens : « Secundum gratiam datam mihi a Deo, velut sapiens architectus fundamentum posui, alius autem superstruit. Unusquisque vero videat quomodo superstruat. Fundamentum enim aliud nemo potest ponere, præter id quod positum est, qui est Jesus Christus [35]. » Nullus ergo apud Judæos sapiens architectus : sed neque gnarus auditor. Hunc esse arbitramur qui dijudicatione spiritus præditus est, quique potest internoscere quis in Dei spiritu loquitur, et quis rursum in Beelzebul. Multi enim a multis sermones habiti sunt, qui enodant dogmata ac controversias, et qui B morum probitatem inculcant. At imperiti et indocti citra discrimen rapiunt, et citra examen recipiunt sermones, etsi nihil emolumenti habeant, imo si nocumentum potius afferant. Atqui gnarus auditor, veluti expertus nummularius, quod prodesse solet, admittit ; quod secus habet, velut male signatum numisma, adulterinum judicat. Non dissimile est quod B. Paulus inquit : « Estote prudentes nummularii, omnia probantes, quod bonum est tenete, ab omni specie mala abstinete [36]. » Alius porro e sanctis discipulis præcepit hisce consona, dicens : « Fratres, **57** probate spiritus, an ex Deo sint [37]. » His ergo omnibus submotis, substituam, inquit, adolescentulos principes eorum, et derisores dominabuntur illis. Adolescentulos rursum non ab C ætate hic vocat, sed qui nondum perfectum intelligentiæ culmen sunt consecuti. Desipit enim semper juventus, et ignoratione jactatur et fluctuat, optimumque consilium illis deficit. Habent autem et hodie Judæi duces vere tales, mente juvenes et illusores. Suffurantur enim hominum existimationem, omnium licet bonorum, omnisque virtutis magna laborent inopia. Sunt et aliter illusores, dum emunt pecuniis ut Rabbi vocitentur, et propter quæstus studium, ut prædas aucupentur ac colligant, docendi munus adipiscuntur. Verum qui propulsato hypocriseos morbo, veri sunt omnium nostrum Servatoris Christi adoratores, non externis decoribus fucatam habent virtutis speciem, sed D pietatis ornamenta, intra mentem et cor admittunt, ac in terra quidem obambulant, sed in cœlis versantur, præceptorem habentes ipsum Dominum nostrum Jesum Christum.

Καὶ συμπεσεῖται ὁ λαὸς, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ. Προσκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντιμον.

VERS. 5. *Et concidet populus, homo ad hominem, et homo ad proximum suum. Impinget puerulus contra senem, et ignobilis contra nobilem.*

Προκαταμεμήνυκεν ἡμῖν ὁ λόγος, ὡς ἀφαιρεθήσεται τῆς Ἰουδαίας ἰσχὺς ἄρτου καὶ ἰσχὺς ὕδατος, γίγας τε καὶ ἰσχύων, πολεμιστής, καὶ δικαστής, καὶ

Exposuit autem nobis hic sermo auferendum a Judæa robur panis, et robur aquæ, gigantem etiam et præpotentem, bellatorem et judicem, quin et pro-

[35] I Cor. III, 10, 11. [36] I Thess. V, 21, 22. [37] II Joan. IV, 1.

phetam et divinatorem, senem, et quinquagenarium ducem, et suspiciendum consiliarium, et etiam sapientem architectum, et intelligentem auditorem. Deinceps quo tandem res evadet, et in quantum detrimentum ipsis erumpet, manifeste aperit, cum mox subdit : « Concidet populus, homo ad hominem, » id est, in seditione erunt, et in mediis tumultibus vivent vitam, juvenibus venerandam canitiem senis non reverentibus, inferiore honorem superiori negante : sed cum reprehendat nemo, nec ad id quod quemque decet, dirigat, sublato omni ordine et scientia, maxima omnium rerum apud eos perturbatio exsistet et confusio. Ubi enim divina non præest lex rerum agendarum arbiter, quomodo aut unde poterit quisquam honeste aut decore vivere ? Simile enim est, ac si quis velit navim clavis et gubernatore carentem recto et inoffenso cursu ferri.

58 Vers. 6, 7. *Quia apprehendet vir fratrem suum, vel domesticum patris sui, dicens : Vestem habes, princeps noster esto, et cibus meus penes te sit. Respondens autem dicet in die illa: Non ero princeps tuus, non enim est in domo mea panis, neque vestis, non ero princeps populi hujus.*

Judæorum miseriæ et summæ calamitatis magnitudinem prophetica nobis significat oratio. Regnarunt enim statis temporibus in Jerusalem, qui ex tribu Judæ erant : et splendidi fuerunt, celebres et divitiis ornati, et nobilitatis sorte sane quam egregie coronati. Præsederunt item alio modo, qui e tribu fuerunt Levi, ex Aaronis ordine. Cum ita summus sacerdos præesset, seniores et Levitæ obirent ministeria, suscipiendi erant hi per universam regionem Judæorum. At ubi quæ fas non erat commisissent, nullumque non impietatis genus in Christum exercuissent, de pristina dignitate, ac celebritate divitiarum et claritate delapsi sunt ; in eamque confusionem et vilitatem res eorum devenerunt, ut nullum omnino possent inter se ducem habere antiqua excellentia clarum, nec opibus, nec potestate, nec legis notitia præditum. Hoc ipsum docet, cum ait : « Apprehendet vir fratrem suum, vel familiarem patris sui, dicens : Vestem habes, princeps nobis esto, et cibus meus sub te sit. » Confusis etenim rebus et multum perturbatis, ita ut corruant ipsi, alius in alium, nullusque sit honor aut pudor vel juvenibus senis, vel ingloriis gloriosi : quisque, inquit, sibi quæret ducem, eumque eliget, vix etiam propinquitate generis commovens, et trahens ad misericordiam, et eliget, inquit, non veluti divitiis florentem, sed quodammodo nudum, amabitque sub eo ali, et mendico servire, et qui vix vestem habeat. Verumenimvero quamvis talis sit, non accipiet tamen imperium, etiamsi ab his qui subdi volunt, nihil petatur. Quærunt enim panem ut subjiciantur, et pro alimento tenuissimo se illi in servitutem addicunt. Et quæ hæc tergiversatio ac repudiatio?

A μὴν καὶ προφήτης καὶ στοχαστὴς, καὶ πρεσβύτερος, καὶ πεντηκόνταρχος, καὶ θαυμαστὸς σύμβουλος· καὶ μὴν καὶ σοφὸς ἀρχιτέκτων, καὶ συνετὸς ἀκροατής. Εἶτα ὅποι ποτὲ τὸ χρῆμα αὐτοῖς ἐκβήσεται, καὶ εἰς οἷον αὐτοῖς ἐκτελευτήσει βλάβος, καθίστησιν ἐναργὲς προσεπάγων εὐθὺς, ὅτι « Συμπεσεῖται ὁ λαὸς, ἄνθρωπος πρὸς ἄνθρωπον· » τοῦτ' ἔστιν, ἐν ἀταξίᾳ τε ἔσονται, καὶ θορύβου μεστὸν διαζήσονται βίον. Οὐ τὴν σεπτὴν τοῦ πρεσβύτου πολιὰν αἰσχυνομένων νέων· οὐ τὸν προὔχοντα τιμᾷν ἀξιοῦντος ἔτι τοῦ τὴν ἐλάττω λαχόντος τάξιν· ἀλλ' ἐπιτιμῶντος οὐδενὸς, ἤγουν ἀπευθύνοντος εἰς τὸ ἑκάστῳ πρέπον, πάντα φύρδην ἔσται παρ' αὐτοῖς εὐταξίας ἁπάσης καὶ ἐπιστήμης ἐξῃρημένης. Ὅπου γὰρ θεῖος οὐκ ἐφέστηκε νόμος, τῶν πρακτέων ὁ βραβευτὴς, πῶς ἢ πόθεν ἂν γένοιτό τισι

B τὸ ἐν κόσμῳ δύνασθαι διαβιοῦν; Ὅμοιον γὰρ ὡς εἰ καί τις βούλοιτο ναῦν πηδαλίων τε ὁμοῦ καὶ τοῦ κυβερνῶντος ἐρήμην, εὐθεῖ καὶ ἀδιαστρόφῳ φέρεσθαι δρόμῳ.

Ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ, λέγων· Ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. Καὶ ἀποκριθεὶς ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Οὐκ ἔσομαί σου ἀρχηγὸς, οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον, οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου.

Τῆς Ἰουδαίων ἀθλιότητος καὶ τῆς εἰς ἄκρον ταλαιπωρίας τὸ μέγεθος ὁ προφητικὸς ἡμῖν κατασημαίνει λόγος. Ἐβασίλευον μὲν γὰρ κατὰ καιροὺς ἐν τοῖς Ἱεροσολύμοις ἡ ἐκ φυλῆς Ἰούδα, λαμπροί τε

C ἦσαν καὶ διαφανεῖς, καὶ πλούτῳ κομῶντες, καὶ ταῖς εἰς λῆξιν εὐκλείαις εὖ μάλα κατεστεμμένοι. Καθηγοῦντο δὲ καὶ ἑτέρως, οἱ ἐκ φυλῆς Λευῒ κατὰ τὴν τάξιν τὴν Ἀαρών. Προὔχοντος μὲν τοῦ ἀρχιερέως, λειτουργούντων δὲ πρεσβυτέρων καὶ Λευϊτῶν, σεπτοὶ δὲ ἦσαν καὶ οἱ τοιοίδε, τοῖς ἀνὰ πᾶσαν τῶν Ἰουδαίων τὴν χώραν. Ἐπειδὴ δὲ πεπράχασιν ἃ μὴ θέμις, καὶ τῆς εἰς Χριστὸν δυσσεβείας οὐδεὶς ἦν αὐτοῖς ἀνεπιτήδευτος τρόπος, ἀπώλισθον μὲν τῆς ἀρχαίας ἐκείνης λαμπρότητος καὶ περιφανείας τῆς ἐν πλούτῳ καὶ δόξῃ, καθίκοντο δὲ χυδαιότητός τε καὶ εὐτελείας εἰς τοῦτο τὰ πράγματα αὐτοῖς, ὡς μηδένα παντελῶς τὸν ἡγούμενον ἔχειν ἐφ' ἑαυτοῖς δύνασθαι λαμπρὸν ἐν ὑπεροχῇ τῇ πάλαι, μήτε μὴν πλοῦτον ἔχοντα καὶ

D δυναστείαν, ἢ γνῶσιν τοῦ νόμου. Καὶ τοῦτο αὐτὸ διδάσκει, λέγων, ὅτι « Ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου πατρὸς αὐτοῦ λέγων· Ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. » Συγκεχυμένων γὰρ τῶν πραγμάτων, καὶ πολὺ παθόντων τὸ ἄτακτον, ὡς συμπίπτειν αὐτοὺς ἀλλήλοις, καὶ μηδεμίαν εἶναι τιμὴν ἢ αἰδῶ, πρεσβύτου ἢ νέοις, ἤγουν ἀτίμοις ἢ ἐνδόξων· ἕκαστος ἐφ' ἑαυτῷ, φησὶ, ζητήσει ἡγούμενον, καὶ τοῦτον ἐκλέξεται τῇ κατὰ γένος ἀγχιστείᾳ μόλις ἐκδυσωπῶν καὶ καλῶν εἰς ἔλεον. Ἐκλέξεται δὲ, φησὶν, οὐχ ὡς ἔχοντα πλοῦτον, ἀλλ' ὡς οὐκ ὄντα λυμνὸν, ἀγαπήσει τε ὑπ' αὐτοῦ τρέφεσθαι καὶ δουλεύειν πτωχῷ. Πλὴν εἰ καὶ ὁ τοιοῦτος οὐχ ἁρπάσει τὴν ἡγεμονίαν, καίτοι μηδὲν αἰτούμενος παρὰ τῶν ὑποκεῖσθαι βεβου-

λευμένων. Ζητοῦσι γὰρ ἄρτον ἵνα καὶ ὑποτάττοιντο, A καὶ τροφῆς εὐτελεστάτης ἀντιπροσάγοιεν αὐτῷ τὴν δουλείαν. Τίς οὖν ἡ παραίτησις; πτωχεία που πάντως. Ἐπεὶ γάρ, φησὶν, Οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον, οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου. Ὁρᾷς τὸ παντὸς πάλαι παρ' αὐτοῖς ἄξιον λόγου, τὸ καθηγεῖσθαί φημι τὸ πολλοῖς. Ἔσθ' ὅτε τεχνήμασι ζητούμενον, καὶ προσγεγονὸς ὀλίγοις, προσκείσεται μὲν τοῖς θέλουσιν. Ἐπειδὴ δὲ ἐν δεινῇ καὶ ἀπράκτῳ πτωχείᾳ τὰ πάντων ἐστὶ, καὶ αὐτῷ γενήσεται φευκτόν. Ἔνεστι τοίνυν ἐξ αὐτῶν ἡμῖν τῶν πραγμάτων ἰδεῖν, ἐξ οἵων εἰς οἷα μετακεχώρηκε τὰ τῶν Ἰουδαίων. Προσκεκρούκασι γὰρ οἱ τάλανες τῷ Χριστῷ, τῷ πάντα ἡμῖν πλουσίως διανέμοντι τὰ ἀγαθὰ, καὶ στεφανοῦντι μὲν δόξῃ τοὺς ἀγαπῶντας αὐτὸν, χαρίσμασι δὲ τοῖς πνευματικοῖς τὰς τῶν γνησίων ψυχὰς καταπλουτίζοντι.

Ὅτι ἀνεῖται ἡ Ἱερουσαλὴμ, καὶ Ἰουδαία συμπέπτωκεν, καὶ ἡ γλῶσσα αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς Θεὸν ἀπειθοῦντες. B

Συμπεπτωκέναι φησὶ τὴν Ἰουδαίαν, καθάπερ ἀμέλει καὶ οἶκον ἕνα. Παθεῖν δὲ τοῦτο διϊσχυρίζεται διὰ ποίαν αἰτίαν; Τί δὲ καὶ ἀνεῖται; Τοῦτ' ἔστιν, ἠφέθη ἢ καταλέλειπται, φροντίδος ἀμέτοχος γενομένη τῆς παρὰ Χριστοῦ. Ἤκουον γὰρ λέγοντος ἐναργῶς· « Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν. » Πέπτωκε τοίνυν οὐκ ἔχουσα τὸν ἐγείροντα, καὶ σώζειν εἰδότα καὶ δυνάμενον. Θεμέλιος μὲν γάρ ἐστιν ὁ Χριστὸς, καὶ ἐπ' αὐτῷ πάντες ἐποικοδομούμεθα, λίθοι ζῶντες καὶ πνευματικοὶ, καὶ συναρμολογούμενοι, καὶ συμβιβαζόμενοι νοητῶς, εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ, ἐν Πνεύματι, καὶ ἐσμὲν ἐπ' αὐτῷ κείμενοι. C Καὶ ὑποβάθραν λαχόντες αὐτὸν, ἀκλόνητον ἔχουσι τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ἵδρυσίν τε καὶ στάσιν· οἱ δὲ οὐκ ἔχοντες αὐτὸν, σαθροί τε λίαν, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων εὐπαρακόμιστοι. Πέπτωκε τοιγαροῦν Ἰουδαία, ἀνεῖται δὲ καὶ Ἱερουσαλήμ. Τοῦτό τοι καὶ ἕτερος τῶν ἁγίων προφητῶν προανακεκράγει, λέγων· « Οἶκος Ἰσραὴλ ἔπεσεν, οὐκ ἔσται ὁ ἀναστήσων αὐτόν. » Συμβέβηκε δὲ τὰ τοιαῦτα παθεῖν αὐτοὺς, ὅτι πρὸς ταῖς ἀπειθείαις, δυσσεβῆ καὶ ἀνομωτάτην ἐσχήκασι γλῶσσαν. Τί γάρ ἐστι τῶν αἰσχρῶν, ὃ μὴ εἰρηκότας αὐτοὺς εὑρήσομεν κατά γε τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ; Σαμαρίτην καὶ δαιμονιῶντα, καὶ μὴν καὶ φάγον καὶ οἰνοπότην ὠνόμαζον, καὶ ἐκ πορνείας γεγεννημένον. Οὐκοῦν μετὰ τῆς ἀπειθείας διατετέλεκεν ἡ γλῶσσα αὐτῶν δυσσεβοῦσα D εἰς Χριστόν. Φαίη δ' ἄν τις καὶ ἐπ' αὐτοῖς· Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς. Αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά. Ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή.

Διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτῶν ἀντέστη αὐτοῖς, τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν.

Τῆς Ἰουδαίων ταπεινώσεως τὸν καιρὸν κατασημαίνει, καί φησιν· Νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν πληροφορῶν, ὅτι κατ' ἐκεῖνο μάλιστα τοῦ καιροῦ, καθ' ὃν

[38] Matth. XXIII, 38.

omnino mendicitas. Dicet etenim, inquit, Non est in domo mea panis, neque vestimentum, non ero princeps populi hujus. **59** Vides quo pacto, quod olim apud eos in summo fuit pretio, præesse inquam, quod multis aliquando artibus quæsitum est, et paucis obtigerit, tribuetur volentibus. Sed quia in gravi inertique mendicitate res omnium positæ sunt, etiam hæc res fugienda videbitur. Licet igitur ex rebus ipsis perspicere, ex qua et quali fortuna in quam miseram conditionem ierint res Judæorum. Offenderunt namque miseri Christum, qui omnia nobis bona opulenter distribuit, qui gloria coronat diligentes se, qui donis spiritualibus suorum animas locupletat.

VERS. 8. *Quia dissoluta est Jerusalem, et Judæa concidit, et lingua eorum cum iniquitate, in his quæ ad Dominum pertinent, non obediunt.*

Corruisse dicit Judæam, instar parietis : et hoc quam ob causam patiatur, confirmat. Quid vero est, dimittetur? hoc est, deserta est, et derelicta est, carens illa Christi cura ac sollicitudine. Audiverunt siquidem dicentem aperte : « Ecce relinquetur vobis domus vestra desolata [38]. » Corruit etiam et Judæa, non habens quis excitet, qui servare sciat et possit. Est enim Christus fundamentum, et in eo omnes exædificamur, lapides vivi ac spirituales, compacti et coagmentati mente in templum sanctum, in ædificium Dei, in Spiritu, et in ipso collocati sumus. Et qui eum basim nacti sunt, immotum habent in omnibus bonis firmamentum et stabilimentum : qui vero non habent, ruinosi sunt, et ad quidvis flagitiosum facillime abripiuntur. Cecidit igitur Judæa, dimittetur etiam Jerusalem. Simile quiddam e sanctis prophetis alius ante proclamavit, cum dicit : « Domus Israel cecidit, non est qui eam resuscitet. » Quæ idcirco quidem acciderunt, quod præter inobedientiam, impiam præterea linguam et iniquissimam haberet. Quod enim fœditatis genus non locuti sunt contra omnium Servatorem Christum? Cum Samaritanum, dæmoniacum, edacem, vinipotorem, et ex scortatione natum, eum dicerent? Proinde cum hac inobedientia, lingua eorum, in iis quæ ad Christum spectabant, semper impie petulans fuit, de quibus dici potest : Non enim immerito tenduntur retia volatilibus. Qui enim cædis socii ac participes fuerunt, sibi ipsi mala quasi thesaurizant et recondunt; et malus est interitus eorum virorum qui legem violant.

60 VERS. 9. *Quare nunc humiliata est gloria eorum, et confusio vultus ipsorum restitit ipsis, peccatumque suum, quasi Sodomorum annuntiarunt et manifestarunt.*

Rejectionis Judæorum tempus notat, et ait : Jam attenuata est gloria eorum : certo confirmans, illis maxime temporibus quibus lingua eorum, non sine

scelere et iniquitate, in Christum impia fuit, omne tum calamitatis genus illis fuisse irrogatum, et in hanc ignominiam eos incidisse. Atqui quomodo lingua ipsorum contumaciter impia fuit? Cæteris prætermissis, ipse nobis propheta explicat, solam ultimam eorum blasphemiam commemorans. Fuerunt enim semper Christo adversi et infesti, invidentiæque telis perciti, ac quasi sauciati, multis modis insidias collocarunt. Demumque suum scelus maxime, tanquam Sodomorum annuntiarunt, et manifestum testatumque reddiderunt, cum eum Pilato obtulerunt. Nam quemadmodum habitatores Sodomorum intemperantia ac immoderatione cupiditatum effrenate laborarunt, voluptatibusque a natura abhorrentibus victi, in beatum Lot irruerunt, dum omni verecundia proculcata, et prærupta quadam impudentia superante, viros ad ipsum divertentes, ad abusum peterent : pari modo, arbitror, et Judæi contra se iniquitatem suam clamitarunt et annuntiarunt, cum Pilato dicunt de Christo : « Tolle, tolle, cruci affige eum [89]. » Hanc ipsorum Deo inimicam vocem accusavit etiam per quemdam prophetarum dicens : Dereliqui domum meam, dimisi hæreditatem meam, tradidi dilectam animam meam in manus inimicorum ejus. Facta est hæreditas mea mihi, ut leo in silva, deditque contra me vocem suam, propterea odio prosecutus sum eam.

Vers. 9-11. *Væ animæ eorum, quia consultarunt consilium magnum contra seipsos, dicentes : Vinciamus justum, quia inutilis nobis est. Itaque fructus operum suorum edent. Væ iniquo, mala pro operibus manuum ipsius evenient ei.*

Propheta etiam nunc Judæorum populum luget, et quærelarum causas ipsis exponit : Dixerunt enim, inquit, in seipsis : Vinciamus justum, quia inutilis nobis est. Neque enim receperunt per fidem, universorum Servatorem Christum, sed contumelia perpetuo affecerunt, **61** et revera existimarunt eum nullo modo vitæ utilem fore, qui in hoc venit, ut omnia in ipso, quæ quidem nobis conveniunt, communia fierent, utque a legali vivendi ratione in spiritualem conversationem eos qui ex sanguine Israelis orti sunt, adduceret. Cum ergo nihil adjumenti eum putarent allaturum, morte ligarunt eum, quantum quidem in ipsis erat, tametsi revixit de integro, ut Deus, inferos exinaniens, et corruptionis imperium infringens. Vita est enim et vitæ auctor. Verum contra seipsos consilium inierunt, justum ligare volentes, et fetus suorum laborum comedent. Quod enim severit quis, hoc et metet. Et sane qui moribus probis sunt, et toto pectore Dei amore flagrant, bonos hinc fructus invenient : at qui resiliunt, et pertinaces sunt ac præfracti, et divinæ majestati reluctantur, edent proventus laborum suorum, ignem nimirum, et supplicium, et pœnam, et quæcunque

[89] Joan. XIX, 15.

A ἡ γλῶσσα αὐτῶν μετὰ ἀνομίας δεδυσσέβηκεν εἰς Χριστὸν, τότε καὶ πᾶν εἶδος αὐτοῖς ἐπενήνεκται ταλαιπωρίας, καὶ πεπτώκασιν εἰς τὸ δυσκλεές. Τίνι δὲ τρόπον ἡ γλῶσσα αὐτῶν δεδυσσέβηκε μετὰ ἀπειθείας, αὐτὸς ἡμῖν ὁ προφήτης διατρανοῖ, παρεὶς μὲν τὰ ἕτερα, διαμνημονεύσας δὲ μόνης τῆς τελευταίας αὐτῶν δυσσεβείας. Ἦσαν μὲν γὰρ ἀεὶ διάφοροι τῷ Χριστῷ, καὶ τοῖς τοῦ φθόνου βέλεσι τετρωμένοι, κατὰ πολλοὺς ἐπεβούλευον τρόπους. Ἐπειδὴ δὲ Πιλάτῳ προσήγαγον, τότε δὴ μάλιστα τὴν ἑαυτῶν ἁμαρτίαν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. Ὥσπερ γὰρ οἱ τῶν Σοδόμων οἰκήτορες τὸ ἀκρατὲς εἰς ὀρέξεις νενοσηκότες ἀγρίως, καὶ ταῖς παρὰ φύσιν ἡδοναῖς ἡττημένοι κατεπεφύοντο τοῦ μακαρίου Λὼτ, αἰτοῦντες τοὺς ἄνδρας τοὺς εἰσπεπορευμένους πρὸς αὐτὸν B εἰς κατάχρησιν, αἰδοῦς τε ἁπάσης αὐτοῖς πεπατημένης καὶ ἀθραύστου λοιπὸν κρατούσης ἀναισχυντίας· τὸν αὐτὸν οἶμαι τρόπον καὶ Ἰουδαῖοι τὴν ἀνομίαν αὐτῶν ἀνήγγειλαν καταχεκραγότες τε καὶ λέγοντες τῷ Πιλάτῳ περὶ Χριστοῦ· « Αἶρε, αἶρε, σταύρωσον αὐτόν. » Ταύτην αὐτῶν κατῃτιᾶτο φωνὴν καὶ δι' ἑνὸς τῶν προφητῶν, λέγων· Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, δέδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. Ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν.

Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· Δήσωμεν τὸν δί- C *καιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. Οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ.*

Ταλανίζει καὶ νῦν ὁ προφήτης τῶν Ἰουδαίων τοὺς δήμους, καὶ τῶν ἐπ' αὐτοῖς ὀδυρμῶν ἀποδίδωσι τὰς αἰτίας. Εἶπον γὰρ, φησὶν, ἐν ἑαυτοῖς· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. Οὐ γὰρ παρεδέχοντο διὰ τῆς πίστεως τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν, ἀτιμάζοντες δὲ διατετελέκασιν, ᾤοντό τε κατὰ τὸ ἀληθὲς, ὅτι κατ' οὐδένα τρόπον χρήσιμον ἔσεσθαι τῷ βίῳ τὸν ἀφιγμένον εἰς τοῦτο, ἵνα πάντα ἐν αὐτῷ καινὰ τὰ καθ' ἡμᾶς γένηται, καὶ ἐκ νομικῆς πολιτείας μεταστήσει εἰς πνευματικὴν τοὺς ἐξ αἵματος Ἰσραήλ. Οὐκοῦν κατ' οὐδὲν ἔσεσθαι χρήσιμον ὑπειληφότες D αὐτὸν ἔδησαν τῷ θανάτῳ, τό γε ἧκον εἰς αὐτοὺς, εἰ καὶ ἀνεβίω πάλιν ὡς Θεὸς κενώσας τὸν ᾅδην, καὶ τὸ τῆς φθορᾶς καταλύσας κράτος. Ζωὴ γάρ ἐστι καὶ ζωοποιός. Πλὴν κατ' αὐτῶν ἐβουλεύοντο δῆσαι θέλοντες τὸν δίκαιον· φάγονται δὲ καὶ τὰ γεννήματα τῶν ἔργων αὐτῶν. Ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει. Καὶ οἱ μὲν τοὺς τρόπους ἐπιεικεῖς, καὶ φιλόθεον ἔχοντες γνώμην, ἀγαθοὺς ἐντεῦθεν εὑρήσουσι τοὺς καρπούς· οἱ δὲ ἀπονεύοντες καὶ ἀπειθεῖς, καὶ τῇ θείᾳ δόξῃ μαχόμενοι, φάγονται τὰ γεννήματα τῶν ἔργων αὐτῶν, τοῦτ' ἔστι, πῦρ, καὶ δίκην καὶ κόλασιν καὶ τὰ ἐξ ὀργῆς συμβαίνοντα. Ἕψεται γὰρ πάντως τὰ τοιάδε τῶν κακῶν τοῖς θεομαχεῖν ᾑρημέ-

νοις. Ἀληθὲς οὖν ὅτι, οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ A τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ· ὥσπερ γὰρ προσεκόμισαν Πιλάτῳ τὸν Ἰησοῦν, καὶ ταῖς τῶν στρατιωτῶν ἀτιθάσσοις ὀργαῖς, οὕτω καὶ αὐτοὶ παραδοθήσονται, φησὶ, ταῖς Ῥωμαίων στρατιαῖς. Καὶ δὴ τοῦτο λέγοντα σαφῶς καὶ διὰ φωνῆς Ἰεζεκιὴλ εὑρήσομεν. Εἴρηται γὰρ πρὸς τὴν ἀνοσίαν καὶ κυριοκτόνον Ἱερουσαλήμ· Καθὼς ἐποίησας, οὕτως ἔσται σοι. Τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου.

ΛΟΓΟΣ Γ'

Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν.

Ὅτι παντὸς ἀγαθοῦ νοσήσει τὴν ἐρημίαν ἡ τῶν Ἰουδαίων χώρα, διαφανέστατα καὶ μάλα σαφῶς B προεξηγησάμενος, καὶ τὸ τί συμβήσεται τοῖς εἰς Χριστὸν πεπαρῳνηκόσιν διειπὼν, προαναπείθει πάλιν ἀποσχέσθαι τῶν πλημμελημάτων, καὶ τοῖς ἐξ ἡμερότητος λόγοις μονονουχὶ καταγοητεύει χρησίμως, μεθιστὰς ἐπὶ τὸ ἄμεινον, καὶ τοὺς ἁπάντων αὐτοῖς κακῶν γεγονότας αἰτίους παραιτεῖσθαι διδάσκων. Οὐ γὰρ οἶμαι δεῖν τοῖς καθηγεῖσθαι λαχοῦσιν ὑποκεῖσθαι φιλεῖν, κἂν εἰ μή τι τῶν ὅσα ἐστὶ τελούντων πρὸς ὄνησιν ἐπιχειρῶσι διδάσκειν, μήτε μὴν . . . οιεν διαβολῆς ἀξιοῦν τὸ ἐν μοίρᾳ τετάχθαι φαυλότητος δικαίως ἂν εἶναι πεπιστευμένον. Ἀρετὴ γὰρ διδασκάλου τὸ ἀποκομίζειν δύνασθαι πρὸς ἀκριβῆ τοῦ συμφέροντος εἴδησιν τοὺς παιδαγωγουμένους, κατακιβδηλεύειν δὲ τὸ κατασίνεσθαι πεφυκὸς, καὶ παραιτεῖσθαι κελεύειν τὸ ἀδικεῖν εἰωθός. C Ἐπαίνου δ' ἂν εἶεν ἄξιοι παντὸς καὶ οἱ τελοῦντες ἐν μαθηταῖς, εἰ μὴ ταῖς δόξαις τῶν διδασκόντων ἐνορῷεν ἁπλῶς, ἀλλὰ τῇ τῶν πραγμάτων φύσει, καὶ θαυμάζουσι μὲν τοὺς διδάσκοντας, εἴπερ τινὲς εἶεν ὀρθοὶ καὶ ἐπιστήμονες, καὶ τῶν ἀρίστων εἰσηγηταὶ, καταψέγωσι δὲ τοὺς οἷσπερ ἂν εἴη μὴ τοιοῦτος ὁ σκοπός. Κατανέμουσι μὲν γάρ τινες ἐν ὄρεσι καὶ νάπαις τὰς οἴων ἀγέλας· ἀλλ' εἰ παρακέοιτο τοῖς θρέμμασι βόθρος, ἤγουν ὁρῷν ὁ κρημνὸς, περιφοιτᾷ τὰ πρόβατα, καὶ οὐ καθίησιν ἑαυτὰ πρὸς θάνατον· παιδαγωγεῖται γὰρ ὥσπερ δι' ἐμφύτου νόμου, πρὸς τὸ χρῆναι τῆς ἑαυτῶν φείδεσθαι ζωῆς. Εἶτα πῶς οὐκ ἄτοπον, εἰ μὲν τοῖς ἀλόγοις ζώοις τοῦτο φαίνεσθαι κρατοῦν, ἐν δὲ ἡμῖν αὐτοῖς, καίτοι λογικοῖς ὑπάρχουσι, τὴν τοῦ D χρησίμου καὶ ἀναγκαίου πρὸς ζωὴν οὐκ εἶναι γνῶσιν. Χρὴ τοιγαροῦν κἂν εἴ τινες ἡμᾶς τῶν εἰς διδασκάλους, καὶ καθηγητὰς τεταγμένων ἐφ' ἃ μὴ προσῆκεν ἀποκομίζειν ἕλοιντο, μὴ ἁπλῶς ἀνέχεσθαι φιλεῖν, μηδὲ μὴν ἀκατασκέπτως ἕπεσθαι πρὸς τὸ αὐτοῖς δοκοῦν, ἀλλὰ δοκιμάζειν ἕκαστα τῶν πρακτέων. Ο . . . χωρεῖν ἐπὶ τὸ ὅτι μάλιστα τῶν ὠφελεῖν εἰωθότων. Ἦσαν τοίνυν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, τοῦτ' ἔστιν, οἱ Γραμματεῖς τε καὶ οἱ Φαρισαῖοι, δεινοὶ πρὸς τὸ χρῆναι τοὺς τῶν χρημάτων ἐρανίζεσθαι πορισμοὺς, καὶ τὰς ἐκ τῶν λαῶν συγκομίζειν δωροφορίας, ἀπαρχὰς, δεκάτας, καὶ ὅσα τοῖς ἱερᾶσθαι λαχοῦσιν ὁ νόμος εἰς κλῆρον ἐδίδου. Σκοπὸς δὲ ἦν αὐτοῖς, καὶ διὰ πάσης τέθειτο σπουδῆς τὸ ἀναπείθειν

ira solet afferre. Omnino enim talia mala consequentur eos qui cum Deo pugnant. Est igitur verum, iniquo erit væ, et mala pro operibus manuum ipsius obtingent ei. Nam ut Jesum Pilato et indomitis militum furoribus objecerunt, ita et ipsi, inquit, Romanis copiis tradentur. Quod aperte et clare Ezechielem inveniemus dicere. Nam dictum est ad impiam et Domini interfectricem Jerusalem: Quemadmodum fecisti, sic erit tibi; merces tua rependetur in caput tuum.

ORATIO III.

CAP. III. VERS. 12. *Popule meus, exactores vestri spoliant vos, et exigentes dominantur vobis.*

Quoniam Judæorum regionem omnium bonorum penuria laboraturam abunde satis et clarissime exposuit, et quæ illis qui in Christum debacchati sunt eventura essent, enarravit: rursus persuadet declinandum a delictis, et levibus mollibusque verbis tantum non incantat utiliter, et ad meliora convertit, docetque vitandos eos qui omnium malorum auctores ipsis et causæ exstiterunt. Non enim existimo debere nos his qui **62** præceptorum locum sortemque tenent subjici, nisi quatenus utilia docere aggrediantur, et nisi quod vere in vitio esse creditur, velint redarguere. Est enim virtus doctoris, ad perfectam accuratamque ejus quod est utile notitiam eos qui informantur, posse perducere: et quod nociturum est, tanquam adulterinum notare, et jubere ut id aversentur quod solet nocere. Omni etiam laude digni sunt qui in discipulis censentur, si non simpliciter intueantur placita doctorum, sed rerum naturam: et si mirentur eos qui docent, siquidem sint boni et scientes, rerumque optimarum interpretes: quibus autem talis scopus propositumque non est, reprehendant. Etenim pascunt quidem etiam in montibus et silvis ovium greges; atqui, si quæ fovea sit pecoribus exposita, si præcipitium appareat, circumeunt oves, nec sibimet mortem accersunt: nam lege veluti quadam a natura insita docentur vitæ suæ parcendum esse. An vero a ratione alienum non est, ut hoc in animalibus ratione carentibus valere videatur; in nobis autem, ipsis quantumvis ratione præditis, rerum ad commoditatem et necessitatem cultumque vitæ pertinentium non insit cognitio? Par igitur est ut nos, si qui doctores ac duces constituti, ad ea quæ minus deceant abstrahere velint, non sequamur simpliciter, nec temere ac inconsiderate ad ea quæ ipsis placent convolemus, sed de singulis rebus agendis exquiramus, et sic ad ea quæ maximam utilitatem afferunt, progrediamur. Erant itaque Judæorum præceptores, id est Scribæ ac Pharisæi, in divitiarum proventibus congerendis, et in colligendis oblationibus, decimis, primitiis, acres et impigri, et in omnibus etiam quæ sorti sacerdotum lex deputavit. Scopus autem eorum consiliumque fuit, in eamque omne studium positum erat, ut fidem facerent plebi legem in hisce potis-

simum conservandam esse : aliarum vero præceptionum non magna apud illos ratio, ideoque ipse Servator illis dixerat : « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quoniam decimatis anethum, mentham et cuminum, et omisistis graviora legis, judicium, misericordiam et fidem [60]. » Erant itaque lucro deditι et amantes rei pecuniariæ : et si qui forte offenderent, acres his multas infligebant, ut eos, **63** quocunque crimine postulatos, territarent, et nonnunquam etiam ultra facultates offerre persuaderent. Hinc dicit his qui injuriam ab illis passi sunt : « Popule mi, expilatores tui racemant vos, et exactores dominantur vobis. » Cum populum dicit, significat etiam adhuc Israelem, utpote lenitatis et humanitatis beneficio fruiturum, nec penitus ab ea conjunctione consuetudineque cum ipso avellendum : si quidem velit ad id quod ipsi collibitum est, sese transferre. Cum vero exactores racemare ait, immensæ cupiditatis illorum et avaritiæ magnitudinem indicat. Siquidem metentium alii resecantis manu decidentes colligunt, nihilque faciunt in agris residuum. Idemque faciant, qui vites vindemiant. « Racemant igitur, » inquit, « vos exactores vestri. » Perinde ac si diceret : Vindemiarunt vestras copias : neque ibi inexplebilis eorum sistit cupiditas, sed jam racemos decerpunt, id est, manus in ea quæ adhuc relicta sunt, injiciunt. Bellissime vero et apte non præceptores, non magistros, non aliquid aliud ejusmodi esse dicit, sed exactores, sed æruscatores nominat, docetque eos dominari illis non ut doctores, discipulos leniter tractantes, sed ut rigidi ac sævi domini, quod ipsi velint sentire cogentes, et ad quidvis nonnunquam impellentes. Cæterum hi qui in Christo sunt, eum scopum non sibi proponunt. Scribit itaque divinus Petrus vocatis ad episcopatum, ascitis ad functionem docendi oves ratione præditas, non ut dominentur in clero, id est, populo qui sors Domini est, sed ut sint gregis exemplaria [61-62]. Jam et alios exactores novit sermo mysticus: quos debent hi, qui recte victuri sunt, fugere. Nam malæ et adversariæ potestates omnium mortalium studium sollicitant ad malum, extorquent et propemodum exigunt, et animi ad perturbationes proclivitatem tanquam tributum quoddam colligunt. Sacrosanctum enim verbum beatos prædicat eos qui vocem exactoris non audiverunt. Qui enim se a carnis cupiditatibus sevocant, ac juvenili vividaque prudentia, mala orta ex peccato propulsant, principatus calcant, et spiritualia nequitiæ vincunt, fortiores sunt quam ut voce exactoris vinci se patiantur. Proinde hi exactores vitandi **64** sunt, nec concedendum ut fructum ad peccatum in nobis metant, imo nec racement. Hoc autem præstabimus, viribus et quasi nervis per Christum confirmatis, et pravis nostræ mentis cogitationibus ejectis, et fœda cupiditate, omnique genere vitiositatis.

[60] Matth. XXIII, 23. [61-62] I Petr. V, 2, 3.

A τοὺς τὸ χρῆναι φυλάττειν ἔν γε δὴ τούτοις μάλιστα τὸν νόμον· τῶν γε μὴν ἑτέρων ἐντολῶν οὐ πολὺς ἦν ἄγαν παρ' αὐτοῖς ὁ λόγος. Ταύτῃ τοι πρὸς αὐτοὺς καὶ αὐτὸς ἔφασκεν ὁ Σωτήρ· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἄνηθον καὶ τὸ ἡδύοσμον, καὶ τὸ κύμινον. Καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸ ἔλεος, καὶ τὴν πίστιν. » Ἦσαν οὖν ἄρα φιλοκερδεῖς καὶ ἐρασιχρήματοι, καὶ πικρὰς ἔσθ' ὅτε τοῖς πταίουσιν ἐπῆγον τὰς δίκας, ἵνα ἐκδειματοῦντες τοὺς ἐφ' ὁτῳοῦν ἐγκαλουμένους προσάγειν αὐτοῖς ἀναπείθωσιν καὶ τὰ ὑπὲρ δύναμιν ἔσθ' ὅτε. Ταύτῃ τοί φησι πρὸς τοὺς παρ' αὐτῶν ἀδικουμένους· « Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν. » Καὶ διὰ μὲν τοῦ λαὸν εἰπεῖν, ἔτι τὸν Ἰσραὴλ B δίδωσι νοεῖν, ὡς εἴπερ ἕλοιντο μεταφοιτᾷν ἐπὶ τὸ αὐτῷ δοκοῦν, τῶν ἐξ ἡμερότητος τεύξονται καὶ φιλανθρωπίας, καὶ οὐκ εἰσάπαν ἀποπεσοῦνται τῆς πρὸς αὐτὸν οἰκειότητος σχετικῆς. Καλαμᾶσθαι δὲ εἰπὼν τοὺς πράκτορας, τῆς ἐνούσης αὐτοῖς ἀπληστίας τε ὁμοῦ καὶ φιλοκερδίας δείκνυσι τὸ μέγεθος. Ἐν μὲν γὰρ τοῖς ληΐοις οἱ μὲν ἀποκείρουσι σιδήρῳ τὸν στάχυν, οἱ δὲ τοὺς ἐκπίπτοντας τῆς τοῦ κείροντος χειρὸς συλλέγοντες, οὐδὲν ἀφιᾶσιν ἐν ἀγροῖς. Ἔθος δὲ καὶ τοῖς τὰς ἀμπέλους τρυγῶσι τοῦτο δρᾷν. « Καλαμῶνται τοίνυν ὑμᾶς, φησὶν, οἱ πράκτορες ὑμῶν. » Ὅμοιον ὡς εἰ λέγοι· Τετρυγήκασιν ὑμῶν τὰς περιουσίας, καὶ οὐ μέχρι τούτου τὰ τῆς ἀπληστίας αὐτοῖς. Ἀλλ' ἤδη καὶ καλαμῶνται, τοῦτ' ἔστι, τὰς C χεῖρας ἐπάγουσι, καὶ τοῖς ἔτι καταλελειμμένοις. Εὖ δὲ δὴ σφόδρα, καὶ πρεπόντως αὐτοῖς, οὐ καθηγητὰς, οὐ διδασκάλους, οὐχ ἕτερόν τι τῶν τοιούτων εἶναί φησιν, πράκτορας δὲ ὀνομάζει, καὶ ἀπαιτητάς. Διδάσκει δὲ ὅτι κατεξουσιάζουσιν αὐτῶν, οὐχ ὡς διδάσκαλοι μαθηταῖς ἠπίως προσφερόμενοι, ἀλλ' οἷον σκληροὶ καὶ ἄγριοι δεσπόται, τὸ δοκοῦν αὐτοῖς φρονεῖν ἀναγκάζοντες, καὶ πρὸς πᾶν ὁτιοῦν ἀποφέροντες, καὶ τῶν παρὰ γνώμην ἔσθ' ὅτε. Ἀλλ' ὅ γε τῶν ἐν Χριστῷ σκοπὸς οὐ τοιοῦτος ἦν. Γράφει γοῦν ὁ θεσπέσιος Πέτρος τοῖς κεκλημένοις εἰς ἐπισκοπὴν, καὶ καθηγεῖσθαι λαχοῦσι τῶν λογικῶν ποιμνίων, μὴ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γενόμενοι τοῦ ποιμνίου. Οἶδεν δὲ ὁ λόγος ὁ μυστικὸς καὶ πράκτορας ἑτέρους, οὓς ἀνάγκη παραιτεῖσθαι τοῖς D ἐθέλουσι βιοῦν ὀρθῶς. Αἱ γὰρ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις ἕκαστον τῶν ἐπὶ γῆς μονονουχὶ καὶ ἀπαιτοῦσι τὴν εἰς τὸ φαῦλον σπουδὴν, καὶ ὥσπερ τινὰ δασμὸν παρ' ἡμῶν συλλέγουσι, τὴν εἰς τὰ πάθη τῆς διανοίας ῥοπήν. Καὶ γοῦν ὁ ἱερὸς μακαρίζει λόγος τοὺς μὴ ἀκούσαντας φωνὴν φορολόγου· οἱ γὰρ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν κατεξανιστάμενοι, καὶ νεανικῷ φρονήματι τὰ ἐκ τῆς ἁμαρτίας παρωθούμενοι βλάβη, καὶ πατοῦντες ἀρχὰς, καὶ νικῶντες τὰ πνεύματα τῆς πονηρίας, κρείττους γεγόνασι τῆς τοῦ φορολόγου φωνῆς. Δεῖ τοίνυν τοὺς τοιούτους παραιτεῖσθαι πράκτορας, καὶ μήτε θερίζειν ἐν ἡμῖν τὸ εἰς ἁμαρτίαν ἀποτέλεσμα συγχωρεῖν, μήτε μὴν καλαμᾶσθαι.

Δράσομεν δὲ τοῦτο διὰ Χριστοῦ νευρουμενοι, καὶ τῆς ἑαυτῶν διανοίας ἐκπεμποντες διαλογισμοὺς πονηροὺς, ἐπιθυμίας αἰσχρὰς, καὶ πᾶν εἶδος φαυλότητος.

Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν A *ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν.*

Εἰς νῆψιν ἐγείρει πάλιν, καὶ δοκιμαστὰς εἶναι τῶν πραγμάτων βούλεται, οὐ χρηστολογίαις ἁπλῶς χαυνοῦσθαι πρὸς ῥαθυμίαν. Περιφοιτῶντες μὲν γὰρ οἱ Φαρισαῖοι τοὺς τῶν Ἰουδαίων οἴκους χρηστοεπεῖν ἐπεχείρουν, ηὐλογημένον τε λαὸν ὠνόμαζον, καὶ κλῆρον Θεοῦ. Καὶ τάχα που τὸ διὰ φωνῆς τοῦ Βαροὺχ ἐπεφώνουν αὐτοῖς· « Μακάριοί ἐσμεν, Ἰσραὴλ, ὅτι τὰ ἀρέσκοντα Θεῷ γνωστὰ ἡμῖν ἐστιν. » Ἵνα γοῦν προσεπάγοιεν τάς τε ἐκ νόμου τεταγμένας αὐτοῖς δωροφορίας, καὶ μὴν καὶ δεκάτας, ἤγουν ἀπαρχὰς ἐσκήπτοντο χρηστολογεῖν, εὐπρόσιτοί τε εἶναι πολλάκις ἤθελον, καὶ τὸ ἡμεροφανὲς ἐπετήδευον· κερδῶν δὲ ἕνεκα καὶ λημμάτων καὶ αὐτὸν ἐδίδασκον παρα- B λύειν τὸν νόμον τοὺς ὑπὸ χεῖρα λαούς. Ἠτιᾶτο γοῦν αὐτοῖς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὡς ἀκυροῦντας τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν ἑαυτῶν παράδοσιν. Πλανῶσι τοίνυν ὑμᾶς, φησὶν, οἱ μακαρίζοντες ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν. Οὐ γὰρ ἐῶσιν ὀρθοποδεῖν. Παρεξάγοντες δὲ ὥσπερ τῆς εὐθείας ὁδοῦ κατὰ κρημνῶν φέρουσι καὶ βόθρων. Ὁδὸς δὲ ἡ εὐθεῖα, καὶ ὁμαλὴ, ἡ εἰς Χριστὸν οἰκείωσις διὰ πίστεως. Ἐπειδὴ δὲ ᾔδεσαν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, ὅτι τῆς διὰ Μωσέως καταργουμένης ἐντολῆς, ἔξω κείσονται κερδῶν καὶ λημμάτων, συνετάραττον ὥσπερ τὴν τρίβον τῶν ποδῶν τοῦ λαοῦ, τὸν Χριστοῦ λόγον κατακιβδηλεύοντες, καὶ ταῖς τοῦ νόμου σκιαῖς προσκεῖσθαι κελεύοντες. Τετολμήκασι C γὰρ εἰπεῖν οἱ δείλαιοι· « Ἡμεῖς οἴδαμεν ὅτι Μωσῇ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν· » καὶ πάλιν· « Εἰ ἦν οὗτος ἀπὸ Θεοῦ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον. » Καὶ τὸ ἔτι τούτων δυσσεβέστερον, τοῖς γὰρ ἐθέλουσιν ἀκροᾶσθαι Χριστοῦ, καὶ τοῖς παρ' αὐτοῦ προσκεῖσθαι λόγοις, ἀνοσίως ἔφασκον· « Δαιμόνιον ἔχει καὶ μαίνεται, τί ἀκούετε αὐτοῦ; » Δεῖν δὲ δὴ καὶ ἑτέρως ὑπολαμβάνω τὸν πνευματικὸν ἄνθρωπον καὶ τὸν ἀρετῆς ἐργάτην παραιτεῖσθαι σφόδρα τοὺς εἰς νοῦν καὶ καρδίαν μακαρίζοντας αὐτὸν λογισμούς. Δεινὸς γὰρ ὑπάρχων εἰς κακουργίαν ὁ Σατανᾶς, ὅτε τοὺς εὐδοκιμοῦντας τῆς αὐτοῖς φιλαιτάτης ζωῆς τε καὶ πολιτείας κατακομίζειν οὐ δύναται, πρὸς τὸ αὐτῷ δοκοῦν ἑτέρῳ παραλύειν πειρᾶται τρόπῳ. Ἐπαινεῖ γὰρ ὡς κατωρθωκότας, ἀποδέχεται D δὲ ὡς ἁγίους λοιπὸν, μακαρίζει δὲ καὶ ὡς φίλους ἤδη γεγονότας Θεοῦ, καὶ εἰς λῆξιν ἁπάσης ἀρετῆς ἀναβεβηκότας. Εἶτα τὸ τῆς ὑπεροψίας αὐτοῖς πάθος ἐντεκὼν, προσκρούειν παρασκευάζει τῷ Θεῷ, καὶ κατασείει λοιπὸν καθάπερ τι φυτὸν ἐκ βάθρου. Οὐ γὰρ ἠγνόηκεν, ὅτι ταπεινοῖς μὲν δίδωσι χάριν ὁ τῶν ὅλων Θεὸς, ἀντιτάσσεται δὲ τοῖς ὑπερηφάνοις. Παραιτητέον τοίνυν, ὡς ἔφην, τοὺς εἰς νοῦν ἔσω καὶ καρδίαν μακαρίζοντας ἡμᾶς λογισμούς. Οἱ γάρ τοι τὴν εὐθεῖαν ἡμᾶς οὐκ ἐπιτρέπουσι διάττειν ὁδὸν, δι' ἧς ἂν

VERS. 12. *Popule meus, qui vos beatos prædicant, decipiunt vos, et semitam pedum vestrorum turbant.*

Rursus expergefacit ad vigilantiam, et probatores rerum esse vult, non simpliciter blandis sermonibus ad pigritiam inhiare. Oberrabant etenim Pharisæi per Judæorum domos, blandaque verba ferebant, et benedictum populum nominabant, et sortem Dei; et fortassis etiam Baruch voce illis acclamabant: « Beati sumus, Israel, quod placita Domino cognita nobis sunt [43]. » Itaque quo donaria ipsis ex lege statuta, decimas et primitias offerrent, blandiuscule loqui affectabant; aditum ad se facilem ac frequentem dabant, et comitati imprimis studebant, quæstusque et lucri gratia, populum subditum docebant legem violare. Insimulavit igitur illos Dominus noster Jesus Christus, quod mandatum Dei propter suam traditionem irritum fecerint. Seducunt igitur vos, inquit, qui vos beatos prædicant, et semitam pedum vestrorum conturbant: nec enim sinunt recto pede incedere, sed velut a recta via abducunt transversim, ac in præcipitia atque foveas abripiunt. Via autem recta et plana erat, conjunctio et consociatio cum Christo per fidem. At quia norant Judæorum duces, præceptis quæ Moses tradidit abrogatis, se compendiis et aucupiis suis emungendos, turbarunt veluti callem pedum populi, dum Christi verbum adulteraverant, et legis umbris adhærescere jusserant. Audebant enim dicere miseri: « Nos scimus quod Mosi locutus est Deus, hunc autem nescimus unde sit; » et rursus: « Si iste homo a Deo esset, minime solvisset Sabbatum [44]. » Et quod magis impium est, volentibus Christum audire, ejusque attendere sermonibus, impie dixerunt: « Dæmonium habet et insanit, quid illum auditis [45]? » Quin alio modo spirituali homini virtutisque cultori cogitandum est, ut ratiocinationes animi ac cordis quæ ipsum beatum prædicant, summopere fugiat. Est 65
enim ad malitiam vafritiamque instructus Satanas: cum viros ob vitam quam amplectuntur, et ob conversationem spectatos ad suam voluntatem non potest traducere, alia aggreditur via quo frangat, ac dissolutiores faciat. Nam quasi qui recte egissent laudat, quasi etiam sanctos suscipit, et quasi amicos jam Dei factos, et ad culmen omnium virtutum provectos, beatos prædicat. Demum, postquam affectum superbiæ in illis insevit, suggerit ut Deum offendant, et de cætero tanquam plantulam quampiam, radicitus et ab ipsa stirpe convellit et concutit. Non enim ignorat universitatis Deum submissis dare gratiam, superbis vero resistere. Proin, ita ut dixi, cogitationes quæ in mente et corde nos ut beatos efferunt, deprecari detestarique debemus: quippe ea rectam nos viam non

[43] Baruch. IV, 4. [44] Joan. IX, 16, 29. [45] Joan. X, 20.

sinunt inire, per quam facillime quis ad id quod Deo placet pertingeret.

Vers. 13-15. *Sed nunc stabit in judicio Dominus, et in judicio sistet populum suum. Ipse Dominus in judicium veniet cum senioribus populi sui, et cum principibus ejus. Vos autem quid incendistis vineam meam? Et rapina pauperis in domibus vestris? Quid injuria afficitis populum meum, et faciem pauperum confunditis?*

Non ope destitutum iri dicit propheta oppressorum multitudinem, non omni cura vacuam ac desertam, imo summam eorum curam omnium Dominum suscepturum, confirmat. Nam, inquit, causam eorum aget contra eos qui metunt, et quasi beatos suscipiunt: et semitam pedum ipsorum turbabit, et judicio prosequetur seniores populi, et principes vel præfectos. Redemit enim e domo servitutis populum suum, et a dominatorum importunitate liberavit, universam in eos excitans creaturam. Et sane aquas in sanguinem mutavit, grandine profundisque ac triduanis tenebris, aliisque omnibus, est enim longum singula commemorare, percussit: dein per medium mare traduxit, in deserto pavit, in terram promissionis induxit, gentes magnas et pugnacissimas tanquam spinas expulit. Divinus quoque David id declaravit, omnium servatorem et redemptorem alloquens: « Vitem ex Ægypto transtulisti, ejecisti gentes, et eam plantasti, viam præstruxisti ante illam: extendit palmites suos ad mare usque, et ad fluvios propagines suas [46]. » **66** Erat enim, inquit propheta Jeremias, vitis fecunda pampinis Israel, et felix fructus ejus. Sed cum demandata esset ejus colendæ cura principibus populi, adeo injustis modis oppresserunt herilem vineam, ut jam incensa penitus esse videatur. Hanc igitur causam impinget illis, hisce verbis: Vos cur incendistis vineam meam? Nam quos æquum erat illam vitem intelligibilem, nimirum Israelem, fertiliorem reddere, hi ad vastitatem omnino reduxerunt, aridamque et inutilem hero effecerunt. Ab illis itaque succensa est, a quibus turgida botris fieri, fructibusque gravida, et ab omni detrimento immunis conservari debuit. Jam quemadmodum hanc vineam intelligibilem incendisse dicantur, videre est operæ pretium. Oportebat enim eos qui docendi muneri præerant, et qui legem ad omnia quæ Deo placent ducentem tenebant, præ cæteris ad legis præscriptum vivere, et justitiæ gloria ornari, ita ut eorum vita, singularis cujusdam perfectissimæque vitæ exemplar quoddam et imago esset populo sibi subdito. Oportebat præterea eos legis institutione ad omnem probitatem subditos adducere, delinquentes coarguere, lapsos erigere, pietatis iter monstrare, et ad præstantiora informare, et persuadere ut in finem legis, Christum, inquam, respicerent. « Finis enim legis et prophetarum Christus [47]. » De eo vero

τις ἴοι καὶ μάλα ῥᾳδίως ἐπὶ τὸ ἀρέσκον Θεῷ.

Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ. Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ. Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου; Καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὰ πρόσωπα τῶν πτωχῶν καταισχύνετε;

Οὐκ ἀνεπικούρητον ἔσεσθαί φησιν ὁ προφήτης τὴν ἀδικουμένων πληθὺν, οὔτε μὴν ἁπάσης φροντίδος ἐρήμην, ὑπεραθλήσειν δὲ μᾶλλον αὐτῶν τὸν τῶν ὅλων Θεὸν εὖ μάλα διϊσχυρίζεται. Δικάσεται γὰρ ὑπὲρ αὐτῶν, φησὶ, τοῖς καλαμωμένοις καὶ μακαρίζουσιν αὐτούς. Ταράξει δὲ καὶ τὴν τρίβον τῶν ποδῶν αὐτῶν. Δικάσεται δὲ πρὸς τοὺς πρεσβυτέρους τοῦ λαοῦ, καὶ προσέτι τοὺς ἄρχοντας, ἤτοι τοὺς καθηγουμένους. Ἐλυτρώσατο μὲν γὰρ ἐξ οἴκου δουλείας τὸν λαὸν αὐτοῦ, ἐξείλετο δὲ τῆς τῶν κρατούντων σκαιότητος, ὅλην αὐτοῖς ἐπαναστήσας τὴν κτίσιν. Καὶ ὑδάτων μὲν εἰς αἷμα μεταβολὰς ἐργασάμενος, χαλάζαις δὲ καταπαίων, βαθεῖ τε καὶ τριημέρῳ σκότῳ, καὶ τοῖς ἄλλοις ἅπασι. Μακρὸν γὰρ ἕκαστα διειπεῖν. Εἶτα διαβιβάσας διὰ θαλάσσης μέσης ἔθρεψεν ἐν τῇ ἐρήμῳ. Εἰσκεκόμικεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἔθνη μεγάλα καὶ μαχιμώτατα καθάπερ ἀκάνθας ἐξελών. Καὶ τοῦτο ἡμῖν ὁ θεσπέσιος Δαβὶδ κατεδήλου λέγων πρὸς τὸν τῶν ὅλων σωτῆρα καὶ λυτρωτήν· « Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτὴν, ὡδοποίησας ἔμπροσθεν αὐτῆς· ἐξέτεινας τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν παραφυάδας αὐτῆς. » Γέγονε γὰρ, ὡς προφήτης φησὶν Ἱερεμίας, ἄμπελος εὐκληματοῦσα Ἰσραὴλ, καὶ ὁ καρπὸς εὐθηνῶν αὐτῆς. Ἀλλὰ τετάχασι μὲν εἰς γεωργοὺς οἱ καθηγεῖσθαι λαχόντες· ἠδικήκασι δὲ οὕτως ἀμπελῶνα τὸν δεσποτικὸν, ὡς εἰς ἅπαν ἤδη καὶ ἐμπεπρῆσθαι δοκεῖν. Ταύτην οὖν ἄρα τὴν αἰτίαν αὐτὸς ποιήσεται λέγων· Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου; Οὓς γὰρ ἦν εἰκὸς καὶ εὐτελεστέραν ἀποφαίνειν τὴν νοητὴν ἐκείνην καὶ εὐκληματοῦσαν ἄμπελον, τοῦτ' ἔστι, τὸν Ἰσραὴλ, οὗτοι κατεκόμισαν εἰς ἐρήμωσιν παντελῆ, ξηράν τε καὶ ἄχρηστον ἀπετέλεσαν τῷ δεσπότῃ. Ἐμπεπύρισται δὲ τοίνυν παρ' ὧν εἰκὸς ἦν εὔβοτρυν ἔσεσθαι καὶ καρποῖς διαβρυθῆ, καὶ παντὸς ἐπέκεινα βλάβους. Τίνα δὲ τρόπον ἐμπυρίσαι λέγονται τὸν νοητὸν ἀμπελῶνα, πῶς οὐκ ἄξιον ἰδεῖν; Ἔδει μὲν γὰρ τὸ διδασκαλικὸν ἔχοντας ἐπιτήδευμα, καὶ νόμον εἰδότας τὸν εἰς πᾶν ὁτιοῦν ἀποφέροντα τῶν ἀρεσκόντων Θεῷ, καὶ πρό γε τῶν ἄλλων ἐννομώτατά τε διαζῇν αὐτοὺς, καὶ τοῖς εἰς δικαιοσύνην αὐχήμασιν εὖ μάλα καταχαλλύνεσθαι, ὥστε τῆς ἐξαιρέτου ζωῆς τύπον ὥσπερ τινὰ καὶ εἰκόνα τῶν ὑπὸ χεῖρα λαῶν τὸν αὐτῶν γενέσθαι βίον. Εἶτα πρὸς τούτῳ καὶ ταῖς ἐκ νόμου παιδαγωγίαις ἀποκομίζειν ἤθελον τοὺς ὑπεζευγμένους πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν, καὶ

[46] Psal. LXXIX, 9-12. [47] Rom. X, 4.

πλημμελοῦντας ἐλέγχειν, καὶ παίοντας ἐπανορθοῦν, καὶ τῆς εὐσεβείας καταδεικνύειν τὴν ὁδὸν, καὶ πρὸς τὰ ἀμείνω παιδαγωγεῖν, καὶ πρὸς τὸ τοῦ νόμου τέλος ἀναπείθειν ὁρᾷν, φημὶ δὴ Χριστόν· « Τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός. » Καὶ περὶ αὐτοῦ λελάληκεν ὁ Μωσῆς διὰ σκιᾶς καὶ τύπων, προαναφωνῶν τοῖς πάλαι τὸ σεπτὸν καὶ μέγα μυστήριον. Ἀλλὰ τούτων ἁπάντων ἠφειδηκότες, αὐτοί τε ἦσαν πονηροὶ τοὺς τρόπους, ἀχάλινοι πρὸς πλεονεξίαν, ἀκρατεῖς εἰς φιλοκερδίας, ὀλίγου παντελῶς ἀξιοῦντες λόγου τὸ κρίνειν ὀρθῶς· καὶ οἷς ἦν ἄμεινον ἐπερυθριᾷν, ἐπ' αὐτοῖς δὴ τούτοις ἐπαυχεῖν εἰωθότες. Ἐμπεπύρισται τοίνυν ὁ ἀμπελὼν, οὔτε τῷ βίῳ τῶν καθηγεῖσθαι λαχόντων ὠφελούμενος, οὔτε μὴν ταῖς νομικαῖς εἰσηγήσεσι παιδαγωγούμενος εἰς ὀρθὴν καὶ ἀνεπίληπτον ζωὴν, ἤγουν εἰς ἐπίγνωσιν Χριστοῦ, καὶ τοῦτο ἐπιλάμψαντός τε ἤδη τοῖς ἐπὶ τῆς γῆς, καὶ λέγοντος ἐναργῶς· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἐγώ εἰμι ἡ ἀλήθεια. » Ἀκουέτωσαν τοίνυν· Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὰ πρόσωπα τῶν πτωχῶν καταισχύνετε; Συνήρπαζον γὰρ τοὺς πτωχοὺς εἰς σύνεσιν ἐπὶ τὸ αὐτοῖς δοκοῦν, καὶ καταισχύνεσθαι παρεσκεύαζον τὰ πρόσωπα αὐτῶν. Ὄνπερ γὰρ τρόπον οἱ τῆς δικαιοσύνης ἐπιμεληταὶ μονονουχὶ λαμπρῷ προσώπῳ, καὶ πολλῆς γέμοντι παῤῥησίας ἐν ὀφθαλμοῖς ἑστήκασι τοῦ Θεοῦ, οὕτω φαμὲν τοὺς τῆς φαυλότητος ἐραστὰς στυγνόν τε καὶ ἀμειδὲς, αἰσχύνης τε καὶ ἐντροπῆς ἀνάμεστον τὸ τῆς καρδίας πρόσωπον ἔχειν. Ἀλλ' ὥσπερ ὀνίνησιν ὁ παιδαγωγῶν εἰς σύνεσιν, καὶ τῶν καλλίστων εἰσηγητὴς, οὕτως ἀδικεῖ πᾶς ὁστισοῦν οἶμαι τῶν τεταγμένων εἰς διδασκάλους, εἰ μὴ τῶν ἀμεινόνων ἐραστὴν ἀποτελοίη τὸν παιδευόμενον. Καταισχύνει γὰρ ὥσπερ τὸ πρόσωπον αὐτοῦ, καὶ πτωχὸν ὄντα πρὸς σύνεσιν, μονονουχὶ καὶ καταβιάζεται, καὶ συναρπάζει πρὸς τὰ αἰσχίω. Ἦσαν δὲ καὶ ἑτέρως ἄδικοί τε καὶ ἅρπαγες οἱ τῶν Ἰουδαίων καθηγηταὶ, καὶ καταισχύνοντες μὲν τὰ τῶν πτωχῶν πρόσωπα, προσκείμενοι δὲ πλουσίοις, καίτοι τοῦ νόμου λέγοντος· Κρίμα δίκαιον κρίνατε, καὶ παρεγγυῶντος πανταχῇ τὸ, Οὐ μὴ λήψῃ πρόσωπον ἐν κρίσει.

A Moses locutus est in umbris ac figuris, priscis hominibus venerandum et magnum præsignificans mysterium; contemptis cæterum omnibus his, ipsi erant moribus improbi, habendi cupiditate effrenes, impotentes ad avaritiam, parvi ducentes recte judicare: et de quibus satius fuisset erubescere, in his ipsis soliti sunt superbire. Incensa est igitur vinea, quam nec vita eorum qui docendi vices gesserunt, adjuvit, nec legis rudimenta ac introductiones informarunt ad rectam et inculpatam vitam, vel ad agnitionem Christi, Christi, inquam, qui jam in terra resplenduit, et luculenter dicit: « Ego sum lux mundi, ego sum via, et ego sum veritas [68]. » Ergo audiant: Quid incendistis vineam meam, et direptio pauperis in domo vestra? Quid vos B injuria afficitis populum meum, et facies pauperum pudefacitis? Attraxerunt enim pauperes ad **67** cognitionem prout ipsis visum fuit, atque vultus eorum conati sunt pudefacere. Quemadmodum enim justitiæ cultores, tantum non nitido vultu multaque pleno fiducia in oculis Dei steterant: ita dicimus vitiis addictos tetricam ac tristem ruboreque ac pudore opertam, cordis faciem gestare. Sed ut is qui ad cognitionem pædagogus est, rerumque pulcherrimarum præmonstrator, juvat: sic omnes, credo, qui doctores ordinati sunt, incommodum afferent, nisi rerum meliorum amantem efficiant eum qui instituitur. Rubore namque faciem ejus suffundunt, et qui scientia pauper est ac tenuis, eum detrudunt prope, et rapiunt ad turpiora. Erant item alio quo- C que modo injusti ac rapaces Judæorum duces, cum dedecore perfunderent pauperum facies, et locupletibus adhærescerent, etiam lege dicente: Judicium justum judicate; et passim præcipiente: Non accipies personam in judicio.

Τάδε λέγει Κύριος· Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν, ἅμα σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιὼν, καὶ Κύριος ἀποκαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

VERS. 16, 17. *Hæc dicit Dominus: Pro eo quod elatæ sunt filiæ Sion, et ambulaverunt elato collo et nutibus oculorum, et ingressu pedum simul tra-* D *hunt tunicas, simulque pedibus lusitant, et deprimet Deus principes filias Sion, et Dominus deteget habitum earum die illo.*

Προαπέφηνεν ἡμῖν ὁ λόγος, ὅτι τοῖς Ἰουδαίων καθηγηταῖς ἐν σπουδῇ τέθειτο τῇ προὐργιαιτάτῃ τὸ χρῆναι πλουτεῖν, καὶ δόξαν ἔχειν τὴν ἔν γε τούτῳ διαφανῆ. Πλήρεις δὲ ἦσαν ἀδικιῶν καὶ πλεονεξίας ὡς αὐτοὺς μὲν λαμπράς τε ἐν ἄστει, καὶ μὴν καὶ τὰς ἐν ἀγροῖς ποιεῖσθαι προόδους, ἵπποις τε ἐποχουμένους, καὶ ταῖς ἔξωθεν φαντασίαις τῶν δορυφορεῖν εἰωθότων οὐ μετρίως ἐπευρυνομένους. Κατῃτιᾶτο γὰρ αὐτοὺς ἐν τοῖς ἀνωτέρω λέγων· Καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ

Declaravit ante nobis sermo Judæorum præfectos hoc curæ studioque habuisse potissimum ut ditescerent, et ex eo gloriam illustrem consequerentur, plenosque fuisse injustitia et avaritia: quo ipsi splendidos tum in urbe, tum in agris proventus perciperent, equis invecti, externorum fulgore ac specie stipatorum non mediocriter turgidi. Accusavit quippe illos in præcedentibus, dicens: Et repleta est terra equis, nec erat numerus curruum ipsorum: et impleta est terra auro ac argento, nec erat numerus thesaurorum. Accidit etiam eorum uxores di-

[68] Joan. VIII, 12; XIV, 6.

vitiis luxuriantes, auri et lapidum splendore insolescere, ac toga, stolaque variegata, cultusque magnificentia multum exsultare. Est enim genus muliebre rebus prosperis et florentibus quodammodo gloriosum et ostentabundum, imprimisque splendide vestiri cupit, auro ornari, elatum supercilium tollere, corporis formositate gloriari. Sæpe etiam ob hoc ipsum, cohabitantium **68** animus intumescit, ac quidam sibi laudi ducunt uxorum mollitiem. Hoc fortassis morbo affecti fuerunt Judæorum proceres, dum pietatem quæ in Deum est haberent despicatui. Quo enim semper opes subministrarentur, populo ex præscripto offerente, fidem Christianam amplexi non sunt, nec persuadere aliis voluerunt, regnum Dei occludentes, quemadmodum scriptum est, nec ipsi intrantes, nec admittentes eos qui volunt ingredi. Hinc Romano exercitui in vastationem ac in direptionem traditi sunt, et cum mulieribus simul et charissimis, ædibus ac opibus perierunt : aliorumque sunt, quæ summo opere ac studio coacervarant, ipsique miserandi sunt, et errones, et in ultima miseria palam versantur. Invehitur ergo hæc oratio in eorum feminas sive filias, primarias scilicet et maxime insignes, quæ etiam erant præpotentium, ac inquit : « Propterea quod elatæ fuerunt filiæ Sion, altaque cervice incedunt, et nutibus oculorum, » et quæ sunt deinceps. Elatæ autem sunt, non de virtute, sed propter carnalem maximeque terrenam prudentiam. Altum enim sibi sapere, deque se magnifice sentire videbantur, propter opulentam gloriam, externamque pulchritudinem, quam ex lapidibus, et auro, et veste varia conciliarunt. In his autem describit nobis sermo propheticus ingenium et habitum mulieris voluptuariæ, levis, ornatuque splendido decoratæ : puta ut ex una omnium inter ipsas feminarum demonstraret superbiam. Incedebant enim, inquit, extento collo, et nutibus oculorum; cum feminæ ornatissimæ, vitamque cum gravitate et probitate colenti, verecundia sit gratissima, minimeque deceat virorum oculis conspici. Hæ autem in tantam stoliditatem atque impudentiam impegerunt, ut in processibus ac incessibus suis sese venditarent, cervicem erigerent et extenderent, intuentibus annuerent, interdum etiam arriderent, et risu propemodum se intuentibus congressum promitterent. Est enim meretricius animus instabilis semper et fluctuat, multumque otio diffluit, unde major exsistit ad voluptates propensio. Objicit autem et illis crimen desidiæ, et scortari dicit : simul trahunt tunicas et lusitant pedibus. Nimirum verisimile est et hoc ab illis ad elegantiam complendam fieri : estque meretricium hoc institutum, et abominationis extremæ argumentum. **69** Nam ubi pedum strepitus cum carminibus numerosis consentit, ibi videlicet omnino et manuum ipsarum plausus resonat, et omne genus fœditatis, et invitantur spectatores ad turpitudinem. Sub id vero tempus deprimet, inquit, Deus principes filias

A ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. Εἶτα συνέβαινε τὰς τῶν ἐν πλούτῳ γυναῖκας, ἅτε δὴ τρυφώσας ἐναβρύνεσθαι ζητεῖν, καὶ τοῖς ἐκ χρυσίου καὶ λίθων ὡραϊσμοῖς, ἐπιγάννυσθαι δὲ λίαν καὶ στολῇ ποικίλῃ, καὶ ἐσθημάτων πολυτελείαις. Ἀεὶ γάρ πως τὸ θῆλυ γένος ἐν ταῖς ἄγαν εὐημερίαις φιλόδοξόν τέ ἐστι καὶ φιλεπιδεικτικόν. Ἥδιστα δὲ λίαν εὐειματεῖς, καὶ μέντοι καὶ χρυσαΐζεται, καὶ ὑψηλὴν ἀνασπῶν τὴν ὀφρὺν, ἐπαυχεῖ τῇ τοῦ σώματος ὥρᾳ. Καὶ ἐπ' αὐτῷ δὴ τούτῳ πλειστάκις τὸ τῶν συνοικούντων αὐταῖς ἐξογκοῦται φρόνημα· καὶ δόξαν ἰδίαν ποιοῦνταί τινες τὴν τῶν γυναικῶν ἐξιτηλίαν. Τοῦτο τάχα πεπόνθασιν οἱ τῶν Ἰουδαίων λαμπροὶ, τῆς εἰς Θεὸν εὐσεβείας ἠφειδηκότες. Ἵνα γὰρ ἔχοιεν ἀεὶ μενούσας αὐτοῖς τὰς τοῦ πλουτεῖν χορηγίας, προσκομιζόντων τῶν B λαῶν τὰ κατὰ τὸν νόμον οὐ προσίεντο τὴν πίστιν τὴν εἰς Χριστὸν, οὔτε μὴν ἑτέρους πιστεύειν ἤθελον, κλείοντες τὴν βασιλείαν τοῦ Θεοῦ, καθὰ γέγραπται, καὶ μήτε εἰσερχόμενοι, μήτε τοῖς ἐθέλουσιν ἐφιέντες εἰσελθεῖν. Ταύτῃ τοι καὶ δέδονται ταῖς Ῥωμαίων στρατιαῖς εἰς ἐρήμωσιν, εἰς διαρπαγὴν, καὶ ἀπολώλασιν, γυναίοις τε ὁμοῦ, καὶ τοῖς φιλτάτοις, οἴκοις τε καὶ πλούτῳ. Γεγόνασι γὰρ ἑτέρων τὰ ὡς ἐν πλείστῃ σπουδῇ συνηγηγερμένα· οἰκτροὶ δὲ αὐτοὶ καὶ ἀλῆται, καὶ πρὸς ἐσχάτην ὁρῶνται ταλαιπωρίαν. Κατατρέχει τοίνυν ὁ λόγος τῶν παρ' αὐτοῖς γυναικῶν, ἤγουν τῶν θυγατέρων οἷον τῶν ἀρχουσῶν μάλιστα, καὶ περιφανεστέρων, αἳ καὶ ἦσαν τῶν ἰσχυόντων, καί φησιν· « Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ C τραχήλῳ, καὶ νεύμασιν ὀφθαλμῶν, » καὶ τὰ ἑξῆς. Ὑψώθησαν δὲ οὐ κατὰ ἀρετὴν, ἀλλ' ὡς ἐν φρονήματι σαρκικῷ καὶ γεωδεστάτῳ. Μέγα γὰρ αὐτοῖς, ὡς ἔφην, φρονεῖν ἐδόκει, ἐπὶ πλούτῳ, καὶ δόξῃ, καὶ ὡραϊσμοῖς τοῖς ἔξωθεν, οὓς ἐκ λίθων καὶ χρυσίου, καὶ στολῆς ποικίλης συλλέγουσι. Γράφει δὲ ἡμῖν ὁ προφητικὸς ἐν τούτοις λόγος φρόνημά τε καὶ σχῆμα φιληδόνου τε καὶ ἀσέμνου γυναικὸς, καὶ κόσμῳ διαφανεῖ κατηγλαϊσμένης, οἷον ἐκ μιᾶς, ἁπάσης τῆς παρ' αὐτοῖς γυναικὸς καταδεικνὺς τὴν ἀγερωχίαν. Ἐπορεύθησαν γὰρ, φησὶν, ὑψηλῷ τραχήλῳ, καὶ νεύμασιν ὀφθαλμῶν· καίτοι γυναικὶ τῇ κοσμιωτάτῃ, καὶ τὸν ἐν σεμνότητι καὶ ἐπιεικείᾳ τιμώσῃ βίον, αἰδώς τέ ἐστιν ὅτι μάλιστα φίλη, καὶ πρέποι ἂν τὸ D μηδὲ ὁρᾶσθαι τοῖς ἀῤῥένων ὀφθαλμοῖς· αἱ δὲ πρὸς τοῦτο ἐξώκειλαν βλαβίας τε ὁμοῦ καὶ ἀναισχυντίας, ὡς ἐπιδεικτιᾷν ἐν προόδοις, καὶ αἴρειν μὲν ὑψοῦ τὸν αὐχένα, διανεύειν δὲ τοῖς ὁρῶσιν αὐτὰς, προσμειδιάσας ἔσθ' ὅτε, καὶ μονονουχὶ τῷ γέλωτι καθυπισχνουμένας ἤδη τοῖς ὁρῶσι τὴν σύνοδον. Ὑδαρεὶ γὰρ ἀεὶ τὸ πορνικὸν φρόνημά ἐστι, καὶ πολὺ χαλᾶται πρὸς ἑτοιμότητα τὴν εἰς ἡδονὰς, ἐπιτείνει δὲ αὐταῖς τὰ τῆς ῥᾳθυμίας ἐγκλήματα, καὶ πεπορνεῦσθαί φησιν, ἅμα συρούσας τοὺς χιτῶνας, καὶ παιζούσας τοῖς ποσίν. Εἰκὸς δὲ ἦν οἴεσθαι, καὶ τοῦτο εἰς κόσμον συντελεῖν αὐταῖς· πορνικὸν δὲ τὸ ἐπιτήδευμα, καὶ βδελυρίας ἀπόδειξις τῆς ἐσχάτης. Ὅπου γὰρ ὁ τῶν ποδῶν κτύπος εὐρύθμοις ᾄσμασι συνηχεῖ, ἐκεῖ που πάντως καὶ αὐτὸς ὁ διὰ χειρῶν ἀνακτυπεῖ

κρότος, καὶ πᾶν εἶδος αἰσχρῶν ἐπιτηδευμάτων, καὶ πρόκλησις τοῖς ὁρῶσιν εἰς ἀκαθαρσίαν. Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ ταπεινώσει, φησὶν, ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιὼν, καὶ ἀποκαλύψει τὸ σχῆμα αὐτῶν, τοῦτ' ἔστιν, ἢ περιελεῖ τὸν κόσμον, ἢ τὴν αἰσχύνην καταθήσει φανεράν. Ἔσται δὲ τοῦτο, ὅταν ἔρημαι καὶ γυμναὶ κόσμου παντὸς καὶ περιβολῆς ἀποδεδειγμέναι ταῖς τῶν πολεμίων ἐναλῶσι χερσὶν, δοῦλαι καὶ αἰχμάλωτοι, καὶ ἁπάσης ἔμπλεοι ταλαιπωρίας.

Sion, et formam ipsarum deteget, id est, vel circumcidet et auferet ornatum, vel ignominiam reddet manifestam. Erit autem istud, quando prostituentur desertæ ac nudæ omni elegantia et apparatu, hostiumque manibus capientur servæ ac captivæ, et calamitosissimæ.

Καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τοῦ κόσμου αὐτῶν· καὶ τοὺς κοσύμβους αὐτῶν, καὶ τὰ ἐμπλόκια, καὶ τοὺς μηνίσκους, καὶ τὸ κάθεμα, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν, καὶ τὴν σύνθεσιν τῆς δόξης τοῦ κόσμου αὐτῶν, καὶ τοὺς χλιδῶνας, καὶ τὰ ψέλλια, καὶ τὸ ἐμπλόκιον, καὶ τὰ περιδέξια, καὶ τοὺς δακτυλίους, καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ μεσοπόρφυρα, καὶ τὰ ἐπιβλήματα, καὶ τὰ μετὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ Λακωνικὰ, καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον, σὺν χρυσίῳ, καὶ ὑακίνθῳ συγκαθυφασμένα, καὶ θέριστρα κατάκλιτα.

VERS. 18-23. *Et auferet Dominus gloriam vestitus earum et ornatus earum, et cincinnos earum, et reticulos, et lunulas, et monile, et ornatum faciei ipsarum, et compositionem gloriosi ornatus ipsarum, et brachialia, et armillas, et reticulum, et dextralia, et annulos, et inaures, et prætextas purpureas, et purpuras clavatas, et domesticam supellectilem, et pellucida laconica, et byssina, et hyacinthina, et punicea, et byssum, cum auro et hyacintho contexta, et lectos accubitorios.*

Ἀποκαλυφθήσεσθαι λέγων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸ σχῆμα αὐτῶν διεισιν ἀκριβῶς, καὶ τίνα δὴ τρόπον τὸ σχῆμα αὐταῖς συμβήσεται. Ὅτι γὰρ ἐν ἐνδείᾳ καὶ ἀποβολῇ πάντων ἔσονται τῶν ἐξιτήλως ἐξηυρημένων, καὶ τῆς ἀρχαίας ἐκείνης εὐημερίας καὶ τρυφῆς προσαναπείθει προστιθεὶς, ὅτι παντὸς ἔσονται κόσμου γυμναὶ, τοὺς κοσύμβους ἀποβαλοῦσαι, μηνίσκους τε καὶ τὸ κάθεμα, καὶ τὰ τούτοις συνημμένα. Δι' ὧν ἔστιν ἰδεῖν ἀκορέστως ἐχούσας εἰς ὡραϊσμοὺς, καὶ εἰς φρόνημα τὸ φιλόκοσμον, μᾶλλον ἤδη τὸ φιλόπορνον. Γυναιξὶ μὲν γὰρ ταῖς ἀγαθαῖς τὴν φρένα, καὶ κοσμιότητος φίλαις ἐχθρά που πάντως ἐστὶ τὰ τοιάδε τῶν ἐπιτηδευμάτων, καὶ τὰ δι' ὧν ἂν εἶεν ἐν ἀσέμνῳ σχήματι φευκτὰ καὶ μεμισημένα, τέθεινται δὲ μᾶλλον, τὸ δεῖν ἐπαινεῖσθαι διὰ πράξεων ἀγαθῶν. Ταῖς γε μὴν ἑταίραις αἷς ἂν ὁρῷτο φίλον τὸ ἑταιρίζεσθαι καὶ πασχητιᾷν πρὸς πᾶν τοὐναντίον μετακεχώρηκεν ὁ νοῦς, καὶ τὰ τῆς προθυμίας αὐταῖς ἐξ ἀντιστρόφου φέρεται. Ἐν σπουδῇ δὲ πάσῃ τὸ ὡραΐζεσθαι, καὶ πανταχόθεν συλλέγειν τὰ εἰς τοῦτο χρήσιμα. Καὶ πρέποι ἂν ἑκάστῃ τῶν τοιούτων ἀκούειν· Ἀνεπτερωμένη δέ ἐστι καὶ ἄσωτος. Μέμνηται δὲ τῆς οὕτως ἀσέμνου καὶ σεσοβημένης καὶ ὁ Σολομὼν λέγων· « Τὴν γυναῖκα ἥτις ἐστὶ θήρευμα καὶ σαγῆναι καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς· ἀγαθὸς πρὸ προσώπου Θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς, καὶ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ. » Καὶ ταυτὶ μὲν ἡμῖν εἴς γε τὸ παρὸν εἰρήσεται περὶ γυναικῶν ἀσέμνων καὶ πονηρῶν. Ἰστέον δὲ ὅτι διὰ φωνῆς Ἰεζεχιὴλ, πρὸς τὴν Ἰουδαίων Συναγωγὴν διαλέγεται Θεὸς, ὡς πρὸς μίαν γυναῖκα· ἣν καὶ κόσμῳ ποικίλῳ καταχαλλῦναί φησιν. Ἔχει δὲ οὕτω περὶ αὐτῆς γεγραμμένα· « Καὶ διεπέτασα τὰς πτέρυγάς μου ἐπὶ σὲ, καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου, καὶ ὤμοσά σοι. Καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ, λέγει Ἀδωναῒ Κύριος, καὶ ἐγένου μοι, καὶ ἔλουσά σε ἐν ὕδατι, καὶ ἀπ-

Cum dixisset detegendam die illa formam earum, adamussim enumeratur quemadmodum hoc illis eventurum est. Etenim futuram esse inopiam et abjectionem omnium exquisite inventorum, et pristinæ illius felicitatis, et deliciarum, persuadet, cum subnectit, omni ornatu nudas fore, abjectis tunicis fimbriatis, et monilibus, et torque, et quæ sequuntur. Unde videre est quam insatiabiliter elegantiæ et ornandi se, imo magis jam scortandi studio ardeant. Probæ et honestæ mulieres harum rerum studia aversantur, eaque ex quibus habitus illiberalis nascitur, illudque potius propositum habent, ex bonis factis laudem consequi. At quibus scortari placet, et obscene prurire, harum mentes in id transferuntur quod plane est contrarium et longe diversum: et ut elegantes sint omni studio adnituntur, et quæ ad id accommodata sunt, undecunque conquirunt. Hæ omnes audire debent: Alata est et intemperans. Meminit etiam **70** inhonestæ et insolentis Salomon dicens: « Mulierem, quæ laqueus venatorum est, et sagenæ cor ejus, in manibus ejus vincula. Bonus coram facie Dei liberabitur ab ea, et peccans capietur in ea[69]. » Et hæc quidem hactenus dicta nobis sint de mulieribus illaudatis et improbis. Sciendum autem Deum per vocem Ezechielis ad Judæorum Synagogam tanquam ad unam feminam verba facere, quam etiam dicit ornatu vario exornatam. Sic vero se habent quæ de illa scripta sunt: « Et expandi alas meas super te, et operui turpitudinem tuam, et juravi tibi, et inii fœdus tecum, dicit Adonai Dominus, et facta es mihi. Lavi te aqua, ablui sanguinem a te, unxi te oleo, indui te acu pictis, calceavi te hyacintho, cinxi te serico, amicivi te bombycino subtilissimo, ornavi te ornatu, apposui armillas ad manus tuas, et torquem ad collum tuum, et dedi inaurem super

[69] Eccle. VII, 27.

nares tuas, et globulos ad aures tuas, et coronam gloriationis in caput tuum. Exornavi te auro et argento: et amictus tui byssini, et serica tenuissima et acu picta [59]. » Proinde vario ornatu Deus perpolit animam quæ cum ipso domestica quasi conjunctione copulata est, et rerum præclarissimarum ornamentis coronat multifariam. Qui suam ipsorum vitam inculpate instituunt, et sancte ac integre versantur, horum intelligibilis pulchritudo major fit et cumulatior, et inconcussa persistit. Qui autem facile et procliviter ad ea quæ indecora sunt prolabuntur, et leviter ad flagitiosa facinora declinant, his accidet ut omnibus omnino bonis exuantur, et his etiam quæ data sunt olim, carebunt. Nam in malos et impuros amatores incident, in principes sæculi hujus, in rectores tenebrarum, in spiritualia nequitiæ, qui animas virtute excultas maxime captant et venantur. Ludus enim est illis et deliciæ pessumdare eas, non minus profecto quam aucupes rem dignam et egregiam putant, passeres eximios capere. Scriptumque est etiam de Satana: Escæ ejus selectiores. Quare consentaneum est ut nos vigilemus, et masculo ac virili animo simus, Dei beneficio et ope, ac memores simus beati Pauli dicentis: « Quare qui stare 71 videtur, videat ne cadat [60]. » Ad hæc accedentes ad Deum, qui omnia potest, in precibus dicendum: « Domine, in voluntate tua præsta decori meo virtutem [61]. »

ἔπλυνα τὸ αἷμα ἀπὸ σοῦ, καὶ ἔχρισά σε ἐν ἐλαίῳ· καὶ ἐνέδυσά σε ποικίλα, καὶ ὑπέδυσά σε ὑάκινθον, καὶ ἔζωσά σε βύσσῳ· καὶ περιέβαλόν σε τριχάπτῳ· καὶ ἐκόσμησά σε κόσμῳ, καὶ περιέθηκα ψέλλια περὶ τὰς χεῖράς σου, καὶ κάθεμα περὶ τὸν τράχηλόν σου. Καὶ ἔδωκα ἐνώτιον περὶ τὸν μυκτῆρά σου, καὶ τροχίσκους περὶ τὰ ὦτά σου· καὶ στέφανον καυχήσεως περὶ τὴν κεφαλήν σου. Καὶ ἐκόσμησά σε κόσμῳ χρυσῷ καὶ ἀργυρῷ· καὶ τὰ περιβόλαιά σου βύσσινα, καὶ τρίχαπτα, καὶ ποικίλα. » Οὐκοῦν ποικίλῳ μὲν κόσμῳ καταφαιδρύνει Θεὸς τὴν προσοικειουμένην αὐτῷ ψυχήν, καὶ τοῖς ἐξ ἀρετῶν αὐχήμασιν πολυτρόπως στεφανοῖ. Ἀλλὰ τοῖς μὲν διασώζουσι τὴν ἑαυτῶν πολιτείαν ἀμώμητον, καὶ διατελοῦσιν ἐν ἁγιασμῷ, τὰ τῆς εὐκοσμίας τῆς νοητῆς ἐν ἐπιδόσεσιν ἔσται μείζοσι, καὶ ἀκράδαντα διαμενεῖ. Τοῖς γε μὴν διαπίπτουσιν ἐφ' ἃ μὴ προσῆκεν ἑτοίμως, καὶ ἀπονεύουσιν ἐλαφρῶς εἰς τὰ τῆς φαυλότητος ἔργα, συμβήσεται πάντως ἐν ἀποβολῇ γενέσθαι παντὸς ἀγαθοῦ, καὶ τῶν πάλαι δεδωρημένων νοσῆσαι τὴν ἐρημίαν. Περιπεσεῖται γὰρ πονηροῖς τε καὶ ἀκαθάρτοις ἐρασταῖς, τοῖς ἄρχουσι τοῦ αἰῶνος τούτου, καὶ τοῖς κοσμοκράτορσι τοῦ σκότους τούτου, τοῖς πνευματικοῖς τῆς πονηρίας, οἳ δὴ μάλιστα τὰς ἐναρέτους θηρῶσι ψυχάς. Τρυφὴ γὰρ αὐτοῖς τὸ καταστρέφειν αὐτάς. Καθάπερ ἀμέλει καὶ τοῖς τῶν πτηνῶν θηρευταῖς, ἀξιόληπτον εἶναί τι τὸ χρῆμα δοκεῖ τὰ τῶν στρουθίων περικαλλέστερα. Γέγραπται δέ που καὶ περὶ τοῦ Σατανᾶ, ὅτι τὰ βρώματα αὐτοῦ ἐκλεκτά. Οὐκοῦν ἀκόλουθον ἡμᾶς ἐγρηγορέναι τε καὶ ἀνδρίζεσθαι μετὰ Θεοῦ, καὶ διαμεμνῆσθαι λέγοντος τοῦ μακαρίου Παύλου, ὥστε· « Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. » Δεῖ δὲ δὴ πρὸς τούτῳ Θεῷ τῷ πάντα ἰσχύοντι προσιόντας λέγειν ἐν προσευχαῖς· « Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει δύναμιν. »

VERS. 24-26. *Et erit pro suavi odore pulvis, et pro cingulo cingeris funiculo, et pro ornamento capitis aureo, calvitium habebis propter opera tua: et pro tunica clavatæ purpuræ accincta eris sacco. Et filius tuus pulcherrimus, quem tu amas, gladio concidet. Et præpotentes vestri gladio cadent, et humiles reddentur. Plorabunt capsæ mundi vestri, et derelinqueris sola, et ad terram allideris.*

Καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός· καὶ ἀντὶ ζώνης, σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου· καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου, περιζώσῃ σάκκον. Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν σὺ ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται. Καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται, καὶ ταπεινωθήσονται, καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ.

Non abs re hic, ut videri potest nonnullis, subtiliter omnia ad vivum tractat sermo propheticus; sed dum singula in hisce delicatulis et voluptate diffluentibus feminis exacte persequitur, tum ornatus species, tum ipsas pristinas delicias ac luxum. Tum quoniam ipsas continget his omnino destitui, morderi eas et cruciari vult rerum adeo jucundissimarum ademptione, mœroribus prope conficiens, et quasi jam afflictas in memoriam prosperitatis eleganter revocat, ut futurorum exspectatione et terroribus inde provenientibus, imo intolerandis calamitatibus percellat vehementer, quo eas traducat ad honestatem, persuadeatque ad Dei placita recurrere. Continget igitur, non solum, inquit, ornatu privari eas quæ sic luxuriarunt, sed erit

Οὐ μάτην ἐν τούτοις οἴοιτό τις ἰσχνολογεῖ λίαν ὁ προφητικὸς ἡμῖν λόγος, ἕκαστα δὲ τὰ ταῖς τρυφώσαις καθ' ἡδονὴν δίεισιν ἀκριβῶς τά τε εἴδη τοῦ κόσμου, καὶ αὐτὰς τὰς πάλαι τρυφάς. Εἶτα ὅτι συμβήσεται πάντη τε καὶ πάντως παθεῖν αὐτὰς τὴν τῶν οὕτως ἡδίστων ἀποβολήν, διακεῖσθαι βούλεται μονονουχὶ συντήκων εἰς λύπας, καὶ εἰς ἀνάμνησιν τῆς εὐημερίας ὡς ἤδη παθούσας ἀνακομίζων ἀστείως, ἵνα τῇ τῶν ἐσομένων προσδοκίᾳ, καὶ τοῖς ἐντεῦθεν δείμασι, μᾶλλον δὲ καὶ ἀφορήτοις συμφοραῖς καταπτοήσας γοργῶς μεταστήσῃ πρὸς εὐκοσμίαν, καὶ εἰς τὸ τῷ Θεῷ δοκοῦν ἀναπείσῃ παλινδρομεῖν. Συμβήσεται τοίνυν, φησίν, οὐκ ἐν μόνῃ στερήσει τοῦ κόσμου γενέσθαι τὰς οὕτω τρυφώσας, ἀλλὰ γὰρ καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας, κονιορτός, τοῦτ' ἔστιν, ἀντὶ τῶν οἰ-

[59] Ezech. XVI, 8-13. [60] I Cor. X, 12. [61] Psal. XXIX, 8.

κων τῶν τεθυμιαμένων, ὁδοιπορίαι μακραὶ καὶ κονιορτώδεις, ἀποφερομένων αὐτῶν εἰς αἰχμαλωσίαν τρυφεροῖς ἔτι ποσί. Καὶ οὐχὶ δὴ τοῦτο μόνον, ἀλλὰ γὰρ καὶ ἔσονται καὶ ἐν σχήματι, καὶ ἐν εἴδει τῷ λίαν ἀτιμωτάτῳ, ὡς ἀντὶ ζώνης χρυσῆς σχοινίῳ περιδεδέσθαι μόνῳ, καὶ ἐν γυμνότητι κεφαλῆς ἤγουν φαλακρώματι, καίτοι πάλαι χρυσοῖς κοσύμβοις ἀνεσφιγμένης. Ἄμφιον δὲ δίδωσιν αὐταῖς, ὃ ταῖς αἰχμαλώταις πρέπον, παχύ τε καὶ εὐτελὲς, ὃ καὶ ὀνομάζει σάκκον, καὶ τοῦτο αὐταῖς ἀντὶ τοῦ μεσοπορφύρου χιτῶνος καὶ τρυφερῶν ἐσθημάτων. Προσεπάγει δὲ τούτοις, ὅτι Καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται. Ἔθος γὰρ τοῖς ἑλοῦσι πόλιν ἢ χώραν, ἐξ αὐτῆς ἁρπάζειν θήλεις καὶ κόλπων μητρὸς, τὰ μικρά τε καὶ ὑποτίτθια βρέφη φονεύειν ὠμῶς, ἵνα βαδίζοιεν αἱ τούτων μητέρες οὐ πεφορτισμέναι, καὶ μὴ τῇ τῶν νηπίων φροντίδι κατηχθισμέναι. Οὐκοῦν ἢ κατὰ τοῦτον τὸν τρόπον μαχαίρᾳ πεσεῖσθαί φησι τὸν ἀγαπητὸν αὐταῖς υἱὸν, ἢ καὶ ἑτέρως μαχόμενον, καὶ τῇ τῶν πολεμίων τεθνεῶτα χειρί. Πενθήσειν γε μὴν τὰς θήκας ἔφη τοῦ κόσμου αὐτῶν, οὐχ ὡς τῶν αἰσθητῶν θηκῶν πενθεῖν δυναμένων, ἀλλ' ὡς ἂν εἴ τις λέγοι καὶ οἶκον πενθεῖν οὐδενὸς οἰκοῦντος ἐν αὐτῷ. Προσεπάγει δὲ τούτοις τὸ, Καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς γῆν ἐδαφισθήσῃ, τοῦτ' ἔστιν, ἔσῃ τις ἐλεεινὴ καὶ κατερριμμένη, καὶ οἷον εἰς γῆν κειμένη. Τοιοῦτος γάρ πως ὁ βίος τῶν ἐν αἰχμαλωσίᾳ καὶ ἀθλιότητι, καὶ σκληρᾷ καὶ ἀφορήτῳ δουλείᾳ. Πάνδεινον οὖν ἄρα τὸ προσκροῦσαι Θεῷ, καὶ τοῦ ἐν ψυχαῖς καταφρονῆσαι κάλλους. Τοὺς γάρτοι λίαν ἀπονενευκότας ἐπὶ τὸ ῥᾴθυμον, παντὸς ἐξίστησι κόσμου Θεὸς, δῆλον δὲ ὅτι τοῦ νοητοῦ, καὶ γυμνοὺς ἀποφήνας ἁπάσης ἀρετῆς παραδίδωσι τοῖς ἐχθροῖς. Οὕτω φαμὲν δεδόσθαι τινὰς εἰς ἀδόκιμον νοῦν, καὶ εἰς πάθη ἀτιμίας. Συνέχοντος μὲν γὰρ ἡμᾶς εἰς ἰσχὺν τὴν πνευματικὴν τοῦ ἐπὶ πάντας Θεοῦ, διασώζομεν ἐν ἑαυτοῖς τὸ λαμπρὸν τῆς ἰδίας φύσεως κάλλος. Ἀφιστάντος δὲ τὴν ἐπικουρίαν, γυμνοὶ δὴ πάντως ἐσόμεθα παντὸς ἀγαθοῦ, καὶ τῶν ἐξ ἀρετῆς αὐχημάτων ἀποβαλόντες τὴν ὡραιότητα, τοῖς τῆς ἀτιμίας πάθεσιν ὑποκεισόμεθα, καὶ δουλεύσομεν ἐχθροῖς.

Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς, λέγουσαι· Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα, πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν.

Διαπεράνας εὖ μάλα τὸν λόγον, ἐπί γε ταῖς Ἰουδαίων γυναιξὶ ταῖς ἐκ τρυφῆς καὶ πλούτου βαδιουμέναις εἰς αἰχμαλωσίαν, πειρᾶται δεικνύειν, ὅτι κένανδροι μὲν αἱ τῆς Ἰουδαίας ἀπομενοῦσι πόλεις, ἔσονται δὲ καὶ ἐν σπάνει πολλῇ τῶν πάλαι μαχιμωτάτων. Ἔφη γὰρ, ὅτι « Πάντες οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται. » Ποία τις οὖν ὧν ἔφην ἡ δεῖξις; εὐφυῶς ἄγαν καὶ ἀστείως ἐσκευασμένη. Νόμου γὰρ δὴ τοῦ διὰ Μωσέως λέγοντος τοῖς υἱοῖς Ἰσραὴλ, « Οὐκ ἔσται ἐν σοὶ ἄγονος οὐδὲ στεῖρα· » ἐν ἐσχάτοις ὀνειδισμοῖς παρὰ τοῖς Ἰουδαίοις λελόγιστο τὸ γυναῖκα μὴ τεκεῖν, ἤγουν

A etiam illis pro odoramento suavi cinis, id est, pro domibus suffitis, profectiones multæ et pulverulentæ, cum in captivitatem abducentur, pedibus adhuc teneris et delicatulis. Nec id solum, sed forma ac specie erunt quam abjectissima, ut zonæ aureæ loco, solo fune circumligentur, patienturque nuditatem capitis, calvitium scilicet, licet quondam aureis capillorum nodis redimitum fuerit. Indumentum etiam dat illis dignum captivis, crassum et vile, quod saccum nominat, idque purpuratæ vestis et lauti amictus vice. Subjungit porro: Et filius tuus pulcherrimus, quem tu diligis, gladio corruet. Est enim id in more his qui regionem capiunt vel urbem, parvulos ab ipsis uberibus et e gremio matris, et sub nutricibus altos infantulos rapere et
B occidere crudeliter, quo ire possint matres eorum non onustæ, nec parvulorum pondere pressæ. Vel ergo sic gladio occasurum ait dilectum 72 ipsarum filium, vel etiam in prælio et hostium manu interfectum. Ploraturas autem dicit arculas ornatus ipsarum, non quasi sensu præditæ sint arculæ, ut plorare possent, sed perinde ac si dixerit quispiam lugere domum, cum nemo in ea habitet. Producit ad hæc et illud : Relinqueris sola, et in terram ad pavimentum prosterneris, id est, misera eris et projecta, et velut humi jacens. Hæc siquidem fere est vita eorum qui captivitate, qui ærumnis, qui aspera et intolerabili servitute premuntur. Est igitur gravissimum, Deum offendere, et animi pul-
C chritudinem parviducere. Qui enim ignaviæ se dedunt et torpori, eos Deus omni ornatu spoliat, scilicet mentis et intellectus, ac omni virtute nudatos tradit hostibus. Ita dicimus aliquos in reprobam mentem et perturbationes ignominiosas traditos esse. Dum enim Deus qui super omnes Deus est, nos robore spirituali continet et coercet, retinemus in nobis splendidum propriæ naturæ decorem. Sin opem suam subtrahat, denudati erimus omnibus bonis virtutibusque, et abjecta pulchritudine, fœdis affectibus succumbemus, ac serviemus hostibus.

Cap. IV. Vers. 1. *Et apprehendent mulieres septem unum virum, dicentes : Panem nostrum edemus, et vestimentis nostris operiemur; tantum-*
D *modo nomen tuum super nos vocetur, aufer dedecus nostrum.*

Pulchre jam conclusa oratione de Judæorum mulieribus, propter luxum et opulentiam in captivitatem venturis, ostendere conatur Judææ urbes viris orbas mansuras, fore etiam multam hominum quondam bellacissimorum inopiam. Nam dixerat : « Omnes prævalentes inter vos gladio corruent. » At quæ tandem est horum quæ dixi demonstratio? Valde opportuna, et scite instituta. Cum enim lex per Mosen dicat filiis Israel : « Non erit in te orba neque sterilis [53], » maximo probro dabatur apud Judæos mulierem non parere, vel in viris haberi

[53] Deut. VII, 14.

qui liberis carerent; statim enim illis effetæ et sterilis macula inusta est. Atqui spiritualis hæc lex erat. Promisit enim universorum Deus Israelem intelligibilem, hoc est, mentem Deum contemplantem, infructuosam non fore nec sterilem, sed fertilem potius, instar eximiæ cujusdam ac fecundæ terræ.

73 Verum hoc Judæi secundum carnem intelligebant. Animales quippe erant, spiritum non habentes. Erit itaque, inquit, tanta per regionem virorum raritas, bello sexum vastante, ut septem mulieres, nempe multæ, uno viro apprehenso dicturæ sint: « Panem nostrum comedemus, et vestibus nostris operiemur, ac nomine tuo vocemur, aufer dedecus nostrum. » Videsne eas orbitatis infamiam extimescere, et orbæ ac sterilis nomen refugere? Accedunt enim non consueta quærentes, et quæ moris est uxores a maritis accipere (sibi enim in hoc satis suppeditaturas fore dicunt), sed petunt tantummodo, quemadmodum dixi, ut tollatur dedecus. Specta vero mihi hujus sermonis profunditatem. Si enim dives fuisset qui rogabatur, neutiquam dixissent mulieres: Panem nostrum edemus, et vestibus nostris operiemur. Sed quoniam norant qui ex bello servati sunt et vix effugerant, ad ultimam recidisse mendicitatem, et in magna versari miseria, omnino nihil quærunt; hoc solum petunt, matres esse liberorum. Et hæc est historica oratio hactenus. Detorquent autem quidam nescio quomodo id quod propositum est ad considerationem spiritualem, non sane satis recte: alioqui enim omni laude digni essent. Siquidem asserunt septem mulieres septem esse spiritus, virum deinde unum Christum. Tum decoro parum observato, septem spiritus aiunt ei dicere: Aufer dedecus nostrum, et panem nostrum edemus, et vestibus nostris operiemur. Quanquam cur potius non dicendum, septem mulieres multas esse animas, quæ et Christum receperunt per fidem, quæ ipsum ut panem et ut vestem salutis quærunt, et ab ipso fructum petunt? Tale enim quid etiam beatus David extulit de omnium Servatore Christo: « Qui habitare facit sterilem in domo matrem propter filios lætantem [84]. » Dicitur vero sterilem parituram septem, id est multa. Variæ sunt namque virtutes, non una, imo multæ, quarum matres sunt animæ quæ amant Deum.

VERS. 2, 3. *Die vero illo splendebit Deus in consilio cum gloria super terram ad exaltandum et glorificandum residuum Israel. Et erit, quod reliquum fuerit in Sion, et quod remanserit in Jerusalem: sancti vocabuntur omnes qui vocati sunt ad vitam in Jerusalem.*

74 Quia ambigunt quidam quonam tempore hæc quæ de Judæorum mulieribus sive de tota eorum regione per vocem prophetæ prædicta sunt evenient, utrum ante vel post Servatoris adventum:

[84] Psal. CXII, 9.

ἄγονον εἶναί τινα τῶν τελούντων ἐν ἀνδράσιν. Εὐθὺς γὰρ αὐτοῖς ὁ τῆς ἀγόνου καὶ στείρας προσετρίβετο μῶμος. Καὶ πνευματικὸς μὲν ὁ νόμος ἦν. Ἐπηγγέλλετο γὰρ ὁ τῶν ὅλων Θεὸς ὅτι ὁ νοητὸς Ἰσραὴλ, τοῦτ' ἔστι, νοῦς ὁρῶν Θεὸν, οὐκ ἄκαρπος ἔσται, οὔτε ἀπεστειρωμένος, ἔγκαρπος δὲ μᾶλλον καὶ γῆ τις ὥσπερ καλὴ καὶ ἐξαίρετος. Πλὴν ἐνόουν Ἰουδαῖοι σαρκικῶς. ψυχικοὶ γὰρ ἦσαν, πνεῦμα μὴ ἔχοντες. Ἔσται τοίνυν, φησὶν, τοσαύτη σπάνις ἀῤῥένων κατὰ τὴν χώραν, δαπανήσαντος τοῦ πολέμου τὸ γένος, ὡς ἑπτὰ γυναῖκας ἤτοι πολλὰς ἑνὸς ἀνδρὸς ἐπιλαμβάνεσθαι καὶ λέγειν· « Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὸ ἱμάτιον ἡμῶν περιβαλούμεθα· πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν. » Ὁρᾷς ὅπως δεδίασι τῆς ἀτεκνίας τὸν ὀνειδισμὸν, καὶ τὸ τῆς ἀγόνου καὶ στείρας παραιτοῦνται ὄνομα λίαν; Προσέρχονται γὰρ οὐ τὰ συνήθη ζητοῦντες, καὶ ὅσα δέχεσθαι γυναιξὶ παρὰ τῶν συνοικούντων ἔθος· ἑαυταῖς γὰρ ἀρκέσειν εἰς τοῦτό φασιν, αἰτοῦσι δὲ μόνον, ὡς ἔφην, τοῦ ὀνειδισμοῦ τὴν ἀφαίρεσιν. Ἄθρει δὴ οὖν τοῦ λόγου τὸ βάθος. Εἰ μὲν γὰρ πλούσιος ἦν ὁ παρακαλούμενος, οὐκ ἂν ἔφασαν αἱ γυναῖκες· Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὸ ἱμάτιον ἡμῶν περιβαλούμεθα. Ἐπειδὴ δὲ ἴσασι τοὺς ἐκ τοῦ πολέμου σεσωσμένους καὶ διαφυγόντας μόλις ἐν ἐσχάτῃ πεσόντας πτωχείᾳ, καὶ πολλὴν ἔχοντας ἀθλιότητα, ζητοῦσι μὲν παρ' αὐτῶν παντελῶς οὐδὲν, αἰτοῦσι δὲ μόνον τὸ τέκνων γενέσθαι μητέρες. Καὶ ὁ μὲν λόγος τῆς ἱστορίας ἐν τούτοις. Ἀποκομίζουσι δὲ τὸ προκείμενον εἰς θεωρίαν πνευματικὴν, οὐκ οἶδ' ὅπως, τινὲς οὐ σφόδρα ποιοῦντες ὀρθῶς· ἢ γὰρ ἂν ἐπαίνου παντὸς ἦσαν ἄξιοι. Φασὶ γὰρ εἶναι ἑπτὰ τὰς γυναῖκας, τὰ ἑπτὰ πνεύματα· ἄνθρωπόν γε μὴν ἕνα τὸν Χριστόν. Εἶτα τοῦ πρέποντος ὀλίγα πεφροντικότες, τὰ ἑπτὰ πνεύματά φασι λέγειν οὕτως· Ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν, καὶ τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα. Καίτοι πῶς οὐκ ἄμεινον εἰπεῖν, τὰς ἑπτὰ γυναῖκας πολλὰς εἶναι ψυχὰς, αἳ καὶ ἐπελάβοντο διὰ πίστεως τοῦ Χριστοῦ, αὐτὸν ὡς ἄρτον ζητοῦσαι καὶ ὡς ἱμάτιον σωτηρίου, καὶ τὸν ἀπ' αὐτοῦ ζητοῦσαι καρπόν. Τοιοῦτον γάρ τι καὶ ὁ μακάριος ἔφη Δαβὶδ περὶ τοῦ πάντων Σωτῆρος Χριστοῦ· « Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ μητέρα τέκνων εὐφραινομένην. » Εἴρηται δὲ καὶ στεῖρα τεκεῖν ἑπτὰ, τοῦτ' ἔστι πολλά. Διάφοροι γὰρ ἀρεταὶ, καὶ οὐ μία μᾶλλον, ἀλλὰ πολλαὶ ὧν εἰσι μητέρες αἱ φιλόθεοι ψυχαί.

Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ. Καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν Σιὼν, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλὴμ· ἅγιοι κληθήσονται πάντες οἱ κληθέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ.

Ἐνδοιαζόντων τινῶν κατὰ ποῖον ἔσται καιρὸν τὰ ἐπί γε ταῖς τῶν Ἰουδαίων γυναιξὶν, ἤτοι πάσης αὐτῶν τῆς χώρας προανηγορευμένα διὰ τῆς τοῦ προφήτου φωνῆς, πότερα πρὸ τῆς τοῦ Σωτῆρος ἐπιδη-

A μίας, ἤγουν μετ' αὐτήν, πεπληροφόρηκεν ἀπλανῶς τῶν προκειμένων ἡ δύναμις, ὡς οὐχ ἕτερον ἡμῖν ὁ προφήτης κατασημαίνει καιρὸν, ἢ ἐκεῖνον αὐτὸν καθ' ὃν τῆς εἰς Χριστὸν δυσσεβείας ἕνεκα. Πεπαρῳνήκασι γὰρ εἰς αὐτὸν οἱ δείλαιοι, καὶ τὴν αὐτοῖς ὅτι μάλιστα πρέπουσαν ἀποτετίκασι δίκην, κυκλουμένης ὑπὸ στρατοπέδων τῆς Ἱερουσαλήμ. Ὅτε καὶ εἰς τοῦτο δειμάτων καταχομισθῆναί φαμεν τῶν Ἰουδαίων τὸν νοῦν, ὡς φάναι τοῖς ὄρεσι· « Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς· Πέσατε ἐφ' ἡμᾶς. » Τῇ τοίνυν, φησὶν, ἡμέρᾳ ἐκείνῃ, τοῦτ' ἔστι, κατ' ἐκεῖνο τοῦ καιροῦ καθ' ὃν εἰς πέρας δραμεῖται τὰ προηγγελμένα, ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ, μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ. Ὁ γὰρ ἐκ Θεοῦ Πατρὸς Λόγος, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· βαθὺ δέ τι καὶ ἀπόῤῥητον B ἐβουλεύσατο περὶ ἡμῶν. Ἐν μορφῇ γὰρ καὶ ἰσότητι Θεοῦ καὶ Πατρὸς ὑπάρχων, γέγονε καθ' ἡμᾶς, καὶ ἐπεφάνη μὲν τοῖς ἐπὶ τῆς γῆς· πλὴν οὐ δίχα δόξης, καὶ εἰ γέγονε σάρξ. Εἰργάσατο γὰρ τὰ θεοπρεπῆ, καὶ σημείων γέγονεν ἀποτελεστὴς, ἃ δὴ καὶ παντὸς ἀξιοῦται καὶ λόγου καὶ θαύματος. Ἐπιλάμψας γὰρ κατηλέησε τὸν Ἰσραὴλ, οὐ γὰρ ἀπόλωλεν εἰσάπαν. Τετήρηται δὲ τὸ κατάλειμμα, ὑψώθη τε καὶ δεδόξασται, καὶ ἐν βίβλῳ γέγραπται ζωῆς διαπρέψαν ἐν ἁγιασμῷ. Ἴδοι δ' ἄν τις ἀληθῆ τῆς προφητείας τὸν λόγον, ὡς ἐν ἀπαρχῇ τῶν σεσωσμένων τοῖς ἁγίοις ἀποστόλοις, οἳ καὶ ὑψώθησαν ἀληθῶς, καὶ τοῖς θείοις χαρίσμασιν ἐκλελαμπρυσμένοι, τὸ ἐν δόξῃ περιφανὲς πεπλουτήκασιν. Ἔλαβον γὰρ ἐξουσίαν κατὰ πνευμάτων C ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά. Τεθεραπεύκασι γὰρ καὶ ἐν ἀῤῥωστίαις ὄντας πολλούς· ἀλλ' ἦσαν καὶ ἐν βίβλῳ γεγραμμένοι ζωῆς. Καὶ γοῦν ἔχαιρον μὲν ὅτι τὰ δαιμόνια ὑπετάσσετο αὐτοῖς, καὶ τοῦτο λέγουσιν ὑπήντα Χριστὸς, καὶ τοῖς ἔτι μείζοσιν ἐπιγάννυσθαι διδάσκων αὐτούς· « Μὴ χαίρετε, » φησὶν, « ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν· χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. » Ὑψώθησαν τοίνυν οἱ ἐξ Ἰσραὴλ, ὡς ἐν μοίρᾳ τῇ τοῦ ἐγκαταλείμματος, περισεσωσμένοι· ἠξίωνται γὰρ τῆς παρὰ Χριστοῦ φιλοτιμίας καὶ χάριτος· υἱοὶ κεχρηματίκασι Θεοῦ· ἀδελφοὶ δὲ αὐτοῦ καὶ φίλοι· κοινωνοὶ τέθεινται τῆς δόξης· ἠξίωνται δὲ καὶ τῆς ἄνωθεν καὶ ἐν οὐρανοῖς ἀπογραφῆς, καὶ πολῖται κεχρηματίκασι τῆς νοητῆς Ἱερουσαλὴμ, τῆς D τῶν ἁγίων μητρὸς, ἧς αὐτὸς ὁ προφήτης Ἡσαΐας διαμέμνηται λέγων· « Οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλὴμ· πόλις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν. »

certo persuadet horum verborum sensus et vis, non aliud nobis tempus denotare prophetam, quam illud ipsum quo, propter impietatem in Christum, miseri in eum deblaterarunt, maximeque se dignam pœnam luerunt, cum obsideretur Jerusalem ab exercitu, quando eum terrorem dicimus Judæorum mentibus injectum, ut montibus dicerent : « Operite nos; et collibus, Obruite nos [55]. » Quare illo, inquit, die, hoc est, sub id temporis quo ad exitum hæc quæ prænuntiata sunt, procurrent, emicabit Deus in consilio cum gloria super terram, ut exaltet et glorificet quod est residuum in Jerusalem. Verbum enim Dei Patris non rapinam duxit æquale esse Deo, altum vero quiddam arcanumque de nobis cogitavit. In forma enim et æqualitate Dei et Patris existens, factum est nostræ conditionis particeps, et nobis in terra agentibus apparuit, at non sine gloria, tametsi caro factum est. Operatum est enim Deo digna, et signa effecit quæ quidem omni oratione et admiratione digna sunt : et postquam apparuit, misertus est Jerusalem. Non enim periit in totum, sed conservatæ sunt reliquiæ, quæ evectæ sunt, et glorificatæ, et sanctitate enitescentes, in libro vitæ inscriptæ. Verum autem esse propheticum sermonem quilibet videre potest, velut in primitiis eorum qui servati fuerunt sanctis apostolis, qui et elati vere sunt, et divinis gratiis illustrati, gloriæ claritate ditati sunt. Acceperunt enim potestatem contra spiritus immundos, ut eos ejicerent, et curarunt multos infirmitatibus affectos, sed et in libro vitæ descripti sunt. Quippe cum gauderent dæmonia sibi subjecta esse, idque dicerent, occurrit illis Christus, et majoribus rebus adhuc lætaturos docet : « Nolite gaudere, » inquit, « quod dæmonia vobis subdita sint, sed gaudete magis quod nomina vestra scripta sint in cœlis [56]. » Sunt ergo evecti Israelitæ, qui tanquam in censu ac sorte harum reliquiarum servati sunt. Etenim digni habiti sunt honore ac gratia a Christo; filii vocati sunt Dei, **75** fratresque ejus et amici, gloriæque ejus socii ac participes : digni etiam habiti sunt ut in cœlesti libro describerentur, et cives nuncupati sunt intelligibilis Jerusalem, quæ est mater sanctorum, cujus ipsemet propheta Isaias meminit dicens : « Oculi tui contemplabuntur Jerusalem civitatem divitem, tentoria quæ non quatientur [57]. »

Ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών· καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν, ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως.

Ἀνανήφει πάλιν ὁ τοῦ προφήτου λόγος, καὶ τὰς ἐσομένας ἔσθ' ὅτε παρά τινων εὑρεσιλογίας περιττὰς ἀποφαίνει, καὶ τῶν τοῦ Θεοῦ κριμάτων κατεξανίστασθαί τισι κατ' οὐδένα τρόπον ἐφιεὶς προαπολογεῖται χρησίμως· ὥσπερ γάρ τινος ἐκεῖνο βοῶντος·

Vers. 4. *Quia eluet Dominus sordes filiorum et filiarum Sion; et sanguinem de medio eorum purgabit, in spiritu judicii et spiritu combustionis.*

Redit ad se rursus prophetæ oratio, et nonnullorum commenta irrita fore ostendit, cumque nullo modo permittat cuiquam divinis resistere judiciis, apologia quadam præmunit utiliter, ac si quispiam illud occlamaret : Extollentur de integro filii Jeru-

[55] Luc. xxiii, 30. [56] Luc. x, 20. [57] Isa. xxxiii, 20.

salem, et ornabuntur gloria, et hoc et in cœlesti libro describi merebuntur, licet impietatem haud mediocriter exercuerint, prophetas occiderint, missos lapidibus obruerint, ipsum demum Christum morti tradiderint, eorumque manus sanguine redundaverint. Quid igitur propheta? « Eluet Dominus, inquit, sordes filiorum et filiarum Sion, et sanguinem expurgabit e medio eorum, in spiritu judicii et spiritu ardoris. » Deliquerunt siquidem citra controversiam, justificavit vero omnes gratia per Christum, ipsorumque interfectorum peccata oblivione sepelivit. Nimirum et divinus Petrus Judaicum populum affatur alicubi dicens: « Vos Sanctum et Justum negastis, et flagitastis homicidam donari vobis [59]. » Alicubi iterum: « Et nunc, fratres, novi quod ex ignorantia fecistis, sicuti et principes vestri. Resipiscite itaque, et baptizetur unusquisque vestrum in nomen Domini Jesu, et accipietis donum sancti Spiritus: vobis enim sunt promissiones et filiis vestris [60]. » Quapropter, inquit, universorum opifex et Dominus, multum misericors, qui mansuetudine et clementia humanæ mentis angustias excedit, qui non vult mortem morientis, quo eum a via sua prava avertat, et vivat: abluet sordes eorum qui peccarunt, et e medio illorum purgabit sanguinem, spiritu judicii et spiritu ardoris. Judicii autem spiritum dicimus, ex judicio recto et justitia latum in nos a Deo calculum. **76** Scilicet ita inquit Servator: « Nunc judicium est sæculi hujus [61]. » Judicio enim contendit cum mundo hoc et cum Satana: et hunc quidem ejecit ut injuria afficientem, illos vero justificavit e mundo per fidem, injuria affectos. Ardoris vero spiritum dicimus, gratiam in sacrosancto baptismo, non absque Spiritu nobis ingeneratam. Baptizati autem et loti sumus, non aqua nuda, sed nec cinere vituli emundati sumus, ad solam carnis purificationem, quemadmodum inquit beatus Paulus [62], sed Spiritu sancto, et igne divino ac intelligibili, qui sordes vitiositatis in nobis deterit et absumit, et peccati inquinationem liquat et excoquit. Hunc Servatoris adventum nobis et alter quoque e sanctis prophetis præsignificavit inquiens: « Quia ecce egredietur quasi ignis fornacis, et quasi herba lotorum, et purgabit conflando quasi argentum et quasi aurum [63]. » De Judæis enim qui inobedientiæ crimini affines permanserunt: « Defecit follis, » inquit, « ab igne; defecit plumbum, in vanum faber argentum conflat: malitiæ eorum liquefactæ sunt; argentum reprobatum vocate eos, quia reprobavit eos Dominus [64]. » In nobis autem qui credidimus, non in irritum laboravit faber argentarius, neque defecit follis ab igne, nec plumbum; purgati enim sumus in spiritu judicii et in spiritu ardoris. Quod si quis velit dicere purgationem in spiritu judicii et spiritu combustionis in Judaico populo factam esse per calamitates bellicas, et per ea quæ passi sunt (purgant enim et emundant punitiones,

A Ὑψωθήσονται πάλιν οἱ υἱοὶ Ἰσραήλ· δοξασθήσονται δὲ, καὶ τὴν ἄνω κερδανοῦσιν ἀπογραφὴν, καίτοι δεδυσσεβήκασιν οὐ μετρίως, ἀπεκτόνασι τοὺς προφήτας, ἐλιθοβόλησαν τοὺς ἀπεσταλμένους, καὶ αὐτὸν δὲ τελευτῶντες προσέθεσαν τὸν Χριστὸν, καὶ γεγόνασιν αὐτῶν αἱ χεῖρες αἵματος πλήρεις. Τί οὖν ὁ προφήτης; « Ἐκπλυνεῖ, » φησὶ, « Κύριος τὸν ῥύπον τῶν υἱῶν, καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν, ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως. » Πεπλημμελήκασι μὲν γὰρ ὁμολογουμένως· ἐδικαίου δὲ πάντας ἡ χάρις ἡ διὰ Χριστοῦ, καὶ αὐτοῖς δὲ τοῖς πεφονευκόσιν ἐχαρίζετο τὴν ἀμνηστίαν. Καὶ γοῦν ὁ θεσπέσιος Πέτρος τοῖς Ἰουδαίων δήμοις προσεφώνει λέγων, ποτὲ μὲν, ὅτι « Ὑμεῖς δὲ τὸν Ἅγιον καὶ Δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσατε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν. » Ποτὲ δὲ πάλιν·
B « Καὶ νῦν, ἀδελφοὶ, οἶδα, κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. Μετανοήσατε οὖν, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος· ὑμῖν γάρ εἰσιν αἱ ἐπαγγελίαι καὶ τοῖς τέκνοις ὑμῶν. » Ὁ τοίνυν, φησὶν, ὁ τῶν ὅλων δημιουργὸς καὶ Κύριος, ὁ πολὺς εἰς ἔλεος, ὁ νικῶν ἡμερότητι τὰς ἀνθρωπίνας μικροψυχίας· ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν. Ἐκπλυνεῖ τὸν ῥύπον τῶν ἡμαρτηκότων, ἐκκαθαριεῖ δὲ καὶ τὸ αἷμα ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως. Καὶ τὸ μὲν τῆς κρίσεως πνεῦμά φαμεν, τὴν μετὰ κρίσεως ὀρθῆς, ἤτοι δικαιοσύνης, ἐξενεχθεῖ-
C σαν ἐφ' ἡμῖν παρὰ Θεοῦ ψῆφον. Οὕτω γάρ πού φησιν ὁ Σωτήρ· « Νῦν κρίσις ἐστὶ τοῦ αἰῶνος τούτου. » Ἐδίκασε γὰρ τῷ αἰῶνι τούτῳ καὶ τῷ Σατανᾷ· καὶ τὸν μὲν ἐκβέβληκεν ὡς ἠδικηκότα· δεδικαίωκε δὲ τοὺς ἐν τῷ κόσμῳ διὰ τῆς πίστεως ὡς ἠδικημένους. Καύσεως δὲ πνεῦμά φαμεν τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι χάριν, οὐ δίχα Πνεύματος ἐν ἡμῖν γινομένην. Βεβαπτίσμεθα μὲν γὰρ οὐκ ἐν ὕδατι γυμνῷ, ἀλλ' οὐδὲ σποδῷ δαμάλεως, ἐῤῥαντίσμεθα δὲ πρὸς μόνην τὴν τῆς σαρκὸς καθαρότητα, καθά φησιν ὁ μακάριος Παῦλος, ἀλλ' ἐν Πνεύματι ἁγίῳ, καὶ πυρὶ τῷ θείῳ καὶ νοητῷ, τοὺς τῆς ἐν ἡμῖν φαυλότητος δαπανῶντι ῥύπους, καὶ τὸν ἐκ τῆς ἁμαρτίας ἐκτήκοντι μολυσμόν. Τοιαύτην ἡμῖν τοῦ Σωτῆρος τὴν ἄφιξιν καὶ ἕτερος
D τῶν ἁγίων προφητῶν προκαταμεμήνυκε λέγων· « Ὅτι ἰδοὺ αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων, καὶ καθιεῖται χωνεύων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον. » Περὶ μὲν γὰρ τῶν Ἰουδαίων, οἳ καὶ τοῖς τῆς ἀπειθείας ἐγκλήμασιν ἔνοχοι μεμενήκασιν· « Ἐξέλιπε, » φησὶ, « φυσητὴρ ἀπὸ πυρὸς, ἐξέλιπε μόλιβδος, εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ. Πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν· ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς Κύριος. » Ἐφ' ἡμῖν δὲ τοῖς πεπιστευκόσιν, οὐκ εἰς κενὸν κεκοπίακεν ἀργυροκόπος, οὔτε μὴν ἐξέλιπε φυσητὴρ ἀπὸ πυρὸς ἢ μόλιβδος, κεκαθάρμεθα γὰρ ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως. Εἰ δὲ δὴ

[59] Act. III, 14. [60] ibid., 17 seqq. [61] Joan. XII, 31. [62] Hebr. IX, 13, 14. [63] Malach. III, 2, 3. [64] Jerem. VI, 29.

βούλοιτό τις τὴν ἐν πνεύματι καύσεως ἀποκάθαρσιν A γεγενῆσθαι λέγειν ἐπὶ τοῖς Ἰουδαίων δήμοις, διὰ τῆς ἐκ τοῦ πολέμου συμφορᾶς καὶ ὧν ὑπομεμενήκασιν (ἀποκαθαίρουσι μὲν γὰρ αἱ κολάσεις, καὶ ἀπαλλάττει ἔσθ' ὅτε πολλῶν πλημμελημάτων τὸ ὑποσχεῖν τὰς δίκας τῷ πάντων κριτῇ)· φορέσει καὶ οὕτω τὸ ἀληθὲς ὁ λόγος.

Καὶ ἥξει, καὶ ἔσται, πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ πάντα τὰ περικύκλῳ αὐτῆς, σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ, καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτὸς, πάσῃ τῇ δόξῃ σκεπασθήσεται. Καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ.

Περὶ τίνος ἄρα τὸ, Ἥξει, φησί; Πότερα τοῦ καιροῦ, καθ' ὃν ἔσται ταῦτα, ἢ περὶ τοῦ καθέντος ἑαυτὸν εἰς κένωσιν, καὶ καταβάντος ἐξ οὐρανοῦ ἵνα τὸ ἀνθρώπινον διασώσῃ γένος; B Ἁρμόσει τοίνυν ὁ λόγος, κἂν εἴ τέ τις λέγοι περὶ τοῦ καιροῦ τῆς ἐπιδημίας εἰρῆσθαι ταυτί· κἂν εἴτ' οὖν ἐπ' αὐτοῦ βούλοιτο τοῦ Χριστοῦ. Ἀφικόμενος γὰρ τοὺς τῆς νοητῆς Σιὼν υἱοὺς καὶ τῆς ἐλευθέρας Ἱερουσαλὴμ τῆς παρ' ἑαυτοῦ χάριτος στεφανῶν ἀπέφηνε μακαρίους, καὶ οἷόν τις αὐτοῖς γέγονε σκεπαστὴς, μονονουχὶ τὴν ἀρχαίαν ἐκείνην ἐπαρτήσας νεφέλην τὴν πάλαι κατασκιάζουσαν ἐν τῇ ἐρήμῳ τὸν Ἰσραήλ· ταύτῃ τοί φησι· Καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ τὰ πάντα τὰ περὶ κύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας. Ἵνα γὰρ τοῦ παρόντος βίου τὸν καύσωνα, καὶ τὰς ἐκ τῶν πειρασμῶν δοκιμασίας ἤγουν πυρώσεις διαδιδράσκοιεν οἱ τὴν νοητὴν οἰκοῦντες Σιὼν, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν, νεφέλης δίκην μονονουχὶ καὶ ἐπικρεμάμενος σκεπαστὴς ἔσται, φησὶν, ὁ Χριστός· ὁ αὐτὸς δὲ πάλιν C τὸν ἐκ τῆς ἀμαθίας καὶ διαβολικῆς σκαιότητος ἀποσοβεῖ σκότον, ἐπιλάμπων εἰς νοῦν, ὡς φῶς ἐν σκότῳ, καὶ ὡς πυρὸς αὐγή. Γέγραπται δὲ περὶ τῶν υἱῶν Ἰσραὴλ, ὅτι Ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός. Ἀλλὰ τύποι μὲν ἐκεῖνα, καὶ τῶν νοητῶν εἰκόνες· ἀλήθεια δὲ τὰ διὰ Χριστοῦ. Καὶ γάρ ἐστιν αὐτὸς ἡ ἀλήθεια. Οὗ τῆς ἐπικουρίας ἠξιωμένοι, πάντῃ τε καὶ πάντως ἔσονται, φησὶν, ὡς εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ. Σκληρότητι δὲ καὶ ὑετοῖς παρεικάζει πάλιν τὴν τῶν πειρασμῶν φαιδρότητα καὶ ἀκμαιοτάτην προσβολήν. Οὕτω γάρ πού φησιν ὁ Χριστός· « Πᾶς οὖν ὅστις ἀκούῃ λόγους τούτους καὶ ποιῇ αὐτοὺς, ὁμοιωθήσεται D ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι· καὶ προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν· τεθεμελίωτο γὰρ ἐπὶ πέτραν. » Προστιθεὶς δὲ, ὅτι πάσῃ τῇ δόξῃ σκεπασθήσεται, δίδωσι νοεῖν, ὡς οὐ μερική τις ἔσται παρὰ Χριστοῦ τοῖς πεπιστευκόσιν εἰς αὐτὸν ἡ χάρις, ἀλλ' ἐν ὁλοκλήρῳ προθυμίᾳ τῆς ἐπ' αὐτοῖς ἔσται φειδοῦς. Ἔσονται δὲ ἐν περιβολῇ καὶ σκηνῇ τοῦ σώζειν ἰσχύοντος, καὶ παντὸς ἔξω τιθέντος κακοῦ.

Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ τῷ ἀμπελῶνί μου.

Ὅρος ὥσπερ τις καὶ προγραφὴ τῶν εἰρῆσθαι μελ-

[64] Matth. VII, 24, 25.

et omnium judici dare pœnas, interdum a multis delictis liberat), a vero ne sic quidem aberrabit oratio.

VERS. 5, 6. *Et veniet, et erit omnis locus montis Sion, et omnia quæ in circuitu ejus sunt, obumbrabit nubes interdiu, noctu vero instar fumi et instar splendoris ignis incensi, omni gloria obtegetur, et erit loco umbræ ab æstu, et loco tegumenti, et absconditionis a sævitia et pluvia.*

De quo igitur dicit, Veniet? Num de tempore quo hæc futura sunt, an de eo qui se ad exinanitionem demisit, et de cœlis descendit ut genus humanum servaret? Quadrabit ergo oratio, sive hæc quis de adventus tempore extulerit, sive malit de ipso **77** Christo enuntiari. Nam cum is venit, Sionis sub intelligentiam cadentis et liberæ Jerusalem filios, sua coronans gratia, felices reddidit, et veluti protector quispiam illis exstitit, tantum non veterem illam nubem repræsentans, quæ olim in deserto obumbravit Israelem; hinc dicit: Et veniet, et erit omnis locus montis Sion, et omnia quæ in circuitu ejus sunt, obumbrabit nubes die. Ut enim vitæ hujus æstum et probationes quæ ex tentationibus proficiscuntur, atque ustiones fugiant hi qui Sion intelligibilem habitant, id est Ecclesiam, nobis instar propemodum, impendebit, inquit, et protector erit Christus, ipse ignorationis et diabolicæ nequitiæ dispellet tenebras, illucescens menti, tanquam lux in caligine, et tanquam ignis coruscatio. Scriptum quoque est de filiis Israel, In nube divina eos deduxit, et in splendore ignis per totam noctem. Verum hæc typi fuerunt, et rerum verarum simulacra: veritas autem per Christum. Est enim ipse veritas Itaque qui opitulatione digni sunt habiti, ubique et undique erunt, inquit, in umbraculo ab æstu et in tegumento, et in occulto ab asperitate et pluvia. Rursus tentationum vehementiam et acerrimum assultum comparat asperitati et pluviis. Sic enim quodammodo inquit Christus: « Omnis igitur quicunque audit sermones meos, et perficit illos, assimilabitur viro prudenti, qui ædificavit domum suam super petram; et descendit imber, et venerunt flumina, et flaverunt venti, et incubuerunt in domum illam, nec cecidit. Fundata est enim super rupem [64]. » Cum vero adjicit, Omni gloria obtegetur, innuit non particularem aliquam fore gratiam Christi iis qui in eum crediderunt, sed omnem in universum honorem ac thesaurum misericordiæ illis tribuendum. Erunt autem sub operculo et velamento ejus qui servare potest, et qui extra omne malum collocat.

CAP. V. VERS. 1. *Cantabo nunc dilecto canticum dilecti vineæ meæ.*

Primus versus propositæ sententiæ veluti defini-

tio quædam est seu limes, et dicendorum præscriptio. Quid enim acturus sit propheta, subinnuit dicens: Cantabo dilecto meo: id est, Christo. Sic enim nobis eum et Deus et Pater nominavit, cum dicit: « Hic est Filius meus dilectus, in quo conquievi [65]. » Nunquid ergo, o propheta, **78** tuam vocem audiemus? et ex tuis solis cogitationibus verba effluunt? At specta quorsum odæ scopus, et quid eloquatur. Etsi, inquit, per me habeatur sermo hic, non est meus, sed est dilecti. Confectus est autem de dilecto vineæ meæ: seu, ut alii interpretes dicunt, de vinea ejus. Sin autem de vinea mea dixerit, non hæc loquitur, quod ipsius esset vinea, sed quod ipse unus sit eorum qui in vinea recensentur. Invenerimus etenim prophetas etiam de populo Dei ejusmodi interdum vocibus uti. Exempli causa, propheta Jeremias: « Quis dabit mihi in solitudine tugurium ultimum, et deseram populum meum, et discedam ab illis [66]? » Quasi enim unus sit e populo, populum suum dicit, sanguine nimirum et genere propinquos. Cantat itaque propheta dilecto; dictum autem est carmen de vinea dilecta, id est, Israelis. Scriptum enim est: « Vinea Domini Sabaoth homo Juda, plantula dilecta [67]. » Quid autem hujus carminis tenor velit ostendere, ex insequentibus intelligemus.

Vers. 2. ***Vinea facta est dilecto, in cornu, in loco opimo. Et sepem circumdedi, et obvallavi, et plantavi vitem Sorec, et ædificavi turrim in medio ejus, et torcular fodi in ea, et exspectavi ut ferret uvas, ac protulit spinas.***

Israele cum vinea collato, persistit in ea metaphora per totam orationem. « Erat igitur vinea, » inquit, « dilecto, in cornu, in loco opimo. » Aiunt nonnullis interpretum satis videri, si dicant: In loco opimo, quasi cornu nobis aliud quiddam designaret. Nonnullis autem placet in cornu intelligere, quasi Dei virtute et potentia. Nam accepit Israel terram promissionis hæreditariam, divina ope his victis qui olim eam inhabitarunt. Quocirca alloquitur ipsum in quadragesimo tertio psalmo: « In te inimicos nostros cornu ventilabimus, et in nomine tuo spernemus insurgentes contra nos [68]. » Sumitur porro cornu in divina Scriptura pro fortitudine et potentia, et gloria regia. Licet igitur audire beatum David, interdum dicentem veluti in persona justi cujusvis: « Evehetur instar unicornis cornu meum [69]; » interdum etiam de Christo: « Cornu ejus attolletur in gloria [70]. » Splendidissimum quippe **79** est regnum Christi. Opimam vero esse terram promissionis, attestatur Scriptura sacra. Ubique enim eam vocat terram fluentem lacte et melle. Confirmat deinde hoc divinus Psaltes, psallens et loquens de Israele: « Vitem ex Ægypto transtulisti, ejecisti gentes, et plantasti eam [71]. »

A λόντων ὁ πρῶτος ἂν εἴη τοῦ προκειμένου στίχος. Τί γὰρ βούλεται δρᾷν ὁ προφήτης ὑποσημαίνει, λέγων· Ἄσω δὴ τῷ ἠγαπημένῳ· τοῦτ' ἔστι Χριστῷ. Οὕτω γὰρ ἡμῖν αὐτὸν καὶ ὁ Θεὸς καὶ Πατὴρ ὠνόμαζε λέγων· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. » Ἆρ' οὖν, ὦ προφῆτα, τῆς σῆς ἀκουσώμεθα φωνῆς; καὶ ὡς ἐκ μόνων τῶν σῶν ἐννοιῶν ἀναδύουσιν οἱ λόγοι; βλέπε δὲ ὅποι φρέσον τῆς ᾠδῆς ὁ σκοπός. Οὐκοῦν εἰ καὶ δι' ἐμοῦ, φησὶν, ἀλλ' οὐκ ἐμός ὁ λόγος, ἀλλ' ἔστι τοῦ ἀγαπητοῦ· πεποίηται δὲ ἐπὶ τῷ ἀγαπητῷ ἀμπελῶνί μου· ἢ, καθά φασιν οἱ ἕτεροι τῶν ἑρμηνευτῶν, τῷ ἀμπελῶνι αὐτοῦ. Εἰ δὲ δὴ καὶ λέγοι ἐπὶ τῷ ἀμπελῶνί μου, οὐχ ὡς αὐτοῦ τυχὸν τοῦ ἀμπελῶνος ὄντος τὰ τοιάδε φησὶν, ἀλλ' ὡς ὑπάρχων εἷς τῶν τελούντων εἰς τὸν ἀμπελῶνα. Εὑρήσομεν γὰρ B τοὺς προφήτας, καὶ ἐπὶ τοῦ λαοῦ τοῦ Θεοῦ ταῖς τοιαύταις ἔσθ' ὅτε κεχρημένους φωναῖς. Οἷον ὁ προφήτης Ἱερεμίας· « Τίς δώσει μοι ἐν τῇ ἐρήμῳ σταθμὸν ἔσχατον, καὶ καταλείψω τὸν λαόν μου, καὶ ἀπελεύσομαι ἀπ' αὐτῶν; » Ὡς γὰρ εἷς ὑπάρχων τοῦ λαοῦ, λαὸν ἑαυτοῦ φησι τοὺς καθ' αἷμά τε καὶ γένος οἰκείους. Ἄδει τοίνυν ὁ προφήτης τῷ ἠγαπημένῳ, καὶ ἔστιν αὐτοῦ τὸ ᾆσμα εἰρημένον ἐπὶ τῷ ἀμπελῶνι τῷ ἀγαπητῷ, τοῦτ' ἔστι, τοῦ Ἰσραήλ. Γέγραπται γὰρ, ὅτι « Ἀμπελὼν Κυρίου Σαβαὼθ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. »

Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι. Καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον Σωρὴκ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον C *ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας.*

Ἀμπελῶνι παρεικάσας τὸν Ἰσραὴλ, ἐπιμένει δι' ὅλου τῇ τοῦ λόγου μεταφορᾷ· « Γέγονε τοίνυν, » φησὶν, « ἀμπελὼν τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι. » Φασὶ τοὺς ἑτέρους τῶν ἑρμηνευτῶν ἀρκεσθῆναι τὸ εἰπεῖν ἐν τόπῳ πίονι, ὡς τοῦ κέρατος ἡμῖν οὐδὲν ἕτερον, ἢ τοῦτο αὐτὸ σημαίνοντος. Δοκεῖ δέ τισιν τὸ ὡς ἐν κέρατι νοεῖν, ὡς ἐν δυνάμει Θεοῦ. Κεκληρονόμηκε γὰρ ὁ Ἰσραὴλ τῆς ἐπαγγελίας τὴν γῆν, τοὺς πάλαι κατῳκηκότας ἐν αὐτῇ νικήσας διὰ Θεοῦ. Τοιγάρτοι φησὶ πρὸς αὐτὸν, ἐν τεσσαρακοστῷ τρίτῳ ψαλμῷ· « Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. » Λαμβάνεται δὲ τὸ κέρας παρὰ τῇ θείᾳ D Γραφῇ, εἰς ἰσχὺν καὶ εἰς δύναμιν, καὶ εἰς δόξαν τὴν βασιλικήν. Ἔστι γοῦν ἀκοῦσαι τοῦ μακαρίου Δαβὶδ ποτὲ μὲν λέγοντος, ὡς ἐκ προσώπου δικαίου παντός· « Ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου· » ποτὲ δὲ πάλιν περὶ Χριστοῦ· « Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. » Περιφανεστάτη γὰρ ἡ βασιλεία Χριστοῦ. Ὅτι δὲ πίων τῆς ἐπαγγελίας ἡ γῆ, μεμαρτύρηκε τὸ Γράμμα τὸ ἱερόν. Πανταχῆ γὰρ αὐτὴν ὀνομάζει γῆν ῥέουσαν γάλα καὶ μέλι. Προσεμπεδοῖ δὲ τὸν λόγον καὶ ὁ θεσπέσιος Μελῳδὸς ψάλλων τε καὶ λέγων περὶ τοῦ Ἰσραήλ· « Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας,

[65] Matth. III, 17. [66] Jerem. IX, 2. [67] Isa. V, 7. [68] Psal. XLIII, 6. [69] Psal. XCI, 11. [70] Psal. CXI, 9. [71] Psal. LXXIX, 9.

ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. » Ὁρᾷς τὸ A ἐν κέρατι, τὸ ὡς ἐν δυνάμει Θεοῦ σημαῖνον ἐν τούτοις; Καταπεφύτευται γὰρ ἐκβεβλημένων ἐθνῶν. Εἰρῆσθαι δὲ καὶ ἑτέροις τὸ ἐν κέρατι δοκεῖ, ὡς ἐν ὑψηλῷ τε καὶ ἐπηρμένῳ χωρίῳ· τοιαύτη γὰρ ἡ Σιὼν ἐν ὄρει κειμένη. Καταφυτεύσας δὴ οὖν τὸν ἀμπελῶνα, φησὶ, καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ κατεφύτευσα ἄμπελον Σωρήχ. Περιεδέδετο δὲ καθάπερ τινὶ φραγμῷ, καὶ ἀγγελικαῖς δυνάμεσι, καὶ ταῖς ἄνωθεν ἐπικουρίαις ὁ Ἰσραήλ. Ἐχαρακώθη δὲ πρὸς τούτῳ. Καὶ τί δὴ τοῦτό ἐστιν; Οἱ τῆς τῶν ἀμπελώνων γεωργίας ἐπιστήμονες δόνακας ἑκάστῃ παραπηγοῦντες εὐτέχνως, αἴρουσί τε αὐτὰς ὑψοῦ, καὶ ἀναδεσμοῦσι τῆς γῆς. Σῶος γὰρ οὕτως ὁ ἐξ αὐτῶν καὶ ἀδιαλώβητος ἔσται καρπός. Τοιοῦτόν τι πέπραχε καὶ ὁ τῶν ὅλων Θεὸς, νόμῳ τῷ διὰ Μωσέως μονονουχὶ B χαρακώσας τὸν ἀμπελῶνα τὸν νοητὸν, ἵνα μὴ εἰς γῆν ἐῤῥιμμένος, καὶ μόνα φρονῶν τὰ σαρκὸς καταφθείρηται πολυτρόπως, δύναιτο δὲ καὶ τὸ ἄνω φρονεῖν. Ἀποφέρει γὰρ τῶν γηΐνων ὁ τοῦ Θεοῦ νόμος, οἷον ἀνέχων ὑψοῦ τῶν παιδαγωγουμένων τὸν νοῦν. Ὅτι δὲ καὶ εὐγενὴς ὁ ἀμπελὼν, διατρανοῖ λέγων, οὐχ ἁπλῶς τὴν τυχοῦσαν ἄμπελον ἐν τῷ πίονι πεφυτεῦσθαι τόπῳ, ἀλλὰ γὰρ Σωρὴχ, τοῦτ' ἔστιν, ἐκλεκτήν. Ἑβραίοις δὲ δοκεῖ, καὶ εἶδος ἀμπέλου, ἤτ' οὖν ὄνομα καλῆς καὶ εὐφορωτάτης διὰ τοῦ Σωρὴχ σημαίνεσθαι. « Ὠκοδόμησα δὲ, φησὶ, καὶ πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ. » Ἐγήγερται γὰρ ἐν τοῖς Ἱεροσολύμοις ὁ διαβόητος ἐκεῖνος νεὼς, οἷόν τις πύργος καὶ ἐνδιαίτημα Θεοῦ, καὶ μὴν ὤρυκται καὶ C προλήνιον. Τέθειται δὲ θυσιαστήριον ἐν αὐτῷ, καὶ κορβὰν, ὅ ἐστι γαζοφυλάκιον, ἐν ᾧ πᾶσα δωροφορία τῶν προσιόντων συνεκομίζετο. Ἐπειδὴ δὲ τὸν ἀμπελῶνα, φησὶν, εὖ ἔχοντα διὰ πάντων ἀπέφηνα, προσεδόκησα τοῦ ποιῆσαι σταφυλήν. Ὠόμην γὰρ, ᾠόμην, οὐχ ἕτερόν τι ποιήσειν αὐτὸν, ἢ τὸν εὐγενῆ τῆς ἀμπέλου καρπόν· ἐποίησε δὲ ἀκάνθας. Οὐκοῦν ἡμάρτηκε τῆς ἐλπίδος, ἐψεύσατο δὲ, καὶ ἀκάνθας τέτοχεν ἀντὶ βοτρύων ὁ Ἰσραήλ. Οὐ γάρ τοι γέγονε νομοφύλαξ, οὐδὲ τοῖς τῆς ἐπιεικείας κατεκαλλύνθη καρποῖς, ἀλλ' ἐξώκειλεν ἀλλοτρόπως, καὶ πεποίηκεν ἀκάνθας, τοῦτ' ἔστιν, ἔργα πυρὸς, ἤγουν ὅσα πλήττει τοὺς ἐπαφωμένους καὶ προσεγγίζοντας. Λυπεῖ δὲ Θεὸν ἥπερ ἂν γένοιτο παρ' ἡμῶν ἁμαρτία, καὶ ὅπερ ἐστὶ παρ' ἡμῖν ἡ ἄκανθα, τοῦτο καὶ παρ' αὐτῷ φαυλότητος D τρόπος. Ἀλλ' ὡς ὁ μακάριος γράφει Παῦλος· « Γῆ μὲν ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ Θεοῦ. Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους ἀδόκιμος, καὶ κατάρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν. »

Καὶ νῦν, ὁ ἄνθρωπος τοῦ Ἰούδα, καὶ οἱ ἐνοικοῦντες Ἱερουσαλὴμ, κρίνατε ἐν ἐμοὶ, καὶ ἀναμέσον τοῦ ἀμπελῶνός μου. Τί ποιήσω τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; Διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας.

Πειρᾶται δεικνύειν ἀπροφάσιστον παντελῶς τῶν Ἰουδαίων τὸ ῥᾴθυμον καὶ πρός γε τούτῳ τὴν εἴς γε

A Viden' illud, in cornu, potentiam Dei in his verbis significare? Est enim plantata ejectis gentibus. Cæterum videtur aliis in cornu dici, tanquam in edito et excelso loco: talis enim est Sion, in monte posita. Plantavi igitur, inquit, vineam, et sepem circumdedi et circumvallavi, et plantavi vitem Sorec lectissimam. Circumdabatur enim Israel veluti quodam sepimento tum angelorum virtute, tum supernis præsidiis obvallabatur. Et quid hoc est? Qui culturæ vinearum periti sunt, palos cuique scienter apponunt, et in altum tollunt, et in terra figunt. Sic enim earum fructus erit salvus et incolumis. Tale quiddam etiam fecit universorum Deus, lege Mosaica prope obvallans vineam intelligibilem, ne in terra projecta, et solum quæ carnis sunt resi- B piens, multis modis periret, utque quæ supra sunt posset sapere. Abducit enim a terrenis Dei lex, sublevans videlicet in sublime mentem eorum qui instituuntur. Quod autem et generosa vinea sit, explicat cum ait, non simpliciter quamvis vitem in opimo loco plantatam, sed Sorec, id est electam. Hebræis autem videtur species et nomen pulchræ et feracissimæ vitis per Sorec declarari et exprimi. « Ædificavi, inquit, et turrim in medio ejus, et torcular fodi in ea. » Erigebatur nempe Hierosolymis celebratissimum illud templum, tanquam turris quædam et hospitium Dei: quin et fodiebatur torcular, et arca in illa ponebatur et corban, quod est gazophylacium, seu thesauri custodia, in quam omnis oblatio advenientium conjiciebatur. Cum autem, C inquit, eam omnibus rebus instruxissem, exspectabam ut uvam proferret. Putabam enim, inquit, putabam eam non aliud quam vitis fructum nobilem ac generosum esse redditaram; at protulit spinas. Itaque spes frustrata est, et fefellit Israel, et vice botrorum peperit spinas. Nec enim legem observavit, nec probitatis fructibus ornatus **80** est, sed pluribus modis impegit, et spinas tulit, id est, opera ignis, aut quæcunque eos qui attrectent, et prope accedunt, consauciant. Offendit autem Deum quod a nobis fit peccatum; et quod nobis est spina, id etiam est illi vitiositas. Sed ut beatus Paulus scribit: « Terra quæ sæpe imbrem in se venientem combibit, et herbam gignit accommodam illis a quibus coli- D tur, accipit benedictionem a Deo; at quæ spinas profert et tribulos, reproba est, et maledictioni proxima, cujus finis in combustionem [72]. »

VERS. 3, 4. *Et nunc, homo Juda, et qui incolitis Hierusalem, judicate inter me et inter vineam meam. Quid faciam ultra vineæ meæ quod non fecerim ei? Quoniam exspectavi ut ferret uvas, sed tulit spinas.*

Demonstrare conatur inexcusabilem omnino Judæorum ignaviam, et adversus legem impudentiam.

[72] Hebr. vi, 7, 8.

Cum enim præclaram et laudatam legitimæ vitæ et Christianæ institutionis viam inire potuissent, ipsi obliquam et deviam coluerunt : et fructificandi neglectu, infructuosa velut terra facti sunt, quæ altrix est, et nutrix non mitium fructuum, sed quæ agrestis est potius spinosa et silvestris. Prodeant igitur, inquit, qui inter vos sunt sapientes, judicent inter me vineæ dominum et ipsas vites. Quid igitur boni illis defuit ut inutiles fierent? Si enim rerum ad usum necessariarum quippiam a me qui plantaveram, forte prætermissum fuerit, causæ nihil dicam, nec pœnas exigam. Quid enim facerem, inquit, quod non ei fecerim? Cum vero rebus eam utilibus plenam nulliusque rei indigam fecerim, spinas tamen peperit, licet exspectarem ut eam pulchris fructibus ornatam viderem : quæ tandem a judice feretur sententia? Num igitur inertem, num desidiosum agricolam dicet? an potius illos accusabit qui tanta sollicitudine curati a me, adeo fertilitatem suam neglexerunt, ut inanem silvam ac turbam spinarum pro racemis pepererint? Quod autem de spina sensibili sermonem non habeat, nec de racemis aut uva, cuivis perspicuum est. Si vero vinea sit sub intelligentiam cadens, tales omnino sunt et fructus.

31 VERS. 5, 6. *Nunc autem annuntiabo vobis quid faciam vineæ meæ : auferam sepem ejus, et erit direptioni, et diruam murum ejus, et erit conculcationi. Et dimittam vineam meam, et non putabitur, neque fodietur : et ascendent in eam velut in terram incultam spinæ. Et mandabo nubibus, ne pluant super eam imbrem.*

Non caret, ut mihi videtur, admiratione istius orationis forma : etenim ipsa, tacentibus etiam his qui ad ferendam sententiam inter ipsum et vineam asciti erant, pœnam decidit deinceps, et quibus item hæc eventura sunt, diserte prænuntiat. Cum enim nihil ei deesset eorum quæ ipsis utilia sunt, sua sponte sterilis permansit. Oportebat igitur ut qui ad tantam perversitatem devenissent, manu et cura et auxilio Domini in posterum privarentur. Proin, inquit, auferam sepem ipsius, et erit direptioni, et auferam maceriam ejus, et erit in conculcationem. Vinea siquidem quæ sepimento et muro caret, patebit omnino quibusvis diripere volentibus, ceu convivium omnibus expositissimum, et ceu trita semita iter facientibus, nemine prohibente. Nam Christo nos obmuniente, et arcanis quibusdam adminiculis ceu maceria tantum non cingente, obvii et expositi non erimus, neque immundorum spirituum incursioni, nec direptioni ferarum agrestium objecti, nec ludus et deliciæ vulpibus, de quibus in Cantico canticorum scriptum est : « Comprehendite nobis vulpeculas parvas destruentes vineas [73]. » Dicuntur etiam nonnulli

[73] Cant. II, 15.

A τὸν νόμον ἀναισχυντίαν. Μετὸν γὰρ αὐτοῖς καὶ μάλα ῥᾳδίως τὴν εὐκλεᾶ καὶ εὐδόκιμον τῆς ἐν νόμῳ ζωῆς, ἤγουν τῆς ἐν Χριστῷ πολιτείας, ἰέναι, τρίβον, αὐτοὶ τετιμήκασι τὴν διεστραμμένην. Καὶ μὴν τὸ δύνασθαι καρποφορεῖν ἀφέντες ὡς ἔωλον, γῆ τις ὥσπερ γεγόνασιν οὐ καρπῶν ἡμέρων τροφή· ἀγρία δὲ μᾶλλον καὶ ἀκανθοτόκος καὶ ὑλομανής. Ἠκέτωσαν τοίνυν, φησὶν, οἱ ἐν ὑμῖν σοφοὶ, δικαζέτωσαν ἐν ἐμοὶ τῷ τοῦ ἀμπελῶνος δεσπότῃ, καὶ αὐταῖς δὲ ταῖς ἀμπέλοις. Τίνος δὴ οὖν ἄρα τῶν ἀγαθῶν ἐλλελοιπότων αὐταῖς ἀχρεῖοι γεγόνασιν; Εἰ μὲν γάρ τι τῶν ἀναγκαίων εἰς ὄνησιν παρῶπται τυχὸν ἐμοὶ τῷ πεφυτευκότι, διελεγχέτω τις καὶ πεπαύσομαι. Ἀποστήσω αἰτίας, καὶ οὐκ αἰτήσω δίκας. Τί γὰρ ποιήσω, φησὶν, ὃ μὴ πεποίηκα αὐτῷ; Ἐπειδὴ δὲ τῶν χρησίμων πλήρη τε B ἀπέφηνα καὶ οὐδενὸς ἐπιδεᾶ, εἶτα γέγονεν ἀκανθοτόκος, καίτοι προσδοκῶντος ἐμοῦ καρποῖς ὡραίοις κομῶντα βλέπειν. Ποία τις ἔσται λοιπὸν ἡ παρὰ τοῦ δικάζοντος ψῆφος; Ἆρα γὰρ ἀτημελῆ καὶ ῥᾴθυμον ὀνομάσει τὸν γηπόνον, ἢ μᾶλλον ἐκείνους αἰτιάσεται τοὺς ἐν μεθέξει γεγονότας τῆς παρ' ἐμοῦ φροντίδος, ἠμεληκότας δὲ οὕτω τῆς ἑαυτῶν εὐκαρπίας, ὡς εἰκαίαν ὕλην καὶ ἀκανθῶν ὄχλον ἀντὶ βοτρύων ἐκτεκεῖν; Ὅτι δὲ οὐ περὶ τῆς αἰσθητικῆς ἀκάνθης ὁ λόγος αὐτῷ, οὔτε μὴν βοτρύων ἢ σταφυλῆς, παντί τῳ σαφές. Εἴπερ ἐστὶ νοητὸς ὁ ἀμπελὼν, τοιοῦτοι δὲ πάντως καὶ οἱ καρποί.

Νῦν δὲ ἀπαγγελῶ ὑμῖν τί ποιήσω τῷ ἀμπελῶνί μου· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ C *ἔσται εἰς καταπάτημα. Καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ· καὶ ἀναβήσονται εἰς αὐτὸν, ὡς εἰς χέρσον ἄκανθαι. Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι ἐπ' αὐτὸν ὑετόν.*

Οὐκ ἀθαύμαστον, ὥσγ' ἐμοὶ φαίνεται, τοῦ λόγου τὸ σχῆμα. Μόνον γὰρ οὐχὶ καὶ σεσιγηκότων τῶν κεκλημένων εἰς τὸ δικάσαι, αὐτῷ τε καὶ τῷ ἀμπελῶνι, τὴν δίκην αὐτοῖς ὁρίζει λοιπόν· καὶ τὰ ἐν τίσιν ἔσται προαγορεύει σαφῶς. Ἐλλελοιπότος γὰρ ὅλως οὐδενὸς αὐτῷ τῶν εἰς τὸ εὖ εἶναι χρησίμων, αὐτὸς ἐξ οἰκείας κατεχερσοῦτο γνώμης. Ἔδει δὴ οὖν ἄρα τοὺς εἰς τοῦτο φαυλότητος καθιγμένους ἔξω τε χειρὸς καὶ φροντίδος, καὶ μὴν καὶ ἐπικουρίας τοῦ Δεσπότου γενέσθαι λοιπόν. D Οὐκοῦν ἀφελῶ, φησὶ, τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. Φραγμοῦ δὲ καὶ τείχους ἔρημος ἀμπελὼν, προκείσεται πάντως τοῖς διαρπάζειν ἐθέλουσιν θοίνη τις ἑτοιμοτάτη καὶ τοῖς διοδεύουσι τρίβος, ἐξείργοντος οὐδενός. Περιφράττοντος μὲν γὰρ ἡμᾶς τοῦ Θεοῦ, καὶ ἀπορρήτοις τισὶν ἐπικουρίαις μονονουχὶ καὶ ἀνατειχίζοντος, οὐκ ἐσόμεθα βατοὶ καὶ ἐν τάξει τρίβου τοῖς ἀκαθάρτοις πνεύμασιν· οὔτε μὴν ἕτοιμοι πρὸς διαρπαγὴν τοῖς θηρίοις τοῦ ἀγροῦ, καὶ ἀλώπεξι τρυφή. Περὶ ὧν γέγραπται καὶ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων· « Πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπέλους. » Λέγονται δὲ καὶ μερίδες ἀλωπέκων γενέσθαι τινές.

Ἀνιέντος δὲ τοῖς ἀδικεῖν ἐθέλουσιν, καὶ φροντίδος A τῆς ἄνωθεν ἀπαμφιεννῦντος Θεοῦ, παντὸς εἰς πεῖραν ἥξομεν κακοῦ· καὶ πᾶς ὁστισοῦν ἐντρυφήσει τοῖς καθ' ἡμῶν, κἂν εἰ νοητός τις εἴη λῃστής· κἂν ᾖ ὁ ἐν τοῖς μέλεσι σαρκὸς ἀγριαίνων νόμος· καὶ ἅπαν ἡμῶν τῆς διανοίας τὸ κίνημα καρποφορήσῃ τῷ Σατανᾷ. Οὐκοῦν δίχα τε φραγμοῦ, τοῦ μὴν ἀτειχίστος ἀμπελὼν, τοῖς ἐθέλουσιν ἀνεθήσεται πρὸς διαρπαγήν. Καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ, τοῦτ' ἔστιν, οὐδεμιᾶς ἐπιτεύξεται φροντίδος, ἐπανορθοῦν δυναμένης καὶ ἀνακομίζειν ἐπὶ τὸ ἄμεινον, καὶ τῆς οὕτω δεινῆς χερσίας ἀπαλλάττειν αὐτόν. Ἐντελοῦμαι γὰρ δὴ καὶ ταῖς νοηταῖς νεφέλαις, τοῦτ' ἔστι, τοῖς ἁγίοις προφήταις, ἤγουν δυνάμεσι ταῖς ἀγγελικαῖς, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν· δῆλον δὲ ὅτι τὸν νοητὸν, τὸν ὡς ἐν παρακλήσει τῇ εἰς νοῦν καὶ καρδίαν, καὶ λόγῳ τῷ θείῳ B πραττόμενον. Πλὴν ἐντεῦθεν ἔστι μάλιστα ἰδεῖν, ὅτι τοῖς υἱοῖς Ἰσραὴλ οὐ πρό γε τῶν τῆς ἐπιδημίας καιρῶν τὰ τοιάδε συμβήσεσθαί φησιν ὁ προφητικὸς ἡμῖν λόγος, ἀλλ' ὅτε πεπαρῳνήκασιν εἰς Χριστόν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν εἰπεῖν, ἤγουν καταδεῖξαι καιρὸν, καθ' ὃν καταλέλεκεν ὁ Ἰσραὴλ προφητῶν ἁγίων δίχα. Γεγόνασι μὲν γὰρ αἰχμάλωτοι κατὰ καιροὺς, καὶ εἰς τὴν Περσῶν καὶ Μήδων ἀπῴχοντο χώραν γυναιξὶν ὁμοῦ καὶ φιλτάτοις. Πλὴν οὐ δίχα προφητῶν ἁγίων κατέβησαν εἰς Αἴγυπτον, ᾐρηκότων κατὰ καιροὺς τὴν διαβόητον Ἱερουσαλὴμ τῶν Βαβυλωνίων, ἀλλὰ συνῆν αὐτοῖς ὁ προφήτης Ἱερεμίας, τοῖς ἄνωθεν καὶ παρὰ Θεοῦ διακονούμενος λόγοις. Ἐπειδὴ δὲ πεπαρῳνήκασιν εἰς Χριστὸν, ἔρημοι φραγμοῦ διατετελέκασι, καὶ πᾶσα αὐτῶν ἀσφάλεια πέπτωκεν. Τοῦτο C γὰρ, οἶμαι, ἐστὶ τὸ καθαιρεῖσθαι λέγειν τὸν τοῖχον αὐτοῦ. Πέπαυται δὲ καὶ ἅπας προφητῶν ἁγίων ὁ ἐπ' αὐτοῖς λόγος, καὶ ὑετοῦ δίκην ἀνασχὼν τρόπον τινά· καὶ διαλελοίπασιν αἱ τῶν ἁγίων φωναί· καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ δι' ἑνὸς αὐτοῖς εἰρημένον παρὰ Θεοῦ· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐπάξω λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος· ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. Καὶ ἀπὸ Ἀνατολῶν ἕως καὶ Δυσμῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσι. » Καὶ ταυτὶ μὲν, ὡς ἔφην, τοῖς ἐξ Ἰσραὴλ συμβέβηκεν, καὶ μάλα εἰκότως. Ἀπεώσαντο γὰρ αὐτοὶ τὸν τῶν δυνάμεων Κύριον, τὸν κατάρδοντα νοητῶς ψυχὰς καὶ καρδίας, καὶ καταπιαίνοντα δρόσοις ταῖς πνευματικαῖς· ὧν D καὶ ὁ μακάριος Δαβὶδ διεμέμνητο λέγων· « Ὡς δρόσος Ἑρμὼν καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. » Ἐγήγερται δὲ ἀμπελὼν ἀντ' ἐκείνου νέος, ὁ τῶν διὰ πίστεως κεκλημένων εἰς ἁγιασμόν. Καὶ περὶ αὐτῶν φησιν ὁ Νυμφίος ὁ ἐξ οὐρανοῦ, τοῦτ' ἔστι Χριστός· Αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν. Καὶ αὐτὸς μέν ἐστι ἡ πρώτη τε καὶ παναγία, καὶ ἀληθὴς ἄμπελος. Ἀπηρτήμεθα δὲ αὐτοῦ ἡμεῖς κλημάτων δίκην, τῆς παρ' αὐτοῦ ζωοποιοῦ πιότητος ἀναπιμπλάμενοι. Καὶ γοῦν ἔφασκεν ἐναργῶς· « Ἐγώ εἰμι ἡ ἄμπελος ἀληθὴς, καὶ ὁ Πατήρ μου γεωργός ἐστι· πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει αὐτὸ, καὶ πᾶν τὸ φέ-

portio vulpium fieri. At si Deus nos injuriam facere volentibus relinquat, et cura superna nudet et destituat, in omnium malorum discrimen veniemus: et quivis nos ac bona nostra facile invadet, sive sit latro quispiam intelligibilis, sive in membris carnis grassans lex, sive quælibet agitatio motusque animorum nostrorum qui Satanæ fructificabit. Itaque citra sepimentum et citra murum vinea cuivis relinquetur ad deprædationem. Et non putabitur, et non fodietur, id est, nulla ei cura impendetur, quæ eam possit corrigere, et in melius reducere, et ab hac tam gravi sterilitate liberare. Mandabo autem nubibus, sub intelligentiam cadentibus, id est, sanctis prophetis, vel potestatibus angelicis, ne super ipsam imbrem depluant, **82** scilicet intelligibilem, ut qui exhortatione verboque divino in mente et corde peragitur. Verum hinc maxime perspicere licet, sermonem propheticum dicere, non ante adventus tempora filiis Israel eventura hæc, sed cum in Christum bacchati fuerint. Non enim memorari vel demonstrari tempus poterit, quo Israel sanctis prophetis destitutus manserit. Nam olim captivi fuerunt, et in Persarum ac Medorum regionem migrarunt una cum uxoribus et charissimis. Verum sine prophetis sanctis in Ægyptum non descenderunt: cum Babylonii celeberrimam Jerusalem evertissent, aderat tamen cum illis propheta Jeremias, supernis et divinis sermonibus instructus. Cum vero in Christum blasphemiam evomuissent, sepimento suo prorsus caruerunt, et omnis eorum securitas concidit. Hoc enim, arbitror, possumus dicere, maceriam eorum sublatam. Cessavit vero omnis etiam inter illos sanctorum prophetarum oratio, et instar pluviæ inhibita est quodammodo, et desierunt voces sanctorum. Atque hoc est, opinor, quod illis per quemdam a Deo dictum est: « Ecce dies veniunt, dicit Dominus, inducam famem in terram, non famem panis, nec sitim aquæ, sed famem audiendi verbum Domini. Ab Oriente ad Occidentem cursabunt quærentes sermonem Domini, et non invenient [74]. » Contigerunt sane Israelitis hæc, ut dicebam, non immerito. Repulerunt etenim universorum Dominum, qui animas et corda spiritaliter irrigat, et rore spirituali pinguefacit; quorum etiam beatus David mentionem fecit, cum dicit: « Velut ros Hermon descendens super montes Sion [75]. » Exsurrexit autem loco illius vinea nova, eorum qui vocati sunt per fidem ad sanctificationem. Ac de illis inquit Sponsus cœlestis, id est Christus, Vites germinant, dederunt odorem. Et ille est prima et sanctissima et vera vitis: a qua nos pendemus ceu palmites, vivifica pinguedine ab illo repleti. Siquidem clare dixit: « Ego sum vitis vera, et Pater meus agricola est; omnem palmitem in me non ferentem fructum tollit, et omnem qui fert fructum, purgat, ut fructum uberiorem ferat [76]. » Cum vero illi agnati ac insiti simus per conjunctionem

[74] Amos VIII, 11. [75] Psal. CXXXII, 3. [76] Joan. XV, 1, 2.

videlicet spiritualem, fructuosi redditi sumus. Ad hoc nos confirmat ipse cum ait : « Manete in me,
83 et ego in vobis. Quemadmodum palmes non potest fructum ferre a seipso, nisi maneat in vite : sic neque vos, nisi maneatis in me. Ego sum vitis, vos palmites : qui manet in me, et ego in illo, iste fert fructum copiosum : quia sine me non potestis facere quidquam [77]. » Dico itaque oportere per fidem et dilectionem et obedientiam per omnia, viti veræ, id est, Christo, adhærescere. Ipse siquidem reddet nos frugiferos, ipse circumdabit sepem, et excitabit murum, et arcebit transeuntes. Et ad ipsum alicubi dicit sacrum oraculum : « Et exstruentur solitudines tuæ perpetuæ, et monumentum in ætates, et vocaberis ædificator sepium, et semitas intermedias cessare facies [78]. »

A ρον καρπὸν καθαίρει αὐτὸ, ἵνα καρπὸν πλείονα φέρῃ. » Ἐπειδὴ δὲ αὐτῷ προσπεφύκαμεν δι' οἰκειότητος, δῆλον ὅτι τῆς πνευματικῆς, ἀποτετελέσμεθα καρποφόροι· καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ λέγων αὐτός· « Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς δὲ τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολὺν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Χρῆναι δὲ οὖν ἔγωγέ φημι προσερηρεῖσθαι δεῖν διὰ πίστεως καὶ ἀγάπης καὶ τῆς εἰς πᾶν ὁτιοῦν εὐπειθείας τῇ ἀμπέλῳ τῇ ἀληθινῇ, τοῦτ' ἔστι, Χριστῷ. Αὐτὸς γὰρ ἡμᾶς ἀποφανεῖ καρποφόρους, αὐτὸς περιθήσει φραγμὸν, καὶ ἐγερεῖ τὸ τεῖχος, καὶ ἀπο-
B στήσει διοδεύοντας. Καὶ πρὸς αὐτόν πού φησι λόγιον ἱερόν· « Καὶ οἰκοδομηθήσονταί σου ἔρημοι αἰώνιοι, καὶ μνημόσυνον γενεῶν γενεαῖς, καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν, καὶ τὰς τρίβους τὰς ἀνὰ μέσον παύσεις. »

VERS. 7. *Vinea enim Domini Sabaoth, domus Israel, et homo Juda, novella plantatio dilecta. Exspectavi ut faceret judicium, at fecit iniquitatem, et non justitiam, sed clamorem.*

Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ, οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. Ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν.

Liquido in his verbis ostendit, non se loqui de vinea sensibus objecta, sed intellectu percepta. Sumit enim fere semper Scriptura divinitus inspirata exempla quæ apparent et patent, ad demonstrationem rerum obscuriorum, et sub intelligentiam venientium. Est enim, inquit, vinea Domini Sabaoth, et germen dilectum, domus Israel, et homo Juda. Verumtamen cum illam omni misericordia et dilectione dignarer, et omni cura prosequerer, non fuit racemorum ferax, non vitis generosa, legem non coluit, non probam neque sanctam vitam degit, sed spem agricolæ veluti fefellit. Ego quidem exspectavi judicium, id est, ex animo sincero rectam, et in omnibus rebus agendis opinionem irreprehensibilem seu judicium. Sed illa, inquit, patravit iniquitatem. Alioqui enim quomodo vitis spinas pareret? Itaque fefellit, ut jam dixi. Unde enim æquum erat justitiæ fructus crescere, inde præter exspectationem edita est vita quæ et a sacris legibus aliena erat, et divinis præceptis repugnabat. Idcirco fecit iniquitatem et non justitiam, sed clamorem. Clamorem autem hoc, opinor, dicit : ostendens vitam eorum iracundia præcipitem, et plenam tumultibus. Quare et divinus Paulus sanctificatis præcipit dicens : 84 « Omnis autem clamor, et ira, et furor, et maledictum tollatur a vobis, et omne vitium [79]. » Neque vero decet eos qui mente stabili ac sedata præditi sunt, stolidis uti vociferationibus : sed his convenit magis quibus vita est labilis et lubrica, imo ad omne facinus proclivis, et qui furore magis quam prudentia vitam instituunt. Videtur etiam atrocissimam Judæorum exclamationem subinnuere, quam contra ipsum Christum excitarunt. Objiciente namque Pilato an regem suum in crucem agi vellent, omni honesto et pietate postha-

Ἀποδέδειχεν ἐναργῶς ἐν τούτοις, ὅτιπερ ὁ λόγος αὐτῷ γέγονεν οὐ περὶ αἰσθητοῦ μᾶλλον ἀμπελῶνος, ἀλλὰ περὶ νοητοῦ. Δέχεται γὰρ ἀεί πως ἡ θεόπνευστος Γραφὴ τὰ ἐμφανῆ τῶν παραδειγμάτων εἰς ἔνδειξιν τῶν ἀφανεστέρων καὶ νοητῶν πραγμάτων. Καὶ γάρ ἐστι, φησὶν, ὁ ἀμπελὼν τοῦ Κυρίου Σαβαὼθ, καὶ τὸ νεόφυτον ἠγαπημένον, ὁ οἶκος τοῦ Ἰσραὴλ, καὶ ὁ ἄνθρωπος τοῦ Ἰούδα. Ἀλλὰ καίτοι τῆς παρ' ἐμοὶ φειδοῦς καὶ ἀγάπης ἠξιωμένος, καὶ πάσης φροντίδος ἀπολελαυκὼς, οὐ γέγονεν εὔβοτρυς, οὐκ ἄμπελος
C εὐγενὴς, οὐ τετίμηκε νόμον, οὐδὲ ἐπιεικῆ καὶ ἁγίαν διεβίω ζωήν· ἐψεύσατο δὲ ὥσπερ καὶ τὴν τοῦ γηπονοῦντος ἐλπίδα. Ἐγὼ μὲν γὰρ προσεδόκησα κρίσιν, τοῦτ' ἔστι, τὴν ἐκ διανοίας εἰλικρινοῦς ὀρθὴν καὶ ἀμώμητον τὴν ἐφ' ἅπασι τοῖς πρακτικοῖς αἵρεσιν, ἤτοι κρίσιν. Ὁ δὲ, φησὶ, πεποίηκεν ἀνομίαν. Καίτοι πῶς ἂν ἄμπελος ἀκάνθας τέκοι; οὐκοῦν ἐψεύσατο, καθάπερ ἔφην ἀρτίως. Ὅθεν γὰρ ἦν εἰκὸς τοὺς τῆς δικαιοσύνης ἀναφῦναι καρποὺς, ἐκεῖθεν ἀδόκητος ἐκδέδοται βίος, ὁ καὶ νόμων ἔξω τῶν ἱερῶν καὶ τῶν ἐκ τῆς θείας ἐντολῆς κατάῤῥησιν ἔχων. Οὐκοῦν ἐποίησεν ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. Κραυγὴν δέ φησιν ἐκεῖνο οἶμαί που δεικνύων, ὅτι γέγονεν αὐτοῖς σεσοβημένος μὲν εἰς ὀργὰς καὶ θορύβου μεστὸς ὁ βίος. Διὸ καὶ ὁ θεσπέσιος Παῦλος
D τοῖς ἡγιασμένοις ἐντέλλεται λέγων· « Πᾶσα δὲ κραυγὴ, καὶ ὀργὴ, καὶ θυμὸς, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. » Πρέποι γὰρ ἂν, οὐ τοῖς καθεστῶσαν ἔχουσι τὴν φρένα, τὸ ταῖς ἀσυφήλοις κεχρῆσθαι κραυγαῖς, ἐκείνοις δὲ μᾶλλον, οἷς ὁ βίος οὐκ ἀσφαλής· μᾶλλον δὲ πρὸς πᾶν ὁτιοῦν εὐκόλως τῶν κακῶν, καὶ θυμῷ μᾶλλον ἢ συνέσει διοικουμένοις. Ἔοικε δὲ καὶ τὴν παγχάλεπον τῶν Ἰουδαίων κραυγὴν ὑπαινίττεσθαι, ἣν ἐπ' αὐτῷ πεποίηνται τῷ Χριστῷ. Πιλάτου γὰρ ὀνειδίζοντος, εἰ δὴ βούλοιντο

[77] Joan. XV, 4, 5. [78] Isa. LVIII, 12. [79] Ephes. IV, 31.

σταυροῦσθαι τὸν βασιλέα τὸν ἑαυτῶν, ἁπάσης εὐκοσμίας τε ὁμοῦ καὶ φιλοθεΐας ἠφειδηκότες ἀνακεκράγεσαν αὐτοί· « Αἶρε, αἶρε, σταύρωσον αὐτόν· οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. » Κραυγὴ τοίνυν πονηρὰ, τῆς Ἰουδαίων συναγωγῆς ὁ καρπὸς, δι' ἣν ἀφῄρηται καὶ φραγμοῦ, καὶ τοίχου, καὶ ἀρδείας τῆς ἐκ νεφελῶν ἁγίων. Ἐστέρηται δὲ καὶ ἁπάσης ἐπιμελείας. Ἔφη γὰρ, ὅτι Ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ. Κατεχερσώθη δὲ ὅλος ἀκάνθας ἐκτετοκὼς, αἳ φλογὸς εἰσι τροφή.

Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Ἠκούσθη γὰρ εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ ταῦτα.

Ἵνα μή τις οἴηται μάτην κατειρηκότα τοῦ Ἰσραὴλ εἰκῇ τε τὴν ἄμπελον διαβαλεῖν, ὡς ἥκιστα μὲν σταφυλὴν ἐκτετοκυῖαν, μᾶλλον δὲ ἀκάνθας, τοῦτ' ἔστιν, ἀντὶ κρίσεως, ἤτοι κριμάτων δικαίων ἀνομίας, ἀντὶ δὲ τῆς δικαιοσύνης κραυγήν· ἀπαριθμεῖται χρησίμως τὰ δι' ὧν ἦν εἰκὸς, οὐ μετρίως κατεγνωσμένον ἰδεῖν, καὶ οὐκ ἐπὶ ταῖς τυχοῦσιν ἁπλῶς, ἀλλ' ἐπὶ τοῖς ἄγαν ἐκνομωτάτοις, καὶ τοῖς ὅτι μάλιστα κατεστυγημένοις παρά γε τῷ φιλαρέτῳ Θεῷ. Ταύτητοί φησιν· « Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. » Ἔνεστι γὰρ ὡς ἐπίπαν τοῖς ἐθέλουσι πλουτεῖν, καὶ μὴν καὶ τὸ δύνασθαι λαχοῦσι πρὸς τοῦτο, τὸ ἀεί τι θέλειν τοῖς ἤδη πεπορισμένοις ἐπισωρεύειν ἔτι, καὶ τὰ τῆς οὐσίας αὐτοῖς ἐν ἀκαταλήκτοις πλεονασμοῖς, ὁρᾶσθαι ποιεῖν. Καὶ γοῦν ἐπιφύονται τοῖς ὁμόροις ἀεὶ καὶ γείτοσιν· εὐρυτέρας τε τὰς ἐν ἄστεσιν οἰκίας ἀποτελεῖν σπουδάζοντες, καταβιαζόμενοι δὲ τοὺς τῶν ὁμορούντων αὐτοῖς χωρίων δεσπότας, καὶ τοῖς ἰδίοις συνάπτοντες. Ἀκόρεστον γάρ τι χρῆμα πλούσιος ἀνὴρ, εἰ παρακέοιτό πως αὐτῷ τὸ δύνασθαι ῥᾳδίως ἅπερ ἂν βούλοιτο κατορθοῦν. Πέπαυται γὰρ οὐδαμῶς τοῖς τοῦ πέλας ἐπιπηδῶν· καὶ διψῇ μὲν ἀεὶ τὸ οὔπω παρὸν, γλίχεται δὲ τῶν μήπω πεπορισμένων. Οὐαὶ τοίνυν, φησὶ, τοῖς συνάπτειν ἐθέλουσι τὰς ἑαυτῶν οἰκίας ταῖς ἑτέρων, καὶ ἀγροῖς ἀγροὺς, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Πρόφασιν γάρ πως ἀεὶ τοῦ χρῆναι πλεονεκτεῖν ποιεῖσθαι σπουδάζουσι, τὸ μὴ δεῖν ἑτέρους γειτνιᾷν αὐτοῖς· εἶτα βιάζονται τοὺς ἀσθενεστέρους, καὶ πλεονεκτοῦσιν ἀνοσίως κατοιμώζοντας ἔσθ' ὅτε, καὶ τῆς ἐνούσης αὐτοῖς σκαιότητος κατακεκραγότας. Τί οὖν ἄρα φησὶν αὐτοῖς ὁ προφητικὸς λόγος; Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Ἆρα γὰρ, φησὶν, οἴεσθε μόνους ὑμᾶς κατὰ τὴν γῆν ὑπάρχειν, μὴ ἐφεστηκότος Θεοῦ, καὶ ἐφορῶντος τὰ δρώμενα; Καίτοι λίαν ἐγγὺς ὁ τῶν ὅλων ἐστὶ Δεσπότης· ἠκούσθη τὰ παρ' ὑμῶν. Καὶ τίνα τρόπον; ἴσως ἐρεῖτε. Κατακεκραγότων δηλονότι τῶν ἠδικημένων. Τοιοῦτόν τι καὶ ὁ Σωτῆρος ἡμῖν γέγραφε μαθητής· « Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. » Καὶ πρός γε τούτῳ φησίν· « Ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν. Ὁ ἀπεστερημένος ἀφ'

A bita, exclamarunt : « Tolle, tolle, cruci affige illum; non habemus regem nisi Cæsarem [90]. » Clamor ergo improbus, improbus Judaici conciliabuli fructus est, per quem orbati sunt et sepe, et maceria, et irroratione e sanctis nubibus, omnique etiam cura. Quippe dicit : Dimittam vineam meam, et non putabitur, non fodietur. Vastata est enim tota, spinas gignens, quæ ignis alimentum sunt

VERS. 8, 9. *Væ his qui conjungunt domum ad domum, et agrum ad agrum appropinquant, ut vicino aliquid anferant. An soli habitabitis in terra? Audita sunt enim hæc in auribus Domini Sabaoth.*

B Ne quis existimet frustra eum in Israelem dixisse, et sine causa calumniari vineam, utpote non uvas, sed spinas parientem, id est, pro judicio et æquitate, iniquitatem, pro justitia clamorem, commode enumerat ea ex quibus, quamobrem fuerit accusata, intueri ac videre liceat : non propter vulgaria jam et communia, sed propter ea quæ vehementer legi dissentanea sunt, maximeque Deo virtutis amanti invisa. Ideo dicit : « Væ his qui conjungunt domum domui, et agrum cum agro copulant, ut proximo aliquid auferant. » Inest enim omnino his qui ditescere volunt, et qui potentia valent, ut semper acquisitis jam, aliquid huc veliht accumulare, et ut suas facultates ac copias infinitis accessionibus C coacervare videantur. Insidiantur enim semper accolis vicinis, et urbanas res amplificare student, et dominos suis prædiis finitimos opprimunt, et cum suis conjungunt. Est enim insatiabile quiddam vir dives, siquidem quod velit ei liceat facile perficere. **85** Quiescet enim nunquam, neque cessabit proximi bonis inhiare : quod nondum adest, sitit, et quæ nondum parata sunt, concupiscit. Væ igitur, inquit, his qui volunt jungere suis ædibus alienas, et agros agris, ut proximo auferant aliquid. Semper enim causam student obtendere, cur plus ipsi possidere debeant, et cur alios sibi contiguos esse non oporteat : dein imbecilliores cogunt, et impie rapiunt ab illis ejulantibus interdum, et contra eorum sævitiam vociferantibus. Quid igitur illis dicit sermo propheticus? Ecquid habitabitis soli in terra? Ecquid enim, inquit, vos esse solos D in terra arbitramini? annon præsidet, et quæ acta sunt inspicit Deus? Quanquam admodum prope est universorum Deus : audita sunt hæc vestra facinora. At quomodo? forsan dicetis. Exclamarunt videlicet hi qui injuria affecti sunt. Simile quiddam Servatoris discipulus scripsit. « Agite nunc, divites, plorate ululantes in miseriis quæ vos invadunt. » Et ad hæc dicit : « Ecce merces operariorum qui demessuerunt prædia vestra. Defraudata a vobis clamat, et vociferationes eorum qui messuerunt ad aures Domini Sabaoth pervenerunt [91]. » Accepit enim promptissime voces eorum qui vexati sunt a divitibus sanctissima et improbitatis inimica natura. Quod

[90] Joan. XIX, 15. [91] Jac. V, 1, 4.

autem non recessit ab hominibus, confirmabit ipse cum dicit: « Deus appropinquans ego sum, ait Dominus, et non Deus procul [83]. » Audiant ergo qui avaritiæ dediti sunt, et qui vim fratribus inferunt: Numquid habitabitis soli in terra? Præsens est enim universorum Deus. Sciendum vero quod propheta aliud quiddam non invenustum nobis hisce verbis innuit. O divites enim, inquit, quid proximi bona rapitis et vicinum odio habuistis? Eveniet sane, ut vos soli inhabitetis regionem, exturbatis aliis omnibus. Desolatam proinde terram et vacuam habitatoribus reddetis. Itaque optimum et consultissimum, ea solum suscipere quæ ad vitam seipsa contentam ac moderatam pertinent. Est etenim portio tenuis cum timore Domini melior quam multi proventus cum injustitia. Utque etiam aliquid ex sacris Litteris desumptum commemoretur: præfuit quidam olim Israeli in Samaria, qui domo sumptuosa et magnifica sibi exstructa, de ea decidit, ac confestim periit. Hunc Deus reprehendens ut qui frustra laborasset: Ædificasti, inquit, tibi ipsi domum **86** concinne fabrefactam, cœnacula perflatilia, diducta fenestris, materiata cedro, et peruncta minio. Non regnabis, quia tu exasperasti in Achazo patre tuo. Melius tibi fuisset judicium et præclaram justitiam exercuisse. « Non enim proderunt thesauri iniquis, » sicuti scriptum est [84], « sed justitia liberabit a morte. »

A ὑμῶν κράξει, καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ εἰσεληλύθασιν. » Δέχεται γὰρ καὶ λίαν ἑτοίμως τὰς τῶν πλεονεκτουμένων φωνὰς ἡ παναγία τε καὶ μισοπόνηρος φύσις. Ὅτι δὲ οὐκ ἀφέστηκε τῶν ἐπὶ τῆς γῆς, πιστώσεται λέγων αὐτός· « Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐ Θεὸς πόῤῥωθεν. » Ἀκουέτωσαν τοίνυν οἱ πλεονεκτεῖν ἐθέλοντες, καὶ βιάζειν, καὶ διαρπάζειν ἀδελφούς· Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Πάρεστι γὰρ ὁ τῶν ὅλων Θεός. Ἰστέον δὲ ὅ τι, καίτοι κατὰ τὸ εἰκὸς τῶν ἄγαν ἀστειοτάτων, ὁ προφήτης ἡμῖν ἐν τούτοις ὑποδηλοῖ· Ὦ γὰρ πλούσιοι, φησὶ, τί τὰ τοῦ πλησίον ἁρπάζετε, καὶ μεμισήκατε τὸν ἐγγύς; Συμβήσεται πάντως ὑμῖν δὴ καὶ μόνοις οἰκῆσαι τὴν χώραν, τῶν ἄλλων ἁπάντων ἐξωθουμένων. Ἔρημον οὖν τῶν κατῳκηκό- B των ἀποφανεῖτε τὴν γῆν. Ἄριστον οὖν ἄρα καὶ σοφὸν, μεταποιεῖσθαι μόνων τῶν εἰς αὐτάρκειαν τὴν μεμετρημένην. Κρείσσων γὰρ μερὶς μικρὰ μετὰ τοῦ φόβου Κυρίου, ἢ πολλὰ γενήματα μετὰ ἀδικίας. Εἰ δὲ δή τι χρὴ καὶ ἐξ ἱερῶν γραμμάτων λαβόντας εἰπεῖν, βεβασίλευκέ τις τῶν ἐν Σαμαρείᾳ κατὰ καιροὺς τοῦ Ἰσραὴλ, ὃς δὴ καὶ οἶκον πολυτελέστατον ἑαυτῷ ἀναστήσας, πίπτει μὲν παρ' αὐτοῦ καὶ παραχρῆμα διόλλυται. Διελέγχων δὲ Θεὸς ὡς εἰκῆ πεποιηκότα, φησίν· Ὠκοδόμησας σεαυτῷ οἶκον σύμμετρον, ὑπερῷα ῥιπιστὰ, διεσταλμένα θυρίσιν, ἐξυλωμένα ἐκ κέδρων, καὶ κεχρισμένα ἐν μίλτῳ. Μὴ βασιλεύσῃς, ὅτι σὺ παρωξύνθης ἐν Ἀχὰζ τῷ πατρί σου. Βέλτιον ἦν σε ποιεῖν κρίμα καὶ δικαιοσύνην καλήν. « Οὐ γὰρ ἂν ὀνήσουσι θησαυροὶ ἀνόμους, » κατὰ τὸ γεγραμμένον· « δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου. »

VERS. 9, 10. *Si enim fuerint domus multæ, magnæ et pulchræ, desertæ erunt; nec erunt qui habitent in illis. Ubi enim decem juga boum laborant, facient lagunculam unam: et qui seminat artabas sex, faciet mensuras tres.*

Audierat enim procul dubio Dominus Sabaoth auribus suis avaritiam potentiorum qua usi sunt in alios. Quid ergo? Num conticuit? num tacite dimisit? num iræ frenum intulit? Nequaquam, inquit. Atque hujus rei perspicuum argumentum, quod ostendit irritum studium esse eorum qui rerum alienarum amore tenentur. Nam quæ tandem utilitas, inquit, domum domui jungere, splendide etiam atque ambitiose adornare ædes, si nullus futurus sit, inquit, qui in eis habitaturus sit, bello parvos æque ac magnos consumente? Quid vero illis emolumenti erit ex agris amplissimis, cum propter avaritiam possidentium, hoc est, diripientium, fructus percipere Deus non permittat? Erit enim, erit tanta in agris infecunditas, ut ex viginti boum, seu decem jugerum laboribus in vineis, vix una surgat amphora; et ex satis mensuris sex, reditus fructuum ex semine jacto, vix dimidiata parte proveniant. Sufficiet autem, opinor, ad opus faciendum jugis decem boum, multum agri vitibus consiti, multum item terræ arabis. Inutilis igitur possessio, et plura possidendi studium inane

C *Ἐὰν γὰρ γένωνται οἰκίαι πολλαὶ, εἰς ἐρήμωσιν ἔσονται μεγάλαι καὶ καλαί· καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. Οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἓξ ποιήσει μέτρα τρία.*

Ἠκούσθη μὲν γὰρ ὁμολογουμένως, φησὶν, εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ, τὰ τῆς καθ' ἑτέρων πλεονεξίας ἐγκλήματα τῶν δυνατωτέρων. Τί οὖν σεσίγηκεν ἄρα, παρῆκεν ἡσυχῇ, καὶ χαλινὸν ἐπήνεγκε ταῖς ὀργαῖς; Οὐδαμῶς, φησί. Καὶ τούτου σαφὴς ἀπόδειξις, τὸ εἰκαῖον ἀποφῆναι τοῖς τῶν ἀλλοτρίων ἐρασταῖς τὸ ἐπὶ τούτῳ σπούδασμα. Ποία γὰρ ὄνησις τοῦ συνάπτειν οἰκίαν πρὸς οἰκίαν, λαμπρῶς τε καὶ φιλοτίμως κατασκευάζειν ἑστίας, εἰ μή τις ἔσται, φησὶ, κατοικήσων ἐν αὐταῖς, δαπανήσαντος τοῦ πολέμου D μικροὺς καὶ μεγάλους; Τί δὲ τῶν εὐρυωτάτων αὐτοῖς ὄφελος ἀγρῶν, εὐκαρπεῖν αὐτοῖς οὐκ ἐῶντος Θεοῦ, διὰ τὰς τῶν κτησαμένων, ἤγουν ἁρπασάντων πλεονεξίας; Ἔσται γὰρ, ἔσται ἐν ἀφορίᾳ τοσαύτῃ τὰ ἐν ἀγροῖς, ὡς εἴκοσι μόσχων, ἤτοι ζευγῶν δέκα πονούντων ἐν ἀμπελῶσιν, ἓν καὶ μόλις γενέσθαι κεράμιον· καὶ σπαρέντων μέτρων ἓξ ἐν ἡμίσει τῆς τῶν σπερμάτων καταβολῆς τὴν τῶν καρπῶν ἀπόδοσιν ἰδεῖν. Ἀρκέσει δὲ, οἶμαι, πρὸς ἐργασίαν ζεύγεσι δέκα βοῶν, πλείστη μὲν ἀμπελόφυτος γῆ, πλεῖστοι δὲ ὁμοίως ἀρόσιμοι κλῆροι. Οὐκοῦν ἀνόνητος ἡ κτῆσις, καὶ τοῦ πλεονεκτεῖν εἰκαῖος ὁ πόνος, εἰ μήτε τις οἰκήσει τὰς ἐν

[83] Jerem. XXIII, 23. [84] Prov. X, 2.

τοῖς ἄστεσιν οἰκίας. Μὴ μὴν εὐφορήσει τὰ ἐν ἀγροῖς, Θεοῦ καταφθείροντος, καὶ τὴν τῶν ἀπλήστων ἐλέγχοντος ἀδικίαν. Ἐπειδὴ δὲ καὶ ἡμῶν ἕκαστος ἐν ἰδίᾳ ψυχῇ νοητὸν ἔχει γεώργιον, καὶ τὸν τῆς δικαιοσύνης ἐργάζεται σπόρον, φυλαττώμεθα τὸ προσκρούειν Θεῷ. Τότε γὰρ τότε, καθάπερ οἶκον ἀσφαλῆ καὶ ἐρηρεισμένον, οἰκήσομεν τὴν πολυειδῆ καὶ παμποίκιλον ἀρετὴν, πληθυνοῦμεν δὲ σίτων ὥσπερ κοιλάδες· εὐλογήσει δὲ ὁ τῶν ὅλων Θεὸς τὸν σπόρον ἡμῶν, καὶ αὐξήσει τὰ γενήματα τῆς δικαιοσύνης ἡμῶν, καθά φησιν ὁ θεσπέσιος Παῦλος.

Οὐαὶ οἱ ἐγειρόμενοι τῷ πρωΐ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων, τὸν οἶνον πίνουσι, καὶ αὐλῶν, τὰ δὲ ἔργα Κυρίου, οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν.

Συνάπτει τοῖς πρώτοις ἕτερα καὶ παγχάλεπα τῶν πλουσίων ἐγκλήματα. Πάρεσται γὰρ αὐτοῖς, πρός γε τῷ βούλεσθαι πλεονεκτεῖν καὶ ἀκορέστως βιάζεσθαι τοὺς ἀσθενεστέρους, καὶ τὸ ἐν πότοις εἶναι φιλεῖν, καὶ τρυφαῖς ἐπιγάννυσθαι, κώμοις τε καὶ μέθαις ἀκαταλήκτοις, καὶ τοῖς ἐκ φιλοσαρκίας καταμιαίνεσθαι κακοῖς· καὶ τοῦτο ἐνδελεχῶς οἴεσθαι δεῖν αὐτοὺς ἐν παντὶ δὴ τοῦτο πράττειν καιρῷ. Ἱκανὸς γὰρ ὁ πλοῦτος ἀκονῆσαι πρὸς τρυφὰς, καὶ τὸν ἐπ' αὐτοῖς ἀφανίσαι κόρον. Ἀλλ' «ὁ σπείρων εἰς τὴν σάρκα,» καθά φησιν ὁ Παῦλος, «ἐκ τῆς σαρκὸς θερίσει φθοράν.» Τέλος γὰρ τῆς προσκαίρου τρυφῆς μακρὸν καὶ διηνεκὲς ἔσται δάκρυον, καὶ σαρκικῆς ἡδονῆς ὄλεθρος ὁ καρπός. Γράφει τοίνυν ἡμῖν ὁ προφήτης τὰς τῶν Ἰουδαίων ἀγερωχίας, καὶ τὸ ἐξίτηλον εἰς τρυφὰς, καὶ τὸ κεχυμένον εἰς ἀσωτίας. Πάντα γὰρ, φησὶ, καιρὸν ἀπονέμοντες ταῖς γαστριμαργίαις, ὑπὸ τὴν ἕω ζητοῦσι τὸ σίκερα, καὶ τοῖς ἡλίου δρόμοις συνεκτείνουσι τοὺς πότους, καὶ μέχρις αὐτῆς μένοντες τῆς ἑσπέρας. Ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. Ὁμολογουμένως μὲν γὰρ ἐμποιεῖ τινα καῦσιν ἄδην πινόμενος τοῖς σπλάγχνοις ὁ οἶνος. Συγκαύσει δὲ καὶ ἑτέρως τοῦ μεθύειν τοὺς ἐραστὰς, ἔσται γὰρ αὐτοῖς πρὸς τοῦτο κολάζοντος ἀφορμή. Συγκαυθήσονται δὲ πάντῃ τε καὶ πάντως εἰς φλόγας πεμπόμενοι τὰς διηνεκεῖς, καὶ ἡτοιμασμένας τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ταύτητοι καὶ ὁ μέθυσος ὁμοῦ τοῖς ἄλλοις βεβήλοις ἀπόκληρος ἔσται παρὰ Θεῷ, καὶ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν οὐκ εἰσελεύσεται. Ὅρα γὰρ ὅση τῶν Ἰουδαίων γέγονε κατὰ καιροὺς ἡ ἐπὶ τὸ χρῆναι τρυφᾷν ἐξιτηλία. Ὅπου γὰρ ὁ κιθάρας κτύπος, καὶ τυμπάνων ἦχος, καὶ τῶν αὐλούντων συναναφώνησις, σὺν εὐρυθμίᾳ καὶ κρότοις, ἐκεῖ που πάντως ἐστὶ καὶ πᾶν εἶδος ἀκαθαρσίας, καὶ τὰ κρυφῇ γιγνόμενα παρ' αὐτῶν, ἃ καὶ αἰσχρόν ἐστι λέγειν. Ζημιοῖ δὲ τοῦτο αὐτοὺς τὸ μὴ δύνασθαι καθορᾷν τὴν τοῦ Θεοῦ δόξαν, μήτε μὴν ἐνατενίζειν τοῖς ἔργοις αὐτοῦ. Ὥσπερ γὰρ ὁ τοῦ σώματος ὀφθαλμὸς, ἢ κόνεως ἐμβαλούσης, ἢ λήμης ἐγκεχυ-

[84] II Cor. IX, 10. [85] Galat. VI, 8.

A est, nisi sit qui domos in urbibus inhabitet. Nec feliciter provenient quæ sunt in agris, Deo vastante et eorum injustitiam coarguente. Quia vero quisque nostrum animo suo habet agricolationem sub intelligentiam cadentem, et sementem justitiæ facit: caveamus ne in offensionem divinam incurramus. Tunc enim, tunc virtutes multiplices ac variæ in nobis tanquam in domicilio tuto ac munito habitabunt, et frumentum quasi in terra profunda multiplicabimus: et universorum Deus semini nostro benedicet, et fructus justitiæ nostræ augebit, sicuti et divinus Paulus inquit [84].

87 VERS. 11, 12. *Væ his qui expergiscuntur mane, et sectantur siceram, et ad vesperum usque moram trahunt. Vinum enim succendet eos. Nam*
B *cum cithara et psalterio, et tympanis et tibiis vinum bibunt, opera vero Domini non intuentur, nec opera manuum ejus considerant.*

Adjungit primis alia etiam gravissima crimina in divites. Nam præterquam quod avaritiæ dediti sint, et supra modum tenuiores opprimant, hoc mali accedit etiam, ut sint frequentes in perpotationibus, ut luxuria diffluant, ut comessationibus, ebrietatibus continuis, cæterisque malis quæ ex carnis libidine oriuntur, commaculentur: idque jugiter, perinde quasi hoc omni tempore se debere facere existimarent. Opulentia enim abunde stimulare potest ad voluptates, omnemque satietatem in illis tollere. At «qui seminat in carne,» ut inquit Paulus, «ex carne metiet corruptionem [85].»
C Finis enim temporarii luxus, longa et perennis erit lacryma, et carnalis voluptatis fructus, interitus. Describit itaque propheta nobis Judæorum fastum, et immoderationem luxus, effusamque intemperantiam. Omne enim tempus ventri ac gulæ tribuunt, sub auroram siceram quærunt, et ad solis cursum compotationes protrahunt, permanentes usque ad vesperum. Vinum enim incendet eos. Excitat quippe in visceribus largiter bibentis plane quoddam incendium. Quin et alio modo vinum succendet hæc ebrietatis mancipia. Occasio nimirum erit ut supplicium de illis sumatur; siquidem incendentur, ablegati in flammam sempiternam, diabolo ejusque angelis destinatam. Scilicet
D hinc ebriosus una cum aliis profanis a Deo exsors erit, et regnum cœlorum neutiquam ingredietur. Observa autem quanta fuerit olim Judæorum in voluptatibus consectandis effrenatio. Ubi namque citharæ sonus est, et tympanorum pulsus, ac tibicinum concentus cum numerorum concinnitate et plausibus, ibi omnino est et omne genus fœditatis, eaque fiunt clam ab illis quæ turpe est vel dicere. Quod quidem impedimento illis est, quominus gloriam Dei intueantur, ejusque opera attendant. Nam ut corporis oculus, vel pulvere injecto, vel lippidine offusa, vel obturbante vulnere, clare non potest videre: sic mens humana

88 carnis voluptatibus degravata ac demersa, ad Deum nequit respicere, nec facta ejus fixo obtutu contemplari: e quibus manifestissime, quis ac qualis Opifex est, liceret animadvertere. Ex creaturarum enim pulchritudine cognoscitur, eumque admirari et suspicere abunde poterit is qui rerum ab ipso factarum admiratione capi voluerit. Sicuti enim beatus Paulus scribit: « Invisibilia ejus a creatione mundi per ea quæ facta sunt intellecta conspiciuntur, æterna scilicet ejus vis et divinitas [86]. » Verisimile autem est, prophetam accusare Judæos, quasi qui compotationibus se dedant, et ad delicias cupidissime convolent, nec animo interim futura cogitent, id est, quæ ipsis ex ira velut divina eventura erant, quæ etiam opera manuum Dei nuncupat. Pacem enim constituit diligentibus se, mala vero creat his qui ad iram concitant. Si enim futura contra se Domini opera vidissent, perpotationibus minime indulsissent, sed curæ ac cordi fuissent illis lacrymæ, gratus fuisset luctus, labores, preces, pœnitentiæ officia, malorum quæ ex intemperantia proveniunt, longe gratiora.

VERS. 13, 16. *Captivus igitur populus meus factus est, quia Dominum non cognovit, et multi fame et siti aquæ necati sunt. Et dilatavit infernus animam suam, et aperuit os suum, sine intermissione. Descendentque nobiles et magni, divites et pastores ejus. Dejicietur homo, et ignominia afficietur vir, et oculi elati humiliabuntur. Extolletur autem Dominus Sabaoth in judicio, et Deus sanctus gloriosus erit in justitia.*

Rem in perniciem cedere, ad ultima mala ducere eos qui volunt delicate ac molliter vivere, divina nos in his docet oratio. Cum enim Judaicæ regionis incolæ, aliis clariores illustrioresque, operum Dei curam negligerent tanquam inutilem, eumque operibus manuum ejus nullum studium impenderent, comessationibus autem perpetuis vacarent, ebrietati indulgerent, ac immodice intemperanterque tibiis canentes, in eo totos dies producerent: abituros sane captivos ait, et servituros inimicis, tantamque fore per omnem regionem mortuorum inedia et siti pereuntium multitudinem, ut infernus prælargo et inexplebili 89 ore, hiantibusque faucibus absorbens eos qui descenderent, suisque eos thesauris spolians, quodammodo sit exsultaturus. Nam cum inferni animam dilatatam audis, aliud nihil quam quod jam dixi, significare eum velle existimandum est. Nam Scriptura divinitus aspirata nominibus figurate utitur interdum, et quasi metaphorice, etiam in rebus quæ animabus carent, imo quæ nec in ordine ac serie animalium numerantur, aut quæ revera

[86] Rom. I, 20.

A μένης, ἢ παρενοχλοῦντος τραύματος ἰδεῖν οὐ δύναται καθαρῶς· οὕτω καὶ ἀνθρώπινος νοῦς ταῖς τῆς σαρκὸς εἰ καταπαχύνοιτο τρυφαῖς, ἀναμύειν οὐ δύναται πρὸς Θεὸν, οὔτε μὴν ἀκριβῆ τοῖς παρ' αὐτοῦ γινομένοις ἐνερείδειν τὴν ὄψιν· δι' ὧν ἔστι καὶ μάλα σαφῶς, τίς τε καὶ ὅσος ἐστὶν ὁ Δημιουργὸς, ἐννοεῖν δύνασθαι. Γινώσκεται γὰρ ἀπὸ καλλονῆς κτισμάτων· καὶ θαυμάσειεν ἂν αὐτὸν καὶ μάλα πλουσίως ὁ τοῖς παρ' αὐτοῦ πεποιημένοις τὸ θαῦμα διδούς. Ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος· « Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. » Εἰκὸς δὲ δὴ τὸν προφήτην καταιτιᾶσθαι τοὺς Ἰουδαίους ὡς ἀγαπῶνται πότους, συλλεγομένους δὲ καὶ μάλα προθύμως εἰς τρυφάς· μὴ μὴν ἔτι καὶ εἰς νοῦν ἔχειν,
B ἤγουν εἰς τὰ μέλλοντα θεωρεῖν, τοῦτ' ἔστι, τὰ συμβήσοντα αὐτοῖς ὡς ἐκ θείας ὀργῆς, ἃ καὶ ἔργα φησὶ τῶν χειρῶν τοῦ Θεοῦ. Ποιεῖ γὰρ εἰρήνην τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ τοῖς παροτρύνουσι κτίζει κακά. Εἰ γὰρ ἑώρων τὰ ἐσόμενα κατ' αὐτῶν ἔργα Κυρίου, οὐκ ἂν ἠνέσχοντο πότον, ἀλλ' ἦν ἂν αὐτοῖς ἐν σπουδῇ τὸ δάκρυον, καὶ φίλος ὁ θρῆνος, πόνοι τε καὶ προσευχαὶ, καὶ τὰ τῆς μεταγνώσεως ἔργα, τῶν ἐν ἀσωτίᾳ κακῶν ἡδίονα.

Τοίνυν αἰχμάλωτος ὁ λαός μου ἐγενήθη, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον. Καὶ πλῆθος ἐγενήθη νεκρῶν, διὰ λιμὸν καὶ δίψαν ὕδατος. Καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ διήνοιξεν τὸ στόμα αὐτοῦ, τοῦ μὴ διαλιπεῖν.
C *Καὶ καταβήσονται οἱ ἔνδοξοι, καὶ οἱ μεγάλοι, καὶ οἱ πλούσιοι, καὶ οἱ λοιμεῖς αὐτῆς. Καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ. Καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται, καὶ ὑψωθήσεται Κύριος Σαβαὼθ, καὶ ὁ Θεὸς ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ.*

Ὅτι τοῖς θέλουσι τρυφᾷν ἐκτελευτᾷ τὸ χρῆμα πρὸς ὄλεθρον καὶ πρὸς αὐτό που τὸ λοίσθον ἀφικνεῖται τῶν κακῶν, ὁ θεῖος ἡμᾶς ἐν τούτοις διδάσκει λόγος. Ἐπειδὴ γὰρ οἱ τῆς Ἰουδαίων χώρας, τῶν ἄλλων περιφανέστεροι, μεθέντες ὡς ἀκερδὲς τὸ χρῆναι περιεργάζεσθαι τὰ ἔργα τοῦ Θεοῦ, καὶ τὸ ἐμβλέπειν τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, παρ' οὐδὲν ποιήσασθαι μεμελετηκότες, κώμοις τε διηνεκέσιν ἐσχόλαζον, καὶ μεθύειν ἤθελον ἀσωτότατα καταυλούμενοι, καὶ τοῦτο διημερεύοντες·
D οἰχήσονται μὲν αἰχμάλωτοι καὶ δουλεύσουσιν ἐχθροῖς, πληθὺς δὲ τοσαύτη νεκρῶν κατὰ πᾶσαν ἔσται τὴν χώραν, λιμῷ καὶ δίψει διολωλότων, ὡς μονονουχὶ σπαταλῆσαι τὸν ᾅδην πλατεῖ καὶ ἀπλήστῳ στόματι, χανδὸν ἐκροφοῦντα τοὺς καταβαίνοντας, καὶ τοῖς ἰδίοις ἀποκλείοντα θησαυροῖς. Ὅταν γὰρ ᾅδου ψυχὴν πλατυνομένην ἀκούῃς, νομιστέον ἕτερον οὐδὲν βούλεσθαι δηλοῦν αὐτὸν, ἢ ὅπερ ἔφην ἀρτίως. Κέχρηται γὰρ ἡ θεόπνευστος Γραφὴ τοῖς ὀνόμασι τροπικῶς ἔσθ' ὅτε, καὶ οἷον ἐκ μεταφορᾶς, καὶ ἐπὶ τῶν οὐκ ἐχόντων ψυχὴν, ἀλλ' οὐδὲ ἐν τάξει ζώων ἠριθμημένων, ἢ καὶ ὄντων τούτων κατ' ἀλήθειαν. Ποία γὰρ ᾅδου ψυχή;

Τόπος δὲ μᾶλλον ὁ ᾅδης, καὶ ψυχῶν ἀθλίων ἀηδὲς A δεσμωτήριον. Οὐκοῦν τῶν ἐν τῷδε τῷ βίῳ ἐντρυφώντων ψυχαὶ κατοιχήσονται μὲν εἰς τὸν ᾅδην, κατεμπλήσουσι δὲ ὥσπερ τὴν ψυχήν. Καί τι τοιοῦτον ἡμῖν ὁ θεσπέσιος μελῳδὸς ὑποδηλοῖ, λέγων περὶ πάσης, οἶμαι, ψυχῆς φιληδόνου τε καὶ φιλαμαρτήμονος· Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς. Ὥσπερ γὰρ τοὺς ἁγίους ἀπαλλαττομένους τῶν καθ' ἡμᾶς πραγμάτων, προστεθῆναί φησι τὸ Γράμμα τὸ ἱερὸν τοῖς πατράσιν αὐτῶν· εἴρηται γάρ που πρὸς τὸν μακάριον Ἀβραάμ· « Καὶ σὺ προστεθήσῃ πρὸς τοὺς πατέρας σου τραφεὶς ἐν γήρᾳ καλῷ· » οὕτω καὶ τοὺς τελευτῶντας ἐν ἁμαρτίαις εἰς γενεὰν πατέρων αὐτῶν ἀποδραμεῖσθαί φαμεν, πατέρας αὐτῶν εἶναι λέγοντες τοὺς ὁμοιοειδῆ καὶ διὰ πάντων ἴσην καὶ ὁμοίως ἔχουσαν διαζῶντας B ζωήν. Εἰ δὲ δὴ λέγοιτο πλῆθος εἶναι νεκρῶν, διὰ λιμὸν καὶ δίψαν ὕδατος, ἐκεῖνό φαμεν, ὅ τι γέγραφεν Ἰώσηππος ὁ τῆς Ἰουδαίων συμφορᾶς ἐκτραγῳδήσας τῷ βίῳ τὸ μέγεθος· ὅτι πολιορκουμένης τῆς Ἱερουσαλὴμ γύναια μὲν κατεδήδοκεν ἃ τετόκασι κορία, ἥπτοντο δὲ παντὸς ὑπὸ λιμοῦ καὶ ἀνάγκης τοῦ τοῖς ὀδοῦσιν εἴκοντος. Ὅτι δὲ οὐκ ἐν μόνῃ τοῦτο γέγονε τῇ Ἱερουσαλὴμ, ἀλλὰ καὶ ἐν ταῖς ἑτέραις τῆς Ἰουδαίας πόλεσιν, πῶς ἂν ἢ πόθεν ἐνδοιάσειέ τις; Οὐκοῦν πλεῖστοι μὲν ὅσοι δεδαπάνηνται τῷ πολέμῳ, καὶ πεπτώκασιν ἐν μαχαίραις· πολλῶν δὲ τῶν οὕτως ἀπολωλότων πλείονας ἡ τοῦ λιμοῦ κατέφθειρεν ἀγριότης. Εἰ δὲ δή τις λέγοι, καὶ νοητῶν ὑδάτων γενέσθαι σπάνιν, καὶ τροφῆς τῆς θείας δεδυσσεβηκόσι τοῖς C Ἰουδαίοις· ἀπολωλέναι δὲ οὕτως αὐτοὺς, καὶ οἷον εἰς ᾅδου καθικέσθαι, διά γε τοῦ μὴ ζωοποιεῖσθαι διὰ Χριστοῦ, καθ' ὁμοιότητα τῶν πιστευσάντων εἰς αὐτόν· οὐκ ἂν ἁμάρτοι τοῦ ἀληθοῦς. Συμβέβηκε γὰρ αὐτοὺς καὶ τοῦτο παθεῖν. Ἀλλὰ τίνες ἂν νοηθεῖεν οἱ καταβαίνοντες, οἷς καὶ αὐτὸς ὁ ᾅδης καταπλατύνει τὴν ἰδίαν ψυχὴν, καὶ τὸ ἄπληστον ἀνοίξει στόμα, προσεπάγει λέγων· Οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι, καὶ οἱ πλούσιοι, καὶ οἱ λοιμοὶ αὐτῆς. Ἐπειδὴ γὰρ ἦσαν τῶν ἀνὰ πᾶσαν τὴν χώραν ἡγούμενοι καὶ περιφανέστεροι, δι' αὐτῶν ἦν εἰκὸς παιδαγωγηθήσεσθαι καλῶς τὸ ὑπήκοον· ἀλλὰ τοῦτο μὲν οὐκ ἔδρων. Τύποι δὲ ὥσπερ καὶ ὑπογραμμὸς γεγόνασι τοῖς ἄλλοις τῆς ἐπαράτου ζωῆς, καὶ πρὸς αὐτούς πού φησι λόγιον ἱερόν· « Ὅτι παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς D δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον, ὃ οἱ ἀγρεύοντες τὴν θήραν κατέπηξαν. » Ὁρᾷς ὅπως παγὶς καὶ θήρατρον γεγόνασι τοῖς λοιποῖς, ὅτι καὶ ταῖς τῶν ἡγουμένων ἐπιεικείαις, καὶ μέντοι καὶ ῥᾳθυμίαις ἀεί πως ἕπεσθαι φιλεῖ τὸ ὑπήκοον. Οὐκοῦν ὡς παραίτιοι γεγονότες σφίσιν ἑαυτοῖς, καὶ τοῖς ἄλλοις ἅπασι τοῦ ἀπολέσθαι δεῖν, πρῶτοι καταβήσονται καὶ προελάσουσιν εἰς ᾅδου, ἐπιπηδώσης τρόπον τινὰ καὶ πρό γε τῶν ἄλλων αὐτοῖς τῆς θείας ὀργῆς. Κολασθήσονται δὲ οὐχ ὅτι πλούσιοι καὶ ἔνδοξοι γεγόνασιν, ἀλλ' ὅτι λοιμοὶ, τοῦτ' ἔστι, φθοροὶ καὶ λυμεῶνες, καὶ ἑαυτῶν, ὡς ἔφην, καὶ τῆς ἀγελαίας πληθύος. Οἱ

exsistunt. Quæ enim est inferni anima? Locus potius est infernus, et animarum miserarum carcer horridus. Animæ igitur eorum qui in hac vita deliciis et voluptatibus indulgent, ad infernum descendent, et implebunt quasi ejus animam. Cujusmodi est quod nobis divinus modulator subindicat, loquens, opinor, de omni anima quæ voluptatibus et vitiis addicta est: Ingredietur ad generationem patrum suorum, in sæculum non videbit lucem. Nam ut sanctos nostra hac mortali conditione defunctos patribus suis aggregari sacra Scriptura commemorat; etenim dictum est beato Abrahamo: « Et tu apponeris ad patres tuos, enutritus in senectute bona [87]: » sic et mortuos in peccatis ad genus patrum suorum recurrere dicimus, patres eos appellantes qui per omnia consimiles sunt, et æqualem vitam vivunt. Sin vero dicat multitudinem esse mortuorum præ fame et siti aquæ, illud dicimus quod scripsit Josephus, qui Judaicæ calamitatis magnitudinem tragice litteris prodidit. Obsessis jam Hierosolymis, mulierculæ ederunt quos pepererant liberos, et quidquid in dentes venit, fame ac necessitate urgente, devorarunt. Neque hoc solum Hierosolymis factum esse, sed et in cæteris Judææ urbibus, quomodo dubitet quispiam, et unde? Complures nimirum bello consumpti sunt, et gladio ceciderunt: at multis sic e medio sublatis, plures tamen inediæ rabies perdidit. Sin vero dicat aliquis, aquarum sub intelligentiam cadentium, cibique divini inopiam fuisse, Judæis impie sceleratque viventibus, itaque eos periisse et velut ad inferos concedisse, propterea quod per Christum ad vitam revocati non fuerint, exemplo eorum qui in eum crediderant: is neutiquam a vero aberraverit. Nam et hoc eis accidit. Cæterum hi qui descendunt, quibus ipse adeo infernus suam animam dilatat, **90** et os insaturabile aperiet, quinam intelligantur esse, pergit porro ostendere, cum ait: Nobiles, magni, divites, et pestes ejus. Nam cum totius regionis facile principes exsisterent et insigniores, par erat ut subditi rudimentis pædagogicis per illos rite instituerentur: quod illi quidem minime fecerant. Typi quippe et exempla fuerunt aliis vitæ exsecrabilis: quos sacrum oraculum alicubi affatur: « Laqueus facti estis speculationi, et velut rete expansum super Itabyrion, quia venantes feram defixerunt [88]. » Videsne quo laqueus et pedica reliquis fuerint? Nimirum præfectorum probitatem, vel etiam socordiam imitari plerumque consueverunt subditi. Itaque ceu auctores et causæ interitus et sibi ipsis et aliis omnibus, primi descendent, et præcipites ibunt ad inferos, divina ira ante alios quodammodo in ipsos insiliente. Punientur vero, non quia divites et nobiles sunt, sed quia pestes, id est, labes et lues tum sui ipsorum, uti dixi, tum gregis universi. Ili, inquit, qui magno tumore inflati sunt, reddentur abjecti et inhonorati. Quem

[87] Gen. xv, 15. [88] Osee v, 1.

enim mortis terror non prosternet? Vel quem oculum elatum et altum suspicientem gravis et intoleranda calamitas quietum et sopitum non reddet? Hæc, inquit, omnia ubi evenerint, extolletur Dominus Sabaoth die illa, id est, tum quando hæc de illis prædicta ad exitum decurrent. Extollitur vero Dominus Sabaoth in judicio et justitia, cum recto suo et sacrosancto calculo in populum superbum et voluptuarium animadvertit. Proin aversari lasciviam, carnisque libidines inutiles vel potius impurissimas quam longissime profligare studeamus, ne contra insultet nobis infernus inexplebilis. Meminimus enim Servatorem dixisse: « Væ vobis divitibus, quia habetis consolationem vestram [89]. » Et rursus: « Beati qui lugetis nunc, quia ridebitis [90]. » Desinet enim labor in quietem, et bonorum sudorum finis voluptates conciliabit æternum duraturas. Nam « qui seminat in carne, et ex carne metet interitum, » sicuti scriptum est [91], « et qui seminat in spiritu, et ex spiritu metet vitam æternam. »

δὲ μεγάλα φυσῶντες, φησὶν, ἔσονται τεταπεινωμένοι καὶ ἄτιμοι. Καὶ τίνα γὰρ οὐ ταπεινοῖ τοῦ θανάτου τὸ δεῖμα; Ἢ ποῖον ὀφθαλμὸν ἐπηρμένον καὶ ἄνω βλέποντα δεινὴ καὶ δύσοιστος οὐ κατακοιμίζει συμφορά; Τούτων δὲ, φησὶν, ἁπάντων συμβεβηκότων ὑψωθήσεται Κύριος Σαβαὼθ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τοῦτ' ἔστι, κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν εἰς πέρας δραμεῖται τὰ ἐπ' αὐτοῖς προηγορευμένα. Ὑψοῦται δὲ μόνος Κύριος Σαβαὼθ ἐν κρίματι, καὶ ἐν δικαιοσύνῃ, ὡς ὀρθῇ καὶ ὁσίᾳ τῇ ψήφῳ κολάσας τὸν ἀλαζόνα λαὸν, τὸν ἀπειθῆ καὶ φιλήδονον. Παραιτητέον οὖν ἄρα τὰς τρυφὰς, καὶ ὡς ἀπωτάτω ποιεῖσθαι σπουδάζωμεν τὰς ἀνοήτους φιλοσαρκίας, μᾶλλον δὲ τὰς μυσαρωτάτας, ἵνα μὴ κατατρυφήσῃ καὶ ἐφ' ἡμῖν ὁ ἄπληστος ᾅδης. Μεμνήμεθα γὰρ τοῦ Σωτῆρος λέγοντος· « Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. » Καὶ πάλιν, ὅτι « Μακάριοι οἱ πενθοῦντες νῦν, ὅτι γελάσετε· » καταλήξει γὰρ ὁ πόνος εἰς ἀναψυχὴν, καὶ ἀγαθῶν ἱδρώτων τὸ πέρας, τρυφῆς ἡμῖν ἔσται τῆς εἰς αἰῶνα πρόξενον. « Ὁ γὰρ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθορὰν, » καθὰ γέγραπται· « καὶ ὁ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. »

91 VERS. 17. *Et pascentur direpti, ut tauri, et solitudines eorum qui capti sunt, agni depascentur.*

Καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται.

Constituta adhuc regione Judæorum, rebusque secundis florente, contra sanguine Israelitico oriundos finitimæ gentes belligerabant; Deoque universitatis Israelem quasi scuto contegente, rebellantes sic devicit, ut omnes citra pugnam expugnarit et fregerit, terrasque eorum diripuerit, urbes populatus fuerit, et res alienas tanquam potestate quadam et auctoritate præditi, tulerit, egerit. At ubi in Christum impie egerunt, Romani exercitus vastationi direptionique expositi sunt, urbes crematæ, omnia eorum bona direpta a victoribus: dein Romanorum copiis subducentibus se parumper ac cedentibus, qui olim direpti sunt, incursionem faciunt, urbes ac domos pervestigant, et reliquas res compilatas in suam quique regionem important. Cujusmodi est quod nobis Deus universitatis significat voce prophetæ: « Racemate, racemate quasi vineam reliquias Israelis: revertimini tanquam vindemiator ad cartallum suum [92]. » Prædicit igitur, non satis fore, hæc solum a Romano milite passos esse, sed præterea ex finitimarum gentium crudelitate hæc accessura, dicens: « Et pascentur qui direpti sunt, tanquam tauri. » Qui enim olim, inquit, direptioni eorum facile patebant, quia Deus opem ferebat, hi regionem eorum depascent ceu tauri, id est, feroces, magnanimi, et qui invictam ad resistendum vim afferent. Et solitudines eorum qui relicti sunt, agni depascent. Relictos dicit obsessos. Agni comedent, hoc est, illi rursus qui sunt ex gentibus. Cum enim velut de tauris verba fecisset, persistens in tropo, agnos adjecit: ut tauros esse valde robustos intelligamus. Alios vero qui tales non sunt, sed inferiores ac mi-

Συνεστώσης ἔτι τῆς Ἰουδαίων χώρας καὶ ἐν ἀκμαῖς οὔσης τοῦ εὐημερεῖν, ἐμάχοντο μὲν πρὸς τοὺς ἐξ αἵματος Ἰσραὴλ τὰ περίοικα τῶν ἐθνῶν. Ἐπειδὴ δὲ ἦν ὁ τῶν ὅλων Θεὸς ὁ συνασπίζων τῷ Ἰσραὴλ, κεκράτηκεν οὕτως τῶν ἀνθεστηκότων ὡς νικᾷν ἀμαχεὶ, καὶ καταπτοεῖν ἅπαντας, καὶ διαρπάζειν αὐτῶν τὰς χώρας, καὶ καταδῃοῦν τὰς πόλεις, ἄγειν τε καὶ φέρειν τὰ ἑτέρων μετ' ἐξουσίας. Ἐπειδὴ δὲ δεδυσσεβήκασιν εἰς Χριστὸν, καὶ δέδονται ταῖς Ῥωμαίων στρατιαῖς εἰς ὄλεθρον καὶ διαρπαγὴν, ἐνεπρήσθησαν μὲν αἱ πόλεις, διηρπάσθησαν δὲ πάντα τὰ ὄντα αὐτοῖς παρὰ τῶν νενικηκότων. Εἶτα τῆς Ῥωμαίων στρατιᾶς ὑπενδούσης βραχὺ, κατέτρεχον οἱ πάλαι διαρπαζόμενοι, πόλεις τε καὶ οἴκους διερευνώμενοι, συνεκόμιζόν τε τὰ λοιπὰ, καὶ εἰς τὰς σφῶν αὐτῶν ἀπέφερον χώρας. Καί τι τοιοῦτον ἡμῖν ὑποδηλοῖ λέγων ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς προφήτου· « Καλαμᾶσθε, καλαμᾶσθε ὡς ἄμπελον τὰ λοιπὰ τοῦ Ἰσραήλ· ἐπιστρέψατε ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλλον αὐτοῦ. » Ὅτι τοίνυν οὐκ ἀρκέσει μόνα παθεῖν αὐτοὺς τὰ ἐκ τῆς Ῥωμαίων στρατιᾶς, προστεθήσεται δὲ καὶ τὰ ἐκ τῆς ὠμότητος τῶν ὁμόρων ἐχθρῶν, προαγορεύει λέγων· « Καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι. » Οἱ γὰρ πάλαι, φησὶν, ἕτοιμοι διηρπασμένοι ὑπ' αὐτῶν, διὰ τὸ ἐπαμύνειν Θεὸν, κατανεμηθήσονται τὴν χώραν αὐτῶν ὡς ταῦροι, τοῦτ' ἔστι, δεινοὶ καὶ ἀγέρωχοι, καὶ ἄμαχον ἔχοντες τὴν ἀντίστασιν. Καὶ τὰς ἐρήμους τῶν ἀπειλειμμένων ἄρνες φάγονται. Ἀπειλειμμένων δὲ, φησὶ, τῶν πολιορκηθέντων. Τὰς τοίνυν, φησὶν, ἐρημωθείσας πόλεις τῶν πολιορκηθέντων ἄρνες βοσκηθήσονται, τοῦτ' ἔστι πάλιν οἱ ἐξ ἐθνῶν. Ἐπειδὴ δὲ πάλιν ὡς περὶ ταύρων ἡμῖν πεποίηται τὸν λόγον,

[89] Luc VI, 24. [90] Matth. V, 5. [91] Galat. VI, 8. [92] Jerem. VI, 9.

μεμένηκε τῇ τροπῇ, καὶ προστέθεικεν ἄρνας, ἵνα A τοὺς μὲν ἄγαν ἰσχυροὺς νοῶμεν εἰς μόσχους. Τοὺς δὲ μὴ οὕτως ἔχοντας, ὑποβεβηκότας δὲ ἐν ἰσχύϊ μείονι, λέγομεν ἄρνας. Οὕτω δὴ καὶ τὴν ἑκάστου τῶν ῥαθυμούντων καρδίαν αἱ πονηραὶ καὶ ἀκάθαρτοι νεμηθήσονται δυνάμεις, ὡς μόσχοι καὶ ἄρνες. Τροφὴ δὲ αὐταῖς τὸ φιλήδονον, καὶ νοῦ ῥοπὴ βλέποντος εἰς τὸ πλημμελές.

ΛΟΓΟΣ Δ'.

Οὐαὶ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας, οἱ λέγοντες· Τὸ τάχος ἐγγισάτω ἃ ποιήσει, ἵνα ἴδωμεν, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ, ἵνα γνῶμεν.

Ὁ μὲν τῶν ὅλων δημιουργὸς καὶ Κύριος, ἡμερότητι B νικῶν τῆς ἀνθρώπου φύσεως τὴν ἀσθένειαν, προσελάλει τοῖς ἀρχαιοτέροις διὰ τῶν ἁγίων προφητῶν, τὰ δι' ὧν ἦν εἰκὸς μεταχωρῆσαι πρὸς τὰ βελτίω, τὰ χείρω μεθέντας, καὶ φαυλότητος μὲν καταλῆξαι καὶ ἁμαρτίας, διαβιῶναι δὲ μᾶλλον ἐν ἀρετῇ, καὶ κατορθοῦν ἑλέσθαι τὸ ἀγαθόν. Ταύτης τε ἕνεκα τῆς αἰτίας, ποτὲ μὲν αὐτοῖς παρετίθει τὰ γέρα τὰ τοῖς ἁγίοις ηὐτρεπισμένα· ποτὲ δὲ τοὺς τῆς κολάσεως ἀφηγεῖτο τρόπους, τοὺς τοῖς φιλαμαρτήμοσι πρέποντας, ἵνα πανταχόθεν συνελάσῃ πρὸς τὸ ὠφελοῦν. Ἀλλ' οὐδεὶς ἦν τρόπος ὁ τὰς Ἰουδαίων ἐξιτηλίας ἀπώσασθαι δυνάμενος. Ἀπονενευκότες γὰρ εἰς φιλοκερδίαν καὶ τρυφὰς, καὶ τὴν ἐσχάτην ἤδη νοσοῦντες ἀπόνοιαν κατὰ Θεοῦ, τοῖς ἁγίοις προφήταις ἐπεφύοντο δεινοί. Καὶ οἱ μὲν ἀπιστοῦντες παντελῶς τοῖς δι' αὐ- C τῶν λεγομένοις ἔφασκον· « Ἄλλα ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἑτέραν πλάνησιν· » οἱ δὲ μονονουχὶ καὶ καταιτιώμενοι τὸ τῆς θείας φύσεως ἀνεξίκακον ἀλλήλοις κατὰ τὸ εἰκὸς προσγελῶντες ἔφασκον· Ἀλλὰ μακρὰν αἱ ἡμέραι, ἀπόλωλε πᾶσα ὅρασις. Καὶ γοῦν ἔφη που Θεὸς πρὸς τὸν μακάριον Ἰεζεκιήλ· « Υἱὲ ἀνθρώπου, ἰδοὺ ὁ οἶκος Ἰσραὴλ ὁ παραπικραίνων, λέγοντες λέγουσιν· Ἡ ὅρασις ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς, καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει. Διὰ τοῦτο εἰπὸν αὐτοῖς· Τάδε λέγει Ἀδωναΐ Κύριος· Οὐ μὴ μηκύνωσι πάντες οἱ λόγοι μου, οὓς ἂν λαλήσω· ὅτι λαλήσω λόγον, καὶ ποιήσω, λέγει Ἀδωναΐ Κύριος. » Ἕτεροι δὲ πάλιν μονονουχὶ καὶ ἀπεγνωκότες τῆς ἑαυτῶν σωτηρίας καὶ ζωῆς, κατεθρασύνοντο τῆς ὀργῆς, καὶ δὴ καὶ ἔφασκον· Ἡκέτω D τὸ τάχος ὁ τοῦ πολέμου καιρὸς, οὐκ ἀνάνδρους ἡμᾶς ἢ ψοφοδεεῖς ὄντας εὑρήσουσιν οἱ καταδηοῦν ἐθέλοντες. Ἐμπειροπόλεμοι καὶ ἡμεῖς, καὶ εὖ εἰδότες τὰ τακτικά. Τοὺς ταῦτα πεφρονηκότας ταλανίζει δικαίως, καί φησιν· « Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας. » Ἁμαρτίας δὲ καὶ ἀνομίας ἐν τούτοις φησὶ τὰς ὑπέρ γε τῶν ἁμαρτιῶν τιμωρίας ἤτοι κολάσεις, μακρὰν μὲν οὔσας ἔτι, καὶ οὔπω πλησίον, διά τοι τὸ ἀνεξικακεῖν ἔτι βούλεσθαι τὸν Θεὸν, ἑλκομένας δὲ τρόπον τινὰ παρ' αὐτῶν, διὰ τοῦ βούλεσθαι καὶ τοῖς ἐκ θείας

[94] Isa. xxx, 10. [95] Ezech. xii, 27, 28.

nori robore præditi, agnos appellemus. Ad eumdem quoque modum inertis cujusque et supini hominis cor, pravæ et impuræ potestates velut boves et agni devorabuntur, illisque cedent in cibum voluptuarii, et qui animos atque oculos convertunt ad peccandum.

92 ORATIO IV.

Cap. V. Vers. 18, 19. *Væ trahentibus peccata tanquam funiculo longo, et tanquam jugi loro juvencæ iniquitates, dicentibus : Cito appropinquent quæ faciet, ut videamus, et veniat consilium sancti Israelis, ut sciamus.*

Universitatis opifex et Dominus, humanæ naturæ infirmitatem vincens clementia, per sanctos prophetas affatus est majores, unde eos ad meliora se recipere, deteriora relinquere, a vitiis ac sceleribus desistere, ac in virtute potius reviviscere, ac quod bonum est diligenter persequi, erat consentaneum. Eamque ob rem illis nunc præmia sanctis destinata proponit, nunc suppliciorum genera peccatoribus digna exponit, ut omnibus modis ad id quod expedit perducat. Sed tum nullus erat modus aut via quæ Judæorum ignaviæ depellendæ satis esse posset. Nam in avaritiam et libidinem prolapsi, et morbo contumaciæ in Deum extreme laborantes, in sanctos prophetas graviter concitati sunt; et alii quidem dictis eorum fidem non habentes dicere : « Alia nobis loquimini, et annuntiate alium errorem [94]; » alii vero, naturæ divinæ patientiam prope dixerim accusantes, inter se, ut apparet, loqui ac deridere : Procul abest dies, periit omnis visio. Idcirco ait Deus ad beatum Ezechielem : « Fili hominis, ecce domus Israel exasperans, semper dicit : Visio quam hic videt, est in multos dies, et in longinqua tempora hic vaticinatur. Propterea dic illis : Hæc ait Adonai Dominus : Non protrahentur omnes sermones mei quos loquar, quia loquar sermonem et faciam, dicit Adonai Dominus [95]. » Rursum alii tantum non de sua ipsorum salute et vita desperantes, ita animosi et audaces facti sunt, qui etiam dixerunt : Veniat cito belli tempus, non invenient nos imbelles et ad quemvis strepitum pavitantes, qui vastitatem illaturi sunt. Sumus et nos bellandi non imperiti, et rei militaris non ignari. Hos ergo ad hunc modum affectos merito luget, et inquit : **93** « Væ trahentibus peccata velut funiculo longo, et quasi jugali loro juvencæ, iniquitates. » Peccata et iniquitates hic dicit supplicia et pœnas pro peccatis : procul vero abesse adhuc et nondum prope, quod Deus adhuc pati velit; trahi autem quodammodo ab illis, eo quod divinæ iræ acrimoniam et asperitatem sensuri sint. Quibus ego singulis illud congruentissime et vere dici posse arbitror : « Num divitias bonitatis ejus et tolerantiæ et lenitatis contemnis ? Ignoras

bonitatem Dei ad resipiscentiam te invitare? At secundum obstinationem tuam, et cor resipiscere nescium thesaurizas tibi ipsi iram in die iræ et revelationis justi judicii Dei,[88]. » Trahunt enim ita, uti dixi, ipsi in se punitionis tempus, fortassis etiam soluti inde et securi, quia differt punire eos, et quia turpiter delinquentibus pœnam non irrogat. Trahunt ergo peccata quasi funiculo longo, et quasi jugali loro juvencæ, iniquitates. Quemadmodum enim qui juvencas vel boves jugis submittunt, trahunt quandoque vi multa, et alligant ad labores : ad eumdem, credo, ipsum modum, hi qui se objiciunt iræ divinæ, dicunt : « Appropinquent cito quæ faciet, ut videamus, et veniat consilium sancti Israelis, ut sciamus. » Alius item e sanctis prophetis luget quoque eos qui istud dicunt idemque sentiunt. Væ, inquit, desiderantibus diem Domini, et illa est caligo et non lux, et opacitas non habens lumen suum. Quocirca, cum Deum offensum esse intelligimus, confestim duci pœnitudine oportet, et precibus assiduis illum mitigare potius, non commotum jam irritare, nec comminantem contemnere. Est enim lenis et multum misericors, auferens iniquitates, et superans injustitias, et paucis quandoque lacrymis peccantium, ad placabilitatem serenitatemque sibi gratissimam traducitur.

ὀργῆς περιπεσεῖν κινήμασιν. Οἶμαι δὲ ἔγωγε τῶν τοιούτων ἑκάστῳ πρεπωδέστατά τε καὶ ἀληθῶς δύνασθαι λέγειν ἡμᾶς· « Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν, ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ. » Ἕλκουσι γὰρ, ὡς ἔφην, αὐτοὶ καθ' ἑαυτῶν τὸν τῆς κολάσεως καιρὸν, τάχα που μικροψυχοῦντες, ὅτι μέλλει κολάζων αὐτοὺς, καὶ μὴ πλημμελοῦσιν ἀκαθέκτως ἐπετίθει τὰς δίκας. Ἕλκουσι τοίνυν τὰς ἁμαρτίας ὡς σχοίνῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας. Ὥσπερ γὰρ τὰς δαμάλεις, ἤτοι τὰς βοῦς ὑποφέροντες τοῖς ζυγοῖς, ἕλκουσιν ἔσθ' ὅτε σὺν βίᾳ πολλῇ, καὶ καταδεσμεύουσιν εἰς πόνους· τὸν αὐτὸν, οἶμαι, τρόπον κἀκεῖνοι τοῖς ἐκ θείας ὀργῆς ἐπισυμβήσεσθαι μέλλουσιν ἑαυτοὺς ὑποφέροντες ἔφασκον· « Ἐγγισάτω τὸ τάχος, ἃ ποιήσει, ἵνα ἴδωμεν, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ ἵνα γνῶμεν. » Τοῦτο λέγοντας καὶ οὕτω πεφρονηκότας καὶ ἕτερος τῶν ἁγίων προφητῶν ταλανίζει λέγων· Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου· καὶ αὕτη ἐστὶ σκότος, καὶ οὐ φῶς, καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτοῦ. Χρὴ τοίνυν μανθάνοντας ὅτι λελύπηται Θεὸς, παραχρῆμα μετανοεῖν, καὶ ἀκαταλήκτοις προσευχαῖς μειλίσσεσθαι μᾶλλον αὐτὸν, οὐ παροτρύνειν ἔτι κεκινημένον· οὔτε μὴν ἀπειλοῦντος καταφρονεῖν· μακρόθυμος γάρ ἐστι, καὶ πολυέλεος, ἀποφέρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας· καὶ μικροῖς ἔσθ' ὅτε δακρύοις τῶν ἡμαρτηκότων ἐπὶ τὴν αὐτῷ φιλαιτάτην γαληνότητα μεθιστάμενος.

Vers. 20, 21. *Væ dicentibus malum bonum, et bonum malum; qui ponunt tenebras lucem, et lucem tenebras; qui ponunt amarum dulce, et dulce amarum. Væ his qui sibi ipsis videntur sapientes, et coram semetipsis prudentes sunt.*

Insipientes esse omnino eos etiam hisce verbis arguit, qui peccata quasi longo **94** funiculo trahunt. Cum enim pœnitentiam omni laude dignam existimare, et se ab ira impendente probe ac integre vivendo conservare, et Deo omnipotenti offenso, prece et supplicatione, se probare oporteret : nummularii improbi evaserunt, turpiora in pretio habentes, notantes vero ut adulterinum citra discrimen id quod præstabilius est, et ad suam ipsorum salutem utilissimum. Convenit ergo hoc, Væ illis, sic affectis, quia in seipsos impii et stulti judices exstiterunt. Etenim cum malum bonum esse dicerent, et tenebras lucem ducerent, et amarum dulce, et dulce amarum affirmarent : cumque maluerint calamitates belli subire, cum alioqui facile a malis immunes esse potuissent, repudiata etiam ipsa per Christum illustratione, in tenebris remanserunt. Et dicit propheta : « Cum exspectarent lucem, factæ sunt illis tenebræ; exspectantes splendorem, in caligine versabantur. » Ad eam vero impietatem animique efferationem provoluti sunt, ut quantumvis Dei clementiæ ejusque spei dulcissimus fructus illis propositus esset, pœnarum tamen ipsi acerbi-

Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρὸν, οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος, οἱ τιθέντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν. Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες.

Ἀσυνέτους ὄντας παντελῶς καὶ διὰ τούτων ἐλέγχει τοὺς τὰς ἁμαρτίας ἐπισπωμένους ὡς σχοινίῳ μακρῷ. Δέον γὰρ ἐπαίνου παντὸς ἀξιοῦν τὸ χρῆναι μετανοεῖν, καὶ διὰ πάσης ἐπιεικείας ἀπαλλάττειν ἑαυτοὺς τῆς ἐπηρτημένης ὀργῆς, καὶ ταῖς νηστείαις ἀπολογεῖσθαι λελυπημένῳ τῷ πάντων κρατοῦντι Θεῷ· ἀδόκιμοι γεγόνασι τραπεζῖται, τιμῶντες μὲν τὰ αἰσχίω, κατακιβδηλεύοντες δὲ τὸ ἀσυγκρίτως ἄμεινον, καὶ τὸ ὅτι μάλιστα λυσιτελὲς εἰς σωτηρίαν αὐτοῖς. Πρέπει δὴ οὖν ἄρα τοῖς οὕτω πεφρονηκόσι τὸ οὐαί. Ἀνόσιοι γὰρ καὶ ἀσύνετοι καθ' ἑαυτῶν γεγόνασι δικασταί. Τὸ μὲν γὰρ πονηρὸν καλὸν εἶναι λέγοντες, καταλογιζόμενοι τὸ σκότος φῶς, καὶ τὸ μὲν πικρὸν γλυκὺ, τὸ δὲ γλυκὺ πικρὸν εἶναι διαβεβαιούμενοι, διά γε τοῦ παθεῖν ἑλέσθαι τὰς ἐκ τοῦ πολέμου συμφορὰς, καίτοι μετὸν εὐκόλως ἔξω γενέσθαι τοῦ κακοῦ, παρωσάμενοι δὲ καὶ αὐτὸν τὸν διὰ Χριστοῦ φωτισμὸν, μεμενήκασιν ἐν σκότῳ. Καὶ τί φησιν ὁ προφήτης; « Ὑπομεινάντων φῶς ἐγένετο αὐτοῖς σκότος· μείναντες αὐγὴν ἐν σκοτίᾳ περιεπάτησαν. » Κατώλισθον δὲ δυσβουλίας εἰς τοῦτο καὶ φρενῶν ἀγριότητος, ὥστε καὶ προκειμένης αὐτοῖς εἰς ἀπόλαυσιν τῆς ἡμερότητος τοῦ Θεοῦ, καὶ τῆς ἐντεῦθεν γλυκείας ἐλπίδος,

[88] Rom. II, 4, 5.

εἵλοντο μᾶλλον αὐτοὶ τὰς ἐκ τοῦ κολάζεσθαι πικρίας, καὶ τοῖς οὕτω δεινοῖς ἐκτρύχεσθαι κακοῖς. Πεπονθέναι δὲ τοῦτό φησιν αὐτοὺς, ὅτι γεγόνασιν ἐν ἑαυτοῖς συνετοὶ, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. Ἀληθὲς ὅτι κατὰ τὴν τοῦ Παροιμιαστοῦ φωνὴν, « Ἀνεξέλεγκτος σοφία πλανᾶται. » Φορτικὸν δὲ καὶ ἐπιζήμιον τὸ περιαυτίζεσθαι φιλεῖν τοῖς τοῦτο δρᾷν εἰωθόσι, καὶ ἀποδιδόναι μόνῃ τῇ ἰδίᾳ γνώμῃ τὸ δοκεῖν εἰδέναι τὸ ὠφελοῦν. Οὕτω καὶ Γράμμα φησὶν ἱερόν· Ὁ δὲ κατοιόμενος καὶ καταφρονητὴς ἀνὴρ ἀλαζὼν οὐδὲν οὐ μὴ περάνῃ. Ταύτην ἔχοντες τὴν ἀῤῥωστίαν εἰς νοῦν καὶ καρδίαν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, τὰς παρὰ τοῦ Σωτῆρος οὐκ ἐδέχοντο συμβουλάς. Ἦσαν γὰρ, ἦσαν, οὐκ ἐνώπιον Κυρίου μᾶλλον, ἀλλ' ἐνώπιον ἑαυτῶν ἐπιστήμονες, ἐξοφρυωμένοι μὲν καὶ μέγα φρονοῦντες ἐπὶ τῇ τῶν θείων εἰδήσει νόμων, ἐγνωκότες δὲ τὸ σύμπαν οὐδέν. Τυφλοὶ γὰρ ἦσαν τυφλῶν ὁδηγοὶ, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν.

Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνασταὶ οἱ κεραννύντες τὸ σίκερα· οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκα δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες.

Οἱ τῆς Ἰουδαίων συναγωγῆς ἁδρότεροί τε καὶ εὐκλεέστεροι, καὶ τὸ προὔχειν τῶν ἄλλων ἐν εἰδήσει τῶν θείων ἔχοντες νόμων, καὶ τὰς παρ' αὐτοῖς ποιούμενοι κρίσεις, διεβέβληντο λίαν, ὡς ἄπληστον εἰς δωροδοκίαν ἐκτείνοντες χεῖρα, καὶ τοῖς ἀδικεῖν ἐθέλουσιν ἀδελφοὺς τὴν παρ' ἑαυτῶν εὐκόλως καταπωλοῦντες ψῆφον· καίτοι τοῦ νόμου λέγοντος ἐναργῶς· « Κρίμα δίκαιον κρίνατε. » Ὅτι δέ ἐστιν ἀληθὲς ὅ φημι, πιστώσεται λέγων ὁ προφήτης Ἀμβακούμ· « Ἕως τίνος, Κύριε, κεκράξομαι, καὶ οὐκ εἰσακούσῃ; βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; Ἵνα τί ἔδειξάς μοι κόπους καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν; Ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα, ὅτι ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. Ἕνεκα τούτου ἐξελεύσεται τὸ κρίμα διεστραμμένον. » Καὶ αὐτὸς δέ πού φησιν ὁ θεσπέσιος Ἡσαΐας πρὸς τὴν Ἱερουσαλὴμ, ἤτοι τὴν Σιών· « Οἱ ἄρχοντές σου ἀπειθοῦσιν, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα· ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. » Ταῦτα δὲ ἔδρων αἰσχρῶν λημμάτων ἡττώμενοι· καὶ τάχα που τὰ εἰς πότους καὶ τρυφὰς ἀνοσίως ἐρανιζόμενοι, καὶ ἐξ ἀδικιῶν συλλέγοντες. Αἰτιᾶται γὰρ αὐτοὺς διὰ φωνῆς προφήτου, λέγων· Καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις, παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ αὐτῶν. Οὐαὶ τοίνυν, φησὶ, τοῖς ἁδροῖς καὶ δυνατοῖς, τοῖς ἀρτύουσι περιέργως τὸ σίκερα, τοῖς φιλοπόταις, καὶ ἀγαπῶσι μέθην, τοῖς τὸ δίκαιον αἴρουσι τοῦ δικαίου, τοῦτ' ἔστι, τοῖς κατακρίνουσι μὲν τὸν ἠδικημένον, ἀπονέμουσι δὲ ψῆφον δικαίαν τοῖς εἰωθόσι πλεονεκτεῖν. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ ἀναφανδὸν εἰπεῖν τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρὸν, καὶ σκότος εἰς φῶς, καὶ τὸ φῶς εἰς σκότος,

talem elegerunt, et his gravissimis quidem malis divexari maluerunt. Idque propterea illis accidisse ait, quod apud seipsos sapientes, et in oculis suis prudentes viderentur. Quod quidem verum est, quia juxta Parœmiastæ vocem [96]: « Sapientia reprehensionis impatiens, errat. » Et sibi præfidere solere, et ex suo arbitrio judicioque solo, quid utile cognitu sit, explicare, id grave est et perniciosum his qui id facere consueverunt. Sic etiam sacra Scriptura inquit : Insolens et contemptor ac vir arrogans non proficiet. Cum hoc animi morbo laborarent Judæorum duces, consilio Servatoris non acquieverunt. Erant enim, erant prudentes, non apud Dominum, sed apud se, supercilia tollentes, et alte sapientes propter divinarum legum scientiam, cum omnino nihil sciverint. Cæci enim erant, juxta Servatoris vocem, duces cæcorum.

VERS. 22, 23. *Væ his qui inter vos robusti sunt ad bibendum vinum, et validi ad miscendam siceram : qui justificant impium propter munera, et justitiam justi tollunt ab eo.*

Primores et nobilissimi Judaicæ Synagogæ, et qui inter alios cognitione divinarum legum eminebant, judiciaque apud eos **95** exercebant, graviter hujus criminis arcessebantur, quasi ad largitiones accipiendas inexplebilem manum extendentes, et quibus animus erat injuriam facere fratribus, his facile suum suffragium vendentes, licet clare dicat lex : « Judicium justum judicate [97]. » Verum esse quod dico confirmabit propheta Habacum, dicens : « Quousque clamabo, et non exaudies? vociferabor ad te vim patiens, et non servabis? Quare ostendisti mihi labores et dolores ut viderem miseriam et impietatem? Contra me factum est judicium, et judex accipit. Ideo dissipata est lex, et non perductum est ad finem judicium, quia impius prævalet justo. Idcirco exibit judicium perversum [98]. » Divinus quoque Isaias ipse alloquitur Jerusalem seu Sion : « Principes tui non obediunt, socii sunt furum, diligunt munera, inhiant præmiis, pupillis non judicant, et judicio viduæ non attendunt [99]. » Hæc autem fecerunt, corrupti sordidis muneribus, ac fortassis etiam impie colligentes, et ad fomenta fœdarum voluptatum ex injuriis corrogantes. Accusat quippe eos voce prophetæ, dicens : Vestes eorum vincientes funiculis, vela fecerunt contigua altari, et vinum ex sycophantiis biberunt in domo Dei sui. Væ itaque, inquit, his qui robusti sunt et validi, qui exquisite siceram condiunt, qui potioni indulgent, et ebrietate delectantur, qui justitiam tollunt a justo, id est, injuste oppressum condemnant, et causam hominum avaritiæ studentium justa sententia adjuvant. Et hoc plane est, ut arbitror, malum dicere bonum, et bonum malum, tenebras lucem, et lucem tenebras, amarum dulce, et dulce amarum. Deplorat autem in omnibus robustos,

[96] Prov. XIX, 19. [97] Deut. I, 16. [98] Habac. I, 2-4. [99] Isa. I, 23.

præcellentes et præpotentes, quandoquidem potentes potenter et acriter torquebuntur, et cui multum additum est, ab eo multum exigetur, juxta vocem Servatoris. Non enim pari supplicio affligentur principes et subditi. Etenim hi prætexunt interdum se non scire voluntatem domini sui : at illi etsi sciant exactissime, non fecerunt tamen. Eamque ob causam merito duriora patientur ab eo qui pœnam irrogat.

VERS. 24. *Propterea quemadmodum exuretur stipula a carbone ignis, et comburetur a flamma resoluta, radix eorum quasi lanugo erit, et flos eorum ut cinis ascendet.*

96 Quoniam, inquit, contra se ipsi protraxerunt peccata velut funiculo longo, nec recti rerum æstimatores fuerunt, criminantes bonum, laudantes malum, sapientes etiam apud seipsos, et oculis suis prudentes, et quæ his fœdiora erant spectantes, impium propter munera justum pronuntiantes, jus justo eripientes : his omnibus de causis, erunt materia concremabilis, instar stipulæ, et ignis fomentum et flammæ accensæ eos depascentur : ut una cum radicibus ipsorum quoque fructus consumantur, id est, ut cum parentibus et ex his etiam procreati simul intereant, et tanquam pulvisculus aut cinis, rapidissimi venti impetu dissipentur. Accensam vero flammam dicit, quæ a nullo exstincta est. Incidit enim quandoque ignis et in segetem, et in vites, non tamen incenduntur, quia multi succurrunt, nec sinunt eum invalescere, ut agros nullo prohibente depopuletur. Cæterum si nullus laborat, nec ulterius cursum flammæ impedit, tunc accensa erit, et libera, et effrenate quodcunque obvium invadet. Quare Deo omnipotente bellicis calamitatibus eos objiciente, et sacrosancto suffragio multante, cum nullus omnium subveniret : hinc accensam facem, optimo jure iram nominat. Ut enim beatus Moses ait : « Deus noster ignis consumens est. Et si clauserit contra hominem, quis aperiet [1] ? » His igitur divinus David accinit dicens : « Tu formidabilis, o Domine, ecquis resistet tibi [2] ? » Omnibus igitur viribus effugienda est hæc ira, utpote terribilis et inevitabilis. Itaque docemur in precibus dicere : « Domine, ne in furore tuo redarguas me, nec ira tua castiges me [3]. » Non enim acerbum est castigari, sed ex ira quasi et furore id contra nos fieri, et molestum est, et intolerabile. Sic et propheta : « Castiga, » inquit, « nos, Domine, verum in judicio, non in furore : ne nos ad numerum paucissimum redigas. »

A τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν. Ἰστέον δὲ ὅτι δυνατοὶ δυνατῶς ἐτασθήσονται· καὶ ᾧ παρέθεντο πολὺ περισσότερον ἀπαιτοῦσι παρ' αὐτοῦ, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Οὐ γὰρ ἴσῳ τρόπῳ τὰ τῆς κολάσεως ἔσται, τοῖς τε ἡγουμένοις καὶ τοῖς ὑπὸ χεῖρα κειμένοις. Οἱ μὲν γὰρ ἔσθ' ὅτε προβαλοῦνται τὸ μὴ εἰδέναι τυχὸν τὸ θέλημα τοῦ κυρίου αὐτῶν· οἱ δὲ καίτοι λίαν ἐγνωκότες ἀκριβῶς οὐ δεδράκασιν. Ταύτῃ τοι δικαίως δυσαχθεστέραν ὑπομενοῦσι τὴν τοῦ κολάζοντος κίνησιν.

Διὰ τοῦτο, ὃν τρόπον καυθήσεται ἡ καλάμη ὑπὸ ἄνθρακος πυρὸς, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα αὐτῶν ὡς χοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν, ὡς κονιορτὸς ἀναβήσεται.

Ἐπειδὴ γὰρ αὐτοὶ καθ' ἑαυτῶν, φησὶν, ἐπεσπά-
B σαντο τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ γεγόνασιν οὐκ ὀρθοὶ τῶν πραγμάτων κριταὶ, καταψέγοντες μὲν τὸ ἀγαθὸν, ἐπαινοῦντες δὲ τὸ πονηρὸν, σοφοί τε ἦσαν ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες, καὶ πρὸς τὰ ἔτι τούτων αἰσχίονα βλέποντες, δεδικαιώκασι μὲν ἕνεκα δώρων τὸν ἀσεβῆ, τὸ δὲ δίκαιον τοῦ δικαίου ἔλαβον· τούτων ἕνεκα πάντων ὡς εὐκατάπρηστος ὕλη, καὶ καλάμης δίκην, πυρὸς ἔσονται τροφὴ, καὶ φλόγες αὐτοὺς ἀνειμέναι κατανεμηθήσονται, ὡς ὁμοῦ ταῖς ῥίζαις τοὺς ἐξ αὐτῶν δαπανηθῆναι καρποὺς, τοῦτ' ἔστι, συνδιολέσθαι τοῖς τεκοῦσι τὰ ἐξ αὐτῶν, καὶ ὡς χοῦν ἢ κόνιν ῥαγδαιοτάτου πνεύματος διαριπισθῆναι προσβολαῖς. Ἀνειμένην δὲ φλόγα φησὶ τὴν ὑπ' οὐδενὸς σβεννυμένην. Ἐμπέπτωκε μὲν γὰρ ἢ ληΐοις ἤγουν ἀμπέλοις ἔσθ' ὅτε
C πῦρ· ἀλλ' οὐ γέγονεν ἀνημμένη, ἐπαμυνόντων πολλῶν, καὶ προσελθεῖν οὐκ ἐώντων, οὔτε μὴν ἀδιακωλύτως κατανέμεσθαι τοὺς ἀγρούς. Πονοῦντος δὲ οὐδενὸς, ἤγουν ἀνακόπτοντος τὸν ἐπέκεινα δρόμον τῆς φλογὸς, τότε δὴ τότε καὶ ἀνημμένη τις ἔσται καὶ ἄφετος, καὶ ἀχάλινος οὖσα πρὸς πᾶν ὁτιοῦν τῶν παρακειμένων. Οὐκοῦν ἐπειδήπερ ταῖς τοῦ πολέμου συμφοραῖς ὑποφέροντος αὐτοὺς τοῦ πάντα ἰσχύοντος Θεοῦ, καὶ ὁσίᾳ ψήφῳ κολάζοντος, οὐδεὶς παντελῶς ἐπαμύνων ἦν· ταύτῃ τοι καὶ μάλα εἰκότως ἀνημμένην φλόγα τὴν ὀργὴν ὀνομάζει. Ὡς γάρ φησιν ὁ μακάριος Μωσῆς· « Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστὶν, καὶ ἐὰν κλείσῃ κατὰ ἀνθρώπου, τίς ἀνοίξει; » Καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος Δαβὶδ ψάλλει· « Σὺ
D φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου; » Χρὴ οὖν ἄρα παντὶ σθένει χρωμένους παραιτεῖσθαι τὴν ὀργήν· φοβερὸν γὰρ τὸ χρῆμα, καὶ δυσδιάφυκτον· καὶ γοῦν δεδιδάγμεθα λέγειν ἐν προσευχαῖς· « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. » Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν τὸ παιδεύεσθαι χαλεπόν. Φορτικὸν δὲ καὶ δύσοιστον, τὸ ἐν ὀργῇ καὶ θυμῷ τοῦτο πράττεσθαι καθ' ἡμῶν· οὕτω καὶ ὁ προφήτης ἔλεγεν· « Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς. »

VERS. 25. *Non enim voluerunt legem Domini Sabaoth, sed oraculum sancti Israelis irritarunt. Et commotus est furore Dominus Sabaoth in populum suum, et injecit manum in eos, et percussit eos, et exacerbati*

Οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαὼθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν. Καὶ ἐθυμώθη ὀργῇ Κύριος Σαβαὼθ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς,

[1] Deut. IV, 24. [2] Psal. LXXV, 8. [3] Psal. VI, 2.

καὶ ἐπάταξεν αὐτοὺς, καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς κοπρία ἐν μέσῳ ὁδοῦ.

A *sunt montes, et* **97** *facta sunt morticinia eorum velut fimus in medio viæ.*

Ὁ σοφώτατος Ἱερεμίας ταῖς τῶν Ἰουδαίων ἀμαθείαις τε καὶ ὑπεροψίαις ἐπιπλήττει λέγων· « Πῶς ἐρεῖτε, ὅτι Σοφοὶ ἐσμεν ἡμεῖς, καὶ νόμος Κυρίου μεθ' ἡμῶν ἐστιν; Εἰς μάτην ἐγενήθη σχοῖνος, ψευδὴς γραμματεύς, ᾐσχύνθησαν σοφοὶ, ἐπτοήθησαν καὶ ἑάλωσαν. Σοφία τίς ἐστιν ἐν αὐτοῖς; Ὅτι τὸν λόγον Κυρίου ἀπεδοκίμασαν. » Προσήκαντο μὲν γὰρ οὐδαμῶς τὸ κήρυγμα τὸ εὐαγγελικόν· ἀλλ' οὐδὲ αὐτὸν τὸν διὰ Μωσέως τετιμήκασι νόμον. Ὡς γὰρ αὐτὸς εἴρηκεν ὁ Χριστός· « Εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Πεπλημμελήκασι τοίνυν κατ' ἄμφω, καὶ ἀπεδοκίμασαν οἱ δείλαιοι τὸν τοῦ Θεοῦ λόγον, μήτε τὰς διὰ νόμου B προαγορεύσεις ὡς ἀληθεῖς δεχόμενοι, μήτε μὴν τὸν σωτήριον εὐαγγελικὸν ἐπαινέσαντες λόγον. Ταύτῃτοι διὰ φωνῆς Ἱερεμίου περὶ αὐτῶν ἔφη Θεός· « Πρὸς τίνα λαλήσω, καὶ διαμαρτύρομαι, καὶ εἰσακούσεται; Ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν. Ἰδοὺ τὸ ῥῆμα Κυρίου ἐγενήθη αὐτοῖς εἰς ὀνειδισμόν· οὐ μὴ βουληθῶσιν αὐτὸ ἀκούειν. » Κατωνείδιζον γὰρ τὸ ῥῆμα Χριστοῦ, τοῖς ἀκροωμένοις περὶ αὐτοῦ λέγοντες· « Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε; » Οὐκοῦν ἐπειδήπερ οὐκ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαὼθ, παρώτρυναν δὲ καὶ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ, τοῦτ' ἔστι, Χριστοῦ· Ἐθυμώθη, φησὶν, ὀργῇ, καὶ ἐπάταξεν αὐτοὺς, καὶ παρωξύνθη τὰ ὄρη. Καὶ ποῖά φησιν ἐν τούτοις ὄρη; ἢ δηλονότι C τὰς Ῥωμαίων ἀρχὰς, διά τοι τὸ ἐν δόξῃ περιφανεῖ, καὶ τὸ ἐν ἀξιώμασιν ἐπηρμένον; Ἀπὸ δὲ τοῦ παροξυνθῆναι τὰ ὄρη, γέγονεν αὐτῶν ὡς κοπρία τὰ θνησιμαῖα, τοῦτ' ἔστιν, οἱ ἐκ τοῦ πολέμου νεκροὶ, διερριμμένοι πανταχῇ, καὶ τάχα που κείμενοι σωρηδὸν, καὶ πᾶσαν αὐτῶν πιμπλάντες τὴν χώραν. Καὶ ἑτέρως δὲ κατὰ τῶν παροτρυνόντων διὰ τῆς ἀπειθείας τὸν τῶν ὅλων Σωτῆρα Θεόν. Παροτρύνονται γὰρ ὄρη τὰ νοητὰ, τοῦτ' ἔστιν, ἀρχαὶ καὶ ἐξουσίαι, καὶ οἱ κοσμοκράτορες τοῦ σκότους τούτου. Οὗ δὴ γεγονότος, πᾶσά πως ἀνάγκη τὸν ψυχῆς ὑπομεῖναι θάνατον τοὺς ὑπενηνεγμένους αὐτοῖς. Ἐπικουροῦντος μὲν γὰρ τοῦ πάντα ἰσχύοντος Θεοῦ, κἂν παροτρύνηται καθ' ἡμῶν τὰ ὄρη, λόγος αὐτῶν οὐδείς. Γέγραπται γὰρ, ὅτι Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φο- D βουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Ἀφιστάντος δὲ τὴν χεῖρα, καὶ οὐκ ἔτι σώζειν ἀνεχομένου, τὸ τηνικάδε κεισόμεθα, καὶ κοπρίων δίκην ὑπὸ πόδας τῶν ἐχθρῶν ἐσόμεθα.

Sapientissimus Jeremias inscitiam Judæorum et superbiam taxat, dicens: « Quomodo dicetis, Sapientes sumus nos, et lex Domini apud nos est? Vanus factus est juncus, mendax scriba; pudefacti sunt sapientes, perterriti sunt, et capti sunt. Sapientia quænam illis inest [4]? Quoniam verbum Domini respuerunt. » Neque enim prædicationem Evangelii admiserunt, imo nec ipsam legem a Mose traditam coluerunt: ut etiam ipse Christus dixerat: « Si credidissetis Mosi, credidissetis mihi: nam de me ille scripsit [5]. » Contra utrumque ergo deliquerunt, et Dei verbum repudiarunt miseri, neque prædictiones legales ut veras recipientes, neque salutari evangelicoque sermoni suffragantes. Idcirco voce Jeremiæ de ipsis locutus est Deus: « Ad quem loquar, et contestabor, et exaudiet? Ecce incircumcisæ aures eorum, nec possunt audire. Ecce verbum Domini factum est illis in opprobrium. Nolunt illud audire [6]. » Probris enim commacularunt verbum Domini, cum de ipso audientibus dicerent: « Dæmonium habet, et insanit; quid illum auditis [7]? » Cum ergo legem Domini Sabaoth non voluerint, irritarunt oraculum sancti Israel, id est, Christi. Commotus est, inquit, furore, et percussit eos, et exacerbati sunt montes. Quosnam dicit hic montes? annon videlicet Romanum imperium propter splendorem gloriæ, et dignitatis eminentiam? Eo quod exacerbati sunt montes, facta sunt morticinia eorum quasi fimus, id est, qui in bello mortui sunt, passim et sparsim projecti sunt, et acervatim jacuerunt, universamque regionem eorum repleverunt. Quinetiam aliter de his qui per inobedientiam omnium Servatorem Deum exacerbarunt, intelligi potest. Exacerbati sunt enim montes intelligibiles, id est, principatus, et potestates, et mundi domini, rectores tenebrarum harum [8]. Quod ubi fit, eos qui subditi illis sunt, mortem animæ subire omnino est necessum. Etenim Deo optimo maximo suppetias ferente, quantumvis contra nos excanduerint montes, nulla eorum ratio habenda est. Scriptum est enim: Castrametabitur angelus Domini circa timentes ipsum, et eruet eos. Sin manum ille subtraxerit, nec jam servare sustinuerit, tunc jacebimus, et velut stercus pedibus inimicorum substernemur.

Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. Τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακρὰν, καὶ συριεῖ αὐτοῖς ἀπ' ἄκρου τῆς γῆς. Καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται· οὐ πεινάσουσιν, οὐδὲ κοπιάσουσιν, οὐδὲ νυστάξουσιν, οὐδὲ κοιμηθήσονται, οὐδὲ μὴ λύσωσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδ' οὐ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν

98 VERS. 25-30. *In omnibus his non aversa est ira, sed adhuc manus excelsa. Itaque levabit signum in gentibus longinquis, et assibilabit illis ab extremo terræ. Et ecce cito leviter venient: non esurient, neque laborabunt, neque dormitabunt, neque consopientur, neque solvent cingula sua a lumbo suo, neque rumpentur corrigiæ calceorum ipsorum: quorum tela acuta sunt, et arcus eorum extensi. Pedes*

[4] Jerem. VIII, 8, 9. [5] Joan. V, 46. [6] Jerem. VI, 10. [7] Joan. X, 20. [8] Ephes. VI, 12.

equorum eorum ut solida petra reputati sunt: rotæ currnum ipsorum quasi tempestas. Irruunt quasi leones, et astiterunt quasi catulus leonis. Et apprehendet et vociferabitur quasi fera, et injiciet se, nec erit qui eripiat. Et vociferabitur propter ipsos die illa, ut sonitus maris inundantis, et inspicient in terram, et ecce caligo tetra in eorum inopia.

A *ὑποδημάτων αὐτῶν, ὧν τὰ βέλη ὀξέα ἐστὶ, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα. Οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν· οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίς. Ὁρμῶσιν ὡς λέοντες, καὶ παρεστήκασιν ὡς σκύμνος λέοντος. Καὶ ἐπιλήψεται, καὶ βοήσεται ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος. Καὶ βοήσεται δι' αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης, καὶ ἐμβλέψονται εἰς γῆν, καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν.*

Quod ira in eos justa judicantis hic non sistet, sed ulterius progredietur, ex his quæ jam proposita sunt, perspicuum erit. Nam licet crudeliter vastati, fame et siti pressi, bellique calamitatibus impliciti fuerint miselli, tamen in hac aversione a Deo perstiterunt, nec ab ira liberi immunesque fuerunt. Hoc enim, opinor, significat ubi ait: Adhuc manus excelsa, quippe feriens eos qui peccaverunt. In altum enim semper elevatur manus percutientis. Dein quæ et quanta montium irritatio sit futura, et qui furoris eorum administri erunt, quanta cum fortitudine et audacia, et insueta in homines immanitate et sævitia adorientur, declarat cum dicit: « Itaque levabit signum in gentibus longinquis. » Non enim vicini erant, aut Judæorum regioni conterminі, qui eam vastarunt, et Hierosolyma cunctasque Judæorum urbes cremarunt; sed ex longinquis regionibus et ex omni terra congregati: complures quippe, imo innumerabiles conjunctis copiis et clypeis Vespasianum et Titum adjuverunt. Signumque, inquit, dabitur, perinde ut belli ac pugnæ tempore. Sic enim ducibus solemne est, multitudinem sub ipsis merentem in aciem educturis, signum quoddam dare, et vexilla, ut vocant, in altum tollere. Quorum et propheta Isaias meminit: **99** Capietur, inquiens, ut vexillum in monte, et ut signum gerens in colle. Vexilla namque collocantes in præaltis verticibus, vel recta procedunt, vel retrocedunt, vel etiam suspendunt quiddam ad quod acies respicit. Novit enim hoc pacto ducis voluntatem. Itaque levabit, inquit, signum, assibilabit illis. Sumit hoc rursus, velut a consuetudine apum. Solent enim apiarii sibilo eas excitare, et ita ex alveariis ad flores et herbas educere, et ex agris quoque reducere, domique ut immorentur efficere. Sibilabit ergo, inquit. Hi vero accurrere volucres et leves, famem magnopere non curare, nec pertimescere labores, sed insomnes esse, et præcincti, ac bellico apparatu instructissimi, indomitis equis vehi, ac instar turbinis impetum facere, leonibus similes, ac more ferarum vorare: occursu adeo sævi et truces, ut citra pugnam possent vincere, nemine contra se opponente, vel ad subsidium ferendum satis valente. Erit item ploratus eo tempore, et clamor confusus, ut nemo sit qui præsit aliis, perinde quasi sonitus maris per regionem Judæorum dissiparetur. Erit etiam caligo tetra, idque partim propter nebulam quasi et noctem intelligitur, partim, ac quidem verius, propter terrores et consilii inopiam. Mala enim graviora menti tenebras offundunt. Inservit

Ὅτι μὴ μέχρι τούτων τὰ τῆς ἐπ' αὐτοῖς ὀργῆς μετρηθήσεται παρὰ τοῦ τὰ δίκαια κρίνοντος, προβήσεται δὲ καὶ ἐπέκεινα, σαφηνιεῖ τὸ προκείμενον. Καίτοι γὰρ ἀγρίως πεπορθημένοι, λιμῷ τε καὶ δίψει πεπιεσμένοι, καὶ ταῖς τοῦ πολέμου συμφοραῖς ἐναλόντες οἱ δείλαιοι, μεμενήκασιν ἐν ἀποστροφῇ Θεοῦ, καὶ οὐκ
B ἔξω γεγόνασι τῆς ὀργῆς. Τοῦτο γὰρ, οἶμαι, σημαίνει λέγων τὸ, Ἔτι ἡ χεὶρ ὑψηλὴ, ὅτι πλήττουσα τοὺς ἡμαρτηκότας. Ὑψοῦ γὰρ ἀεί πως ἡ τοῦ παίοντος αἴρεται χείρ. Εἶτα τίς ἡ πόσος ὁ τῶν ὀρῶν ἔσται παροξυσμὸς, τίνες δὲ καὶ οἱ τοῖς ἐκείνων ὑπηρετησόμενοι θυμοῖς, καὶ μεθ' ὅσης ἥξουσιν ἀνδρείας τε καὶ εὐτολμίας, καὶ τῆς εἰς ἀνθρώπους ἀήθους ὠμότητος, ἐμφανίζει λέγων· « Τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακράν. » Οὐ γὰρ ὅμοροι καὶ γείτονες τῆς Ἰουδαίων χώρας οἱ ταύτην ἠρημωκότες καὶ κατεμπρήσαντες τὰ Ἱεροσόλυμα, καὶ ἁπάσας δὲ τὰς τῶν Ἰουδαίων πόλεις, ἀλλ' ἐκ χωρῶν τῶν μακρὰν, καὶ ἐξ ἁπάσης τῆς γῆς συναγηγερμένοι. Πλεῖστοι γὰρ λίαν· μᾶλλον δὲ τάχα που καὶ ἀριθμοῦ κρείττο-
C νες καὶ οἱ συνασπίζοντες Οὐεσπασιανῷ τε καὶ Τίτῳ. Σύσσημον δὲ δοθήσεται, φησὶν, ὡς ἐν καιρῷ πολέμου καὶ μάχης. Ἔθος γὰρ τοῖς στρατηγοῖς ἐξοπλίζειν μέλλουσιν εἰς παράταξιν τὴν ὑπὸ χεῖρα πληθὺν, σύσσημα διδόναι, τὰς καλουμένας σημαίας αἴροντας ὑψοῦ. Ὧν καὶ ὁ προφήτης Ἡσαΐας διαμέμνηται λέγων· Καταληφθήσεται, ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ. Ἱστοὺς γὰρ ἱστάντες ἐν ὑψηλοῖς γηλόφοις, ἢ ὀρθοῦσιν, ἢ κατακλίνουσιν, ἢ καὶ ἀπαρτῶσί τινα πρὸς ἃ βλέπει τὸ μάχιμον. Εἶδεν δὲ οὕτω τοῦ στρατηγοῦ τί τὸ δοκοῦν. Αἴρει τοιγαροῦν τὸ σύσσημον, φησὶ, καὶ συριεῖ αὐτοῖς. Λέγεται δὲ καὶ τοῦτο πάλιν, ὡς ἀπό γε τῆς συνηθείας τῆς ἐπὶ τῶν μυιῶν. Ἐν ἔθει γάρ πώς ἐστι τοῖς μελισσοκό-
D μοις συρίζειν αὐταῖς· οὕτω τε τῶν σιμβλων ἀποφέρειν εἰς ἄνθη καὶ πόας, καὶ μὴν καὶ ἀνακομίζειν ἐξ ἀγρῶν, οἴκοι τε αὐτὰς ἐναυλίζεσθαι ποιεῖν. Συριεῖ τοίνυν, φησίν. Οἱ δὲ ἀφίξονται πτηνοί τε καὶ κοῦφοι, λιμοῦ μὲν ὀλίγα πεφροντικότες, οὐ δεδιότες δὲ πόνους, ἄυπνοί τε καὶ εὐζωνότατοι, καὶ ἐξηρτυμένοι τὰ τακτικὰ, καὶ ἀτρύτοις ἵπποις ἐποχούμενοι, καὶ ὁρμῶντες ὡς καταιγὶς, καὶ ἐν ἴσῳ λέουσι, καὶ κατεσθίοντες ὡς θηρία. Ἀνανταγώνιστοι δὲ οὕτως ἔσονται καὶ δεινοὶ, ὡς ἀμαχεὶ δύνασθαι νικᾷν ἀντεξάγοντος οὐδενὸς, ἤγουν ἱκανῶς ἔχοντος εἰς ἐπικουρίαν. Ἔσται δὲ θρῆνος κατ' ἐκεῖνο καιροῦ καὶ βοὴ συμμιγὴς, ὡς οὐδὲν ἕτερον ἡγεῖσθαί τινας, ἢ ὅτι θαλάσσης ἠχὴ τῆς Ἰουδαίων κατασχίδναται χώρας. Ἔσται δὲ καὶ σκληρὸν σκότος καὶ οὔτι που πάντως τὸ ὡς ἐν ὁμίχλῃ νοούμενον καὶ νυκτὶ, τὸ ἐκ δειμάτων δὲ μᾶλ-

λον καὶ ἀπορίας. Σκοτοῖ γὰρ τὸν νοῦν τὰ παγχάλεπα τῶν κακῶν. Ὀνίνησι τοιγαροῦν διὰ παντὸς ἡμᾶς ὁ τῶν ὅλων Θεός. Ποιεῖται γὰρ οὐ μάτην τὰς τῶν ἐσομένων προαγορεύσεις· καὶ δίεισιν ἀκριβῶς τὰ μεγέθη τῶν κακῶν· ἵν' ἐπειδήπερ ἀνουθέτητοί τε πολλάκις ἐσμὲν, καὶ πεποιήμεθα παρ' οὐδὲν τὸν εἰς μετάγνωσιν καλοῦντα λόγον, κἂν γοῦν ὑποπτήξαντες τὸ ταῖς οὕτω δειναῖς ἐναλῶναι δίκαις, τὸν θεῖον ἐν ἑαυτοῖς εἰσδεξώμεθα φόβον, καὶ ἀποσπουδάσαντες τὰ πονηρὰ, μετακομίσωμεν τὴν καρδίαν εἴς γε τὸ χρῆναι λοιπὸν ἑλέσθαι τὸ ἀγαθόν.

igitur Deus universitatis utilitati nostræ in omnibus. Nec enim sine causa facit futurorum prædictionem, et accurate narrat magnitudinem malorum, ut quoniam sæpe indociles sumus, et sermonem ad pœnitentiam vocantem negligimus, saltem metuentes ne tam grandi pœna involvamur, Dei timorem in nobis suscipiamus, et dediscentes mala, animum deinceps ad bonum amplectendum convertamus.

Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον Σαβαὼθ, καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Καὶ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. Ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί. Καὶ ταῖς μὲν δυσὶν, κατεκάλυπτον τὰ πρόσωπα, καὶ ταῖς δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο. Καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ, *πλήρης πᾶσα γῆ τῆς δόξης αὐτοῦ.*

Cap. VI. Vers. 1-3. *Et factum est anno quo mortuus est Ozias rex vidi Dominum Sabaoth sedentem in solio excelso et elevato; et plena domus gloria ejus. Et Seraphim steterunt circum eum: sex alæ uni, et sex alæ alteri; duabus quidem velabant faciem, duabus vero obvelabant pedes, et duabus volabant. Clamabantque alter ad alterum, et dixerunt: Sanctus, sanctus, sanctus Dominus Sabaoth, plena est omnis terra gloria ejus.*

Οὐ καθ' ἕνα τυχὸν, οὔτε μὴν ἀδιαστάτως οἱ μακάριοι προφῆται τὰς τῶν ὁράσεων ἀποκαλύψεις ἐδέχοντο παρὰ Θεοῦ. Ἀνὰ μέρος δὲ μᾶλλον, κατὰ τὸ Δεσπότῃ δοκοῦν. Καὶ ἐν χρόνοις καθ' οὓς ἤθελε τοῦτο δρᾷν ὁ ἀποκαλύπτων βαθέα καὶ ἀπόκρυφα, καὶ γινώσκων τὰ κεκρυμμένα. Καὶ γάρ ἐστι μετὰ τοῦτο φῶς, καθὰ γέγραπται. Ὀζίου τοιγαροῦν τοῦ καὶ Ἀζαρίου περιόντος ἔτι, καὶ τοὺς τῆς βασιλείας τῆς ἐν τοῖς Ἱεροσολύμοις διέποντος θρόνους, τοὺς ἐπὶ τοῖς ἤδη φθάσασι πεποίηται λόγους ὁ μακάριος προφήτης Ἡσαΐας. Ἦν μὲν γὰρ Ὀζίας καὶ Ἀζαρίας, τῶν ὅτι μάλιστα φιλοθεωτάτων, πεποιηκέναι γὰρ λέγεται τὸ εὐθὲς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ. Πλὴν οὐ μέχρι παντὸς διεσώσατο καλὴν καὶ ἀμώμητον τῆς εὐσεβείας τὴν δόξαν. Κατισχύσας γὰρ διὰ Θεοῦ τῶν ὁμόρων ἐθνῶν, πλεῖστά τε ὅσα καὶ ἀξιοθαύμαστα κατ' αὐτῶν ἐργασάμενος, τοῖς τῆς εὐπραγίας μεμέθυσται τρόποις· καὶ κατώλισθεν εἰς ὑπεροψίαν. Ἀφίκετο γὰρ εἰς τοῦτο γνώμης, ὥστε καὶ λειτουργίαν ἁρπάσαι τὴν ἱερὰν, καὶ αὐτόκλητος ἐλθεῖν ἐπὶ τὸ δεῖν ἱερᾶσθαι τῷ Θεῷ. Εἰσελθὼν γὰρ εἰς τὸν θεῖον ναὸν, οὐ διὰ τῆς τῶν Λευϊτῶν μεσιτείας, ἤγουν ἱερέων, προσκομίζειν ἤθελε τὰς θυσίας τῷ Θεῷ. Ἀλλ' ἐπ' αὐτὸ τὸ θεῖον ἀναπηδήσας θυσιαστήριον, θυμιᾷν ἐζήτει παρὰ τὸ εἰωθὸς καὶ τὸν νόμον. Καὶ ἠλέγχετο μὲν παρὰ τῆς ἱερατευούσης φυλῆς ὡς ἀνόσια δρῶν, καὶ παραλύειν ἐπιχειρῶν τὸν νόμον. Ἐπειδὴ δὲ τοῖς τῆς βασιλείας αὐχήμασιν ἐντρυφῶν προσνενέμηκεν ἑαυτῷ καὶ τὸ ἱερᾶσθαι πρέπειν· καὶ παρ' οὐδὲν ποιούμενος τὰς τῶν ἱερέων συμβουλὰς, ἠλέγχετο παραχρῆμα παρὰ Θεοῦ. Λελέπρωται γὰρ, αὐτοῖς μετώποις ἐπηνθηκότος τοῦ πάθους. Οἶμαι δὲ δεῖν πρὸς ἀκριβῆ τῶν εἰρημένων εἴδησιν καὶ αὐτὰ τὰ θεῖα παραθέσθαι λόγια, τὰ ἐπ' αὐτῷ γεγραμμένα. Ἔχει δὲ οὕτως· « Ἐν ἔτει εἰκοστῷ καὶ ἑβδόμῳ τῷ Ἱεροβοὰμ βασιλεῖ Ἰσραὴλ, ἐβασίλευσεν Ἀζαρίας υἱὸς Ἀμασίου βασιλέως Ἰούδα. Ἓξ

100 Nec simul, nec sine intervallo beati prophetæ visorum revelationes acceperunt a Deo, sed paulatim et sigillatim, prout Domino visum est, et tum cum voluit facere is, qui retegit profunda et secreta, et qui occulta cognoscit. Lux enim apud illum est, sicut scriptum est. Ozia igitur, qui et Azarias dictus est, adhuc superstite, et regni Hierosolymitani solium occupante, superiores sermones habuit beatus propheta Isaias. Nam Ozias, qui Azarias, valde pius erat et religiosus, quippe qui legitur fecisse rectum in oculis Dei: at integram et illibatam religionis gloriam per omnia non retinuit. Expugnatis enim Dei auxilio et beneficio finitimis gentibus, et pluribus admirandisque rebus contra eas gestis, felici hoc successu inebriatus est, et ad superbiæ scopulum impegit. Eo enim amentiæ devenit, ut sacrum ministerium sibi ipse arripuerit, et sponte, non vocatus, ad sacrificandi munus accesserit. Ingressus enim Dei templum, non Levitarum vel sacerdotum opera vicaria uti in offerendis Deo hostiis voluit, sed ad divinum altare assiliens, præter morem et legem aggressus est incensum adolere: ac reprehensus quidem est a tribu sacerdotali, quasi impie agens, et legem violans. At is regali dignitate insolescens, sibi hanc sacerdotii functionem arrogavit, spretoque sacerdotum consilio, confestim a Deo redarguitur, lepra videlicet percussus, morbo in ipsa adeo fronte germinante. Quo autem hæc quæ dicta sunt plenius intelligantur, divina quoque ipsa oracula quæ de hac re scripta sunt, apponenda esse arbitror. Sic autem se habent: « Anno vicesimo septimo Jeroboami regis Israel, regnavit Azarias filius Amaziæ, regis Juda. Filius sexdecim annorum erat, cum regnaret. Regnavitque quinquaginta duos annos in Jerusalem. Nomen autem matris Chalia (1) fuit de Jerusalem. Fecitque quod rectum erat in oculis Do-

(1) Vulg. *Chelia.*

mini juxta omnia quæ fecerat Amasias pater ejus: attamen excelsa non sustulit. Adhuc populus sacrificavit, et suffitum fecit in excelsis. Tetigit autem Dominus regem, et lepra correptus erat usque ad diem mortis suæ [9]. » Hæc quidem in Regnis. In Paralipomenis **101** autem, ut dixi: « Et ut obtinuit, » inquit, « elatum est cor ejus ad corrumpendum. Et injuste egit contra Dominum Deum suum, intravitque templum Domini ut adoleret in altari suffimentorum. Introivit autem post ipsum Zacharias sacerdos, et una cum eo sacerdotes Domini octoginta duo præpotentes, et stabant contra Oziam regem, et inquiunt: Non licet tibi, Ozia, adolere Domino, sed penes nos est, qui sacerdotio fungimur, qui filii Aaronis sumus, qui sanctificamur ad adolendum. Exi e sanctuario, quia recessisti a Domino, et non erit tibi hoc gloriæ a Deo. Iratus est autem Ozias, et in manu ejus thuribulum erat, ut adoleret in templo. Cumque iratus esset ipse sacerdotibus, lepra orta est in fronte ejus coram sacerdotibus in domo Domini, supra altare suffimentorum. Convertitque se ad eum summus sacerdos et sacerdotes, et ecce leprosus est in fronte, atque eum inde propere ejiciunt. Nam et ipse festinavit exire, quia arguit eum Dominus [10]. » Cum autem lex Mosaica sanciret, leprosum ut immundum omnino e castris emittendum esse, leprosus vero inquinaret, ac sua immunditie pollutum redderet eum quicum ipse versaretur; habitaret tamen Ozias Hierosolymis, hinc totam propemodum Jerusalem inquinans: tacuit Dominus, non quidem prophetas sanctos contumelia afficiens, sed potius admonitione eorum indignos declarans eos, qui etiam præter legislatoris voluntatem immundo cohabitarent. Sic enim inquit alicubi et ad beatum Ezechielem: « Et linguam tuam ligabo, et obmutesces, nec eris illis corrector et censor: quia domus exasperans est [11]. » Obmutuit igitur, ostendens nimirum indignationem. Commota sunt enim Hierosolyma, et concussa est universa Judæorum regio. Quod intelligemus ex his quæ propheta Amos scripsit. Habet enim sic: « Verba Amos quæ facta sunt in Accarim ex Thecue, quæ vidit super Jerusalem, temporibus Oziæ regis Juda, et temporibus Jeroboami filii Joas regis Israel, duobus annis ante terræ motum [12]. » Postquam autem obiisset Ozias desiit tempus silentii, divinasque visiones sanctis prophetis Deus universitatis reddidit. Ideoque propheta Isaias: « Et factum est, inquit, anno quo mortuus est Ozias rex, **102** vidi Dominum Sabaoth sedentem in solio excelso et elevato. » Prophetam autem vidisse Filium in gloria Dei et Patris, nemo dubitare poterit, cum Joannes scribat de eo aperte: « Hæc autem dixit Isaias, quando vidit gloriam ejus, deque eo locutus est [13]. » Specta vero mihi divinæ dignitatis præstantiam, et in omnem creaturam dominatum. Ille enim est in excelso et elevato throno, pulcherrimis regni insignibus egregie

A καὶ δέκα ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ πεντήκοντα καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Χαλία ἐξ Ἱερουσαλήμ. Καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου, κατὰ πάντα ὅσα ἐποίησεν Ἀμαζίας ὁ πατὴρ αὐτοῦ. Πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν· ἔτι ὁ λαὸς ἐθυσίαζεν, καὶ ἐθυμίαν ἐν τοῖς ὑψηλοῖς. Καὶ ἥψατο Κύριος τοῦ βασιλέως. Καὶ ἦν λελεπρωμένος ἕως ἡμέρας θανάτου αὐτοῦ. » Καὶ ταυτὶ μὲν ἐν ταῖς Βασιλείαις. Ἐν δὲ Παραλειπομένοις, ὡς ἔφην· « Καὶ ὡς κατίσχυσε, φησὶν, ὑψώθη ἡ καρδία αὐτοῦ καταφθεῖραι. Καὶ ἠδίκησεν ἐν Κυρίῳ Θεῷ αὐτοῦ· καὶ εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων· καὶ εἰσῆλθεν ὀπίσω αὐτοῦ Ἀζαρίας ὁ ἱερεὺς, καὶ μετ' αὐτοῦ ἱερεῖς τοῦ Κυρίου ὀγδοήκοντα καὶ δύο υἱοὶ B δυνατοί· καὶ ἔστησαν ἐπὶ Ὀζίαν τὸν βασιλέα, καὶ εἶπαν αὐτῷ· Οὔ σοι, Ὀζία, θυμιάσαι τῷ Κυρίῳ, ἀλλ' ἡμῖν τοῖς ἱερατεύουσι τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἡγιασμένοις, θυμιάσαι. Ἔξελθε ἀπὸ τοῦ ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ Κυρίου. Καὶ οὐκ ἔσται σοι τοῦτο εἰς δόξαν παρὰ Κυρίου Θεοῦ. Καὶ ἐθυμώθη Ὀζίας· καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὸ θυμιατήριον τοῦ θυμιάσαι ἐν τῷ ναῷ· ἐν τῷ θυμωθῆναι αὐτὸν πρὸς τοὺς ἱερεῖς, καὶ ἡ λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ, ἐναντίον τῶν ἱερέων ἐν τῷ οἴκῳ Κυρίου, ἐπάνω τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων. Καὶ ἐπέστρεψεν ἐπ' αὐτὸν ὁ ἱερεὺς ὁ πρῶτος καὶ οἱ ἱερεῖς, καὶ ἰδοὺ αὐτὸς λεπρὸς ἐν τῷ μετώπῳ. Καὶ κατέσπευσαν αὐτὸν ἐκεῖθεν, καὶ γὰρ αὐτὸς ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν Κύριος. » Ἐπειδὴ δὲ τοῦ διὰ Μωσέως προστάττοντος νόμου C χρῆναι δὴ πάντως ἐκπέμπεσθαι τῆς παρεμβολῆς ὡς ἀκάθαρτον τὸν λεπρὸν, καταμιαίνοντος δὲ καὶ κοινὸν ἀποφαίνοντος τῆς ἀκαθαρσίας τοῦ λεπροῦ τὸν συνόντα αὐτῷ, κατῴκηκεν ἐν τοῖς Ἱεροσολύμοις Ὀζίας, μονονουχὶ σύμπασαν διὰ τούτου μιαίνων τὴν Ἱερουσαλήμ. Σεσίγηκεν ὁ Δεσπότης οὐκ ἀτιμάζων προφήτας ἁγίους, ἀναξίους δὲ μᾶλλον ἀποφαίνων τῆς παρ' αὐτοῦ νουθεσίας τοὺς ἀκαθάρτους συνοικοῦντας παρά γε τὸ τῷ νομοθέτῃ δοκοῦν. Οὕτω γάρ πού φησι καὶ πρὸς τὸν μακάριον Ἰεζεκιήλ· « Καὶ τὴν γλῶσσάν σου συνδήσω, καὶ ἀποκωφωθήσῃ· καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα εὐθύνοντα, ὅτι οἶκος παραπικραίνων ἐστίν. » Ἀποσεσίγηκε τοίνυν, καίτοι δεικνύων τὴν ἀγανάκτησιν. Σέσεισται γὰρ τὰ Ἱεροσόλυμα, καὶ κατεδονήθη πᾶσα τῶν Ἰουδαίων χώρα. Εἰσόμεθα δὲ καὶ τοῦτο δι' D ὧν ἐγγράφει ὁ προφήτης Ἀμώς. Ἔχει γὰρ οὕτως· « Λόγοι Ἀμὼς οἳ ἐγένοντο ἐν Ἀκχαρεὶμ ἐν Θεκουὲ, οὓς ἴδεν ὑπὲρ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωὰς βασιλέως Ἰσραὴλ πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ. » Ἐπειδὴ δὲ τετελεύτηκεν Ὀζίας συγκατέληξεν αὐτῷ τῆς σιωπῆς ὁ καιρός. Καὶ πάλιν ἐδίδου τὰς θεοπτίας τοῖς ἁγίοις προφήταις ὁ τῶν ὅλων Θεός. Ταύτῃ τοί φησιν ὁ προφήτης Ἡσαΐας· « Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, ἴδον τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. » Ὅτι μὲν οὖν τὸν Υἱὸν ὁ προφήτης τεθέαται ἐν τῇ δόξῃ

[9] IV Reg. xv, 1-5. [10] II Paral. xxvi, 16-20. [11] Ezech. iii, 26. [12] Amos. i, 1. [13] Joan. xii, 41.

τοῦ Θεοῦ καὶ Πατρὸς, οὐκ ἂν ἐνδοιάσειέ τις, Ἰωάννου γράφοντος ἐναργῶς περὶ αὐτοῦ· «Ταῦτα δὲ εἶπεν Ἡσαΐας, ὅτε ἴδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ.» Ἄθρει δέ μοι τῆς θεοπρεποῦς ὑπεροχῆς τὸ ἀξίωμα, καὶ τὸ κατὰ πάσης κτίσεως κράτος. Ὁ μὲν γάρ ἐστιν ἐφ' ὑψηλοῦ τε καὶ ἐπηρμένου θρόνου τοῖς τῆς βασιλείας ἐκπρεπεστάτοις αὐχήμασιν εὖ μάλα κατεστεμμένος. Αἱ δὲ ἀνωτάτω δυνάμεις, μεθ' ἃς οὐδὲν ἐπέκεινα τῶν γενητῶν εἶναι λέγεται, κύκλῳ περιιστᾶσι τάξιν ἔχουσαι τὴν οἰκετικὴν, καὶ ταῖς εὐφημίαις καταγεραίρουσαι. Πλήρη τε εἶναί φησι τὴν γῆν ἅπασαν τῆς δόξης αὐτοῦ. Χρῆναι δὲ ὑπολαμβάνω μὴ ἐν τοπικοῖς ὑψώμασι τὸν θεῖον οἴεσθαι τεθεῖσθαι θρόνον. Εὔηθες γὰρ καὶ ἀσύνετον κομιδῇ τὸ χρῆμά ἐστιν. Ὑψοῦ δὲ ὁ θεῖος τέθειται θρόνος, καθὸ καὶ νοεῖται πάσης ἐπέκεινα φύσεως νοητῆς τῆς τοῦ Θεοῦ βασιλείας ἡ δόξα. Ἡ δὲ κάθισις ἡ ἐπ' αὐτοῦ τὴν οἱονεὶ βεβαιότητά τε καὶ ἐν ταυτότητι τῶν ἀγαθῶν ἵδρυσίν τε καὶ διαμονὴν ἔοικεν ὑποδηλοῦν. Ψάλλει γὰρ οὕτω καὶ ὁ θεσπέσιος Δαβίδ· «Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.» Καὶ μὴν καὶ ὁ προφήτης Ἱερεμίας πρὸς αὐτόν πού φησιν· «Ὅτι σὺ καθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα.» Ἀεὶ γὰρ καὶ ἐν παντὶ χρόνῳ φθαρτή τέ ἐστιν ἡ πεποιημένη φύσις, καὶ τῶν γενητῶν ἐν τούτοις τὸ μέτρον· κάθηται δὲ, ὡς ἔφην, ἡ πάντων τεχνῖτις καὶ δημιουργὸς σοφία, τοῦτ' ἔστιν, ἀκλόνητον ἔχει τὴν ἐν ταυτότητι διαμονήν. Πλήρη δὲ εἶναί φησι τὸν οἶκον τῆς δόξης αὐτοῦ. Οὔπω γὰρ δεδυσσεβηκότος τοῦ Ἰσραὴλ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ἐπλήρου τὸν οἶκον τὸν ἐν τοῖς Ἱεροσολύμοις ἡ τοῦ Θεοῦ δόξα. Ἐπειδὴ δὲ ἠρνήσαντο τὴν βασιλείαν αὐτοῦ, καὶ πεπτώκασιν εἰς ἀνοσιότητα τρόπων. Οὗ ἕνεκεν τὴν φωνὴν ἤκουσαν λέγοντος· «Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν.» Ἑκάστῳ δὲ τῶν Σεραφεὶμ ἓξ ἐμπεφυκέναι φησὶ τὰς πτέρυγας, ὡς ταῖς μὲν δυσὶ κατακαλύπτειν τὸ πρόσωπον, ταῖς δὲ δυσὶ τοὺς πόδας, πέτασθαι δὲ ταῖς λοιπαῖς. Διερμηνεύεται δὲ Σεραφεὶμ, ἐμπρησταὶ ἤτοι θερμαίνοντες. Ψυχρὸν γὰρ οὐδὲν παρά γε ταῖς ἄνω δυνάμεσιν, αἵπερ ἂν εἶεν μάλιστα καὶ ἐγγὺς Θεοῦ. Ταύτῃ τοι καὶ ἡμεῖς αὐτοὶ κολλώμενοι διὰ πίστεως καὶ πολιτείας τῆς ἀγαθῆς καὶ ἐννομωτάτης ζέοντες ἀποτελούμεθα τῷ πνεύματι, καὶ θερμοὶ τὴν ἀγάπην τὴν εἰς Θεόν. Σύμβολον δὲ τὸ ταῖς πτέρυξι κατακαλύπτειν τὰ Σεραφεὶμ τότε πρόσωπον καὶ τοὺς πόδας, πέτασθαι δὲ ταῖς δυσὶν, τοῦ μὴ δύνασθαί τινας ἢ ἀρχὴν ἢ τέλος ὁρᾷν ἐννοιῶν ἢ λόγων τῶν περὶ Θεοῦ. Σημαίνει μὲν γὰρ τὴν ἀρχὴν ἡ κεφαλὴ, καὶ τὸ πρόσωπον, τὸ δέ γε τέλος οἱ πόδες. Ἄναρχον γὰρ τὸ Θεῖον καὶ τελευτᾷν οὐκ εἰδός. Προσβάλλομεν δὲ τοῖς διὰ μέσου μόλις τοῖς κατά γε τοὺς χρόνους φημὶ, καθ' οὓς, τὰ οὐκ ὄντα ποτὲ παρήχθη πρὸς ὕπαρξιν. Πέτονταί γε μὴν ὡς οὐδὲν ἔχοντες τὸ κατεῤῥιμμένον. Ὑψοῦ δὲ μᾶλλον ἀεὶ τὸ φρόνημα πρὸς Θεόν. Οὐ γάρ τοι καθ' ἡμᾶς φρονοῦσι τὰ κάτω, ἀλλ' ἐν ἀποῤῥήτοις τισὶν ὑψώμασιν ἐννοιῶν αἱ ἀνωτάτω δυνάμεις τὸν οἰκεῖον ἔχουσι νοῦν. Εὔφημον δὲ καὶ τὸ στόμα αὐ-

A coronatus. Supremæ item potestates, quibus multæ res genitæ superiores leguntur, undequaque circumstant, domesticorum locum tenentes, eumque ornantes laudibus. « Plena est, inquit, terra universa gloria ejus. » Dei autem thronum non in sublimitate loci terminata positum, meo judicio, existimare debemus : id enim profecto stultum est et frivolum : at in sublimi Dei thronus positus est, quatenus divini regni gloria omnem naturam sub intelligentiam cadentem, superare intelligitur. Deinde sessio quæ de eo dicitur, veluti firmitatem et stabilitatem in eodem bonorum tenore constantiamque videtur subnotare. Psallit enim sic et beatus David : « Deus sedet in throno sancto suo [14]. » Et propheta Jeremias ad eum dicit : « Tu sedes in sempiternum, et B nos perimus in sempiternum [15]. » Semper enim et omnino corruptioni obnoxia est rerum natura, et eorum quæ ortum habent mensura quædam est ac terminus. Sedet autem, uti dixi, omnium rerum architectatrix et opifex sapientia, id est, immota est, et eodem modo permanet. Plenam dicit esse domum gloria ejus. Nam quandiu Israel non admisit impietatem contra Dominum nostrum Jesum Christum, gloria Dei Hierosolymitanam domum implevit. Sed postquam negarunt regnum ejus, in morum impietatem proruerunt. Idcirco audiverunt vocem dicentis : « Ecce relinquitur vobis domus vestra deserta [16]. » Unicuique autem Seraphim sex alas adnatas esse dicit, ut duabus faciem, duabus pedes tegerent, reliquis volarent. Seraphim, igniti C seu ferventes exponitur. In superis enim potestatibus nihil frigidum, ut quæ proxime Deum sunt. Nos etiam hoc modo per fidem et bonam legique maxime consentaneam vitæ institutionem illi agglutinati, spiritu ferventes perficimur, et charitate in **103** Deum ardentes. Porro Seraphim alis velare faciem et pedes, et duobus volare, symbolum est, neminem posse vel principium, vel finem sententiarum aut sermonum de Deo introspicere. Caput enim et facies designant principium, finem pedes. Caret etenim principio Divinitas, et finis est nescia. Nos autem vix intuemur ea quæ in medio interjacent, ea, inquam, quæ tempore fiunt, quo ea quæ non sunt, in effectum aliquando producuntur. Volant denique, ut D qui nihil proculcatum habent seu abjectum : quin potius alte semper illorum mens in Deum fertur. Non enim, ut nos, hæc infima sapiunt hæ potestates supremæ, sed mentem habent arcanis quibusdam sententiarum sublimitatibus affixam et conjunctam. Os quoque eorum plenum est faustis ominationibus ac laudibus. Gloriam enim decantant, idque alternis vicibus, non quia defatigantur, ut ego quidem arbitror, sed honore sibi mutuo cedunt, et vicissim laudationes reddunt. Omnia enim supera ordinate fiunt ac decenter. Cum vero « Sanctus » ter dicunt, claudunt hymnum in hoc, « Dominus Sabaoth, » in una deitatis natura sanctam constituentes Triadem.

[14] Psal. XLVI, 9. [15] Baruch. III, 3. [16] Matth. XXIII, 38.

Subsistere enim Patrem plane dicimus, sic etiam Filium, et Spiritum sanctum. Neque vero quos dicimus, in naturalem aliquam diversitatem ulla ratio dissecat, sed in triplici hypostasi una deitas intelligitur. Hoc quidem nobis testatum faciunt per hos sanctos Seraphim, qui universam terram majestate ejus plenam dictitant, futura præcinentes, et administratæ per Christum dispensationis mysterium prænuntiantes. Priusquam enim Verbum caro factum esset, ille dæmon, ille exitialis, ille draco, ille defector, orbem terrarum occupabat, et creatura præ Creatore et Conditore adorabatur: at ubi factus est homo unigenitum Dei Verbum, omnis terra majestate ejus repleta est. Illi enim flectet se omne genu, et illi omnes linguæ ac tribus confitebuntur, ac illi servient, juxta id quod scriptum est. Proclamavit et hoc ante beatus David in spiritu; dixit enim: « Omnes gentes quas fecisti, venient, et adorabunt coram te [17]. » Hoc perfectum est, vocata gentium multitudine, et cunctis eum qui de nobis et pro nobis factus, est adorantibus, quique per seipsum manet supra omnia.

A ταῖς. Δοξολογοῦσι γὰρ καὶ τοῦτο ἐξ ἀμοιβῆς, οὐ διά γε τὸ κάμνειν, καθάπερ ἐγῷμαι, παραχωροῦσι δὲ μᾶλλον τὰς τιμὰς ἀλλήλως, καὶ ἀντιδωρούμεναι τὰς δοξολογίας. Πάντα γὰρ ἐν κόσμῳ τὰ ἄνω. Τρὶς δὲ τὸ, « Ἅγιος » λέγουσαι, καταχλείουσι τὴν δοξολογίαν, εἰς τὸ, « Κύριος Σαβαὼθ, » ἐν μιᾷ θεότητος φύσει τὴν ἁγίαν τιθέντες Τριάδα. Ὑφεστάναι μὲν γὰρ ὁμολογουμένως φαμὲν τὸν Πατέρα· οὕτω δὲ καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ λόγος οὐδεὶς διατέμνει πρὸς ἑτερότητα φυσικὴν τῶν ὠνομασμένων ἕκαστον, ἀλλ' ἐν ὑποστάσεσι τρισὶ νοεῖται μία θεότης. Καὶ δι' αὐτῶν ἡμῖν τοῦτο μεμαρτύρηται τῶν ἁγίων Σεραφεὶμ, οἳ καὶ πλήρη πᾶσαν τὴν γῆν εἶναι λέγουσι τῆς δόξης αὐτοῦ, προαναφωνοῦντες τὰ ἐσόμενα, καὶ τῆς διὰ Χριστοῦ γεγενημένης οἰκονομίας προαναγγέλλοντες τὸ B μυστήριον. Πρὶν μὲν γὰρ σάρκα γενέσθαι τὸν Λόγον, κατεκράτει τῆς ὑπ' οὐρανὸν ὁ δαίμων ὁ ἀλητήριος, ὁ δράκων, ὁ ἀποστάτης. Προσεκυνήθη δὲ καὶ ἡ κτίσις παρὰ τὸν κτίσαντα καὶ Ποιητήν· ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, πεπλήρωται τῆς δόξης αὐτοῦ πᾶσα γῆ. Κάμψει γὰρ αὐτῷ πᾶν γόνυ, καὶ πᾶσα φυλὴ, καὶ γλῶσσαι ἐξομολογήσονται, καὶ αὐτῷ δουλεύσουσι, κατὰ τὸ γεγραμμένον. Προανακεκράγει δὲ καὶ τοῦτο ὁ μακάριος Δαβὶδ ἐν πνεύματι· ἔφη γάρ· « Πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε. » Τοῦτό τοι τετέλεσται κεκλημένης τῆς ἐξ ἐθνῶν πληθύος· καὶ προσκυνούντων ἁπάντων τῷ δι' ἡμᾶς καθ' ἡμᾶς γενομένῳ, μεμενηκότι δὲ δι' ἑαυτὸν ὑπὲρ πάντα.

104 VERS. 4. *Elevatum est superliminare a voce qua clamabant, et domus repleta est fumo.*

Contemplatus est enim propheta Dominum Sabaoth sedentem in solio celso et elevato, circumstantibus undique sanctis Seraphim, et laudibus continuis eum percelebrantibus. Affirmavit etiam domum fuisse plenam gloria ejus. Nunc vero commotum esse dicit superliminare, et domum fumo oppletam, idque quasi a voce, qua sancti Seraphim clamarunt. Nunquid ergo vocem dicemus causam fuisse eorum quæ in domo acciderunt? Atqui id sentire, quid ni sit valde ineptum? Quonam igitur pacto horum verborum intelligentiam assequemur? Optime et sapienter. Ante Servatoris nostri inhumanationem et adventum, dum adhuc Israel secundum legem inoffense et inculpate vitam institueret, percelebre illud templum, quod Hierosolymis exstruxit Solomon, gloria divina replebatur. Nam in eo sacrificabant ex legis præscripto. Cæterum ubi de cœlis venientem in humana forma, et ex lege et prophetis prædicatum non receperunt, imo vitæ principem vita privarunt, dereliquit domum suam, hæreditatem suam dimisit. Divertit enim ad gentes, et omnis terra gloria ejus impleta est, regio Judæorum in vastitatem redacta est, templumque ipsum incensum. Quando igitur juxta prophetiam et prædictionem, voce sanctorum Seraphim impleta est universa terra majestate ejus, tunc superliminare templi commotum est, fumoque impletum est. Itaque hoc, « A voce qua clamabant, » temporis significationem habet: nec prorsus doxologiæ opus est vel

Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ.

Τεθέαται μὲν γὰρ ὁ προφήτης τὸν Κύριον Σαβαὼθ C καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, περιεστηκότων ἐν κύκλῳ τῶν ἁγίων Σεραφεὶμ, καὶ ἀκαταλήκτοις δοξολογίαις εὐφημούντων αὐτόν. Διεβεβαιοῦτο δὲ, ὅτι πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Νῦν δὲ ἐπῆρθαί φησι τὸ ὑπέρθυρον, ἐμπεπλῆσθαι δὲ καὶ τὸν οἶκον καπνοῦ, καὶ ἀπό γε τῆς φωνῆς ἧς ἐκέκραγον τὰ ἅγια Σεραφείμ. Ἆρ' οὖν ἐροῦμεν τὴν φωνὴν αἰτίαν γενέσθαι τῶν συμβεβηκότων τῷ οἴκῳ; Καίτοι πῶς οὐ σφόδρα ἐστὶν ἀκαλλὲς τὸ φρονεῖν ἑλέσθαι ταυτί; Τίνα δὴ οὖν τρόπον ταῖς τῶν προκειμένων προσβαλοῦμεν ἐννοίαις; Ἄριστά τε καὶ σοφῶς. Πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐνανθρωπήσεως καὶ ἐπιδημίας, ἔτι τὴν ἐν νόμῳ πολιτείαν ἀκωλύτως τε καὶ ἀνεπιπλήκτως διέποντος τοῦ Ἰσραὴλ, πλήρης ἦν ὁ διαβόητος ἐκεῖνος νεὼς ἐν τοῖς Ἱεροσο- D λύμοις ὃν Σολομὼν ἀνεδείματο τῆς δόξης τοῦ Θεοῦ. Ἐπετέλουν γὰρ ἐν αὐτῷ τὰς κατὰ νόμον θυσίας. Ἐπειδὴ δὲ τὸν ἐξ οὐρανοῦ ἀφιγμένον ἐν ἀνθρωπίᾳ μορφῇ, καὶ διὰ νόμου καὶ προφητῶν κεκηρυγμένον οὐ προσήκαντο, μᾶλλον δὲ καὶ ἀπεκτόνασι τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγκατέλιπε τὸν οἶκον αὐτοῦ, ἀφῆκε τὴν κληρονομίαν αὐτοῦ. Ἀπονένευκε γὰρ εἰς τὰ ἔθνη, καὶ πεπλήρωται μὲν πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Παραδέδοται δὲ τῶν Ἰουδαίων ἡ χώρα πρὸς ἐρήμωσιν, ἐμπέπρησται δὲ καὶ αὐτὸς ὁ νεώς. Ὅτε τοίνυν κατά γε τὴν προφητείαν ἤγουν προαγόρευσιν ἤτοι φωνὴν τῶν ἁγίων Σεραφεὶμ ἐπλήσθη πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ, τότε ἐπήρθη τὸ ὑπέρθυρον τοῦ

[17] Psal. LXXXV, 8.

A ναοῦ, καὶ ἐνεπλήσθη καπνοῦ. Οὐκοῦν τὸ, «ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον,» χρόνου μᾶλλόν ἐστι σημαντικὸν, οὐχὶ δὴ πάντως τῆς δοξολογίας ἔργον καὶ ἀποτέλεσμα. Σημαίνει δὲ, οἶμαι, τὸ, «Ἐπήρθη τὸ ὑπέρθυρον,» τὸ καταλελεῖφθαι τὸν ναόν. Ὅτι δὲ καὶ ἐμπέπρησται, τὸ ἐμπεπλῆσθαι λέγειν αὐτὸν καπνοῦ. Εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον τρόπον τὰ τοιάδε νοεῖν, καὶ τὰ κατὰ παντὸς τοῦ τῶν Ἰουδαίων ἔθνους πεπράχθαι λέγειν αὐτὰ νοητῶς, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος λογισμοῦ. Ὅτε γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν δόξης ἐπλήσθη πᾶσα ἡ γῆ κεκλημένων διὰ τῆς πίστεως τῶν ἐθνῶν, τότε τῆς Ἰουδαίων διανοίας πᾶσα μὲν ἀσφάλεια λέλυται πνευματική. Καπνοῦ δὲ δίκην οἱ τάλανες, τὴν ἐκ τῆς ἀμαθίας ἀχλὺν λαβόντες εἰς νοῦν τυφλοὶ γεγόνασι νοητῶς. Ταύτητοι καὶ ὁ Σωτὴρ αὐτοῖς ἐπ-
B εφώνει λέγων· «Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ.» Τί δέ ἐστιν ἀσφαλὴς καὶ εὐάλωτος τῶν Ἰουδαίων ὁ νοῦς πρὸς πᾶν ὁτιοῦν τῶν παθῶν ἐπικουρίας τῆς ἄνωθεν ἔρημος ὤν, πῶς ἂν ἐνδοιάσειέ τις τῶν εὖ φρονεῖν εἰωθότων;

effectus. Commotum autem esse superliminare, significat, ut opinor, dissolvi templum: incensum item esse, ex eo quod impleri fumo dicat, perspicuum est. Sin voluerit quis alio modo hæc intelligere, et de omni gente Judaica ea intelligibiliter perfecta esse dixerit, a recta ratione non exorbitaverit. Siquidem cum Servatoris nostri gloria omnis terra repleta esset, vocatis per fidem gentibus, tum Judæorum animi de omni spirituali securitate ac tranquillitate dimoti ac dejecti sunt, ac in morem fumi, nebula ignorationis in animum intromissa, miseri homines cæci **105** fuerunt intelligentia. Hinc et Servator clamavit illis: «Quandiu, lucem habetis, ambulate in luce, ne tenebræ vos occupent [18].» Judæorum autem mentes lubricas et labiles esse, ac omni generi perturbationum obnoxias, ope superna destitutas, ecquis tandem est qui ambigat?

Καὶ εἶπα, Ὢ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ· καὶ τὸν βασιλέα Κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς.

VERS. 5. *Et dixi, O me miserum, quia compunctus sum: quia cum homo sim, et immunda labia habens, in medio populi immunda labia habentis ego habito: et regem Dominum Sabaoth vidi oculis meis.*

Ὁ διὰ τοῦ πανσόφου Μωσέως προστέταχε νόμος, μὴ συναναμίγνυσθαι τοῖς ἁγίοις τὸν βέβηλον, καὶ πολλή τις ἄγαν ἡ ἐπιτήρησις παρὰ τοῖς Ἰουδαίοις ἐν τούτοις. Καὶ γοῦν τοῖς ἁγίοις ἀποστόλοις ἁλιεύου-
C σιν ἔτι προσεφώνει λέγων ὁ Κύριος· «Χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.» Οὗ δὴ γεγονότος, ἰχθύων μὲν πλῆθος συνείληπτο πολὺ, τεθαυμακὼς δὲ τοῦ λόγου τὴν δύναμιν ὁ θεσπέσιος Πέτρος, «Προσέπεσε, φησὶ, τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων· Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε.» Ἀλλ' οὐκ ἂν ὁ Πέτρος ἠθέλησεν ἀπελθεῖν ἀπ' αὐτοῦ τὸν Χριστόν. Ἐπειδὴ δὲ ᾔδει τὸν τοῦ νόμου σκοπὸν, ὁμολόγει μὲν ὅτι ἁμαρτωλός ἐστιν, ἐδεδίει δὲ τῷ ἁγίῳ συνεῖναι, κατά γε τὸ κρατῆσαν ἀεὶ παρὰ τοῖς Ἰουδαίοις ἔθος. Ἀφιγμένου δέ ποτε τοῦ Χριστοῦ καὶ εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, εἶτα τεθεραπευκότος τοὺς ἐν τοῖς μνημείοις δαιμονῶντας ἀγρίως, τεθαυμάκασι μὲν τὴν θεοσημείαν. Ἔφη δὲ ὁ Ματθαῖος, ὅτι «Πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τοῦ
D Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν μεταβῆναι ἀπὸ τῶν ὁρίων αὐτῶν.» Καίτοι πῶς οὐκ ἔδει μᾶλλον μεταποιεῖσθαι τοῦ τεθεραπευκότος, καὶ παρακαλεῖν προσμεῖναί τε αὐτοῖς, καὶ πολλῶν ἑτέρων θαυμάτων γενέσθαι δημιουργόν; Ἀλλ' ἦν εὐλαβείας ἀπόδειξις κατ' ἐκεῖνο καιροῦ καὶ τιμῆς τοῖς ἁγίοις ὀφειλομένης τρόπος τὸ παραιτεῖσθαί τινας ἐγγίζειν αὐτοῖς. Ματθαίου κεκλημένου καὶ ἀκολουθήσαντος τῷ Χριστῷ, εἶτα κεκληκότος αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ· «Καὶ ἰδοὺ,» φησὶ, «πολλοὶ ἁμαρτωλοὶ καὶ τελῶναι ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Διὰ τί μετὰ τῶν ἁμαρτωλῶν καὶ τελωνῶν ἐσθίει

Lex per Mosen sapientissimum sanxit, profanus cum sanctis ne habeto commercium, inque eo apud Judæos summa erat observatio. Sanctos quoque apostolos jam piscantes allocutus est Dominus: «Dimittite, inquiens, retia vestra ad capturam:» quo facto, magna quidem piscium multitudo capta est, ac divinus Petrus verbi vim admiratus: «Accidit, ait, ad genua Jesu dicens: Recede a me, nam homo peccator sum, Domine [19].» Nolebat tamen Petrus Christum a se abire, sed cognito legis scopo, se peccatorem confessus est, ac cum sancto esse horruit, secundum eam, quæ semper apud Judæos invaluerat, consuetudinem. Cum etiam Christus in regionem Gergesinorum aliquando venisset, deinde in monumentis immaniter a dæmone vexatos curasset, divinum quidem signum admirati sunt; attamen dixit Matthæus: «Tota civitas exivit obviam Jesu, et cum vidissent illum, rogabant ut a finibus ipsorum abscederet [20].» Annon vero decebat magis ut eum qui curaverat detinerent, et rogarent uti apud se maneret, et alia quoque plura miracula patraret? Verum illis temporibus significatio erat reverentiæ cujusdam, et honoris sanctis debiti modus quidam, cavere, ne qui eos accederent. Matthæus etiam cum vocatus sequeretur Christum, ac postea eum in domum suam invitasset: «Ecce,» inquit, «multi peccatores et publicani accesserunt, et accubuerunt cum Jesu et discipulis ejus. Quod ubi vidissent Pharisæi, dixerunt discipulis ejus: Quare cum publicanis et peccatoribus edit præceptor vester [21]?» Intelligis ergo eos Christum accusare, quod lege posthabita voluerit cum malis

[18] Joan. XII, 35. [19] Luc. V, 4-8. [20] Matth. VIII, 34. [21] Matth. IX, 10, 11.

cibum capere. Incusat porro Deus eos, **106** qui Judaicæ Synagogæ primatum occuparunt, per prophetam, dicens: « Inter sanctum et profanum non discreverunt. » Reverentiæ igitur, ut dixi, modus erat, et legalium præceptorum traditio, ut eos versari cum sanctis nollent, in quibus vitii suspicio hæreret, et qui non haberent a peccatis liberam conscientiam. Tale quiddam etiam beato prophetæ accidisse videtur, ideoque ait: « Miserum me, quia compunctus sum. » Nec quia compunctus erat, propterea miser fuit: nam hoc pacto intelligere, quid ni perineptum? sed quia compunctus sum, inquit, a conscientia, nimirum ideo dicebam: « O me miserum, quia homo sum, et immunda labia habeo, in medio populi immunda labia habentis ego habito, et regem Dominum Sabaoth vidi oculis meis. » Nam cum sancti Seraphim mundo et sanctissimo ore laudes cecinissent, timuit ille, a Deo quippe edoctus, non ignorans indecoram esse in ore peccatoris laudationem, quemadmodum scriptum est. Erant enim immunda plane Israelitarum labia, utpote qui in Dominum nostrum Jesum Christum convicia jecerunt. Sin vero aiat propheta se quoque ejusmodi habere labia, licet Israeliticæ impietatis plane expers fuerit, dicimus eum ut sanctum de se modeste loqui, estque probabile, quatenus erat ex sanguine Israel, seipsum omni crimine non eximere, pervagatum autem populi vitium notare, ut servet ita illos qui peccaverant. Vel humanæ naturæ morbum confitetur: cujusmodi est illud a beato Davide contra omnem hominem dictum: « Ego dixi in excessu meo: Omnis homo mendax [22]. » Est enim infecta morbo mendacii ac vanitatis mens humana, licet malo hoc liberentur quidam, sobrietate id lucrifacientes. Timuit ergo propheta quod cum mundus non esset, quemadmodum certe sunt sancti Seraphim, Dominum Sabaoth contemplatus fuerit et tacuerit, atque adeo a laudibus celebrandis abstinuerit, quod ore non ita mundo sit præditus. Quod autem puris labiis celebrare laudes oporteat, ex eo quod quidam sanctorum discipulorum dicit de lingua, planum fieri potest: « Illa laudamus Dominum et Patrem, et illa maledicimus homines ad similitudinem Dei conditos. Non oportet, fratres mei, hæc sic fieri. Nunquid fons ex eodem **107** foramine ebullit dulcem et amaram aquam? Nunquid potest, fratres mei, ficus oleas proferre? aut vitis ficus? Sic neque idem fons salsam et dulcem aquam edere [23]. »

A ὁ διδάσκαλος ὑμῶν; » Συνῆς οὖν ὅπως ὡς ἠμεληκότα τοῦ νόμου κατῃτιῶντο τὸν Χριστὸν, διά τοι τὸ θέλειν συνδιαιτᾶσθαι πονηροῖς. Ἐπαιτιᾶται δέ που καὶ Θεὸς τοὺς τῆς Ἰουδαίων Συναγωγῆς προσεγκεῖσθαι λαχόντας διὰ προφήτου λέγων· « Ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστελλον. » Εὐλαβείας οὖν ἄρα τρόπος, ὡς ἔφην, καὶ νομικῶν ἐνταλμάτων παράδοσις τὸ μὴ συνεῖναι θέλειν τοῖς ἁγίοις τοὺς ἐν ὑπολήψει φαυλότητος, καὶ οὐκ ἐλεύθερον ἁμαρτιῶν ἔχοντας τὸ συνειδός. Τοιοῦτόν τι καὶ ὁ μακάριος προφήτης ὁρᾶται παθὼν, ταύτῃτοί φησιν· « Ὢ τάλας ἐγὼ, ὅτι κατανένυγμαι. » Καὶ οὐ διὰ τοῦτο τάλας, ὅτι κατανένυκται. Πῶς οὐκ εὔηθες τοῦτο οὕτω νοεῖν· ἀλλ' ὅτι κατανένυκται, φησὶν, ὑπὸ τοῦ συνειδότος, δῆλον δὲ ὅτι διὰ τοῦτο ἔφην· « Ὢ τάλας ἐγὼ, ὅτι ἄνθρωπος B ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ· καὶ τὸν βασιλέα Κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. » Ἐπειδὴ γὰρ τὰ ἅγια Σεραφεὶμ καθαροῖς καὶ πανάγνοις στόμασιν ἐποιοῦντο τὰς δοξολογίας, δέδιεν αὐτὸς τὸ χρῆμα, θεοδίδακτος ὢν, καὶ οὐκ ἀγνοήσας ὅτι οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ, καθὰ γέγραπται. Ἦν μὲν γὰρ ὁμολογουμένως ἀκάθαρτα χείλη τοῦ Ἰσραήλ· δεδυσφημήκασι γὰρ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Εἰ δὲ δὴ λέγοι καὶ ὁ προφήτης, ὅτι καὶ αὐτὸς ἔχοι τὰ χείλη τοιαῦτα, καίτοι τῆς τοῦ Ἰσραὴλ δυσσεβείας ἀμοιρήσας παντελῶς, φαμὲν ὅτι μετριάζει μὲν ὡς ἅγιος, εἰκὸς δὲ ὅτι καὶ ὡς ὑπάρχων ἐξ αἵματος Ἰσραὴλ, οὐκ ἔξω C τίθησι τῆς αἰτίας ἑαυτόν. Ἀλλ' ὑποφέρει τῷ κοινῷ τοῦ λαοῦ πλημμελήματι, σώζων διὰ τούτου τοὺς ἡμαρτηκότας· ἤγουν τῆς ἀνθρώπου φύσεως ὁμολογεῖ τὴν νόσον. Ὁποῖόν ἐστι τὸ παρὰ τοῦ μακαρίου Δαβὶδ, κατὰ τοῦ παντὸς ἀνθρώπου λεγόμενον· « Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης. » Νοσεῖ γὰρ τὸ ψεῦδος ἡ ἀνθρώπου διάνοια, κἂν εἰ ἀπαλλάττοιντό τινες τοῦ κακοῦ, νήψει τὸ χρῆμα κερδαίνοντες. Δέδιε τοίνυν ὁ προφήτης ὅτι μὴ ὑπάρχων οὕτω καθαρὸς, καθάπερ ἀμέλει τὰ ἅγια Σεραφεὶμ, τεθέαται μὲν τὸν Κύριον Σαβαὼθ, σεσίγηκε δὲ, καίτοι μᾶλλον ὀφείλων δοξολογεῖν, διὰ τὸ μὴ οὕτως ἔχειν καθαρὸν τὸ στόμα. Ὅτι δὲ χρὴ καθαροῖς στόμασιν ὑμνολογεῖν, σαφὲς ἂν γένοιτο περὶ τῆς γλώσσης λέγοντος ἑνὸς τῶν ἁγίων μαθητῶν· « Ἐν αὐτῇ D εὐλογοῦμεν τὸν Κύριον καὶ Πατέρα. Καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους, τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας. Οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι. Μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; Μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι; ἢ ἄμπελος σῦκα; Οὕτως οὐδὲ ἁλυκὸν γλυκὺ ποιῆσαι ὕδωρ. »

VERS. 6, 7. *Et missus est ad me unus ex Seraphim, et in manu habebat carbonem, quem forcipe accepit ab altari, et tetigit os meum, et dixit: Ecce tetigit hoc labia tua, et adimet iniquitates tuas, et peccata tua emundabit.*

Divinus Paulus scribit de sanctis angelis, omnes

Καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφεὶμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. Καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Ὁ θεσπέσιος γράφει Παῦλος περὶ τῶν ἁγίων

[22] Psal. cxv, 11. [23] Jac. iii, 9.

ἀγγέλων, ὅτι πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Καὶ τὸ χρῆμά ἐστιν οὐκ ἀσυμφανές. Πάντα μὲν γὰρ ἐν κόσμῳ τὰ παρὰ ταῖς ἄνω δυνάμεσι καὶ τιμῆς ἤτοι λειτουργίας μέτρα παρ' αὐταῖς, καὶ ὅροι τέθεινται τῆς ἑκάστου δόξης, παρά γε τοῦ πάντα κατὰ τὸ αὐτῷ δοκοῦν διανέμοντος Θεοῦ. Πλὴν εἷς ἐφ' ἅπασιν ὁ ζυγὸς, καὶ ὑπηρετοῦσι νεύμασι τοῖς Δεσποτικοῖς, οὐκ ἀπαξιοῦντα τὴν δουλείαν, ἀλλ' ἐν μοίρᾳ τιμῆς καὶ δόξης καταλογιζόμενά που τὸ ἐν τούτοις γνήσιον. Προαναμορφοῦται τοίνυν ἐν ὀφθαλμοῖς τοῦ προφήτου τὸ Χριστοῦ μυστήριον, διὰ τῶν ἄνω δυνάμεων εὖ μάλα διακονούμενον. Ἀποστέλλεται γοῦν ἓν τῶν Σεραφεὶμ ἄνθρακα ἔχον, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. Καὶ τοῦτο ἄρα ἦν Χριστοῦ σύμβολον, ὃς δι' ἡμᾶς, καὶ ὑπὲρ ἡμῶν προσεκόμισεν ἑαυτὸν τῷ Θεῷ καὶ Πατρὶ, εἰς θυσίαν πνευματικὴν καθαρὰν καὶ ἀβέβηλον καὶ εἰς ὀσμὴν εὐωδίας. Ταύτῃ τοι καὶ μάλα εἰκότως ἐκ τοῦ θυσιαστηρίου λαμβάνεται. Παρεικάζεταί γε μὴν ἄνθρακι· καὶ διὰ ποίαν αἰτίαν εἰπεῖν ἀναγκαῖον. Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ πυρὶ τὴν θείαν παρεικάζειν φύσιν. Ὤφθη γὰρ οὕτω τῷ μακαρίῳ Ἰσραὴλ ἐν τῷ ὄρει Χωρὴμ ἤτοι Σινᾶ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας. Οὕτω καὶ αὐτῷ τῷ μακαρίῳ Μωσῇ ποιμαίνοντι κατὰ τὴν ἔρημον, ἐν εἴδει πυρὸς ἐν τῷ βάτῳ κατὰ καιροὺς, ὤφθη τε καὶ προσελάλει. Ὥσπερ οὖν ὁ ἄνθραξ ξύλον ἐστὶ τῇ φύσει, πλὴν ὅλος δι' ὅλου μεμέστωται τοῦ πυρὸς, καὶ τὴν αὐτοῦ δύναμίν τε καὶ ἐνέργειαν ἔχει· κατὰ τοῦτον, οἶμαι, τρόπον νοοῖτ' ἂν εἰκότως καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· « Γέγονε γὰρ σὰρξ ὁ Λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. » Ἀλλ' εἰ καὶ ἦν καθ' ἡμᾶς ὁρώμενος ἄνθρωπος οἰκονομικῶς, ἀλλ' οὖν ἅπαν τὸ τῆς θεότητος πλήρωμα κατῴκησεν ἐν αὐτῷ, κατά γέ φημι τὸν τῆς ἑνώσεως τρόπον. Ταύτῃτοι καὶ διὰ τῆς ἰδίας σαρκὸς θεοπρεπεστάτας ἔχων ὁρᾶται τὰς ἐνεργείας. Ἥψατο γοῦν τῆς σοροῦ, καὶ ἀνέστησε τὸν τεθνεῶτα τῆς χήρας υἱόν. Καὶ μὴν καὶ πτύσας ἐνετίθει τυφλοῖς τὸ βλέπειν, πηλῷ καταχρίων τοὺς ὀφθαλμούς. Ἄνθρακι δὴ οὖν εὖ μάλα παρεικαστέον τὸν Ἐμμανουὴλ, ὃς εἰ καὶ γένοιτό πως ἐν τοῖς ἡμετέροις χείλεσιν, πάντῃ τε καὶ πάντως ἀφαιρεῖ τὰς ἁμαρτίας, καὶ περικαθαριεῖ τὰς ἀνομίας. Εἶτα πῶς ἐν τοῖς ἡμετέροις χείλεσιν ἔσται; Ὅταν τὴν πίστιν ὁμολογῶμεν τὴν εἰς αὐτόν. Οὕτω καὶ ὁ θεσπέσιος γράφει Παῦλος· « Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου· τοῦτ' ἔστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν. Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου ὅτι Κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. » Ἔστω τοίνυν ἐν τοῖς χείλεσιν ἡμῶν ὁ θεῖος ἄνθραξ, ὁ τὸν ἐκ τῆς ἁμαρτίας καταφλέγων συρφετὸν, καὶ τὸν ἐκ τῆς ἀνομίας ἐντήκων ῥύπον, καὶ ζέοντας ἡμᾶς ἀποτελῶν τῷ πνεύματι. Εἰ δὲ δὴ λέγοιτο τῇ λαβίδι λαμβάνεσθαι,

A esse administros spiritus, ad ministerium delegatos propter eos qui hæreditatem salutis accepturi sunt [24]. Quod non est obscurum. Omnia namque ab illis supremis potestatibus ornate splendideque administrantur, et honoris, et administrationis termini finesque gloriæ cuique sunt constituti a Deo, qui omnia pro arbitratu suo dispensat. Atqui idem quasi jugum est omnibus sanctis spiritibus, et Domini nutui serviunt, non indignam censentes servitutem, sed honori laudique ducentes id prompto ac liberali animo facere. Præfiguratur igitur ob oculos prophetæ mysterium Christi, per superas potestates optime administratum. Mittitur itaque e Seraphim unus, carbonem habens, quem de ara sumpsit forcipe. Hæc demum erat Christi B significatio et repræsentatio, qui propter nos ac nostra causa seipsum in sacrificium spirituale, purum ac impollutum, obtulit, in odorem suavis fragrantiæ. Itaque non abs re de altari accipitur. Quam autem ob causam assimiletur prunæ, dicendum est necessario. Familiare est Scripturæ divinitus inspiratæ divinam naturam igni comparare. Sic enim apparuit Israeli in monte Choreb seu Sina, in die congregationis. Sic etiam ipsi beato Mosi pascenti in deserto, specie ignis olim in rubo conspectus est, et colloquebatur. Quemadmodum igitur carbo lignum quidem natura est, verum totus omni ex parte igni plenus est, ejusque vim et efficacitatem habet: ad eumdem, puto, modum et C ipse Dominus noster Jesus Christus merito potest intelligi: « Caro enim Verbum factum est, et habitavit in nobis [25]. » Verum quamvis esset homo nobis similis ratione dispensationis, tamen omnis plenitudo divinitatis in eo habitavit, modo inquam unionis. Hinc et in carne sua **108** plane divinissimam operandi virtutem habere cernitur. Tacto siquidem loculo, mortuum viduæ filium suscitavit; et cum inspuisset, luto inunctis oculis, cæcis visum restituit. Rectissime ergo hic Emmanuel carboni comparandus est, qui si in nostris quodammodo labiis fuerit, omnino peccata auferet, et iniquitates expurgabit. Quomodo autem in labiis nostris erit? quando fidem, quæ in ipsum est, confessi fuerimus. Ita et divinus Paulus: « Prope te verbum est, D in ore tuo, et in corde tuo; hæc est prædicatio fidei quam prædicamus. Quia si confessus fueris ore tuo Dominum Jesum, et credideris corde tuo Deum excitasse ipsum e mortuis, servaberis: corde enim creditur ad justificationem, ore autem confessio fit ad salutem [26] [27]. » Sit itaque in labiis nostris divinus carbo, qui peccati quisquilias exurit, et iniquitatis sordes liquat, et nos spiritu ferventes reddit. Quod autem dicitur forcipe accipi, eleganter intelliges; quod fidem in ipso ac cognitionem legalibus et propheticis institutionibus sive prædictionibus, tanquam quapiam forcipe capimus. Unde passim ad veritatem probandam, sanctorum

[24] Hebr. I, 14. [25] Joan. I, 14. [26] Rom. X, 8. [27] ibid. 10.

apostolorum obsignatur ac confirmatur oratio. Citatis enim ex lege et prophetis testimoniis, auditoribus fidem faciunt: et ipsi quoque carbonem quodammodo eorum labris admovent, cum fidem in Christum plane simpliciterque exponunt.

A συνήσεις ἀστείως ὅτι πίστιν τὴν ἐπ' αὐτῷ, καὶ μέντοι τὴν γνῶσιν, καθάπερ τινὶ λαβίδι δεχώμεθα διὰ νομικῶν τε ἅμα καὶ προφητικῶν παιδευμάτων, ἤτοι προαγορεύσεων. Ὅθεν καὶ ὁ τῶν ἁγίων ἀποστόλων εἰς ἀλήθειαν πανταχῇ κατασφραγίζεται λόγος. Κεχρημένοι γὰρ ταῖς ἐκ νόμου καὶ προφητῶν μαρτυρίαις, ἀναπείθουσι τοὺς ἀκροωμένους, καὶ μονονουχὶ τὸν ἄνθρακα προσάγουσι καὶ αὐτοὶ τοῖς χείλεσιν αὐτῶν, ὁμολογεῖν τὴν πίστιν τὴν εἰς Χριστὸν παρασκευάζοντες.

Vers. 8. *Et audivi vocem Domini dicentis: Quem mittam? et quis proficiscetur ad populum istum? Et dixi: Ecce ego sum, mitte me.*

Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ εἶπα· Ἰδοὺ ἐγώ εἰμι· ἀπόστειλόν με.

Postquam prophetæ labia carbo tetigit, ejusque amovit iniquitates, tunc vocem Domini audit, nec extimescit amplius, et tacet illud: « O miserum me! » ac se fortiter ad legationem obeundam sistit, eoque veluti non vocatus, ultro se ingerit: « Ecce ego, mitte me. » Quod dicat Deus: « Quem mittam, et quis proficiscetur ad populum istum? » non dicimus vocem esse dubitantis, aut quasi egentis aliquo qui mittatur, sed perstringentis potius Israelem tanquam valde inobedientem, et qui eorum qui missi sunt nemini obsecundaverit, imo eos interemerit. Nam alios contumeliose tractarunt, lapidarunt alios, **109** alios etiam interfecerunt: quemadmodum et Christus dixit, contexta nobis in Evangeliis parabola. Quem ergo mittam? Ecquis proficiscetur ad populum istum, qui ante missis non credidit, qui durus, qui crudelis fuit? Et reipsa comprobarunt non esse hominis cujusvis cum illis rem habere, sed constantis solum, et propriam ipsam vitam abnuentis. Quod vero flecti ac moveri omnino noluerit Israel, licet ex his discere, quæ Deus ad beatum prophetam Ezechielem locutus est, quæ ita se habent: « Fili hominis, vade, ingredere ad domum Israel, et loquere sermones meos ad eum: quoniam non ad populum profundi labii et gravis linguæ emitteris, ad domum Israel, neque ad populos multos alterius vocis, vel alienæ linguæ; neque ad eos, qui graves lingua sunt, quorum sermones non audies. Et si ad tales misissem te, audissent te: at domus Israel non vult audire te, quia nolunt audire me: quoniam tota domus Israel contentiosa est, et duro corde [11]. » Tantum non videlicet dubitans, et, ut modo dixi, ob multam crudelitatem Israelitas insimulans. Quem igitur mitto? Propheta igitur omni cunctatione abjecta: « Ecce, inquit, ego, mitte me. » Quando ergo et nos divinus carbo contigerit, ab offensis puri erimus, et prompti, atque ad capessendam legationem juveniliter alacres: quod et fecerunt divini discipuli. Quamvis enim ex Judæis essent, et ante charitatem in Christum donatam, impura et ipsi labia haberent cum cæteris: postquam tamen fidem admisissent, præclaram confessionem ediderunt, ac carbo eos tetigit, ac tum quidem ad legationem vocati sunt, et sine mora sequebantur:

Ὅτε τῶν τοῦ προφήτου χειλέων ὁ ἄνθραξ ἥψατο, καὶ ἀφῄρηκεν αὐτοῦ τὰς ἀνομίας, τότε καὶ ἀκούει τῆς φωνῆς Κυρίου, καὶ δέδιε μὲν οὐκέτι, καὶ σιωπᾷ B τὸ, « Τάλας ἐγὼ, » παρειστήκει δὲ καὶ μάλα γοργῶς ἑαυτὸν εἰς ἀποστολὴν, καὶ οἷον αὐτόμολος εἰς τοῦτό τοι ἰὼν, τὸ, « Ἰδοὺ ἐγὼ, ἀπόστειλόν με. » Εἰ δὲ δὴ λέγοι Θεός· « Τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; » οὐχ ἠπορηκότος εἶναί φαμεν τὴν φωνὴν, οὐδὲ οἷον ἐν σπάνει γεγονότος τοῦ πεμφθησομένου, καταιτιωμένου δὲ μᾶλλον τὸν Ἰσραὴλ ὡς ἀπειθῆ λίαν, καὶ εἴξαντα μὲν οὐδενὶ τῶν προαπεσταλμένων, ἀπεκτονότα δὲ μᾶλλον αὐτούς. Τοὺς μὲν γὰρ ὕβρισαν, τοὺς δὲ ἐλιθοβόλησαν, τοὺς δὲ ἀπέκτειναν, καθὰ φησιν ὁ Χριστὸς, τὴν ἐν τοῖς Εὐαγγελίοις ἡμῖν συντιθεὶς παραβολήν. Τίνα δὴ οὖν ἄρα, φησὶν, ἀποστείλω; Καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; οἳ τοῖς ἤδη προαπεσταλμένοις C ἠπειθηκότες, σκληροί τέ εἰσι, καὶ δυσάντητοι, καὶ δι' αὐτῶν ἔδειξαν τῶν πραγμάτων, ὡς οὐκ ἂν εἴη τοῦ τυχόντος προσβαλεῖν αὐτοῖς, μόνου δὲ τάχα τοῦ καὶ αὐτῆς ἀπεγνωκότος τῆς ἰδίας ζωῆς. Ὅτι δὲ γέγονεν ἀκαμπὴς, καὶ ἀνουθέτητος ἄγαν ὁ Ἰσραὴλ, ἀναμάθοι τις ἂν καὶ δι' ὧν ἔφη Θεὸς πρὸς τὸν μακάριον Ἐζεχιήλ. Ἔχει δὲ οὕτως· « Υἱὲ ἀνθρώπου, βάδιζε, εἴσελθε εἰς τὸν οἶκον τοῦ Ἰσραὴλ, καὶ λάλησον τοὺς λόγους μου πρὸς αὐτὸν, διότι οὐ πρὸς λαὸν βαθύχειλον καὶ βραδύγλωσσον ἐξαποστέλλῃ, πρὸς οἶκον τοῦ Ἰσραὴλ, οὐδὲ πρὸς λαοὺς πολλοὺς ἀλλοφώνους, ἢ ἀλλογλώσσους, οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους αὐτῶν. Καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, αὐτοὶ ἂν εἰσήκουσάν σου· ὁ δὲ οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσουσιν ἀκοῦσαί D σου, διότι οὐ βούλονται εἰσακοῦσαί μου, ὅτι πᾶς ὁ οἶκος τοῦ Ἰσραὴλ φιλόνεικοί εἰσι, καὶ σκληροκάρδιοι. » Εἰκότως δὴ οὖν μονονουχὶ ἀπορήσας, μᾶλλον δὲ, ὡς ἔφην, ἀρτίως ἐπὶ πολλῇ λίαν ὠμότητι καταιτιώμενος τοὺς ἐξ Ἰσραήλ. Τίνα δὴ οὖν ἀποστείλω; Μελλήσας δὴ οὖν ὁ προφήτης κατ' οὐδένα τρόπον· « Ἰδοὺ ἐγὼ, » φησὶν, « ἀπόστειλόν με. » Ὅταν τοίνυν καὶ ἡμῶν ὁ θεῖος ἄνθραξ ἐπιθιγγάνῃ, καθαροὶ μὲν ἐσόμεθα τῶν διεπταισμένων, πρόθυμοι δὲ καὶ νεανικοὶ πρὸς ἀποστολὴν, ὃ δὴ καὶ πεπράχασιν οἱ θεσπέσιοι μαθηταί. Καίτοι γὰρ ὄντες ἐξ Ἰουδαίων, καὶ πρὸ τῆς εἰς Χριστὸν ἀγάπης, ἀκάθαρτά που καὶ αὐτῶν τὰ χείλη μετὰ τῶν ἄλλων ἔχοντες, ἐπειδὴ δὲ προσήκαντο τὴν

[11] Ezech. III, 4-7.

πίστιν, πεποίηνται τὴν καλὴν ὁμολογίαν, ἥψατο δὲ καὶ αὐτῶν ὁ ἄνθραξ, τότε καὶ κέκληνται πρὸς ἀποστολὴν, καὶ ἠκολούθουν ἀμελλητὶ, καίτοι λέγοντος τοῦ πανσόφου Μωσέως· « Δέομαι, Κύριε, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς· » Ἱερεμίου δὲ πάλιν· « Ὁ ὢν, Δέσποτα Κύριε, ἰδοὺ οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι ἐγὼ νεώτερός εἰμι. » Θερμότεροι δὴ οὖν πρὸς ἀποστολὴν καὶ διακονίαν τῶν ἀρχαιοτέρων ἁγίων οἱ ἐν Χριστῷ. Καὶ σαφὴς ἂν γένοιτο τοῦ πράγματος τύπος ὁ μακάριος προφήτης Ἡσαΐας, μετὰ τὴν τοῦ ἄνθρακος ἐπαφὴν ἀνακεκραγώς τε καὶ λέγων τό· « Ἰδοὺ ἐγὼ, ἀπόστειλόν με. »

tametsi Moses sapientissimus dicat : « Obsecro, Domine, coopta alium potentem, quem mittas [29]. » Et Jeremias iterum : « Tu qui es, o Dominator Domine, ecce non scio loqui, quoniam ego junior sum [30]. » Ferventiores igitur ad apostolatum et ministerium Christiani, quam veteres sancti. Illustris autem hujus rei typus esse poterit beatus propheta Isaias, post carbonis attactum, cum clamat et dicit : « Ecce ego, mitte me. »

Καὶ εἶπεν· Πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.

VERS. 9, 10. *Et dixit : Proficiscere, et dic populo huic :* **110** *Auditu audietis, et non intelligetis ; et videntes videbitis, et non videbitis. Crassum enim effectum est cor populi hujus, et auribus graviter audierunt, et oculos suos occluserunt, nequando videant oculis, et auribus audiant, et corde intelligant, et convertantur, et sanem eos.*

Πώρωσιν μὲν ἀπὸ μέρους γεγενῆσθαι τῷ Ἰσραὴλ, ὁ θεσπέσιος γράφει Παῦλος· διερμηνεύων δὲ ὥσπερ τίνα τρόπον αὐτοῖς τὴν πώρωσιν συνέβη παθεῖν. « Ἄχρι γὰρ σήμερον, φησὶν, ἡνίκα ἂν ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. » Καὶ γὰρ ἦν ἀκόλουθον τοῖς εἰς τοῦτο λοιπὸν ἀγριότητος τρόπων ὠλισθηκόσιν, ὡς πολὺ νοσεῖν τὸ ἐξήνιον, καὶ μήτε τοῖς Μωσέως γράμμασιν εἴκειν ἐθέλοντες, μήτε μὴν τοῖς ἁγίοις προφήταις· προσθείην δ' ἂν ὅτι μηδὲ αὐτῷ τῷ Χριστῷ, τῷ τῆς νοητῆς ἀχλύος καταλαμβάνεσθαι σκότῳ, καὶ ὀλίγα διενεγκεῖν τῶν ἀναισθήτων λίθων. Ταύτην οὖν ἄρα ποιεῖται τὴν προαγόρευσιν ὁ τῶν ὅλων Θεὸς, καὶ τῷ προφήτῃ παρεγγυᾷ προκαταμηνύειν αὐτοῖς· ὅτι « Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. » Γεγόνασι γὰρ αὐτήκοοι τῆς τοῦ Σωτῆρος φωνῆς· ἐδίδαξεν ἐν συναγωγαῖς, προσπεφώνηκεν ἐν τοῖς Ἱεροσολύμοις πλειστάκις, ἀλλ' ἦσαν ἐν ἴσῳ τοῖς μηδ' ὅλως ἀκηκοόσιν. Γεγόνασι θεωροὶ τῶν παραδόξως τετελεσμένων. Τεθέανται γὰρ λεπροὺς τοῦ πάθους ἀπηλλαγμένους, ἀναπηδῶντας χωλοὺς, τυφλοὺς ἀναβλέποντας, νεκροὺς ἐκ μνημάτων ἀνισταμένους· ἀλλ' ὠφέληνται μὲν κατ' οὐδένα τρόπον, ὥσπερ δὲ καὶ αὐτῶν ὀμμάτων ἐστερημένοι, διετέλουν οἱ δείλαιοι. Ταύτῃ τοι καὶ ὀνειδίζονται διὰ τῆς τῶν ἁγίων φωνῆς, ὡς γεγονότες ἀεὶ σκληροτράχηλοι, καὶ ἀπειθεῖς τῇ καρδίᾳ, καὶ ἀπεκτονότες ἁγίους. Δεδόσθαι γε μὴν τὴν πώρωσιν αὐτοῖς φησιν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ συνῶσι τῇ καρδίᾳ, καὶ ἐπιστρέψωσι, καὶ ἰάσηται αὐτοῖς. Καὶ τοῦτο ἦν ἄρα καὶ μάλα σαφῶς, ὅπερ ἔφη Χριστὸς ἀπειθεῖν ᾑρημένοις· « Μὴ γογγύζετε μετ' ἀλλήλων· οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατήρ μου ὁ πέμψας με ἑλκύσῃ αὐτόν. » Καὶ πάλιν· « Πᾶς ὁ ἀκούσας παρὰ τοῦ Πατρὸς, ἔρχεται πρός με. » Οὐκοῦν οὐ κέκληνται πρὸς ἐπίγνωσιν τοῦ Υἱοῦ, δι' ἀποκαλύψεως τοῦ Θεοῦ καὶ Πατρὸς, ὅτι μηδὲ ἦσαν ἄξιοι τῆς δι' αὐτοῦ σωτηρίας καὶ ζωῆς. Εἰ δὲ δή τις βού-

Excæcationem ex parte factam Israeli divinus Paulus scribit, interpretans fere quemadmodum illis excæcatione pati contigerit. « Ad hodiernum enim usque diem, inquit, quando legitur Moses, velum cordi eorum imponitur [30*]. » Etenim qui ad istam demum morum feritatem delapsi sunt, ut effrenes plane, neque Mosaicis scriptis, neque sanctis prophetis, addo etiam, neque ipsi Christo obedire voluerint ; eos nebulæ intelligibilis circumfundi tenebris, et minimo minus a lapidibus sensu carentibus abesse, consentaneum est. Hoc proinde vaticinium instituit universorum Deus, et jubet prophetam denuntiare illis : « Auditu audietis, et non intelligetis, et videntes videbitis, et non videbitis. » Fuerunt enim ipsi auriti testes, auditoresque vocis Servatoris ; docuit in synagogis, clamavit sæpenumero Hierosolymis, ac perinde erant ac si nihil omnino audivissent. Spectatores rerum admirabiliter supra fidem gestarum fuerunt. Spectarunt enim leprosos morbo liberatos, exsilientes claudos, cæcos videntes, mortuos e monumentis resurgentes : at illis hæc minime profuerunt, sed miseri homines perpetuo quasi orbati ipsis oculis exstiterunt. Hac de causa voce sanctorum probro illis vertitur, quod semper præfractæ cervicis fuerint, ac corde immorigeri, sanctosque occiderint. Datam vero illis esse cæcitatem dicit, ne videant oculis, et corde intelligant, et convertantur, et sanet eos. Hoc demum erat plane quod Christus dixit his, qui nolebant credere : « Ne murmuretis inter vos : nemo potest venire ad me, nisi Pater qui misit me, traxerit eum [31]. » Et rursus : « Omnis qui audivit a Patre et didicit, venit ad me [32]. » Itaque ad agnitionem Christi per revelationem Dei et Patris vocati non sunt, quod salute ipsius et vita digni non erant. Si cui placet alium sensum his verbis apponere, **111** hunc ad modum intelliget. Prædicit enim universorum Deus, ut qui scit oc-

[29] Exod. iv, 13. [30] Jerem. i, 6. [30*] II Cor. iii, 15. [31] Joan. vi, 44. [32] ibid. 45.

culta et futura, aitque, omnino eos visuros, et audituros, mansuros autem ac si non audissent, neque contemplati fuissent, idque ipsis propter mentis suæ malitiam accidere. Addit deinde, dum hæc faciunt, suis ipsorum capitibus insidiari, et pertinaciæ morbo laborantes, nec audire velle, nec videre posse : « Ne videant oculis, et audiant auribus, et convertant se, et sanem eos. » Auctores itaque sui ipsorum interitus fuerunt, cum nec a Christo acute dictis aurem adhiberent, nec suæ mentis oculum aperirent. Si enim hoc fecissent, conversi fuissent, et si cultum quem oportuit reliquissent, salvam ac sanam suam mentem conservassent.

λοιτο προσβαλεῖν ἑτέρως ταῖς τῶν εἰρημένων ἐννοίαις, συνήσει τοιῶσδε. Προαγορεύει μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς, ὡς γινώσκων τὰ κεκρυμμένα, καὶ τὰ ἐσόμενα, καί φησιν, ὅτι πάντη τε καὶ πάντως ὄψονται μὲν καὶ ἀκούσονται, μενοῦσί γε μὴν ὡς μήτε ἀκηκοότες, μήτε συντιθέμενοι, καὶ τοῦτο παθόντες ἐκ μοχθηρᾶς αὐτοὶ τῆς ἰδίας γνώμης. Προσεπάγει δὲ τούτοις, ὅτι ταῦτα δρῶντες ἐκεῖνοι, ταῖς ἰδίαις ἐπιβουλεύουσι κεφαλαῖς. Ἠῤῥωστήκασι γὰρ τὸ δυσήκοον, καὶ τὸ μὴ δύνασθαι καθορᾷν, « Ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ ἐπιστρέψουσι, καὶ ἰάσομαι αὐτούς. » Αἴτιοι τοίνυν αὐτοὶ τῆς σφῶν αὐτῶν γεγόνασιν ἀπωλείας, μήτε τὸ οὖς παραθέντες τοῖς παρὰ Χριστοῦ λεγομένοις ὀξὺ, μήτε μὴν τὸν τῆς ἑαυτῶν διανοίας ἀνευρύνοντες ὀφθαλμόν. Εἰ γὰρ τοῦτο ἔδρων, ὑπέστρεψαν ἂν, καὶ τῆς καθηκούσης θεραπείας τετυχηκότες, σῶόν τε καὶ ὑγιᾶ τὸν ἑαυτῶν διεσώσαντο νοῦν.

VERS. 11, 12. *Et dixi : Quousque, Domine? Et dixit : Donec vastentur urbes, ut non sit qui inhabitet, et domus, ut non sint homines, et terra derelinquetur deserta. Et post hæc elongabit Deus homines, et derelicti multiplicabuntur in terra.*

Καὶ εἶπα· Ἕως πότε, Κύριε; Καὶ εἶπεν· Ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι, παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ οἱ καταλειφθέντες πληθυνθήσονται ἐπὶ τῆς γῆς.

Verebatur propheta, ne perpetua et sempiterna excæcatio induceretur Israelitis. Ideoque rogat ut tempus sciat quo hoc futurum est, et quousque protrahetur hæc quasi ægrotatio. Ad quæ respondens Deus, vastationem ipsorum Hierosolymorum prænuntiat, adeoque universæ Judæorum regionis, et inquit : « Donec vastentur urbes, ut non inhabitentur, et domus, ut non sint homines. » Quod ad extremum evenit, cum Vespasianus et Titus terram Judaicam, post Servatoris crucifixionem et in cœlos assumptionem, depopulati sunt. Quod autem hæc supplicii mensura inobedientibus, ut hucusque duntaxat patiantur, non adhibebitur, et quod in totum cum tota stirpe non sit periturus Israel, significat dicens : « Et post hæc longe faciet Deus homines, et derelicti multiplicabuntur in terra. » Longe vero facti a Deo fuerunt, cum et sanctos, et ipsum porro vitæ principem interfecerint. Qui vero relicti fuerunt, id est, salvi ac superstites, et qui in Christum crediderunt, qui et sunt reliquiæ **112** Israel, multiplicabuntur : idque in principio libri ipsemet etiam beatus Isaias significavit, cum ait : « Et nisi Dominus Sabaoth reliquisset nobis semen, velut Sodoma facti fuissemus, et Gomorrhæ similes fuissemus [33]. » Aliis porro videtur etiam aliter hæc verba intelligenda. Quærente enim propheta, et volente scire quousque et quandiu extenderetur excæcatio, respondet Deus : « Donec vastentur urbes, ut non habitentur, et domus, ut non sint homines, et posthæc elongabit Deus homines : » ut inde consummationis tempus intelligamus. Oportet enim primum bella et rumores bellorum audire, et gentem in gentem, et regnum contra regnum insurgere, et urbes ac domos vastari. Deinde ita fore tum finem, quo longe facti sunt homines, deinceps

Δέδιεν ὁ προφήτης, μὴ ἄρα διηνεκὴς, καὶ ἀκατάληκτος ἐπενήνεκται τοῖς ἐξ Ἰσραὴλ ἡ πώρωσις. Ταύτῃ τοι καὶ διαμαθεῖν ἀξιοῖ τὸν χρόνον, καθ' ὃν ἔσται τοῦτο αὐτοῖς, καὶ μέχρι τίνος παρατείνει τὸ ἀῤῥώστημα. Καὶ πρός γε δὴ ταῦτα Θεὸς προαγορεύει τὴν δήωσιν αὐτῶν τε τῶν Ἱεροσολύμων, καὶ ἁπάσης τῆς Ἰουδαίων χώρας, καί φησιν· « Ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους. » Ὃ δὴ καὶ εἰς πέρας ἐκβέβηκεν, Οὐεσπασιανοῦ τε καὶ Τίτου καταδῃωσάντων τὴν Ἰουδαίαν μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν, καὶ ἀνάληψιν τὴν εἰς οὐρανούς. Ὅτι δὲ οὐ μέχρι τοῦ ταῦτα παθεῖν, ἐκμετρηθήσεται τοῖς ἀπειθοῦσιν ἡ κόλασις, οὔτε μὴν εἰς ἅπαν ἤγουν ὁλόῤῥιζος ὁ Ἰσραὴλ οἰχήσεται, καταμηνύει λέγων· « Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ οἱ καταλειφθέντες, πληθυνθήσονται ἐπὶ τῆς γῆς. » Ἐμακρύνθησαν μὲν γὰρ ἀπὸ Θεοῦ, καὶ ἁγίους ἀπεκτονότες, προσθέντες δὲ τὸν ἀρχηγὸν τῆς ζωῆς. Οἱ δὲ δὴ καταλειφθέντες, τοῦτ' ἔστιν, οἱ περισεσωσμένοι, καὶ πεπιστευκότες εἰς Χριστὸν, οἳ καί εἰσι τὸ κατάλειμμα τοῦ Ἰσραὴλ, ἐν πολλῇ, φησὶν, ἔσονται πληθύϊ. Πεπίστευκε γὰρ οὐ βραχὺ μέρος τοῦ Ἰσραὴλ, καὶ τοῦτο ἐν ἀρχαῖς τοῦ βιβλίου καὶ αὐτὸς ὁ μακάριος προφήτης Ἡσαΐας μεμήνυκε, λέγων· « Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γομόῤῥα ἂν ὡμοιώθημεν. » Δοκεῖ δέ τισι καὶ ἑτέρως νοεῖν τῶν προκειμένων τὴν δύναμιν. Διερωτῶντος δὲ τοῦ προφήτου, καὶ ἀναμαθεῖν ἐθέλοντος εἰς τίνα καὶ πόσον ἐκταθήσεται καιρὸν ἡ πώρωσις, ἀποκρίνεται Θεός· « Ἕως ἂν ἐρημωθῶσιν αἱ πόλεις, παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι, παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους· » ἵνα διὰ τούτου νοῶμεν τὸν τῆς συντελείας καιρόν. Δεῖ γὰρ πρότερον πολέμους ἡμᾶς

[33] Isa. I, 9.

ἀκοῦσαι, καὶ ἀκοὰς πολέμων, ἀναστῆναί τε ἔθνος ἐπ' ἔθνος, καὶ βασιλείας ἐπὶ βασιλείας, ἐρημωθῆναί τε πόλεις, καὶ οἴκους, εἶθ' οὕτω τὸ τέλος· μεθ' ὃν μακρύνονται λοιπὸν οἱ ἄνθρωποι, μετὰ τὸν τῆς ἀναστάσεως δηλονότι καιρὸν, τὸν εὐαγῆ καὶ μακραίωνα διαζῶντες βίον, ἀνῃρημένης εἰς ἅπαν τῆς φθορᾶς, καὶ κατηργημένου τοῦ θανάτου, κα ἁπάσης ἁμαρτίας ἐξῃρημένης. Ὅτι δὲ πεπώρωται ὁ Ἰσραὴλ, κεκλήσεταί γε μὴν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, τῆς θεοπνεύστου Γραφῆς λεγούσης σαφῶς τε καὶ ἐναργῶς, εἰκαῖον οἶμαι τὸ διατείνεσθαι, καὶ ζητεῖν τὰ τελοῦντα πρὸς πληροφορίαν.

A nimirum post tempus resurrectionis integram longamque vitam viventes, interitu prorsus sublato, morte exinanita, omnique peccato submoto. Excæcatum vero Israelem esse, et extremis mundi temporibus vocandum, cum Scriptura divinitus inspirata clare affirmet, producere et conquirere fidei faciendæ argumenta, frustraneum esse arbitror.

Καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσονται εἰς προνομὴν ὡς τερέβινθος καὶ ὡς βάλανος ὅταν ἐκπέσῃ ἀπὸ τῆς θήκης αὐτοῦ.

Διαμέμνηται καὶ νῦν ἱστορίας ὁ προφητικὸς ἡμῖν λόγος, ἣν ἀναγκαῖον, ὡς ἔοικεν, εἰπεῖν· ἔσται γὰρ B οὕτω σαφὲς τὸ δηλούμενον. Καταστρατευόντων τοιγαροῦν τῆς Ἰουδαίων χώρας, ὡς ἤδη προεῖπον, Οὐεσπασιανοῦ τε καὶ Τίτου, δεδαπάνηται μὲν ἡ τῶν Ἰουδαίων χώρα, πόλεσί τε ὁμοῦ καὶ αὐτοῖς οἴκοις ἐμπεπρησμένη, θέαμα δεινὸν, καὶ παντὸς οἴκτου μεστὸν τοῖς ὁρῶσιν ἦν, ὀλιγανδρίας ἥκειν εἰς τοῦτο λοιπὸν τὸ ἔθνος αὐτοῖς, ὡς τῆς ἀληθείας οὐκ ἀφαμαρτεῖν τὸν λέγοντα, περιλελεῖφθαι μόλις ἐν αὐτῇ τοῦ παντὸς δήμου τὸ ἐπιδέκατον. Εἶτα διατετελέκασι χρόνους τινὰς τρεφόμενοι μὲν ἐν εἰρήνῃ, πλὴν οὐκ ἔξω δειμάτων, τοῦ καὶ εἰσαῦθις παθεῖν τὴν δῄωσιν, ὃ δὴ καὶ γέγονεν. Ἀδριανὸς γὰρ κατὰ καιροὺς τῶν Ῥωμαίων βασιλείας διέπων τοὺς θάκους, καὶ μὴν Ἀντίοχος ἐπίκλην Ἐπιφανὴς, κατέδραμον τῆς Ἰου- C δαίων χώρας, καὶ οὐδὲν ἦν ἐν μείοσι τῶν πάλαι κακῶν προσερημουμένων λειψάνων, πεμπομένων εἰς αἰχμαλωσίαν τῶν κατειλημμένων, ὅτε καὶ τὰ τῶν Μακκαβαίων συνέβη γενέσθαι πάθη. Τῶν τοιούτων διηγημάτων ἡμῖν ποιεῖται τὴν μνήμην ἐν προηγορεύσει πάλιν ὁ τῶν ὅλων Θεὸς καί φησιν· « Ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομήν. » Οὐ γὰρ ἔξω φροντίδος κείσεται, φησὶ, κἂν εἰ ἐν λειψάνοις γένοιτο, καὶ τοῦτο μικροῖς, τῶν Ἰουδαίων ὁ δῆμος· ἀλλ' ἔσται πάλιν εἰς προνομήν. Γενήσεται δὲ ἡ χώρα καὶ τότε πάλιν αὐτοῖς ὡς τερέβινθος, καὶ αὐτοὶ δὲ ὡς βάλανος, ὅτε ἐκπέσῃ ἀπὸ τῆς θήκης αὐτοῦ. Φυτὸν μὲν γὰρ ἡ τερέβινθος, ἀλλ' εἰ γένοιτο τῶν φύλλων ἀποβολὴ, πολὺ δὴ λίαν ἔχει τὸ ἀτερπὲς, ξηροτάτους ἔχων τοὺς κλῶνας. Κατὰ τοῦτον οἶμαι τὸν τρό- D πον, καὶ χώρα παθοῦσα τῶν ἐνοικούντων αὐτὴν ἐρήμωσιν, ἐν ἴσῳ που πάντως ξηροῖς ἔσται φυτοῖς, τοῖς κατ' αὐτὴν οὐκ ἔχουσι τὴν ἄνθην, ἀλλὰ καὶ αὐτῆς παθούσης τῆς φυλλίδος τὴν ἀποβολήν. Ὁμοίως ἡ βάλανος καρπὸς μέν ἐστι δρυός· ὅταν δὲ τῆς θήκης ἐκπέσῃ, τότε παρακείσεται τοῖς εἰωθόσιν αὐτὴν κατανέμεσθαι τῶν ζώων. Οὐκοῦν ἡ μὲν τῶν Ἰουδαίων χώρα μεμίμηται τὴν τερέβινθον ἀποβαλοῦσαν τὰ φύλλα. Οἱ δὲ ταύτης ἀποπεπτωκότες διὰ τοῦ δραμεῖν εἰς αἰχμαλωσίαν, ὡς βάλανοι κείσονται, μονονουχὶ θήκης ἰδίας ἐκπεπτωκότες τῆς ἐνεγκούσης αὐτούς. Τοιοῦτόν τι καὶ ὁ Σολομὼν φησιν· « Ὥσπερ ὄρνεον ὅταν ἐκ-

VERS. 13. *Et adhuc in illa est decimatio, et rursus erunt direptioni ut terebinthus, et ut glans quando exciderit ex theca sua.*

Incidit etiam nunc in mentionem historiæ prophetica oratio, quam necesse est, ut videtur, commemorare: sic erit quod exponitur manifestum. Oppugnantibus igitur regionem Judaicam, ut jam ante dixi, Vespasiano et Tito, ipsa adeo urbs Judæorum excisa est, una cum civitatibus et domibus exusta, et spectaculum crudele fuit, ac videntibus quam luctuosissimum. Etenim ad tantam virorum paucitatem gens illorum recidit, ut a vero defluxurus non sit, qui vix totius populi decimationem in ea superfuisse dixerit. Deinde aliquantulum temporis in pace alti conservatique permanserunt, non citra metum tamen etiam deinceps vastationem perpetiendi: quod factum est. Nam Adrianus olim regni Romani solium tenens, et Antiochus Illustris, in regionem Judæorum incursionem fecerunt, et nihil superiorum malorum **113** non erat in istis minimis quidem, reliquiis devastatis, missis in captivitatem his qui comprehensi erant, quando etiam Maccabæorum mala acciderunt. Hujusmodi igitur historiarum mentionem nobis facit denuo in vaticinio universitatis Deus, et inquit: «Adhuc erit in illa decimatio, et rursus erit direptioni.» Non enim cura abjicietur populi Judaici, tametsi positus sit in reliquiis parvis: sed rursus erit direptioni. Eritque etiam tunc iterum illis regio ceu terebinthus, et ipsi ceu glans quando ceciderit e theca sua. Arbor quidem est terebinthus, at si folia defluxerint, valde erit deformis, ramos habens aridissimos. Pari ratione etiam regio, ut mihi videtur, cum habitatoribus suis destituetur, similis omnino erit arboribus aridis, quæ florem suum non habent, sed et foliis destituuntur. Similiter glans fructus quidem est quercus; quando autem theca exciderit, tum bis quæ eam depascere solent animantibus prostituetur. Proinde Judæorum regio imitata est terebinthum quæ folia abjecit. Qui autem ea exciderint, in captivitatem fugientes, jacebunt instar glandium, propemodum sua theca, terra, inquam, quæ tulit eos exturbati. Simile quiddam et Solomon ait: « Sicut avis cum ciderit ex suo nido, sic et homo cum suo loco dimovebitur [34]. » Quid enim his qui in captivitate sunt fieri potest miserabilius? Quid

[34] Prov XXVII, 8.

vero tam miserum est et tam proculcatum ac contemptibile, quam homines in manum victoris incidere?

A πέσῃ ἐκ τῆς ἰδίας καλιᾶς, οὕτω καὶ ἄνθρωπος ὅταν ἀποσπασθῇ ἐκ τῶν ἰδίων τόπων. » Τί γὰρ ἂν γένοιτο τῶν ἐν αἰχμαλωσίᾳ τὸ οἰκτρότερον; Τί δὲ οὕτως ἐλεεινὸν καὶ πεπατημένον, ὡς ἀνθρώπους ὑπὸ χεῖρα πεσεῖν τῶν κεκρατηκότων.

CAP. VII, VERS. 1. *Et factum est in diebus Achazi filii Joatham, filii Oziæ regis Judæ, ascendit Rhaasson rex Syriæ, et Phacee filius Romeliæ rex Israel, contra Jerusalem ad obsidendum eam, et non potuerunt expugnare eam.*

Qui in Scripturis divinitus inspiratis historiam ut rem frivolam repudiant, fugiunt, ut videtur, eo quo decet modo, ea quæ in ipsis scripta sunt, intelligere. Speculatio enim spiritalis, quæ bona est et utilis, et intelligentiæ oculos maxime collustrans, cordatissimos quidem efficit; quando **114** autem aliquid historice gestum ex sacris Litteris nobis affertur, tunc illam quæ ex historia utilitatem nascitur, aucupari decet, ut Scripturam divinitus inspiratam undecunque nos et servare et juvare appareat. Enarrat itaque nobis hisce verbis sermo propheticus, quæ tempore regni Oziæ tribubus Juda et Benjamin, decemque tribubus in Samaria, quæ et Ephraim nominabantur et Israel, contigerunt. Cum vero quatuor regum temporibus universa prophetiæ oratio habita sit, quæ sigillatim contingunt, ponit propheta, significatque necessario, ordinem visis atque sermonibus suis optimum adhibens. Defuncto igitur Azaria, qui et Ozias, succedit in regnum Joatham, scopumque ac instituta patris sui persecutus est. Dicitur quippe et ipse in oculis Domini fecisse rectum, quemadmodum et Ozias; verum excelsa non sustulit, sed etiamnum populus in excelsis adolebat. Et Ozias quidem præter fas sacrum munus ambiit, et offerre incensa aggressus est, et eam ob causam lepra affectus est. Joatham autem non sic. Postquam et ille migrasset e vivis, subrogatur in regnum Achazus, imperitante adhuc Israelitis, id est, decem tribubus, Phacee filio Romeliæ. Hic bellum contra Achazum et Judam movit, et uno die centum viginti millia interemit. Irritatus est enim universitatis Deus, propter impietates Achazi, de quo scriptum est quarto Regnorum, quod in via regis Israel ambularit. Erat enim vir impius, et serviebat idolis, et liberos suos per ignem traduxit, immundis dæmonibus sacrificans. Temporibus itaque ipsius regni, et ipse Phacee filius Romeliæ, et Rhaasson rex Aram, id est Syriæ, contra Hierosolyma et Juda conspirarunt, veneruntque populabundi. Verum non ceperunt urbem. Achazus autem, impressionem intolerabilem metuens, acervo pecuniarum magno congesto, ad Theglaphasarum regem Assyriorum legatos mittit, rogans ut velit sibi subsidio esse, utque contra Rhaasson arma capiat. Quod etiam ad exitum perductum est; **115** profectusque Assyrius cepit Damascum, obtruncavit Rhaasson. Mortuo autem Phacee filio Romeliæ, qui regnavit in Samaria super Israelem, sceptrum capessit Osee filius Elæ; quo regnante, invadit Samariam Salmanasar Assyrius, totamque occupavit,

Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωαθὰμ τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥαασσὼν βασιλεὺς Συρίας, καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἱερουσαλὴμ πολεμῆσαι αὐτὴν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν.

Οἱ τὴν ἐν ταῖς θεοπνεύστοις Γραφαῖς ἱστορίαν ὡς ἕωλον παραιτούμενοι, φεύγουσι κατὰ τὸ εἰκὸς τὸ νοεῖν δύνασθαι, καθ' ὃν προσήκει τρόπον, τὰ ἐν αὐτοῖς γεγραμμένα. Θεωρία μὲν γὰρ πνευματικὴ καλή τε καὶ ὀνησιφόρος, καὶ τῆς διανοίας τὸν ὀφθαλμὸν εὖ μάλα καταλαμπρύνουσα νουνεχεστάτους ἀποτελεῖ. Ὅταν δέ τι τῶν ἱστορικῶς πεπραγμένων διὰ τῶν ἱερῶν ἡμῖν Γραμμάτων εἰσφέρηται, τότε δὴ τότε τὸ B ἐκ τῆς ἱστορίας χρήσιμον θηρᾶσθαι πρέπει, ἵνα πανταχόθεν ἡμᾶς ἡ θεόπνευστος Γραφὴ σώζουσά τε καὶ ὠφελοῦσα φαίνηται. Ἀφηγεῖται τοίνυν ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος τὰ ἐν καιροῖς τῆς Ὀζίου βασιλείας συμβεβηκότα τοῖς ἐξ Ἰούδα καὶ Βενιαμεὶν, καὶ ταῖς ἐν τῇ Σαμαρείᾳ δέκα φυλαῖς, αἳ καὶ Ἐφραῒμ ὠνομάζοντο, καὶ μέν τοι καὶ Ἰσραήλ. Ἐπειδὴ δὲ ἐν καιροῖς τεσσάρων βασιλέων ὁ σύμπας τῆς προφητείας γέγονε λόγος, τὰ ἐν τοῖς ἑκάστου καιροῖς συμβαίνοντα τίθησιν ὁ προφήτης, καὶ ἀναγκαίως ἐπισημαίνεται, τάξιν ταῖς ὁράσεσιν, ἤτοι τοῖς ἑαυτοῦ λόγοις τὴν ἀρίστην ἐπιτιθείς. Τεθνεῶτος τοιγαροῦν Ἀζαρίου καὶ τοῦ Ὀζίου, διαδέχεται τὴν βασιλείαν Ἰωαθὰν, ἠκολούθησέ τε τῷ σκοπῷ, καὶ τοῖς ἐπιτηδεύμασι τοῦ ἰδίου πατρός. Λέγεται μὲν γὰρ καὶ αὐτὸς ἐν ὀφθαλ- C μοῖς Κυρίου ποιῆσαι τὸ εὐθὲς, καθὰ καὶ Ὀζίας, πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν, ἀλλ' ἔτι ὁ λαὸς ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. Καὶ ἐζήτησε μὲν Ὀζίας παρὰ τὸ ἐξὸν ἱερατεῦσαι Θεῷ, καὶ προσενεγκεῖν θυμιάματα, καὶ λελέπρωται ταύτης ἕνεκα τῆς αἰτίας. Ἰωαθάν γε μὴν οὐχ οὕτως. Ἐπειδὴ δὲ καὶ αὐτὸς ἀπεβίω, διαδέχεται τὴν βασιλείαν ὁ Ἄχαζ, βασιλεύοντος ἐπὶ τὸν Ἰσραὴλ, τουτ' ἔστι, τῶν δώδεκα φυλῶν, Φακεὲ υἱοῦ Ῥομελίου. Οὗτος κεκίνηκε πόλεμον κατὰ τοῦ Ἄχαζ καὶ τοῦ Ἰούδα, καὶ ἀπέκτεινε μὲν ἐν μιᾷ ἡμέρᾳ ἑκατὸν καὶ εἴκοσι χιλιάδας. Παρωτρύνετο γὰρ ὁ τῶν ὅλων Θεὸς ἐν ταῖς τοῦ Ἄχαζ δυσσεβείαις, περὶ οὗ καὶ γέγραπται ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν, ὅτι ἐπορεύθη ἐν ὁδῷ βασιλέως Ἰσραήλ. Γέγονε γὰρ ἀνὴρ δυσσεβὴς, καὶ λελάτρευκεν εἰδώλοις, καὶ τὰ τέκνα αὐτοῦ διήγαγε D διὰ πυρὸς καταθυμιῶν τοῖς ἀκαθάρτοις δαίμοσιν. Ἐν καιροῖς τοιγαροῦν τῆς ἑαυτοῦ βασιλείας συνεφράξαντο κατά τε τῶν Ἱεροσολύμων καὶ Ἰούδα, αὐτός τε Φακεὲ ὁ τοῦ Ῥομελίου, καὶ Ῥαασσὼν βασιλεὺς Ἀρὰμ, τουτ' ἔστι Συρίας. Καὶ ἦλθον ὡς καταδῃώσοντες, πλὴν οὐχ εἷλον τὴν πόλιν. Δεδιὼς δὲ τὴν ἔφοδον ἀφόρητον οὖσαν ὁ Ἄχαζ, ἄθροισιν μὲν ποιεῖται χρημάτων πολλὴν, πρεσβεύεται δὲ πρὸς τὸν βασιλέα τῶν Ἀσσυρίων Θεγλαφολλασὰρ, ἐπαμύνεσθαί τε αὐτῷ παρακαλεῖ, καὶ καταστρατεύσασθαι τοῦ Ῥαασσὼν, ὃ δὴ καὶ εἰς πέρας ἐνήνεκται. Ἐλθὼν δὲ Ἀσσύριος εἷλε τὴν Δαμασκὸν, ἀπέκτεινε δὲ καὶ τὸν Ῥαασσών.

Τελευτήσαντος δὲ καὶ τοῦ Φακεὲ τοῦ Ῥομελίου τοῦ A βασιλεύσαντος κατὰ τὴν Σαμαρείαν ἐπὶ τὸν Ἰσραὴλ, διαδέχεται τὸ σκῆπτρον Ὡσηὲ υἱὸς Ἠλα, οὗ βασιλεύσαντος, ἔρχεται κατὰ τὴν Σαμαρείαν Σαλμανασὰρ ὁ Ἀσσύριος, καὶ εἷλε μὲν πᾶσαν, ἀπεκόμισε δὲ τὸν Ἰσραὴλ αἰχμάλωτον, καὶ ἀπῴκησεν ἐν τοῖς ὄρεσι Περσῶν καὶ Μήδων· εἶτα τινὰς τῶν ὑφ' ἑαυτῷ κατοικεῖν ἐκέλευσε τὴν Σαμαρείαν, τόν τε ἐκ Χουνθὰ, καὶ τὸν Σαπφαρουΐαν. Γέγραπται γὰρ οὕτως ἐν ταῖς Βασιλείαις, καὶ μακρὸς μὲν ὁ ἐφ' ἑκάστῳ τῶν εἰρημένων λόγος παρά γε τῇ θεοπνεύστῳ Γραφῇ, πλὴν πεποίημαι τὴν ἀφήγησιν βραχυλογήσας ὡς ἔνι. Ἐροῦμεν δὲ καὶ ἀνὰ μέρος ἕκαστα, ταῖς τῶν προκειμένων ἐννοίαις ἑπόμενοι. Ἐν ταῖς ἡμέραις τοίνυν, φησὶν, Ἄχαζ τοῦ Ἰωαθὰν τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, συμπεφωνήκασιν ὅ τε Ῥαασσὼν βασιλεὺς Ἀρὰμ, τοῦτ' ἔστι, Συρίας, καὶ Φακεὲ υἱὸς Ῥομελίου B βασιλεὺς Ἰσραὴλ, κατὰ τῶν Ἱεροσολύμων, ἀφίκοντο δὲ καταδῃώσοντες, πλὴν οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. Εἴρηται δὲ ταῦτα τέως ἐν προγραφῆς δυνάμει, καὶ ὡς ἐν ἀφηγήσει τοῦ συμβεβηκότος. Δηλοῖ γὰρ τὴν σκέψιν καὶ αὐτὸ δὲ τὸ ἐγχείρημα, προσεπάγει δὲ παραχρῆμα, καὶ τὸ τοῦ πράγματος πέρας· Οὐ γὰρ ἠδυνήθησαν, φησὶ, πολιορκῆσαι αὐτήν.

Israelem captivum abduxit, et in finibus Persarum ac Medorum collocavit: deinde quosdam qui secum erant, jussit incolere Samariam, qui de Chuntha et Sappharviam. Sic enim in Regnis scriptum est. Et quidem de singulis quæ dicta sunt longa est in Scriptura divinitus inspirata oratio, at narrationem hanc quanta licuit brevitate persecutus sum. Sed particulatim dicemus singula, verborumque sententiam ordine explicabimus. Diebus igitur, inquit, Achazi filii Joatham, filii Ozæ regis Juda, Rhaasson rex Aram, hoc est Syriæ, et Phacee filius Romeliæ rex Israel, conspirarunt contra Hierosolyma, et pervenerunt civitatem deleturi, eam tamen oppugnare non potuerunt. Dicta sunt hæc inscriptionis et præfationis loco et ceu per narrationem eventorum. Declaravit item consilium ipsumque conatum, subjicitque continuo rei ipsius exitum: non enim potuerant eam oppugnare.

Καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβὶδ λέγοντες, Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ὅταν ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ.

Vers. 2. *Et renuntiatum est domui Davidis a dicentibus, Conspiravit Aram cum Ephraim, et consternata est anima ejus, et anima populi ejus, quemadmodum in silva lignum a vento movetur.*

Ὁρισάμενος, ὡς ἔφην, τῶν διηγημάτων τὴν πρόφασιν, καὶ ὡς ἐν βραχεῖ κεφαλαίῳ συλλήβδην εἰπὼν τὸ ἐγχείρημα τῶν δύο βασιλέων, καὶ ὅτι πρὸς πέρας αὐτοῖς οὐκ ἐκβέβηκεν ὁ σκοπὸς, ἄρχεται λοιπὸν ἀνὰ C μέρος ἕκαστα κατισχνοῦν τῷ λόγῳ. Ἀνηγγέλη γὰρ, φησὶν, εἰς τὸν οἶκον Δαβὶδ, τοῦτ' ἔστι, τὸν βασιλεύοντα, καὶ ἀπήγγελλον ὅτι συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ. Ἀρὰμ δέ φησι τὸν Σύρον, καὶ Ἐφραΐμ ὁμοίως τὰς ἐν Σαμαρείᾳ δέκα φυλάς. Ἐπειδὴ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐπύθετο καὶ πεπίστευκεν ὁ οἶκος Δαβὶδ, τοῦτ' ἔστιν, ὁ Ἄχαζ. Ἐξέστη ἡ ψυχὴ αὐτοῦ καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ὅταν ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. Τὸ δὲ, ἐξέστη, τίθησι κοινῶς, ἀντὶ τοῦ, κατεπλάγη, καὶ μικρὸν καὶ αὐτῆς ἐκπέπτωκε φρενός. Τὰ γάρ τοι δεινὰ τῶν δειμάτων, ἱκανά πώς ἐστι εἰς τὸ κατασεῖσαι δύνασθαι τὸν νοῦν, καὶ καταδονῆσαι τὴν ψυχὴν, καί τι τοιοῦτον ὑπομεῖναι δοκεῖν, ὁποῖον ἂν πάθοι D καὶ τὸ ἐν δρυμοῖς ξύλον, πνευμάτων ἀγρίων προσβολαῖς τῇδέ τε κἀκεῖσε διαῤῥιπτούμενον. Γέγονε δὲ μάλιστα τῆς δειλίας ἡ πρόφασις, ἤτοι τῆς ἐκστάσεως αὐτῷ τὸ συμβεβηκός. Ἤδη γὰρ ἔφην ὅτι βασιλεύοντος αὐτοῦ, πεπολεμήκει πρὸς τὸν Ἰούδαν ὁ Φακεὲ, καὶ ἀνεῖλεν ἐκ τοῦ λαοῦ ἐν μιᾷ ἡμέρᾳ ἑκατὸν εἴκοσι χιλιάδας. Ὅτε τοίνυν καὶ μόνος ὁ Φακεὲ τοσοῦτος γέγονεν, ὡς κατισχῦσαι ῥᾳδίως τῶν ἐν τοῖς Ἱεροσολύμοις· πῶς οὐκ ἔδει τὸν ἐν τοῖς ἐσχάτοις ἐνδείξασθαι φόβον, αὐτόν τε τὸν Ἄχαζ, καὶ τὸν ἐπ' αὐτῷ λαὸν, συμπεφωνηκότος τοῦ Σύρου, καὶ συνεξοπλίζοντος τῷ Ἐφραΐμ μετὰ τῶν Ἱεροσολύμων;

Definita ac declarata, ut dicebam, narrationum occasione, et tanquam in brevi summa comprehensim conatu duorum regum commemorato, utque ad exitum eorum consilia non pervenerint, incipit deinceps per partes singula quasi oratione persequi. Renuntiatum est, inquit, domui Davidis, id est, regnanti, et annuntiarunt Aram cum Ephraim conspirasse. Aram vero Syrum dicit, Ephraim similiter decem tribus in Samaria. Hæc cum ita se haberent, audivit et credidit domus David, hoc est, Achaz. Consternata est anima ejus, et anima populi, quemadmodum cum in silva lignum a vento movetur. Illud autem ἐξέστη, *consternata* seu *stupore commota est*, ponit communiter pro, κατεπλάγη, **116** perculsa est, et propemodum ipsa mente excidit. Ex gravibus enim terroribus concutitur mens, animusque exagitatur, idemque videtur pati quod lignum in silvis sævorum ventorum impetu huc illuc jactatum. Causa autem metus sive exstaseos ac perturbationis ei fuit id quod contigerat. Jam enim dicebam, illo regnante Phacee adversum Judam bellum suscepisse, et uno die ex populo centum viginti millia e medio sustulisse. Cum igitur solus Phacee talis tantusque exstiterit, ut facile Hierosolymitanos superarit, annon his extremis temporibus tum Achazum ipsum, tum subditos timere oportuit, cum consenserit Syrus, et arma copiasque cum Ephraim adversum Hierosolyma tulerit?

Καὶ εἶπε Κύριος πρὸς Ἡσαΐαν, Ἔξελθε εἰς συνάντησιν Ἄχαζ, σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου, πρὸς τὴν κολυμβήθραν τῆς

Vers. 3. *Et dixit Dominus ad Isaiam: Egredere in occursum Achazi, tu et derelictus Jasub filius tuus, ad piscinam superioris viæ agri fullonis. E.*

dices ei, Observa ut quiescas, et ne metuas, ne anima tua debilitetur a lignis duobus titionum fumantium istorum. Cum enim ira furoris mei fuerit, iterum sanabo.

Omnino clemens est et misericors Dominus, et omnes homines servari vult, et ad agnitionem veritatis venire[85], omniaque gubernat sapienter, cuique salutis viam æquabilem planamque faciens. Quod ita esse ex ipsis rebus licet nobis cernere. Nam Achazus fuit idololatra, abominabilis et profanus. Cum autem in malis non fugiendis jam versaretur, et calamitatibus tantum non inebriatum atque obrutum eum clementissimus conspicatus esset, consequendæ ab ipso salutis spem facit e vestigio, ac pollicetur auxilium, ut ab idolomania desistat, studeatque jam sibi a prioribus vitiis temperare, et veræ Dei cognitionis lucem recipere. Itaque propheta jubetur ei obviam facere una præsente Jasobo, qui *derelictio* et *derelictus* exponitur, figura propemodum significante tanquam in symbolo Achazo, conservandas esse reliquias Juda, qui Deo adhæserat. Typum enim Dei repræsentans propheta, percommode affert pollicitationem auxilii in piscina superioris viæ agri fullonis. Figura rursum est **117** piscina salutaris fontis sacri baptismi, quæ nos etiam in viam deducit superiorem, et fullonis sub intelligentiam cadentis, id est, ejus qui sordes nostras omnes detergit, et ab inquinamentis liberat. Firma est hæc ergo pollicitatio: et in figura particulari sapiens ænigma ac insinuatio rei generalis et per Christum, a propheta tradita est. Ait autem: « Vide ut quiescas, et ne timeas, nec anima tua debilitetur, a duobus lignis titionum istorum fumigantium. » Quod quiescere curisque vacare, et a trepidationibus molestis liberum esse præcipiat: vocantis nimirum est, idque prudentissime, ad obedientiam, et veluti reducentis ad principia, ut colat sermones divinos, et veritatem eorum quæ dixi, prompte suo suffragio confiteatur. Faces vero et ligna fumantia vocat eos, qui contra illum conspirarunt, quasi qui paulo post et esse et regnare desituri sint. Quemadmodum enim lignum seu titio quando ex igne extrahitur, fumigat quidem, verum ignem in sese amplius habere desinit: pari quoque ratione, arbitror, homo vel vitæ, vel rei alicujus finem facturus, merito fax dici poterit, aut lignum adhuc fumigans. Cæterum ubi eos timidos admodum et mœrore magno defectos esse intelligeret, quod dimicantes contra Phacee vincerentur, et quod centum viginti millia ex Juda, ut dixi, uno die corruissent: etiam his terriculamentis eos eximit, et inquit: « Quando enim ira furoris mei fuerit, iterum sanabo, » id est, nequaquam cecidissent, nisi furor meus in manum hostium eos tradidisset. Sed, inquit, si fuerit ira mea contra quosdam accensa, rursus eos qui passi sunt sanabo. Nam qui ex ira tradidit, facile ex

[85] I. Tim II, 4.

A *ἄνω ὁδοῦ τοῦ ἀγροῦ τοῦ κναφέως. Καὶ ἐρεῖς αὐτῷ, Φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. Ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι.*

Οἰκτείρμων ὄντως καὶ ἐλεήμων ὁ Κύριος, καὶ πάντας ἀνθρώπους ἐθέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· οἰκονομεῖ δὲ πάντα σαφῶς, καὶ καταλειαίνων ἑκάστῳ τῆς σωτηρίας τὴν ὁδόν. Καὶ τοῦτο ἡμῖν ἐξ αὐτῶν ἔνεστι τῶν πραγμάτων οὕτως ἔχον ἰδεῖν. Ἀνὴρ μὲν γὰρ γέγονεν εἰδωλολάτρης ὁ Ἄχαζ, βδελυρὸς καὶ βέβηλος. Ἐπειδὴ δὲ ἦν ἐν ἀφύκτοις ἤδη κακοῖς, καὶ μονονουχὶ μεθύοντα ταῖς συμφοραῖς ὁ φιλοικτείρμων τεθέαται, προστίθησιν εὐθὺς τὸ ἐξεῖναι μεταλαχεῖν τῆς παρ' αὐτοῦ σωτηρίας, ὑπ- B ισχνεῖται δὲ τὴν ἐπικουρίαν, ἵνα παύσῃ μανίας εἰδωλομανοῦς, καὶ ἀποσχέσθαι παρασκευάζῃ τῶν ἤδη προσεπταισμένων, καὶ τὸ τῆς ἀληθοῦς θεογνωσίας ἐκδέξασθαι φῶς. Προστάττει τοίνυν ὁ προφήτης ὑπαντῆσαί τε αὐτῷ συνόντος Ἰασοὺμ, ὃς *ὑπόλειμμα* καὶ *ὑπολελειμμένος* ἑρμηνεύεται· μονονουχὶ τοῦ τύπου σημαίνοντος ὡς ἐν συμβόλῳ τῷ Ἄχαζ, ὅτι σωθήσεται τὸ ὑπόλειμμα τοῦ Ἰούδα μετὰ Θεοῦ μεμενηκός. Θεοῦ γὰρ εἰς τύπον ὁ προφήτης λαμβάνεται, εὖ δὲ δὴ σφόδρα τῆς ἐπικουρίας ποιεῖται τὴν ὑπόσχεσιν ἐπὶ τῇ κολυμβήθρᾳ τῆς ἄνω ὁδοῦ τοῦ ἀγροῦ τοῦ κναφέως. Τύπος δὲ πάλιν ἡ κολυμβήθρα τῆς σωτηρίου πηγῆς τοῦ ἁγίου βαπτίσματος, ἣ καὶ εἰς ὁδὸν ἡμᾶς ἀποφέρει τὴν ἄνω, καὶ τοῦ νοητοῦ C κναφέως, τοῦτ' ἔστι, τοῦ πάντα ῥύπον ἡμῶν ἐκσμήχοντος, καὶ ἀπαλλάττοντος μολυσμῶν. Ἀσφαλὴς οὖν ἡ ὑπόσχεσις, καὶ ὡς ἐν τύπῳ τῆς μερικῆς τῆς καθόλου καὶ διὰ Χριστοῦ, σοφὸν δέδοται τῷ προφήτῃ τὸ αἴνιγμα. Φησὶ δὲ τὸ, « Φυλάσσου τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. » Καὶ τὸ μὲν ἐπιτάττειν ἠρεμεῖν καὶ φροντίδων δίχα διατελεῖν, καὶ μὴν καὶ δειμάτων ἀπαλλάττεσθαι χαλεπῶν· καλοῦντος ἦν ἄρα καὶ μάλα ἐμφρόνως εἰς εὐπείθειαν, καὶ οἱονεὶ εἰς ἀρχὰς ἀναφέροντος τοῦ χρῆναι τιμᾷν τοὺς περὶ Θεοῦ λόγους, καὶ οἷς ἂν λέγοι τὸ ἀληθὲς ἑτοίμως ἐπιψηφίζεσθαι. Δαλοὺς δὲ καὶ ξύλα καπνιζόμενα καλεῖ, τοὺς κατ' αὐτοῦ συμπεφωνηκότας, ὡς ὅσον οὐδέπω πεπαυσομένους καὶ αὐτοῦ D τοῦ εἶναι, καὶ τῆς βασιλείας. Ὥσπερ γὰρ ξύλον ἤγουν ὁ δαλὸς, ὅταν ἐξέληται τοῦ πυρὸς, καπνίζεται μὲν, πλὴν ἐν καταλήξει γίνεται, τοῦ καὶ ἔτι τὸ πῦρ ἔχειν ἐν ἑαυτῷ· κατὰ τὸν ἴσον, οἶμαι, τουτονὶ τρόπον, καὶ ἄνθρωπος μέλλων ἢ ζωῆς ἢ πράγματος ἐν καταλήξει γίνεσθαι, λέγοιτ' ἂν εἰκότως δαλὸς ἢ ξύλον καπνιζόμενον ἔτι. Ἐπειδὴ δὲ ἠπίστατο περιδεεῖς μάλιστα γεγονότας, καὶ ἐν κατηφείᾳ πολλῇ, διά τε τὸ ἡττᾶσθαι μεμαχημένους πρὸς Φακεὲ, ὅτε καὶ πεπτώκασιν, ὡς ἔφην, ἑκατὸν εἴκοσι χιλιάδες ἐκ τοῦ Ἰούδα ἐν ἡμέρᾳ μιᾷ· καὶ τούτων ἐξίστησι τῶν δειμάτων αὐτοὺς, καί φησιν· « Ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι· » τοῦτ' ἔστιν, οὐδ' ἂν ἐκεῖνοι πεπτώκασιν, εἰ μὴ δέδωκεν αὐτοὺς ὑπὸ χεῖρα τῶν

ἐχθρῶν θυμὸς ἐμός. Ἀλλ' εἰ γένοιτο, φησὶ, τὰ ἐξ A ὀργῆς κατά τινων, ἰάσομαι πάλιν τοὺς πεπονθότας. Ὁ γὰρ παραδοὺς ἐξ ὀργῆς, ἐξελεῖται ῥᾳδίως δι' ἔμφυτον ἡμερότητα καὶ φιλανθρωπίαν.

Καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ, καὶ ὁ υἱὸς τοῦ Ῥομελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν περὶ σοῦ λέγοντες· Ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ συλλαλήσαντες αὐτοῖς ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτοῖς τὸν υἱὸν Ταβεήλ· τάδε λέγει Κύριος Σαβαώθ· Οὐ μὴ ἐμμείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται.

Οὔτε τῶν κατ' αὐτοῦ σκευωρημάτων τὴν ἀπαγγελίαν ἀπιστεῖσθαι συγχωρεῖ, οὔτε μὴν ἐφίησι περισσῶς συνθραύεσθαι δείματι. Βεβαιώσας δὲ μᾶλλον, καὶ ἀληθεῖς ἀποφήνας τὰς κατ' αὐτοῦ συναινέσεις ἤγουν συμφωνίας τῶν δύο βασιλέων, ὑπισχνεῖται τὴν ἐπικουρίαν μετατάττων ἐπὶ τὸ ἐπ' αὐτῶν μᾶλλον ἐρηρεῖσθαι δεῖν, καὶ μὴ ταῖς τῶν εἰδώλων προσκεῖσθαι λατρείαις, καὶ τοῖς τῶν ψευδομαντείων λόγοις, οἳ μυρία μὲν ὅσα κατὰ γνώμην φασὶ τοῖς τὰς πεύσεις προσάγουσι, B λαλοῦσί γε μὴν τῶν ἀληθῶν οὐδέν. Ὅτι τοίνυν ἐβουλεύσαντο, φησὶν, ἀνελθεῖν μὲν εἰς τὴν Ἰουδαίαν, καὶ συλλαλῆσαι τοῖς ὑπὸ χεῖρα σὴν, ἀναπεῖσαί τε ταῖς αὐτῶν ἕπεσθαι γνώμαις, ἀληθὲς καὶ ὡμολογημένον. Βούλονται γὰρ ἐπιστῆσαι τὸν τοῦ Ταβεὴλ υἱόν. Ἀλλ' οὐκ ἔσται τοῦτο, φησίν. Καὶ τίς ὁ ὑπισχνούμενος; Κύριος Σαβαὼθ, τοῦτ' ἔστι, Κύριος τῶν δυνάμεων, ἤτοι ἐκ στρατιῶν· οὗ δὴ συννεύοντος τὸ χρῆναι νικᾷν, οἷς ἂν ἕλοιτο τυχὸν, τίς ὁ ἀναστρέψων τὰ ἐψηφισμένα; Καὶ τοῖς θείοις αὐτου κρίμασιν, τίς ὁ ἀντεξάγειν δυνάμενος; Βέβαιοῖ τοιγαροῦν εἰς πίστιν τοὺς ἀπίστους ἔτι. Οὐ γὰρ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες, καθὰ καὶ αὐτὸς εἴρηκεν ὁ Σωτήρ. Ἰστέον δὲ ὅτι υἱὸν μὲν τοῦ Ἀρὰμ C τὸν Σύρον ἀποκαλεῖ, τοῦτ' ἔστι, τὸν Ῥαασσὼν, τοῦ γε μὴν Ῥομελίου τὸν Φακεὲ, ὃς βεβασίλευκεν ἐπὶ τὸν Ἰσραὴλ, τοῦτ' ἔστι, τῶν δέκα φυλῶν ἐν τῇ Σαμαρείᾳ.

Ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκὸς, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥαασσών· ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν, ἐκλείψει ἡ βασιλεία Ἐφραῒμ ἀπὸ λαοῦ, καὶ ἡ κεφαλὴ Ἐφραῒμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων, υἱὸς τοῦ Ῥομελίου. Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε.

Τοῖς διατρανοῦν ἐθέλουσι τὰ ἐν τῇ θεοπνεύστῳ Γραφῇ, χρεία δὴ πάντως καὶ ἀφηγήσεως ἱστοριῶν, ἵνα πανταχόθεν τὸ ἀληθὲς τοῖς θείοις ἕπηται λόγοις. Ἐξηγεῖται τοίνυν ὁ προφήτης τὰ ἐν τοῖς ἱεροῖς Γράμμασι, δι' ὧν ἔστι μάλιστα ταῖς τῶν προκειμένων ἐννοίαις ἄριστα προσβαλεῖν. Οὐκοῦν ἐν καιροῖς D βασιλείας τοῦ Ἄχαζ συμπεφωνήκασι μὲν μετὰ τοῦ Ἰούδα καὶ τῶν Ἱεροσολύμων ὅ τε Ῥαασσὼν βασιλεὺς Συρίας καὶ Δαμασκοῦ, καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεύων ἐπὶ τὸν Ἰσραὴλ ἐν τῇ Σαμαρείᾳ. Δεδιὼς τοίνυν τὴν ἔφοδον ὁ Ἄχαζ πείθει χρήμασι τὸν Θεγλαφαλλασὰρ τῶν Ἀσσυρίων βασιλέα ἐπαμῦναί τε ἑαυτῷ, καὶ τῶν συμπεφωνηκότων ἀνατρέψαι τὴν ἔφοδον. Ὃς καὶ ἐλθὼν ἀνεῖλε μὲν τὴν Δαμασκὸν, μητρόπολιν οὖσαν τῶν Σύρων, ἀπέκτεινε δὲ καὶ αὐτὸν τὸν Ῥα-

innata quadam mansuetudine et humanitate eximit.

VERS. 5. *Et filius Aram et filius Romeliæ, quia inierunt consilium pravum contra te, dicentes: Ascendemus in Judæam, et colloquentes cum eis transferemus eos ad nos, et regem præficiemus illis filium Tabeel: hæc dicit Dominus Sabaoth: Non manebit consilium istuc, neque erit.*

Insidiarum contra ipsum rumorem neque concedit non credendum, neque permitit eum nimio terrore constringi: sed confirmat potius, et **118** conjurationes consensusque contra ipsum duorum regum veros esse demonstrat, subsidium promittit, eoque transfert ac ducit, uti dixi, ut ipsi inniterentur, ac considerent, nec idolorum cultibus addicerentur, falsorumque vatum sermonibus, qui infinita quidem pro animi sui libidine sciscitantibus pronuntiant, veri autem nihil loquuntur. Quod igitur consilium inierint revertendi in Judæam, et sermones cum tuis subditis conferendi, persuadendique ut suam sequantur voluntatem ac sententiam, verum est et confessum: volunt etenim illis Tabeelis filium prostituere. Verum non erit hoc, inquit. Et quis tandem est qui promittit? Dominus Sabaoth, id est virtutis seu exercituum: quo annuente victoriam quibus voluerit, quis ea quæ decreta sunt evertet? Et divinis ejus judiciis quis potest resistere? Confirmat proinde in fide etiam jam infideles. Non enim opus habent sani medico, sed male habentes [36], sicut et ipse dixit Servator. Sciendum præterea, quod filium Aram appellet Syrum, id est Rhaasson, filium Romeliæ Phaceem, qui regnavit super Israel, id est, decem tribus in Samaria.

VERS. 8. *Sed caput Aram Damascus, et caput Damasci Rhaasson: sed in annis sexaginta et quinque deficiet regnum Ephraim a populo, et caput Ephraim Somoron, et caput Somoron filius Romeliæ. Et nisi credideritis, nequaquam intelligetis.*

Qui exponere volunt quæ Scriptura divinitus inspirata continentur, hi opus omnino habent etiam narratione historiarum, ut undequaque veritas divinos sermones consequatur. Enarrat igitur propheta quæ in sacris Litteris prodita sunt, ex quibus maxime poterimus sensum horum verborum optime consequi. Itaque temporibus regni Achazi consenserunt contra Judam et Hierosolyma Rhaasson rex Syriæ et Damasci, et Phacee filius Romeliæ, qui Israelitico regno præerat in Samaria. Metuens ergo incursum Achazus, persuadet pecunia Theglaphallasaro Assyriorum regi, ut sibi ferat suppetias, et confederatorum insultum propulset. Qui expeditione facta Damascum evertit, quæ Syrorum metropolis erat, ipsumque Rhaassonem occidit. Defuncto

[36] Matth. IX, 12.

vero etiam in Samaria Phacee, qui erat Romeliæ filius, regnum **119** accipit Osee filius Elæ, vir improbus, et dæmonum deceptionibus addictior. Quo regnum gubernante, ascendit Salmanasar Assyrius adversus totam Samariam, et confestim capto Osea, et in loco servi habito, ac cuncta regione vastata, et Israelitarum terra desolata ac deserta, loco ipsorum incolarum inquilinos quosdam constituit, aut sane ex subditis suis, Ecchuthamque et Sappharvian. Gentes autem, credo, hæ Persicæ : sic enim in libris Regnorum scriptum est. Hujus nobis historiæ narrationem propheta commemorans : « Hæc dicit Dominus, inquit : Non manebit consilium hoc, neque erit, sed caput Aram Damascus, et caput Damasci Rhaasson, sed intra annos sexaginta et quinque deficiet regnum Ephraim a populo. » Et obscura quidem est verborum structura, at hunc in modum assequenda est : Caput, inquit, Aram, id est Syriæ, Damascus. Metropolis enim Syriæ Damascus, et caput Damasci Rhaassim, id est Rhaasson. Caput siquidem regionis et civitatis est, qui regnum in illos gerit. Et regnum Ephraim deficiet a populo ; in annis sexaginta et quinque deficiet regnum Ephraim, id est Israel; deficiet quoque caput Aram, id est Damascus, et caput Damasci, id est Rhaasson. Cepit enim, ut dixi, Theglaphallasarus Damascum et Rhaasson, et Salmanasarus, Oseam regem Ephraim, sive Israelis, et Somorrham, sive Samariam, communiter currente et inserviente illo verbo, *Deficiet :* et caput Ephraim civitas Somorrhorum, deficiet rursus. Caput autem Ephraim Somorrha vocat, id est Samariam. Mater enim princepsque civitas Samariæ Somorrha. Ephraim autem quando dicit, Israelem notat ; et caput Somorrhorum filius Romeliæ, id est Phacee : redit ac recurrit iterum illud *deficiet* in omnibus. Adjungit porro hisce : « Et si non credideritis, non intelligetis. » Et hæc quidem non immerito dicuntur. Etenim qui Dei verbum propter incredulitatem onerant contumeliis, hi cognitione ejus præditi esse non possunt. Oportet igitur incunctanter recipere quæ exhibentur a Deo, et quæ pollicetur ac loquitur, his annuere alacriter. Ita nobis inerit cognitio bona, et mentem nostram illustrabit lux sapientiæ ejus.

VERS. 10. *Et perrexit Dominus loqui Achazo, dicens : Postula tibi signum a Deo* **120** *tuo, in profundum, vel in excelsum. Et dixit Achaz : Nequaquam postulabo, nequaquam tentabo Dominum.*

Achazo thronum regni obtinente Hierosolymis, et ad effrenationem quamdam valde prolapso, et dæmoniorum cultibus falsis adhærescente, eum omnibus modis conatur ad melius traducere, et ut veritatis opiniones consectetur ac cupiat, et recta de Deo sentire velit. Quoniam igitur idolorum cultores magnifecit, ac curæ studioque ei fuit rerum eventus curiosius scrutari, et ex sacris sciscitari oracula, verbisque falsorum vatum ludificari, periculis impendentibus, Achazum hæc molientem retrahit ante

A ασσών. Ἀποθανόντος δὲ καὶ τοῦ Φακεὲ, ἐν τῇ Σαμαρείᾳ, ὅς ἦν τοῦ Ῥομελίου, διαδέχεται τὴν βασιλείαν Ὡσηὲ υἱὸς Ἠλᾶ, πονηρὸς ἀνὴρ, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ἐγκείμενος. Οὗ διέποντος τὴν βασιλείαν ἀνέβη Σαλμανασὰρ ὁ Ἀσσύριος κατὰ πάσης τῆς Σαμαρείας, καὶ παραχρῆμα μὲν εἷλεν τὸν Ὡσηὲ, καὶ ἐν οἰκέτου τάξει πεποίηται· καταδῃώσας δὲ τὴν χώραν ἅπασαν, καὶ τῶν υἱῶν Ἰσραὴλ ἀποφήνας ἐρήμην, καθίστησιν ἀντ' αὐτῶν τῶν ἰδίων τινὰς ἐνοίκους, ἤτοι τῶν ὑπὸ χεῖρα, τόν τε Ἐχχουθὰ καὶ τὸν Σαπφαρουΐαν· ἔθνη δὲ οἶμαι ταυτὶ Περσικά. Γέγραπται γὰρ οὕτως ἐν βίβλοις Βασιλειῶν. Ταύτης ἡμῖν ἱστορίας τὴν ἀφήγησιν ὁ προφήτης, λέγων· « Τάδε λέγει Κύριος· Οὐ μὴ ἐμμείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται, ἀλλ' ἡ κεφαλὴ Ἐφραῒμ Δαμασκὸς, καὶ
B ἡ κεφαλὴ Δαμασκοῦ Ῥαασσίμ· ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει ἡ βασιλεία Ἐφραῒμ ἀπὸ λαοῦ. » Καὶ ἀσαφὴς μὲν ἡ τῶν λέξεων συνθήκη· προσβαλεῖν δὲ χρὴ τοιῶσδε· Ἡ κεφαλὴ, φησὶν, Ἀρὰμ, τοῦτ' ἔστι τῆς Συρίας, Δαμασκός. καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥαασσίμ, τοῦτ' ἔστιν ὁ Ῥαασσών· κεφαλὴ γὰρ τῆς τε χώρας καὶ τῆς πόλεως ὁ βασιλεύων αὐτῶν. Καὶ ἡ βασιλεία δὲ Ἐφραῒμ ἐκλείψει ἀπὸ λαοῦ· ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει ἡ βασιλεία Ἐφραῒμ, τοῦτ' ἔστι, τοῦ Ἰσραήλ· ἐκλείψει καὶ ἡ κεφαλὴ Ἀρὰμ, τοῦτ' ἔστιν ἡ Δαμασκὸς, καὶ ἡ κεφαλὴ Δαμασκοῦ, τοῦτ' ἔστιν ὁ Ῥαασσών. Εἷλεν γὰρ, ὡς ἔφην, ὁ μὲν Θεγλαφαλλασὰρ τήν τε Δαμασκὸν καὶ τὸν Ῥαασσὼν, ὁ δὲ Σαλμανασὰρ τὸν Ὡσηὲ βασιλέα
C Ἐφραῒμ, ἤτοι τοῦ Ἰσραὴλ, καὶ τὴν Σομόρων, ἤτοι Σαμαρείαν, ἀπὸ κοινοῦ τρέχοντος τὸ *ἐκλείψει*· καὶ ἡ κεφαλὴ δὲ Ἐφραῒμ Σομόρων ἐκλείψει πάλιν. Κεφαλὴν δὲ Ἐφραῒμ τὰ Σόμορα καλεῖ, τοῦτ' ἔστι τὴν Σαμαρείαν· μητρόπολις γὰρ Σαμαρείας Σόμορα. Ἐφραῒμ δὲ ὅταν λέγει, τὸν Ἰσραὴλ δηλοῖ· καὶ ἡ κεφαλὴ Σομόρων υἱὸς τοῦ Ῥομελίου, τοῦτ' ἔστιν ὁ Φακεέ· τρέχει δὲ πάλιν τὸ *ἐκλείψει* κατὰ πάντων. Προσεπάγει δὲ τούτοις· « Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε. » Ἔχει δὲ καὶ σφόδρα τὸ εἰκὸς ὁ λόγος. Τοῖς γὰρ ταῖς ἀπιστίαις περιυβρίζουσι τὸν τοῦ Θεοῦ λόγον, οὐδ' ἂν ἐγγένοιτο σύνεσις ἡ παρὰ αὐτοῦ. Δεῖ τοιγαροῦν ἀμελλητὶ δέχεσθαι τὰ παρὰ Θεοῦ, καὶ οἷς ἂν ὑπισχνεῖται καὶ λαλεῖ συννεύειν ἑτοίμως. Ἔσται γὰρ ἐν ἡμῖν οὕτως ἡ σύνεσις ἀγαθὴ, καὶ περιαστρά-
D ψει τὸν νοῦν τῆς παρ' αὐτοῦ σοφίας ὁ φωτισμός.

Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον.

Τοὺς τῆς βασιλείας διέποντα θάκους ἐν τοῖς Ἱεροσολύμοις τὸν Ἄχαζ, καὶ πολὺ λίαν ἀπονενευκότα πρὸς τὸ ἐξήνιον, καὶ εἰς τὸ προσκεῖσθαι φιλεῖν ταῖς τῶν δαιμονίων ψευδολατρείαις, διὰ παντὸς πειρᾶται τρόπου μετακομίζειν ἐπὶ τὸ ἄμεινον, καὶ εἴς γε τὸ δεῖν τῶν τῆς ἀληθείας ἐφικέσθαι δογμάτων, καὶ ὀρθὰ φρονεῖν ἑλέσθαι περὶ Θεοῦ. Οὐκοῦν ἐπειδήπερ τοῖς τῶν εἰδώλων θεραπευταῖς περὶ πολλοῦ ἐτέθειτο, καὶ ἦν ἐν σπουδῇ τὸ χρῆναι περιεργάζεσθαι τὰς τῶν πραγμάτων ἐκβάσεις, καὶ χρησμοὺς αἰτεῖν ἐξ ἱερῶν,

A καὶ τοῖς τῶν ψευδομάντεων φενακίζεσθαι λόγοις, κινδύνων αὐτοῖς ἐπηρτημένων, προανακόπτει τρόπον τινὰ τοῦτο μέλλοντα ποιεῖν Ἄχαζ, καὶ πρὸς τὸ τεταχέναι τι σημεῖον, οὐκ ἐκ τῶν συνηθῶν αὐτῶν τεμενῶν, οὐδ' ἐκ τῶν ψευδομάντεων ἔτι, μᾶλλον δὲ παρὰ Κυρίου τοῦ Θεοῦ. Καὶ τὸν τῆς αἰτήσεως τρόπον ταῖς αὐτοῦ ψήφοις ἀπονενέμηκεν εἰπών· « Εἰς βάθος ἢ εἰς ὕψος, » τοῦτ' ἔστιν, ἢ εἰς οὐρανὸν, ἢ εἰς γῆν, καὶ τὰ ἔτι κατωτέρω. Καὶ πεπληροφόρηκεν διὰ τούτου, καὶ δίδωσι νοεῖν, ὅτι Θεὸς ὑπάρχων τῶν ὅλων καὶ Κύριος, ἐπ' ἐξουσίας ἐργάζεται τὸ δοκοῦν, κἂν εἴτε τι τῶν ἐν οὐρανῷ βλέπειν βούλοιτο, κἂν εἴτε τι τῶν ἐπὶ τῆς γῆς. Παραιτεῖταί γε μὴν ὁ Ἄχαζ, οὐχ ὡς Θεὸν αἰδούμενος, περιυβρίζων δὲ μᾶλλον ὁ δείλαιος, κἂν εἰ τοῖς ἐξ εὐλαβείας ἐπισεμνύνοιτο λόγοις. Οὐ γὰρ μὴ αἰτήσω, φησὶν, οὐδ' οὐ μὴ πειράσω τὸν Κύριον. B Ἐπειδὴ γὰρ Θεοῦ προστάττοντος αἰτεῖν, τὸ μὴ αἰτεῖσθαι θέλειν ἐναργὲς ἔχει τὸ δυσσεβὲς, ὑποπλάττεται τὸ μὴ πειρᾶσθαι θέλειν αὐτὸν, καὶ νομικὸν ὥσπερ προΐσχεται λόγον· « Οὐ γὰρ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. » Καίτοι πῶς οὐχ ἀπαστισοῦν τῆς τοῦ Ἄχαζ σκαιότητος καταβοήσει λόγος; Αὐτοῦ γὰρ ἐφιέντος αἰτεῖν τοῦ Θεοῦ, πῶς οὐκ ἄμεινον τὸ ἑλέσθαι μᾶλλον ἐκεῖνο δρᾷν, ὃ προστέταχεν, ἢ δυστρόπως εὑρεσιλογεῖν, καὶ πρόφασιν εὐπειθείας ποιεῖσθαι σαθρὰν τὸ, Οὐ μὴ πειράσω Κύριον; Ἀλλ' ἦν ὁ σκοπὸς αὐτῷ τοὺς μὲν ἄνωθεν καὶ παρὰ Θεοῦ μὴ προσίεσθαι λόγους, ψήφῳ δὲ μᾶλλον τῇ κρείττονι στεφανοῦντας τὸν χρησμολόγον, ψευδοεπείας καὶ ταῖς οἰωνῶν τάχα που περιεργάζεσθαι πτήσεσι, καὶ τὰς ἐκ τῶν δαιμονίων ἐπικουρίας αἰτεῖν.

et impedit, præcipitque ut non jam ex consuetis sibi delubris, non ex vanis vatibus, sed a Domino Deo potius signum petat. Genus etiam et modum petitionis assignat sua sententia, cum dicit: « In profundum, vel in excelsum, » hoc est, in cœlum vel in terram, atque adeo inferiora. Quibus verbis probat ac significat, Deum esse universitatis Dominum, et per potestatem et auctoritatem quidquid visum est efficere, sive rerum cœlestium, sive terrestrium procurationem voluerit suscipere. Repudiat deinde Achazus, non quasi Deum reveritus, sed contumelia potius afficiens miser, etiamsi verbis piis et religiosis glorietur. Non enim, inquit, petam, nec tentabo Dominum. Nam cum jubente Deo petere, si petere nolis, sapit manifestam impietatem, simulat se nolle ipsum tentare, et verba fere legis obtendit: « Non enim tentabis Dominum Deum tuum [37]. » Annon autem est huic perversitati Achazi pleno ore reclamitandum? Nam cum Deus petere juberet, annon præstabat, illud quod præcepit facere, quam maligne captiones comminisci, et excusationem inobedientiæ frivolam prætexere, scilicet: Non tentabo Dominum? Verum hoc illi in animo erat, superos atque divinos sermones non amplecti, sed fatidicorum potius deliramenta coronare, et candidiore calculo anteferre, auguriorum responsa curiosius sciscitari, et dæmonum præsidium implorare.

Καὶ εἶπεν· Ἀκούσατε δὴ, οἶκος Δαβὶδ, μὴ C *μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον.*

Ἀπειρηκότος τοῦ Ἄχαζ τοῦ σημείου τὴν αἴτησιν, οὐκ ἀνεχομένου τε τιμᾷν ἢ εἰδέναι τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, καὶ τῶν ὅλων Κύριον, ὅτι μὴ εἰς ἅπαν ἀγνοηθήσεται παρὰ τοῦ Ἰσραὴλ, μήτε μὴν τὸν ἴδιον ἀπολέσει κλῆρον, ἀλλ' ἐπιγνώσονται κατὰ καιροὺς, αὐτὸν πειρᾶται διδάσκειν. Πλὴν οὐκέτι λόγου μὲν ἀξιοῖ τὸν Ἄχαζ, ὑβριστὴν ὄντα καὶ θεομισῆ, προσπεφώνηκε δὲ μᾶλλον τῷ οἴκῳ Δαβὶδ, τοῦτ' ἔστι, τοῖς ἐκ φυλῆς Ἰούδα, ἐξ ἧς καὶ αὐτὸς γέγονε τὸ κατὰ σάρκα Χριστός. Ἀνεξικάκῳ[5] δὲ λίαν ὡς Θεὸς ποιεῖται τὴν προαγόρευσιν. Προαιτιασάμενος γὰρ ὅτι πεποίηται παρ' οὐδὲν τὸ καὶ αὐτῷ προσκροῦσαι τῷ πάν- D τα ἰσχύοντι Θεῷ, καὶ οἷον ἀγῶνας αὐτῷ καὶ καμάτους, τόγε ἧκον εἰς αὐτοὺς, σαλεύειν ἐπιχειρεῖν διά γε τοῦ μὴ θέλειν ὀρθοποδεῖν· τότε δὴ τότε τῆς καθόλου τε καὶ γενικωτάτης ἐπικουρίας ποιεῖται τὴν προανάῤῥησιν. Ὦ, τοίνυν, φησὶν, οἶκος Δαβὶδ, εἰ τὸ ἀνθρώποις προσκρούειν οὐκ ἀζήμιον, τί τῷ Κυρίῳ παρέχετε ἀγῶνα, τῷ κολάζειν μὲν οὐκ ἐθέλοντι, ἰσχύοντι δὲ τοῦτο δρᾷν καὶ λίαν εὐκόλως; Ἐπειδὴ δὲ παραιτεῖσθε τοῦ σημείου τὴν αἴτησιν, αὐτόμολός εἰμι πρὸς τοῦτο, φησίν· κἂν εἰ βούλοισθε νοσεῖν, ἐπάγω τὴν θεραπείαν, ἐπείπερ εἰμὶ χρηστὸς καὶ φιλάνθρωπος. Αὐτὸς ὑμῖν Κύριος

VERS. 13. *Et dixit: Audite, domus David: num parum vobis est molestiam exhibere hominibus?*
121 *etiamne Domino facessitis negotium? Propterea dabit Dominus ipse vobis signum.*

Cum Achazus signi petitionem detrectasset, nec sustineret colere aut cognoscere natura et vere Deum, et Dominum universitatis, conatur docere, eum non penitus ignotum fore Israeli, neque suam sortem perditurum, sed olim eos illum agnituros. Achazum vero insolentem et Dei hostem, non ulterius alloquio dignatur, sed domum potius Davidicam compellat, id est, eos qui ex tribu Juda erant, ex qua natus est secundum carnem ipse Christus. Vaticinium autem hoc clementissime ut Deus instituit, accusans primum, quod pro nihilo haberetur, ipsum etiam Deum omnipotentem offendere et veluti molestias ac negotia exhibere ei quod ad ipsos attinet, eo quod recto pede incedere nollent. Tunc catholici latissimeque patentis auxilii vaticinium profert. O domus, inquit, Davidis: si homines quidem offendere non licet impune, Domino qui punire quidem non vult, potest autem et facillime, quid creatis molestiam? Quoniam autem vos recusatis signum petere, ipse sponte mea venio ad hoc, inquit, et licet velitis ægrotare, adduco medicinam, quandoquidem benignus sum, et hominis amantissimus. Ipse Dominus vobis signum dabit, certo per-

[37] Deut. VI, 16.

suadens Israelem errantem suo tempore servatum iri: et non ignoraturum Dominum, sed cultorem Dei servatoris evasurum. Id autem per Christum perfectum est, qui vocavit ad agnitionem Israelem, omnique peccato et lignorum ac lapidum cultu liberavit ipsum.

VERS. 14-16. *Ecce virgo in utero habebit, et pariet filium, et vocabunt nomen ejus, Emmanuel. Butyrum et mel comedet; priusquam sciat ille mala præponere, eliget bonum. Ideo priusquam sciat puer bonum vel malum, malitiæ non obtemperat, ut eligat bonum. Et relinquetur terra quam tu metuis, a facie duorum regum.*

Reddiderunt quidam eorum qui divinas Scripturas interpretati sunt: Ecce puella in utero habebit. Videtur quidem Judæis puellæ nomine oportere Matrem Domini subnotari, nec vocari virginem. Existimant siquidem fas esse vim mysterii enervare, si puella non virgo dicatur. Cæterum rudes eos esse multis modis videre licet. **122** Primum enim licet dicatur hæc virgo puella, non privabitur eo, ut sit virgo. Dein asseverant prophetam de uxore Achazi dicere illud: Ecce puella in utero habebit, et pariet filium, ut intelligamus ex eo natum Ezechiam. Atqui dum prophetiæ verba non examinantes, inconsiderate quod lubet arripiunt, tum hoc etiam solum habere videntur quo suum propositum ac sententiam confirment. Verum, o viri optimi, dixerit quispiam illis, quis Ezechiam vocavit Emmanuel? Vel unde demonstrare poterunt, quod priusquam sciret ille bonum vel malum, malitiæ non obtemperaret, ut eligeret bonum? Igitur valedicamus istorum præstigiis et quod rectum verumque est amplectamur; sanctam Virginem hac prophetia nobis a Deo denotari credamus. Sic enim erit paradoxum vere, atque incredibile, et signum maximum, in profundum simul et excelsum, juxta divinam promissionem. E supernis enim, et ex Deo Patre secundum naturam genitus Filius unigenitus, exinanivit seipsum, et ex utero virginali editus est secundum carnem, non humana seminis emissione unde generatio secuta sit, sed vi et efficientia sancti Spiritus. Ita namque dictum est sanctæ Virgini voce beati Gabrielis: « Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi [38]. » Pariet igitur, ait, filium. Et tu, o domus David, quæ nunc, inquit, renuis Deo credere, signumque ab eo postulare, ad confirmationem eorum quæ promissa sunt, propterea quod magis idolis afflicta et addicta sis: vocabis nomen ejus Emmanuel, hoc est, confiteberis Deum in humana forma apparuisse. Cum enim apparuit secundum nos unigenitus Dei Sermo, tunc etiam nobiscum factus est. Qui enim supra omnem creaturam fuit, factus est nobis similis. Observa

[38] Luc I, 35.

A δώσει σημεῖον, πληροφορῶν ὅτι καὶ σωθήσεται κατὰ καιροὺς ὁ πεπλανημένος Ἰσραὴλ, καὶ οὐκ ἀγνοήσει τὸν Δεσπότην, ἀλλ' ἔσται προσκυνητὴς τοῦ σεσωκότος Θεοῦ. Κατώρθωται δὲ τοῦτο διὰ Χριστοῦ κεκληκότος εἰς ἐπίγνωσιν τὸν Ἰσραὴλ, καὶ ἁπάσης αὐτὸν ἀπαλλάξαντος ἁμαρτίας, καὶ τοῦ προσκυνεῖν ἐθέλειν ξύλοις καὶ λίθοις.

Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται· πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ, ἐκλέξασθαι τὸ ἀγαθόν. Διότι πριν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν καὶ κακὸν, ἀπειθεῖ πονηρίᾳ, ἐκλέξασθαι τὸ ἀγαθόν (1). *Καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἔρημος ἀπὸ προσώπου τῶν δύο βασιλέων.*

B Ἐκδεδώκασι μέν τινες τῶν τὰς θείας ἑρμηνευσάντων Γραφὰς, τὸ, Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει. Δοκεῖ γε μὴν Ἰουδαίοις τῷ τῆς νεάνιδος ὀνόματι κατασημαίνεσθαι δεῖν τὴν τοῦ Κυρίου Μητέρα, καὶ οὐχὶ δὴ μᾶλλον καλεῖσθαι παρθένον. Οἴονται γὰρ ὅτι τὴν τοῦ μυστηρίου δύναμιν ἀπρακτῆσαι θέμις, εἰ νεᾶνις λέγοιτο, καὶ οὐχὶ δὴ μᾶλλον παρθένος. Ἀμαθαίνοντας δὲ κατὰ πολλοὺς τρόπους κατίδοι τις ἂν αὐτούς. Πρῶτον μὲν γὰρ, κἂν εἰ λέγοιτο νεᾶνις ἡ παρθένος, οὐκ ἔξω κείσεται τοῦ εἶναι παρθένος. Εἶτά φασι περὶ τῆς τοῦ Ἄχαζ γυναικὸς τὸν προφήτην εἰπεῖν τὸ, Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, ἵνα νοῶμεν τὸν Ἐζεχίαν τὸν ἐξ αὐτοῦ γεγονότα. Ἀλλὰ τοὺς τῆς προφητείας οὐ βασανίζοντες λόγους, τὸ ἀπερισκέπτως δοκοῦν ἁρπάζουσιν, εἶτα τὸν ἑαυτῶν οἴονται C σκοπὸν ἐμπεδοῦν διὰ τούτου καὶ μόνου. Ἀλλ', ὦ βέλτιστοι, φαίη τις ἂν πρὸς αὐτοὺς, τίς τὸν Ἐζεχίαν ἐκάλεσεν Ἐμμανουήλ; Ἢ πόθεν ἂν ἐπιδείξειαν ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακὸν ἠπείθησε πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν; Οὐκοῦν ἐῤῥῶσθαι φράσαντες ταῖς ἐκείνων τερθρείαις, τὸ ὀρθῶς τε καὶ ἀληθῶς ἔχον παραδεξόμεθα, τὴν ἁγίαν Παρθένον διὰ τῆς προκειμένης ἡμῖν προφητείας κατασημαίνεσθαι παρὰ Θεοῦ πιστεύοντες. Οὕτω γὰρ ἔσται παράδοξον ἀληθῶς καὶ ὑπερμέγεθες τὸ σημεῖον, εἰς βάθος τε ὁμοῦ καὶ ὕψος κατά γε τὴν θείαν ὑπόσχεσιν γεγονός. Ὁ γὰρ ἄνωθεν καὶ ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν γεγεννημένος Υἱὸς μονογενὴς, κεκένωκεν ἑαυτὸν, καὶ λαγόνων ἐξεδόθη τῶν παρθενικῶν τὸ κατὰ D σάρκα, οὐκ ἐξ ἀνθρωπίνης καταβολῆς λαβούσης τὴν γένεσιν, ἀλλ' ἐκ δυνάμεώς τε καὶ ἐνεργείας τοῦ ἁγίου Πνεύματος. Οὕτω γὰρ εἴρηται πρὸς τὴν ἁγίαν Παρθένον διὰ φωνῆς τοῦ μακαρίου Γαβριήλ· « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σε. » Τέξεται τοίνυν, φησὶν, υἱόν. Καὶ σὺ, ὦ οἶκος Δαβὶδ, ὁ νῦν, φησὶ, παραιτούμενος τὸ ἐπὶ Θεῷ πεποιθέναι, καὶ παρ' αὐτοῦ σημεῖον αἰτεῖν, εἰς βεβαίωσιν ὧν ἐπήγγελται, διὰ τὸ προσκεῖσθαι μᾶλλον εἰδώλοις, καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, τοῦτ' ἔστιν, ὁμολογήσεις τὸν Θεὸν ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα. Ὅτε γὰρ πέφηνε καθ' ἡμᾶς

(1) Hæc, Διότι... τὸ ἀγαθόν, propter homœoteleuton, ut videtur, in editione Auberti deerant. EDIT.

ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, τότε καὶ γέγονε καὶ μεθ' ἡμῶν. Ὁ γὰρ ὑπὲρ πᾶσαν τὴν κτίσιν, γέγονε καθ' ἡμᾶς. Ἄθρει δὲ ὅπως, ἵνα δείξῃ τὸν αὐτὸν ἀληθῶς Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, τίθησιν ἐπ' αὐτοῦ τά θεῖά τε καὶ ἀνθρώπινα. Ὅτι μὲν γὰρ ἐν σαρκὶ γέγονε κατ' ἀλήθειαν, πειρᾶται πληροφορεῖν, τροφὴν αὐτῷ γεγενῆσθαι λέγων τὴν νηπίοις πρέπουσαν, βούτυρόν τε καὶ μέλι. Ὅτι δὲ, καίτοι σάρξ γεγονὼς, οὐδὲν ἧττον ἔσται κρείττων ἁμαρτίας ὡς Θεὸς, διδάσκει πάλιν ἐπιφέρων εὐθύς· « Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. Ἄνθρωποι μὲν γὰρ οὔπω πρὸς ἥβην ἐλάσαντες, οὔτε μὴν εἰς μέτρον ἡλικίας ἀφιγμένοι, τῆς ὡς ἀπό τε χρόνου φρονήσει τετιμημένης, οὐδ' ἂν εἶεν ὅλως ἐπιτήδειοι διακρίνειν δύνασθαι, τί μὲν ἂν
B εἴη τὸ φαῦλον, τί δὲ τὸ ἀγαθόν· καλοῦντος δὲ ἤδη πρὸς τοῦτο καιροῦ, τότε τῶν πρακτέων ἐλευθέραν ποιοῦνται τὴν αἵρεσιν. Ἡ δέ γε θεία καὶ ἀνωτάτω φύσις, οὐχ ἔν γε τοῖς καθ' ἡμᾶς, ἀλλ' ἐν ἰδίοις καὶ τοῖς αὐτῇ πρέπουσιν ὑψώμασιν, ἄβατος ἀεὶ πονηρίας ἐστίν· καὶ τοὺς τῆς φαυλότητος ἀποσείεται τρόπους, οὐ πειραζομένη ποθὲν, οὐχ ὄχλησιν ὑπομένουσα, φυσικῶς δὲ μᾶλλον καὶ οὐσιωδῶς ἀπειθοῦσα τῇ πονηρίᾳ. Καὶ οὐ καθ' ἕτερον, οἶμαι, τρόπον, ἢ ὥσπερ ἂν εἴ τις λέγοι περὶ τοῦ φωτὸς, ὅτι ἀπειθεῖ που εἶναι σκότος. Οὐ γὰρ ἀνέχεται παθεῖν τὸ μὴ εἶναι φῶς. Φύσεως οὖν ἄρα τῆς θείας τὸ ἀεὶ πεπηγὸς εἰς τὸ ἀγαθὸν κατασημαίνει λέγων, ὅτι « Ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. » Ἀληθὲς δὲ τοῦτο καὶ ἐπ' αὐτοῦ
C τοῦ Χριστοῦ. Εἰ γὰρ καὶ γεγένηται κατὰ σάρκα διὰ τῆς ἁγίας Παρθένου, Θεὸς ὢν φύσει καὶ ἐκ Θεοῦ πεφηνὼς ὁ Λόγος, ἀλλ' ἦν ἐκ μήτρας καὶ πρὸ αὐτῆς, μᾶλλον δὲ καὶ πρὸ παντὸς αἰῶνος ἅγιος ὡς Θεὸς, τῶν ἰδίων πλεονεκτημάτων οὐκ ἀπολισθήσας διὰ τὸ ἀνθρώπινον· ἀλλ' οὐδὲ τῶν ἀνθρωπίνων ἀμελήσας διὰ τὴν οἰκονομίαν· ἵνα πιστεύσηται κατ' ἀλήθειαν γεγονὼς καθ' ἡμᾶς, καὶ αὐτὴν ἡμῶν ἁγιάσῃ τὴν γένεσιν. Καταλειφθῆναι δέ φησι τὴν γῆν, περὶ ἧς ὑφορᾶται καὶ ἐδεδίει ἐκ προσώπου τῶν δύο βασιλέων. Ὅμοιον δὲ ὡσεὶ καὶ λέγοι σαφῶς· Ὅταν ἡ Παρθένος ἐν γαστρὶ λαβοῦσα τέκοι, σὺ, ὦ οἶκος Δαβὶδ, καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· τότε πάντες οἱ παρενοχλοῦντες τῇ ἁγίᾳ γῇ καταλείψουσιν αὐτήν. Ἔσται γὰρ οὐκέτι βατὴ τοῖς ἐθέλουσι καταδῃοῦν.
D Πνευματικὸς δὲ ὁ λόγος. Γεννηθέντος γὰρ τοῦ Ἐμμανουὴλ, ἡ ἀληθῶς ἁγία γῆ καὶ πόλις, τοῦτ' ἔστιν ἡ Ἐκκλησία, γέγονεν ἐν καλῷ τῆς ἐλπίδος, καὶ πάντα πεπάτηκεν ἐχθρὸν, οἳ καὶ ἄμαχον εἰδότες αὐτὴν ἀνακεχωρήκασι, καταλελοιπότες ὡς παρὰ Θεοῦ σωζομένην. Ἐγὼ γὰρ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς.

A vero, ut ostendat eum vere Deum simul et hominem fuisse, quo pacto ei divina et humana attribuat. Nam in carne fuisse vere, conatur certo persuadere, cum dicit, cibum ei fore parvulis convenientem butyrum et mel. Quod etiam licet caro exstiterit, nihilominus futurus esset peccato superior, Deus iterum docet cum mox infert : Antequam sciat puer bonum vel malum, malitiæ non obtemperat, ut eligat bonum. Homines enim nondum ad pubertatem provecti, **123** nec mensuram ætatis assecuti (quæ ipso tempore prudentia exculta est et ornata), nequaquam habiles et idonei esse possunt, ut quid vitiosum, quid bonum sit, valeant decernere : cum autem ad id tempus vocat, tunc rerum agendarum liberam facultatem habent. Divina autem et suprema
B natura, in sublimitate quadam non nostra, sed propria et sibi congruente collata est, ad quam malitia accessum non habet; vitiique omne genus excutit, non tentata aliquando, perturbationibus vacua; imo natura sua et essentia, malitiæ non obtemperans. Non aliter, credo, quam si quis de luce dicat, quod refragetur, esse caligo, ut enim lux non sit, ferre non potest. Naturæ igitur divinæ esse, semper bono adhærere, declarat, cum ait, eam non obtemperare malitiæ, quo bonum eligat. Quod in ipso Christo verum est. Etsi enim genitus fuit secundum carnem per sanctam Virginem, Deus natura et ex Deo natus Verbum : tamen ex vulva erat, et ante ipsam, imo et ante omne sæculum, sanctus
C ut Deus, a sua prærogativa non deturbatus propter humanitatem; sed nec humana neglexit propter administrationem, ita uti credatur vere nostræ conditionis fuisse, et nostram hanc creationem sanctificasse. Relinquendam præterea asserit terram quam suspicatur et timet, a facie duorum regum. Simile autem est ac si quis dicat aperte : Quando Virgo prægnans pepererit, et tu, o domus David, vocabis nomen ejus Emmanuel : tunc omnes qui affligunt sanctam terram, relinquent eam, nec erit deinceps obvia ulli vastitatem inferre volenti. Spiri-
D tualis vero hæc oratio. Nato enim Emmanuele, ea quæ vere facta terra est civitas, id est Ecclesia, in bonam spem vocata est, omnesque hostes calcavit, qui invictam illam videntes, recesserunt, et ut a Deo conservatam reliquerunt. Ego enim ero illi, dicit Dominus, murus igneus circumquaque, et in gloriam ero in medio ejus.

ΛΟΓΟΣ Ε'.

Ἀλλ' ἐπάξει Κύριος ἐπὶ σὲ, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὐδέπω ἥκασιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραῒμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων.

Τεθορυβημένῳ λίαν τῷ Ἄχαζ ἐπὶ τῇ συμφωνίᾳ τῶν δύο βασιλέων, τοῦ τε Ῥαασσὼν καὶ τοῦ Φακεὲ,

124 ORATIO V.

VERS. 17. ***Sed invehet Dominus tibi, et populo tuo, et domui patris tui dies, quales non venerunt, a die quo abstulit Ephraim a Juda principem Assyriorum.***

Turbato plurimum Achazo propter conspirationem duorum regum, Rhaasson et Phacee, pollicitus

est universitatis Deus subsidium : et in fide eum volens corroborare, signum petere jussit « in profundo, sive in excelso. » Renuente autem Achazo, et perversissime dicente : Non petam, neque tentabo Dominum (attendit enim magis vanorum vatum imposturis), sua sponte quodammodo Deus ipse domui Davidis signum exhibuit. Ecce enim, inquit, virgo in utero habebit, et pariet filium, et vocabunt nomen ejus Emmanuel. Oratione demum de his sane belle confecta, transfert rursus futurorum prædictionem ad ipsius Achazi personam. Oportebat enim, oportebat salutis per Christum prænuntiationem fieri ad eos qui ex familia erant Davidica, id est ex tribu Juda, de qua ortus est secundum carnem ipse Christus. Prædictionem autem gravium et inauspicatissimorum malorum inobedientibus proponi decebat, ut perspicerent vere acerbum fore, et non impune cessurum his qui divinam majestatem dedecore aspergunt, quod Domino molestias facesserent, et præter ipsum alios qui dii non sunt, adorarent. Itaque successu temporis et ipsa Hierosolyma, et cunctam Judæorum regionem in ultimas calamitates devolvendam esse, et manibus hostium subdendam, enucleate præmonstrat. Cæterum obscuriorem dictionum compositionem et structuram, quoad potero, ante alia etiam aggrediar enodare. Invehet Deus, inquit, tibi et populo tuo, et domui patris tui dies, quales nunquam venerunt, a quo die sustulit Ephraim a Juda. Est autem horum versuum hæc sententia : Temporibus regni Roboami filii Salomonis, abstulit, id est avulsit seipsum Ephraim, id est **125** decem tribus a Juda tribu. Divisæ sunt enim, et decem tribus a tribu Juda inhabitarunt Samariam, tribus autem Juda et dimidium tribus Manasse Hierosolymis remanserunt. At processu temporis multa adversa illis acciderunt. Vastata est enim Samaria, et conterminæ gentes, Idumæi, Moabitæ et Philistini incursum in Judæam fecerunt. Itaque perpessi sunt tam hi quam illi multa et gravia, et tempora aspera senserunt. Dies igitur invehet Deus, quales non fuerunt, sive invaserunt nos ab eo tempore, ex quo abstulit, sive sejungit se a Juda Ephraim. Quod tandem vobis erit hoc tempus, et quinam dies? Rex, inquit, Assyriorum, nimirum Nabuchodonosorus, qui Hierosolyma vastavit, universamque Judæam vi occupavit, qui divinum fanum cremavit, et nullum non ferinæ crudelitatis genus exercuit, cujusmodi nunquam in ullam gentem patrasse reperitur.

A κατεπηγγέλλετο μὲν τὴν ἐπικουρίαν ὁ τῶν ὅλων Θεός· ἐπειδὴ δὲ προσεμπεδοῦν ἤθελεν εἰς πίστιν αὐτὸν, αἰτεῖν ἐκέλευσε σημεῖον, « εἰς βάθος ἢ εἰς ὕψος. » Παραιτουμένου δὲ τοῦ Ἄχαζ, καὶ δυστροπώτατα λέγοντος, Οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον (ἐζήτει γὰρ μᾶλλον τοὺς ἐκ τῶν ψευδομάντεων φεναχισμοὺς), ηὐτομόλησε τρόπον τινὰ Θεὸς, καὶ τῷ οἴκῳ Δαβὶδ ἐδίδου σημεῖον αὐτός. Ἔφασκε γάρ· « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. » Ἐπειδὴ δὲ ὁ περὶ τούτων εὖ μάλα διεπεραίνετο λόγος, μεθίστησι πάλιν τῶν ἐσομένων τὴν προαγόρευσιν, ἐπ' αὐτὸ τοῦ Ἄχαζ τὸ πρόσωπον. Ἔδει γὰρ, ἔδει σωτηρίας μὲν τῆς διὰ Χριστοῦ γενέσθαι τὴν προανάῤῥησιν πρὸς τοὺς ἐκ τοῦ οἴκου Δαβὶδ, τοῦτ' B ἔστι, τοὺς ἐκ τῆς Ἰούδα φυλῆς, ἐξ ἧς καὶ αὐτὸς ἀνατέταλκε τὸ κατὰ σάρκα Χριστός· τῶν γε μὴν συμβησομένων κατὰ καιροὺς δεινῶν τε καὶ ἀπευκτῶν τοῖς ἀπειθεῖν ᾑρημένοις ποιεῖται τὴν προανάῤῥησιν, ἵν' εἰδεῖεν ὅτι πικρὸν ἀληθῶς, καὶ οὐκ ἀζήμιον, τοῖς τὴν θείαν ἀτιμάζουσι δόξαν τὸ παρέχειν ἀγῶνα Κυρίῳ, καὶ προσκυνεῖν ἑλέσθαι παρ' αὐτὸν ἑτέροις τοῖς οὐκ οὖσι θεοῖς. Ὅτι τοίνυν ἔμελλον κατὰ καιροὺς, αὐτά τε τὰ Ἱεροσόλυμα, καὶ ἅπασα δὲ τῶν Ἰουδαίων ἡ χώρα ταῖς ἐσχάταις περιπεσεῖσθαι ταλαιπωρίαις, καὶ ὑπὸ χεῖρα γενέσθαι τῶν ἐχθρῶν, προκαταμηνύει λεπτῶς. Ἀσαφεστέραν δὲ οὖσαν τὴν τῶν λέξεων συνθήκην, ὡς ἂν οἷός τε, καὶ πρό γε τῶν ἄλλων διατρανοῦν πειράσομαι. « Ἐπάξει, φησὶν, ὁ Θεὸς ἐπὶ σὲ, C καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου, ἡμέρας, αἳ οὔπω ἥκασιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραῒμ ἀπὸ Ἰούδα. » Ἔστι δὲ τῶν στίχων τοιοῦτος ὁ νοῦς· Ἐν καιροῖς τῆς βασιλείας Ῥοβοὰμ υἱοῦ Σολομῶνος ἀφεῖλε, τοῦτ' ἔστιν, ἀπέσπασεν ἑαυτὸν ὁ Ἐφραῒμ, τοῦτ' ἔστι, πάλιν αἱ δέκα φυλαὶ, ἀπὸ τῆς Ἰούδα φυλῆς. Ἐχωρίσθησαν γὰρ, καὶ αἱ μὲν δέκα φυλαὶ ἀπὸ τῆς Ἰούδα φυλῆς, κατῳκήκασι τὴν Σαμάρειαν, ἡ δέ γε φυλὴ Ἰούδα καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ μεμενήκασιν ἐν τοῖς Ἱεροσολύμοις. Ἀλλὰ προϊόντος τοῦ καιροῦ πολλὰ συμβέβηκε τῶν ἀπευκτῶν αὐτοῖς. Πεπόρθηται γὰρ ἡ Σαμάρεια, κατέδραμον δὲ καὶ τὴν Ἰουδαίαν τὰ περίοικα τῶν ἐθνῶν, Ἰδουμαῖοι, Μωαβῖται, καὶ οἱ ἐκ τῆς Φιλιστιεὶμ. Πεπόνθασι τοίνυν πολλὰ δεινὰ, καὶ ἡμερῶν πεπείρανται σκληρῶν, οὗτοί τε κἀκεῖνοι. Ἡμέρας τοίνυν, φησὶν, D ἐπάξει Θεὸς, ὧν ἴσαι οὔπω γεγόνασιν, ἤτοι ἀφίκοντο καθ' ὑμῶν ἐξ ἐκείνου τοῦ καιροῦ, ἀφ' οὗ ἀφεῖλεν, ἤτοι ἀπέσπασεν ἑαυτὸν ὁ Ἐφραῒμ ἀπὸ τοῦ Ἰούδα. Ποῖος δὲ ἡμῖν οὗτος ὁ καιρὸς, ἢ τίνες αἱ ἡμέραι; Ὁ βασιλεὺς, φησὶν, Ἀσσυρίων, τοῦτ' ἔστιν, ὁ Ναβουχοδονόσορ, ὃς πεπόρθηκε τὰ Ἱεροσόλυμα, καὶ κατὰ κράτος εἷλε πᾶσαν τὴν Ἰουδαίαν, ἐνέπρησε δὲ καὶ τὸν θεῖον ναὸν, καὶ οὐδὲν τὸ παράπαν τῶν εἰς ὠμότητα θηριοπρεπῆ παραλέλοιπεν, ὃ μὴ κατὰ παντὸς δεδρακὼς εὑρίσκηται τοῦ ἔθνους.

Vers. 18. *Et erit in die illa, sibilabit Dominus muscis quæ dominantur parti fluminis Ægypti, et api quæ est in regione Assyriorum, et venient omnes, et residebunt in vallibus regionis, et in cavis petrarum, et in speluncis, et in omni scissura, et in omni ligno.*

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ Κύριος μυίαις, ὃ κυριεύει μέρους ποταμοῦ Αἰγύπτου, καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ τῶν Ἀσσυρίων· καὶ ἐλεύσονται πάντες, καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ.

Κατευρύνει τὸ διήγημα, καὶ διεισι λεπτῶς τοῦ πολέμου τὴν ἔφοδον, καὶ ὅτι πᾶσαν αὐτῶν κατανεμηθήσονται γῆν, κώμας τε καὶ πόλεις, οἱ κατ' αὐτῶν ἥξοντες κατὰ καιρούς. Χρῆναι δὲ οἶμαι τὰ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν γεγραμμένα πάλιν εἰπεῖν, πρὸς τὴν τῶν ἐσομένων ἀκριβῆ διασάφησιν. Γέγονε τοίνυν υἱὸς μὲν τοῦ Ἄχαζ, πρὸς ὃν νῦν ὁ λόγος, Ἐζεχίας, Ἐζεχίου δὲ Μανασῆς· Μανασῆ δὲ Ἀμώς. Τούτου δὲ παῖς Ἰωσίας ἀνὴρ εὐσεβής, πλὴν ἀπεβίω τοιῷδέ τινι τρόπῳ. Φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύπτου τὴν ἐνεγκοῦσαν ἀφεὶς ἐξέθει πανστρατιᾷ καὶ κατὰ τῆς Ἀσσυρίων ἠπείγετο γῆς. Δεδιὼς τε τοίνυν ὁ Ἰωσίας, μή ἄρα πως καὶ κατὰ τῆς Ἰουδαίας ἐλθὼν, ὑπὸ χεῖρά τε τὴν ἑαυτοῦ λάβοι, καὶ κατάρξειεν αὐτῆς, ἀντεξάγειν ἤθελε, καίτοι τοῦ Φαραὼ, τὴν πρὸς αὐτὸν παραιτουμένου μάχην· ἐνιστάμενος δὲ τετελεύτηκεν ἐν τῷ πολέμῳ, καὶ κατεκράτησε τῆς Ἰουδαίων γῆς ὁ Αἰγύπτιος. εἰς τοῦτο δὲ διήλασεν ἰσχύος, ὥστε καὶ βασιλεύσαντα τὸν Ἰωαχὰς τὸν Ἰωσίου παῖδα μεταστῆσαι τῆς βασιλείας, καὶ δεδεμένον εἰσενεγκεῖν εἰς τὴν ἑαυτοῦ χώραν, καὶ χειροτονῆσαι βασιλέα τὸν Ἐλιακεὶμ, καὶ δασμοὺς ἐπιθεῖναι τῷ ἔθνει, καὶ χρημάτων ἄθροισιν αἰτῆσαι πολλήν. Εἶτα βασιλεύσαντος τῆς Ἰουδαίας Ἐλιακεὶμ ἐπ' ἔτεσιν ὅλοις ἕνδεκα τὸν ἀριθμὸν, διαδέχεται τοὺς θώκους Ἰεχονίας υἱὸς αὐτοῦ· εἶτα μετὰ τοῦτον Σεδεκίας, οὗ τὴν βασιλείαν διέποντος, κατεστράτευσε τῆς Ἰουδαίας ὁ Ναβουχοδονόσορ, ὃς καὶ πάσας κατεμπρήσας, καὶ προσθεὶς ταῖς ἄλλαις πόλεσιν καὶ αὐτὴν τὴν Ἱερουσαλὴμ, εἷλεν αἰχμάλωτον τὸν Ἰσραὴλ, ὁμοῦ τοῖς σκεύεσι τοῖς ἱεροῖς, κἀκεῖνα πέπραχεν, ὅσα καὶ ἐν τοῖς ἱεροῖς κεῖται Γράμμασι. Τούτων ἡμῖν τῶν ἱστοριῶν ποιεῖται τὴν ἀφήγησιν τῶν προκειμένων ἡ δύναμις. « Ἔσται τοίνυν, φησὶν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (τοῦτ' ἔστι, κατ' ἐκεῖνο τοῦ καιροῦ), συριεῖ Κύριος μυίαις, ὃ κυριεύει μέρους ποταμῶν Αἰγύπτου, καὶ τῇ μελίσσῃ, » ἥ ἐστιν ἐν χώρᾳ τῶν Ἀσσυρίων. Πεποίηται τοίνυν ὁ λόγος ὡς ἐκ μεταφορᾶς τῆς τῶν μελισσοκόμων ἐμπειρίας, οἳ συρίσμασι τὰς μυίας ἀποφέρουσί τε τῶν σίμβλων εἰς ἀγροὺς καὶ πάλιν ἀνακομίζουσι, καθάπερ τισὶ σηκοῖς ἐγκαθειργνύντες θρέμματα. Μυίαις δὲ παρεικάζει τοὺς Αἰγυπτίους, καθάπερ ἐγῷμαι, διάτοι τὸ πλῆθος καὶ τὸ μὴ λίαν εὔηχες τῆς φωνῆς. Μελίσσῃ δὲ, τὸ τῶν Ἀσσυρίων ἔθνος· ποικίλη γὰρ, εὔχρως τε καὶ κατεστιγμένη πολυτρόπως ἡ μέλιττα. Τοιοῦτοι δέ πως, ὅσον ἧκεν εἰς ἀμφιά τε καὶ στολὴν, Ἀσσύριοί τε καὶ Πέρσαι· φιλόκοσμοι γὰρ, καὶ τὸ ποικίλως ἐστάλθαι τιμῶντες ἀεὶ, καὶ πρός γε τοῦτο κεκεντρωμένοι. Οὗτοι, φησὶν, ἥξουσι πάντες, καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ ἐπὶ πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ. Ἐπειδὴ γὰρ ὡς περὶ μυιῶν πεποίηται τοὺς λόγους, ἐπιμένει τῇ τροπῇ. Δηλοῖ γεμὴν ὅτι πᾶσαν αὐτῶν ἐρευνήσουσι τὴν χώραν, ὡς μηδένα δύνασθαι τῶν κεκρυμμένων λαθεῖν· κἂν εἴτε τυχὸν ἐν πέτραις, ἤτουν ἐν φάραγξι, ἢ καὶ ἐν δρυμοῖς καὶ νάπαις ἑαυτοὺς καταχρύψειαν. Καὶ καθ' ἕτερον δὲ τρόπον ἐν τοῖς παροτρύνουσι τὸν τῶν ὅλων Θεὸν, καὶ προσκρούειν αὐτῷ μὴ παραιτου-

A Amplificat narrationem, et minutim impetum belli describit, et quod omnem eorum terram, oppida et urbes excisuri essent, qui temporibus succedentibus eos invasuri erant. Hic rursus quo hæc melius illustrentur dicenda judico, quæ in quarto Regnorum scripta sunt. Fuit igitur filius Achazi ad quem nunc sermo est, Ezechias, Ezechiæ autem Manasses, Manassis Amos; hujus filius Josias fuit, vir pius quidem, verumtamen hunc ad modum e vivis emigravit. Pharao Nechao rex Ægypti, patria relicta, omnes copias eduxit, et contra terram Assyriorum propere expeditionem fecit. Veritus ergo Josias, ne quando terram Judaicam invadens eam suæ ditioni subjiceret, in eaque dominaretur, arma contra ferre voluit, etiam cum in illum Pharao pugnam detrec- B tarel: urgens vero in bello occubuit, terramque **126** Judæorum expugnavit Ægyptius, qui ad tantam potentiam aspiravit, ut etiam Joachaz filium Josiæ regnum obtinentem, regno pelleret, vinctum in suam regionem inferret: Eliachim regem constitueret, vectigalia genti imponeret, pecuniarumque grandem vim exigeret. Deinceps cum regnasset in Judæa Eliachimus annos undecim integros, succedit in locum Jechonias filius ejus; tum post hunc Sedechias, quo tenente regnum bellum gerit contra Judæam Nabuchodonosorus: qui eam totam incendit, et præter alias urbes, ipsam etiam Jerusalem, captivum cepit Israelem, cum sacris vasis, eaque gessit quæ sunt in sacris Litteris. Has historias nobis ea quæ proposita sunt innuunt et insinuant. Erit C igitur in die illa, id est, sub id temporis, sibilabit Deus muscis, quæ parti fluminis Ægypti dominantur, et api quæ est in regione Assyriorum. Efficta proinde et figurata est oratio, quasi metaphora ab ope et industria eorum qui apibus curandis præsunt, et qui muscas sibilo e nidis in agros evocant, et iterum reducunt, veluti stabulis quibusdam concludentes pecora. Muscis autem, ut ego quidem judico, confert Ægyptios tum propter multitudinem, tum ob vocem absonam nec ita bene sonoram. Apis vero gens est Assyriorum: variegata enim est apis et pulchre colorata, et multis modis notata ac maculata. Tales quidem fere, quantum ad amictum et ad ornatum pertinet, erant et Assyrii D et Persæ: nam et elegantiæ studiosi erant, et variegatam vestem semper plurimi æstimabant, et præterea etiam erant aculeati. Illi, inquit, venient omnes, et in regionis vallibus, et in cavis petrarum, et in speluncis, et in omni scissura, omnique ligno residebunt. Quoniam enim veluti de muscis oratio instituta est, in hoc tropo perstat. Enimvero omnem ipsorum regionem perscrutaturos ostendit, quasi nemo quantumvis absconditus latere posset, puta sive in petris, sive in vallibus, sive in lucis ac silvis sese occultent. Porro aliter etiam in his qui universitatis Deum exasperant illumque offendere non verentur, vesparum instar consident adversariæ potestates; et fœdæ quæ nobis insunt cupiditates, **127** arcente nullo, vel succurrente. Si enim

Deus affligere velit, quis nobis opem afferre poterit?

Vers. 20. *In die illa radet Dominus novacula magna et inebriata, quæ est trans fluvium regis Assyriorum, caput et pilos pedum, et barbam auferet.*

Primum componenda necessario et ordinanda est dictio in his verbis : sic demum quid hæ sententiæ præ se ferant, dicendum. Proin, inquit, in die illa, hoc est sub id temporis, magna novacula et inebriata, quæ est regis Assyriorum qui est trans fluvium, videlicet Euphraten, radet Deus caput et pilos pedum, et barbam auferet. Novaculam autem B magnam et inebriatam regis Assyriorum transfluviani, appellat gladium ejus, detondentem scilicet immisericorditer, et cadentium sanguine inebriari gestientem. Et hic quidem est sensus verborum. Dicimus autem infamiæ cujusdam insignis genus fuisse certo tempore, et capite et barba derasos conspici. Nunc etiam universitatis Deus comminatus filiabus Sion, fastuosis et incedentibus elata cervice, oculorumque nutibus, felicitatis ademptionem, dixit : Et erit pro odore suavi fetor, et pro zona, funiculo succingeris, et pro ornamento capitis aureo, calvitium habebis propter opera tua. Fecerunt deinde hæc quidam et super mortuis, ac dedecore sese affecerunt : unde et lex Mosaica præcipit illis qui divinum ministerium sortiti sunt, ne more C aliorum super cadavere abradantur, neque formam barbæ corrumpant. Sic enim scriptum est. Devastatis vero Hierosolymis a Nabuchodonosoro, ascenderunt viri a Sichem et a Salem et Samaria, quemadmodum ait Jeremias [19] : Octoginta viri circumcisi barba, et rupti vestibus et concisi, et manna et libanus in manibus eorum, ut in domum Domini importarent. Itaque luctus simul et dedecoris species erat, novacula caput juxta et barbam resecare. Hoc olim Judaicæ regioni fore ut contingeret, propheticus sermo confirmat. Manebit enim, inquit, exstinctis ipsius liberis, plorans et contemptissima. Si cui vero placet alio **128** modo commentari, hujusmodi quidpiam fere intelliget. Capillos D siquidem capitis fortasse vocat, honoratissimos homines, et opibus, rerumque cæterarum prærogativa insigniter antestantes. Superius enim capite nihil est : barbæ autem crines dicit, intelligentia et mente præditos. Sic enim barba semper in Scriptura divinitus inspirata sumitur. Quando etiam pedum crines nominat, in extrema et postrema classe constitutos homines denotare videtur. Pepercit vero omnino nulli novacula inebriata : sed una cum præstantibus viris, medios et ultimos ac prudentes e terra Judæorum excidit et amputavit, ut eam nudam et spoliatam relinqueret. Nam in montes Persarum ac Medorum universum fere Israelem Nabu-

A μένοις, σφηκῶν δίκην ἐναυλίζονται, καὶ καταλύουσιν αἱ πονηραί τε καὶ ἀντικείμεναι δυνάμεις, καὶ τὰ ἔκτοπα τῶν ἐν ἡμῖν παθῶν ἀποσοβοῦντος οὐδενὸς, ἤγουν ἐπαμύνοντος καὶ σώζειν ἰσχύοντος. Θεοῦ γὰρ κακοῦν ἐθέλοντος, τίς ἡμᾶς ὁ ὠφελῆσαι δυνάμενος;

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει Κύριος τῷ ξυρῷ τῷ μεγάλῳ καὶ μεμεθυσμένῳ, ὅ ἐστι πέραν τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων, τὴν κεφαλὴν καὶ τὰς τρίχας τῶν ποδῶν, καὶ τὸν πώγωνα ἀφελεῖ.

Συνθεῖναι πρῶτον τὴν λέξιν καὶ ἐν τούτοις ἡμᾶς ἀναγκαῖον· εἶθ' οὕτω λοιπὸν τὸ ἐκ τῶν ἐννοιῶν ὑποδηλούμενον εἰπεῖν. Οὐκοῦν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, φησὶ, τοῦτ' ἔστι, κατ' ἐκεῖνο τοῦ καιροῦ, τῷ μεγάλῳ ξυρῷ καὶ μεμεθυσμένῳ, ὅ ἐστι τοῦ βασιλέως Ἀσσυρίων, τοῦ ὄντος πέραν τοῦ ποταμοῦ, δῆλον δὲ ὅτι B τοῦ Εὐφράτου, ξυρήσει Κύριος τὴν κεφαλὴν, καὶ τὰς τρίχας τῶν ποδῶν, καὶ τὸν πώγωνα ἀφελεῖ. Ξυρὸν δὲ μέγα καὶ μεμεθυσμένον τοῦ βασιλέως Ἀσσυρίων, τοῦ ὄντος πέραν τοῦ ποταμοῦ, καλεῖ τὴν μάχαιραν αὐτοῦ, τὴν οἷον ἀφειδῶς ἀποκείρουσαν, καὶ χαίρουσαν τῷ μεθύειν τῷ τῶν πιπτόντων αἵματι. Καὶ ὁ μὲν νοῦς τῶν λέξεων οὗτος. Φαμὲν δὲ ὅτι ἀτιμίας ἦν ἐσχάτης τρόπος, τὸ καθ' ἕνα καιρὸν ὁρᾶσθαί τινας κεφαλήν τε καὶ πώγωνα κατεξυρημένους. Καὶ γοῦν ὁ τῶν ὅλων Θεὸς ἐπηπείλησέ που ταῖς θυγατράσι Σιὼν, ὑψουμέναις τε καὶ πορευομέναις ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, τῆς εὐημερίας τὴν ἀφαίρεσιν. Ἔφη γὰρ, ὅτι Καὶ ἔσται, καὶ ἀντὶ ὀσμῆς ἡδείας κονιορτὸς, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσοῦ, φαλάκρωμα C ἕξεις διὰ τὰ ἔργα σου. Ἔδρων δὲ τοῦτό τινες, καὶ ἐπὶ νεκροῖς ἑαυτοὺς ἀτιμάζοντες· ὅθεν καὶ ὁ νόμος ὁ διὰ Μωσέως, τοῖς τὴν θείαν λαχοῦσιν ἱερουργίαν παρεγγυᾷ, τὸ μὴ ἐν ἴσῳ τοῖς ἄλλοις ἐπὶ νεκρῷ κατεξυρῆσθαι, μήτε μὴν καταφθείρειν τὴν ὄψιν τοῦ πώγωνος. Γέγραπται γὰρ ὡδί. Πεπορθημένων δὲ τῶν Ἱεροσολύμων ἐπὶ τοῦ Ναβουχοδονόσορ, ἀνέβησαν ἄνδρες ἀπὸ Συχὲμ, καὶ ἀπὸ Σαλὴμ, καὶ Σαμαρείας, καθά φησιν Ἱερεμίας· Ὀγδοήκοντα ἄνδρες ἐξυρημένοι πώγωνας, καὶ διεῤῥωγότες τὰ ἱμάτια, καὶ κοπτόμενοι, καὶ μάννα καὶ λίβανον ἐν ταῖς χερσὶν αὐτῶν, τοῦ εἰσενεγκεῖν εἰς τὸν οἶκον Κυρίου. Οὐκοῦν πένθους τε ἅμα, καὶ ἀτιμίας ἦν τρόπος τὸ ἀποκείρειν ξυρῷ κεφαλήν τε καὶ πώγωνα. Τοῦτο πείσεσθαι κατὰ D καιροὺς τὴν τῶν Ἰουδαίων χώραν ὁ προφητικὸς ἔφη λόγος. Ἀπομενεῖ γὰρ, φησὶν, ἀπολωλότων αὐτῆς τῶν τέκνων, πενθοῦσά τε καὶ ἀτιμωτάτη. Εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον τρόπον τοῖς θεωρήμασι προσβαλεῖν, ἐννοήσει τι τοιοῦτον. Τρίχας μὲν γὰρ κεφαλῆς τάχα πού φησιν τοὺς ἐντιμωτάτους πλούτῳ τε καὶ ὑπεροχαῖς τῶν ἄλλων ὑπερανεστηκότας· ἀνωτέρω γὰρ κεφαλῆς οὐδέν· πώγωνα δὲ, τοὺς ἐν συνέσει καὶ φρεσίν· οὕτω γὰρ πώγων ἀεὶ λαμβάνεται παρὰ τῇ θεοπνεύστῳ Γραφῇ. Ὅταν δὲ καὶ ποδῶν ὀνομάζει τρίχας, σημαίνει που, κατὰ τὸ εἰκὸς, τοὺς ἐν τάξει κειμένους τῇ ἐσχάτῃ καὶ κατωτάτω. Ἐφείσατο δὲ τὸ παράπαν οὐδενὸς τὸ ξυρὸν μεμεθυσμένον, ἀλλ' ὁμοῦ τοῖς ὑπερκειμένοις, μέσους τε καὶ τελευταίους, καὶ

[19] Jerem. XLI, 5.

συνετοὺς τῆς Ἰουδαίων ἀπέκειρε χώρας, ὡς ἀφεῖναι γυμνὴν καὶ ἐψιλωμένην. Μετεκόμισε γὰρ ὁ Ναβουχοδονόσορ εἰς τὰ ὄρη Περσῶν καὶ Μήδων σχεδὸν ἅπαντα τὸν Ἰσραήλ.

A chodonosorus traduxit.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα· καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, [βούτυρον καὶ μέλι φάγεται], πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς.

Τοῦ ξυροῦ καὶ μεμεθυσμένου καὶ μεγάλου, τοῦτ' ἔστι τῆς Βαβυλωνίων μαχαίρας, ἐμφανῆ καταστῆσαι τὴν ἐνέργειαν ὁ σκοπὸς αὐτῷ. Καταφιλωθήσεσθαι γάρ φησιν ἅπασαν τῶν Ἰουδαίων τὴν χώραν, πτωχείας τε ὁμοῦ καὶ ὀλιγανδρίας εἰς τοῦτο ἐλθεῖν, ὡς τὸν περιλειφθέντα καὶ ἀνασεσωσμένον ἐκ τῆς τῶν πολεμίων χειρὸς, ἐναπομείναντά τε τῇ γῇ, δεσπότην ἔσεσθαι δαμάλεώς τε μιᾶς· καὶ προβάτων δύο καίτοι B πάλαι πλείστας τε ὅσας οἴων ἀγέλας, καὶ μὴν καὶ βοῶν κεκτῆσθαί τε καὶ νέμειν εἰωθότων τῶν ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν. Οὐκοῦν πτωχείας μὲν τῆς εἰς ἄκρον ἀπόδειξις ἥδε σαφής. Ὅτι δὲ καὶ κομιδῇ βραχεῖς ἐν ἀριθμῷ κατὰ τόπους ἔσονται προσαποδείκνυσι λέγων· « Καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς. Ἐκ δύο προβάτων καὶ δαμάλεως μιᾶς τοσοῦτον γάλα ἔσεσθαί φησιν, ὥστε πᾶσιν ἀρκέσαι τοῖς καταλειφθεῖσιν εἰς κόρον, εἰ δὴ βούλοιντο τὰς διὰ γάλακτος ποιεῖσθαι τροφάς. Ἆρ' οὖν οὐκ ἐναργὲς, ὡς εὐαρίθμητοι παντελῶς οἱ διαφυγόντες τὸ ξυρὸν, καὶ ἐν ἑκάστῳ τόπῳ τῆς Ἰουδαίας μεμενηκότων; Πόσοι γὰρ ἂν εἶεν, οἷς ἀρκέσει πρὸς τροφὴν καὶ κόρον [γάλα] δύο προβάτων καὶ δαμάλεως C μιᾶς; Τί οὖν ἄρα τὸ ἐντεῦθεν εἰς ὄνησιν ἡμῖν τοῖς πνευματικοῖς ἐκβήσεται, ἔξεστιν ἰδεῖν διὰ πραγμάτων αὐτῶν. Ὅσοι μὲν μελετῶντες τὸ δυσήκοον, καὶ γαῦρον ἐξανιστάντες τῷ Θεῷ τὸν αὐχένα, καὶ τῇ τῶν πνευματικῶν ἀγαθῶν ἐνδείᾳ κατατακήσονται, καὶ ὀλιγοστοὶ παντελῶς γενηθήσονται, καὶ παντὸς ἐνδεεῖς εὑρεθήσονται τοῦ τρέφειν εἰδότος εἰς εὐεξίαν τὴν νοητὴν, καὶ ἀνακομίζειν οἵου τε, καὶ μάλα γοργῶς, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας, τοῦ πληρώματος τοῦ Χριστοῦ. Ἀκούσονται δὲ οἱ τοιοίδε Θεοῦ λέγοντος διὰ φωνῆς ἁγίου· Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε. Ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε. Ἀμφιλαφεστάτη γὰρ λίαν ἡ παντὸς ἀγαθοῦ μέθεξις παρὰ Θεοῦ τοῖς τὰ αὐτοῦ φρονεῖν ἐγνωκόσιν, οἷς καὶ αὐτὸς προσπεφώνηκε λέγων· « Φάγετε, καὶ πίετε, καὶ μεθύσχητε, οἱ πλησίον μου. »

VERS. 21. *Erit etiam in die illa, alet homo buculam, et duas oves, et erit ex eo quod multum lactis proveniet, butyrum et mel comedet omnis superstes in terra.*

Novaculæ magnæ et inebriatæ, id est gladii Babylonici, effectum ac vim declarare propositum est, dicitque totam regionem Judæorum nudatum iri, et eo mendicitatis virorumque paucitatis redituram, ut qui relictus est et servatus e manu hostium, remanseritque in terra, vix futurus sit unius buculæ et duarum ovium dominus: licet olim numerosos ovium greges et boum tum possidere, tum pascere per totam Judæam consueverint. Quare summæ paupertatis indicium manifestum hoc est. Quod autem et vere pauci numero in locis exsistent, præsignificat dicens: Et erit, eo quod multum lactis proveniet, butyrum et mel comedet, quisquis in terra erit superstes. E duabus ovibus et bucula una tantum lactis fore affirmat, ut omnibus derelictis abunde sit suffecturum, si ex lacte proveniens alimentum facere velint. Annon igitur perspicuum est eos qui novaculam effugerunt, qui singulis in locis Judææ hæserunt, facile numerabiles esse? Quot enim esse possint quibus ad nutritionem et satietatem, duarum ovium uniusque buculæ lac satis erit? Cæterum quid nobis spiritualibus hinc utilitatis proveniet, licet ex ipsis rebus cernere: quod qui volunt esse contumaces, et contra Deum superbam cervicem tollunt, tum spiritualium bonorum inopia **129** contabescent, tum omnino fient paucissimi, et quidquid eos bona mentis intelligentiæque habitudine enutriret, et ad virum perfectum mensuramque ætatis plenitudinis Christi solide perduceret, eo omni carere deprehendentur. Tale quiddam etiam audient Deum voce sancti loquentem: Ecce qui serviunt mihi, manducabunt: vos autem esurietis. Ecce qui serviunt mihi, bibent: vos autem sitietis. Etenim abunde cumulateque suppeditatur omnium bonorum participatio a Deo his, qui illa quæ ejus sunt sapiunt, quos affatus est etiam ipse: « Edite, inquit, et bibite, et ingurgitamini, o proximi [40]! »

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, πᾶς τόπος, οὗ D ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν· μετὰ βέλους καὶ τοξεύματος ἐλεύσονται ἐκεῖ· ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ.

Ἔργον ἂν εἴη τοῦτο τοῦ ξυροῦ τοῦ μεγάλου καὶ μεμεθυσμένου, καὶ ἀπόδειξις ἐναργὴς τῆς τοῦ ἔθνους ὀλιγανδρίας. Δεδαπάνηκε γὰρ οὕτως ὁ πόλεμος τοὺς κατοικοῦντας τὴν Ἰουδαίαν, ὡς περιλειφθῆναι μόλις ἀριθμῷ βραχεῖς τοὺς ἐν αὐτῇ. Ταύτῃτοι καὶ ἀμεληθήσεσθαί φησι, καὶ εἰς χέρσον ἔσεσθαι καὶ εἰς ἄκαν-

VERS. 23. *Et erit in die illa, omnia loca, in quibus sunt mille vites mille siclorum, solitudo erunt et spineta; cum sagitta et arcubus venietur eo, quia solitudo et spina erit omnis terra.*

Effectus hic est novaculæ magnæ et inebriatæ, et paucitatis virorum in hac gente aperta demonstratio. Sic enim attrivit bellum Judææ incolas, ut vix in ea numero pauci superstites fuerint. Hinc neglectum iri et solitudinem fore et spinetum, possessiones ipsorum pulcherrimas et lectissimas

[40] Cant. v, 1.

ait, nimirum cum nulli sint qui norunt terram colere. Si enim, inquit, in uno loco mille vites mille siclorum sint, ut singulæ vites singulos siclos valeant, æstimationis hæc mensura vertetur in solitudinem et in spinas, ut si quis velit regionem invadere, et ingrediatur solum, hoc non possit absque sagitta et arcu efficere. Spinæ quidem non arcus, non sagittas desiderant, at statim ejus qui velit inambulare pedes sauciare poterunt. Causa igitur ratioque efficiens omnium malorum nobis erit, ea quæ fas non est velle designare. Destituemur enim quodammodo Deo, si illum non vereamur offendere. Si enim præstamus et quæ illi grata et amica sunt, sapere volumus, nec tergiversamur, virtutis fructus proferemus, nosque sua cura dignabitur. Audiemus siquidem dicentem Christum: « Ego sum vitis vera, et Pater meus agricola est. [41] » Omnis palmes in me non ferens fructum, tollit eum: **130** et omnis palmes ferens fructum, purgabit ipsum, ut fructum copiosiorem ferat. Verum si effrenate in impietatem morum provolvimur, spina sub intelligentia cadente replemur, omni vitiorum genere in nobis invalescente. Finis vero spinæ, ignis; et fomentum ignis est, aut materia inutilis. Hoc etiam beatus Paulus nobis planum faciet, cum inquit: Terra enim quæ venientem in se pluviam combibit, et herbam parit accommodatam his propter quos colitur, ea benedictionem a Deo participat. [42] At quæ profert spinas et tribulos, improba est et maledictioni affinis, cujus finis combustio.

Vers. 25. *Et omnis mons arando arabitur, et non veniet eo terror. Erit enim ex solitudine et vepreto in pascua ovium, et in conculcationem bovis.*

Paucos forte superstites in Judæa dicit, et eo timiditatis et ignaviæ venturos, ut præ ingenti et incredibili timore, in montibus commoraturi sint, et ab urbibus habitationibusque desideratissimis semigraturi, et festinaturi in montibus, insidiisque delitescere. Sic enim facere consuevit tota regio et civitas, si quando aliqua sit hostium incursatio. Accurrunt enim ad editos et impervios montes, et difficultate loci, ceu armatura se muniunt, et timiditatis pharmacum ac remedium est, in fissuris esse petrarum. Quinimo hoc etiam Servator ipse dixit populo Judaico: « Tum » enim, inquit, « qui in Judæa sunt, fugiant ad montes. [43] » Itaque, inquit, pulcherrima prædia in solitudinem et in vepreta mutabuntur: cum derelicti timerent, etiam in illis, et spineta solum etiam subire non permitterentur: sed ad montes potius confugerent, ibique suspirantes rusticis laboribus manum admoverent. Arabitur enim omnis mons et omnis collis, ab his qui ad eos confugiunt, cupientes colligere, non quæ ad opes aut voluptates spectant, sed quantum ad necessarium usum corporis suppeditat, et

θαν τὰ κάλλιστα παρ' αὐτοῖς καὶ ἐξαίρετα τῶν κτημάτων, οὐκ ὄντων δηλονότι τῶν γηπονεῖν εἰδότων. Εἰ γὰρ εἶεν, φησὶν, ἐν ἑνὶ τόπῳ χίλιαι ἄμπελοι χιλίων σίκλων, ὡς ἀξίαν ἄμπελον ἑκάστην σίκλου ἑνὸς (τιμήματος δὲ τοῦτο μέτρον), εἰς χέρσον ἔσεσθαι καὶ εἰς ἄκανθαν· ὥστε κἂν εἴ τις βούλοιτο τῷ χωρίῳ προσβαλεῖν, καὶ εἰσελάσαι μόνον, μὴ ἂν ἰσχύσαι τοῦτο δρᾷν δίχα βέλους καὶ τοξεύματος. Ἀποδέουσαι γὰρ οὐδὲν αἱ ἄκανθαι τοξευμάτων καὶ βελῶν, κατατρώσειαν ἂν εὐθὺς τοῦ περιπατεῖν ἐθέλοντος τοὺς πόδας. Πρόξενον οὖν ἄρα παντὸς ἡμῖν ἔσται κακοῦ τὸ βούλεσθαι δρᾷν ἃ μὴ θέμις. Καταχερσούμεθα γὰρ τρόπον τινὰ, Θεῷ προσκρούειν οὐ παραιτούμενοι. Δρῶντες μὲν γὰρ, καὶ μὴν καὶ φρονεῖν ἐθέλοντες ἃ αὐτῷ θυμήρη καὶ φίλα, καρποφορήσομεν τὴν ἀρετὴν, τῆς παρ' αὐτοῦ φροντίδος ἀξιούμενοι. Ἀκουσόμεθα γὰρ λέγοντος τοῦ Χριστοῦ· « Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστιν. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον, καρπὸν, αἴρει αὐτό· καὶ πᾶν κλῆμα τὸ καρπὸν φέρον καθαίρει αὐτὸ, ἵνα καρπὸν πλείονα φέρῃ. » Ἀπονενευκότες δὲ ἀχαλίνως εἰς ἀνοσιότητα τρόπων, ἀκάνθης τῆς νοητῆς πληρούμεθα, παντὸς εἴδους φαυλότητος ἀνίσχοντος ἐν ἡμῖν. Τέλος δὲ ἀκάνθης, τὸ πῦρ· καὶ τροφὴ πυρὸς, ἡ ἄχρηστος ὕλη. Καὶ τοῦτο ἡμῖν ὁ μακάριος Παῦλος ἐναργὲς καταστήσει λέγων· « Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν. »

Καὶ πᾶν ὄρος ἀροτριώμενον ἀροτριωθήσεται, καὶ οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος. Ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης εἰς βόσκημα προβάτων, καὶ εἰς καταπάτημα βοός.

Ὀλίγους μὲν ἔσεσθαι τοὺς περιλειφθέντας ἐν τῇ Ἰουδαίᾳ φησὶν, ἥξειν τε εἰς τοῦτο δειλίας αὐτοὺς, καὶ μέντοι καὶ κακανδρείας, ὡς ὑπό γε δεινοῦ τε καὶ ἀφορήτου δείματος, τὰς ἐν ὄρει ποιεῖσθαι διατριβὰς, καὶ πόλεων μὲν ἀποφοιτᾷν, καὶ τῶν πάλαι τριποθήτων αὐτοῖς ἐνδιαιτημάτων, ἐπείγεσθαι δὲ λανθάνειν ἐν ὕλαις τε καὶ λόχμαις. Ἔθος γὰρ τοῦτο δρᾷν τοῖς ἀνὰ πᾶσαν τὴν χώραν τε καὶ πόλιν, εἰ δή τις γένοιτο πολεμίων ἐκβολή. Ἀναθέοντες γὰρ εἰς ὑψηλὰ καὶ δύσβατα τῶν ὀρῶν, ὅπλον ποιοῦνται τὴν δυσχωρίαν, καὶ δειλίας φάρμακον τὸ ἐν σχισμαῖς εἶναι πετρῶν. Τοῦτό τοι καὶ αὐτὸς ὁ Σωτὴρ τοῖς Ἰουδαίων ἔφασκε δήμοις· « Τότε » γὰρ, φησὶν, « οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη. » Οὐκοῦν τὰ μὲν κάλλιστα τῶν χωρίων, εἰς χέρσον ἔσονται, φησὶ, καὶ εἰς ἄκανθαν, δεδιότων τῶν περιλειφθέντων κἂν γοῦν ἐν αὐτοῖς εἰσελάσαι μόνον, ἢ καὶ ὑπὸ τῆς ἀκάνθης οὐ συγχωρουμένων· ἀναφυγόντες δὲ μᾶλλον ἐν τοῖς ὄρεσιν, ἐκεῖ στένοντες τῶν εἰς γεωργίαν ἅψονται πόνων. Ἀροτριαθήσεται γὰρ πᾶν ὄρος καὶ πᾶς βουνὸς, τῶν ἐν αὐτοῖς ἀναφυγόντων, συλλέγειν ἐπιθυμούντων, οὐ τὰ εἰς πλοῦτον καὶ τρυφὰς, ἀλλ' ὅσα τὴν

[41] Joan. xv, 1. [42] Hebr. vi, 7. [43] Matth. xxiv, 16.

ἀναγκαίαν τοῦ σώματος θεραπεύει χρείαν, καὶ στενὴν καὶ δυσπόρευτον παρατίθησι τροφήν. Ποία τις οὖν πρόφασις τοῦ καὶ ἐν ὄρεσιν οἰκεῖν, καὶ αὐτὰ γεωργεῖν ἐθέλειν, καίτοι τῶν ἐξαιρέτων ὑπερεωραμένων χωρίων; « Οὐ μὴ ἐπέλθῃ, » φησὶν, « ἐκεῖ φόβος. » Ταῦτα λογιοῦνται καθ' ἑαυτοὺς, ὡς οὐκ ἂν αὐτοῖς ἐκεῖ κατοικεῖν ἐθέλουσιν ἐπέλθῃ φόβος. Εἶτα τῆς εἰς ἄκρον ἐρημίας καταδεικνύει τὸ μέγεθος. Ἔσεσθαι γάρ φησιν ἅπασαν τὴν χώραν ἀπὸ τῆς χερσείας καὶ τῆς ἀκάνθης εἰς βόσκημα προβάτων, καὶ εἰς καταπάτημα βοὸς, τοῦτ' ἔστιν, εἰς κατανομὰς θρεμμάτων, τὴν πίονα, τὴν εὐάμπελον, τὴν ἐλαιοφόρον, τὴν εὐδενδροτάτην, τὴν ἀεὶ κομῶσαν καρποῖς, τὴν ῥέουσαν γάλα καὶ μέλι, κατὰ τὸ γεγραμμένον. Οὐκοῦν Θεὸν εὐφραίνοντες ταῖς εἰς πᾶν ὁτιοῦν εὐπειθείαις, ἀσφαλῶς οἰκήσομεν, καθάπερ τινὰ χώραν ἢ πόλιν, τὴν ἀρετὴν, καὶ κατευμεγεθήσομεν τῶν ἐχθρῶν. Καταπτοήσει δὲ τὸ σύμπαν ἡμᾶς οὐδέν. Ἐσόμεθα δὲ μᾶλλον ἁπάσης ἐπιεικείας καὶ καλῶν ἔργων ἐπιμεληταὶ, καὶ εὐκαρπίας ἀνάμεστοι τῆς ἀρεσκούσης Θεῷ, καὶ νοητῆς ἀκάνθης ἀπηλλαγμένοι, καὶ γῆ θελητὴ, κατὰ τὴν τοῦ προφήτου φωνὴν, καὶ Θεοῦ γεώργιον ἀληθῶς.

Καὶ εἶπε Κύριος πρός με· Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. Πάρεστι γὰρ, καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν, καὶ τὸν Ζαχαρίαν υἱὸν Βαραχίου.

Ἀποχρῶσαν εὖ μάλα ποιησάμενος τὴν προαγόρευσιν τῶν μελλόντων συμβήσεσθαι κατὰ καιροὺς τῇ τῶν Ἰουδαίων χώρᾳ, καὶ τὸ τῆς συμφορᾶς καταδείξας μέγεθος, προσεπάγει χρησίμως τὰ περί γε τοῦ Ἐμμανουὴλ, καὶ τὸ ἐπ' αὐτῷ γε παραδείξας μυστήριον, ἐναργέστερον ἀποφαίνει τῷ προφήτῃ Θεός. Ἔφη μὲν γάρ· « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. » Ὅτι μὲν γὰρ καινῆς διαθήκης ἔσται μεσίτης, καταργουμένης δηλονότι τῆς πρώτης, ὡς πολὺ τὸ ἀδρανὲς ἐχούσης, πεπαλαιωμένης δὲ, καὶ τελειούσης οὐδένα κατὰ συνείδησιν, ὑποφαίνει λέγων· « Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου. » Καὶ τί τὸ, σεαυτῷ, κατασημαίνειεν ἂν, ἢ ἐκεῖνό που πάντως; Οὐ γάρ τοί φησιν τοῖς ἀπειθεῖν ᾑρημένοις, ἀλλὰ τοῖς ἐν πίστει τετιμηκόσι τὸν ἐπ' αὐτῷ λόγον τὰ ἐν τῷ καινῷ δοθήσεται τόμῳ. Τοῦτ' ἔστιν, ἀποκαλυφθήσεται τὸ Χριστοῦ μυστήριον. Καινὸς οὖν ὁ τόμος καὶ μέγας. Οὐ γάρ τοι κατὰ τὴν πρώτην συντέτακται διαθήκην ἡ καινή τε καὶ νέα τὸ τοῦ Χριστοῦ λαλοῦσα μυστήριον, οὔτε μὴν ἐφθήσεται τὸ τῆς νομικῆς ἱστορίας ἔχουσα ταπεινὸν, ἀλλ' ὡς ἐν ὑπεροχῇ καὶ ὕψει γνώσεως καὶ δογμάτων. Ὅθεν καὶ ὁ θεσπέσιος Παῦλος ἥδιστά φησιν, ἐζημιῶσθαι πάντα τὰ ἐν νόμῳ διὰ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ Χριστοῦ. Πρόδηλον οὖν ὅτι πεπαλαιωμένης τῆς πρώτης, ὡς ἔφην, καινὸς ὁ τόμος καὶ μέγας λαμβάνεται τῆς

[44] Hebr. IX, 11-23.

A quantum tenuem et angustum difficilterque parabilem victum subministrat. Quid est ergo causæ, ut in montibus habitare eosque colere velint, contemptis prædiis electissimis? « Non veniet illuc terror, » inquit. Hæc apud se reputabunt ad eos, qui incolere ibi volent, metum non perventurum. Deinceps vero extremæ solitudinis **131** ac desolationis magnitudinem ostendit. Mutabitur namque, inquit, propter vastitatem et vepreta in pascua ovis, et in conculcationem bovis, id est, in depastionem ovium universa regio, regio, inquam, præpinguis, vitibus fecunda, oleæ ferax, arboribus egregie consita, semper fructibus compta quasi et culta, lacte et melle affluens, juxta id quod scriptum est. Itaque quandiu Deo nostra in om- B nibus obedientia placemus, tuto virtutem quasi civitatem vel regionem colemus et inhabitabimus, hostibus superiores erimus, neque quisquam nos omnino perterrebit: sed potius omnis probitatis et bonorum operum sectatores erimus, copia et ubertate fructuum Deo placentium, abundabimus: intelligibili spineto liberabimur, et terra spontanea erimus, juxta vocem prophetæ, et vere Dei agricolatio.

CAP. VIII, VERS. 1, 2. *Et dixit Dominus ad me: Sume tibi librum novi magni, et scribe in eo stylo hominis, ut celeriter deripiat spolia. Adest enim, et testes mihi adhibe fidos homines, Uriam sacerdotem, et Zachariam filium Barachiæ.*

C Cum plenam et copiosam adhibuerit prædictionem eorum quæ Judaicæ regioni progressu temporis erant obventura, magnitudinemque calamitatis exhibuerit, commode de Emmanuele subtexit, et mysterium ejus Deus monstrat prophetæ luculentius. Dicebat enim: « Ecce virgo in utero habebit, et pariet filium; et vocabunt nomen ejus Emmanuel. » Quod autem Novi Testamenti sequester sit, abrogato nimirum primo, quod multum haberet infirmitatis, et quod antiquaretur, ac neminem secundum conscientiam perficeret, subindicat dicens: Sume librum novum, magnum. Et quidnam illud tibi significat, nisi illud plane; Siquidem, inquit, non contumacibus, sed in fide sermonem ejus amplectentibus, D quæ in novo libro sunt dabuntur, id est, Christi mysterium revelabitur. Novus igitur hic liber et magnus. Non enim ad veteris fœderis instar, hoc novum et nuperum compositum est, quod Christi mysterium enuntiat, neque legalis historiæ exilitatem habere, sed in eminentia et sublimitate cognitionis ac dogmatum versari conspicietur. Unde et divinus Paulus suavissime dicit, pro damnis haberi **132** omnia quæ sunt legis, præ notitiæ Christi excellentia. Patet ergo quod antiquato primo, ut dixi, novum et magnum volumen secundi fœderis sumitur: quod præstantioribus sacrificiis sancitum est, quemadmodum sanctissimus Paulus ait [44]. Scribitur

porro hic liber stylo hominis. Quid ita? Quando A enim animi oculis sacrosanctæ et consubstantialis Trinitatis mysterium pervestigamus, dein aliis aliquando arcanum ortum unigenæ Filii Dei tradere instituimus : tunc sane, tunc opus nobis est non humano stylo, et nobis familiari. Quæ enim oratio satis erit, ut quod supra mentem et orationem est, expedire posset? His adeo subtilibus omnemque mentem ac cogitationem superantibus enarrationibus ille solum calamus suffecerit, de quo Deus et Pater voce Davidica loquitur : « Lingua mea calamus scribæ, celeriter scribentis [45]. » Nemo enim novit Filium nisi Pater, sed nec Patrem quisquam agnoscit qui sit, nisi Filius, et cui volet Filius revelare. At quando de humanitate ejus verba facimus, tunc humano stylo opus est, quod et fecit sa- B piens Joannes, dicens : « Verbum caro factum est, et habitavit in nobis [46]. » Nec vero difficile est, etiam mortem ejus secundum carnem, et ex mortuis resurrectionem nostris verbis annuntiare : et quasi primitias humanæ naturæ ad incorruptionem renovatæ ad Patrem ascendisse, et in cœlis consedisse, ac constituto tempore venturum, judicemque sessurum. Proinde hominis penna de humanitate Unigeniti, homines spiritu afflati conscribunt. Porro autem præcipit, inquiens : Testes mihi adhibe fidos homines, Uriam et Zachariam filium Barachiæ. Sciendum quo tempore de hisce rebus sermo a Deo ad beatum Isaiam habitus est, Uriam prophetam fuisse, Zachariam sacerdotem et legis doctorem. Adhiben- C tur ergo ad hanc de Christo testificationem mystagogia, quæ lege constat sanctisque prophetis, et cognitio, sive prædictio. Finis quippe legis ac prophetarum Christus. Tale quiddam monstratum fuisse sanctis apostolis tempore transfigurationis Christi in monte asserimus. Scriptum est enim quod « Post dies sex assumpsit Jesus Petrum, et Jacobum, **133** et Joannem fratrem ejus, et ducit illos in montem valde excelsum seorsum : et transfiguratus est coram ipsis. Et resplenduit vultus ejus sicut sol, et vestes ejus factæ sunt candidæ sicut lux. Et ecce apparuerunt illis Moses et Elias, colloquentes cum ipso [46*]. » Observa itaque quomodo Moses et Elias, id est, sacerdotium ac lex (utraque enim Moses), quin et Elias assumptus ante faciem sanctorum pro- D phetarum, ipsi inter se colloquebantur de exitu, quem esset in Jerusalem impleturus. Qualis tandem exitus? Dispensationis nimirum finis, crux, mors, ex mortuis resurrectio, in cœlos assumptio. Nam hæc omnia præfiguravit per umbram lex, prædixit etiam illustris et magnus sanctorum prophetarum chorus.

δευτέρας διαθήκης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις παραλαμβάνεται, καθά φησιν ὁ ἱερώτατος Παῦλος. Γράφεται δὲ ὁ τόμος γραφίδι ἀνθρώπου. Διὰ ποίαν αἰτίαν; Ὅτε μὲν τοῖς τῆς διανοίας ὄμμασι τὸ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος πολυπραγμονῶμεν μυστήριον, εἶτα λέγειν ἑτέροις ἐπιχειρῶμεν ἔσθ' ὅτε τὴν ἀπόῤῥητον γέννησιν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· τότε δὴ, τότε χρεία γραφίδος ἡμῖν οὐκ ἀνθρωπίνης καὶ καθ' ἡμᾶς. Ποῖος γὰρ ἂν ἀρκέσει [ε] λόγος εἴς γε τὸ δύνασθαι διατρανοῦν τὸ ὑπὲρ νοῦν καὶ λόγον; Ἀπόχρη δὲ μόνος τοῖς οὕτως ἰσχυροῖς καὶ ὑπὲρ πάντα νοῦν διηγήμασιν ἐκεῖνος ὁ κάλαμος, περὶ οὗ φησιν ὁ Θεὸς καὶ Πατὴρ διὰ φωνῆς τοῦ Δαβίδ· « Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. » Οἶδεν γὰρ οὐδεὶς τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ· ἀλλ' οὐδὲ τὸν Πατέρα οὐδεὶς ἐπιγινώσκει τίς ἐστιν, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Ὅταν δὲ τοὺς περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ ποιούμεθα λόγους, τότε δὴ, τότε χρεία γραφίδος ἀνθρωπίνης· ὃ δὴ καὶ πέπραχεν ὁ σοφὸς Ἰωάννης λέγων· « Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. » Χαλεπὸν δὲ ὅλως οὐδὲν, καὶ τὸν κατὰ σάρκα θάνατον αὐτοῦ, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν ταῖς καθ' ἡμᾶς ἀναγγέλλειν φωναῖς, καὶ ὅτι πρωτόλειον ὥσπερ τι καὶ ἀπαρχὴ τῆς ἀνθρώπου φύσεως ἀνανεουμένης εἰς ἀφθαρσίαν, ἀνέβη πρὸς τὸν Πατέρα, καὶ κεκάθικεν ἐν τοῖς οὐρανοῖς. Ἥξει τε κατὰ καιροὺς, καὶ καθιεῖται κριτής. Οὐκοῦν ἀνθρώπου γραφίδι τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς γράφουσιν οἱ πνευματογράφοι. Προσεπιτάττει δὲ λέγων· « Μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν, καὶ τὸν Ζαχαρίαν υἱὸν Βαραχίου. » Ἰστέον δὲ ὅτι κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν ὁ περὶ τούτων λόγος παρὰ Θεοῦ γέγονε πρὸς τὸν μακάριον Ἡσαΐαν, Οὐρίας μὲν ἦν τις προφήτης, Ζαχαρίας γε μὴν ἱερεὺς καὶ νομοδιδάσκαλος. Παραλαμβάνονται τοίνυν εἰς μαρτυρίαν τὴν ἐπὶ Χριστῷ, ἥ τε διὰ νόμου καὶ προφητῶν ἁγίων μυσταγωγία καὶ σύνεσις, ἤγουν προαγόρευσις. Τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός. Τοιοῦτόν τι δεδεῖχθαί φαμεν τοῖς ἁγίοις ἀποστόλοις ἐν καιρῷ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως τοῦ Χριστοῦ. Γέγραπται γὰρ, ὅτι « Μεθ' ἡμέρας ἓξ παρέλαβεν ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ τὸν Ἰάκωβον, καὶ τὸν Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ τὰ ἱμάτια αὐτοῦ λευκὰ ὡς τὸ φῶς. Καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας συλλαλοῦντες μετ' αὐτοῦ. » Ἄθρει δὴ οὖν ὅπως Μωσῆς καὶ Ἠλίας, τοῦτ' ἔστιν, ἱερωσύνη καὶ νόμος (ἀμφότερα γὰρ ὁ Μωσῆς), καὶ μὴν καὶ Ἠλίας εἰς πρόσωπον τῶν ἁγίων προφητῶν παραληφθεὶς, προσελάλουν ἀλλήλοις, περὶ τῆς ἐξόδου, φησὶν, ἧς ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ποία δὲ ἔξοδος; Τῆς οἰκονομίας δηλονότι τὸ πέρας, ὁ σταυρὸς, ὁ θάνατος, καὶ ἐκ νεκρῶν ἀναβίωσις, ἡ εἰς οὐρανοὺς ἀνάληψις. Ταῦτα γὰρ πάντα προανετύπου μὲν διὰ σκιᾶς ὁ νόμος, προηγόρευσε δὲ καὶ ὁ λαμπρὸς καὶ μέγας τῶν ἁγίων προφητῶν ὁ χορός.

[45] Psal. XLIV, 2. [46] Joan. I, 14. [46*] Matth. XVII, 1, 3.

Καὶ προσῆλθε πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν ἄρσεν. A

Ὅτι μὴ ἐξ αἵματος καὶ σαρκὸς, μήτε μὴν ἐκ θελήματος ἀνδρὸς, ἡ κατὰ σάρκα Χριστοῦ πέπρακται γέννησις, καινοπρεπὴς δέ τις ἦν καὶ ἀήθης, καὶ τῶν τῆς ἀνθρωπίνης φύσεως ἐπέκεινα νόμων, ἀπεκάλυψε τῷ προφήτῃ Θεός. Αὐτὸς γάρ φησιν ὁ λέγων· « Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου. » Προσῆλθε πρὸς τὴν προφῆτιν. Ἄθρει δὴ οὖν, ὅπως ἀνθρώπου γραφίδι τὸ Χριστοῦ μυστήριον καὶ λόγοις γράφεται τοῖς καθ' ἡμᾶς. Τὸ γάρ τοι, προσῆλθεν, ἔθος τῇ θείᾳ λέγειν Γραφῇ, ἀντὶ τοῦ, συνῆλθεν, ἤγουν, κεκοινώνηκε γαμικῶς. Ὁρᾷ τοιγαροῦν ὁ προφήτης καὶ συνόδου σχῆμα γεγονὸς πρὸς τὴν ἁγίαν Παρθένον, ἣν εἶναί φησι καὶ προφῆτιν, πρᾶγμα διδάσκων ἀληθές· εἶτα καὶ σύλληψιν γεγενῆσθαί φησιν, τεχθῆναι δὲ καὶ υἱόν. B Ὀξεῖα δὲ σφόδρα τῆς ὁράσεως ἡ ἀπόδοσις, πάντα τῷ προφήτῃ παρατιθεῖσα πρὸς γνῶσιν. Ὅτι γὰρ ἐξ ἁγίου Πνεύματος τὸ πανάγιον ἐκεῖνο διεπήγνυτο σῶμα τὸ ἑνωθὲν τῷ Λόγῳ, πῶς ἂν ἐνδοιάσειέ τις; Οὐκοῦν ἡ τοῦ Πνεύματος ἐνέργεια, δι' ἧς τὸ ἐν τῇ ἁγίᾳ Παρθένῳ διεπλάττετο σῶμα, τῷ τῆς συνόδου σχήματι πλαγίως κατεσημαίνετο. Ἀπαρχὴ γὰρ γέγονε καὶ κατὰ τοῦτο Χριστὸς τῶν ἡγιασμένων ἐν πνεύματι, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Γεννητὸς οὖν Πνεύματος κατά γε τὴν σάρκα καὶ πρὸ τῶν ἄλλων αὐτὸς, ἵνα καὶ ἡμεῖς δι' αὐτὸν ἐν τούτοις. Ἐπισημήνασθαι δὲ ἀναγκαῖον, ὅτι τὸν Οὐρίαν καὶ τὸν Ζαχαρίαν μάρτυ- C ρας αὐτῷ γενέσθαι προστέταχεν, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. Προσετίθει δὲ, ὅτι « Πάρεστι γάρ. » Μεμαρτύρηκε γὰρ ὁ νόμος, καὶ μὴν ἡ τῶν ἁγίων προφητῶν προανάῤῥησις, ὅτι γεννηθεὶς ὁ Χριστὸς σκυλεύσει τὸν Σατανᾶν, καὶ διαρπάσει τὰ σκεύη αὐτοῦ, καθά φησιν αὐτὸς, τοῦτ' ἔστιν, ἰδίους ποιήσεται τοὺς ἐκείνου προσκυνητάς ποτε. Τοῦτο γὰρ καὶ αὐτὸς ἔφασκεν ὁ Χριστὸς, ὡς ἐν τρόπῳ παραδείγματος λέγων· « Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τότε διαρπάσει τὰ σκεύη αὐτοῦ; » Λέγων δὲ, ὅτι « Πάρεστι γάρ, » οὐκ εἰς μακρὰν ἔσεσθαι τὴν ἀνάδειξιν τοῦ Ἐμμανουὴλ κατεπηγγέλλετο. Τοῦτό τοι καὶ πρὸς τὸν μακάριον Ἀμβακοὺμ εὑρίσκεται λέγων· « Ἔτι μικρὸν, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. »

Καὶ εἶπε Κύριός μοι· Κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον, Ὀξέως προνόμευσον. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας, κατέναντι βασιλέως Ἀσσυρίων. D

Εἰπὼν ἀνωτέρω τὸ, « Ἰδοὺ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ

VERS. 3. *Et accessit ad prophetissam : et in utero concepit, et peperit filium.*

Quod non ex sanguine et carne, neque ex voluntate viri, Christi nativitas secundum carnem peracta fuerit, sed et insolita, et ultra leges humanæ naturæ exstiterit, Deus prophetæ revelavit. Etenim ipse, inquit, qui dicit : « Cape tibi librum novum magnum, » accessit ad prophetissam. Considera vero quo pacto hominis penicillo Christi mysterium nostrisque verbis scribatur. Illud autem, Accessit, pro Coiit, vel conjugali ritu communicavit, ex more suo dicit divina Scriptura. Videt ergo propheta etiam congressus formam cum sancta Virgine, quam prophetissam quoque dicit, rem veram docens : dein et conceptionem factam ait, filiumque editum. Namque a sancto Spiritu sanctissimum illud corpus, Verbo unitum, fuisse formatum (1), cui dubium esse poterit? Quocirca Spiritus virtus ac vis, per quam illud corpus in sancta Virgine formatum est, hoc congressus habitu ac figura oblique significatur. Primitiæ siquidem factus est hinc Christus eorum qui sanctificati sunt in spiritu, qui non ex sanguinibus, neque ex voluntate carnis, nec ex voluntate viri, sed ex Deo geniti sunt. Natus ergo est ex sancto Spiritu juxta carnem et ipse ante alios, ut et nos quoque per illum nasceremur. Hic etiam notandum, quod **134** Uriam et Zachariam testes adhiberi jusserit, ut cito diripiat spolia. Apposuit etiam : Adest enim. Attestatur etenim lex, et porro sanctorum prophetarum prædictio, Christum natum Satanam spoliaturum, et vasa ejus direpturum, ut ipsemet, inquit, hoc est, qui hujus aliquando adoratores essent, suos facturum. Hoc enim et ipse Christus dixit, exempli causa, inquiens : « Quomodo potest quispiam ingredi in domum fortis, et vasa illius diripere, nisi primum vinciat fortem, et tum diripiat vasa illius [47]? » Cum autem ait : Adest enim, non longe abfore manifestationem Emmanuelis annuntiavit. Quin et beatus Habacum dixisse reperitur : « Adhuc parumper, qui accedit veniet, et non tardabit [48]. »

VERS. 4. *Et dixit mihi Dominus : Voca nomen ejus, Velociter spoliato, Cito prædator. Eapropter antequam sciat puer vocare patrem vel matrem, auferet potentiam Damasci, et spolia Samariæ, coram rege Assyriorum.*

Cum superius dixisset : « Ecce virgo in utero habebit, et pariet filium, et vocabunt nomen ejus,

[47] Matth. XII, 29. [48] Habac. II, 3.

(1) Sic corrigendum monet Ang. Mai (*Bibl. Nov.*, III, 443). Legebatur antea : « Illud enim sanctissimum corpus ex Spiritu sancto e supernis verbo formatum esse, » etc. Aubertus nimirum ἄνωθεν pro ἑνωθέν sibi nescio qua mentis aberratione confinxerat et sensum reddiderat falsum atque Eutychianum

Emmanuel; » nunc jubet vocari nomen ejus, Velociter spoliato, Cito prædator. An vero, illud primum nomen inane est et irritum, nimirum Emmanuel? et hoc maxime decebit Velociter spoliato, Cito prædator? Nequaquam istuc dicimus, sed illud dicimus potius. Mos est Scripturæ divinitus aspiratæ, diversis nominibus universitatis Deum appellare : et a rebus pro temporum ratione gestis aliquando nomenclaturas ante invenire. Hoc etiam in ipso Christo observatum est. Deus enim verus est. Et quoniam Deus natura exsistens, factus est nobiscum, sermo qui apparuit nostra specie, denotari Emmanuelis nomine sapientissime possit. Dein factus homo cum despoliasset Satanam, et olim abreptos, eique per peccatum servientes, ab illius tyrannide eripuisset, exseruit et declaravit illud : Velociter spoliato, Cito prædator. Quod etiam, ut Deus, redemptionem humanam inexplicabili virtute perfecturus sit, præmonstravit, dicens : « Priusquam noverit puer patrem vel matrem, auferet potentiam Damasci, et spolia Samariæ coram rege Assyriorum. » Altissimus est horum verborum sensus, **135** et enarratio spiritalis. Obducta est enim obscuritatibus fere semper divina oratio, nec ex historia rebusque sub sensum cadentibus invenerimus, Christum statim natum, vel exspoliasse Damascum, vel regionem regis Assyriorum, liberatis his qui e Samaria in ejus regionem deportabantur. Cum autem spiritaliter rem acceperimus, tum hoc verissimum esse videbimus. Erat igitur Damascus, sive Syria universa, et Assyriorum regio, scilicet Persarum et Medorum, idolis plena, idcirco terra sculptilium, vocitata est, in qua scilicet erant altaria et fana ubivis locorum, et qui frequentare fana soliti sunt, falsorum, inquam, vatum genera, et incantationum periti. Robur autem et firmamentum eorum omne erant dæmonia, quæ singuli colebant, et princeps ac præfectus eorum Satanas. Quod igitur Damasci potentiam, regisque Assyriorum, id est, Satanam, et improbas ac profanas dæmoniorum turmas modo non deprædaturus sit Christus, atque ejus servitio liberaturus eos qui seducti erant, etiam antequam ad eam ætatem pertigerit, quam æquum est, scire posse patrem ac matrem vocare, declaravit cum ait : « Priusquam sciat puer vocare patrem vel matrem, potentiam Damasci auferet. » Auferet, pro, depopulabitur. Auferet item et spolia Samariæ, id est, captivos eripiet, pro illis depugnans. Coram rege Assyriorum, scilicet intelligibili, videlicet Satana. Is enim erat Damasci et Syriæ potentia. Idolorum autem cultores omnem in seipsis salutis spem habere, et Christum, quam primum natus est, et spoliasse Satanam facile est videre. Scribit enim Matthæus : « Cum vero Jesus natus esset in Bethleem Judææ diebus Herodis, ecce Magi ab Oriente venerunt Hierosolyma dicentes : Ubi est qui natus est rex Judæorum? Vidimus enim ipsius stellam in Oriente, et venimus ut adoremus eum [69]. » Adorarunt ergo, et adduxerunt

[69] Matth. II, 1.

A Ἐμμανουήλ· » προστέταχε νῦν καλεῖσθαι τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον, Ὀξέως προνόμευσον. Ἆρ' οὖν εἰκαῖον ὄνομα αὐτῷ τὸ πρῶτον, τοῦτ' ἔστιν, Ἐμμανουήλ; πρέποι δ' ἂν ὅτι μάλιστά γε τὸ, Ταχέως σκύλευσον, Ὀξέως προνόμευσον; Οὐ τοῦτό φαμεν, ἐκεῖνο δὲ μᾶλλον. Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ διαφόροις ὀνόμασι τὸν τῶν ὄντων Θεὸν ἀποκαλεῖν, καὶ ὡς ἀπό γε τῶν κατὰ καιροὺς δρωμένων ἔσθ' ὅτε προεπινοεῖν τὰς κλήσεις. Τοῦτο τετήρηται καὶ ἐπ' αὐτοῦ τοῦ Χριστοῦ. Θεὸς γάρ ἐστιν ἀληθινός. καὶ ὅτι μὲν Θεὸς ὢν φύσει, γέγονε μεθ' ἡμῶν ὁ Λόγος, ὅτ' ἐπέφηνε καθ' ἡμᾶς, κατασημαίνει μὲν ἂν καὶ μάλα σαφῶς τὸ, Ἐμμανουήλ. Ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, ἐσκύλευσε τὸν Σατανᾶν, καὶ μὴν καὶ ἐξείλετο τῆς ἐκείνου σκαιότητος τοὺς πάλαι διηρπα- B σμένους, καὶ δουλεύοντας αὐτῷ διὰ τῆς ἁμαρτίας, ἐκδείξειεν ἂν τὸ, Ταχέως σκύλευσον, Ὀξέως προνόμευσον. Ὅτι δὲ ὡς Θεὸς ἀφράστῳ δυνάμει κατορθοῦν ἔμελλε τῶν ἐπὶ γῆς τὴν λύτρωσιν προαναφαίνει λέγων· « Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ σκύλα Σαμαρείας, κατέναντι βασιλέως Ἀσσυρίων. » Βαθὺς δὲ σφόδρα τῶν προκειμένων ὁ νοῦς, καὶ πνευματικὸν τὸ διήγημα. Κέκρυπται γὰρ ἀσαφείαις ἀεί πως ὁ θεῖος λόγος· οὐχ εὑρήσομεν γὰρ ὡς ἐν ἱστορίᾳ τε καὶ ἐν αἰσθητοῖς πράγμασιν, ὅτι γεννηθεὶς εὐθὺς ὁ Χριστὸς, ἢ τὴν Δαμασκὸν ἐσκύλευσεν, ἢ τὴν χώραν τοῦ βασιλέως τῶν Ἀσσυρίων, λυτρούμενος τοὺς ἐκ τῆς Σαμαρείας εἰς τὴν ἐκείνου χώραν ἀπ- C ενηνεγμένους. Ὅταν δὲ νοητῶς ἐκλάβωμεν, τότε δὴ πάντως τὸ ἀληθὲς ὀψόμεθα. Οὐκοῦν ἥ τε Δαμασκὸς, ἤγουν Συρία πᾶσα, καὶ μὴν ἡ τῶν Ἀσσυρίων χώρα, τοῦτ' ἔστιν, ἡ Περσῶν τε καὶ Μήδων μεμέστωτο μὲν εἰδώλων· καὶ διὰ τοῦτο κέκληται γῆ τῶν γλυπτῶν· ἦσαν γὰρ βωμοὶ καὶ τεμένη πανταχοῦ, καὶ οἱ τοῖς τεμένεσιν ἐμφιλοχωρεῖν εἰωθότες, φημὶ δὴ τὰ τῶν ψευδομάντεων γένη, καὶ οἷς ἡ τέχνη πρὸς γοητείαν. Πᾶσα δὲ τούτων ἡ δύναμις ἦν, τὰ παρ' ἑκάστοις θρησκευόμενα δαιμόνια, καὶ ὁ τούτων ἡγούμενος Σατανᾶς. Ὅτε τοίνυν ἔμελλε τήν τε Δαμασκοῦ δύναμιν, καὶ μὴν καὶ τὴν τοῦ βασιλέως τῶν Ἀσσυρίων, τοῦτ' ἔστι τὸν Σατανᾶν καὶ τὰ πονηρὰ καὶ βέβηλα τῶν δαιμονίων στίφη, μονονουχὶ καταληΐσασθαι Χριστὸς, ἀπαλλάξαι τε τῆς ὑπ' αὐτῷ δουλείας D τοὺς ἠπατημένους, καὶ πρὶν ἡλικίας σωματικῆς εἰς τοῦτο ἐλθεῖν, ἥπερ ἂν πρέποι τὸ εἰδέναι δύνασθαι καλεῖν πατέρα ἢ μητέρα, διεσάφησεν εἰπών· « Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται τὴν δύναμιν Δαμασκοῦ. » Τὸ δὲ, Λήψεται, ἀντὶ τοῦ, Χειρώσεται. Λήψεται δὲ ὁμοίως καὶ τὰ σκύλα Σαμαρείας. Τοῦτ' ἔστιν, ἀπαλλάξει τοὺς αἰχμαλώτους πολεμήσας ὑπὲρ αὐτῶν. Ἀπέναντι τοῦ βασιλέως Ἀσσυρίων. Τοῦ νοητοῦ δηλονότι, φημὶ δὴ τοῦ Σατανᾶ. Αὐτὸς γὰρ ἦν καὶ ἡ Δαμασκὸς, καὶ ἡ Συρίας δύναμις. Ὅτι καὶ οἱ τῶν εἰδώλων προσκυνηταὶ πᾶσαν ἔχουσιν ἐπ' αὐτοῖς τὴν τῆς σωτηρίας ἐλπίδα· Ὅτι δὲ ἐσκύλευσεν ὁ Χριστὸς τὸν Σατανᾶν, γεγεννημένος εὐθὺς, ἀταλαίπωρον ἰδεῖν. Γράφει γὰρ

ὁ Ματθαῖος· « Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντό τε εἰς Ἱεροσόλυμα, λέγοντες· Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; Εἴδομεν γὰρ τὸν ἀστέρα αὐτοῦ ἐν τῇ Ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. » Προσκεκυνήκασι γοῦν καὶ προσήγαγον χρυσίον, καὶ λίβανον καὶ σμύρναν. Ὁρᾷς ὅπως ἐσκύλευσε τὸν Σατανᾶν, καὶ προενόμευσεν ὀξέως; Ὅτι δὲ καὶ ὁ τῆς ἐπιδημίας σκοπὸς εἰς λύτρωσιν βλέπει τῶν ἐν αἰχμαλωσίᾳ τῇ νοητῇ γεγονότων, κατασημα[ί]νειεν ἂν καὶ αὐτὸς ὁ Χριστὸς, διὰ φωνῆς Ἡσαΐου λέγων· « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. » Ψάλλει δέ που καὶ ὁ μακάριος Δαβὶδ περὶ αὐτοῦ· « Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν. » Καὶ τοῦτο αὐτὸς ἐδίδαξεν εἰπών· « Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. »

A aurum et thus, et myrrham. Videsne quo pacto Satanam spoliet et deprædetur velociter? Deinde adventus sui scopum et finem fuisse redemptionem eorum qui in captivitate intelligibili sunt, designat et ipse Christus, voce **136** Isaiæ dicens: « Spiritus Domini super me eo quod unxit me, ad evangelizandum pauperibus misit me, ad prædicandum captivis remissionem, et cæcis visum [30]. » Psallit item et beatus David de ipso: « Ascendens in altitudinem, captivam duxit captivitatem [31]. » Idque docuit ipsemet, cum dicit: « Cum sublevatus in altum fuero de terra, omnes traham ad me ipsum [32]. »

Καὶ προσέθετο Κύριος λαλῆσαί μοι ἔτι· Διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν Ῥαασσὼν, καὶ τὸν υἱὸν τοῦ Ῥομελλίου βασιλέα ἐφ' ὑμῶν, διὰ τοῦτο ἰδοὺ ἀνάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ πολὺ, τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ τὴν δόξαν αὐτοῦ. Καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι. Καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὰ πλάτη τῆς χώρας σου.

B Vers. 5-8. *Et perrexit Dominus loqui mihi: Quoniam non vult populus iste aquam Siloam, fluentem placide, sed vult habere Raasson et filium Romeliæ regem super vos, propterea ecce reducit Dominus super vos aquam fluvii vehementem et abundantem, regem Assyriorum et gloriam ejus. Et ascendet in omnem vallem vestram, et supergredietur omnem murum vestrum, et auferet a Judæa hominem qui poterit caput levare, aut præstare aliquid. Et erunt castra ejus, ut impleant latitudinem regionis tuæ.*

Ὅτι παρά γε τὸ εἰωθὸς ἀνθρώποις, ξένη τε καὶ ἀξιάγαστος ἔσται τοῦ Ἐμμανουὴλ ἡ γέννησις, ἡ διὰ τῆς ἁγίας Παρθένου, καὶ ὅτι πλείστων τε ὅσων καὶ περιφανεστάτων ἀληθῶς θεοσημειῶν ἀποτελεσθήσεσθαι κατὰ καιροὺς εὖ μάλα διειρηκὼς, ἀποκαλύπτει τῷ προφήτῃ λοιπὸν, καὶ τὴν ἐσομένην κατ' αὐτοῦ τῶν Ἰουδαίων ἀπόνοιαν κατά γε τὸν τῆς ἐνανθρωπήσεως καιρόν. Ἀφίκετο γεμὴν εἰς τόνδε τὸν κόσμον ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, οὐχ ἐμφανῆ τε καὶ ὁρωμένην τὴν τῆς θεοπρεποῦς ὑπεροχῆς δόξαν ἔχων· οὔτε μὴν κατὰ τὸ εἰωθὸς αὐτῷ φῶς οἰκῶν ἀπρόσιτον· οὐδὲ ταῖς ἀγγελικαῖς δυνάμεσι δορυφορούμενος ἐναργῶς· ἀλλ' οὐδ' ἐν δόξῃ τυχὸν ἐπιγείου βασιλέως· μετρίως δὲ σφόδρα καὶ ὑφειμένως, καὶ πολὺ λίαν ἀψοφητί. Καὶ τοῦτο ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ διὰ φωνῆς ἁγίων καταμεμήνυκε λέγων· « Ἰδοὺ συνήσει ὁ Παῖς μου ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει· οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἐν ταῖς πλατείαις ἡ φωνὴ αὐτοῦ. Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει. » Καὶ τρόπος μὲν οὗτοσὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς. Ἰουδαῖοι γεμὴν οἱ τάλανες τὸ ἐπ' αὐτῷ μυστήριον, ἢ οὐ συνέντες ὅλως ἤγουν ἀνοσίως διωθούμενοι, κατεπεφύοντο δεινῶς, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι λέγοντες· « Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν. » Διατετελέκασι δὲ καὶ μέχρι παντὸς σκληροὶ καὶ ἐξήνιοι,

Emmanuelis nativitatem, præter communem consuetudinem novam hominibus peregrinam et admi-C rabilem, ex sancta Virgine, plurimorumque ac insignissimorum vere divinorum signorum effectricem, suo tempore pulchre admodum exposuit: deinceps prophetæ aperit, futuram contra illum inhumanationis tempore Judæorum insaniam. Venit in mundum unigenitum Dei Verbum, in similitudine carnis peccati, non illustrem et spectabilem divinæ præstantiæ gloriam habens, nec more suo solito, lucem habitans inaccessam, neque angelico exercitu splendide stipatum; imo nec in gloria mortalis regis, sed modeste admodum, et submisse, et sine ullo strepitu. Idque nobis Deus et Pater, voce sanctorum designat dicens: « Ecce intelliget Filius meus dilectus, in quo conquievi, judicium gentibus D inferet, non contendet, neque clamabit, nec audietur in plateis vox ejus, calamum contritum non confringet, et linum incensum non restinguet [33]. » Et hic quidem modus fuit dispensationis Unigeniti in carne. Judæi autem miseri, hoc de illo mysterium non intelligentes omnino, aut certe impie opprimentes, graviter contra exstimulabantur, eique mortem moliebantur, dicentes: **137** « Ob bonum opus non lapidamus te, sed ob blasphemiam, quod tu homo cum sis, facis teipsum Deum [34]. » Perseverarunt etiam per omnia præfracti et effrenes, et hoc præterea ad impietatem accedit. Adduxerunt enim Pilato, dicentes: « Tolle,

[30] Isa. LXI, 1. [31] Psal. LXVII, 19. [32] Joan. XII, 32. [33] Isa. XLII, 1-3. [34] Joan. X, 33.

tolle, crucifige eum. » Ille autem cum ad hæc prope irridens diceret : Regem vestrum crucifigam ? Exclamarunt dicentes : « Non habemus regem nisi Cæsarem [55]. » Vide itaque quo pacto ejus regno parere recusarint, et Cæsarem ac homines reges crearint. Itaque hoc ænigmatice Deus perspicuum ac testatum prophetæ facit. Cum vero, ut arbitror, explicationem sermonis hujus rebus tum gestis accommodatam afferre consentaneum sit : dicimus aquæ Siloam eum regnum divinum conferre, quod ubi contempsissent Judæi, alteri subdebantur, et tradebantur hostibus. Hinc ait : « Quoniam non vult populus iste aquam Siloam fluentem placide, sed habere mavult Raaseon, et filium Romeliæ regem inter vos, propterea ecce reducit Dominus in vos aquam fluvii vehementem et abundantem, regem Assyriorum. » Aquam Siloam adeo placide fluere dicunt, ut quiete sine omni sonitu præterlabatur. Vertitur autem Siloam missus. Itaque, ut jam dixi, sumitur ut sit imago et repræsentatio nostri Servatoris adventus, qui absque omni murmure exstitit, ut modo dixi. Missus autem vere Christus; quamobrem Apostolum et Pontificem confessionis nostræ sapiens Paulus nominat [56]; » accipit item pro imagine et typo regni Dei Siloam. Proinde quandoquidem populus iste obduratus et effrenatus, aquam Siloam leniter fluentem respuit, excutit enim Dei jugum, magisque cupit hominum regno subesse, et ut homines habendi cupiditate inflammati : Raasson, inquit, et Phasee sibi dominentur : hanc ob causam, in eos aquam fluvii, id est, Euphratis immittam. At cum oratio involutior sit, adjunxit porro statim, et inquit : regem Assyrium et gloriam ejus, id est, omnes subditos ejus, et omnem gentem cervicem eis substernentem. Aquæ vero comparat multitudinem, idque ex more divinitus aspiratæ Scripturæ. **138** Siquidem de Ninive et multitudine ejus innumerabili, dicit voce prophetarum : « Et Ninive velut piscina aquarum, aquæ ejus [57]. » Immoratur autem in translatione, et tanquam de unda et fluvio dicit : « Et ascendet in omnem vallem vestram, et perambulabit omnem murum vestrum, et auferet a Judæa hominem qui caput levare poterit, aut efficere aliquid. Et erunt castra ejus, ut latitudines regionis tuæ repleant. » Perducta sunt ad exitum omnia hæc, prophetante Jeremia, Nabuchodonosoro regioni Judæorum bellum inferente, et Jerusalem percelebrem delente, templo incenso, Judæorumque clarissimis viris interfectis, simulque cum vasis sacris, universa multitudine, quæ quidem residua e bello evaserat, in ejus fines adducta. Perspicuum igitur est, qui aquam Siloam leniter fluentem, id est, Christum sive regnum Dei habere volunt, his omnino Assyriorum regem, hoc est, Satanam insultaturum, et captivos suos jugo suppositurum, et multiplicibus peccatorum laqueis constrictos, servos effecturum.

A καὶ τὸ ἔτι τούτων ἐπέκεινα πρὸς τὸ δυσσεβές. Προσῆγον μὲν γὰρ τῷ Πιλάτῳ λέγοντες· « Αἶρε, αἶρε, σταύρωσον αὐτόν. » Ἐκείνου δὲ πρὸς ταῦτα μονονουχὶ καταμειδιῶντός τε καὶ λέγοντος· Τὸν βασιλέα ὑμῶν σταυρώσω; κατεκεκράγεσαν λέγοντες· « Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. » Ἄθρει δὴ ὅπως ἠρνήσαντο μὲν τὸ ὑπ' αὐτοῦ βασιλεύεσθαι, Καίσαρα δὲ καὶ ἀνθρώπους ἐπεγράφοντο βασιλέας. Αἰνιγματωδῶς τοιγαροῦν τῷ προφήτῃ Θεὸς αὐτὸ δὴ τοῦτο καθίστησιν ἐναργές. Ἐπειδὴ δὲ προσήκειν ὑπολαμβάνω, καὶ τὸ τοῖς τηνικάδε πράγμασι πρέπουσαν τοῦ λόγου ποιήσασθαι τὴν ἀπόδοσιν· φαμὲν ὅτι τῷ ὕδατι τοῦ Σιλωὰμ τὴν ὑπὸ Θεῷ παρεικάζει βασιλείαν, ἣν ἀτιμάσαντες Ἰουδαῖοι, γεγόνασιν ὑφ' ἑτέρῳ, καὶ δέδονται τοῖς ἐχθροῖς. Ταύτητοί φησι· « Διὰ τὸ μὴ βού-
B λεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ῥαασσὼν, καὶ τὸν υἱὸν τοῦ Ῥομελίου βασιλέα ἐφ' ὑμῶν, διὰ τοῦτο ἰδοὺ ἀνάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολὺ, τὸν βασιλέα τῶν Ἀσσυρίων. » Τὸ τοῦ Σιλωὰμ ὕδωρ ῥεῖν οὕτω φασὶν ἡσυχῇ, ὡς δίχα κτύπου προχεῖσθαι παντός. Ἑρμηνεύεται δὲ Σιλωάμ, ἀπεσταλμένος. Δέχεται τοίνυν εἰς εἰκόνα καὶ τύπον αὐτὸν τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας, τῆς ἀψοφητὶ γεγενημένης, καθάπερ ἔφην ἀρτίως. Ἀπεσταλμένος δὲ κατ' ἀλήθειαν ὁ Χριστός. Ἀπόστολον γοῦν καὶ Ἀρχιερέα αὐτὸν τῆς ὁμολογίας ἡμῶν καὶ ὁ σοφὸς ὀνομάζει Παῦλος. Δέχεται δὲ ὁμοίως καὶ ἁπαξαπλῶς τῆς ὑπὸ Θεῷ βασιλείας εἰς τύπον τὸν Σιλωάμ. Οὐκοῦν ἐπειδήπερ ὁ λαὸς
C οὗτος ὁ ἀκαμπὴς καὶ ἐξήνιος, οὐ βούλεται ἔχειν τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ· ἀποσείεται γὰρ τὸν ὑπὸ Θεῷ ζυγόν· ἐπιθυμεῖ δὲ μᾶλλον ὑπὸ τὴν ἀνθρώπων εἶναι βασιλείαν, καὶ κατισχῦσαι μᾶλλον αὐτοῦ τοὺς πλεονεκτεῖν ἐθέλοντας, τὸν Ῥαασσὼν, φημὶ, καὶ τὸν Φακεέ· ταύτης ἕνεκα τῆς αἰτίας ἐπ' αὐτοῖς ἀνήσω τὸ ὕδωρ τοῦ ποταμοῦ, τοῦτ' ἔστι, τοῦ Εὐφράτου. Ἐπειδὴ δὲ ἦν ἀσαφέστερός πως ὁ λόγος, προσεπάγει παραχρῆμα, καί φησι, Βασιλέα τῶν Ἀσσυρίων, καὶ τὴν δόξαν αὐτοῦ· τοῦτ' ἔστι, τοὺς ὑπ' αὐτῷ πάντας, καὶ ἅπαν ἔθνος τὸ ὑπεστρωκὸς αὐτῷ τὸν αὐχένα. Ὕδατι δὲ παρεικάζει τὰ πλήθη. Καὶ τοῦτο ἔθος τῇ θεοπνεύστῳ Γραφῇ. Καὶ γοῦν περὶ τῆς Νινευῆ, καὶ τῆς ἐν αὐτῇ ἀναριθμήτου πληθύος, φησὶ
D διὰ φωνῆς προφητῶν· « Καὶ Νινευῆ, ὡς κολυμβήθρα ὑδάτων τὰ ὕδατα αὐτῆς. » Ἐπιμένει δὲ τῇ τροπῇ καί φησιν· « Ὡς ἐφ' ὕδατός τε καὶ ποταμοῦ, καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι. Καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὰ πλάτη τῆς χώρας σου. » Ἤχθη δὲ εἰς πέρας ἅπαντα ταυτὶ, προφητεύοντος Ἱερεμίου, ὅτε τῆς Ἰουδαίων χώρας κατεστράτευσεν ὁ Ναβουχοδονόσορ· καὶ καθεῖλε μὲν τὴν περιβόητον Ἱερουσαλήμ· κατεμπρήσας δὲ καὶ τὸν ναὸν, καὶ τοὺς τῶν Ἰουδαίων ἐπισήμους ἀπεκτονὼς, ὁμοῦ τοῖς σκεύεσι τοῖς ἱεροῖς τὴν ἄλλην ἅπασαν καὶ ὑπολελειμ-

[55] Joan. xix, 15. [56] Hebr. iii, 1. [57] Nahum. ii, 8.

μένην ἐκ τοῦ πολέμου πληθὺν ἀπεκόμισεν εἰς τὴν ἑαυτοῦ. Πρόδηλον οὖν ὅτι τοῖς οὐκ ἐθέλουσιν ἔχειν τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, τοῦτ' ἔστι Χριστὸν, ἤτοι τὴν ὑπὸ Θεῷ βασιλείαν, ἐπιπηδήσει πάντως ὁ τῶν νοητῶν Ἀσσυρίων βασιλεὺς, τοῦτ' ἔστιν, ὁ Σατανᾶς, καὶ αἰχμαλώτους ἑλὼν, τοῖς ἰδίοις ὑποθήσει ζυγοῖς, καὶ ποιήσει δούλους, ταῖς ἐκ πολυτρόπων ἁμαρτιῶν κατασφίγγων σειραῖς.

Μεθ' ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη, καὶ ἡττᾶσθε· ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς· ἰσχυκότες ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε. Καὶ ἣν ἂν βουλεύσησθε βουλὴν, διασκεδάσει Κύριος· καὶ λόγον ὃν ἂν λαλήσητε, οὐ μὴ ἐμμείνῃ· ὅτι μεθ' ἡμῶν Κύριος ὁ Θεός.

Ἀνασκιρτᾷ τῷ προφήτῃ πρὸς θυμηδίαν ὁ νοῦς, ἐπεγνωκότι σαφῶς τὸ Χριστοῦ μυστήριον. Εἶτα τῶν ἁγίων εὐαγγελιστῶν καὶ μέντοι καὶ ἀποστόλων τότε πρόσωπον ὁμοῦ καὶ τὸν λόγον ἀναλαβὼν, Ἕλλησί τε καὶ Ἰουδαίοις μονονουχὶ καὶ διαμαρτύρεται, ὅπλον τοῖς πεποιημένοις αὐτὸν, οὐδὲν ἔσται τὸ ἀντιστατοῦν. Τοῖς μὲν οὖν ἔθνεσι δύο ταῦτα κατορθῶσαι διακελεύεται, διαγνῶναί τε τὸ Χριστοῦ μυστήριον, καὶ μὴν ὅτι καὶ ἡττᾶσθαι χρὴ τοῖς διδάσκουσιν αὐτό. Γνῶτε B γάρ, φησὶ, καὶ τὸν ἐν αὐτῷ δέξασθε λόγον, καὶ ἡττήθητε, τοῦτ' ἔστι, παραχωρεῖτε, καὶ μὴ ἀνθίστασθε τοῖς ἁγίοις μυσταγωγοῖς· ὑπακούσατε δὲ μᾶλλον αὐτοῖς ἕως ἐσχάτου τῆς γῆς, τοῦτ' ἔστιν, οἱ κατὰ πᾶσάν τε πόλιν καὶ χώραν, καὶ μέχρι αὐτῶν τερμάτων τῆς ὑπ' οὐρανόν. Οἱ δὲ ἡττώμενοί τε καὶ παραχωρεῖν ἐθέλοντες τὸ νικᾷν τοῖς τῆς ἀληθείας διδασκάλοις, εἰσδέξονται μὲν εὐκόλως τὸν παρ' αὐτῷ λόγον, πεπιστευκότες δὲ εἰς Χριστὸν βαδιοῦνται κατ' εὐθὺ παντὸς ἀγαθοῦ, καὶ τὴν αὐτῷ φιλαιτάτην κατορθώσαντες ἀρετὴν, λαμπράν τε καὶ ἀξιοζήλωτον κατακληρονομήσουσι δόξαν. Καὶ ταυτὶ μὲν τοῖς Ἑλλήνων στίφεσιν, ὡς ἐκ προσώπου τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν ὁ προφήτης φησίν· Ὑμεῖς δὲ, ὦ Ἰουδαῖοι, ἰσχυκότες ἡττᾶσθε. Ὅσον μὲν γὰρ εἴς γε τὸν C ἐνόντα τοῖς Ἰουδαίοις σκοπὸν, κατίσχυσαν τοῦ Χριστοῦ, σταυρῷ παραδόντες οἱ δείλαιοι. Πλὴν ἐβουλεύσαντο βουλὴν, ἣν οὐ μὴ δύνωνται στῆσαι, κατὰ τὸ γεγραμμένον. Οὐ γὰρ ἦν δύνασθαι θανάτῳ περιβαλεῖν τὸν ἀρχηγὸν τῆς ζωῆς. Οὐκοῦν εἰ καὶ νενομίκατε, φησὶν, ἰσχῦσαι Κυριοκτονήσαντες, ἀλλ' οὖν ἡττήθητε λοιπὸν, καὶ δότε τὸ εὐπειθὲς παραδεξάμενοι τὴν πίστιν, ἤγουν ἐκεῖνο γινώσκετε, κἂν ὅτι πάλιν ἰσχύσητε μὴ ἀνεχόμενοι τῆς διδασκαλίας, ἀλλ' ἐπιτιμῶντες ἀγρίως τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσι, πάλιν ἡττηθήσεσθε κολάζοντι λοιπὸν τῷ Κριτῇ, καὶ τὰς τῆς οὕτω μακρᾶς ἀπονοίας αἰτοῦντι δίκας. Ὃ δὴ καὶ πέπρακται. Μετὰ γάρ τοι τὸ ἀναβιῶναι Χριστὸν, καὶ D ἀνελθεῖν εἰς οὐρανὸν, καὶ αὐτοῖς ἐπεβούλευον τοῖς ἁγίοις ἀποστόλοις· καὶ δὴ καὶ εἰσφέροντες ἐν τοῖς συνεδρίοις ἔτυπτον ἐγκαλοῦντες καὶ λέγοντες· Παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν τινι ἐπὶ τῷ ὀνόματι τούτῳ, καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν. Οὐκοῦν ἔδοξαν μὲν καὶ κατὰ τοῦτο ἰσχύειν, πλὴν ἀνόνητα πάντα αὐτοῖς, καὶ βουλὴ, καὶ σκέψις, καὶ λόγος· ἐνίκων γὰρ οἱ θεσπέσιοι μαθηταὶ λέγοντες, διότι Μεθ' ἡμῶν Κύριος ὁ Θεός. Οἱ δὲ πικρὰς ἐκτίνουσι δίκας, ταῖς Ῥωμαίων στρατιαῖς καὶ οὐχ ἑκόντες ἡττώμενοι.

A VERS. 9-10. *Nobiscum Deus, scitote gentes, et vincimini : exaudite usque ad extremum terræ ; qui prævaluistis, vincimini. Si enim rursus prævalueritis, etiam iterum vincemini. Et quodcunque consilium iniveritis, dissipabit Dominus, et sermo quem loquemini minime stabit, quia nobiscum Dominus Deus.*

Exsilit præ gaudio animus prophetæ, utpote qui plane Christi mysterium agnovit. Deinde sanctorum evangelistarum et apostolorum tum persona, tum oratione assumpta, Græcis et Judæis tantum non contestatur, quod si illum arma fecerint, nihil futurum sit quod resistat. Gentibus igitur præcipit, ut duo hæc recte ac diligenter faciant, ut cognoscant Christi mysterium, et ut ab his qui illud docent vinci se patiantur. Scitote enim, inquit, et ejus sermonem capite, et vincimini, id est, cedite et sanctis mystagogis nolite resistere, sed illis potius obsecundate, et exaudite, usque ad extremum terræ, id est, qui in quavis civitate et regione estis, et usque ad ipsos fines orbis terrarum. **139** Quippe victi qui sunt, quique victoriam magistris veritatis concedere volunt, facile eorum orationi accedent, et credentes in Christum, recta in omni probitatis genere progredientur, gratissimamque ei virtutem excolentes, splendidam, et admiratione æmulationeque dignissimam gloriam consequentur. Et hæc quidem Græcorum cohorti tanquam ex persona sanctorum apostolorum ac evangelistarum propheta dicit : Vos autem, o Judæi, qui prævaluistis, vincimini. Nam quod ad Judæorum quidem institutum attinet, prævaluerunt Christo cum miseri cruci eum traderent : verum inierunt consilium, quod non potuerant stabilire, juxta id quod scriptum est. Nec enim fieri potuit, ut morte oppressum tenerent vitæ principem. Itaque etsi putavistis potiores tulisse cum Dominum trucidavistis, tamen deinceps vincimini, præstate obedientiam, fidem amplectimini, ac illud scitote, quod etsi posthac prævalueritis, tamen si mystagogiam ferre non velitis, sed his qui Evangelium annuntiant, crudeliter insultetis, de integro vincemini a Judice qui tandem punit, et tantæ tamque diuturnæ insaniæ pœnas expetit. Quod et factum est. Postquam enim revixerat Christus, et redierat in cœlum, et ipsis quoque sanctis apostolis collocarunt insidias, et tractos in concilia verberarunt, crimina intentantes, ac dicentes : Annon mandato mandavimus vobis ne cuiquam loquamini in nomine isto ? et ecce replevistis Jerusalem doctrina vestra. Itaque in hoc visi sunt prævalere : cæterum et consilium et prudentia et verba, omnia illis parum profuerunt. Vicerunt enim divini discipuli dicentes : Nobiscum Dominus Deus est. At isti acerbas pœnas dederunt, Romanis copiis etiam nolentes subacti.

VERS. 11, 12. *Sic dicit Dominus : Forti manui immorigeri sunt, itineri viæ populi hujus, dicentes : Nequando dicant, Durum. Quidquid enim dicit populus hic, durum est.*

Dixi beatum prophetam sanctorum apostolorum et evangelistarum personam sibi imposuisse, et movisse gentes ac Judæos ut Christo subjiciantur, utque audiant ipsum etiam hi qui in remotissimis terræ finibus habitant. Deinde Deus tantum non demirans Israelis perversitatem et insignem inscitiam, ait : **140** Forti manui immorigeri sunt. Est enim præpotens et infracta, et omnipotens dextera Dei et Patris Filius, per quem omnia, et in quo omnia, qui abolevit omnia, contrivit Satanam, spoliavit inferos, et corruptioni subjectos incorruptione donavit, atque omnia sicuti ab initio fuerant renovavit. Sic qui in Christo servati sunt, voce psallentis dicunt : « Dextera Domini evexit me, dextera Domini præstitit virtutem.[58] » Dictum etiam est in canticis : « Dextera Domini nobilitata est fortitudine, dextera tua, Domine, fregit inimicos[59]. » Itaque eo impietatis et insaniæ venerunt, ut forti manui facile conservanti immorigeri esse voluerint, idque pro nihilo duxerint. Immorigeri sunt etiam, inquit, viæ populi hujus, cujus personam assumens, modo dixerat : Nobiscum Deus. Quæ tandem via est populi hujus? Eorum qui Emmanuelem habent, fides evangelica, vitæ institutio et conversatio, legali et umbratili rejecta. Et immorigeri sunt viæ populi hujus, dicentes, Ne quando dicatis, Durum. Omne enim quod dixerit populus hic, durum est. Siquidem durus videbatur Judæis esse sanctorum apostolorum sermo : quia circumcisa velut et ablegata peropportune umbra, non secundum Mosis legem vivere eos passi sunt, sed evangelice et spiritualiter.

VERS. 14. *At timorem eorum ne timueritis, nec turbemini, Dominum ipsum gloriæ sancte colite, et erit ipse timor tuus. Et si ipsi confisus fueris, erit tibi sanctificationi, et non ut lapidi offensionis occurretis ei, nec ut petræ ruinæ.*

Cum perstrinxerit ante Hierosolymitanos ut immorigeros viæ populi, Christiani nimirum, et mysticis sanctorum apostolorum institutionibus : orationem consolationis plenam ad eos convertit, et invictum animum illis addit, non debere inquiens timere eos, qui illis immorigeri sunt, nec omnino propter eorum ferociam tumultuari : sed Deo potius confisos, hostibus juvenili alacritate insultare : pro certo habentes eum arma ipsis fore et arcem fortitudinis : seque facile superaturos eos qui restiterint. Hinc ait : Timorem eorum ne timueritis, neque turbemini. Sin velit quispiam hæc subtilius scrutari, **141** et alio modo hoc licebit interpretari: sic autem res se habet. Judæi enim non parum

[58] Psal. CXVII, 16. [59] Exod. XV, 6.

A *Οὕτω λέγει Κύριος· Τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι, τῇ πορείᾳ τῆς ὁδοῦ τοῦ λαοῦ τούτου λέγοντες· Μήποτε εἴπωσι, Σκληρόν. Πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος, σκληρόν ἐστιν.*

Ἔφην ὅτι τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν τὸ πρόσωπον ἑαυτῷ περιτιθεὶς ὁ μακάριος προφήτης, ἔθνεσίν τε καὶ Ἰουδαίοις ἡττᾶσθαι Χριστῷ συνεβούλευσεν, ὑπακοῦσαί τε αὐτῷ καὶ τοὺς μέχρις ἐσχάτων τῆς γῆς. Εἶτα Θεὸς πρὸς αὐτὸν μονονουχὶ καὶ καταθαυμάζων τὴν τοῦ Ἰσραὴλ σκαιότητα καὶ τὸ λίαν ἀμαθὲς, Τῇ ἰσχυρᾷ χειρὶ, φησὶν, ἀπειθοῦσιν. « Παναλκὴς γὰρ, » καὶ ἄθραυστος, καὶ πάντα ἰσχύουσα δεξιὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα· ὁ καταργήσας θάνατον, καὶ συντρίψας τὸν Σατανᾶν, καὶ σκυλεύσας τὸν ᾅδην, καὶ ἀφθαρσίαν B δωρούμενος τοῖς ὑπὸ φθορὰν, καὶ ἀνακαινίζων τὰ πάντα πρὸς τὸ ἐν ἀρχαῖς. Οὕτω καὶ διὰ τῆς τοῦ ψάλλοντος φωνῆς οἱ ἐν Χριστῷ σεσωσμένοι φασίν· « Δεξιὰ Κυρίου ὕψωσέ με, δεξιὰ Κυρίου ἐποίησε δύναμιν. » Εἴρηται δὲ καὶ ἐν Ὠδαῖς· « Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς. » Οὐκοῦν ἀνοσιότητός τε ὁμοῦ καὶ μὴν καὶ φρενοβλαβείας εἰς τοῦτο διεληλάκασιν, ὡς τῇ ἰσχυρᾷ χειρὶ τῇ σωζούσῃ ῥᾳδίως ἀπειθεῖν ἑλέσθαι, καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὸ πρᾶγμα. Ἀπειθοῦσι δὲ ὁμοίως τῇ πορείᾳ τοῦ λαοῦ τούτου, φησίν· οὗ τὸ πρόσωπον ἀναλαβὼν ἔφασκεν εὐθύς· Μεθ' ἡμῶν ὁ Θεός. Ὁποία δέ τίς ἐστιν ἡ πορεία τοῦ λαοῦ; Τῶν ἐχόντων τὸν Ἐμμανουὴλ ἡ πίστις ἡ εἰς αὐτὸν, ἡ εὐαγγελικὴ πολιτεία, παρεωραμένης τῆς ἐν νόμῳ καὶ C ὡς ἐν σκιαῖς. Ἀπειθοῦσι δὲ τῇ πορείᾳ τοῦ λαοῦ τούτου λέγοντες· Μή ποτε εἴπητε, Σκληρόν. Πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος, σκληρόν ἐστι. Σκληρὸν γὰρ εἶναί πως τοῖς Ἰουδαίοις ἐδόκει τῶν ἁγίων ἀποστόλων ὁ λόγος, ὅτι περιστέλλοντες ὡς ἐν καιρῷ τῷ δέοντι τὴν σκιὰν, ζῆν οὐκ εἴων κατὰ τὸν Μωσέως νόμον, εὐαγγελικῶς δὲ μᾶλλον καὶ πνευματικῶς.

Τὸν δὲ φόβον αὐτῶν οὐ μὴ φοβηθῆτε, οὐδ' οὐ μὴ ταραχθῆτε, Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σοι φόβος. Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσετε αὐτῷ, οὐδ' ὡς πέτρας πτώματι.

Προαιτιασάμενος τοὺς ἐξ Ἰσραὴλ ὡς ἀπειθεῖν ἑλομένους τῇ πορείᾳ τοῦ λαοῦ, τοῦ ἐν Χριστῷ δῆλον ὅτι, D καὶ ταῖς τῶν ἁγίων ἀποστόλων μυσταγωγίαις, μεθίστησι πρὸς αὐτοὺς τὸν τῆς παρακλήσεως λόγον, καὶ ἄθραυστον αὐτοῖς ἐνεργάζεται νοῦν, μὴ δὴ χρῆναι λέγων δεδιέναι τοὺς ἀπειθοῦντας αὐτοῖς, μήτε μὴν ὅλως τὸν ἐκ τῆς ἐκείνων σκαιότητος εἰσδέχεσθαι θόρυβον· τεθαῤῥηκότας δὲ μᾶλλον ἐπὶ Θεῷ, καταneaνιεύεσθαι τῶν ἐχθρῶν· εὖ εἰδότας ὅτι καὶ ὅπλον αὐτοῖς ἔσται, καὶ πύργος ἰσχύος, καὶ κατακρατήσουσιν εὐκόλως τῶν ἀνθεστηκότων. Ταύτῃτοί φησιν· Τὸν δὲ φόβον αὐτῶν οὐ μὴ φοβηθῆτε, οὐδὲ ταραχθῆτε. Εἰ δὲ δή τις βούλοιτο ταῖς τῶν προκειμένων ἐννοίαις ἰσχνὸν ἐνιέναι τὸν νοῦν, καὶ καθ' ἕτερον αὐτὸ νοήσει

τρόπον. Ἔστι δὲ οὕτως. Ἰουδαῖοι μὲν γὰρ ἐδεδίεσαν οὐ μικρῶς μὴ ἄρα πως Θεῷ προσκρούσειαν, διωθούμενοι μὲν τῆς ἐν νόμῳ πολιτείας τὴν ὁδόν· προσιέμενοι δὲ τοῦ Σωτῆρος τὸν λόγον ἀφιστάντος τῶν τύπων, καὶ παρ' οὐδὲν ἡγεῖσθαι προστάττοντος τὴν σκιάν. Καὶ γοῦν ἔφασκον περὶ αὐτοῦ· « Εἰ οὖν οὗτος ὁ ἄνθρωπος παρὰ Θεοῦ, οὐκ ἂν ἔλυε τὸ Σάββατον. » Ὅτι τοίνυν εἰ καὶ ἦσαν ἐξ Ἰουδαίων οἱ θεσπέσιοι μαθηταὶ, παραιτεῖσθαι χρῆν αὐτοὺς τὸν τῶν ἀπειθούντων φόβον, δεδιότων, ὡς ἔφην, προσκροῦσαι τῷ νόμῳ, διά γε τοῦ ζῆν ἑλέσθαι μᾶλλον εὐαγγελικῶς, παρεγγυᾷ λέγων· Τὸν δὲ φόβον αὐτῶν οὐ μὴ φοβηθῆτε, οὐδ' οὐ μὴ ταραχθῆτε· ἁγιαζέσθω δὲ μᾶλλον, φησὶ, παρ' ὑμῶν ὁ τῆς δόξης Κύριος, τοῦτ' ἔστιν, ὁ Χριστὸς, καὶ τιμάσθω τῇ πίστει, καὶ φοβερὸς ἔστω παρ' ὑμῖν. Ἔσται γὰρ οὕτως ὑμῖν ἁγίασμα, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσετε αὐτῷ, οὐδὲ ὡς πέτρας πτώματι. Δύο τίθησιν ἐν αὐτῷ μεγάλα καὶ ἐξαίρετα. Πρῶτον μὲν γὰρ, ἁγιάσει, φησὶν, ὑμᾶς τοὺς πιστεύοντας, καὶ μετόχους ἀποφανεῖ τῆς θείας αὐτοῦ φύσεως διὰ τοῦ ἁγίου Πνεύματος· κερδανεῖτε δὲ πρὸς τούτῳ, τὸ μήτε ὡς λίθῳ, μήτε μὴν ὡς πέτρᾳ σκανδάλου περιπεσεῖν. Ὃ δὴ καὶ πεπόνθασιν οἱ τάλανες Ἰουδαῖοι διὰ πολλὴν ἄγαν ἀμαθίαν λέγοντες· Ἡμεῖς οἴδαμεν ὅτι Μωσῇ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. Οὐκοῦν ἐπειδήπερ οὔτε ἡγίασαν αὐτὸν, οὔτε μὴν ἤθελον ἐπ' αὐτῷ πεποιθέναι, μεμενήκασι μὲν ἁγιασμοῦ παντελῶς ἀμέτοχοι, προσπταίσαντες δὲ ὡς λίθῳ πεπτώκασι, καὶ ἐν παντὶ γεγόνασι κακῷ.

metuebant, ne quo modo Deum offenderent, si legalis instituti viam repudiarent, et Servatoris sermonem, qui a figuris avocat et umbram nihili facere præcipit, reciperent. Etenim de illo dicebant: «Si hic homo a Deo esset, neutiquam violaret Sabbatum [60].» Quoniam ergo ex Judæis cum essent divini discipuli, aversuri erant metum eorum qui non credebant, timentium in legem, ut dixi, impingere si evangelicam vitam legali præferrent, præcipit dicens: Timorem eorum ne timueritis, neque turbemini, sed potius sancte colatur a vobis gloriæ Dominus, id est Christus, et colatur fide, et apud vos sit terribilis. Erit enim ille vobis sanctificationi, nec ut lapidi offensionis occurretis ei, nec ut petræ ruinæ. Duo constituit in illo magna ac eximia. Primum etenim: Sanctificabit, inquit, vos qui creditis, et participes reddet vos divinæ suæ naturæ per sanctum Spiritum: atque hoc quoque lucri afferet, ut nec velut in lapidem, nec ut in petram offensionis incidatis. Quod miseris Judæis accidit propter singularem inscitiam, cum aiunt: «Nos scimus Mosi locutum esse Deum, hunc vero nescimus unde sit [61].» Proin cum eum nec sancte colerent, nec ei credere vellent, sanctificationis omnino expertes exstiterunt, et prolapsi tanquam ad lapidem impegerunt, omnibusque in malis versati sunt.

Ὁ δὲ οἶκος Ἰακὼβ ἐν παγίδι, καὶ ἐν κοιλάσματι ἐγκαθήμενοι ἐν Ἱερουσαλήμ· διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοὶ, καὶ πεσοῦνται καὶ συντριβήσονται, καὶ ἐγγιοῦσιν, καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφαλείᾳ ὄντες. Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν.

Ὁ σοφὸς ἔφη Παροιμιαστής· « Υἱὲ, μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλοὺς, ἀλλ' ἐν φόβῳ Κυρίου ἴσθι ὅλην τὴν ἡμέραν. » Πρέποι γὰρ ἂν τούς γε ἀληθῶς ἀρτίφρονας, μὴ τῆς τῶν φαύλων σκαιότητος, ἀλλὰ τῆς τῶν ἀγαθῶν ἐπιεικείας γενέσθαι μιμητάς. Οὐκοῦν ἐπειδήπερ τοῖς ἁγίοις συνεβούλευε μαθηταῖς, ἁγίασμα μὲν ποιεῖσθαι Χριστὸν, πεποιθέναι δὲ μᾶλλον ἐπ' αὐτῷ, καὶ τὰς τῶν διωκόντων ἀπονοίας ἡγεῖσθαι μηδὲν, προσεπήγαγεν ἀναγκαίως, ὅσα τε καὶ οἷα τοῖς ἀπειθεῖν ᾑρημένοις συμβήσεται βλάβη. Ὁ γὰρ οἶκος, φησὶ, τοῦ Ἰακὼβ, τοῦτ' ἔστιν, Ἰουδαῖοι, πλείστην τε ὅσην καὶ ἀκατάληκτον τὴν κατὰ Χριστοῦ νοσοῦντες ἀπόνοιαν, ἔσονται προσεοικότες τοῖς ἐν παγίδι γεγονόσιν, καὶ τεθηρευμένοις εἰς ὄλεθρον. Ἢ καὶ τοῖς ἐν κοιλάσμασι, τοῦτ' ἔστι, τοῖς εἰς βόθρον ὠλισθηκόσιν. Ταύτης τε ἕνεκα τῆς αἰτίας ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοὶ, καὶ πεσοῦνται, καὶ συντριβήσονται, καὶ ἐγγιοῦσιν, τοῦτ' ἔστιν, ἐγγὺς ἔσονται καὶ οὐ μακρὰν τοῦ κατασίνεσθαι πεφυκότος. Ἔσονται γὰρ ἀνίσχυες καὶ συντετριμμένοι, καὶ τοῖς πολεμοῦσιν ἁλώσιμοι. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς προφήτου περὶ αὐτῶν εἰρημένον ὑπὸ Θεοῦ. Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν· καὶ ἀσθενήσουσιν ἐν αὐ-

VERS. 15, 16. *Domus Jacob in laqueo, et in volutabro sedentes in Jerusalem: propterea infirmi erunt inter eos multi, et cadent, et conterentur, et appropinquabunt, et capientur homines in securitate existentes. Tunc manifesti erunt qui obsignantur legem ut non discant.*

Sapiens Paræmiastes dixit: «Fili, ne æmuletur cor tuum peccatores, sed in timore Domini esto toto die [62].» Decet enim vere cordatos non improbitatis pessimorum, sed probitatis bonorum imitatores esse. Postquam itaque sanctis discipulis suasit ut colere Christum satagant sancte, imo ut in ipsum credant, et furorem **142** persequentium nihili æstiment, intulit porro necessario, quanta et qualia damna immorigeris accident. Domus enim, inquit, Jacob, id est, Judæi, maxima et perpetua contra Christum contumacia quasi morbo laborantes, similes erunt his qui laqueo tenentur, et capientur ad interitum, vel his qui sunt in volutabro, id est, qui præcipitantur in foveam. Hanc ob rem infirmi erunt inter eos multi, et cadent et conterentur, et appropinquabunt, id est, haud procul erunt a noxa. Erunt enim debiles et attriti, et a bellatoribus capti. Idque nimirum voce prophetæ de illis dictum est a Deo: Ecce ego do super populum hunc debilitatem, et debilitabuntur in illo patres et filii simul, et vicinus et proximus ejus peribunt, licet qui in Christo vocati sunt ad sanctificationem, non sic habeant. Robur enim et laus eorum Dominus, juxta id quod

[60] Joan. IX, 16. [61] Joan. IX, 29. [62] Prov. XXIII, 17.

scriptum est. Confirmabit autem divinus Paulus dicens: «Omnia possum in Christo qui corroborat me [63].» Capientur ergo, inquit, qui non credunt homines in securitate exsistentes. Quantum enim spectat ad supernum auxilium quod Israelitis semper adfuit, vix capi poterant aut expugnari ab inimicis, sive aspectabiles illi essent, sive inaspectabiles. Dixit enim alicubi Deus de Jerusalem: «Et ego ero illi,» dicit Dominus, «murus ignis circumquaque, et in gloriam ero in medio ejus [64].» Cæterum ubi impegerunt, et in Christum temulentius deblaterarunt, omni munitione et defensione tam intelligibili, quam sensibili destituti desertique in mundo degunt. Ad alios enim, id est, ad gentes migravit Servatoris gratia. «Erunt quidem tunc,» inquit, «manifesti qui obsignantur legem ne discant.» Et hi quinam tandem sunt? Qui in Christo videlicet et vocati et sanctificati per Spiritum, a quibus illud apte dici posset: «Signatum est super nos lumen vultus tui, Domine [65].» Imago quippe et similitudo et tanquam facies Dei et Patris est Filius. Lumen autem ab illo in nos missum, est Spiritus sanctus per quem obsignamur ad primam imaginem reformati per sanctificationem. Facti enim sumus ad imaginem et similitudinem Dei qui condidit. Evadent igitur in manifestationem, inquit, id est, insignes et Deo notissimi, et in **143** mundo conspicui, qui sancto Spiritu obsignati sunt, ut non discant legem. Nunquid igitur abstinebimus a lectione legis? Atqui sic intelligere, quidni inscitum sit et absurdum, cum Deus dicat perspicue: «Propterea loquor vobis: Omnis scriba doctus in regno cœlorum similis est homini diviti, qui depromit ex thesauro suo nova et vetera [66].» Itaque scire quidem legem non recusamus: at cavendum tamen ne ita sciamus, ut et vivere cupiamus legaliter et Judaice. Non enim boves sacrificabimus, neque hostiis cruentis universorum Deum venerabimur, at spiritalem cultum illi potius offeremus in odorem suaveolentiæ. Sicuti enim, ait Servator, «Deus spiritus est, et qui adorant illum, in spiritu et veritate oportet adorare [67].» Quod autem sancto Spiritu obsignatis ad novitatem vitæ, magnum sit dispendium, velle jam vivere et versari Judaice, scilicet secundum legis umbram, probabit beatus Paulus loquens his qui post fidem ad cultum umbratilem velut retro abeunt: «Exorsi spiritu, nunc carne consummamini [68]?» Et rursus: «Dico autem vobis quod si circumcidamini, Christus vobis nihil proderit. Abalienati igitur estis a Christo, quicunque in lege justificamini, gratia excidistis. Nos enim per fidem spem justitiæ exspectamus [69].»

A τοῖς πατέρες καὶ υἱοὶ ἅμα. Γείτων καὶ πλησίον αὐτοῦ ἀπολοῦνται· καίτοι τῶν ἐν Χριστῷ κεκλημένων εἰς ἁγιασμὸν οὐχ ὧδε ἐχόντων. Ἰσχὺς γὰρ αὐτῶν καὶ ὕμνησις ὁ Κύριος, κατὰ τὸ γεγραμμένον. Καὶ πιστώσεται λέγων ὁ θεσπέσιος Παῦλος· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.» Ἁλώσονται τοίνυν οἱ ἀπιστοῦντες, φησὶν, ἄνθρωποι ἐν ἀσφαλείᾳ ὄντες. Ὅσον μὲν γὰρ ἧκεν εἰς τὴν ἄνωθεν ἐπικουρίαν τὴν ὑπάρξασαν ἀεὶ τοῖς ἐξ Ἰσραὴλ, ἀνάλωτοί τινες ἦσαν, καὶ δυσκαταμάχητοι τοῖς ἐχθροῖς, ὁρατοῖς τε καὶ ἀοράτοις. Ἔφη γάρ που Θεὸς περὶ τῆς Ἱερουσαλήμ· «Καὶ ἐγὼ ἔσομαι αὐτῇ λέγει Κύριος τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς.» Ἐπειδὴ δὲ προσκεκρούκασιν ἐμπαροινοῦντες Χριστῷ, πάσης ἀσφαλείας ἔρημοι, νοητῆς τε καὶ αἰσθητῆς B διατελοῦσιν ἐν κόσμῳ. Μεταπεφοίτηκε γὰρ εἰς ἑτέρους, τοῦτ' ἔστι, τοὺς ἐξ ἐθνῶν ἡ τοῦ σώζοντος χάρις. Ἔσονται δὲ τότε φησὶν φανεροὶ, οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν. Καὶ τίνες ἂν εἶεν οὗτοι πάλιν; Οἱ ἐν Χριστῷ δηλονότι δεδικαιωμένοι τε καὶ ἡγιασμένοι διὰ τοῦ Πνεύματος· οἷς ἂν ἁρμόσειεν εἰπεῖν· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.» Εἰκὼν μὲν γὰρ καὶ ὁμοίωσις καὶ οἱονεὶ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός. Φῶς δὲ τὸ ἐξ αὐτοῦ πεμπόμενον εἰς ἡμᾶς τὸ Πνεῦμα τὸ ἅγιον, δι' οὗ κατεσφραγίσμεθα πρὸς εἰκόνα τὴν πρώτην ἀναμορφούμενοι δι' ἁγιασμοῦ. Πεποιήμεθα γὰρ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ κτίσαντος Θεοῦ. Ἔσονται τοίνυν φανεροὶ, φησὶ, τοῦτ' ἔστιν, ἐπίσημοι καὶ Θεῷ γνωριμώτατοι, καὶ διαπρεπεῖς ἐν κόσμῳ· οἱ τῷ ἁγίῳ κατα- C σφραγιζόμενοι Πνεύματι, τοῦ μὴ μαθεῖν τὸν νόμον. Ἆρ' οὖν ἀφεξόμεθα τῶν νομικῶν ἀναγνωσμάτων; Καίτοι πῶς οὐκ ἀμαθὲς τὸ ὧδε νοεῖν, Χριστοῦ λέγοντος ἐναργῶς· «Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι πᾶς γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ πλουσίῳ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.» Οὐκοῦν οὐ παραιτούμεθα μὲν τὸ εἰδέναι τὸν νόμον· τό γε μὴν οὕτως εἰδέναι, φευκτὸν, ὥστε καὶ ζῆν ἑλέσθαι νομικῶς, ἤγουν Ἰουδαϊκῶς. Οὐ γάρ τοι βοῦς ἱερεύσομεν, οὔτε μὴν ταῖς δι' αἱμάτων θυσίαις τιμήσομεν τὸν τῶν ὅλων Θεόν. Πνευματικὴν δὲ μᾶλλον προσκομιοῦμεν αὐτῷ λατρείαν εἰς ὀσμὴν εὐωδίας. Ὡς γάρ φησιν ὁ Σωτήρ· «Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.» Ὅτι D δὲ τοῖς τῷ ἁγίῳ Πνεύματι κατεσφραγισμένοις εἰς καινότητα ζωῆς, ζημία πολλὴ τὸ θέλειν ἔτι πολιτεύεσθαί τε καὶ ζῆν Ἰουδαϊκῶς, ἤτοι κατὰ τὴν τοῦ νόμου σκιὰν, πιστώσεται λέγων ὁ μακάριος Παῦλος τοῖς μετὰ τὴν πίστιν ἀνόπιν ὥσπερ ἰοῦσιν, εἰς λατρείαν τὴν ἐν σκιαῖς· «Ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε.» Καὶ πάλιν· «Λέγω δὲ ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Ἀπηλλοτριώθητε ἀπὸ Χριστοῦ, οἵ τινες ἐν νόμῳ βιοῦτε, τῆς χάριτος ἐξεπέσατε. Ἡμεῖς γὰρ διὰ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα.»

VERS. 17. *Et dicet: Exspectabo Deum qui avertit faciem suam a domo Jacob, et confidens ero super eum.*

Καὶ ἐρεῖ· Μενῶ τὸν Θεὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ.

[63] Philipp. IV, 13. [64] Zachar. II, 5. [65] Psal. IV, 7. [66] Matth. XIII, 52. [67] Joan. IV, 24. [68] Galat. III, 3. [69] Galat. V, 2, 4, 5.

A Ὅτι πολὺ πρόσεστι τοῖς ἐν Χριστῷ τὸ εὐήνιον, καὶ διὰ τούτων ἡμᾶς ὁ προφήτης πειρᾶται πληροφορεῖν. Προσπεφώνει μὲν γὰρ αὐτοῖς ὁ τῶν ὅλων Θεὸς περὶ τοῦ Ἐμμανουήλ· Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος. Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα. Οἱ δὲ καὶ λίαν ἀσμένως τὸν τῆς εἰς τοῦτο μυσταγωγίας προσηκάμενοι λόγον, μελλησμοῦ δίχα παντὸς ὑπισχνοῦνταί τε τὸ εὐπειθὲς, καὶ πᾶσαν ἐπ' αὐτῷ θέμενοι τὴν ἐλπίδα φασί· « Μενῶ τὸν Θεὸν, τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. » Καὶ τί τὸ μενῶ σημαίνειεν ἄν; Ἢ ἐκεῖνό που πάντως, ὃ καὶ ὁ θεσπέσιος ἔφη Δαβίδ· « Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. » Ὑπομένει δὲ τὸν Κύριον, ὁ τὰ αὐτῷ δοκοῦντα φρονεῖν ᾑρημένος, B καὶ τοῖς αὐτοῦ νεύμασι κατακολουθῶν, ἥδιστά τε λίαν τοὺς ὑπὲρ τῆς εἰς αὐτὸν εὐσεβείας ὑπομένων ἀγῶνας. Πρὸς γάρ τοι τοῦτο αὐτοὺς, διὰ τῆς τοῦ ψάλλοντος φωνῆς παροτρύνει τὸ Πνεῦμα λέγον· « Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. « Ὑπομενῶ τοίνυν, φησὶ, τὸν Θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ. Ἄθρει δὴ οὖν ἄθρει πρὸς ταῖς εὐπειθείαις πόσον ἔχουσι τὸ νουνεχές. Ἐξ ὧν γὰρ ἕτεροι προσκεκρούκασι, καὶ δὴ καὶ πεπόνθασι τοῦ θείου προσώπου τὴν ἀποστροφὴν, διὰ τούτων αὐτῶν ἀσφαλεστέρας ἐργάζονται τὰς ἑαυτῶν καρδίας, πρὸς τὴν εἰς τὰ ἀμείνω ῥοπήν. Δεδίασι γὰρ τῶν θείων ὀμμάτων τὴν ἀποστροφήν. Ἀπροσωπόληπτος γὰρ ὁ κριτὴς, καὶ οὐκ ἂν ἐνδοιάσειέ τις ὅτι πάντη τε καὶ πάντως τοῖς C ἑκάστου τρόποις πρεπόντως τε καὶ εἰκότως ἢ χαριεῖται τὸν ἔπαινον, ἤγουν ἐποίσει τὴν δίκην. Καὶ τοὺς μὲν ταῖς ἀπειθείαις ἐξυβρικότας, ἔξω τε προσώπου ποιήσεται, καὶ ἡγήσεται στυγητούς. Τούς γε μὴν τῇ πίστει τετιμηκότας, ἡγήσεται μὲν ὡς ἀγαπητοὺς τηροῦντας τὴν πίστιν, ἀποστραφήσεται δὲ μεθέντας τὸ γνήσιον, καὶ ἐν ἴσῳ ἡγήσεται τοῖς μηδ' ὅλως πεπιστευκόσιν, ἢ τάχα που καὶ ἐν χείροσι. Γέγραπται γὰρ περί τινων· « Κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς ἀληθείας, ἢ ἐπιγνοῦσιν εἰς τὰ ὀπίσω ἀνακάμψαι ἀπὸ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. »

Quod ii qui in Christo sunt, facile quasi freno duci et flecti possint, ex his etiam vobis propheta fidem facere conatur. Allocutus est enim eos universorum Deus de Emmanuele : Dominum ipsum sancte colite, et ille erit tuus timor. Et si ei confisus sis, erit tibi in sanctificationem. Hi autem sermonem hujus mystagogiæ libenter admodum admittentes, abjecta omni cunctatione pollicentur obedientiam ; et omnem in eo spem ponentes, dicunt : « Exspectabo Deum qui avertit faciem suam a domo Jacob, et confidam ei. » Et quid significat illud : Exspectabo ? Num id omnino quod etiam divinus David dicebat : « Exspectans exspectavi Dominum, et intendit mihi [69] ? » Exspectat autem Deum, qui curare ea vult quæ ipsi placent, et ejus nutui obsequitur, quippe **144** pro pietate certamina libentissime sustinet. Huc enim eos voce psallentis excitat Spiritus, inquiens : « Viriliter age, et corroboretur cor tuum, et exspecta Dominum [70]. » « Exspectabo » igitur, inquit, « Deum, qui avertit faciem suam a domo Jacob. » Observa igitur, observa præter obedientiam, quanta prudentia præditi sunt. Nam unde cæteri impegerunt, et divini vultus aversationem passi sunt, inde illi suos animos magis tranquillos et minus lubricos reddunt, et ad meliora procliviores. Timuerunt siquidem divinorum oculorum aversionem. Non enim personarum acceptator est judex, nec cuique dubium esse potest, quin ubique et semper pro cujusque meritis convenienter et digne vel laudem tribuat, vel supplicium inferat ; et qui ex obstinatione protervi fuerunt, a conspectu removebit, et odio dignos judicabit. Qui vero fide coluerunt, charos habebit eos qui fidem servant ; at qui hanc ingenuitatem relinquunt et abjiciunt, avertet eos, pari ac pejore forsan loco habebit quam qui nunquam omnino crediderunt. Scriptum est enim de quibusdam : « Satius erat illis viam veritatis non agnovisse, quam, ubi agnoverint, converti ab eo quod illis traditum fuit sancto præcepto [71]. »

Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεὸς, καὶ ἔσται εἰς σημεῖα, καὶ εἰς τέρατα ἐν τῷ Ἰσραὴλ παρὰ Κυρίου Σαβαὼθ, ὃς κατοικεῖ ἐν ὄρει D *Σιών.*

VERS. 18. *Ecce ego et pueri quos mihi dedit Deus, et erunt signa et ostenta in Israel a Domino Sabaoth, qui habitat in monte Sion.*

Τὴν καλὴν ὁμολογίαν εὖ μάλα διηρηκότων (ἔφασαν γάρ· « Μενῶ τὸν Θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ ») παραχρῆμα τὸ αὐτοῦ πρόσωπον εἰσφέρει τοῦ Ἐμμανουὴλ, τοῖς ἐπ' αὐτῷ τὴν ἐλπίδα θεμένοις χαριζομένου τὴν οἰκειότητα, δῆλον δὲ ὅτι τὴν διὰ τοῦ Πνεύματος. Ἐνῆκε γὰρ ἡμῖν ὁ Υἱὸς τὸ ἴδιον πνεῦμα, καὶ οἰκεῖοι γεγόναμεν αὐτοῦ· καὶ ἐν αὐτῷ κράζομεν, ἀββα ὁ Πατήρ· ὀνομάζει τοίνυν ἡμᾶς παιδία τοῦ Πατρὸς, ὡς τὴν διὰ Πνεύματος ἔχοντας ἀναγέννησιν, ἵνα καὶ ἀδελφοὶ χρηματίσωμεν τοῦ κατὰ φύσιν ἀληθῶς

Postquam præclaram confessionem edidissent (dixerant enim : « Exspectabo Deum qui avertit faciem suam a domo Jacob, et confidam illi »), mox personam ipsius Emmanuelis introducit, qui in ipso spem collocantibus conjunctionem spiritualem videlicet indulget. Effudit enim Filius suum Spiritum in nos, et quasi domestici ac intimi facti sumus, in ipsoque clamamus : Abba, Pater. Quare pueros Dei et Patris nos vocat, utpote regenerationem per Spiritum habentes, ut et fratres ejus qui natura vere est Filius, nuncupemur. Dixit enim

[69] Psal. XXXIX, 1. [70] Psal. XXVI, 14. [71] II Petr. II, 20, 21.

voce psallentis: « Annuntiabo nomen tuum fratribus meis [72]. » Verum enimvero licet frater factus, et primogenitus nostrum propter humanitatem dictus sit, tametsi Deus sit et Filius unigena, tamen **145** gloriam ejus, et super omnem creaturam excellentiam non ignoramus. Scimus vero nos ipsi a Deo et Patre donatos. Quo ipse invenitur Patri et Deo cœlesti dixisse: « Quos dedisti mihi ex mundo, tui erant, et mihi illos dedisti [73]. » Dominus enim omnium est natura Filius, et in omnia quæ sunt creata, cum Deo et Patre regnum obtinet. At ubi homo factus est, cui omnia adjudicata sunt et data divinitus, accipere dicitur ea quorum exsistit Dominus ut Deus: « Postula enim, inquit, a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ [74]. » Exsultat ergo in his qui illi fidunt, id est, in his qui vocati sunt ad agnitionem veritatis per fidem, et manu tantum non protensa eos monstrat dicens: « Ecce ego et pueri quos dedit mihi Deus. » Quis igitur qui hæc loquitur? videlicet Emmanuel, qui erit, inquit, in signa et ostenta in Israel, a Domino Sabaoth qui habitat in monte Sion. Nam ut credant terræ incolæ eum qui natura Deus est, factum esse hominem, et qui universitatis Dominus exsistit, servi formam gestasse ratione dispensationis suæ propter nos, ac complurima per Judæam signa operatum esse, divinæque præstantiæ documentum clarissimum edidisse, atque ea perfecta quæ opinionem omnium et orationem superant, mortuos excitando, immundos spiritus increpando, cæcisque visum pro suo jure et auctoritate largiendo. Judaicæ autem perversitatis et impietatis criminatio, prophetica erit oratio. Signa enim et ostenta a Domino Sabaoth qui habitat in monte Sion, facta dicit: isti vero nihil non et rerum et verborum impiorum intentatum relinquentes, blasphemare ausi sunt dicentes: « Hic non ejicit dæmonia nisi per Beelzebul principem dæmoniorum [75]. »

VERS. 19, 20. *Et si dixerint vobis: Requirite vates de terra vocem edentes, ventriloquos, vanidicos, et qui de ventre loquuntur, nonne gens ad Deum suum? Quid consulitis de vivis mortuos? Legem enim in adjumentum dedit, ut dicant: Non sicut verbum istud, de quo non est dona dare pro ipso.*

Instructionis plenam orationem prætexit ipse Emmanuel, his qui spem in ipso **146** posuerunt, qui numerabantur in filiis, et ipsi a Deo et Patre dati sunt, ut Servatori et Redemptori, et Vivificatori, quique illuminare valet, omnique malo liberare, et qui eos omnibus modis a pristinis moribus primaque dementia vindicat. Est enim in more idolorum cultoribus, oraculum dæmoniorum amplecti,

A Υἱοῦ. Ἔφη γὰρ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· « Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. » Πλὴν εἰ καὶ γέγονεν ἀδελφὸς, καὶ κεχρημάτικεν ἡμῶν πρωτότοκος διὰ τὸ ἀνθρώπινον, καίτοι Θεὸς ὑπάρχων, καὶ Υἱὸς μονογενὴς, ἀλλ' οὐκ ἠγνοήκαμεν αὐτοῦ τὴν δόξαν, καὶ τὴν κατὰ πάσης κτίσεως ὑπεροχήν. Ἴσμεν δὲ ὅτι δεδόμεθα αὐτῷ παρὰ Θεοῦ καὶ Πατρός. Καὶ τοῦτο αὐτὸς εὑρίσκεται λέγων, πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· « Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου σοὶ ἦσαν, κἀμοὶ αὐτοὺς ἔδωκας. » Κύριος μὲν γὰρ τῶν ὅλων ἐστὶ κατὰ φύσιν ὁ Υἱός· καὶ συγκατάρχει παντὸς γενητοῦ τῷ Θεῷ καὶ Πατρί. Ἐπειδὴ καὶ γέγονεν ἄνθρωπος, ᾧ πάντα ἐστὶ θεόσδοτα καὶ εἰσκεκριμένα λέγεται λαβεῖν, ὧν ὑπῆρχε κύριος ὡς Θεός· « Αἴτησαι γάρ, » φησὶ, « παρ' ἐμοῦ, καὶ δώσω σοι

B ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. » Ἐπιγάννυται τοίνυν τοῖς ἐπ' αὐτῷ πεποιθόσιν, τοῦτ' ἔστι, τοῖς κεκλημένοις εἰς ἐπίγνωσιν ἀληθείας διὰ τῆς πίστεως· μόνον δὲ οὐχὶ καὶ χεῖρα προτείνων καταδείκνυσι, λέγων· « Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. » Τίς οὖν ταῦτα λέγων; ὁ Ἐμμανουὴλ δηλονότι. Ὅς ἔσται, φησὶν, εἰς σημεῖα καὶ τέρατα ἐν τῷ Ἰσραὴλ παρὰ Κυρίου Σαβαὼθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. Ἵνα γὰρ πιστεύσειαν οἱ κατὰ πᾶσαν τὴν γῆν, ὅτι Θεὸς ὢν φύσει γέγονεν ἄνθρωπος, καὶ τῶν ὅλων ὑπάρχων Κύριος, τὴν τοῦ δούλου πεφόρηκε μορφὴν οἰκονομικῶς δι' ἡμᾶς· πλεῖστά τε ὅσα κατὰ τὴν Ἰουδαίαν εἰργάσατο σημεῖα, καὶ τῆς θείας ὑπεροχῆς ἐναργεστάτην ἀπόδειξιν

C ἐποιήσατο· τὰ παραδόξως τε καὶ ὑπὲρ λόγον ἀποτελούμενα· τοῦτο μὲν νεκροὺς ἀναστὰς, τοῦτο δὲ ἀκαθάρτοις πνεύμασιν ἐπιτιμῶν· καὶ τυφλοῖς δὲ τὸ βλέπειν ἐν ἐξουσίᾳ δωρούμενος. Ἔγκλημα δὲ τῆς Ἰουδαίων σκαιότητος καὶ δυσσεβείας, ὁ προφητικὸς ἔσται λόγος. Τὰ μὲν γὰρ σημεῖα καὶ τὰ τέρατα παρὰ Κυρίου Σαβαὼθ τοῦ κατοικοῦντος ἐν τῷ ὄρει Σιὼν γεγενῆσθαί φησιν. Οἱ δὲ τῶν ἐκτόπων ἢ πραγμάτων ἢ λόγων ἀνεπιτήδευτον ἐῶντες οὐδὲν, δυσφημεῖν ἀπετόλμων λέγοντες· « Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων. »

Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς· Ζητήσατε τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους τοὺς κενολογοῦντας, οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν,

D *οὐκ ἔθνος πρὸς Θεὸν αὐτοῦ; Τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; Νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ.*

Κατηχητικὸν ἐξυφαίνει λόγον αὐτὸς ὁ Ἐμμανουὴλ τοῖς ἐλπίδα θεμένοις εἰς αὐτὸν, οἳ κατελογίσθησαν μὲν ἐν τέκνοις· δέδονται δὲ αὐτῷ παρὰ Θεοῦ καὶ Πατρὸς, ὡς Σωτῆρι καὶ Λυτρωτῇ καὶ Ζωοποιῷ, καὶ καταφωτίζειν ἰσχύοντι, καὶ παντὸς ἀπαλλάττειν κακοῦ· ἀφίστησι δὲ αὐτοὺς ὁλοτρόπως τῶν ἀρχαίων ἠθῶν, καὶ φρενοβλαβείας τῆς πρώτης. Ἔθος μὲν γὰρ τοῖς τῶν εἰδώλων προσκυνηταῖς, τοὺς ἐκ τῶν δαιμο-

[72] Psal. xxi, 23. [73] Joan. xvii, 9. [74] Psal. ii, 8. [75] Matth. xii, 24.

A νίων χρησμοὺς ἀγαπᾷν, καὶ κενολόγοις τισὶ νεκρομάντεσι προσκεῖσθαι φιλεῖν, οἳ λέγουσι μὲν ἀληθὲς οὐδέν· ἀνερεύγονται δὲ ὥσπερ τὸ εἰς νοῦν ἧκον ἁπλῶς. Ἀλλ' ὑμεῖς, φησὶ, κἂν εἰ προσίοιτό τις, λέγων· Ζητήσατε τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τουτ' ἔστι, τοὺς προσποιουμένους ἀναφέρειν τοὺς νεκρούς· καὶ ὥσπερ ἐξ ᾅδου ποιεῖσθαι τὰς μαντείας· ἤγουν τοὺς ἐγγαστριμύθους· οἳ προσποιοῦνται μὲν θεούς τινας ἔχειν εἰς τὴν κοιλίαν, οὕτω τε τοῖς προσιοῦσι τὰ παρ' ἐκείνων λαλεῖν, μὴ προσίεσθε τὴν συμβουλήν. Φωνοῦσι γὰρ ἀπὸ μόνης τῆς ἑαυτῶν κοιλίας, καὶ οὐκ εἰσὶν ἔθνος συνετὸν, ὥστε καὶ ἀναζητῆσαι Θεὸν, καὶ παρ' αὐτοῦ τι μαθεῖν. Λέγετε δὲ τοῖς ἐκεῖνα συμβουλεύουσι· Τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; ὁρᾷς ὅπως ἀπεργάζεται νουνεχεστάτους; Οὐ γὰρ μόνον ἀποφοιτᾷν ἐπιτάττει τῆς ἐκείνων σκαιό- B τητος καὶ φρενοβλαβείας, ἀλλὰ γὰρ καὶ συμβούλους ἀγαθοὺς, τοῖς πεπλανημένοις γενέσθαι προστάττει. Λέγετε γὰρ, φησί· Τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; κοινὸς γὰρ καὶ ἀνθρώπινος ὁ λογισμός. Ποῖον γὰρ ἂν ἔχοι λόγον τὸ διερωτᾷν ἐθέλειν περὶ τῶν ἔτι ζώντων τοὺς ἐν τῇ γῇ κειμένους, ἢ ἐν ᾅδου τυχὸν γενομένας ψυχάς; Καὶ καθ' ἕτερον δὲ τρόπον, ἀμαθὲς παντελῶς νεκυομαντείαις προσέχειν, καὶ ταῖς τῶν γοητῶν ψευδοεπίαις οἳ νεκρὸν ἔχουσι τὸν νοῦν, καὶ οἷον ἀπεψυγμένην καρδίαν. Οὐ γὰρ ἴσασι τὸν τῶν ὅλων δημιουργὸν, οὐκ ἔχουσιν ἐν αὐτοῖς τὸν ζωοποιὸν τοῦ Θεοῦ λόγον. Εἰσὶ δὲ πρὸς τοῦτο, καὶ νεκρῶν ἔργων ἐπιμεληταί. Πῶς οὖν οἱ ζῶντες, τουτ' ἔστιν, οἱ τὴν ἄνωθεν ἔχοντες ἐν ἑαυτοῖς ζωοποίησιν, καὶ τὸν ζῶντα τοῦ Θεοῦ Λόγον ἐκπεπλουτηκότες περὶ αὐτῶν C ἐρωτῶσι τοὺς νεκρούς; Ταῦτα τοίνυν λέγετε, φησὶ, προστιθέντες ὅτι νόμον εἰς βοήθειαν ἔδωκεν, τουτ' ἔστι, τὸν εὐαγγελικὸν, ἵν' οἱ προσέχοντες αὐτῷ λέγωσιν· Οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. Πωλοῦσι μὲν γὰρ τὸ ψεῦδος, οἱ τὰ ἐκ μόνης τῆς ἑαυτῶν καρδίας λαλοῦντες· ὁ δέ γε σωτήριος καὶ ἀληθὴς τοῦ Θεοῦ νόμος, τουτ' ἔστι, τὸ θέσπισμα τὸ εὐαγγελικὸν, ὃ δέδοται πρὸς ἐπικουρίαν τῶν ἐπὶ τῆς γῆς, οὐκ ἔστιν ὡς τὸ ῥῆμα τοῦτο, δηλονότι τῶν ψευδομάντεων. Ἀλλ' οὐδ' ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. Ὡς γὰρ ἔφην ἀρτίως ὠνοῦνταί τινες ἀργυρίοις τὰς τῶν γοητῶν ψευδοεπείας. Πρόκειται δὲ τοῖς ἐθέλουσι τὸ οὐράνιον θέσπισμα, δι' οὗ πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν πεποδηγήμεθα. Καὶ μὴν ὅσα χρῆν D τῶν μελλόντων γενέσθαι μεμαθήκαμεν. Τίνι γὰρ ἀσυμφανὲς ὅτι πράττουσιν ἡμῖν τὰ ἀγαθὰ, καὶ τὸ γνήσιον τῆς ἀγάπης τηροῦσι Χριστῷ, πᾶν ὁτιοῦν ἔσται κατ' εὐχήν; Μακαρίους γὰρ ἀποφαίνει καὶ ἐν τῷδε τῷ κόσμῳ, καὶ εἰς αἰῶνα τὸν μέλλοντα. Πρόκειται τοίνυν, ἀργυρίου τε δίχα, καὶ δώρου παντὸς τὸ εἰδέναι τοῖς ἐθέλουσι τὸν δοθέντα παρὰ Χριστοῦ νόμον εἰς ἐπικουρίαν. Καὶ τοῦτο ἦν ἄρα, τὸ διὰ φωνῆς Ἡσαΐου σοφῶς εἰρημένον· « Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε ἄνευ ἀργυρίου καὶ τιμῆς. »

Καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμὸς, καὶ ἔσται ὡς ἂν πεινάσητε, λυπηθήσεσθε, καὶ κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια. Καὶ ἀναβλέψονται

et vaniloquis quibusdam necromanticis adhærescere, qui veri quidem nihil dicunt, sed velut eructant quidquid temere in mentem venit. Atqui vos, inquit, etiamsi accedat quis, ac dicat : Consulite vates de terra vocem edentes, id est, qui simulant se mortuos reducere, et velut ex inferis edi oracula; sive ventriloquos, qui fingunt deos se quosdam habere in ventre, et ita adeuntibus hæc ab illis se dicere, consilium nolite admittere. A suo enim solo ventre sonitum edunt, nec sunt gens intelligens, ut vel Deum consulant, vel ab illo discant quidpiam. Dicite vero his qui ea consulunt : Quid quærunt mortuos de vivis? viden', quo pacto eos reddat prudentissimos? Non enim solum præcipit a perversitate sua et amentia desistere, sed etiam jubet ut his qui errant, boni consultores evadant. Dicite enim, inquit : Quid quærunt de vivis mortuos? Communis enim hæc est et humana ratio. Quid enim rationis habet de his qui etiamnum vivunt, homines in terra jacentes, vel animas quæ forte sunt apud inferos sciscitari? Quin alio etiam modo insulsum et ineptum est necromantiis, falsisque præstigiatorum verbis, qui mentem mortuam et animam quasi exstinctum habent, attendere. Etenim universitatis opificem ignorant, nec habent in seipsis viventem Dei sermonem : ad hæc mortua opera exercent. Quo modo igitur qui vivunt, hoc est, qui supernam in se habent vivificationem, et vivo Dei Verbo ditati sunt, de ipsis mortuos consulunt? Hæc ergo, inquit, dicite, addentes : Legem in adjumentum dedit, id est, evangelicam, ut qui ei attendunt, dicant : Non sicut verbum istud de quo non licet dona dare pro ipso. Qui namque ex suo ipsorum corde solo loquuntur, vendunt mendacium : at salutaris et vera est Dei lex, id est, oraculum evangelicum, **147** quod in adjumentum mortalium confertur, non est isti verbo simile, scilicet falsorum vatum. Sed neque licet dona dare pro illo. Siquidem, ut jam dixi, quidam argento incantatorum vana vaticinia emunt. Præstat autem volentibus cœleste vaticinium, per quod ad omnia bona deducti sumus, quin etiam quæ futura sunt, et fieri debent, didicimus. Cui enim obscurum est, nobis bona facientibus, et sinceram charitatem Christo servantibus, omnia fore ex animi sententia? Beatos siquidem ostendit et in hoc mundo, et in futuro sæculo. Prostat itaque absque argento et omni dono, his qui scire volunt datam esse a Christo legem in adjumentum. Id autem voce Isaiæ sapienter dictum est : « Qui sititis, venite ad aquam; et qui non habetis argentum, euntes emite absque argento et pretio [76]. »

VERS. 21, 22. *Et invadet vos dura fames, et erit, ut esuriatis, contristabimini, et male dicetis principi institutisque patriis. Et suspicient in cœlum sursum,*

[76] Isa. LV, 1.

et in terram deorsum inspicient. Ecce autem afflictio, et angustia, et caligo et egestas angusta, et tenebræ ut non videatis, et non deficiet qui in angustia fuerit usque ad tempus.

Orationem ad contumacem gentem, id est, Israelem transfert, qui cum amplam et uberrimam consolationem divinitus consequerentur, et legis institutis et præceptis affatim opulenterque abundarent, Christum tamen, quamvis hoc ad utilitatem suam proficere intelligerent, non admiserunt. Hinc deturbati sunt ab ea quæ cum illo est conjunctione, scilicet sub intelligentiam cadenti et spirituali, et quasi fame disperierunt. Dixit enim universitatis Deus voce prophetarum : « Ecce induco famem super terram, dicit Dominus, non famem panis, neque sitim aquæ, sed famem audiendi verbum Domini. Et ab oriente usque ad occasum circumcursitabunt quærentes verbum Domini et non invenient[77]. » Quando igitur, inquit, principe vitæ interfecto, gravem et intolerabilem famem sustinebitis, sermonem Dei, panem qui de cœlo descendit, qui dat mundo vitam, non habentes, tunc vero, tunc esurietis, et ejus quod acciderit sensu tacti **148** principi et patriis institutis maledicetis. Hoc quid sibi vult? Judæorum nimirum præfecti, Scribæ, dico, et Pharisæi, multitudinem sibi subditam contra Servatorem omnium Christum concitare non destiterunt. Quo autem excusationem suæ contra illum insaniæ obtenderent, religionem Mosis et leges allegabant. Nam persequebantur dicentes : « Si esset a Deo hic homo, non solvisset Sabbatum[78] ; » ideoque persuaserunt ut eum ceu legis prævaricatorem persequerentur. Quando igitur, inquit, vos ab illis seducti esurieritis : tunc maledicetis omnium vestrum principi, et patriis ritibus, hoc est, legis institutis et consuetudinibus. In memoriam enim revocabitis a ducibus vos concitatos. Et principum prætextus atque excusatio insaniæ hujus contra Christum erant patrii ritus, id est, consuetudines et traditiones, non modo quæ ex lege fluxerunt, sed etiam quæ ex vanis observationibus acceperunt, doctrinæ, mandata hominum. Aderit igitur vobis dura fames, quantumvis sursum et deorsum perlustretis, et undiquaque circumspiciatis, atque mentis oculos circumferatis, aliud, inquit, nihil videbitis præter egestatem angustam et tenebras, ut nihil quod utile sit cernatis. Quod autem dicit : « Non deficiet qui in angustia est, usque ad tempus ; » prædicit iterum vocationem gentium. Qui enim nunc, inquit, sunt in angustia et fame divinarum (disciplinarum sunt oppressi, non confundentur. Siquidem illis benedictionem impertiet Emmanuel, et apponet escas spirituales, et divinam illis instruet mensam, illud dicens : Edite, bibite, et inebriamini, propinqui. Erit vero hoc, inquit, usque ad tempus, id est, non perveniet nunc ad exitum, quando

[77] Amos VIII, 11, 12. [78] Joan. IX, 16.

A *εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται· καὶ ἰδοὺ θλίψις καὶ ἡ στενοχωρία, καὶ σκότος, ἀπορία στενὴ, καὶ σκότος ὥστε μὴ βλέπειν, καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ.*

Μετατίθησι τὸν λόγον ἐπὶ τὸ ἀπειθῆσαν ἔθνος, τοῦτ' ἔστι, τὸν Ἰσραὴλ, οἳ καὶ πλατεῖαν ἔχοντες καὶ ἀμφιλαφῆ τὴν ἐκ Θεοῦ παράκλησιν, καὶ ταῖς νομικαῖς εἰσηγήσεσιν ἐντρυφῶντες πλουσίως, εἴς γε τὸ εἰδέναι τὸ τελοῦν εἰς ὄνησιν οὐ προσήκαντο τὸν Χριστόν. Ταύτῃ τοι καὶ ὠλισθήκασι τῆς πρὸς αὐτὸν οἰκειότητος νοητῆς δηλονότι καὶ πνευματικῆς, καὶ οἷον λιμῷ διολώλασιν. Ἔφη γὰρ ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς προφητῶν. « Ἰδοὺ ἐγὼ ἐπάγω λιμὸν ἐπὶ τῆς γῆς, λέγει Κύριος· Οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν B ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι τὸν λόγον Κυρίου· καὶ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν, περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσιν. » Ὅταν τοίνυν, φησὶ, τὸν ἀρχηγὸν τῆς ζωῆς ἀποκτείναντες, σκληρὸν καὶ δύσοιστον ὑπομένητε λιμὸν, τὸν τοῦ Θεοῦ λόγον οὐκ ἔχοντες, τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, τὸν ζωὴν διδόντα τῷ κόσμῳ, τότε πεινήσετε. Καὶ δὴ καὶ εἰς αἴσθησιν τοῦ συμβεβηκότος ἐνηνεγμένοι, κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια. Καὶ τί δὴ τοῦτό ἐστιν; Οἱ μὲν γὰρ τῶν Ἰουδαίων καθηγηταὶ, Γραμματεῖς δὴ λέγω καὶ Φαρισαίους, παροτρύνοντες οὐ διαλελοίπασι, κατὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, τὴν ὑπὸ χεῖρα πληθύν. Καὶ πρόφασιν τῆς κατ' αὐτοῦ μανίας ἐδέχοντο, τὴν εἰς Μωσέα τε καὶ C νόμον αἰδῶ. Ἐδίωκον γὰρ λέγοντες· « Εἰ ἦν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον » Οὐκοῦν ὡς παρανομοῦντα διώκειν ἂν ἔπειθον. Ὅταν τοίνυν φησίν· Ὑμεῖς οἱ παρ' ἐκείνων ἠπατημένοι πεινήσετε, τότε κακῶς ἐρεῖτε πάντα ὑμῶν ἄρχοντα καὶ τὰ πάτρια, τοῦτ' ἔστι, τὰ ἔθη τὰ νόμιμα. Ἀναμνησθήσεσθε γὰρ ὅτι παρώτρυνον ὑμᾶς οἱ ἡγούμενοι· καὶ τῶν ἀρχόντων ἡ πρόφασις ἦν τῆς κατὰ Χριστοῦ μανίας τὰ πάτρια· τοῦτ' ἔστι, τὰ ἔθη καὶ αἱ παραδόσεις, καὶ οὐχὶ δὴ πάντως αἱ διὰ νόμου, ἀλλὰ καὶ τὰ ἐξ εἰκαίων ἐπιτηρήσεων ἐδέχοντο διδασκαλίας ἐντάλματα ἀνθρώπων. Ἔσται τοίνυν ἐφ' ὑμᾶς σκληρὸς λιμὸς, ἄνω τε καὶ κάτω περιβλεπόμενοι καὶ πανταχόσε βλέποντες, ἤτοι τὸν τῆς διανοίας ὀφθαλμὸν περιφέροντες, ἕτερον οὐδὲν ὄψεσθε, φησὶν, εἰ μὴ ἀπορίαν D στενὴν καὶ σκότος, ὥστε μηδὲν δύνασθαί τι τῶν χρησίμων βλέπειν, καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ. Προαγορεύει πάλιν τὴν τῶν ἐθνῶν κλῆσιν. Οἱ γὰρ νῦν ὄντες, φησὶν, ἐν στενοχωρίᾳ καὶ λιμῷ τῶν θείων μαθημάτων πεπιεσμένοι, οὐκ ἀπορηθήσονται. Χαριεῖται γὰρ αὐτοῖς τὴν εὐλογίαν ὁ Ἐμμανουὴλ, καὶ παραθήσει τροφὰς τὰς πνευματικὰς, καὶ τὴν θείαν αὐτοῖς ἁπλώσει τράπεζαν. ἐκεῖνο λέγων· Φάγετε καὶ πίετε, καὶ μεθύσθητε, οἱ πλησίον. Ἔσται δὲ τοῦτο, φησὶν, ἕως καιροῦ, τοῦτ' ἔστιν, οὐ νῦν εἰς πέρας οἰχήσεται. Ὅτε καὶ ὁ τῆς προφητείας περὶ αὐτῶν γέγονε λόγος. Ἀλλ' ἐν καιρῷ τῷ δέοντι καθ' ὃν ἐπιλάμψει τοῖς ἐπὶ γῆς ὁ Ἐμμανουήλ. Τότε γὰρ

κέκληται τῶν ἐθνῶν ἡ πληθύς.

Τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζαβουλὼν, ἡ γῆ Νεφθαλεὶμ, ὁδὸς θαλάσσης, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν. Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα. Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ ἐν σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς· τὸ πλεῖστον τοῦ λαοῦ, ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου· καὶ εὐφρανθήσονται ἐνώπιόν σου ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα.

Σκληρᾷ τε λιμῷ καὶ μέντοι καὶ ἀπορίᾳ καταπιεσθήσεσθαι λέγων, τοὺς ἀπειθεῖν ᾑρημένους τῷ Ἐμμανουὴλ, οὐκ ἀπορηθήσεσθαι τοὺς ἐν στενοχωρίᾳ προειρηκὼς ἕως καιροῦ, κατά γε τὴν ἤδη προαποδοθεῖσαν διάνοιαν. Ἄρχεται δηλοῦν καὶ τίνες οἱ πρῶτοι πιστεύσαντες, καὶ ἀπαρχὴ γεγονότες τῶν κεκλημένων εἰς ἐπίγνωσιν τοῦ Ἐμμανουὴλ τοῦ λέγοντος· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεὸς, ὃς καὶ γέγονεν εἰς σημεῖά τε καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ Κυρίου Σαβαὼθ τοῦ κατοικοῦντος ἐν τῷ ὄρει Σιών. Φασὶ γάρ που καὶ ὅρια Ζαβουλὼν καὶ Νεφθαλεὶμ τῇ Τιβεριάδι παρακεῖσθαι λίμνῃ, καὶ ἐν ἐσχατιαῖς εἶναι τῆς Ἰουδαίων χώρας, ὡς ὅμορον ὑπάρχειν τῇ τῶν ἐθνῶν Γαλιλαίᾳ, ἑτέρας οὔσης τῆς πρὸς τῇ Φοινίκων χώρᾳ. Ἐκ τούτων φασὶ μάλιστα τῶν φυλῶν τοὺς ἁγίους ἀποστόλους γενέσθαι κατὰ τὸ πλεῖστον. Καὶ γοῦν τὰ περὶ τῆς κλήσεως αὐτῶν, Ματθαῖος ἡμῖν ὁ μακάριος εὐαγγελιστὴς ἐξηγούμενος, πρῶτον μὲν ἀποκομίζει τὸν Ἰησοῦν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ. Εἶτα τίνα τρόπον ἀπολέκτους ἐποιήσατο τοὺς ἁγίους ἀποστόλους, προσεπάγει σαφῶς. Γράφει δὲ οὕτω περὶ Χριστοῦ· « Καὶ καταλιπὼν τὴν Ναζαρὲθ ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλάττιον ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλεὶμ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου λέγοντος· Γῆ Ζαβουλὼν, καὶ γῆ Νεφθαλεὶμ ὁδὸς θαλάσσης πέραν Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς καθήμενος ἐν σκότει φῶς ἴδε μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. » Προσεπάγει δὲ τούτοις· « Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας ἴδε δύο ἀδελφοὺς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ. » Ἰστέον δὲ ὅτι τὴν θάλασσαν τῆς Γαλιλαίας τὴν Τιβεριάδα λίμνην τὸ Γράμμα φησὶ τὸ ἱερόν· ἔνθα καὶ ηὕρηνται τὴν τῶν ἁλιέων μετιόν-

A propheticus sermo de illis habitus est, sed tempore commodo, quo mortalibus illucescet Emmanuel: tunc enim vocata est gentium multitudo.

Cap. IX. Vers. 1-3. *Hoc primum bibe, cito fac, regio Zabulon, terra Nephthalim, via maris, et reliqui maritimi, et trans Jordanem, Galilæa gentium. Populus qui ambulat in tenebris, videte lucem magnam: qui habitatis in regione et umbra mortis, lux illucebit vobis. Maxima pars populi quam deduxisti in lætitia tua, et lætabuntur coram te, ut ii qui lætantur in messe, et ut ii qui dividunt spolia.*

149 Et dura fame et inopia premendos dixit, qui fidem Emmanueli habere recusarunt, non tamen
B defecturos qui in angustia versati sunt, usque ad tempus præfatus est, juxta prius allatam sententiam. Orditur demonstrare qui sint primi qui crediderunt, et qui primitiæ fuerunt eorum qui vocati sunt ad agnitionem Emmanuelis, dicentis: Ecce ego et pueri quos mihi dedit Deus, et qui erat in domo Israel in signa et ostenta a Domino Sabaoth, qui habitat in monte Sion. Narrant enim fines Zabulon et Nephthalim Tiberiadi stagno adjacere, et in extremis partibus Judaicæ regionis esse, ut Galilææ gentium sint conterminæ, nam altera est in regione Phœnicum. Ex his maxime tribubus dicunt plerosque sanctorum apostolorum esse. Et quidem de eorum vocatione Matthæus beatus evangelista nobis enarrans, primum quidem per fines Zabulon
C et Nephthalim Jesum deducit, postea quemadmodum delegerit sanctos apostolos, prudenter subjungit, sicque de Christo scribit: « Et relicto Nazareth, profectus habitavit in Capharnaum, mari finitimam, in finibus Zabulon et Nephthalim, ut impleretur quod dictum est ab Isaia propheta dicente: Terra Zabulon, et terra Nephthalim, via maris ultra Jordanem, Galilæa gentium; populus qui sedit in tenebris, lucem vidit magnam, et sedentibus in regione et umbra mortis, lux orta est eis [79]. » Addit vero his: « Obambulans vero juxta mare Galilææ, vidit duos fratres, Simonem dictum Petrum, et Andream fratrem ejus, jacientes retia in mare: erant enim piscatores: ac dixit illis Jesus: Venite
D post me, et faciam vos piscatores hominum. Atque illi, continuo relictis retibus, secuti sunt eum. Inde progressus vidit alios duos fratres, Jacobum filium Zebedæi, et Joannem fratrem ejus in navi, cum Zebedæo patre suo, sarcientes sua retia, et vocavit eos: hique protinus relicta navi et patre suo, secuti sunt eum [80]. » Sciendum vero Scripturam sacram dicere mare Galilææ Tiberiadem lacum, ubi divini discipuli piscatoriam artem exercere inventi sunt. Facit igitur verba **150** in præsentia universitatis Deus voce prophetæ, velut ad regiones sive civitates tribus Zabulon et Nephthalim, quæ Tiberiadi stagno erant confines: quibus tantum non

[79] Matth. IV, 13-17. [80] ibid. 18-22.

salutaris poculum impartitur, et vinum propinat exhilarans cor hominis, prædicationem videlicet de Christo. Hoc, inquit, primum bibe, cito facito, id est, o regio Zabulon ac Nephthalim, suscipite prædicationem salutarem. Sed facite cito, id est, citra omnem moram. Celeres, uti dicebam, fuerunt discipuli, et valde alacriter ad credendum Christo prosilierunt. Nam continuo relictis retibus et patre suo, secuti sunt; et nec longa institutione illis opus fuit. Audierunt enim: « Venite post me, et faciam vos piscatores hominum; et secuti sunt eum [81]. » Pari modo et cæteros sanctos apostolos vocatos inveniemus, et in disciplinam Christi se tradidisse. Scribit enim Joannes sic de Servatore nostro Christo: « Postero die voluit exire in Galilæam, et reperit Philippum; et dicit ei Jesus, sequere me. Erat autem Philippus a Bethsaida civitate Andreæ et Petri. Reperit Philippus Nathanaelem, et dicit ei: De quo scripsit Moses in lege, et prophetæ, invenimus Jesum filium Joseph Nazarenum [82]. » Ubi vero accessit ad Jesum, ac dicentem demum audivit: « Priusquam te Philippus vocaret, cum esses sub ficu, videbam te, » credidit protinus, et clamavit, dicens: « Rabbi, tu es Filius Dei, tu es rex Israelis [83]. » Rursus Bethsaida, de qua Philippus et Nathanael oriundi sunt, adjacebat mari Tiberiadi. Meminit item beatus David electionis discipulorum, et inquit: « Illic Benjamin junior in stupore, principes Juda, duces eorum, principes Zabulon, principes Nephthalim [84]. Quod autem divini discipuli suis temporibus non soli vocandi essent, sed etiam multitudo gentium, designat, inquiens: Et reliqui maritimi ultra Jordanem, Galilæa gentium, populus qui ambulat in tenebris, lucem vidit magnam; et qui habitatis in regione ac umbra mortis, lux illucebit vobis. Incedebant enim jam perinde ut gentes, et commemorabantur in hoc mundo, tanquam in nocte, et in tenebris, propterea quod lumen **151** veræ Dei cognitionis in animo non haberent, sed ruerent quasi in omnem foveam, et in malum veluti ad quemvis lapidem impingerent. Habitare vero eos in regione et umbra mortis ait, quod sit apud eos, puta in regionibus eorum, aliud nihil quam sola nebula et caligo, mentis videlicet et intelligentiæ, quique sint instar mortuorum, adhuc viventes. Corporum namque umbra omnino eorum formas imitatur, et quantum ad figuræ similitudinem attinet, nulla ratione discrepat. Deum autem nescire qui natura est et vere Deus, imitatio quodammodo est et umbra mortis. Cæterum illis hoc morbo laborantibus lux magna affulsit, post eam quam ipse Christus intulit, oraculum quoque evangelicum. Inde fuit maxima pars populi quam deduxisti in lætitia tua. Multo enim plures ex gentibus vocati sunt, præter eos qui ex Israel crediderunt. Itaque, inquit, lucem vidit magnam, maxima pars populi quem deduxisti in lætitia. Illud, « Deduxisti, »

A τες τέχνην οἱ θεσπέσιοι μαθηταί. Ποιεῖται τοίνυν τοὺς λόγους ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς τοῦ προφήτου πρὸς τὸ παρὸν, ὡς πρός τε τὰς χώρας ἤτοι τὰς πόλεις τῆς φυλῆς Ζαβουλὼν καὶ Νεφθαλεὶμ, αἳ παρέκειντο τῇ Τιβεριάδι λίμνῃ· καὶ μονονουχὶ ποτήριον αὐταῖς τοῦ σωτηρίου διδοὺς, καὶ οἶνον προσάγων τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου, τὸ κήρυγμα δηλονότι τὸ περὶ Χριστοῦ. Τοῦτο πρῶτον πίε, φησὶ, ταχὺ ποίει, τοῦτ' ἔστιν, ὦ χώρα Ζαβουλὼν καὶ Νεφθαλεὶμ, δέχεσθε τὸ κήρυγμα τὸ σωτήριον. Ἀλλὰ ποιεῖτε ταχὺ, τοῦτ' ἔστι, μελλησμοῦ δίχα παντός. Ὀξεῖς δὲ, ὡς ἔφην, οἱ μαθηταὶ, καὶ λίαν ἑτοίμως ἰόντες ἐπὶ τὸ πιστεῦσαι Χριστῷ. Ἠκολούθησαν γὰρ εὐθὺς ἀφέντες τὰ δίκτυα καὶ τὸν πατέρα, καὶ μυσταγωγίας αὐτοῖς ἐδέησεν οὐ μακρᾶς. Ἤκουον γάρ· « Δεῦτε ὀπίσω μου, B καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων, καὶ ἠκολούθησαν αὐτῷ. » Κατὰ τὸν ἴσον τρόπον καὶ ἑτέρους τῶν ἁγίων ἀποστόλων κεκλημένους εὑρήσομεν, καὶ πεποιηκότας τῆς ἐπὶ Χριστῷ μυσταγωγίας τὸν λόγον. Γράφει γὰρ Ἰωάννης ὧδε περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδὰ ἐκ τῆς χώρας Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέθ. » Ἐπειδὴ δὲ ἀφίκετο πρὸς τὸν Ἰησοῦν, εἶτα λέγοντος ἤκουσε· « Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε, » πεπίστευκε παρα- C χρῆμα, καὶ δὴ καὶ ἀνέκραγε λέγων· « Ῥαββὶ, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. » Βηθσαϊδὰ δὲ πάλιν ἐξ ἧς ὁ Φίλιππος ἦν καὶ μέν τοι Ναθαναὴλ, παρέκειτο τῇ θαλάσσῃ τῇ Τιβεριάδι. Διαμέμνηται δὲ καὶ ὁ μακάριος Δαβὶδ τῆς τῶν μαθητῶν ἀναῤῥήσεως, καί φησιν· « Ἐκεῖ Βενιαμεὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν· ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλείμ. » Ὅτι δὲ ἔμελλον οὐ μόνοι κληθήσεσθαι κατὰ καιροὺς οἱ θεσπέσιοι μαθηταὶ, ἀλλὰ γὰρ καὶ αἱ τῶν ἐθνῶν ἀγέλαι, καταμηνύει λέγων· καὶ οἱ λοιποὶ οἱ τὴν παράλιον καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει φῶς ἴδε μέγα. Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. Ἐβάδιζον γὰρ ὥσπερ οἱ ἐξ ἐθνῶν, καὶ D διέτριβον ἐν τῷδε τῷ κόσμῳ· καθάπερ οἱ ἐν νυκτὶ καὶ ἐν σκότῳ, διά τοι τὸ φῶς οὐκ ἔχειν εἰς νοῦν τῆς ἀληθοῦς θεογνωσίας, πίπτειν δὲ ὥσπερ κατὰ βόθρου παντός· καὶ οἷά τις λίθῳ παντὶ προσπταίειν κακῷ. Κατοικεῖν δὲ αὐτοὺς ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φησὶν, διὰ τὸ εἶναι παρ' αὐτοῖς, ἤγουν ἐν ταῖς αὐτῶν χώραις, ἕτερον οὐδὲν, πλὴν ὅτι μόνην ἀχλὺν καὶ σκότον, τὸν νοητὸν δηλονότι, εἶναι δὲ ὥσπερ ἐν ὁμοιώσει τῶν τεθνεώτων, καίτοι ζῶντας ἔτι. Ἡ μὲν γὰρ τῶν σωμάτων σκιὰ μιμεῖται πάντως αὐτῶν τὰ σχήματα, παραλλάττει δὲ ὅλως κατ' οὐδένα τρόπον, ὅσον ἧκεν εἰς ἐμφέρειαν τὴν ὡς ἐν σχήματι λέγω· τὸν δέ γε

[81] Matth. IV, 19. [82] Joan I, 43-45. [83] ibid. 47-49. [84] Psal. LXVII, 28.

Θεὸν οὐκ εἰδέναι τὸν φύσει καὶ ἀληθῶς, μίμημά πώς ἐστι καὶ σκιὰ θανάτου. Ἀλλὰ τοῖς ἐκεῖνα νενοσηκόσι φῶς ἐπέλαμψε, μετὰ τὸ παρὰ Χριστοῦ δηλονότι, καὶ τὸ θέσπισμα τὸ εὐαγγελικόν. Ἐκεῖθεν γέγονε τὸ πλεῖστον τοῦ λαοῦ, ὃν κατήγαγες ἐν τῇ εὐφροσύνῃ σου. Πλείους γὰρ λίαν οἱ ἐξ ἐθνῶν κεκλημένοι παρὰ τοὺς πιστεύσαντας ἐξ Ἰσραήλ. Οὐκοῦν φῶς εἶδε, φησὶ, μέγα, τὸ πλεῖστον τοῦ λαοῦ, ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου. Τὸ δὲ Κατήγαγες, ἀντὶ τοῦ, Ἀνεκαλέσω, τέθεικεν, καὶ Ἐλυτρώσω, καθάπερ αἰχμαλώτους ἐκ πλεονεξίας διαβολικῆς γεγενημένους. « Οὗτοι εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ· καὶ ὃν τρόπον οἱ διαιρούμενοι τὰ σκῦλα. » Νοήσομεν δὲ διχῇ τῶν προκειμένων τὴν δήλωσιν. Εἰ μὲν γὰρ εἶεν οἱ θεσπέσιοι μαθηταὶ οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ διαιρούμενοι σκῦλα, φαμὲν ὅτι τοὺς ἐξ ἐθνῶν συλλέγοντες καθάπερ τινὰ σῖτον εἰς ἀποθήκην δεσποτικὴν, καὶ τῆς ἀρχαίας ἀποκείροντες πλάνης, εὐφραίνονται κατὰ τὸν ἴσον τρόπον τοῖς ἀμῶσιν ἐν ἀγροῖς, ἁρπάζοντες δὲ καθάπερ ἐκ τυραννικῆς πλεονεξίας τοὺς ἠπατημένους ὑπὸ τοῦ Σατανᾶ, καὶ μεθιστάντες διὰ τῆς πίστεως εἰς εὐσέβειαν, χαίρουσιν ὡς οἱ διαιρούμενοι τὰ σκῦλα. Οἱ μὲν γὰρ τούτους, οἱ δὲ ἐκείνους ἔπειθον· καὶ ἑκάστῳ κέρδος οἱ σεσωσμένοι, καθάπερ τοῖς νενικηκόσι τὰ ἐκ τοῦ πολέμου σκῦλα. Εἰ δὲ δὴ περὶ τῶν πεπιστευκότων εἰρῆσθαι λέγοι ταυτὶ, ἐννοήσωμεν, ὅτι κατὰ τὸν τοῦ πλανᾶσθαι καιρὸν, καρπὸν οὐδένα δικαιοσύνης ἔχοντες, πεπλουτήκασι τοῦτον πεπιστευκότες εἰς Χριστόν. Ἀλλὰ καὶ πάλαι πορθούμενοι καὶ διαρπαζόμενοι παρά τε τῶν δαιμονίων καὶ τοῦ Σατανᾶ, νενικήκασι διὰ Χριστοῦ, τοὺς πάλαι σκυλεύοντας, καὶ κρείττους γεγόνασι τῆς ἐκείνων σκαιότητος. Οὐκοῦν εὐφραίνονται καὶ αὐτοὶ, καθά φησιν ὁ προφήτης, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα.

A positum est pro Vocasti, et redemisti, veluti captivos diaboli tyrannide. « Hi lætabuntur coram te, quasi qui lætantur in messe, quemadmodum qui dividunt spolia. » Bifariam autem intelligemus hæc verba. Nam si divini discipuli sint, qui lætantur in messe, et dividunt spolia, dum nimirum gentes colligunt, veluti frumentum in horreum dominicum, et antiquum errorem amputant, gaudio afficiuntur perinde ac ii qui in agris metunt : et dum tanquam tyrannica vi eripiunt a Satana seductos, et per fidem ad pietatem traducunt, gaudent quasi qui spolia dividunt. Etenim hi illos, illi alios permoverunt, et singulis in lucrum cedunt hi qui servati sunt, ut e bello spolia victoribus. Sin de his qui crediderunt istud dicat : intelligemus, eos cum erroris tempore B nullum fructum justitiæ haberent, hoc credentes in Christum implevisse. Qui etiam olim vastati et cum a dæmoniis tum a Satana direpti, eos qui quondam spoliabant, diviserunt, et eorum malitia superiores exstiterunt. Itaque gavisi sunt et ipsi, sicuti propheta dicit, tanquam qui lætantur in messe, et quemadmodum hi qui dividunt spolia.

C *Διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. Τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασε Κύριος ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ.*

Ἐλευθέρους ὄντας τοὺς ἐπὶ τῆς γῆς, καὶ κατ' εἰκόνα τὴν θείαν εὖ μάλα πεποιημένους, ἐκτισμένους τε, καθά φησιν ὁ μακάριος Παῦλος, ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν, πεπλεονέκτηκεν οὐ μετρίως ὁ τῆς ἀνομίας εὑρετὴς, καὶ τῆς εἰς Θεὸν ἀποστήσας ἀγάπης, ἰδίους ἐποιήσατο προσκυνητὰς, δυσδιάφυκτον αὐτοῖς ἐπαρτήσας τὸν τῆς ἁμαρτίας ζυγόν. Πεπραχότας τοίνυν ἀθλίως, καὶ ἐν τούτοις ὄντας τοῖς κακοῖς, μάλιστα τοὺς ἐξ ἐθνῶν ἐῤῥύσατο Χριστὸς, καὶ πάλιν ἀπέφηνεν ἐλευθέρους. Ταύτῃ τοί φησιν· « Ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ D ἐπὶ τοῦ τραχήλου αὐτῶν. » Ῥάβδον δὲ οἶμαι, φησὶν, ἢ τὸ σκῆπτρον, τοῦτ' ἔστι, τὴν βασιλείαν, δῆλον δὲ ὅτι τὴν τοῦ Σατανᾶ, ἢ τάχα που τὴν ἀνάγκην, καὶ τὴν οἱονεὶ πληγήν τε καὶ μάστιγα. Συνέχει γὰρ ἡμᾶς εἰς τὸ οἰκεῖον θέλημα τὸ μιαρὸν καὶ βέβηλον τῶν δαιμονίων τὸ στῖφος, καὶ ὁ τούτων ἡγούμενος ὁ Σατανᾶς, μονονουχὶ ῥάβδῳ καταπαίων ταῖς τῶν παθῶν δυναστείαις, ἃ ἐπιφέρει τῷ νῷ, καὶ καταβιάζεται τὴν καρδίαν εἰς τὸ δρᾷν ἐθέλειν ἃ μὴ θέμις. Ἀποσείσονται τοίνυν, φησὶ, τὸν ἐκ πλεονεξίας ζυγὸν, καὶ μὴν καὶ τὴν ῥάβδον, ἣν ἐσχήκασιν ἀεὶ κατὰ τοῦ τραχήλου, καθάπερ οἰκέται ταῖς τοῦ δεσπότου πληγαῖς

152 VERS. 4. *Quia tolletur jugum ipsis impositum, et virga quæ super collum ipsorum. Virgam enim exactorum dissipavit Dominus, velut in die Madian.*

Cum liberi essent in terra, et ad imaginem divinam pulcherrime fabricati, condititque, ut inquit beatus Paulus [88], ad opera bona quæ præparavit Deus, ut in illis ambularemus, invasit eos et totos possedit iniquitatis inventor, et a charitate in Deum aversos, proprie suos cultores reddidit, ac inevitabile peccati jugum imposuit. Itaque misere agentes, hisque in malis versatos gentiles maxime, Christus eripuit, et de integro in libertatem vindicavit. Idcirco ait : « Tolletur jugum ipsis impositum, et virga quæ est in collo eorum. » Virgam autem, credo, di- D cit, vel sceptrum, hoc est, regnum, scilicet Satanæ ac immundorum spirituum, vel forte necessitatem ac veluti plagam et flagellum. Coercet enim nos, cogitque ad suam voluntatem sceleratam et nefariam agmen dæmoniorum, eorumque antesignanus Satanas, affectuum imperio ceu virga propemodum verberans, quos menti offundit, animumque impellit, ut quæ non licet velit facere. Excutient ergo, inquit, jugum tyrannidis, et virgam quam collo impendentem semper habuerunt, velut mancipia heri plagis subjecta. Mentionem vero rursus interserit historiæ quæ posita est in libro Judicum. Sic autem se habet : Cum dereliquissent universi-

[88] Ephes. II, 10.

tatis Deum Israelitæ temporibus Judicum, ad impietatem morum devoluti sunt, Deumque opitulatorem ac vindicem molestia affecerunt, idolis affixi, operibusque suarum manuum cultum attribuentes. Hinc Madianitis traditi sunt, qui universam eorum terram depopulati sunt, urbes et castella, et quæ in agris erant, diripuerunt, tantumque timorem miseris incusserunt, ut in rupibus habitaverint, et inaccessos montes petrarumque specus sibi pararint, diraque ac diuturna inedia oppressi fuerint. Graviter autem fatiscentes ac laborantes commiseratus Deus, manu ac ministerio Gedeonis asseruit, qui Madianitas devicit, et necessitate impendente ac virga Israelem liberavit. Ita ergo « dissipavit **153** exactorum virgam, sicut in die Madiam. » Quemadmodum enim tunc intolerabili tyrannide oppressos eripuit, tyrannica gente expulsa, sic eos exactorum virga depulsa et abjecta gentes conservavit. Exactores vero appellat ipsum Satanam, ipsaque cum illo dæmonia, quibus hic scopus quasi propositus est, ut peccata consueta quasi vectigal seu tributum ab hominibus exigant. Omnino enim ab eo qui scortari solet scortationem, ab eo qui furari solet furtum, ut suppilet vestes vel furetur simpliciter, et a singulis demum hominibus in quibus insunt affectus, ea quæ familiaria illis sunt et amica reposcunt. Unde, opinor, sacræ Litteræ quosdam vocem ejus qui tributa exigit non audientes, beatos prædicant.

A ὑποκείμενοι. Μέμνηται δὲ πάλιν ἱστορίας κειμένης ἐν τῇ βίβλῳ τῶν Κριτῶν. Ἔστι δὲ αὕτη. Καταλελοιπότες γὰρ τὸν τῶν ὅλων Θεὸν οἱ ἐξ Ἰσραὴλ ἐν ταῖς τῶν Κριτῶν ἡμέραις, ἐτράποντο πρὸς ἀνοσιότητα τρόπων, καὶ λελυπηκότες οὐ μετρίως τὸν ἐπαμύνοντα Θεὸν, εἰδώλοις προσκείμενοι, καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν προσάγοντες λατρείας. Ταύτῃ τοι δέδονται τοῖς Μαδιηναίοις· οἳ πᾶσαν αὐτῶν κατεληΐζοντο γῆν, πόλεις τε καὶ κώμας διαρπάζοντες, καὶ τὰ ἐν ἀγροῖς. Καὶ τοσοῦτον ἐνεποιήσαντο τοῖς ἀθλίοις τὸ δεῖμα, ὥστε καὶ πέτρας αὐτοὺς ἑλέσθαι κατοικεῖν, καὶ τὰ δύσβατα τῶν ὀρῶν, καὶ τὰς τῶν σπηλαίων περιεργάζεσθαι καταδύσεις, ἀγρίῳ τε καὶ μακρῷ καταθλίβεσθαι λιμῷ. Κεκμηκότας δὲ οὐ μετρίως ἠλέει Θεὸς, εἶτα σέσωκεν αὐτοὺς διὰ χειρὸς Γεδεὼν, B ὃς νενίκηκε τοὺς Μαδιηναίους, ἠλευθέρου τε τὸν Ἰσραὴλ τῆς ἐπηρτημένης αὐτοῖς ἀνάγκης καὶ ῥάβδου. Οὕτω τοίνυν διεσκέδασεν ὁ Κύριος τὴν τῶν ἀπαιτούντων ῥάβδον, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδίαμ. Ὡς γὰρ ἐῤῥύσατο τότε τοὺς ταῖς ἀφορήτοις πλεονεξίαις ἐνησχημένους, τὸ πλεονεκτοῦν ἐξελάσας ἔθνος, οὕτω σέσωκε τοὺς ἐξ ἐθνῶν, τὴν τῶν ἀπαιτούντων ἐλάσας ῥάβδον. Ἀπαιτοῦντας δέ φησιν, αὐτόν τε τὸν Σατανᾶν, καὶ τὰ δαιμόνια, οἷς ὁ σκοπὸς καὶ ἡ πᾶσα σπουδὴ, τὸ ἀπαιτεῖν ἀνθρώπους καθάπερ τινὰ δασμὸν, ἢ τέλος τὰς συνήθεις ἁμαρτίας. Ζητοῦσι γὰρ πάντως, ἀπὸ μὲν τοῦ πορνεύειν εἰωθότος τὴν πορνείαν, ἀπὸ δὲ τοῦ κλέπτειν τὴν κλεψίαν. Ἤγουν τὸ λωποδυτεῖν ἁπλῶς, καὶ ἐφ' ἑκάστου τῶν ἐν πάθεσιν ὄντων, τὰ αὐτῷ συνήθη καὶ φίλα. Ὅθεν οἶμαι τὸ Γράμμα τὸ ἱερὸν μακαρίζει τινὰς, ὡς μὴ ἀκούσαντας τὴν τοῦ φορολόγου φωνήν.

VERS. 6, 7. *Quia omnem stolam congregatam fraude, et vestem cum commutatione restituent, et volent esse igne combusti. Quia puer natus est nobis, et filius datus est nobis, cujus principatus factus est super humerum ejus, et vocabitur nomen ejus magni consilii Angelus. Ego enim adducam pacem super principes, pacem et sanitatem eorum. Magnus principatus ejus, et pacis ejus non erit finis : super solium Davidis, et regnum ejus, ut recte illud administret et auxilietur, in justitia et in judicio in omnem deinceps æternitatem. Zelus Domini Sabaoth fecit hæc.*

C *Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετ' ἀλλαγῆς ἀποτίσουσιν· καὶ θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱὸς, καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. Ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγίειαν αὐτῶν. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔσται ὅριον· ἐπὶ τὸν θρόνον Δαβὶδ καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτήν. Καὶ ἀντιλαβέσθαι αὐτῆς, ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι, ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα χρόνον· ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.*

Vocatæ sunt ad agnitionem Emmanuelis per sanctos apostolos reliquiæ Israelis, vocatæ sunt et gentes. Quippe dicebat : Regio Zabulon, et terra Nephthalim; quibus deinde subdit, Galilæa gentium, populus qui sedet in tenebris, videbat lucem magnam, lucem videlicet per Christum, qui intelligentiæ luce non gentem Israeliticam jam, sed totum terrarum orbem collustrat. Quod autem collustrati diaboli malitiæ jugum exuere virgamque effugere deberent, plene confirmavit, cum addit : Propterea tolletur jugum quod illis impositum est, et virga in collo eorum. Atenim videmus his qui creaturæ serviunt et opera manuum suarum adorant, diabolicæ malitiæ jugum incubuisse; Israelitis etiam legis pondus non ferendum, et onus vere intolerandum. Siquidem beati discipuli reprehenderunt eos, qui

Κέκληται μὲν εἰς ἐπίγνωσιν τοῦ Ἐμμανουὴλ, διὰ τῶν ἁγίων ἀποστόλων τὸ κατάλειμμα τοῦ Ἰσραήλ· D κέκληνται δὲ καὶ τὰ ἔθνη. Καὶ γοῦν ἔφασκεν· Χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ· εἶτα τούτοις ἐπήγαγεν, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα, τὸ διὰ Χριστοῦ δηλονότι καταφωτίζοντος νοητῶς, οὐχ ἓν ἔθνος ἔτι τὸ ἐξ Ἰσραὴλ, σύμπασαν δὲ μᾶλλον τὴν ὑπ' οὐρανόν. Ὅτι ἔμελλον οἱ πεφωτισμένοι, τῆς τοῦ διαβόλου σκαιότητος ἀποδύσασθαι τὸν ζυγὸν, διαφυγεῖν τε τὴν ῥάβδον, πεπληροφόρηκε προτιθείς· Διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. Ἀλλ' ὁρῶμεν ὅτι τοῖς μὲν τῇ κτίσει λελατρευκόσι καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν προτκεκ[illegible]ηκόσιν, ὁ τῆς διαβολικῆς σκαιότητος ἐπέῤῥιπτο ζυγός· τοῖς γε μὴν ἐξ Ἰσραὴλ τὸ τοῦ νόμου δυσδιακόμιστον

ἄχθος, καὶ δύσοιστον ἀληθῶς φορτίον. Καὶ γοῦν οἱ A μακάριοι μαθηταὶ, τοῖς μετὰ τὴν πίστιν ἀναπείθουσί τινας τὰ ἐν νόμῳ τηρεῖν ἐπετίμων λέγοντες· « Καὶ νῦν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε ἡμεῖς, οὔτε οἱ πατέρες ἡμῶν ἰσχύσαμεν βαστάσαι; » Δυσφόρητος οὖν ἄγαν τοῖς ἐξ Ἰσραὴλ ὁ τοῦ νόμου ζυγός· καὶ πρός γε τοῦτο τὸ ἔτι φορτικώτερον, ἡ τῶν Φαρισαίων σκαιότης συνέτριβεν οὐ μετρίως συνθραύουσα ταῖς ἀπληστίαις. Ἐρασιχρήματοι γὰρ οἱ τῆς Ἰουδαίων συναγωγῆς ἡγούμενοι, καὶ σκοπὸν ἔχοντες ἕνα τὸ πανταχόθεν συλλέγειν, καὶ καταβιάζεσθαι τοὺς ὑπὸ χεῖρα λαούς. Οὐκοῦν πρέποι ἂν καὶ μάλα ὀρθῶς καὶ περί γε τῶν ἐξ Ἰσραήλ· « Ὅτι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. » Ῥάβδον δὲ κατὰ τὸ εἰκὸς, τὴν ἐκ τῶν B ἡγουμένων ὀνομάζει πλεονεξίαν, διάτοι τὸ ἀπονεῦσαι δεινῶς εἰς φιλοκερδίας. Ταύτης ἕνεκα τῆς αἰτίας, οἱ δείλαιοι, καὶ αὐτὸν ἀπεκτόνασι τὸν Υἱόν. Καίτοι γὰρ ἰδόντες ὅτι αὐτός ἐστιν ὁ κληρονόμος εἶπαν ἐν ἑαυτοῖς, φησίν· « Δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν ἑαυτοῖς τὴν κληρονομίαν αὐτοῦ. » Ὅτι τοίνυν δυσσεβῆ καὶ ἀνόσιον ἔχοντες τὸν ἐπὶ τῷδε σκοπὸν, ἥδιστα ἂν τῶν ὄντων αὐτοῖς ἁπάντων ὑπέμειναν τὴν ζημίαν, ἢ ἰδεῖν ἐπιλάμψαντα τῷ κόσμῳ τὸν Ἐμμανουήλ, ὑπεμφαίνει λέγων· « Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς, ἀποτίσουσι, καὶ θελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν. » Ἐκ δόλου μὲν γὰρ καὶ ἀπάτης, καὶ ἀπὸ τοῦ κρίνειν C οὐκ ὀρθῶς, τὴν τῶν χρημάτων ἄθροισιν ἐποιήσαντο, φησίν· ἀλλ' ἡδὺ καὶ φίλον αὐτοῖς, καὶ μέχρι αὐτῆς τῆς περιστολῆς καὶ τῶν ἱματίων μετὰ καταλλαγῆς, τοῦτ' ἔστι, μετὰ προσθήκης, ἀποπέμψασθαι καὶ ἀποβαλεῖν, μᾶλλον δέ φησιν ἠθέλησαν καταφλεχθῆναι καὶ πυρὶ, δυσφοροῦντες ἄγαν, ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱός. Πεπιστευμένοι γὰρ τὸν δεσποτικὸν ἀμπελῶνα, τοὺς καρποὺς ἠθέλησαν ἔχειν αὐτοὶ καὶ μόνοι, προσκομίζοντες τῷ δεσπότῃ τὸ σύμπαν οὐδέν. Παιδίον δὲ λέγων γεγεννῆσθαι, διελέγχει σαφῶς τῆς τῶν Μανιχαίων δόξης τὸ ἀδρανὲς, οἳ παραιτοῦνται λέγειν, ὅτι γέγονε σὰρξ ὁ Λόγος· τοῦτ' ἔστι, τὴν ἡμῶν πεφόρηκε σάρκα δι' ἡμᾶς οἰκονομικῶς. Ἀλλ' εἰ βούλονται φρονεῖν ὀρθῶς, καὶ τῆς ἑαυτῶν δυσβουλίας καταψηφίζεσθαι, μὴ ἀτιμαζέτωσαν τὰς τοῦ προ- D φήτου φωνὰς, παιδίον ἡμῖν γεγεννῆσθαι λέγοντος. Ὅπου γὰρ τόκος ἐκ γυναικὸς ἀληθῶς, ποῖον ἂν ἔχει τόπον τὸ δοκήσει καὶ σκιᾷ, καὶ ὡς ἐν μόναις εἰπεῖν φαντασίαις γεγενῆσθαι τὴν ἐπιδημίαν; πλὴν ἡμῖν δεδόσθαι φησὶ τὸν υἱόν. Γέγονε γὰρ ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος οὐ δι' ἑαυτὸν, ἀνακαινιῶν δὲ μᾶλλον τὰ καθ' ἡμᾶς εἰς τὸ ἀπ' ἀρχῆς, καὶ τῆς ἁπάντων ζωῆς ἀντίλυτρον, τὸ ἴδιον σῶμα προσκομιῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. Γεγενῆσθαι δέ φησι τὴν ἀρχὴν αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ δοκεῖ μέν τισι τοιοῦτόν τι νοεῖν. Ἐπειδὴ γάρ, φησιν, ἑαυτῷ τὸν σταυρὸν εἰς ὤμους ἔχων ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ

post **154** fidem ad legalium observationem quosdam perpulerunt, dicentes: « Et nunc quid tentatis Deum, ut imponatis jugum cervici discipulorum, quod neque nos neque patres nostri portare potuimus [86]? » Intolerabile igitur admodum Israelitis erat legis jugum, et quod adhuc gravius est, eos Pharisæorum malitia haud mediocriter, insatiabili cupiditate frangens et opprimens. Erant enim pecuniarum amantes Judæorum synagogæ ductores, unumque hunc scopum præ se habentes, ut undecunque colligerent, populumque subditum violentissimis modis tractarent. Itaque rectissime dici poterit de Israelitis etiam: Tolletur jugum illis impositum, et virga quæ est in collo eorum. Virgam autem procerum rapacitatem nominare videtur, quod avaritiæ impendio dediti fuerint. Hanc ob causam miseri ipsum etiam Filium interfecerunt. Quanquam enim sciebant eum esse hæredem, « Apud se dixerunt, inquit, Adeste, occidamus eum, et habeamus nobis hæreditatem ejus [87]. » Quod igitur impium et nefarium scopum habentes Judæorum præfecti, omnium bonorum suorum jacturam libentissime pertulissent, potius quam viderent illucescentem mundo Emmanuelem, subindicat dicens: « Omnem stolam congregatam dolo, et vestem cum commutatione restituent, et volent igni combusti esse. Quia puer natus est nobis, et filius datus est nobis. » Ex dolo enim et fraude, et ex iniquo judicio opum coacervarunt cumulum, inquit: verumtamen jucundum illis et gratum fuisset, etiam ipsum amictum et vestes, cum permutatione, id est, cum quæstu, dimittere et abjicere, imo vero, inquit, maluissent comburi etiam igne, ægerrime ferentes puerum natum esse nobis, et filium datum nobis. Quibus enim herilis vineæ cura commissa fuerat, hi soli fructus sibi volebant habere, hero nihil prorsus afferentes. Puerum autem natum cum dicit, infirmitatem Manichæorum opinionis evidenter coarguit, qui renuunt dicere, Verbum carnem factum esse, id est, nostram carnem propter nos portasse per dispensationem. Atqui si recte sapere voluerint, et suam ipsorum temeritatem damnare, ne contumeliose pervertant verba prophetæ dicentis, puerum nobis natum esse: ubi etenim proles vere nata est ex muliere, qui locus esse poterit, **155** opinione et umbra vel sola specie adventum ejus fuisse? Verum dicit nobis datum esse filium. Factus est enim homo unigenitum Dei Verbum, non propter seipsum, sed potius ut nostram conditionem, sicuti fuit a principio, restauraret, et ut omnium vitæ pretium ac redemptionem suum corpus Deo et Patri in odorem suavitatis offerret. Factum vero principatum ejus ait super humerum ejus, videturque nonnullis hujusmodi quidpiam intelligere: Quoniam enim, inquit, crucem portans humeris Dominus noster Jesus Christus, ad passionem salutarem venit, et exaltatus est, et orbem terrarum per seipsum

[86] Act. xv, 10. [87] Matth. xxi 33.

obtinuit : hinc fuisse dicitur principatus ejus super humero ejus. Habet vero aliquid probabilitatis hæc oratio, nec sententia recte posita vituperanda est, si quis eam laudandam susceperit. Videtur nimirum hic propheticus sermo humerum appellare fortitudinem : omne siquidem robur nostrum in brachiis et humeris situm est. Et quidem brachium Dei ac Patris dicitur Filius. « Domine, enim, inquit, quis credidit auditui nostro, et brachium Domini cui revelatum est [87] ? » Imperavit ergo orbi terrarum sua ipsius potentia Christus : quippe fortitudo est Dei ac Patris. Vocatur præterea et magni consilii Angelus, videlicet Dei et Patris. Attestabitur autem de his loquens sapiens Joannes : « Qui accepit ejus testimonium, is obsignavit Deum verum esse. Quem enim misit Deus, verba Dei loquitur [88]. » Et ipse dicit sanctis apostolis : « Vos amici mei estis, si feceritis quæ ego præcipio vobis. Non jam vos dico servos, quia servus non intelligit quid facit dominus ejus. Vos autem dixi amicos, quia omnia quæ audivi a Patre meo, patefeci vobis [89]. » Magni itaque consilii Angelum hac de re nominat Emmanuelem. Postquam autem factus est homo, ipse omnium a se gestorum vim et virtutem Deo ac Patri attribuit. Quod ipsum Deus ac Pater ipse per hæc nobis ostendit, cum ait : Ego enim adducam pacem super principes, pacem et sanitatem eorum. Pacem ipsissimam sanctis apostolis ut suam ac propriam dedit Christus. Omnia enim quæ sunt Patris, sunt ejus. Dicebat item : « Pacem meam do vobis, pacem meam relinquo vobis [90]. » Si vero dicatur ipse Emmanuel pacem et sanitatem accipere, cogita mihi rursus dispensationis, in carne, singulare **156** consilium. Accepit enim pacem quæ est ex mundo videlicet, Patre ei tradente omnia, et ut pacem erga ipsum habeant persuadente, illum adorando, regnique ejus jugum suscipiendo. « Nemo enim potest, » inquit, « venire ad me, nisi Pater qui misit me, traxerit eum [91]. « Proclamavit etiam alicubi sapiens Isaias : » Faciamus pacem ei, faciamus pacem accedentes ad eum [92]. » Accipit itaque pacem a Patre, ad eum quem dixi modum. Audivimus siquidem eum alloquentem Patrem et Deum cœlestem : « Quos dedisti mihi ex mundo, tui erant, ac illos mihi dedisti [93]. » Accipit item sanitatem, id est, e mortuis vitæ renovationem. Cum enim infirmatus paululum dicatur, quod permiserit carni suæ, gratia Dei pro omnibus mortem gustare, sanitatem accipit, renovationem vitæ accipit, idque rursus ipse præstitit. Excitavit enim suum templum, cum ipse sit potentia Patris. Si enim ipse est resurrectio et vita, quid tandem ad vivificationem desiderasset vita ? Et si aliorum corpora excitasse conspicitur sua rursus vi ac potentia, quidni ante aliorum corpora suum excitasset ? Affatur autem ipse Judæos : « Solvite templum hoc, et in tribus

A Χριστὸς, πρὸς τὸ σωτήριον εἴη πάθος, ὑψώθη δὲ καὶ κεκράτηκε τῆς ὑπ' οὐρανὸν δι' αὐτοῦ, ταύτῃ τοι καὶ γενέσθαι λέγεται ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ. Ἔχει δὲ τὸ πιθανὸν ὁ λόγος, καὶ οὐκ ἀτιμαστέον τὴν ἔννοιαν ὀρθῶς ἔχουσαν, κἂν εἰ ἕλοιτό τις ἐπαινεῖν αὐτήν. Ἔοικε δὲ τὸν ὦμον ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος τὴν ἰσχὺν βούλεσθαι δηλοῦν. Πᾶσα γὰρ ἡμῶν ἰσχὺς ἐν βραχίοσί τε καὶ ὤμοις. Καὶ γοῦν εἴρηται δεξιὰ καὶ βραχίων τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός. «Κύριε» γάρ, φησί, «τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;» Ἦρξε τοίνυν τῆς ὑπ' οὐρανὸν διὰ τῆς ἑαυτοῦ δυνάμεως ὁ Χριστός· ἰσχὺς γάρ ἐστι τοῦ Θεοῦ καὶ Πατρός. Κέκληται δὲ καὶ μεγάλης βουλῆς Ἄγγελος, δῆλον δὲ ὅτι τοῦ Θεοῦ καὶ Πατρός. Καὶ μαρτυρήσει λέγων ὁ σοφὸς Ἰωάννης
B περὶ αὐτοῦ· « Ὁ λαμβάνων αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ. » Καὶ αὐτὸς δέ πού φησι τοῖς ἁγίοις ἀποστόλοις· « Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιήσητε, ἃ ἐγὼ ἐντέλλομαι ὑμῖν. Οὐκέτι λέγω ὑμᾶς δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ Κύριος. Ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου, ἐγνώρισα ὑμῖν. Μεγάλης οὖν ἄρα βουλῆς ἄγγελον ταύτης τε ἕνεκα τῆς αἰτίας ὀνομάζει τὸν Ἐμμανουήλ. Ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, αὐτός τε ἀνετίθει τῷ Θεῷ καὶ Πατρὶ, τὴν ἐφ' ἅπασι τοῖς παρ' αὐτοῦ δρωμένοις ἐνέργειάν τε καὶ δύναμιν, καὶ αὐτὸς ἐκ διὰ τούτων ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ, αὐτὸ δὴ τοῦτο παραδηλοῖ λέγων· Ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας εἰρή-
C νην καὶ ὑγίειαν αὐτῶν. Τὴν μὲν οὖσαν εἰρήνην, τοῖς ἁγίοις ἀποστόλοις, ὡς ἰδίαν ἐδίδου Χριστός. Ἔστι γὰρ αὐτοῦ πάντα τὰ τοῦ Πατρὸς, καὶ δὴ καὶ ἔφασκεν· « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. » Εἰ δὲ δὴ λέγοιτο καὶ αὐτὸς ὁ Ἐμμανουὴλ εἰρήνην καὶ ὑγίειαν λαβεῖν, νόει μὲν πάλιν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ εὐτεχνές. Ἐδέχετο γὰρ εἰρήνην τὴν ἀπὸ τοῦ κόσμου δηλονότι, προσάγοντος αὐτῷ σύμπαντας τοῦ Πατρὸς, καὶ εἰρηνεύειν πρὸς αὐτὸν ἀναπείθοντος, διά γε τοῦ προσκυνεῖν αὐτῷ, καὶ τὸν τῆς βασιλείας αὐτοῦ δέχεσθαι ζυγόν. « Οὐδεὶς γὰρ δύναται, » φησὶν, « ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. » Προσανακεκράγει δέ που καὶ ὁ σοφὸς Ἡσαΐας· « Ποιήσωμεν εἰρήνην αὐτῷ, ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι. »
D Δέχεται μὲν οὖν τὴν εἰρήνην παρὰ τοῦ Πατρὸς, κατὰ τόνδε τὸν τρόπον, ὡς ἔφην. Ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Υἱόν· « Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας. » Δέχεται δὲ καὶ ὑγίειαν, τοῦτ' ἔστι, τὴν ἐκ νεκρῶν ἀναβίωσιν. Ἐπειδὴ γὰρ ἀσθενῆσαι λέγεται βραχὺ, διά τοι τὸ ἐφεῖναι τῇ ἰδίᾳ σαρκὶ χάριτι Θεοῦ ὑπὲρ πάντων γεύσασθαι θανάτου, δέχεται τὴν ὑγίειαν, τοῦτ' ἔστι, τὴν ἀναβίωσιν, καὶ τοῦτο πάλιν ἐνεργήσας αὐτός. Ἤγειρε γὰρ τὸν ἑαυτοῦ ναὸν, αὐτὸς ὑπάρχων ἡ δύναμις τοῦ Πατρός. Εἰ γὰρ αὐτὸς

[87] Isa. LIII, 1. [88] Joan. III, 33. [89] Joan. XV, 14, 15. [90] Joan. XIV, 27. [91] Joan. VI, 66. [92] Isa. XXVII, 5. [93] Joan. XVII, 9.

ἐστιν ἡ ἀνάστασις, καὶ ἡ ζωὴ, τίνος ἂν ἐδεήθη πρὸς ζωοποίησιν ἡ ζωή; Καὶ εἰ τὰ τῶν ἑτέρων ἐγηγερκὼς ὁρᾶται σώματα δυνάμει πάλιν ἰδίᾳ, πῶς ἂν οὐκ ἀνέστησε καὶ πρό γε τῶν ἄλλων τὸ ἴδιον; Καίτοι, φησὶ, πρὸς Ἰουδαίους αὐτός· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.» Ὅτι γὰρ ἀκλόνητος ἡ βασιλεία τοῦ Χριστοῦ καὶ τὸ ἐρηρεισμένον ἔχουσα διὰ παντὸς διδάσκει, λέγων· «Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον.» Ἦρξε γὰρ οὐκέτι μόνης τῆς Ἰουδαίας, ἁπάσης δὲ μᾶλλον τῆς ὑπ' οὐρανόν. Καὶ τέλος οὐκ ἔσται τῆς παρ' ἡμῶν προσφερομένης αὐτῷ εἰρήνης. Εἰρηνεύομεν γὰρ πρὸς αὐτὸν, αὐτῷ προσκυνοῦμεν, ὡς ἔφην, καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ τῷ Θεῷ καὶ Πατρί. Καὶ τὴν τοῦ πολέμου πρόξενον ἁμαρτίαν ἐκ μέσου ποιεῖν, σπουδάζοντες. Ὅτι δὲ ἀφίκετο τὸ τῶν Ἰουδαίων ἐλευθερώσων ἔθνος, διδάσκει προτιθείς· «Ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτήν· καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον.» Ἐπειδὴ δὲ ἀποχρώντως ἡμῖν τὸν περί γε τοῦ Ἐμμανουὴλ ἐποιήσατο λόγον ὁ μακάριος προφήτης τῆς ἐνανθρωπήσεως τὸν καιρὸν ἀποδίδωσι, λέγων· «Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.» Ποῖος δὲ ζῆλος καὶ ἐπὶ τίσιν ἀναγκαῖον εἰπεῖν. Ὁ μὲν γὰρ Δράκων ὁ ἀποστάτης ἥρπασε τὴν ὑπ' οὐρανὸν, καὶ τοῖς ἰδίοις ὑπέθηκε σκήπτροις τὸν κατ' εἰκόνα Θεοῦ γενόμενον ἄνθρωπον. Ἦν οὖν ἄρα ζήλου παντὸς ἄξιον ἀληθῶς, καὶ πλεονεξίας ἁπάσης ἀνάμεστον τὸ καθ' ἡμῶν γεγονὸς, ἠλευθέρωσε τοίνυν ὁ ζῆλος Κυρίου Σαβαὼθ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν. Καὶ κατ' ἕτερον δὲ τρόπον, παρεζήλωσαν αὐτὸν οἱ ἐξ Ἰσραὴλ ἐπ' οὐ θεοῖς καθὰ γέγραπται, καὶ ἐν τοῖς ματαίοις αὐτῶν, καὶ τελευτῶντες ἐσταύρωσαν τὸν Ἐμμανουήλ. Παρεζηλώθησαν ἐν τοῖς ἔθνεσι, καθά φησιν αὐτός· Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεοῖς. Παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

A diebus excitabo illud [18]. » Regnum vero Christi omnino fixum et firmum esse docet, cum ait: « Magnus principatus ejus, et pacis ejus non erit finis. » Non enim soli Judææ, sed toti orbi terrarum imperavit. Nec finis erit pacis, quæ a nobis illi affertur. Pacem enim erga eum habemus: adoramus eum, ut dixi, sic et per illum, et in illo Deum ac Patrem. Et peccatum unde bellum conflatum et ortum est, exterminare debemus. Venisse autem eum ad gentem Judæorum liberandum docet, cum addit: « Super solium Davidis, et super regnum ejus, ut dirigat illud, et administret in justitia, et judicio, in omnem deinceps perpetuitatem. » Postquam autem satis de Emmanuele verba nobis fecit beatus propheta, humanitatis tempus B explicat, dicens: « Zelus Domini Sabaoth fecit hæc. » Qui autem zelus, et pro quibus necessario dicendum. Draco nimirum apostata orbem terrarum prædæ habuit, et suis sceptris **157** hominem ad Dei imaginem factum subjecit. Erat igitur vere omni zelo dignum, et omni tyrannide plenum, quod in nos factum est. Liberavit igitur zelus Domini Sabaoth omnes terræ incolas. Aliter autem sic: Ad æmulationem provocarunt eum Israelitæ in non diis, sicut scriptum est, et in vanitatibus suis, et tandem Emmanuelem in crucem subegerunt. Accensi autem sunt ipsi æmulatione in gentibus, quemadmodum ipse dicit: Illi ad æmulationem incenderunt me in non diis, irritaverunt me in idolis suis. Ego autem ad æmulationem provocabo eos in non gente, C in gente stulta irritabo eos.

ΛΟΓΟΣ Ϛ'.

Θάνατον ἀπέστειλε Κύριος ἐπὶ Ἰακὼβ, καὶ ἦλθεν ἐπὶ Ἰσραὴλ, καὶ γνώσεται πᾶς ὁ λαὸς τοῦ Ἐφραΐμ, καὶ ἐγκαθήμενοι ἐν Σαμαρείᾳ, ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες· Πλίνθοι πεπτώκασιν, ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους, καὶ κόψωμεν συκαμίνους, καὶ κέδρους καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον.

Μακρὸς μὲν γέγονε τῷ προφήτῃ λόγος ὁ περί γε τοῦ Ἐμμανουὴλ, ὃν διαπεράνας εὐπαλῶς, πάλιν ἐπάνεισιν ἐπὶ τὰ ἐν ἀρχαῖς· ἦσαν δὲ ταυτί. Ἐπῃτιᾶτο γὰρ λίαν τὸν Ἰσραὴλ, ὡς ἀπειθοῦντά τε καὶ παροτρύνοντα τὸν ἀεὶ σεσωκότα Θεὸν, ταύτης τε ἕνεκα τῆς αἰτίας, τοῖς ἐσχάτοις ἑαυτὸν ἐνιέντα κακοῖς· ἔφασκε γὰρ ὅτι οὐκ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαὼθ· ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν. Καὶ ἐθυμώθη ὀργῇ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς, καὶ ἐπάταξεν αὐτούς. Καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς κοπρία ἐν μέσῳ ὁδοῦ. Ὄρη δέ φησι τὰ παρωξυμμένα τοὺς τῶν Ἀσσυρίων βασι-

ORATIO VI.

CAP. IX. VERS. 8-10. *Mortem immisit Deus in Jacob, et invasit Israel, scietque omnis populus Ephraim, et considentes in Samaria, superbe et elato animo dicentes: Lapides ceciderunt, at venite, dolemus lapides, et excidamus sycomoros et cedros, et ædificemus nobis ipsis turrim.*

D Prolixa quidem fuit prophetæ oratio de Emmanuele qua scite admodum confecta, rursus ad principia revertitur. Erant autem hæc: Graviter siquidem accusabat Israelem, utpote Deo immorigerum et ad iracundiam excitantem eum qui semper servaverat, eaque ultimis sese calamitatibus involventem. Dicebat enim nolle se legem Domini Sabaoth: at oraculum sancti Israelis exasperarunt. Ac stomachatus est Dominus populo suo, immisitque illis manum suam, ac percussit eos, et exacerbati sunt montes, et facta sunt morticinia eorum velut stercus in medio viæ. Montes vero dicit exacerbatos, reges Assyriorum: superbi enim erant,

[18] Joan. II, 19.

et fastuosi, et elati animo, qui, tota Samaria a fundamentis concussa et convulsa, captivum Israelem ceperunt, et in montes Persarum et Medorum abduxerunt. Absoluto itaque, uti dicebam, vaticinio de Emmanuele, denuo institutum **158** principio scopum prosequitur, et Samariæ vastationem exponit, cum ait: « Mortem emisit Deus in Jacob, et invasit Israelem. » Sciendum autem Hebræorum interpretationem, cæterosque expositores pro morte, sermonem posuisse. « Sermonem enim, inquit, misit Dominus super Jacob. » Quem sermonem? nempe condemnantem eos qui impietatem exercuerunt, et pœnas irrogantem iis qui, ipso relicto, operibus suarum manuum procubuerunt. Sive igitur dicat: Mortem misit Deus, sive maledictionem, vel sermonem, vis sententiarum non erit absurda, sed ad unum et eumdem scopum tendet. Cæterum hic mentionem injicit historiæ, quam brevibus dicam. Sic namque vix etiam manifestum evadet quod enarratur. Regnarunt igitur diversis temporibus Hierosolymis in Juda atque Jacob viri tum probi, tum improbi, nec minus in Israel, Ephraemitæ in Samaria. Nam erat ex tribu Ephraim etiam primus eorum rex Jeroboamus, filius Nabati, qui ut vitulos aureos adorarent persuasit. Eorum ergo qui regnaverunt Hierosolymis, ac in Samaria, certis temporum vicibus, complures, uti dixi, Deum offenderunt, intrepide profani idololatræ, adorantes militiam cœli, lignisque et lapidibus impie servientes. Cujusmodi etiam fuit ille Achazus, qui suos adeo liberos per ignem traduxit, plurimaque contra Hierusalem mala est machinatus, atque in ipsum Dei templum transgressus est. Quo e medio per mortem sublato, capessit sceptrum Ezechias, regnante in Samaria super Israele seu decim tribubus, Osea filio Elæ: quo regnum administrante, bellum Samariæ intulit Assyriorum rex, et una cum ea cepit et multas alias urbes Judææ. Deinde vero post, Sennacherimo terram Judæorum incursante, quandoquidem pius erat Ezechias, mirabiliter Deus Jerusalem conservavit. Est autem sic scriptum quarto libro Regnorum [94]: Factum est anno quarto regis Ezechiæ: qui fuit annus septimus Oseæ filii Elæ, regis Israel: expeditionem fecit Salmanasarus rex Assyriorum in Samariam, eamque obsedit, ea post triennium capta anno sexto Ezechiæ, qui fuit annus **159** nonus Oseæ regis Israel. Et capta est Samaria, et traduxit rex Assyriorum Samariam in Assyrios, et in Alae, et in Abior fluvio Gozan, et in montibus eos collocavit Medorum, eo quod non audiverunt vocem Domini Dei sui, et violarunt fœdus ejus, nihil eorum quæ præcepit Moses servus Domini audiverunt, nec fecerunt. Decimo autem quarto anno regis Ezechiæ, ascendit Sennacherimus rex Assyriorum in urbes Judææ munitas, easque occupavit. Et hæc quidem ex sacris Litteris. Quod autem depopulatus sit Samariam

[94] IV Reg. XVIII, 9 seqq.

A λέας· ὑπέροπτοι γὰρ καὶ ἀλαζόνες, καὶ ὑψηλοὶ τὰς φρένας γεγόνασιν. Οἳ καὶ πᾶσαν ἐκ βάθρων κατασείσαντες τὴν Σαμαρείαν, εἷλον αἰχμάλωτον τὸν Ἰσραὴλ, καὶ ἀπεκόμισαν εἰς τὰ ὄρη Περσῶν καὶ Μήδων. Διαπεράνας τοίνυν, ὡς ἔφην, τὴν ἀνάῤῥησιν τοῦ Ἐμμανουὴλ, ἕπεται δὴ πάλιν τῷ ἐν ἀρχαῖς προτεθέντι σκοπῷ, καὶ τῆς Σαμαρείας τὴν δῄωσιν ἀφηγεῖται λέγων· « Θάνατον ἀπέστειλε Κύριος ἐπὶ Ἰακὼβ, καὶ ἦλθεν ἐπ' Ἰσραήλ. » Ἰστέον δὲ ὅτι καὶ ἡ τῶν Ἑβραίων ἔκδοσις, καὶ ἕτεροι δὲ τῶν ἑρμηνευτῶν, ἀντὶ τοῦ, θανάτου τεθείκασι λόγον. « Λόγον » γὰρ, φησὶν, « ἀπέστειλεν ὁ Κύριος ἐπὶ Ἰακὼβ, καὶ ἦλθεν ἐπὶ Ἰσραήλ. » Λόγον δὲ ὁποῖον; Καταδικάζοντα δηλονότι τῶν ἠσεβηκότων, καὶ ὑποτιθέντα ποιναῖς τοὺς αὐτὸν μὲν καταλελοιπότας, προσκεκυνηκότας τοῖς
B ἔργοις τῶν ἰδίων χειρῶν. Εἴτουν λέγοιτο, Θάνατον ἀπέστειλε ὁ Θεὸς, εἴτουν Ἀρὰν ἢ λόγον, οὐκ ἀσύμβατος ἔσται τῶν ἐννοιῶν ἡ δύναμις, βαδιεῖται δὲ μᾶλλον εἰς ἕνα τε καὶ τὸν αὐτὸν σκοπόν. Διαμέμνηταί γε μὴν ἱστορίας ἐν τούτοις, ἣν ἐρῶ διὰ βραχέων. Ἔσται γὰρ οὕτω καὶ μόλις καταφανὲς τὸ δηλούμενον. Βεβασιλεύκασι τοίνυν κατὰ καιροὺς ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τὸν Ἰούδαν, ἤτοι τὸν Ἰακὼβ, ἄνδρες ἀγαθοί τε καὶ πονηροί· οὐδὲν δὲ ἧττον καὶ ἐπὶ τὸν Ἰσραὴλ οἱ ἐκ φυλῆς Ἐφραῒμ ἐν τῇ Σαμαρείᾳ. Ἦν γὰρ ἐκ φυλῆς Ἐφραῒμ καὶ ὁ πρῶτος αὐτῶν βεβασιλευκὼς Ἱεροβοὰμ ὁ τοῦ Νάβατ, ὃς καὶ ταῖς δαμάλεσιν αὐτοῦ ταῖς χρυσαῖς ἀνέπεισε προσκυνεῖν. Τῶν τοίνυν κατὰ καιροὺς βεβασιλευκότων ἔν τε τοῖς
C Ἱεροσολύμοις καὶ ἐν τῇ Σαμαρείᾳ πλεῖστοι γεγόνασιν, ὡς ἔφην, Θεῷ προσκρούοντες ἀδεῶς, βέβηλοί τε καὶ εἰδωλολάτραι, προσκυνοῦντες τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ξύλοις τε καὶ λίθοις ἀνοσίως λελατρευκότες· ὁποῖός τις ἦν καὶ οὗτος ὁ Ἄχαζ, ὃς καὶ τὰ ἴδια τέκνα διήγαγε διὰ πυρὸς, πλεῖστά τε ὅσα κατὰ τὴν Ἱερουσαλὴμ εἰργάσατο κακὰ, παρανενόμηκε δὲ καὶ εἰς αὐτὸν τὸν θεῖον νεών. Ἐπειδὴ δὲ γέγονεν ἐκ μέσου θανάτῳ κατειλημμένος, διαδέχεται τὸ σκῆπτρον Ἐζεχίας, βασιλεύοντος ἐν τῇ Σαμαρείᾳ τοῦ Ἰσραὴλ, ἤτοι τῶν δέκα φυλῶν Ὠσηὲ υἱοῦ Ἠλά. Οὗ διέποντος τὴν βασιλείαν κατεστράτευσε τῆς Σαμαρείας ὁ τῶν Ἀσσυρίων βασιλεύς. Συνεξεῖλε δὲ αὐτῇ καὶ πολλὰς ἑτέρας τῆς Ἰουδαίας πόλεις. Εἶτα μετὰ τοῦτο τοῦ Σενναχειρὶμ κατατρέχοντος τὴν Ἰουδαίαν σέσωκε
D Θεὸς παραδόξως τὴν Ἱερουσαλὴμ εὐσεβοῦς ὄντος Ἐζεχίου. Γέγραπται δὲ οὕτως ἐν τῇ τετάρτῃ τῶν βασιλειῶν. Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ τετάρτῳ βασιλεῖ Ἐζεχίᾳ, αὐτὸς ὁ ἐνιαυτὸς ἕβδομος, τῷ Ὠσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραὴλ, ἀνέβη Σαλαμανασὰρ βασιλεὺς Ἀσσυρίων ἐπὶ Σαμάρειαν καὶ ἐπολιόρκει αὐτήν. Καὶ κατελάβετο αὐτὴν ἀπὸ τέλους τριῶν ἐτῶν, ἐν ἔτει ἕκτῳ τῷ Ἐζεχίᾳ, αὐτὸς ὁ ἐνιαυτὸς ἔννατος τῷ Ὠσηὲ βασιλεῖ Ἰσραήλ. Καὶ συνελήφθη Σαμάρεια, καὶ ἀπῴκισε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους, καὶ ἔθηκεν αὐτοὺς ἐν Ἀλαὲ καὶ ἐν Ἀβιὼρ ποταμῷ Γωζὰν, καὶ εἰς τὰ ὄρη Μήδων· ἀνθ' ὧν, ὅτι οὐκ ἤκουσαν φωνῆς Κυρίου τοῦ Θεοῦ αὐτῶν,

καὶ παρέβησαν τὴν διαθήκην αὐτοῦ, πάντα ὅσα ἐνετείλατο Μωσῆς ὁ δοῦλος Κυρίου, καὶ οὐκ ἤκουσαν, καὶ οὐκ ἐποίησαν. Καὶ τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει βασιλέως Ἐζεχίου, ἀνέβη Σενναχειρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυρὰς, καὶ συνέλαβεν αὐτάς. Καὶ ταυτὶ μὲν ἐκ τῶν ἱερῶν Γραμμάτων. Ὅτι δὲ πεπόρθηκε τὴν Σαμάρειαν ὁ Σενναχειρεὶμ, ἀναβαίνων κατὰ τῶν Ἱεροσολύμων, ἐξ ὧν αὐτὸς γέγραφεν ὁ μακάριος Ἡσαΐας ὁ προφήτης ἀκονητὶ διοψόμεθα. Προσπεφώνηκε γὰρ οὕτως· Ῥαψάκης τοῖς καθημένοις ἐν τῷ τείχει· μὴ ὑμᾶς ἀπατάτω Ἐζεχίας, λέγων· Ὁ Θεὸς ὑμῶν ῥύσεται ὑμᾶς. Μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων; Ποῦ ἐστιν ὁ θεὸς Ὀμάθα, καὶ Ἀρφάθ; καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς πόλεως Σεπφαρουεὶμ; μὴ ἐδύναντο σῶσαι Σαμάρειαν ἐκ χειρός μου; Προανῄρηκε τοίνυν τὴν Σαμάρειαν ὁ Σενναχειρεὶμ ταῖς ἄλλαις ὁμοῦ πόλεσί τε καὶ χώραις· εἶτα πεπολιόρκηκε τὴν Ἱερουσαλήμ. Ἐπειδὴ γὰρ τῆς θείας κατεφλυάρησε δόξης, ἐξῆλθεν ἄγγελος παρὰ Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἐν μιᾷ νυκτὶ ἑκατὸν καὶ ὀγδοήκοντα πέντε χιλιάδας. Οὐκοῦν ἐπειδήπερ ἀφίκετο μὲν κατὰ τῶν Ἱεροσολύμων ὁ Σενναχειρεὶμ, προανεῖλε δὲ τὴν Σαμάρειαν Θεοῦ παραδόντος αὐτὴν, διάτοι τὸ δρᾷν ἑλέσθαι τὰ χείρω τῶν ἐν τοῖς Ἱεροσολύμοις, ἀναγκαίως φησί· « Θάνατον ἀπέστειλε Κύριος ἐπὶ Ἰακὼβ, καὶ ἦλθεν ἐπὶ Ἰσραήλ. » Ἀλλ' ἐμπέπρησται μὲν ἡ Σαμάρεια ἐν ᾗ κατῴκησεν ὁ Ἰσραὴλ, τοῦτ' ἔστιν, αἱ δέκα φυλαὶ, καὶ ἀπόλωλεν ὁλοτελῶς. Ἦν δὲ οἶμαι σοφὸν ἐννοῆσαι λοιπὸν τοὺς περιληφθέντας ἐν αὐτῇ, ὅτι τὸ προσκρούειν Θεῷ χαλεπὸν ἀληθῶς· εἶτα τοῦτο διεγνωκότας ἐκμειλίσσεσθαι τὸν λελυπημένον χρῆναι δήπου πάντως, καὶ ταῖς εἰς τὸ ἄμεινον μεταβολαῖς καταμαλθάσσειν παρωτρυμμένον. Οἱ δὲ τοῦτο μὲν οὐκ ἔδρων, οὐδὲ εἰς νοῦν ἐδέχοντό ποθεν· ἀπονοούμενοι δὲ καὶ ἔτι μειζόνως ἔφασκον· « Πλίνθοι πεπτώκασιν, ἀλλὰ λαξεύσωμεν λίθους, καὶ κόψωμεν συκαμίνους καὶ κέδρους, καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον. » Ὦ πολλῆς ἀμαθίας. Πῶς γὰρ οὐκ ἔδει μᾶλλον εἰπεῖν· Προσκεκρούκαμεν ἐξ ἀβουλίας τῷ πάντα ἰσχύοντι Θεῷ; Ἥλωσάν τε ταύτης ἕνεκα τῆς αἰτίας, αἱ παρ' ἡμῖν πόλεις τε καὶ κῶμαι. Δεῦτε, ταῖς μεταγνώσεσιν ἀποφορτισώμεθα τὴν ὀργήν. Οἱ δὲ ταυτὶ μὲν οὐκ ἔφασκον· περιυβρίζοντες δὲ μᾶλλον τῆς ἐπικουρίας τῆς παρὰ Θεοῦ τὴν ἀσφάλειαν ἔφασκον ὅτι τὰ τῶν πόλεων τείχη τῶν κατὰ τὴν Σαμάρειαν πεποίηντο μὲν ἐκ πλίνθου σαθρᾶς. Ἐὰν δὲ λίθους λαξεύσωμεν, καὶ τὰ ἄσηπτα τῶν ξύλων, συκαμίνους δὲ, φημὶ καὶ κέδρους ἁρμόσωμεν αὐτοῖς καὶ ἀναστήσωμεν πύργον, ἀνάλωτοί τε ἐσόμεθα τοῖς ἐχθροῖς, καὶ ἀπόρθητοι μενοῦμεν. Οἱ τοίνυν ταῦτα, φησὶν, ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες, γνώσονται, τοῦτ' ἔστι, μαθήσονται πάλιν, ὅποι ποτὲ βαδιεῖται τὸ σκέμμα αὐτοῖς, καὶ ὅτι πάλιν ἐκτελευτήσει πρὸς ὄλεθρον ἡ βουλὴ αὐτοῖς. Ἰστέον δὲ ὅτι μετὰ τὴν πόρθησιν τοῦ Σενναχειρεὶμ ἐν καιροῖς Ἱερεμίου, πεπολέμηκε τὴν Ἰουδαίαν ὁ Ναβουχοδονόσορ εἷλέ τε πᾶσαν κατὰ κράτος,

Sennacherimus expeditione facta contra Hierosolyma, ex his quæ beatus Isaias propheta scripsit, nuiloneg otio videbimus. Clamavit siquidem Rhapsaces his qui sederunt in mœnibus, hunc in modum : Ne vobis imponat Ezechias, dicens : Deus vester eripiet vos. Num eripuerunt dii gentium suam quisque regionem e manu regis Assyriorum? Ubi est deus Amath, et Arphath? et ubi deus civitatis Sepharaim? Num Samariam a manu mea defendere poterant? Evertit nimirum ante Samariam Sennacherimus, cum aliis simul urbibus et regionibus, ac demum Jerusalem obsedit. Postquam enim in divinam majestatem hæc dicteria jecisset, egressus a Domino angelus, occidit ex castris Assyriorum una nocte centum et octoginta quinque millia. Cum igitur expeditionem fecisset contra Hierosolyma Sennacherimus, Samaria prius occupata, Deo tradente eam, quod nequiora his quæ Hierosolymis facta sunt, patraverit, necessario inquit : « Mortem emisit Deus in Jacob, et invasit Israel. » At incensa est civitas Samaritanorum, in qua habitavit Israel, id est, decem tribus, et funditus periit. Erat porro sapientiæ, credo, ut deinceps considerarent, hi qui in ea relicti erant, Deum offendere, esse reipsa gravissimum : dein hoc cognito et perspecto, placare offensum omnino oportere, et mutationibus in melius mitigare. Quod hi non fecerunt, neque in animum induxerunt, unde mente capti ambitiose jactarunt, « Lateres ceciderunt, sed venite, incidamus lapides, incidamus sycomoros, et cedros, et ædificemus nobis ipsis turrim. » O magnam inscitiam! An non æquius **160** erat dicere, Offendimus per stultitiam et incogitantiam omnipotentem Deum? Vexatæ sunt hanc ob causam urbes nostræ et vici : venite, hanc iram resipiscentia exoneremus? At hi minime isthæc dixerunt, sed divini auxilii securitate et præsidio contumeliose contempto, dictitabant : « Urbium Samariæ muri exstructi sunt ex latere vitioso. Quod si nos lapides cædimus, et ligna incorrupta, sycomoros, inquam, et cedros adaptaverimus, turrimque erexerimus, non capiemur ab hostibus, et invicti manebimus. Qui ergo, inquit, hæc superbe et elato corde dicunt, scient, id est, discent rursus, quo tandem evadet hoc suum institutum, et quod rursus in perniciem cadet suum consilium. Sciendum autem post vastationem Sennacherimi, temporibus Jeremiæ, Nabuchodonosorum Judæam oppugnasse et cepisse, ac vastasse totam Samariam, ipsamque adeo Jerusalem. Proin propheta Jeremias ait : « Maledictus qui spem habet in homine, et firmat carnem brachii sui, et a Domino discedit cor ejus [95]. » Servabit enim nemo eum, qui divinæ iræ obnoxius est : « Manum enim excelsam quis avertet [96]? » sicuti scriptum est.

[95] Jerem. xvii, 5. [96] Isa. xiv, 27.

καὶ πεπόρθηκε τὴν Σαμάρειαν, καὶ αὐτὴν καὶ τὴν Ἱερουσαλήμ. Οὐκοῦν φησιν ὁ προφήτης Ἱερεμίας· « Ἐπικατάρατος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον. Καὶ στηρίζει σάρκα βραχίονος αὐτοῦ. » Διασώσει γὰρ οὐδεὶς τὸν ὑπὸ θείαν ὀργὴν γεγονότα. « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει, » κατὰ τὸ γεγραμμένον;

VERS. 11, 12. *Et allidet Deus consurgentes contra montem Sion, et hostes dissipabit, Syriam a solis ortu, et Græcos a solis occasu, qui Israelem toto ore devorent.*

Cum percutit Deus ob multa peccata, inducit credentibus medelam, ut appareat omnibus modis, dolore, inquam, et consolatione ad pœnitentiam vocare. Et nunc simile quiddam his qui direptionem passi sunt, appromittit, habetque historia explicationem, quod propositum est, quam, ut dixi, commemorare paucis est necesse. Ultimum enim bellum contra universam Judæam et Samariam a Nabuchodonosoro gestum est, in quo abducti sunt captivi, et hostibus septuaginta annos servierunt. Tempore vero iræ exacto, universitatis Deus iterum misertus est, effecitque ut remitterentur, cum Cyrus filius Cambysis Babylonios subegisset. Cum vero ad sanctam civitatem reversi essent, qui tantum ærumnarum pertulerant, eam denuo reficere voluerunt, idque fecerunt, divinumque **161** suum templum restaurarunt. Cæterum licet tanta passi fuissent, et veterum delictorum pœnas luissent, nihilo tamen minus de integro ex invidia vicinæ gentes aggressæ sunt. Nec enim volebant Jerusalem invalescere, maxime vero omnium aliorum Syri vicini, et Damasceni acerbissime infestarunt. Verum Deo servante, et illis captivis succurrente, victi sunt: gentes enim superarunt. Deinde tempore progrediente, Antiochus, cui cognomen erat Epiphanes, regnum tenens Asiæ, offensus est in eum, qui tum temporis Ægyptiacæ terræ regnum occupabat Ptolemæum, prœlioque commisso victus est, vixque salvus effugit. Ne vero omnino re infecta domum rediret, nullo potitus victoriæ monumento, bello illato Judææ Hierosolyma occupavit, et sub manum ditionemque redigens, omnia vasa sacra diripiens Lysiam quemdam ducem Judææ præfecit, ac præfecturam ei tuendam ac conservandam demandavit. Tum Antiocho, quem commemoravi, ad suum regnum reverso, bellum gerentes Judæi cum Lysia præfecto, subegerunt. Quo cognito, Antiochus præ dolore obiit. Promittit itaque auxilium universitatis Deus a Nabuchodonosoro quidem subactis, captivitatem tamen licet ægre effugientibus, et ait: « Et allidet Deus insurgentes contra montem Sion. » Audin', quo pacto etiam qui percutit, sanat? qui sunt ergo insurgentes? Syria a solis ortu, et Græci a solis occasu. Græcus enim genere erat Antiochus, qui e Macedonia eruperat. Ea vero est ad occasum: quippe pars occidentis est Macedonum regio, maxime quando veluti per comparationem quoad situm de Græcis intelligitur. Syri autem hi et Damasceni. Quoniam autem de Græcis ait, devorantes Israelem toto ore, sciendum, Antiochum

A *Καὶ ῥάξει ὁ Θεὸς τοὺς ἐπανισταμένους ἐπ' ὄρος Σιὼν ἐπ' αὐτούς, καὶ τοὺς ἐχθροὺς διασκεδάσει· Συρίαν ἐφ' ἡλίου ἀνατολῶν, καὶ τοὺς Ἕλληνας ἀφ' ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι.*

Ὅτε πλήττει Θεὸς διὰ πολλὰς ἁμαρτίας, ἐπάγει τοῖς πεπονθόσι τὴν μώτωσιν, ἵνα φαίνηται διὰ παντὸς τρόπου καλῶν εἰς μετάγνωσιν διά τε πόνου φημὶ καὶ παρακλήσεως. Τοιοῦτόν τι καὶ νῦν τοῖς παθοῦσι τὴν δῄωσιν ἐπαγγέλλεται. Ἱστορία δὲ ἀπόδοσιν ἔχει τὸ προκείμενον, ἣν ἀναγκαῖον, ὡς ἔφην, διὰ βραχέων εἰπεῖν. Τελευταῖος μὲν γὰρ κατὰ πάσης ὁμοῦ τῆς Ἰουδαίας, καὶ μέν τοι καὶ τῆς Σαμαρείας, ὁ παρὰ τοῦ Ναβουχοδονόσορ πόλεμος γίνεται, καὶ ἀπεκομίσθησαν αἰχμάλωτοι, καὶ δεδουλεύκασιν ἐχθροῖς B ἑβδομήκοντα ἔτη. Ἐπειδὴ δὲ συμπεπέρασται τοῖς ἀπὸ τῆς ὀργῆς ὁ καιρὸς, κατηλέησε πάλιν ὁ τῶν ὅλων Θεὸς, καὶ δὴ καὶ ἀνεθῆναι παρεσκεύασεν, Κύρου τοῦ Καμβύσου νενικηκότος τοὺς Βαβυλωνίους. Ἐπειδὴ δὲ τὴν ἁγίαν ἀφίκοντο πόλιν οἱ πεπονηκότες, ἀνατειχίζειν ἤθελον αὐτήν. Καὶ δὴ καὶ πεπράχασι, καὶ τὸν θεῖον αὐτῶν ἀνεδείμαντο νεών. Ἀλλ' οὐδὲν ἧττον, καίτοι τοσαῦτα πεπονθόσι, καὶ τὰς τῶν ἀρχαίων πλημμελημάτων ἐκτετικόσι δίκας, ἐπεφύοντο πάλιν ἐκ βασκανίας τὰ περίοικα τῶν ἐθνῶν. Οὐ γὰρ ἤθελον ἰσχῦσαι τὴν Ἱερουσαλήμ. Μάλιστα δὲ τῶν ἄλλων ἁπάντων ἐπέκειντο δριμεῖς οἱ ἀπὸ τῆς Συρίας τῆς γείτονος καὶ τῆς Δαμασκοῦ. Πλὴν νενίκηντο, Θεοῦ σώζοντός τε καὶ ἐπαμύνοντος τοῖς ἐκ τῆς C αἰχμαλωσίας. Κεκρατήκασι γὰρ τῶν ἐχθρῶν. Εἶτα χρόνου προϊόντος, Ἀντίοχος ὁ ἐπίκλην Ἐπιφανὴς βασιλεύων τῆς Ἀσίας, λελύπηται μὲν πρὸς τὸν βασιλεύοντα τὸ τηνικάδε τῆς Αἰγυπτίων γῆς Πτολεμαῖον· συγκροτήσας δὲ πόλεμον, νενίκητο μὲν, διεσώζετο δὲ μόλις. Ἵνα δὲ μὴ ἄπρακτος παντελῶς δράμοι οἴκαδε, οὐδὲν ἔχων τῆς νίκης ὑπόμνημα, κατεστράτευσε τῆς Ἰουδαίας, εἷλε τὰ Ἱεροσόλυμα, καὶ ὑπὸ χεῖρα λαβὼν πάντα τὰ σκεύη τὰ ἅγια διαρπάσας, Λυσίαν τινὰ στρατηγὸν ἐνίδρυσε τῇ Ἰουδαίᾳ, τηρεῖν ἐπιτάξας αὐτῷ τὴν ἀρχήν. Ἐπειδὴ δὲ ὁ μνημονευθεὶς Ἀντίοχος, εἰς τὴν ἑαυτοῦ δεδράμηκε βασιλείαν, πεπολεμήκασιν οἱ Ἰουδαῖοι Λυσίᾳ τῷ στρατηγῷ, καὶ νενικήκασι. Ταῦτα δὴ μαθὼν ὁ Ἀντίοχος ἐκ λύπης τελευτᾷ. Ὑπισχνεῖται τοίνυν D τὴν ἐπικουρίαν ὁ τῶν ὅλων Θεὸς τοῖς πεπορθημένοις ὑπὸ τοῦ Ναβουχοδονόσορ, διαφυγοῦσι δὲ μόλις τὴν αἰχμαλωσίαν φησίν· « Καὶ ῥάξει ὁ Θεὸς τοὺς ἐπανισταμένους ἐπ' ὄρος Σιὼν ἐπ' αὐτούς. » Ἀκούεις ὅπως ὁ πλήξας καὶ μωτοῖ; τίνες οὖν οἱ ἐπανιστάμενοι; Συρία ἀφ' ἡλίου ἀνατολῶν, καὶ οἱ Ἕλληνες ἀφ' ἡλίου δυσμῶν. Ἕλλην γὰρ ἦν τὸ γένος ὁ Ἀντίοχος, ὁ ἐκ Μακεδονίας ὁρμώμενος. Πρὸς δυσμαῖς δὲ αὕτη. Μέρος γὰρ τῆς Ἑσπέρας ἡ τῶν Μακεδόνων χώρα, μάλισθ' ὅταν ὡς πρὸς σύγκρισιν νοεῖται, κατά γε τὴν θέσιν, τῶν ἀφ' ἡλίου ἀνατολῶν. Σύροι δὲ οὗτοι καὶ

Δαμασκηνοί. Ἐπειδὴ δέ φησι περὶ τῶν Ἑλλήνων, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι, ἰστέον ὅτι ὠμῶς τε καὶ ἀπανθρώπως προσενήνεκται τοῖς Ἰουδαίοις ὁ Ἀντίοχος, καὶ ἀναριθμήτους ἀπέκτονεν οἰκτρῶς τε καὶ ἐλεεινῶς, ὅτε καὶ ἤθλησαν οἱ Μακκαβαῖοι, καὶ τὰ σεμνὰ τῶν ἀνδρῶν ἐκείνων πέπρακται νικητήρια. Ταῦτα δὲ Ἰώσηπος ἱστορεῖ ἐν τῇ περὶ αὐτῶν βίβλῳ. Κατεσθίουσί γε μὴν Ἑλλήνων παῖδες, καὶ ἑτέρως τὸν Ἰσραὴλ, καὶ ὅπως εἰπεῖν ἀναγκαῖον. Οἱ μὲν γὰρ παρ' αὐτοῖς ποιηταὶ καὶ λογάδες, εἰς ἄκρον ἥκοντες εὐγλωττίας, καὶ τό γε ἧκον εἰς λόγους, δεινοί τε ὄντες καὶ σοφοὶ, συναρπάζουσιν ἔσθ' ὅτε τὸν νοητὸν Ἰσραὴλ, τουτ' ἔστι, καὶ νοῦν ὁρῶντα Θεὸν, καὶ ἀπατῶσι τοὺς ἤδη πιστεύσαντας εἰς Χριστὸν, ὥστε καὶ ἑλέσθαι σὺν αὐτοῖς τῇ κτίσει παρὰ τὸν κτίσαντα προσκυνεῖν. Οὗτοι κατεσθίουσιν ὅλῳ τῷ στόματι τὸν Ἰσραὴλ, οἷς οὐ προσεκτέον. Λόγου μὲν γὰρ λαμπρότης ἔργοις ἀγαθοῖς εἰ ὁρῷτο σύνδρομος, ἔσται καὶ δεκτὴ, καὶ ἀνδάνουσα τῷ Θεῷ. Ψιλὴ δὲ καὶ μόνη τί ἂν ἕτερον εἴη λοιπὸν, ἢ καθά φησιν ὁ σοφώτατος Παῦλος, « χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον; »

Ἐπὶ τούτοις ἅπασιν οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. Καὶ ὁ λαὸς οὐκ ἀπεστράφη ἕως οὗ ἐπλήγη, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν.

Σέσωκε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς καὶ πλημμελοῦντα τὸν Ἰσραὴλ, καὶ δεδώρηται τὴν ἐπικουρίαν, ὥστε καὶ μείζους γενέσθαι τῶν ἐκ Συρίας τῆς γείτονος, καὶ τῶν ἀφ' ἡλίου δυσμῶν, οἳ κατήσθιον αὐτὸν ὅλῳ τῷ στόματι. Πλὴν ὁ ἐπ' αὐτοῖς θυμὸς Κυρίου, φησὶν, οὐκ ἀπεστράφη, τοῦτ' ἔστιν, οὐ κατέληξεν, ὑψηλὴ δὲ μᾶλλον ἀπομεμένηκεν ἡ τοῦ παίοντος χεὶρ, ἑτοίμως ἔχουσα δηλονότι πληγὰς αὐτοῖς καὶ ἑτέρας ἐπενεγκεῖν. Διὰ ποίαν αἰτίαν; Οὐ γὰρ ἀπεστράφη, φησὶν ὁ λαὸς, οὐδὲ τῶν ἰδίων ἀπέσχετο πλημμελῶν. Οὐκ ἐξεζήτησε τὸν Κύριον, διά γε τὸ βούλεσθαι τὰ αὐτῷ δοκοῦντα καὶ φίλα φρονεῖν τε καὶ δρᾷν. Μεμενήκασι δὲ τοιαύτην ἔχοντες τὴν γνώμην, ἄχρις ἂν αὐτοῖς ἡ ὑψηλή τε καὶ παναλκὴς ἐπενήνεκται χείρ. Ποία δὲ πάλιν ἡ μετέκεινα πληγὴ, πῶς οὐκ ἄξιον ἰδεῖν; Τελευταῖος μὲν γὰρ, ὡς ἔφην, ὁ Ναβουχοδονόσορ εἷλε τὴν Ἰουδαίαν πᾶσαν. Μετῴκησε δὲ καὶ τὸν Ἰσραὴλ εἰς τὰ ὄρη Περσῶν καὶ Μήδων. Ἐπειδὴ δὲ, ὡς ἔφην, ἤδη πεπερασμένων τῶν τῆς αἰχμαλωσίας καιρῶν, ἀνεκομίσθησαν εἰς τὴν Ἰουδαίαν, καὶ κατῳκήκασι τὴν Ἱερουσαλὴμ, οὐκέτι διῃρημένων εἰς δύο τῶν φυλῶν, ἀλλ' εἰς ἕνα λοιπὸν οἱ πάντες βασιλέα γεγενημένοι. Τοῦτο γὰρ ἦν τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον· « Καὶ ἀναβήσονται ἐκ τῆς γῆς, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν. » Μετὰ τοίνυν τὸ ἐκ τῆς αἰχμαλωσίας ὑπονοστῆσαι σύμπαντας εἰς τὴν Ἰουδαίαν, πεπολεμήκασιν αὐτοῖς οἱ ἀπὸ Συρίας, καὶ οἱ ἀφ' ἡλίου ἀνατολῶν, πλὴν ἥττηνται καὶ αὐτοὶ ὑπερασπίζοντος Θεοῦ τῶν λελυτρωμένων. Εἶτα διατετελέκασι τὸν μεταξὺ καιρὸν μέχρι τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας οὐ ζῶντες ὁσίως, οὔτε μὴν εἰς ἅπαν

crudeliter et inhumaniter impetum in Judæos fecisse, et innumerabiles miserum in modum trucidasse : quando et Machabæi certarunt, illustresque de illis hominibus celebratæ sunt victoriæ. Historiam hanc refert Josephus in libro quem de eo conscripsit. Devorant et alio modo Græci Israelem, idque quo pacto fiat, est dicendum. Nam poetæ eorum et oratores, ad summum apicem facundiæ pervenientes, et dicendi facultate præstantes, ac viri sapientes, Israelem spiritualem, **162** id est, mentem contemplatricem Dei, arripiunt, et eos qui jam in Christum crediderunt, seducunt, ut malint cum ipsis creaturam præ Creatore adorare. Hi toto ore Israelem devorant, quibus non est attendendum. Splendor enim orationis si cum operibus bonis conjunctus videretur, esset accepta et Deo placens oratio. Nuda autem, et solitaria, quid aliud porro sit, quam, ut sapientissimus Paulus ait [97] : « æs sonans vel cymbalum tinniens? »

VERS. 13. *In his omnibus non aversus est furor, sed etiamnum manus excelsa est : et populus non conversus est, donec percussus est, et Dominum non exquisiverunt.*

Nam servavit universitatis Deus Israelem etiam delinquentem, et tulit suppetias, adeo ut Syris finitimis et hominibus occidentalibus fuerit superior, qui eum toto ore devorarunt. Verum, inquit, in his furor Domini non aversus est, id est, non desiit, sed excelsa remansit ferientis manus, parata videlicet illis et plagas alias infligere. Quam ob causam? Non enim, inquit, conversus est populus, nec peccare destitit. Non quæsivit Dominum, ut quæ ipsi placent, et quæ grata sunt ea sentire velint, et agere : sed eo animo semper fuerunt, donec illis excelsa et ad omnia instructissima manus illata est. Quæ rursum fuerit hæc plaga ulterior, annon operæ pretium est videre? Novissime enim, ut dicebam, Nabuchodonosorus cepit omnem Judæam, et præterea Samariam, et Israelem in montes Persarum et Medorum transtulit. Cæterum, ut jam dixi, elapso captivitatis tempore, in Judæam reducti habitaverunt Hierosolymis, non jam in duas tribus divisi, sed uni deinceps omnes regi subditis. Hoc enim ab uno sanctorum prophetarum dictum erat : « Et ascendent e terra, et constituent sibi principatum unum [98]. » Itaque postquam cuncti ex captivitate in Judæam redierunt, bellum in eos susceperunt, qui a Syria, et qui ab ortu solis venerant, qui tamen devicti sunt, Deo liberatos quasi scuto protegente. Deinceps vero perseverarunt interea temporis, usque ad Servatoris nostri adventum, non viventes sancte, nec omnino a pristinis illis vitiis recedentes, sed nec decore, nec secundum legem versantes, valdeque negligentes et incurii.

[97] I Cor. XIII, 1. [98] Osee I, 11.

163 Cum etiam per omnem terrarum orbem emicuit Christus (apparuit enim nobis Deus Dominus, juxta Psallentis vocem [29]), effrenationem suam retinuerunt, et quæ fas non erat, patrarunt, nec verbum ejus receperunt, nec fidem coluerunt. At quid hæc dico? Impie contumelia affecerunt, et eo impietatis devenerunt, ut et cruci traderent, et hominem cum sanctum, tum justum, negarent, mortemque vitæ principi machinarentur, impium justificanti, et hac de causa universæ terræ incolis illucescenti, ut mortem aboleret, et peccati aculeum, hebetem et inefficacem efficeret. Omnibus hisce de causis manus ferientis mansit excelsa, et furor non est aversus. Expositi enim sunt vastationi, Vespasiano et Tito cum illis belligerantibus, cunctaque Romanorum manu, quando et funditus miseri perierunt, juxta Servatoris vocem, incensa regione, convulso ipso templo, omninoque corruente, ut lapis lapidi impositus non conspiceretur. Connivente igitur ad nostra delicta misericorde Deo, incogitantes esse omnino gravissimum est, omnibusque modis convenire dico, ut offensum placemus. Etsi delinquentes cumulat beneficiis, ac inobedientes pro sua clementia conservat. Ne sit igitur in nobis animus obstinatior nec ad sentienda ejus dona tardus, sed per ea quibus novit etiam improbos beneficiis afficere, per hæc ipsa nos ad agnitionem benignitatis ejus pervenientes, de præteritis pœnitudine ducamur, nostramque voluntatem ad serviendum ei, et ad probitatem morum amplectendam convertamus.

A τῶν ἀρχαίων ἐκείνων πλημμελῶν ἀποφοιτήσαντες, ἀλλὰ γὰρ ἐκτόπως καὶ παρανόμως πολιτευόμενοι, καὶ λίαν ἠμελημένως. Ἐπειδὴ δὲ τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἐπέλαμψεν ὁ Χριστός. Ἐπέφανε γὰρ ἡμῖν Θεὸς, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν· τετηρήκασι τὸ ἐξήνιον, καὶ δεδράχασιν ἃ μὴ θέμις, οὐ προσηκάμενοι τὸν παρ' αὐτοῦ λόγον, οὐ πίστει τιμήσαντες. Καὶ τί ταῦτα λέγω; Περιυβρίζοντες ἀνοσίως, καθίκοντο δὲ δυσσεβείας εἰς τοῦτο, καὶ ἀνοσιότητος τρόπων, ὥστε καὶ σταυρῷ παραδοῦναι, καὶ τὸν ἅγιον καὶ δίκαιον ἀρνήσασθαι, καὶ θανάτῳ πειρᾶσθαι περιβαλεῖν τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν δικαιοῦντα τὸν ἀσεβῆ· καὶ ταύτης ἕνεκα τῆς αἰτίας ἐπιλάμψαντα τοῖς ἀνὰ πᾶσαν τὴν γῆν, ἵνα καταργήσῃ θάνατον, καὶ ἀδρανὲς ἀποφήνῃ τῆς ἁμαρτίας B τὸ κέντρον. Τούτων ἕνεκα πάντων ἡ τοῦ παίοντος χεὶρ ἀπομεμένηκεν ὑψηλὴ, καὶ ὁ θυμὸς οὐκ ἀπεστράφη. Δέδονται γὰρ ἐς ἐρήμωσιν, πολεμούντων αὐτοῖς Οὐεσπασιανοῦ τε καὶ Τίτου, καὶ ἁπάσης δὲ τῆς Ῥωμαίων χειρὸς, ὅτε καὶ ἄρδην οἱ τάλανες ἀπολώλασιν, κατεμπρησθείσης αὐτοῖς τῆς χώρας, κατασεσεισμένου δὲ αὐτοῦ τοῦ ναοῦ, καὶ πεπτωκότος εἰς ἅπαν, ὥστε λίθον ἐπὶ λίθῳ μὴ ὁρᾶσθαι κείμενον, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ἀνεξικακοῦντος τοίνυν ἐπὶ τοῖς ἡμῶν πταίσμασι τοῦ φιλοικτείρμονος Θεοῦ τὸ ἀπονοεῖσθαι παγχάλεπον, χρῆναι δέ φημι διὰ παντὸς ἡμᾶς ἐκμειλίσσεσθαι τρόπου λελυπημένον. Καὶ μὴ πλημμελοῦντας εὐεργετεῖ· σώζει δὲ ἀπειθεῖν ᾑρημένους διὰ τὴν αὐτῷ πρέπουσαν ἡμερότητα. Μηδεὶς οὖν ἔστω σκληρὸς ἐν ἡμῖν, μήτε μὴν C βραδὺς εἰς αἴσθησιν τῶν παρ' αὐτοῦ χαρισμάτων. Ἀλλὰ δι' ὧν ἔγνω καὶ οὐκ ὄντας ἀγαθοὺς εὐεργετεῖν, διὰ τούτων αὐτῶν, ἐς ἐπίγνωσιν τῆς ἐνούσης αὐτῷ φιλανθρωπίας ἐρχόμενοι, μεταγινώσκωμεν ἐπὶ τοῖς παρῳχηκόσι. Μεταπλάττωμεν δὲ τὸ ἴδιον θέλημα πρὸς τὸ χρῆναι δουλεύειν αὐτῷ, καὶ τοὺς τῆς ἐπιεικείας ἀνθελέσθαι τρόπους.

VERS. 14-16. *Et auferet Dominus Israeli caput et caudam, magnum et parvum una die, senem, et eos qui facies admirantur, hoc principium est, et prophetam, et qui docet iniqua, is est cauda. Et erunt qui beatum dicent populum hunc, seducentes, et seducunt ut devorent eos.*

Καὶ ἀφελεῖ Κύριος ἀπὸ Ἰσραὴλ κεφαλὴν καὶ οὐρὰν, μέγαν καὶ μικρὸν ἐν μιᾷ ἡμέρᾳ, πρεσβύτην καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας· αὕτη ἡ ἀρχή· καὶ προφήτην, καὶ διδάσκοντα ἄνομα· οὗτος ἡ οὐρά. Καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, καὶ πλανῶσιν ὅπως καταπίωσιν αὐτούς.

Quia excelsam manum in omnes porrectam dicit, nedum iram divinam finem habituram declarat dilucide, et quinam temporum delapsu futurus sit modus pœnæ ab illis exigendæ. Auferetur enim, inquit, una die, id est, simul uno tempore, **164** videlicet belli Romanorum, caput et cauda. Quid autem hoc ænigmatis sit, explicat, cum ait : Magnum et parvum, id est, et illustrem et obscurum. Eos etiam qui sint, rursus demonstrat, cum addit : Senem, et eos qui facies admirantur. Quibus, ut ego quidem censeo, innuit tribum quæ sacerdotii munus sortita est, id est, eos qui sunt ex sanguine Levitico, quos etiam populi subditi seniores nominabant. Et sane divini discipuli eos sic appellabant, dicentes : « Principes populi et seniores, si nos hodie de beneficio in hominem infirmum collato in

Ὑψηλὴν ἀπομεῖναι τὴν τοῦ παίοντος χεῖρα λέγων, οὔποτε τὴν θείαν ὀργὴν καταλῆξαι τὴν ἐπ' αὐτοῖς ἀφηγεῖται λαμπρῶς, καὶ ὁποῖός τις ἔσται κατὰ D καιροὺς τῆς ἐπενεχθησομένης αὐτοῖς αἰκίας ὁ τρόπος. Ἀφαιρεθήσεται γὰρ, φησὶν, ἀπὸ Ἰσραὴλ ἐν ἡμέρᾳ μιᾷ, τοῦτ' ἔστι, καθ' ἕνα καιρὸν, δῆλον δὲ ὅτι πάντως που τὸν τοῦ πολέμου τοῦ παρὰ Ῥωμαίων, κεφαλήν τε καὶ οὐράν. Καὶ τί τὸ αἴνιγμα, διερμηνεύει, λέγων, μέγαν καὶ μικρὸν, τοῦτ' ἔστι, περιφανῆ τε καὶ ἄσημον. Καὶ τίνες ἂν εἶεν οὗτοι, πάλιν προσαπέδειξε προστιθείς· Πρεσβύτην, καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας. Σημαίνει δὲ διὰ τούτων, καθάπερ ἐγῷμαι, τὴν ἱερᾶσθαι λαχοῦσαν φυλὴν, τοῦτ' ἔστι, τοὺς ἐξ αἵματος Λευὶ, οὓς καὶ πρεσβυτέρους ὠνόμαζον οἱ ὑπὸ χεῖρα λαοί. Καὶ γοῦν οἱ θεσπέσιοι μαθηταὶ προσπεφωνήκασιν αὐτοῖς, οὕτω

[29] Psal. CXVII, 27.

judicium vocamur, quomodo ille servatus sit, notum sit vobis, et toti populo, quod in nomine Jesu Nazaræi [1]. » Hi enim seniores, penes quos judicandi potestas erat, non rectas de rebus singulis tulerunt sententias, insatiabili cupiditate munera capientes, et proximorum facies admirantes, quantumvis lex per Mosen clamaret : « Judicium justum judicate [2] : » et ubique inculcaret : « Non accipies personam in judicio [3]. » Hoc est igitur, inquit, principium. Habetur vero etiam caput. Caput enim populi sacerdos, quando velut in uno intelligitur corpore. Auferendum vero ait cum sene, et prophetam et docentem iniqua : quem dicit esse caudam, hoc est, id quod sequitur. Erant enim quidam apud Judæos qui legem a sapientissimo Mose datam interpretabantur quidem, sed perverse faciebant, Mosaicis verbis inducentes haud recte traditiones non scriptas, mandata hominum atque doctrinas. Hi Judaicam plebem deceperunt, et ut superbam cervicem contra Christum erigeret, effecerunt. Quoniam igitur sequebantur hi quoque sacerdotum sententias, qui in ordine locoque capitis collocati sunt, eos caudam nominavit. Nam, ut dicebam, cum de uno intelligimus corpore, cauda semper caput subsequitur. Cum autem prophetas appellat eos, minime sanctos esse, et veros putabimus. Adjecit enim eos docere iniqua. Verum illud dicimus : Erant videlicet in Israel pseudoprophetæ diversis temporibus, tum scilicet cum etiam essent veri prophetæ. Post captivitatis autem tempora tum fuisse alios, nemo commode et vere dixerit : nisi forte quis eos dicat, quos Gamaliel legis doctor, et **165** vir toti populo venerabilis commemoravit, quemadmodum scriptum est in Actis apostolorum. Sic enim de sanctis apostolis affatus est eos qui erant in concilio : « Viri Israelitæ, » inquit, « attendite vobis ipsis, quid de hominibus his sitis facturi. Nam ante hos dies exortus est Theudas, qui dicebat se esse quempiam magnum, cui numerus hominum plus minus quadringentorum adhæsit. Et is sublatus est, et quotquot parebant ei deleti, et ad nihilum redacti sunt. Post hunc exortus est Judas Galilæus temporibus descriptionis, et avertit populum post se : sed et is periit, et omnes qui parebant ei, dispersi sunt [4]. » Auferendum itaque dicit caput, et caudam, juxta eum sensum quem nunc reddidimus. Verum fore dicit, qui hunc populum felicem prædicent, seducentes, et seducturos, ut absorbeant eos. Judæorum enim proceres, quibus sacrum divinumque tabernaculum concreditum est, et qui ad sacrificia juxta legem facienda constituti erant, populum sibi subditum ad donorum oblationes cohortabantur, beatos eos dicentes esse, si abunde utraque manu offerrent, idque acriter factitabant, non religionis erga Deum cura tacti, sed suum quæstum spectantes. Hac ratione, inquit, seducunt, ut absorbeant eos. Cum enim insatiabili

A λέγοντες· « Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι, εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω ὑμῖν καὶ παντὶ τῷ λαῷ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου. » Οὗτοι γὰρ οἱ πρεσβύτεροι, τὴν τοῦ κρίνειν ἔχοντες ἐξουσίαν, οὐκ ὀρθὰς τὰς ἐφ' ἑκάστῳ τῶν παρ' αὐτοῖς κρινομένων ἐποιοῦντο ψήφους, δωροδοκοῦντες ἀπλήστως, καὶ τὰ τῶν πλουσίων θαυμάζοντες πρόσωπα, καίτοι τοῦ διὰ Μωσέως κεκραγότος νόμου· « Κρῖμα δίκαιον κρίνατε· » καὶ τὸ, « Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, » τιθέντος πανταχῇ. Αὕτη τοίνυν, φησὶν, ἡ ἀρχή· λελόγιστο δὲ καὶ εἰς κεφαλήν. Κεφαλὴ γὰρ λαῶν ἱερεὺς, ὅταν ὡς ἐφ' ἑνὸς νοεῖται σώματος. Συναφαιρεθήσεσθαι δὲ τῷ πρεσβύτῃ φησὶ καὶ προφήτην καὶ
B διδάσκοντα ἄνομα. Καὶ τοῦτον εἶναί φησι τὴν οὐρὰν, τοῦτ' ἔστι, τὸ ἑπόμενον. Ἦσαν μὲν γάρ τινες παρὰ τοῖς Ἰουδαίοις, τὸν διὰ τοῦ πανσόφου Μωσέως διερμηνεύοντες νόμον· ἔδρων δὲ τοῦτο διεστραμμένως, τοῖς διὰ Μωσέως λόγοις ἐπάγοντες οὐκ ὀρθῶς παραδόσεις ἀγράφους, ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας. Οὗτοι τὸν τῶν Ἰουδαίων πεπλανήκασι δῆμον, καὶ γαῦρον ἐγεῖραι κατὰ Χριστοῦ πεποιήκασι τὸν αὐχένα. Ἐπειδὴ τοίνυν εἵποντο καὶ οὗτοι ταῖς τῶν ἱερέων γνώμαις, οἳ καὶ ἐν τάξει τέθειντο τῆς κεφαλῆς, οὐρὰν ὠνόμασεν αὐτούς. Ὡς γὰρ ἔφην, ὅταν ὡς ἐφ' ἑνὸς νοῶμεν σώματος, ἕπεται πάντως ἡ οὐρὰ τῇ κεφαλῇ. Ἐπειδὴ δὲ προφήτας ὠνόμασεν αὐτοὺς, οὐχ ἁγίους εἶναι καὶ ἀληθεῖς λογιούμεθα. Προστέθεικε γὰρ τὸ, ὅτι διδάσκουσιν ἄνομα. Πλὴν ἐκεῖνό
C φαμεν· Ἦσαν μὲν γὰρ ἐν τῷ Ἰσραὴλ ψευδοπροφῆται κατὰ καιροὺς, δηλονότι καθ' οὓς ἦσαν οἱ κατὰ ἀλήθειαν προφῆται. Μετὰ δέ γε τοὺς τῆς αἰχμαλωσίας καιροὺς, ἀραρότως εἰπεῖν οὐκ ἂν δύναιτό τις, ὅτι γεγόνασι κατ' ἐκείνους ἕτεροί τινες· εἰ μὴ ἄρα τις ἐκείνους λέγοι, ὧν καὶ διαμέμνηται Γαμαλιὴλ νομοδιδάσκαλος ὢν, καὶ τίμιος παντὶ τῷ λαῷ, κατά γε τὸ γεγραμμένον ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων. Προσπεφώνηκε γὰρ οὕτω περὶ τῶν ἁγίων ἀποστόλων τοῖς ἐν τῷ συνεδρίῳ, λέγων· « Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν. Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς λέγων τινὰ εἶναι ἑαυτὸν μέγαν, ᾧ προσεκλίθη ἀνδρῶν ἀριθμὸς ὡσεὶ τετρακοσίων· ὃς ἀνῃρέθη. Καὶ πάντες ὅσοι εἵποντο αὐτῷ
D διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν. Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ὀπίσω αὐτοῦ. Κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν. » Ἀφαιρεθήσεσθαι τοίνυν φησὶ κεφαλὴν καὶ οὐρὰν, κατά γε τὴν ἀρτίως ἡμῖν τὴν προαποδοθεῖσαν διάνοιαν. Πλὴν τοὺς μακαρίζοντας λαὸν τοῦτον πλανῶντας ἔσεσθαί φησι, καὶ πλανῶσιν ὅπως καταπίωσιν αὐτούς· οἱ γὰρ τῶν Ἰουδαίων καθηγηταὶ τήν ἱεράν τε καὶ θείαν πεπιστευμένοι σκηνὴν, καὶ τὰς κατὰ νόμους θυσίας ἐπιτελεῖν ἐπιτεταγμένοι, προὔτρεπον εἰς δωροφορίας τοὺς ὑπὸ

[1] Act. IV, 8-10. [2] Deut. I, 16. [3] ibid. 17. [4] Act. V, 35-37.

divitiarum cupiditate tenerentur, ut dixi, non docebant populos, quod oportebat, implendo legem, universitatis Deum placare : sed hortabantur potius ut etiam ultra facultates oblationibus colerent : ob eamque causam neque ipsi fidem Christianam amplexi sunt, sed veluti clauso regno cœlorum, ne alios quidem eo ingredi permiserunt. Etenim legalium umbra deleta, et evangelica prædicatione suscepta sciebant typicum et cruentum cultum penitus cessaturum, et invecto cultu spiritali, desitura sacrificia. Atque hæc quidem erat inexplebilis ipsorum avaritiæ integra eversio.

χεῖρα λαοὺς, μακαρίους αὐτοὺς εἶναι λέγοντες, εἰ προσάγοιεν ἀμφιλαφῶς. Ἔδρων δὲ τοῦτο πικρῶς, οὐ τῆς εἰς Θεὸν αἰδοῦς μεταποιούμενοι, καὶ πεφροντικότες, ἀλλ' εἰς τὰς σφῶν αὐτῶν ὁρῶντες φιλοκερδίας. Ταύτῃ τοι, φησὶ, πλανῶσιν, ὅπως καταπίωσιν αὐτούς. Ἀκόρεστοι γὰρ ὄντες, ὡς ἔφην, εἰς τὸ βούλεσθαι πλουτεῖν, οὐχ ὅτι προσῆκει, διὰ τοῦ τὸν νόμον ἑλέσθαι πληροῦν, τὸν τῶν ὅλων εὐφρᾶναι Θεὸν ἐδίδασκον τοὺς λαούς· προὔτρεπον δὲ μᾶλλον καὶ ταῖς ὑπὲρ δύναμιν καταγεραίρειν προσαγωγαῖς. Ταύτης γὰρ ἕνεκα τῆς αἰτίας, οὔτε αὐτοὶ προσήκαντο τὴν πίστιν τὴν εἰς Χριστὸν, κλείοντες δὲ ὥσπερ τὴν βασιλείαν τῶν οὐρανῶν, οὐδ' ἑτέρους εἰσελθεῖν συγκεχωρήκασιν εἰς αὐτήν. Ἤδεσαν γὰρ ὅτι τῆς κατὰ νόμον ἀργούσης σκιᾶς, καὶ τῶν εὐαγγελικῶν κηρυγμάτων εἰσδεδεγμένων, πεπαύσεται πάντως ἡ ἐν τύποις καὶ δι' αἱμάτων λατρεία, ἀργήσουσι δὲ καὶ θυσίαι, τῆς ἐν πνεύματι λατρείας εἰσκεκομισμένης. Τοῦτο δὲ ἀναίρεσις παντελὴς τῆς ἐνούσης αὐτοῖς ἀκορέστου φιλοκερδίας.

VERS. 17. *Proinde juvenibus eorum non delectabitur Deus, et pupillorum ipsorum, et viduarum ipsorum non miserebitur, quia omnes iniqui et improbi, et omne os loquitur injusta.*

Deducit nos etiamnum hæc oratio exemplis illustribus, ad ea quæ sensum **168** excedunt, et sub intelligentiam recidunt. Juvenes enim hic dicit, non semper viribus corporis, aut carnis pubertate florentes, sed denotat verius eos qui animi et cordis robur spirituale habeant, ut possint juvenili alacritate recte obire ea, unde illustres evadant, Deoque spectatissimi, omnique genere probitatis cumulati. Qui hac sunt habitudine, eos alloquitur etiam beatus Joannes, inquiens : « Scribo vobis, adolescentes, quoniam fortes estis, et vicistis malum [5]. » Cæterum ante Servatoris nostri adventum exstiterunt quidam etiam apud Judæos, qui eo, quem jam dixi, modo fortiter agere studuerunt : et mandati citra reprehensionem exsequendi voluntate, et legalium ornamentorum splendore. Non erant autem a Deo rejecti. Adhuc enim tempus erat umbræ legalis : et cum evangelica ac Christiana vita nondum patefacta esset, hæc quidem erant summæ laudis. Sic scriptum est de Zacharia et Elizabeth : « Fuit diebus Herodis regis Judææ sacerdos quidam, nomine Zacharias, ex vice Abia, et uxor ei e filiabus Aaron, cui nomen erat Elizabeth. Erant vero justi ambo coram Deo, ambulantes in præceptis et justificationibus Domini sine querela [6]. » Ad hunc modum etiam sancti prophetæ vixerunt, opinor. Quinimo divinus Paulus, licet manifeste dicat se fuisse in legis justitia inculpatum, ait tamen : « Quæ mihi lucro erant, hæc duco propter Christum damna [7]. » Itaque ante adventum omnium nostrum Servatoris Christi, nonnulli laude ipsius legis conspicui, et fortes erant et juveniles. At post apparitionem ejus, prædicationemque Evangelii cessarunt legalia, transivit umbra in veritatem, ac spiritualis verusque cultus est introductus. Quare non delectatur Deus Judæorum juvenibus, id est, qui viriliter adhuc

Διὰ τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐτῶν οὐκ εὐφρανθήσεται ὁ Θεὸς, καὶ τοὺς ὀρφανοὺς αὐτῶν, καὶ τὰς χήρας αὐτῶν οὐκ ἐλεήσει, ὅτι πάντες ἄνομοι καὶ πονηροὶ, καὶ πᾶν στόμα λαλεῖ ἄδικα.

Ἀποφέρει καὶ νῦν ὁ λόγος ἡμᾶς, ἐκ παραδειγμάτων ἐμφανῶν, εἰς τὰ ὑπὲρ αἴσθησίν τε καὶ νοητά. Νεανίσκους γὰρ ἐνθάδε φησὶν, οὐχὶ δήπου πάντως τοὺς ἐν εὐρωστίᾳ σώματος, ἤτοι τοὺς ἐν ἀκμαῖς τε καὶ ἥβῃ σαρκικῇ, σημαίνει δὲ μᾶλλον τοὺς οἵπερ ἂν ἔχοιεν εἰς νοῦν καὶ καρδίαν ἰσχὺν τὴν πνευματικὴν, ὥστε δύνασθαι κατορθοῦν καὶ μάλα νεανικῶς τὰ δι' ὧν ἔσονται λαμπροὶ, καὶ Θεῷ γνωριμώτατοι, καὶ ἁπάσης ἐπιεικείας ἔμπλεοι. Τοῖς ὧδε τὴν ἕξιν διακειμένοις, καὶ ὁ μακάριος Ἰωάννης προσπεφώνηκε, λέγων· « Γράφω ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ νενικήκατε τὸν πονηρόν. » Ἀλλὰ πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, γεγόνασί τινες, καὶ παρὰ τοῖς Ἰουδαίοις, καθ' ὃν ἔφην ἀρτίως τρόπον, ἀνδρίζεσθαι μεμελετηκότες, διὰ τοῦ καὶ ἀμωμήτως ἑλέσθαι πληροῦν τὴν παραδοθεῖσαν ἐντολὴν, καὶ τοῖς κατὰ νόμον αὐχήμασιν διαπρέπειν δύνασθαι καὶ μάλα πλουσίως. Ἦσαν δὲ οὐκ ἀπόβλητοι παρὰ Θεῷ. Καιρὸς γὰρ ἦν ἔτι τῆς ἐν νόμῳ σκιᾶς, καὶ τῆς εὐαγγελικῆς καὶ ἐν Χριστῷ πολιτείας οὔπω πεφανερωμένης, ἐν ἐπαίνοις ἦν ἐκεῖνα πολλοῖς. Οὕτω καὶ γέγραπται περί τε Ζαχαρίου καὶ Ἐλιζάβεθ· « Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας ἱερεύς τις, ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιᾶ, καὶ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν, καὶ τὸ ὄνομα αὐτῆς Ἐλιζάβεθ. Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐναντίον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι. » Κατὰ τοῦτον οἶμαι διαβιῶναι τὸν τρόπον καὶ αὐτοὺς τοὺς ἁγίους προφήτας. Καὶ μὴν καὶ ὁ θεσπέσιος Παῦλος καίτοι λέγων ἀναφανδὸν, ὅτι γέγονε κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ ἄμεμπτος· « Ἀλλὰ τί ἦν μοι κέρδος; ταῦτα, φησὶν, ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. » Οὐκοῦν πρὸ μὲν τῆς ἐπιδημίας τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, τοῖς κατὰ νόμον αὐχήμασιν εὐδοκιμοῦντές τινες, ἀνδρεῖοί τε ἦσαν, καὶ νεανικοί. Μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὸ κήρυγμα τὸ εὐαγγελικὸν,

[5] I Joan. II, 13. [6] Luc. I, 5, 6. [7] Philipp. III, 7.

πέπαυται τὰ ἐν νόμῳ, μετεφοίτησεν ἡ σκιὰ πρὸς A ἀλήθειαν, εἰσκεκόμισται δὲ ἡ ἐν πνευματί τε καὶ ἀληθὴς λατρεία. Οὐκ οὖν εὐφραίνεται Θεὸς ἐπὶ τοῖς τῶν Ἰουδαίων νεανίσκοις, τοῦτ' ἔστι, τοῖς ἀνδριζομένοις ἔτι, διά γε τοῦ ζῆν ἑλέσθαι νομίμως. Ἀπαράδεκτοι δὲ αἱ δι' αἱμάτων θυσίαι, καὶ σαρκὸς περιτομὴ, βαπτισμῶν διδαχαὶ, καὶ Σαββάτων ἀργεῖαι. Δεδιδάγμεθα δὲ, ὡς ἔφην, τῆς ἀνδανούσης Θεῷ πολιτείας τὴν ὁδόν. Ἀπόβλητοι δὴ οὖν καὶ μάλα εἰκότως μετὰ τὴν κατάληξιν τῆς σκιᾶς οἱ κατ' αὐτὴν νεανίσκοι· καὶ τοῦ κατοικτείρεσθαι μακρὰν ὀρφανοί τε καὶ χῆραι. Ὀρφανοὺς δέ φησι, τοὺς οἷον ἀναστροφῆς δεομένους τῆς πνευματικῆς, καὶ παιδαγωγίας τῆς ἐκ διδασκάλων. Χήρας τε ὁμοίως, ψυχάς εἶναί φαμεν τὰς τοῦ δύνασθαι καρποφορεῖν ἐν ἐνδείᾳ γεγενημένας διά τε τὸ μὴ ἔχειν τὸν ἁπάντων αὐταῖς τῶν ἀγαθῶν B μαθημάτων σπορέα τε καὶ χορηγόν. Ὅτι δὲ παιδεύσεως ἀληθοῦς ἠμοιρηκότας εὑρήσομεν τοὺς ἐξ Ἰσραὴλ, διά γε τὴν εἰς Χριστὸν παροινίαν, ἐπαινέσειεν ἂν οὐδείς· Ἐσκοτίσθησαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν. Καὶ συνεκάμφθη τὰ νῶτα αὐτῶν. Καὶ τοῦτο διὰ παντὸς ὡς μὴ δύνασθαι τὰ ἄνω βλέπειν, ἀλλ' οἱονεὶ κεκυφότας, τοῖς γηΐνοις ἐνερηρεῖσθαι πράγμασι. Πείσονται δὲ τοῦτο, φησὶν, οὐ μάτην· ἀλλ' ὅτι πάντες ἄνομοι γεγόνασι καὶ πονηροὶ, καὶ πᾶν στόμα λαλεῖ ἄνομα. Πῶς γὰρ οὐκ ἄνομοι, καὶ ἁπάσης ἔμπλεοι πονηρίας, οἱ θανάτῳ περιβαλεῖν σπουδάσαντες τὸν καλοῦντα πρὸς ζωὴν, τὸν οὐκ εἰδότα τὴν ἁμαρτίαν, καίτοι τοῦ νόμου λέγοντος σαφῶς· « Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς; » Πῶς οὐ πᾶσα γλῶσσα τῶν Ἰουδαίων λελάληκεν ἄδικα; Κατεκεκράγεσαν γὰρ τοῦ Χριστοῦ Πιλάτῳ λέγοντες· « Αἶρε, αἶρε, σταύρωσον αὐτόν. » Καὶ, « Ἐὰν μὴ τοῦτον ἀποκτείνῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. »

A agunt suscepto vitæ legalis instituto : non sunt autem accepta cruenta sacrificia, et carnis circumcisio, lotionum doctrinæ et Sabbatorum otia. Docemur autem, ut dixi, instituendæ vitæ, quæ Deo placet viam. Rejectitii sunt ergo, et quidem valde merito, qui post cessationem umbræ, per eam juvenes sunt. Et longe sunt a miseratione pupilli et viduæ. Pupillos autem **167** vocat, qui velut alimento indigent spirituali, et institutione magistrorum. Viduas similiter animas esse dicimus, quæ cum omnium bonarum disciplinarum satorem et suppeditatorem non habeant, facultate fructificandi destituuntur. Quod autem veræ doctrinæ expertes inveniemus Israelitas, propter debacchationem in Christum, laudare nemo potest. Obtene- B brati sunt enim oculi eorum ne videant, juxta Psallentis vocem [8]; et incurvata sunt terga eorum omnino, ut non possent supra aspicere, sed veluti incurvi terrenis rebus affigerentur. Accidet vero hoc illis, inquit, non sine causa : sed quia omnes, inquit, et mali exstiterunt, et omne os loquitur iniqua. Qui enim omnibus sceleribus cooperti non sint, qui eum qui vocabat ad vitam, qui nesciebat peccatum, morti tradere studuerunt? Quamvis lex manifesto dicat : « Innocentem et justum non interficies [9]. » Annon etiam omnis lingua Judæorum locuta est iniqua? acclamarunt enim Christo, dicentes Pilato : « Tolle, tolle, crucifige eum [10]. » Et, « Si hunc non occidas, non es amicus Cæsaris [10*]. »

Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς, C *ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. Καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός· καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα· διὰ θυμὸν ὀργῆς Κυρίου, συγκέκαυσται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κεκαυμένος, ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει, ἀλλ' ἐκκλινεῖ εἰς τὰ δεξιὰ, ὅτι πεινάσει καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἐσθίων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ. Φάγεται γὰρ Μανασσῆς τοῦ Ἐφραῒμ, καὶ Ἐφραῒμ τοῦ Μανασσῆ· ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰούδαν.*

VERS. 19, 20. *In omnibus his non aversus est furor, sed adhuc manus excelsa. Et succendetur velut ignis iniquitas, et velut herba arida devorabitur igne, et succendetur in densitate saltus, et devorabit omnia quæ circum colles sunt. In ira furoris Domini combusta est terra universa, et erit populus quasi combustus ab igne. Homo fratris sui non miserebitur, sed declinabit ad dexteram, quia esuriet : et comedet a sinistris, et non saturabitur homo, comedens carnes brachii sui. Comedet Manasses Ephraim, et Ephraim Manassem, quoniam simul oppugnabunt Judam.*

Ἀκμαζούσης ἔτι τῆς θείας ὀργῆς, ἐπηρτημένης δὲ καὶ αὐτῆς τῆς χειρὸς τῆς ἐπαγούσης τὴν μάστιγα D καὶ τὰς αἰκίας αὐτοῖς, ἕκαστα σαφῶς τῶν συμβησομένων προαναγορεύειν πειρᾶται, σωφρονεστέρους τοῖς δείμασι τοὺς ἀκροωμένους ἀποτελῶν. Ταύτης γὰρ ἕνεκα τῆς αἰτίας προαναῤῥήσεις τῶν δεινῶν ἐποιεῖτο Θεὸς, ἵνα δεδιότες τὸ προσκρούειν αὐτῷ, μὴ τοῖς ἐξ ὀργῆς ὑπενεχθεῖεν κακοῖς, ἔξω δὲ μᾶλλον ἀποφέροιντο τῶν δεινῶν. Καυθήσεσθαι τοίνυν τὴν ἀνομίαν ὡς πῦρ. Ἀνομίαν δέ φησιν οὐκ αὐτό που

Vigente adhuc divina ira, et impendente illa manu, D flagellum suppliciaque illis admovet, singulaque quæ eventura sunt, conatur apte præmonstrare, moderatiores efficiens auditores terroribus. Hanc igitur ob causam vaticinationes gravium malorum instituit Deus, ut timentes eum offendere, malis ex ira illatis non sint obnoxii, sed potius ab illis gravibus liberentur. Et succendetur, inquit, ergo iniquitas ut ignis. Iniquitatem **168** vero appellat, non rem ipsam (hoc enim, vel intellectu, vel

[8] Psal. LXVIII, 24. [9] Exod. XXIII, 7. [10] Joan. XIX, 15. [10*] ibid. 12.

dictu ineptum est), sed iniquitatibus implicatos, qui eo demum improbitatis morum veniunt, ut non jam iniqui, sed verius iniquitas debeant nominari. Hi igitur quasi ignis ardebunt, inquit, id est, ipsi ignis erunt. Nemo enim alius flammam illis inferet, sed ipsi ad hoc sibi inter se sufficient. Succendentur etiam quasi herba arida, et ut densitas silvarum. Furit enim semper flamma, si in materiam ustam, herbam, inquam, aridam, et ligna silvestria incidat. Credo autem ego, propheticum sermonem hisce verbis nobis hæc velle demonstrare : Vespasiano enim et Tito, quemadmodum jam supra dixi, vastantibus Judæam, urbesque ejus oppugnantibus, maxima erat undique tumultuatio, partim fame conficiente, partim ubique seditiosis hominibus, tum domos diripientibus, tum eos qui videbantur insigniores invadentibus, ut intestina incolarum molimina ipso externo graviora exsisterent. Horum Josephus diserte contexit historiam. Ergo, inquit, ardebunt ceu in densitate silvæ. Agrestem vero herbam et aridam densitatemque silvæ, gregariam turbam eum dicere arbitror. Divisi erant quippe adversum se ipsi in factiones et dissidia populares. Deinceps vero ad eos qui videbantur esse aliquid, malum perventurum porro ostendit, dicens : Et devorabit quæ in circuitu sunt collium omnia. Colles, puto, vocat eos qui præstant aliis, et vel gloria, vel opibus, vel alio quopiam modo excellunt. Jam dixi, iis qui splendidiores esse videbantur, graviter vim fecisse qui in quaque civitate seditiones concitare soliti erant, adeo ut desperati facerent ea quæ ne ipsa quidem hostium manus aliquando egerit. Et hæc, inquit, in ira furoris Domini. Succensa est enim sic universa terra Judæorum. Quæ vero recte dixit, cum illa plana fecisset audientibus, statim adnectit : Et erit populus velut igni succensus : homo fratris sui non miserebitur. Quemadmodum enim qui bobus ignem admovent, exstimulant ad iram, efficiuntque ut ferociore impetu ferantur in eos quos impetunt : sic erit, inquit, unusquisque populus, velut igni incensus. Violenti enim et immisericordes erunt, et fratres non agnoscent, acres et agrestes, ac fero animo invicem omnes, et ferarum instar quæ **169** fame acuuntur, et rabide aguntur in aliquos : declinabunt ad dextram, et edent a sinistris, id est, huc et illuc convertentur, illos a dextris mordentes, hos a læva, parcentes nemini, insatiabili cupiditate seipsos invadendi ardentes. Non enim, inquit, satiabitur homo comedens carnes brachii sui. O rem miram et incredibilem! Non, inquit, sibi ipsis comparcent, ex impotenti videlicet insania. Prorupta enim semel et desperata audacia freti, ad omnia turpissima acerrime et juvenili more progredientur. Postea dicit : Comedet enim Manasses Ephraim, et Ephraim Manassem. Ephraim vero et Manasses fuerunt duo fratres, et filii Joseph. At neque inter sanguinis charitate conjunctos, inquit, natura ipsa tunc pacem constituet : leges consanguinitatis inanes erunt et irritæ. Surgent

A τὸ πρᾶγμα· τοῦτο γὰρ εὔηθες ἢ νοεῖν ἢ λέγειν· ἀλλὰ τοὺς ταῖς ἀνομίαις κατηχθησμένους, ἥκοντάς τε ἤδη πρὸς τοῦτο σκαιότητος τρόπων, ὡς μηκέτι μὲν ἀνόμους, ἀνομίαν δὲ μᾶλλον ὀνομάζεσθαι δεῖν. Οὗτοι τοιγαροῦν ὡς πῦρ καυθήσονται, φησὶ, τοῦτ' ἔστιν, αὐτοὶ καθ' ἑαυτῶν γενήσονται πῦρ. Οὐ γὰρ ἕτερός τις ἐποίσει τὴν φλόγα αὐτοῖς, ἀλλ' ἀρκέσουσιν ἀλλήλοις εἰς τοῦτο αὐτοί. Καυθήσονται δὲ ὡς ἄγρωστις ξηρὰ, καὶ ὡς δάση δρυμῶν. Μαίνονται γὰρ ἀεί πως αἱ φλόγες, εἰς ὕλην πεσοῦσαι τὴν εὐκατάπρηστον· ἄγρωστιν δέ φημι τὴν ξηρὰν, καὶ τὰ ἐν δρυμοῖς ξύλα. Οἶμαι δὲ ἔγωγε τὸν προφητικὸν ἡμῖν λόγον ἐκεῖνα βούλεσθαι δηλοῦν ἐν τούτοις· Οὐεσπασιανοῦ γὰρ καὶ Τίτου, καθάπερ ἤδη προεῖπον, καταδηούντων τὴν Ἰουδαίαν, καὶ τὰς ἐν αὐτῇ πολιορκούντων B πόλεις, πλεῖστος ἦν ὁ ἐν ἑκάστῳ θόρυβος. Τοῦτο μὲν λιμοῦ κατατήκοντος, τοῦτο δὲ τῶν ἐν ἑκάστῃ στασιαστῶν οἴκους τε διαρπαζόντων, ἐπαφυομένων δὲ τοῖς δοκοῦσιν εἶναι διαφανεστέροις, ὡς γενέσθαι φορτικώτερον τὸν ἔξωθεν μάχης τὰ ἐκ τῶν ἐνοικούντων τολμήματα. Ταῦτα δὲ σαφῶς Ἰώσηπος ἱστορεῖ. Οὐκοῦν καυθήσεσθαί φησιν ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, ἄγρωστιν οἶμαι ξηρὰν, καὶ δάση δρυμοῦ τὴν ἀγελαίαν πληθὺν ὀνομάζων. Ἐμερίζοντο γὰρ κατ' ἀλλήλων εἰς διχονοίας καὶ στάσεις οἱ δῆμοι. Ὅτι δὲ καὶ τῶν εἶναί τι δοκούντων ἅψεται τὸ κακὸν, προσαποφαίνει λέγων· Καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα· βουνοὺς οἶμαι λέγων τοὺς τῶν ἄλλων ὑπερκειμένους, καὶ ἀνεστηκότας, ἢ κατὰ τὴν δόξαν, ἢ κατὰ τὸν πλοῦτον, ἢ καθ' ἕτερόν τινα τρόπον. C Ἔφην δὲ ἀρτίως, ὅτι τοῖς εἶναι δοκοῦσι λαμπροῖς ἐπεφύετο δεινῶς τὸ ἐν ἑκάστῃ πόλει στασιάζειν εἰωθὸς, ὡς ἐν ἀπογνώσει δρᾷν, ἃ μηδ' ἂν αὐτὴ δέδραχεν ἔσθ' ὅτε τῶν πολεμίων ἡ χείρ. Καὶ ταῦτα, φησὶ, διὰ θυμὸν ὀργῆς Κυρίου. Συγκέκαυσται γὰρ οὕτως ἡ σύμπασα τῶν Ἰουδαίων γῆ. Ἃ δὲ εἴρηκεν αἰνιγματωδῶς, ταῦτα τοῖς ἀκροωμένοις σαφῆ καθιστὰς, προσεπάγει παραχρῆμα· Καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατακεκαυμένος. Ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει. Ὥσπερ γὰρ οἱ μόσχοις ἐπάγοντες πῦρ, παραθήγουσιν εἰς ὀργὰς, καὶ τὰς καθ' ὧν ἂν ἴοιεν ἐφόδους ἁδροτέρας ποιεῖσθαι παρασκευάζουσιν· οὕτω, φησὶ, καὶ ἕκαστος ἔσται τῶν λαῶν ὡς ὑπὸ πυρὸς κατακεκαυμένος. Ὁρμηταί τε γὰρ καὶ ἀφιλ- D οικτείρμονες, καὶ ἀδελφοὺς οὐκ εἰδότες, δεινοί τε καὶ ἀγριόθυμοι πάντες ἔσονται κατ' ἀλλήλων, καὶ θηρίων δίκην λιμῷ τεθηγμένων εἰς ἀγριότητα τὴν κατά τινων· ἐκκλινοῦσιν εἰς τὰ δεξιὰ, καὶ φάγονται ἐκ τῶν ἀριστερῶν· τοῦτ' ἔστιν, τῇδε κἀκεῖσε περιστραφήσονται, καταδακόντες τοὺς ἐκ δεξιῶν, τοὺς ἐξ εὐωνύμων, φειδόμενοί τε μηδαμῶς οὐδενὸς, καὶ ἀκόρεστον ἔχοντες τῆς κατ' ἀλλήλων ἐφόδου τὸν πόθον. Οὐ γὰρ μὴ ἐμπλησθῇ, φησὶν, ἄνθρωπος ἐσθίων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ. Ὢ παραδόξου πράγματος! Οὐδὲ ἑαυτῶν φείσονται, φησὶν, ὡς ἐξ ἀκράτου μανίας. Ἀπεγνωκότες γὰρ ἅπαξ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτοπωτάτων βαδιοῦνται νεανικῶς. Εἶτά φησιν, ὅτι Φάγεται γὰρ Μανασσῆς τοῦ Ἐφραῒμ, καὶ Ἐφραῒμ τοῦ Μανασσῆ. Ἐφραῒμ δὲ καὶ Μανασσῆς

δύο γεγόνασιν ἀδελφοί, καὶ Ἰωσὴφ υἱοί. Ἀλλ' οὐδὲ A τοῖς ἐξ αἵματος, φησὶν, εἰς διάθεσιν συνημμένοις βραβεύσει τότε τὴν εἰρήνην ἡ φύσις· ἀργήσουσι τῆς συγγενείας οἱ νόμοι. Κατεξαναστήσονται γὰρ ἀλλήλων ἀδελφοὶ καὶ ὁμόσποροι, εἷς τε καθ' ἑνὸς, καὶ καθ' ἑτέρου δύο. Φάγεται γὰρ, φησὶ, Μανασσῆ τοῦ Ἐφραΐμ, καὶ Ἐφραΐμ τοῦ Μανασσῆ, ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰούδαν. Συγχύσεως οὖν ἄρα τὰ πάντα μεμέστωτο, καὶ ἀδιάκριτα πᾶσι τὰ ἐξ ὀργῆς, καὶ καθ' ὧν οὐ θέμις, καὶ παρ' ὧν οὐ θέμις. Καὶ ταυτὶ μὲν, ὡς ἔφην, ἱστορικῶς ταῖς τῶν Ἰουδαίων ἀγέλαις συνέβη παθεῖν. Παραφυλακτέον δὲ καὶ ἡμῖν αὐτοῖς. Κολάζεται γὰρ τὸ δυσήκοον, καὶ εἴ τις εἰς τοῦτο πέσοι, ὡς ὑπὸ πυρὸς καυθήσεται, καταφλεγούσης αὐτὸν καὶ σαρκικῆς ἡδονῆς, καὶ θερμῆς ἐπιθυμίας. Ἕξει δὲ καὶ εἰς νοῦν καὶ καρδίαν ἀφόρητον B μάχην· κατεξαναστήσεται γὰρ τοῦ πνεύματος ἡ σὰρξ, καὶ ἐν θορύβοις ἔσται πολλοῖς. Διὸ, καθά φησιν ὁ θεσπέσιος Παῦλος· « Ἐν πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. » Ὑποταττόμενοι γὰρ τῷ Θεῷ περιπατήσομεν ἐν πνεύματι, καὶ κρείττους ἐσόμεθα σαρκικῶν ἐπιθυμιῶν, καὶ τὰς εἰς νοῦν ἔσω νικήσομεν φλόγας, καὶ ἀστασίαστον τηρήσομεν τὴν καρδίαν. Ἡ γὰρ εἰρήνη τοῦ Θεοῦ, καθὰ γέγραπται, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ἡμῶν καὶ τὰ νοήματα ἡμῶν.

Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι χεὶρ ὑψηλή. Οὐαὶ τοῖς γράφουσι πονηρίαν. Γράφοντες γὰρ πονηρίαν γράφουσιν· ἐκκλίνοντες κρίσιν πτωχῶν, καὶ ἁρπάζοντες κρίματα πενήτων τοῦ λαοῦ μου, ὥστε εἶναι αὐτοῖς C *χήραν εἰς ἁρπαγὴν, καὶ ὀρφανὸν εἰς προνομήν. Καὶ τί ποιήσωσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; Ἡ γὰρ θλίψις ὑμῖν πόῤῥωθεν ἥξει· καὶ πρὸς τίνα καταφεύξεσθε, τοῦ βοηθηθῆναι; καὶ ποῦ καταλήψετε τὴν δόξαν ὑμῶν, τοῦ μὴ ἐμπεσεῖν εἰς ἐπαγωγήν;*

Ὅτε τὰς τῶν Ἰουδαίων συμφορὰς, καὶ τὰ ἐσόμενα βλάβη διὰ τῆς τῶν πολεμίων χειρὸς, πλατύτερον ἡμῖν ὁ προφητικὸς ἐξηγεῖται λόγος, τότε δὴ λίαν σοφῶς τε καὶ οἰκονομικῶς ἐπιφέρει τὰς αἰτίας, ἐφ' αἷς ὁ τῶν ὅλων λελύπηται Θεὸς, καὶ πειρᾶται διδάσκειν ὅτι ψῆφος ἐπ' αὐτοῖς ὁσία γέγονε καλοῦσα πρὸς δίκην. Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς, κατὰ τὸ γεγραμμένον. Οὐαὶ τοίνυν, φησὶ, τοῖς γράφουσι πονηρίαν. Γράφοντες γὰρ πονηρίαν γράφουσιν, D ἐκκλίνοντες κρίσιν πτωχῶν, καὶ ἁρπάζοντες κρίματα πενήτων τοῦ λαοῦ μου. Ἦσαν μὲν γὰρ παρὰ τοῖς Ἰουδαίοις οἱ καλούμενοι γραμματεῖς. Ἔργον δὲ ἦν αὐτοῖς τὸν ἐφ' ἑκάστῳ πράγματι τοῦ νόμου σκοπὸν τοῖς ἐθέλουσι μαθεῖν σαφῆ τε ποιεῖν, καὶ τοῖς τὸ διακρίνειν λαοὺς ἐγκεχειρισμένοις τὰ τοιάδε προσβαλεῖν. Γέγραπται δὲ, ὅτι « Χείλη ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. » Ἡττώμενοι τοίνυν αἰσχρῶν λημματίων, ἀδίκους ἐποιοῦντο τὰς συγγραφὰς, τὸ τῷ θείῳ νόμῳ δοκοῦν ἀνοσίως ἐκκαπηλεύοντες, καὶ οἱονεὶ μίσγοντες τὸν οἶνον ὕδατι, καὶ τὸ καθαρὸν ἀργύριον, ἀδόκιμον ἀπο-

A enim alius in alium fratres, et eodem prognati semine, unus in unum, duo in alterum. Comedet nempe, inquit, Manasses Ephraim, et Ephraim Manassem, quoniam simul Judam oppugnabunt: itaque confusione repleta sunt omnia, et in quos non licebat, et a quibus non licebat, permiscue furor egit omnia. Et hæc quidem historice, quemadmodum dixi, cœtui Judæorum acciderunt. Nobis autem ipsis etiam cavendum est. Punitur enim inobedientia, et in quam quisquis recidit, tanquam igni comburetur, eumque et carnalis voluptas, et ardens cupiditas incendent: ac erit et intus in animo ac corde pugna intolerabilis, ac insurget contra spiritum caro, et ingens erit jactatio ac tumultuatio. Quare sicuti et divinus Paulus B inquit: « Spiritu ambulate, et cupiditatem carnis ne perfeceritis [11]. » Nam si Deo subditi sumus, ambulabimus in spiritu, et carnales cupiditates superabimus, internasque animi faces vincemus, et cor tranquillum pacatumque conservabimus. Pax enim Dei, sicut scriptum est [12], quæ superat omnem mentem, custodiet corda nostra, et cogitationes nostras.

Cap. X. Vers. 1-4. *In omnibus his non aversus est furor, sed adhuc manus excelsa. Væ qui scribunt iniquitatem. Scribentes enim iniquitatem scribunt; declinantes judicium pauperum, et diripientes jus* C *inopibus populi mei, quo viduas habeant prædæ,* **170** *et pupillos diripiant. Quid vero facient in die visitationis? Afflictio enim vobis de longe veniet. Et ad quem perfugietis, ut auxilium consequamini? Et ubi relinquetis gloriam vestram, ne incidatis in abductionem?*

Cum Judæorum calamitates, et incommoda hostili manu futura, latius nobis propheticus sermo exponit, tunc prudentissime quoque et apposite infert causas, propter quas universitatis Deus offensus est, docereque conatur, causam hanc esse sanctum decretum Dei, ad pœnam vocantis. Non enim injuste tenduntur retia volucribus, juxta id quod scriptum est. Væ igitur, inquit, qui scribunt D iniquitatem. Scribentes enim iniquitatem scribunt, detorquentes judicium pauperum, et eripientes jus inopibus populi mei. Exstiterunt etenim apud Judæos Scribæ, ut vocantur, quorum officium erat, legis scopum ac in quaque re sensum quibuslibet discere volentibus explicare, et quibus judicandorum populorum munus erat demandatum hæc suggerere. Scriptum vero est: « Labia sacerdotis custodient judicium, et legem exquirent ab ore ejus [13]. » Itaque turpis quæstus illecebra victi libros iniquos scribebant, legis mentem impie cauponantes, et vel ut vinum aquæ miscentes, et purum argentum, adulterinum reddentes, ut viduam injuria afficerent,

[11] Galat. v, 16. [12] Philipp. iv, 7. [13] Malach. ii, 7.

et eriperent jus pauperibus, ac orphanum veluti prædam aliquam ditescere volentibus facile expositam subjicerent. At, inquit, isti, quid facient in die visitationis? Visitationis autem diem vocat belli tempus, quo inspexit Deus scribentes iniquitatem, et recta legis judicia detorquentes. Quæ enim opes vobis opitulabuntur? inquit. Quonam pacto congregatarum a vobis rerum ex avaritia coacervatio juvabit? Injuriam fecistis, corrupistis legem, proculcastis consilium legislatoris : jam quo tandem evadetis? quid etiam agetis, aut quid loquemini, quo effugiatis diem visitationis? Afflictio etenim vobis a longe veniet. Pugnabant quippe Judæi sæpenumero adversus accolas gentes, Idumæos inquam et Elamitas, et Moabitas, et Syros, et qui Philistini dicuntur : eveniturque ut multis meliores, ac in pugna superiores viderentur. Sed nunc, inquit, afflictio vestra procul veniet, **171** id est, non adversus Idumæos vobis certamen erit, non adversum Moabitas bellum, sed nec adversus ullos accolas, quos aliquando subegistis, et ex prælio majorem laudem consecuti, corona nobilissima rediminiti estis: sed nunc vobis afflictio procul veniet. Videtur autem hinc vel Assyriorum incursionem, vel Romanorum subindicare. Nam et hi et illi e longinquo venerunt. Incumbente vero afflictione, ubi relinquetis vestram gloriam, ut non incidatis in abductionem? Fregistis enim, inquit, sæpe hostes, et invadentibus restitistis, ac urbes et regiones vestras conservastis : nunc autem gloriam istam ubi relinquetis? Cadetis enim omnes, fortitudine, quæ sæpe contra alios valuit, nullo modo vos juvante. Quid enim facietis ut non incidatis in abductionem? Abductionem vocat, illatam ipsis ab ira divina, et bellicam calamitatem. Deo nimirum inducente delinquentibus pœnas, quis avertet? Aut qua ratione qui pœnæ et supplicio obnoxii sunt, juvabuntur? nulla. Etenim et divinus David psallit dicens : « Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me [14]. » Et rursus : « Tu es terribilis, et quis resistet tibi? ex tunc ira tua [15]. » Amolietur siquidem divinam iram nemo. At eam quasi emollit pœnitentia : imo, ne quatietur quidem prorsus imperium, si quis velit recte et legitime et secundum oraculorum ejus placita vivere.

A φαίνοντες, ἵνα χήραν ἀδικῶσι, καὶ ἁρπάζωσι κρίματα πενήτων, καὶ τοῖς ἐκ πλεονεξίας κακοῖς ὑπάγωσιν ὀρφανὸν, καθάπερ τινὰ προνομὴν τοῖς ἐθέλουσι πλουτεῖν ἑτοίμως παρεῤῥιμμένην. Ἀλλ' οὗτοι, φησὶ, τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; Ἐπισκοπῆς δέ φησιν ἡμέραν, τὸν τοῦ πολέμου καιρὸν, καθ' ὃν ἐπεσκέψατο Θεὸς τοὺς γράφοντας πονηρίαν, καὶ τὰ ὀρθὰ τοῦ νόμου κρίματα διαστρέφοντας. Ποῖος γὰρ ὑμῖν πλοῦτος βοηθήσει, φησίν; Ὀνήσει δὲ κατὰ τίνα τρόπον τῶν ἐκ πλεονεξίας ὑμῖν συνειλεγμένων ἡ ἄθροισις; Ἠδικήσατε, κατεφθείρατε νόμον, πεπατήκατε τὸν τοῦ νομοθέτου σκοπόν. Εἶτα ὅποι ποτὲ βαδιεῖσθε; τί δὲ καὶ δρῶντες ἢ λέγοντες, διαφεύξεσθε τὴν ἡμέραν τῆς ἐπισκοπῆς; Ἡ γὰρ θλίψις ὑμῖν πόῤῥωθεν ἥξει. Ἐμάχοντο μὲν γὰρ Ἰουδαῖοι πλειστάκις
B πρὸς τὰ περίοικα τῶν ἐθνῶν, Ἰδουμαίους τέ φημι καὶ Ἐλαμίτας, Μωαβίτας, καὶ Σύρους, καὶ τοὺς καλουμένους Φελιστιείμ· συνέβαινε δὲ καὶ ἀμείνους ὁρᾶσθαι πολλῶν κρατοῦντας ἐν μάχαις. Ἀλλὰ νῦν, φησὶν, ἡ θλίψις ὑμῖν πόῤῥωθεν ἥξει· τοῦτ' ἔστιν, Οὐ πρὸς Ἰδουμαίους ὑμῖν ἡ μάχη. Οὐ πρὸς Μωαβίτας ὁ πόλεμος· ἀλλ' οὐδὲ πρός τινας τῶν ὁμόρων, ὧν ἔσθ' ὅτε, καὶ κεκρατήκατε, καὶ τὴν ἀμείνω λαχόντες ψῆφον ἐν μάχῃ τὸν τῆς εὐκλείας ἀνεδήσασθε στέφανον· ἀλλὰ νῦν ὑμῖν ἡ θλίψις πόῤῥωθεν ἥξει. Ἔοικε δὲ διὰ τούτων, ἢ τῶν Ἀσσυρίων τὴν ἔφοδον, ἤγουν τὴν τῶν Ῥωμαίων ὑποδηλοῦν. Πόῤῥωθεν γὰρ οὗτοί τε κἀκεῖνοι. Ἐπενηνεγμένης δὲ τῆς θλίψεως, ποῦ καταλήψετε τὴν ἑαυτῶν δόξαν, τοῦ μὴ ἐμπεσεῖν εἰς τὴν ἐπαγωγήν; Κατηνδρίσασθε μὲν γὰρ πολλάκις, φησὶ, τῶν
C ἐχθρῶν, καὶ τοῖς ἐπιοῦσιν ἀντανιστάμενοι σεσώκατε τὰς παρ' ὑμῖν πόλεις τε καὶ χώρας. Νυνὶ δὲ τὴν ἐπὶ τούτῳ δόξαν, ποῦ καταλήψετε; πεσεῖσθε γὰρ πάντες, κατ' οὐδένα τρόπον ὠφελούσης ὑμᾶς τῆς κατὰ τῶν ἑτέρων εὐανδρίας. Τί γὰρ ποιήσετε τοῦ μὴ ἐμπεσεῖν εἰς ἐπαγωγήν; Ἐπαγωγὴν δέ φησι, τὴν ἐπενεχθεῖσαν αὐτοῖς ὡς ἀπό γε τῆς θείας ὀργῆς, καὶ τὴν ἐκ τοῦ πολέμου συμφοράν. Θεοῦ γὰρ ἐπάγοντος τοῖς πλημμελοῦσι τὰς δίκας τίς ὁ ἀποστρέψων; ἢ ποῖος ἂν τοῖς ὑπὸ ποινὴν καὶ κόλασιν ἐπικουρήσει τρόπος; οὐκ ἔστιν οὐδείς. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Δαβὶδ ψάλλει καί φησιν· « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. » Καὶ πάλιν· « Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; Ἀπὸ τότε ἡ ὀργή σου. » Ἀποστρέψει μὲν οὖν οὐδεὶς τὴν θείαν ὀργήν. Καταμαλάσσει δὲ ὥσπερ αὐτὴν ἡ μετάγνωσις· μᾶλλον δὲ οὐδ' ἂν ὅλως σαλεύοιτο τὴν ἀρχήν, εἰ δὴ βιοῦν ἐθέλοι τις ὀρθῶς καὶ ἐννόμως, καὶ κατά γε τὸ δοκοῦν τοῖς παρ' αὐτοῦ θεσπίσμασιν.

VERS. 5-10. *In omnibus his non aversus est furor, sed etiamnum manus excelsa. Væ Assyriis, virga furoris mei, et ira est in manibus eorum. Iram meam in gentem iniquam mittam, et populo meo edicam ut faciat spolia, et prædas agat, et conculcet urbes, et redigat eas in pulverem. Ipse autem non sic cogitavit, et animo non sic reputavit : sed mutabit animum suum, ut etiam disperdat gentes non paucas. Quod si dixerint ei: Tu solus es princeps; et dicet: Non cepi regionem quæ est supra Babylonem, et Chalanem, ubi*

D *Ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. Οὐαὶ Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου, καὶ ἡ ὀργὴ ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν. Τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, καὶ τῷ ἐμῷ λαῷ συντάξω τοῦ ποιῆσαι σκῦλα καὶ προνομὴν, καὶ καταπατεῖν τὰς πόλεις, καὶ θεῖναι αὐτὰς ὡς κονιορτόν. Αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη, καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται· ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ, καὶ τοῦ ἐξολοθρεῦσαι ἔθνη οὐκ ὀλίγα. Καὶ ἐὰν εἴπωσιν*

[14] Psal. VI, 1. [15] Psal. LXXV, 8.

αὐτῷ, σὺ μόνος εἶ ἄρχων, καὶ ἐρεῖ· Οὐκ ἔλαβον A *τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλάνη, οὗ ὁ πύργος ᾠκοδομήθη. Ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν, καὶ Σαμάρειαν; Ὃν τρόπον ταύτας ἔλαβον, καὶ πάσας τὰς χώρας λήψομαι.*

Πανταχοῦ τῆς οἰκείας δόξης πεφροντικότα Θεὸν εὑρήσομεν. Χαλεπαίνειν μὲν γὰρ εἰ δή τινας βλέποι καταφρονεῖν ᾑρημένους, καὶ παρ' οὐδὲν ποιεῖσθαι σπουδάζοντας τὸ αὐτῷ δοκοῦν, πάντα δὲ ὥσπερ σείοντας κάλον, εἴς γε τὸ δεῖν ἀπονεῦσαι πρὸς τὰ ἐκτοπώτατα. Περιτρέπει δὲ τοὺς τοιούτους μονονουχὶ καὶ ἀνασειράζων εὐσθενῶς, εἰς τὸ ὅτι μάλιστα τελοῦν εἰς ὄνησιν αὐτοῖς. Οὕτω γάρ πού φησι καὶ ὁ μακάριος Δαβίδ· « Ἐν χαλινῷ καὶ ἐν κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρὸς σέ. Πολλαὶ αἱ B μάστιγες τοῦ ἁμαρτωλοῦ. » Ἐπιφέρει δὲ τοῖς πλημμελοῦσι τὴν κόλασιν, οἱόν τινα ῥάβδον εἰς χεῖρας ἐπιδιδοὺς τὴν ἰδίαν ὀργὴν ἀνδράσιν οὐκ ἀγαθοῖς, ἵν' αὐτοὶ γένοιντο κολασταὶ τῶν ἠσεβηκότων. Συμβαίνει δὲ τοὺς εἰς τοῦτο παρειλημμένους φρονῆσαί τι μέγα κατὰ τῶν κεκολασμένων, μᾶλλον δὲ κατὰ τοῦ παραδόντος αὐτούς. Οὐ γὰρ ἐννοοῦσιν ὅτι κεκρατήκασιν αὐτῶν ἐφέντος Θεοῦ, καὶ ψῆφον ἐπάγοντος τὴν τοῦ χρῆναι παθεῖν αὐτούς· οἴονται δὲ ὅτι καὶ σώζειν ἐθέλοντος κεκρατήκασι. Μεθίστησι τοίνυν ἐπ' αὐτοὺς τὴν ὀργὴν, καὶ σφόδρα εἰκότως. Ἐπειδὴ δὲ τοῖς ὑπερηφάνοις ἀντιτάττεται, κατασείει μὲν αὐτῶν τὴν ὀφρὺν, ποιναῖς δὲ ὑποτιθεὶς ταῖς αὐτοῖς πρεπούσαις, πειρᾶται πληροφορεῖν ὅτι μὴ τῆς ἰσχύος ἐκείνων ἔργον ἦν, ἀλλὰ τῶν παρ' αὐτοῦ νευμάτων τὸ κρατῆσαι τῶν C κεκολασμένων. Πέπονθέ τι τοιοῦτον ὁ τῶν Ἀσσυρίων βασιλεύς. Ἐπειδὴ γὰρ εἷλε τὴν Ἰουδαίαν, καὶ πεπόρθηκε τὰς πόλεις, μέγα πεφρόνηκεν ἐφ' ἑαυτῷ, καὶ δὴ καὶ ᾤετο τῆς ἁγίας κρατῆσαι γῆς, καὶ παρὰ βούλησιν Θεοῦ τοῦ προεστηκότος αὐτῆς, καὶ σώζειν ὑπισχνουμένου. Ταύτης ἕνεκα τῆς αἰτίας φησὶν, οὔπω μὲν ἀπεστράφθαι τὸν θυμὸν, ἐπενεχθήσεσθαι δὲ καὶ Ἀσσυρίοις τὸ, οὐαί. Καὶ ποία τίς ἐστιν ἡ τοῦδε πρόφασις; Ἡ μὲν γὰρ *ῥάβδος*, φησὶ, *τῆς ἐμῆς ὀργῆς*, ἐν ταῖς αὐτῶν δέδοται χερσὶν, παρ' ἐμοῦ δηλονότι, ὥστε καταπαίειν ἐν αὐτῇ τοὺς εἰς ἐμὲ δεδυσσεβηκότας. Ἐγὼ συνέταξα αὐτοῖς, ὥστε ποιῆσαι σκῦλα, καὶ προνομὴν τὸν ἐμὸν λαὸν, καὶ καταπατεῖν τὰς πόλεις, καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν. Εἰ μὴ γὰρ τὴν σώζουσαν ἀπέστησα χεῖρα, καὶ γυμνοὺς ἀπέφηνα τῆς D ἀεὶ καὶ συνήθους αὐτοῖς, καὶ παρ' ἐμοῦ δοθείσης ἐπικουρίας, οὐδ' ἂν ἥλωσάν ποτε, κρείττους ἀεὶ γεγονότες δι' ἐμοῦ τῶν ἐχθρῶν. Αὐτός γε μὴν ὁ Ἀσσύριος οὐχ οὕτως ἐνεθυμήθη, καὶ τῇ ψυχῇ οὐχ οὕτω λελόγισται, ἀλλ' ὅσον ἧκεν εἰς τὸν αὐτοῦ νοῦν, ἀπαλλάξει· τοῦτ' ἔστιν, ὀλοθρεύσει ἔθνη οὐκ ὀλίγα. Οἴεται γὰρ ὅτι ταῖς αὐτοῦ δυνάμεσιν ἀντανασθήσεται μὲν οὐδεὶς, κρατήσει γε πάντως ἀμογητὶ, καὶ παντὸς ἔθνους ἔσται δεσπότης, ἀντεξάγοντος οὐδενός. Ἄπληστον δὲ οὕτως ἔχοντι τὴν ψυχὴν, καὶ ἀεὶ τῶν ὅλων κρατεῖν ἐθέλοντι, κἂν εἰ προσίοι τις λέγων· Σὺ μόνος εἶ ἄρχων, τοῦτ' ἔστιν, ἆρα δυνήσῃ μόνος ἁπάσης κατ-

[16] Psal. XXXI, 9, 10. [17] Jac. IV, 6.

turris ædificata est. Cepi Arabiam, et Damascum, et Samariam: quemadmodum cepi has, etiam cunctas regiones capiam.

Ubique Deum suæ gloriæ curam habuisse inveniemus. Etenim indigne fert jam cum videt aliquos placita sua contemnere, **172** ac pro nihilo ducere, et omnem funem movere ut ad omne genus turpitudinis deflectant. Tales autem ille convertit, et tantum non trahit fortiter, ad id quod in eorum commodum maxime cedit. Sic enim inquit beatus David: « In camo et freno maxillas eorum constringes, qui non appropinquant ad te. Multa flagella peccatoris [16]. » Infert autem supplicium his qui delinquunt, tradens iram suam veluti virgam quamdam in manus hominum non bonorum, ut sint impiorum castigatores. Contingit autem eos qui ad hoc assumpti sunt, alto elatoque esse animo contra eos in quos animadvertitur, imo vero in eum qui eos tradidit. Non enim considerant hi, permittente Deo, et sententiam ferente ut paterentur illi, se eos subegisse. At vero isti etiam ipso servare volente se vicisse existimant. Derivat ergo hanc iram in illos, et jure quidem optimo. Dum vero superbis resistit [17], eorumque superbiam deprimit, et cum pœnas irrogat ipsis dignas, plenam fidem astruere conatur, non fortitudinis eorum opus, sed ipsius nutus et voluntatis fuisse, ut eos punitos superarent. Simile quiddam accidit regi Assyriorum. Postquam enim cepisset Judæam, urbesque vastasset, altum apud se sapuit, et sane putavit se terram sanctam, præter voluntatem Dei ei præsidentis, et servare promittentis, subacturum. Hanc ob causam dicit, nondum furorem suum aversum, sed illud væ inducendum Assyriis. Et quæ tandem hujus rei causa? Virga enim, ait, iræ meæ, in manus eorum traditur, a me videlicet, ut illa feriat eos qui in me impietatem moliti sunt. Ego mandavi illis ut spolia faciant, et prædæ habeant populum meum, et proculcent urbes, et in pulverem eas redigant. Si enim manum servatricem non subduxissem, et auxilio semper et solito et a me tradito non denudassem, capti non fuissent unquam, per me superiores semper facti hostibus. Cæterum ipse Assyrius non sic cogitavit, neque sic animo reputavit, sed quod ad ejus quidem animum spectat, mutabit, id est, evertet gentes non paucas. Putat enim resistere posse neminem suis viribus, sed absque labore se cunctas adeo gentes debellaturum, foreque dominum, nullo se opponente. Ita dum **173** inexplebilem animum habet, et rerum summa potiri vult, si accedat aliquis dicens ei: Tu solus es princeps, id est, an tu possis solus imperitare orbi terrarum? Ad hæc, inquit, superbam vocem emittens, dicet: Nonne cepi regionem quæ est supra Babylonem, et Chalanen, ubi turris ædificata est? Cepi Arabiam, et Dama

scum, et Samariam : quemadmodum cepi has, ita omnes regiones capiam. Chalane igitur, ubi turris ædificata a majoribus, in extremis quodammodo Orientis partibus, ultra regionem et terram Babyloniorum sita est. Itaque quemadmodum, inquit, in ipsis finibus orientalis terræ, mei regni terminos constitui, cepi autem Damascum et Samariam, quibus dii ipsorum nequaquam succurrerunt, sic et alias regiones exteras capiam. Quod autem Rapsaces verba referens ab Assyriorum rege, sedentibus in muro dixerit, necesse habeo commemorare. Hæc dicit rex Assyriorum : Ne decipiat vos Ezechias sermonibus qui vos eripere non poterunt. Nec dicat vobis Ezechias, erepturum vos Deum ; et post alia rursus : Num liberarunt dii gentium suam quisque regionem e manu regis Assyriorum? Ubi est deus Amath, et Arphath? Et ubi est deus civitatis Sepharaim? Num potuerunt eripere Samariam e manu mea? Quis tandem est ex omnium gentium illarum diis, qui terram suam ex manu mea liberavit, quoniam liberabit Deus Israelem de manu mea? Proinde regem Assyriorum, qui de se magnifice sensit, et divinam majestatem deridere voluit, pœnis subjecturum se denuntiat. Etenim et nobis ipsis superbiæ morbus odio est habendus : cum autem contra ipsam divinam majestatem audaci animo inflatus fuerit, tunc, tunc væ, et quidem justissime, hoc facere volentibus irrogabitur.

A ἄρξαι τῆς ὑπ' οὐρανόν; Πρὸς τοῦτο, φησὶν, ὑπέροπτον ἀφήσει φωνὴν, ἐκεῖνο λέγων· Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος, καὶ Χαλάννη, οὗ ὁ πύργος ᾠκοδομήθη; Ἔλαβον Ἀραβίαν, καὶ Δαμασκὸν, καὶ Σαμάρειαν· ὃν τρόπον ταύτας ἔλαβον, καὶ πάσας τὰς χώρας λήψομαι. Χαλάννη, οὗ ὁ πύργος ᾠκοδομήθη παρὰ τῶν ἀρχαιοτέρων, κεῖται μὲν ἐν ἐσχάτοις τρόπον τινὰ τῆς ἑῴας μέρεσιν, ἐπέκεινα δὲ τῆς Βαβυλωνίων χώρας τε καὶ γῆς. Ὥσπερ οὖν, φησὶν, ἐξ αὐτῶν τερμάτων τῆς ἑῴας γῆς τῆς ἐμαυτοῦ βασιλείας τέθεικα τοὺς ὅρους, εἷλον δὲ Δαμασκὸν καὶ Σαμάρειαν, ὠφελημένας οὐδὲν ἀπό γε τῶν ἐν αὐταῖς θεῶν. Οὕτω καταλήψομαι καὶ τὰς ἔξω χώρας. Μεμνῆσθαι δὲ ἀναγκαῖον ὅτι καὶ Ῥαψάκης, τὰς παρὰ τοῦ βασιλέως Ἀσσυρίων ἀναγγέλλων φωνὰς, προσπεφώ- B νηκε τοῖς ἐν τῷ τείχει καθημένοις· Τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων. Μὴ ἀπατάτω ὑμᾶς ὁ βασιλεὺς Ἐζεκίας λόγοις, οἳ οὐ δυνήσονται ῥύσασθαι ὑμᾶς· καὶ μὴ λεγέτω ὑμῖν Ἐζεκίας, ὅτι Ῥύσεται ἡμᾶς ὁ Θεός· καὶ μεθ' ἕτερα πάλιν· Μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων; ποῦ ἐστιν ὁ θεὸς Ἐμὰθ καὶ Ἀρφάθ; καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς πόλεως Σεπφαρουεΐμ; μὴ ἐδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ χειρός μου; τίς τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων ἐῤῥύσατο τὴν γῆν αὐτοῦ ἐκ χειρός μου, ὅτι ῥύσεται Ἰσραὴλ ἐκ χειρός μου; Μεγάλα τοίνυν πεφρονηκότα τὸν Ἀσσύριον, καὶ τῆς θείας ὀργῆς καταμειδιᾷν ᾑρημένον ὑποθήσειν ἐπαγγέλλεται ταῖς δίκαις. Ἀπηχθημένον μὲν γὰρ καὶ παρ' ἡμῖν αὐτοῖς τῆς ἀλαζονείας τὸ πάθος. Ὅταν δὲ δὴ καὶ αὐτῆς τῆς θείας καταθρασύνηται δόξης, τότε δὴ τότε τὸ οὐαὶ καὶ σφόδρα δικαίως τοῖς τοῦτο δρᾷν ἐθέλουσι ἐπεισθήσονται.

C VERS. 11. *Ululate sculptilia in Jerusalem et in Samaria. Quemadmodum enim feci Samariæ ejusque manufactis, sic faciam et Jerusalem, et idolis ejus.*

Ὀλολύξατε τὰ γλυπτὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ. Ὃν τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτως ποιήσω καὶ ἐν Ἱερουσαλὴμ, καὶ τοῖς εἰδώλοις αὐτῆς.

Induxit modo alta et tumida cogitantem Assyrium. Samariæ enim urbes deletæ cum essent, diis falso nuncupatis non succurrentibus, imo incensis etiam cum ipsis delubris et altaribus : cumque subjicere ditioni suæ **174** Hierosolymam sive Judæam, etiam invito sempiterno ejus assertore et conservatore Deo, cogitasset, causas illico nobis, et cur ipsa caperetur Samaria, compluresque urbes Judææ, prophetica oratio adjicit. Hinc nec sane immerito ipsum impietatis genus in memoriam redigit, eosque ululare jubet et plorare : et tantum non D obstupefactus præ defectione a singulari illa pietate, proclamat : Ululate sculptilia in Jerusalem et Samaria. Nam ubi dignis honoribus Deum universitatis colere oportuit, illic contemnitur, et honore suo congruente et debito privatus est. Sculptilibus siquidem veneratione attributa, ausi sunt miseri dicere ligno : « Deus meus es tu ; et lapidi : Tu genuisti me [18]. » Itaque velut attonitus propheta, hanc exclamationem facit : scilicet, sculptilia in Jerusalem et in Samaria. Cujusmodi est quod et voce Jeremiæ dicit de Jerusalem : Quid dilecta fecit in

Εἰσκεκόμικεν ἀρτίως ὑψηλὰ καὶ ὑπέρογκα πεφρονηκότα τὸν Ἀσσύριον. Ἐπειδὴ γὰρ τὰς τῆς Σαμαρείας ὠλόθρευσε πόλεις οὐκ ἐπικουρούντων αὐταῖς τῶν ψευδωνύμων θεῶν, κατεμπρησθέντων δὲ πάλιν αὐτοῖς τεμένεσι καὶ βωμοῖς. Διατεθειμένου δὲ ὅτι καὶ αὐτὴν ὑπὸ χεῖρα ποιῆσαι τὴν Ἱερουσαλὴμ, ἤτοι τὴν Ἰουδαίαν, καὶ εἰ μὴ βούλοιτο τυχὸν ὁ προασπίζων αὐτῆς ἀεί τε σώζων Χριστὸς, τὰς αἰτίας εὐθὺς ὁ προφητικὸς ἡμῖν παρατίθησι λόγος τοῦ καὶ αὐτὴν ἁλῶναι τὴν Σαμάρειαν, πλείστας δὲ ὅσας καὶ τῆς Ἰουδαίας πόλεις. Ταύτῃ τοι καὶ μάλα εἰκότως τῶν τῆς δυσσεβείας τρόπων εἰς ἀνάμνησιν ἀποφέρει, ὀλολύζειν τε αὐτοὺς, καὶ κατοιμώζειν κελεύει. Μόνον δὲ οὐχὶ κατατεθηπὼς τὴν ἀπόστασιν ἐκ φιλοθεΐας τῆς ἄγαν ἀναφωνεῖ· Ὀλολύξατε, γλυπτὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ. Ὅπου γὰρ ἔδει ταῖς καθηκούσαις τιμαῖς τὸν τῶν ὅλων καταγεραίρεσθαι Θεὸν, ἐκεῖ παροράται, καὶ τῆς αὐτῷ πρεπούσης τε καὶ ὀφειλομένης τιμῆς ἐστέρηται. Γλυπτοῖς γὰρ τὸ σέβας ἀναθέντες οἱ δείλαιοι, τετολμήκασιν εἰπεῖν τῷ ξύλῳ· « Θεός μου εἶ σύ· καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με. » Οὐκοῦν μετ' ἐκπλήξεως οἱονεὶ τῷ προφήτῃ γέγονεν

[18] Jerem. II, 27.

ἀναφώνημα τὸ εἰρημένον· τοῦτ᾽ ἔστιν, γλυπτὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ. Τοιοῦτόν τι καὶ διὰ φωνῆς Ἱερεμίου φησὶ περὶ τῆς Ἱερουσαλήμ. Τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; ἔφη δέ που καὶ δι᾽ ἑνὸς προφήτου· « Σκοπὸς Ἐφραῒμ μετὰ Θεοῦ, προφήτης παγὶς σκολιὰ, ἐπὶ πάσας ὁδοὺς αὐτοῦ, μανίαν ἐν οἴκῳ Κυρίου κατέπηξαν. » Ἱδρυσάμενοι γὰρ ἐν τοῖς Ἱεροσολύμοις βωμοὺς καὶ χειρόκμητα, τεθύκασι τῇ Βαὰλ, καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Δεδράκασι δὲ ταυτὶ καὶ οἱ ἐν τῇ Σαμαρείᾳ. Ὃν τρόπον τοίνυν, φησὶν, ἐποίησα Σαμαρείᾳ, καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτως ποιήσω καὶ Ἱερουσαλὴμ, καὶ τοῖς εἰδώλοις αὐτῆς. Οἷς γὰρ ἀδελφὰ τὰ τολμήματα, τούτοις ἕποιτο ἂν εἰκότως καὶ ἰσοπαλὴς ἡ δίκη. Οὐκοῦν ἔλαβε μὲν ὁ Ἀσσύριος καὶ Δαμασκὸν καὶ Σαμάρειαν. Ὁδὸς δὲ τοῦ πράγματος αὐτῷ, καὶ τοῦ κατισχῦσαι πρόφασις, ἡ τῶν εἰδώλων ποίησις ἦν, ἥ ἔν τε τῇ Σαμαρείᾳ, καὶ τοῖς Ἱεροσολύμοις. Ταύτῃτοι καὶ τοῖς τὰ τοιάδε δρᾷν εἰωθόσιν, τὰς πρεπωδεστάτας ἐξήτηνται δίκας. Χαλεπὸν οὖν ἄρα, καὶ ὀργῆς ἡμῖν τῆς παρὰ Θεοῦ πρόξενον ἡ τῶν εἰδώλων ποίησις πανταχοῦ, κἂν εἴ τις εἰς νοῦν καὶ καρδίαν τοῦτο δρῴη τυχόν. Ἀποφέρει γὰρ κἀκεῖνα τῆς εἰς Θεὸν ἀγάπης, καταγοητεύοντα τὴν καρδίαν, καὶ ἐφ᾽ ἃ μὴ προσῆκεν ἐξέλκοντα.

A domo mea abominationem? Dixit porro et per unum prophetam: « Speculator Ephraim cum Deo, propheta laqueus tortuosus in omnibus viis ejus: insaniam in domo Domini confixerunt [18*]. » Collocatis enim Hierosolymæ altaribus et manuconditis, Baalo et militiæ cœli sacrificarunt. Quod etiam Samariæ incolæ fecerunt. Quemadmodum igitur, inquit, feci Samariæ et manufactis ejus, sic faciam et Jerusalem et idolis ejus. Quorum enim similia et cognata sunt maleficia, eos merito consimilis etiam pœna consequetur. Cepit igitur Assyrius Damascum et Samariam: via autem hujus rei conficiendæ et occasio victoriæ fuit, idolorum effictio, cum Samariæ tum Hierosolymis: ideoque his qui talia patrare consueverunt, dignissimas pœnas inflixit. Est itaque
B grave scelus, et iram divinam nobis accersit ubique idolorum effictio: idque etiam si quis forte hoc in animo et mente fabricaverit. Abducunt enim illa a dilectione in Deum, incantant animum, et ad quæ non oportet trahunt.

Καὶ ἔσται ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν, καὶ ἐν Ἱερουσαλὴμ, ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. Εἶπε γάρ· Τῇ ἰσχύϊ ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεως, ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω· καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ· καὶ οὐκ ἔστιν, ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι.

VERS. 12-14. *Et erit cum consummaverit Dominus omnia faciens in monte Sion, et Jerusalem, inducet super mentem magnam, principem Assyriorum, et super celsitudinem gloriæ oculorum ejus. Dixit enim: In fortitudine faciam, et* **175** *sapientia intellectus, tollam gentium terminos, et robur earum deprædabor, et concutiam urbes habitatas, et orbem terræ totum*
C *comprehendam manu, et ut derelicta ova tollam. Et non est qui effugiat me, vel contradicat mihi.*

Οὐκ ἔξω κοινῆς γενήσεσθαι τὸν Ἀσσύριον τὰ οὕτως ὑπέρογκα πεφρονηκότα φησί. Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, κατὰ τὸ γεγραμμένον, καὶ τῶν τῆς ἀλαζονείας αἰτιαμάτων τοὺς ταύτην νενοσηκότας πράττεται μὲν ἀεὶ τοὺς λόγους, ἀποφαίνει δὲ αὐτοὺς οἰκτροὺς καὶ κατερριμμένους, ὡς ἂν εἰδεῖεν μὴ ἐπαίρειν εἰς ὕψος τὸ κέρας, κατὰ τὸ γεγραμμένον· εἶεν δὲ μᾶλλον ἐπιγνώμονες τῆς ἑαυτῶν φύσεώς τε καὶ ἀσθενείας. Ὅταν γὰρ, φησὶ, συντελέσῃ πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν, καὶ ἐν Ἱερουσαλὴμ, τοῦτ᾽ ἔστιν, ὅταν εἰς τέλος ἔρχηται τὰ τῆς ἐπ᾽ αὐτοῖς ὀργῆς, ἐπάξει τότε τὴν χεῖρα, καὶ τὴν καταπαίουσαν ῥάβδον, ἐπὶ τὸν νοῦν τὸν μέγαν τὸν ἄρχοντα τῶν Ἀσσυρίων. Νοῦν δὲ αὐτὸν ἀπεκάλεσε μέγαν, οὐ πρὸς ἐπαίνου τὸ χρῆμα τιθεὶς αὐτῷ, καταψέγων δὲ μᾶλλον, ὡς οὐδὲν ἕτερον ὄντα πλὴν ὅτι μόνον ὑπεροψίαν τὴν θεομισῆ. Πεφρόνηκε γὰρ ἀνθρώπινον μὲν οὐδέν· ὅσα δὲ καὶ τάχα καὶ πᾶσαν τὴν γενητὴν ὑπερνήχεται φύσιν. Ἐπάξει τοίνυν ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ· ὀφθαλμῶν δέ φησιν ἐν τούτοις, ἀντὶ τοῦ τῶν ἐννοιῶν, ἤτοι τῶν ἐνθυμημάτων. Ὑψηλὰ γὰρ, ὡς ἔφην, καὶ ὑπέρογκα ταυτί. Θεὸς δὲ ὑπάρχων, καὶ εἰς καρδίαν ὁρῶν καὶ νεφροὺς, εἰδώς τε τὰ κεκρυμμένα, καὶ ἡμῖν αὐτὰ

Non immunem fore Assyrium a pœna, quippe qui tantopere intumuerat, asseverat. Dominus enim superbis resistit, juxta id quod scriptum est [19], et eorum qui arrogantiæ vitio laborant verba exigit, illosque miseros reddit et projectos, ut sciant non esse tollendum cornu in altum, sicuti scriptum est, sintque conscii potius suæ ipsorum naturæ et infirmitatis. Quando enim, inquit, consummaverit omnia faciens in monte Sion, et Jerusalem, id est, cum iræ in ipsos finis venerit: tunc inducet manum, et virgam ferientem mentem magnam, principem
D Assyriorum. Mentem vero ipsum appellavit magnam, non laudi hoc verbum ei tribuens, sed vitio dans potius, quippe qui nihil aliud sit quam superbia Deo exosa. Nihil enim de se sensit humanitus, sed quæ omnem naturam mortalem excedunt et supereminent, cogitavit. Inducet igitur super celsitudinem gloriæ oculorum ejus.' Oculorum vero hic dicit, pro opinionum seu cogitationum. Altæ enim sunt illæ, ut dixi, et prætumidæ. Deus autem cum sit qui cor introspicit et renes, et qui perlustrat occulta, nobis etiam illa plane demonstrat, et inquit. Dixit enim: In fortitudine faciam, et sapientia in-

[18*] Osc. IX, 8. [19] Jac. IV, 6

telligentiæ tollam gentium terminos, et robur eorum deprædabor, et deturbabo urbes habitatas. Observa igitur quomodo quasi auxilio superno non egens, suis ipsius viribus solis incensus sit, quasi omnia quæ velit, posset facere : seque adeo sapientem fore et rei militaris scientem, ut ad se terminos gentium transferre facillime, et earum potentiam perfringere, et deprædari, et urbes imbelles desertasque posset concutere : etiamsi complures et innumerabiles incolas habeant. Sed non hic hæsit ejus arrogantia. Jactat enim se universum orbem terrarum espugnaturum, idque facillime, et prompte et citra pugnam se facturum decernit, ac constituit, quantum animo quidem reputat. Comprehendam **176** enim totum orbem terræ, velut nidum, et velut derelicta ova tollam, et non est qui effugiat vel resistat mihi. O insignem superbiam, o cogitationes stultas ! quasi unius passerculi nidus esset, universa hæc machina, ita eam considerat : ovis relictis ab altrice ave, totius terræ incolas confert, ut quasi draco invadat et absorbeat, oditque contradicentes, nedum, ut sic dicam, exspectat, ut obsessi secum in colloquium veniant. Hæc ad personam ipsius Satanæ quoque referri decet. Est enim ille pater superbiæ : putatque se orbem comprehensurum, nullo contraveniente. At res non sic demum abit, imo evenit illi ad extremum exitus rerum longe contrarius. Etenim contradixit pro nobis Christus, nec contradixit solum, sed et pro vita omnium in certamen descendit, et exitialem illum vicit, pedibusque sanctorum substravit : nam dixit eis : « Ecce dedi vobis facultatem calcandi super serpentes et scorpiones, et supra omnem potestatem inimici [20]. »

A καθίστησιν ἐναργῆ, καί φησιν. Εἶπε γάρ· Τῇ ἰσχύϊ ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας. Ἄθρει δὴ οὖν ὅπως, ὡς τῆς ἄνωθεν ἐπικουρίας οὐ δεδεημένος, ταῖς ἑαυτοῦ δυνάμεσιν ἀνάπτει μόναις τὸ πάντα δύνασθαι δρᾷν, ὅσαπερ ἂν βούλοιτο· οἴεται δὲ ὅτι καὶ σοφὸς οὕτως ἐστὶν, καὶ στρατηγικὸς, ὡς καὶ μάλα ῥᾳδίως ἐφ' ἑαυτὸν δύνασθαι μεθιστᾷν τὰ ὅρια τῶν ἐθνῶν, διαῤῥηγνῦναί τε αὐτῶν τὴν ἰσχὺν, καὶ ἐν προνομῇ ποιεῖσθαι, καὶ κατασείειν πόλεις, οὐκ ἀνάνδρους καὶ ἠρημωμένας, ἀλλ' εἰ καὶ πλείστους ὅσους, καὶ ἀναριθμήτους ἔχοιεν τοὺς κατοικοῦντας ἐν αὐταῖς. Καὶ οὐ μέχρι τούτων τὰ τῆς ἀλαζονείας αὐτῷ. Περιαυτίζεται γάρ. καὶ ἁπάσης ὅτι καταδράξηται τῆς ὑπ' οὐρανὸν, καὶ B λίαν εὐκόλως, ἑτοίμως τε καὶ ἀμαχεὶ διατίθεσται καὶ φρονεῖ κατά γε τὸ εἰς νοῦν ἧκον αὐτῷ. Καταλήψομαι γὰρ, φησὶ, τὴν οἰκουμένην ὅλην ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι. Ὢ δεινῆς ὑπεροψίας, ὢ λογισμῶν ἀσυνέτων! Ὡς ἑνὸς στρουθίου καλιὰν τὴν σύμπασαν βλέπει, ὠοῖς καταλελειμμένοις ὑπὸ τῆς θαλπούσης ὄρνιθος παρεικάζει τοὺς ἀνὰ πᾶσαν τὴν γῆν, ἵν' ὡς δράκων ἐπελθὼν καταπίῃ. Μισεῖ δὲ τοὺς ἀντιλέγοντας, καὶ οὐδ' ὅσον εἰπεῖν εἰς λόγους ἥξειν αὐτῷ προσδοκᾷ τοὺς πολιορκουμένους. Ταυτὶ πρέποι ἂν καὶ εἰς τὸ αὐτοῦ πρόσωπον ἀναφέρειν τοῦ Σατανᾶ. Καὶ γάρ ἐστιν αὐτὸς ὁ τῆς ὑπερηφανίας πατήρ. Ὠήθη δὲ ὅτι καταλήψεται τὴν οἰκουμένην ἀντιπράττοντος οὐδενός. C Ἀλλ' οὐχ οὕτω ποθέν· ἐκβέβηκε δὲ μᾶλλον αὐτῷ πρὸς πᾶν τοὐναντίον τῶν πραγμάτων τὸ πέρας. Ἀντείρηκε γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστός· καὶ οὐκ ἀντείρηκε μόνον, ἀλλὰ καὶ ὑπερήθλησε τῆς ἁπάντων ζωῆς, νενίκηκε τὸν ἀλητήριον, καὶ τοῖς τῶν ἁγίων ὑπέστρωσε ποσίν. Ἔφη γὰρ αὐτοῖς· « Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. »

VERS. 15, 16. *Num gloriabitur securis sine illo qui secet ea? num attolletur serra sine eo qui trahit eam? Similiter si quis levaverit virgam vel lignum, nonne sic? Sed emittet Dominus Sabaoth in tuum honorem ignominiam, et in tuam gloriam ignis ardens incendetur.*

Aperte redarguit Assyrium et temere inflatum, et prorsus ignarum quod non manus ejus opus fuerit Samariam perdere, et una cum ea alias quoque urbes capere, sed potius decretum supremum, quod iis qui intolerabiliter sunt impii, ceu bipennem quamdam, vel virgam, vel lignum infert. Cedo enim mihi, inquit, o amentissime omnium ! num securis gloriabitur sine illo qui secet ea? Bipennis enim si optime exacuatur, accommoda est ad ligna agri detondenda. Num igitur laudabit quis, inquit, securim, quasi hoc præstare absque incidente cum ea valeat? Serra per se quid efficiet, nisi quis traxerit illam, ac rursum depulerit? Si vero quis contra quodcunque seu virgam, seu lignum elevet, annon rursum sic erit? Jacebit enim virga in terra,

Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; Ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; Ὡσαύτως ἐάν τις ἄρῃ ῥάβδον ἢ ξύλον· οὐχ οὕτως, ἀλλ' ἀποστελεῖ Κύριος Σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται.

Διελέγχει σαφῶς τὸν Ἀσσύριον, εἰκῇ τε ἀναφυσώμενον, καὶ ἠγνοηκότα παντελῶς, ὡς ἥκιστα μὲν τῆς D αὐτοῦ χειρὸς ἔργον γέγονε τὸ ἀπολέσαι τὴν Σαμάρειαν, ἑλεῖν δὲ σὺν αὐτῇ καὶ τὰς ἑτέρας πόλεις, ψῆφος δὲ μᾶλλον τῆς ἄνωθεν ἐπιφερούσης αὐτῶν τοῖς ἀφόρητα δεδυσσεβηκόσι, καθάπερ τινὰ πέλεκυν, ἢ ῥάβδον ἢ ξύλον. Εἰπὲ γάρ μοι, φησὶν, ὦ πάντων ἀνοητότατε, μὴ ἀξίνη δοξασθήσεται ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ. Πέλεκυς μὲν γὰρ ἄριστα τεθηγμένος καὶ τομὸς ἐπιτηδείως ἂν ἔχοι πρὸς τὸ ἀποκείρειν δύνασθαι τὰ ἐν ἀγροῖς ξύλα. Ἆρ' οὖν ἐπαινέσαι τις τὴν ἀξίνην, ὡς τοῦτο δρᾷν δυναμένην, δίχα τοῦ κόπτοντος ἐν αὐτῇ; Ἐνεργήσει δὲ τί καθ' ἑαυτὸν ὁ πρίων, εἰ μή τις ἕλκοιτό τε αὐτὸν, καὶ κατωθήσειε πάλιν; Εἰ δὲ δή τις καθ' ὁτιοῦν ἢ ῥάβδον, ἢ ξύλον· ἆρ' οὐχ οὕτως

[20] Luc. x, 19.

ἔσται πάλιν; Κείσεται μὲν γὰρ ἡ ῥάβδος εἰς γῆν, A
ἔῤῥιπται δὲ καὶ τὸ ξύλον, ἀλλ' εἴ τις λαβὼν ἐπάγοι τισὶ, τότε δὴ πάντως εἰς ἔργον ἥξει τὰ δι' αὐτῶν. Τί τοίνυν φησὶ πεφρόνηκας ὑψηλά; Τί δὲ τὴν ὀφρὺν ἀνασπᾷς; Οἴει ὅτι ἰδίᾳ δυνάμει κατώρθωκας αὐτὸς τὸ ἑλεῖν τὰς πόλεις, ἐν οὐρανοῦ τάξει παραληφθεὶς παρὰ τῆς ἐκεῖνα ποιούσης χειρὸς, δηλονότι τῆς θείας; Οὐ σὴ τοιγαροῦν ἡ δόξα· Θεοῦ δὲ μᾶλλον τοῦ καθάπερ τινὰ πέλεκυν, ἢ ῥάβδον, ἢ ξύλον τὴν σὴν ἐπάγοντος ὠμότητα τοῖς αὐτῷ προσκεκρουκόσιν. Ἔσῃ τοίνυν οὐχ οὕτω, φησὶν, ὡς ᾠήθης αὐτός. Οὔτε μὴν ἐν ταυτότητι δόξης διαμενεῖς, ἀλλ' οὐδὲ ταῖς οὕτως ἁβραῖς ἐνσπαταλήσεις τιμαῖς. Οὐ τῇ ἰσχύϊ ποιήσεις, οὐδὲ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελεῖς ὅρια ἐθνῶν. Οὐ καταλήψῃ τὴν οἰκουμένην ὡς ᾠὰ καταλελειμμένα. Ἀλλ' ἀποστελεῖ Κύριος Σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, B
καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται. Τιμὴν δὲ αὐτοῦ φησι, τὴν ὑπ' αὐτῷ πράττουσάν τε καὶ ὑποκειμένην στρατιάν. Ἐπ' αὐτῇ γὰρ δεδόξαστο. Πῦρ οὖν ἥξει κατ' αὐτῆς, φησὶ, καὶ καταφλέξει τὴν σὴν τιμήν. Τίνα δὲ τρόπον καὶ τοῦτο γέγονε, διατρανοῖ πάλιν, καὶ οὐκ εἰς μακράν.

Καὶ ἔσται τὸ φῶς τῷ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ, καὶ φάγεται ὡς χόρτον τὴν ὕλην. Τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη, καὶ οἱ βουνοὶ, καὶ οἱ δρυμοί. Καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. Καὶ ἔσται ὁ φεύγων ὡς φεύγων ἀπὸ φλογὸς καιομένης· καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἔσονται ἀριθμὸς, καὶ παιδίον γράψει αὐτούς.

C
Δυσέφικτον σφόδρα τὸ εἰρημένον, καὶ ἡ τῆς λέξεως συνθήκη τὴν ἀπόδοσιν ἔχει δυσχερεστάτην. Σαφηνιοῦμεν δὲ πάλιν, τὸν ἔν γε τοῖς προκειμένοις κρυπτόμενον νοῦν, ἐκεῖνα προειρηκότες. Εἷλε μὲν γὰρ τὴν Σαμάρειαν ὁ Σαλαμανασὰρ ὁ τῶν Ἀσσυρίων βασιλεὺς, ἀπέστειλε δὲ Ῥαψάκην ἐκ Λαχεὶς εἰς Ἱερουσαλὴμ, ὃς ἐλθὼν, καὶ πολιορκήσας αὐτὴν προσλελάληκε τοῖς ἐν τῷ τείχει τὰ παρὰ τοῦ πεπομφότος αὐτὸν, προστίθει δὲ τούτοις τὰς κατὰ τοῦ Θεοῦ δυσφημίας λέγων, ὅτι Οὐ μὴ ῥύσεται ὁ Θεὸς τὴν Ἱερουσαλὴμ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων. Πρὸς δὴ τὰ τοιάδε δεδυσφορηκὼς ὁ βασιλεὺς Ἐζεκίας τὰς πρὸς Θεὸν ἐποιεῖτο λιτὰς λέγων· Εἰσάκουσον, Κύριε, εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους Ῥαψάκου, οὓς ἐξαπέστειλε βασιλεὺς Ἀσσυρίων, ὀνειδίζειν Θεὸν ζῶντα. Ἐπηγ- D
γέλλετο δὲ Θεὸς τὴν σωτηρίαν αὐτοῖς. Καὶ δὴ καὶ ἐξῆλθεν ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐν μιᾷ νυκτὶ ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. Οὗ δὴ γεγονότος, ἐβάλλετο μὲν ὁ Ἀσσύριος ἀφορήτῳ δείματι. Ἀκούσας δὲ ἀγγελίαν ὅτι Σαρσαθὰ βασιλεὺς Αἰθιόπων ἐξῆλθε κατὰ τῆς γῆς αὐτοῦ σὺν ὀλίγοις παντελῶς τοῖς περιλελειμμένοις, ᾤχετο φυγάς. Τοῦτο καὶ νῦν ὁ προφητικὸς ἡμῖν αἰνιγματωδῶς διερμηνεύει λόγος. Φῶς μὲν γὰρ γέγονε τῷ Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς τὸν καταφωτίζειν ἰσχύοντα διορισάμενος νόμον. Ἀλλὰ τοῦτο, φησὶ, τὸ φῶς τὸ ὑπάρξαν τῷ Ἰσραὴλ, οὐ φῶς ἔσται τοῖς Ἀσσυρίων στρατεύμασιν, ἀλλ' εἰς πῦρ ὀλοθρεῦον. Ὅτι δὲ οἰκεῖον αὐτῷ καὶ ἀνατεθειμένον ἡγεῖται λαὸν ὁ

A et lignum projicietur: at si quis acceperit, et applicaverit, tunc omnino ea quæ per illa fiunt, in opus venient. Quid ergo, inquit, alta sapis? quid supercilium tollis? Exsistimasne tua vi hoc 177
perfunctum esse te, ut caperes urbes, cum tanquam instrumentum a manu nimirum divina, quæ hæc facit adhibitus fueris? non igitur tua gloria, sed Dei potius, quia tua crudelitate tanquam securi quapiam seu virga, seu ligno, adversus eos qui ipsum offenderant usus est. Non igitur eris, ait, ita uti ipse cogitas: nec eumdem gloriæ tenorem retinebis, sed neque tam delicatis honoribus lascivies, nec in fortitudine facies, nec sapientia intelligentiæ tolles gentium terminos, non capies orbem terrarum ut ova relicta, sed mittet Dominus Sabaoth in
B tuum decus, dedecus, et in gloriam tuam ignis ardens accendetur. Decus autem ejus dicit exercitum, qui sub ipso merebat. Inde enim gloriatus est. Ignis ergo, inquit, invadet illum, tuumque decus amburet. Quemadmodum igitur hoc factum sit, rursus explanat, nec id prolixe.

VERS. 17-19. *Et erit lux Israelis pro igne, et sanctificabit eum igne ardenti, et edet sicut fenum silvam. Die illa exstinguentur montes, et colles, et saltus, et devorabit ab anima usque carnes. Et erit fugiens velut fugiens a flamma ardente. Et superstites ex illis erunt numerus, et parvulus scribet eos.*

Valde obscurum est quod dicitur, et orationis structura sensum affert intellectu difficillimum. Explicabimus autem rursus sensum in his verbis latentem, illud præfati: Cepit nimirum Salmanasarus rex Assyriorum Samariam, legavitque e Laches Rapsacem Jerusalem: qui cum advenisset, eamque obsidione cinxisset, eos qui erant in mœnibus affatus est, quæ ab eo qui ipsum misit acceperat. Quibus adjunxit blasphemias et convicia in Deum: Non liberabit, inquit, Deus Jerusalem e manu regis Assyriorum. Quæ iniquo ferens animo Ezechias rex, fusis ad Deum precibus, inquit: Exaudi, Domine, aspice, Domine, et contemplare verba Rapsacis, quæ emisit rex Assyriorum, ut probris Deum viventem insectaretur. Repromisit vero Deus salutem illis: egressusque exivit angelus Domini, et una nocte e castris Assyriorum centum octoginta quinque millia interemit: quo facto, ictus est Assyrius ingenti timore. Accepto vero nuntio Sarsatha regem Æthiopum contra terram suam 178 expeditionem facere, cum paucis omnino relictis abiit profugus. Hoc nunc prophetica nobis interpretatur oratio. Lux enim Israeli Deus universitatis exstitit, qui solus legem quæ illuminare potest constituit. Sed hæc, inquit, lux quæ exsistit Israeli, non erit lux Assyriorum copiis, sed pro igne erit exitiali. Quod autem Hierosolymitanos proprium sibi ac consecratum populum universitatis Deus existimet, per ignem ardentem inter

Assyrios, docebit omnes quotquot ubique sunt. Atque hoc est quod ait, sanctificabit eum igne ardente. Quod enim sanctificari dicitur, non semper erit omnis sanctitatis particeps, at potius in gloriam consecratum esse Deo significat. Cujusmodi est quod dicit ad Mosen : « Sanctifica mihi omne primogenitum aperiens vulvam, mascula Domino [21]. » Et illud, sanctifica, in his ait, pro, consecra. Sanctificabit igitur, inquit, Israelem universi Deus, hoc est, illi consecratum et repositum efficiet in igne ardente : per ignem incensum contra Assyrios. Ignem autem appellat hic, inopinatum interitum. Nisi enim peculiarem sibi duxisset hunc populum, nunquam incendisset contra adversarios ignem, qui etiam consumpsit, velut fenum vel silvam, Assyriorum multitudinem. Illa itaque, inquit, die, hoc est, circiter illud temporis, exstinguentur montes, et colles, et saltus, et devorabit tam animam quam carnes. Collibus et montibus et silvis pulchre assimilat ipsas Assyriorum copias, earumque duces, quique aliis, ceu colles et montes, præcellunt. Verum hi quidem exstinguentur, hoc est, qui olim validi erant et ferventes, vel inviti exanimabuntur. Hoc enim declarat, exstinguentur. Devorabit enim eos mors, tantum non animas conficiens et corpus. Quod etenim non interierint simul cum corporibus et animæ, cuivis perspicuum est : verum hinc iræ vim subindicat. Sed erit, inquit, qui fugit, velut fugiens a flamma ardente, et superstites ex illis erunt numero pauci, ut puer eos describat. Pauci enim prorsus, ut dixi, quasi ex flamma succensa vix exsilientes, simul cum rege fugerunt. Tantillum autem numerum fore dicit, ut pueri adhuc infantis mens possit eum consequi et describere, seu dimetiri. Habet enim Hebræorum traditio, **179** quod soli decem numero residui remanserint qui cum Rapsace, id quod evenit, regi Assyriorum renuntiarent. Hæc superbiæ ejus stipendia. Nobis quoque hic typus utilis est. Si quis enim iram divinam effugere velit, minimeque illaqueari malis a Deo, caveat vehementer ne in morbos consimiles paresque illorum perversitati incidat.

A τῶν ὅλων Θεὸς τοὺς ἐν τοῖς Ἱεροσολύμοις διὰ τοῦ πυρὸς τοῦ ἐκκαυθέντος ἐν τοῖς Ἀσσυρίοις, διδάξει τοὺς ἁπανταχῇ. Καὶ τοῦτό ἐστι τὸ, « Ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ. » Τὸ γὰρ ἁγιάζεσθαι λεγόμενον, οὐχὶ παντὸς ἁγιασμοῦ μετέχον ἔσται, σημαίνει δὲ μᾶλλον καὶ τὸ εἰς δόξαν ἀνατεθειμένον τῷ Θεῷ. Οἷόν τί φησι πρὸς Μωσέα· « Ἁγίασόν μοι πᾶν πρωτότοκον διανοῖγον μήτραν, τὰ ἀρσενικὰ τῷ Κυρίῳ. » Καὶ τὸ, ἁγίασον, ἐν τούτοις, ἀντὶ τοῦ, ἀνάθες, φησίν. Ἁγιάσει τοίνυν, φησὶ, τὸν Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς, τοῦτ' ἔστιν, ἀνατεθειμένον αὐτῷ καὶ ἀπόλεκτον ἀποφανεῖ ἐν πυρὶ καιομένῳ· διὰ τοῦ πυρὸς τοῦ ἐκκεκαυμένου κατὰ τῶν Ἀσσυρίων. Πῦρ δέ φησιν ἐν τούτοις τὸν ἀδόκητον ὄλεθρον. Εἰ μὴ γὰρ ἴδιον ἡγεῖτο λαὸν, οὐκ ἂν ἐξέκαυσε κατὰ τῶν ἐναντίων τὸ πῦρ, ὃ καὶ δεδαπάνηκε B καθάπερ χόρτον ἢ ὕλην τὴν τῶν Ἀσσυρίων πληθύν. Κατ' ἐκείνην δὴ οὖν τὴν ἡμέραν, φησὶ, τοῦτ' ἔστι, κατ' ἐκεῖνο τοῦ καιροῦ ἀποσβεσθήσεται τὰ ὄρη, καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοὶ, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. Βουνοῖς καὶ δρυμοῖς καὶ ὄρεσι παρεικάζει καλῶς αὐτήν τε τὴν τῶν Ἀσσυρίων πληθὺν, καὶ τοὺς ἡγουμένους αὐτῆς, καὶ τῶν ἄλλων ὑπερανέχοντας καθάπερ βουνοὺς ἢ ὄρη. Ἀλλ' οὗτοι μὲν ἀποσβεσθήσονται· τοῦτ' ἔστιν, οἱ πάλαι θερμοὶ καὶ δεινοὶ, καὶ οὐχ ἑκόντες ἀποψυχθήσονται. Τοῦτο γὰρ τὸ ἀποσβεσθήσονται, δηλοῖ. Καταφάγεται γὰρ αὐτοὺς ὁ θάνατος, μονονουχὶ καὶ ψυχὰς δαπανῶν καὶ σώματα. Ὅτι μὲν γὰρ οὐ συνανῄρηνται τοῖς σώμασιν αἱ ψυχαὶ παντί τῳ σαφές. Ὑπεμφαίνει δὲ διὰ τούτων τὸ τῆς ὀργῆς εὐσθενές. Ἀλλ' ἔσται, φησὶν, ὁ φεύγων, ὡς ὁ C φεύγων ἀπὸ φλογὸς καιομένης, καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἔσονται ἀριθμὸς, καὶ παιδίον γράψει αὐτούς. Ὀλίγοι γὰρ παντελῶς, ὡς ἔφην, ὡσεὶ φλογὸς καιομένης ἀποπηδήσαντες μόλις συναπέδραμον τῷ βασιλεῖ. Τοσούτους δὲ εἶναί φησι τὸν ἀριθμὸν αὐτοὺς, ὡς μὴ ὑπερκεῖσθαι καὶ τὴν παιδὸς ἔτι νηπίου φρένα, τὸ δύνασθαι γράφειν, ἢ ἀπομετρεῖν αὐτούς. Ἔχει γὰρ ἡ Ἑβραίων παράδοσις, ὅτι μόνοι περιελείφθησαν δέκα τὸν ἀριθμὸν, οἱ μετὰ Ῥαψάκου τὸ συμβὰν ἀπαγγείλαντες τῷ τῶν Ἀσσυρίων βασιλεῖ. Ταῦτα τῆς ὑπεροψίας τῆς ἐκείνου τὰ ὀψώνια. Χρήσιμος δὲ καὶ εἰς ἡμᾶς ὁ τύπος. Εἰ γὰρ δὴ βούλοιτό τις ἔξω τε εἶναι τῆς θείας ὀργῆς, καὶ μὴ τοῖς θείοις ἀναλῶναι κακοῖς, παραιτεῖσθαι λίαν τὸ νοσεῖν ἐθέλειν τῆς ἐκείνων δυστροπίας τὰ συγγενῆ τε καὶ ἴσα.

VERS. 20, 21. *Et erit die illa, non ultra adjiciet residuum in Israel, et qui evaserint ex Jacob, ex ultra confident iis qui injuriam ipsis faciunt, sed Deo sancto Israel vere confident. Et erit residuum Jacob, super Deum potentem.*

D *Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν Ἰσραὴλ, καὶ οἱ σωθέντες τοῦ Ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτοὺς, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν Θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ. Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ Θεὸν ἰσχύοντα.*

Exardescente igne contra exercitum Assyriorum, duo hæc, inquit, commode evenient et exsistent : Superbus enim ille et scelestus, desinet volens nolens tam grave et odiosum supercilium tollere. Abibit enim pavidus, et præter exspectationem fractus et debilitatus. Intelliget etiam ex hac re, etiamsi

Ἐκκεκαυμένου τοῦ πυρὸς κατὰ τῆς Ἀσσυρίων στρατιᾶς, δύο ταῦτα κατορθωθήσεται καὶ ὑπάρξει, φησίν· ὁ μὲν γὰρ ἀλαζών τε καὶ ἀλητήριος, καταλήξει καὶ οὐχ ἑκὼν τῆς οὕτω δεινῆς καὶ ἀπηχθημένης ὀφρύος. Οἰχήσεται γὰρ δεδιὼς, καὶ ἀδοκήτως κατῃσχυμμένος. Εἴσεται δι' αὐτοῦ τοῦ πράγματος,

[21] Exod. XII, 2.

καὶ εἰ μὴ βούλοιτο τυχὸν, ὅτι τῆς θείας ὀργῆς κατὰ A τῶν ἡμαρτηκότων γέγονεν ὄργανον, καὶ οὐχ αὐτός που πάντως ὡς ἐξ ἰδίας ἰσχύος πεπλεονέκτηκεν αὐτούς. Καὶ ταυτὶ μὲν τῷ Βαρβάρῳ συμβήσεται. Τοῖς γε μὴν ἐξ Ἰσραὴλ πρὸς ὠφελείας ἔσται τὸ θαῦμα, καὶ οἱ κατάλοιποι τῶν ἐν Σαμαρείᾳ, τοῦτ' ἔστι, τοῦ Ἰσραὴλ, καὶ μέντοι τοῦ Ἰακὼβ, τοῦτ' ἔστι, πάλιν τῶν δύο φυλῶν τῶν οὐσῶν ἐν τοῖς Ἱεροσολύμοις, τῆς ἀρχαίας ἀποπαύσονται πλάνης, καὶ ψυχρῶν καὶ ἀνονήτων ἐννοιῶν. Οὐ γὰρ ἔσονται πεποιθότες ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς. Ἐπειδὴ γὰρ πέπτωκεν ὁ πολέμιος ἀγγέλου χειρὶ δαπανώμενος, ἐγνώκασιν ἀκριβῶς τὴν πάντα ἰσχύουσαν τοῦ σώζοντος δεξιὰν, αὐτὸν δὲ ποιήσονται σωτῆρα καὶ λυτρωτὴν, καὶ ἐπ' αὐτῷ πᾶσαν ἕξουσι τὴν ἐλπίδα, περιπτύσαντες τοὺς ἠδικηκότας αὐτούς. Τίνες δὲ οὗτοι, καὶ B τίνα τρόπον ἠδικήκασιν εἰπεῖν ἀναγκαῖον. Σέσωκε μὲν γὰρ τοὺς ἐξ αἵματος Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς, προεστηκώς τε καὶ προασπίζων, καὶ ἀποφαίνων κρείττονας τῶν ἀνθεστηκότων. Ἐπειδὴ δὲ ἐτράποντο πρὸς ἀντίστασιν, καὶ οἱ μὲν δαμάλεις ἐτεκτήναντο χρυσᾶς· οἱ δὲ τὸν Χαμὼς καὶ Βεελφεγὼρ, καὶ αὐτοῖς ἀνῆπτον τὸ σέβας· προσκεκυνήκασι δὲ καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ· παρεδίδου κατὰ καιροὺς ὁ τῶν ὅλων Θεὸς τοὺς ἀνθεστηκότας ποτὲ μὲν τοῖς κύκλῳ καὶ περιοικοῦσι τὴν Ἰουδαίαν ἔθνεσιν, Ἰδουμαίοις τέ φημι καὶ Μωαβίταις, καὶ τοῖς ἐξ Ἐλὰμ, ποτὲ δὲ τοῖς μακρὰν, Ἀσσυρίοις τέ φημι καὶ Αἰγυπτίοις. Πολέμου τοιγαροῦν κατασκήπτοντος καὶ περιηγγελμένου τοῖς ἀνὰ πᾶσαν τὴν χώραν, πῶς οὐκ ἄμεινον τοὺς ἐξ Ἰσραὴλ ἀπολογεῖσθαι λελυπη- C μένῳ τῷ πάντα ἰσχύοντι Θεῷ, καὶ ταῖς εἰς τὸ ἄμεινον ἀναδρομαῖς ἀποσκευάζεσθαι τὴν ὀργήν; Ἔδει γὰρ ἐκ μέσου τὴν βέβηλον τῶν εἰδώλων ποιεῖσθαι πληθὺν, καὶ αὐτὸν ἐπιγράφεσθαι σωτῆρα καὶ λυτρωτήν. Ἀλλὰ τούτων μὲν ὀλίγος ἦν παντελῶς ὁ λόγος αὐτοῖς. Ἐπρέσβευον δὲ ποτὲ μὲν πρὸς Αἰγυπτίους, ποτὲ δὲ πρὸς Ἀσσυρίους, καὶ τὰς παρ' αὐτῶν ἐπικουρίας ἐκάλουν. Ἐντεῦθεν, οἶμαι, Θεὸς, καὶ ἔτι μειζόνως ἐπ' αὐτοῖς κατεθήγετο. Ἠδικήκασι τοίνυν τόν τε Ἰσραὴλ, καὶ τὸν Ἰακὼβ, τοῦτο μὲν οἱ ψευδώνυμοι θεοὶ, τὴν θείαν ἐπ' αὐτοῖς καλοῦντες ὀργὴν, καὶ ἐπ' αὐτοῖς πεποιθέναι παρασκευάζοντες· τοῦτο δὲ οἱ χρήμασί τε καὶ δώροις πωλοῦντες αὐτοῖς τὴν ἀνόνητον ἐπικουρίαν. Δαπανηθείσης τοίνυν, φησὶ, τῆς D τῶν πολεμίων πληθύος ἐν μιᾷ νυκτὶ, λοιπὸν ἔσονται πεποιθότες ἐπὶ Θεῷ, καὶ διὰ πείρας αὐτῆς ἐγνωκότες τὴν παναλκῆ τοῦ σώσαντος δεξιὰν, οὐκ ἐπὶ τοῖς ἀδικήσασιν αὐτοὺς ποιήσονται τὴν ἐλπίδα, ἀλλ' ἐπ' αὐτὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ. Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ Θεὸν ἰσχύοντα. Οὐ γὰρ ξύλοις καὶ λίθοις ἔτι θαρσήσουσιν, αὐτὸν δὲ μᾶλλον ποιήσονται τὴν ἰσχὺν, ὃς γέγονεν αὐτοῖς ἐπίκουρός τε ἀεὶ, καὶ προασπιστὴς, ὅπλον καὶ τεῖχος ἀῤῥαγές.

non velit fortassis, se divinæ iræ organum contra peccatores exstitisse, nec suis prorsus viribus eos invasisse. Atque hæc quidem barbaro accident. Israelitis item huic miraculum cedet in commoditatem, et qui reliqui sunt in Samaria, id est, Israele, et in Jacob, hoc est, duabus tribubus Hierosolymitanis, ab inveterato recedent errore, et frigidis ac stultis cogitatiunculis. Non enim his qui sibi fecerunt injuriam confident. Postquam enim hostis cecidit manu angeli confectus, omnipotentem conservantis dexteram optime perspexerunt, ipsumque facient servatorem et vindicem, ac in eo omnem spem habebunt, despuentes eos a quibus injuriam acceperunt. Quinam autem hi, et quomodo injuriam intulerint, necesse habeo dicere. Servavit enim eos qui sanguine Israelitico orti sunt universitatis Deus, cum et præsideret, et quasi clypeo propugnaret, et fortiores adversariis redderet. Postquam autem ad defectionem aversi sunt, et hi quidem vitulos aureos fabricarunt, illi Chamos, alii Belphegor, illisque venerationem tribuerunt, atque cœli militiam adorarunt, Deus eos renitentes, et resistentes, diversis temporibus tradidit interdum finitimis Judææ gentibus, Idumæis dico, et Moabitis, et Elamitis, **180** interdum et longe remotis, Assyriis, inquam, et Ægyptiis. Bello itaque grassante et passim per totam regionem denuntiato, annon satius erat Israelitas reconciliari offenso Deo omnipotenti, et cursu in melius commutato, iram depellere? Oportebat enim profanam idolorum multitudinem exterminare, et ipsum conservatorem et redemptorem nuncupare. Cæterum hujusce rei nulla apud eos ratio habita est. Legatos enim nunc ad Ægyptios, nunc ad Assyrios mittebant, eorumque subsidium implorabant. Hinc, arbitror, Deus gravius etiam in eos exacerbatus est. Injuria itaque affecerunt Israelem et Jacobum, cum falso nominati dii, divinam in ipsos iram evocantes, et ut sibi fiderent efficientes: tum vero hi, qui pecuniis et donis inutile ipsis auxilium divendebant. Consumpta igitur bellantium multitudine una nocte, deinceps confident Deo, et ipso experimento cognita fortissima servantis dextera, non iis qui injuriam fecerunt, confident, sed in ipso sancto Israelis vere spem suam collocabunt. Et erit residuum Jacob, cum Deo potente. Nec enim lignis aut lapidibus amplius nitentur, sed potius in illo præsidium collocabunt, qui fuit semper illis opitulator et propugnator, armatura et murus infractus.

Καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. Λόγος γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει ὁ Θεὸς ἐν τῇ οἰκουμένῃ ὅλῃ.

Ὅτι τῶν ἀπειθεῖν ᾑρημένων, καὶ πολὺ νενοσηκότων τὸ ἀπηνὲς καὶ δυσάγωγον οὐδεὶς ἂν γένοιτο

VERS. 22, 23. *Quod si fuerit populus Israelis velut arena maris, reliquiæ eorum servabuntur. Verbum enim consummans et concidens in justitia, quia concisum sermonem faciet Deus in orbe terræ universo.*

Quod Deus pervicaces et inobedientes ac refractarios nihili æstimet, servet autem omnique mise-

ricordia dignetur hominem morigerum et sequacem, hisce verbis nobis pulcherrime ostendit. Profectus est siquidem Assyrius in omnem gentem Judaicam, ac in animo habuit nemini parcere, sed universam regionem stirpitus excindere, hominibusque desertam et incolis vacuam reddere. Et delevit quidem Samariam, et una cepit Judææ urbes innumeras. Servavit autem mirabiliter Hierosolymitanos. Quæ est itaque hujus ratio? Certe, inquit, quoniam omnis Israel impietate se non commaculavit, sed aliquot exstiterunt **181** qui impie peccantibus in Deum indignarentur: idcirco sancta et justissima sententia fuit, quæ in solos peccantes pœnam decerneret. Verum autem esse hoc verbum nullo labore videbimus ex his quæ scripta sunt apud Ezechielem prophetam. Dixit enim Israelitarum quosdam visos esse solem adorare, Deum autem dicentem de ipsis audisse: « Vidisti, fili hominis, nunquid parum fuit domui Israel, ut facerent iniquitates quas patrarunt hic? quia impleverunt terram iniquitate, et conversi sunt ut ad iram concitarent me [22]. » Dein ait, quemdam visum esse talarem vestem habentem et succinctum, cui dixit universitatis Deus: « Peragra mediam Jerusalem, et signato frontes virorum gementium et dolentium super cunctis iniquitatibus quæ fiunt in medio ipsius. Et illis dixit audiente me: Ite in civitatem post eum, et cædite, nec comparcite oculis vestris, nec misereamini. Seniorem, juniorem, virginem, et infantes et mulieres interficite ad internecionem. Sed quisquis signum habet, ad eum ne accedite [23]. » Observa igitur quo pacto obsignet Deus sua gratia, et pium et sanctum, et ea propter quæ cæteri audient eum offendere, graviter ferentem et comminiserantem. Quare, inquit, etiamsi numerosa sit Israelitarum multitudo, adeo ut arenæ in littoribus positæ comparari posse videantur, reliquiæ salvæ erunt. Quod sane contigit Ezechiæ temporibus. Deleta est enim, uti dixi, Samaria, et una complures Judææ urbes captæ. Factum est etiam hoc extremi sæculi temporibus, Unigenito nobis in carne illucescente. Tunc etiam, tunc verbum concidens in justitia, verbum concisum seu abbreviatum fecit Deus in toto orbe terræ. Lex enim per Mosem data per longas ambages venit, et contorto quodam circuitu quod utile erat indicavit, per ænigma et umbram vix subinnuens quod ad usum atque utilitatem pertinet. Salutaris autem et evangelica oratio nobis brevis est, et veluti concisa ac contracta, nudam habens veritatem, et vitæ viam plenam constituens, non impedita facultatibus, non obscuris præconiis obvelata. Simplex enim, uti dicebam, est veritatis negotium. Servatæ sunt porro reliquiæ Israelis, id est, qui fide ejus apparitionem coluerunt, **182** cum multitudo alia averteretur. Nam in ipsum universorum Servatorem et Dominum debacchati sunt, cum ante prophetas obtruncassent, et qui missi

A παρὰ Θεῷ λόγος, σώζει γε μὴν καὶ φειδοῦς ἁπάσης ἀξιοῖ τὸν εὐπειθῆ καὶ εὐήνιον, διὰ τούτων ἡμῖν εὖ μάλα καταδηλοῖ. Ἀφῖκται μὲν γὰρ ὁ Ἀσσύριος κατὰ παντὸς τοῦ Ἰουδαίων ἔθνους· καὶ σκοπὸς ἦν αὐτῷ, φείσασθαι μὲν οὐδενὸς, ἄρδην δὲ πᾶσαν ἀποκεῖραι τὴν χώραν, καὶ κένανδρον ἀποφῆναι, καὶ τῶν ἐνοικούντων ἔρημον. Καὶ ὠλόθρευσε μὲν τὴν Σαμάρειαν, συνεξεῖλε δὲ αὐτῇ τῆς Ἰουδαίας οὐκ εὐαριθμήτους πόλεις· σέσωκε δὲ παραδόξως Θεὸς, τοὺς ἐν τοῖς Ἱεροσολύμοις. Τίς οὖν ὁ τοῦδε λόγος. Ναὶ, φησίν, ἐπειδὴ γὰρ οὐχ ἅπας δεδυσσέβηκεν ὁ Ἰσραὴλ, ἀλλ' ἦσαν τάχα πού τινες, οἳ καὶ δυσφοροῦντες ἄγαν ἐπὶ τοῖς δυσσεβοῦσιν εἰς Θεὸν, ταύτητοι γέγονεν ὁσία τε καὶ δικαιοτάτη ψῆφος, κατὰ μόνων ἄγουσα τὴν δίκην τῶν ἡμαρτηκότων. Ὅτι δέ ἐστιν ἀληθὴς ὁ λόγος B ἀπονητὶ καταθρήσομεν, καὶ ὡς ἀπό γε τῶν γεγραμμένων ἐν τῷ προφήτῃ Ἰεζεκιήλ. Ἔφη μὲν γὰρ τεθεᾶσθαι τινὰς τῶν ἐξ Ἰσραὴλ προσκυνοῦντας τῷ ἡλίῳ, Θεοῦ δὲ λέγοντος ἀκοῦσαι περὶ αὐτῶν· « Ἑώρακας, υἱὲ ἀνθρώπου, μὴ μικρὸν τῷ οἴκῳ Ἰσραὴλ τοῦ ποιεῖν τὰς ἀνομίας, ἃς πεποιήκασιν ὧδε· διότι ἔπλησαν τὴν γῆν ἀνομίας. Καὶ ἐπέστρεψαν τοῦ παροργίσαι με. » Εἶτά φησιν ἄνδρα τεθεᾶσθαι ποδήρη τε ἔχοντα καὶ διεζωσμένον· καὶ πρὸς αὐτὸν εἰπεῖν τὸν τῶν ὅλων Θεόν· « Δίελθε μέσην τὴν Ἱερουσαλὴμ, καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων, καὶ τῶν κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις, ταῖς γινομέναις ἐν μέσῳ αὐτῆς. Καὶ τούτοις εἶπεν ἀκούοντός μου· Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ, καὶ κόπτετε, καὶ μὴ C φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν. Καὶ μὴ ἐλεήσητε, πρεσβύτερον καὶ νεανίσκον, καὶ παρθένον καὶ νήπια, καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν. Ἐπὶ δὲ πάντας ἐφ' οὕς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε. » Ἄθρει δὴ οὖν ὅπως κατασφραγίζει Θεὸς τῇ παρ' ἑαυτοῦ χάριτι τὸν εὐσεβῆ τε καὶ γνήσιον. Καὶ ἐφ' οἷς ἂν ἕτεροι προσκρούειν ἀποτολμῶσιν αὐτῷ, χαλεπαίνοντά τε καὶ κατοιμώζοντα. Οὐκοῦν κἂν εἰ.... τῶν ἐξ Ἰσραὴλ ὑπάρχοι πληθὺς, καὶ ψάμμοις παρεικάζοιτο ταῖς ἐν ἠϊόσι κειμέναις, τὸ κατάλειμμα σωθήσεται. Καὶ συμβέβηκε μὲν τοῦτο κατὰ τοὺς Ἐζεκίου καιρούς. Διόλωλε γὰρ, ὡς ἔφην, ἡ Σαμάρεια, καὶ πλεῖσται τῆς Ἰουδαίας συνεξῄρηνται πόλεις. Πέπρακται δὲ τοῦτο, καὶ ἐν ἐσχάτοις τοῦ αἰῶνος D καιροῖς, ἐπιλάμψαντος ἡμῖν τοῦ Μονογενοῦς μετὰ σαρκός. Τότε γὰρ τότε καὶ λόγον συντέμνων ἐν δικαιοσύνῃ πεποίηκεν ὁ Θεὸς ἐν τῇ οἰκουμένῃ ὅλῃ. Ὁ μὲν γὰρ νόμος ὁ διὰ Μωσέως διὰ κύκλων ἔρχεται μακρῶν, καὶ περισκελῆ ποιεῖται τοῦ χρησίμου τὴν δήλωσιν, δι' αἰνίγματος καὶ σκιᾶς ὑποφαίνων μόλις τὸ τελοῦν εἰς ὄνησιν. Ὁ δέ γε σωτήριός τε καὶ εὐαγγελικὸς ἡμῖν λόγος βραχύς τέ ἐστιν καὶ οἷον συντετμημένος, ἤτοι σύντομος, γυμνὴν ἔχων τὴν ἀλήθειαν, καὶ τῆς ζωῆς τὴν ὁδὸν ἐναργῆ καθιστὰς, οὐ δυσχερίας ἐνούσης, οὐκ ἀσαφείας τινὸς τοῖς κηρύγμασιν ἐπενηνεγμένης. Ἁπλοῦν γὰρ, ὡς ἔφην, τῆς ἀληθείας τὸ χρῆμα. Σέσωσται δὲ καὶ τότε τὸ κατάλειμμα τοῦ

[22] Ezech. VIII, 17. — [23] Ezech. IX, 4-6.

Ἰσραὴλ, τοῦτ' ἔστιν, οἱ πίστει τιμήσαντες τὴν ἐπι- A φάνειαν αὐτοῦ, τῆς ἑτέρας πληθύος παθούσης τὴν ἀποστροφήν. Πεπαρῳνήκασι γὰρ εἰς τὸν τῶν ὅλων Σωτῆρα καὶ Κύριον, προαπεκτονότες προφήτας, καὶ λιθοβολήσαντες τοὺς ἀπεσταλμένους· καὶ τί γὰρ οὐχὶ τῶν ἐκτόπων ἐπιτηδεύσαντες;

Διὰ τοῦτο τάδε λέγει Κύριος Σαβαώθ· Μὴ φοβοῦ, λαός μου, οἱ κατοικοῦντες ἐν Σιὼν, ἀπὸ Ἀσσυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε. Πληγὴν γὰρ ἐγὼ ἐπάγω ἐπὶ σὲ, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου. Ἔτι γὰρ μικρὸν, καὶ παύσεται ἡ ὀργὴ, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν.

Ἐπειδὴ γὰρ ὁσίᾳ ψήφῳ καὶ τῇ αὐτῷ πρεπούσῃ κεχρημένος ἡμερότητι, σώζει μὲν τοὺς γνησίους, παραδίδωσι δὲ τοὺς λελυπηκότας αὐτὸν ὁ τῶν ὅλων Θεός· Μὴ φοβοῦ, φησὶν, ὁ λαός μου, οἱ κατοικοῦντες ἐν Σιὼν, ἀπὸ Ἀσσυρίων. Ἀφίκετο μὲν γὰρ ὁ Ῥα- B ψάκης εἰς Ἱερουσαλὴμ, καὶ πεπολιόρκηκεν αὐτὴν, ἠπείλησε δὲ κατεμπρήσειν καὶ ὀλοθρεύσειν ἅπαντας. Ἠδίκησε δὲ παντελῶς οὐδέν. Ὤχετο γὰρ φυγὰς, πεσούσης αὐτῷ παρ' ἐλπίδα τῆς στρατιᾶς, καὶ ἀπο ομένης ἐν μιᾷ νυκτί. Οὐκοῦν ὠλόθρευσε μὲν μαχαίρᾳ τοὺς ἐν Σιών. Ἐπειδὴ δὲ ἅπαξ κατεπτόησε ταῖς ἐφόδοις, καὶ ἐν φόβῳ τοῦ παθεῖν γενέσθαι παρεσκεύασε, μονονουχὶ ῥάβδον ἀνατείνας ἐπ' αὐτοὺς ὁρᾶται μόνην. Μὴ τοίνυν, φησὶ, καταδείσῃς ἀπὸ τῶν Ἀσσυρίων, ῥάβδῳ γάρ σε πατάξει, καὶ βραχεῖαν ὥσπερ ἐποίσει τὴν πληγὴν, τὴν ὡς ἀπό γε τοῦ δείματος, ἐφιέντος ἐμοῦ καὶ τοῦτο πράττεσθαι κατὰ σοῦ, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου, τοῦτ' ἔστιν, ἵνα μάθῃς, ὅσον σαυτὸν ἠδίκησας, ἀπελθὼν εἰς Αἴγυπτον, καὶ τὴν ἐκεῖθεν ζητήσας ἐπικουρίαν, παρεωραμένου C Θεοῦ σώζοντος. Ἐζεχίας μὲν οὖν, οὗ καὶ βασιλεύοντος πεπολιόρκηκε τὴν Ἱερουσαλὴμ ὁ Ἀσσύριος, οὐκ ἐζήτησε τὴν τῶν Αἰγυπτίων ἐπικουρίαν. Ὡσηὲ δὲ μᾶλλον τοῦ Ἠλὰ βασιλεύων ἐπὶ τὸν Ἰσραὴλ τοῦτο πεπραχὼς εὑρίσκεται. Γέγραπται δὲ οὕτως ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· « Καὶ ἐκοιμήθη Ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει Δαβίδ. Καὶ ἐβασίλευσεν Ἐζεχίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Ἐν ἔτει δωδεκάτῳ Ἄχαζ βασιλέως Ἰούδα, ἐβασίλευσεν Ὡσηὲ υἱὸς Ἠλὰ ἐν Σαμαρείᾳ ἐπὶ Ἰσραὴλ ἐννέα ἔτη. Καὶ ἐποίησε πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, πλὴν οὐχ ὡς οἱ βασιλεῖς Ἰσραὴλ, οἳ ἦσαν ἔμπροσθεν αὐτοῦ. » Ἐπ' αὐτὸν ἀνέβη Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων, καὶ ἐγενήθη αὐτῷ Ὡσηὲ δοῦλος· καὶ ἐπέστρεψεν αὐτῷ Μαναῆ. Καὶ D εὗρε βασιλεὺς Ἀσσυρίων ἐν τῷ Ὡσηὲ ἀδικίαν, ὅτι ἀπέστειλεν ἀγγέλους πρὸς Σηγὼρ βασιλέα Αἰγύπτου· καὶ οὐκ ἤνεγκε Μαναὰ τῷ βασιλεῖ Ἀσσυρίων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. Καὶ ἐπολιόρκησεν αὐτὸν ὁ βασιλεὺς Ἀσσυρίων, καὶ ἔδησεν αὐτὸν ἐν οἴκῳ φυλακῆς, καὶ ἀνέβη εἰς Σαμάρειαν, καὶ ἐπολιόρκησεν αὐτὴν τρία ἔτη. Ἰστέον δὲ ὅτι καὶ Ἄχαζ ὁ Ἐζεχίου πατὴρ, πολεμοῦντος αὐτῷ τοῦ Δαμασκηνῶν βασιλέως, ἐξεπρίατο τὴν ἐπικουρίαν τὴν παρά γε τῶν Ἀσσυρίων, ἐφ' ᾧ καὶ σφόδρα λελύπηται Θεός. Ἐπάγω τοίνυν, φησὶν, ἐπὶ σὲ πληγὴν, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου· πλὴν ἔτι μικρὸν, καὶ παύσεται ἡ ὀργὴ, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν. Διολώλασι γὰρ, ὡς ἔφην,

erant, lapidassent, et quid tandem sceleris non admisissent?

VERS. 24, 25. *Propterea hæc dicit Dominus Sabaoth: Ne metue, populi mi, qui habitas in Sion, Assyrios, quia virga percutiet te. Plagam enim ego infligam tibi, ut videas viam Ægypti. Brevi enim tempore cessabit ira, furor autem meus super consilium eorum.*

Quandoquidem enim sancta sententia et mansuetudine se digna adhibita, servat suos, eosque tradit a quibus offenditur, universitatis Deus: Ne, inquit, metue, popule mi, qui habitas in Sion, Assyrios. Pervenit enim Rhapsaces Jerusalem, eamque obsedit minatusque est se concrematurum omnes et deleturum. Læsit autem omnino nihil. Nam abiit fugitivus, exercitu ejus præter spem concidente, et una nocte disperdito: itaque gladio eos qui in Sion habitabant peremit. At ubi semel suis incursibus perterruisset, et metum aliquem malorum injecisset, quasi virgam solam videtur in eos extendisse. Ne igitur, inquit, metue ab Assyriis; virga enim te feriet, et brevem veluti plagam inferet, plagam, inquit, ad terrorem, me hoc contra te fieri permittente, ut videas viam Ægypti, id est, ut discas quantum tibi ipsi incommodaveris, dum Ægyptum proficisceris, inde quærens auxilium, Deo salutis auctore despecto. Ezechias itaque, quo regnante Assyrius cinxit Jerusalem, subsidium Ægyptiorum non expetivit. At Oseas Elæ filius regnum tenens Israelis, istuc fecisse invenitur. Scriptum est enim sic quarto Regnorum: « Dormivit autem Achazus cum patribus suis, et sepultus est in civitate Davidis, et regnavit Ezechias filius ejus pro eo. Anno autem duodecimo Achazi regis Juda, regnavit Oseas filius Elæ in Samaria, apud Israelitas novem annos, ac designavit malum in oculis Domini, verum non ut reges Israel ejus majores [24]. » Hunc Oseam Salmanasarus rex Assyriorum, facta in eum expeditione subegit, et reddebat ei Manaa. Et **183** invenit rex Assyriorum in Osea injustitiam, quia misit nuntios ad Segor regem Ægypti; et non attulit Manaa regi Assyriorum anno illo. Obsedit eum rex Assyriorum, et ligavit in domo custodiæ, et adortus Samariam, triennium obsedit. Illud autem sciendum Achazum patrem Ezechiæ, Damascenorum rege cum ipso bellum gerente, auxilium ab Assyriis coemisse, unde vehementer Deus commotus est. Induco igitur, inquit, plagam super te, ut videas viam Ægypti: verum brevi post tempore cessabit ira, furor vero meus super consilium ipsorum. Perierunt enim, ut dixi, per iram divinam. Cumque statuissent ipsam quoque Jerusalem capere, a scopo aberrarunt, et irrita fuit eorum machinatio, Deo exitum vertente omnino in contrarium præter exspectationem.

[24] IV Reg. XVI, 20; XVII, 1, 2.

ὑπὸ θείας ὀργῆς. Βουλευσάμενοι δὲ καὶ αὐτὴν χειρώσασθαι τὴν Ἱερουσαλὴμ, διημαρτήκασι τοῦ σκοποῦ, καὶ γέγονεν αὐτοῖς ἄπρακτος ἡ σκέψις, Θεοῦ μεταθέντος εἰς πᾶν τοὐναντίον τῶν προσδοκηθέντων τὸ πέρας.

VERS. 26. *Et excitabit Deus in eos secundum plagam Madian, in loco afflictionis, et ira ejus in in via quæ per mare, in viam quæ est ad Ægyptum.*

Corruent, inquit, ira superna et divina in eos invecta : nec ullo prorsus labore opus erit Israelitis. Evadent enim victores, non arcus jactu, non manuum vi, non bellica peritia, at potius manu divina percutiente et superbum populum conficiente; quemadmodum profecto accidit Madianitis. Illi enim confertis agminibus atque ipsa tota gente congregati, Judæorum omnem regionem propemodum infestabant: et ingenti timore perculsos ex urbibus et vicis migrare invitos cogebant, ut vix in montium verticibus idque timide considerent. At succurrit tum quoque Deus, et manu Gedeonis periclitantes conservavit, parva admodum manu subsidiaria instructus : qui noctu et in tenebris, hydriis confractis, facibus ostensis, cornibus buccinantibus, adversariorum phalanges turbarunt. Ex quo illud demum Madianitis accidit, ut fusis ordinibus, Deo collidente ac conterente, et noctu amicum et cognatum ab inimico non internoscentes, inter se commisti ac commissi fuerint, et hostiliter invicem sævierint, suorumque manibus **184** miserabiliter disperierint. Inducetur itaque, inquit, juxta plagam Madiam in loco afflictionis. Locum autem afflictionis seu tempus nominat, quo hæc facta sunt. Quod autem furorem barbari tantum non aberrare faceret Deus, et in alios illum averteret, significat dicens: Et ira ejus in via quæ est per mare, in viam quæ est in Ægyptum. Rex enim Assyriorum Theglaphalasarus (is est qui Samariam vi expugnaverat) tributum habitatoribus imposuit, et vectigal ab his qui succedentibus temporibus regnarent in Israel, exegit. Cum huc demum res venisset, et subegisset Samariam Oseas filius Elæ, non misit regi Assyriorum Manaa, sicut scriptum est, et cum eum valde offensum intellexisset, Ægyptiorum manum in subsidium conduxit, siquidem vellet is qui tributa et vectigalia indixerat, in eos jure belli armari. Promittere illi quidem lubentissime, qui tum Ægyptiis imperitabant. Assyrius autem his offensus, cum omni exercitu contra Ægyptios expeditionem adornare: gubernatoribus illius hoc criminis intentare, quod Oseas resilierit, ac jugum excusserit, insolentiæ ansa arrepta, quod suppetias polliciti fuissent. Itaque barbari furorem, quemadmodum jam dixi, hinc significat, inquiens: Et ira ejus in via per mare, in viam ad Ægyptum. Accolunt enim mare Hierosolymitani, viam autem ad terram Ægyptiorum ducentem, et sane citra laborem, mari vicinam etiam adhuc appellant.

A *Καὶ ἐπεγερεῖ ὁ Θεὸς ἐπ' αὐτοὺς κατὰ τὴν πληγὴν Μαδιὰμ ἐν τόπῳ θλίψεως, καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον.*

Πεσοῦνται, φησὶν, ὀργῆς ἐπ' αὐτοῖς ἐπενηνεγμένης τῆς ἄνωθεν καὶ παρὰ Θεοῦ· καὶ οὐδενὸς παντελῶς δεήσει πόνου τοῖς ἐξ Ἰσραήλ. Περιέσονται γὰρ, οὐ τόξων βολαῖς, οὐκ εὐσθενείᾳ χειρῶν, οὐ πολεμικαῖς ἐμπειρίαις χρώμενοι, κρατήσουσι δὲ μᾶλλον διὰ χειρὸς Θεοῦ, πληττούσης τε καὶ δαπανώσης τὸν ἀλαζόνα λαόν· καθάπερ ἀμέλει συνέβη παθεῖν καὶ Μαδιηναίους. Οἱ μὲν γὰρ κατὰ πληθὺν καὶ κατὰ γένος συνειλεγμένοι κατεληΐζοντο μὲν μικροῦ δεῖν ἅπασαν τὴν τῶν Ἰουδαίων χώραν, καὶ ἀφόρητον αὐτοῖς ἐμποιοῦντες τὸ δεῖμα, πόλεων μὲν καὶ κωμῶν ἀπαν-
B ίστασθαι καὶ οὐχ ἑκόντας ἠνάγκαζον, ἐναυλίζεσθαι δὲ μόλις, καὶ τοῦτο περιδεῶς ταῖς τῶν ὀρῶν κορυφαῖς. Ἀλλ' ἐπήμυνε καὶ τότε Θεὸς, καὶ σέσωκε κεκινδυνευκότας διὰ χειρὸς Γεδεὼν κομιδῇ βραχεῖς ἔχοντας τοὺς συνασπιστὰς, οἳ καὶ τὰς τῶν ἐναντίων τεθορυβήκασι φάλαγγας, ἐν νυκτὶ καὶ σκότῳ τὰς ὑδρίας συνθραύσαντες, καὶ δᾷδας ἐπιδειξάμενοι, καὶ σαλπίσαντες ταῖς κερατίναις, ὥστε καί τι τοιοῦτον συνέβη παθεῖν τοῖς ἐκ Μαδιάμ. Ἐπειδὴ γὰρ συνεχύθη τὰ τάγματα, καταπτοοῦντος Θεοῦ, διακρίνειν οὐκ ἔχοντες ὡς ἐν σκότῳ καὶ νυκτὶ, τίς ὁ φίλος, ἢ συγγενὴς, ἢ τίς ὁ πολέμιος, συνεπλέκοντο μὲν ἀλλήλοις, ἔδρων δὲ τὰ τῶν ἐχθρῶν, καὶ ταῖς ἀλλήλων χερσὶν οἰκτρῶς διολώλασιν. Ἐπενεχθήσεται τοίνυν, φησὶν, κατὰ τὴν πληγὴν τὴν Μαδιὰμ ἐν τόπῳ θλί-
C ψεως. Τόπον δὲ θλίψεως, ἤτοι καιρὸν ὀνομάζει τὸν ἐν ᾧ ταυτὶ γενέσθαι συμβέβηκεν. Ὅτι δὲ μονονουχὶ καὶ ἀποπλανήσει Θεὸς τὸν τοῦ βαρβάρου θυμὸν, καὶ ἐφ' ἑτέρους αὐτὸν παρατρέψει, καταμηνύει λέγων· Καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον. Ὁ μὲν γὰρ τῶν Ἀσσυρίων βασιλεὺς Θεγλαφαλασὰρ, οὗτος ἦν ἑλὼν κατὰ κράτος τὴν Σαμάρειαν, δασμοὺς ἐπέθηκε τοῖς οἰκοῦσιν αὐτὴν, τέλη τε καὶ φόρους ἐξῄτει τοὺς κατὰ καιρὸν βασιλεύοντας ἐπὶ τὸν Ἰσραήλ. Ἐπειδὴ δὲ ἧκεν εἰς τοῦτο, καὶ κεκράτηκε τῆς Σαμαρείας Ὠσηὲ υἱὸς Ἠλὰ, οὐκ ἔπεμψε Μαναὰ τῷ βασιλεῖ τῶν Ἀσσυρίων, καθὰ γέγραπται. Ἐπειδὴ δὲ ᾔδει πάντῃ τε καὶ πάντως ἐκεῖνον ἀγανακτήσοντα, τὴν τῶν Αἰ-
D γυπτίων κατεμισθοῦτο χεῖρα πρὸς ἐπικουρίαν, εἰ δὴ βούλοιτο τὸν πολέμου νόμον ὁπλίζεσθαι κατ' αὐτῶν ὁ δασμοὺς ἐπιθεὶς καὶ τέλη. Καθυπισχνοῦντο δὲ τοῦτο καὶ μάλα ἑτοίμως οἱ τῶν Αἰγυπτίων κρατοῦντες τὸ τηνικάδε. Πρὸς τοῦτο λελυπημένος ὁ Ἀσσύριος, πανστρατιᾷ κατέθει τὴν Αἰγυπτίων, ἔγκλημα τοῖς κρατοῦσιν αὐτῆς ἐκεῖνο τιθεὶς, τὸ ἀποσκιρτῆσαι τὸν Ὠσηὲ, καὶ ἀποσείσασθαι τὸν αὐτοῦ ζυγὸν, ἀπονοίας λαβόντα πρόφασιν τῆς παρ' αὐτῶν ἐπικουρίας τὴν ὑπόσχεσιν. Ὅτι τοίνυν τὸν τοῦ βαρβάρου θυμὸν, καθάπερ ἔφην ἀρτίως, μεταθήσει Θεὸς ἐφ' ἑτέρους, διαμεμήνυκεν εἰπών· Καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον. Ἀνῴκισται μὲν γὰρ θαλάσσης τὰ Ἱεροσόλυμα, ὁδὸν δὲ τὴν πρὸς τὴν τῶν Αἰγυπτίων φέρουσαν καὶ λίαν ἀμογητὶ, τὴν θαλάσσης γείτονα καὶ εἰς δεῦρό φασιν.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, Ἀφαιρεθήσεται ὁ φόβος αὐτῶν ἀπὸ σοῦ, καὶ ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν. A

Ἔφην ὅτι δασμοὺς ἐπέθηκε τοῖς ἐξ Ἰσραὴλ κεκρατηκὼς ὁ Ἀσσύριος, καὶ σκήπτροις ἰδίοις ὑποφέρειν ἤθελε τὸν ἐκνεμηθέντα λαὸν τῷ παναγίῳ Θεῷ. Ταύτης τε ἕνεκα τῆς αἰτίας κατὰ τῶν Αἰγυπτίων ὡπλίζετο. Τί οὖν ἄρά φησι; Νενικηκὼς Αἰγυπτίους ἐπιθήσει πάλιν τὸν ἑαυτοῦ ζυγὸν τοῖς ἐλεύθερον ἐσχηκόσιν ἀεὶ τὸν αὐχένα, καὶ μόνην εἰδόσι τὴν ὑπὸ Θεῷ βασιλείαν; Οὐδαμῶς, φησίν. Ἀφαιρεθήσεται γὰρ κατ' ἐκεῖνο τοῦ καιροῦ ὁ φόβος αὐτοῦ ἀπὸ σοῦ, καὶ ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου. Ἐπειδὴ γὰρ πέπτωκεν ὁ ἀριθμοῦ κρείττων ἐκεῖνος λεὼς, καὶ ἀπόλωλεν ἐν μιᾷ νυκτὶ, δαπανῶντος ἀγγέλου, πῶς οὐχ ἐξῄρηται B πᾶς φόβος; Ἢ πῶς ὁ ζυγὸς ὁ κατὰ παντὸς ὤμου, μονονουχὶ καὶ ἀπετινάχθη, καὶ πρός γε τούτῳ καὶ κατεφθάρη, τοῦτ' ἔστιν, εἰς ἅπαν ᾤχετο; Ζητοῦντες ἐκεῖνο τὸ σώζεσθαι μόνον, καὶ οἴκοι δραμεῖν, καὶ οὐκ ἐπαίροντες ἔτι κατὰ τῆς Ἰουδαίας τὴν πρώτην ὀφρύν. Ἐσκέπτετο γὰρ, ὡς ἔφην, τοῖς Ἰουδαίοις αὐτὴν ὑποθεῖναι ζυγοῖς. Μεματαίωται δὲ τὰ τῆς ἐλπίδος αὐτῷ, καὶ πρὸς πᾶν τοὐναντίον τὸ προσδοκηθὲν ἐκβέβηκεν. Ἐσώζετο γὰρ ἀγαπητῶς οὐχ ὅπλοις νενικημένος, θείοις δὲ μᾶλλον νεύμασιν καὶ ἀγγέλου χειρί· καὶ τό γε παράδοξον. Ἵνα γὰρ φαίνηται πάντα εἰδὼς, καὶ τῶν πραγμάτων τὸ πέρας, κἂν εἰ μή πω γέγονεν, ἐν ὀφθαλμοῖς ἔχων ὡς Θεὸς, καὶ τῆς ἐκείνου φυγῆς σαφέστατόν τε καὶ ἐναργῶς C ἀπαγγέλλει τὸν τρόπον, τόπους τε καὶ καταλύματα, καὶ ὅτι πλείστας ἐκδειματώσει τῆς Ἰουδαίας πόλεις, καίτοι φυγὰς ἀποδραμὼν ὁ δείλαιος. Ἥξει γὰρ, φησὶν, εἰς πόλιν Ἀγγαὶ, καὶ παρελεύσεται εἰς Μαγεδώ. Πόλεων δὲ καὶ κωμῶν, ἤτοι τόπων ὀνόματα ταυτί. Καὶ ἐν Μαχμᾶς θήσει τὰ σκεύη αὐτοῦ. Φασὶ γὰρ Ἑβραῖοι γεγονότα τὸν Ἀσσύριον ἐν Μαχμᾶς, ἅπασαν αὐτοῦ τὴν ἀποσκευὴν ἐκεῖ καταλεῖψαι, δεδιότα τῶν ἐξ Ἰσραὴλ τὴν ἔφοδον. Ὤιετο γὰρ ὅτι δραμοῦνται διώκοντες. Εἶτά φησι·

Καὶ παρελεύσεται φάραγγα, καὶ ἥξει εἰς Ἀγγαί. Φόβος λήψεται Ῥάμα πόλιν Σαούλ. Φεύξεται ἡ θυγάτηρ Γαλλὶμ, ἐπακούσεται ἐν Ἀναθώθ· ἐξέστη Μαδεβηνᾶ, καὶ οἱ κατοικοῦντες Γιββεῖρ.

Ἔχει δέ τι τοιοῦτον ἡ τῶν Ἑβραίων παράδοσις. D Φασὶ γὰρ ὅτι [δέκα] διασωθέντες μόνοι πρὸς αὐτὸν ὑπενόστησαν ἐκ τῶν Ἱεροσολύμων καὶ τὸ γεγονὸς ἀπηγγέλκασιν. Εἶτα σὺν ὀλίγοις κομιδῇ πρὸς τὴν ἐνεγκοῦσαν ἀνεκομίζετο, καὶ πάσας τεθορύβηκε τάς τε κώμας καὶ πόλεις, καὶ μόνην αὐτοῦ τὴν ὡς ἐν φυγῇ καὶ δειλίᾳ πάροδον ἀφόρητον ἐποιήσαντο. Ἔνθα δ' ἂν ἐπαμύνῃ Θεὸς καὶ σώζειν ἐθέλῃ, ἐκεῖ τὸ λυποῦν οὐδὲν, ἀλλὰ πᾶσα μὲν ἀτονήσει τῶν πολεμούντων ἡ χεὶρ, ἀπρακτήσει δὲ ἰσχὺς καὶ πολέμων ἐμπειρία, καὶ τέχνη τῶν τακτικῶν.

Παρακαλεῖτε σήμερον ἐν ὁδῷ τοῦ μεῖναι τῇ χειρί. Παρακαλεῖτε τὸ ὄρος τὴν θυγατέρα Σιὼν, καὶ οἱ βουνοὶ οἱ ἐν Ἱερουσαλήμ.

Συνθέντες τὴν λέξιν ἐποίσομεν ἀναγκαίως τὴν τοῦ νοήματος διασάφησιν. Ὦ τοίνυν βουνοὶ, φησὶ, τοῦτ'

VERS. 27. *Et erit in die illa, Tolletur timor ejus tibi, et jugum ejus ab humero tuo, et corrumpetur jugum ab humeris vestris.*

Dixi Assyrium postquam vicisset, tributa Israelitis imposuisse, et populum sanctissimo Deo peculiariter dicatum, suo sceptro voluisse subjicere, eamque ob causam contra Ægyptios armatum fuisse. Ergo quid dicit? Nunquid, devictis Ægyptiis, iterum suum jugum imponet his qui liberum collum semper habuerunt, et solum Dei regnum agnoverunt? Nequaquam, inquit. Tolletur enim sub id temporis timor ejus tibi, et jugum ejus humero tuo. **185** Nam postquam populus ille innumerabilis concidisset, et una nocte angelo consumente interiisset, annon omnis formido exempta est? annon cunctis humeris jugum ejus tantum non excussum, ac præterea corruptum est, id est, omnino periit. Idque solum quærit ille, ut servetur et domum recurrat, nec deinceps contra Judæam, ut prius, supercilium attollit. Etenim cogitavit, uti dixi, suo eam jugo supponere : at spe sua frustratus est, aliudque accidit exspectationi longe contrarium. Conservatus est enim sufficienter non armis devictus, sed divino potius nutu et manu angeli, idque admirabiliter. Ut enim appareat Deum omnia nosse, et rerum exitum, quamvis nondum fiat, ob oculos habere, fugæ ipsius modum, et locos et diversoria, manifestissime et clare aperit, et quod Judææ plurimas urbes timore impleturus sit, quamvis miser ac profugus. Veniet enim, inquit, in civitatem Ange, et transibit per Mageddo. Urbium et vicorum ac locorum hæc sunt nomina. Et ad Machmas deponet vasa sua. Dicunt enim Hebræi, Assyrium ad Machmas omnia sua impedimenta deposuisse, impetum Israelitarum reformidantem, siquidem eos ad persequendum procursuros putavit. Dein ait :

VERS. 29. *Et transibit vallem, et veniet in Ange. In timore erit Rhama, civitas Sauli. Fugiet filia Gallim, audietur in Anathoth: obstupefacta est Madebena et incolæ Gibbir.*

Habet hujusmodi quiddam Hebræorum traditio. Nam decem solum ad ipsum ex Hierosolymis superstites reversos esse dicunt, ut quod factum est renuntiarent. Tum cum paucis admodum in patriam est reductus, cunctasque urbes, ac vicos, suam ipsius terram fugiendo turbavit; ac timiditas effecit transitum intolerabilem. Ubi autem Deus succurrit et servare vult, ibi quod officiat nihil est, sed debilis erit omnis manus bellantium, ac robur et peritia inimicorum, et ars militum in irritum recident.

VERS. 32. *Consolamini hodie in via, ut maneat manu: consolamini montem filiam Sion, et colles in Jerusalem*

Cum orationis structura ordinata fuerit, explanationem sententiæ inducere necessum est. O igitur,

inquit, **186** colles, id est, o vos qui excellitis et eminetis, aliisque antestatis in Jerusalem. Qua voce significat, vel prophetas sanctos, vel etiam ipsum sacerdotum chorum. Consolamini montem, id est, meam filiam Sion. Consolamini autem manu tantum non contingentes, et contrectantes caput ut maneat in hac via. Quæ est autem illa? Videlicet hac fiducia in Deum. Promisit enim se erepturum et conservaturum facile, et dejecturum Assyrium, et terrorem ejus amoliturum, corrupturum jugum, et ab omni eos tyrannide liberaturum. Sed, inquit, hæc erunt quoniam in hac via perrexerint, nimirum fiducia in Deum. Quare consolamini hodie, id est, tempore rei gerendæ opportuno, et ut constanti ac firmo animo prædita sit, efficite. Non enim potest mentiri veritas, nec loquetur mendacia Deus. Si enim aliquid annuerit, id utique perveniet ad exitum, si nos fide coluerimus, et sincera mente eum qui salutem promisit exhilaraverimus. Pari ratione nos etiam consolantur sancti, dicentes: Resistite diabolo, et fugiet a vobis. Et castrametabitur angelus Domini in circuitu timentium eum, et liberabit eos. Dixit etiam ipse voce Davidis de omni homine qui credit, et spem locat in eo: « In me speravit, et liberabo eum; clamabit ad me, et exaudiam eum [25-26]. Cum ipso sum in afflictione, et eripiam, et glorificabo eum. » Nam qui ipsum glorificant, eos glorificabit omnium nostrum Servator et Dominus Jesus Christus, per quem et cum quo Patri una cum sancto Spiritu gloria sit in omne ævum. Amen.

A ἔστιν, οἱ προὔχοντές τε καὶ ὑπερκείμενοι, καὶ τῶν ἄλλων οἱ ὑπερανεστηκότες ἐν τῇ Ἱερουσαλήμ. Σημαίνει δὲ διὰ τούτων ἢ προφήτας ἁγίους, ἢ καὶ αὐτὸν τὸν τῶν ἱερέων χορόν. Παρακαλεῖτε τὸ ὄρος, τοῦτ' ἔστι, τὴν ἐμὴν θυγατέρα Σιών. Παρακαλεῖτε δὲ μονονουχὶ καὶ χειρὶ καταψῶντες, καὶ ἐπαφώμενοι κεφαλῆς, ὥστε ἐμμεῖναι ταύτῃ τῇ ὁδῷ. Ποίᾳ δὲ ταύτῃ; Τῇ εἰς Θεὸν πεποιθήσει δηλονότι. Ἐπήγγελται μὲν γὰρ, ὅτι καὶ ἐξελεῖται, καὶ διασώσει ῥᾳδίως, καὶ καταβάλλει [al. καταβαλεῖ] τὸν Ἀσσύριον, καὶ ἀποστήσει τὸν φόβον αὐτοῦ, καὶ καταφθείρῃ τὸν ζυγὸν, καὶ ἁπάσης αὐτοὺς ἀπαλλάξει πλεονεξίας. Ἀλλ' ἔσται ταῦτα, φησὶν, ὅταν ἐμμείνωσι ταύτῃ τῇ ὁδῷ, δῆλον δὲ ὅτι τῇ εἰς Θεὸν πεποιθήσει. Διὸ δὴ παρακαλεῖτε σήμερον, τουτέστι, κατά γε τὸν ἐοικότα τῷ πράγματι B καιρὸν, καὶ ἱδρυμένον ἐνεργάζεσθε τὸ φρόνημα αὐτῇ. Οὐ γάρ ἐστι διαψεύδεσθαι τὴν ἀλήθειαν, οὐ ψευδοεπήσει Θεός. Εἰ γὰρ δὴ κατανεύσειέ τι, τοῦτο δὴ πάντως ἥξει πρὸς πέρας, ὅταν ἡμεῖς τῇ πίστει τιμῶμεν, καὶ γνησίῳ φρονήματι κατευφραίνωμεν τὸν διασώζειν ἐπηγγελμένον. Κατὰ τόνδε τὸν ἴσον τρόπον καὶ ἡμᾶς αὐτοὺς παρακαλοῦσιν οἱ ἅγιοι λέγοντες, Ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ἡμῶν, καὶ, ὅτι Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Ἔφη δὲ καὶ αὐτὸς διὰ φωνῆς τοῦ Δαβὶδ, περὶ παντὸς ἀνθρώπου πεποιθότος ἐπ' αὐτὸν, καὶ τὴν ἐλπίδα θεμένου· « Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει, καὶ ἐξελοῦμαι, καὶ δοξάσω αὐτόν. » Δοξάσει γὰρ C τοὺς δοξάζοντας αὐτὸν ὁ πάντων ἡμῶν Σωτὴρ καὶ Κύριος, Ἰησοῦς Χριστὸς, δι' οὗ, καὶ μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

[25-26] Psal. xc, 14-15.

---

187 ΒΙΒΛΙΟΝ Β', ΤΟΜΟΙ Ε'.

—

LIBER SECUNDUS, TOMI QUINQUE.

—

TOMUS I.

Cap. X. Vers. 33, 34. *Ecce Dominator Dominus Sabaoth, conturbabit gloriosos cum fortitudine, et elati superbia conterentur, et dejicientur, et cadent elati gladio, ac Libanus cum excelsis concidet.*

In libro jam absoluto sermo erat de Assyriis, et de rege Persarum, cum Judæa et Hierosolymis belligerante, ac iræ divinæ severitatem ex improviso sentiente. Nam Israel, non arcum tendens, non scutum arripiens, non equitatu, non arte phalangibus ejus resistens, non lege militari adversariorum

D

ΤΟΜΟΣ Α'.

Ἰδοὺ δὴ ὁ Δεσπότης Κύριος Σαβαὼθ, συνταράξει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ ταπεινωθήσονται, καὶ πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ, ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.

Ἐν μὲν τῷ τετελεσμένῳ βιβλίῳ περὶ τῶν τε τῶν Ἀσσυρίων ὁ λόγος ἦν, καὶ τοῦ τὰ Περσῶν διοικοῦντος κράτη, καταστρατεύοντος μὲν τῆς Ἰουδαίας καὶ τῶν Ἱεροσολύμων, παθόντος δὲ ἀδοκήτως τὰ ἐκ θείας ὀργῆς. Σέσωσται γὰρ παραδόξως ὁ Ἰσραὴλ, οὐ τόξον ἐντείνας, οὐ θυρεὸν ἁρπάσας, οὐχ ἱππότην, οὐ τέχνῃ

ταῖς ἐκείνου φάλαγξιν ἀντεξάγων, οὐ πολέμου νόμῳ τῆς τῶν ἐναντίων κατακρατήσας χειρὸς, ἀλλ' ἐν δυνάμει Θεοῦ καὶ χάριτι. Ἐξῆλθε γὰρ ἄγγελος Κυρίου, φησὶ, καὶ ἀνεῖλεν ἐν μιᾷ νυκτὶ ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. Οὗ δὴ γεγονότος ἐναργοῦς, οἱ μὲν ἀπολεῖσθαι προσδοκῶντες ἐχόρευον, ἀνεκόμιζόν τε τῷ διασώσαντι Θεῷ τὰς χαριστηρίους ᾠδὰς λέγοντες τό· « Ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. » Καὶ πρός γε δὴ τούτοις· « Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοὶ, διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. » Ὁ δὲ θρασὺς, καὶ ὑπέροπτος, καὶ τὸ μέγα καὶ ἐξίτηλον ἐκεῖνο βοῶν, Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ, ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ, καὶ οὐκ ἔστιν, ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι, μάτην ἐφ' ἑαυτῷ μέγα φρονήσας ἠλέγχετο. Διέδρα γὰρ μόλις, καὶ φυγὰς οἴκοι μεθίστατο τὴν Ἰουδαίαν ἀφείς. Τοιγάρτοι καὶ ἔφασκεν ὁ τῶν ὅλων Θεός· Μὴ φοβοῦ, ὁ λαός μου, οἱ κατοικοῦντες ἐν Σιὼν, ἀπὸ Ἀσσυρίων. Κατεγράφετο δὲ καὶ ὁ τῆς φυγῆς τρόπος, μονονουχὶ πόλεις τε καὶ κώμας κατασείοντος αὐτοῦ τῇ παρόδῳ. Καὶ πάλιν· Φόβος λήψεται Ῥαμὰ πόλιν Σαούλ. Διερμηνεύοντες δὲ τὰ τοιάδε, πεποιήμεθα τὴν ἀφήγησιν ἱστορικωτέραν μὲν, πλὴν οὐκ ἔξω τῆς ἀληθείας. Πᾶσα γάρ πως ἀνάγκη, τῇ τῶν προκειμένων ποιότητι καὶ δυνάμει κατάλληλον τὸν τῆς ἑρμηνείας ἐφαρμόζεσθαι λόγον. Ἐπειδὴ δέ ἐστιν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ, διὰ τῶν ἐν τάχει (1), καὶ ἱστορικῶς δρωμένων καταδηλοῦν ἔσθ' ὅτε τὰ μυστήρια, καὶ κεκρυμμένων ἐννοιῶν ἀναπλάττειν εἰκόνας, φαμὲν ὅτι τετυράννηκε μὲν καθ' ἡμῶν ὁ τῆς ἁμαρτίας εὑρετὴς, καὶ τοῖς τοῦ Σωτῆρος λαοῖς τοῖς ἡγιασμένοις, δηλονότι διὰ Πνεύματος, καὶ κεκαθαρμένοις διὰ τῆς πίστεως, δεινῶς ἐπεπήδα καὶ πικρῶς, καὶ τῆς Ἐκκλησίας τοῦ Θεοῦ κατεστρατεύετο, τῶν ὑπὸ χεῖρα πνευμάτων ἐπισείων αὐτῇ τὴν ἀνοσιωτάτην φάλαγγα· καὶ τάχα που καὶ ἀναστρέψειν αὐτὴν ᾠήθη δύνασθαι, καὶ λίαν ἀμογητὶ, τὴν σεπτὴν ἀληθῶς καὶ ἁγίαν πόλιν τοῦ Θεοῦ, τὴν νοητὴν Ἱερουσαλὴμ, ἀλλ' ἦλω πεφρονηκὼς τῶν ἐνδεχομένων οὐδέν. Οὐ γὰρ ἦν ἰσχῦσαι, τὴν ἁγίαν αὐτὸν ἐκπολιορκῆσαι πόλιν, καὶ καταχρατῆσαι δεξιᾶς τῆς οὕτω εὐσθενεστάτης. Τίς γὰρ ἀντιστήσεται τὰ πάντα ἰσχύοντι Θεῷ; Ἀπόλωλε τοίνυν ὁμοῦ τοῖς οἰκείοις ὑπασπισταῖς, καὶ τῆς τῶν εὐσεβούντων ἀγέλης ἀπελέλακται, θηρὸς ἀνημέρου δίκην ἐπιπηδῶν· ἐκβέβληται δὲ τῆς καθ' ἡμῶν τυραννίδος. Καὶ τοῦτο ἡμᾶς ὁ Σωτὴρ ἐδίδαξεν εἰπών· « Νῦν κρίσις ἐστὶ τοῦ αἰῶνος τούτου, νῦν ἄρχων τοῦ αἰῶνος τούτου ἐκβληθήσεται ἔξω. Κἀγὼ ἐὰν ὑψωθῶ ἐπὶ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Ἀνατροπὴ γὰρ θανάτου, καὶ διαβόλου καθαίρεσις, καὶ ἁμαρτίας ἀναίρεσις τὸ τοῦ Χριστοῦ γέγονε πάθος, ὑψουμένου μὲν ἐπὶ τοῦ σταυροῦ, κατακομίζοντος δὲ καὶ καταῤῥιπτοῦντος εἰς γῆν τοῦ διαβόλου τὸ καύχημα. Ἐπὶ καιροῦ τοίνυν μετ'

A manum debellans, sed potentia Dei et gratia conservatus est mirabiliter. Exivit enim, inquit, angelus Domini, et occidit una nocte e castris Assyriorum, centum octoginta quinque millia. Quo propalam facto, illi periisse **188** sperantes, tripudiare, odasque gratulatrices Deo conservatori reddere, ac dicere: « Vesperi commorabitur fletus, et mane lætitia [27]. » Et ad hæc: « Vertisti luctum meum in gaudium mihi, discidisti saccum meum, et circumcinxisti me lætitia [28-29]. » At iste confidens et superbus, magnum et inane illud crepans, Orbem terræ universum capiam quasi nidum, et quasi relicta ova tollam, nec est qui effugiet me, vel qui resistat mihi: frustra apud se animo altum sapiens redarguebatur, et vix elapsus, fugitivus domum, Judæa relicta, se recepit. Itaque B dixit etiam universitatis Deus: Ne metue, popule mi, qui habitas in Sion, Assyrios. Depictus est etiam modus fugæ, cum ille urbes et vicos in transitu tantum non concuteret. Et rursus: In timore erit Rhama civitas Saul. Hæc interpretantes, narrationem quidem magis historicam instituimus, sed non a veritate alienam. Etenim propositarum rerum qualitati et vi interpretationem ex altera parte respondentem accommodare omnino est necesse. Cum vero Scripturæ divinitus inspiratæ familiare sit, rebus crasse et historice gestis quandoque ostendere mysteria, et occultorum sensuum imagines adumbrare: dicimus inventorem peccati in nos exercuisse tyrannidem, et populo Servatoris sanctificato, C videlicet per Spiritum, et per fidem purgato, graviter insultasse et acriter, atque Ecclesiam Dei impugnasse, spirituum ejus imperio parentium sceleratissimam phalangem contra eam concitando: ac cogitasse forsan posse se absque omni sudore et labore evertere, venerandam sane et sacrosanctam Dei civitatem, intelligentia perceptam Jerusalem. Sed deprehensus est, ea quæ fieri nullo modo poterant apud se cogitasse. Non enim potis erat sanctam obsidere urbem, nec dexteram fortissimam expugnare. Quis enim potest omnipotenti Deo resistere? Periit itaque simul cum satellitibus suis, et e grege piorum seclusus est, indomitæ feræ instar insiliens, et de sua tyrannide contra nos deturbatus est. Quod nos Servator docuit inquiens: « Nunc ju- D dicium est sæculi hujus, nunc princeps hujus sæculi ejicietur foras. Et ego si exaltatus fuero de terra, omnes traham ad meipsum [30]. » Eversio enim mortis, et diaboli subversio, **189** et peccati demolitio, Christi fuit passio, evecti in cruce, deprimentis et dejicientis in terram diaboli gloriam. Opportune igitur deinceps etiam nunc universitatis Deus nativitatis Unigeniti in carne sermonem inducit, et voce prophetica mysterium ante patefacit, ut rebus ad exitum pervenientibus, indubitatam fidem faciat omnibus. Hinc ait: « Ecce Dominator

[27] Psal. xxix, 6. [28-29] Ibid., 12. [30] Joan. xii, 31, 32.

(1) Hunfr. legisse videtur πάχει.

Dominus Sabaoth, conturbabit gloriosos cum fortitudine. » Ad novitatem vitæ evangelicæ, ac Christi mysterium, revocat et reformat terræ incolas, eversis nimirum antiquis ritibus, moribusque umbraticis et typicis obtinere vim suam amplius non valentibus. Sed adventus sui in hunc mundum hic scopus fuit, venitque prædicaturus, et ante alios Israelitis, quod quæ usque ad restaurationis tempus instituta erant, id est, lex in littera posita, ea de cætero tollit, animo fidelium, uti dixeram, ad meliorem et spiritalem vitæ institutionem transformato. Nova enim in Christo omnia. Et si vero decebat ei obtemperare præ cæteris Judaicæ synagogæ primores, et qui sacerdotii honoribus haud mediocriter insolescebant : hi tamen e contrario repugnabant juveniliter ac petulanter, resistebant impie, et legem a Mose sapientissimo promulgatam semper in ore habentes, mysterium dispensationis Unigeniti in carne, quantum in se erat irritum facere volebant : sed penes eos non erat hoc præstare, at omnium Servatori et Deo suum supercilium opponentes, mali male perierunt, partim alter in alterum assultantes, et lege belli insidiantes, partim in Romanorum manus incidentes, qui ipsum adeo templum incenderunt. Ecce igitur Dominator Dominus Sabaoth conturbabit gloriosos cum fortitudine. Dominum Sabaoth conturbantem nominat; auditoribus terrorem incutiens; ne quis forte existimet debiliorem fore ipsum, vel etiam minas adhibuisse inefficaces, et quæ omnino ad finem non essent perventuræ. Quid enim inefficax seu imperfectum erit eorum quæ a Domino Sabaoth, hoc est exercituum, suscipiuntur ? Conquassaturum se dicit elatos superbia. Celsi enim et elati vere superbia erant, qui non modo prophetas sanctos trucidarunt, et **190** rectissime consulentibus impudenter dicunt : « Alia nobis loquimini, et annuntiate nobis alium errorem [31]; » sed etiam in ipsum Christum linguam exacuunt, et cornua in sublime tollunt, et, ut scriptum est, contra Deum loquuntur injustitiam [32]. At hi, inquit, reddentur humiles, et cadent gladio. Interierunt etenim, ut dicebam, vel cum Deus vehementissima ira inflicta, velut acuto gladio eos consumeret, sacerdoti insignia auferret, officio gubernandi populum abdicaret, vel etiam alio modo illos casuros gladio ait, nimirum hostium, quemadmodum modo dixi. Sed et Libanus, inquit, cum excelsis corruet. Libanum in his, sicuti est probabile, appellat templum, quod subversum est et incensum, ceciditque simul cum his qui alto sunt supercilio. Fastuosa enim erant vere sacerdotum examina, et ipse cum illis Israel, qui universorum Servatorem et Redemptorem dedecore conspurcavit. Inveniemus etiam ipsam Jerusalem appellari Libanum. Etenim propheta Zacharias alicubi dixit ei [33]: « Aperi, Libane, portas tuas, et devoret ignis cedros tuas. Ploret pinus, quippe cecidit cedrus; plorate,

ἐκεῖνα καὶ νῦν ὁ τῶν ὅλων Θεὸς, τὸν περὶ τῆς κατὰ σάρκα γεννήσεως τοῦ Μονογενοῦς εἰσκομίζει λόγον, καὶ προαναφαίνει τὸ μυστήριον διὰ φωνῆς προφητῶν, ἵνα τῶν πραγμάτων εἰς πέρας ἐκβεβηκότων, ἀναμφίλογον δέχοιτο παρὰ πάντων τὴν πίστιν. Τί τοίνυν φησίν· « Ἰδοὺ δὴ ὁ Δεσπότης Κύριος Σαβαὼθ, συνταράξει τοὺς ἐνδόξους μετὰ ἰσχύος; » Εἰς καινότητα ζωῆς εὐαγγελικῆς τὸ τοῦ Χριστοῦ μυστήριον ἀναμορφοῖ τοὺς ἐπὶ τῆς γῆς, ἀνατετραμμένων δηλονότι τῶν ἀρχαιοτέρων ἐθῶν, καὶ τῶν ἐν σκιαῖς καὶ τύποις, οὐκ ἐχόντων ἔτι τὸ δύνασθαι κρατεῖν. Ἀλλ' ὁ μὲν τῆς ἀφίξεως τῆς εἰς τόνδε τὸν κόσμον αὐτῷ σκοπὸς γέγονεν οὑτοσὶ, καὶ διακηρύξων ἀφῖκται, καὶ πρό γε τῶν ἄλλων τοῖς ἐξ Ἰσραὴλ, ὅτι τὰ μέχρι καιροῦ διορθώσεως ἐπικείμενα, τουτέστιν, ὁ ἐν γράμμασι νόμος, καταίρει λοιπὸν εἰς τέλος, μεταπλαττομένης, ὡς ἔφην, εἰς τὰ ἀμείνω καὶ πνευματικὴν πολιτείαν τῆς τῶν πιστευόντων διανοίας. Καινὰ γὰρ πάντα τὰ ἐν Χριστῷ. Ἀλλὰ καίτοι καταπείθεσθαι δέον αὐτῷ, καὶ πρό γε τῶν ἄλλων τῆς Ἰουδαίων συναγωγῆς τοὺς προεστηκότας, καὶ τοῖς τῆς ἱερωσύνης αὐχήμασιν οὐ μετρίως κομπάζοντας, ἐκ τῶν ἐναντίων ἀντεφέροντο νεανικῶς, ἀντέπραττον ἀφοσίως, καὶ τὸν διὰ τοῦ πανσόφου Μωσέως ἀεὶ λαλοῦντες νόμον, ἄπρακτον ἀποφαίνειν ἤθελον τό γε ἧκον εἰς αὐτοὺς τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς τὸ μυστήριον. Ἀλλ' ἦν ἀνέφικτον αὐτοῖς τοῦτο δρᾷν, ἀντεξάγοντες δὲ τῷ πάντων Σωτῆρι καὶ Θεῷ τὸ οἰκεῖον θέλημα, κακοὶ κακῶς διολώλασι, τοῦτο μὲν ἀλλήλοις ἐπιφυόμενοι, καὶ τὸν πολέμου νόμον ἐπιβουλεύοντες, τοῦτο δὲ ταῖς Ῥωμαίων περιπεσόντες χερσὶν, οἳ καὶ αὐτὸν ἐνέπρησαν τὸν ναόν. Ἰδοὺ τοίνυν ὁ Δεσπότης Κύριος Σαβαὼθ συνταράξει τοὺς ἐνδόξους μετὰ ἰσχύος. Κύριον Σαβαὼθ ὀνομάζει τὸν συνταράσσοντα, καταπτοῶν τοῖς δείμασι τοὺς ἀκροωμένους, ἵνα μή τις οἴηται τάχα που, καὶ ἀσθενήσειν αὐτὸν, ἢ καὶ ἀνηνύτοις ἀπειλαῖς κεχρῆσθαι μᾶλλον, καὶ οὐχὶ δὴ πάντως ἐκβησομέναις εἰς πέρας. Τί γὰρ ἀνήνυτον ἔσται τῶν ἐγχειρουμένων παρὰ Κυρίου Σαβαώθ; Συντριβήσεσθαι δέ φησι τοὺς ὑψηλοὺς τῇ ὕβρει. Ὑψηλοὶ γὰρ ὄντως τῇ ὕβρει γεγόνασιν, οὐ προφήτας ἁγίους ἀποκτείναντες μόνον, καὶ τοῖς κάλλιστα συμβουλεύουσιν ἀνέδην λέγοντες· « Ἄλλα ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, » ἀλλὰ γὰρ καὶ αὐτῷ τὴν γλῶτταν ἐπιθήγοντες τῷ Χριστῷ, καὶ τὸ κέρας μὲν εἰς ὕψος ἐπαίροντες, ἀδικίαν δὲ λαλοῦντες κατὰ τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον. Ἀλλ' οὗτοι ταπεινωθήσονται, φησὶ, καὶ πεσοῦνται μαχαίρᾳ. Διολώλασι γὰρ, ὡς ἔφην, τοῦτο μὲν τομωτάτην ἐπιφέροντος αὐτοῖς τὴν ὀργὴν, καὶ οἷον ὀξείᾳ μαχαίρᾳ δαπανῶντος αὐτοὺς τοῦ Θεοῦ, καὶ τῶν τῆς δικαιοσύνης ἀποκείροντος αὐχημάτων, καὶ τοῦ καθηγεῖσθαι λαῶν ἀποπέμποντος, ἤγουν καὶ καθ' ἕτερον τρόπον, μαχαίρᾳ πεσεῖσθαί φησιν αὐτοὺς, τῇ τῶν πολεμίων δηλονότι, καθάπερ ἔφην ἀρτίως. Ἀλλὰ καὶ ὁ Λίβανος, φησὶ, σὺν τοῖς ὑψηλοῖς πεσεῖται. Λίβανον ἐν τούτοις κατά γε τὸ εἰκὸς ὀνομάζει τὸν νεὼν,

[31] Isa. xxx, 10. [32] Psal. LXXIV, 6. [33] Zachar. XI, 1.

ὃς καθῄρηται, καὶ ἐμπέπρησται, πέπτωκέ τε ὁμοῦ τοῖς ὑψηλὴν ἔχουσι τὴν ὀφρύν. Ὑπέροπτος γὰρ ἀληθῶς ὅ τε τῶν ἱερέων ἑσμὸς, καὶ αὐτὸς δὲ σὺν αὐτοῖς ὁ Ἰσραὴλ, τὸν τῶν ὅλων Σωτῆρα καὶ λυτρωτὴν ἀτιμάσας. Εὑρήσομεν δὲ καὶ αὐτὴν τὴν Ἱερουσαλὴμ Λίβανον ὠνομασμένην. Καὶ γοῦν ὁ προφήτης Ζαχαρίας ἔφη που πρὸς αὐτήν· «Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. » Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος· ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμός σου ὁ σύμφυτος. Ἐπειδὴ γὰρ ὄρει τῷ Λιβάνου παρεικάζων τὴν Ἱερουσαλὴμ, οὕτως ὠνόμαζεν αὐτὴν, ἀναγκαίως τῆς τοῦ λόγου τροπῆς πιθανῶς ἐχόμενος, κέδροις καὶ δρυμῷ συμφύτῳ, τούς τε ἐν αὐτῇ λαοὺς, καὶ μέν τοι τοὺς ἡγουμένους ὀνομάζει χρησίμως, οἷς καὶ ὀλολύζειν διακελεύεται, διάτοι τὸ δρυμῶν δίκην ἐπιπηδᾷν αὐτοῖς τοὺς ὠλοθρευκότας. Εἰ δὲ δή τις ἕλοιτο κεκρυμμένης ἅψασθαι θεωρίας, καὶ τὴν τῶν προκειμένων ἐφαρμόσαι δύναμιν αὐτῷ τε τῷ Σατανᾷ, καὶ ταῖς ὑπ' αὐτὸν δυνάμεσι ταῖς ἀλιτηρίαις, οὐδὲ οὗτος ἔξω τοῦ εἰκότος βαδιεῖται σκοποῦ. Συνετρίβη δὲ καὶ ἀπόλωλε τῶν δαιμονίων τὸ φιλοκακοῦργον στῖφος, καὶ αὐτὸς δὲ σὺν αὐτοῖς ὁ δράκων ὁ ἀποστάτης, ὁ ὑψηλὸς, καὶ ὑπέροφρυς, καὶ οἷον ὄρει τῷ Λιβάνῳ παρεικασμένος. Πρὸ γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας περιφανής τις ἦν ἅπασι, καὶ ἄτοπος πανταχῇ προσκυνούμενος, καὶ τὴν τῆς θεότητος δόξαν ἁρπάσας ἐφ' ἑαυτῷ.

A quercus Basan, quippe succisus est saltus consitus.» Postquam enim monti Libani Jerusalem comparans ita nominasset eam, necessario in sermonis tropo diserte immorans, cedrorum silvæque consitæ appellatione populos in ea et principes vocat commode, quas lugere jubet, propterea quod insultent illis tanquam silvis, hi qui disperdiderunt. Si quis autem velit tectam et reconditam sententiam attingere, et sensum vimque horum verborum Satanæ subditisque ipsi potestatibus nefariis accommodare, hic a scopo decoro nequaquam recesserit. Contrita est enim, et periit, ad omnem malitiam projecta et profligata dæmonum cohors, et ipse cum illis draco apostata, elatus et superciliosus, et veluti Libano monti assimilis. Nam ante Servatoris nostri B adventum illustris erat omnibus, et insolens, ubique locorum adoratus, et gloriam deitatis ad se rapuit.

Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ.

Προεγνωκὼς ὁ προφήτης διὰ τῆς ἄνωθεν ἐλλαμψίας τὰ ἐσόμενα σαφῆ ποιεῖται τὴν προαγόρευσιν. C Εἴρηται γὰρ μὲν ἐν ὑστέροις καιροῖς πρὸς τὸν μακάριον Δαβὶδ παρὰ τοῦ πάντων κρατοῦντος Θεοῦ· «Ἐκ καρποῦ τῆς ὀσφύος σου θήσομαι ἐπὶ τὸν θρόνον σου.» Ἐπειδὴ δὲ ἦν ὁ πάντα εἰδὼς τοῖς ἁγίοις προφήταις τὴν τῶν ἐσομένων πρόγνωσιν ἐντιθεὶς, προαναβεβόηται καὶ τοῦτο παρ' αὐτῶν, ἵνα πανταχόθεν μαρτυρῆται τὸ μυστήριον, καὶ πιστεύηται γεγονός. Ῥάβδον τοίνυν ἐκ τῆς ῥίζης Ἰεσσαὶ ἐξελεύσεσθαι φησιν, ἀναβήσεσθαι δὲ καὶ ἄνθος, καὶ οὐ μετά γε τὸ ταραχθῆναι τοὺς ἐνδόξους μετὰ ἰσχύος, ταπεινωθῆναι δὲ καὶ τοὺς ὑψηλοὺς, καὶ σὺν αὐτοῖς πεσεῖσθαι τὸν Λίβανον, τότε τὴν ῥάβδον ἐκ τῆς Ἰεσσαὶ ῥίζης ἀναφυῆναί φησιν. Ἀλλ' ἐν μὲν τοῖς πρώτοις κεφαλαιωδέστερον ἡ τοῦ παντὸς πράγματος ἐδηλοῦτο δύναμις. D Τίνα γὰρ ἔμελλε συμβήσεσθαι τοῖς ἐξ Ἰσραὴλ πεπαρῳνηκόσιν ἀνοσίως εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ἐν βραχεῖ λόγῳ μεμαθήκαμεν· ἀναφοιτᾷ δὲ νῦν ἡ διήγησις ἐπ' αὐτὴν ὥσπερ τὴν ἀνωτάτω τοῦ πράγματος ἀρχὴν, φημὶ δὴ τὴν ἐνανθρώπησιν τοῦ Μονογενοῦς, καὶ τὴν οἰκονομικῶς ἐσομένην ἐκ γυναικὸς κατὰ σάρκα γέννησιν. Ῥάβδον δὴ οὖν ὠνόμαζε τὸν ἐκ ῥίζης Ἰεσσαὶ κατὰ σάρκα Χριστόν· καὶ μὴν πρὸς τούτῳ καὶ ἄνθος, καὶ διὰ μὲν τῆς ῥάβδου, κατά γε τὸ εἰκὸς, τὸ βασιλικὸν ἔχων ἀξίωμα πλαγίως ὑποσημαίνεται. Σύνθημα γὰρ βασιλείας ἡ ῥάβδος. Καὶ γοῦν ὁ θεσπέσιος Δαβὶδ πρὸς

Cap. XI. Vers. 1-3. **191** *Et egredietur virga de radice Jessæ, et flos de radice ascendet. Et requiescet super eum spiritus Dei, spiritus sapientiæ et intellectus, spiritus consilii et fortitudinis, spiritus scientiæ et pietatis, complebit ipsum spiritus timoris Dei.*

Præscius rerum futurarum propheta, face e supernis accensa, claram prædictionem facit. Posterioribus enim temporibus dictum est ad beatum Davidem a præpotente Deo: «De fructu lumbi tui ponam super sedem tuam [34].» Cum vero omnia sciret, futurorum perspicientiam sanctis prophetis inseruit: et hoc ab illis quoque ante proclamatum est, ut undecunque testatum fieret mysterium, et cum factum esset crederetur. Itaque virgam de radice Jessæ egressuram ait, floremque ascensurum. Non autem gloriosis in fortitudine conturbatis, elatis dejectis, Libanoque cum illis collapso, tum virgam dicit de stirpe Jessæ germinaturam: sed in superioribus totius negotii summa in genere demonstrabatur. Quæ namque eventura essent Israelitis, impie in Dominum nostrum Jesum Christum debacchatis, brevi sermone didicimus; nunc autem narratio ad summum veluti rei principium regreditur, ad humanitatem inquam Unigenæ, et ad nativitatem secundum carnem, ex muliere ratione dispensationis futuram. Proinde virgam nominavit Christum de radice Jessæ juxta carnem, et præterea etiam florem: et per virgam, eum regiam dignitatem habere, oblique subindicari videtur. Nam tessera et signum regni virga. Hinc divinus David ipsi Filio dicit: «Thronus tuus, Deus, in sæculum sæculi, virga rectitudinis virga regni tui [35].» Quin et aliter virga dici potest, quoniam habet omnia, et in recto statu

[34] Psal. cxxxi, 11. [35] Psal. xliv, 7.

continet ac conservat, et quod infirmum est, facit A consistere: sive humanam naturam, quæ tantum non conquassata est, et ærumnis et afflictionibus obruta, et quodammodo inebriata. Cantat igitur beatus David, communi omnium persona sibi imposita: « Virga tua, et baculus tuus, ipsa me consolata sunt [36]. » Confirmat enim justos Deus, quemadmodum scriptum est: et vocatus est voce prophetarum, baculus gloriosus, virga **192** magnificentiæ [37]. Virga etiam aliter, quia bonus pastor est, animam suam ponens pro ovibus [38]. Dictum est igitur ei a quopiam sanctorum prophetarum: « Pasce populum tuum in virga, tribum tuam, oves hæreditatis tuæ [39]. » Sin autem cuiquam videtur, quia judex est, et reddit singulis pro ratione operum suorum, idcirco eum et meritissimo nominari virgam, rite B intelliget. Nam dictum est ei, Israele in illum debachante, et impotenter ad inobedientiam prolapso: « Pasces eos in virga ferrea, et ut vasa figuli comminues eos [40]. » Sic nobis illum sapientissimi Moysis lex designat. Assumitur enim in typum Christi etiam virga Aaronis quæ floruit, et in Sancta sanctorum illata est. Effloruerunt enim juglandes: quid autem causæ sit, et quæ umbrarum sententia, dicendum est. Quidam enim physiologiam rationesque naturales attingunt, et affirmant virgam ex juglandibus, si capiti alicujus apponatur, vigilantiam naturaliter efficere. Itaque cum Christus, sicuti dicit B. Paulus [41], gratia Dei pro omnibus mortem gustaturus esset, et paulisper veluti nictans tanquam ex C somno excitatus esset iterum, et morte conculcata divinitus revixisset, hinc virgæ juglandium comparatur. Hac divina et intelligibili virga Moyses operatus est miracula, dum Israelem servitute Ægyptiaca eximit, ideoque eam virgam Dei nominavit. Erat quippe ei virga virtutis, sicut scriptum est [42]. Cum igitur propheta ænigmatice et tectius mysterium Christi subinnueus, e stirpe Jessæ virgam nobis exoriri dicit, tunc quidem, tunc animi oculis illum unigenitum Dei Sermonem, illum per quem omnia, et in quo sunt omnia, et incarnatum, et hominem factum, et ad voluntariam exinanitionem se demittentem, et propter nos nativitatem dispensationis suæ causa subeuntem, juxta carnem, inquam, et ex muliere contemplans, dicit cum propheta: « Domine, audivi D vocem tuam, et pertimui, cognovi opera tua, et obstupui. » Virga itaque propter causas quas modo commemoravimus, vocatus est. Flos vero rursum, quoniam hominis natura in illo ad incorruptionem et ad novitatem conversationis evangelicæ refloruit. Aliter etiam flos propter suavem fragrantiam sub intelligentiam cadentem appellatur. « Ego enim, inquit, flos campi, **193** lilium convallium [43]. » Erat sane et nobis veluti odor quidam cognitionis Dei et Patris. Nimirum divinus Paulus in epistola dicit: « Deo autem gratia, qui semper triumphat

A αὐτόν πού φησι τὸν Υἱόν· « Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. » Ῥάβδος δὲ καὶ ἑτέρως, ὡς ἂν ἔχων τὰ πάντα, καὶ εἰς τὸ εὖ εἶναι συνέχων, συνεστάναι τε ποιῶν τὸ ἠσθενηκὸς, ἤτοι τὴν ἀνθρώπου φύσιν, μονονουχὶ κατασειομένην, καὶ μεθύουσαν ὑπὸ παθῶν. Ψάλλει γοῦν ὁ μακάριος Δαβὶδ, τὸ κοινὸν ἁπάντων πρόσωπον ἑαυτῷ περιθείς, « Ἡ ῥάβδος σου, καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. » Ὑποστηρίζει γὰρ τοὺς δικαίους ὁ Κύριος κατὰ τὸ γεγραμμένον· ὠνόμασται δὲ διὰ φωνῆς προφητῶν βακτηρία εὐκλεὴς, ῥάβδος μεγαλοσύνης· ῥάβδος δὲ καὶ ἑτέρως, ἐπείπερ ἐστὶ ποιμὴν ἀγαθὸς, τὴν ψυχὴν ἑαυτοῦ τιθεὶς ὑπὲρ τῶν προβάτων. Εἴρηται γοῦν πρὸς αὐτὸν δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ποίμαινε λαόν σου ἐν ῥάβδῳ, B φυλήν σου, πρόβατα κληρονομίας σου. » Εἰ δέ τῳ δοκεῖ, καὶ ἐπείπερ ἐστὶ κριτὴς, καὶ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ταύτῃ τοι, καὶ μάλα εἰκότως ὀνομάζεσθαι ῥάβδον, νοήσει καλῶς. Εἴρηται γὰρ πρὸς αὐτὸν, ἐμπαροινήσαντός τε αὐτῷ τοῦ Ἰσραὴλ, καὶ ἀκρατῶς ἀπονενευκότος εἰς ἀπείθειαν· « Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, καὶ ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. » Οὕτως ἡμῖν αὐτὸν καὶ ὁ τοῦ πανσόφου Μωσέως κατασημαίνει νόμος· παραλαμβάνεται γὰρ εἰς τύπον Χριστοῦ καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσκεκομισμένη. Ἐξήνθησε γὰρ κάρυα, καὶ τί δὴ τὸ χρῆμα τῶν ἐν σκιαῖς ἐννοιῶν, εἰπεῖν ἀναγκαῖον. Ἅπτονται μὲν γὰρ φυσιολογίας τινὲς, καὶ δὴ καί φησι τὴν καρυΐνην ῥάβδον, εἰ πρὸς τῇ κεφαλῇ C κέοιτό τινων, ἀνυπνίας εἶναι φυσικῶς ἐμποιητικήν. Οὐκοῦν ἐπειδήπερ ἔμελλεν ὁ Χριστὸς, χάριτι μὲν Θεοῦ, καθά φησιν ὁ μακάριος Παῦλος, ὑπὲρ παντὸς γεύσασθαι θανάτου, βραχὺ δὲ ὥσπερ ἀπονυστάξας, καθάπερ ἐξ ὕπνου διεγερθῆναι πάλιν, ἀναβιῶναί τε θεοπρεπῶς, πεπατημένου θανάτου. Ταύτῃ τοι ῥάβδῳ καρυΐνῃ παρεικάζεται. Διὰ ταύτης τε τῆς θείας τε καὶ νοητῆς ῥάβδου τεθαυματούργηκεν ὁ Μωσῆς, τῆς ἐν Αἰγύπτῳ δουλείας ἀπαλλάττων τὸν Ἰσραήλ. Ῥάβδον γοῦν αὐτὴν ὠνόμαζε Θεοῦ. Γέγονε γὰρ αὐτῷ ῥάβδος δυνάμεως, κατὰ τὸ γεγραμμένον. Ὅταν τοίνυν ὁ προφήτης αἰνιγματωδῶς τὸ Χριστοῦ μυστήριον ὑποφαίνων, ἐκ τῆς Ἰεσσαὶ ῥίζης τὴν ῥάβδον ἡμῖν ἀναφανῆναι λέγῃ, τότε δὴ, τότε τοῖς τῆς διανοίας D ὄμμασιν αὐτὸν μονογενῆ τοῦ Θεοῦ Λόγου, τὸν δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, σεσαρκωμένον τε καὶ ἐνανθρωπήσαντα θεωρῶν, καὶ εἰς ἑκούσιον ἑαυτὸν καθέντα κένωσιν, καὶ τὴν δι' ἡμᾶς οἰκονομικὴν ἀνατλάντα γέννησιν, φημὶ δὴ τὴν κατὰ σάρκα καὶ ἐκ γυναικὸς, ὁμοῦ τῷ προφήτῃ λέγει· « Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα, καὶ ἐξέστην. » Ῥάβδος δὴ οὖν ὠνόμασται διά τοι τὰς ἀρτίως ἡμῖν εἰρημένας αἰτίας. Ἄνθος δὲ πάλιν· ἀνέθαλε γὰρ ἡ ἀνθρώπου φύσις ἐν αὐτῷ πρὸς ἀφθαρσίαν, καὶ εἰς ζωὴν, καὶ εἰς καινότητα πολιτείας εὐαγγελικῆς· ἄνθος δὲ καὶ ἑτέρως, διὰ τὴν

[36] Psal. XXII, 4. [37] Jerem. XLVIII, 17. [38] Joan. X, 15. [39] Mich. VII, 14. [40] Psal. II, 9. [41] Hebr. II, 10. [42] Psal. CIX, 2. [43] Cant. II, 1.

νοητὴν εὐοσμίαν. « Ἐγὼ γάρ, » φησίν, « ἄνθος τοῦ A πεδίου, κρίνον τῶν κοιλάδων. » Γέγονε δὲ καὶ ἡμῖν ὀσμή τις ὥσπερ τῆς γνώσεως τοῦ Θεοῦ καὶ Πατρός. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος ἐπιστέλλει, καί φησι· « Τῷ Θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν, τῷ Θεῷ ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις· οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. » Ταύτῃ τῇ ῥάβδῳ φησὶν, ἤτοι τῷ ἄνθει τῷ ἐκ τῆς ῥίζης Ἰεσσαὶ τεχθησομένῳ, κατὰ καιροὺς ἐπαναπαύσεσθαι Πνεῦμα Θεοῦ πολλὰς ἔχον τὰς ἐνεργείας. Πνεῦμα γὰρ αὐτὸ βουλῆς καὶ συνέσεως ὀνομάζει, γνώσεώς τε καὶ σοφίας, εὐσεβείας καὶ φόβου Θεοῦ. Φαμὲν δὲ, ὅτι τῆς προφητικῆς εὐτεχνίας τὸ κήρυγμα οὐκ ἄνθρωπον ἡμῖν ψιλὸν B εἰσκομίζει τὸν Ἰησοῦν, εἶτα γεγονότα πνευματοφόρον, καὶ ὡς ἐν τάξει τῇ καθ' ἡμᾶς χαρισμάτων τῶν παρὰ Θεοῦ γεγονότα μέτοχον, ἐνανθρωπήσαντα δὲ μᾶλλον τὸν τοῦ Θεοῦ Λόγον καταδηλοῖ, πλήρη μὲν ὄντα παντὸς ἀγαθοῦ, τό γε ἧκον εἰς τὴν αὐτοῦ φύσιν, οἰκειουμένου δὲ μετὰ τῆς ἀνθρωπότητος καὶ τὰ αὐτῆς. Ἴδιον γὰρ ἀνθρωπότητος, τὸ οἴκοθεν μὲν ἔχειν, καὶ ὡς ἐξ ἰδίας φύσεως τῶν ἄνωθεν χαρισμάτων οὐδέν· « Τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; » εἴρηται πρὸς αὐτήν, καταπλουτεῖν δὲ μᾶλλον ἔξωθέν τε καὶ ἐπακτῶς, παρὰ Θεοῦ δηλονότι, τὰ ὑπὲρ φύσιν ἰδίαν. Ἔδει τοίνυν καθέντα πρὸς κένωσιν ἑαυτὸν τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον, τὸ ἐκ τῆς κενώσεως μὴ παραιτεῖσθαι σμικροπρεπὲς, καὶ πλήρη κατὰ φύσιν ὄντα δέχεσθαι διὰ τὸ ἀνθρώπινον, οὐχ ἑαυτῷ μᾶλλον, C ἀλλ' ἡμῖν τοῖς ἐν ἐνδείᾳ παντὸς ἀγαθοῦ. Ὥστε κἂν εἰ λέγοιτό ποτε τὸ Πνεῦμα λαβεῖν, καίτοι χορηγὸς ὢν αὐτὸς τοῦ ἁγίου Πνεύματος, καὶ οὐκ ἐκ μέτρου διδοὺς, ἀλλ' ὡς ἐξ ἰδίου πληρώματος διανέμων αὐτὸ τοῖς ἀξίοις, τῶν τῆς κενώσεως μέτρων νοείσθω τὸ λαβεῖν, κατευθὺ γὰρ οὕτω τῆς ἀληθείας ἥξομεν. Πλὴν ἐκεῖνο ἄθρει· « Ἀναπαύσεται γὰρ ἐπ' αὐτὸν, φησὶ, Πνεῦμα τοῦ Θεοῦ. » Δέδοται γὰρ ἐν ἀρχαῖς τῇ τοῦ γένους ἡμῶν ἀπαρχῇ, τουτέστι, τῷ Ἀδὰμ, ἀλλὰ γέγονε ῥᾴθυμος περὶ τὴν τήρησιν τῆς δοθείσης αὐτῷ ἐντολῆς, κατημέλησε τῶν προστεταγμένων, κατεβιβάσθη πρὸς ἁμαρτίαν, οὐχ εὗρεν ἀνάπαυσιν ἐν ἀνθρώποις τὸ πνεῦμα. « Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός. » D Εἶτα γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καίτοι τὸ εἶναι Θεὸς οὐ μεθείς. Ἐπειδὴ δὲ καίτοι γεγονὼς καθ' ἡμᾶς, ἀνάλωτος ἦν ἁμαρτίαις, ἐπανεπαύσατο τῇ ἀνθρώπου φύσει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐν αὐτῷ καὶ πρώτῳ, καὶ ὡς ἐν ἀπαρχῇ τοῦ γένους δευτέρᾳ, ἵνα καὶ ἡμῖν ἐπαναπαύηται, καὶ μένῃ λοιπὸν ταῖς τῶν πιστευόντων διανοίαις ἐμφιλοχωροῦν. Οὕτω γάρ που καὶ ὁ θεσπέσιος Ἰωάννης τεθεᾶσθαί φησιν ἐξ οὐρανοῦ καταφοιτῆσαν τὸ Πνεῦμα ἐπὶ Χριστόν. Ὥσπερ συγκληρονόμοι γεγόναμεν τῶν συμβεβηκότων τῷ πρωτοπλάστῳ κακῶν, οὕτως ἐσόμεθα μέτοχοι τῶν ὑπαρχθέντων οἰκονομικῶς τῇ

nos in Christo, et odorem notitiæ suæ manifestat per nos in omni loco, quia Christi bonus odor sumus Deo in iis qui salvi fiunt, et in iis qui pereunt; aliis quidem odor mortis in mortem, aliis vero odor vitæ in vitam [44]. » Idcirco in hac virga, seu in hoc germine ex stirpe Jessæ, suis temporibus acquieturum ait Spiritum Dei, multis virtutibus et viribus pollentem. Spiritum enim ipsum nominat consilii, et intelligentiæ, et cognitionis, et sapientiæ, et fortitudinis, et religionis, et timoris Dei [45]. Dicimus autem prophetam in hoc præconio suo artificium sic temperasse, ut non hominem merum nobis inducat Jesum, dein Spiritu afflatum, et quasi nostri ordinis ac conditionis esset, charismatum divinorum participem factum, sed potius Dei Verbum humanam naturam assumpsisse declarat, cumulatum bonis omnibus (quatenus ad ipsius naturam pertinent) ac etiam una cum humanitate quæ ad eam spectant, velut sua ac propria sibi vindicans. Proprium namque humanitatis est, ex se et ex propria quasi natura nihil supernorum donorum habere (dictum enim est ei : « Quid enim habes quod non accepisti? »), at exterius magis et aliunde adscititiis, nimirum a Deo, locupletari donis, quæ propriam naturam superant. Oportebat igitur unigenitum Dei Sermonem qui se exinanivit et demisit, illius exinanitionis humilitatem non recusare, sed propter humanitatem suscipere, non sua causa, sed nostra potius, qui omnium bonorum laboramus indigentia. Itaque licet interdum dicatur Spiritum accipere, cum sit tamen ipse subministrator sancti Spiritus, et non ex mensura det, sed veluti de propria plenitudine illud dignis impartiat, hoc pro mensura et modulo exinanitionis intelligatur accipere : sic enim recta ad verum perveniemus. Verum illud mihi specta : « Requiescet enim super ipsum, inquit, Spiritus Dei. » A principio enim datum est nostri generis primitiis, id est, Adamo, verum in observatione mandati, quod traditum erat piger et remissus, jussa posthabuit, ac demersus est in peccatum, nec invenit in hominibus requietem spiritus. « Omnes » etenim « declinaverunt, simul inutiles facti sunt, non erat qui **194** faceret bonum, non erat usque ad unum [46]. » Post factus est homo unigenitum Dei Verbum, licet Deus esse non desineret : cumque similis nobis esset, irretitus tamen peccatis non est, Spiritusque sanctus in hominis natura insedit, velut in ipso primo et quasi in secundis primitiis generis, ut et in nobis deinceps conquiesceret ac maneret, et in credentium mentibus cum voluptate habitaret. Sic enim et divinus Joannes vidisse ait se descendentem de cœlo Spiritum in Christum. Ut enim consortes eramus, et hæredes malorum quæ protoplasto primumque condito homini acciderunt : sic etiam eorum quæ per dispensationem exstiterunt secundis nostri generis primitiis, id est, Christo, erimus participes. Quod autem

[44] II Cor. II, 14, 16. [45] Isa. XI, 2. [46] Rom. III, 12.

non particularem aliquam ei gratiam addiderit, A quemadmodum in sanctis conquiescere dicitur Spiritus, sed quod plenitudo deitatis in sacrosancta carne velut in suo templo commorata fuerit, et non in experte animi, sed potius animato anima intelligenti, planum faciet propheta, dicens : « Complebit eum spiritus timoris Domini. » Uni autem Spiritui multiplicem tribuit efficacitatem : nec enim alius est Spiritus sapientiæ, alius intelligentiæ, vel consilii, et fortitudinis, ac reliquorum : at quemadmodum unus est ex Deo Patre Sermo, energia autem et efficientia nominatur multifariam (vita namque est, et lux, et virtus) : sic etiam in sancto Spiritu intelliges : unus nimirum cum sit, intelligitur multipliciter, et sic etiam operatur. Quippe Paulus sapientissimus ubi diversorum charismatum B species nobis enumeravit : « Hæc omnia, inquit, operatur unus et idem Spiritus, dividit singulis prout vult [47]. »

VERS. 4, 5. *Non secundum gloriam judicabit, neque juxta sermonem arguet, sed judicabit humili judicium, et arguet humiles terræ, et percutiet terram verbo oris sui, et spiritu per labia necabit impium. Et erit justitia cinctus lumbum suum, et veritate involutus costas.*

Emmanuelem suo tempore nasciturum cum optime prædixisset, adducit porro peropportune ex quibus rebus posset inclarescere, a virtute scilicet quæ ipsi inest divina, operumque splendore. Oportebat enim, oportebat, inquam, eos, qui prædictiones C propheticas habent, diligenter ante persuadere his qui fidem in eum amplexuri erant, **195** quis et qualis sit, et in quibus præclare sit venturus. Quemadmodum enim si quis nostrum aliquem hominibus, qui eum non norunt monstraturus, ex his quæ novit verbis depingit, et de eo prædicat, non esse capillitio denso, sed mediocriter tenui et raro, et gratioso esse oculo, et subridenti obtutu, et mire gracili ac subtili naso, cæterasque corporis partes persequitur : pari, credo, ratione etiam beatus propheta, quoniam ei de Verbo humanitatem propter nos assumente sermo est, ideo signa divinæ præstantiæ et excellentiæ enumerat, deque eo dicit : « Non secundum gloriam judicabit, neque ex sermone D arguet. » Digna res Deo summæque naturæ consentanea. Etenim non in gloriam hominum intueri, sed rectum, et immotum in re quoque, et omnino irreprehensibile exercere judicium, nonne omnium rerum reginam naturam decet ? Non enim novit personam respicere, nec divitiis vel elegantia cultus, vel auctoritate decoratum quemque honore aut æstimatione ille dignatur, alios spoliare volentem, sed operarium iniquitatis condemnat prorsus et detestandum reddit. Non arguet autem ex sermone, quemadmodum debeat intelligi, disserere necesse est. Plerique enim nostrum qui laudare volunt,

[47] I Cor. XII, 11.

δευτέρᾳ τοῦ γένους ἡμῶν ἀπαρχῇ, τουτέστι Χριστῷ. Ὅτι δὲ οὐ μερικὴν αὐτῷ τὴν χάριν εἰργάζετο, καθάπερ ἐν τοῖς ἁγίοις τὸ ἐπαναπαύεσθαι λεγόμενον Πνεῦμα, ἀλλ' ἦν πλήρωμα τῆς θεότητος, τὸ ὡς ἐν ἰδίῳ ναῷ τῇ ἰδίᾳ σαρκὶ καταλύον, καὶ οὐχ ἀψύχῳ ποθὲν, ἐψυχωμένῃ δὲ μᾶλλον ψυχῇ νοερᾷ, σαφηνιεῖ λέγων ὁ προφήτης· « Ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ. » Ἑνὶ δὲ τῷ Πνεύματι πολυειδῆ δέδωκε τὴν ἐνέργειαν. Οὐ γάρ τοι Πνεῦμα μὲν ἄλλο τῆς σοφίας, ἕτερον δὲ τὸ συνέσεως, ἤτοι βουλῆς, καὶ ἰσχύος, καὶ τῶν λοιπῶν, ἀλλ' ὥσπερ εἷς μέν ἐστιν ὁ ἐκ τοῦ Θεοῦ Πατρὸς Λόγος, ὀνομάζεται δὲ καὶ ἐνέργεια πολυτρόπως· ζωὴ γάρ ἐστι, καὶ φῶς, καὶ δύναμις· οὕτω καὶ ἐπὶ τοῦ ἁγίου συνήσεις Πνεύματος· ἓν γὰρ ὑπάρχων νοεῖται πολυειδῶς, ἐνεργεῖ δὲ καὶ οὕτως. Καὶ γοῦν ὁ σοφώτατος Παῦλος διαφόρων ἡμῖν χαρισμάτων ἰδέας ἀπαριθμούμενος· « Ταῦτα πάντα, » φησὶν, « ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιρεῖ ἑκάστῳ ἰδίᾳ, καθὼς βούλεται. »

Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐξελέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς, καὶ πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ. Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημένος τὰς πλευράς.

Ὅτι τεχθήσεται κατὰ καιροὺς ὁ Ἐμμανουὴλ εὖ μάλα προειρηκὼς, προσεπάγει χρησίμως, καὶ τὰ δι' ὧν ἂν εἴη γνώριμος ὡς ἀπό γε τῆς ἐνούσης αὐτῷ θεοπρεποῦς ἀρετῆς, καὶ τῆς ἐν ἔργοις λαμπρότητος. Ἔδει γὰρ, ἔδει προαναπείθειν ἀκριβῶς προφητικὴν ἔχοντας προαγόρευσιν, τοὺς οἵ γε τὴν ἐπ' αὐτὸν ἔμελλον παραδέχεσθαι πίστιν, τίς δέ γε, καὶ ποῖος, καὶ διὰ ποίων ἥξει κατορθωμάτων. Ὥσπερ γὰρ εἴ τις ἕνα τῶν καθ' ἡμᾶς, τοῖς οὐκ εἰδόσιν αὐτὸν κατασημαίνειν βεβουλημένος, ἐξ ὧν οἶδεν ὄντα λόγῳ ζωγραφεῖ, λέγει δὲ περὶ αὐτοῦ, ὡς εἴη μὲν τὴν κόμην οὐ βαθὺς, συμμέτρως δὲ ψιλὸς, καὶ χαροπὸν μὲν ὅτι τὸ ὄμμα αὐτῷ, καὶ ὑπογελῶσαν ἔχον τὴν βολὴν, ἰσχνὸς δὲ τὴν ῥῖνα, καὶ τὰ ἕτερα δὲ τοῦ σώματος διεξίοι μέρη, τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ ὁ μακάριος προφήτης, ἐπείπερ ἐστὶν ὁ λόγος αὐτοῦ περὶ τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Λόγου, ταύτῃ τοι τὰ τῆς θεοπρεποῦς ὑπεροχῆς καὶ μέντοι ἐξουσίας ἀπαριθμεῖται σημεῖα, καὶ δή καί φησι περὶ αὐτοῦ· « Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει. » Θεοπρεπὲς τὸ χρῆμα, ἐοικός τε φύσει τῇ ἀνωτάτω. Τὸ γὰρ μήτε εἰς δόξαν τὴν ἐν ἀνθρώποις ὁρᾷν, ὀρθήν τε καὶ ἀδιάστροφον τὴν ἐφ' ἑκάστῳ ποιεῖσθαι κρίσιν καὶ ἀμώμητον παντελῶς, πῶς οὐκ ἂν πρέποι τῇ τῶν ὅλων βασιλίδι φύσει; Οὐ γὰρ οἶδεν ὁρᾷν εἰς πρόσωπον, οὔτε μὴν τὸν ταῖς ἐκ πλούτων περιβολαῖς, οὔτε μὴν ἀξιώμασιν ἐξωραϊσμένον ἀξιοῖ τιμῆς ἢ λόγου, πλεονεκτεῖν ἐθέλοντά τινας, καταχρίνει δὲ πάντως, καὶ ἐπάρατον ἀποφαίνει τὸν τῆς ἀνομίας ἐργάτην. Οὐκ ἐλέγξει δὲ κατὰ τὴν λαλιάν· καὶ τίνα τρόπον χρὴ ἐννοεῖσθαι, καὶ

τοῦτο διειπεῖν ἀναγκαῖον. Πλεῖστοι μὲν γὰρ ὅσοι τῶν καθ' ἡμᾶς τοὺς ἐπαινεῖν ἐθέλοντας ἀξιοῦσι τιμῆς, καὶ εἰ μή τινες εἶεν ἀγαθοὶ τοὺς τρόπους, μισθὸν δὲ ὥσπερ τῆς κολακείας αὐτοῖς ἀπονέμουσι τὸ καὶ θεραπεύειν ἔσθ' ὅτε, καὶ τοὺς ὑπ' αὐτοὺς ἐλέγχους συστέλλουσιν. Ἀλλ' οὐ τοῦτο δεδρακότα κατίδοι τις ἂν τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστόν. Τοιγάρτοι καὶ τοὺς χρηστοεπεῖν ᾐρημένους, οὐ μὴν ἔτι καὶ ἀγαθοὺς ὄντας κατὰ ἀλήθειαν, ἀποτόμοις ἐλέγχοις μεθίστη πολλάκις ἐπί γε τὸ βιοῦν ἑλέσθαι σωφρονέστερον. Προσῆεσαν μὲν γάρ ποτε τῶν καλουμένων Ἡρωδιανῶν τινες, πράκτορες δὲ οὗτοι τελωνῶν, εἶτα δόλον αὐτῷ πικρὸν ἀρτίοντες, ἔφασκον· « Διδάσκαλε, οἴδαμεν ὅτι τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός. Οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. Ἔξεστι δοῦναι φόρους Καίσαρι, ἢ οὔ; Αὐτὸς δὲ πρὸς ταῦτα, Τί με πειράζετε, ὑποκριταί; ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. » Ἄθρει δὴ οὖν ὅπως διελέγχει κολακεύοντας, καὶ χρηστολογοῦντας ἀποσείεται. Διήλεγξε δὲ, καὶ οὐ κατά γε τὴν λαλιὰν αὐτῶν· οἱ μὲν γὰρ προσεδόκων ἐπαινεθήσεσθαι, τάχα που κατειρωνευόμενοι μὲν, πλὴν εὐφυᾶ καὶ στωμυλεστάτην ἐπιτηδεύοντες τὴν κομψολογίαν, ὁ δὲ ἀδοκήτως πειράζοντας καὶ ὑποκριτὰς ἐκάλει. Οὐκοῦν οὐ κατὰ τὴν δόξαν κρινεῖ, τουτέστιν, οὐ προσωπολήπτης ἔσται δικαστής, οὔτε μὴν ἐλέγξει κατὰ τὴν λαλιάν. Οὐ γὰρ ἀνέξεται, φησὶ, τῶν ἀνόσια μὲν φρονεῖν ᾐρημένων, προσωπεῖον δὲ ὥσπερ ἀπάτης καὶ δόλου περιτιθέντων ἑαυτοῖς τὴν κομψολογίαν. Τοῦτό τοί φησιν ἐναργῶς· « Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. » Καὶ πάλιν· « Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τῇ τῆς κρίσεως δηλονότι· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; Ἀλλὰ τότε, φησὶν, ἐρῶ αὐτοῖς· Ἀμὴν, λέγω ὑμῖν, οὐδέποτε ἔγνων ὑμᾶς. » Τί δὲ δὴ ἄρα πρὸς τούτοις ὁ ἀπροσωπόληπτος ἐργάζεται δικαστής; Κρινεῖ ταπεινῷ κρίσιν, τουτέστιν, οὐ περιόψεταί τινα τῶν ταπεινῶν, ἀλλ' ὀρθὴν καὶ ἀμώμητον ἐπ' αὐτῷ τὴν κρίσιν ἐξοίσει. Ἐξελέγξει δὲ ὁμοίως τοὺς ταπεινοὺς τῆς γῆς· ὥσπερ γὰρ οὐ τὸ τοῦ πλουσίου πλεονεκτεῖν ἐθέλοντος ἐρυθριάσει πρόσωπον, ἀλλὰ δικαίαν ἐπὶ τῷ ταπεινῷ ποιήσεται κρίσιν· οὕτω κἂν εἴ τις, φησὶ, τῶν ἐν ὑφέσει καὶ σμικροπρεπείᾳ τῇ κατὰ τὸν βίον, ἔξω τῶν θείων φέροιτο νόμων, καὶ τοῖς τῆς ἀδικίας ἐγκλήμασιν ἑαυτὸν ἀνιεὶς ἁλίσκοιτο, φησὶν, ἐλεγχθήσεται καὶ οὗτος. Γέγραπται γὰρ, ὅτι « Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει. » Ὥσπερ γὰρ τὸν ἐν πλούτῳ, καὶ ὑπεροχῇ, καὶ μέντοι καὶ δυναστείαις οὐκ ἀπαλλάξει τῶν αἰτιαμάτων τὸ περιφανὲς, εἰ ἐπί τισι τῶν ἐκτόπων καταγινώσκοιτο, οὕτως οὐκ ἐλευθερώσει τοῦ εἶναι πονηρὸν τὸ ἐν ὑφέσει καὶ ταπεινότητι σμικροπρεπὲς, οὔτε μὴν ἀπαλλάξει τοῦ κολάζεσθαι δεῖν τὸν τῇ πτωχείᾳ κατηχθισμένον, καὶ τὸν ἀπευκτὸν καὶ τρισάθλιον ἀμείβοντα βίον. Προσεπ-

A honorem impertiunt licet minus bonis moribus præditis, eisque mercedem velut adulationis tribuunt, ut interdum etiam colant eos et observent, ac reprehensiones supprimunt. Verum Dominum ac Deum nostrum Jesum Christum hoc factitare nemo viderit. Qui enim blande volunt loqui, neque vere boni sunt, hos acerbissimis reprehensionibus convertit sæpe, ut vitam velint instituere moderatius. Accesserunt enim aliquando quidam Herodiani, ut vocantur : erant autem hi publicanorum exactores : ac dolo in illum egregie instructo dicebant : « Magister, scimus te viam Dei in veritate docere et non esse tibi curam de aliquo; non enim respicis personam hominum : licetne censum dare Cæsari, annon? Quibus ille : Quid me tentatis, hypocritæ? B ostendite mihi numisma census [48]. » Observa igitur quo pacto redarguat palpantes, et blandientes repellat. Coarguit autem, idque non ex sermone ipsorum : **196** nam hi sperabant se laudatum iri, cum cavillarentur quidem, sed ingenuum et blandum orationis leporem adhibentes, hic autem eos tentatores et hypocritas de improviso nominavit. Itaque non judicabit ex opinione, id est, non acceptator erit personarum judex, neque redarguet ex sermone : Non enim, inquit, adhærebit his qui impie affecti sunt, quique leporem orationis tanquam fraudulentiæ ac versutiæ personam sibi assumunt. Quod diserte dicit : « Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum, C sed qui facit voluntatem Patris mei qui est in cœlis [49]. » Et rursus : « Multi dicent mihi illo die, » judicii nimirum, « Domine, Domine, nonne in nomine tuo prophetavimus, et virtutes multas præstitimus? Sed tunc, inquit, dicam illis : Amen dico vobis : nunquam novi vos [50]. » Quid porro agit judex hic a personarum acceptatione alienus? Judicabit humili judicium, id est, non despiciet quemquam humilem, at rectum et inculpatum de eo judicium proferet. Similiter etiam arguet humiles terræ : quemadmodum enim personam divitis, rapere ac spoliare volentis, non verebitur, sed justum de humili exercebit judicium : ita, inquit, si quis eorum qui in tenui fortuna et angustiis rerum ad vitam necessariarum constitutus est, exD tra leges divinas evagetur, et injustitiæ crimine convictus ac constrictus teneatur, etiam is coarguetur. Scriptum enim est : « Pauperem non misereberis in judicio [51]. » Quemadmodum etenim divitiis, et dignitate, et principatu auctum ornatumque claritas et amplitudo criminibus non absolvet, si reus peractus sit fœdorum scelerum : sic abjectæ fortunæ et humilis hominem parvitas hæc a malo non vindicabit, nec a supplicio prohibebit defendetve eum qui mendicitate gravatur et opprimitur, et qui sordidam ac ter miseram vitam transmittit. Adjungit præterea his et alia quædam divinæ excellentiæ genera, quæ dicit in omnium

[48] Matth. xxii, 16-21. [49] Matth. vii, 21. [50] Ibid. xxii, 23. [51] Exod. xxiii, 3.

Servatore Christo esse, quia non nudus et simplex homo nostræ conditionis fuerit, sed, uti dixi, Verbum Dei unigenitum incarnatum, et humanæ naturæ particeps. Quid ergo efficiet? inquit. Percutiet terram verbo oris sui. Et quam **197** terram? Maxime quam exsecratus est. Est quidem hoc verum, imo de omni terra verissimum. Maledixit enim universæ terræ, seu hominis naturæ in Adamo, inquiens: « Terra es, et in terram ibis [52]. » Maledixit nihilominus impio mundo, quem aqua oppressit. Maledixit etiam adhæc Judææ, cum incolæ ejus temulente in illum deblaterarent. Dixit enim: « Jerusalem, Jerusalem, quæ occidis prophetas, et ad te missos lapidas, quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos suos sub alas, et noluistis? Ecce relinquitur vobis domus vestra [53-54] » In illo enim, relinquitur domus vestra, derelictionis in ea factæ calamitas explicatur. Derelicta vero ab eo, bello, igne et adversariorum manibus consumpta est. Est item illud aliud signum et complementum summæ potestatis: Spiritu labiorum auferet impium. Increpavit enim immundos spiritus, et quantum humanam naturam attingit, vox personuit ex ore et labiis, vique spiritus inexplicabili dæmoniorum multitudo fracta est. Erunt autem, ait, et justitia cincti lumbi ejus, et veritate involuta latera. Perinde enim est, ac si quis dicat, Potestatem et auctoritatem in rebus mundanis habet omnino nullam, ac gloriam verius divinam, et quasi succinctus est justitia et veritate. Zona autem signum est principatus, et cum dicat, ei involuta latera, nihil aliud est quam si declaret, tanquam balteum quempiam circumpositurum sibi justitiam, et præterea veritatem. Verisimile est autem, eum justitiam et veritatem appellare novam et evangelicam prædicationem, quemadmodum dictum est ei psallentis voce: « Justitia tua, justitia in omnem æternitatem, et lex tua veritas [55]. » Justitiæ enim magistra erat et lex, sed non mansit in æternum, meliore et perfectiore introducta, scilicet quæ per Christum lata est. Rursus lex non erat veritas, sed typus potius et umbra. Christus autem et ejus leges pure et simpliciter erant veritas. Siquidem dixit: « Ego sum veritas [56]. »

A ἄγει δὲ τούτοις καὶ ἕτερά τινα τῶν ὅτι μάλιστα θεοπρεπεστάτων ἀξιωμάτων, ἃ καὶ προσεῖναί φησι τῷ πάντων Σωτῆρι Χριστῷ, ὅτι μὴ ψιλὸς ἄνθρωπος καθ' ἡμᾶς, ἀλλ' ἦν, ὡς ἔφην, σαρκωθεὶς καὶ ἐνανθρωπήσας ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος. Τί τοίνυν ἐργάσεται; φησιν. Πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. Καὶ ποίαν ἄρα γῆν; Μάλιστα μὲν ἣν ἂν καταράσαιτο. Ἀληθὲς δ' ἂν εἴη καὶ ἐπὶ πάσης τὸ εἰρημένον. Κατηράσατο γὰρ σύμπασαν γῆν, ἤτοι τὴν ἀνθρώπου φύσιν, εἰπὼν ἐν Ἀδάμ· « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. » Κατηράσατο γὰρ οὐδὲν ἧττον κόσμον ἀσεβῶν ὕδατι καταπνίξας. Κατηράσατο δὲ πρὸς τούτοις τὴν Ἰουδαίαν, ἐμπαροινησάντων αὐτῷ τῶν οἰκούντων αὐτήν. Ἔφη γάρ· « Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα B τοὺς ἀπεσταλμένους πρὸς αὐτήν· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν. » Ἐν γὰρ τῷ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν, τὸ τῆς ἐγκαταλείψεως τῆς ἐπ' αὐτῇ γενομένης διαφαίνεται πάθος. Ἐγκαταλειφθεῖσα δὲ παρ' αὐτοῦ δεδαπάνηται καὶ πολέμῳ καὶ πυρὶ, καὶ ταῖς τῶν ἀνῃρηκότων χερσίν. Ἕτερον δὲ πρὸς τούτῳ σημεῖον, καὶ τῆς ἀνωτάτω δυνάμεως ἀποτέλεσμα, τὸ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖν ἀσεβῆ. Ἐπετίμα γὰρ τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ὅσον μὲν ἧκεν εἴς γε τὸ ἀνθρώπινον, ἡ διὰ στόματος καὶ χειλέων ἀπεκτυπεῖτο φωνὴ, τῇ δὲ ἀῤῥήτῳ δυνάμει τοῦ πνεύματος ἡ τῶν C δαιμονίων πληθὺς συνεθραύετο. Ἔσται δὲ, φησὶ, καὶ δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημένος τὰς πλευράς. Ὅμοιον γὰρ ὡς εἰ λέγοι, Δύναμις αὐτῷ, καὶ ἀξίωμα τῶν μὲν ἐν κόσμῳ τὸ σύμπαν οὐδὲν, δόξα δὲ μᾶλλον ἡ θεοπρεπὴς, καὶ οἷον ἐζῶσθαι δικαιοσύνῃ καὶ ἀληθείᾳ. Ζώνη δὲ σημεῖον ἀρχῆς, καὶ τὸ εἰλῆσθαι λέγειν αὐτὸν τὰς πλευρὰς, ἕτερον οὐδὲν εἴη ἂν ἢ αὐτὸ δὴ τοῦτο κατασημαίνοντος, ὅτι καθάπερ τινὰ ζωστῆρα περικείσεται τὴν δικαιοσύνην, καὶ πρὸς αὐτῇ τὴν ἀλήθειαν. Εἰκὸς δὲ δὴ ὅτι καὶ δικαιοσύνην καὶ ἀλήθειαν τὸ νέον τε καὶ εὐαγγελικὸν ἀπεκάλεσε κήρυγμα, κατά τε τὸ διὰ τῆς τοῦ ψάλλοντος φωνῆς πρὸς αὐτὸν εἰρημένον· « Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα· καὶ ὁ νόμος σου ἀλήθεια. » Δικαιοσύνης μὲν γὰρ διδάσκαλος καὶ ὁ νόμος ἦν, ἀλλ' οὐ μεμένηκεν εἰς τὸν αἰῶνα, τῆς κρείττονος καὶ τελεωτέρας εἰσκεκομισμένης, δῆλον δὲ ὅτι τῆς διὰ Χριστοῦ. Ἦν δὲ καὶ ὁ πάλαι νόμος οὐκ ἀλήθεια μᾶλλον, ἀλλὰ τύπος καὶ σκιά· Χριστὸς δὲ καὶ τὰ αὐτοῦ καθαρῶς ἡ ἀλήθεια. Τοιγάρτοι καὶ ἔφασκεν· « Ἐγώ εἰμι ἡ ἀλήθεια. »

198 VERS. 6-9. *Et simul pascetur lupus cum agno, et pardus accubabit hædo, et vitulus, et taurus, et leo simul pascentur, et puer parvulus aget eos: et bos, et ursus compascentur, et simul catuli eorum erunt; et leo, et bos simul vescentur paleis. Et puer parvulus in foramen aspidum, et in cubile fœtuum aspidum manum immittet, nec lædent, neque poterunt quemquam perdere in monte sancto meo, quia impleta est universa terra cognitione Domini, quasi aqua multa cooperiat mare.*

D *Καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνὸς, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον, καὶ ταῦρος, καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς. Καὶ βοῦς καὶ ἄρκος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται· καὶ λέων καὶ βοῦς ἅμα φάγονται ἄχυρα, καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων καὶ ἐπὶ κοίτην ἐγγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ· καὶ οὐ μὴ κακοποιήσωσιν, οὐδ' οὐ μὴ δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου· ὅτι ἐνεπλήσθη ἡ σύμπασα τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ καλύψαι θάλασσαν.*

[52] Gen. III, 19. [53-54] Matth. XXIII, 37, 38. [55] Psal. CXVIII, 142. [56] Joan. XIV, 6.

Πρὸς τοῖς ἤδη προειρημένοις, μέγα καὶ ἐξαίρετον A καὶ τοῦτο σημεῖον, καὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας οὐκ ἀθαύμαστον ἀποτέλεσμα δοίη τις ἂν εἶναι, καὶ μάλα εἰκότως. Πρὶν μὲν γὰρ γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον· πρὶν ἐπιλαβέσθαι σπέρματος Ἀβραάμ, ὁμοιωθῆναί τε κατὰ πάντα τοῖς ἀδελφοῖς, καθὰ γέγραπται, σύμπαν τὸ ἐπὶ γῆς γένος, φημὶ δὴ τὸ ἀνθρώπινον, εἰς ἔθνη διῄρητο δύο, εἴς τε τῶν Ἰουδαίων, καὶ τῶν τῇ κτίσει λελατρευκότων παρὰ τὸν κτίσαντα. Καὶ γνωστὸς μὲν ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός· πολὺς δὲ καὶ ἄπλετος εἰδώλων ἑσμὸς παρὰ τῶν ἑτέρων ἐθρησκεύετο· καὶ τὸ ἑκάστῳ δοκοῦν τῇ τοῦ Θεοῦ δόξῃ τετίμητο· « Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, καὶ οὐκ ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός. » Ἀλλ' Ἰουδαῖοι μὲν διὰ τῆς τοῦ νόμου παιδαγωγίας, οἱονεί B πως ἐξημερούμενοι καὶ τοῖς τῆς δικαιοσύνης τρόποις τιθασσευόμενοι, βίον τετιμήκασιν ἀνθρωποπρεπῆ· οἵ γε μὴν ἕτεροι, τοῦτ' ἔστιν, οἱ τοῖς ἀψύχοις εἰδώλοις λατρεύοντες, τὸν ἰθυντῆρα νόμον οὐκ ἔχοντες δεινοί τε ἦσαν τὰς γνώμας, ἄγριοί τε καὶ ἁρπακτικοὶ ἕτοιμοι πρὸς πλεονεξίας, ὁρμητίαι πρὸς ἡδονὰς καὶ τὰς ἄγαν ἐκτόπους, καὶ πρὸς πᾶν τῶν αἰσχίστων ὁτιοῦν προαλέστατοι· ὧν ὁ μέν τις ἦν λύκῳ προσεοικώς, ὁ δὲ παρδάλεσι παραπλήσιος, διά τε τὸ πλείσταις ὅσαις καὶ πολυειδέσι παθῶν διαφοραῖς μονονουχὶ κατεστίχθαι τὰς φρένας· ὁ δὲ ἐπί τοι τὴν γνώμην ἄσχετος ἦν, τὴν καθ' ὧν ἕλοιτο πλεονεξίαν ἀμογητὶ κατορθῶν, τοῖς λέουσιν εἰκασμένος διετέλει κατὰ τὸν βίον. Ἀλλὰ τοῖς οὕτως ἀγρίοις ἤθεσί τε καὶ τρόποις C ἐντεθραμμένοι, Χριστοῦ μεταπλάττοντος εἰς ἡμερωτάτην τε καὶ ἁγίαν ζωὴν, κατέληξαν μὲν τῆς ἐνούσης αὐτοῖς ὠμότητος· τετιμήκασι δὲ καὶ αὐτοὶ τὸν ἀνθρώποις πρέποντα βίον τὸν ἐν πραότητι δηλονότι. Πεπιστεύκασι γὰρ λέγοντι τῷ Χριστῷ· « Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. » Ὁμοῦ τοιγαροῦν τῇ πίστει κεκερδήκασι καὶ τῆς ἀρχαίας ὠμότητος τὴν ἀπεμπολὴν, καὶ τὸ εἶναι χρηστοί τε καὶ πρᾶοι, καὶ τὸ τοῖς ἁγίοις ἀναμὶξ πολιτεύεσθαι. Κεχρηματίκασι γὰρ καὶ αὐτοὶ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ· τοῦτο οἶμαι πολυτρόπως ἡμῖν τὸν προφητικὸν ἐν τούτοις ὑπαινίττεσθαι λόγον. Συμβοσκηθήσεται γάρ, φησί, λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται D ἐρίφῳ, τοῦτ' ἔστι, διὰ Χριστοῦ συναφθήσονται τὰ ἄγρια τοῖς ἡμέροις, τὰ κατ' οὐδένα τρόπον ἱερὰ τοῖς ἱεροῖς καὶ ἁγίοις. Ὅσον γὰρ ἧκεν εἰς τὸ πεπαιδεῦσθαι νόμῳ τὸν Ἰσραὴλ καὶ τοὺς τῆς ἐπιεικείας εἰδέναι τρόπους, ἥμερός τε καὶ πρᾶος ἦν, ὁμοῦ τε καὶ ἱερὸς, καὶ οἷον προβάτῳ καὶ αἰγὶ παραπλήσιος· ἱερὰ δὲ ἄμφω καὶ καθαρὰ τὰ ζῶα, καὶ πρός γε τούτῳ τὸ τιθασσὸν παρ' αὐτῆς λαχόντα τῆς φύσεως. Λύκος δὲ καὶ πάρδαλις, καὶ μέντοι καὶ λέων, ἄγριά τε φυσικῶς, ἀσύμβατά τε τοῖς ἄλλοις· ἀλλ' ἐν Χριστῷ καὶ τοῦτο κατώρθωται. Συνηνέχθησαν γὰρ ἀλλήλοις, Ἰουδαῖοί τε καὶ Ἕλληνες, κοινὴν ὥσπερ ποιούμενοι

Ad ea quæ jam prius commemorata sunt, addere poteris et illud magnum et eximium signum, et mirificum Servatoris nostri adventus effectum : idque valde merito. Priusquam enim homo fieret similis nobis unigenitum Dei Verbum, priusquam se Abrahami semini insereret, et per omnia fratribus similis esset, quemadmodum scriptum est, universum genus in terra, humanum dico, in duas gentes divisum est, tum in Judæorum, tum eorum qui creaturam supra Creatorem coluerunt. Notus autem erat in Judæa Deus, copiosumque et ingens idolorum agmen ab aliis adorabatur, Deique majestati pro cujusque arbitratu honor tribuebatur. « Omnes enim declinarunt, simul inutiles facti sunt, nec erat, qui faceret bonitatem, non erat usque ad unum [57]. » Sed Judæi legis pædagogia velut mansuefacti, et justitiæ moribus cicurati, vitam coluerunt hominibus dignam : illi vero alii, id est, qui inanimis simulacris servierunt, rectricem legem non habentes, mente sæva præditi exstiterunt, et agrestes, et rapaces, avaritiæ addicti, impetuosi, et proni ad voluptates, easque turpissimas, et ad omnia fœdissima præcipites, quorum alius lupo assimilis erat, alius pardis vicinus et conformis, propterea quod mentem plurimis et variis perturbationibus, et affectibus notatam haberet : alius vero animo impotens et effrenis rapacitate facile persequens, in vita leonibus assimilis exstitit. Verum hi adeo efferatis et moribus et motibus innutriti, Christo eos ad mansuetissimam ac **199** sanctam vitam transformante, crudelitate sua relicta et rejecta, vitam hominibus convenientem, nimirum quæ cum mansuetudine conjuncta esset, excoluerunt. Crediderunt enim Christo dicenti : « Tollite jugum meum super vos, et discite a me quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris [58]. » Itaque una cum fide lucrifecerunt et veteris immanitatis abolitionem, et ut boni essent, et ut una cum sanctis versarentur. Nuncupati sunt enim concives sanctorum, et domestici Dei. Hoc nobis arbitror propheticum sermonem hisce verbis varie subnotare. Compascet enim, inquit, lupus cum agno, et pardus accubabit hædo, id est, contigua erunt et conjuncta per Christum sæva cum mansuetis, et quæ nullo modo sacra, cum sacris et sanctis. Nam Israel quatenus lege institutus esset, et probitatem morum cognitam perspectamque haberet, placidus erat, et mitis simul et sanctus, et quasi ovi et capræ consimilis : ambo siquidem sacra sunt et munda animalia, et præterea ab ipsa natura ad mansuetudinem efficta. Lupus autem, pardus et leo, immania sunt naturaliter, nec inter se congregabilia : at in Christo hoc quoque perfectum est. Consociati sunt enim inter se mutuo Judæi et Græci, communem veluti capientes cibum, evangelicam et apostolicam scilicet prædicationem, et uni pastori omnium principi subditi qui pascere novit, sicut dicit propheta, in pascuis bonis, et in loco

[57] Psal. XIII, 3. [58] Matth. XI, 29.

præpingui. Sed vitulus, inquit, et taurus, et leo simul pascentur. Videtur autem vitulum appellare novitium et recentem credentium populum, in Christo scilicet puerascentem : taurum autem fortassis Israelem, velut veteranum. Cum enim tener sit vitulus, taurus prior est et maturior tempore. Vel per vitulum designat eum qui cognitione et virtute eminet. Quale est quod dicitur : Pusillos cum magnis, et seniores cum juvenibus benedicendos, juxta vocem psallentis. Novit vero et sapientissimus Joannes mentis et animi ætatem talem. Scribit igitur et patribus, et parvulis, et præterea **200** adolescentibus, comparans, arbitror, mensuram cujusque mentis, et notitiæ et divinæ cognitionis corporum ætatibus. Pascentur itaque, inquit, simul et uno in loco, vitulus, et taurus, et leo. Tum commode vitulo et tauro leonem adjungit, ut rursus ænigmatice et obscure subintelligas fide justificatos, et sceptro Christi omnium nostrum Servatoris subjectos, non ex solis esse mundis et sanctis, nempe ex placidis et mitibus, id est, ex lege mansuefactis, sed etiam ex agrestibus, videlicet ex gentibus, conglutinante et ad concordiam animorum componente eos nostrum omnium Servatore Christo, et bonum inde etiam in filios filiorum, id est, ex ipsis natos transmittente. Nam huc etiam propagatur a nobis pax Christi, et consensionis animorum, et fidei bonum. Istuc enim, puto, ostendit cum adjicit : Simul catuli eorum erunt, et leo, et bos simul vescentur paleis, inquit. Observa quod dicit non mite in alimentum feris usitatum, sed in mitis nutritionem ferum demigrare. Carnivora quippe plane sunt ursus et leo : bos autem et vitulus, et hædus non ita, sed herbas carpunt ejusmodi animantia. Atqui a consuetis ac solitis, inquit, silvestria recedent, et potius ad cibaria mansuetorum transibunt, et illa vescentur palea. Typus autem doctrinæ possit esse hæc pastio. Est igitur intelligendum, ante fidem in Christum gentes improbos habuisse præceptores, pecuinam illis tradentes doctrinam, et porro suadentes, corruptissima et perditissima consectari. At ubi ad agnitionem Dei, qui vere Deus est, vocati sunt, tum simul a pristino errore et doctrinis in quibus enutriti et educati sunt, desciverunt, floridum et deliciis affluentem pastum evangelicarum institutionum simul cum Israelitis sectantes. Cæterum, inquit, etiam puer parvulus ducet eos, id est, magistris subjicientur puerorum formatoribus non acerba mente vitiisque dedita præditis, sed potius simplicibus, et in malitia infantibus, animoque sapientibus, quales omnino sunt Christiani, divinum habentes thesaurum **201** in testaceis vasculis, et corde perversitate ac improbitate libero præditi, ac nuper natis puerulis nulla in re inferiores. Tales enim ipse Servator dignos esse ait regno cœlorum : « Sinite enim, inquit, pueros, et ne prohibete illos venire ad me, talium est enim regnum cœlorum [89]. » Quod autem, licet innocentissimi

[89] Matth. xix, 14.

A τροφήν, τὸ εὐαγγελικόν τε καὶ ἀποστολικὸν δηλονότι κήρυγμα, καὶ ὑφ' ἑνὶ γεγονότες τῷ πάντων ἀρχιποιμένει, τῷ κατανέμειν εἰδότι, καθά φησιν ὁ προφήτης, ἐν νομῇ ἀγαθῇ, καὶ ἐν τόπῳ πίονι. Ἀλλὰ καὶ μοσχάριον, φησὶ, καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται. Ἔοικε δὲ μοσχάριον ἀποκαλεῖν, τὸν ἀρτιφυᾶ καὶ νέον τῶν πιστευσάντων λαὸν, τοῦτ' ἔστι, τὸν ἐν Χριστῷ νηπιάζοντα· ταῦρον δὲ τάχα που τὸν Ἰσραὴλ ὡς πρεσβυγενῆ. Νεογνοῦ γὰρ μόσχου πρωτερεύει ταῦρος κατὰ τὸν χρόνον. Ἤγουν διὰ μόσχου καταδηλοῖ τὸν ὡς ἐν γνώσει τε καὶ κατὰ ἀρετὴν ὑπερκείμενον. Ὁποῖόν ἐστι τὸ εὐλογηθήσεσθαι λέγειν παρὰ Κυρίου τοὺς σμικροὺς μετὰ τῶν μεγάλων, καὶ πρεσβύτας μετὰ τῶν νεωτέρων, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν. Οἶδεν δὲ καὶ ὁ σοφώτατος Ἰωάννης νοῦ καὶ ψυ-
B χῆς ἡλικίαν τοιαύτην. Γράφει γοῦν καὶ πατράσι καὶ παιδίοις, καὶ πρός γε τούτῳ καὶ νεανίσκοις, τὸ, οἶμαι, τῆς ἑκάστου διανοίας τὸ μέτρον, ἤτοι συνέσεως καὶ θεογνωσίας, ταῖς τῶν σωμάτων ἡλικίαις ἀφομοιῶν. Βοσκηθήσονται τοίνυν, φησὶν, ἅμα καὶ κατὰ ταὐτὸν, μοσχάριον καὶ ταῦρος, καὶ λέων. Ἀναπλέκει δὲ πάλιν χρησίμως μοσχαρίῳ τε καὶ ταύρῳ τὸν λέοντα, ἵνα πάλιν αἰνιγματωδῶς ἐννοῇς τοὺς ἐν πίστει δεδικαιωμένους, καὶ ὑπὸ σκῆπτρα γεγονότας τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ οὐκ ἐκ μόνων εἶναι καθαρῶν τε καὶ ἱερῶν, ἤγουν ἐξ ἡμέρων τε καὶ πράων, τοῦτ' ἔστι, τῶν διὰ τοῦ νόμου τετιθασσευμένων, ἀλλὰ γὰρ καὶ ἐκ τῶν ἀγρίων, δῆλον δὲ ὅτι τῶν ἐθνῶν, συνείροντος εἰς ὁμοψυχίαν αὐτοὺς τοῦ πάντων ἡμῶν
C Σωτῆρος Χριστοῦ, παραπέμποντός τε τὸ ἐντεῦθεν ἀγαθὸν καὶ εἰς παίδων παῖδας, ἤτοι τοὺς ἐξ αὐτῶν. Ἐκτείνεται γὰρ εἰς δεῦρο καὶ παρ' ἡμῖν ἡ εἰρήνη Χριστοῦ, καὶ τὸ ἐκ τῆς ὁμοψυχίας τε ὁμοῦ καὶ ὁμοπιστίας ἀγαθόν. Τοῦτο γὰρ, οἶμαι, δηλοῖ προστιθεὶς, ὅτι ἅμα τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων καὶ βοῦς ἅμα φάγονται ἄχυρα, φησίν. Ἐπιτήρησον ὅτι οὐ τὸ ἥμερον εἰς τὴν τοῖς ἀγρίοις κατειθισμένην μεταφοίτησιν ἔφη τροφὴν, ἀλλ' εἰς τὴν τοῦ ἡμέρου τὸ ἄγριον· σαρκοβόρα μὲν γὰρ ὁμολογουμένως ἄρκτος καὶ λέων, βοῦς δὲ καὶ μόσχος, ἤγουν ἔριφος οὐκέτι· ποηφαγῆ δὲ μᾶλλον τὰ τοιάδε τῶν ζώων. Ἀλλὰ τῶν ἐν ἔθει, φησὶν, τὸ ἄγριον ἀποστήσεται. Μεταχωρήσει δὲ μᾶλλον ἐπὶ τὴν τῶν ἡμέρων τροφὴν, ἀχυροφαγήσει γὰρ καὶ αὐτά. Καὶ τύπος ἂν εἴη διδαγμάτων ἡ
D τροφή. Ἔστι τοίνυν ἐννοεῖν, ὅτι πρὸ μὲν τῆς πίστεως τῆς εἰς Χριστὸν τὰ ἔθνη πονηροὺς μὲν ἐσχήκασι διδασκάλους, θηριοπρεπὲς αὐτοῖς παρατιθέντας τὸ μάθημα, καὶ τὰ φθορᾶς τε καὶ ἀπωλείας ἔργα τιμᾷν ἀναπείθοντας. Ἐπειδὴ δὲ κέκληνται πρὸς ἐπίγνωσιν τοῦ κατ' ἀλήθειαν ὄντος Θεοῦ, ὁμοῦ τῇ ἀρχαίᾳ πλάνῃ καὶ τῶν συντρόφων αὐτοῖς ἀπηλλάττοντο μαθημάτων, τὴν εὐανθῆ τε καὶ εὐδιάθρυπτον τῶν εὐαγγελικῶν παιδευμάτων ὁμοῦ τοῖς ἐξ Ἰσραὴλ τιμῶντες τροφήν. Ἀλλὰ καὶ παιδίον, φησὶ, μικρὸν ἄξει αὐτοὺς, τοῦτ' ἔστιν, ὑπὸ διδασκάλοις ἔσονται παιδαγωγοῖς οὐ πικρόν τε καὶ φιλοκάκουργον ἔχουσι νοῦν, ἁπλοῖς δὲ μᾶλλον καὶ νηπιάζουσι μὲν ἐν κακίᾳ, σοφοῖς δὲ τὰς φρένας. Τοιοῦτοι δὲ πάντες οἱ ἐν Χριστῷ τὸν θεῖον

ἔχοντες θησαυρὸν ἐν ὀστρακίνοις σκεύεσιν, καὶ δυσ- A τροπίας μὲν καὶ φαυλότητος ἐλευθέραν ἔχοντες τὴν καρδίαν, ἀρτιγενῶν τε παιδίων κατ' οὐδὲν ἀποδέοντες. Τοὺς γὰρ τοιούτους καὶ αὐτὸς ὁ Σωτὴρ ἀξίους εἶναί φησι τῆς βασιλείας τῶν οὐρανῶν· « Ἀφίετε » γάρ, φησί, « τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἔρχεσθαι πρός με· τῶν γὰρ τούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. » Ὅτι δὲ καὶ ἐπὶ πλείστην ἔχοιεν τὴν ἀκακίαν εἰς νοῦν, ἀχείρωτοί τε καὶ ἄληπτοι, καὶ ἁπάντων ἔσονται δειμάτων ἀμείνους, ὑπεμφαίνει λέγων· « Καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων, καὶ ἐπὶ κοίτην ἐγγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ, καὶ οὐ μὴ κακοποιήσωσιν, οὐδ' οὐ μὴ δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. » Τρώγλας δὲ οἶμαι καὶ κοίτας ἀσπίδων, ἢ τὰ πονηρὰ τῶν δαιμονίων ὀνομάζει στίφη, ἤγουν τὰς τῶν ἀνοσίων αἱρετικῶν B οἷον οἰκίας τε καὶ καταδύσεις· ἵνα μὴ λέγωμεν ἐκκλησίας· αἷς τὴν χεῖρα πλειστάκις ἐπιφέροντες οἱ ἐν Χριστῷ νηπιάζοντες περιγίνονται ῥᾳδίως, κατ' οὐδένα τρόπον ἀδικούμενοι· Χριστὸς γάρ ἐστιν ὁ ἐπαμύνων αὐτοῖς, καὶ τῆς ἐκείνων σκαιότητος ἀφανίζων τὰ δήγματα, ἄπρακτόν τε τὸν ἰὸν ἀποφαίνων. Οὐ γὰρ μὴ δύνωνται, φησὶν, ἀπολέσαι τινὰ ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. Ἅγιον δὲ ὄρος φησὶ τὴν Ἐκκλησίαν, διὰ τὸ ὑψοῦ τεθεῖσθαι τό γε ἧκον εἰς δόξαν, καὶ τῶν ἐν αὐτῇ δογμάτων τὸ ἐπηρμένον. Χθαμαλὸν γὰρ οὐδὲν ἐν ἡμῖν. Οὐ γὰρ ἴσως τῇ κτίσει τῷ Κτίστῃ τὸ σέβας ἀνάπτειν ἠθίσμεθα παρὰ τὸν Κτίστην καὶ Ποιητήν· οὔτε μὴν τὸν τῶν ὅλων δημιουργὸν Θεὸν Λόγον τῆς αὐτῷ πρεπούσης καταβιβάζομεν δόξης, συναριθμοῦντες αὐτὸν τοῖς κτίσμασιν. Ἐμπεπλῆσθαί τέ φησι τὴν σύμπασαν τοῦ γνῶναι τὸν Κύριον, οὕτω τε εἶναι πλήρη τῆς εἰς αὐτὸν εὐσεβείας, καθάπερ ἀμέλει καὶ ἡ πλατεῖά τε καὶ εὐρύχωρος θάλασσα μεστὴ τῶν ἰδίων ὑδάτων ἐστίν. Ἴδοι δ' ἄν τις καὶ τοῦτο ἀληθές. Ποῦ γὰρ ὅλως ἢ παρὰ τίσιν οὐκ ὀνομάζεται Χριστός; ἢ ποῖον ἀνθρώπων γένος οὐχ ὑποπέπτωκεν; Κάμψει γὰρ αὐτῷ πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῷ κατὰ τὸ γεγραμμένον, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.

A forent et simplicissima mente, inexpugnabiles, indeprehensibiles, omnibusque terroribus superiores futuri sunt, subindicat dicens : « Et puer parvulus in foramina aspidum, et in cubile fœtuum aspidum manum immittet, nec lædent, neque poterunt quemquam perdere in monte sancto meo. » Foramina autem et cubilia aspidum, credo, dicit malas dæmoniorum turmas, vel impiorum hæreticorum lustra ac latibula, ecclesias enim dicere non lubet, in quas sæpenumero manus immittentes, qui in Christo infantes sunt, facile superant nihil prorsus læsi. Christus siquidem eos vindicat, et sinistræ illorum perversitatis morsus reprimit, virusque inefficax efficit. Nec enim poterunt, inquit, perdere quemquam in monte sancto meo. Sanctum montem dicit B Ecclesiam, propterea quod in alto gloriæ fastigio collocata sit, et propter dogmatum in ea sublimitatem. Humile enim nihil est in nobis. Non etenim creaturæ supra Creatorem venerationem deferre solemus, nec omnium opificem Deum Verbum de gloria debita deturbamus, nec eum creaturis annumeramus. Repletam dein ait universam terram cognitione Domini, tanta religione erga eum plenam, quantis scilicet aquis spatiosum et laxum mare operitur. Quod verum esse a quovis perspici potest et intelligi. Ubi enim et apud quos Christus non nominatur? Et quod genus hominum illi non paret? Flectet etenim se illi omne genu, et omnis lingua illi confitebitur, quemadmodum scriptum est : Quia Dominus Jesus Christus in gloria Dei Patris [69].

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἐλπιοῦσιν, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. C

Ἀναλάμπει κατὰ βραχὺ τῶν ἀμυδρῶς εἰρημένων ἡ θεωρία, καὶ ἅπερ ἔφη δι' αἰνιγμάτων, ταῦτα τοῖς φιλακροάμοσιν εὖ μάλα διατρανοῖ. Τίνα γὰρ τρόπον βοσκηθήσεται μὲν ὁ λύκος μετὰ ἀρνὸς, συναναπαύσεται δὲ ἐρίφῳ πάρδαλις, καὶ μοσχάριον, καὶ βοῦς, καὶ λέων ἅμα φάγονται ἄχυρα, πότε δὲ ὅλως ἔσται ταυτὶ, καὶ τίνες οἱ ποτὲ μὲν ὠμοὶ καὶ ἀπηνεῖς, ἐσόμενοι δὲ μετὰ τοῦτο τιθασσοί τε καὶ πρᾶοι, ἔσονται δὲ ὅπως ἀναμὶξ τοῖς ἡμέροις τε καὶ ἱεροῖς ὑφ' ἑνὶ τῷ πάντων ἀρχιποιμένι νεμηθησόμενοι, καταλευκαίνει λέγων· Καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί. Ἔσται δὲ τί καὶ ἐπὶ τίσιν; Ὥστε κατάρξαι, φησὶ, τῶν ἐθνῶν, γενέσθαι δὲ καὶ εἰς ἐλπίδα τοῖς οὐκ ἔχουσιν ἐλπίδα, αὐτοῖς δὲ δηλονότι τοῖς ἔθνεσιν, οἷς καὶ ὁ σοφώτατος Παῦλος ἐπιστέλλει λέγων· « Διὸ μνημονεύετε ὑμεῖς τὰ ἔθνη, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης ἐν σαρκὶ περιτομῆς χειροποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τοῦ

VERS. 10. *Et erit in die illa radix Jessæ, et qui consurgit, ut sit princeps gentium, in ipso gentes sperabunt, erit requies ejus honor.*

Elucet paulatim eorum quæ obscure dicta sunt intelligentia, et quæ per ænigmata dixit, hic attentis auditoribus optime explanat. Nam quomodo compascet lupus cum agno, **202** et pardus hædo accubabit, et vitulus, et bos, et leo simul vescentur paleis, quando vere hæc omnino fient, et quinam olim crudeles, deinceps evadent cicures et mites, et quo pacto placidis et sanctis permiscebuntur, sub uno summo omnium pastore pascentes, candide et aperte declarat, cum ait : Et erit radix Jessæ. At quid erit et in quibus? Ut princeps sit, D inquit, gentium, et ut spes sit spem non habentibus, ipsis videlicet gentibus, quibus sapientissimus Paulus scribit dicens : « Propter quod memores estote vos gentes, qui dicebamini præputium ab ea quæ dicitur circumcisio in carne, manufacta : quod eratis in tempore illo sine Christo, alienati ab Israel, et hospites testamentorum, promissionis

[69] Philipp. II, 10, 11.

spem non habentes, et sine Deo in hoc mundo. Nunc autem in Christo Jesu vos qui aliquando eratis longe, facti estis prope in sanguine Christi [61]. » Verum etsi erant spei expertes, et Deum non habentes in mundo (procubuerunt enim operibus suarum manuum), tamen vocati sunt per fidem ad agnitionem Christi, et ei subjecti sunt, et Deum habuerunt naturalem et verum, et spei sanctorum erant consortes. Erit autem, inquit, requies ejus honor. Dupliciter intelliges quod dicitur. Si quis enim mallet requietem hic Christi mortem in carne significare, quam propter nos sustinuit volens, non tanquam mortem sustinens (vita enim erat natura), sed velut quiescere carnem faciens ad tempus: hoc illi aliud nihil erat quam honor. Glorificatus est enim omnium Salvator et Dominus noster Jesus Christus, cum necem pro mundo subiisset, et pro omnium vita voluntariam mortem esset perpessus. Affatus nimirum est Patrem cœlestem ad pretiosissimam crucem profecturus: « Pater, glorifica tuum Filium, ut et Filius tuus glorificet te [62]; » et rursus: « Nunc glorificatus est Filius hominis, et Deus glorificatus est in eo [63]. » Quatenus enim ad crucifigentium dementiam et impios et crudeles conatus attinebat, labem illi et ignominiam aspersit passio; putabant enim forte invitum eum esse passum. At ubi revixit, spoliato inferno, et morte se superiorem hac re ostendens, honori ei et gloriæ hujus rei eventum fuisse comperiemus. Erit itaque, inquit, hoc modo requies ei, honor. Si vero quis **203** aliter his commentationibus adjicere velit, sic dictorum sensum accipiet: Non enim in solam spem erit gentibus Servator, sed manifestabitur etiam stato temporum curriculo, sive resurget, non ut imperet solum illis, sed etiam requietem quæ gloriæ ipsis et honori sit, donabit. Hospitium enim gratum illi est sanctorum mens, et commoratur cum dignis, et conquiescit cum animabus sacris ipsum colentium. Quod qui consecuti sunt, his honori est et gloriæ. Quid enim cum hac nobilitate et gloria conferendum est, Deum habere diversantem et in corde habitantem? Erit itaque, modo velimus, etiam hac ratione in nobis requies ejus honor: « Si enim quis, inquit, audiet sermonem meum, diliget eum Pater meus, et ad eum veniemus, et in eo manebimus [64]. »

VERS. 11. *Et erit die illa, perget Dominus ostendere manum suam, ad æmulandum residuum populi, quod relictum fuerit ab Assyriis, et ab Ægypto, et Babylonia, et Æthiopia, et ab ortu solis, et ab Arabia.*

Diem itaque nominat propheta hic tempus quo Christi adventus fuit, et dispensatione cum carne

Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν, τῆς ἐπαγγελίας ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ. Νυνὶ δὲ οἱ ποτὲ ὄντες μακρὰν, ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ. » Ἀλλ' εἰ καὶ ἦσαν ἐλπίδος δίχα, καὶ Θεὸν οὐκ ἔχοντα κατὰ τὸν κόσμον· προσκεκυνήκασι γὰρ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν· ἀλλ' οὖν κεκλημένα διὰ τῆς πίστεως εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ, καὶ ὑπ' αὐτῷ τέθεινται, καὶ Θεὸν ἐσχήκασι τὸν φύσει καὶ ἀληθῶς, καὶ τῆς τῶν ἁγίων ἐλπίδος γεγόνασι κοινωνοί. Ἔσται δὲ, φησὶν, ἡ ἀνάπαυσις αὐτοῦ τιμή. Διχῇ νοήσεις τὸ εἰρημένον. Εἰ μὲν γάρ τις ἕλοιτο τὴν ἀνάπαυσιν ἐν τούτοις ὑποδηλοῦν τὸν ἐν σαρκὶ θάνατον τοῦ Χριστοῦ, ὃν δι' ἡμᾶς ὑπέμεινεν ἑκὼν, οὐχ ὡς θάνατον ὑπομένων, ζωὴ γὰρ ἦν κατὰ φύσιν, ἀλλ' οἷον ἠρεμῆσαι βραχὺ τὴν σάρκα ποιῶν· τιμὴ τὸ χρῆμα, καὶ ἕτερον οὐδέν. Δεδόξασται γὰρ ὁ τῶν ὅλων Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, τὴν ὑπέρ γε τοῦ κόσμου σφαγὴν ὑπομείνας, καὶ ὑπὲρ τῆς ἁπάντων ζωῆς ἐθελοντὴς ἀνατλὰς τὸν θάνατον. Καὶ γοῦν ἔφασκε πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα, μέλλων ἐπὶ τὸν τίμιον ἰέναι σταυρόν· « Πάτερ, δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε. » Καὶ πάλιν· « Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. » Ὅσον μὲν γὰρ ἧκεν εἰς τὴν τῶν σταυρωσάντων ἀπόνοιαν, καὶ τὸ ἀνόσιόν τε καὶ ἀπαχθὲς ἐγχείρημα, μῶμος ἦν αὐτῷ καὶ ἀδοξία τὸ πάθος. Ὤοντο γὰρ ἴσως καὶ οὐχ ἑκόντα παθεῖν. Ἐπειδὴ δὲ ἀνεβίω σκυλεύσας τὸν ᾅδην, καὶ ὅτι θανάτου κρείττων ἐστὶν δι' αὐτοῦ τοῦ πράγματος ἀποφήνας, εἰς τιμὴν αὐτῷ καὶ δόξαν ἐκτελευτῶσαν εὑρήσομεν τὴν τοῦ πράγματος ἔκβασιν. Ἔσται τοίνυν, φησὶ, κατὰ τοῦτον τὸν τρόπον ἡ ἀνάπαυσις αὐτοῦ τιμή. Εἰ δὲ δὴ καὶ ἑτέρως τοῖς θεωρήμασι προσβαλεῖν βούλοιτό τις, ἐκδέξεται τοιῶσδε τῶν εἰρημένων τὴν δύναμιν· Οὐ γὰρ εἰς ἐλπίδα μόνην ἔσται τοῖς ἔθνεσιν ὁ Χριστὸς, ἀναδειχθήσεται δὲ κατὰ καιροὺς, ἤγουν ἀναστήσεται οὐ πρὸς τὸ κατάρξαι μόνον αὐτῶν, ἀλλὰ γὰρ εἰς τιμὴν καὶ δόξαν αὐτοῖς χαριεῖται τὴν ἐν αὐτοῖς ἀνάπαυσιν. Ἐνδιαίτημα μὲν γὰρ αὐτῷ φίλον τῶν ἁγίων ὁ νοῦς, ἐναυλίζεται δὲ τοῖς ἀξίοις, καὶ ἀναπαύεται ψυχαῖς ἱεραῖς τῶν σεβομένων αὐτὸν, καὶ τοῖς λαβοῦσι τὸ χρῆμα τιμή τέ ἐστι καὶ δόξα. Τί γὰρ ἂν γένοιτο ἰσοστατοῦν εἰς εὐκλείας λόγον τοῦ Θεὸν ἔχειν ἐνηυλισμένον καὶ ἐνοικοῦντα καρδίαις; Ἔσται τοίνυν καὶ κατὰ τοῦτον τὸν τρόπον ἡ ἐν ἡμῖν ἀνάπαυσις αὐτοῦ τοῖς ἅπαξ ἐθέλουσι τιμή· « Ἐὰν γάρ τις ἀκούσῃ, » φησὶ, « τῶν λόγων μου, ἀγαπήσει αὐτὸν ὁ Πατήρ μου, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ ἐν αὐτῷ καταλύσομεν. »

Καὶ ἔσται ἐν ἡμέρᾳ ἐκείνῃ, προσθήσει Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἐὰν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων, καὶ ἀπὸ Αἰγύπτου, καὶ Βαβυλωνίας καὶ Αἰθιοπίας, καὶ ἀπὸ Ἐλαμιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἐξ Ἀραβίας.

Ἡμέραν μὲν οὖν ὁ προφήτης ἐν τούτοις τὸν καιρὸν ὀνομάζει, καθ' ὃν ἡ Χριστοῦ γέγονε παρουσία, καὶ

[61] Ephes. II, 11, 12. [62] Joan. XVII, 1. [63] Joan. XIII, 31. [64] Joan. XIV, 23.

τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς ἀνεδείχθη τὸ μυστήριον. Τότε δὴ οὖν, τότε, φησὶ, καταδείξει Κύριος τὴν ἑαυτοῦ χεῖρα, τοῦτ' ἔστι, δυναστείας ἐπίδειξις ἔσται πολλή· καὶ τοῦτο οὐ μάτην, ἀλλ' ὑπὲρ « τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἐὰν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων, » φησὶ, καὶ ἀπὸ τῶν ἄλλων ἐθνῶν. Δεῖ δὲ, οἶμαι, τὴν τῶν εἰρημένων δύναμιν κατευρύνοντας ἀπεργάσασθαι διαφανεστέραν. Κατὰ μὲν γὰρ τοὺς ἄνωθεν ἔτι καιροὺς κέκμηκεν οὐ μετρίως τὸ τῶν Ἰουδαίων ἔθνος, καταδηούντων αὐτὸ, τοῦτο μὲν Ἀσσυρίων καὶ Ἐλαμιτῶν, τοῦτο δὲ τῶν ἀπὸ Αἰγύπτου καὶ Βαβυλωνίας, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἐξ Ἀραβίας. Ἐπιλάμψας δὲ μετὰ τοῦτο Χριστὸς ἡ πανσθενεστάτη χεὶρ καὶ παντουργὸς δεξιὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἑαυτὴν ἐμφανῆ καθίστη διὰ θαυμάτων, καὶ πληροφορεῖν ἠπείγετο τοὺς ἐξ Ἰσραὴλ, ὅτι τε εἴη κατὰ ἀλήθειαν Θεὸς, καὶ Θεοῦ τοῦ κατὰ ἀλήθειαν Υἱός. Τί γὰρ τῶν ἄγαν τεθαυμασμένων οὐ τετέλεσται παρ' αὐτοῖς; πάντα γὰρ ἦν θεοπρεπῆ καὶ παράδοξα, καὶ τῆς ἀνωτάτω δυνάμεως σαφῆ τε καὶ ἐναργεστάτην ἔχοντα τὴν ἐπίδειξιν. Κατ' ἐκεῖνο, φησὶ, τοίνυν τοῦ καιροῦ προσθήσει Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, ὑπὲρ τοῦ ζηλῶσαι τὸν Ἰσραὴλ, καὶ οἷον μὴ μόνοις τοῖς ἔθνεσι παραχωρῆσαι Χριστὸν, ἑλέσθαι δὲ καὶ αὐτοὺς ἐλπίδα ἔχειν τὴν ἐπ' αὐτῷ, καὶ μὴν καὶ ὑπ' αὐτῷ γενέσθαι ζητεῖν, ἄρχοντά τε ποιεῖσθαι, καθηγητὴν καὶ διδάσκαλον, τὸν ταύτης ἕνεκα τῆς αἰτίας γενόμενον ἄνθρωπον. Καὶ γοῦν ἔφασκε διὰ φωνῆς τοῦ Δαβίδ· « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. » Ἧκεν μὲν γὰρ ὁ Χριστὸς, οὐκ ἀπεστάλθαι λέγων εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. Καὶ γοῦν παρ' αὐτοῖς διεκήρυξε πρώτοις, ἐνετέλλετο δὲ καὶ τοῖς ἁγίοις ἀποστόλοις· « Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Ἐπειδὴ δὲ διατετελέκασιν ἐκ πολλῆς ἄγαν ἀπονοίας οἱ δείλαιοι τὸν ἀφιγμένον εἰς τοῦτο ταῖς ἀπειθείαις περιυβρίζοντες, μεταπεφοίτηκεν ἐπὶ τὰ ἔθνη λοιπὸν, καὶ γεγόνασιν οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. Ταύτῃ τοι καὶ νῦν ὁ προφήτης, ἅτε δὴ καὶ ὑπάρχων Πνευματοφόρος ἀνὴρ, καὶ τῶν ἐσομένων τὴν γνῶσιν διὰ τῆς ἄνωθεν δᾳδουχίας πεπλουτηκὼς, πρῶτον διαμέμνηται τῶν ἐθνῶν, εἶτα μετ' ἐκείνους τοῦ Ἰσραὴλ, ὡς ἐῤῥιμμένου κατόπιν τῶν διὰ πίστεως ἡγιασμένων, τεθειμένου τε εἰς νῶτον καὶ ἐν τοῖς περιλοίποις, κατὰ τὸ γεγραμμένον.

Unigeniti mysterium patefactum est. Tunc, inquit, tunc ostendet Dominus suam manum, id est, potentiæ magna erit declaratio, idque non frustra, sed ad æmulandum relictum residuum populi quod relictum fuerit ab Assyriis, et ab aliis gentibus. Cæterum sensum eorum quæ dicta sunt explicare oportere me arbitror, et efficere illustriorem. Superioribus enim temporibus haud mediocriter divexata est gens Judaica, partim eam Assyriis, et Elamitis, partim iis qui ab Ægypto, et Babylonia, et ab ortu solis, et ex Arabia profecti sunt, depopulantibus. Post hæc autem cum Christus affulsisset, omnipotentissima manus omniumque effectrix illa dextera Dei et Patris se clare exhibuit, et Israelitis persuadere conatus est se esse vere Deum, et Dei vere Filium. Quid enim gestum est apud eos non valde stupendum? Omnia enim erant divina et communem opinionem excedentia, et summæ potentiæ claram et illustrissimam habentia demonstrationem. Hoc igitur tempore, **204** inquit, perget Dominus ostendere manum suam, ad æmulandum Israelem: videlicet non ut ad solas gentes accederet Christus, sed ut hi quoque in illo spem haberent, illi subessent, illum principem facerent et ducem, principem et doctorem qui hac de causa homo factus est. Dixit autem voce Davidis: « Ego constitutus sum rex ab eo super montem Sion sanctum ejus, prædicans præceptum Domini [65]. » Venit enim Christus, dicens se non missum nisi ad oves perditas domus Israelis. Et sane apud eos primum prædicavit, præcepitque sanctis apostolis: « In viam gentium ne abieritis, et in civitatem Samaritanorum ne intretis, sed ite potius ad oves perditas domus Israel [66]. » Cum autem ex singulari amentia, eum qui ad hoc venit, sua inobedientia, miseri homines affecissent insigni contumelia, transmigravit deinceps ad gentes, et facti sunt ultimi primi, et primi ultimi. Hinc et propheta nunc, quippe vir Spiritu afflatus, et futurorum scientia, face prælucente e supernis, ditatus, primum mentionem facit gentium, dein post illas, Israelis, utpote qui projectus est a tergo eorum, qui per fidem sanctificati sunt, et in dorso positus est et inter reliquias, quemadmodum scriptum est.

Καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ συνάξει τοὺς ἀπολομένους Ἰσραὴλ, καὶ τοὺς διεσπαρμένους τοῦ Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. Καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραΐμ, καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται. Ἐφραΐμ οὐ ζηλώσει Ἰούδαν, καὶ Ἰούδας οὐ θλίψει Ἐφραΐμ.

VERS. 12. *Et tollet signum in gentes, et congregabit perditos Israelis, et dispersos Juda coget a quatuor alis terræ: et auferetur zelus Ephraim, et inimici Juda peribunt, et Ephraim non æmulabitur Judam, et Judas non affliget Ephraim.*

Παραδόξως ἡμῖν ὁ προφήτης τὸν ἔν γε τούτοις μάλιστα διαπεραίνει λόγον. Δέχεται γὰρ τὸ ἱστορικῶς γεγονὸς εἰς εἰκόνα πράγματος νοητοῦ· χρῆναι δὲ οἶμαι ὡς ἔνι εἰπεῖν καὶ τοῦτο λαμπρῶς. Διεδέξατο γὰρ τὴν Σολομῶντος ἀρχὴν ὁ ἐξ αὐτοῦ γεγονὼς Ῥο-

Propheta sermonem hunc hisce verbis mirabiliter pertexit. Sumit enim quod historice factum est ad imaginem describendam rei sub intelligentiam cadentis. Idque dicendum esse arbitror, quatenus licet, dilucide. Cepit enim regnum Solomonis natus

[65] Psal. II, 6. [66] Matth. X, 5, 6.

ejus Roboamus, a quo dissecta est in dissidium gens Judaica, et decem tribus cum dimidia tribu Ephraim commigrarunt Samariam : Hierosolymis vero remansit tribus Juda, et dimidia tribus Manassis. Regnaruntque vicissim statis temporibus, et horum et illorum aliquot : Hierosolymis, qui ex tribu Juda, in Samaria vero qui ex tribu erant Ephraim. Et magna interea loci **205** inter partes efferbuit æmulatio, bella crebra, et aliorum in alios tumultus et incursationes, sicuti in libris Regnorum diserte exponitur. Ubi autem Chaldæi, et Babylonis Persicæ reges, universam prope, ut ita dixerim, Judæam devastassent, in suam ipsorum terram, tum Israelem, tum Judam captivos abduxerunt, id est, tam eos qui in Samaria, quam qui Hierosolymis degebant. Dein liberati ex captivitate, denuo reversi sunt in suam regionem, et habitarunt non sparsim et divisim amplius, sed Hierosolymis omnes, cessaruntque separatim reges sibi ac principes ungere, et alter alterum affligere, ac invidere, sicut prius. Subditi enim erant tum uni Zorobabeli filio Salathielis, qui erat e tribu Juda, tum et Jesu filio Josedech, qui sacerdotio claruit. Et hæc quidem est in his historica oratio. Prophetæ autem consilium et scopus fuit, ut ex rebus evidentioribus, et ex illis quæ olim evenerunt, Servatoris nostri adventus præclaras res gestas ostenderet. Erecto etenim signo, id est, pretiosa cruce, et per universum orbem terrarum gentibus ac populis exhibito, facta est eorum qui captivitate, videlicet intelligibili, detinebantur, remissio, concursus ad concordiam, studium ad animorum fideique consensionem, inter eos, qui olim divisi erant, qui multorum ac impiorum tyrannorum jugo oppressi (servierunt enim impuris spiritibus) eorum jugum depulerunt, et ad Sion intelligibilem seu Jerusalem, id est, Ecclesiam, summa cum alacritate confluxerunt, unique regi subditi sunt, id est, Christo, cujus typum præ se gessit Zorobabel, reducens ex captivitate Israelem, versante cum illo etiam Jesu sacerdote magno, ut in eo intelligatur Christus, rex pariter et sacerdos, sanctus, innocens, impollutus, segregatus a peccatoribus, et excelsior cœlis factus, sicuti inquit divinus Paulus [67]. Quod autem Christi lignum, id est, pretiosa crux, quasi conciliatrix et mediatrix fuerit, ut universæ terræ incolæ in fidei conspirationem coalescerent, et per illum Patri sanctissimo intime ac domestice conciliarentur, ex his quæ scripsit divinus Joannes evangelista, clarum esse poterit et perspicuum. Introduxit enim maledictum illum Caipham in concilio, dicentem : « Vos nescitis quidquam, neque cogitatis expedire **206** nobis, ut unus homo moriatur pro populo, et non totus populus pereat [68]. » Quibus subjunxit : « Hoc autem dixit non a seipso, sed sacerdos cum esset anni illius, prophetavit moriturum esse Jesum pro gente, et non pro gente

[67] Hebr. VII, 26. [68] Joan. XI, 49.

A βοάμ· κατεσχίσθη δὲ πρὸς διχόνοιαν ἀπ' αὐτοῦ τὸ τῶν Ἰουδαίων ἔθνος· καὶ αἱ μὲν δέκα φυλαὶ καὶ τὸ ἥμισυ φυλῆς Ἐφραῒμ μετῳκίσθησαν ἐν τῇ Σαμαρείᾳ, ἐν δέ γε τοῖς Ἱεροσολύμοις ἀπομεμένηκεν ἡ Ἰούδα φυλὴ, καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ. Ἐβασίλευόν τε κατὰ καιροὺς τούτων τε κἀκείνων τινές· ἐν μὲν τοῖς Ἱεροσολύμοις, οἱ ἐκ φυλῆς Ἰούδα· ἐν δέ γε τῇ Σαμαρείᾳ, οἱ ἐκ φυλῆς Ἐφραῒμ· καὶ πολὺς ὁ μεταξὺ τοῖς μέρεσιν ἀνεκαίετο ζῆλος, πόλεμοί τε συχνοὶ, καὶ κατ' ἀλλήλων ἐπαναστάσεις, καθὰ καὶ ἐν βίβλοις τῶν Βασιλειῶν διηγόρευται σαφῶς. Ἐπειδὴ δὲ Χαλδαῖοι καὶ οἱ Βαβυλῶνος τῆς Περσικῆς βεβασιλευκότες, ἅπασαν, ὡς ἔπος εἰπεῖν, τὴν Ἰουδαίαν καταδῃώσαντες, ἀπεκόμισαν αἰχμάλωτον εἰς τὴν ἑαυτῶν τόν τε Ἰσραὴλ καὶ τὸν Ἰούδαν, τοῦτ' ἔστι, τούς τε ἐν τῇ B Σαμαρείᾳ, καὶ τοὺς ἐν τοῖς Ἱεροσολύμοις· εἶτα τῆς αἰχμαλωσίας ἀπηλλαγμένοι, πάλιν ὑπενόστησαν εἰς τὴν ἑαυτῶν, καὶ κατῳκήκασιν οὐκέτι διῃρημένως, ἀλλ' ἐν τοῖς Ἱεροσολύμοις ἅπαντες· ἐπαύσαντο δὲ τοῦ καὶ ἀνὰ μέρος χρίειν ἐφ' ἑαυτοῖς βασιλέας τε καὶ ἄρχοντας, θλίβειν τε ἀλλήλους, καὶ ζηλοῦν ἔτι, καθὰ καὶ πρότερον. Ὑφ' ἑνὶ γὰρ γεγόνασι τὸ τηνικάδε Ζωροβάβελ τῷ τοῦ Σαλαθιὴλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα, καὶ μέντοι καὶ Ἰησοῦ τῷ τοῦ Ἰωσεδὲκ τῷ προὔχοντι καθ' ἱερωσύνην. Καὶ ὁ μὲν τῆς ἱστορίας ἐν τούτοις λόγος. Γέγονε δὲ τῷ προφήτῃ σκοπὸς, ὡς ἐκ πραγμάτων ἐμφανεστέρων καὶ ἐκ τῶν τοῖς πάλαι συμβεβηκότων τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας καταδεῖξαι τὰ κατορθώματα. Ἐγηγερμένου γὰρ τοῦ σημείου, τοῦτ' ἔστι, τοῦ τιμίου σταυροῦ, καὶ ἐμφανοῦς γεγο- C νότος τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔθνεσί τε καὶ λαοῖς, γέγονεν ἄφεσις τῶν ἐν αἰχμαλωσίᾳ (δῆλον δὲ ὅτι τῇ νοητῇ), συνδρομὴ πρὸς ὁμοψυχίαν, σπουδὴ πρὸς ὁμόνοιαν καὶ ὁμοπιστίαν τῶν πάλαι διῃρημένων· οἱ πολλοῖς τε καὶ ἀνοσίοις τυράννοις κατεζευγμένοι (δεδουλεύκασι γὰρ τοῖς ἀκαθάρτοις πνεύμασι), ἀπεσείσαντο μὲν τὸν ἐκείνων ζυγὸν, συνδεδραμήκασι δὲ καὶ μάλα προθύμως εἰς τὴν νοητὴν Σιὼν, ἤγουν Ἱερουσαλὴμ, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν, καὶ ὑφ' ἑνὶ γεγόνασι βασιλεῖ, τοῦτ' ἔστι Χριστῷ, οὗ καὶ εἰς τύπον ὁ Ζωροβάβελ ἦν, ἀνακομίζων ἐκ τῆς αἰχμαλωσίας τὸν Ἰσραὴλ συνόντος αὐτῷ καὶ Ἰησοῦ τοῦ ἱερέως καὶ μεγάλου, ἵν' ἐν αὐτῷ νοῆται Χριστὸς βασιλεύς τε καὶ ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος D ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γεγονὼς, καθά φησιν ὁ θεσπέσιος Παῦλος. Ὅτι δὲ τὸ Χριστοῦ σημεῖον, τοῦτ' ἔστιν, ὁ τίμιος σταυρὸς γέγονε πρόξενος τοῦ συνενεχθῆναι πρὸς ὁμοπιστίαν τοὺς ἀνὰ πᾶσαν τὴν γῆν, οἰκειωθῆναί τε οὕτω δι' αὐτοῦ τῷ παναγίῳ Πατρὶ, σαφὲς ἂν γένοιτο δι' ὧν γέγραφεν ὁ θεσπέσιος Ἰωάννης ὁ εὐαγγελιστής. Εἰσκεκόμικε γὰρ τὸν ἐπάρατον Καϊάφαν τοῖς ἐν τῷ συνεδρίῳ λέγοντα· « Ὑμεῖς οὐκ οἴδατε οὐδὲν, οὐδὲ λογίζεσθε ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. » Προσεπήνεγκε δὲ τούτοις αὐτοῖς· « Τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλ' ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου,

προεφήτευσεν ὅτι ἔμελλεν Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ A τοῦ ἔθνους, καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. » Γέγονε γὰρ ὁ Χριστὸς εἰρήνη ἡμῶν, κατὰ τὰς Γραφὰς, ὁ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, καὶ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, καὶ εἰς ἕνα καινὸν ἄνθρωπον τοὺς δύο κτίσας λαούς· ἄμφω τε δι' ἑαυτοῦ καταλλάττων τῷ Θεῷ καὶ Πατρὶ, καὶ τὴν μεταξὺ καταλύων ἔχθραν, ἵν' οἱ πάντες ἐν ἑνὶ πνεύματι καὶ ἐν ἑνὶ σώματι, σύμψυχοί τε ἀλλήλοις καὶ σύσσωμοι γεγονότες, ἐν αὐτῷ δὲ δηλονότι τῷ Χριστῷ, καρποφορήσωμεν αὐτῷ τὴν ὑπὲρ νόμον δικαιοσύνην, καὶ τῆς εὐαγγελικῆς πολιτείας τὴν καθαρότητα. Οὐκοῦν ὡς ἀπό γε τῶν ἱστορικῶς πεπραγμένων εἰς θεωρίαν ἐρχόμενος τὴν πνευματικὴν, συνήσεις εὖ μάλα τοῦ Χριστοῦ τὸ μυστήριον. B

Καὶ πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων· θάλασσαν ἅμα προνομεύσουσι, καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν, καὶ Ἰδουμαίαν, καὶ ἐπὶ Μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν· οἱ δὲ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακούσονται.

Τίνα δὴ τρόπον οἱ ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς, τουτ' ἔστι, πάντα τὰ ἔθνη συνενεχθήσεσθαι πρὸς ἑνότητα τὴν ἐν Χριστῷ διὰ πίστεως, καὶ εἰς σύνδεσμον ἀγάπης ἁγιοπρεποῦς, διατρανοῖ πάλιν ἐν τούτοις. Πρὸ μὲν γὰρ τοῦ τιμίου σταυροῦ τοῖς ἁγίοις ἀποστόλοις ἔφασκεν ὁ Χριστός· « Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Ὡς γὰρ αὐτὸς ἔφη πάλιν· « Οὐκ ἀπεστάλην C εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Ἐπειδὴ δὲ δυσσεβείας ἁπάσης ἄκρον ἐληλακότες πεπαρῳνήκασιν εἰς Χριστὸν, καὶ ἀπεκτόνασιν ἀρχηγὸν τῆς ζωῆς, καὶ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσαντο· τότε δὴ, τότε πατήσας τὸν θάνατον, καὶ ἐγηγερμένος ἐκ νεκρῶν, τοῖς ἁγίοις ἐνετέλλετο μαθηταῖς· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. » Ἐπειδὴ δὲ ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἶτα καταπεφοίτηκεν εἰς αὐτοὺς ἡ ἐξ ὕψους δύναμις, οὐκέτι μεμενήκασιν κατὰ μόνην τὴν Ἰουδαίαν εὐαγγελιζόμενοι τὸν Ἰησοῦν, ἀλλ' οἱ μὲν εἰς Ἠῶ, καὶ τὰς τῇδε πόλεις ἀπιόντες ἐκήρυττον· οἱ δὲ τὴν Ἑσπέραν καταλαμβάνοντες, ἄλλοι δὲ τοῖς ὁμόροις ἔθνεσι τοὺς τῆς κατηχήσεως ἐχαρίζοντο λόγους· D ἦν δέ πως ἀνάγκη τὴν ὑφ' ἡλίῳ πᾶσαν περινοστεῖν ἐθέλοντας κεχρῆσθαι καὶ πλῷ. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος νυχθήμερον ἐν τῷ βυθῷ πεποιηκέναι δισχυρίζεται. Καὶ ὁ τὰς Πράξεις δὲ τῶν ἁγίων ἀποστόλων συγγεγραφὼς, ἐπιβῆναί φησιν αὐτὸν καὶ τοὺς σὺν αὐτῷ πλοίῳ Ἀλεξανδρίνῳ παρασήμῳ Διοσκούροις. Ἔθος γάρ πως ἐν ταῖς Ἀλεξανδρέων μάλιστα ναυσὶ πρός γε τῇ πρώρῃ δεξιά τε καὶ εὐώνυμα γραφὰς εἶναι τοιαύτας. Ἐπειδὴ δὲ ἦν εἰκὸς, εἰδωλολατρείας κρατούσης κατ' ἐκεῖνο καιροῦ, ἐγγεγράφθαι τῇ νηΐ

solum, sed ut filios Dei dissipatos in unum cogeret [69]. » Factus est enim Christus pax nostra, juxta Scripturas [70], qui medium parietem maceriæ solvit, et legem mandatorum in decretis evacuavit, et in unum novum hominem duos populos condidit, ambos per seipsum Deo et Patri reconciliavit, et intermediam inimicitiam diremit, ut omnes in uno corpore, et in uno spiritu, et animæ et corporis societate inter se juncti, in ipso videlicet Christo fructum ei justitiæ, quæ supra legem est, et puritatem evangelicæ vitæ proferamus. Itaque si ab his quæ historice gesta sunt, ad theoriam et contemplationem spiritualem venias, optime Christi mysterium intelliges.

Vers. 14. *Et volabunt in navibus alienigenarum, mare simul prædabuntur, et eos qui a solis ortu, et Idumæam, et in Moab primum manus injicient; filii vero Ammon primi obedient.*

Quomodo ex quatuor alis terræ, id est, omnes gentes ad fidei Christianæ societatem, et vinculum sanctæ dilectionis congregandæ essent, denuo explicat hisce verbis. Ante pretiosam enim crucem sanctis apostolis dixit Christus : « In viam gentium ne abieritis, et in civitatem Samaritanorum ne ingredimini : sed ite potius ad oves perditas domus Israel [71]. » Quemadmodum enim ipse iterum dixit : « Non sum missus nisi ad oves perditas domus Israel [72]. » At cum ad summum ac culmen omnis impietatis provecti, deblaterassent in Christum, ac vitæ principem interemissent, et sanctum et justum negassent, tunc quidem, tunc morte calcata, et suscitatus e mortuis, sanctis discipulis in mandatis dedit : « Profecti docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti, docentes servare omnia quæ præcepi vobis [73]. » Postquam autem conscendit in cœlum, et in eos ex alto virtus demigravit : non jam in sola hæserunt Judæa **207** evangelizantes Jesum, sed alii quidem ad Orientem ejusque urbes profecti prædicabant; alii Occidente occupato, alii finitimis gentibus sermonem catecheseos gratuito impartiebant, eratque necesse, ut qui universum orbem terrarum peragraturi erant, etiam navi uterentur. Siquidem divinus Paulus noctem ac diem se in profundo maris egisse, affirmat [74]. Et qui Acta sanctorum apostolorum conscripsit, ait, eum et comites ejus conscendisse navem Alexandrinam, quæ insigne Castoris et Pollucis habebat [75]. Moris enim erat, ut naves, maxime Alexandrinæ, in prora dextrorsum et sinistrorsum hujusmodi picturis insignirentur. Cum autem verisimile sit, idololatria per id temporis vigente, inscriptos navi Dioscuros, hinc alienigenam, id est, idololatram navis dominum fuisse,

[69] Joan. xi, 50-52. [70] Ephes. ii, 14. [71] Matth. x, 5, 6. [72] Matth. xv, 24. [73] Matth. xxviii, 19, 20. [74] II Cor. xi, 25. [75] Act. xxviii, 11.

intelligendum videtur. Igitur in naviglis alienigenarum extendentur, inquit, id est, celeres et quasi volucres transibunt, et prædabuntur mare. Est autem familiare Scripturæ divinitus inspiratæ, mare appellare partes occidentales, eo quod ibi spatiosum admodum sit mare. Etenim beatus David, totius mundi architectum declarans universitatis Deum: « Aquilonem, » inquit, « et mare tu condidisti [76]. » Quod autem et divinus Petrus, et ipsemet Paulus sapientissimus, occidentalibus partibus occupatis, Christum annuntiaverint, nemo est qui ambigat. Deprædabuntur vero, inquit, et qui ab ortu solis sunt, et Idumæam, et in Moabitas manus injicient. Filii autem Ammon primi obedient. Nam post Judæorum regionem, omnes deinceps finitimæ et vicinæ, ac etiam longius dissitæ, plenæ erant idololatris, sensu et opinionibus dissidentes ab his, qui unum et natura et vere Deum cognoscunt. Idumæi dein et Moabitæ, et filii Ammon, finitimi quidem erant Israelitis, et conterminam regionem incolebant, dissenserunt tamen, et graves et pugnacissimi hostes exstiterunt, astra adorarunt, omnique religione Luciferum prosecuti sunt, aliorumque deorum principem et antistitem nominarunt. Quorum animo ac cordi imprimis illuxit vere Lucifer, et lux diei sub intelligentiam cadentis resplenduit. Nam pristina nebula abjecta, et cultu creaturæ jam repudiato, Christum adoraverunt, et quondam infensissimos, **208** Israelitas, inquam, mystagogos, et sacrorum antistites, et præmonstratores viæ ad salutem perducentis constituerunt.

A τοὺς Διοσκούρους, ταύτῃ τοίνυν ἀκόλουθον ἀλλόφυλον εἶναι, τοῦτ' ἔστιν, εἰδωλολάτρην τῆς νεὼς τὸν δεσπότην. Οὐκοῦν ἐν πλοίοις ἀλλοφύλων πετασθήσονται, φησὶ, τοῦτ' ἔστι, δρομαῖοι καὶ πρόθυμοι καὶ οἱονεὶ πτηνοὶ διαβήσονται, καὶ προνομεύσουσι τὴν θάλασσαν. Ἔθος δὲ τῇ θείᾳ Γραφῇ θάλασσαν ἀποκαλεῖν τὰ πρὸς τῇ ἑσπέρᾳ μέρη, διάτοι τὸ σφόδρα πολλὴν καὶ εὐρεῖαν εἶναι τὴν ἐκείνης θάλασσαν. Καὶ γοῦν ὁ μακάριος Δαβὶδ, παντὸς τοῦ κόσμου δημιουργὸν ἀποφαίνων τὸν τῶν ὅλων Θεὸν, « Τὸν βοῤῥᾶν, » φησὶ, « καὶ θάλασσαν σὺ ἔκτισας. » Ὅτι δὲ καὶ ὁ θεσπέσιος Πέτρος, καὶ μὴν καὶ αὐτὸς ὁ πάνσοφος Παῦλος, τὰ τῆς ἑσπέρας καταλαβόντες μέρη, κατηγγέλκασι τὸν Ἰησοῦν, ἐνδοιάσειεν ἂν οὐδείς. Προνομεύσουσι δὲ, φησὶ, καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν, καὶ Ἰδουμαίαν, B καὶ ἐπὶ Μωὰβ τὰς χεῖρας ἐπιβαλοῦσιν. Οἱ δὲ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακούσονται. Μετὰ γάρ τοι τὴν τῶν Ἰουδαίων χώραν, ἅπασαι λοιπὸν αἱ ὅμοροί τε καὶ γείτονες, εἰ καὶ ἔτι ποῤῥωτέρω, μεσταὶ μὲν ἦσαν εἰδωλολατρῶν, ἀσύμβατοι δὲ τοῖς φρονήμασι τοῖς τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς εἰδόσι Θεόν. Ἰδουμαῖοί τε καὶ Μωαβῖται, καὶ μέντοι καὶ υἱοὶ Ἀμμὼν, ὅμοροί τε ἦσαν τοῖς ἐξ Ἰσραὴλ, καὶ γείτονα μὲν κατενέμοντο χώραν, διάφοροι δὲ δεινῶς, καὶ τῶν ὅτι μάλιστα πολεμιωτάτων. Προσεκύνουν δὲ τοῖς ἄστροις, καὶ δι' αἰδοῦς ἁπάσης ἐποιοῦντο τὸν Ἑωσφόρον, προὔ[σ]χοντα δὲ τῶν ἄλλων ἀπεκάλουν Θεόν. Ἀλλ' αὐτοῖς καὶ πρώτοις εἰσῄνοῦν καὶ καρδίαν ἀνέλαμψεν ὁ ἀληθῶς Ἑωσφόρος, καὶ διηύγασε τῆς νοητῆς ἡμέρας τὸ φῶς. Ἀποβεβληκότες δὲ τὴν ἀρχαίαν ἐκείνην ἀχλὺν, καὶ C τὸ κτίσει λατρεύειν ἔτι παρωσάμενοι, προσκεκυνήκασι τῷ Χριστῷ, καὶ τοὺς πάλαι πολεμιωτάτους, φημὶ δὴ τοὺς ἐξ Ἰσραὴλ, ἐποιοῦντο μυσταγωγοὺς καὶ καθηγητὰς ὁδοῦ τῆς ἀποφερούσης εἰς σωτηρίαν.

Vers. 15, 16. *Et vastabit Dominus mare Ægypti, et admovebit manum fluvio spiritu violento, et percutiet septem valles, ut transeat ipse in calceamentis. Et erit transitus relicto meo populo in Ægypto, et erit Israeli, quasi dies quando egressus est e terra Ægypti.*

Καὶ ἐξερημώσει Κύριος τὴν θάλασσαν Αἰγύπτου, καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ, καὶ πατάξει ἑπτὰ φάραγγας, ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασιν. Καὶ ἔσται δίοδος τῷ καταλειφθέντι μου λαῷ ἐν Αἰγύπτῳ· καὶ ἔσται τῷ Ἰσραὴλ ὡσεὶ ἡ ἡμέρα ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου.

Inventor et pater peccati, cum in omnes orbis terrarum incolas imperium vi ac tyrannide usurpavit, hominemque extra septa veritatis seductum, gregis dæmoniorum cultorem reddidit, ac suo eum jugo subjecit: tum vero Ægyptii præ aliis superstitiosissimi, et in hoc acerrimi impigerrimique exstiterunt. Delubra enim passim et aras per regionem, et simulacra infinita habebant, et examina signorum, eaque in adytis multiformia. Adorarunt enim volatilia et pisces, capram et ovem: et vitulus ab illis in honore habitus est. Sic tamen affectos invisit Deus, et simul cum aliis vocavit ad lucem et ad agnitionem veritatis. Prædicarunt enim inter illos Evangelium Christi, cum Marcus beatus evangelista, tum cæteri post illum suis temporibus, partim qui ex Hebræorum regione venerunt, partim ex ipsis qui crediderunt, duces mysteriorum, et

Κεκράτηκε μὲν ἐκ πλεονεξίας τῶν ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ὁ τῆς ἁμαρτίας εὑρέτης καὶ πατήρ. Ἀποβουκολήσας τῆς ἀληθείας τὸν ἄνθρωπον, τῆς τῶν δαιμονίων ἀγέλης ἀπετέλει προσκυνητὴν, καὶ τοῖς ἰδίοις ὑπετίθει ζυγοῖς· Αἰγύπτιοι δὲ μάλιστα δεισιδαιμονέστατοι παρὰ τοὺς ἄλλους καὶ δεινοὶ πρὸς τοῦτο γεγόνασι. Τεμένη γὰρ ἦσαν πανταχοῦ καὶ βωμοὶ κατὰ D τὴν χώραν αὐτοῖς, ἕδη τε μυρία, καὶ ἀγαλμάτων ἑσμὸς, πολύμορφά τε τὰ ἐν σηκοῖς. Προσκεκυνήκασι γὰρ πτηνοῖς καὶ ἰχθύσιν, αἰγὶ καὶ προβάτῳ, καὶ μόσχος ἦν τὸ σέβας αὐτοῖς. Ἀλλὰ καὶ οὕτως ἔχοντας ἐπεσκέπτετο Θεὸς, καὶ ὁμοῦ τοῖς ἄλλοις ἐκάλει πρὸς τὸ φῶς, καὶ πρὸς ἐπίγνωσιν ἀληθείας. Διεκήρυξαν γὰρ ἐν αὐτῇ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ Μάρκος τε ὁ μακάριος εὐαγγελιστὴς, καὶ ἕτεροι δὲ μετ' αὐτὸν κατὰ καιρούς· τοῦτο μὲν ἐκ τῆς Ἑβραίων ὁρμώμενοι χώρας, τοῦτο δὲ καὶ ἐξ αὐτῶν τῶν πεπιστευκότων

[76] Psal. LXXXVIII, 13.

μυσταγωγοὶ καὶ διδάσκαλοι κατὰ καιροὺς ἀναδεδειγμένοι. Τίνα δὴ τρόπον καὶ τοῦτο κατώρθωται, διειπεῖν ἀναγκαῖον, τὸν τῆς ἱστορίας κατευρύνοντας λόγον. Πρὶν μὲν γὰρ τὰ Ῥωμαίων κατὰ πάντων ἰσχῦσαι κράτη, χώρας τε ἑκάστης ἴδιον ἐχούσης τὸν ἡγούμενον, ἤτοι βασιλεύοντα, πολλή τις ἦν τοῖς ἔθνεσιν ἡ διαφορά· τοῦτο μὲν ὅτι καὶ τὸ τῆς θρησκείας ἑτεροῖον ἀνακαίεσθαι μεταξὺ τὴν ἔχθραν ἐποιεῖτο, τοῦτο δὲ ὅτι καταληΐζεσθαι τοῖς ἐθέλουσιν ἐξῆν τὴν ἐκ τῆς ἑτέρας, ἐπιτιμῶντος οὐδενός. Ἦν οὖν ἀμιξία πρὸς ἄλληλα πλείστη τέως τοῖς ἔθνεσι, καὶ τὸ ἁλῶναί τισι τῆς ἑτέρων χώρας εἴσω γεγονόσιν οὐκ ἀζήμιον. Ἐπειδὴ δὲ ἴσχυσε κατὰ πάντων ἡ Ῥωμαίων ἀρχὴ, καὶ ὑφ' ἕνα γεγόνασι τὸν ἡγούμενον, νόμοις τοῖς παρ' αὐτῶν διαβιοῦν ἐδιδάχθησαν, ἐπιμιξίαι τε λοιπὸν αἱ πρὸς ἄλληλα τῶν ἐθνῶν γεγόνασιν ἀδεεῖς, καὶ πολλὴ κεκράτηκεν ἡμερότης· τότε δὴ, τότε τοῖς εὐαγγελιζομένοις τὸν Ἰησοῦν γέγονε δίοδος, ἤτοι ὁδὸς, τοῦ καὶ ἐν Αἰγύπτῳ δύνασθαι παρελθεῖν. Εἷλεν δὲ τίνα τρόπον τὴν Αἰγυπτίων ὁ Αὔγουστος Καῖσαρ, ὁ προφητικὸς ἡμῖν διερμηνεύει λόγος. Ὁ μὲν γὰρ τῆς Αἰγύπτου ποταμὸς εὐρύς τε καὶ πολὺς, καὶ πλημμυρῶν κατὰ καιροὺς, δι' ἑπτὰ στομάτων ἔρχεται, ἀλλ' τῇ γείτονι τὸ νᾶμα δωρούμενος· γεγονώς γε μὴν ἐν τοῖς μέρεσι τῶν ἑλείων ἀνδρῶν, λίμνας ἀποτελεῖ μακρὰς καὶ εὐρείας, καὶ ἅπασαν αὐτῶν ἐπικλύζει τὴν γῆν, ὥστε καὶ ναυσίπορον εἶναι τὴν πυροφόρον. Ὡς οὖν ὁ Αὔγουστος Καῖσαρ τῆς Ἰουδαίας κεκρατηκὼς ἧκεν εἰς τὴν Αἰγυπτίων, ᾤοντο μὲν οἱ ταύτης οἰκήτορες, ὅτι κἂν εἰ ἕλοιντο κατηρεμεῖν, ἀποσχέσθαι τε πολέμου καὶ ὅπλων, ἄληπτον ἐκείνῳ τὴν χώραν ἐργάσεται τὸ διεζῶσθαι λίμναις τε καὶ ποταμοῖς. Ἐπειδὴ δὲ τῷ τῶν ὅλων κρατοῦντι Θεῷ τοῖς Ῥωμαίων σκήπτροις ὑποφέρειν ἐδόκει καὶ αὐτὴν μετὰ τῶν ἄλλων τὴν Αἰγυπτίων, ἀνέμῳ νότῳ βιαιοτάτῳ τὸ τοῦ ποταμοῦ κατωθήσας ὕδωρ ἐπὶ τὴν θάλασσαν, βάσιμον ἅπασαν ἐτίθει τὴν χώραν, ὥστε τοὺς διαπεραιοῦσθαι θέλοντας λίμνας τε καὶ αὐτὰς δὲ τὰς φάραγγας, ἤτοι τὰ ἑπτὰ στόματα τοῦ ποταμοῦ, μηδ', ὅσον εἰπεῖν, ἀπολῦσαι τοῦ ποδὸς τὸ ὑπόδημα. Καταλεαίνοντος τοίνυν τοῦ Θεοῦ τὴν πάροδον τῇ Ῥωμαίων στρατιᾷ, νενίκηνται τὰ Αἰγυπτίων. Τοῦτο πάλιν ἡμᾶς ὁ προφήτης διδάσκει λέγων· « Τάδε λέγει Κύριος Σαβαὼθ, καὶ πίονται οἱ Αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν· ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται· καὶ ἐκλείψουσιν οἱ ποταμοὶ, καὶ αἱ διώρυγες τοῦ ποταμοῦ· καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὕδατος, καὶ ἐν παντὶ ἕλει καλάμου καὶ παπύρου, καὶ τὸ ἄχι τὸ χλωρὸν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ, καὶ πᾶν τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἐν ἀνεμοφθορίᾳ. » — Ἐξερημώσει τοίνυν, φησὶ, Κύριος τὴν θάλασσαν Αἰγύπτου. Ἔθος δὲ τῇ θείᾳ Γραφῇ, καὶ αὐτὰς τὰς λίμνας θαλάσσας ἀποκαλεῖν. Καὶ ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ. Χειρὸς γὰρ ἔργον, ἤτοι δυνάμεως τῆς θείας, γενέσθαι φαμὲν τοῦ βιαιοτάτου πνεύματος τὴν κατὰ τῶν ὑδάτων ἐπαγωγήν. Ἐπάταξε γὰρ τὰς ἑπτὰ φάραγγας, τουτ' ἔστι, τὰ στόματα, καὶ ἀποτε-

A doctores ac magistri, temporibus subsequentibus, efficiebantur. Quo autem modo hoc perfectum fuerit, historiam aperiendo dicendum est. Prius enim quam Romani imperium in omnes obtinerent, singulis regionibus suum ducem ac regem habentibus, magna erat inter gentes dissensio : tum quod prædas agere liceret quibus lubebat, et alios aliunde nullo reprehendente diripere. Erat itaque maxima gentium inter se disjunctio et dissociatio, nec impune capiebantur intra aliorum regionem constituti. Verum cum in omnes Romanorum imperium invaluisset, et unius imperio subditi ad legum quas illi tulerunt normam vivere docti essent, commerciaque ac societates gentium deinceps citra metum ultro citroque haberentur, et summa mansuetudo B et clementia vigeret : tunc quidem, tunc evangelizantibus Jesum transitus, seu via patefacta est, ut etiam Ægyptum pertransire potuerint. Quomodo autem ceperit Ægyptiacam **209** terram Augustus Cæsar, prophetica nobis interpretatur oratio. Fluvius enim Ægypti, et latus et magnus, certisque temporibus inundans, per septem ostia meaus, in mare vicinum influit; verumtamen cum in partibus palustrium hominum exsistit, paludes longas et latas efficit, et cunctam eorum terram inundat, ita ut quæ frumenti fertilis erat, fiat navigabilis. Postquam igitur Augustus Cæsar, Judæorum devicta terra, in regionem Ægyptiorum venisset, existimabant ejus incolæ, etiam ipsis quiescentibus, et a bello armisque C sibi temperantibus, non posse regionem ab eo capi, quod lacubus et fluvio cingeretur. At postquam universitatis dominatori Deo placuit una cum aliis etiam hanc, Ægyptiorum inquam, Romanorum sceptris submittere, vento Noto violentissimo, fluvii unda in mare depulsa, planam totam regionem et meabilem fecit, ut qui lacus et valles, sive septem fluvii ora trajicere vellent, ne pedis sui, ut sic dixerim, calceum solverent. Complanante igitur Deo, et aperiente transitum Romanorum exercitui, fractæ sunt vires Ægyptiorum. Hoc rursus propheta ipse nos docet, inquiens : « Hæc dicit Dominus Sabaoth : Et bibent Ægyptii aquam quæ juxta mare, fluvius autem deficiet et exarescet, et deficient fluvii, et rivi fluvii, et exarescet omnis collectio D aquæ, etiam in omni palude calami et papyri, et Achi viride omne circum fluvium, et omne quod seminatur circa fluvium arescet a venti corruptione [77]. » Vastabit igitur, inquit, Dominus mare Ægypti. Solet autem Scriptura divina ipsas lacus maria appellare. Et admovebit manum fluvio, spiritu violento. Manus enim et potentiæ divinæ opus esse dicimus, vehementissimi spiritus in aquas inductionem. Percussit autem septem convalles, hoc est, fauces et ostia, adeoque exsiccavit, ut illas calceis pertransirent. Tunc, inquit, tunc erit transitus in Ægypto derelicto populo meo. Et qualis tandem et quis est? **210** Qui in Israel credebant, de quibus

[77] Isa. XIX, 3 seqq.

et propheta Isaias dicit : « Si fuerit numerus filiorum Israel velut arena maris, reliquiæ servabuntur [78]. » Primitiæ vero velut reliquiarum beati erant discipuli, et qui cum illis fuerunt, quorum unus erat divinus Marcus. Erit etiam, inquit, quasi dies, quando egressi sunt ex Ægypto, id est qui ex sanguine Israelitico orti, divinum et cœleste verbum illis qui erant in Ægypto prædicarunt, impendio gaudebunt, quemadmodum sane illo die gavisi sunt, cum e terra Ægypti exiverunt. Rursus enim illi e servitute Ægyptiaca erepti sunt. Qui autem divinorum præconiorum ministri facti sunt, et evangelicorum vaticiniorum custodes veri ac genuini, non servitute carnali liberabant Ægyptios, sed e manu diaboli extractos, liberos reddiderunt. Et intermediante quidem sapientissimo Mose, fluvius in sanguinem conversus est : nunc vero facta illis est in Christo aqua salutifera. Servamur enim per sacrum baptisma. Suffocati tum fuerunt illi qui mare Rubrum intrarunt, persequentes Israelem : at a sanctis apostolis edocti sunt, ex hujus vitæ undis enatare, et ex mundanis fluctibus eluctari fortiter. Incubuit illis grando vehemens et validissima : at ubi mystico sermone dispensationis in carne initiati sunt, pluvia divina in mentem eorum demissa fructuosos reddidit. Profundæ et trium dierum spatio inductæ sunt tenebræ : sed in luce versati sunt. Luxerunt primogenia : sed eos servavit ex morte et corruptione Primogenitus ex mortuis, id est, Christus. Proinde in his omnibus consentaneum erat ut Israelitæ lætarentur, quemadmodum ubi egressi erant ipsi ex terra Ægypti.

A τέλεκεν οὕτω ξηρὰς, ὡς διαπορεύεσθαι αὐτὰς ἐν ὑποδήμασι. Τότε δὴ, τότε, φησὶν, ἔσται δίοδος ἐν Αἰγύπτῳ τῷ καταλειφθέντι μου λαῷ. Καὶ ποῖος οὗτος ἦν; Οἱ ἐξ Ἰσραὴλ πιστεύσαντες, περὶ ὧν καὶ ὁ προφήτης Ἡσαΐας· « Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. » Ἀπαρχὴ δὲ ὥσπερ τοῦ καταλείμματος οἱ μακάριοι μαθηταὶ καὶ οἱ σὺν αὐτοῖς, ὧν εἷς γέγονε καὶ ὁ θεσπέσιος Μάρκος. Ἀλλὰ καὶ ἔσται, φησὶν, ὡς ἡ ἡμέρα, ὅτε ἐξῆλθον ἐκ γῆς Αἰγύπτου· τοῦτ' ἔστιν, οἱ ἐξ αἵματος Ἰσραὴλ, τὸν θεῖόν τε καὶ οὐράνιον λόγον τοῖς ἐν Αἰγύπτῳ διακηρύξαντες, ἡσθήσονται λίαν, καθάπερ ἀμέλει καὶ κατ' ἐκείνην ἥσθησαν τὴν ἡμέραν, ὅτε ἐξῆλθον ἐκ γῆς Αἰγύπτου. Πάλιν μὲν γὰρ αὐτοὶ τῆς ἐν Αἰγύπτῳ δουλείας ἀπεκομίζοντο. Κηρυ- B γμάτων δὲ τῶν θείων ἱερουργοὶ γεγονότες, καὶ τῶν εὐαγγελικῶν θεσπισμάτων ταμίαι γνήσιοι, οὐ σαρκικῆς δουλείας ἀπήλλαττον Αἰγυπτίους, ἀλλὰ τῆς τοῦ διαβόλου χειρὸς ἐξελόντες ἐλευθέρους ἀπετέλουν. Καὶ μεσιτεύοντος τοῦ μὲν [τοῦ] πανσόφου Μωσέως, ὁ ποταμὸς εἰς αἷμα μετεσκευάζετο· νυνὶ δὲ γέγονεν αὐτοῖς ἐν Χριστῷ τὸ ὕδωρ σωτήριον. Σεσώσμεθα γὰρ διὰ τοῦ ἁγίου βαπτίσματος. Κατεπνίγοντο τότε τῇ Ἐρυθρᾷ θαλάσσῃ προσβεβληκότες οἱ διώκοντες τὸν Ἰσραήλ· ἐδιδάχθησαν δὲ διὰ τῶν ἁγίων ἀποστόλων, τὸν τοῦ παρόντος διανήχεσθαι βίου κλύδωνα, καὶ κυμάτων ἀμείνους ὁρᾶσθαι κοσμικῶν· ἐπέπιπτεν αὐτοῖς ἡ χάλαζα τότε δεινὴ καὶ ῥαγδαιοτάτη. Ἐπειδὴ δὲ μεμυσταγώγηνται τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν λόγον, ὑετὸς C αὐτοῖς ὁ θεῖος εἰς νοῦν καταβέβηκεν, ἐγκάρπους ἀποτελῶν. Βαθὺς καὶ τριήμερος ἐπενήνεκται σκότος· ἀλλὰ γεγόνασιν ἐν φωτί. Τεθρηνήκασι τὰ πρωτότοκα· ἀλλὰ σέσωκεν αὐτοὺς ἐκ θανάτου καὶ φθορᾶς ὁ Πρωτότοκος ἐκ νεκρῶν, τοῦτ' ἔστι, Χριστός. Ἐπ' οὖν τούτοις ἅπασι χαίρειν ἦν ἀκόλουθον τοὺς ἐξ Ἰσραὴλ, ὡς ὅτε ἐξῆλθον αὐτοὶ ἐκ γῆς Αἰγύπτου.

VERS. 1, 2. *Et dices in die illa : Benedicam te, Domine, quia iratus es mihi, et avertisti furorem tuum a me, et misertus es mei. Ecce Deus meus, Servator meus Dominus. Confidam ei, et salvus ero in eo, et non timebo, quoniam gloria mea, et laus mea Dominus, et factus est mihi in salutem.*

Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Εὐλογήσω σε, Κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου ἀπ' ἐμοῦ, καὶ ἠλέησάς με. Ἰδοὺ ὁ Θεός μου, Σωτήρ μου Κύριος, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ σωθήσομαι ἐν αὐτῷ, καὶ οὐ φοβηθήσομαι, διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς μου Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

Cum dixisset conservatos esse gentiles **211** per fidem in Christum, et ad agnitionem veritatis venisse, qui præ aliis superstitiosissimi erant, merito eos benedicentes introduxit. Nam liberatos fuisse omnino priore ignoratione qua principio laborabant, et demum conversos esse ut ea saperent quæ soli servanti Deo placent : documentum manifestum sit, quod ad Dei gloriam decantandam, et velut ad spirituale quoddam gratiarum actionis sacrificium ei offerendum instigantur. Quare sub id temporis, inquit, quo fiet transitus in Ægypto, hoc est, illis evangelici et salutaris verbi præconibus : Tu, inquit, qui in altis olim versatus es tenebris, et magnus idololatra exstitisti, et dæmoniorum imposturis conturbatus es, cum animi oculis lucem con-

Ἀνασεσῶσθαι λέγων τοὺς ἐξ ἐθνῶν διὰ πίστεως τῆς εἰς Χριστὸν, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν D τοὺς ὅτι μάλιστα τῶν ἄλλων δεισιδαιμονεστάτους, εἰκότως αὐτοὺς δοξολογοῦντας εἰσφέρει. Τοῦ γὰρ ἀπηλλάχθαι μὲν ὁλοτρόπως τῆς πρώτης τε καὶ ἐν ἀρχαῖς ἐνούσης αὐτοῖς ἀμαθίας, μεταφοιτῆσαι δὲ λοιπὸν εἴς γε τὸ ἑλέσθαι φρονεῖν τὰ αὐτῷ δοκοῦντα καὶ μόνῳ τῷ διασώσαντι Θεῷ, γένοιτ' ἂν ἀνάδειξις ἐναργὴς, τὸ ἐπείγεσθαι δοξολογεῖν, καὶ καθάπερ τινὰ θυσίαν πνευματικὴν προσκομίζειν αὐτῷ τὰς εὐχαριστίας. Οὐκοῦν κατ' ἐκεῖνο, φησὶ, τοῦ καιροῦ, καθ' ὃν ἂν γένοιτο δίοδος ἐν Αἰγύπτῳ, τοῦτ' ἔστι, τοῖς τὸν εὐαγγελικὸν καὶ σωτήριον πρεσβεύουσι λόγον, σὺ, φησὶν, ὁ ἐν σκότῳ πάλαι βαθεῖ, καὶ πικρὸς εἰδωλολάτρης ὁ ταῖς τῶν δαιμονίων ἀπάταις ἐγκεχωσμένος, ὅταν τοῖς

[78] Isa. x, 22.

τῆς διανοίας ὄμμασιν ἀναβλέψῃς πρὸς τὸ φῶς· ὅταν ἴδῃς τοῦ κεκληκότος τὴν δόξαν, καὶ εἰς αἴσθησιν ἐνεχθῇς, ἐξ οἵων εἰς οἷα μετακεχώρηκας πράγματα· καὶ ὅτι πικρῷ τυράννῳ κατεζευγμένος, ἔξω μὲν τῆς ἐκείνου γέγονας πλεονεξίας, ὑπέδραμες δὲ τὴν ἐπικουρίαν τοῦ πάντα ἰσχύοντος Θεοῦ καὶ διασώζοντος τοὺς ἀπολωλότας· τότε δὴ, τότε σεαυτῷ δὴ λίαν καὶ μάλα εἰκότως ἐπιγαννύμενος ἀναφωνήσεις λέγων· Εὐλογήσω σε, Κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου ἀπ' ἐμοῦ, καὶ ἠλέησάς με. Ἀνακομίζουσι δὲ τὰ χαριστήρια, καὶ ἀνάπτουσι τὰς δοξολογίας, οὐχ ὅτι γεγόνασιν ὑπὸ θείαν ὀργὴν, ἀλλ' ὅτι γεγονότες ἠλέηνται. Ὠργίσθαι δέ φαμεν τοῖς τὰ τοιάδε λέγουσι τὸν τῶν ὅλων Θεὸν, δῆλον ὅτι τοῖς εἰδωλολάτραις. Διὰ ποίαν αἰτίαν; Παῦλος ἡμῖν ὁ θεσπέσιος σαφηνιεῖ γεγραφώς· « Φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν. Καὶ ἤλλάξαντο τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ, ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ ἑρπετῶν, καὶ τετραπόδων. Ταύτῃ τοι, » φησὶ, « παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, καὶ εἰς πάθη ἀτιμίας ποιεῖν τὰ μὴ καθήκοντα. » Οἱ γὰρ δὴ τὴν θείαν παρασημάναντες δόξαν, καὶ τῆς ἀνωτάτω φύσεως τὸ ἐξαίρετον κάλλος τοῖς οὕτως οἰκτροῖς ἀναθέντες κτίσμασι, πῶς οὐ σφόδρα εἰκότως τοῖς ἐκ θείας ὀργῆς κινήμασιν ὑπενεχθεῖεν ἄν; Ἐπειδὴ δὲ, φησὶν, ἀπέστρεψας τὸν θυμόν σου, ἠλέησάς με (κέκλημαι γὰρ εἰς ἐπίγνωσιν διὰ πίστεως, οὐ κατὰ τὰ ἔργα ἃ ἐποιήσαμεν ἡμεῖς, καθὰ γέγραπται, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος)· ταύτῃ τοι, φησὶν, εἰς αἴσθησιν τῆς μεγαλοδωρίας ἐνηνεγμένος, ἀκατάληκτον προσοίσω σοι τὴν δοξολογίαν, καὶ δὴ καὶ ἐρῶ· Ἰδοὺ ὁ Θεός μου, Σωτήρ μου Κύριος, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ καὶ σωθήσομαι ἐν αὐτῷ. Πάλαι μὲν γὰρ ξύλοις τε καὶ λίθοις προσπίπτοντες, καὶ τοῖς ἀναισθήτοις ἀγάλμασι προσκομίζοντες θυσίας, σώζεσθαι δι' αὐτῶν παρεκάλουν. Ἐπειδὴ δὲ Θεὸν ἐγνώκασιν τὸν ἀληθινὸν, τοὺς ψευδωνύμους παρωσάμενοι, αὐτόν τε καὶ μόνον καταδεικνύουσι λέγοντες· Ἰδοὺ ὁ Θεός μου Σωτὴρ μου Κύριος. Οὐκ ἐπὶ ξύλοις ἔτι καὶ λίθοις ἔσομαι πεποιθὼς, φησὶν, ἀλλ' ἐπ' αὐτῷ καὶ μόνῳ, καὶ δι' αὐτοῦ σωθήσομαι. Κἂν ὁ πάλαι πλεονεκτήσας καὶ συναρπάσας εἰς πλάνην, προσέρχεται πάλιν πειράζων καὶ μαχόμενος, Νικήσω, φησὶν, ὅτι ἡ δόξα μου καὶ ἡ αἴνεσίς μου Κύριος. Ὁρᾷς ὅπως ἐγνώκασιν ὅτι σωτήριον χρῆμα τὸ δοξολογεῖν; « Θῦσον » γὰρ, φησὶ, « τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου. » Καὶ, « Ἐπικαλέσεις με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. »

Καὶ ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ Σωτηρίου.

Φιλότιμος ὁ κεκληκὼς, ἕτοιμος εἰς ἀντίδοσιν ὁ διασώσας Θεὸς, εὐεργετεῖ τοὺς ἐπεγνωκότας, θείοις τε καὶ πνευματικοῖς κατευφραίνει πλουσίως τοὺς δοξολογοῦντας αὐτόν. Ἄθρει γὰρ ὅπως οἱ μὲν ὡμολόγουν λέγοντες· Ἰδοὺ ὁ Θεός μου, Σωτήρ μου Κύριος, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ· ὁ δὲ παραχρῆμα, καὶ πηγὰς αὐτοῖς καὶ ὕδωρ ἐπαγγέλλεται σωτήριον. Ἔδει

A spexeris, cum contemplatus fueris vocantis gloriam, et ad sentiendum redieris ex qualibus in quantas res transisti, atque ut et ab acerbo tyranno subjugatus, ab ejus tyrannide liber factus es, et ad Dei cuncta potentis, qui perditos conservat, opem confugeris : tunc quidem, tunc apud te multum et sane meritissime glorians, acclamabis dicens : Benedicam te, quia iratus es mihi, et avertisti furorem tuum a me, et misertus es mei. Offerunt autem gratiarum hostias, ac gloriam tribuunt, non quod iræ divinæ subjicerentur, sed cum subjecti et obnoxii fuissent, misericordiam consecuti sunt. Irasci dicimus talia loquentibus universitatis Deum, videlicet simulacrorum cultoribus. Quam ob causam? Paulus divinus nobis aperiet, dicens : « Cum se dicerent sapien-
B tes esse, infatuati sunt, et mutarunt gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis, et volatilium, et quadrupedum, et reptilium. Propterea, » inquit, « tradidit eos Deus in reprobum sensum, et in cupiditates ignominiosas, ut faciant quæ non decent [79]. » Qui enim divinam adulterarunt gloriam, et supremæ naturæ excellentem pulchritudinem adeo miseris creaturis attribuerunt, annon justissime divinæ iræ severitati subjicerentur? Cum autem ait : Avertisti furorem tuum, misertus es mei (vocati enim sumus ad agnitionem per fidem : non ex operibus quæ fecimus nos, sicut scriptum est [80], **212** sed ex multa ejus misericordia), idcirco, inquit, ad intelligentiam tuæ magnificentiæ perductus, assidue tribuam tibi
C gloriam et laudes, et dicam : Ecce Deus meus, Servator meus Dominus, confidam ei, et salvus ero. Quondam enim lignis lapidibusque procidentes, et imaginibus sensu carentibus offerentes sacrificia, servari per illa rogabant. At postquam, Deo vero agnito, falso nominatos profligarunt, illum et solum demonstrant, dicentes : Ecce Deus meus, Servator meus Dominus. Non jam lignis, non lapidibus fidam amplius, inquit, sed in eo, et quidem solo, et per ipsum servabor. Et licet qui olim spoliavit et in errorem abripuit, rursus accedit tentans et pugnans, Vincam tamen, inquit, quia gloria mea et laudatio mea Dominus. Viden' quomodo noverint salutare esse, laudes canere ac glorificare? « Sacrifica » enim,
D inquit, « Deo sacrificium laudis, et redde Altissimo vota tua [81]; » et : « Invocabis me in die afflictionis tuæ, et eripiam te, et glorificabis me [82]. »

VERS. 3. *Et haurite aquam cum lætitia de fontibus Salutaris.*

Gloriosus ille qui vocavit, promptus et paratus ad remunerationem, qui conservavit Deus, benefacit agnoscentibus, et gloria decorantes ipsum divinis atque spiritalibus donis affatim exhilarat. Contemplare etenim, quo pacto hi quidem confitebantur dicentes : Ecce Deus meus, Servator meus Dominus, confidam ei. Ille confestim et fontes ipsis, et

[79] Rom. I, 22 sqq. [80] Tit. III, 5. [81] Psal. XLIX, 14. [82] ibid. 15.

aquam promittit salutarem. Decuit enim, decuit e A tenebris ad lucem emergentes, ex ignorantia gentilium ad agnitionem veri Dei vocatos, pædagogiæ et verbi, quod exhilarat et potest eos in pietatis officio continere, neutiquam esse expertes. « Non enim, » inquit, « in solo pane vivet homo, sed in omni verbo quod procedit ex ore Dei [83]. » Aquam ergo nominat vivificum Dei verbum, fontes autem sanctos apostolos et evangelistas: adde etiam ipsos prophetas, Salutare vero Christum. Vos igitur, ait, qui confessionibus fidei me natura et universitatis Deum exhilaratis, recipietis et divinam et spiritalem hilaritatem, haurientes verbum quod continere et corroborare in hoc vos poterit, ex fontibus Salutaris, id est, Christi. Ipse enim constituit **213** sanctos apostolos, de quibus et beatus David psallit: B « Apparuerunt fontes aquarum, et retecta sunt fundamenta orbis terrarum [84]. » Fontes siquidem aquarum sunt divini discipuli, qui sermones e supernis et per Spiritum in universum orbem terrarum depluunt. Sunt item et fundamenta mundi. Lapis enim selectus Christus, qui positus a Deo et Patre dicitur in fundamenta Sion, id est, Ecclesiæ: ipsi namque innitimur, et per fidem ædificamur domus spiritualis in templum sanctum, in ædificium Dei in Spiritu. Lapides vero secundum ipsum sive fundamenta orbis terræ possent esse ac dici, idque jure optimo, qui illum per omnem terram prædicant. Nam scripta eorum nos sustinent, ac firmitate et constantia fidei et veritatis fulciunt.

A γάρ, ἔδει τοὺς ἐκ σκότους δραμόντας πρὸς τὸ φῶς, τοὺς ἐξ ἀμαθίας Ἑλληνικῆς εἰς ἐπίγνωσιν κεκλημένους τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ μὴ ἀμοιρῆσαι παιδαγωγίας καὶ λόγου τοῦ κατευφραίνοντος, καὶ συνέχειν αὐτοὺς ἰσχύοντος πρὸς εὐσέβειαν. « Οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται, » φησὶν, « ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. » Ὕδωρ μὲν οὖν ἀποκαλεῖ τὸν ζωοποιὸν τοῦ Θεοῦ λόγον· πηγὰς δὲ τοὺς ἁγίους ἀποστόλους τε καὶ εὐαγγελιστάς, προσθείην δι' ἂν ὅτι καὶ αὐτοὺς τοὺς προφήτας· Σωτήριον δὲ τὸν Χριστόν. Ὑμεῖς τοιγαροῦν, φησὶν, οἱ ταῖς εἰς πίστιν ὁμολογίαις ἐμὲ τὸν φύσει καὶ τὸν ὅλων Θεὸν εὐφραίνοντες, ἀντικομιεῖσθε θείαν τε καὶ πνευματικὴν εὐφροσύνην, ἀρυόμενοι τὸν λόγον τὸν εἰς τοῦτο ὑμᾶς συνέχειν ἰσχύοντα ἐκ τῶν πηγῶν B τοῦ Σωτηρίου, τοῦτ' ἔστι, Χριστοῦ. Αὐτὸς γὰρ ἀνέδειξε τοὺς ἁγίους ἀποστόλους· περὶ ὧν καὶ ὁ μακάριος ψάλλει Δαβίδ· « Ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθησαν τὰ θεμέλια τῆς οἰκουμένης. » Πηγαὶ μὲν γὰρ ὑδάτων εἰσὶν οἱ θεσπέσιοι μαθηταὶ, τοὺς ἄνωθεν καὶ διὰ τοῦ Πνεύματος τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἀναβρύοντες λόγους. Εἰσὶ δὲ ὁμοίως καὶ θεμέλια τοῦ κόσμου. Λίθος μὲν γὰρ ἐκλεκτὸς ὁ Χριστὸς, ὃς καὶ τεθεῖσθαι λέγεται παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς εἰς τὰ θεμέλια τῆς Σιὼν, τοῦτ' ἔστι, τῆς Ἐκκλησίας. Αὐτῷ γὰρ ἐπερηρείσμεθα καὶ διὰ πίστεως ἐποικοδομούμεθα οἶκος πνευματικὸς εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι. Λίθοι δὲ μετ' αὐτὸν, ἤτοι θεμέλια τῆς οἰκουμένης, εἶεν ἂν ὀνομάζοιντό τε καὶ σφόδρα εἰκότως οἱ διακηρύττοντες αὐτὸν τοῖς ἀνὰ πᾶσαν τὴν γῆν. Ἀνέχουσι γὰρ ἡμᾶς τὰ αὐτῶν συγγράμματα πρὸς ἑδραιότητα καὶ βεβαίωσιν τὴν ἐν πίστει τε καὶ ἀληθείᾳ.

VERS. 4-6. *Et dices in die illa: Hymnis celebrate Dominum, invocate nomen ejus, annuntiate in gentibus gloriosa ejus, commemorate quoniam exaltatum est nomen ejus. Laudate nomen Domini, quoniam excelsa fecit, annuntiate hæc in omni terra. Exsultate et lætamini, qui habitatis Sion, quia exaltatus est Sanctus Israelis in medio tui.* C

O rem admirandam et incredibilem! Qui modo mysteriis initiatus est, dein ad Salutaris fontes accessit, vitalesque hausit latices, tantam videtur cepisse progressionem, ad hoc, inquam, ut fidus et germanus exsistat, ut statim apostolicum ministerium ostendat, et non solum ut ad glorificandum Deum instigabatur solus, sed jam aliis quoque omnibus hoc factitandum mandat, dicens: D Hymnis prædicate Deum, invocate nomen ejus. Et quibusnam injungit invocare, perspicuum facit, dicens illico: Annuntiate in gentibus gloriosa ejus. Ne enim, inquit, lateat Servatoris gloria. Omnibus conspicua sit divina ejus vis atque potestas. Servavit, nec mala refricat: sustulit inexpugnabilem diaboli ac dæmoniorum tyrannidem, redemit deceptos, in libertatem asseruit captivitate constrictos. Fausta nuntiavit cæcis, ut visum reci-

C *Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, Ὑμνεῖτε Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ· μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες ἐν Σιὼν, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ σου.*

Ὢ παραδόξου πράγματος! Ὁ ἀρτίως μυσταγωγούμενος, εἶτα περιτυχὼν ταῖς τοῦ Σωτηρίου πηγαῖς καὶ τὸ ζωαρκὲς ἀρυσάμενος νᾶμα, τοσαύτην ὁρᾶται προσειληφὼς τὴν ἐπίδοσιν, τὴν εἰς γε φημὶ τὸ εἶναι πιστὸς καὶ γνήσιος, ὥστε καὶ ἀποστολικὴν εὐθὺς ἐνδείκνυται λειτουργίαν. Καὶ οὐχ ὅπως αὐτὸς δοξολογεῖν ἐπείγετο μόνος, ἀλλ' ἤδη καὶ τοῖς ἄλλοις D ἅπασι τοῦτο δρᾷν ἐπιτάττει λέγων· Ὑμνεῖτε Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ. Καὶ τίσιν ἄρα προστάττει βοᾷν, ἐναργὲς καθίστησιν ἐπιλέγων εὐθύς· Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ. Μὴ γὰρ δὴ λανθανέτω, φησὶ, τοῦ Σωτῆρος ἡ δόξα, ἅπασιν ἔστω καταφανὴς ἡ θεοπρεπὴς αὐτοῦ δύναμίς τε καὶ ἐξουσία. Σέσωκε μὲν ἀμνησικάκως· καθεῖλεν ἄμαχον τυραννίδα τὴν τοῦ διαβόλου καὶ τῶν δαιμονίων· ἐλυτρώσατο τοὺς ἠπατημένους· ἠλευθέρωσε τοὺς ἐν αἰχμαλωσίᾳ· εὐηγγελίσατο τυφλοῖς ἀνάβλεψιν.

[83] Matth. IV, 4. [84] Psal. XVII, 16.

A Δεδικαίωκε διὰ πίστεως, ἡγίασε διὰ τοῦ Πνεύματος, υἱοὺς ἀπέφηνε Θεοῦ τοὺς πάλαι δραπέτας καὶ τὴν ἀκλεᾶ καὶ ἐπάρατον διαβιοῦντας ζωήν. Πεπληροφόρηκε διὰ πραγμάτων ὅτι φύσει τε καὶ ἀληθῶς ἐστι Θεός. Ἤγειρε νεκρούς, καθαροὺς ἀπέφηνε τοὺς ἐν λέπρᾳ. Τεθεράπευκε νεύμασι τοὺς ἐν ἀῤῥωστίαις· ἀνέκοψε πνευμάτων ὁρμάς. Δεδυσώπηκε θάλασσαν ἀγρίαν οὖσαν. Οὐκοῦν ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ, καὶ διὰ μνήμης ποιεῖσθε πολλῆς, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑψηλὰ γὰρ ἐποίησεν. Καὶ γάρ ἐστιν ἀληθῶς ὑπὲρ ἀνθρώπου χεῖρα, μᾶλλον δὲ καὶ παντὸς ἐπέκεινα θαύματος τὰ κατωρθωμένα. Ἀγαλλιᾶσθε δὴ οὖν καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες Σιὼν, τοῦτ' ἔστιν, οἱ ἑδραίαν ἔχοντες τὴν πίστιν ἐν Ἐκκλησίαις· ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν
B μέσῳ σου. Εἰ γὰρ καὶ γέγονεν ἄνθρωπος ὁ ἅγιος τοῦ Ἰσραὴλ, καὶ ἐν δούλου μορφῇ καθίκετο δι' ἡμᾶς οἰκονομικῶς, ἀλλ' οὖν ἐκ τῶν ἀποτελεσμάτων, καὶ τῆς τῶν ἔργων λαμπρότητος, ὑψώθη θεοπρεπῶς· καὶ τίς κατὰ φύσιν ἐστὶν, ἐγνώκαμεν.

ΤΟΜΟΣ Β'.

Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς κατὰ Βαβυλῶνος.

Ἡ μὲν κατὰ Βαβυλῶνος ὅρασις, καὶ μὴν καὶ αἱ ταύτῃ καθεξῆς, κατά γε Ἰδουμαίων καὶ Μωαβιτῶν, καὶ μέν τοι καὶ Αἰγυπτίων, καὶ προσέτι τῶν ἑτέρων πεποίηνται μὲν εἰς παράκλησιν τῷ Ἰσραήλ· ἱστορικωτέραν δέ πως τῶν σημαινομένων ἔχουσι τὴν ἀπόδοσιν, πλὴν ἐφεῖται τοῖς νουνεχεστέροις, ὡς ἐκ
C παχείας καὶ νῦν εἰκόνος μεταχαράττειν ἀστείως εἰς πνευματικὴν θεωρίαν τὰ τοῖς ἀρχαίοις συμβεβηκότα σαφεστάτην· ὃ τοῖς ἐντευξομένοις ποιήσεται τὴν ἀφήγησιν προϊὼν ὁ λόγος, καὶ τῶν γεγραμμένων ἕκαστα διερμηνεύων ὡς ἔνι. Χρῆναι δὲ οἶμαι καὶ νῦν ἐπὶ τὴν τοῦ πράγματος ἀρχὴν ἀναδραμεῖν, καὶ τὰς τῆς ὁράσεως αἰτίας προαφηγήσασθαι. Κεκλημένος γὰρ διὰ τοῦ πανσόφου Μωσέως ὁ Ἰσραὴλ εἰς ἐπίγνωσιν καὶ λατρείαν τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ, καὶ νόμον ἔχων τὸν ἀπευθύνοντα πρὸς πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων, κατημέλησε μὲν τῆς αὐτῷ δοθείσης ἐντολῆς, ἐτράπετο δὲ πρὸς διδασκαλίας ἐντάλματα ἀνθρώπων, μᾶλλον δὲ καὶ τοῖς ἔτι χείροσιν ἑαυτὸν ἐνιεὶς, τοῖς τῆς εἰδωλολατρείας ἐνώλισθε βόθροις. Ἐπητιᾶτο γοῦν τοιαῦτα δρᾷν ἑλομένους ὁ τῶν ὅλων
D Θεὸς διὰ παντὸς προφήτου, καὶ πολλὴν ἐποιεῖτο δεδυσσεβηκότος αὐτοῦ τὴν καταβοήν. Ἔφη γοῦν· « Ἐγγίζει μοι ὁ λαὸς οὗτος, τοῖς χείλεσιν αὐτῶν τιμῶσί με· ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. » Μάτην δὲ σέβονταί με διδάσκοντες διδασκαλίαν ἐντάλματα ἀνθρώπων. Καὶ πάλιν· « Τί ἡ ἠγαπημένη ἐποίησεν ἐν τῷ οἴκῳ μου βδέλυγμα; » Βδέλυγμα δὲ τὸ εἴδωλον ὀνομάζει. Οὐκοῦν ἀπονενευκότα δεινῶς εἰς ἐκτόπους ἐξιτηλείας, καὶ τῆς ὑπὸ Θεῷ δουλείας ἀποφέροντας τὸν αὐχένα, καὶ γαῦρον ὥσπερ αὐτῷ τὸ οἰκεῖον ἀντεγείροντες φρόνημα, παρεδίδου κατὰ καιροὺς, ποτὲ μὲν τοῖς τὴν γείτονα νεμομένοις χώραν, Ἰδουμαίοις τέ φημι, καὶ μέντοι καὶ Μωαβί-

A perent, justificavit per fidem, sanctificavit per spiritum, filios effecit Dei quondam fugitivos et ignobilem degentes vitam et exsecrabilem. Rebus ipsis certo fidem fecit, se natura et vere Deum **214** esse. Excitavit mortuos, leprosos fecit mundos, infirmitatibus laborantes nutu sanavit, spirituum assultus præscidit, mare sævum vultu compescuit. Quocirca annuntiate in gentibus gloriosa ejus, et commemorate quod sublime sit nomen ejus. Excelsa enim fecit. Sunt namque vere supra hominis manum, imo ultra omnem admirationem præclare ab illo præstita. Exsultate igitur et lætamini, qui habitatis Sion, id est, qui firmam fidem habetis in Ecclesiis, quoniam sublimis est sanctus Israelis in te. Quamvis etenim homo
B factus sit sanctus Israelis, et in forma servi venerit propter nos ad dispensationis perfunctionem, ex effectibus tamen operumque splendore, divina subvectus est dignitate, et quis natura sit, perspeximus.

TOMUS II.

Cap. XIII. Vers. 1. *Visio quam vidit Isaias filius Amos contra Babylonem.*

Visio hæc contra Babylonem, et quæ hic deinceps contra Idumæos, et Moabitas, et Ægyptios porro et reliquos fiunt, ad consolandum Israelem adhibentur: explanationem autem habent magis historicam, quam quæ significantur: verum licet acutioribus quæ majoribus acciderunt velut ex
C crassa figura ac imagine, ad spiritualem considerationem venuste convertere: oratioque progrediens, etiam quæ scripta sunt sigillatim, quantum licuerit, interpretans, narrationem lectoribus efficiet planissimam. Jam, ut arbitror, ad rei primordium recurrendum, et visionis causæ prius exponendæ. Nam vocatus per sapientissimum Mosen Israel ad agnitionem cultumque veri Dei, et legem habens ad omnia admirabilia dirigentem, præceptum sibi datum neglectui habuit, conversusque est ad doctrinas, mandata hominum, imo deterioribus adhuc se immiscens, delapsus est in idololatriæ voragines. Invectus est igitur in eos qui talia commiserunt universitatis Deus per omnes prophetas, **215** multumque vociferatus est in eum qui
D tanta impietate se obstrinxit. Dixit ergo: « Appropinquat mihi populus hic, labiis suis honorant me, cor autem eorum procul abest a me. Frustra autem colunt me docentes doctrinas, mandata hominum [88]. » Et rursus: « Quid dilecta fecit in domo mea abominationem? » Abominationem idolum nominat. Itaque velut graviter ad fœdam supinitatem declinantes, et a servitio Dei cervicem subducentes, suumque sensum superciliosum contra eum erigentes, certis temporibus tradidit, nunc contiguam regionem occupantibus, Idumæis inquam, Moabitis, Ægyptiis et Philistinis, nunc graviore illis plaga illata, mortalium crudelissimos in eos

[88] Isa. XXIX, 13.

immisit, Babylonios inquam, qui etiam universa A Judæorum regione citra laborem devastata, captivam abduxerunt in suam regionem multitudinem innumerabilem. Cæterum hæc eventura esse illis, qui Deum universitatis ad iram provocarent, prædixerunt olim beati prophetæ. At hi, licet quæ prænuntiata jam sunt, etiam ad finem pervenissent, nihilo secius præfracti erant et pervicaces, exsecrandam et a legis regula alienissimam vitam instituentes. Appositissime ergo universitatis Deus post plagam et flagella, et quæ his definitis temporibus ab hostibus erant obventura, suavissimarum rerum, quæ delectare poterant, facit præsignificationem: promittitque jam quantumvis factis captivis reditum se adornaturum, et miseriæ nexus relaxaturum, illosque qui olim vicerunt, in B manus hostium traditurum. Maxime enim conveniebat etiamsi inemendati propter illa fuerint, posterioribus tamen hisce impense deinceps gaudere, et in spem desideratarum rerum velut alis evectos, gratissimum Deo cultum in pretio habere, et mentem illi affixam ac immotam custodire. Quoniam igitur, licet complures olim Judæorum regiones populati fuerint, crudeliores tamen aliis et sæviores fuerunt, Chaldæi maxime, et qui tum temporis Babyloni præfuerunt, illis quodammodo primum oratio prophetica insultat, ac inquit:

A ταις, Αἰγυπτίοις καὶ τοῖς ἐκ Φυλιστιεὶμ, ποτὲ δὲ καὶ δυσαχθεστέραν αὐτοῖς ἐπιφέρων πληγὴν, τοὺς ὅτι μάλιστα τῶν ἐπὶ γῆς ὠμοτάτους αὐτοῖς ἐπηφίει, φημὶ δὴ τοὺς Βαβυλωνίους, οἳ καὶ πᾶσαν ἀμογητὶ τὴν τῶν Ἰουδαίων καταδῃώσαντες χώραν, αἰχμάλωτον ἀπεκόμισαν εἰς τὴν ἑαυτῶν ἀριθμοῦ κρείττονα πληθύν. Ἀλλὰ ταυτὶ μὲν ὅτι συμβήσεται παροτρύνουσιν αὐτοῖς τὸν τῶν ὅλων Θεὸν, προηγόρευον κατὰ καιροὺς οἱ μακάριοι προφῆται. Οἱ δὲ καίτοι πρὸς πέρας αὐτοῖς ἐκβεβηκότων τῶν ἤδη προηγγελμένων, οὐδὲν ἧττον ἦσαν σκληροί τε καὶ ἀπειθεῖς, βδελυρὰν καὶ ἐκνομωτάτην ἐπιτηδεύοντες ζωήν. Οἰκονομικώτατα τοίνυν ὁ τῶν ὅλων Θεὸς μετὰ πληγὴν καὶ μάστιγας καὶ τὰ ἐκ τῶν πολεμίων συμβεβηκότα κατὰ καιροὺς αὐτοῖς, καὶ τῶν ἡδίστων καὶ κατευφραίνειν B εἰδότων ποιεῖται τὴν προαγόρευσιν· ὑπισχνεῖται δὲ ὅτι καὶ τοὺς ἤδη γεγονότας αἰχμαλώτους ὑπονοστῆσαι παρασκευάσει, καὶ τῶν τῆς ταλαιπωρίας ἀνήσει δεσμῶν, παραδώσει δὲ καὶ αὐτοὺς τοὺς πάλαι νικήσαντας εἰς χεῖρας ἐχθρῶν. Ἦν γὰρ δή που καὶ μάλα εἰκὸς, εἰ καὶ ἀνουθέτητοι μεμενήκασιν ἐπ' ἐκείνοις, ἀλλ' οὖν ἑλέσθαι λοιπὸν τὸ κἂν γοῦν τοῖς δευτέροις ἐφησθῆναί τε ἅμα, καὶ εἰς ἐλπίδα τῶν ποθουμένων ἀναπτερουμένους, τὴν τῷ Θεῷ φιλαιτάτην τιμῆσαι λατρείαν, καὶ ἀκλόνητον αὐτῷ τηρῆσαι τὸ φρόνημα. Ἐπειδὴ τοίνυν, εἰ καὶ πολλοί τινες ἦσαν οἱ κατὰ καιροὺς τὴν τῶν Ἰουδαίων χώραν πεπορθηκότες, ἀλλ' οἵ γε τῶν ἄλλων ἀπηνέστεροί τε καὶ ἀγριώτεροι Χαλδαῖοι μάλιστα, καὶ οἱ τῆς Βαβυλῶνος βεβασιλευκότες κατὰ καιροὺς αὐτοῖς οἱονεὶ καὶ πρώτοις ὁ τῆς προφητείας λόγος ἐπιπηδᾷ καί φησιν·

Vers. 2. *In monte campestri tollite signum.*

Oportere autem existimo qui diligenter 216 verba proposita enarrare voluerint, aliquid quod ad rem facit, necessario præfari. Cyrus ergo patre quidem Cambyse, matre vero Mandana natus, Persiæ ac Mediæ rex, oppugnavit Babylonem et omnem regionem Chaldæorum, licet ampla sit et maxima; et sane expugnavit cepitque eam non viribus suis, neque robustiori manu (invicta siquidem et insuperabilis erat gens Chaldæorum, et propter multitudinem, et propter magnam rei militaris peritiam), sed potius quod Deus ei adversarios subjiceret, impiumque Babyloniorum imperium labefaciaret: quippe quod apud illos præstigiæ maxime vigerent, et innumerabilia idolorum examina essent: nimirum terra sculptilium nominata est, vel propter D turbam idolorum, vel etiam quod unusquisque incolarum nullo modo ab idolo discrepare deprehenderetur, in quantum nempe impotenter et effrenate in errorem prolabebantur. Ad hæc, quia sancta terra et Deo deputata, id est, Judæa devastata, et Hierosolymis ipsoque divino templo incensis, abduxerunt in suam regionem vasa sacra, atque impotenti ira concitati Israelem occiderunt, quantumvis sanctus populus, et portio et sors Dei nominaretur. Nam quod Israelem idola colentem tradiderit Deus in manus hostium, non obscurum est sacrarum Litterarum scientibus, sed qui ad hoc vocati sunt, eos non levi supplicio affecerunt. Invenietur enim alicubi dixisse universitatis Deus voce Zachariæ:

C *Ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον.*

Δεῖν δὲ οἶμαι τῆς ἑρμηνείας τῶν προκειμένων ἀκριβῆ ποιεῖσθαι τὴν ἀπόδοσιν ᾑρημένους, προαφηγήσασθαί τι τῶν ἀναγκαιοτάτων. Κῦρος τοιγαροῦν, ὁ πατρὸς μὲν Καμβύσου γεγονὼς, μητρὸς δὲ Μανδάνης, Περσῶν τε καὶ Μήδων βεβασιλευκὼς, κατεστράτευσε τῆς Βαβυλῶνος, καὶ πάσης δὲ τῆς τῶν Χαλδαίων χώρας εὐρείας τε οὔσης καὶ πολλῆς ἄγαν· καὶ δὴ καὶ κεκράτηκεν. Εἷλεν αὐτὴν οὐ δυνάμεσιν ἰδίαις, οὔτε μὴν ἀλκιμωτέρᾳ χειρὶ χρήσασθαι δυνηθεὶς (ἄμαχον γάρ τι καὶ ἀνανταγώνιστον τὸ Χαλδαίων ἔθνος ἦν, διά τε πληθὺν, καὶ τὸ εὖ μάλα γεγυμνάσθαι τὰ τακτικὰ), Θεοῦ μᾶλλον ὑποφέροντος αὐτῷ τοὺς ἀνθεστηκότας, καὶ τὰ δυσσεβῆ τῶν Βαβυλωνίων κατασείοντος κράτη· διάτοι τὸ πλείστην μὲν D ὅσην παρ' αὐτοῖς εἶναι τὴν γοητείαν· ἀριθμοῦ δὲ κρείττονα τὸν τῶν εἰδώλων ἑσμόν· καὶ γοῦν γῆ τῶν γλυπτῶν κατωνόμασται, ἢ διὰ τὴν τῶν εἰδώλων πληθὺν, ἤγουν ὅτι καὶ ἕκαστος τῶν ἐκεῖσε κατῳκηκότων κατ' οὐδένα τρόπον εἰδώλου διενεγκὼν ἡλίσκετο, κατά γέ φημι τὸ ἀσχέτως τε καὶ ἀκρατῶς ἀπονεῦσαι πρὸς πλάνησιν. Εἶτα πρὸς τούτοις, ὅτι τὴν ἁγίαν καὶ ἐκνεμηθεῖσαν τῷ Θεῷ καταδῃώσαντες γῆν, τοῦτ' ἔστι, τὴν Ἰουδαίαν, κατεμπρήσαντές τε τὰ Ἱεροσόλυμα, καὶ αὐτόν τε τὸν θεῖον ναὸν, ἀπεκόμισαν μὲν τὰ σκεύη τὰ ἱερὰ εἰς τὴν ἑαυτῶν, θυμῷ δὲ ἀκράτῳ χρώμενοι τὸν Ἰσραὴλ ἀπεκτόνασιν, καίτοι λαὸν ἅγιον ὠνομασμένον, μερίδα τε καὶ κλῆρον Θεοῦ. Ὅτι μὲν γὰρ εἰδωλολατρήσαντα τὸν Ἰσραὴλ παρεδίδου Θεὸς εἰς χεῖρας ἐχθρῶν οὐκ ἀσυμφανὲς τοῖς τῶν

ἱερῶν γραμμάτων ἐπιστήμοσιν, ἀλλ' ἐκόλαζον οὐ A μετρίως οἱ κεκλημένοι πρὸς τοῦτο. Καὶ γοῦν εὑρίσκεταί που λέγων ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς Ζαχαρίου· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Καὶ πρός γε τὴν Βαβυλῶνά φησιν· « Ἐγὼ δέδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. » Κύρῳ δὴ οὖν παρεδίδου Θεὸς τὴν ἀλαζόνα καὶ ὑβρίστριαν, τὴν ἁπάσης φαυλότητος μητέρα καὶ τροφὸν, φημὶ δὴ τὴν Βαβυλῶνα. Γένοιτο δὲ καὶ τοῦτο σαφὲς λέγοντος αὐτοῦ διὰ Ἡσαΐου οὕτως· « Τάδε λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ πόλεις οὐ συγκλεισθήσονται. Ἐγὼ ἔμπροσθέν σου πορεύσο- B μαι, καὶ ὄρη ὁμαλιῶ. Θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συγκλάσω. » Νενικηκὼς δὲ ὁ Κῦρος ἀνῆκε τῆς αἰχμαλωσίας τὸν Ἰσραὴλ, οἴκοι τε χαίροντας ἰέναι προστέταχεν, καὶ μὴν καὶ αὐτὸν ἀναδείμασθαι τὸν θεῖον ναόν. Καὶ γοῦν ὁ προφήτης Ἱερεμίας, « Ὁ λόγος, » φησὶν, « ὃν ἐλάλησε Κύριος ἐπὶ Βαβυλῶνα· Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι, καὶ ἀκουστὰ ποιήσατε, καὶ μὴ κρύψητε. Εἴπατε· Ἑάλωκε Βαβυλὼν, κατῃσχύνθη Βὴλ, ἡ ἀπτόητος, ἡ τρυφερά. Παρεδόθη Μεωδὰχ, ὅτι ἀνέβη ἐπ' αὐτὴν ἔθνος ἀπὸ βοῤῥᾶ, αὐτὸς θήσει τὴν γῆν αὐτῆς εἰς ἀφανισμὸν, οὐκ ἔσται ὁ κατοικῶν ἐν αὐτῇ ἀπὸ ἀνθρώπου ἕως κτήνους. Ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ἥξουσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ Ἰούδα C ἐπὶ τὸ αὐτὸ βαδίζοντες καὶ κλαίοντες πορεύσονται τὸν Θεὸν αὐτῶν ζητοῦντες· ἕως Σιὼν ἐρωτήσουσι τὴν ὁδόν. Ὧδε γὰρ τὸ πρόσωπον αὐτῶν δώσουσι, καὶ ἥξουσι, καὶ καταφεύξονται πρὸς Κύριον. Διαθήκη γὰρ αἰώνιος οὐκ ἐπιλησθήσεται. » Καὶ πάλιν· « Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐκδικῶ ἐπὶ τὸν βασιλέα Βαβυλῶνος, καὶ τὴν γῆν αὐτοῦ, καθὼς ἐξεδίκησα ἐπὶ τὸν βασιλέα Ἀσσουρ· καὶ ἀποκαταστήσω τὸν Ἰσραὴλ εἰς τὴν νομὴν αὐτοῦ· καὶ νεμηθήσεται ἐν τῷ Καρμήλῳ, καὶ ἐν ὄρει Ἐφραΐμ, καὶ ἐν τῷ Γαλαὰδ, καὶ ἐμπλησθήσεται ἡ ψυχὴ αὐτοῦ. »

« Æmulatus sum Jerusalem et Sion æmulatione magna, et ira magna irascor gentibus quæ superimpositæ sunt : pro eo quod ego iratus fui modice, ipsæ vero superimpositæ sunt in mala [86]. » Et Babyloni ait : « Ego dedi eos in manus tuas, tu autem non impartivisti illis misericordiam [87]. » Cyro igitur tradidit Deus superbam et insolentem, omnis vitiositatis matrem et nutricem, dico autem Babylonem. Hoc autem manifestum esse poterit, dicente ipso Isaiæ voce sic : « Hæc dicit Dominus christo meo Cyro, cujus prehensavi dexteram, ut suscultent coram eo gentes, et civitates non occludentur. Ego ante te ambulabo, et montes complanabo, portas æneas conteram, et vectes ferreos confringam [88]. » **217** Cum subegisset vero Cyrus, laxavit captivitate Israelem, domumque lætos ire jussit, ipsumque Dei templum restaurare. Quin et propheta Jeremias inquit : « Verbum quod locutus est Dominus super Babylonem : Annuntiate inter gentes, et audita facite, et ne celate. Dicite : Capta est Babylon, confusus est Bel; imperterrita, mollis, tradita est Meodach, quia ascendit contra eam gens ab Aquilone, ipse rediget terram ejus in vastitatem, nec erit inhabitans in ea, nec homo, nec jumentum. In diebus illis et in tempore illo venient filii Israel ipsi, et filii Juda, una ambulantes et flentes ibunt, Deum suum quærentes, usque ad Sion interrogabunt viam. Huc enim faciem suam dabunt, et venient, et confugient ad Dominum. Fœdus enim æternum non tradetur oblivioni [89]. » Et rursus : « Propterea hæc dicit Dominus : Ecce ego vindictam sumam de rege Babylonis et de terra ipsius, sicuti vindictam sumpsi de rege Assur, et restituam Israel in pascua sua, et pascet in Carmelo, et in monte Ephraim, et in Galaad, et implebitur anima ejus [90]. »

Ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον, ὑψώσατε τὴν φωνὴν ἑαυτοῖς, μὴ φοβεῖσθε, παρακαλεῖτε τῇ χειρὶ, ἀνοίξατε οἱ ἄρχοντες. Ἐγὼ συντάσσω, καὶ ἐγὼ ἄγω αὐτούς. Ἡγιασμένοι εἰσὶν, καὶ ἐγὼ ἄγω αὐτούς. Γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν D *μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες.*

Ὁ μακάριος προφήτης μεμεστωμένον ἔχων τὸν νοῦν τοῦ ἁγίου Πνεύματος, γεγονώς τε ἐν ὀπτασίαις πραγμάτων, οἱονεὶ γραφομένων, μονονουχὶ καὶ ἐξάλλεται, Πέρσαις τε καὶ Μήδοις ἐπιφωνῶν, ὡς ἤδη κεκρατηκόσι τῆς Βαβυλωνίων, αἴρειν τε ὑψοῦ τῆς νίκης τὸ σύμβολον· τουτὶ γὰρ, οἶμαι, ἐστὶ τὸ σημεῖον· καὶ καταλαλάζειν τῆς Χαλδαίων στρατιᾶς, ὡς ἤδη πεσούσης καὶ παραδούσης αὐτοῖς τὴν ἀλαζόνα καὶ ἀοίδιμον, ἣν καὶ σφύραν τῆς γῆς ὁ προφήτης Ἱερεμίας ἀπεκάλει λέγων περὶ τῆς Βαβυλωνίων. Πῶς ἑάλω καὶ συνετρίβη ἡ σφύρα τῆς γῆς; πᾶσα γὰρ συνετρίβη πόλις τε καὶ χώρα καταπαιομένη τρόπον

VERS. 2, 3. *In monte campestri tollite signum, elevate vocem eis, consolamini manu, aperite, principes : ego instruo, et ego adduco eos, sanctificati sunt, et ego adduco eos. Gigantes veniunt ut expleant furorem meum, gaudentes simul et insultantes.*

Beatus propheta mentem habens repletam sancto Spiritu, et constitutus in specula ut res veluti sibi descriptas et ob oculos positas contempletur, tantum non exsultat, Persis juxta ac Medis acclamans, ac si jam subjugasset Babylonios, ut et tollant in altum victoriæ symbolum : hoc enim est, opinor, signum : et ut vocem tollant contra Chaldæorum exercitum, velut corruentem jam et tradentem ipsis superbam illam et celebrem regionem, quam malleum terræ propheta Jeremias vocavit, dicens de terra Babyloniorum : Quomodo captus est et contritus malleus universæ terræ?

[86] Zachar. I, 14, 15. [87] Isa. XLVII, 6. [88] Isa. XLV, 1, 2. [89] Jerem. L, 4-5. [90] ibid. 18, 19.

Tota enim civitas et regio contrita est et conquassata quodammodo, velut quopiam malleo, eorum rapinis. Montem autem, puto, campestrem nominat, veluti humilem et instar tumuli. Non enim in montibus excelsis vexilla statuunt vel tropæa aut signum, sed in collibus non ita editis, **218** ut simul et in loco nimis edito non ponatur, et toti exercitui maxime sit conspicuum et cognitum. Tollite igitur, inquit, signum quasi jam victores, Deo tanquam scuto protegente. Elevate vocem, id est, clamores contra phalangem inimicorum tollite. Ne timete. Potens enim procul dubio et inexpugnabilis omnibus ubique gentibus Babyloniorum manus, nec si qui extimescerent eam, illos quisquam reprehenderit. Sed nunc, ait, nolite timere, cum Deus eorum superbiæ iram suam opponat. Evocate manu. Et quid tandem est istud? Solent fortassis militum duces manu excitare, et nutu exstimulare fortissimos, et ad incursiones contra aliquos faciendas animare, cum veluti in magno tumultu vox ad hoc minus valeat. Proinde jubet ut qui rebus gerendis præficiuntur, copias quæ sub potestate sunt, manibus et nutibus cohortentur suosque ad invictam quamdam alacritatem exacuant. Acclamat etiam rursus: Aperite, principes. Vel enim iis imperat ut Babyloniis jam quasi devictis aperiant portas, et superbam olim et insolentem urbem tradant: vel etiam forte exercitui sancto, jussu et imperio Dei succurrenti Medis, et illis ardua licet ac prærupta agendis equis accommoda reddituro. Quo autem pugnantium insuperabilem manum demonstret, adnectit, et inquit: Ego instruo, et ego adduco eos; sanctificati sunt, et ego adduco eos. Simile enim fere est ac si diceret: Medorum exercitus multitudo non ultro venit ad vos, neque sola sua sponte ac voluntate Persarum populus accessit, sed ego potius eos ad hoc sanctificavi. Hic autem, sanctificavi, dicit pro segregavi, et velut selegi, ad ea gerenda quæ in vos statui. Igitur veniunt, inquit, quos ego adduco, velut gigantes quidam, ut furorem meum expleant, gaudentes simul et insultantes: gaudentes quippe qui confidunt se victoria potituros: insultantes autem, pro despuentes eos, ceu multum imbelles, et nullius pretii homunculos. Istiusmodi enim fere est semper barbarorum animus, propendens in spem victoriæ, et elevans semper adversarios et abjiciens. Ira enim eos maxime ad hoc regit, eumque fortitudinis ardorem ingenerat, ut omne periculum ac formidinem contemnant.

219 VERS. 4, 5. *Vox gentium multarum in montibus similis gentium multarum: vox regum et gentium congregatarum. Dominus Sabaoth præcepit genti bellicosæ ut veniat e terra longinqua. Ab extremo fundamento cœli Dominus, et bellatores ejus ad delendum omnem orbem terræ.*

Velut jam vociferantibus Medis, et vocem bellicosam extollentibus, velut equo hinniente, et per-

A τινὰ καθάπερ τινὶ σφύρᾳ, ταῖς ἐκείνων πλεονεξίαις. Ὄρος δὲ, οἶμαι, πεδινὸν ὀνομάζει τὸ οἱονεὶ χθαμαλὸν, καὶ ὡς ἐν τάξει γηλόφου. Οὐ γάρ τοι πρὸς τὰ ἀνεστηκότα τῶν ὀρῶν ἀναβαίνοντες τὰς σημασίας ἱστᾶσιν, ἤτοι τὰ τρόπαια, ἤγουν τὸ σημεῖον, ἀλλ' ἐπὶ βουνῶν οὐ λίαν ἠρμένων, ἵν' ἐν ταὐτῷ καὶ τὸ ὑψοῦ τεθεῖσθαι λίαν διαφύγῃ, εἴη δὲ καὶ ἁπάσῃ τῇ στρατιᾷ γνωριμώτατον. Ἄρατε τοίνυν, φησὶ, σημεῖον, ὡς ἤδη νενικηκότες Θεοῦ προασπίζοντος. Ὑψώσατε τὴν φωνὴν, τοῦτ' ἔστι, καταλαλάξατε τῆς τῶν ἐχθρῶν φάλαγγος, μὴ φοβεῖσθε. Δεινὴ μὲν γὰρ ὁμολογουμένως καὶ ἀνανταγώνιστος τοῖς ἁπανταχοῦ τῶν Βαβυλωνίων ἡ χεὶρ, καὶ οὐκ ἄν τις καταμωμήσαιτο τοὺς δεδιότας αὐτήν. Ἀλλὰ νῦν μὴ φοβεῖσθε, φησὶ, Θεοῦ ταῖς ἐκείνων ὑπεροψίαις τὴν ἰδίαν ὀργὴν ἀντεξάγον- B τος. Παρακαλεῖτε τῇ χειρί. Καὶ τί δὴ τοῦτό ἐστιν; Ἔθος τάχα που τοῖς τῶν τακτικῶν ἡγουμένοις χειρὶ παραθήγειν, καὶ νεύμασι παροτρύνειν τοὺς μαχιμωτάτους, ἐγείρειν τε πρὸς ἐφόδους αὐτοὺς τὰς κατά τινων, φωνῆς ἀτονούσης τοῦτο δρᾷν, ὡς ἐν θορύβῳ πολλῷ. Προστάττει τοιγαροῦν τοῖς τῶν πραγμάτων προεστηκόσι τὰς διὰ χειρῶν καὶ νευμάτων παρακλήσεις ποιεῖσθαι ταῖς ὑπὸ χεῖρα στρατιαῖς, καὶ εἰς ἄμαχόν τινα προθυμίαν παραθήγειν αὐτούς. Ἐπιφωνεῖ δὲ πάλιν τὸ, Ἀνοίξατε οἱ ἄρχοντες. Ἢ γὰρ αὐτοῖς ἐπιτάττει τοῖς Βαβυλωνίοις, ὡς ἤδη κεκρατημένοις ἀνοιγνῦναί τε τὰς πύλας, καὶ παραδιδόναι τὴν ἀλαζόνα ποτὲ καὶ ὑβρίστριαν πόλιν· ἢ τάχα που καὶ δυνάμεσιν ἁγίαις κατὰ πρόσταξιν Θεοῦ συνασπιζούσαις τοῖς Μήδοις, ἀποφα[ι]νούσαις τε αὐτοῖς C ἱππήλατα καίτοι λίαν δυσχερῆ. Ἵνα δὲ τὴν τῶν μαχομένων ἀήττητον ἀποδείξῃ χεῖρα, προστίθησι καί φησιν· Ἐγὼ συντάσσω καὶ ἐγὼ ἄγω αὐτούς. Μόνον γὰρ οὐχὶ τοιοῦτόν τί φησιν· Οὐ στρατιᾶς ὑμῖν Μηδικῆς ηὐτομόλησε πληθὺς, οὐδὲ ἐκ μόνης τῆς ἰδίας γνώμης ὁ Περσῶν ἐπεφοίτησε δῆμος· ἢ τάχα μᾶλλον αὐτοὺς ἐγὼ καὶ ἡγίακα πρὸς τοῦτο. Τὸ δὲ ἡγίακα, φησὶν, ἐν τούτοις, ἀντὶ τοῦ ἀφώρισα καὶ οἱονεὶ ἐξελεξάμην πρὸς κατόρθωσιν ὧν βεβούλευμαι καθ' ὑμῶν. Ἔρχονται τοίνυν, φησὶν, οὓς ἐγὼ ἄγω, καθάπερ τινὲς γίγαντες πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες· χαίροντες μὲν ἅτε δὴ καὶ τεθαῤῥηκότες ὅτι κρατήσουσιν· ὑβρίζοντες δὲ, ἀντὶ τοῦ περιπτύοντες ὡς πολὺ νοσοῦντας τὸ D ἄναλκες, καὶ οὐδενὸς ὄντας ἀξίους. Τοιοῦτον γάρ πως ἀεὶ τὸ βάρβαρον φρόνημα, καὶ προαλὲς εἰς ἐλπίδα τὴν ἐπί γε τὸ δύνασθαι κρατεῖν, καὶ κατασμικρύνον ἀεὶ τοὺς ἀνθεστηκότας. Στρατηγεῖ γὰρ μάλιστα θυμὸς πρὸς τοῦτο αὐτοὺς, καὶ τὸν τῆς εὐανδρείας ἐντίκτει πόθον, τὸ καὶ παντὸς κινδύνου καὶ φόβων ὑπερορᾷν.

Φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων ὁμοία ἐθνῶν πολλῶν, φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων. Κύριος Σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ ἔρχεσθαι ἐκ γῆς πόῤῥωθεν ἀπ' ἄκρου θεμελίου τοῦ οὐρανοῦ Κύριος, καὶ οἱ ὁπλομάχοι αὐτοῦ τοῦ καταφθεῖραι τὴν οἰκουμένην ὅλην.

Ὡς ἀλαλαζόντων ἤδη τῶν Μήδων, καὶ τὴν τοῖς πολέμοις πρέπουσαν ἐξαιρόντων φωνὴν, ὡς ἵππου

μὲν χρεμετίζοντος καὶ διωκόντων τινῶν, τραπομένων A δὲ ἤδη πρὸς φυγὴν ἑτέρων μεγάλης τε καὶ παμμιγοῦς διασκιδναμένης ἠχῆς, « Φωνή, » φησὶ, « πολλῶν ἐθνῶν ἐπὶ τῶν ὀρέων, ὁμοία ἐθνῶν πολλῶν. » Οὐ τοιαύτη, φησίν, ἡ φωνὴ, ὥστε καὶ εἰκάσαι τινὰς εὐαριθμήτους εἶναι τοὺς κεκραγότας, οἴεσθαι δὲ μᾶλλον καὶ ἀριθμοῦ κρείττονα τὴν τῶν βοώντων εἶναι πληθύν. Ἀποφαίνει δὲ ὁ λόγος ὁμοῦ τοῖς ὑπεζευγμένοις τοὺς καθηγεῖσθαι λαχόντας καταπεπλῆχθαι τοῖς δείμασιν. « Ἐθνῶν γὰρ εἶναι καὶ βασιλέων ἰσχυρίζεται τὴν φωνήν. Οὐκοῦν εἶεν ἂν οἱ κεκραγότες, ὁ Βαβυλωνίων ἄπλετος δῆμος, καὶ σὺν αὐτοῖς οἱ περιφανέστεροι, δορύληπτον ἤδη γεγενημένην ὁρῶντες τὴν πόλιν, ἤγουν Πέρσαι τε καὶ Μῆδοι τῶν ἁλόντων καταλαλάζοντες. Αὐτοὺς δὲ, οἶμαι, καὶ ὁπλομάχους ἀποκαλεῖ, καὶ ἐκ γῆς πόῤῥωθεν ἐρχόμενον B ἔθνος· ἀπ' ἄκρου θεμελίου τοῦ οὐρανοῦ, τοῦτ' ἔστιν, ἐξ αὐτῶν τῶν τερμάτων τῆς Μηδικῆς, καὶ τῶν ἐσωτάτων γῆς τῆς βορειωτάτης. Ἐπειδὴ δὲ κατὰ βούλησιν Θεοῦ τὴν ἔφοδον ἐμελέτων ὁπλομάχους αὐτοὺς τοῦ Κυρίου καλεῖ, ἦχθαί τέ φησι πρὸς τὸ καταφθεῖραι τὴν οἰκουμένην ὅλην, καὶ οὐχὶ δὴ πᾶσαν τὴν καθ' ἡμᾶς. Οὔτε γὰρ τοῦτο γεγονὸς εὑρήσομεν παρά τε Κύρου καὶ τῶν σὺν αὐτῷ. Οἰκουμένην δὲ ἀποκαλεῖ τὴν Χαλδαίων, διάτοι τὸ πλείστην εἶναι καὶ εὐρεῖαν ἀμέτρως, καὶ οἷον οἰκουμένῃ φιλονεικεῖν, διὰ τὴν τῶν ἐνοικούντων πληθύν.

Ὀλολύξατε· ἐγγὺς γὰρ ἡ ἡμέρα Κυρίου, καὶ συντριβὴ παρὰ Θεοῦ ἥξει. Διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει. C *Καὶ ταραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν, ὡς γυναικὸς τικτούσης· καὶ συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἐκστήσονται, καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν.*

Ὡς ἐλπίδος ἁπάσης ἀνῃρημένης, ὡς οὐδενὸς ἔτι περιλελειμμένου τοῖς Βαβυλωνίοις, πλὴν ὅτι δὴ μόνου τὸ χρῆναι κατολοφύρεσθαι, τὸ, ὀλολύξατε, φησί. Προστέταχε δὲ καὶ οἷον ἀπογινώσκειν τὴν σωτηρίαν, καὶ μὴ ἀνονήτοις πράγμασιν ἐπιχειρεῖν, μὴ μελετῶντας τὴν ἀντίστασιν. Ὡς θείας αὐτοῖς ἐξωπλισμένης ὀργῆς, καὶ συντριβῆς ἐπενηνεγμένης διὰ ψήφου τῆς ἄνωθεν. Ἄμαχον δὲ τὸ χρῆμα παντελῶς· « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » κατὰ τὸ γεγραμμένον. Καὶ πάλιν· « Ἐὰν κλείσῃ κατὰ ἀν- D θρώπου, τίς ἀνοίξει; » Ποία γὰρ ἰσχὺς, ἢ καὶ τίνος ὅλως πολεμήσει Θεῷ; διὰ τοῦτό φησιν, ὅτι πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει· κατασείοντος γὰρ εἰς δειλίας τὰς τῶν ἀνθρώπων ψυχὰς τοῦ πάντα ἰσχύοντος Θεοῦ, τίς ἐνήσει τὸ θάρσος, ἤγουν εὔψυχον ἀποφανεῖ, καὶ ἱκανῶς ἔχοντα πρὸς ἀντίστασιν; Ταραχθήσεσθαι δὲ τοὺς πρέσβεις φησὶ, καὶ ὠδῖσιν αὐτοὺς ὡς γυναικὸς τικτούσης περιπεσεῖν, συμφοράσειν δὲ ἕτερος πρὸς τὸν ἕτερον, καὶ μὴν καὶ ἐκστήσεσθαι, καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλόγα μεταβαλεῖν. Πρέσβεις δὲ, οἶμαι, φησὶ, τοὺς τῶν εἰδώλων ἱερουργοὺς, τοὺς τῇ

sequentibus nonnullis, cæterisque in fugam jam versis, et ingenti ac confuso sono dissipato: « Vox, » inquit, « gentium multarum in montibus similis gentium multarum. » Non ea, inquit, vox est, ut paucos esse eos qui clamarunt conjicere quis possit, sed potius innumerabilem esse clamantium multitudinem putet. Ostendit autem hæc oratio, una cum subditis metu perculsos fuisse etiam eos qui principem locum obtinuerunt. Gentium enim et regum vocem esse affirmat. Itaque illi, qui clamores sustulerunt, infinitus populus sint Babyloniorum, et in his insigniores, captam jam urbem conspicati: vel etiam Persæ et Medi, captis occlamantes. Illos autem, credo, armatos quoque bellatores nuncupat, et e longinquo venientem gentem ab extremo fundamento cœli, id est, ab ipsis finibus Medicæ regionis, et interioribus terræ, maxime borealis. Quoniam autem consilio et voluntate Dei hanc impressionem susceperunt, bellatores ipsos Dei appellat et adductos ait ad delendum totum orbem terræ: non quidem totam hanc quæ apud nos est: nec enim hoc a Cyro et comitatu ejus factum inveniemus. Orbem vero terræ vocat Chaldæorum terram, utpote maximam et supra modum spatiosam, et quæ cum orbe terrarum quodammodo certaret, propter habitantium multitudinem.

VERS. 6-8. *Prope enim est dies Domini, et contritio a Deo veniet. Propterea omnis manus resolvetur, et omnis anima hominis timebit, et perturbabuntur legati, et dolores tales habebunt, quales sunt mulieris parientis: condolescent alter ad alterum, et stupebunt, et faciem suam tanquam flamma mutabunt.*

Tanquam spe omni sublata, et nulla re **220** alia Babyloniis, nisi solum ut lugeant relicta: Plorate, inquit. Jussit autem et quasi desperare salutem, et non res inutiles ingredi, ac frustra repugnare, cum divina ira sit in eos velut armata, et superno decreto inducta sit vastatio: id quod omnino ineluctabile est: « Manum enim excelsam quis avertet[93]? » quemadmodum scriptum est. Et rursus: « Si clauserit adversus hominem, quis aperiet[94]? » Quæ enim fortitudo, aut cujus plane bellabit cum Deo? Propterea inquit: Omnis manus resolvetur, et omnis anima hominis timebit: Deo enim omnipotente concutiente animos hominum timore, quis exseret fortitudinem? quisve animosum se et ad resistendum habilem ac validum satis ostendet? Turbandos vero inquit legatos, et in dolores tanquam feminæ parientis deventuros, et alterum apud alterum condoliturum, et attonitos fore, et faciem ipsorum instar flammæ mutandam. Legatos vero, ut arbitror, dicit idolorum sacrificos, magica arte insignes apud Babylonios, dæmoniorum cultores, qui, ut apparet, cum expeditio adornaretur, et adventantes Medi cum

[93] Isa. xiv, 27. [94] Job xii, 14.

Cyro et Persis exspectarentur, vaticinabantur A bona, et auxilia quærebant a dæmoniis, supplicationibus decretis, et donaria stata offerentes, cæremonias videlicet et sacrificia stata adhibentes, et pro universa regione deprecaturos se pollicentes. Hi proinde, inquit, dæmoniorum cultores et supplicatores, sacrificia pro omnibus nuncupantes, quando viderint res præter spem mutatas, perturbabuntur, et gravibus affligentur doloribus, et alter cum altero congemiscet, id est, secum acclamabunt, velut præ nimia miseria, illud, væ, scilicet et similia. Et velut a flamma mutabunt faciem. Solet enim eorum facies qui animo dejecto sunt, denigrari, ut aliud nihil esse videatur, quam favilla et cineris marcidi reliquiæ.

μάγῳ τέχνῃ διαπρεπεστάτους παρὰ τοῖς Βαβυλωνίοις, τοὺς τῶν δαιμονίων θεραπευτάς, οἳ κατά γε τὸ εἰκὸς τῆς ἐφόδου μελετωμένης ἀφίξεσθαι τῶν Μήδων Κύρῳ τε ὁμοῦ καὶ Πέρσαις προσδοκωμένων, κατεμαντεύοντο τὰ χρηστά, καὶ τὰς παρὰ τῶν δαιμονίων ἐκάλουν ἐπικουρίας, λιτὰς ἀνατείνοντες καὶ γέρα προσεπάγοντες τὰ νενομισμένα, τελετὰς δῆλον ὅτι καὶ τὰς βεβήλους θυσίας, πρεσβεύειν τε ὑπὲρ ἁπάσης τῆς χώρας ὑπισχνούμενοι. Οὗτοι τοίνυν, φησίν, οἱ τῶν δαιμονίων θεραπευταὶ καὶ ἱκέται, οἱ τὰς ὑπὲρ πάντων τελοῦντες θυσίας, ὅταν ἴδωσιν ἀντεστραμμένα πρὸς τὰ παρ' ἐλπίδα τὰ πράγματα αὐτοῖς, ταραχθήσονταί τε καὶ ἐν ὠδῖσιν ἔσονται πικραῖς, συμφοράσουσίν τε ἕτερος πρὸς τὸν ἕτερον, τοῦτ' ἔστιν, ἀλλήλοις ἐπιφωνήσουσι τὰ ὡς ἐξ ἀκράτου συμφορᾶς, τὸ, οὐαὶ, δηλονότι καὶ τὰ παραπλήσια. Ὥσπερ δὲ ὑπὸ φλογὸς μεταβαλοῦσι τὸ πρόσωπον. Φιλεῖ γάρ πως τὸ τῶν ἀθυμούντων καταμελαίνεσθαι πρόσωπον, ὡς οὐδὲν ἕτερον εἶναι δοκεῖν πλὴν ὅτι σποδιὰν καὶ σποδοῦ μαρανθείσης λείψανον.

Vers. 9-11. *Ecce enim dies Domini venit insanabilis, furoris et iræ, ut redigat orbem terrarum in vastitatem, et ex ea peccatores tollat. Astra enim cœli, et Orion, et omnis ornatus cœli lumen non dabunt: et* **221** *tenebræ offundentur sole oriente, et luna non dabit lucem suam. Et mandabo universo orbi mala, ac impiis peccata sua: delebo insolentiam iniquorum, et insolentiam superborum deprimam.*

B *Ἰδοὺ γὰρ ἡμέρα Κυρίου ἀνίατος ἔρχεται θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἐξολοθρεῦσαι ἐξ αὐτῆς. Οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ, καὶ ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ τὸ φῶς οὐ δώσουσι· καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. Καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακὰ, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω.*

Perspicue his verbis conatur docere, quid tandem causæ sit, cur principes inter se condoleant, faciemque veluti a flamma mutent. Cum enim vaticinarentur, ut dixi, illis ex animi ipsorum sententia, idque Babyloniis omnibus, spe vero exciderint; propterea dicit: Mœrore erunt pleni. Invasit enim eos insanabilis dies, universitatis Domino eam inducente. Diem rursus vocat tempus, quo divina hæc et inevitabilis ira exstitit, ut terram Chaldæorum in vastitatem redegerit, et peccatores ex ea perdiderit. Nec quasi ibi quidam essent ab ira immunes, propterea quod essent boni viri, idcirco dicit perditurum se peccatores: quin hoc nomen potius omnibus Chaldaicæ regionis habitatoribus jure competere poterit, quippe qui omnes nequam fuerint et idololatræ. Quoniam vero magnitudo calamitatum quandoque humanam mentem tantum non caligine et tenebris opplet, ut etiam eum dies sit, lux solis abesse existimetur, et ad lumen præbendum omnis ille ornatus cœli et ipsius lunæ orbis inefficax esse videatur, ideo inquit, Astra cœli et Orion, et omnis ornatus cœli lumen non dabunt, et tenebræ Babyloniis seu menti Babyloniorum offundentur, etiam sole oriente, et luna splendente, etiamsi elementa lumen suum non contraxerint, sed quod illi velut præ magno metu divinæ iræ subjecti essent, et animo noctem et tenebras haberent. Mandabo autem, inquit, universo orbi mala. Mandabo, ait pro, minabor, vel inferri præcipiam ut superbiam iniquorum evertam, et superbos illos, nimirum arrogantes deprimam. Fastuosa

Ἀναφανδὸν ἐν τούτοις διδάσκειν πειρᾶται, ὁποία τίς ἐστιν ἡ πρόφασις τοῦ συμφοράσαι μὲν πρὸς ἀλλήλους τοὺς ἄρχοντας, μεταβαλεῖν δὲ τὸ πρόσωπον ὡς ἀπὸ φλογός. Ἐπειδὴ γὰρ κατεμαντεύοντο μὲν, ὡς ἔφην, τὰ κατ' εὐχὴν ἑαυτοῖς, καὶ πᾶσι δὲ τοῖς Βαβυλωνίοις· C διημαρτήκασι δὲ τῆς ἐλπίδος· ταύτῃ τοι, φησὶ, καὶ κατηφείας ἔσονται μεστοί. Ἐφέστηκε γὰρ αὐτοῖς ἀνίατος ἡμέρα, τοῦ πάντων Κυρίου αὐτὴν ἐπάγοντος· ἡμέραν δὲ πάλιν ὀνομάζει τὸν καιρὸν, καθ' ὃν γέγονεν ἡ θεία τε καὶ ἀνουθέτητος ὀργὴ, ὡς τεθῆναι τὴν τῶν Χαλδαίων ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. Καὶ οὐ δή που πάντως ὡς ὄντων ἐκεῖσε τινῶν, οἳ καὶ ἔξω τίθενται τῆς ὀργῆς διὰ τὸ εἶναι χρηστοὶ, τοὺς ἁμαρτωλοὺς ἀπολέσθαι φησί· ἅπασι δὲ μᾶλλον τοῖς τὴν Χαλδαίων οἰκοῦσι χώραν ἁρμόσειεν ἂν εἰκότως τοὔνομα, διάτοι τὸ πάντας πονηροὺς εἶναι καὶ εἰδωλολάτρας. Ἐπειδὴ δὲ τὰ μεγέθη τῶν συμφορῶν ἔσθ' ὅτε μονονουχὶ σκότου καὶ ἀχλύος τὸν ἀνθρώπινον καταπιμπλᾶσι νοῦν, ὡς καὶ ἡμέρας οὔσης ἀπεῖναι δοκεῖν τοῦ ἡλίου τὸ φῶς, ἀπρακτεῖν δέ D πως, εἴς γε τὸ δύνασθαι καταυγάσαι, φημὶ, καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, καὶ αὐτῆς δὲ τῆς σελήνης τὸν κύκλον· ταύτῃ τοί φησιν· Οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ, καὶ ὁ Ὠρίων, καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ τὸ φῶς οὐ δώσουσι· σκοτισθήσεσθαι δὲ τοὺς Βαβυλωνίους, ἤτοι τῶν Βαβυλωνίων τὸν νοῦν· καὶ ἀνίσχοντος τοῦ ἡλίου, καὶ ἀναλαμπούσης σελήνης, καίτοι τῶν στοιχείων οὐ συνεσταλκότων τὸ φῶς, ἀλλ' ὡς ἐκ πολλοῦ δείματος καὶ ταῖς θείαις ὀργαῖς ὑπενηνεγμένων, νύκτα τε καὶ σκότος ἐχόντων εἰς νοῦν. Ἐντελοῦμαι δὲ, φησὶ, τῇ οἰκουμένῃ ὅλῃ κακά. Τὸ, ἐντελοῦμαι

φησὶν, ἀντὶ τοῦ, ἀπειλήσω, ἤγουν ἐπενεχθῆναι προστάξω, ὥστε καὶ ὕβριν ἀνόμων καθελεῖν, ταπεινῶσαι δὲ τοὺς ὑπερηφάνους, αὐτοὺς δηλονότι τοὺς ἀλαζόνας. Ὑπέροπτον γάρ πως ἀεὶ καὶ ἐξιτηλότατον τὸ Ἀσσυρίων γέγονεν ἔθνος, καὶ πρός γε τούτῳ θεομισές. Τετίμητο γὰρ παρ' αὐτοῖς τῶν μὲν ἀρίστων οὐδέν· ἅπαν δὲ μᾶλλον τὸ καταλυπεῖν πεφυκὸς τὸν τῶν ὅλων Θεόν. Ἰστέον δὲ ὅτι οἱ τὴν θείαν διερμηνεύσαντες Γραφὴν, Ὠρίωνος πεποίηνται μνήμην, ἓν τῶν ἀστέρων τὸ ἐπισημότατον δι' αὐτοῦ σημαίνοντες, καὶ οὔ τί που πάντως ταῖς Ἑλλήνων τερθρείαις κατακολουθήσαντες τὰ τοιάδε φασὶν, κατεχρήσαντο δὲ μᾶλλον τῷ κατὰ συνήθειαν ὀνόματι, καθάπερ ἀμέλει καὶ ἐν τῷ Ἰὼβ γέγραπται· «Ὁ ποιῶν Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον καὶ ταμιεῖα Νότου.»

B *Καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον· καὶ ὁ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσται, ἢ ὁ λίθος ὁ ἐκ Σουφείρ.*

Ἔντιμον (1) ἐν τούτοις τὸ ζητητέον. Ὀλιγανδρήσειν τοίνυν φησὶν οὕτω τὴν Βαβυλωνίων, καὶ ἅπασαν δὲ τὴν Ἀσσυρίων χώραν, ὡς δυσευρέτους γενέσθαι τοὺς ζῶντας ἐν αὐτῇ, καὶ τοσαύτην τῶν περιλελειμμένων τὴν σπάνιν, ὅση καὶ λίθων Ἰνδικῶν, καὶ χρυσίου τοῦ δοκιμωτάτου. Δοκεῖ γάρ πως τὰ τοιάδε παρά τισιν εἶναι τίμια, διὰ τὸ λίαν δυσπόριστον, καὶ μὴν ὅτι ὀλίγα, καὶ μόλις. Οὐκοῦν, ὡς ἂν εἶεν, φησὶ, δυσπόριστα τὰ ἀνθρώποις τεθαυμασμένα λίθοι τε τίμιοι, καὶ τὸ ἀπύρωτον χρυσίον, τοῦτ' ἔστι, τὸ δοκιμώτατον, οὕτως ἔσονται ὀλίγοι, καὶ μόλις οἱ ἐκ πολέμου περιλελειμμένοι, καὶ τὸ τῶν μεμαχημένων διαφυγόντες στῖφος.

C *Ὁ γὰρ οὐρανὸς θυμωθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς Κυρίου Σαβαὼθ τῇ ἡμέρᾳ, ὅταν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ.*

Λαλοῦσι μὲν ὑπερβολικῶς οἱ μακάριοι προφῆται, καὶ τὴν θείαν τε καὶ ἄφραστον δύναμίν τε καὶ δόξαν δεχόμενοι κατὰ νοῦν, αἴρουσιν ὕψου τὰς φωνὰς, καὶ μεγέθη τοῖς διηγήμασιν ἐπινοοῦσιν τὰ ἐξαίρετα. Ἀεὶ δέ πως ὀργιζομένῳ Θεῷ συγκαταθήγεται πρὸς ὀργὰς καὶ ἡ δούλη κτίσις, διανιστάντος πάντως που πρὸς τοῦτο αὐτὴν τοῦ πᾶσι προστάττοντος. Καὶ γοῦν ὠργίζετο μὲν Αἰγυπτίοις, ἀπρακτεῖν δὲ ἡ κτίσις οὐκ ἠνέσχετο. Μεθίστατο μὲν γὰρ εἰς αἷμα τὸ ὕδωρ, ἐξῆρε δὲ καὶ ἡ γῆ βατράχους, καθὰ γέγραπται, D καθίει δὲ χαλάζας ὁ οὐρανός· καὶ μὴν καὶ βαθὺς, καὶ τριήμερος ἁπάσης αὐτῶν τῆς χώρας κατεσκίδνατο σκότος. Οὐκοῦν θυμωθήσεται, φησὶ, καὶ αὐτὸς ὁ οὐρανὸς, καὶ οἷον ἐκ βάθρων ἡ γῆ σεισθήσεται, διὰ θυμὸν ὀργῆς Κυρίου. Συνεκπολεμεῖ γὰρ ἡ κτίσις ἐπὶ τοὺς ἄφρονας, καὶ λελυπημένου δεσπότου μονονουχὶ συγκαθίσταται καὶ ἡ αὐτὴ πρὸς τοῦτο. Πάντα γὰρ τῇ ὑπερτάτῃ συντρέχει βουλῇ, καὶ οὐδέν ἐστι τῶν ὄντων, ὃ μὴ τοῖς θείοις νεύμασι, καὶ ἀβουλήτως παραχωρῇ.

Καὶ ἔσονται καταλελειμμένοι ὡς δορκάδιον φεύ-

A enim semper et dissolutissima fuit Assyriorum natio, et porro Deo invisa. Quidquid enim bonum est, nullo apud eos in honore habebatur: omnia autem fuerunt ad universitatis Deum offendendum comparata. Sciendum vero qui interpretati sunt divinam Scripturam, Orionis fecisse mentionem, ut unum aliquod ex astris insignissimum significarent; nec, **222** dum ista dicunt, Græcorum incantamenta secuti sunt, sed potius abusi sunt nomine usitato et trito, quemadmodum profecto etiam in Job scriptum est: « Qui facit Pleiadas et Vesperum, et Arcturum, et promptuaria Noti [88]. »

VERS. 12. *Et erunt superstites pretiosiores auro obrizo, et homo pretiosior erit lapide ex Saphiro.*

Pretiosum in his quid sit, quærendum est. Itaque dicit terram Babyloniorum, et totam regionem Assyriorum ea paucitate virorum laboraturam, ut vivos in ea reperire futurum sit difficile, tantamque raritatem superstitum quanta est lapidum Indicorum et auri probatissimi. Videtur enim ejusmodi apud quosdam in honore esse et pretio, eo quod difficulter admodum parabilia sint, et quod pauca sint, et raro inveniantur. Ut igitur, inquit, quæ apud homines in admiratione sunt, paratu difficilia sunt, pretiosi lapides, et aurum obrizum, id est, spectatissimum: sic erunt et pauci et raro, qui e bello derelicti catervam bellatorum effugient.

VERS. 13. *Cœlum enim irascetur, et terra concutietur a fundamentis suis propter furorem iræ Domini Sabaoth, eo die quo venerit furor ejus.*

Loquuntur hyperbolice beati prophetæ, et divinam ac inexplicabilem potentiam ac gloriam animo capientes, alte voces exaggerant, et magnitudinem eximiam in narrationibus suis considerant, ac semper irato Deo, simul etiam ad iram exacuitur serva creatura, omnino eam huc excitante eo, qui omnibus imperat. Succensuit quippe ille Ægyptiis: creatura autem cessare non sustinuit. Transivit quippe in sanguinem aqua, scaturivit terra ranas, cœlum demisit grandinem, profundæ tenebræ trium dierum spatio per totam eorum regionem dissipatæ sunt, sicut scriptum est. Itaque, inquit, irascetur etiam ipsum cœlum, et velut a fundamentis terra concutietur propter furorem iræ Domini. Pugnabit enim una adversus stultos ipsa creatura, et commoto Domino, etiam ipsa ad hoc propemodum instructa est. Omnia siquidem cum suprema voluntate conspirant atque concurrunt, et nihil est in rerum natura, quod non divino nutui cedat etiam invitum.

223 VERS. 14-16. *Et erunt relicti quasi damula fu-*

[88] Job XXXVIII, 32.

(1) Tractus hic ἔντιμον ἐν τούτοις, usque ad finem versiculi sequentis *ὁ θυμὸς αὐτοῦ*, deest in codice Regio et suppletur ex Vaticano.

giens, et quasi ovis errans, et non erit qui congreget, ita ut homo ad populum suum revertatur, et homo in regionem suam expellatur. Qui enim captus fuerit, opprimetur, et qui congregati fuerint, occumbent gladio. Et filios eorum coram eis allident, domos diripient, et uxores habebunt.

Paucos relictos fore dicit, verumtamen eos parum viriles, et maxime imbelles, eoque timiditatis ac vecordiæ dejectos, ut nihil aliud in votis habeant, quam ut fugiant solum, instar damæ: et ut serventur, i ,ait, cum dedecore, prorsusque renuant hostilem incursionem propulsare. Quod autem sine præfecto et sine principe maneant, etiam hi numero pauci, subindicat, cum dicit, velut ovem errantem fore, sine pastoris cura, et a pascuis procul palantem, ut et jam a septis consuetis procul absit. Non enim erit, inquit, qui congreget, ut homo ad populum suum convertatur, et homo ad regionem suam impellatur. Illud autem, impelli, dixit pro abduci, etiamsi grata sit sua cuique regio, et patrio victu nihil præstantius; verum, inquit, rerum charissimarum privatio jucunda erit, propterea quod quisquis deprehensus fuerit, statim pereat, fiatque materia gladii Medorum. Eventurum quoque et aliud longe tristissimum, prophetica confirmat oratio. Filios, inquit, eorum coram ipsis allident, domos diripient, et uxores habebunt. Quid autem parentibus liberorum cæde possit esse molestius? Imo nonne omni supplicio gravius et intolerabilius, domos videre direptas, et uxorum pudicitiam victorum intemperantiæ obnoxiam? Beatus Psalmographus ejusmodi quiddam alicubi commemorat. Nam de Babyloniis verba faciens: « Beatus, » inquit, « qui tenebit et allidet parvulos tuos ad lapidem [84]. » Cæterum hæc quidem historice Assyriæ ejusque urbibus et regionibus contigerunt, quia omnes etiam idololatræ et insolentes non tolerabiliter, et Dei hostes acerbe et magiæ periti artifices exstiterunt. Ipsi vero sanctam civitatem depopulati sunt, et Dei sortem, id **224** est, Israelem vastarunt, captivorum loco ac numero habentes, novum ac inconsuetum illis jugum servitutis imposuerunt. Consistet autem hæc de illis oratio, non solum in his quæ historice et conspicue gesta sunt, sed etiam qui volunt, poterunt intelligere spiritualiter, si rerum gestarum vim ad ipsum omnis vitiositatis inventorem, Dei hostem immanissimum, Satanam inquam, prudenter traducant, maxime quoniam prophetica oratio, Christi mysterio præscito, et prædictione de eo optime jam adhibita, vicinam contra Babylonem visionem introduxit, tantum non auditorum mentes excitans, ut quæ historice et contra Babylonem, et contra universam terram Assyriorum facta sunt, spiritualiter intelligantur. Itaque draco iste apostata multis modis Dei cultoribus insidias struere nun-

[84] Psal. CXXXVI, 9.

A *γον, καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔσται ὁ συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι, καὶ ἄνθρωπον εἰς τὴν χώραν αὐτοῦ διῶξαι. Ὃς γὰρ ἐὰν ἁλῷ ἡττηθήσεται, καὶ οἵτινες συνηγμένοι εἰσὶ μαχαίρᾳ πεσοῦνται, καὶ τὰ τέκνα αὐτῶν ἐνώπιον αὐτῶν ῥάξουσι, καὶ τὰς οἰκίας αὐτῶν προνομεύσουσι καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν.*

Εὐαριθμήτους κομιδῇ τοὺς περιλειφθέντας ἔσεσθαί φησι, πλὴν καὶ αὐτοὺς ἀνάνδρους τε καὶ ἀφιλομαχωτάτους, καὶ δειλίας εἰς τοῦτο κατεῤῥαγμένους, ὡς οὐδὲν ἕτερον ἑλέσθαι δρᾷν, πλὴν ὅτι μόνον τὸ φεύγειν, ἐν ἴσῳ δορκάδι, καὶ τὸ ἀτίμως σώζεσθαί φησιν, καὶ ἀπειπεῖν εἰς ἅπαν τὸ κἂν γοῦν ἀνταναστῆναι μόνον ταῖς τῶν πολεμίων συμφοραῖς. Ὅτι δὲ ἀνεπιστάτη- B τοί τε καὶ ἄναρχοι μενοῦσι, καίπερ ὄντες ἀριθμῷ βραχεῖς, ὑπεμφαίνει λέγων, ὡς πρόβατον ἔσεσθαι πλανώμενον, καὶ τῆς τοῦ ποιμαίνοντος ἐπιεικείας ἐστερημένον, καὶ ἔξω που νομῆς ἰὸν, ὡς καὶ σηκῶν τῶν κατειθισμένων ἑλέσθαι μακράν. Οὐ γὰρ ἔσται, φησὶν, ὁ συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι, καὶ ἄνθρωπον εἰς τὴν χώραν αὐτοῦ διῶξαι. Τὸ δὲ, διῶξαί, φησὶν ἀντὶ τοῦ ἐπειχθῆναι, καίτοι φίλον ἅπασιν ἡ χώρα, καὶ πατρῴων ἐνδιαιτημάτων ἄμεινον οὐδέν. Ἀλλὰ καὶ τῶν οὕτως αὐτοῖς φιλαιτάτων ἡ στέρησις ἡδεῖα, φησὶ, διάτοι τὸ πάντα τὸν ἁλισκόμενον παραχρῆμά τε διόλλυσθαι . . . . . . συμβήσεσθαι δέ τι καὶ ἕτερον τῶν ὅτι μάλιστα πεφυκότων ἀνιᾶν ὁ προφητικὸς διισχυρίζεται λόγος. Τὰ γὰρ τέκνα αὐτῶν, φησὶν, ἐνώπιον αὐτῶν C ῥάξουσι, καὶ τὰς οἰκίας αὐτῶν προνομεύσουσι, καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσι. Τί δ' ἂν γένοιτο τοῖς γεγεννηκόσι δυσαχθέστερον τῆς τῶν τέκνων σφαγῆς; ἢ πῶς οὐχ ἁπάσης αἰκίας δυσφορητότερον, τὸ ἰδεῖν μὲν οἴκους διηρπασμένους, σεμνότητα δὲ γυναικῶν ἀδικουμένην, καὶ ταῖς τῶν κεκρατηκότων ἀσελγείαις ὑπενηνεγμένην; Μέμνηταί που καὶ ὁ μακάριος ψαλμῳδὸς τοιούτου τινός. Ποιούμενος γὰρ τοὺς λόγους περὶ τῆς Βαβυλωνίων· « Μακάριος, » φησὶν, « ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. » Ἀλλὰ ταυτὶ μὲν ἱστορικῶς τῇ τῶν Ἀσσυρίων συμβέβηκε χώρᾳ, καὶ ταῖς ἐν αὐτῇ πόλεσί τε καὶ χώραις, ὅτι καὶ πάντες εἰδωλολάτραι καὶ ἀλαζόνες οὐ φορητῶς, καὶ θεομάχοι δεινῶς, καὶ μάγου τέχνης ἐπιστήμονες. Αὐτοὶ δὲ καὶ τὴν ἁγίαν πεπορθήκασι πόλιν, D καὶ τὸν τοῦ Θεοῦ κλῆρον καταδῃώσαντες, τοῦτ' ἔστι, τὸν Ἰσραὴλ, ἐν τῇ τῶν δορυκτήτων μοίρᾳ πεποιημένοι, τὸν ἀσυνήθη τῆς δουλείας αὐτοῖς ἐπέθηκαν ζυγόν. Καὶ στήσεται μὲν ὁ περὶ τούτων λόγος, οὐκ ἔν γε τοῖς κατὰ μόνην τὴν ἱστορίαν, καὶ τοῖς ἐμφανῶς γεγονόσιν· ἔξεστι δὲ μᾶλλον τοῖς ἐθέλουσι νοεῖν καὶ πνευματικῶς, εἰ δὴ μετατάττοιεν εὐφυῶς τῶν γεγονότων τὴν δύναμιν, ἐπί τε αὐτὸν τὸν ἁπάσης τῆς φαυλότητος εὑρέτην, τὸν θεοστυγῆ τε καὶ ἀπηνέστατον, φημὶ δὴ τὸν Σατανᾶν, μάλισθ' ὅτι τῆς προφητείας ὁ λόγος τὸ Χριστοῦ μυστήριον προσενεγκὼν, καὶ τὴν ἐπ' αὐτῷ προσαγόρευσιν εὖ μάλα πεποιημέ-

νοι, εἰσκεχόμικε γείτονα τὴν κατὰ Βαβυλῶνος ὅρασιν μονονουχὶ τῶν ἀκροωμένων τὸν νοῦν καταθήγων ἐπὶ τό γε χρῆναι νοεῖν, καὶ πνευματικῶς τὰ ἱστορικῶς γεγονότα, κατά τε αὐτῆς Βαβυλῶνος, καὶ μὴν καὶ καθ' ὅλης τῆς Ἀσσυρίων γῆς. Κατέληξε δὴ οὖν οὐδέπω καὶ πολυτρόπως ἐπιβουλεύων τοῖς Θεῷ δουλεύουσιν ὁ δράκων ὁ ἀποστάτης, ἔγκειται δὲ καὶ μάλα νεανικῶς, εἰς τὸ αὐτῷ δοκοῦν ἀεὶ καταστρέφων, καὶ ἀποφέρει πλειστάκις, οἷά περ αἰχμαλώτους ἑλὼν, καὶ τοῖς τῶν παθῶν ἐνίησι βόθροις, δουλείας δὲ ὥσπερ αὐτοῖς ἐπιτιθεὶς δεινόν τε καὶ ἀνεξήτητον ζυγὸν κατεγαυριᾷ τῶν εἰλημμένων, καὶ ἀλαζονεύεται, καθάπερ ἀμέλει καὶ αἱ τῶν Ἀσσυρίων κατὰ καιροὺς βεβασιλευκότες ἐπέχαιρον τοῖς ἐξ Ἰσραὴλ, ὅτι γῆς τῆς αὐτῶν ἔξω γεγονότες καὶ πόλεως τῆς ἁγίας δεδουλεύκασι τοῖς ἀλλογενέσιν. Ἀλλ' οὐ μέχρι παντὸς ἡ τοῦ διαβόλου τυραννὶς κατήσχυσε τῶν διηρπασμένων. Ἐγήγερται γὰρ τὸ τοῦ Σωτῆρος σημεῖον, τοῦτ' ἔστιν, ἐπινικίους ᾠδὰς ἀνατεθείκαμεν τῷ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν νικήσαντι· πεποιήμεθα δὲ καὶ τῆς ὀρθῆς πίστεως τὴν ὁμολογησίαν. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ τὸ, Ὑψώσατε τὴν φωνὴν ἑαυτοῖς· Ἐντέταλται δὲ καὶ ὁ Κύριος ἔρχεσθαι ἔθνει φιλομάχῳ, δῆλον δὲ ὅτι τῶν ἁγίων, οἷς ἡ μάχη καὶ ὁ πόλεμος οὐ πρὸς αἷμα καὶ σάρκας, πρὸς ἀρχὰς δὲ μᾶλλον καὶ ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Οἳ καὶ ἀντετάξαντο καὶ νενικήκασιν, κρατοῦσι δὲ καὶ εἰς δεῦρο, καὶ τὸ τῶν ἀντικειμένων δυνάμεων ἐκπολιορκοῦσι στῖφος, καὶ οἷά τινα πόλιν τὴν εἰδωλολατρείαν ἐκπεπορθήκασι, τὴν πάλαι δεινὴν καὶ ἀχείρωτον. Κατευμεγεθοῦσι δὲ τῶν ἀνθεστηκότων οἱονεὶ στρατηγοῦντος Χριστοῦ, καὶ συνασπιζόντων ἁγίων ἀγγέλων, ὥστε καὶ εὐαριθμήτους εἶναι παντελῶς τοὺς τὰ ἐκείνων ἔτι σέβοντας κράτη, εἶναι δὲ αὐτοὺς οἰκτροὺς καὶ ἀνάνδρους καὶ περιδεεῖς, καὶ ἀπειρηκότας παντελῶς τὴν ἀντίστασιν, τὴν πρός γέ φημι τοὺς Χριστῷ δουλεύοντας. Ἐπιτρέχων δὲ τὴν ὅρασιν καὶ τῶν προκειμένων τὰ καθεξῆς, τοιαύτης τινὸς θεωρίας πνευματικῆς συλλεγέτω γνῶσιν πᾶς εἴ τίς ἐστι νουνεχὴς, συνιέναι τε δυνάμενος παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα.

A quam destitit, incumbitque acerrime, semper ad id quod sibi videtur transversim abripiens, comprehensosque tanquam captivos sæpe abducit, et in perturbationum voragines præcipitat, et jugo servitutis duro et inevitabili illis imposito, in captos gloriatur, et insolescit: quemadmodum sane qui apud Assyrios olim regnarunt, insultabant Israelitis, quod a sua terra et sancta civitate extranei, alienigenis servierint. Sed non semper diaboli tyrannis in eos quos diripuit, obtinuit. Excitatum enim est Servatoris signum, id est, pretiosa crux, nosque contra illum jubilavimus, id est, victrices odas obtulimus ei, qui propter nos et nostra causa vicit, et rectæ fidei confessionem edidimus. Hoc autem est, ut arbitror, illud: Elevate vocem contra eos. Præcepit etiam Dominus venire genti bellatrici, B videlicet sanctorum, quibus lucta et bellum est, non contra sanguinem et carnem, sed potius contra principatus, et potestates, et mundi dominos, rectores tenebrarum harum, adversus spiritualia nequitiæ in supercœlestibus [95]. Hi acie contra instructa vicerunt, et adhuc obtinent, et adversariarum potestatum agmen oppugnant, et idololatriam veluti civitatem quamdam depopulati sunt: Palæstinam, inquam, quantumvis nulla manu expugnabilem. Superiores autem evaserunt adversariis, Christo veluti exercitum ducante, et sanctis angelis simul pugnantibus, ita ut pauci omnino sint hi, qui eorum potestatem adhuc venerantur, sintque etiam miseri, et imbelles, et **225** meticulosi, quique prorsus desperent se resistere posse iis qui Christo serviunt. C Cæterum percurrat hanc visionem et reliqua verba quæ sequuntur, aliquam ejusmodi spiritualis sensus notitiam eliciat quisquis prudens est, valetque parabolam et tenebrosum sermonem, dictaque sapientum ac ænigmata cognoscere.

Ἰδοὺ ἐγὼ ἐπεγείρω ὑμῖν τοὺς Μήδους, οἳ οὐ λογίζονται ἀργύριον, οὐδὲ χρυσίου χρείαν ἔχουσι. Τοξεύματα νεανίσκων συντρίψουσι, καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις σου φείσονται οἱ ὀφθαλμοὶ αὐτῶν. Καὶ ἔσται Βαβυλὼν, ἣ καλεῖται Ἔνδοξος ὑπὸ βασιλέων Χαλδαίων, ὃν τρόπον κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμοῤῥα, οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρόνον· οὐδ' οὐ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν, οὐδ' οὐ μὴ διέλθωσιν αὐτὴν Ἄραβες, οὐδὲ ποιμένες, οὐ μὴ ἀναπαύσονται ἐν αὐτῇ.

VERS. 17-20. *Ecce ego suscito vobis Medos, qui despiciunt argentum, nec auro opus habent. Arcus juvenum conterent, et liberorum vestrorum non miserebuntur, nec filiis tuis parcent oculi eorum. Et erit Babylon, quæ vocatur Inclyta a rege Chaldæorum,* D *quemadmodum subvertit Deus Sodomam et Gomorrham: non habitabitur ullo ævo: neque ingredientur in eam per multas ætates. Nec transibunt eam Arabes, neque pastores requiescent in ea.*

Φανερωτέρην ἐν τούτοις ποιεῖται λοιπὸν τοῦ πολέμου τὴν προαγόρευσιν, καὶ ὥσπερ τι κατασκίασμα τοῖς λόγοις ἐπερριμμένον τὴν ἀσάφειαν περιελὼν, γυμνὴν καὶ ἀναφανδὸν καὶ οἷον ἐν ὄψει τίθησι τὴν ὅσον οὐδέπω παρεσομένην συμφοράν. Ἥξουσι γὰρ ἥξουσι οἱ Μῆδοι, φησὶν, οὐ χρημάτων ἡττώμενοι καὶ δωροδοκίας τῆς παρ' ὑμῶν οὐ πεφρο-

Luculentissimam deinceps in his facit belli prædictionem, et velut adumbratione quadam et obscuritate, quam sermonibus suis offudit, circumcisa nudam et propalam ac velut in conspectu collocat eam, quæ mox adfutura est, calamitatem. Venient enim, inquit, venient Medi, non corrupti pecunia, non largitiones vestras curantes; imo superiores

[95] Ephes. VI, 12.

erunt velut opportune, omnibus maximo studio ab illis et elaboratione comparatis, ut arcus juvenum conterant. Si quis enim Barbarorum infestationes et expeditiones contra regiones et urbes factas consideret, non aliam ob causam fieri reperiet, quam ut spolient et rapiant, et opes undique obvenientes coacervent. Cæterum, inquit, Medi non capientur quæstu, et lucrum despicient, ut Babylonicum supercilium deprimant. Nam sagittandi dexteritate plurimum gloriantur, et artis ejus peritiam maximi faciunt. Inferiores tamen erunt hostibus. Asperi autem et immites adeo erunt victores, ut miserandæ etiam ætatis nulla capi velint misericordia, neque percuntibus miserabiliter infantibus, ullam humanitatis lacrymam profundere. Sed Babylon, quæ Inclyta vocatur a rege Chaldæorum, ad eam redigetur vastitatem, inquit, ut a combustis Sodomis et Gomorrhis nullo modo differat: neque incoletur: quam fugient perinde finitimi, atque **226** qui e longinqua gente eam peragrant, ut ne Arabes quidem pastores in ea pecora sua velint pascere, quod omnino desolata sit et deserta. Sciendum autem, eum gentes Saracenorum, et quæ ad ipsam terram Assyriorum pertingunt, et intimam eremum incolunt, nominare Arabas. Vicinam namque habent terram Arabum. Et probabile est illos ex Arabia Saracenos promiscue Assyriorum deserta obambulare.

VERS. 21, 22. *Et requiescent ibi bestiæ, et implebuntur domus sonitu; ibi requiescent sirenes, ibi saltabunt dæmonia, et onocentauri ibi habitabunt, nidos construent in domibus eorum erinacei. Cito venit, et non tardabit.*

Feræ in locis desertis degere amant, et vacua urbs complures iis speluncas se contegentes, ac rudes et velut fortuitu ac temere inventas suppeditat. In desertis autem et quietis locis tenuis quidam sonitus præ magno silentio, haud scio quomodo, exoritur, et in aures eorum subit qui eremum incolunt. Itaque, inquit, bestiæ requiescent, et sonitu domus plenæ erunt, id est, nullum omnino incolam habentes, sonum edent desertis convenientem. Saltabunt, inquit, illic et dæmonia. Dicunt enim illis quoque proprium esse in desertis locis libenter commorari, et quasi diversorium quietum constituere. Sirenes autem dicit volucres suaviter canentes, vel, secundum Hebræorum expositionem, noctuam. Agrestes asinos onocentauros nominat, et echinos, id est, erinaceos, mures acutis spinis velut hirtos et horrentes. Hæc omnia merito vastatis, vel urbibus, vel domibus convenire possent. Ilis autem subdit: Cito venit, et non tardabit: aut Assyriis acriorem curam excitans, aut his qui sunt ex semine Israel consolationem haud exiguam eadem opera afferens. Cum enim in captivitate versarentur, et Cyro cum Persis et Medis Babylonio-

A νηκότες, ἀμείνους δὲ μᾶλλον ὡς ἐν καιρῷ γεγονότες, καὶ τῶν ὅτι μάλιστα διὰ σπουδῆς αὐτοῖς τεθειμένων, ἵνα τοξεύματα νεανίσκων συντρίψουσιν. Εἰ μὲν γάρ τις λογίσαιτο τὰς τῶν Βαρβάρων ἐφόδους, αἵπερ ἂν γένοιντο κατὰ χωρῶν ἢ πόλεων, οὐχ ἑτέρου τινὸς ἕνεκα δρωμένας εὑρήσει, πλὴν ὅτι μόνου τοῦ διαρπάσαι χάριν, ἄθροισιν δὲ χρημάτων ποιεῖσθαι τὴν παρεμπίπτουσαν. Ἀλλ' ἔσονται, φησὶ, καὶ λημμάτων ἀμείνους οἱ Μῆδοι, καὶ κερδῶν ἀφειδήσουσιν, ἵνα τὴν τῶν Βαβυλωνίων ὀφρὺν κατασπάσωσι. Μέγα μὲν γὰρ ἀεί πως αὐτοῖς ἐπὶ ταῖς τοξείαις φύσημα, καὶ τὸ εὐτυχὲς ἐν τούτοις ποιοῦνται περὶ πολλοῦ. Ἀλλ' ἥττους ἔσονται τῶν ἐχθρῶν. Σκληροὶ δὲ οὕτω καὶ ἀφιλοικτείρμονες οἱ νενικηκότες, ὡς μηδὲ τῆς ἐλεεινῆς ἡλικίας φειδὼ ποιεῖσθαί τινα, μήτε μὴν B οἰκτρῶς ἀπολλυμένων νηπίων, τὸ ἐξ ἡμερότητος ἐπιστάξαι δάκρυον. Βαβυλὼν δὲ, ἣ καλεῖται Ἔνδοξος ὑπὸ βασιλέως Χαλδαίων, πρὸς τοῦτο, φησὶν, ἐρημίας κατοιχήσεται, ὡς κατ' οὐδένα τρόπον διενεγκεῖν τῶν ἐμπεπρησμένων Σοδόμων τε καὶ Γομόῤῥας· ἔσται δὲ καὶ ἀοίκητος· φευκτὴ δὲ οὕτως καὶ τοῖς ὁμόροις, ὡς ἔθνους μακροῦ περινοστοῦσιν αὐτὴν, ὡς μηδὲ ποιμένας τοὺς ἐξ Ἀράβων κατανεμῆσαί τι τῶν ἰδίων θρεμμάτων ἐν αὐτῇ· διάτοι τὸ ἠρημῶσθαι παντελῶς. Ἰστέον δὲ ὅτι τὰ Σαρακηνῶν ἔθνη, καὶ μέχρις αὐτῆς διήκοντα τῶν Ἀσσυρίων, καὶ τὴν ἐσωτάτω νεμομένους ἔρημον, Ἄραβας ὀνομάζει. Γείτονα γὰρ ἔχουσι τὴν Ἀράβων. Εἰκὸς δὲ δὴ καὶ αὐτοὺς τοὺς ἐξ Ἀραβίας Σαρακηνοὺς ἀναμὶξ C τὰς Ἀσσυρίων ἐρήμους περιφοιτᾷν.

Καὶ ἀναπαύσονται ἐκεῖ θηρία, καὶ ἐμπλησθήσονται αἱ οἰκίαι ἤχου. Καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχήσονται. Καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσιν, καὶ νοσσοποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῶν. Ταχὺ ἔρχεται, καὶ οὐ χρονιεῖ.

Φίλον πως ἀεὶ τοῖς ἀνημέροις τῶν ζώων ἐνδιαίτημα ποιεῖσθαι τὰ τῶν χωρίων ἠρημωμένα, καὶ πόλις ἐρειπομένη πλείστας τε ὅσας αὐτοῖς, καὶ μὴν καὶ εὐρεῖς τὰς καταδύσεις ἀποτελεῖ αὐτορόφους τε καὶ ἐσχεδιασμένας, καὶ ὡς ἀπό γε τοῦ συμβεβηκότος αὐτομάτως ἐξηυρημένας· ἐν ἐρήμοις τε καὶ τοῖς σιωπῶσι τῶν τόπων, ἠχώ τις ἰσχνὴ, καὶ οἷον ἀπὸ σιγῆς τῆς ἄγαν, οὐκ οἶδ' ὅπως, ἀνίσχει τε καὶ ταῖς τῶν D ἠρεμούντων ἀκοαῖς εἰσκρίνεται. Οὐκοῦν θηρία μὲν ἀναπαύσεται, φησὶν, ἤχου δὲ αἱ οἰκίαι πλησθήσονται· τοῦτ' ἔστιν, οὐδένα παντελῶς τὸν οἰκοῦντα ἔχουσαι, τὴν ταῖς ἐρημίαις πρέπουσαν ἠχὼ κατακτήσονται. Ὀρχήσονται δὲ, φησὶν, ἐκεῖ καὶ δαιμόνια. Φασὶ γάρ πως καὶ αὐτὰ τοῖς ἠρεμοῦσι τῶν τόπων ἴδιον ἐμφιλοχωρεῖν, καὶ οἷον ἐναύλισμα ποιεῖσθαι σχολαῖον. Σειρῆνας δὲ, οἶμαι, φησὶ τὰ εὐστομεῖν εἰδότα πτηνὰ, ἢ, κατά γε τὴν Ἑβραίων ἔκδοσιν, τὴν γλαῦκα. Τοὺς δέ γε τῶν ὄνων ἀγρίους ὀνοκενταύρους ὠνόμασεν· καὶ μὴν καὶ ἐχίνους τοὺς ἀκάνθαις ὀξείαις οἱονεὶ φρίττοντας τῶν μυῶν. Ταυτὶ δὲ σύμπαντα πρέποι ἂν εἰκότως ταῖς εἰσάπαν ἠρημωμέναις ἢ πόλεσιν ἢ οἰκίαις. Ἐπιλέγει δὲ τούτοις, ὅτι ταχὺ ἔρχεται, καὶ οὐ χρονιεῖ. Ἢ τοῖς Ἀσσυρίοις πικροτέραν ἐνιεὶς

τὴν φροντίδα, ἤγουν τοῖς ἐξ αἵματος Ἰσραὴλ παράκλησιν οὐ μικρὰν τὸ χρῆμα ποιούμενος. Ἐπειδὴ γὰρ ἦσαν ἐν αἰχμαλωσίᾳ, ἀνεθήσεσθαί γε μὴν προσεδόκων καταστρατεύσαντος τῆς Βαβυλωνίων ὁμοῦ Πέρσαις τε καὶ Μήδοις τοῦ Κύρου, ταχεῖαν αὐτοῖς ὑπισχνεῖται τῶν ἀνιαρῶν τὴν λύσιν, καὶ ὅτι τὰ ἐν εὐχαῖς οὐκ εἰς ἀνάβλησιν ἔσται μακρὰν, ἀλλ' οἷον δραμεῖται κατὰ πόδα τοῦ λόγου.

A rum fines expugnante, liberatum iri se sperarent, celerem ipsis molestiarum levationem pollicetur, et quod ea quæ in votis erant, non diu differrentur, sed quasi prope ante pedes essent, et dictum sequerentur.

Καὶ ἐλεήσει Κύριος τὸν Ἰακὼβ, καὶ ἐκλέξεται ἔτι τὸν Ἰσραὴλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γηώρας προστεθήσεται ἐπ' αὐτούς. Καὶ προστεθήσεται πρὸς τὸν οἶκον Ἰακώβ· καὶ λήψονται αὐτοὺς ἔθνη, καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν. Καὶ κατακληρονομήσουσι, καὶ πληθυνθήσονται ἐπὶ τῆς γῆς τοῦ Θεοῦ, εἰς δούλους καὶ εἰς δούλας· καὶ ἔσονται αἰχμάλωτοι, οἱ αἰχμαλωτεύσαντες αὐτοὺς, καὶ κυριευθήσονται οἱ κυριεύσαντες αὐτῶν· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναπαύσει σε ὁ Θεὸς ἐκ τῆς ὀδύνης καὶ τοῦ θυμοῦ σου, καὶ τῆς δουλείας τῆς σκληρᾶς, ἧς ἐδούλευσας αὐτοῖς.

CAP. XIV, VERS. 1-3. **227** *Et miserebitur Dominus Jacob, et eliget adhuc Israelem, et requiescent in terra sua, et advena illis adjungetur, et adjungetur domui Jacob, et accipient gentes, et introducent in locum eorum, et possidebunt, et multiplicabuntur in terra Dei in servos et servas. Et erunt captivi qui in captivitatem duxerant eos, et dominatui subjicientur qui dominati* B *erant illis. Et erit in die illa, requiescere te faciet Deus ex dolore tuo, et iracundia tua, et a servitute dura qua serviisti illis.*

Εἰς ἐλπίδα χρηστὴν ἀνακομίζει πεπονηκότας τοὺς ἐξ αἵματος Ἰσραὴλ, καὶ ὑποσχέσεσιν ἀγαθαῖς ἀναῤῥώννυσιν εἰς εὐθυμίαν, κατηχθισμένους οὐ φορητῶς, ταῖς τῶν ἑλόντων πλεονεξίαις. Ὅτι γὰρ ἀνελεύσονται μὲν τῆς αἰχμαλωσίας, ἀποστήσονται δὲ τῆς ἀσυνήθους δουλείας τὸν ζυγὸν, πεπορθημένης τῆς Βαβυλῶνος, καὶ ἁπάσης δὲ τῆς Ἀσσυρίων χώρας, προηγόρευσε σαφῶς. Οὐ γὰρ ἀπόβλητος ἔσται, φησὶν, εἰσάπαν ὁ Ἰσραήλ· οὐδὲ τῶν πλημμελημάτων ἀτελευτήτους ὑφέξει δίκας· ἐλεηθήσεται δὲ καὶ ἀναπνεύσει κατὰ καιροὺς ὁ ἐξειλεγμένος· καὶ ἐπεί τοι τέθειται πρωτότοκος ἐν τέκνοις, ἐπισκοπῆς τε καὶ εὐμενείας τῆς παρὰ Θεοῦ τεύξεται. Ὑπονοστήσειν δὲ αὐτοὺς εἰς τὴν ἐνεγκοῦσαν, φησὶ, συναναβήσεσθαι δὲ καὶ τὸν γηώραν. Γηώραν δέ φησιν τὸν αὐθιγενῆ καὶ αὐτόχθονα, τοῦτ' ἔστι, Βαβυλώνιον· πλεῖστοι γὰρ ὅσοι τῶν Βαβυλωνίων εἵποντό τε τοῖς ἐξ Ἰσραὴλ, τοῦτο μὲν τὴν πρὸς αὐτοὺς συγγένειαν ἐσχηκότες, τοῦτο δὲ τῇ κατὰ νόμον λατρείᾳ προσνενευκότες. Ἐπειδὴ γὰρ μακροὺς διατετελέκασιν ἐν τῇ αἰχμαλωσίᾳ χρόνους, εἰκὸς δή που τῶν αὐθιγενῶν, οὐ μετρίαν αὐτοῖς προσνενεμῆσθαι πληθύν. Προστεθήσεται τοίνυν ὁ γηώρας, φησὶν, αὐτοῖς, τοῦτ' ἔστιν, ἕψεται καὶ ἀκολουθήσει καὶ ὁ αὐτόχθων αὐτοῖς. Λήψονται δὲ αὐτοὺς ἔθνη, καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν. Ὅτε γὰρ Κύρος ἀνῆκε τὸν Ἰσραὴλ, τοῖς τῶν χωρῶν ἄρχουσι παραπέμπειν ἐκέλευσεν ἄπληγά τε καὶ ἀνεπιβούλευτον. Πέπραχε δὲ τοῦτο καὶ ὁ μετ' αὐτὸν τὰ τῶν Ἀσσυρίων σκῆπτρα διαδεξάμενος· Ξέρξης οὗτος ἦν. Ἔξεστι δὲ τοῖς ἐθέλουσιν ἐξακριβοῦν τὰ τοιάδε περιτυχεῖν τοῖς Ἔσδρα βιβλίοις, καὶ ἀπλανεστάτην ἐφ' ἅπασι τοῖς εἰρημένοις τὴν γνῶσιν ἑλεῖν. Ἀνέβαινον γὰρ ἐκ τῆς Ἀσσυρίων εἰς τὴν Ἰουδαίαν, διέποντος μὲν τὴν βασιλείαν Ζοροβάβελ τοῦ Σαλαθιὴλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα, ἡγουμένου δὲ τοῦ ἱεροῦ τάγματος Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου. Ἔθνη δὴ οὖν παραπέμψουσιν αὐτοὺς, φησὶ, καὶ εἰσάξουσιν εἰς τὴν γῆν αὐτῶν, καὶ τὸν ἄνωθεν αὐτοῖς ἐκνεμηθέντα καθέξουσι κλῆρον. Καὶ τὸ ἔτι παραδοξότερον, οἵ ποτε τῶν εἰδώλων θερα-

Ex sanguine Israelis ortos afflictos et laborantes in bonam spem rursus erigit, et bonis promissis ut bono sint animo confirmat, qui capientium tyrannide vexati erant intolerabiliter. Quod enim reversuri essent e captivitate, et novæ, et inauditæ servitutis jugum excussuri, vastata Babylone, omnique regione Assyriorum, luculenter prædixit: Non enim, inquit, in perpetuum rejicietur Israel, neque delictorum continuas pœnas dabit, sed misericordiam consequetur et respirabit aliquando qui electus C est. Et quia positus est primogenitus in filiis, visitatione et misericordia divina non destituetur. Et redituros dicit eos in patriam, et una ascensurum advenam. Advenam autem vocat indigenam et vernaculum, id est, inquit, Babylonium. Quamplures enim Babylonii sequebantur Israelitas, partim cum ipsis cognatione conjuncti, partim legis studio et cultui addicti. Cum enim longo tempore in captivitate permansissent, verisimile est ex illa gente non mediocrem illis accessisse multitudinem. Adjungetur igitur, inquit, advena ipsis, id est, sequetur et comitabitur ipsius terræ alumnus et indigena. Accipient autem eos gentes, et introducent in locum suum. Quando enim Cyrus liberavit Israelem, regionum principibus mandavit ut eum D securum ac salvum deducerent. Factitavit idem post illum is qui sceptra Assyriorum suscepit, Xerxes. Possunt autem qui exactius hæc pervestigare volunt, libros Esdræ legere, et omnium quæ commemoravi certissimam cognitionem excerpere. Ascenderunt enim ex Assyriorum terra in Judæam, regnante **228** Zorobabele filio Salathielis ex tribu Juda, præfecto vero sacri ordinis Jesu, filio Josedec, pontifice maximo. Gentes igitur, inquit, deducent eos, et introducent in terram ipsorum, et sortem ipsis superne distributam obtinebunt: et quod est adhuc ab opinione magis alienum, qui olim cultores idolorum erant, qui deos multos et innumerabiles nuncupabant, in terra Dei in servos et ancillas multiplicabuntur, eruntque captivi qui ceperunt

eos. Qui enim captivum abduxerunt Israelem, simul adducti cum eo, et adventantes, inquit, in Judæam, legis jugo cervicem supponent, et velut præclaram et salutarem captivitatem perpessi, Dominum et Deum inscribent et nuncupabunt eum, qui omnium est opifex. Vel enim istuc dicit, vel illud fortassis vult innuere, quod qui olim victoria potiti sunt, et Israelem Judæa abduxerunt, suoque subjecerunt jugo, dominationi subjicientur et captivabuntur: Cyro nimirum et Persis et Medis eos ad vastitatem redigentibus. Die enim illa, hoc est, illo tempore recreaberis ex dolore et iracundia tua, id est, ex ira tibi impendente, nempe divina, effugiesque duram servitutem, et recreaberis ex doloribus. Sed agedum rursus, quantum licet crassam historiæ superficiem ad considerationem spiritualem transferentes, simile quiddam in Satana, et in his qui a Christo redempti sunt, factum contemplemur. Erant siquidem captivi idolorum servitio affixi, et ejus qui summam exercebat tyrannidem imperia venerantes; sed misertus est nos ut injuste violatos universitatis Opifex, misit nobis e cœlo redemptorem, proprium Filium in nomine Domini, id est, non ut e sanctis prophetis quempiam, sed in dominationis gloria, qui demolitus est idololatriam velut civitatem quampiam superbam et insolentem, opem suam conferentibus bellatoribus armatis suis, id est, sanctis apostolis, qui tota quodammodo regione diaboli excisa, secum in sanctam civitatem, Jerusalem intelligentiæ subjectam, Ecclesiam inquam, duxerunt eos qui decepti sunt, et jugo servitutis oppressi. Qui etiam in terra Dei multiplicati sunt, et in servos ac servas evaserunt. Et qui ante in ditione ac manu sua habebant captivos, id est, dæmoniorum cultores, et qui eorum ritus docebant, ac ad interitum irretiebant, hi captivi facti sunt, id est, victi sunt prædicatione **229** sanctorum apostolorum, et sub Christo egerunt: dominatui namque suo eos subdidit, fidem nimirum amplexatos. Conquieverunt enim a servitute, qua prius servierunt, antequam Domino ejusque militibus subderentur.

πευταί, οἱ θεοὺς ἐπιγραφόμενοι πολλοὺς καὶ ἀναριθμήτους πληθυνθήσονται ἐπὶ τῆς γῆς τοῦ Θεοῦ, εἰς δούλους καὶ δούλας, ἔσονται δὲ καὶ αἰχμάλωτοι, οἱ αἰχμαλωτεύσαντες αὐτούς. Οἱ γὰρ αἰχμάλωτον λαβόντες τὸν Ἰσραὴλ, συναναχομισθέντες αὐτῷ, καὶ ἀφιγμένοι, φησὶν, εἰς τὴν Ἰουδαίαν, τοῖς τοῦ νόμου ζυγοῖς ὑποθήσουσι τὸν αὐχένα, καὶ οἷον καλὴν καὶ σωτήριον ὑπομείναντες τὴν αἰχμαλωσίαν, Κύριον καὶ Θεὸν ἐπιγράψονται τὸν τῶν ὅλων Δημιουργόν. Ἢ γὰρ τοῦτο, φησὶν, ἢ ἐκεῖνό που τάχα βούλεται δηλοῦν, ὅτι οἱ πάλαι κρατήσαντες καὶ ἀποκομίσαντες μὲν τὸν Ἰσραὴλ τῆς Ἰουδαίας, ὑποθέντες δὲ τοῖς ἰδίοις ζυγοῖς, κυριευθήσονται καὶ αἰχμαλωτευθήσονται, Κύρου, δηλονότι Περσῶν τε καὶ Μήδων αὐτοὺς ᾑρηκότων. Ἐν γὰρ τῇ ἡμέρᾳ ἐκείνῃ, τοῦτ' ἔστι, κατ' ἐκεῖνο καιροῦ, ἀνεθήσῃ μὲν ἐκ τῆς ὀδύνης καὶ τοῦ θυμοῦ σου· τοῦτ' ἔστιν ἐκ τῆς ὀργῆς τῆς ἐπηρτημένης σοι, θείας δηλονότι· διαφεύξῃ γὰρ τὴν πικρὰν δουλείαν, καὶ ἀνεθήσῃ τῶν πόνων. Ἀλλὰ φέρε δὴ πάλιν, μεταπλάττοντες ὡς ἔνι τῆς ἱστορίας τὸ πάχος, εἰς θεωρίαν πνευματικὴν τοιοῦτόν τι γεγονὸς καταθρήσομεν. Ἦσαν μὲν γὰρ αἰχμάλωτοι ταῖς τῶν εἰδώλων λατρείαις προσκείμενοι, καὶ τὰ αὐτοῦ τοῦ πλεονεκτήσαντος σέβοντες κράτη. Ἀλλ' ἠλέησεν ὡς ἠδικημένους ὁ πάντων Δημιουργὸς, πέπομφεν ἡμῖν ἐξ οὐρανοῦ λυτρωτὴν τὸν ἴδιον Υἱὸν, ἐν ὀνόματι Κυρίου, τοῦτ' ἔστιν, οὐχ ὡς ἕνα τῶν ἁγίων προφητῶν, ἀλλ' ἐν κυριότητος δόξῃ· ὃς καὶ πεπόρθηκεν οἷά τινα πόλιν ἀλαζόνα καὶ ὑβρίστρειαν, συνασπιζόντων αὐτῷ τῶν ὁπλομάχων αὐτοῦ, τοῦτ' ἔστι, τῶν ἁγίων ἀποστόλων· οἳ πᾶσαν ὥσπερ τοῦ διαβόλου τὴν χώραν καταδῃώσαντες συνανεκόμισαν ἑαυτοῖς, ὡς εἰς ἁγίαν πόλιν τὴν νοητὴν Ἱερουσαλὴμ, φημὶ δὴ τὴν Ἐκκλησίαν, τοὺς ἠπατημένους καὶ ζυγῷ δουλείας ἐνεσχημένους, οἳ καὶ ἐπληθύνθησαν ἐν τῇ γῇ τοῦ Θεοῦ, γεγόνασί τε εἰς δούλους καὶ δούλας. Οἱ δὲ πρὶν ὑπὸ χεῖρα καὶ αἰχμαλώτους ἔχοντες, τοῦτ' ἔστιν οἱ τῶν δαιμονίων θεραπευταὶ, καὶ τὰ ἐκείνων διδάσκοντες ἔθη, καὶ σαγηνεύοντες εἰς ἀπώλειαν, αἰχμάλωτοι γεγόνασι, τοῦτ' ἔστι, νενίκηνται τοῖς κηρύγμασι τῶν ἁγίων ἀποστόλων, καὶ ὑπὸ Χριστῷ πεπράχασι· κατεκυρίευσε γὰρ αὐτῶν προσηκαμένων δηλονότι τὴν πίστιν. Ἀνεπαύσαντο γὰρ καὶ ἐκ τῆς δουλείας τῆς σκληρᾶς, ἧς ἤδη φθάσαντες δεδουλεύκασι, πρὶν ὑπὸ Κυρίῳ γενέσθαι, καὶ τοῖς ὁπλομάχοις αὐτοῦ.

VERS. 4-7. *Et uteris hoc luctu in regem Babylonis, et dices illa die: Quomodo cessavit exactor, et cessavit sollicitator? Contrivit Deus jugum peccatorum, et jugum principum, percutiens gentem iracundia, plaga insanabili, verberans gentem plaga iræ, quæ non pepercit, requievit confidens.*

Tantam acerbitatem futuram ait bellicarum calamitatum Babyloniis ipsique Nabuchodonosoro, ut etiam hostes ad misericordiam commoveantur: et quos par erat non ferenda perpessos tantum non insultare jacenti, illi e converso etiam deinceps condoleant, et multitudine eorum quæ iis evenerunt, ad commiserationem descendant: vel etiam ut alio modo deplorent eos, qui occubuerunt, non

Καὶ λήψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα Βαβυλῶνος, καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ἐπισπουδαστής; Συνέτριψεν ὁ Θεὸς τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων· πατάξας ἔθνος θυμῷ, πληγῇ ἀνιάτῳ, παίων ἔθνος πληγῇ θυμοῦ, καὶ οὐκ ἐφείσατο, ἀνεπαύσατο πεποιθώς.

Εἰς τοῦτο σκληρότητος τοῖς Βαβυλωνίοις διελάσαι φησὶ τὰς ἐκ τοῦ πολέμου συμφορὰς, καὶ αὐτῷ δὲ τῷ Ναβουχοδονόσορ, ὡς κατοικτείρεσθαι παρ' ἐχθρῶν, καὶ οὓς ἦν εἰκὸς οὐ φορητὰ πεπονθότας μονονουχὶ καὶ ἐπορχεῖσθαι κειμένῳ, τούτους ἐκ περιτροπῆς, καὶ ἐπαλγῆσαι λοιπὸν, καὶ τῷ πλήθει τῶν συμβεβηκότων αὐτοῖς εἰς οἶκτον ἐλθεῖν, ἤγουν καὶ ἑτέρως θρηνῆσαι πεσόντας, καὶ οὐχὶ δὴ πάντως ἐποικτείροντας, ἐφ-

ἠδομένους δὲ μᾶλλον, καὶ τοῖς παρ' ἐλπίδα κατειλημμένοις ἐπιτωθάζοντας. Ἐξυφαίνει δὲ καὶ τὸν θρῆνον αὐτοῖς ᾆσμά τε δίδωσιν ἐοικὸς τοῖς συμβεβηκόσιν. Ἐρεῖς γάρ, φησί, Πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν; Τὸ ἀναπέπαυταί φησιν εὐφήμως, ἀντὶ τοῦ, διόλωλέ τε καὶ πέρας ἔχει. Ἀπαιτοῦντα δὲ καὶ ἐπισπουδαστὴν ὀνομάζει τὸν Βαβυλώνιον, ὃς ἐκ πολλῆς ἄγαν ὑπεροψίας, οὐχὶ τοῖς ὁμόροις ἐπετίθει μόνοις τῆς ἑαυτοῦ πλεονεξίας τὸν ζυγόν, ἀλλὰ γὰρ ἐν ταῖς ἄγαν ἀπῳκισμέναις πόλεσί τε καὶ χώραις τοὺς φορολόγους ἐκπέμπων δασμοὺς ἀπῄτει καὶ τέλη. Θαυμάζουσι τοίνυν πῶς ὁ τοιόσδε πέπαυται, καὶ ἡ πάντα πλεονεκτοῦσα κατέληξε χείρ. Ὅτι δὲ οὐκ ἠγνοήκασι τοῦ πεσεῖν αὐτὸν τὰς αἰτίας καταδεικνῦντες φασί· Συνέτριψεν ὁ Θεὸς τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων. Ἀκούεις ὅπως ἄρχοντας ὀνομάζει φρόνημα τὸ ἀγέρωχον περιτιθεὶς αὐτοῖς; Ἐπεπήδων γάρ, ὡς ἔφην, ἅπασιν, ὡς ἔπος εἰπεῖν, τοῖς ἀνὰ πᾶσαν τὴν γῆν, τοῖς ἰδίοις αὐτοὺς ὑποφέροντες ζυγοῖς. Ἄρχειν δὲ ἦν ἔσθ' ὅτε ὁμοῦ καὶ σχολὴ αὐτοῖς. Ἀλλ' ἐπάταξε, φησίν, ὁ Θεὸς τὸ ὑπέροφρυ γένος, ἤγουν ἔθνος πατάξας πληγῇ ἀνιάτῳ. Ὁ δὲ πεποιθὼς ἐφ' ἑαυτῷ μέγα καὶ πεφρονηκώς, καὶ οὐχ ἑκὼν ἀνεπαύσατο, τοῦτ' ἔστιν, οἴχεται πρὸς πέρας τὸ αὐτῷ πρεπωδέστατον, πληγὴν ὑπομείνας ἀνίατον θυμοῦ, φειδοῦς ἁπάσης ἐξῃρημένης. Ἀλλὰ ταυτὶ δὴ φάναι πρέποι ἂν καὶ ἡμᾶς αὐτούς, καὶ οἷον ἐπαλαλάζειν τῷ Σατανᾷ, ἀπαιτοῦντι καὶ ἐπισπουδάζοντι, καὶ μάλα πικρῶς. Ἔγκειται γὰρ τῇ ἑκάστου διανοίᾳ, παρατρέπων αὐτὴν τῶν ἀρίστων καὶ ἀγαθῶν σπουδασμάτων τῶν ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ φημί, σὺν βίᾳ δὲ ὥσπερ ἀποφέρων ἐπὶ τὸ αὐτῷ δοκοῦν· καὶ οἷόν τις πικρὸς δασμολόγος τὸ εἰς ἁμαρτίαν ἐπιμελὲς παρ' ἑκάστου ζητῶν. Ἀλλὰ συνέτριψεν ὁ Σωτὴρ τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, ἀποβαλὼν μὲν ἐκεῖνον, ὑπενεγκὼν δὲ μᾶλλον ἡμᾶς τοῖς ἑαυτοῦ ζυγοῖς, καὶ πατάξας ἔθνος πληγῇ ἀνιάτῳ. Ἔθνος δὲ ποῖον, ἢ πάντως που τὸ τῶν δαιμονίων, οἷς καὶ ἐπέταττεν εἰς τὴν ἄβυσσον ἀπελθεῖν; καὶ μὴν καὶ αἰκίας τὰς παγχαλέπους ἐπῆγεν· καὶ γοῦν ἀνακεκράγασι λέγοντες· «Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; Ἦλθες ὧδε πρὸ καιροῦ ἀπολέσαι ἡμᾶς.»

Πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης, καὶ τὰ ξύλα τοῦ Λιβάνου ηὐφράνθησαν ἐπὶ σοί, καὶ ἡ κέδρος τοῦ Λιβάνου ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς.

Μέρος τοῦ θρήνου καὶ τοῦτο· καὶ ὅσον μὲν ἧκεν εἴς γε τὸν τῆς ἱστορίας λόγον, εὐφροσύνη γέγονεν ἐν πάσῃ τῇ γῇ, τῆς Ἀσσυρίων πεπορθημένης, καὶ καταλήξαντος τοῦ ἐπισπουδαστοῦ, καὶ παρὰ πάντων αἰτοῦντος τὸ ὑποτάττεσθαι δεῖν αὐτῷ, οὓς καὶ ξύλα τοῦ Λιβάνου ὁ προφητικὸς ὀνομάζει λόγος· τοὺς ἐν ἀρχαῖς που πάντως, καὶ ἐν δυνάμεσι τῶν ἐθνῶν κέδροις παρεικάζων. Πλὴν οἷά τις δρυοτόμος ὁ Ναβουχοδονόσορ κατασείων αὐτοὺς τοῖς ἰδίοις ὑπετίθει ζυγοῖς. Αἱ κέδροι τοίνυν, φησίν, ἐπὶ σοὶ χαίρουσαι φασίν· Ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. Εἰ δὲ δὴ βούλοιτό τις τὸν τοιόνδε λόγον ἐφαρμόσαι μόνοις τοῖ-

[96] Marc. I, 24.

solum commiserando, sed lætando potius, et hominibus præter spem captis insultando. Pertexit autem lamentationem suam, ac carmen etiam dat eventui conveniens. Dices enim, inquit: Quomodo cessavit exactor? Cessare, molliore nomine dicit, pro perire, et finem habere. Exactorem vero et instigatorem nominat Babylonium, qui propter immensam superbiam, non finitimis modo tyrannidis suæ jugum imposuit, sed in remotissimis civitatibus ac regionibus tributorum exactoribus emissis vectigalia exigebat ac tributa. Mirantur igitur qui fit ut talis cessaverit, et ea manus, quæ omnia rapiebat, destiterit. Quod autem non ignoraverint occasus illius causas, ostendunt et inquiunt: Contrivit Deus jugum peccatorum, jugum principum. Audis quo pacto principes nominat, mentem illis superbam attribuens? Insultabant enim, ut dixi, omnibus, quodammodo per omnem terram, suo eos jugo submittentes. Imperare autem et solebant illi et volebant. Sed percussit Deus, inquit, superciliosum genus, sive gentem percutiens plaga insanabili. Ille vero confidens sibi ipsi, et elato animo nolens cessavit, id est, finem habuit 230 se dignissimum, plagam subiens insanabilis iræ, omni sublata misericordia. Sed hæc nos ipsos dicere convenit, et velut acclamare Satanæ exigenti et urgenti, idque acriter. Oppugnat enim cujusque mentem, eam ab optimis et honestis studiis, pietatis, inquam, et justitiæ avertens, et vi quocunque lubet velut auferens: et ceu rigidus quispiam exactor peccati assiduitatem et diligentiam requirens a singulis. Sed contrivit Deus jugum peccatorum, illud abjiciens, nosque magis suo ipsius jugo supponens, et verberans gentem plaga insanabili. Quæ est autem, vel ubi prorsus est hæc gens dæmoniorum, quæ in abyssum ire jussit et pœnas illas quidem graves inflixit? Clamabant siquidem, ac dicebant: «Ah! quid nobis et tibi, Jesu Nazarene? venisti huc ante tempus perdere nos [96].»

VERS. 8. *Omnis terra clamat cum lætitia, et ligna Libani lætata sunt super te: et cedrus Libani, ex quo tu dormivisti, non ascendit qui succidat nos.*

Et hæc est pars quædam lamentationis, et quantum quidem attinet ad historiam, lætitia fuit per totam terram, Assyriorum regione devastata, et cadente exactore, et eo qui ab omnibus subjectionem exegit: quos et ligna Libani prophetica nominat oratio, in principatu nimirum et potestate positos apud gentes cedris comparans; verum tanquam frondator quispiam Nabuchodonosorus quatiens eos suo jugo submisit. Cedri igitur, inquit, gaudentes propter te, aiunt: Ex quo tu dormivisti, non ascendit qui succidat nos. Si quis autem hanc orationem velit solis Israelitis adaptare, hanc ad

modum intelliget. Libanus mons ingens est in terra Phœnicum, cedris et thuribus quasi comatus et decoratus, et densus ac spissus arboribus. Sæpe itaque illum Scriptura divinitus inspirata terræ Judæorum comparat, propterea quod complures essent in ea et potentia et gloria clarissimi, essentque etiam alii sacerdotii insignibus alte subvecti, et velut odore fragrantissimi. Et sane Zacharias propheta cum Libano confert Judæam : qui in ea erant, cedris et quercubus et pinubus : igni autem cunctivoro Romanum exercitum, qui post Christi crucem **231** totam eorum regionem incendit; sicque ait : « Aperi, Libane, portas tuas, et exedat ignis cedros tuas : ploret pinus, quia cecidit cedrus, plorate, quercus Basan, quia evulsus est saltus consitus [96]. » Sit igitur Judæorum hæc oratio, velut a lignis Libani sumpta, quæ gaudent et dicunt Babylonio ipsiusque servis : Ex quo tu dormivisti, non ascendit qui succidat nos. Elegantissime vero in hac sermonis translatione immoratus est. Nam quia velut a lignis Libani facta est vox, ideo inquiunt ; Non ascendit qui succidat nos. Nam post reditum Israelitarum ex Babylone, nequaquam contra illos bellum ex terra Assyriorum excitatum est. Dicemus et nos merito Satanæ, qui olim ab illo eversi, stabilem deinceps mentem in Christo habemus, animumque in pietate firmum et radices agentem, et pectus florentissimum : Ex quo tu obdormivisti, non ascendit qui nos succidat.

A ἐξ Ἰσραὴλ, περινοήσει τοιῶσδε. Λίβανος ὄρος ἐστὶ παμμεγεθὲς κατὰ τὴν Φοινίκων γῆν, κέδροις τε καὶ λιβάνοις κατάκομον, δασύ τε καὶ εὔδενδρον· παρεικάζει τοίνυν αὐτὸ πλειστάκις ἡ θεόπνευστος Γραφὴ τῇ τῶν Ἰουδαίων χώρᾳ, διάτοι τὸ πλείστους ἐν αὐτῇ διαπρεπεστάτους εἶναι κατά τε δυναστείαν καὶ δόξαν, εἶναί γε μὴν καὶ ἑτέρους τοῖς τῆς ἱεροσύνης αὐχήμασιν ὕψου τε ἠρμένους καὶ οἷον εὐοσμοτάτους. Καὶ γοῦν ὁ προφήτης Ζαχαρίας, Λιβάνῳ μὲν παρεικάζων τὴν Ἰουδαίαν· κέδροις τε δρυσί τε καὶ πίτυσι τοὺς ἐν αὐτῇ. Πυρὶ δὲ παμφάγῳ τὴν Ῥωμαίων στρατείαν, τὴν μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν ὅλην αὐτῶν κατεμπρήσασαν τὴν χώραν. Οὕτω φησί· « Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου. Καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος.
B Ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. » Ἔστω τοιγαροῦν Ἰουδαίων ὁ λόγος ὡς ἀπὸ ξύλων τοῦ Λιβάνου εὐφραινομένων τε καὶ λεγόντων τῷ Βαβυλωνίῳ καὶ τοῖς ἀμφ' αὐτόν· Ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. Ἀστειότατα δὲ σφόδρα μεμένηκε τῇ τοῦ λόγου τροπῇ. Ἐπειδὴ γὰρ ὡς ἀπὸ ξύλων τοῦ Λιβάνου γέγονεν ἡ φωνὴ, ταύτητοί φασι τὸ, Οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. Μετὰ γάρ τοι τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον τῶν ἐξ Ἰσραὴλ, οὐκέτι πρὸς αὐτοὺς ὁ ἐκ τῆς Ἀσσυρίων κεκίνηται πόλεμος. Ἐροῦμεν δὲ καὶ ἡμεῖς εἰκότως τῷ Σατανᾷ, οἱ πάλαι μὲν παρ' ἐκείνου πεπορθημένοι, ἑδραῖον δὲ λοιπὸν ἐσχηκότες ἐν Χριστῷ τὸ φρόνημα, καὶ νοῦν εἰς εὐσέβειαν ἀσφαλῆ, καὶ ἐῤῥιζωμένον, καὶ
C καρδίαν εὐθαλεστάτην· Ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς.

Vers. 9-11. *Infernus subtus exacerbatus est tibi occurrens; excitati sunt simul tibi omnes gigantes qui dominabantur terræ, qui excitabant de thronis suis omnes reges gentium. Omnes respondebunt, tibique dicent : Et tu captus es quemadmodum et nos. Inter nos autem reputatus es. Descendit ad inferos gloria tua, multa lætitia tua. Tibi substernent putredinem, et hospitium tuum vermis.*

Ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι· συνηγέρθησάν σοι πάντες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν πάντας βασιλεῖς ἐθνῶν. Πάντες ἀποκριθήσονται, καὶ ἐροῦσί σοι· Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς· ἐν ἡμῖν δὲ κατελογίσθης· κατέβη εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου· ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατακάλυμμά σου σκώληξ.

In more est Scripturæ divino afflatu præditæ, personas fingere aliquando, et veluti ipsis rebus voces accommodare : quale illud est : « Erubesce, Sidon, dixit mare; et fortitudo maris ait : Non parturivi, neque peperi, neque enutrivi adolescentulos, neque evexi virgines [97]. » Applicat vero hunc sermonem in hoc Tyriorum civitati, quæ olim a Babyloniis excisa est; dicimusque hanc orationem naturæ rerum quadrare. Sic et Michæas propheta induxit Jerusalem, Babylonem alloquentem : « Ne insultes mihi, inimica mea, quod ceciderim et resurgam. Propterea si sedero in tenebris, Dominus illucescet mihi; iram Domini sustinebo, quia peccavi illi, donec justam pronuntiet ipse causam meam ; et faciet judicium meum, et educet me in lucem. Videbo justitiam ejus, et videbit inimica mea, et vestietur ignominia, quæ dicit **232** mihi : Ubi Dominus Deus tuus?

Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ προσωποποιεῖν ἔσθ' ὅτε, καὶ οἷον αὐτοῖς τοῖς πράγμασιν ἐφαρμόζειν φωνὰς, ὁποῖόν ἐστι τὸ, « Αἰσχύνθητι Σιδὼν, εἶπεν ἡ θάλασσα· ἡ δὲ ἰσχὺς τῆς θαλάσσης εἶπεν· Οὐκ ὤδινον,
D οὐδὲ ἔτεκον, οὐδὲ ἔθρεψα νεανίσκους, οὐδὲ ὕψωσα παρθένους. » Περιτίθησι μὲν γὰρ τὸν ἐπὶ τῷδε λόγον τῇ Τυρίων πόλει πεπορθημένῃ κατὰ καιροὺς παρὰ τῶν Βαβυλωνίων· φαμὲν δὲ πρέπειν τῇ τῶν πραγμάτων φύσει τὸν λόγον. Οὕτω καὶ ὁ προφήτης Μιχαίας εἰσκεκόμικέ που τὴν Ἱερουσαλὴμ πρὸς τὴν Βαβυλῶνα λέγουσαν· « Μὴ ἐπίχαιρέ μοι, ἐχθρά μου, ὅτι πέπτωκα καὶ ἀναστήσομαι. Διότι ἐὰν καθίσω ἐν τῷ σκότει, ὁ Κύριος φωτιεῖ μοι· ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου· καὶ ποιήσει τὸ κρίμα μου, καὶ ἐξάξει με εἰς τὸ φῶς. Ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ, καὶ ὄψεται ἡ ἐχθρά μου, καὶ περιβαλεῖται αἰσχύνη ἡ λέγουσα

[96] Zach. XI, 1, 2. [97] Isa. XXIII, 4.

πρὸς μέ· Ποῦ Κύριος ὁ Θεός σου; Οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν· νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς ἡμέρας ἀλοιφῆς πλίνθου· ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη. » Καθ' ἣν δηλονότι ὁ Κῦρος τε καὶ Μῆδοι Πέρσαις ἀναμὶξ ᾐρήκασι τὴν Βαβυλωνίων. Προσωποποιεῖ τοιγαροῦν καὶ νῦν οὐδὲν ἧττον ὁ μακάριος προφήτης· παρωξύνθαι τέ φησιν, ἤγουν πεπικράνθαι τὸν ᾅδην καταβαίνοντι συναντήσαντα. Καί μοι τοῦ λόγου περιάθρει τὴν οἰκονομίαν. Καταδείκνυσι γὰρ διὰ τούτου μιαιφόνον ὄντα καὶ αἱμάτων πλήρη, ὥστε καὶ ἔργον τῆς ἐνούσης ὠμότητος αὐτῷ πάντα σχεδὸν γενέσθαι τὸν ᾅδην, ἤτοι τοὺς ὄντας ἐν ᾅδου. Οὐ γὰρ διαλέλοιπεν ὁ ἀλαζὼν ἔθνη τε καὶ βασιλεῖς ἄρδην ἀποκείρων, καὶ ψυχῶν ἀθλίων τὸν ᾅδην ἀναπιμπλάς. Πάντες οὖν οἱ γίγαντες, φησί, τοῦτ' ἔστιν, οἱ κατ' ἰσχὺν ἐπίσημοι γεγονότες, καὶ πολλῶν B ἄρξαντες ἐθνῶν, ἀνῃρημένοι δὲ διὰ σοῦ, ἀποκριθήσονται, καὶ ἐροῦσι, Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς. Ἦσθα μὲν γὰρ ἄνθρωπος, φασιν, ἀλλ' οὐχ ἠξίους τοῦτο εἰδέναι καὶ φρονεῖν· ἀλλ' οὐδ' ἂν ᾠήθης, ὅτι καὶ κρείσσων ἔσται τις τῆς σῆς ὀφρύος, καὶ τῆς δυσαντήτου χειρὸς, εἰσὶ δὲ ὅτι καὶ θανάτου κρείττων, οὐχ ἔξω που τάχα τέθεικας τῆς ἐλπίδος, μόλις δὲ καὶ οὐχ ἑκόντα σε μάχαιρα πέπεικε Μηδικὴ διὰ πείρας αὐτῆς ἐκμαθεῖν, ὅτι καθ' ἡμᾶς ἦσθα καὶ αὐτός. Καὶ γοῦν ἑάλως, ὥσπερ καὶ ἡμεῖς. Κατέβη δὲ εἰς ᾅδου ἡ δόξα σου, ἀντὶ τοῦ, ἐσβέσθη θανάτῳ· καὶ τὸ ἀμειδὲς τῆς φθορᾶς ἐπενήνεκται κράτος. Τὴν σὴν εὐφροσύνην ὄψεται καὶ μόλις τεθεικὸς ἐκ μέσου. Στρωθήσεται δὲ σῆψις μὲν ὑποκάτω σου, γενήσεται δέ σοι καὶ ἄμφιον C ὡς σκώληξ. Καὶ κοινὸν μὲν τοῦτο. Πεπονθόσι γὰρ ἅπαξ τοῖς ἀνθρωπίνοις σώμασι τὸ ἀποθανεῖν, συμβήσεται πάντως σῆψις καὶ σκώληξ. Πλὴν ἐπ' ἐκείνου λέγεται καλῶς, ὡς ἐν τάξει πικρῶν ὀνειδισμῶν. Οἱ γὰρ εἰς λήθην πεσόντες τῆς ἑαυτῶν ἀσθενείας, καὶ ἐκ πολλῆς ἄγαν ὑπεροψίας, οὐδὲ ὅτι πείσονται τὰ ἀνθρώπινα προσδοκήσαντες, κατονειδίζοιντο ἂν εἰκότως· ὡς ἔν γε τῷ παθεῖν αὐτὰ μαθόντες μόλις, ἃ χρῆν εἰδότας ἑλέσθαι φρονεῖν μετριώτερα. Ὁ τοίνυν, φησίν, ἐξιτήλοις καὶ βασιλικαῖς ἐνσπαταλήσας τρυφαῖς, ὁμοῦ τοῖς ἄλλοις κείσεται περιστολῆς δίχα, καὶ ἠξιωμένος οὐδενὸς τῶν τοῖς τεθνεῶσι νενομισμένων.

Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ Ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη; D

Ἀστὴρ τῶν ὅτι μάλιστα περιφανεστάτων ὁ Ἑωσφόρος ἐστίν· ἀνίσχει δὲ βραχὺ πρὸ αὐγῆς, καὶ οἱονεί τις πρόαγγελος τῆς ἡλίου μαρμαρυγῆς. Ὅτι δὲ πλουσίῳ φωτὶ καταλάμπεται, διαδείξειεν ἂν αὐτὸ τουτὶ τὸ βραχὺ φαίνεσθαι πρὸ αὐγῆς. Ἕως μὲν γὰρ ἔτι τὸ αἰθέριον καταμελαίνεται σῶμα, μονονουχὶ φριγώσης νυκτὸς, καὶ ἐν ἀκμαῖς ὄντος τοῦ σκότους, ἐκφανεστέραν ἔχουσι τὴν ἔκλαμψιν οἱ κατ' οὐρανὸν ὄντες ἀστέρες· ἡμέρας δὲ οὔσης ἐγγὺς, καὶ οἷον ἐν πρώταις ἐσχατιαῖς τοῦ ἡλιακοῦ γεγονότος κύκλου, συστέλλεταί πως τὸ ἑκάστου φῶς παραχωροῦν τῷ προὔχοντι, καὶ ἡττώμενον τῷ μείζονι σέλᾳ. Ἀμφιλαφὲς δὲ οὕτως

[88] Mich. VII, 8-11.

A Oculi mei videbunt ipsam, nunc erit conculcationi, ut lutum in viis, diebus lituræ lateris delebit te dies ille [88]. » Quo scilicet Cyrus et Medi cum Persis conjunctim terram Babyloniorum sustulerunt. Itaque nihilominus et hic per prosopopœiam beatus propheta exacerbari dicit et exasperari inferos, accursantes regi Babyloniorum descendenti. Et mihi intuere orationis œconomiam ac dispositionem. Ostendit enim homicidam eum esse et sanguinis plenum, ut totus fere infernus, nimirum hi qui apud inferos sunt, opus et materia fuerint ejus, quæ in ipso erat, crudelitatis. Non enim destitit superbus et gentes et reges stirpitus evellere, et miseris animabus inferos replere. Omnes igitur gigantes, inquit, id est, viribus insignes, et multis imperitantes gentibus, et per te sublati respondebunt, et dicent, Et tu captus es, quemadmodum et nos. Eras enim, inquiunt, homo, sed non dignatus es hoc nosse neque sentire: sed nec existimasti quemquam fore qui supercilium tuum, et manum immanem ac horrendam posset superare, imo forte te mortem posse vincere non desperabas; vix autem etiam nolenti gladius Medicus persuasit, ut hoc experimento disceres, te nostræ quoque conditionis ac sortis fuisse. Et tu captus es sicut et nos: descenditque ad inferos gloria tua, pro, exstincta est morte; et triste mortalitatis imperium invectum est, tuamque lætitiam quam sustulit, vix aspiciet. Substernetur etiam tibi putredo, fietque tibi vermis pro indumento. Atque hoc quidem est commune: nam cum semel passa sunt mortem humana corpora, semper et putrefactio et vermis accident. Sed de illo pulchre dicitur acerbæ contumeliæ loco: qui enim in oblivionem venerunt suæ ipsorum infirmitatis, et propter insignem quamdam insolentiam, se nihil passuros humanitus exspectant, merito probris exagitantur et dicteriis, ut ista patiendo ægre licet discant quemadmodum oporteat sentire de se modestius. Qui igitur, inquit, mollibus ac regalibus diffluxit et luxuriavit deliciis, is simul cum aliis jacebit sine amictu, nec his quæ sunt decreta et sancita mortuis dignus habebitur.

VERS. 12. *Quomodo cecidit de cœlo Lucifer qui mane oriebatur? attritus est in terram qui mittebat ad omnes gentes?*

233 Stella lucidissima est Lucifer, et ante splendorem auroræ paululum oritur, et coruscationis veluti solis quidam est prænuntius. Quod autem abundanti, et quasi divite luce effulgescat, illud indicio esse poterit, quod paulo ante diluculum eluceat. Quandiu enim ætherium corpus atrum est nocte quasi condensata, et invalescentibus tenebris, lucidiorem habent claritatem cœlestes stellæ: cum autem adventat dies, et veluti solis extremo circulo imminet, contrahitur quodammodo earum omnium lux, cedens præstantiori, et a majori lumine superata. At Luciferi lumen adeo copiosum est, ut dilu-

culo appareat, et emicationem emittat radiis solaribus proximam. Componit itaque cum Lucifero Babylonium, eo quod antecellat cæteris, et nemo ei similis imperiis et regnis conspiciatur, itaque conspicuus et illustris sit, ut quasi inter astra reliqua Lucifer habeatur. Cæterum quacunque, inquit, gloria circumdatus, et in sublime elevatus, et invicta nobilitate resplendens, quomodo decidit velut ex cœlo? attritusque est ad terram qui mittebat ad cunctas gentes? Illud autem, mittit, pro jubet, dicit, vel etiam alio modo. Placuit enim fere semper Babyloniorum tyrannis genus humanum omne in suam manum ac potestatem redigere, et ad jugum servitutis trahere. Miserunt ergo ad omnes, glebam petentes terræ, et aquam in vas : veluti ex parte quærentes totum, terram, inquam, et mare, quasi domini essent rerum omnium.

VERS. 13-17. *Tu autem dixeras in animo tuo: In cœlum ascendam, supra astra cœli ponam solium meum, sedebo in monte celso, super montes celsos qui ad Aquilonem, ascendam supra nubes, ero similis Altissimo. Nunc autem ad inferos descendes et ad fundamenta terræ. Qui videbunt te, admirabuntur te, et dicent : Iste homo, qui irritabat terram universam, qui concutiebat reges, qui ponebat orbem totum in solitudinem, et urbes evertit, et qui in obductione erant, non solvit.*

Inopinatis calamitatibus ipsum involutum esse ait, et in malis præter spem et **234** opinionem versatum, vix tandem ex rebus ipsis didicisse se hominem esse, et hominibus ante se mortuis similem. Quantum enim spectat ad verba superbiæ, et ad animum Dei odio flagrantem, atque adeo summæ insolentiæ ac fastus plenissimum, Paululum te, inquit, a divinæ præstantiæ celsitudine abesse putabas, cœlumque forte ipsum tibi fore pervium exspectabas, tuumque solium cum supremo throno certaturum : Deo æqualem te esse et supra creaturam stolide existimasti; te ultra nubes scandere, et in ipsis stellis considere credidisti. Cæterum deprehensus es frustra hæc cogitasse. Arguit tuam sinistram incogitantiam rerum exitus. Descendes enim ad inferos, et ad fundamenta terræ. Et hæc ait, ut forte locum significet infimum, id est, exteriores tenebras. Eris autem, inquit, miraculum videntibus, idque jure optimo. Crebræ enim mutationes, maxime quæ præter spem, percellunt spectantes. Quodnam autem spectaculum, et quæ erit oratio de illo? Dicent quippe : Iste est homo? at cum passus fuerit, vix hominem nominant, fortassis olim hoc dicere veriti : Verum hiccine ille homo, qui concitat universam terram, qui reges concussit, qui redigit orbem terrarum in solitudinem, et urbes evertit? Mirati sunt non abs re, siquidem unus homo contra totum orbem terrarum bellum gesserit, regna conquassarit, orbem habitabilem in solitudi-

A ἐστὶ τὸ φῶς τοῦ Ἑωσφόρου, ὡς καὶ ἐν αὐγῇ φαίνεσθαι, καὶ ταῖς ἡλίου βολαῖς γείτονά πως ποιεῖσθαι τὴν ἀνάδειξιν. Παρεικάζει τοίνυν Ἑωσφόρῳ τὸν Βαβυλώνιον, διάτοι τὸ προύχειν τῶν ἄλλων, καὶ μηδένα κατ' αὐτὸν ὁρᾶσθαι τῶν ἐν ἀρχαῖς τε καὶ βασιλείαις· εἶναι δὲ οὕτω περιφανῆ καὶ περίοπτον, ὡς ἂν νοοῖτο καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἄστροις ὁ Ἑωσφόρος. Ἀλλ' ὁ τοιαύτῃ δόξῃ περιχεόμενος, φησὶν, ὕψου τε ἠρμένος, καὶ ἀνικήτοις εὐκλείαις λελαμπρυσμένος, πῶς ἐξέπεσεν ὡς ἐξ οὐρανοῦ; συνετρίβη δὲ καὶ εἰς τὴν γῆν ὡς ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη; Τὸ δὲ ἀποστέλλων, ἀντὶ τοῦ κελεύων, φησὶν, ἢ καθ' ἕτερον τρόπον. Ἐδόκει γάρ πως ἀεὶ τοῖς Βαβυλωνίων τυράννοις ἅπαν ἀνθρώπων ἔθνος ὑπὸ χεῖρα ποιεῖσθαι τὴν ἑαυτῶν, χώρας τε ἁπάσας ὑπὸ ζυγὰ δουλείας ἐλθεῖν.
B Ἀποστέλλων γοῦν πρὸς πάντα τὰ ἔθνη, βῶλον αἰτοῦντες γῆς, καὶ ὕδωρ εἰς ἄγγος, οἷον ἐκ μέρους ζητοῦντες τὸ πᾶν, γῆν τέ φημι καὶ θάλασσαν, ὡς τῶν ὅλων ὄντες δεσπόται.

Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ πρὸς βοῤῥᾶν τὰ ὑψηλὰ, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ. Νῦν εἰς ᾅδου καταβήσῃ, καὶ εἰς τὰ θεμέλια τῆς γῆς. Οἱ ἰδόντες σε θαυμάσουσιν ἐπὶ σοὶ, καὶ ἐροῦσιν· Οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων πᾶσαν τὴν γῆν, ὁ σείων βασιλεῖς, ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις καθεῖλε. Τοὺς
C *ἐν ἐπαγωγῇ οὐκ ἔλυσε.*

Ἀδοκήτοις αὐτὸν συμφοραῖς ἐναλῶναι, φησὶ, καὶ τοῖς παρ' ἐλπίδα παραδόξοις ὡμιληκότα, δι' αὐτῶν καὶ μόλις ἀναμαθεῖν τῶν πραγμάτων, ὅτι τε ἄνθρωπος εἴη, καὶ τοῖς πρὸ αὐτοῦ τεθνεῶσι παραπλήσιος. Ὅσον μὲν γὰρ ἧκεν εἰς λόγους ὑπεροψίας, καὶ εἰς φρόνημα τὸ θεομισὲς, καὶ τῆς εἰς ἄκρον ἀλαζονείας ἔμπλεων· Ὀλίγα παραχωρεῖν ἐδόκει σοι, φησὶ, τοῖς τῆς θείας ὑπεροχῆς ὑψώμασι, βάσιμον ἔσεσθαί σοί πως καὶ αὐτόν που τάχα προσεδόκας τὸν οὐρανὸν, καὶ θρόνοις τοῖς ὑπερτάτοις τὸν σὸν ἁμιλλήσεσθαι θῶκον· ἐνόμισας ἀμαθῶς, ἰσόθεος εἶναί τις καὶ ὑπὲρ τὴν κτίσιν· ἐδόκεις ὑπερνεφὴς εἶναί τε, καὶ ἐπ' αὐτῶν ἱζῆσαι τῶν ἄστρων. Ἀλλ' ἡλὼς εἰκῆ τὰ τοιάδε πεφρονηκώς. Ἤλεγξε τὴν σὴν εἰκαιοβουλίαν τῶν
D πραγμάτων τὸ πέρας· καταβήσῃ γὰρ εἰς ᾅδου, καὶ εἰς τὰ θεμέλια τῆς γῆς. Καὶ ταῦτά φησιν, ἵνα τὸν χῶρον τάχα που σημαίνῃ τὸν κατωτάτω, τοῦτ' ἔστι, τὸ ἐξώτερον σκότος. Ἔσῃ δὲ θαῦμα τοῖς ὁρῶσι, φησὶ, καὶ μάλα εἰκότως. Αἱ γὰρ ἀθρόαι μάλιστα τῶν παρ' ἐλπίδα μεταβολαὶ, καταπλήττουσι τοὺς θεωμένους. Τί δὲ τὸ θαῦμα, καὶ πῶς ἂν γένοιτο λόγος ὁ ἐπ' αὐτῷ; Ἐροῦσι γὰρ, Οὗτος ὁ ἄνθρωπος; παθόντα μόλις ἄνθρωπον ὀνομάζουσι· τάχα που τοῦτο εἰπεῖν δεδιότες πάλαι· Πλὴν οὗτος ὁ ἄνθρωπος, ὁ παροξύνων πᾶσαν τὴν γῆν, σείων βασιλεῖς, ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις καθεῖλε; τεθαυμάκασιν εἰκότως, εἰ ἄνθρωπος εἷς ὅλης κατηρέθιστο τῆς ὑπ' οὐρανὸν, κατεδόνησε βασιλεῖς, ἐρήμην ἀπέφηνε τῶν οἰκούντων τὴν οἰκουμένην, κατέσεισε δὲ καὶ τὰς

πόλεις. Καὶ τί πρὸς τούτοις ἕτερον, Τοὺς ἐν ἐπαγωγῇ οὐκ ἔλυσεν; Ἐπεὶ δέ τινα τῶν ἀντιγράφων ἔχει· Τοὺς ἐν ἀπαγωγῇ, εἰ μέν τις οὕτως βούλοιτο νοεῖν, ἐροῦμεν, ὅτι τὸ τῆς ἀπαγωγῆς ὄνομα τὴν αἰχμαλωσίαν καὶ τὴν ἐξανάστασιν τῶν ἐξ Ἰσραὴλ κατασημαίνειεν ἄν. Ἀπεκομίσθησαν γὰρ ἐκ τῆς Ἰουδαίας εἰς τὴν Ἀσσυρίων. Εἰ δὲ δὴ τοὺς ἐν ἐπαγωγῇ λέγοι τὸ γράμμα τὸ ἱερὸν, οὐδὲν ἧττον σὺ νοήσεις, ὅτι τοὺς ὄντας ἐν ἐπαγωγῇ θυμοῦ Κυρίου. Ἐπηνέχθη γὰρ αὐτοῖς ὀργὴ διὰ πολλὴν ἁμαρτίαν. Ὁ Ναβουχοδονόσορ οὐκ ἔλυσε, τοῦτ' ἔστιν, οὐκ ἀνῆκε τῆς ταλαιπωρίας. Ἔδει γὰρ, ἔδει τὸν ἀλιτήριον, οὐκ ἀλαζόνα μόνον ὁρᾶσθαι, ἀλλὰ γὰρ καὶ θεομάχον, καὶ πεπορθηκότα τὴν γῆν, καὶ σκληρὸν, καὶ ἀφιλοικτείρμονα, καὶ κατ' οὐδένα τρόπον εἰδότα ἐλεεῖν τοὺς ἐν ἐσχάταις ὄντας συμφοραῖς, καὶ πεπραχότας ἀθλίως. Ἐφαρμόσαι δ' ἄν τις καὶ μάλα εἰκότως τῇ τοῦ πάντα συντρίψαντος κεφαλῇ, φημὶ δὴ τοῦ ἀρχεκάκου δράκοντος, τὰ ἱστορικῶς εἰρημένα. Ἦν μὲν γὰρ ἀπαιτῶν καὶ ἐπισπουδαστὴς, καθ' οὓς ἤδη προείπαμεν τρόπους· πέπαυται δὲ, καὶ ἐκ μέσου γέγονε, καταπαίοντος αὐτὸν τοῦ Θεοῦ πληγῇ θυμῷ ἀνιάτῳ, καὶ κατέληξε κόπτων, οἷά τις δρυοτόμος εὐσθενὴς, τὰς κέδρους τὰς νοητὰς, ὧν καὶ ὁ μακάριος Δαβὶδ διαμέμνηται λέγων πρὸς τὸν τῶν ὅλων Θεόν· « Αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας. » Ἐπειδὴ δὲ καταπεφοίτηκεν εἰς ᾅδου πάντως που καταδεδικασμένος ὁ δείλαιος, ἐκεῖ τῇ παμφάγῳ συνεχόμενος φλογὶ, τεθαυμάκασι τοῦτο παθόντα, κατά γε τὸ εἰκὸς, αἱ πονηραί τε καὶ ὑπ' αὐτὸν δυνάμεις, καὶ τάχα που καὶ τεθρηνήκασι λέγουσαι· Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης, καὶ τὰ τούτοις ἐφ' ἑξῆς. Ἦν μὲν γὰρ τό γε ἧκον εἰς δόξαν, ἐπίσημος ἐν ἀγγέλοις, καὶ ἐν ταῖς ἄνω δυνάμεσιν περιφανὴς, καθάπερ ἀμέλει καὶ ἐν τοῖς ἄστροις Ἑωσφόρος. Ἐξέπεσε δὲ καὶ συνετρίβη πεφρονηκὼς ὑπέρογκα, καὶ τὴν μόνῃ πρέπουσαν τῇ ὑπερτάτῃ φύσει τιμήν τε καὶ δόξαν ἁρπάσαι τολμήσας, τό γε ἧκον εἰς ἐγχειρημάτων δύναμιν καὶ εἰς νοῦν τὸν ἐν αὐτῷ. Ἀλλ' ὥς φησιν ὁ προφήτης· Καταβέβηκεν εἰς ᾅδου, καὶ εἰς τὰ θεμέλια τῆς γῆς ὁ πάλαι σείων πᾶσαν τὴν γῆν, ὁ θεὶς τὴν οἰκουμένην ὡς ἔρημον· ἐρήμην γὰρ τῆς ἀληθοῦς θεογνωσίας ἀπέφηνε τὴν ὑπ' οὐρανὸν, καὶ οὐδένα παντελῶς ἔχουσαν τῆς ἀρετῆς ἐργάτην. Καὶ οὐκ ἔλυσε μὲν τοὺς ἐν ἐπαγωγῇ. Κεχάρισται δὲ τοῦτο τοῖς αὐτῷ πεποιθόσιν ὁ Κύριος, εἰρηκὼς « τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύφθητε. » Καὶ μὴν καὶ τοῖς ὑπὸ θείαν ὀργὴν γεγονόσι διὰ τὸ τοῖς θείοις ἐμπαροινῆσαι νόμοις, ἀμνησικάκως ἀφεὶς τὰ ἐγκλήματα, καὶ ἀπαλλάξας δίκης τοὺς ἐξ ἀσθενείας ἀνθρωπίνης πολλοῖς ὑπενηνεγμένους πταίσμασιν.

Πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ, ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ. Σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν ὡς νεκρὸς ἐβδελυγμένος μετὰ πολλῶν τεθνηκότων ἐκκεκεντημένων μαχαίραις, καταβαινόντων εἰς ᾅδου.

nem redegerit, urbesque concusserit. Et præterea quid illud alterum sibi vult: Et qui in inductione erant non solvit? Quoniam vero quædam exemplaria habent: Qui erant in ἀπαγωγῇ [20], id est, abductione, si quis ita velit intelligere, dicemus abductionis nomen, captivitatem Israelitarum et e mortuis resurrectionem posse significare. Abducti sunt enim ex Judæa in Assyriam. Sin eos qui in ἐπαγωγῇ [1], id est, inductione erant, sacra Scriptura dicat, nihilo secius intelliges, quippe qui erant in inductione iræ Domini. Inducta est enim illis ira propter multa peccata. Nabuchodonosor non solvit, id est, ex miseria non relaxavit. Oportuit enim, oportuit nefarium hominem non insolentem modo conspici, sed et Deo repugnantem et terram vastantem, et durum et immisericordem et qui nullo modo norit misereri eorum, qui in extremis fuerunt calamitatibus, misereque egerunt. Adaptare autem quis poterit, et quidem valde merito, hæc quæ dicta sunt historice, capiti ejus qui omnia comminuit, draconis, inquam, principis malorum. **235** Erat enim exactor et instigator, illis quos jam diximus modis. Cessavit autem et e medio sublatus est, Deo illum percutiente plaga furoris insanabili, et supersedit secare velut frondator robustus cedros intelligibiles, quarum etiam beatus David meminit, affatus universitatis Deum: « Cedri Libani quas plantasti [2]. » Postquam autem descendit in Orcum omnino condemnatus miser, ibi flamma omnium rerum edace detentus, mirabantur hoc eum pati, ut verisimile est, nequam ac illi subditæ potestates: et fortassis plorarunt dicentes: Et tu captus es quemadmodum et nos, sed inter nos reputatus es, et quæ consequuntur. Erat enim, quod ad gloriam attinet, insignis inter angelos, et in superis potestatibus spectabilis, veluti nimirum inter astra Lucifer. Cecidit vero et comminutus est superba cogitans, et honorem ac gloriam soli summæ naturæ congruentem rapere cupiens, quantum molimine et animo poterat. Sed ut propheta ait: Descendit ad inferos et in fundamenta terræ, qui olim totam terram concutiebat, qui universum orbem redegit in desertum; desertum enim omnem terræ orbem effecit vera Dei notitia, quæ nullum prorsus haberet virtutis cultorem. Non solvit eos qui erant in inductione ac custodia. Sed hoc largitus est Dominus his qui in ipso crediderunt, dicens « vinctis: Exite; et illis qui erant in tenebris: Revelamini [21]; » sed et divinæ iræ obnoxiis, quod in divinas leges debaccharentur, remittens culpas, oblivione peccata oblitterans, et supplicio eximens qui ex infirmitate humana multis vitiis implicabantur.

Vers. 18, 19. *Omnes reges gentium dormierunt in honore, homo in domo sua. Tu autem projectus eris in montibus, quasi mortuus abominabilis cum multis mortuis confossis gladio, descendentibus ad inferos.*

[20] Abductio, exsilium. [1] Inductio, vinculum, carcer. [2] Psal. CIII, 16. [21] Isa. XLIX, 9.

A Ex rebus præteritis aliquando, inquit, graviorem ejus calamitatem ostendit; et verum est quod dixi: siquidem non pari sorte cum reliquis potiri eum contigit, qui sic fastuosus est et cervicosus, et incomparabili dignitate evectus, ut in alto culmine locatus videatur. Illi enim, inquit, obdormierunt non absque honore, neque sine charissimis sibi hospitiis. At tu horum exsors omnino, in montibus jacebis exsecrandus et projectus, **236** id est, olitus et aspectu invenustus. Quid enim corpore mortuo et vestitum non habente esse poterit exsecrabilius? Occumbes igitur cum reliquis qui Medici gladii opera interierunt, nullo te lugente, neque lacrymam mortuorum comitem distillante, non parentationis honore cohonestante: sed ita miserabilis, ita pro- B culcatus eris, ut a subditis tuis, iisque despectissimis, nulla in re differas. Sed et sciendum est usque ad illa processuram lamentationem.

Vers. 20. ***Quemadmodum vestis sanguine conspersa non est munda, sic neque tu eris mundus: propterea quod terram meam perdidisti, et populum meum interfecisti, nequaquam permanebis in perpetuitatem temporis.***

Quæ gravia admodum flagitia sunt, quæque ab auctoribus suis difficulter elui possunt, ea tincturæ cujusdam instar colorata videre licet. Ostendit vero eos commisisse digna extrema ira, et dignos supplicio vitiis ex æquo respondente. Igitur non absolveris, inquit, a peccatis neque mundus eris, neque C misericordia dignus. Eris autem contaminatus, et indelebili cædis crimine commaculatus, quemadmodum sane vestimentum sanguine mistum. Perdidisti enim terram sanctam, et occidisti populum mihi deputatum. « Quando » enim, inquit, « dividebat Altissimus gentes, filios Adam quos dispersit, constituit fines gentium secundum numerum angelorum Dei; et factus est pars Domini populus ejus, Jacob; funiculus hæreditatis ejus Israel [a]. » Est igitur gravissimum se contra terram Domini, id est Ecclesiam, attollere, et adversus populum Christo deputatum audere homicidii scelus admittere. Nullo enim modo erit mundus, qui tam prodigiosis sceleribus irretitur. Dixerit autem quispiam, credo, Judææ et ipsorum Jerosolymorum calamitates ani- D mo et cogitatione versans: Ergone sua sponte venit Babyloniorum tyrannus, et Judaicam terram oppugnavit, cepitque sanctam civitatem, non permittente illi Deo hoc facere, imo non tradente? Equidem inquit ipse propheta Isaias nobis: « Sibilo vocabit Dominus muscas quæ dominantur parti fluvii Ægypti, et api quæ est in regione Assyriorum, et venient omnes, et requiescent in fossis **237** regionis tuæ, et in specubus petrarum, et in speluncis, et in omni scissura, et in omni ligno [b]. » Qui igitur factum est ut ex divino nutu pendens Babylonius, insanabili scelere perditus sit, adeoque graviter pus

[a] Deut. xxxii, 8, 9. [b] Isa. vii, 18-19.

Ἐκ τῶν ὑπαρχθέντων ἔσθ' ὅτε, φησὶ, φορτικωτέραν αὐτοῦ τὴν συμφορὰν διαδείκνυσι· καὶ ἀληθὲς ὅπερ ἔφην· εἰ μὴ δὲ τῶν ἴσων συνέβη τυχεῖν τοῖς ἄλλοις, τὸν οὕτω περιφανῆ καὶ ὑψαυχένα καὶ ἀσυγκρίτοις ὑπεροχαῖς, εἰς τὸ ὑψοῦ τεθεῖσθαι δοκεῖν ἠρμένον. Οἱ μὲν γὰρ κεκοίμηνται, φησὶν, οὐ δίχα τιμῆς, οὔτε μὴν ἔξω που τῶν ὅτι μάλιστα φιλαιτάτων αὐτοῖς ἐνδιαιτημάτων. Σὺ δὲ καὶ τούτων ἀμοιρήσας παντελῶς, ἐν ὄρεσι κείσῃ βδελυρὸς, καὶ ἐῤῥιμμένος, τοῦτ' ἔστιν, ὀδωδώς τε καὶ ἀτερπὴς εἰς θέαν. Τί γὰρ ἂν γένοιτο βδελυρώτερον σώματος νεκροῦ καὶ περιστολὴν οὐκ ἔχοντος; Κείσῃ δὴ οὖν ὁμοῦ τοῖς ἄλλοις, οἳ μαχαίρας ἔργον γεγόνασι Μηδικῆς, οὐδενὸς ἐπὶ σοὶ θρηνήσαντος, οὐ τὸ τοῖς τεθνεῶσι ἀκολουθοῦν ἐπιστάξαντος δάκρυον, οὐκ ἐνταφίοις τιμήσαντος· οἰκτρὸς δὲ οὕτως καὶ ἐῤῥιμμένος, ὡς μηδενὸς τῶν ἄλλων διενεγκεῖν, οἳ καὶ γεγόνασιν ὑπὸ χεῖρα σὴν, καὶ ἀσημότατοι παντελῶς. Εἰδέναι δὲ ἀναγκαῖον, ὅτι μέχρι τούτων ὁ θρῆνος στήσεται.

Ὃν τρόπον ἱμάτιον πεφυρμένον ἐν αἵματι, οὐκέτι καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός· διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας, οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον.

Τὰ παγχάλεπα τῶν δυσσεβημάτων δυσέκπλυτά τέ ἐστι, καὶ τοῖς δεδρακόσιν αὐτὰ βαφῆς τινος δίκην ἐγκεχρωσμένα καταθεῷτό τις ἄν. Ἀποδείκνυσι γεμὴν αὐτοὺς τῆς εἰς λῆξιν ἡκούσης ἀγανακτήσεως πεπραχότας ἄξια, καὶ δίκης ἀξίους τῆς ἰσοῤῥόπου τοῖς αἰτιάμασιν. Οὐκοῦν οὐκ ἀπαλλαχθήσῃ, φησὶ, τῶν πλημμελημάτων, οὐδ' ἂν γένοιο καθαρὸς, καὶ κατοικτείρεσθαι πρέπων. Ἔσῃ δὲ οὕτω μεμολυσμένος, καὶ ἀναπόδλητον ἔχων τῆς μιαιφονίας τὸ ἔγκλημα, καθάπερ ἀμέλει καὶ ἱμάτιον αἵματι πεφυρμένον. Ἀπώλεσας γὰρ τὴν γῆν τὴν ἁγίαν, ἀπέκτεινας δὲ καὶ τὸν ἐκνεμηθέντα μοι λαόν· « Ὅτε γὰρ διεμέριζε, » φησὶν, « ὁ Ὕψιστος ἔθνη, οὓς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν, κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ· καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. » Πάνδεινον οὖν ἄρα τὸ κατεπαίρεσθαι τῆς τοῦ Κυρίου γῆς, τοῦτ' ἔστι, τῆς Ἐκκλησίας, καὶ τὰ τῆς μιαιφονίας τολμήματα πληροῦν, κατὰ τοῦ ἐκνεμηθέντος λαοῦ τῷ Χριστῷ. Ἔσται γὰρ κατ' οὐδένα τρόπον καθαρὸς, ὁ τοῖς οὕτως ἐκτόποις ἐναλοὺς ἐγκλήμασιν. Φαίη δ' ἂν οἶμαί τις, τὰς ἐπί γε τῇ Ἰουδαίᾳ, καὶ αὐτοῖς δὲ τοῖς Ἱεροσολύμοις συμφορὰς ἐκνενοηκώς· Ἆρα γὰρ αὐτόμολος ἧκεν ὁ Βαβυλωνίων τύραννος, καὶ κατεστράτευσε τῆς Ἰουδαίων γῆς, εἷλε δὲ καὶ τὴν ἁγίαν πόλιν, οὐκ ἀφέντος αὐτῷ τοῦτο δράσαι Θεοῦ, μᾶλλον δὲ οὐκ αὐτῷ δεδωκότος, καίτοι φησὶν αὐτὸς ὁ προφήτης ἡμῖν Ἡσαΐας, ὅτι « Συριεῖ Κύριος μυῖας, ὃ κυριεύει μέρους ποταμοῦ Αἰγύπτου, καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ τῶν Ἀσσυρίων, καὶ ἐλεύσονται πάντες, καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ

ξύλῳ. » Πῶς οὖν ἄρα τοῖς νεύμασιν ὑπηρετήσας ὁ A Βαβυλώνιος ἀνεξίτητον ἔχει τὸ ἔγκλημα, καὶ οὕτω κεκόλασται δεινῶς, ὡς ἐπέκεινα μηδὲν ὁρᾶσθαι τῆς ἐπενεχθείσης ὀργῆς αὐτῷ; Ναὶ καὶ μάλα εἰκότως. Ἠθέλησε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς ἀπονενευκότα πρὸς ἀπόστασιν ἐλέγξαι τὸν Ἰσραὴλ, καὶ συμμέτροις αἰκίαις ἀναπεῖσαι παλινδρομεῖν εἰς τὴν αὐτῷ συνήθη λατρείαν, φημὶ δὴ τὴν νομικήν. Ὁ δὲ, καίτοι πρὸς τοῦτο ἡγμένος, θηρίου δίκην ἀμείλικτος ἦν, καὶ ἀχαλίνοις ἐχρήσατο τοῖς θυμοῖς, καὶ γοῦν ἐγκαλεῖται Θεοῦ λέγοντος ἐναργῶς· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ, καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα· ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα· αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Ὥσπερ δὲ σκεῦος ὄντα θυμοῦ καὶ ὀργῆς τὸν Φαραὼ καὶ ὑποκείμενον ἤδη κολάσει δι' οἰκεῖα πταίσματα B ἐξήγειρε, καθά φησιν αὐτὸς, ἵν' ἐνδείξηται ἐν αὐτῷ, τήν τε ἰδίαν δύναμιν, καὶ τῆς δικαιοκρισίας τὸ ἀκριβές· οὕτω νοήσεις καὶ ἐπὶ τοῖς Βαβυλωνίοις. Σκεύη γὰρ ὄντες ὀργῆς, καὶ κολασθῆναι δικαίως ὀφείλοντες, ἐπηνέχθησαν τοῖς Ἱεροσολύμοις· ἵνα παιδεύσαντες τὸν Ἰσραὴλ, ἐξαιτηθεῖεν μετὰ τοῦτο καὶ αὐτοὶ τὴν αὐτοῖς ὅτι μάλιστα πρέπουσάν τε καὶ ἁρμοδιωτάτην κόλασιν.

niatur, ut amplius non conspiciatur, ira ei inflicta? Certe jure optimo. Voluit enim universitatis Deus declinantem ad defectionem Israelem arguere, et modico supplicio persuadere, ut denuo ad consuetum cultum, legalem, inquam, recurreret. Iste autem licet ad hoc ductus, feræ more immitis erat, et effrenato furore agebatur. Siquidem accusatur a Deo manifeste dicente : « Æmulatus sum Jerusalem et Sion æmulatione magna, et furore magno ego irascor gentibus conspirantibus, pro eo quod ego succensui parum, illi conspirarunt in mala [4*]. » Pharaonem item tanquam vas furoris ac iræ, et propter sua peccata animadversione jam dignum, excitavit, sicuti ipse ait, ut in ipso et suam potentiam et justi judicii severitatem ostenderet. Ita quoque de Babyloniis intelliges. Cum enim essent vasa iræ, et juste plectendi, invaserunt Jerosolyma, ut Israele castigato, et ipsi cum illo ad pœnam se dignissimam deposcerentur.

Σπέρμα πονηρὸν, ἑτοίμασον τὰ τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρός σου, ἵνα μὴ ἀναστῶσιν, καὶ ἐμπλήσωσιν τὴν γῆν πολέμων. Καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει Κύριος Σαβαὼθ, καὶ ἀπολῶ αὐτῶν ὄνομα, καὶ κατάλειμμα, καὶ σπέρμα.

Πάνδεινα μὲν δέδραχε κατὰ παντὸς ἔθνους ὁ Ναβουχοδονόσορ, καὶ οἱ μετ' αὐτὸν δὲ καὶ ἐξ αὐτοῦ γε- C γονότες, μέχρι Βαλτάσαρ, ταῖς τοῦ πατρὸς ἑπόμενοι δυστροπίαις, ὑπερήλαντο τὰ ἐκείνου, ὠμοί τε καὶ ἀπηνεῖς κατὰ παντὸς γεγόνασιν ἔθνους, κατεπεφύοντό τε τοῦ Ἰσραὴλ, καίτοι γεγόνασιν ἐν αἰχμαλωσίᾳ καὶ ζυγῷ δουλείας ἐνησχημένοι. Πεφρονήκασι δὲ οὕτω τι μέγα, καὶ κατ' αὐτῆς τῆς τοῦ Θεοῦ δόξης, ὥστε καὶ τὸν ἀλιτήριον Βαλτάσαρ, ποιοῦντα πότον τοῖς μεγιστᾶσιν αὐτοῦ, παρενεγκεῖν εἰς μέσον τὰ σκεύη τὰ ἅγια, καὶ πιεῖν ἐν αὐτοῖς ταῖς παλλακίσιν ὁμοῦ καὶ ταῖς παρακοίταις αὐτοῦ, ὅτε καὶ ἐξῆλθεν ἀστράγαλος χειρὸς, καθά φησιν ὁ Δανιὴλ, καὶ γραφὴν ἐν τῷ τοίχῳ πεποίηται· *Μάνη, Θεκὲλ, Φαρές*· ὃ δὴ καὶ διερμηνεύων ὁ θεσπέσιος Δανιὴλ, μεμερίσθαι μὲν ἔφη τὴν βασιλείαν αὐτοῦ, δεδόσθαι δὲ Μήδοις καὶ Πέρσαις. D Φασὶ τοιγαροῦν ὁλόῤῥιζον ἀπολέσθαι τότε τὸ τοῦ Ναβουχοδονόσορ γένος, καὶ μέν τοι τὸ Βαλτάσαρ, ὥστε μηδένα τὸ παράπαν ἐξ αἵματος αὐτῶν ἐπιβῆναι μετ' αὐτοὺς τοῖς παρ' αὐτοῖς βασιλείας θάκοις. Τοῦτο, οἶμαι, διὰ τῶν προκειμένων ἡμῖν ὁ προφητικὸς διαδείκνυσι λόγος. Ἄθρει γὰρ ὅπως κατὰ παντὸς τοῦ πονηροῦ σπέρματος ἡ θεία κεχώρηκεν ὀργή. Ἑτοίμασον γὰρ, φησὶ, τὰ τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρός σου. Ἐπειδὴ γὰρ οἱ πατέρες γεγόνασιν ἀσεβεῖς, πέπαυται τὸ ἐξ αὐτῶν σύμπαν ἐσόμενον γένος. Διὰ ποίαν αἰτίαν; Ἵνα μὴ ἀναστῶσι, φησὶ, καὶ τὴν γῆν κληρονομήσωσι, καὶ ἐμπλήσωσι τὴν γῆν πολέμων· τοῦτ' ἔστιν, ἵνα μὴ ταῖς τῶν πατέρων

VERS. 21, 22. *Semen improbum, præpara liberos tuos ut occidantur ob culpas patris tui, ne resurgant et terræ hæreditatem adeant, impleantque terram bellis. Et consurgam super eos, dicit Dominus Sabaoth, et perdam nomen eorum, et reliquias, et semen.*

Gravissime afflixit omnes gentes Nabuchodonosorus, et post eum et ex eo nati, usque ad Baltasarum, patrisque sui perversitatem sectantes eum etiam superarunt, crudelesque et immanes in omnes gentes exstiterunt, et Israelitis insultarunt, tametsi in captivitate fuerunt et jugo servitutis oppressi. Adeoque se etiam contra divinam majestatem efferebant, ut sceleratus Baltasarus convivio magnatibus suis adornato sacra vasa afferret in medium, et ex illis cum pellicibus et concubinis biberet : quando etiam egressus articulus manus, sicuti ait Daniel, scripturam in pariete fecisset : MANE, THECEL, PHARES [5] : quod interpretans divinus Daniel **238**. divisum esse dixit regnum ejus, et Medis ac Persis traditum. Aiunt igitur tunc genus Nabuchodonosori et Baltasari funditus periisse, ut nemo prorsus post illos sanguine eorum oriundus regiam illam sedem conscenderit. Hoc, ut opinor, his verbis quæ proposita nobis sunt, propheticus sermo declarat. Intuere enim quo pacto in universum semen improbum divina ira grassetur. Præpara enim, inquit, liberos tuos ut occidantur propter culpas patris tui. Cum enim patres essent impii, omnis eorum posteritas deleta est. Quam ob causam? Ut non resurgant, inquit, et terræ hæreditatem adeant, et terram bellis impleant, id est, ne paternam insolentiam sectantes, et avitæ impietatis æmuli, bellis terram impleant, sicuti illi videlicet, fiantque ejus domini. Et insurgam contra

[4*] Zach. I, 14, 15. [5] Dan. V, 25

eos, dicit Dominus Sabaoth, et perdam eorum nomen, et reliquias, et semen. Quemadmodum enim Deus promisit regibus Israel qui ei placuerunt, etiam quartam prolem in soliis eorum consessuram, benedictionem in futurum eorum genus extendens : sic eorum qui impii valde sunt, generis propagationem amputat. Impii enim, inquit *, radicitus ex terra peribunt. Audiat igitur quoque omnium hostis, peccati inventor, et omnium nobis causa malorum : Quemadmodum vestis cruore conspersa non erit munda, sic neque tu eris mundus, eo quod terram meam perdidisti, et populum meum occidisti. Non satis fuit generis nostri originem ad transgressionem convertisse, sed etiam totum terrarum orbem a divino ovili seductum, et hominem terrenum a dilectione Dei abductum, suum cultorem fecit, et in foveam interitus præcipitavit. Proindè mundus non erit, sed neque durabit in perpetuitatem temporis ; non enim per omnia injustitiæ habenas obtinuit, Deo tyrannidem retrahente, et protervia in nos impetum cohibente et retardante. Periit enim simul cum filiis suis, id est impuris dæmonibus : semen enim erant malum. Perierunt autem catenis tenebrarum detenti in Tartaro, quemadmodum dicit Servatoris discipulus ** : ne resurgant, et terræ hæreditatem adeant, et impleant terram bellis. **239** Depulsi sunt enim sua in nos tyrannide, et factus est nobis pax Christus. Quemadmodum enim B. Paulus scribit : « Pax Christi quæ superat omnem intellectum, custodiat corda nostra et cogitationes nostras *. » At quonam pacto hoc illis acciderit, ipsemet nobis universitatis Deus ostendet, dicens : Et insurgam contra illos, ait Dominus Sabaoth. Et perdam eorum nomen, et reliquias, et semen.

ἀγερωχίαις ἑπόμενοι, καὶ προγονικῆς δυσσεβείας γενόμενοι ζηλωταὶ, κατεμπλήσωσι μὲν πολέμου τὴν γῆν, καθάπερ ἀμέλει κἀκεῖνοι, γένοιντο δὲ αὐτῆς καὶ κύριοι. Καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει Κύριος Σαβαὼθ, καὶ ἀπολῶ αὐτῶν ὄνομα καὶ κατάλειμμα, καὶ σπέρμα. Ὅνπερ γὰρ τρόπον τοῖς εὐαρεστήσασι τῶν βασιλέων τοῦ Ἰσραὴλ υἱοὺς τετάρτους ἐπηγγείλατο Θεὸς καθήσεσθαι ἐπὶ τῶν θρόνων αὐτῶν, ἐκτείνων τὴν εὐλογίαν καὶ εἰς τὸ ἐξ αὐτῶν ἐσόμενον γένος· οὕτω τῶν ἄγαν γεγονότων δυσσεβῶν ἀνακόπτει τοῦ γένους τὴν ἐπίδοσιν. Οἱ γὰρ ἀσεβεῖς, φησὶν, ὁλόρριζοι ἐκ γῆς ὀλοῦνται. Ἀκουέτω δὴ οὖν καὶ ὁ πάντων ἐχθρὸς, ὁ τῆς ἁμαρτίας εὑρέτης, καὶ ἁπάντων ἡμῖν παραίτιος γεγονὼς τῶν κακῶν· Ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον, οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρὸς, διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας. Οὐ γὰρ ἠρκέσθη τῷ μεταστῆσαι πρὸς παράβασιν τὴν τοῦ γένους ἡμῶν ἀρχὴν, ἀλλὰ γὰρ καὶ ἅπασαν τὴν ὑπ' οὐρανὸν ἀποβουκολῆσαι Θεοῦ, καὶ τῆς πρὸς αὐτὸν ἀποκομίσας ἀγάπης τὸν ἐπὶ γῆς ἄνθρωπον, ἴδιον ἀπέφηνε προσκυνητὴν, καὶ τοῖς τῆς ἀπωλείας ἐνῆκε βόθροις. Οὐκοῦν οὐκ ἔσται καθαρὸς, ἀλλ' οὐδὲ μεμένηκεν εἰς τὸν αἰῶνα χρόνον· οὐ γὰρ μέχρι παντὸς κεκράτηκε τῶν ἠδικημένων, ἀνασειράζοντος Θεοῦ τὴν πλεονεξίαν, καὶ ἀνακόπτοντος τῆς καθ' ἡμῶν ἀκαιότητος τὰς ὁρμάς. Ἀπόλωλε γὰρ ὁμοῦ τοῖς ἰδίοις τέκνοις, τοῦτ' ἔστι, τοῖς ἀκαθάρτοις δαίμοσι· σπέρμα γὰρ ἦσαν πονηρόν. Ἀπολώλασι σειραῖς ζόφου τεταρταρωμένοι, καθά φησι τοῦ Σωτῆρος ὁ μαθητής, ἵνα μὴ ἀναστῶσι καὶ τὴν γῆν κληρονομήσωσι, καὶ ἐμπλήσωσι τὴν γῆν πολέμων. Ἐκβέβληνται γὰρ τῆς καθ' ἡμῶν τυραννίδος, καὶ γέγονεν ἡμῖν εἰρήνη Χριστός. Ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος· « Ἡ εἰρήνη τοῦ Χριστοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ἡμῶν, καὶ τὰ νοήματα ἡμῶν. » Συνέβη δὲ τοῦτο παθεῖν αὐτοὺς τίνα τρόπον, αὐτὸς ἡμῖν ὁ τῶν ὅλων Θεὸς σαφηνιεῖ λέγων· Καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει Κύριος Σαβαὼθ, καὶ ἀπολῶ αὐτῶν τὸ ὄνομα, καὶ κατάλειμμα, καὶ σπέρμα.

VERS. 23. *Hæc dicit Dominus : Et ponam Babyloniam in desertum, ut inhabitent erinacei, et redigetur in nihilum, et ponam eam luti barathrum in perditionem.*

Oraculum hoc nobis jam propositum videtur esse quædam eorum quæ latius ac fusius dicta sunt concisa et brevissima anacephalæosis. Ostendit enim aliud nihil quam illud omnino, hominibus vacuam fore Babyloniam, et animantibus plenam, quibus habitaculum gratum est solitudo. Cum vero, ut apparet, maximum undarum defluxum habeat, cumque fluvius eam, ut fertur, in duas secet partes, accidit ut, quia nullus rivus ad ea quæ par erat loca vim suam derivaret, per omnem regionem diffunderetur, et stagnorum multitudinem efficeret : ut quæ regio olim clara et celeberrima erat, et reliquarum regina, et gloriosissima dicebatur, ea luti barathrum ac puteus evaderet corruentibus in perditionem.

Τάδε λέγει Κύριος· Καὶ θήσω τὴν Βαβυλωνίαν ἔρημον, ὥστε κατοικεῖν ἐχίνους, καὶ ἔσται εἰς οὐδέν· καὶ θήσω αὐτὴν πηλοῦ βάραθρον εἰς ἀπώλειαν.

Ἔοικεν εἶναί τις τῶν κατὰ πλάτος εἰρημένων ἀνακεφαλαίωσις συντομωτάτη τὸ προκείμενον ἡμῖν ῥητόν. Δηλοῖ γὰρ ἕτερον οὐδὲν, πλὴν ἐκεῖνό που πάντως, ὡς ἀνθρώπων μὲν ἔρημος ἔσται παντάπασιν ἡ Βαβυλωνίων, ζώων δὲ πλήρης, οἷς ἐνδιαίτημα φίλον ἡ ἐρημία. Ἐπειδὴ δὲ πλείστην, κατὰ τὸ εἰκὸς, ὑδάτων ἔχει καταφορὰν, φασὶ δὲ καὶ ποταμὸν αὐτὴν τέμνειν δίχα, συμβέβηκεν οὐδενὸς τῶν ναμάτων τὴν ῥύμην παροχετεύοντος, ἐφ' οὓς ἦν ἀκόλουθον ἰέναι τόπους, διασκίδνασθαί τε κατὰ πάσης τὸ ὕδωρ, καὶ τελμάτων ἀποτελέσαι τὴν πληθὺν, ὡς πάλαι λαμπρὰν καὶ διαβόητον, βασιλίδα τε τῶν ἄλλων, καὶ ἐνδοξοτάτην κατωνομασμένην, πηλοῦ βάραθρον γενέσθαι καὶ τοῖς ἐμπίπτουσιν εἰς ἀπώλειαν.

* Psal. XXXVI, 38. ** Jud., 5, 6. * Philip. IV, 7.

Τάδε λέγει Κύριος Σαβαώθ· Ὃν τρόπον εἴρηκα, οὕτως ἔσται, καὶ ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ, τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους ἐπὶ τῆς γῆς τῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων μου· καὶ ἔσονται εἰς καταπάτημα, καὶ ἀφαιρεθήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς αὐτῶν· καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαιρεθήσεται. A

Προφητεύει μὲν ὁ μακάριος Ἡσαΐας ἐν βασιλείᾳ Ὀζίου, καὶ Ἰωάθαμ, καὶ Ἄχαζ, καὶ Ἐζεχίου· ἔοικε δὲ τουτοισὶ ποιεῖσθαι τοὺς λόγους, τοὺς κατά γε φημὶ τῆς Βαβυλῶνος, ἢ καὶ ἁπάσης τῆς Ἀσσυρίων γῆς· περιόντος ἔτι καὶ τὴν βασιλίδα τιμὴν μετὰ χεῖρας ἔχοντος τοῦ Ὀζίου, ὅς ἐστι καὶ Ἀζαρίας. Ἐπειδὴ δὲ βασιλεύοντος Ἐζεχίου κατεστράτευσε τῆς Ἰουδαίας Σενναχειρεὶμ ὁ Ἀσσύριος, καὶ πλείστας μὲν εἷλε τῆς Σαμαρείας πόλεις, ἐλήλεγκται δὲ διὰ χειρὸς B Θεοῦ, καὶ αὐτοῖς ἐπιπηδήσας τοῖς Ἱεροσολύμοις· ἀπέθανον γὰρ ἐν μιᾷ νυκτὶ τῶν ἀλλοφύλων ἑκατὸν καὶ ὀγδοήκοντα πέντε χιλιάδες, ἀγγέλου χειρὶ δαπανώμεναι· ταύτης ἕνεκα τῆς αἰτίας, ἵνα μή τι τῶν παρὰ Θεοῦ πρὸς παράκλησιν τοῦ Ἰσραὴλ εἰρημένων διαπίπτειν δοκεῖ, προαναφωνεῖ καὶ τοῦτο καί φησιν, ὅτι Ὃν τρόπον εἴρηκα, οὕτως ἔσται· κατοιχήσεται γὰρ, φησὶν, εἰς πηλοῦ βάραθρον ἡ Βαβυλωνίων· ἔσται δὲ καὶ ἠρημωμένη, μενεῖ δὲ κἀκεῖνο· καὶ πάντη τε καὶ πάντως ἐκτελευτήσει, φησὶν, εἰς αἴσιον πέρας, ὃ βεβούλευμαί τε καὶ ταῖς παρ' ἐμαυτοῦ κεκύρωκα ψήφοις, τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους ἐπὶ τῆς γῆς τῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων μου· καὶ ἔσονται εἰς καταπάτημα· ἀφαιρεθήσεται δὲ καὶ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων αὐτῶν. Ἀπέσταλτο C μὲν γὰρ παρὰ τοῦ Σενναχηρεὶμ ὁ Ῥαψάκης ἐκ Λαχεὶς εἰς Ἱερουσαλήμ. Εἶτα ταῖς Βαβυλωνίων στρατιαῖς ὅλην ἐν κύκλῳ περισχὼν, τῆς τοῦ Θεοῦ δόξης καταπεφλυάρηκεν οὐ μετρίως· καὶ βαρβαρικῷ φρονήματι πρέπουσαν ἠφίει φωνήν· « Μὴ γὰρ ἀπατάτω, φησὶν, ὑμᾶς Ἐζεχίας λέγων, ὅτι ῥύσεται ὑμᾶς ὁ Θεὸς ἐκ χειρὸς Ἀσσυρίων· » ζυγὸν δὲ δουλείας τοῖς ἄνωθεν ἐλευθέροις ἐπιῤῥῖψαι ζητῶν, μέγα τὸ κῦδος, τουτ' ἔστι, δόξαν, ἑαυτῷ τε καὶ τῷ οἰκείῳ δεσπότῃ περιτιθεὶς, εἰς ἀδόκητον κατενήνεκται συμφοράν. « Ἀναστάντες γὰρ, φησὶ, τὸ πρωῒ, εὗρον πάντα τὰ σώματα νεκρά. » Ἔγνω δὲ διὰ πείρας, ὅτι τέ ἐστιν πανάλκης ὁ τῶν ἁγίων προστατῶν, καὶ τοῖς θείοις αὐτοῦ νεύμασι τὸ ἀντιστατοῦν οὐδέν.

Αὕτη ἡ βουλὴ ἣν βεβούλευται Κύριος ἐπὶ τὴν οἰκουμένην ὅλην· καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη τῆς οἰκουμένης ὅλης. Ὁ γὰρ Θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; D

Ἰστέον δὴ πάλιν, ὡς οὐ κατὰ πάσης τῆς οἰκουμένης, ἤτοι τῆς ὑπ' οὐρανὸν, ἡ τῆς προφητείας τῆς ἔν γε τούτοις ἔρχεται δύναμις, γέγονε δὲ μᾶλλον ὁ τῆς προαγορεύσεως λόγος κατὰ πάσης τῆς Ἀσσυρίων γῆς, ἣν καὶ οἰκουμένην ἀποκαλεῖ, διάτοι τὸ εἶναι πολλὴν καὶ εὐρεῖαν, ἔθνεσί τε μυρίοις καὶ ἀριθμοῦ κρείττοσιν ἀναπεπλῆσθαι πλουσίως. Οὐκοῦν τὰ εἰρημένα, φησὶ, κατὰ πάσης ἥξει τῆς Ἀσσυρίων γῆς,

VERS. 24, 25. *Hæc dicit Dominus Sabaoth : Ut dixi, ita erit, et ut decrevi, ita manebit, ut perdam Assyrios in terra mea, et in montibus meis. Et erunt conculcationi, et auferetur ab illis jugum eorum, et decus eorum ex humeris demetur.*

Prophetat igitur beatus Isaias regnante Ozia, Joathamo, Achazo et Ezechia ; videturque contra Babylonem, inquam, totamve terram Assyriorum orationem habere, superstite etiamnum et regium honorem sustinente Ozia, qui est etiam Azarias. Cum autem, regnante Ezechia, Sennacherim Assyrius Judææ bellum indixisset, plurimasque urbes Samaritanorum cepisset, ac per manum Dei reprehensus esset, quantumvis ipsis Hierosolymis insultans (mortui sunt enim una nocte alienigenarum centum octoginta quinque millia, angeli manu consumpta) : hanc **240** ob causam, ne quidquam eorum quæ a Deo ad consolandum Israelem dicta sunt, intercidere videatur, proclamat et illud, et inquit : Ut dixi, ita erit, descendet enim in luti barathrum Babylonia, eritque desolata, illudque omnino manebit : ad auspicatum, inquit, finem perveniet quod decrevi, quod mea sententia confirmavi, ut deleam Assyrios in terra mea, et in montibus meis, et erunt conculcationi, aufereturque jugum eorum, et decus ex humeris ipsorum. Missus enim est ab ipso Sennacherim Rapsaces ex Laches in Jerusalem, deinde Babyloniorum copiis tota undique circumdata, et divinam majestatem haud parum ludificans, barbarico animo dignam vocem edidit : « Ne enim, inquit, decipiat vos Ezechias dicens : Liberabit vos Deus e manu Assyriorum [7]; » cumque servitutis jugum hominibus superiore memoria liberis studeret imponere, magnum decus, id est, gloriam sibi ac suo domino tribuens, in calamitatem deductus est inexspectatam. « Surgentes enim, inquit, mane, invenerunt omnia corpora mortua [8]. » Atque experimento cognovit, fortissimum esse sanctorum principem, divinoque ejus nutui nihil obsistere.

VERS. 27, 28. *Hoc est consilium quod decrevit Dominus super totum terræ orbem : et hæc manus excelsa super omnes gentes terræ. Nam quod Deus sanctus decrevit, quis rescindat? et manum excelsam quis avertet?*

Rursus sciendum est vim prophetiæ hujus non per omnem terram, aut per orbem terrarum vagari, sed hoc vaticinium potius contra omnem Assyriorum terram institui, quam et orbem appellitat, quod ampla sit et spatiosa, quodque gentibus infinitis ac innumeris copiose repleatur. Itaque, inquit, contra omnem terram Assyriorum venient quæ dicuntur, et ad eximum pervenient prorsus quæ

[7] Isa. XXXVI, 18. [8] Isa. XXXVII, 36.

prænuntiantur. Cum igitur nemo vincula solvat, aut certe possit divinæ iræ obnoxiis opem afferre, pergit porro sermocinari ac dicere : Nam quod Deus sanctus decrevit, quis rescindet? et manum excelsam quis avertet? Præscindit enim omnem Babylonio spem, ac opportune corroborare pergit Israelitas, **241** quo animo sint constanti, et omnipotentissimam manum omnia domantem, rectam atque supremam promissa servaturam vere sentiant. Cum enim terribilem atque formidabilem Assyriorum potentiam existimarent, quæ nemini cederet ac vinci se non pateretur, ac propterea consentaneum esset propheticis sermonibus diffidere : hinc jure optimo hoc illis accidere non sinit, ac tantum non contrarium suadet, et incredulitatis morbum resecat, cum dicit : Manum excelsam quis avertet?

Vers. 28, 29. *Anno quo mortuus est Achazus rex, factum est verbum hoc : Ne lætamini, omnes alienigenæ. Contritum est enim jugum percutientis vos. Nam ex semine serpentum egredientur progenies aspidum, et progenies eorum egredientur serpentes pennati.*

Diversas habebant diversis temporibus revelationes sancti prophetæ, rerum naturæ congruentes, ad eorum qui tum vixerunt utilitatem. Etenim Israelem, qui exaruerat, et divinarum legum curam abjecerat, universitatis Deus ad meliorem mentem traducere voluit : multis beneficiis afficiendo, et in illos qui ei adversabantur iram accendendo, atque eos qui sanctam civitatem, Jerusalem dico, habitabant, ad bonam spem revocando, quo unum scirent ac solum universitatis Dominum, et alium præterea neminem. At vero illi creaturam præter Creatorem honore ac veneratione prosequentes, atque falso nominatis diis liba offerentes, offensarunt non mediocriter. Talem igitur nunc ordinem ac artificium tenor propheticæ lectionis nobis propositæ subindicat. Cæterum primum aperire operæ pretium est historica, et singula exponere dilucide : Erit quippe sic lecturis perspicuum maxime id quod explanatur. Regnavit igitur Hierosolymis in Israele Ozias qui et Azarias. Hic quidem fuit cultor pietatis : fecit enim rectum in oculis Domini, ut de eo scriptum est [32]. Potentissimus autem erat et formidabilis admodum hostibus, nimirum in alienigenas fortitudinem bellicam exerens. Cum igitur obsedit, cepit, atque vastavit multas urbes Philistinorum, scilicet alienigenarum, id est, Palæstinorum eorumque qui ex Cœle Syria. Scriptum **242** est autem sic de illo in secundo Paralipomenon : « Et exivit, et belligeravit adversus alienigenas, et debellavit muros Geth, et muros Jamniæ, et muros Azoti, et ædificavit civitates Azoti, et in alienigenas roboravit eum Dominus, et in Arabas habitantes in Petra,

A ὅτι τε πάντη τε καὶ πάντως εἰς πέρας ἐκβήσεται τὰ προηγγελμένα, παραλύοντος δὲ οὐδενὸς τὴν ἐπαγωγὴν, ἤγουν ἐπαμύνειν τοῖς ὑπὸ θείαν ὀργὴν ἰσχύοντος, προσαποφαίνει λέγων· Ἃ γὰρ ὁ Θεὸς ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; Ἀποκείρει μὲν γὰρ εἰσάπαν τὴν τῶν Βαβυλωνίων ἐλπίδα· προσεμπεδοῖ δὲ χρησίμως τοὺς ἐξ Ἰσραὴλ, εἰς τὸ ἀραρότως διακεῖσθαι καὶ φρονεῖν, ὅτι πάντη τε καὶ πάντως ἀποπερανεῖ τὰ ἐπηγγελμένα πανσθενεστάτη τε ὑπάρχουσα, καὶ καταχρατοῦσα τῶν ὅλων, ἡ θεία τε καὶ ὑπερτάτη χείρ. Ἐπειδὴ γὰρ ᾤοντο δεινὴν καὶ δυσάντητον τὴν τῶν Ἀσσυρίων ὑπάρχειν ἰσχὺν καὶ παραχωροῦσαν οὐδενὶ, καὶ τὸ ἡττᾶσθαι παραιτουμένη, ἀπιστῆσαι δὲ ἦν διὰ τοῦτο εἰκὸς τοῖς τῆς προφητείας λόγοις· ταῦτητοι B καὶ μάλα εἰκότως τοῦτο παθεῖν οὐκ ἐᾷ· μόνον δὲ οὐχὶ καὶ ἐκδυσωπεῖ, καὶ τῆς ἀπιστίας τὴν νόσον προαποκείρει λέγων· Τὴν χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει;

Τοῦ ἔτους οὗ ἀπέθανεν Ἄχαζ, ἐγενήθη τὸ ῥῆμα τοῦτο· Μὴ εὐφρανθείητε, πάντες οἱ ἀλλόφυλοι· συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς. Ἐκ γὰρ σπέρματος ὄφεων ἐξελεύσονται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται ὄφεις πετόμενοι.

Διάφοροι κατὰ καιροὺς ἀποκαλύψεις ἐγένοντο τοῖς ἁγίοις προφήταις, καὶ τῇ φύσει τῶν πραγμάτων συμβαίνουσαι πρὸς ὄνησιν τῶν τηνικάδε. Καίτοι γὰρ ἀπεσκληκότα τὸν Ἰσραὴλ καὶ τῶν θείων νόμων ἀφειδηκότα μεταπλάττειν ἤθελεν εἴς γε τὸ χρῆναι C τὰ ἀμείνω φρονεῖν ὁ τῶν ὅλων Θεὸς, πολυτρόπως εὐεργετῶν, καὶ τοῖς μὲν ἀνθεστηκόσιν αὐτῷ κατεξανιστὰς τὴν ὀργὴν, ἀνακομίζων δὲ τοὺς τὴν ἁγίαν οἰκοῦντας πόλιν, φημὶ δὴ τὴν Ἱερουσαλὴμ, εἰς ἐλπίδας ἀγαθὰς, ἵν' εἰδεῖεν ὡς εἷς τε καὶ μόνος ἐστὶν ὁ τῶν ὅλων Κύριος, καὶ ἕτερος μὲν παρ' αὐτὸν οὐδείς. Αὐτοὶ δὲ τῇ κτίσει τὸ σέβας παρὰ τὸν Κτίστην ἀνάπτοντες, καὶ σπουδὰς τοῖς ψευδωνύμοις προσκομίζοντες θεοῖς, προσκεκρούκασιν οὐ μετρίως. Τοιαύτην τινὰ καὶ νῦν οἰκονομίαν ἡ τῶν προκειμένων ἡμῖν προφητικῶν ἀναγνωσμάτων ὑπεμφαίνει δύναμις. Δεῖ δὲ, οἶμαι, τὰ ἱστορικῶς γεγονότα προαφηγήσασθαι, καὶ διειπεῖν ἕκαστα σαφῶς· ἔσται γὰρ οὕτω τοῖς ἐντευξομένοις ἐναργὲς ὅτι μάλιστα τὸ δηλούμενον. D Βεβασίλευκε τοίνυν ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τὸν Ἰσραὴλ Ὀζίας, ὁ καὶ Ἀζαρίας. Οὗτος γέγονε μὲν εὐσεβείας ἐπιμελητής. Ἐποίησε γὰρ τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου, καθὰ γέγραπται περὶ αὐτοῦ. Δυνατώτατος δὲ καὶ δυσάντητος κομιδῇ τοῖς δι' ἐναντίας, ἤγουν τοῖς ἀλλογενέσι, τὴν ἐν τοῖς πολέμοις ἀντεξάγων ἰσχύν. Πολλὰς γοῦν ἐκπολιορκήσας εἷλέ τε καὶ πεπόρθηκε πόλεις τῶν Φυλιστιεὶμ, ἤτοι τῶν ἀλλοφύλων, τοῦτ' ἔστι, τῶν Παλαιστινῶν, καὶ ἐκ τῶν τῆς καλουμένης Κοίλης Συρίας. Γέγραπται δὲ οὕτω περὶ αὐτοῦ, ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων· « Καὶ ἐξῆλθε καὶ ἐπολέμησε πρὸς τοὺς ἀλλοφύλους καὶ κατίσχυσε τὰ τείχη Γὲθ, καὶ τὰ τείχη

[32] II Paral. XXVI, 4.

Ἀζώτου, καὶ ᾠκοδόμησε πόλεις Ἀζώτου, καὶ ἐν A τοῖς ἀλλοφύλοις. Κατίσχυσεν αὐτὸν Κύριος, ἐπὶ τοὺς ἀλλοφύλους καὶ Ἄραβας, τοὺς κατοικοῦντας ἐπὶ τῆς Πέτρας, καὶ ἐπὶ τοὺς Μιναίους. Καὶ ἔδωκαν οἱ Μιναῖοι τῷ Ὀζίᾳ δῶρα, καὶ ἦν τὸ ὄνομα αὐτοῦ ἕως εἰσόδου Αἰγύπτου, ὅτι κατίσχυσεν ἕως ἄνω. Ἐπειδὴ δὲ ἀπεβίω, διαδέχεται τὴν βασιλείαν αὐτοῦ ὁ ἐξ αὐτοῦ γεγονὼς Ἰωάθαμ. Εἶτα μετὰ τοῦτον Ἄχαζ, πονηρός τε καὶ ἀποστάτης ἄνθρωπος, καὶ τοῖς τῆς ἀπάτης τέλμασιν ἐμβεβηκώς. Λελάτρευκε γὰρ ξύλοις τε καὶ λίθοις, καὶ ἁπάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ· διήγαγε δὲ καὶ τὸν υἱὸν αὐτοῦ ἐν πυρὶ, τέθυκε γὰρ τοῖς δαιμονίοις αὐτόν. » Γέγραπται δὲ οὕτω καὶ περὶ αὐτοῦ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· « Καὶ οὐκ ἐποίησεν εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου τοῦ Θεοῦ αὐτοῦ πιστῶς ὡς Δαβὶδ ὁ πατὴρ αὐτοῦ· καὶ ἐπορεύθη B ἐν ὁδῷ βασιλέων Ἰσραὴλ, καί γε τὸν υἱὸν αὐτοῦ διήγαγεν ἐν πυρὶ, κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ὧν ἐξῆρεν Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. Καὶ ἐθυμίασεν ἐν τοῖς ὑψηλοῖς, καὶ ἐπὶ τῶν βουνῶν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους. Τότε ἀνέβη Ῥαασσὼν βασιλεὺς Συρίας· καὶ Φακεὲ υἱὸς Ῥωμελίου καὶ βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον· καὶ ἐπολιόρκουν ἐπὶ Ἄχαζ, καὶ οὐκ ἠδύναντο πολεμεῖν· » καὶ μεθ' ἕτερα· « Καὶ ἀπέστειλεν Ἄχαζ ἀγγέλους πρὸς Θεγλαφαλασσὰρ βασιλέα Ἀσσυρίων λέγων· Δοῦλός σου, καὶ υἱός σου ἐγώ. Ἀνάβηθι, σῶσόν με ἐκ χειρὸς βασιλέως Συρίας, καὶ ἐκ χειρὸς βασιλέως Ἰσραὴλ τῶν ἐπανισταμένων ἐπ' ἐμέ. Καὶ ἔλαβεν Ἄχαζ ἀργύριον καὶ χρυσίον τὸ εὑρεθὲν ἐν C θησαυροῖς οἴκου Κυρίου, καὶ οἴκου τοῦ βασιλέως, καὶ ἀπέστειλε τῷ βασιλεῖ δῶρα. Καὶ ἤκουσεν αὐτοῦ βασιλεὺς Ἀσσυρίων, καὶ παρεγένετο εἰς Δαμασκὸν, καὶ συνέλαβεν αὐτὴν καὶ ἀπῴκησεν αὐτὴν, καὶ τὸν Ῥαασσὼν ἐθανάτωσεν. Οὐκοῦν πρῶτον μὲν Ὀζίας ὁ καὶ Ἀζαρίας ἐκπεπόρθηκε τοὺς ἀλλοφύλους, πᾶσάν τε αὐτῶν καταδῃώσας τὴν γῆν, δασμοὺς ἐκομίζετο καὶ τέλη. Δεύτερος δὲ μετὰ τοῦτον ὁ Ἄχαζ κατεμισθοῦτο τὸν Ἀσσύριον, καὶ ἐπαφῆκεν αὐτοῖς· ὃς καὶ πᾶσαν ἐξαναστήσας τὴν Παλαιστινῶν χώραν, αὐτοὺς γὰρ εἶναί φησι τοὺς ἀλλοφύλους, ἀπεκόμισεν αἰχμαλώτους εἰς τὴν ἑαυτοῦ, τοὺς ἐκ τοῦ πολέμου περιλελειμμένους. Ἐπειδὴ δὲ τετελεύτηκεν ὁ Ἄχαζ, ἀνεσκίρτησαν ἐπὶ τούτῳ τῶν ἀλλοφύλων αἱ πόλεις, ὡς ἐκ ποδῶν γεγονότος τοῦ καταπαίοντος D αὐτοὺς, καὶ δυσφόρητον ὥσπερ τὸν τῆς πλεονεξίας ἐπιτιθέντος ζυγόν. Ἠσθενηκότες γὰρ ἅπαξ, καὶ πεπορθημένοι διὰ τῆς Ἀσσυρίων χειρὸς, κατεπικραίνοντο μὲν ἐπὶ τῷ Ἄχαζ, ἀμύνασθαί τε μὴν οὐκ ἦσαν ἱκανοί. » Ὦ τοίνυν ἀλλόφυλοι, φησὶν, ἐπειδὴ καθά φατε καὶ νομίζετε, τετελευτηκότος τοῦ Ἄχαζ, συνετρίβη λοιπὸν ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς, τουτ' ἔστι, τοῦ συντρίβοντος, ἐπὶ τούτῳ μὴ εὐφρανθείητε. Καίτοι φαίη τις ἂν, ὡς εἰδωλολάτρης ὁ Ἄχαζ ἦν βέβηλός τε καὶ θεομισής· εἶτα πῶς ἀνακόπτει Θεὸς τὸν ἐπ' αὐτῷ γέλωτα τῶν δι' ἐναντίας; Οὐκοῦν οὐ κατ' ἐκείνου που πάντως ἦν ὁ γέλως· ἀλλ' εἴπου τι

A et in Minæos. Et dederunt Minæi Oziæ dona, et inclaruit nomen ejus usque ad ingressum Ægypti, quia obtinuit etiam supra. Cum autem e vivis discessit, capessit regnum ejus natus Joathamus. Dein post eum Achazus, nequam et apostata, et in erroris cœno volutatus. Coluit enim ligna et lapides, et omnem militiam cœli : traduxitque filium suum per ignem, siquidem eum dæmoniis obtulit [10]. » Scriptum est enim de eo sic quarto Regum : « Neque fecit rectum in oculis Domini Dei sui fideliter, quemadmodum David pater ipsius, ambulavitque in via regum Israel, et filium suum traduxit per ignem, secundum abominationes gentium, quas evertit Dominus ante faciem filiorum Israel. Et adolevit in excelsis et in collibus, et sub omni ligno silvestri. B Tunc ascendit Rhaasson rex Syriæ, et Phacee filius Rhomeliæ rex Israel in Jerusalem ad bellum, et obsederunt Achazum, et non potuerunt expugnare, etc. Et emisit Achazus nuntios ad Theglaphalassarum regem Assyriorum, dicens : Servus tuus et filius tuus ego, ascende, serva me ex manu regis Syriæ, et ex manu regis Israel, qui insurgunt contra me. Et cepit Achazus argentum et aurum inventum in thesauris domus Domini, et domus regis, et misit regi munera. Et audivit eum rex Assyriorum, ac venit Damascum, et eam captam transtulit, et Rhaasson interfecit. Igitur primum quidem Ozias qui et Azarias est, captivos duxit alienigenas, omnique eorum terra vastata, tributa accepit et vectigalia. Secundus vero post ipsum Achazus mer- C cede conduxit Assyrium, et invasit eos, qui et universam evertit regionem Palæstinorum (eos enim dicit esse alienigenas) abduxitque captivos in suam terram, eos qui e bello erant relicti. Mortuo autem Achazo, ob id resilierunt alienigenarum civitates, **243** velut e medio sublato eo qui percusserat, ac intolerabile velut jugum tyrannidis induxerat. Debilitati enim semel et excisi manu Assyriorum, ira exacerbabantur quidem in Achazum, at ulcisci se non valebant [11]. » O igitur vos, inquit, alienigenæ : quandoquidem sicut dicitis et creditis, defuncto Achazo, contritum est imposterum jugum percutientis vos, id est, conterentis, propterea ne gaudete. Quanquam dixerit quispiam, Achazum idolorum cultorem fuisse, et profanum, et Dei hostem : D qui fit ergo ut propter hunc impediat Deus risum adversariorum? Non contra illum omnino hic risus erat, sed si quid adversi Judææ contigisset, non tam patientes, quam Dei manum quæ Israelem quasi scuto defendit, sannis conviciisque conabantur insectari adversarii. Putabant siquidem attenuatam et infirmatam esse potentissimam dexteram, et suos deos custode Israelis fuisse meliores. Proinde quanquam profanus fuerit Achazus, tamen quia alienigenæ, ut jam dicebam, ludibrio habuerunt Israelitas, comprimit lætitiam, et quasi retrahit ac refrenat gaudium, dicens : non liberatos esse eos jugo

[10] II Paral. XXVI, 6-8; XXVII, 1; XXVIII, 1-4. [11] IV Reg. XVI, 1 seqq.

premente, sed passuros se digna, et volentes nolentes cruciandos, non mediocriter. Quid enim ait? Ne lætamini, dicentes percutientis vos jugum esse contritum. Scitote vero potius quod ex semine serpentis egredientur fetus aspidum. Bifariam hoc intelligas. Erat nimirum Ozias qui et Azarias, uti dixi, tum immitis, tum bellacissimus, et ita manui suæ ac potestati eos subjecit, ut præter solitum vicis et urbibus tributa imperarit. Deinde post illum Achazus, tametsi non sua quidem manu fortassis nec armis patriis, Assyriorum tamen viribus, paria in eos gessit. Cepit enim Damascum Theglaphalassarus, civitatesque alienigenarum, et ipsum Rhaasson trucidavit. Demortuo Achazo, in regnum successit justus ille quidem ac pius Ezechias. Scriptum est autem de eo in quarto Regnorum: « Et defecit a rege Assyriorum, nec servivit ei. Ipse percussit alienigenas usque ad Gazam, et usque ad terminum ejus a turre custodientium, usque ad civitatem munitam [12]. » Itaque velut ex semine serpentis Oziæ, fetus aspidum ortus est **244** Achazus: dein secundum illum serpens volans, id est, acer Ezechias. Mordebant enim quodammodo alienigenas, deletis eorum urbibus. Etsi autem serpentes dicti sunt Ozias et Ezechias, licet alioqui pii, illud tamen prudentissime intelligendum, sermonis scopum ad exprimendos Philistinos sive alienigenas dirigi atque collimitare. Oportebat ergo eos non placidos, non mites fore, sed truces et acres, serpentum in morem in adversarios insilire solitos. Quare vel hunc ad modum intelliges illud, Ex semine serpentis egredientur progenies aspidum, vel alia si placet ratione. Conduxerat nempe Achazus Theglaphalasarum Assyrium, et regionem alienigenarum invadens, cum totam depopulatus esset, ipsum quoque, ut dixi, regem Raasson interemit. Temporibus autem regis Ezechiæ, contra Samariam eduxit exercitum Salmanasarus, ipse quoque rex Assyriorum. Grassansque primum in regionem Palæstinorum seu alienigenarum, barbaricam in omnes exercuit crudelitatem, ita ut ex semine serpentis Theglaphalassar, fetus aspidis exierit Salmanasarus tanquam serpens et ipse, non ad assultus piger, non ad impetus in obsidendo tardus, sed acer potius, et quasi volucris urbibus imminens.

A τῶν καταλυπεῖν εἰωθότων τὴν Ἰουδαίαν γενέσθαι συμβέβηκεν, οὐ τοὺς παθόντας μᾶλλον, ἀλλὰ τοῦ Θεοῦ χεῖρα, τὴν τῷ Ἰσραὴλ συνασπίζουσαν, κατακερτομεῖν ἐπεχείρουν οἱ δι' ἐναντίας. Ἀσθενῆσαι γὰρ ᾤοντο τὴν παναλκῆ δεξιὰν, καὶ τούς γε ὄντας παρὰ σφίσι θεοὺς ἀμείνους γενέσθαι τῆς τοῦ φυλάττοντος τὸν Ἰσραήλ. Οὐκοῦν εἰ καὶ βέβηλος ὁ Ἄχαζ ἦν, ἀλλ' ἐπείπερ ἐπετώθαζον οἱ ἀλλόφυλοι, καθάπερ ἔφην ἀρτίως, τοῖς ἐξ Ἰσραὴλ, ἀνείργει τὴν εὐφροσύνην, καὶ οἷον ἀνασειράζει τὴν εὐφημίαν, οὐκ ἀπηλλάχθαι λέγων αὐτοὺς τοῦ θλίβοντος ζυγοῦ, πείσεσθαι δὲ μᾶλλον τὰ ἐφ' οἷς ἦν εἰκὸς καὶ οὐχ ἑκόντας αὐτοὺς δυσφορήσειν οὐ μετρίως. Τί γάρ φησι; Μὴ εὐφρανθείητε, συντετρίφθαι λέγοντες τὸν τοῦ καταπαίοντος ὑμᾶς ζυγόν. Ἴστε δὲ μᾶλλον, ὅτι ἀπὸ σπέρματος B ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων. Διχῇ τοῦτο νοήσεις· γέγονε μὲν γὰρ Ὀζίας ὁ καὶ Ἀζαρίας, ὡς ἔφην, ἀπηνής τε καὶ μαχιμώτατος· κατεχειρώσατο δὲ οὕτως αὐτοὺς, ὥστε καὶ ἀσυνήθως δασμολογῆσαι τὰς παρ' αὐτοῖς πόλεις τε καὶ κώμας. Εἶτα μετ' ἐκεῖνον ὁ Ἄχαζ, εἰ καὶ μὴ χειρὶ τυχὸν ἰδίᾳ καὶ δυνάμεσι ταῖς ἐπιχωρίοις, ἀλλ' οὖν τῇ τῶν Ἀσσυρίων τὰ ἴσα πέπραχεν εἰς αὐτούς. Εἷλε γὰρ τὴν Δαμασκὸν ὁ Θεγλαφαλασσὰρ, καὶ τὰς τῶν ἀλλοφύλων πόλεις· ἀπέκτονε δὲ καὶ αὐτὸν τὸν Ῥαασσών. Τελευτήσαντος δὲ τοῦ Ἄχαζ, διαδέχεται τὴν βασιλείαν δίκαιός τε καὶ εὐσεβὴς ὁ Ἐζεκίας. Γέγραπται δὲ καὶ περὶ αὐτοῦ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· « Καὶ ἠθέτησεν ἐν τῷ βασιλεῖ Ἀσσυρίων, καὶ οὐκ ἐδούλευσεν αὐτῷ. C Οὗτος ἐπάταξε τοὺς ἀλλοφύλους ἕως Γάζης, καὶ ἕως ὁρίου αὐτῆς, ἀπὸ πύργου φυλασσόντων, ἕως πόλεως ὀχυρᾶς. » Οὐκοῦν ὡς ἐκ σπέρματος ὄφεως τοῦ Ὀζίου ἔκγονον ἐκβέβηκεν ἀσπίδος ὁ Ἄχαζ· εἶτα μετ' ἐκεῖνον ὄφις πετόμενος, τοῦτ' ἔστιν, ὀξὺς ὁ Ἐζεκίας. Κατέδακνον γὰρ τρόπον τινὰ τοὺς ἀλλοφύλους, καὶ δεδαπανήκασι τὰς πόλεις αὐτῶν. Εἰ δὲ ὄφεις ὠνομάσθησαν Ὀζίας τε καὶ Ἐζεκίας, καίτοι γεγονότες εὐσεβεῖς, ἀλλ' ἐννοεῖν ἐκεῖνο προσήκει καὶ μάλα ἐμφρόνως, ὡς ὁ τοῦ λόγου σκοπὸς τέτραπταί τε καὶ βλέπει πρὸς ὅτι μάλιστα τυποῦν τοὺς Φυλιστιεὶμ, ἤτοι τοὺς ἀλλοφύλους. Ἔδει τοίνυν, οὐχ ἡμέρους τινὰς καὶ πράους ἔσεσθαι λέγειν αὐτοὺς, ἀλλὰ δεινοὺς καὶ ὀξεῖς, ὡς ὄφεων δίκην ἐπιπηδᾷν εἰωθότας τοῖς δι' ἐναντίας. Οὐκοῦν ἢ τοιῶσδε συνήσεις τὸ, Ἐκ σπέρ- D ματος ὄφεως ἐξελεύσονται ἔκγονα ἀσπίδων, ἤ τι καὶ καθ' ἕτερον, εἰ βούλει, τρόπον. Κατεμισθοῦτο μὲν ὁ Ἄχαζ Θεγλαφαλασσὰρ τὸν Ἀσσύριον, καὶ τῇ τῶν ἀλλοφύλων ἐπαφῆκε χώρᾳ, ὃς καταδῃώσας ἅπασαν, ἀπέκτεινε καὶ αὐτὸν, ὡς ἔφην, τὸν βασιλέα Ῥαασσών. Ἀλλ' ἐν καιροῖς τοῦ βασιλέως Ἐζεκίου κατεστράτευσε τῆς Σαμαρείας ὁ Σαλαμανασὰρ βασιλεὺς, καὶ αὐτὸς ὑπάρχων τῶν Ἀσσυρίων. Ἐπιφοιτήσας δὲ πρώτῃ τῇ τῶν Παλαιστινῶν χώρᾳ, ἤτοι τῇ τῶν ἀλλοφύλων, τὰ ἐκ βαρβαρικῆς ὠμότητος κατὰ πάντων εἰργάζετο. Οὐκοῦν ὡς ἐκ σπέρματος ὄφεως, τοῦ Θεγλαφαλασσὰρ ἔκγονον ἀσπίδος ἐξῆλθεν ὁ Σαλαμανασὰρ, οἷον ὄφις καὶ αὐτός, οὐκ ὀκνηρὸς ἐπ' ἐφόδους, οὐ βραδὺς εἰς κίνησιν τὴν ἐπί τε τὸ χρῆναι πολιορκεῖν, ὀξὺς δὲ μᾶλλον, καὶ πτηνοῦ δίκην ταῖς πόλεσιν ἐφιστάμενος.

VERS. 30. *Et pascentur mendici per ipsum, et pauperes in pace requiescent, et perimet fame semen tuum, et reliquias tuas interficiet.*

Καὶ βοσκηθήσονται πτωχοὶ δι' αὐτοῦ· πτωχοὶ δὲ ἄνδρες ἐπ' εἰρήνης ἀναπαύσονται· ἀνελεῖ δὲ λιμῷ τὸ σπέρμα σου, καὶ τὸ κατάλειμμά σου ἀνελεῖ.

[12] IV Reg. XVIII, 1 seqq.

A Φθάσας ἔφην, ὅτι τεθνεῶτος τοῦ Ἄχαζ, κατεπλατύνοντο μὲν εἰς εὐθυμίαν οἱ ἀλλόφυλοι· κατεμειδίων γε μὴν οὐκ ἐκείνου μᾶλλον, ἀλλὰ τῆς πανσθενοῦς δεξιᾶς τῆς τοῦ σώζοντος τὸν Ἰσραὴλ, φημὶ δὴ Θεοῦ. Ἀλλ' ὅτι μὲν οὐκ ἐπιλείψουσιν οἱ μαχόμενοι καὶ μετὰ τὸν Ὀζίαν, εὖ μάλα διαμεμήνυκεν, ἐκ σπέρματος ὄφεως ἐξελεύσεσθαι λέγων ἔκγονα ἀσπίδων. Ἐπειδὴ δὲ τῆς θείας κατωρχήσαντο δόξης, ἀναγκαίως δείκνυσιν ἡμῖν ὁ προφήτης ἐν τούτοις, ὅτι καὶ διασώσει τὸν Ἰσραὴλ ὁ προασπίζων αὐτοῦ, καὶ ὅτι τοῖς δι' ἐναντίας πάντη τε καὶ πάντως ἐποίσει τὸν ὄλεθρον. Πεπολιόρκηκε μὲν γὰρ τὴν Ἱερουσαλὴμ ὁ Σαλαμανασὰρ μετὰ τὸ πᾶσαν ἑλεῖν τὴν Σαμαρειτῶν. Πεπολιόρκηκε δὲ Ῥαψάκην ἀποστείλας ἐκ Λαχεῖς, καθὰ γέγραπται, ἀλλὰ σέσωκεν ἀδοκήτως τοὺς ἐξ Ἰσραὴλ ὁ τῶν ὅλων Θεός. Πεπτώκασιν γὰρ οἱ Ἀσ- B σύριοι, δαπανῶντος αὐτοὺς ἀγγέλου Κυρίου· τὸ δὲ τῶν ἀλλοφύλων σπέρμα, καὶ πᾶν τὸ κατάλειμμα τὸ ἐκ τῆς πρώτης πολιορκίας τῆς ἐν καιροῖς γενομένης τοῦ Θεγλαφαλασσὰρ ἀνῄρηται παντελῶς καὶ ἀπόλωλεν εἰς ἅπαν λιμῷ τάχα που πεπιεσμένον. Ἕπεται γὰρ ἀεί πως τῷ πολιορκεῖσθαι πόλεις καὶ τὰ ἕτερα βλάβη. Οὐκοῦν βοσκηθήσονται μὲν διὰ Θεοῦ πτωχοὶ, καὶ μετριόφρονες ἄνδρες, τοῦτ' ἔστι, νεμηθήσονται τὴν ἑαυτῶν, καὶ ἐπ' εἰρήνης ἀναπαύσονται. Τὸ δὲ σὸν σπέρμα, καὶ τὸ κατάλειμμα καταφθερεῖ λιμῷ. Φοβερὸν οὖν τὸ ἐπιτωθάζειν τοῖς ὑπὸ χεῖρα τοῦ Θεοῦ, καὶ κατεπαίρεσθαι τῶν ὑπὸ φροντίδα γεγονότων τὴν παρ' αὐτοῦ. Περιόψεται γὰρ οὐδαμῶς, ἐπαμυνεῖ δὲ πάντως τοῖς ἑαυτοῦ γνωρίμοις, ἵνα μὴ πλατὺ γελῷεν οἱ δι' ἐναντίας, καὶ κατονειδίζωσι Θεὸν, ὡς οὐκ ἔχοντα διαρκῶς εἰς τὸ διασώζειν δύνασθαι τοὺς οἵπερ εἶεν ἐπ' αὐτῷ πεποιθότες.

Supra dixi, mortuo Achazo, effusos in lætitiam fuisse alienigenas, et derisisse non illum modo, sed fortissimam dextram, conservatricem inquam Israelis. Cæterum non destituros pugnare etiam post Oziam, declaravit optime, cum dicit, ex semine serpentum orituros fetus aspidum. Quoniam autem divinæ majestati insultabant, necessario ostendit nobis his verbis propheta, servaturum esse Israelem, qui protector ejus est, et adversariis internecionem prorsus penitusque illaturum. Obsedit namque Jerusalem Salmanasarus, tota Samaria capta: obsedit item Rhapsaces, expeditione missa ex Laches, uti scriptum **245** est: at servavit præter opinionem Israelitas universitatis Deus. Conciderunt enim Assyrii, consumente eos angelo Domini; et semen alienigenarum, et universæ reliquiæ ex prima obsidione temporibus Theglaphalassari facta, omnino sublatæ sunt, et in totum perierunt, fame fortassis oppressi. Nam obsidionem urbium semper et alia mala consequuntur. Igitur pascentur per Deum mendici, et mansueti homines, id est, suam ipsorum terram incolent, et in pace requiescent. Tuum vero semen et reliquias perdet fames. Horrendum igitur est sannis excipere Dei subditos, seque contra eos qui curæ ejus commissi sunt attollere. Minime enim despiciet, sed omnino suis notis et familiaribus succurret, ne effuse ac ore diducto rideant adversarii, Deumque incessant conviciis, qui non posset subditos suos tueri satis et conservare.

C *Ὀλολύξατε, πύλαι πόλεων, κεκραγέτωσαν πόλεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες, ὅτι καπνὸς ἀπὸ βοῤῥᾶ ἔρχεται, καὶ οὐκ ἔστι τοῦ εἶναι.*

VERS. 31. *Ululate, portæ urbium, clament urbes turbatæ, alienigenæ omnes, quia fumus ab Aquilone venit, et non est ut sit.*

Τὸ, Ἐκ σπέρματος ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων, οὕτως ἂν νοεῖσθαι πρέποι, ὡς διερμηνεύοντες ἐλέγομεν, ὅτι πεπόρθηκε μὲν τὰς τῶν ἀλλοφύλων πόλεις, εἷλε δὲ καὶ τὴν Δαμασκὸν ὁ Θεγλαφαλασσὰρ, εἶτα μετ' ἐκεῖνον, ταῖς ἔτι φορτικωτέραις ἐνῆκεν αὐτοὺς συμφοραῖς ὁ Σαλαμανασὰρ ἐν καιροῖς τῆς Ἐζεχίου βασιλείας, τὰς Σαμαρειτῶν ἐκπολιορκήσας πόλεις. Ὡς οὖν ἤδη τῆς ἐφόδου συγκεκροτημένης, καὶ παρούσης τῆς Ἀσσυρίων στρατιᾶς, ὡς ἤδη ταῖς πύλαις ταῖς ἐν ἑκάστῃ πόλει τῶν ἑλεπόλεων προσκεκομισμένων, μελλόντων δὲ ἤδη κατασείσεσθαι τῶν τειχῶν, , ταῖς ἀφορήτοις αὐτῶν προσβολαῖς· ὀλολύ- D ζειν μὲν κελεύει τὰς πύλας, ἀνακεκράγειν δὲ τὰς πόλεις, οὐκ ἐπιγαυριώσας ἔτι τοῖς ἐξ αἵματος Ἰσραὴλ, οὐχὶ τὴν τοῦ πάντα ἰσχύοντος Θεοῦ κατακερτομούσας δόξαν, οὐ τεθνεῶτι τῷ Ἄχαζ ἐπορχουμένας, μελετώσας δὲ μᾶλλον κομμόν τε καὶ θρήνους, καὶ ταῖς ὅσον οὐδέπω παρεσομέναις συμφοραῖς οὐ μετρίως ἐπιστυγναζούσας. Ἀνθ' ὅτου γὰρ δὴ προστέταχα, φησὶν, ἀνοιμώζειν τὰς πόλεις, ὅτι καπνὸς ἀπὸ βοῤῥᾶ ἔρχεται, καὶ οὐκ ἔστι τοῦ εἶναι. Καπνὸν ἐν τούτοις τὸν ἀπὸ βοῤῥᾶ, τὸν ἐκ τῆς Ἀσσυρίων γῆς ὁρμώμενον ὀνομάζει, ἢ αὐτὸν τὸν Σαλαμανασὰρ, ἢ τὴν συνοῦσαν αὐτῷ στρατιάν. Νοτιωτάτη μὲν γὰρ

Illud, Ex semine serpentium egredientur progenies aspidum, quomodo intelligendum esset exponentes, diximus Theglaphalassarum alienigenarum urbes vastasse, et Damascum cepisse: dein post illum in graviores eos calamitates Salmanasarum conjecisse temporibus regni Ezechiæ, cum Samaritanorum urbes obsideret. Quasi enim jam acies instructa esset, et Assyriorum adesset exercitus, quasi jam hostes, ad portas cujusque urbis adducti, jamjam intolerandis suis tormentis muros percutere pararent: plorare jubet portas, et clamare urbes, non amplius, contra sanguine Israelitico cretos, gloriantes, non omnipotentis Dei majestatem conviciis et dicteriis proscindentes, non de mortuo Achazo insultantes, sed tragicum potius luctum et lamenta meditantes, et ex miseriis jamjam præsentibus haud levi dolore confectas. Propterea enim, inquit, plorare urbes jussi, quia fumus ab Aquilone venit, et non est ut sit. Fumum in his ab Aquilone venientem, dicit, vel ipsum Salmanasarum ex terra Assyriorum prorumpentem, vel **246** qui cum eo erat exercitum. Australis enim maxime est Judæorum regio, magis autem Aquilonaris Assyriorum. Fumo autem bellacem exercitum comparat, ut qui velut

lacrymas captis excitat. Elicit enim semper ex oculis fumus lacrymam. Non est autem dissentaneum fidei, in his verbis alia de causa bella comparari fumo. Quemadmodum enim fumus incidens in corporis oculos, visus aciem illis adimit: sic et formido mortis tantum non inebriat mentem, cor turbidum reddit, et gravibus ac intolerandis terroribus prope denigrat et offuscat. Veniet igitur fumus ab Aquilone. At quis erit hujus incursionis exitus? Non est ut sit, inquit, id est, extrema internecio urbes et domos, et qui in illis sunt pessumdabit.

ἐστιν ἡ τῶν Ἰουδαίων χώρα, βορειωτέρα δέ πως ἡ τῶν Ἀσσυρίων. Καπνῷ γε μὴν τὴν φιλοπόλεμον παρεικάζει στρατιὰν, ὡς δακρύων τοῖς ἁλοῦσιν ἐμποιητικήν. Ἐξέλκει γὰρ ἀεί πως τῶν ὀμμάτων τὸ δάκρυον ὁ καπνός. Οὐκ ἀπίθανον δὲ καὶ ἑτέρως καπνῷ παρεικάζεσθαι τοὺς πολέμους. Ὥσπερ γὰρ ὁ καπνὸς τοῖς τοῦ σώματος ἐμπίπτων ὀφθαλμοῖς παραιρεῖται πάντως αὐτοὺς τὸ τῆς ὄψεως ἀκριβὲς, οὕτω καὶ θανάτου φόβος μονονουχὶ καταμεθύσκει τὸν νοῦν, καὶ καταθολοῖ τὴν καρδίαν, δεινοῖς τε καὶ ἀφορήτοις δείμασιν μονονουχὶ καταμελαίνων αὐτήν. Ἥξει τοίνυν καπνὸς ἀπὸ βοῤῥᾶ. Εἶτα ποῖόν ἐστι τῆς ἐφόδου τὸ τέλος; οὐκέτι τοῦ εἶναί φησι, τοῦτ' ἔστι, πανωλεθρεία καταφθερεῖ πόλεις τε καὶ οἴκους, καὶ τοὺς ἐν αὐταῖς.

VERS. 32. *Et quid respondebunt reges gentium? Quia Dominus fundavit Sion, et per illum servabuntur humiles populi.*

Καὶ τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; Ὅτι Κύριος ἐθεμελίωσε Σιὼν, καὶ δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.

Impressione Assyriorum facta, captæ sunt alienigenarum urbes, devastatæ nihilominus etiam Samaritanorum civitates: servata est autem egregie præ cæteris ac mirabiliter sola Jerusalem, Assyriorum copiis; manum admoliente eo, qui omnia facile ac recte potest efficere. Mortui sunt enim una nocte alienigenarum centum octoginta quinque millia. Quando igitur Aquilonares isti incenderint alienigenarum urbes, populati fuerint etiam Judææ vicinam Samariam, deinde cingentes undique ipsam Jerusalem, nullo resistente, una nocte corruerint: tunc, tunc, inquit, velint nolint, confitebuntur gentium reges, quod Dominus fundavit Sion, et quod per eum servabuntur humiles populi. Humiles populi vocat eos, qui in illo solo spem salutis suæ collocant; qualis erat ipse rex Ezechias, et qui circa illum erant procidentes et dicentes: « Exaudi, Domine, respice, Domine, et vide sermones Rhapsacæ, quos emisit rex Assyriorum, probra jaciens in Deum vivum [13]. » Verum e diverso ipse audivit Deum loquentem aperte: « Hæc ait Dominus: Propugnabo civitatem hanc propter me, et propter David puerum meum [14]. » « Bonum est igitur confidere Deo [15]. » Quod etiam beati prophetæ non ignorarunt. Jeremias quippe dicit: « Beatus homo qui confidit in Domino, et erit Dominus spes ejus [16]. » Sapientissimus **247** etiam David: « Domine Deus virtutum, beatus homo qui sperat in te [17]. » Nemo enim perdet eum qui divino ejus nutu adjutus est, et superno favore ac benevolentia quasi muro probe obvallatus. Dignatur enim cura sua amantes se, et qui diligenter quæ ipsi placent cogitare et agere student, hi ut firmis et diuturnis bonis potiantur facile annuet.

Τῆς ἐφόδου τῶν Ἀσσυρίων γεγενημένης ἥλωσαν μὲν αἱ τῶν ἀλλοφύλων πόλεις. Ἐκπεπόρθηνται δὲ οὐδὲν ἧττον καὶ αἱ τῶν Σαμαρειτῶν· σέσωσται δὲ Ἱερουσαλὴμ παραδόξως μόνη παρὰ πάσας, ταῖς τῶν Ἀσσυρίων στρατιαῖς ἐνενεγκόντος τὴν χεῖρα τοῦ πάντα εὐκόλως κατορθοῦν ἰσχύοντος. Ἀπέθανον γὰρ ἐν νυκτὶ μιᾷ τῶν ἀλλοφύλων ἑκατὸν καὶ ὀγδοήκοντα πέντε χιλιάδες. Ὅταν τοίνυν καταπρήσωσι μὲν τὰς τῶν ἀλλοφύλων πόλεις οἱ ἀπὸ βοῤῥᾶ, καταδῃώσωσι καὶ τὴν τῆς Ἰουδαίας γείτονα τὴν Σαμαρειτῶν, εἶτα περισχόντες κύκλῳ καὶ αὐτὴν τὴν Ἱερουσαλὴμ, οὐδενὸς ἀντεξάγοντος ἐν μιᾷ πέσωσι νυκτί· τότε δὴ, τότε καὶ οὐχ ἑκόντες, φησὶν, ὁμολογήσωσιν οἱ τῶν ἐθνῶν βασιλεῖς, ὅτι Κύριος ἐθεμελίωσε Σιών· καὶ ὅτι δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ. Ταπεινοὺς δέ φησι τοῦ λαοῦ, τοὺς ἐπ' αὐτῷ δὴ καὶ μόνῳ τὴν τῶν σώζεσθαι θεμένους ἐλπίδα, ὁποῖός τέ τις ἦν αὐτὸς ὁ βασιλεύων Ἐζεχίας, καὶ οἱ ἀμφ' αὐτὸν Θεῷ προσπίπτοντες, καὶ λέγοντες· « Εἰσάκουσον, Κύριε, εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους τοῦ Ῥαψάκου, οὓς ἐξαπέστειλεν ὁ βασιλεὺς Ἀσσυρίων, ὀνειδίζειν Θεὸν ζῶντα. » Ἀλλὰ καὶ αὐτὸς ἀντήκουεν Θεοῦ λέγοντος ἐναργῶς· « Τάδε λέγει Κύριος· Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. » « Ἀγαθὸν οὖν ἄρα τὸ ἐπὶ Θεῷ πεποιθέναι. » Καὶ τοῦτο εἰδότες οἱ μακάριοι προφῆταί φασιν, Ἱερεμίας μὲν, ὅτι, « Μακάριος ἄνθρωπος ὁ πεποιθὼς ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ. » Ὁ δὲ σοφώτατος Δαβίδ· « Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. » Ἀπολέσει γὰρ οὐδεὶς τὸν τοῖς θείοις αὐτοῦ νεύμασιν ἐπικουρούμενον, καὶ ταῖς ἄνωθεν εὐμενείαις εὖ μάλα τετειχισμένον. Ἀξιοῖ γὰρ φροντίδος τοὺς ἀγαπῶντας αὐτὸν, καὶ τοῖς τὰ αὐτῷ δοκοῦντα φρονεῖν τε καὶ δρᾷν ὅτι μάλιστα διεσπουδακόσι, τὸ ἐν βεβαίῳ κεῖσθαι τῶν ἀγαθῶν κατανεύει προχείρως.

TOMUS III.

CAP. XV. *VERBUM CONTRA MOABITIDEM.*

Confecto sermone de Babyloniis aliisque rectissime, rursus ad Moabitidem, id est, contra Moabitarum metropolim regionemque universam ipsum-

ΤΟΜΟΣ Γ'.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΤΗΣ ΜΩΑΒΙΤΙΔΟΣ.

Διαπεράνας εὖ μάλα τὸν ἐπί γε τοῖς Βαβυλωνίοις καὶ τοῖς ἀλλοφύλοις λόγον, μεθίστησι πάλιν τὴν προαγόρευσιν ἐπὶ τῇ Μωαβίτιδι· τοῦτ' ἔστι κατὰ

[13] IV Reg. XIX, 16. [14] ibid. 34. [15] Psal. CXVII, 8. [16] Jerem. XVII, 7. [17] Psal. LXXXIII, 13.

τῆς τῶν Μωαβιτῶν μητροπόλεως χώρας τε ἁπάσης A καὶ αὐτῆς τῆς βασιλείας. Ἔθνος καὶ αὐτοὶ βάρβαρον, ἀπηχθημένον παρὰ Θεῷ, διά τοι τὸ ἐγκεῖσθαι μὲν ὁλοτρόπως ταῖς τῶν εἰδώλων λατρείαις, ἐπιθαρσεῖν δὲ μάλιστα τῇ μάγῳ τέχνῃ, καὶ τῆς τοῦ Θεοῦ κατεπαίρεσθαι δόξης, εἶναί τε τῶν ὅτι μάλιστα πολεμιωτάτων τοῖς ἐξ Ἰσραήλ. Καὶ γοῦν ὅτε τῶν Αἰγυπτίων ἀπηλλαγμένοι πλεονεξίας, ἐπὶ τὴν τῆς ἐπαγγελίας ἀπῄεσαν γῆν, μικροῦ δεῖν ἅπαντες διολώλασι, τό γε ἧκον εἰς τὸ ἐγχείρημα Βαλὰκ, ὃς ἦν βασιλεὺς τὸ τηνικάδε τῶν Μωαβιτῶν. Γέγραπται δὲ οὕτως ἐν τοῖς Ἀριθμοῖς· « Καὶ ἅπαντες υἱοὶ Ἰσραὴλ παρενέβαλον ἐπὶ δυσμῶν Μωὰβ, παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχώ. Καὶ ἰδὼν Βαλὰκ υἱὸς Σεπφὼρ, πάντα ὅσα ἐποίησεν Ἰσραὴλ τῷ Ἀμοῤῥαίῳ· καὶ ἐφοβήθη Μωὰβ τὸν λαὸν σφόδρα, ὅτι πολλοὶ ἦσαν. Καὶ προσ- B ώχθισε Μωὰβ ἐκ προσώπου υἱῶν Ἰσραήλ. » Εἶτα ποῖον αὐτῷ γέγονε τὸ κακούργημα; Κατεμισθοῦτο τὸν Βαλαὰμ ἐκ τῆς Μεσοποταμίας· ψευδόμαντις δὲ οὗτος καὶ οἰωνοσκόπος· εἶτα παρακαλεῖ, λέγων· Ἐπάρασαί μοι τὸν Ἰσραήλ. Οἶδα γὰρ, φησὶν, ὅτι οὓς ἂν σὺ εὐλογήσῃς, ηὐλόγηνται, καὶ οὓς ἂν σὺ καταράσῃ, κεκατήρανται. Καὶ οἱ μὲν τῆς γοητείας ἐπράττοντο παρ' ἐκείνου τρόποι, βωμῶν τε ἐγηγερμένων, καὶ θυσιῶν προσκεκομισμένων. Ἐσφάλλετο δὲ τῆς ἐλπίδος ὁ Βαλὰκ, καὶ τῶν κατὰ γνώμην ἡμάρτηκεν, εὐλογοῦντος ἀδοκήτως τὸν Ἰσραὴλ τοῦ παραληφθέντος εἰς τὸ παραράσασθαι δεῖν. Ἐπειδὴ δὲ εἰς τὸ παρ' ἐλπίδας ἐκδέβηκεν αὐτῷ τὸ ἐγχείρημα, πάλιν ἑτέρῳ μέτεισι τρόπῳ τῆς κατ' αὐτῶν δυστρο- C πίας τὸ χρῆμα. Σεσαγήνευκε γὰρ τοὺς ἐξ Ἰσραὴλ, ταῖς τῶν γυναικῶν ὥραις συνηρπασμένους ἐπί γε τὸ χρῆναι τῆς πρὸς Θεὸν ἀγάπης ἀποφοιτᾷν, καὶ προσκυνεῖν ἑλέσθαι τῷ Βεελφεγὼρ· εἴδωλον δὲ τοῦτο τῶν Μωαβιτῶν. Γέγραπται δὲ οὕτω πάλιν ἐν τοῖς Ἀριθμοῖς· « Καὶ κατέλυσεν ὁ Ἰσραὴλ ἐν Σαττεὶμ, καὶ ἐβεβηλώθη ὁ λαὸς, ἐκπορνεῦσαι ἐπὶ τὰς θυγατέρας Μωὰβ, καὶ ἐκάλεσαν αὐτοὺς ἐπὶ ταῖς θυσίαις τῶν εἰδώλων αὐτῶν, καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν· καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν· καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγὼρ, καὶ ὠργίσθη θυμῷ Κύριος τῷ Ἰσραήλ. » Ἐπειδὴ γὰρ ἐπαμύνοντος δεινὸς καὶ δυσάντητος ἦν ὁ Ἰσραὴλ, ταύτῃ τοι καὶ μάλα πικρῶς καὶ φιλοκακούργως, ἀφιστάντες αὐτοῦ τὴν ἐπικουρίαν, προσκρούειν ἀνέπειθον τῷ ἐπὶ πάντας Θεῷ. Διατετελέκασι δὲ καὶ μέχρι D παντὸς τοιαύτην ἔχοντες γνώμην, κἂν εἰ συνέβη τὸν Ἰσραὴλ κοινωνῆσαι συμφοραῖς προσκεκρουκότα Θεῷ, κατηλαζονεύοντο καὶ κατεκερτόμουν ἐκεῖνοι, τὸ μηδὲν ὅλως δύνασθαι κατηγοροῦντες Θεοῦ, τοῦ σώζειν ὑπισχνουμένου τοὺς προσκυνοῦντας αὐτῷ. Καὶ τούτου μάρτυς ὁ μακάριος Ἱερεμίας ἐν τῇ κατ' αὐτῶν ὁράσει λέγων· « Κατεάχθη κέρας Μωὰβ, καὶ τὸ ἐπιχείριον αὐτοῦ συνετρίβη. Μεθύσατε αὐτὸν ὅτι ἐπὶ Κύριον ἐμεγαλύνθη. » Καὶ πάλιν· « Ὅτι οὕτως εἶπε ὁ Κύριος, Ἐλήφθη Ἀριώθ· καὶ ὀχυρώματα συνελήφθη. Καὶ ἀπολεῖται Μωὰβ ἀπὸ λαοῦ, ὅτι ἐπὶ Κύριον ἐμεγαλύνθη. » Ἧκε μὲν γὰρ κατὰ καιροὺς ὁ

que adeo regnum transfert vaticinium. Gens vero barbarica fuerunt etiam hi, Deo exosa, quod idolorum cultui toti adhærescerent, magicæque arti maxime confiderent, ac divinæ majestati sese opponerent, et Israelitis essent quam infestissimi. Cumque Ægyptiaca tyrannide liberati, ad terram venissent promissionis, parum aberat quin omnes perierint, quantum quidem conatus Balachi tunc regis Moabitarum potuit efficere. Scriptum est autem sic in Numeris : « Et descendentes filii Israel castrametati sunt ad occidentem Moab, apud Jordanem juxta Jericho, et videns Balachus filius Sephori, quæcunque fecit Israel Amorrhæo, et pertimuit Moab populum valde, quia multi erant : et timuit Moab a facie filiorum Israel [18]. » Deinde quæ tandem ejus fuit machinatio? Conductum Balaamum ex Mesopotamia (erat autem is falsus vates et augur) rogavit dicens : Exsecrare mihi Israelem. Novi enim quod quibus tu benedixeris, benedicuntur, et quos tu exsecratus fueris, exsecrationi subjiciuntur. Incantationis autem modus hic ab eo adhibitus fuit, aris excitatis, hostiisque oblatis. Cæterum spe falsus est Balac, et animi sententia excidit, benepre-cante præter opinionem Israeli eo qui ascitus est **248** ad imprecandum. Cum autem hoc molimen ei præter spem evenisset, rursus alio modo hanc rem nefariam contra eos aggreditur. Israelitas enim illaqueavit ut muliebri forma correpti, a Dei dilectione exorbitarent, et Beelphegor, idolum scilicet Moabitarum, adorarent. Scriptum est iterum sic in Numeris : « Commoratus est Israel in Sattin, et contaminatus est populus ut fornicaretur cum filiabus Moab, vocaruntque eos ad sacrificia idolorum suorum, ac comedit populus de sacrificiis eorum, et adoraverunt idola eorum, et initiatus est Israel Beelphegor, et iratus est animo Dominus Israel [19]. » Nam cum Deo juvante, potens et terribilis esset Israel, hinc fraudulenter et malitiose ejus submoto præsidio, Deum universitatis offendere persuaserunt, et semper in suscepto consilio perstiterunt. Quod si in calamitatum societatem venire Israelem contingeret, quod Deum offendissent : se contra efferebant illi, ac conviciabantur causantes Deum, qui servare cultores suos promiserat, nihil omnino potuisse. Hujusque testis est beatus Jeremias in sua de illo visione, dicens : « Confractum est cornu Moab, et præmium ejus contritum. Inebriate illum, quia in Dominum magnus factus est [20]. » Et rursus : « Sic dicit Dominus : Capta est Arioth, et munitiones simul captæ sunt. Et peribit Moab a populo, quia in Dominum magnificatus est [21]. » Venit enim olim Assyriorum et Babyloniorum tyrannus, ad Judæam perdendam : cepitque urbes Samariæ : Moabitæ autem de integro irrident eos qui perierant, sannisque ac ludibriis vexarunt, et non mediocriter divinam majestatem probris assidue asperserunt. Hanc ob causam traditi sunt et ipsi internecioni, et cum

[18] Num. XXII, 1-3. [19] Num. XXV, 1-3. [20] Jerem. XLVIII, 25, 26. [21] ibid. 41, 42.

urbibus et domibus, totoque populo funditus perierunt, ut jam quodammodo ne esse quidem videantur. Meminit itaque visio proposita eorum, quæ ab initio nimirum superiore memoria illis acciderunt, et inquit :

Vers. 1. *Nocte peribit Moabties, nocte enim peribit murus Moabitis.*

Quidam eorum qui hæc pertractarunt diligenter, tradiderunt, bellum in illos capessentibus Babyloniis, motu facto adeo concussam esse Moabitarum metropolim, ut totus ejus murus **249** noctu et in tenebris, sua sponte tremefactus fuerit : quo facto, ante impressionem hostium propemodum eorum omnis spes salutis perierat. Ideo dicit, noctu periisse Moab.

Vers. 2. *Sed, inquit, contristamini in vobis ipsis.*

Simile est ac si dicat : Sæpe erecto supercilio alto, alienis insultastis calamitatibus, at tunc ad vos ipsos bellum erumpit, ad vos properat, et quæ hinc sunt incommoda, vestris impiis impendent capitibus. Contristamini igitur, non aliorum, sed vestra causa.

Peribit enim Lebedon [al. *Debon*], *ubi est ara vestra.*

Dixi sævos et superbos fuisse Moabitas, et imposturis dæmonum fretos ac magica arte, ratos, se omnium potentiam superaturos, ipsumque adeo Israelem, etiamsi Deus succurreret : igitur in ea quæ vocatur Lebedon, aram habebant et delubrum admirabile, quantum ad structuram pertinet, ibi celebrabant vaticinia, ac se plurimum efferebant, et præ cæteris hunc locum venerabilem augustumque reddebant. Sed peribit, inquit, etiam vaticinii hujus officina.

Illuc ascendetis ad plorandum super Nabay Moabitidis.

Civitas autem hæc munitissima est.

Plorate, inquit : super omne enim caput calvitium.

Id est, una pervadet omnes ignominia : calvitium quippe ignominiæ symbolum.

Erunt et omnia brachia concisa.

Plangendo et lamentando : vel quod idolorum cultoribus solenne fuerit incisiones tum genis, tum brachiis inferre. Frustra igitur et hoc agetis, inquit, siquidem res est omnino inutilis.

Vers. 3, 4. *Igitur in plateis ejus circumcingimini saccos, et plangite in domibus, et in plateis, et in vicis ejus. Omnes ululate cum planctu, quia clamavit Esebon, et locuta est* (1), *donec exaudita est vox ejus.*

Effigiem urbium non mediocri terrore fluctuan-

A Ἀσσυρίων καὶ Βαβυλωνίων. τύραννος καταδηώσων τὴν Ἰουδαίαν. Εἷλε δὲ τὰς τῆς Σαμαρείας πόλεις. Μωαβῖται δὲ πάλιν καταμειδιῶντες τῶν ἀπολωλότων ἐπετώθαζον οὐ μετρίως, καὶ κατονειδίζοντες διετέλουν τὴν τοῦ Θεοῦ δόξαν. Ταύτῃ τοι δέδονται καὶ αὐτοὶ πρὸς ἐρήμωσιν, ἄρδην τε ἀπολώλασιν ὁμοῦ πόλεσί τε καὶ δήμῳ καὶ οἴκῳ παντὶ, ὥστε ἤδη πως μηδὲ ὑπάρξαι δοκεῖν. Διαμέμνηται τοίνυν ἡ ὅρασις ἡ προκειμένη τῶν συμβεβηκότων αὐτοῖς· ἐξ ὀργῆς δηλονότι τῆς ἄνωθεν, καί φησιν·

Νυκτὸς ἀπολεῖται ὁ Μωαβίτης· νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς Μωαβίτιδος.

Τινὲς τῶν ταῦτα ἠκριβωκότων παρέδοσαν ὅτι μελλόντων τῶν ἐπ' αὐτοῖς αἴρειν πόλεμον τῶν Βαβυλωνίων, σεισμοῦ γεγονότος κατεδονήθη τοσοῦτον Μωαβιτῶν μητρόπολις, ὡς ὅλον αὐτῆς αὐτομάτως κατασεισθῆναι τὸ τεῖχος ἐν νυκτὶ καὶ σκότῳ· οὗ δὴ B γεγονότος, πρὸ τῆς τῶν πολεμίων ἐφόδου, μονονουχὶ καὶ ἀπόλωλεν αὐτοῖς ἡ τῆς σωτηρίας ἐλπίς. Ταύτῃ τοι φησὶ νυκτὸς ἀπολεῖσθαι τὴν Μωαβίτιδα.

Ἀλλὰ λυπεῖσθε, φησὶν, ἐφ' ἑαυτοῖς.

Ὅμοιον ὡς εἰ λέγοι, Πλειστάκις ὀφρὺν ἐπαίροντες ὑψηλὴν ταῖς ἑτέρων ἐνετρυφήσατε συμφοραῖς· ἀλλὰ νῦν ἐφ' ὑμᾶς αὐτοὺς ὁ πόλεμος τρέχει, καὶ τὰ ἐντεῦθεν βλάβη ταῖς ἀνοσίαις ὑμῶν ἐπικρέμαται κεφαλαῖς. Λυπεῖσθε τοίνυν οὐκ ἐφ' ἑτέροις τισὶν, ἀλλ' ἐφ' ἑαυτοῖς.

Ἀπολεῖται γὰρ Λεβηδὼν, οὗ ὁ βωμὸς ὑμῶν.

Ἔφην ὅτι δεινοὶ καὶ ἀγέρωχοι Μωαβῖται γεγόνασι, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ἐπιθαρσήσαντες, καὶ διὰ μάγου τέχνης κατευμεγεθήσειν οἰόμενοι τῆς ἁπάντων χειρὸς, καὶ αὐτοῦ δὲ τοῦ Ἰσραὴλ κἂν εἰ C ἐπαμύνοι Θεός· οὐκοῦν ἐν τῇ καλουμένῃ Λεβηδὼν, βωμὸς ἦν αὐτοῖς καὶ τέμενος οὐκ ἀθαύμαστον, τόγε ἧκον εἰς κατασκευήν. Ἐκεῖ τὰς μαντείας ἐπετέλουν, ἐφρόνουν τε μέγα, καὶ σεπτὸν ὅτι μάλιστα παρὰ τοὺς ἄλλους ἐποιοῦντο τὸν χῶρον. Ἀλλ' ἀπολεῖται, φησὶ, καὶ τὸ τῆς μαντείας ὑμῶν ἐργαστήριον.

Ἐκεῖ ἀναβήσεσθε κλαίειν ἐπὶ Ναβαῦ τῆς Μωαβίτιδος.

Πόλις δὲ αὕτη τῶν ἀλκιμωτάτων.

Ὀλολύξατε, φησίν· ἐπὶ γὰρ πάσης κεφαλῆς φαλάκρωμα.

Τοῦτ' ἔστιν, ἀτιμία κατὰ πάντων δραμεῖται μία. Φαλάκρωμα γὰρ ἀτιμίας σύμβολον.

Ἔσονται δὲ καὶ πάντες βραχίονες κατατε- D *τμημένοι.*

Ἀπὸ τοῦ κόπτεσθαι καὶ θρηνεῖν. Ἢ ὅτι τοῖς εἰδωλολατροῦσιν ἔθος τὰς καλουμένας ἐντομίδας ταῖς τε παρειαῖς καὶ τοῖς βραχίοσιν ἐπιφέρειν. Μάτην οὖν ἄρα καὶ τοῦτο δράσετε, φησὶν, ἀνόνητον γὰρ τὸ χρῆμα παντελῶς.

Οὐκοῦν ἐν ταῖς πλατείαις αὐτῆς περιζώσασθε σάκκοις, καὶ κόπτεσθε ἐπὶ τῶν δωμάτων αὐτῆς, καὶ ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἐν ταῖς ῥύμαις αὐτῆς, πάντες ὀλολύζετε μετὰ κλαυθμοῦ, ὅτι κέκραγεν Ἐσεβὼν, καὶ ἐλάλησεν ἕως ἠκούσθη ἡ φωνὴ αὐτῆς.

Πόλεων ἡμῖν οὐ μετρίοις δείμασιν ἐνησχημένων

(1) Sept. legunt pro Ἐλάλησε, *locuta est*, Ἐλεαλή, ut est in Hebr.

καταγράφει σχῆμα τῆς προφητείας ἡ δύναμις. Πολέμου γὰρ περισχόντος, καὶ συμφορᾶς τῆς ἐσχάτης ἐπενηνεγμένης πόλεσί τε καὶ οἴκοις, οἱ μὲν πλατείαις καὶ στενωποῖς οἰμώζοντες διαθέουσι. Τό γε μὴν ὅσον ἐστὶν ἀσθενές τε καὶ ἄμαχον, οἷον τὸ θηλύων γένος, καὶ τὸ νηπίων ἐπ' αὐτῶν ἀνεπήδησε δωμάτων, κομμὸν ποιεῖται καὶ ὀλολυγήν, ταῖς τῶν πολεμίων ἐνορῶν φάλαγξι, καὶ τὴν ὅσον οὐδέπω παρεσομένην ἐννοήσαντες σφαγήν. Ὀλολύξετε τοίνυν· κέκραγε γὰρ Ἐσεβὼν, καὶ ἐλάλησεν ἕως ἠκούσθη ἡ φωνὴ αὐτῆς. Πόλεις δὲ ταύτας εἶναί φησι τὰς Μωαβίτιδος τὰς μαχιμωτάτας. Ἀλλ' εἰ καὶ οὕτως ἔχοιεν, φησὶ, τοσαύτην ποιήσονται τὴν ὀλολυγὴν, ὡς μὴ λεληθότως, μηδὲ ἐν παραβύστῳ κλαίειν, ἀκουστὴν δὲ μᾶλλον γενέσθαι τὴν φωνὴν, καὶ ἀναφανδὸν ὀλοφύρεσθαι, B κατημεληκότων τῶν ἐν αὐταῖς τῆς αὐτῆς συνήθους ἀνδρείας, συντεθραυσμένων δὲ οὕτως, ὡς ἀμοιρῆσαι παντελῶς εὐσθενείας τε καὶ θράσους, καὶ τῶν εἰς ἀλκὴν ἐννοιῶν καὶ ἐγχειρημάτων.

A tium, nobis prophetica sententia describit. Bello enim circumsistente, et ultima **250** calamitate, tam urbibus quam domibus invecta, illi in plateis et angiportis ejulantes discurrunt, quodcunque nimirum imbecillum est ac imbelle, veluti feminarum, et infantium genus, domi exsiliens, luctum edit et ejulatum, cum hostiles phalanges aspicit, cum jamjam affore cædem cogitant. Plorate, igitur, clamavit enim Esebon, et locuta est, donec exaudita est vox ejus. Urbes has narrant esse Moabitarum bellicosissimas. At tametsi, inquit, ita sint, tantum attamen luctum excitabunt, ut non obscure, non in abscondito plorent, imo ita ut percipi auribus vox possit, et clare ejulent, incolis suam fortitudinem solitam negligentibus, et ita contusis et accisis, ut prorsus nihil virium, nihil nervorum habeant, nihilque fortiter aut cogitent aut suscipiant.

Ἡ ὀσφὺς τῆς Μωαβίτιδος βοᾷ· ἡ ψυχὴ αὐτῆς γνώσεται, καὶ καρδία τῆς Μωαβίτιδος βοᾷ ἐν αὐτῇ, ἕως Σηγώρ· δάμαλις γάρ ἐστι τριέτης. Ἐπὶ δὲ τῆς ἀναβάσεως τῆς πρὸς σὲ, κλαίοντες ἀναβήσονται τῇ ὁδῷ Ἀρωνιείμ· βοᾷ σύντριμμα καὶ σεισμός.

VERS. 5. *Lumbus Moabitidis clamat : anima ejus cognoscet, et cor Moabitidis clamat in ipsa usque ad Segor : vitula enim est triennis. Super autem ascensum ad te flentes ascendent via Aroniim : clamat contritio, et concussio.*

Προσβάλλουσιν ἀεὶ τῶν ἀνηκέστων συμφορῶν δριμεῖαί τε λῦπαι, καὶ ἀθυμίαι παγχάλεποι, καὶ δειμάτων ἔφοδος, οὐκ ἀνικάνως ἔχουσα καὶ τὴν ἄγαν εὐτολμοτάτην καταθραῦσαι καρδίαν. Ἐντεῦθεν οἶμαί C τισι πρόσωπα μὲν γενέσθαι σκυθρωπὰ, καὶ οἷον ἐκ βάθους ἀναπηδῶντας στεναγμοὺς, καὶ τῆς ἔσω φλογὸς τὴν ζέσιν διερμηνεύοντα. Ἡ ὀσφὺς τοιγαροῦν τῆς Μωαβίτιδος βοᾷ· τοῦτ' ἔστιν, ἐν ὠδῖσίν ἐστιν, καὶ κεκρυμμένους ἔχει τοὺς πόνους, προκαταπτοουμένη δηλονότι ταῖς φήμαις, καὶ τὸν οὐδέπω παρεσόμενον ἐννοοῦσα πόλεμον. Ἔγνω γὰρ τοῦτο ἡ ψυχὴ αὐτῆς. Ταύτης τε ἕνεκα τῆς αἰτίας, ὀλοφύρεταί τε καὶ κέκραγεν ἐν αὐτῇ ἕως Σηγὼρ, τοῦτ' ἔστι, Μωαβῖτις ἅπασα χώρα, μέχρι καὶ αὐτῶν τερμάτων. Φασὶ γὰρ ἐπ' αὐτοῖς τοῖς ὅροις τῶν Μωαβιτῶν τεθεῖσθαι τὴν Σηγώρ. Τίνος οὖν ἕνεκα ταῦτα συμβήσεται παθεῖν αὐτήν; Δάμαλίς ἐστι τριέτης. Ὁ τρίτος ἐνιαυτὸς τοῖς ἀλόγοις τῶν ζώων ἀρκεῖ πρὸς ἀκμὴν, καὶ εἰς τὸ σφριγῶσαν αὐτοῖς ἐνεργήσασθαι δύναμιν. Τοιγάρτοι D καὶ τοῦ χρῆναι δαμάζεσθαι καιρὸς αὐτοῖς ἐκεῖνός ἐστιν. Ἕως τοίνυν ἐστὶν ἡ δάμαλις ἀπειρόζυγος, σφριγῶσά τε καὶ νέα, καὶ ἀρτιφυὲς ἐκφέρουσα κέρας, κατασκιρτῶσα τῶν αὐλῶν καὶ τῶν ἐπαύλεων κατορχεῖται πλειστάκις· τοιαύτη τις γέγονεν ἡ Μωαβιτῶν, ἐπιπηδῶσα τοῖς πέλας, καὶ κατασκιρτῶσα τῶν ἀσθενεστέρων. Ὑψηλὴν δὲ εἶναί φασιν αὐτὴν, καὶ λεωφόρον τινὰ τὴν Ἀρωνιεὶμ οὕτω κεκλημένην, ἀνακομίζειν τε εἰς αὐτὴν τοὺς ἐξ ἑτέρων ἥκοντας ἢ πόλεων ἢ χωρῶν. Ἐπ' αὐτῆς τοίνυν, φησὶ, τῆς ἀναβάσεως τῆς Ἀρωνιεὶμ, κλαίοντες ἀναβήσονται. Φωνὴ δὲ τοῖς κλαίουσι, σύντριμμα καὶ συσσεισμός. Προανακεκράγασι γὰρ τὰ ἐκ τοῦ πολέμου συμβησόμενα πάθη, μονονουχὶ συσσείοντος ἅπαντα, πόλεις τε καὶ οἴκους, καὶ τοὺς ἐν αὐτοῖς συντρίβοντος.

Immittunt se et ingerunt semper ante incurabiles calamitates, diri cruciatus et exanimationes acerrimæ, pavorumque incursio, quæ satis est ad animum fidentissimum labefactandum. Hinc fit, arbitror, ut quibusdam facies tetricæ sint, et suspiria veluti ex profundo trahantur, internæ flammæ fervorem exprimentia. Clamat igitur lumbus Moabitidis, id est, in doloribus est, labores angoresque habens intestinos rumoribus ante perculsus, bellumque nondum intentatum persentiscens. Cognovit enim hoc anima ejus. Hanc ob causam lamentabatur et clamabat in se usque ad Segor, nimirum tota regio Moabitica, et usque ad ipsos terminos. Narrant videlicet in ipsis finibus Moabitarum sitam esse Segor. Cujus igitur rei gratia hæc ei accident? Vitula est triennis. Tertius annus animantibus ratione carentibus, ad ætatis florem, et ad maturas vires efficiendas sufficit. Itaque et eo tempore domari debent. Quandiu ergo vitula est jugi inexperta, lasciviens et juvencula, et tenerum ac novum cornu proferens, exsultans ex septis et vestibulis ac stabulis, saltitat **251** identidem. Talis exstitit Moabitis, insultans vicinis, et in infirmiores insiliens. Excelsam autem dicunt esse, et popularem Aroniim ut vocatur, recipereque quotquot ad eam ex aliis seu urbibus, seu regionibus ventitant. Igitur, ait, ex ascensu Aroniim flentes ascendent. Vox autem flentium est, contritio et concussio. Siquidem clamarunt ob acerbitates eventuras ex bello, quod scilicet omnes tam urbes, quam domos concutit, et qui in iis sunt conterit.

Τὸ ὕδωρ τῆς Νεβρεὶμ ἔρημον ἔσται, καὶ ὁ χόρ-

VERS. 6. *Aqua Nemrim deserta erit, et herba ejus*

deficiet : herba enim viridis non erit ; nunquid et sic debet servari?

Urbem Nebrim [al. *Nemrim*] positam esse aiunt in extrema ora regionis, mari Rubro vicinam, adeoque aquosam et feracem, ut equis multis abundare possit, ideoque esse etiam pugnacissimos homines, habereque equitatum bellandi peritum. Ex divina ergo, inquit, ira, ex hostium impressione, destituta erit aquis, viridique herba. Quo sane facto, jacebit omnino rei militaris scientia, sublatis ante equis, ac inedia intereuntibus. At si hoc, inquit, fiat, num igitur alte de se ac tam magnifice sentiet? Num si hoc contigerit, servabitur, et inimicorum manus effugiet? Fracta enim et exstincta eorum potentia, quæ demum erit spes salutis?

VERS. 7-9. *Inducam enim in vallem Arabes, et capient eam. Pertigit enim clamor ad terminum Moabitidis Agallim; et ejulatio ejus usque ad puteum Elim. Aqua Rhembon* [al. *Dimon*] *replebitur sanguine. Inducam enim super Rhembon Arabes. Et tollam semen Moab et Ariel. Et residuum Adama mittam tanquam reptilia super terram.*

Partes Damascenorum ad Austrum maxime vergentes, innumerabilia genera eorum qui Saraceni vocantur, incolere dicunt, et ad Persiam usque porrigi. Hi arma contulerunt, copiasque junxerunt cum Babyloniis, et populati sunt Moabitidem : sequebantur quippe et ipsi, licet ex ea gente essent, Moabitarumque vicini. Vocati sunt enim hi quoque Arabes. Capiendum itaque dicit Neurim : Inducam enim super vallem Arabes, et capient **252** eam. Vallem, ut videtur, Neurim nominat, quippe quæ in concavo loco sita sit, nimirum cum aliæ urbes in altum evectæ, et in montibus positæ sint. Quoniam vero non pars Moabitarum bello attrita est, sed tota omnino ac in totum conquassata est, et in morem ebrii jactata; ideo inquit a finibus ad fines perventurum clamorem, ululantium videlicet et eorum, qui casum pereuntium soliti sunt deplorare. Pertigit enim clamor, inquit, terminum Moabitidis, Agallim, et ejulatio ejus usque ad puteum Elim. Extimas autem urbes, et in ipsis locatas terminis nominat: Agallim, inquam, et puteum Elim. Cumque lamentum per omnes provincias tollendum asseverasset, uti dicebam, inde ait : Aqua Rhembon implebitur sanguine. Maxime autem irriguam Rhembon esse perhibent. Sed replebitur sanguine, inquit, hoc scilicet dicens, quod sanguis belli tempore occumbentium, cum largitate et copia aquarum contendet, et rubefacti apparebunt fluvii, diffunditurque aqua terræ, non jam pura, non aquæ speciem habens, sed diversi coloris, et sanguinea. Capiendamque eam ait ab Arabibus, ut totum semen Moab, et Ariel, tollatur, id est, perdatur et conficiatur. Et residuum mittam, inquit, velut reptilia super terram. Qui enim sunt acres et acerbi,

A *τος αὐτῆς ἐκλείψει· χόρτος γὰρ χλωρὸς οὐκ ἔσται, μὴ καὶ οὕτως μέλλει σωθῆναι;*

Πόλιν εἶναί φασι τὴν Νεβρεὶμ κειμένην μὲν ἐν ἐσχατιαῖς τῆς χώρας, γειτνιῶσαν θαλάσσῃ τῇ Ἐρυθρᾷ εὔυδρον δὲ οὕτως καὶ εὔβοτον, ὡς καὶ ἵππον δύνασθαι κεκτῆσθαι πολλὴν τοὺς ἐν αὐτῇ· ταύτῃ τοι καὶ εἶναι μαχιμωτάτους, ἔχειν τε τὴν ἵππον ἐμπειροπόλεμον. Ἐκ θείας τοίνυν, φησὶν, ὀργῆς, ἐκ τῆς τῶν πολεμίων ἐφόδου, ἔρημος ἔσται καὶ ὑδάτων καὶ χόρτου χλωροῦ. Οὗ δὴ γεγονότος, ἀτονήσει πάντως ἡ τῶν τακτικῶν ἐμπειρία προανῃρημένων τῶν ἵππων, καὶ διολωλότων ὑπὸ λιμοῦ. Ἀλλ' εἰ τοῦτο γένοιτο, φησὶ, μὴ ἄρα φρονήσει μέγα καὶ οὕτως ἐφ' ἑαυτῆς; μὴ τούτου συμβεβηκότος μέλλει σωθῆναι, καὶ τὰς τῶν πολεμίων διαδράναι χεῖρας; προανῃρημένης γὰρ
B αὐτῶν τῆς ἰσχύος, ποία τις ἔσται λοιπὸν ἡ τῆς σωτηρίας ἐλπίς;

Ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα Ἄραβας, καὶ λήψονται αὐτήν. Συνῆψε ἡ βοὴ τὸ ὅριον τῆς Μωαβίτιδος τῆς Ἀγαλλεὶμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ Ἐλεὶμ. Τὸ δὲ ὕδωρ τὸ Ῥεμμὼρ πλησθήσεται αἵματος· ἐπάξω γὰρ ἐπὶ Ῥεμμὼρ Ἄραβας. Καὶ ἀρῶ τὸ σπέρμα Μωὰβ, καὶ Ἀριὴλ, καὶ τὸ κατάλοιπον Ἄδαμα ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τῆς γῆς.

Τὰ νοτιώτατα μέρη τῶν Δαμασκηνῶν κατανέμεσθαί φασι τὰ τῶν καλουμένων Σαρακηνῶν ἀναρίθμητα γένη, καὶ μέχρι αὐτῆς παρατείνοντα τῆς Περσῶν. Αὐτοὶ συνωπλίζοντο τοῖς Βαβυλωνίοις, καὶ
C κατεδῄουν τὴν Μωαβιτῶν· εἵποντο γὰρ καὶ αὐτοὶ καίτοι τάχα που καὶ γένος ὄντες, καὶ γείτονες τῇ Μωαβιτῶν. Κέκληντο γὰρ καὶ Ἄραβες καὶ αὐτοί. Ληφθήσεσθαι τοίνυν φησὶ τὴν Νεβρεὶμ· Ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα. Ἄραβας, καὶ λήψονται αὐτήν. Φάραγγα, δὲ κατὰ τὸ εἰκὸς, ὀνομάζει τὴν Νεβρεὶμ, διὰ τὸ ἐν κοίλῳ κεῖσθαι τόπῳ. Καίτοι τῶν ἑτέρων πόλεων ἠρμένων ὕψου, καὶ ἐν ὄρεσιν οὐσῶν. Ἐπειδὴ δὲ οὐ μέρος ἦν τῆς Μωαβιτῶν τὸ τῷ πολέμῳ συντετριμμένον, ἀλλ' ὅλη δι' ὅλου κατεδονήθη τε καὶ σεσάλευται μεθύοντος δίκην· ταύτῃ τοι φησὶν ἐκ περάτων εἰς πέρατα συναφθήσεσθαι τὴν βοὴν, τῶν ὀλολυζόντων δηλονότι, καὶ τὸν τοῖς ἀπολεῖσθαι μέλλουσι θρῆνον ἐκμελετᾷν εἰωθότων. Συνῆψε γὰρ ἡ βοὴ τὸ ὅριον τῆς Μωαβίτιδος, φησὶ, τῆς Ἀγαλλεὶμ, καὶ ὀλο-
D λυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ Ἐλείμ. Τὰς δὲ ἔξω πόλεις, καὶ ἐπ' αὐτοῖς τοῖς τέρμασι κειμένας ὀνομάζει, τήν τε Ἀγαλλεὶμ φημι, καὶ τὸ φρέαρ τοῦ Ἐλείμ. Τεθεῖσθαι δὲ τὸν θρῆνον εἰς πᾶσαν αὐτῶν τὴν χώραν διαβεβαιούμενος, ὡς ἔφην, εἶτά φησιν, ὅτι Τὸ ὕδωρ τὸ Ῥεμμὼν πλησθήσεται αἵματος. Ἐνυδροτάτην δὲ εἶναι λόγος τὴν Ῥεμμών. Ἀλλὰ πλησθήσεται, φησὶν, αἵματος, ἐκεῖνό που λέγων, ὅτι ταῖς τῶν ὑδάτων δαψιλείαις φιλονεικήσει κατὰ τὸν τοῦ πολέμου καιρὸν τῶν πιπτόντων τὸ αἷμα· καὶ πεφοινιγμένοι μὲν ὀφθήσονται ποταμοὶ, κατασκεδασθήσεται δὲ τῆς γῆς τὸ ὕδωρ, οὐκέτι καθαρὸν, οὔτε μὴν ὕδατος ὄψιν ἔχον, ἀλλ' ἑτερόχρουν καὶ αἱματοειδές. Ληφθήσεσθαι δὲ καὶ αὐτὴν ἐξ Ἀράβων φησὶν, ὥστε ἅπαν μὲν σπέρμα Μωὰβ, καὶ Ἀριὴλ ἐξαρθῆναι,

τοῦτ' ἔστιν, ἀπολέσθαι τε καὶ δαπανηθῆναι. Τό γε A μὴν ὑπολελειμμένον ἀποστελῶ, φησὶν, ὡς ἑρπετὰ ἐπὶ τῆς γῆς. Πικροὶ γὰρ ὄντες ἀεὶ βαδιοῦνται πρὸς αἰχμαλωσίαν, καθάπερ τινὲς ὄφεις ταῖς τινῶν ἐπῳδαῖς γεγοητευμένοι, καὶ οἷον ἀπονυστάξαντες, εἰς τὸ ἀσυνήθως ἥμερον. Τὸ γάρτοι λέγειν Ἀποστελῶ, τὸ ἐκπέμψαι δηλοῖ. Ἔθος γὰρ τοῖς ἑλοῦσι χώραν ἢ πόλιν, οὐχὶ πάντας ἄρδην ἀπολύειν ἔσθ' ὅτε, δεδαπανημένης δὲ τῆς μαχιμωτάτης πληθύος, ἐν δορυλήπτων ποιεῖσθαι τάξει τοὺς περιλελειμμένους. Εἰ δὲ χρή τινα καὶ ταῖς ἱστορίαις ἐφαρμόσαι λόγον ἀναγκαῖον, ἰστέον, ὅτι ψυχὴ μὲν τῷ θείῳ φόβῳ τετειχισμένη, ἰσχυρά τέ ἐστι καὶ δυσάλωτος, καὶ τῆς τῶν μαχομένων αὐτῇ κατευμεγεθοῦσα χειρός. Νικᾷ γὰρ ἀρχάς τε καὶ ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, τὰ B πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Εἰ δὲ δὴ παρατρέποιτο πρὸς ἃ μὴ προσῆκεν, ἔξω τε τῆς εὐθείας φέροιτο τρίβου, καὶ τὸ Θεῷ δοκοῦν παρατρέχουσα, πρὸς τὰ ἐν τῷδε τῷ κόσμῳ καταφέροιτο πάθη, καὶ τὸν τῆς εὐπειθείας ἀποσείσαιτο ζυγὸν, ἀγυμνοῖ πάσης αὐτὴν ἐπικουρίας, καὶ οἷον ἀτείχιστον αὐτὴν ἀποφαίνει, καὶ ἀνασφαλεῖ τοῖς πολεμοῦσιν ἐργάζεται, καταλεαίνει τε τὰς ἐφόδους τὰς ἐπ' αὐτῇ τοῖς πάθεσιν, ὡς κατὰ μηδένα τρόπον ἰσχῦσαι διαφυγεῖν. Οὕτω παραδίδονται μὲν εἰς ἀδόκιμον νοῦν, καὶ γεγόνασιν εὐάλωτοι ταῖς ἐκτόποις ἐπιθυμίαις, σώζει δὲ αὐτὰς οὐδὲν, ἀλλ' εἰσὶν ὑπὸ πόδας ἐχθρῶν, ἀνάνδρως διεῤῥιμμέναι. Ἐὰν μὲν γὰρ κλείσῃ κατὰ τοὺς ἀνθρώπους, φησὶν, ὁ τῶν ὅλων Θεὸς, τίς ἀνοίξει, καὶ τὴν παναλκῆ τοῦ παραδεδωκότος πλεονεκτήσει δεξιάν; C Μένωμεν τοίνυν ἐν τῷ θείῳ φόβῳ. Κερδανοῦμεν γὰρ οὕτω τῆς ἄνωθεν εὐμενείας τὴν χάριν· καὶ κατανεανιευσόμεθα πνευματικῶς, καὶ ἁμαρτίας, καὶ παθῶν, καὶ τῆς τοῦ διαβόλου πλεονεξίας ὀλίγα κομιδῇ φροντίζοντες, πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως καταντήσομεν, τὴν εὐκλεᾶ καὶ δοκιμωτάτην κατορθοῦντες ζωήν.

Μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος Σιών; Ἔσῃ γὰρ ὡς πτηνοῦ ἀνιπταμένου νεοσσὸς ἀφῃρημένος, θυγάτηρ Μωάβ.

Κατεστράτευσε τῆς Σαμαρείας κατὰ καιροὺς Σαλμανασὰρ ὁ Ἀσσύριος, εἷλέν τε τὰς ἐν αὐτῇ πόλεις· καὶ προσέτι τῶν τῆς Ἰουδαίας προσηδίκησε πολλὰς, καὶ δορύληπτον ἀπεκόμισε πληθὺν εἰς τὴν ἑαυτοῦ. Ταύτης τε ἕνεκα τῆς αἰτίας, ἐπετώθαζον τῇ Σιὼν D ἤτοι τῇ Ἱερουσαλὴμ, τὰ Μωαβιτῶν ἔθνη, καὶ πέτραν αὐτὴν ἠρημωμένην ὠνόμαζον, οὐκ αὐτῆς που τάχα καταμειδιῶντες οἱ τάλανες, ἀλλὰ τοῦ ἐπὶ πάντας Θεοῦ· καὶ γοῦν καὶ ἔφασκον τὴν σώζουσαν αὐτοὺς ἀτονῆσαι χεῖρα, ταύτης τε ἕνεκα τῆς αἰτίας ὑπὸ πόδας ἐλθεῖν τῶν ἐχθρῶν. Ὦ τοίνυν θυγάτηρ Μωάβ, φησὶν, ἐνήθει δὲ πάντως ὁ λόγος, μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος Σιών; Ἆρα μόνη, φησὶ, κέκμηκεν ἡ Σιών; ἆρα μόνη πέπτωκεν ὑπὸ πόδας ἐχθρῶν; καὶ τὴν τῶν ἐνοικούντων αὐτὴν νενόσηκεν ἐρημίαν; ἢ τοῖς ἔτι χείροσιν αὐτῆς περιπέπτωκας; Ληφθήσῃ γὰρ παρ' ἐχθρῶν, καὶ οἷον ἐκ καλιᾶς νεοσσὸς ἀφῃρη-

semper ibunt in captivitatem, velut serpentes quidam aliquorum incantationibus præstigiisque fascinati, et præter solitum mansueti, conniventes. Dicendo enim, Mittam, amandare denotat. In more enim est his qui ceperunt regionem, vel civitatem, quandoque omnes delere funditus, sed multitudine pugnacissima consumpta, reliquos in classe numeroque captivorum ponere. Si vero historiis alium quempiam sermonem necessarium inserere liceat: tenendum est, animam Dei timore, velut muro obseptam, fortem esse et quodammodo invictam, et manum eorum, qui cum ipsa pugnant, superare. Vincit enim principatus, et potestates, mundi dominos, rectores harum tenebrarum, spiritualia nequitiæ in supercœlestibus. Sin divertat ad ea quæ non convenit, et extra rectum callem feratur, et Dei placita præteriens ac prætercurrens, ad mundanas cupiditates devolvatur, atque jugum obedientiæ respuat: omni eam denudat **253** subsidio, et velut sine maceria patentem efficit, hostibusque reddit incustoditam, viam præstruit et complanat assultibus cupiditatum contra eam, ita ut nullo modo possit effugere. Sic traduntur quidam in reprobam mentem, fiuntque expugnabiles, expositique monstrosis cupiditatibus, nec quidquam defendit eos, sed pedibus inimicorum projecti sunt ignaviter. Si enim, inquit, clauserit contra hominem universitatis Deus, quis aperiet [26]? et præpotentem tradentis dexteram quis superabit? Permaneamus itaque in timore Dei. Sic enim supernæ misericordiæ gratiam lucrifaciemus, peccatum ac cupiditates spiritualiter tanquam juvenes vincemus, et diaboli tyrannidem parvi admodum ducentes, laudatam et probatissimam vitam recte instituentes, ad præmium supernæ vocationis perveniemus.

CAP. XVI. VERS. 1, 2. *Num petra deserta est mons Sion? Eris enim veluti avis volantis pullus ablatus, filia Moab.*

Oppugnavit Samariam capta opportunitate Salmanasarus Assyrius, cepitque ejus civitates, porro etiam Judææ multas male tractavit, et captivam multitudinem in suam regionem abduxit. Hanc ob causam illuserunt Sioni seu Jerusalem gentes Moabitarum, et petram desertam eam appellarunt: non tam irridentes eam miseri homines, quam eum qui est super omnes Deus, quippe dictitantes ejus manum opitulatricem elanguescere, et hanc ob rem etiam sub pedes venire hostium. O igitur filia Moab, inquit: usitata quidem est semper hæc oratio: num petra deserta est mons Sion? An, inquit, sola laboravit ac succubuit Sion; an sola corruit sub pedibus inimicorum? Et inopia incolarum afflictatur? Vel tu in deteriora quam ea sit, incidisti? capieris enim ab hostibus, et tanquam e nido pullus ereptus in alienam migrabis regionem, et inimicis

[26] Job XII, 14.

servies; erisque apud illos captiva, miserabilis et profligata, et servituti subjecta. Utile igitur et necessarium præceptum illud : « Si ceciderit inimicus tuus, ne gaudeas super eum, quia videbit Dominus, et non placebit ei, et avertet furorem suum ab ipso [37]. » Non enim convenit alienis lætari calamitatibus, nec id quod vicino accidit, nostræ voluptatis occasionem ansamque facere : at si quis forte sit mœrore confectus, **254** condolere illi potius, et ad nostra peccata oculo intento, multum reformidare. ne et in nos cædentis ira deveniat.

VERS. 3, 4. *Deinde vero, Arnon, plura consule, et fac tegmen planctus ipsi semper : in meridianis tenebris fugitant, obstupuerunt. Non ab initio habitabunt* (1) *apud te fugitivi Moab. Erunt tegumenta vobis a facie persequentis, quia sublatum est auxilium tuum, et princeps periit conculcans super terra.*

Ad interpretandum difficilis est mens horum verborum, propter personarum in personas transitiones, et compositionis asperitatem, nec omnium intelligentiæ obviam. Verumtamen quoad potero, enitar explicare. Deleta itaque tota Moabitide, eversis urbibus, incensis domibus, et prorsus rabiose sævientibus Babyloniis, qui elabi poterant, Arnon se receperunt. Urbs autem hæc munitissima est, et Moabitidi contermina. Habetur igitur ad eam sermo. Tu autem, inquit, posthac, o Arnon, plura consule. Observa, inquit, quo pacto servare poteris superstites, eosque qui immanitatem vastatorum potuerunt evadere. Fac etiam tegmen planctus ipsi semper. Et fac, inquit, comminiscere aliquid humanum, latebra esto intolerabili luctu confectis. Fugitant enim in meridianis tenebris, id est, cum dies est, et sol in meridie lucet, ipsi mentis caliginem circumferunt. Satis est enim ad turbandum animum mortis metus : et summæ desperationis assultum tanquam noctem quamdam mentis offundit. Hinc etiam ait : Et obstupuerunt. Nam belli terroribus perculsi, tantum non mente sensuque privati sunt. At si acceperis, inquit, Moabitas, scito tamen planissime, quod servasti non omnes, sed exiguas tantum et paucas eorum qui exstincti sunt reliquias. Hoc puto ostendere velle, cum dicit : Non a principio habitabunt juxta te fugitivi Moab. Non, cum primum movebatur bellum, inquit, suscepisti profugos : nonne admodum pauci et rari qui effugere potuerunt? Itaque producta sunt ad finem ea quæ a Deo contra Moabitas dicta sunt. Periit enim, licet exigua et vix quidem conservatæ sunt reliquiæ. Sed, o, inquit, Arnon, suscepisti Moabitas, **255** sperans fortassis eos quoque olim fore latibulum vobis a facie persequentis. Erit autem hoc minime. Unde?

[37] Prov. XXIV, 17, 18.

(1) Sec. Sept. ἀχθῇς, *ne ducaris, habitabunt*, etc.

A μένος, εἰς ἑτέραν οἰχήσῃ χώραν, καὶ δουλεύσεις ἐχθροῖς, ἔσῃ τε παρ' αὐτοῖς αἰχμάλωτος οἰκτρὰ, καὶ κατερῤῥιμμένη, καὶ ὑπὸ ζυγὰ δουλείας. Χρήσιμον οὖν ἄρα καὶ ἀναγκαῖον παράγγελμα τό· « Ἂν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχάρῃς αὐτῷ, ὅτι ὄψεται Κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ· καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ. » Οὐ γάρ τοι προσήκει ταῖς ἑτέρων ἐπιγάννυσθαι συμφοραῖς, οὐδὲ θυμηδείας ποιεῖσθαι πρόφασιν τὸ τῷ πέλας συμβεβηκὸς, κἂν εἴ τις εἴη τυχὸν τῶν καταλυπεῖν εἰωθότων, ἐπιστυγνάζειν δὲ μᾶλλον αὐτῷ, καὶ τοῖς ἰδίοις πταίσμασιν ἐνιέντας τὸν ὀφθαλμὸν, δεδιέναι σφόδρα, μή ἄρα πως καὶ ἐφ' ἡμᾶς ὁ τοῦ καταπαίοντος ἐπέλθοι θυμός.

Ἔπειτα δὲ, Ἀρνῶν, πλείονα βουλεύου, ποίει τε σκέπην πένθους αὐτῇ διὰ παντός· ἐν μεσημβρινῇ
B *σκοτίᾳ φεύγουσιν, ἐξέστησαν. Μὴ ἀπαρχῆς παροικήσουσιν οἱ φυγάδες Μωάβ· ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος, ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς.*

Δυσερμήνευτος κομιδῇ τῶν προκειμένων ὁ νοῦς, διά τοι τάς τε τῶν προσώπων εἰς πρόσωπα μεταβάσεις, καὶ τὸ τῆς συνθήκης τραχὺ καὶ οὐ βάσιμον νῷ παντί. Πλὴν ὡς ἂν οἷός τε ὦ, πειράσομαι διειπεῖν. Πεπορθημένης τοίνυν ἁπάσης τῆς Μωαβιτῶν, πόλεών τε κατηρειπομένων, καὶ οἴκων ἐμπεπρησμένων, καὶ ἁπαξαπλῶς ἐκλελυττηκότων ἀγρίως τῶν Βαβυλωνίων, οἱ διαφυγεῖν ἰσχύσαντες μετῴκησαν εἰς τὴν Ἀρνῶν. Πόλις δὲ αὕτη τῶν ὀχυροτάτων, ὅμορός που
C τάχα τῇ Μωαβιτῶν. Ἔστι τοίνυν πρὸς αὐτὴν ὁ λόγος. Σὺ δὲ, φησὶ, μετὰ τοῦτο, ὦ Ἀρνῶν, πλείονα βουλεύου. Κατασκέπτου, φησὶ, τίνα τρόπον διασῶσαι δυνήσῃ τοὺς περιλελειμμένους καὶ διαφυγεῖν ἰσχύσαντας τῶν πεπορθηκότων τὴν ἀγριότητα. Ποίει τε σκέπην πένθους αὐτῇ διὰ παντός. Ναὶ, φησὶν, ἐσκέψω τι φιλάνθρωπον, σκέπη γένου τοῖς ἀφορήτῳ πένθει κατειλημμένοις. Φεύγουσι γὰρ ἐν μεσημβρινῇ σκοτίᾳ, τοῦτ' ἔστιν, ἡμέρας οὔσης, καὶ ἡλίου μεσημβρίζοντος αὐταῖς σκοτιὰν ἔχουσι κατὰ νοῦν. Ἱκανὸς γὰρ λίαν ὁ τοῦ θανάτου φόβος καταθολῶσαι ψυχὴν, καὶ οἷόν τινα νύκτα καταχέαι τοῦ νοῦ τῆς εἰς ἄκρου δυσθυμίας τὴν ἔφοδον. Ταύτῃ τοί φησιν, ὅτι Καὶ ἐξέστησαν. Μόνον γὰρ οὐχὶ καὶ τοῦ φοβεῖν ἔξω γεγόνασιν, τοῖς ἐκ τοῦ πολέμου καταπτοούμενοι δείμασιν. Ἀλλ'
D εἰ καὶ δέξαιο, φησὶ, τοὺς ἀπό γε τῆς Μωαβιτῶν, ἀλλ' οὖν ἴσθι τοι καὶ μάλα σαφῶς, ὅτι σέσωκας οὐ πάντας, ἀλλὰ βραχὺ καὶ εὐαρίθμητον τῶν ἀπολωλότων λείψανον. Τοῦτο οἶμαι δηλοῦν ἐθέλειν λέγοντα· Μὴ ἀπαρχῆς παροικήσουσιν οἱ φυγάδες Μωάβ. Μὴ ἐν ἀρχαῖς ὄντος τοῦ πολέμου, φησὶν, ὑπεδέξω τοὺς φυγάδας· οὐκ εὐαρίθμητοι κομιδῇ καὶ ὀλίγοι παντελῶς οἱ διαφυγεῖν ἰσχύσαντες; Οὐκοῦν εἰς πέρας ἐνήνεκται τὰ εἰρημένα παρὰ Θεοῦ κατὰ Μωαβιτῶν. Ἀπόλωλε γὰρ εἰ καὶ βραχὺ, καὶ μόλις διασέσωσται λείψανον. Ἀλλ', ὦ, φησὶν, Ἀρνῶν, ὑπεδέξω τοὺς ἐκ

τῆς Μωαβιτῶν, προσδοκήσασα τάχα που, ὅτι καὶ αὐτοὶ κατὰ καιροὺς ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος. Ἔσται δὲ οὐχὶ τοῦτο. Πόθεν; Ἤρθη γὰρ ἡ συμμαχία σου· καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς. Ὁ γὰρ ἀεί σοι συνασπίσας, φησὶ, τῆς Μωαβιτῶν ἡγούμενος, ὁ δεινὸς καὶ ὑπέροπτος, καὶ ὥσπερ τινὰ χοῦν καταπατεῖν εἰωθὼς τοὺς ἀνθεστηκότας, ᾤχετο καὶ ἀπόλωλεν. Ἤρθη γὰρ, καὶ ἐκ μέσου γέγονεν. Διδάσκει δὲ διὰ τούτων, ὅτι προσανῄρηται τοῖς Μωαβίταις, καὶ ἡ τοῦ δύνασθαί ποτε κρατῆσαι πάλιν αὐτοὺς ἐλπίς. Οἱ γὰρ ἀσεβεῖς ἐκ γῆς ὁλόῤῥιζοι, φησὶν, ὀλοῦνται· θείου δὲ ὅλως ἐπιπηδῶντος θυμοῦ, ποῖον ἔσται τῶν πεπονθότων λείψανον; Ἢ τίς ὁ ἀναστῆσαι δυνάμενος, Θεοῦ καταστρέψοντος;

A Sublatum est enim auxilium tuum, et princeps periit conculcans super terram. Qui enim, inquit, suppetias tibi semper tulit, Moabiticæ terræ præfectus, acer et elatus, qui tanquam pulverem calcare solitus est eos qui rebellarunt, periit et interiit. Exterminatus est enim et sublatus e medio. Docet enim hisce, quod etiam sit ablata et præcisa Moabitis spes posse aliquando rursus superiores obtinere. Impii enim, inquit, radicitus de terra perdentur; divina autem ira omnino insiliente, cujusmodi erunt, eorum qui afflicti sunt reliquiæ? Vel quis restaurare potest, subvertente Deo?

Καὶ διορθωθήσεται μετ' ἐλέους θρόνος, καὶ καθιεῖται ἐπ' αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ Δαβὶδ, κρίνων καὶ ἐκζητῶν κρίμα, καὶ σπεύδων δικαιοσύνην.

Ἐν τούτοις σαφῶς ἐπαγγέλλεται τὸ ἀπαλλαχθήσεσθαι κατὰ καιροὺς τὸν Ἰσραὴλ, τῆς ἀφορήτου ταλαιπωρίας, καὶ τῶν ἐκ τῆς αἰχμαλωσίας κακῶν. Κύρου γὰρ ἑλόντος τὴν Βαβυλωνίων ἀνέθη μὲν ὁ Ἰσραὴλ, ἀνεκομίσθη δὲ κατοικτείροντος Θεοῦ εἰς τὴν ἁγίαν πόλιν, ἡγουμένων Ζωροβάβελ τοῦ Σαλαθιὴλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα καὶ Δαβὶδ, καὶ μέν τοι καὶ Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου. Ὁ τοίνυν θρόνος, φησὶ, τοῦτ' ἔστιν, ἡ παρὰ τοῖς Ἰουδαίοις βασιλεία, διορθωθήσεται μετὰ ἐλέους, τοῦτ' ἔστιν, εἰς τὴν οἰκείαν ἐπανήξει τάξιν, κατοικτείροντος Θεοῦ. Καθιεῖται δὲ πάλιν ἐπ' αὐτοῦ μετ' ἀληθείας ἐν σκηνῇ Δαβὶδ, κρίνων καὶ ἐπιζητῶν κρῖμα. Καὶ σκηνὴν, ὡς ἔοικεν, ὀνομάζει τὰ βασίλεια, ἐν οἷς ποιούμενοι τὰς διατριβὰς ἐδίκαζον, ἐννόμως αὐτοὺς τοὺς τῆς βασιλείας διέποντας θάκους. Καὶ τό γε ἧκον εἰς τὸ Θεῷ δοκοῦν, ἐπιμεληταὶ δικαιοσύνης γεγόνασιν, εἰ καὶ τῆς ἀρετῆς διημαρτήκασί τινες, ἀπονενευκότες ἐπὶ τὰ χείρω. Ἰστέον δὲ ὅτι μετὰ τὴν ἐκ τῆς Βαβυλῶνος ἐπάνοδον, οὐκέτι διῃρημένως κατῳκήκασιν οἱ ἐξ Ἰσραὴλ, ὡς εἶναι μὲν ἐν τῇ Σαμαρείᾳ τὰς δέκα φυλὰς, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραῒμ, βασιλεύοντος ἐπ' αὐτοῖς τινος, ἐν δὲ τοῖς Ἱεροσολύμοις τὴν Ἰούδα φυλὴν, καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ, πάλιν ἑτέρου καὶ ἰδικῶς βασιλεύοντός τινος ἐπ' αὐτῶν, ἀλλ' εἰς μίαν συνενεχθέντες διάνοιαν, κατῳκήκασιν ὁμοῦ τὰ Ἱεροσόλυμα, ἕνα λοιπὸν χρίοντες βασιλέα. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς προφήτου περὶ αὐτῶν εἰρημένον· Καὶ ἀναβήσονται ἐκ τῆς γῆς, καὶ κοπάσουσι μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντα. Πλὴν ὑπισχνεῖται Θεὸς τοῦ παρὰ τοῖς Ἰουδαίοις θρόνου τὴν ἐπανόρθωσιν, μονονουχὶ κατονειδίζων τὴν Μωάβ. Πεφλυάρηκε μὲν λέγουσα, ὅτι Πέτρα ἔρημός ἐστι τὸ ὄρος Σιών. Ἀλλά σοι μὲν, φησὶ, τοῦτο κἀκεῖνο συμβήσεται πλατὺ γελώσῃ κατὰ τῶν ἐξ Ἰσραήλ. Τοὺς δὲ πάντῃ τε καὶ πάντως ἐλεήσει Θεὸς, καὶ ἀνήσει μὲν τῶν συμβεβηκότων· ἀποκαταστήσει δὲ πρὸς τὸ ἐν ἀρχαῖς τὴν παρ' αὐτοῖς βασιλείαν ἐπανορθῶσαι.

B Vers. 5. *Et dirigetur cum misericordia solium, et sedebit in eo cum veritate in tabernaculo Davidis judicans et exquirens judicium, et accelerans justitiam*

In istis verbis aperte promittitur, Israelem suis temporibus a non ferenda infelicitate malisque quibus in captivitate oppressus erat, esse liberandum. Cum enim Cyrus Babyloniam cepisset, liberatus est Israel reductusque est Deo commiserante in sanctam civitatem, ducibus Zorobabelo filio Salathiel, qui erat ex tribu Juda et David, et Jesu filio Josedech magno sacerdote. Solium igitur, inquit, id est, Judaicum regnum instaurabitur cum misericordia, id est, in suum quasi proprium statum ac dignitatem restituetur miserante C Deo: et residebit denuo in eo cum veritate, et in tabernaculo David, judicans et vestigans judicium. Et tabernaculum ut videtur nominat basilicas seu regias, in quibus commorabantur judicantes legitime eos qui sedem regni administrabant. Et quod ad Dei voluntatem attinet, justitiæ cultores exstiterunt etiamsi a virtute aberraverint quidam, ad deteriora declinantes. Sciendum autem est post reditum e Babylone, non jam divisim habitasse Israelitas, ut Samariæ decem tribus et dimidia tribus Ephraim essent, imperitante illis uno, Hierosolymis autem tribus Juda, et dimidium tribus Manassis, rursus privatim regnante altero: sed in unam mentem conflati ac conspirantes, incolebant simul Hierosolyma, unum porro regem inungentes. Hoc erat D videlicet **256** voce prophetæ de illis dictum: Et ascendent de terra, et laborabunt paululum, ungendo regem et principem. Verum pollicitus est Deus Judaici throni instaurationem, tantum non probra in Moab jaciens. Scommata enim illa torsit, dicens: Petra deserta est mons Sion. Imo tibi, inquit ille, istud continget, quæ hianti ac largo ore rides Israelitas: horum vero prorsus penitusque miserebitur Deus, et ex his quæ acciderunt recreabit ac relaxabit, et in antiquam conditionem rediget, regnum eorum reformando.

Ἠκούσαμεν τὴν ὕβριν Μωὰβ, ὑβριστὴς σφόδρα.

Προαναφωνήσας εὖ μάλα τὴν ἐκ τῆς αἰχμαλωσίας

Vers. 6. *Audivimus superbiam Moab, valde contumeliosus est.*

Cum declaraverit superius reditum Israelitarum

e captivitate, juxta prius expositam rationem, et quod iterum ad veterem formam principatus, nimirum regni ipsorum, futura sit reditio, recipit se de integro ad Moab, ad eosque sermonem transfert. Dictum est autem velut ex persona sanctorum prophetarum illud: Audivimus insolentiam Moab, valde insolens est. Collaudant enim per hæc veluti in judicio punientem Deum, debitumque ac dignum illis inferentem supplicium. Audisse se dicunt insolentiam Moab, primum illam vetustissimam historiam non ignorantes, quam divinus Moses exponit. Ut enim supra diximus, conduxit Balaamum Balachus, Ades, inquiens, exsecrare mihi Israelem, et præterea quamplurima facta sunt, olim ex fastu ac superbia Moabitarum, cum divina majestate pugnantia.

Superbiam sustuli.

Sanctis prophetis disertissime confitentibus audivisse se insolentiam Moabitidis, et scire se valde insolentem ipsum esse, ex adverso respondet Deus, et ait: Superbiam sustuli, hoc est, non quidem simpliciter fastuosam Moab, sed veluti reipsa fastum et ipsam insolentiam e medio tollendam curavi. Bellum enim gero cum superbis, et pugno cum his qui de se modeste sentire nolunt, imo frustra intumescunt, et alte tollunt supercilium, suæque naturæ ignorant imbecillitatem. Scriptum est autem [28.29], quod Dominus superbis resistit. Deinde docens quod juste puniat, et simpliciter pœnas non abs re inducat, accusationem intendit contra Moab, superbia veluti morbo intolerabiliter laborantem.

257 *Non sic divinatio tua, non sic.*

Sustuli, inquit, igitur ego superbiam, hoc est, excidi Moab, sed hæc tibi non prænuntiarunt vaticinia tua. Annuntiarunt enim falsidici vates, quod bellicas incursiones superabis, ac facile vinces adversarios, neque capi poteris ab hostibus, victisque illudes. Verum hæc ita se non habent, at plurimum abest, imo in diversum evenit, et non pro voto ac spe, rerum erit exitus. Difficile igitur et vere noxium irridentium sermones attendere, et præstigiatorum vocibus abripi, quæ juxta spem nunquam evenient.

Vers. 7. *Ululabit Moab: in Moabitide enim omnes plorabunt, inhabitantibus Deseth meditationes.*

Quod non ita ut exspectarant cecidit divinatio, sed aliter omninoque diverse, demonstrat liquido, cum ait: Plorabit Moab, etsi qui divinationem et magicam artem exercebant, ploraturam eam minime prædicebant, imo deletis hostibus, applausuros et insultaturos jacentibus. Igitur omnes, inquit, in Moabitide lamentabuntur. Et meditatio erit habitantibus Deseth. Civitas autem hæc Moab,

[28.29] Jac. IV, 6.

A ἐπάνοδον τῶν ἐξ Ἰσραὴλ, καὶ ὅτι πάλιν ἀναφοίτησις ἔσται πρὸς τὸ ἀρχαῖον τῆς παρ' αὐτοῖς ἀρχῆς, ἤγουν βασιλείας, ἐπάνεισι πάλιν ἐπὶ τὴν Μωὰβ, καὶ μεθίστησιν ἐπ' αὐτοὺς τὸν λόγον. Εἴρηται δὲ ὥσπερ ἐκ προσώπου τῶν ἁγίων προφητῶν, τὸ, Ἠκούσαμεν τὴν ὕβριν Μωὰβ, ὑβριστὴς σφόδρα. Συναινοῦσι γὰρ διὰ τούτων, ὡς ἐν δίκῃ κολάζοντι τῷ Θεῷ, ὀφειλομένην τε καὶ πρέπουσαν αὐτοῖς ἐπενεγκόντι τὴν τιμωρίαν. Ἀκηκοέναι δέ φασι τὴν ὕβριν Μωὰβ, πρῶτον μὲν τὴν ἀρχαιοτάτην ἐκείνην ἱστορίαν οὐκ ἠγνοηκότες, ἣν ὁ θεσπέσιος ἀφηγεῖται Μωσῆς. Ὡς γὰρ φθάσαντες εἴπομεν, κατεμισθοῦτο τὸν Βαλαὰμ ὁ Βαλάκ· Δεῦρο, λέγων, ἐπάρασαί μοι τὸν Ἰσραήλ. Πλεῖστα δὲ ὅσα πρὸς τοῦτο πέπρακται κατὰ καιροὺς παρὰ τῆς Μωαβιτῶν ὑπεροψίας τῇ τοῦ Θεοῦ μαχόμενα
B δόξῃ.

Τὴν ὑπερηφανίαν ἐξῆρα.

Τῶν ἁγίων προφητῶν ἐναργέστατα διωμολογηκότων, ἀκηκοέναι τε τὴν ὕβριν Μωὰβ, εἰδέναι τε ὅτι καὶ σφόδρα ἐστὶν ὑβριστὴς, ἀνταποκρίνεται Θεὸς καί φησι· Τὴν ὑπερηφανίαν ἐξῆρα· τοῦτ' ἔστιν, οὐχ ὑπέροπτον ἁπλῶς οὖσαν τὴν Μωὰβ, ἀλλ' οἷον αὐτὸ χρῆμα γενομένην ὑπεροψίαν ἐκ μέσου γενέσθαι παρεσκεύασα. Πολεμῶ γὰρ ὑπερηφάνοις, καὶ μάχομαι τοῖς οὐ μέτρια φρονεῖν ᾑρημένοις, εἰκῇ δὲ μᾶλλον ἐξογκουμένοις, καὶ ὕψοῦ τὴν ὀφρὺν ἀνατείνουσι, καὶ τῆς ἑαυτῶν φύσεως ἠγνοηκόσι τὴν ἀσθένειαν. Γέγραπται δὲ, ὅτι Κύριος ὑπερηφάνοις ἀντιτάσσεται. Διδάσκων δὲ ὅτι κολάζει δικαίως, καὶ οὐ
C μάτην ἁπλῶς ἐπάγει τὰς δίκας, καταγορεύει τῆς Μωὰβ ὡς ἀφορήτως νοσούσης τὴν ὑπεροψίαν.

Οὐχ οὕτως ἡ μαντεία σου, οὐχ οὕτως.

Ἐξῆρα μὲν οὐκ ἐγὼ τὴν ὑπερηφανίαν σου, φησὶ, τοῦτ' ἔστιν, ἐξέκοψα τὴν Μωὰβ, ἀλλ' οὐ ταῦτά σοι προηγγελλον αἱ παρὰ σοῦ ἁμαρτίαι. Ἐπηγγέλλοντο γὰρ ψευδοεποῦντες οἱ μάντεις, ὅτι καὶ κρείττων ἔσῃ τῆς τοῦ πολέμου προσβολῆς, καὶ νικήσεις εὐπετῶς τοὺς ἀνθεστηκότας, καὶ ἀνάλωτος ἔσῃ τοῖς ἐχθροῖς, καὶ ἡττωμένοις ἐπιτωθάσεις. Ἀλλ' οὐχ οὕτως αὐτ' ἔχει, πολλοῦ γε καὶ δεῖ. Μᾶλλον γὰρ ἐξέβη πρὸς τὸ ἐναντίον, καὶ οὐ κατ' ἐλπίδα σὴν, τῶν πραγμάτων τὸ πέρας. Παγχάλεπον οὖν καὶ ἐπιζήμιον ἀληθῶς, τὸ τοῖς τῶν διαπαιζόντων προσέχειν λόγοις, καὶ ταῖς τῶν
D γοητῶν ἀποκομίζεσθαι φωναῖς, εἰς ἐλπίδας οὐκ ἐκβησομένας.

Ὀλολύξει Μωάβ. Ἐν γὰρ τῇ Μωαβίτιδι πάντες ὀλολύξουσι· τοῖς κατοικοῦσι Δεσὲθ μελετήσεις.

Ὅτι μὴ οὕτως ἐκβέβηκεν ἡ μαντεία, καθὰ προσεδόκησαν, ἀλλ' ἑτεροτρόπως, καὶ εἰς πᾶν τοὐναντίον διαδείκνυσι σαφῶς, λέγων· Ὀλολύξει Μωὰβ, καίτοι τῆς μαντείας, ἤγουν τῇ τῶν μάγων τέχνῃ κεχρῆσθαι μεμελετηκότων οὐκ ὀλολύξειν αὐτὴν προηγορευκότων, ἀλλὰ γὰρ ἐπαλαλάξειν ἀπολωλόσιν ἐχθροῖς καὶ ἐπορχήσασθαι κειμένοις. Οὐκοῦν ἅπαντες, φησὶν, οἱ ἐν τῇ Μωαβίτιδι κατολολύξουσι· καὶ μελέτησις ἔσται τοῖς

κατοικοῦσι Δεσέθ. Πόλις δὲ καὶ αὕτη τῆς Μωάβ, οἳ A κόμμον τάχα που καὶ θρῆνον εὔρυθμόν τε καὶ εὐμελῆ καθ' ἑαυτῶν μελετήσαντες, διὰ τούτου σημαίνονται.

Καὶ οὐκ ἐντραπήσονται πρὸς τὰ πεδία Ἐσεβών· πενθήσει ἄμπελος Σεβαμά. Καταπίνοντες τὰ ἔθνη, καταπατήσατε τὰς ἀμπέλους αὐτῆς ἕως Ἰαζήρ.

Ὁ λόγος ἐστὶν ἐν τοῖς πρὸς αὐτοὺς τάχα που τοὺς τὴν Μωὰβ ᾑρηκότας, Ἀσσυρίους τέ φημι καὶ Βαβυλωνίους, οἷς προστέταχε τὰ τῆς Ἐσεβὼν πεδία μὴ ἐντρέπεσθαι ἔτι καὶ αὐτὴν κατεμπρῆσαι τὴν Ἐσεβών· διαθεῖναι δὲ οὕτω καὶ τὴν Σαυαμὰ, ὡς πενθῆσαι καὶ τὰς οὔσας ἀμπέλους ἐν αὐτῇ. Πρὸς αὐτοὺς δὲ δὴ καί φησι· Καταπίνοντες τὰ ἔθνη. Ὑμῖν γὰρ ἐπιτάττω, φησὶν, ὦ τῶν ἐθνῶν ὀλετῆρες, καὶ ἄπλειστοί μοι καὶ ἀπηνέστατοι θῆρες, ἔθνη καταπίνοντες, καταπατήσατε B τὰς ἀμπέλους αὐτῆς ἕως Ἰαζήρ. Πόλις δὲ καὶ αὕτη τῶν Μωαβιτῶν. Ἀμπέλους δὲ πάλιν ἐν τούτοις, τοὺς τῶν Μωαβιτῶν οἰκήτορας ὀνομάζει. Ἔθος γὰρ τῇ θεοπνεύστῳ Γραφῇ, καὶ δρυμοῖς καὶ ξύλοις καὶ μὴν καὶ ἀμπέλοις παρεικάζειν τοὺς ἐν ἑκάστῃ πόλει τε καὶ χώρᾳ. Καὶ γοῦν περὶ τοῦ Ἰσραὴλ φησιν· Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ ὁ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. Λέγων δὲ, ὅτι Καταπατήσατε τὰς ἀμπέλους αὐτῆς, δείκνυσι πάλιν, ὅτι μὴ τῆς τῶν Ἀσσυρίων χειρὸς ἔργον ἦν τὸ νικῆσαι τὴν Μωὰβ, ἀλλ' ἦν ὁ πάντα ἰσχύων Θεὸς ὑποφέρων τοῖς αὐτοῦ ποσὶ τοὺς ἀνθεστηκότας, καὶ τὸ δύνασθαι κρατεῖν τῆς ἐκείνων χειρὸς δωρούμενος.

Οὐ μὴ συνάψητε, πλανήθητε τὴν ἔρημον, οἱ C *ἀπεσταλμένοι· ἐγκατελείφθησαν, διέβησαν τὴν ἔρημον.*

Φασὶν ὅτι τῶν Ἀσσυρίων ἐμβεβληκότων, πλεῖστοι τῶν Μωαβιτῶν εἰς τὴν ὅμορόν τε καὶ γείτονα φυγόντες ἔρημον διαλανθάνειν ἐσπούδαζον, καὶ μόλις ἐσπούδαζον, κομιδῇ βραχεῖς τὸν ἀριθμόν. Καὶ ἦν μὲν ἴσως οὐ χαλεπὸν τοῖς Βαβυλωνίοις κἀκείνους ἀνευρεῖν, ἐπαφιέντος Θεοῦ, καὶ μέχρις αὐτῶν ἐκτείνοντος τὴν ὀργήν. Ἐπειδὴ δὲ κολάζει μεμετρημένως φιλάνθρωπος ὢν, μονονουχὶ καὶ ἐντέλλεται τοῖς πεπορθηκόσι τὴν Μωὰβ, μὴ συνάπτειν τοῖς ἀπολωλόσι τοὺς φυγάδας, πλανᾶσθαι δὲ ὥσπερ ἐᾷν τὴν ἔρημον, τουτ' ἔστι, λήθῃ διδόναι καὶ παραπέμπεσθαι τὴν ἔρευναν τῶν ἐν αὐτῇ συνδεδραμηκότων. Ταύτητοί φησι, πλανηθῆναί τε τὴν ἔρημον. Οἱ ἀπεσταλμένοι ὑμεῖς, φησὶν, D οἱ διὰ τῆς ἐμῆς ὀργῆς ἀπεσταλμένοι πρὸς τὸ κατὰ κράτος ἑλεῖν τὴν Μωὰβ, πλανήθητε τὴν ἔρημον, λήθῃ δότε, καὶ παραπέμψασθε τὴν ἔρημον, διέβησαν γὰρ αὐτήν. Εἶτα ἐπέρριπται μεταξὺ τὸ, Ἐγκατελείφθησαν, ἐκεῖνο πάλιν διδάσκων, ὡς οὐκ ἂν ἐν τούτοις γέγονεν ἡ Μωαβιτῶν, εἰ μὴ προσκέκρουκεν οὐ μετρίως τῷ πάντα ἰσχύοντι Θεῷ.

Διὰ τοῦτο κλαύσομαι ὡς τὸν κλαυθμὸν Ἰαζήρ, ἄμπελος Σεβαμά. Τὰ δένδρα σου κατέβαλεν Ἐσεβών, καὶ ἐλάλει, ἐπὶ τῷ θερισμῷ καὶ ἐπὶ τῷ τρυγητῷ σου καταπατήσω, καὶ ἅπαντα πεσοῦνται,

qui lugubres cantiones et lamentationes numerosas contra se excogitarunt, hinc significantur.

VERS. 8. *Et non reverebuntur campos Esebon, planget vitis Sebama. Qui absorbetis gentes, conculcate vites usque ad Jaser.*

In hisce sermo videtur esse ad eos qui Moab sustulerunt, ad Assyrios inquam, et Babylonios, quibus præcepit campos Esebon non revereri, id est, et ipsam Esebon incendere, et sic disponere Sebama, ut plangant vites quæ sunt in ea. Quibus etiam dicit: Absorbentes gentes. Vobis enim edico, inquit, o gentium pernicies et inexplebiles interfectores, qui tanquam crudeles et inmanissimæ feræ gentes absorbetis, conculcate vites ejus usque ad Jaser. Est autem hæc et urbs Moabitarum. Vites rursus hic Moabitarum incolas nominat. Est enim familiare Scripturæ divino afflatu proditæ, et silvis, et lignis, et sane vitibus assimilare eos, qui in singulis urbibus sunt atque provinciis. Et certe de **258** Israele ait: Vitis enim Domini Sabaoth, domus Israel est, et homo Juda, novella planta dilecta. Cum dicit: Conculcate vites ejus, rursus ostendit, non fuisse opus fortitudinis Assyriorum, expugnare Moab, sed Deus erat omnipotens, qui ipsorum pedibus eos qui adversantur subjicit, et dat ut eorum manum valeant superare.

Ne contingite, errate per eremum, qui missi estis: relicti sunt, pertransiverunt eremum (1).

Aiunt Assyriis irrumpentibus complures Moabitarum in conterminam et vicinam confugisse eremum, et latere studuisse, et numero paucissimos vix fuisse conservatos. Nec difficile fuit Babyloniis etiam illos invenire, Deo permittente, et ad eos usque iram extendente. Sed cum plectit moderate, benignus cum sit, tantum non in mandatis dat his qui everterunt Moab, non adjungere se his qui deleti profugos, sed errare sinant velut per desertum, id est, oblivioni tradant, et indagationem mittant eorum qui istuc confluxerunt. Hinc ait: Errate in eremo. Vos qui missi estis, inquit, qui ex mea ira emittimini, ut vi capiatis Moab, errate per eremum, date oblivioni, et explorationem remittite: transierunt enim illam. Deinde illud interponitur, Relicti sunt, illud rursus docens, quod non in his malis versata fuisset Moabitica provincia, nisi Deum omnia valentem nimium offendisset.

VERS. 9, 10. *Propterea plorabo velut ploratum Jaser, vitim Sebama: arbores tuas dejecit Esebon,* [al *Eleale*] *et dixit: In messe et in vindemia tua calcabo, et omnia cadent, et auferetur lætitia et exsultatio de*

(1) Τὴν ἔρημον; sec. Sept. et Hebr. θάλασσαν, *mare*.

lacrymas captis excitat. Elicit enim semper ex oculis fumus lacrymam. Non est autem dissentaneum fidei, in his verbis alia de causa bella comparari fumo. Quemadmodum enim fumus incidens in corporis oculos, visus aciem illis adimit: sic et formido mortis tantum non inebriat mentem, cor turbidum reddit, et gravibus ac intolerandis terroribus prope denigrat et offuscat. Veniet igitur fumus ab Aquilone. At quis erit hujus incursionis exitus? Non est ut sit, inquit, id est, extrema internecio urbes et domos, et qui in illis sunt pessumdabit.

A ἐστιν ἡ τῶν Ἰουδαίων χώρα, βορειωτέρα δέ πως ἡ τῶν Ἀσσυρίων. Καπνῷ γε μὴν τὴν φιλοπόλεμον παρεικάζει στρατιὰν, ὡς δακρύων τοῖς ἁλοῦσιν ἐμποιητικήν. Ἐξέλκει γὰρ ἀεί πως τῶν ὀμμάτων τὸ δάκρυον ὁ καπνός. Οὐκ ἀπίθανον δὲ καὶ ἑτέρως καπνῷ παρεικάζεσθαι τοὺς πολέμους. Ὥσπερ γὰρ ὁ καπνὸς τοῖς τοῦ σώματος ἐμπίπτων ὀφθαλμοῖς παραιρεῖται πάντως αὐτοὺς τὸ τῆς ὄψεως ἀκριβὲς, οὕτω καὶ θανάτου φόβος μονονουχὶ καταμεθύσκει τὸν νοῦν, καὶ καταθολοῖ τὴν καρδίαν, δεινοῖς τε καὶ ἀφορήτοις δείμασιν μονονουχὶ καταμελαίνων αὐτήν. Ἥξει τοίνυν καπνὸς ἀπὸ βοῤῥᾶ. Εἶτα ποῖόν ἐστι τῆς ἐφόδου τὸ τέλος; οὐκέτι τοῦ εἶναί φησι, τοῦτ' ἔστι, πανωλεθρεία καταφθερεῖ πόλεις τε καὶ οἴκους, καὶ τοὺς ἐν αὐταῖς.

Vers. 32. *Et quid respondebunt reges gentium? Quia Dominus fundavit Sion, et per illum servabuntur humiles populi.*

Impressione Assyriorum facta, captæ sunt alienigenarum urbes, devastatæ nihilominus etiam Samaritanorum civitates: servata est autem egregie præ cæteris ac mirabiliter sola Jerusalem, Assyriorum copiis; manum admoliente eo, qui omnia facile ac recte potest efficere. Mortui sunt enim una nocte alienigenarum centum octoginta quinque millia. Quando igitur Aquilonares isti incenderint alienigenarum urbes, populati fuerint etiam Judææ vicinam Samariam, deinde cingentes undique ipsam Jerusalem, nullo resistente, una nocte corruerint: tunc, tunc, inquit, velint nolint, confitebuntur gentium reges, quod Dominus fundavit Sion, et quod per eum servabuntur humiles populi. Humiles populi vocat eos, qui in illo solo spem salutis suæ collocant; qualis erat ipse rex Ezechias, et qui circa illum erant procidentes et dicentes: « Exaudi, Domine, respice, Domine, et vide sermones Rhapsacæ, quos emisit rex Assyriorum, probra jaciens in Deum vivum [13]. » Verum e diverso ipse audivit Deum loquentem aperte: « Hæc ait Dominus: Propugnabo civitatem hanc propter me, et propter David puerum meum [14]. » « Bonum est igitur confidere Deo [15]. » Quod etiam beati prophetæ non ignorarunt. Jeremias quippe dicit: « Beatus homo qui confidit in Domino, et erit Dominus spes ejus [16]. » Sapientissimus **247** etiam David: « Domine Deus virtutum, beatus homo qui sperat in te [17]. » Nemo enim perdet eum qui divino ejus nutu adjutus est, et superno favore ac benevolentia quasi muro probe obvallatus. Dignatur enim cura sua amantes se, et qui diligenter quæ ipsi placent cogitare et agere student, hi ut firmis et diuturnis bonis potiantur facile annuet.

Καὶ τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; Ὅτι Κύριος ἐθεμελίωσε Σιὼν, καὶ δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.

B Τῆς ἐφόδου τῶν Ἀσσυρίων γεγενημένης ἥλωσαν μὲν αἱ τῶν ἀλλοφύλων πόλεις. Ἐκπεπόρθηνται δὲ οὐδὲν ἧττον καὶ αἱ τῶν Σαμαρειτῶν· σέσωσται δὲ Ἱερουσαλὴμ παραδόξως μόνη παρὰ πάσας, ταῖς τῶν Ἀσσυρίων στρατιαῖς ἐνενεγκόντος τὴν χεῖρα τοῦ πάντα εὐχόλως κατορθοῦν ἰσχύοντος. Ἀπέθανον γὰρ ἐν νυκτὶ μιᾷ τῶν ἀλλοφύλων ἑκατὸν καὶ ὀγδοήκοντα πέντε χιλιάδες. Ὅταν τοίνυν καταπρήσωσι μὲν τὰς τῶν ἀλλοφύλων πόλεις οἱ ἀπὸ βοῤῥᾶ, καταδῃώσωσι καὶ τὴν τῆς Ἰουδαίας γείτονα τὴν Σαμαρειτῶν, εἶτα περισχόντες κύκλῳ καὶ αὐτὴν τὴν Ἱερουσαλὴμ, οὐδενὸς ἀντεξάγοντος ἐν μιᾷ πέσωσι νυκτί· τότε δὴ, τότε καὶ οὐχ ἑκόντες, φησὶν, ὁμολογήσωσιν οἱ τῶν ἐθνῶν βασιλεῖς, ὅτι Κύριος ἐθεμελίωσε Σιών· καὶ ὅτι δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ. C Ταπεινοὺς δέ φησι τοῦ λαοῦ, τοὺς ἐπ' αὐτῷ δὴ καὶ μόνῳ τὴν τῶν σώζεσθαι θεμένους ἐλπίδα, ὁποῖός τέ τις ἦν αὐτὸς ὁ βασιλεύων Ἐζεχίας, καὶ οἱ ἀμφ' αὐτὸν Θεῷ προσπίπτοντες, καὶ λέγοντες· « Εἰσάκουσον, Κύριε, εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους τοῦ Ῥαψάκου, οὓς ἐξαπέστειλεν ὁ βασιλεὺς Ἀσσυρίων, ὀνειδίζειν Θεὸν ζῶντα. » Ἀλλὰ καὶ αὐτὸς ἀντήκουεν Θεοῦ λέγοντος ἐναργῶς· « Τάδε λέγει Κύριος· Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. » « Ἀγαθὸν οὖν ἄρα τὸ ἐπὶ Θεῷ πεποιθέναι. » Καὶ τοῦτο εἰδότες οἱ μακάριοι προφῆταί φασιν, Ἱερεμίας μὲν, ὅτι, « Μακάριος ἄνθρωπος ὁ πεποιθὼς ἐπὶ τῷ Κυρίῳ, D καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ. » Ὁ δὲ σοφώτατος Δαβίδ· « Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. » Ἀπολέσει γὰρ οὐδεὶς τὸν τοῖς θείοις αὐτοῦ νεύμασιν ἐπικουρούμενον, καὶ ταῖς ἄνωθεν εὐμενείαις εὖ μάλα τετειχισμένον. Ἀξιοῖ γὰρ φροντίδος τοὺς ἀγαπῶντας αὐτὸν, καὶ τοῖς τὰ αὐτῷ δοκοῦντα φρονεῖν τε καὶ δρᾷν ὅτι μάλιστα διεσπουδακόσι, τὸ ἐν βεβαίῳ κεῖσθαι τῶν ἀγαθῶν κατανεύει προχείρως.

TOMUS III.

Cap. XV. *VERBUM CONTRA MOABITIDEM.*

Confecto sermone de Babyloniis aliisque rectissime, rursus ad Moabitidem, id est, contra Moabitarum metropolim regionemque universam ipsum-

ΤΟΜΟΣ Γ'.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΤΗΣ ΜΩΑΒΙΤΙΔΟΣ.

Διαπεράνας εὖ μάλα τὸν ἐπί γε τοῖς Βαβυλωνίοις καὶ τοῖς ἀλλοφύλοις λόγον, μεθίστησι πάλιν τὴν προαγόρευσιν ἐπὶ τῇ Μωαβίτιδι· τοῦτ' ἔστι κατὰ

[13] IV Reg. xix, 16. [14] ibid. 34. [15] Psal. cxvii, 8. [16] Jerem. xvii, 7. [17] Psal. lxxxiii, 13.

τῆς τῶν Μωαβιτῶν μητροπόλεως χώρας τε ἁπάσης A καὶ αὐτῆς τῆς βασιλείας. Ἔθνος καὶ αὐτοὶ βάρβαρον, ἀπηχθημένον παρὰ Θεῷ, διάτοι τὸ ἐγκεῖσθαι μὲν ὁλοτρόπως ταῖς τῶν εἰδώλων λατρείαις, ἐπιθαρσεῖν δὲ μάλιστα τῇ μάγῳ τέχνῃ, καὶ τῆς τοῦ Θεοῦ κατεπαίρεσθαι δόξης, εἶναί τε τῶν ὅτι μάλιστα πολεμιωτάτων τοῖς ἐξ Ἰσραήλ. Καὶ γοῦν ὅτε τῶν Αἰγυπτίων ἀπηλλαγμένοι πλεονεξίας, ἐπὶ τὴν τῆς ἐπαγγελίας ἀπῄεσαν γῆν, μικροῦ δεῖν ἅπαντες διολώλασι, τό γε ἧκον εἰς τὸ ἐγχείρημα Βαλὰκ, ὃς ἦν βασιλεὺς τὸ τηνικάδε τῶν Μωαβιτῶν. Γέγραπται δὲ οὕτως ἐν τοῖς Ἀριθμοῖς· « Καὶ ἅπαντες υἱοὶ Ἰσραὴλ παρενέβαλον ἐπὶ δυσμῶν Μωὰβ, παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχώ. Καὶ ἰδὼν Βαλὰκ υἱὸς Σεπφὼρ, πάντα ὅσα ἐποίησεν Ἰσραὴλ τῷ Ἀμοῤῥαίῳ· καὶ ἐφοβήθη Μωὰβ τὸν λαὸν σφόδρα, ὅτι πολλοὶ ἦσαν. Καὶ προσ- B ώχθισε Μωὰβ ἐκ προσώπου υἱῶν Ἰσραήλ. » Εἶτα ποῖον αὐτῷ γέγονε τὸ κακούργημα; Κατεμισθοῦτο τὸν Βαλαὰμ ἐκ τῆς Μεσοποταμίας· ψευδόμαντις δὲ οὗτος καὶ οἰωνοσκόπος· εἶτα παρακαλεῖ, λέγων· Ἐπάρασαί μοι τὸν Ἰσραήλ. Οἶδα γὰρ, φησὶν, ὅτι οὓς ἂν σὺ εὐλογήσῃς, ηὐλόγηνται, καὶ οὓς ἂν σὺ καταράσῃ, κεκατήρανται. Καὶ οἱ μὲν τῆς γοητείας ἐπράττοντο παρ' ἐκείνου τρόποι, βωμῶν τε ἐγηγερμένων, καὶ θυσιῶν προσκεκομισμένων. Ἐσφάλλετο δὲ τῆς ἐλπίδος ὁ Βαλὰκ, καὶ τῶν κατὰ γνώμην ἡμάρτηκεν, εὐλογοῦντος ἀδοκήτως τὸν Ἰσραὴλ τοῦ παραληφθέντος εἰς τὸ παραράσασθαι δεῖν. Ἐπειδὴ δὲ εἰς τὸ παρ' ἐλπίδας ἐκβέβηκεν αὐτῷ τὸ ἐγχείρημα, πάλιν ἑτέρῳ μέτεισι τρόπῳ τῆς κατ' αὐτῶν δυστρο- C πίας τὸ χρῆμα. Σεσαγήνευκε γὰρ τοὺς ἐξ Ἰσραὴλ, ταῖς τῶν γυναικῶν ὥραις συνηρπασμένους ἐπί γε τὸ χρῆναι τῆς πρὸς Θεὸν ἀγάπης ἀποφοιτᾷν, καὶ προσκυνεῖν ἑλέσθαι τῷ Βεελφεγώρ· εἴδωλον δὲ τοῦτο τῶν Μωαβιτῶν. Γέγραπται δὲ οὕτω πάλιν ἐν τοῖς Ἀριθμοῖς· « Καὶ κατέλυσεν ὁ Ἰσραὴλ ἐν Σαττεὶμ, καὶ ἐβεβηλώθη ὁ λαὸς, ἐκπορνεῦσαι ἐπὶ τὰς θυγατέρας Μωὰβ, καὶ ἐκάλεσαν αὐτοὺς ἐπὶ ταῖς θυσίαις τῶν εἰδώλων αὐτῶν, καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν· καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν· καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγὼρ, καὶ ὠργίσθη θυμῷ Κύριος τῷ Ἰσραήλ. » Ἐπειδὴ γὰρ ἐπαμύνοντος δεινὸς καὶ δυσάντητος ἦν ὁ Ἰσραὴλ, ταύτῃ τοι καὶ μάλα πικρῶς καὶ φιλοκακούργως, ἀφιστάντες αὐτοῦ τὴν ἐπικουρίαν, προσκρούειν ἀνέπιθον τῷ ἐπὶ πάντας Θεῷ. Διατετελέκασι δὲ καὶ μέχρι D παντὸς τοιαύτην ἔχοντες γνώμην, κἂν εἰ συνέβη τὸν Ἰσραὴλ κοινωνῆσαι συμφοραῖς προσκεκρουκότα Θεῷ, κατηλαζονεύοντο καὶ κατεκερτόμουν ἐκεῖνοι, τὸ μηδὲν ὅλως δύνασθαι κατηγοροῦντες Θεοῦ, τοῦ σώζειν ὑπισχνουμένου τοὺς προσκυνοῦντας αὐτῷ. Καὶ τούτου μάρτυς ὁ μακάριος Ἱερεμίας ἐν τῇ κατ' αὐτῶν ὁράσει λέγων· « Κατεάχθη κέρας Μωὰβ, καὶ τὸ ἐπιχείριον αὐτοῦ συνετρίβη. Μεθύσατε αὐτὸν ὅτι ἐπὶ Κύριον ἐμεγαλύνθη. » Καὶ πάλιν· « Ὅτι οὕτως εἶπε ὁ Κύριος, Ἐλήφθη Ἀριὼθ· καὶ ὀχυρώματα συνελήφθη. Καὶ ἀπολεῖται Μωὰβ ἀπὸ λαοῦ, ὅτι ἐπὶ Κύριον ἐμεγαλύνθη. » Ἧκε μὲν γὰρ κατὰ καιροὺς ὁ

que adeo regnum transfert vaticinium. Gens vero barbarica fuerunt etiam hi, Deo exosa, quod idolorum cultui toti adhærescerent, magicæque arti maxime confiderent, ac divinæ majestati sese opponerent, et Israelitis essent quam infestissimi. Cumque Ægyptiaca tyrannide liberati, ad terram venissent promissionis, parum aberat quin omnes perierint, quantum quidem conatus Balachi tunc regis Moabitarum potuit efficere. Scriptum est autem sic in Numeris : « Et descendentes filii Israel castrametati sunt ad occidentem Moab, apud Jordanem juxta Jericho, et videns Balachus filius Sephori, quæcunque fecit Israel Amorrhæo, et pertimuit Moab populum valde, quia multi erant : et timuit Moab a facie filiorum Israel [18]. » Deinde quæ tandem ejus fuit machinatio? Conductum Balaamum ex Mesopotamia (erat autem is falsus vates et augur) rogavit dicens : Exsecrare mihi Israelem. Novi enim quod quibus tu benedixeris, benedicuntur, et quos tu exsecratus fueris, exsecrationi subjiciuntur. Incantationis autem modus hic ab eo adhibitus fuit, aris excitatis, hostiisque oblatis. Cæterum spe falsus est Balac, et animi sententia excidit, beneprecante præter opinionem Israeli eo qui ascitus est 248 ad imprecandum. Cum autem hoc molimen ei præter spem evenisset, rursus alio modo hanc rem nefariam contra eos aggreditur. Israelitas enim illaqueavit ut muliebri forma correpti, a Dei dilectione exorbitarent, et Beelphegor, idolum scilicet Moabitarum, adorarent. Scriptum est iterum sic in Numeris : « Commoratus est Israel in Sattin, et contaminatus est populus ut fornicaretur cum filiabus Moab, vocaruntque eos ad sacrificia idolorum suorum, ac comedit populus de sacrificiis eorum, et adoraverunt idola eorum, et initiatus est Israel Beelphegor, et iratus est animo Dominus Israel [19]. » Nam cum Deo juvante, potens et terribilis esset Israel, hinc fraudulenter et malitiose ejus submoto præsidio, Deum universitatis offendere persuaserunt, et semper in suscepto consilio perstiterunt. Quod si in calamitatum societatem venire Israelem contingeret, quod Deum offendissent : se contra efferebant illi, ac convitiabantur causantes Deum, qui servare cultores suos promiserat, nihil omnino potuisse. Hujusque testis est beatus Jeremias in sua de illo visione, dicens : « Confractum est cornu Moab, et præmium ejus contritum. Inebriate illum, quia in Dominum magnus factus est [20]. » Et rursus : « Sic dicit Dominus : Capta est Arioth, et munitiones simul captæ sunt. Et peribit Moab a populo, quia in Dominum magnificatus est [21]. » Venit enim olim Assyriorum et Babyloniorum tyrannus, ad Judæam perdendam : cepitque urbes Samariæ : Moabitæ autem de integro irrident eos qui perierant, sannisque ac ludibriis vexarunt, et non mediocriter divinam majestatem probris assidue asperserunt. Hanc ob causam traditi sunt et ipsi internecioni, et cum

[18] Num. XXII, 1-3. [19] Num. XXV, 1-3. [20] Jerem. XLVIII, 25, 26. [21] ibid. 41, 42.

urbibus et domibus, totoque populo funditus perierunt, ut jam quodammodo ne esse quidem videantur. Meminit itaque visio proposita eorum, quæ ab initio nimirum superiore memoria illis acciderunt, et inquit :

VERS. 1. *Nocte peribit Moabites, nocte enim peribit murus Moabitis.*

Quidam eorum qui hæc pertractarunt diligenter, tradiderunt, bellum in illos capessentibus Babyloniis, motu facto adeo concussam esse Moabitarum metropolim, ut totus ejus murus **249** noctu et in tenebris, sua sponte tremefactus fuerit : quo facto, ante impressionem hostium propemodum eorum omnis spes salutis perierat. Ideo dicit, noctu periisse Moab.

VERS. 2. *Sed, inquit, contristamini in vobis ipsis.*

Simile est ac si dicat : Sæpe erecto supercilio alto, alienis insultastis calamitatibus, at tunc ad vos ipsos bellum erumpit, ad vos properat, et quæ hinc sunt incommoda, vestris impiis impendent capitibus. Contristamini igitur, non aliorum, sed vestra causa.

Peribit enim Lebedon [al. *Debon*], *ubi est ara vestra.*

Dixi sævos et superbos fuisse Moabitas, et imposturis dæmonum fretos ac magica arte, ratos, se omnium potentiam superaturos, ipsumque adeo Israelem, etiamsi Deus succurreret : igitur in ea quæ vocatur Lebedon, aram habebant et delubrum admirabile, quantum ad structuram pertinet, ibi celebrabant vaticinia, ac se plurimum efferebant, et præ cæteris hunc locum venerabilem augustumque reddebant. Sed peribit, inquit, etiam vaticinii hujus officina.

Illuc ascendetis ad plorandum super Nabay Moabitidis.

Civitas autem hæc munitissima est.

Plorate, inquit : super omne enim caput calvitium.

Id est, una pervadet omnes ignominia : calvitium quippe ignominiæ symbolum.

Erunt et omnia brachia concisa.

Plangendo et lamentando : vel quod idolorum cultoribus solemne fuerit incisiones tum genis, tum brachiis inferre. Frustra igitur et hoc agetis, inquit, siquidem res est omnino inutilis.

VERS. 3, 4. *Igitur in plateis ejus circumcingimini saccos, et plangite in domibus, et in plateis, et in vicis ejus. Omnes ululate cum planctu, quia clamavit Esebon, et locuta est* (1), *donec exaudita est vox ejus.*

Effigiem urbium non mediocri terrore fluctuan-

A Ἀσσυρίων καὶ Βαβυλωνίων. τύραννος καταδηώσων τὴν Ἰουδαίαν. Εἷλε δὲ τὰς τῆς Σαμαρείας πόλεις. Μωαβῖται δὲ πάλιν καταμειδιῶντες τῶν ἀπολωλότων ἐπετώθαζον οὐ μετρίως, καὶ κατονειδίζοντες διετέλουν τὴν τοῦ Θεοῦ δόξαν. Ταύτῃ τοι δέδονται καὶ αὐτοὶ πρὸς ἐρήμωσιν, ἄρδην τε ἀπολώλασιν ὁμοῦ πόλεσί τε καὶ δήμῳ καὶ οἴκῳ παντὶ, ὥστε ἤδη πως μηδὲ ὑπάρξαι δοκεῖν. Διαμέμνηται τοίνυν ἡ ὅρασις ἡ προκειμένη τῶν συμβεβηκότων αὐτοῖς· ἐξ ὀργῆς δηλονότι τῆς ἄνωθεν, καί φησιν·

Νυκτὸς ἀπολεῖται ὁ Μωαβίτης· νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς Μωαβίτιδος.

Τινὲς τῶν ταῦτα ἠκριβωκότων παρέδοσαν ὅτι μελλόντων τῶν ἐπ' αὐτοῖς αἴρειν πόλεμον τῶν Βαβυλωνίων, σεισμοῦ γεγονότος κατεδονήθη τοσοῦτον Μωαβιτῶν μητρόπολις, ὡς ὅλον αὐτῆς αὐτομάτως καταπεισθῆναι τὸ τεῖχος ἐν νυκτὶ καὶ σκότῳ· οὗ δὴ
B γεγονότος, πρὸ τῆς τῶν πολεμίων ἐφόδου, μονονουχὶ καὶ ἀπόλωλεν αὐτοῖς ἡ τῆς σωτηρίας ἐλπίς. Ταύτῃ τοι φησὶ νυκτὸς ἀπολεῖσθαι τὴν Μωαβίτιδα.

Ἀλλὰ λυπεῖσθε, φησὶν, ἐφ' ἑαυτοῖς.

Ὅμοιον ὡς εἰ λέγοι, Πλειστάκις ὀφρὺν ἐπαίροντες ὑψηλὴν ταῖς ἑτέρων ἐνετρυφήσατε συμφοραῖς· ἀλλὰ νῦν ἐφ' ὑμᾶς αὐτοὺς ὁ πόλεμος τρέχει, καὶ τὰ ἐντεῦθεν βλάβη ταῖς ἀνοσίαις ὑμῶν ἐπικρέμαται κεφαλαῖς. Λυπεῖσθε τοίνυν οὐκ ἐφ' ἑτέροις τισὶν, ἀλλ' ἐφ' ἑαυτοῖς.

Ἀπολεῖται γὰρ Λεβηδὼν, οὗ ὁ βωμὸς ὑμῶν.

Ἔφην ὅτι δεινοὶ καὶ ἀγέρωχοι Μωαβῖται γεγόνασι, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ἐπιθαρσήσαντες, καὶ διὰ μάγου τέχνης κατευμεγεθήσειν οἰόμενοι τῆς ἁπάν-
C των χειρὸς, καὶ αὐτοῦ δὲ τοῦ Ἰσραὴλ κἂν εἰ ἐπαμύνοι Θεός· οὐκοῦν ἐν τῇ καλουμένῃ Λεβηδὼν, βωμὸς ἦν αὐτοῖς καὶ τέμενος οὐκ ἀθαύμαστον, τόγε ἧκον εἰς κατασκευήν. Ἐκεῖ τὰς μαντείας ἐπετέλουν, ἐφρόνουν τε μέγα, καὶ σεπτὸν ὅτι μάλιστα παρὰ τοὺς ἄλλους ἐποιοῦντο τὸν χῶρον. Ἀλλ' ἀπολεῖται, φησὶ, καὶ τὸ τῆς μαντείας ὑμῶν ἐργαστήριον.

Ἐκεῖ ἀναβήσεσθε κλαίειν ἐπὶ Ναβαῦ τῆς Μωαβίτιδος.

Πόλις δὲ αὕτη τῶν ἀλκιμωτάτων.

Ὀλολύξατε, φησὶν· ἐπὶ γὰρ πάσης κεφαλῆς φαλάκρωμα.

Τοῦτ' ἔστιν, ἀτιμία κατὰ πάντων δραμεῖται μία. Φαλάκρωμα γὰρ ἀτιμίας σύμβολον.

Ἔσονται δὲ καὶ πάντες βραχίονες κατατε-
D *τμημένοι.*

Ἀπὸ τοῦ κόπτεσθαι καὶ θρηνεῖν. Ἢ ὅτι τοῖς εἰδωλολατροῦσιν ἔθος τὰς καλουμένας ἐντομίδας ταῖς τε παρειαῖς καὶ τοῖς βραχίοσιν ἐπιφέρειν. Μάτην οὖν ἄρα καὶ τοῦτο δράσετε, φησὶν, ἀνόνητον γὰρ τὸ χρῆμα παντελῶς.

Οὐκοῦν ἐν ταῖς πλατείαις αὐτῆς περιζώσασθε σάκκοις, καὶ κόπτεσθε ἐπὶ τῶν δωμάτων αὐτῆς, καὶ ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἐν ταῖς ῥύμαις αὐτῆς, πάντες ὀλολύζετε μετὰ κλαυθμοῦ, ὅτι κέκραγεν Ἐσεβὼν, καὶ ἐλάλησεν ἕως ἠκούσθη ἡ φωνὴ αὐτῆς.

Πόλεων ἡμῖν οὐ μετρίοις δείμασιν ἐνησχημένων

(1) Sept. legunt pro Ἐλάλησε, *locuta est*, Ἐλεαλή, ut est in Hebr.

καταγράφει σχῆμα τῆς προφητείας ἡ δύναμις. Πολέμου γὰρ περισχόντος, καὶ συμφορᾶς τῆς ἐσχάτης ἐπενηνεγμένης πόλεσί τε καὶ οἴκοις, οἱ μὲν πλατείαις καὶ στενωποῖς οἰμώζοντες διαθέουσι. Τό γε μὴν ὅσον ἐστὶν ἀσθενές τε καὶ ἄμαχον, οἷον τὸ θηλύων γένος, καὶ τὸ νηπίων ἐπ' αὐτῶν ἀνεπήδησε δωμάτων, κομμὸν ποιεῖται καὶ ὀλολυγὴν, ταῖς τῶν πολεμίων ἐνορῶν φάλαγξι, καὶ τὴν ὅσον οὐδέπω παρεσομένην ἐννοήσαντες σφαγήν. Ὀλολύξετε τοίνυν· κέκραγε γὰρ Ἐσεβὼν, καὶ ἐλάλησεν ἕως ἠκούσθη ἡ φωνὴ αὐτῆς. Πόλεις δὲ ταύτας εἶναί φησι τὰς Μωαβίτιδος τὰς μαχιμωτάτας. Ἀλλ' εἰ καὶ οὕτως ἔχοιεν, φησὶ, τοσαύτην ποιήσονται τὴν ὀλολυγὴν, ὡς μὴ λεληθότως, μηδὲ ἐν παραβύστῳ κλαίειν, ἀκουστὴν δὲ μᾶλλον γενέσθαι τὴν φωνὴν, καὶ ἀναφανδὸν ὀλοφύρεσθαι, B κατημεληκότων τῶν ἐν αὐταῖς τῆς αὐτῆς συνήθους ἀνδρείας, συντεθραυσμένων δὲ οὕτως, ὡς ἀμοιρῆσαι παντελῶς εὐσθενείας τε καὶ θράσους, καὶ τῶν εἰς ἀλκὴν ἐννοιῶν καὶ ἐγχειρημάτων.

A tium, nobis prophetica sententia describit. Bello enim circumsistente, et ultima **250** calamitate, tam urbibus quam domibus invecta, illi in plateis et angiportis ejulantes discurrunt, quodcunque nimirum imbecillum est ac imbelle, veluti feminarum, et infantium genus, domi exsiliens, luctum edit et ejulatum, cum hostiles phalanges aspicit, cum jamjam affore cædem cogitant. Plorate, igitur, clamavit enim Esebon, et locuta est, donec exaudita est vox ejus. Urbes has narrant esse Moabitarum bellicosissimas. At tametsi, inquit, ita sint, tantum attamen luctum excitabunt, ut non obscure, non in abscondito plorent, imo ita ut percipi auribus vox possit, et clare ejulent, incolis suam fortitudinem solitam negligentibus, et ita contusis et accisis, ut prorsus nihil virium, nihil nervorum habeant, nihilque fortiter aut cogitent aut suscipiant.

Ἡ ὀσφὺς τῆς Μωαβίτιδος βοᾷ· ἡ ψυχὴ αὐτῆς γνώσεται, καὶ καρδία τῆς Μωαβίτιδος βοᾷ ἐν αὐτῇ, ἕως Σηγώρ· δάμαλις γάρ ἐστι τριέτης. Ἐπὶ δὲ τῆς ἀναβάσεως τῆς πρὸς σὲ, κλαίοντες ἀναβήσονται τῇ ὁδῷ Ἀρωνιείμ· βοᾷ σύντριμμα καὶ σεισμός.

VERS. 5. *Lumbus Moabitidis clamat : anima ejus cognoscet, et cor Moabitidis clamat in ipsa usque ad Segor : vitula enim est triennis. Super autem ascensum ad te flentes ascendent via Aroniim : clamat contritio, et concussio.*

Προσβάλλουσιν ἀεὶ τῶν ἀνηκέστων συμφορῶν δριμεῖαί τε λῦπαι, καὶ ἀθυμίαι παγχάλεποι, καὶ δειμάτων ἔφοδος, οὐχ ἀνικάνως ἔχουσα καὶ τὴν ἄγαν εὐτολμοτάτην καταθραῦσαι καρδίαν. Ἐντεῦθεν οἶμαί C τισι πρόσωπα μὲν γενέσθαι σκυθρωπὰ, καὶ οἷον ἐκ βάθους ἀναπηδῶντας στεναγμοὺς, καὶ τῆς ἔσω φλογὸς τὴν ζέσιν διερμηνεύοντα. Ἡ ὀσφὺς τοιγαροῦν τῆς Μωαβίτιδος βοᾷ· τοῦτ' ἔστιν, ἐν ὠδῖσίν ἐστιν, καὶ κεκρυμμένους ἔχει τοὺς πόνους, προκαταπτοουμένη δηλονότι ταῖς φήμαις, καὶ τὸν οὐδέπω παρεσόμενον ἐννοοῦσα πόλεμον. Ἔγνω γὰρ τοῦτο ἡ ψυχὴ αὐτῆς. Ταύτης τε ἕνεκα τῆς αἰτίας, ὀλοφύρεταί τε καὶ κέκραγεν ἐν αὐτῇ ἕως Σηγὼρ, τοῦτ' ἔστι, Μωαβῖτις ἅπασα χώρα, μέχρι καὶ αὐτῶν τερμάτων. Φασὶ γὰρ ἐπ' αὐτοῖς τοῖς ὅροις τῶν Μωαβιτῶν τεθεῖσθαι τὴν Σηγώρ. Τίνος οὖν ἕνεκα ταῦτα συμβήσεται παθεῖν αὐτήν; Δάμαλίς ἐστι τριέτης. Ὁ τρίτος ἐνιαυτὸς τοῖς ἀλόγοις τῶν ζώων ἀρκεῖ πρὸς ἀκμὴν, καὶ εἰς τὸ σφριγῶσαν αὐτοῖς ἐνεργήσασθαι δύναμιν. Τοιγάρτοι D καὶ τοῦ χρῆναι δαμάζεσθαι καιρὸς αὐτοῖς ἐκεῖνός ἐστιν. Ἕως τοίνυν ἐστὶν ἡ δάμαλις ἀπειρόζυγος, σφριγῶσά τε καὶ νέα, καὶ ἀρτιφυὲς ἐκφέρουσα, κέρας, κατασκιρτῶσα τῶν αὐλῶν καὶ τῶν ἐπαύλεων κατορχεῖται πλειστάκις· τοιαύτη τις γέγονεν ἡ Μωαβιτῶν, ἐπιπηδῶσα τοῖς πέλας, καὶ κατασκιρτῶσα τῶν ἀσθενεστέρων. Ὑψηλὴν δὲ εἶναί φασιν αὐτὴν, καὶ λεωφόρον τινὰ τὴν Ἀρωνιεὶμ οὕτω κεκλημένην, ἀνακομίζειν τε εἰς αὐτὴν τοὺς ἐξ ἑτέρων ἥκοντας ἢ πόλεων ἢ χωρῶν. Ἐπ' αὐτῆς τοίνυν, φησὶ, τῆς ἀναβάσεως τῆς Ἀρωνιεὶμ, κλαίοντες ἀναβήσονται. Φωνὴ δὲ τοῖς κλαίουσι, σύντριμμα καὶ συσσεισμός. Προανακεκράγασι γὰρ τὰ ἐκ τοῦ πολέμου συμβησόμενα πάθη, μονονουχὶ συσσείοντος ἅπαντα, πόλεις τε καὶ οἴκους, καὶ τοὺς ἐν αὐτοῖς συντρίβοντος.

Immittunt se et ingerunt semper ante incurabiles calamitates, diri cruciatus et exanimationes acerrimæ, pavorumque incursio, quæ satis est ad animum fidentissimum labefactandum. Hinc fit, arbitror, ut quibusdam facies tetricæ sint, et suspiria veluti ex profundo trahantur, internæ flammæ fervorem exprimentia. Clamat igitur lumbus Moabitidis, id est, in doloribus est, labores angoresque habens intestinos rumoribus ante perculsus, bellumque nondum intentatum persentiscens. Cognovit enim hoc anima ejus. Hanc ob causam lamentabatur et clamabat in se usque ad Segor, nimirum tota regio Moabitica, et usque ad ipsos terminos. Narrant videlicet in ipsis finibus Moabitarum sitam esse Segor. Cujus igitur rei gratia hæc ei accident? Vitula est triennis. Tertius annus animantibus ratione carentibus, ad ætatis florem, et ad maturas vires efficiendas sufficit. Itaque et eo tempore domari debent. Quandiu ergo vitula est jugi inexperta, lasciviens et juvencula, et tenerum ac novum cornu proferens, exsultans ex septis et vestibulis ac stabulis, saltitat **251** identidem. Talis exstitit Moabitis, insultans vicinis, et in infirmiores insiliens. Excelsam autem dicunt esse, et popularem Aroniim ut vocatur, recipereque quotquot ad eam ex aliis seu urbibus, seu regionibus ventitant. Igitur, ait, ex ascensu Aroniim flentes ascendent. Vox autem flentium est, contritio et concussio. Siquidem clamarunt ob acerbitates eventuras ex bello, quod scilicet omnes tam urbes, quam domos concutit, et qui in iis sunt conterit.

Τὸ ὕδωρ τῆς Νεβρεὶμ ἔρημον ἔσται, καὶ ὁ χόρ-

VERS. 6. *Aqua Nemrim deserta erit, et herba ejus*

deficiet: herba enim viridis non erit; nunquid et sic debet servari?

Urbem Nebrim [al. *Nemrim*] positam esse aiunt in extrema ora regionis, mari Rubro vicinam, adeoque aquosam et feracem, ut equis multis abundare possit, ideoque esse etiam pugnacissimos homines, habereque equitatum bellandi peritum. Ex divina ergo, inquit, ira, ex hostium impressione, destituta erit aquis, viridique herba. Quo sane facto, jacebit omnino rei militaris scientia, sublatis ante equis, ac inedia intereuntibus. At si hoc, inquit, fiat, num igitur alte de se ac tam magnifice sentiet? Num si hoc contigerit, servabitur, et inimicorum manus effugiet? Fracta enim et exstincta eorum potentia, quæ demum erit spes salutis?

VERS. 7-9. *Inducam enim in vallem Arabes, et capient eam. Pertigit enim clamor ad terminum Moabitidis Agallim; et ejulatio ejus usque ad puteum Elim. Aqua Rhembon* [al. *Dimon*] *replebitur sanguine. Inducam enim super Rhembon Arabes. Et tollam semen Moab et Ariel. Et residuum Adama mittam tanquam reptilia super terram.*

Partes Damascenorum ad Austrum maxime vergentes, innumerabilia genera eorum qui Saraceni vocantur, incolere dicunt, et ad Persiam usque porrigi. Hi arma contulerunt, copiasque junxerunt cum Babyloniis, et populati sunt Moabitidem: sequebantur quippe et ipsi, licet ex ea gente essent, Moabitarumque vicini. Vocati sunt enim hi quoque Arabes. Capiendum itaque dicit Neurim: Inducam enim super vallem Arabes, et capient **252** eam. Vallem, ut videtur, Neurim nominat, quippe quæ in concavo loco sita sit, nimirum cum aliæ urbes in altum evectæ, et in montibus positæ sint. Quoniam vero non pars Moabitarum bello attrita est, sed tota omnino ac in totum conquassata est, et in morem ebrii jactata; ideo inquit a finibus ad fines perventurum clamorem, ululantium videlicet et eorum, qui casum pereuntium soliti sunt deplorare. Pertigit enim clamor, inquit, terminum Moabitidis, Agallim, et ejulatio ejus usque ad puteum Elim. Extimas autem urbes, et in ipsis locatas terminis nominat: Agallim, inquam, et puteum Elim. Cumque lamentum per omnes provincias tollendum asseverasset, uti dicebam, inde ait: Aqua Rhembon implebitur sanguine. Maxime autem irriguam Rhembon esse perhibent. Sed replebitur sanguine, inquit, hoc scilicet dicens, quod sanguis belli tempore occumbentium, cum largitate et copia aquarum contendet, et rubefacti apparebunt fluvii, diffunditurque aqua terræ, non jam pura, non aquæ speciem habens, sed diversi coloris, et sanguinea. Capiendamque eam ait ab Arabibus, ut totum semen Moab, et Ariel, tollatur, id est, perdatur et conficiatur. Et residuum mittam, inquit, velut reptilia super terram. Qui enim sunt acres et acerbi,

τος αὐτῆς ἐκλείψει· χόρτος γὰρ χλωρὸς οὐκ ἔσται, μὴ καὶ οὕτως μέλλει σωθῆναι;

Πόλιν εἶναί φασι τὴν Νεβρεὶμ κειμένην μὲν ἐν ἐσχατιαῖς τῆς χώρας, γειτνιῶσαν θαλάσσῃ τῇ Ἐρυθρᾷ εὔυδρον δὲ οὕτως καὶ εὔβοτον, ὡς καὶ ἵππον δύνασθαι κεκτῆσθαι πολλὴν τοὺς ἐν αὐτῇ· ταύτῃ τοι καὶ εἶναι μαχιμωτάτους, ἔχειν τε τὴν ἵππον ἐμπειροπόλεμον. Ἐκ θείας τοίνυν, φησὶν, ὀργῆς, ἐκ τῆς τῶν πολεμίων ἐφόδου, ἔρημος ἔσται καὶ ὑδάτων καὶ χόρτου χλωροῦ. Οὗ δὴ γεγονότος, ἀτονήσει πάντως ἡ τῶν τακτικῶν ἐμπειρία προανῃρημένων τῶν ἵππων, καὶ διολωλότων ὑπὸ λιμοῦ. Ἀλλ' εἰ τοῦτο γένοιτο, φησὶ, μὴ ἄρα φρονήσει μέγα καὶ οὕτως ἐφ' ἑαυτῆς; μὴ τούτου συμβεβηκότος μέλλει σωθῆναι, καὶ τὰς τῶν πολεμίων διαδράναι χεῖρας; προανῃρημένης γὰρ αὐτῶν τῆς ἰσχύος, ποία τις ἔσται λοιπὸν ἡ τῆς σωτηρίας ἐλπίς;

Ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα Ἄραβας, καὶ λήψονται αὐτήν. Συνῆψε ἡ βοὴ τὸ ὅριον τῆς Μωαβίτιδος τῆς Ἀγαλλεὶμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ Ἐλείμ. Τὸ δὲ ὕδωρ τὸ Ῥεμμὼρ πλησθήσεται αἵματος· ἐπάξω γὰρ ἐπὶ Ῥεμμὼρ Ἄραβας. Καὶ ἀρῶ τὸ σπέρμα Μωὰβ, καὶ Ἀριὴλ, καὶ τὸ κατάλοιπον Ἄδαμα ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τῆς γῆς.

Τὰ νοτιώτατα μέρη τῶν Δαμασκηνῶν κατανέμεσθαί φασι τὰ τῶν καλουμένων Σαρακηνῶν ἀναρίθμητα γένη, καὶ μέχρι αὐτῆς παρατείνοντα τῆς Περσῶν. Αὐτοὶ συνωπλίζοντο τοῖς Βαβυλωνίοις, καὶ κατεδῄουν τὴν Μωαβιτῶν· εἵποντο γὰρ καὶ αὐτοὶ καίτοι τάχα που καὶ γένος ὄντες, καὶ γείτονες τῇ Μωαβιτῶν. Κέκληντο γὰρ καὶ Ἄραβες καὶ αὐτοί. Ληφθήσεσθαι τοίνυν φησὶ τὴν Νεβρείμ· Ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα. Ἄραβας, καὶ λήψονται αὐτήν. Φάραγγα, δὲ κατὰ τὸ εἰκὸς, ὀνομάζει τὴν Νεβρεὶμ, διὰ τὸ ἐν κοίλῳ κεῖσθαι τόπῳ. Καίτοι τῶν ἑτέρων πόλεων ἠρμένων ὕψου, καὶ ἐν ὄρεσιν οὐσῶν. Ἐπειδὴ δὲ οὐ μέρος ἦν τῆς Μωαβιτῶν τὸ τῷ πολέμῳ συντετριμμένον, ἀλλ' ὅλη δι' ὅλου κατεδονήθη τε καὶ σεσάλευται μεθύοντος δίκην· ταύτῃ τοι φησὶν ἐκ περάτων εἰς πέρατα συναφθήσεσθαι τὴν βοὴν, τῶν ὀλολυζόντων δηλονότι, καὶ τὸν τοῖς ἀπολεῖσθαι μέλλουσι θρῆνον ἐκμελετᾷν εἰωθότων. Συνῆψε γὰρ ἡ βοὴ τὸ ὅριον τῆς Μωαβίτιδος, φησὶ, τῆς Ἀγαλλεὶμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ Ἐλείμ. Τὰς δὲ ἔξω πόλεις, καὶ ἐπ' αὐτοῖς τοῖς τέρμασι κειμένας ὀνομάζει, τήν τε Ἀγαλλεὶμ φημι, καὶ τὸ φρέαρ τοῦ Ἐλείμ. Τεθεῖσθαι δὲ τὸν θρῆνον εἰς πᾶσαν αὐτῶν τὴν χώραν διαβεβαιούμενος, ὡς ἔφην, εἶτά φησιν, ὅτι Τὸ ὕδωρ τὸ Ῥεμμὼν πλησθήσεται αἵματος. Ἐνυδροτάτην δὲ εἶναι λόγος τὴν Ῥεμμών. Ἀλλὰ πλησθήσεται, φησὶν, αἵματος, ἐκεῖνό που λέγων, ὅτι ταῖς τῶν ὑδάτων δαψιλείαις φιλονεικήσει κατὰ τὸν τοῦ πολέμου καιρὸν τῶν πιπτόντων τὸ αἷμα· καὶ πεφοινιγμένοι μὲν ὀφθήσονται ποταμοὶ, κατασκεδασθήσεται δὲ τῆς γῆς τὸ ὕδωρ, οὐκέτι καθαρὸν, οὔτε μὴν ὕδατος ὄψιν ἔχον, ἀλλ' ἑτερόχρουν καὶ αἱματοειδές. Ληφθήσεσθαι δὲ καὶ αὐτὴν ἐξ Ἀράβων φησὶν, ὥστε ἅπαν μὲν σπέρμα Μωὰβ, καὶ Ἀριὴλ ἐξαρθῆναι,

τοῦτ' ἔστιν, ἀπολέσθαι τε καὶ δαπανηθῆναι. Τό γε μὴν ὑπολελειμμένον ἀποστελῶ, φησὶν, ὡς ἑρπετὰ ἐπὶ τῆς γῆς. Πικροὶ γὰρ ὄντες ἀεὶ βαδιοῦνται πρὸς αἰχμαλωσίαν, καθάπερ τινὲς ὄφεις ταῖς τινῶν ἐπῳδαῖς γεγοητευμένοι, καὶ οἷον ἀπονυστάξαντες, εἰς τὸ ἀσυνήθως ἥμερον. Τὸ γάρτοι λέγειν Ἀποστελῶ, τὸ ἐκπέμψαι δηλοῖ. Ἔθος γὰρ τοῖς ἑλοῦσι χώραν ἢ πόλιν, οὐχὶ πάντας ἄρδην ἀπολύειν ἔσθ' ὅτε, δεδαπανημένης δὲ τῆς μαχιμωτάτης πληθύος, ἐν δορυλήπτων ποιεῖσθαι τάξει τοὺς περιλελειμμένους. Εἰ δὲ χρή τινα καὶ ταῖς ἱστορίαις ἐφαρμόσαι λόγον ἀναγκαῖον, ἰστέον, ὅτι ψυχὴ μὲν τῷ θείῳ φόβῳ τετειχισμένη, ἰσχυρά τέ ἐστι καὶ δυσάλωτος, καὶ τῆς τῶν μαχομένων αὐτῇ κατευμεγεθοῦσα χειρός. Νικᾷ γὰρ ἀρχάς τε καὶ ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Εἰ δὲ δὴ παρατρέποιτο πρὸς ἃ μὴ προσῆκεν, ἔξω τε τῆς εὐθείας φέροιτο τρίβου, καὶ τὸ Θεῷ δοκοῦν παρατρέχουσα, πρὸς τὰ ἐν τῷδε τῷ κόσμῳ καταφέροιτο πάθη, καὶ τὸν τῆς εὐπειθείας ἀποσείσαιτο ζυγὸν, ἀγυμνοῖ πάσης αὐτὴν ἐπικουρίας, καὶ οἷον ἀτείχιστον αὐτὴν ἀποφαίνει, καὶ ἀνασφαλεῖ τοῖς πολεμοῦσιν ἐργάζεται, καταλεαίνει τε τὰς ἐφόδους τὰς ἐπ' αὐτῇ τοῖς πάθεσιν, ὡς κατὰ μηδένα τρόπον ἰσχῦσαι διαφυγεῖν. Οὕτω παραδίδονται μὲν εἰς ἀδόκιμον νοῦν, καὶ γεγόνασιν εὐάλωτοι ταῖς ἐκτόποις ἐπιθυμίαις, σώζει δὲ αὐτὰς οὐδὲν, ἀλλ' εἰσὶν ὑπὸ πόδας ἐχθρῶν, ἀνάνδρως διεῤῥιμμέναι. Ἐὰν μὲν γὰρ κλείσῃ κατὰ τοὺς ἀνθρώπους, φησὶν, ὁ τῶν ὅλων Θεὸς, τίς ἀνοίξει, καὶ τὴν παναλκῆ τοῦ παραδεδωκότος πλεονεκτήσει δεξιάν; Μένωμεν τοίνυν ἐν τῷ θείῳ φόβῳ. Κερδανοῦμεν γὰρ οὕτω τῆς ἄνωθεν εὐμενείας τὴν χάριν· καὶ κατανεανιευσόμεθα πνευματικῶς, καὶ ἁμαρτίας, καὶ παθῶν, καὶ τῆς τοῦ διαβόλου πλεονεξίας ὀλίγα κομιδῇ φροντίζοντες, πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως καταντήσομεν, τὴν εὐκλεᾶ καὶ δοκιμωτάτην κατορθοῦντες ζωήν.

Μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος Σιών; Ἔσῃ γὰρ ὡς πτηνοῦ ἀνιπταμένου νεοσσὸς ἀφῃρημένος, θυγάτηρ Μωάβ.

Κατεστράτευσε τῆς Σαμαρείας κατὰ καιροὺς Σαλμανασὰρ ὁ Ἀσσύριος, εἷλέν τε τὰς ἐν αὐτῇ πόλεις· καὶ προσέτι τῶν τῆς Ἰουδαίας προσηδίκησε πολλὰς, καὶ δορύληπτον ἀπεκόμισε πληθὺν εἰς τὴν ἑαυτοῦ. Ταύτης τε ἕνεκα τῆς αἰτίας, ἐπετώθαζον τῇ Σιὼν ἤτοι τῇ Ἱερουσαλὴμ, τὰ Μωαβιτῶν ἔθνη, καὶ πέτραν αὐτὴν ἠρημωμένην ὠνόμαζον, οὐχ αὐτῆς που τάχα καταμειδιῶντες οἱ τάλανες, ἀλλὰ τοῦ ἐπὶ πάντας Θεοῦ· καὶ γοῦν καὶ ἔφασκον τὴν σώζουσαν αὐτοὺς ἀτονῆσαι χεῖρα, ταύτης τε ἕνεκα τῆς αἰτίας ὑπὸ πόδας ἐλθεῖν τῶν ἐχθρῶν. Ὦ τοίνυν θυγάτηρ Μωὰβ, φησὶν, ἐνήθει δὲ πάντως ὁ λόγος, μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος Σιών; Ἆρα μόνη, φησὶ, κέκμηκεν ἡ Σιών; ἆρα μόνη πέπτωκεν ὑπὸ πόδας ἐχθρῶν; καὶ τὴν τῶν ἐνοικούντων αὐτὴν νενόσηκεν ἐρημίαν; ἢ τοῖς ἔτι χείροσιν αὐτῆς περιπέπτωκας; Ληφθήσῃ γὰρ παρ' ἐχθρῶν, καὶ οἷον ἐκ καλιᾶς νεοσσὸς ἀφῃρη-

[26] Job XII, 14.

A semper ibunt in captivitatem, velut serpentes quidam aliquorum incantationibus præstigiisque fascinati, et præter solitum mansueti, conniventes. Dicendo enim, Mittam, amandare denotat. In more enim est his qui ceperunt regionem, vel civitatem, quandoque omnes delere funditus, sed multitudine pugnacissima consumpta, reliquos in classe numeroque captivorum ponere. Si vero historiis alium quempiam sermonem necessarium inserere liceat: tenendum est, animam Dei timore, velut muro obseptam, fortem esse et quodammodo invictam, et manum eorum, qui cum ipsa pugnant, superare. Vincit enim principatus, et potestates, mundi dominos, rectores harum tenebrarum, spiritualia nequitiæ in supercœlestibus. Sin divertat ad ea quæ
B non convenit, et extra rectum callem feratur, et Dei placita præteriens ac prætercurrens, ad mundanas cupiditates devolvatur, atque jugum obedientiæ respuat: omni eam denudat **253** subsidio, et velut sine maceria patentem efficit, hostibusque reddit incustoditam, viam præstruit et complanat assultibus cupiditatum contra eam, ita ut nullo modo possit effugere. Sic traduntur quidam in reprobam mentem, fiuntque expugnabiles, expositique monstrosis cupiditatibus, nec quidquam defendit eos, sed pedibus inimicorum projecti sunt ignaviter. Si enim, inquit, clauserit contra hominem universitatis Deus, quis aperiet [26]? et præpotentem tradentis dexteram quis superabit? Permaneamus ita-
C que in timore Dei. Sic enim supernæ misericordiæ gratiam lucrifaciemus, peccatum ac cupiditates spiritualiter tanquam juvenes vincemus, et diaboli tyrannidem parvi admodum ducentes, laudatam et probatissimam vitam recte instituentes, ad præmium supernæ vocationis perveniemus.

Cap. XVI. Vers. 1, 2. *Num petra deserta est mons Sion? Eris enim veluti avis volantis pullus ablatus, filia Moab.*

Oppugnavit Samariam capta opportunitate Salmanasarus Assyrius, cepitque ejus civitates, porro etiam Judææ multas male tractavit, et captivam multitudinem in suam regionem abduxit. Hanc ob
D causam illuserunt Sioni seu Jerusalem gentes Moabitarum, et petram desertam eam appellarunt: non tam irridentes eam miseri homines, quam eum qui est super omnes Deus, quippe dictitantes ejus manum opitulatricem elanguescere, et hanc ob rem etiam sub pedes venire hostium. O igitur filia Moab, inquit: usitata quidem est semper hæc oratio: num petra deserta est mons Sion? An, inquit, sola laboravit ac succubuit Sion; an sola corruit sub pedibus inimicorum? Et inopia incolarum afflictatur? Vel tu in deteriora quam ea sit, incidisti? capieris enim ab hostibus, et tanquam e nido pullus ereptus in alienam migrabis regionem, et inimicis

servies; erisque apud illos captiva, miserabilis et profligata, et servituti subjecta. Utile igitur et necessarium præceptum illud : « Si ceciderit inimicus tuus, ne gaudeas super eum, quia videbit Dominus, et non placebit ei, et avertet furorem suum ab ipso [27]. » Non enim convenit alienis lætari calamitatibus, nec id quod vicino accidit, nostræ voluptatis occasionem ansamque facere : at si quis forte sit mœrore confectus, **254** condolere illi potius, et ad nostra peccata oculo intento, multum reformidare, ne et in nos cædentis ira deveniat.

VERS. 3, 4. *Deinde vero, Arnon, plura consule, et fac tegmen planctus ipsi semper : in meridianis tenebris fugitant, obstupuerunt. Non ab initio habitabunt (1) apud te fugitivi Moab. Erunt tegumenta vobis a facie persequentis, quia sublatum est auxilium tuum, et princeps periit conculcans super terra.*

Ad interpretandum difficilis est mens horum verborum, propter personarum in personas transitiones, et compositionis asperitatem, nec omnium intelligentiæ obviam. Verumtamen quoad potero, enitar explicare. Deleta itaque tota Moabitide, eversis urbibus, incensis domibus, et prorsus rabiose sævientibus Babyloniis, qui elabi poterant, Arnon se receperunt. Urbs autem hæc munitissima est, et Moabitidi contermina. Habetur igitur ad eam sermo. Tu autem, inquit, posthac, o Arnon, plura consule. Observa, inquit, quo pacto servare poteris superstites, eosque qui immanitatem vastatorum potuerunt evadere. Fac etiam tegmen planctus ipsi semper. Et fac, inquit, comminiscere aliquid humanum, latebra esto intolerabili luctu confectis. Fugitant enim in meridianis tenebris, id est, cum dies est, et sol in meridie lucet, ipsi mentis caliginem circumferunt. Satis est enim ad turbandum animum mortis metus : et summæ desperationis assultum tanquam noctem quamdam mentis offundit. Hinc etiam ait : Et obstupuerunt. Nam belli terroribus perculsi, tantum non mente sensuque privati sunt. At si acceperis, inquit, Moabitas, scito tamen planissime, quod servasti non omnes, sed exiguas tantum et paucas eorum qui exstincti sunt reliquias. Hoc puto ostendere velle, cum dicit : Non a principio habitabunt juxta te fugitivi Moab. Non, cum primum movebatur bellum, inquit, suscepisti profugos : nonne admodum pauci et rari qui effugere potuerunt? Itaque producta sunt ad finem ea quæ a Deo contra Moabitas dicta sunt. Periit enim, licet exigua et vix quidem conservatæ sunt reliquiæ. Sed, o, inquit, Arnon, suscepisti Moabitas, **255** sperans fortassis eos quoque olim fore latibulum vobis a facie persequentis. Erit autem hoc minime. Unde?

[27] Prov. XXIV, 17, 18.

(1) Sec. Sept. ἀχθῆς, *ne ducaris, habitabunt*, etc.

μένος, εἰς ἑτέραν οἰχήσῃ χώραν, καὶ δουλεύσεις ἐχθροῖς, ἔσῃ τε παρ' αὐτοῖς αἰχμάλωτος οἰκτρὰ, καὶ κατεῤῥιμμένη, καὶ ὑπὸ ζυγὰ δουλείας. Χρήσιμον οὖν ἄρα καὶ ἀναγκαῖον παράγγελμα τό· « Ἂν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχάρῃς αὐτῷ, ὅτι ὄψεται Κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ· καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ. » Οὐ γάρ τοι προσήκει ταῖς ἑτέρων ἐπιγάννυσθαι συμφοραῖς, οὐδὲ θυμηδείας ποιεῖσθαι πρόφασιν τὸ τῷ πέλας συμβεβηκὸς, κἂν εἴ τις εἴη τυχὸν τῶν καταλυπεῖν εἰωθότων, ἐπιστυγνάζειν δὲ μᾶλλον αὐτῷ, καὶ τοῖς ἰδίοις πταίσμασιν ἐνιέντας τὸν ὀφθαλμὸν, δεδιέναι σφόδρα, μὴ ἄρα πως καὶ ἐφ' ἡμᾶς ὁ τοῦ καταπαίοντος ἐπέλθοι θυμός.

Ἔπειτα δὲ, Ἀρνῶν, πλείονα βουλεύου, ποίει τε σκέπην πένθους αὐτῇ διὰ παντός· ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσιν, ἐξέστησαν. Μὴ ἀπαρχῆς παροικήσουσιν οἱ φυγάδες Μωάβ· ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος, ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς.

Δυσερμήνευτος κομιδῆ τῶν προκειμένων ὁ νοῦς, διά τοι τάς τε τῶν προσώπων εἰς πρόσωπα μεταβάσεις, καὶ τὸ τῆς συνθήκης τραχὺ καὶ οὐ βάσιμον νῷ παντί. Πλὴν ὡς ἂν οἷός τε ὦ, πειράσομαι διειπεῖν. Πεπορθημένης τοίνυν ἁπάσης τῆς Μωαβιτῶν, πόλεών τε κατηρειπομένων, καὶ οἴκων ἐμπεπρησμένων, καὶ ἁπαξαπλῶς ἐκλελυττηκότων ἀγρίως τῶν Βαβυλωνίων, οἱ διαφυγεῖν ἰσχύσαντες μετῴκησαν εἰς τὴν Ἀρνῶν. Πόλις δὲ αὕτη τῶν ὀχυροτάτων, ὁμορός που τάχα τῇ Μωαβιτῶν. Ἔστι τοίνυν πρὸς αὐτὴν ὁ λόγος. Σὺ δὲ, φησὶ, μετὰ τοῦτο, ὦ Ἀρνῶν, πλείονα βουλεύου. Κατασκέπτου, φησὶ, τίνα τρόπον διασῶσαι δυνήσῃ τοὺς περιλελειμμένους καὶ διαφυγεῖν ἰσχύσαντας τῶν πεπορθηκότων τὴν ἀγριότητα. Ποίει τε σκέπην πένθους αὐτῇ διὰ παντός. Ναὶ, φησὶν, ἐσκέψω τι φιλάνθρωπον, σκέπη γένου τοῖς ἀφορήτῳ πένθει κατειλημμένοις. Φεύγουσι γὰρ ἐν μεσημβρινῇ σκοτίᾳ, τοῦτ' ἔστιν, ἡμέρας οὔσης, καὶ ἡλίου μεσημβρίζοντος αὐτοῖς σκοτίαν ἔχουσι κατὰ νοῦν. Ἱκανὸς γὰρ λίαν ὁ τοῦ θανάτου φόβος καταθολῶσαι ψυχὴν, καὶ οἷόν τινα νύκτα καταχέαι τοῦ νοῦ τῆς εἰς ἄκρον δυσθυμίας τὴν ἔφοδον. Ταύτῃ τοί φησιν, ὅτι Καὶ ἐξέστησαν. Μόνον γὰρ οὐχὶ καὶ τοῦ φοβεῖν ἔξω γεγόνασιν, τοῖς ἐκ τοῦ πολέμου καταπτοούμενοι δείμασιν. Ἀλλ' εἰ καὶ δέξαιο, φησὶ, τοὺς ἀπό γε τῆς Μωαβιτῶν, ἀλλ' οὖν ἴσθι τοι καὶ μάλα σαφῶς, ὅτι σέσωκας οὐ πάντας, ἀλλὰ βραχὺ καὶ εὐαρίθμητον τῶν ἀπολωλότων λείψανον. Τοῦτο οἶμαι δηλοῦν ἐθέλειν λέγοντα· Μὴ ἀπαρχῆς παροικήσουσιν οἱ φυγάδες Μωάβ. Μὴ ἐν ἀρχαῖς ὄντας τοῦ πολέμου, φησὶν, ὑπεδέξω τοὺς φυγάδας· οὐκ εὐαρίθμητοι κομιδῆ καὶ ὀλίγοι παντελῶς οἱ διαφυγεῖν ἰσχύσαντες; Οὐκοῦν εἰς πέρας ἐνήνεκται τὰ εἰρημένα παρὰ Θεοῦ κατὰ Μωαβιτῶν. Ἀπόλωλε γὰρ εἰ καὶ βραχὺ, καὶ μόλις διασέσωσται λείψανον. Ἀλλ', ὦ, φησὶν, Ἀρνῶν, ὑπεδέξω τοὺς ἐκ

τῆς Μωαβιτῶν, προσδοκήσασα τάχα που, ὅτι καὶ αὐτοὶ κατὰ καιροὺς ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος. Ἔσται δὲ οὐχὶ τοῦτο. Πόθεν; Ἤρθη γὰρ ἡ συμμαχία σου· καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς. Ὁ γὰρ ἀεί σοι συνασπίσας, φησὶ, τῆς Μωαβιτῶν ἡγούμενος, ὁ δεινὸς καὶ ὑπέροπτος, καὶ ὥσπερ τινὰ χοῦν καταπατεῖν εἰωθὼς τοὺς ἀνθεστηκότας, ᾤχετο καὶ ἀπόλωλεν. Ἤρθη γὰρ, καὶ ἐκ μέσου γέγονεν. Διδάσκει δὲ διὰ τούτων, ὅτι προσανῄρηται τοῖς Μωαβίταις, καὶ ἡ τοῦ δύνασθαί ποτε κρατῆσαι πάλιν αὐτοὺς ἐλπίς. Οἱ γὰρ ἀσεβεῖς ἐκ γῆς ὀλόῤῥιζοι, φησὶν, ὀλοῦνται· θείου δὲ ὅλως ἐπιπηδῶντος θυμοῦ, ποῖον ἔσται τῶν πεπονθότων λείψανον; Ἢ τίς ὁ ἀναστῆσαι δυνάμενος, Θεοῦ καταστρέψοντος;

A Sublatum est enim auxilium tuum, et princeps periit conculcans super terram. Qui enim, inquit, suppetias tibi semper tulit, Moabiticæ terræ præfectus, acer et elatus, qui tanquam pulverem calcare solitus est eos qui rebellarunt, periit et interiit. Exterminatus est enim et sublatus e medio. Docet enim hisce, quod etiam sit ablata et præcisa Moabitis spes posse aliquando rursus superiores obtinere. Impii enim, inquit, radicitus de terra perdentur; divina autem ira omnino insiliente, cujusmodi erunt, eorum qui afflicti sunt reliquiæ? Vel quis restaurare potest, subvertente Deo?

Καὶ διορθωθήσεται μετ' ἐλέους θρόνος, καὶ καθιεῖται ἐπ' αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ Δαβὶδ, κρίνων καὶ ἐκζητῶν κρῖμα, καὶ σπεύδων δικαιοσύνην.

Ἐν τούτοις σαφῶς ἐπαγγέλλεται τὸ ἀπαλλαχθήσεσθαι κατὰ καιροὺς τὸν Ἰσραὴλ, τῆς ἀφορήτου ταλαιπωρίας, καὶ τῶν ἐκ τῆς αἰχμαλωσίας κακῶν. Κύρου γὰρ ἑλόντος τὴν Βαβυλωνίων ἀνέθη μὲν ὁ Ἰσραὴλ, ἀνεκομίσθη δὲ κατοικτείροντος Θεοῦ εἰς τὴν ἁγίαν πόλιν, ἡγουμένων Ζωροβάβελ τοῦ Σαλαθιὴλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα καὶ Δαβὶδ, καὶ μέν τοι καὶ Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου. Ὁ τοίνυν θρόνος, φησὶ, τοῦτ' ἔστιν, ἡ παρὰ τοῖς Ἰουδαίοις βασιλεία, διορθωθήσεται μετὰ ἐλέους, τοῦτ' ἔστιν, εἰς τὴν οἰκείαν ἐπανήξει τάξιν, κατοικτείροντος Θεοῦ. Καθιεῖται δὲ πάλιν ἐπ' αὐτοῦ μετ' ἀληθείας ἐν σκηνῇ Δαβὶδ, κρίνων καὶ ἐπιζητῶν κρῖμα. Καὶ σκηνὴν, ὡς ἔοικεν, ὀνομάζει τὰ βασίλεια, ἐν οἷς ποιούμενοι τὰς διατριβὰς ἐδίκαζον, ἐννόμως αὐτοὺς τοὺς τῆς βασιλείας διέποντας θάκους. Καὶ τό γε ἧκον εἰς τὸ Θεῷ δοκοῦν, ἐπιμεληταὶ δικαιοσύνης γεγόνασιν, εἰ καὶ τῆς ἀρετῆς διημαρτήκασί τινες, ἀπονενευκότες ἐπὶ τὰ χείρω. Ἰστέον δὲ ὅτι μετὰ τὴν ἐκ τῆς Βαβυλῶνος ἐπάνοδον, οὐκέτι διῃρημένως κατῳκήκασιν οἱ ἐξ Ἰσραὴλ, ὡς εἶναι μὲν ἐν τῇ Σαμαρείᾳ τὰς δέκα φυλὰς, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραΐμ, βασιλεύοντος ἐπ' αὐτοῖς τινος, ἐν δὲ τοῖς Ἱεροσολύμοις τὴν Ἰούδα φυλὴν, καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ, πάλιν ἑτέρου καὶ ἰδικῶς βασιλεύοντός τινος ἐπ' αὐτῶν, ἀλλ' εἰς μίαν συνενεχθέντες διάνοιαν, κατῳκήκασιν ὁμοῦ τὰ Ἱεροσόλυμα, ἕνα λοιπὸν χρίοντες βασιλέα. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς προφήτου περὶ αὐτῶν εἰρημένον· Καὶ ἀναβήσονται ἐκ τῆς γῆς, καὶ κοπάσουσι μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντα. Πλὴν ὑπισχνεῖται Θεὸς τοῦ παρὰ τοῖς Ἰουδαίοις θρόνου τὴν ἐπανόρθωσιν, μονονουχὶ κατονειδίζων τὴν Μωάβ. Πεφλυάρηκε μὲν λέγουσα, ὅτι Πέτρα ἔρημός ἐστι τὸ ὄρος Σιών. Ἀλλά σοι μὲν, φησὶ, τοῦτο κἀκεῖνο συμβήσεται πλατὺ γελώσῃ κατὰ τῶν ἐξ Ἰσραήλ. Τοὺς δὲ πάντῃ τε καὶ πάντως ἐλεήσει Θεὸς, καὶ ἀνήσει μὲν τῶν συμβεβηκότων· ἀποκαταστήσει δὲ πρὸς τὸ ἐν ἀρχαῖς τὴν παρ' αὐτοῖς βασιλείαν ἐπανορθῶσαι.

B VERS. 5. *Et dirigetur cum misericordia solium, et sedebit in eo cum veritate in tabernaculo Davidis judicans et exquirens judicium, et accelerans justitiam*

In istis verbis aperte promittitur, Israelem suis temporibus a non ferenda infelicitate malisque quibus in captivitate oppressus erat, esse liberandum. Cum enim Cyrus Babyloniam cepisset, liberatus est Israel reductusque est Deo commiserante in sanctam civitatem, ducibus Zorobabelo filio Salathiel, qui erat ex tribu Juda et David, et Jesu filio Josedech magno sacerdote. Solium igitur, inquit, id est, Judaicum regnum instaurabitur cum misericordia, id est, in suum quasi proprium statum ac dignitatem restituetur miserante C Deo: et residebit denuo in eo cum veritate, et in tabernaculo David, judicans et vestigans judicium. Et tabernaculum ut videtur nominat basilicas seu regias, in quibus commorabantur judicantes legitime eos qui sedem regni administrabant. Et quod ad Dei voluntatem attinet, justitiæ cultores exstiterunt etiamsi a virtute aberraverint quidam, ad deteriora declinantes. Sciendum autem est post reditum e Babylone, non jam divisim habitasse Israelitas, ut Samariæ decem tribus et dimidia tribus Ephraim essent, imperitante illis uno, Hierosolymis autem tribus Juda, et dimidium tribus Manassis, rursus privatim regnante altero: sed in unam mentem conflati ac conspirantes, incolebant simul D Hierosolyma, unum porro regem inungentes. Hoc erat videlicet **256** voce prophetæ de illis dictum: Et ascendent de terra, et laborabunt paululum, ungendo regem et principem. Verum pollicitus est Deus Judaici throni instaurationem, tantum non probra in Moab jaciens. Scommata enim illa torsit, dicens: Petra deserta est mons Sion. Imo tibi, inquit ille, istud continget, quæ hianti ac largo ore rides Israelitas: horum vero prorsus penitusque miserebitur Deus, et ex his quæ acciderunt recreabit ac relaxabit, et in antiquam conditionem rediget, regnum eorum reformando.

Ἠκούσαμεν τὴν ὕβριν Μωὰβ, ὑβριστὴς σφόδρα.

Προαναφωνήσας εὖ μάλα τὴν ἐκ τῆς αἰχμαλωσίας

VERS. 6. *Audivimus superbiam Moab, valde contumeliosus est.*

Cum declaraverit superius reditum Israelitarum

e captivitate, juxta prius expositam rationem, et quod iterum ad veterem formam principatus, nimirum regni ipsorum, futura sit reditio, recipit se de integro ad Moab, ad eosque sermonem transfert. Dictum est autem velut ex persona sanctorum prophetarum illud: Audivimus insolentiam Moab, valde insolens est. Collaudant enim per hæc veluti in judicio punientem Deum, debitumque ac dignum illis inferentem supplicium. Audisse se dicunt insolentiam Moab, primum illam vetustissimam historiam non ignorantes, quam divinus Moses exponit. Ut enim supra diximus, conduxit Balaamum Balachus, Ades, inquiens, exsecrare mihi Israelem, et præterea quamplurima facta sunt, olim ex fastu ac superbia Moabitarum, cum divina majestate pugnantia.

Superbiam sustuli.

Sanctis prophetis disertissime confitentibus audivisse se insolentiam Moabitidis, et scire se valde insolentem ipsum esse, ex adverso respondet Deus, et ait: Superbiam sustuli, hoc est, non quidem simpliciter fastuosam Moab, sed veluti reipsa fastum et ipsam insolentiam e medio tollendam curavi. Bellum enim gero cum superbis, et pugno cum his qui de se modeste sentire nolunt, imo frustra intumescunt, et alte tollunt supercilium, suæque naturæ ignorant imbecillitatem. Scriptum est autem [28-29], quod Dominus superbis resistit. Deinde docens quod juste puniat, et simpliciter pœnas non abs re inducat, accusationem intendit contra Moab, superbia veluti morbo intolerabiliter laborantem.

257 *Non sic divinatio tua, non sic.*

Sustuli, inquit, igitur ego superbiam, hoc est, excidi Moab, sed hæc tibi non prænuntiarunt vaticinia tua. Annuntiarunt enim falsidici vates, quod bellicas incursiones superabis, ac facile vinces adversarios, neque capi poteris ab hostibus, victisque illudes. Verum hæc ita se non habent, at plurimum abest, imo in diversum evenit, et non pro voto ac spe, rerum erit exitus. Difficile igitur et vere noxium irridentium sermones attendere, et præstigiatorum vocibus abripi, quæ juxta spem nunquam evenient.

VERS. 7. *Ululabit Moab: in Moabitide enim omnes plorabunt, inhabitantibus Deseth meditationes.*

Quod non ita ut exspectarant cecidit divinatio, sed aliter omninoque diverse, demonstrat liquido, cum ait: Plorabit Moab, etsi qui divinationem et magicam artem exercebant, ploraturam eam minime prædicebant, imo deletis hostibus, applausuros et insultaturos jacentibus. Igitur omnes, inquit, in Moabitide lamentabuntur. Et meditatio erit habitantibus Deseth. Civitas autem hæc Moab,

[28-29] Jac. IV, 6.

A ἐπάνοδον τῶν ἐξ Ἰσραήλ, καὶ ὅτι πάλιν ἀναφοίτησις ἔσται πρὸς τὸ ἀρχαῖον τῆς παρ' αὐτοῖς ἀρχῆς, ἤγουν βασιλείας, ἐπάνεισι πάλιν ἐπὶ τὴν Μωάβ, καὶ μεθίστησιν ἐπ' αὐτοὺς τὸν λόγον. Εἴρηται δὲ ὥσπερ ἐκ προσώπου τῶν ἁγίων προφητῶν, τὸ, Ἠκούσαμεν τὴν ὕβριν Μωάβ, ὑβριστὴς σφόδρα Συναινοῦσι γὰρ διὰ τούτων, ὡς ἐν δίκῃ κολάζοντι τῷ Θεῷ, ὀφειλομένην τε καὶ πρέπουσαν αὐτοῖς ἐπενεγκόντι τὴν τιμωρίαν. Ἀχηκοέναι δέ φασι τὴν ὕβριν Μωάβ, πρῶτον μὲν τὴν ἀρχαιοτάτην ἐκείνην ἱστορίαν οὐκ ἠγνοηκότες, ἣν ὁ θεσπέσιος ἀφηγεῖται Μωσῆς. Ὡς γὰρ φθάσαντες εἴπομεν, κατεμισθοῦτο τὸν Βαλαὰμ ὁ Βαλάκ· Δεῦρο, λέγων, ἐπάρασαί μοι τὸν Ἰσραήλ. Πλεῖστα δὲ ὅσα πρὸς τοῦτο πέπρακται κατὰ καιροὺς παρὰ τῆς Μωαβιτῶν ὑπεροψίας τῇ τοῦ Θεοῦ μαχόμενα
B δόξῃ.

Τὴν ὑπερηφανίαν ἐξῇρα.

Τῶν ἁγίων προφητῶν ἐναργέστατα διωμολογηκότων, ἀχηκοέναι τε τὴν ὕβριν Μωάβ, εἰδέναι τε ὅτι καὶ σφόδρα ἐστὶν ὑβριστὴς, ἀνταποκρίνεται Θεὸς καί φησι· Τὴν ὑπερηφανίαν ἐξῇρα· τοῦτ' ἔστιν, οὐχ ὑπέροπτον ἁπλῶς οὖσαν τὴν Μωάβ, ἀλλ' οἷον αὐτὸ χρῆμα γενομένην ὑπεροψίαν ἐκ μέσου γενέσθαι παρεσκεύασα. Πολεμῶ γὰρ ὑπερηφάνοις, καὶ μάχομαι τοῖς οὐ μέτρια φρονεῖν ᾑρημένοις, εἰκῇ δὲ μᾶλλον ἐξογκουμένοις, καὶ ὑψοῦ τὴν ὀφρὺν ἀνατείνουσι, καὶ τῆς ἑαυτῶν φύσεως ἠγνοηκόσι τὴν ἀσθένειαν. Γέγραπται δὲ, ὅτι Κύριος ὑπερηφάνοις ἀντιτάσσεται. Διδάσκων δὲ ὅτι κολάζει δικαίως, καὶ οὐ
C μάτην ἁπλῶς ἐπάγει τὰς δίκας, καταγορεύει τῆς Μωάβ ὡς ἀφορήτως νοσούσης τὴν ὑπεροψίαν.

Οὐχ οὕτως ἡ μαντεία σου, οὐχ οὕτως.

Ἐξῇρα μὲν οὐκ ἐγὼ τὴν ὑπερηφανίαν σου, φησὶ, τοῦτ' ἔστιν, ἐξέκοψα τὴν Μωάβ, ἀλλ' οὐ ταῦτά σοι προήγγελλον αἱ παρὰ σοῦ ' ἁμαρτίαι. Ἐπηγγέλλοντο γὰρ ψευδοεποῦντες οἱ μάντεις, ὅτι καὶ κρείττων ἔσῃ τῆς τοῦ πολέμου προσβολῆς, καὶ νικήσεις εὐπετῶς τοὺς ἀνθεστηκότας, καὶ ἀνάλωτος ἔσῃ τοῖς ἐχθροῖς, καὶ ἡττωμένοις ἐπιτωθάσεις. Ἀλλ' οὐχ οὕτως αὔτ' ἔχει, πολλοῦ γε καὶ δεῖ. Μᾶλλον γὰρ ἐξέβη πρὸς τὸ ἐναντίον, καὶ οὐ κατ' ἐλπίδα σὴν, τῶν πραγμάτων τὸ πέρας. Παγχάλεπον οὖν καὶ ἐπιζήμιον ἀληθῶς, τὸ τοῖς τῶν διαπαιζόντων προσέχειν λόγοις, καὶ ταῖς τῶν
D γοητῶν ἀποκομίζεσθαι φωναῖς, εἰς ἐλπίδας οὐκ ἐκβησομένας.

Ὀλολύξει Μωάβ. Ἐν γὰρ τῇ Μωαβίτιδι πάντες ὀλολύξουσι· τοῖς κατοικοῦσι Δεσὲθ μελετήσεις.

Ὅτι μὴ οὕτως ἐκβέβηκεν ἡ μαντεία, καθὰ προσεδόκησαν, ἀλλ' ἑτεροτρόπως, καὶ εἰς πᾶν τοὐναντίον διαδείκνυσι σαφῶς, λέγων· Ὀλολύξει Μωάβ, καίτοι τῆς μαντείας, ἤγουν τῇ τῶν μάγων τέχνῃ κεχρῆσθαι μεμελετηκότων οὐκ ὀλολύξειν αὐτὴν προηγορευκότων, ἀλλὰ γὰρ ἐπαλαλάξειν ἀπολωλόσιν ἐχθροῖς καὶ ἐπορχήσασθαι κειμένοις. Οὐκοῦν ἅπαντες, φησὶν, οἱ ἐν τῇ Μωαβίτιδι κατολολύξουσι· καὶ μελέτησις ἔσται τοῖς

κατοικοῦσι Δεσέθ. Πόλις δὲ καὶ αὕτη τῆς Μωὰβ, οἳ κόμμον τάχα που καὶ θρῆνον εὔρυθμόν τε καὶ εὐμελῆ καθ' ἑαυτῶν μελετήσαντες, διὰ τούτου σημαίνονται.

Καὶ οὐκ ἐντραπήσονται πρὸς τὰ πεδία Ἐσεβῶν· πενθήσει ἄμπελος Σεβαμά. Καταπίνοντες τὰ ἔθνη, καταπατήσατε τὰς ἀμπέλους αὐτῆς ἕως Ἰαζήρ.

Ὁ λόγος ἐστὶν ἐν τοῖς πρὸς αὐτοὺς τάχα που τοὺς τὴν Μωὰβ ᾑρηκότας, Ἀσσυρίους τέ φημι καὶ Βαβυλωνίους, οἷς προστέταχε τὰ τῆς Ἐσεβὼν πεδία μὴ ἐντρέπεσθαι ἔτι καὶ αὐτὴν κατεμπρῆσαι τὴν Ἐσεβών· διαθεῖναι δὲ οὕτω καὶ τὴν Σαυαμὰ, ὡς πενθῆσαι καὶ τὰς οὔσας ἀμπέλους ἐν αὐτῇ. Πρὸς αὐτοὺς δὲ δὴ καί φησι· Καταπίνοντες τὰ ἔθνη. Ὑμῖν γὰρ ἐπιτάττω, φησὶν, ὦ τῶν ἐθνῶν ὀλετῆρες, καὶ ἄπλειστοί μοι καὶ ἀπηνέστατοι θῆρες, ἔθνη καταπίνοντες, καταπατήσατε τὰς ἀμπέλους αὐτῆς ἕως Ἰαζήρ. Πόλις δὲ καὶ αὕτη τῶν Μωαβιτῶν. Ἀμπέλους δὲ πάλιν ἐν τούτοις, τοὺς τῶν Μωαβιτῶν οἰκήτορας ὀνομάζει. Ἔθος γὰρ τῇ θεοπνεύστῳ Γραφῇ, καὶ δρυμοῖς καὶ ξύλοις καὶ μὴν καὶ ἀμπέλοις παρεικάζειν τοὺς ἐν ἑκάστῃ πόλει τε καὶ χώρᾳ. Καὶ γοῦν περὶ τοῦ Ἰσραὴλ φησιν· Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ ὁ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. Λέγων δὲ, ὅτι Καταπατήσατε τὰς ἀμπέλους αὐτῆς, δείκνυσι πάλιν, ὅτι μὴ τῆς τῶν Ἀσσυρίων χειρὸς ἔργον ἦν τὸ νικῆσαι τὴν Μωὰβ, ἀλλ' ἦν ὁ πάντα ἰσχύων Θεὸς ὑποφέρων τοῖς αὐτοῦ ποσὶ τοὺς ἀνθεστηκότας, καὶ τὸ δύνασθαι κρατεῖν τῆς ἐκείνων χειρὸς δωρούμενος.

Οὐ μὴ συνάψητε, πλανήθητε τὴν ἔρημον, οἱ ἀπεσταλμένοι· ἐγκατελείφθησαν, διέβησαν τὴν ἔρημον.

Φασὶν ὅτι τῶν Ἀσσυρίων ἐμβεβληκότων, πλεῖστοι τῶν Μωαβιτῶν εἰς τὴν ὅμορόν τε καὶ γείτονα φυγόντες ἔρημον διαλανθάνειν ἐσπούδαζον, καὶ μόλις ἐσπούδαζον, κομιδῇ βραχεῖς τὸν ἀριθμόν. Καὶ ἦν μὲν ἴσως οὐ χαλεπὸν τοῖς Βαβυλωνίοις κἀκείνους ἀνευρεῖν, ἐπαφιέντος Θεοῦ, καὶ μέχρις αὐτῶν ἐκτείνοντος τὴν ὀργήν. Ἐπειδὴ δὲ κολάζει μεμετρημένως φιλάνθρωπος ὤν, μονονουχὶ καὶ ἐντέλλεται τοῖς πεπορθηκόσι τὴν Μωὰβ, μὴ συνάπτειν τοῖς ἀπολωλόσι τοὺς φυγάδας, πλανᾶσθαι δὲ ὥσπερ ἐᾷν τὴν ἔρημον, τουτ' ἔστι, λήθῃ διδόναι καὶ παραπέμπεσθαι τὴν ἔρευναν τῶν ἐν αὐτῇ συνδεδραμηκότων. Ταύτητοί φησι, πλανηθῆναί τε τὴν ἔρημον. Οἱ ἀπεσταλμένοι ὑμεῖς, φησὶν, οἱ διὰ τῆς ἐμῆς ὀργῆς ἀπεσταλμένοι πρὸς τὸ κατὰ κράτος ἑλεῖν τὴν Μωὰβ, πλανήθητε τὴν ἔρημον, λήθῃ δότε, καὶ παραπέμψασθε τὴν ἔρημον, διέβησαν γὰρ αὐτήν. Εἶτα ἐπέῤῥιπται μεταξὺ τὸ, Ἐγκατελείφθησαν, ἐκεῖνο πάλιν διδάσκων, ὡς οὐκ ἂν ἐν τούτοις γέγονεν ἡ Μωαβιτῶν, εἰ μὴ προσκέκρουκεν οὐ μετρίως τῷ πάντα ἰσχύοντι Θεῷ.

Διὰ τοῦτο κλαύσομαι ὡς τὸν κλαυθμὸν Ἰαζὴρ, ἄμπελος Σεβαμά. Τὰ δένδρα σου κατέβαλεν Ἐσεβὼν, καὶ Ἐλάλει, ἐπὶ τῷ θερισμῷ καὶ ἐπὶ τῷ τρυγητῷ σου καταπατήσω, καὶ ἅπαντα πεσοῦνται,

A qui lugubres cantiones et lamentationes numerosas contra se excogitarunt, hinc significantur.

VERS. 8. *Et non reverebuntur campos Esebon, planget vitis Sebama. Qui absorbetis gentes, conculcate vites usque ad Jaser.*

In hisce sermo videtur esse ad eos qui Moab sustulerunt, ad Assyrios inquam, et Babylonios, quibus præcepit campos Esebon non revereri, id est, et ipsam Esebon incendere, et sic disponere Sebama, ut plangant vites quæ sunt in ea. Quibus etiam dicit: Absorbentes gentes. Vobis enim edico, inquit, o gentium pernicies et inexplebiles interfectores, qui tanquam crudeles et im-
B manissimæ feræ gentes absorbetis, conculcate vites ejus usque ad Jaser. Est autem hæc et urbs Moabitarum. Vites rursus hic Moabitarum incolas nominat. Est enim familiare Scripturæ divino afflatu proditæ, et silvis, et lignis, et sane vitibus assimilare eos, qui in singulis urbibus sunt atque provinciis. Et certe de **258** Israele ait: Vitis enim Domini Sabaoth, domus Israel est, et homo Juda, novella planta dilecta. Cum dicit: Conculcate vites ejus, rursus ostendit, non fuisse opus fortitudinis Assyriorum, expugnare Moab, sed Deus erat omnipotens, qui ipsorum pedibus eos qui adversantur subjicit, et dat ut eorum manum valeant superare.

C *Ne contingite, errate per eremum, qui missi estis: relicti sunt, pertransiverunt eremum* (1).

Aiunt Assyriis irrumpentibus complures Moabitarum in conterminam et vicinam confugisse eremum, et latere studuisse, et numero paucissimos vix fuisse conservatos. Nec difficile fuit Babyloniis etiam illos invenire, Deo permittente, et ad eos usque iram extendente. Sed cum plectit moderate, benignus cum sit, tantum non in mandatis dat his qui everterunt Moab, non adjungere se his qui delent profugos, sed errare sinant velut per desertum, id est, oblivioni tradant, et indagationem mittant eorum qui istuc confluxerunt. Hinc ait:
D Errate in eremo. Vos qui missi estis, inquit, qui ex mea ira emittimini, ut vi capiatis Moab, errate per eremum, date oblivioni, et explorationem remittite: transierunt enim illam. Deinde illud interponitur, Relicti sunt, illud rursus docens, quod non in his malis versata fuisset Moabitica provincia, nisi Deum omnia valentem nimium offendisset.

VERS. 9, 10. *Propterea plorabo velut ploratum Jaser, vitim Sebama: arbores tuas dejecit Esebon,* [al *Eleale*] *et dixit: In messe et in vindemia tua calcabo, et omnia cadent, et auferetur lætitia et exsultatio de*

(1) Τὴν ἔρημον; sec. Sept. et Hebr. θάλασσαν, *mare.*

vineis tuis, et in vineis tuis non lætabuntur, nec calcabunt vinum in torcularibus, nam cessavit.

Effingit propheticus sermo personam Moabitarum calamitatibus illacrymantem et etiam Jaser, supra reliquas devastatæ. Sic et alias lugere ait, ita ut par fuit, ipsam Jaser. Vites autem et arbores appellat eos qui inhabitarunt civitates, enumeratque **259** subversas urbes Sabama et Esebon. Hostilis autem populus loquitur. In messe et in vindemia tua, inquit; at quid loquitur? Calcabo videlicet, et omnia cadent. Et ad hæc: Auferetur porro lætitia et exsultatio ex vineis tuis. Est enim festivitatis amans Moabita, plurimis cæremoniis prosequens dæmonas, pernoctans in aris, et ansam lætitiæ habens, semper sacrificare. Plorabit et flebit, omnique voluptate procul aberit. Non enim lætitia afficientur, non calcabunt vinum in torcularibus: nam cessavit. Non erit, inquit, fructus vitibus; peribunt enim cum ipsis quæ ab iis nata sunt. Et de vitibus, si exscindantur penitus, vera hæc oratio. Sin pertineat ad nos, velut exempli gratia de rebus humanis, docet rursus hic sermo, quod cum gignentibus ea quæ genita sunt exolescent, ut neque ipsis prægnantibus ulla ab hostibus tribuatur misericordia. Passam hoc fuisse Jerusalem dicimus in bello adversus Romanos. Servator nimirum dixit, prænuntians ea quæ illi eventura erant, quod obsideretur ab exercitu, accideretque væ parientibus et uterum gerentibus, illis diebus maxime.

A *καὶ ἀρθήσεται εὐφροσύνη καὶ ἀγαλλίαμα ἀπὸ τῶν ἀμπέλων σου· καὶ ἐν τοῖς ἀμπελῶσί σου οὐ μὴ εὐφρανθήσονται· καὶ οὐ μὴ πατήσουσιν οἶνον εἰς τὰ ὑπολήνια, πέπαυται γάρ*

Ἀναπλάττει πρόσωπον ὁ προφητικὸς ἡμῖν λόγος, ἐπὶ ταῖς τῶν Μωαβιτῶν δακρυῤῥοοῦν συμφοραῖς, καὶ τάχα που τῆς Ἰαζὴρ ὑπὲρ τὰς ἑτέρας πεπορθημένης· οὕτω καὶ τὰς ἄλλας κατολοφύρεσθαί φησιν, ὥσπερ ἂν πρέποι καὶ τὴν Ἰαζήρ. Ἀμπέλους δὲ καὶ δένδρα τοὺς ἐνοικοῦντας ταῖς πόλεσιν ὀνομάζει. Ἀπαριθμεῖται δὲ καὶ τὰς πεπορθημένας τῆς πόλεως Σαβαμὰ καὶ Ἐσεβών. Ὁ δέ γε τῶν πολεμίων δῆμος ἐλάλησεν ἐπὶ τῷ θερισμῷ σου καὶ ἐπὶ τῷ τρυγητῷ σου, φησίν· ἐλάλησε δὲ τί; Τὸ, Καταπατήσω δηλονότι, καὶ ἅπαντα πεσοῦνται. Καὶ πρὸς τούτοις ἔτι· Ἀρθήσεται εὐφροσύνη B καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμπέλων σου· ὁ γὰρ φιλέορτος Μωαβίτης, ὁ πλείστας τοῖς δαίμοσιν ἀνατιθεὶς τελετὰς, ὁ διανυκτερεύων ἐπὶ βωμοῖς, καὶ πρόφασιν εὐφροσύνης τὸ θύειν ἔχων ἀεί. Κατοιμώξει καὶ κλαύσεται, καὶ ἀπάσης θυμηδείας ἔσται μακράν. Οὐ γὰρ μὴ εὐφρανθήσονται· οὐδ' οὐ μὴ πατήσουσιν οἶνον εἰς τὰ ὑπολήνια, πέπαυται γάρ. Οὐκ ἔσται, φησὶν, ἐν ἀμπέλοις καρπός· συνοιχήσεται γὰρ αὐταῖς τὰ ἐξ αὐτῶν τικτόμενα. Καὶ ἐπὶ μὲν ταῖς ἀμπέλοις εἰ ἐκκόποιεν ὅλως, ἀληθὴς οὑτοσὶ λόγος. Εἰ δὲ δὴ γένοιτο πρὸς ἡμῶν, ὡς ἐν δυνάμει παραδειγμάτων ἐπὶ τὰ ἀνθρώπινα διδάσκει πάλιν ὁ λόγος, ὡς ὁμοῦ γονεῦσι τὰ ἐξ αὐτῶν οἰχήσεται, ὡς μηδὲ αὐταῖς ταῖς κυοφορούσαις δοθῆναί τινα παρὰ τῶν πολεμίων τὸν ἔλεον. Πεπονθέναι δὲ τοῦτο κατὰ τὴν Ἱερουσαλὴμ φαμεν ἐν τῷ πρὸς Ῥωμαίους C πολέμῳ. Καὶ γοῦν ἔφασκεν ὁ Σωτὴρ προσαπαγγέλλων τὰ συμβησόμενα αὐτῇ, ὅτι κυκλωθήσεται μὲν ὑπὸ στρατοπέδων· συμβήσεται δὲ τὸ οὐαὶ μάλιστα ταῖς τικτούσαις καὶ ταῖς ἐν γαστρὶ ἐχούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

Vers. 11. *Propterea venter meus super Moab velut cithara sonabit, et interiora mea velut murus quem renovasti.*

Submotis, inquit, gaudio et lætitia de vineis tuis, et nullo in illis lætante, cum hoc usu venerit, fient interiora mea cithara et cantilena et modulatio super te. Tua enim enuntio mala, et percelebro inflictam tibi calamitatem. Et velut cithara quædam concinna resonabo, et sic percutiam, et exaudibile faciam carmen, velut murum quem renovasti. Dixit enim in principio visionis beatus propheta: Noctu peribit Moabitis; noctu enim destruetur murus Moabitidis. Cum autem nos sensum horum dictorum interpretaremur, diximus, terræmotu facto, murum disruptum fuisse Moabitidis, et ante hostium conflictum, tantum non de fundamentis commotum, ac Moabiticam regionem quasi tonitru perterrefecisse. Quem etiam refecerunt, sed irritum plane laborem in hoc **260** insumentes. Ceperunt namque facile citra laborem omnem terram Assyrii et Babylonii. Sonabunt igitur interiora mea, inquit, in tuis calamitatibus quasi cithara, et luctum adeo celebrem edam: quemadmodum scilicet murus, qui dejectus est, quem refecisti quidem, verum inutiliter. Etenim corruente sua

Διὰ τοῦτο ἡ κοιλία μου ἐπὶ Μωὰβ ὡς κιθάρα ἠχήσει, καὶ τὰ ἐντός μου ὡς τεῖχος, ὃ ἐνεκαίνισας.

Ἀφῃρημένων, φησὶν, ἀγαλλιάματός τε καὶ εὐφροσύνης ἐκ τῶν ἀμπέλων σου, καὶ οὐδενὸς ἐν αὐτοῖς εὐφρανθησομένου, συμβεβηκότος δὲ τούτου κἀκείνου, γενήσεται τὰ ἐντός μου καὶ κιθάρα καὶ ᾠδὴ καὶ μέλος ἐπί σοι. Τὰ σὰ γὰρ ἐξαγγέλλω πάθη, καὶ διαβόητον ἀποφαίνω τὴν ἐπενεχθεῖσάν σοι συμφοράν. Καὶ ὥσπερ τις εὔρυθμος ἀναβοήσω λύρα, κατακτυπήσω δὲ οὕτως, καὶ ἐξάκουστον ἐργάσομαι τὴν ᾠδὴν, ὡς τεῖχος ὃ ἐνεκαίνισας. Ἔφη μὲν γὰρ ἐν ἀρχαῖς τῆς ὁράσεως ὁ μακάριος προφήτης· Νυκτὸς ἀπολεῖται ἡ Μωαβῖτις· νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς Μωαβίτιδος. Διερ- D μηνεύοντες δὲ ἡμεῖς τῶν εἰρημένων τὴν δύναμιν, ἐλέγομεν, ὅτι σεισμοῦ γεγονότος, τὸ τῆς Μωαβίτιδος κατηῤῥάγη τεῖχος, καὶ πρὸ τῆς τῶν πολεμίων ἐκβολῆς μονονουχὶ καὶ ἐκ βάθρων ἀναμοχλευθὲν κατεβρόντησε τῆς Μωαβιτῶν, ὃ δὴ καὶ ἀνεκαίνισαν, ἀνόνητον παντελῶς τὸν ἐπί γε τούτῳ δαπανήσαντες πόνον. Εἷλον γὰρ ἀμογητὶ τὴν σύμπασαν γῆν Ἀσσύριοί τε καὶ Βαβυλώνιοι. Ἠχήσει τοίνυν τὰ ἐντός μου, φησὶν, ἐπὶ ταῖς σαῖς συμφοραῖς ὡς κιθάρα, καὶ διαβόητον οὕτως τὸ σὸν ἐργάσομαι πάθος· καθάπερ ἀμέλει τὸ σὸν κατηνέχθη τεῖχος, ὃ ἐνεκαίνισας μὲν, πλὴν ἐπ' οὐδενὶ

τῶν χρησίμων. Πεπτωκότος γὰρ αὐτομάτως τοῦ τεί- A χους, οὐδένα τῶν κατὰ πᾶσαν τὴν Μωαβιτῶν, ἤγουν καὶ ἑτέραις ὄντων πόλεσί τε καὶ χώραις ἔλαθεν τὸ συμβεβηκός.

Καὶ ἔσται ἐν τῷ ἐντραπῆναί σε, ὅτι ἐκοπίασε Μωὰβ ἐπὶ τοῖς βωμοῖς, καὶ εἰσελεύσεται εἰς τὰ χειροποίητα αὐτῆς, ὥστε προσεύξασθαι, καὶ οὐ μὴ δύνηται ἐξελέσθαι αὐτόν.

Καὶ τί πρὸς τούτῳ, φησὶ, συμβήσεται πάλιν, ὅπερ σοι γενήσεται πρὸς αἰσχύνης καὶ ἐντροπῆς· ματαίους γὰρ ἀνατλήσεις πόνους, ἀναπιμπλὰς μὲν αἱμάτων τοὺς παρὰ σοὶ βωμοὺς, καὶ ἀκαταλήκτους ποιούμενος τὰς θυσίας, καὶ λιθὰς προσάγων τοῖς χειροποιήτοις. Τεύξῃ τε οὐδενὸς τῶν εἰς ὄνησίν τε καὶ σωτηρίαν. Οὐ γάρ σε δυνήσονται τῶν ἐπηρτημένων ἀπαλλάξαι κακῶν. Ποία γὰρ ἰσχὺς ἐν εἰδώλοις ἀψύχοις, ἃ καὶ τέχνης ἐστὶν B ἀνθρωπίνης εὑρήματα, καὶ δημιουργοὺς ἔχουσι τοὺς προσκυνοῦντας αὐτά. Οὐκοῦν καθά φησιν ὁ μακάριος Δαβίδ· Ὅμοιοι αὐτοῖς γένωνται οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ἰστέον δὲ, ὅτι δεισιδαιμονέστεροι λίαν οἱ Μωαβῖται γεγόνασιν, οἰωνοσκοποί τε καὶ ψευδομάντεις, καὶ τερατολόγοι, καὶ πολὺ λίαν ἐπιθαρσήσαντες τοῖς ἐκ γοητείας κακοῖς. Ὤοντο γὰρ ἴσως κατευμεγεθήσειν δύνασθαι τῆς τῶν πολεμίων χειρὸς, οὐ τοσοῦτον, ὥς γε οἶμαι, ταῖς τῶν τακτικῶν ἐμπειρίαις, ὅσον ταῖς ἐπικουρίαις τῶν παρὰ σφίσι θεῶν. Ἀλλ' ἡμαρτήκασι τῆς ἐλπίδος, ἄψυχον ὕλην διὰ θυσιῶν τε καὶ λιτῆς καλέσαντες εἰς ἐπικουρίαν.

Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε Κύριος ἐπὶ Μωὰβ ὁπότε καὶ ἐλάλησεν.

Αὕτη, φησὶν, ἡ ὅρασις, ἡ κατὰ τῆς Μωαβιτῶν λα- C ληθεῖσα παρὰ Θεοῦ· ὁπότε καὶ ἐλάλησε, τοῦτ' ἔστιν, εἰ καὶ πρὶν τοὺς δι' ἐμοῦ γενέσθαι λόγους, πλεῖστά τε ὅσα λελάληκε περὶ αὐτῆς, καὶ ἐπὶ μυρίοις αὐτὴν κατῃτιᾶτο κακοῖς. Ὡς γὰρ ἔφην φθάσας, καὶ ὁ θεσπέσιος Μωσῆς τῆς τοῦ ἔθνους διαμέμνηται δυστροπίας, καὶ ἐν τοῖς ὅτι μάλιστα κατεστυγημένοις ποιεῖσθαι προστέταχεν. Ἔφη γοῦν· Οὐκ εἰσελεύσεται Ἀμμανίτης καὶ Μωαβίτης εἰς ἐκκλησίαν Κυρίου, καὶ ἕως δεκάτης γενεᾶς. Ἀπεκόμισέ ποτε καὶ τὸν Ἰσραὴλ τῆς εἰς Θεὸν ἀγάπης, καὶ προσκυνεῖν ἀνέπεισε τῷ Βεελφεγὼρ, ταῖς εἰς αἰσχρότητα τεθηγμένον ἡδοναῖς, καὶ γυναίων ὥραις σεσαγηνευμένον εἰς ἀπώλειαν. Οὐκοῦν λελάληκε μὲν περὶ αὐτῆς ὁ τῶν ὅλων Θεός. Καὶ νῦν δὲ δι' ἐμοῦ τοῦτο γέγονεν ἐπ' αὐτῆς D τὸ ῥῆμα, φησίν.

Καὶ νῦν λέγω, ἐν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα Μωὰβ, σὺν παντὶ τῷ πλούτῳ τῷ πολλῷ, καὶ καταλειφθήσεται ὀλιγοστὸς καὶ οὐκ ἔντιμος.

Εἰς ἀνάμνησιν ἱστορίας ἡμᾶς καὶ νῦν ὁ προφητικὸς ἀποκομίζει λόγος. Ἀποφοιτήσασαι γὰρ τῶν Ἱεροσολύμων δέκα τοῦ Ἰσραὴλ φυλαὶ, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραῒμ, κατῳκήκασιν ἐν τῇ Σαμαρείᾳ· προσκεκυνήκασι δὲ ταῖς χρυσαῖς· ἐνιέντος αὐτοὺς εἰς τοῦτο, καὶ δυσσεβῶς κατωθήσαντος Ἱεροβοὰμ τοῦ Νάβατ. Εἶτα καὶ ἑτέρας ἐπενόησαν ἐκεῖ τὰς ψευδο-

[30] Psal. CXIII, 8.

sponte muro, nemo erat vel in tota Moabitide, vel etiam in aliis urbibus ac provinciis, quem latebat quod acciderat.

VERS. 12. *Et erit tibi dedecori ac pudori, quod laboraverit Moab super aris, et ingredietur in manufacta sua ad supplicandum, et non poterunt eripere eam.*

Rursus continget et aliud quiddam præterea, quod tibi pudori erit et ignominiæ. Frustraneos enim labores exantlabis, sanguinibus altaria tua replendo, et juges sacrificationes faciendo, et manufactis supplicationes offerendo: consequeris autem nihil quod ad commodum salutemve pertineat: non enim ab te impendentibus malis poterunt liberare. Idolis enim inanimis quid tandem inest fortitudinis? quæ et humanæ artis inventa sunt, et artifices habent qui ea adorant. Itaque sicut beatus David ait: Similes illis fiant qui faciunt ea, et omnes qui fidunt in illis [30]. Sciendum autem, exstitisse Moabitas superstitiosissimos, et augures et vanos vates, et miraculorum jactatores, et præstigiis plurimum confisos. Existimabant enim se hostium manum devicturos, non tam, ut ego quidem censeo, usu peritiaque armorum, quam ipsorum deorum adminiculis. Verum spe frustrati sunt, qui inanimam materiam sacrificiis precibusque in auxilium vocarunt.

Hoc est verbum quod locutus est Dominus super Moab, quando et locutus est.

Hæc, inquit, visio est contra Moabiticam dicta a Deo: quando etiam locutus est, id est, etiamsi antequam per me verba fierent, quàmplurima de ea locutus est, et ob infinita mala eam insimulavit. Quemadmodum enim superius dixi, divinus Moses gentis hujus commemorat perversitatem, et in odiosissimis ac infestissimis haberi jussit. Dixit itaque: Non ingredietur Ammanita, et Moabita in ecclesiam **261** Domini, etiam usque ad decimam ætatem. Abduxit item aliquando Israelem a charitate in Deum, persuasitque adorare Beelphegor, voluptatibus ad fœditatem stimulatum, et venustate muliercularum illaqueatum ad interitum. Itaque de ea locutus est universitatis Deus. Et nunc, inquit, per me factum est verbum super ea.

VERS. 14. *Et nunc dico, in tribus annis annorum mercenarii, ignominia afficietur gloria Moab cum omnibus divitiis, iisque multis, et relinquetur paucissimus, et non honoratus.*

Ad commemorationem historiæ nunc quoque revocat nos sermo propheticus. Secesserunt videlicet ab Hierosolymis decem tribus Israel, et dimidia tribus Ephraim, habitaruntque in Samaria, ac juvencas aureas adorarunt, invitante eos ad hoc Jeroboam filio Nabat, impieque impellente. Dein et alios cultus commentitios illic excogitarunt, quisque

pro suo arbitratu consecrantes quasi Deum. Indignatus igitur his universitatis Deus, utpote majestate ipsius contumeliose commaculata, patriisque scitis proculcatis, tantum non conductum Assyrium Salmanasarum in eos immisit, qui et totam Samaritanorum terram in manum potestatemque redegit, tribus continuis annis illi insidens ac incubans: eodemque toto tempore vi capta est terra Moabitica. Proinde, inquit, quanquam locutus sit olim Deus, sed et nunc dico, quod in tribus annis annorum mercenarii, id est, regis Assyriorum, ignominia afficietur gloria Moab. Quo verbo, vel ipsorum dicit regnum, vel magnitudinem urbium, vel inhabitantium multitudinem, vel fortassis ætatem rei bellicæ peritam. Derelinquetur autem inquit, paucissimus, et non honoratus; id est, bello conficietur quidquid est apud eos honorificum: superstites et jam omnino pauci erunt, abjectissimi, et parum masculi, nulloque habiti in pretio. Terribile igitur incidere in manus Dei viventis [31.32]; et omnipotentem audere offendere, quid aliud est, quam omnes calamitates consciscere? At salus est libenter illi parere, ipsum solum scire, et erroris laqueos evitare, eique cum affectu bono dicere: Domine, extra te alium non cognovimus, nomen tuum nominamus.

A λατρείας ἕκαστοι τὸ δοκοῦν ἀνατιθέντες ὡς Θεόν. Ἀγανακτήσας τοιγαροῦν ἐπὶ τούτοις ὁ τῶν ὅλων Κύριος, ἅτε δὴ καὶ ὑβρισμένης αὐτοῦ τῆς δόξης, καὶ πεπατημένων τῶν πατρῴων θεσμῶν, μονονουχὶ κατεμισθώσατο τὸν Ἀσσύριον Σαλμανασὰρ καὶ ἐπαφῆκεν αὐτοῖς, ὃς καὶ πᾶσαν τὴν Σαμαρειτῶν κατεχειροῦτο γῆν, τρισὶν ὅλοις ἔτεσιν ἐνιζήσας αὐτῇ· κατὰ τὸν αὐτὸν τουτονὶ χρόνον ἥλω κατὰ κράτος ἡ Μωαβιτῶν. Οὐκοῦν εἰ καὶ λελάληκε, φησὶ, καὶ πάλαι Θεὸς, ἀλλὰ καὶ νῦν λέγω, ὅτι ἐν τοῖς τρισὶν ἔτεσιν τῶν ἐτῶν τοῦ μισθωτοῦ, τοῦτ' ἔστι, τοῦ βασιλέως Ἀσσυρίων, ἀτιμασθήσεται ἡ δόξα Μωάβ. Καὶ διά γε τούτων, ἤτοι τὴν παρὰ αὐτοῖς βασιλείαν φησὶν, ἢ καὶ κατὰ τὰ μεγέθη τῶν πόλεων, καὶ τὴν τῶν ἐνοικούντων πληθὺν, ἢ τάχα που, τὴν ἐμπειροπόλεμον ἡλι-
B κίαν. Καταλειφθήσεται δὲ, φησὶν, ὀλιγοστὸς καὶ οὐκ ἔντιμος, τοῦτ' ἔστι, δαπανηθήσεται μὲν τῷ πολέμῳ πᾶν ὅπερ ἐστὶ τίμιον παρ' αὐτοῖς· οἱ δέ γε περιλειφθέντες ὀλίγοι τε ἔσονται παντελῶς, ἀτιμώτατοί τε καὶ ἄνανδροι, καὶ τοῦ μηδενὸς ἄξιοι λόγου. Φοβερὸν οὖν ἄρα, τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· καὶ τὸ προσκρούειν ἀποτολμᾷν τῷ πάντα ἰσχύοντι, πῶς οὐχ ἁπάσης ἔσται πρόξενον συμφορᾶς; Σωτήριον δὲ καὶ τὸ ὑποκεῖσθαι φιλεῖν αὐτῷ, καὶ αὐτὸν εἰδέναι μόνον, καὶ τῶν τῆς πλάνης ἀρκύων ἀποφοιτᾷν, λέγειν τε αὐτῷ μετὰ διαθέσεως ἀγαθῆς· Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

262 CAP. XVII. *VERBUM CONTRA DAMASCUM.*

Fortissima et clarissima civitas Damascenorum, ac impia et Deo rebellis, et sanctissimo Deo maxime invisa, ac cultrix idolorum, tum impietate atque elatione ipsis Assyriis nullo modo inferior. Offendit item alia ratione omnipotentem Deum. Oriundi enim sanguine Israelis, id est, decem tribus et dimidia tribus Ephraim, quæ migrarunt ab Hierosolymis, et quæ incoluerunt Samariam, vitulis aureis sese prostraverunt, inducente ad hoc ac impellente impio Jeroboam filio Nabat: omninoque refugerunt, modisque omnibus a charitate in Deum resiluerunt in oblivionem legis datæ sibi a sapientissimo Mose, adducti. Cum autem aliquando tempus vocaret, et bellum adventaret, non in Deo vivente spem locarunt, sed asciverunt potius eos qui illis temporibus Damasci omnisque Assyriorum terræ regnum obtinebant, ut ipsis ferrent auxilium, et e manu hostium eriperent. Succensuit igitur hanc ob causam, et contra eos exacerbatus est universitatis Deus. Obliti enim prorsus se ex Ægypto fuisse redemptos, intolerabile jugum servitutis excussisse, et per medium mare transivisse, dein manna edisse, aquam ex petra potasse, omnibusque inimicis prævaluisse, hæredes bonorum patribus repromissorum exstitisse, ab hominibus opem implorabant miseri, modo non Deum atro notantes calculo, quasi eos servare non potuerit. Hanc igitur ob causam traditi sunt regi Assyriorum, qui universa capta Samaria

[32] Hebr. x, 31.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΤΗΣ ΔΑΜΑΣΚΟΥ.

C Γέγονε μὲν ἀλκιμωτάτη καὶ ἐπισημοτάτη πόλις ἡ Δαμασκηνῶν· δυσσεβὴς δὲ καὶ θεομάχος, καὶ τῶν ὅτι μάλιστα κατεστυγημένων παρά γε τῷ παναγίῳ Θεῷ· καὶ ἦν εἰδωλολάτρης, καὶ ταῖς Ἀσσυρίων βδελυρίαις τε ὁμοῦ καὶ ὑπεροψίαις κατ' οὐδένα παραχωροῦσα τρόπον. Προσκέκρουκε δὲ καὶ ἑτέρως τῷ πάντα ἰσχύοντι Θεῷ. Οἱ γὰρ ἐξ αἵματος Ἰσραὴλ, τοῦτ' ἔστιν, αἱ δέκα φυλαὶ, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραῒμ ἀποφοιτήσασαι τῶν Ἱεροσολύμων, καὶ ἐν τῇ Σαμαρείᾳ κατοικήσασαι, προσκεκυνήκασι μὲν ταῖς δαμάλεσι ταῖς χρυσαῖς, κατενεγκόντος αὐτὰς εἰς τοῦτο, καὶ κατωθήσαντος ἀνοσίως Ἱεροβοὰμ τοῦ Ναβάτ· ἀποσκιρτήσασαι δὲ εἰσάπαν, καὶ τῆς εἰς Θεὸν ἀγάπης ὁλοτρόπως ἀποπηδήσασαι· νόμου δὲ τοῦ δο-
D θέντος αὐτοῖς διὰ τοῦ πανσόφου Μωσέως εἰς λήθην ἐνηνεγμένοι. Καιροῦ καλοῦντός ἔσθ' ὅτε, καὶ πολέμου μέλλοντος ἥξειν ἐπ' αὐτοὺς, οὐκ ἐπί γε τῷ σώζοντι Θεῷ μᾶλλον ἐποιοῦντο τὴν ἐλπίδα, παρεκάλουν δὲ μᾶλλον τοὺς κατὰ καιρὸν τῆς Δαμασκοῦ, καὶ ἁπάσης δὲ τῆς Σύρων βασιλεύοντας γῆς ἐπαμῦναί τε σφίσι, καὶ τῆς τῶν πολεμίων ἐξελέσθαι χειρός. Ἠγανάκτει τοιγαροῦν καὶ ταύτης μάλιστα τῆς αἰτίας ἕνεκα, καὶ κατεπικραίνετο πρὸς αὐτοὺς ὁ τῶν ὅλων Θεός. Ἐπιλαθόμενοι γὰρ εἰσάπαν, ὅτι λελύτρωνται μὲν ἐξ Αἰγύπτου, καὶ τὸν δυσφόρητον τῆς δουλείας ἀπεσείσαντο ζυγὸν, διεβιβάσθησαν δὲ καὶ διὰ θαλάσσης μέσης, εἶτα τὸ μάννα φαγόντες, καὶ ὕδωρ τῆς πέτρας πεποτισμένοι, κατευμεγεθήσαντές τε

παντὸς ἐχθροῦ, κληρονόμοι γεγόνασι τῶν τοῖς πατράσιν ἐπηγγελμένων ἀγαθῶν, τὰς ἐξ ἀνθρώπων ἐκάλουν ἐπικουρίας οἱ τάλανες, μονονουχὶ τὸ μὴ δύνασθαι σώζειν αὐτοὺς καταψηφιζόμενοι τοῦ Θεοῦ. Ταύτης τοι ἕνεκα τῆς αἰτίας παρεδόθησαν τῷ τῶν Ἀσσυρίων βασιλεῖ, ὃς πᾶσαν ἑλὼν τὴν Σαμάρειαν, καὶ αὐτὴν πεπόρθηκε τὴν Δαμασκὸν, καὶ ἅπασαν δὲ τὴν τῶν Σύρων ἠρήμωσε γῆν. Ὅτι ἀληθεῖς ἡμῖν οἱ περὶ τούτων γεγόνασι λόγοι, πιστώσεται λέγων αὐτὸς ὁ προφήτης Ἡσαΐας· Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωάθαμ τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥαασσὼν βασιλεὺς Ἀρὰμ, καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἱερουσαλὴμ πολεμῆσαι αὐτὴν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. Καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβὶδ λέγοντες· Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ, τοῦτ' ἔστιν, ὁ Σύρος πρὸς τοὺς ἐν τῇ Σαμαρείᾳ. Ὁ μὲν γὰρ Ἀρὰμ διερμηνεύεται Σύρος· ὁ δὲ Ἐφραΐμ ὡς ἀπὸ φυλῆς Ἐφραΐμ, ἅπαντα τὸν Ἰσραὴλ τὸν ἐν τῇ Σαμαρείᾳ κατῳκηκότα δηλοῖ. Ἐπειδὴ γὰρ ἐκ φυλῆς Ἐφραΐμ γέγονεν Ἱεροβοὰμ ὁ πρῶτος αὐτῶν βεβασιλευκὼς, καὶ μετ' ἐκεῖνον οἱ καθ' ἑξῆς, ὡς ἐκ τῆς βασιλευούσης φυλῆς, φημὶ δὴ τῆς τοῦ Ἐφραΐμ, ὁ σύμπας Ἰσραὴλ ὁ ἐν τῇ Σαμαρείᾳ σημαίνεται. Εὑρήσομεν δὲ καὶ ἐν τῇ τετάρτῃ τῶν βασιλειῶν, ὅτι βασιλεύοντος ἐν τῇ Σαμαρείᾳ Φακεὲ, κατεπεφύοντο τῶν ἐξ Ἰσραὴλ οἱ Σύροι, καὶ ὁ τῆς Δαμασκοῦ βεβασιλευκὼς Ῥαασσών. Εἶτα χρήμασι ἀναπείθει τὸν Ἀσσυρίων τύραννον ὁ Ἄχαζ, παρεκάλει δὲ δρομαῖον ἥκειν, καὶ ἐπαμῦναι μὲν αὐτῷ, καταδηῶσαι δὲ τὴν Δαμασκόν· ὃ δὴ καὶ γενέσθαι συμβέβηκεν. Τίνα τοίνυν διόλωλε τρόπον ἡ μαχιμωτάτη καὶ πανσθενὴς καὶ ὑβρίστρια, προαναφωνεῖ πάλιν ἡμῖν ἐν τούτοις ὁ προφήτης, καί φησιν·

A ipsam delevit Damascum, et omnem Syrorum terram vastavit. Vera autem esse de illis hæc verba, confirmabit ipsemet propheta Isaias [83], cum dicit: Et factum est diebus Achaz Joathan, filii Osiæ regis Juda, ascendit Raasson rex Aram, et Phacee filius Romeliæ rex Israel contra Jerusalem ut oppugnaret eam: et non potuerunt obsidere eam. Et nuntiatum est domui David a dicentibus: Conspiravit Aram contra Ephraim, id est, Syrus contra **263** Samaritanos. Aram quippe interpretatur Syrus: Ephraim autem velut a tribu Ephraim, omnem Israelem qui in Samaria habitavit designat. Quia enim ex tribu Ephraim exstiterat Jeroboam, primus eorum rex, et secundum illum hi qui subsequuntur ordine, tanquam ex regia tribu, tribu inquam B Ephraim, universus Israel qui in Samaria fuit, significatur. Inveniemus autem in libro quarto Regnorum, Phacee in Samaria regnante, adversatos fuisse Israelitis Assyrios, et Raasson qui Damasci regnum administravit. Post pecunia persuadet tyranno Assyriorum Achaz, evocatque ut curriculo veniat ipsique succurrat, Damascumque propulset: quod etiam fieri contigit. Quomodo itaque hæc bellicosissima et potentissima et insolens deleta est, rursus hisce verbis proclamat propheta, et inquit:

Ἰδοὺ Δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων, καὶ ἔσται εἰς πτῶσιν, καταλελειμμένη εἰς τὸν αἰῶνα, εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν, καὶ οὐκ ἔσται ὁ διώκων.

C VERS. 1, 2. *Ecce Damascus tolletur a civitatibus, et erit in ruinam, derelicta in sæculum, in cubile gregum et requietem, et non erit persequens.*

Οὐχ ἁπλῶς εἰς πεῖραν πολέμων, καὶ τῶν ἐντεῦθεν κακῶν ἀφήξεσθαί φησιν αὐτήν· ἀρθῆναι δὲ μᾶλλον, τοῦτ' ἔστιν, ἄρδην ἀπολέσθαι, καὶ ἀποπεσεῖσθαι παντελῶς τοῦ εἶναι καὶ πόλιν. Ἔσται γὰρ, φησὶν, εἰς πτῶσιν εἰς τὸν αἰῶνα καταλελειμμένη· καταλελειμμένη δὲ πρὸς τίνων, ἢ πάντως που τῶν κατοικούντων αὐτὴν, οὐχ ὡς ἐπὶ μετῳκηκότων, ἀλλ' ὡς τοῖς τῶν πολεμίων ξίφεσι δεδαπανημένων. Ἔσεσθαι δὲ λέγων αὐτὴν εἰς κοίτην ποιμνίων, τὴν παντελῆ δέδειχεν ἐρημίαν· οὐ γὰρ ἂν ἀνεπαύσαντο ποιμένες, καὶ ἐν αὐτῇ κατέδυσαν αἱ τῶν θρεμμάτων ἀγέλαι, εἴπερ τινὲς ἦσαν ἐν τοῖς οἴκοις αὐτῆς. Ταύτῃ τοι καὶ σφόδρα εἰκότως προσεπάγει λέγων· Καὶ οὐκ ἔσται ὁ διώκων. Οὐδεὶς γὰρ τοῖς ποιμέσιν ἐπιτιμήσει, φησὶν, ὅτι κατάλυμα πεποίηνται τὴν οὕτω λαμπρὰν καὶ ἀοίδιμον πόλιν.

Non simpliciter in periculum bellorum et malorum hinc nascentium deventuram dicit eam, sed auferendam potius, id est stirpitus perdendam, omninoque casuram, ut non sit futura civitas. Erit enim in ruinam, inquit, in perpetuitatem relicta, derelictaque ab aliquot, vel in totum ab his qui eam incolunt. non quod ad alium recessum receptumque commigrent, sed hostium gladiis confecti sint et absumpti. Cum dicit, fore eam in cubile gregum, omnimodam ostendit desolationem. Non requiescerent pastores, non in ea pecorum greges stabula- D rent, si qui essent in ejus domibus. Hanc ob rem et meritissime protulit, dicens: Et non erit persequens. Nemo enim, inquit, increpabit pastores, quod civitatem tam illustrem et decantatam stabulum effecerint.

Καὶ οὐκ ἔτι ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν Ἐφραΐμ, καὶ οὐκέτι ἔσται βασιλεία ἐν Δαμασκῷ, καὶ τὸ λοιπὸν τῶν Σύρων. Οὐ γὰρ σὺ βελτίων εἶ τῶν υἱῶν Ἰσραὴλ, καὶ τῆς δόξης αὐτῶν.

VERS. 3. *Et non amplius erit munita, ut confugiat illuc Ephraim. Et non amplius erit regnum in Damasco, et reliquum Syrorum. Non enim tu melior es filiis Israel, et gloria eorum.*

Ὑπὲρ τῆς τῶν προκειμένων ἀκριβοῦς σαφηνείας, οἰήσομαι δεῖν ὑπομνῆσαι πάλιν ἱστορίας κειμένης ἐν βιβλίοις Βασιλειῶν. Βασιλεύοντος γὰρ τοῦ Ἄχαζ ἐπὶ

Pro exacta declaratione eorum quæ proposita sunt, rursus existimo commemorandam esse historiam positam in libro Regnorum. Regnante enim

[83] Isa. VII, 1 sqq.

Achaso super Judam Hierosolymis, Phacee filius A Romeliæ **264** regnans in Samaria super decem tribus, oppugnavit Hierosolyma. At cum vereretur ne non satis potens esset ad capiendum, armorum socium et commilitonem fecit Raasson regem Syrorum et Damasci. Sic autem ait beatus propheta Isaias[24]: Et factum est, diebus Achaz, filii Joatham, filii Oziæ regis Juda, ascendit Raasson rex Aram (exponitur vero, Syrorum seu Syriæ:) et Phacee filius Romeliæ rex Israel in Jerusalem, ut pugnaret contra eam. Et nuntiatum est domui David a dicentibus: Consensit Aram adversus Ephraim, id est, Syrus adversus eum qui ex tribu Ephraim regnum tenuit Samariæ. Et obstupuit anima ejus, et anima populi ejus, quemadmodum in silva lignum a vento jactatur. Itaque Ephraim, relicto universorum Servatore Deo, B ejusque manu atque auxilio parvipenso, Damasci Syrorumque præsidem adjutorem ascivit: eamque ob causam, nec immerito offendit Deum. Damascus itaque, inquit, vastata, et in desolationem redacta, bellicasque calamitates subiens, non erit amplius munitio ut confugiat Ephraim, sed nec erit in ea regnum. Quanquam dixerit quispiam, Etiam post excidium inventi sunt quidam reges Damasci. Meminit proinde et Paulus inquiens: « In Damasco præfectus gentis, Areta rege, quæsivit ut me comprehenderet[25]. » Itaque sermo propheticus magnam emphasim habet. Non enim amplius fore ait regnum potens in Damasco et illustre, etiamsi postea toparchæ fuerint, seu potius præfecti tribuum, C qui tamen veri regni splendorem non sunt adepti. Non itaque erit, inquit, in Damasco regnum, etiam residuum Syrorum in ea debilitabitur, id est, universa gens in ea. Metropolis etenim Syriæ Damascus. Deinde dicit ei: Non enim tu melior es filiis Israel, et gloria eorum. Nam, inquit, si non peperci sorti distributæ, ac deputatæ mihi, nimirum Israelitis in me delinquentibus, quidnitu detrimenta ex bello importata omnibus modis sustineres, nulla in re Israele melior?

τὸν Ἰούδαν ἐν τοῖς Ἱεροσολύμοις, Φακεὲ υἱὸς Ῥομελίου βασιλεύων ἐν τῇ Σαμαρείᾳ δέκα φυλῶν κατεστρατεύετο τῶν Ἱεροσολύμων. Ἐπειδὴ δὲ ἐδεδίει μή ἄρα πως ἀτονήσῃ πρὸς τὸ ἑλεῖν αὐτὴν, σύνοπλον ἐποιεῖτο τὸν Ῥαασσὼν τὸν βασιλέα Σύρων καὶ τῆς Δαμασκοῦ. Ἔφη δὲ οὕτως αὐτὸς ὁ μακάριος προφήτης Ἡσαΐας· Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωάθαμ τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥαασσὼν βασιλεὺς Ἀρὰμ, (διερμηνεύεται δὲ Σύρων, ἤτοι Συρίας·) καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ εἰς Ἱερουσαλὴμ πολεμῆσαι αὐτήν. Καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβὶδ, λέγοντες· Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραῒμ, τοῦτ' ἔστιν, ὁ Σύρος πρὸς τὸν ἐκ φυλῆς Ἐφραῒμ βασιλεύοντα τῶν ἐν Σαμαρείᾳ. Καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ὅταν ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. Οὐκοῦν ὁ Ἐφραῒμ τὸν τῶν ὅλων Σωτῆρα Θεὸν καταλελοιπὼς, χεῖρα καὶ ἐπικουρίαν ὀλίγου παντελῶς ἀξιώσας λόγου, τὸν Δαμασκοῦ καὶ Σύρων ἡγούμενον ὑπασπιστὴν ἐποιεῖτο. Ταύτης τε ἕνεκα τῆς αἰτίας καὶ μάλα εἰκότως προσκέκρουκε τῷ Θεῷ. Ἡ τοίνυν Δαμασκὸς, φησὶ, καταδῃωθεῖσά τε καὶ ἠρημωμένη, καὶ τὰς ἐκ τοῦ πολέμου συμφορὰς ὑπομείνασα, οὐκέτι ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν Ἐφραῒμ. Ἀλλ' οὐδὲ ἔσται ἐν αὐτῇ βασιλεία· καίτοι φήσειεν ἄν τις, Καὶ μετὰ τὴν πόρθησιν ηὕρηνταί τινες βασιλεύοντες τῆς Δαμασκοῦ. Διαμέμνηται γοῦν καὶ ὁ Παῦλος λέγων, ὅτι « Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐζήτησεν αὐτὸν πιάσαι. » Οὐκοῦν ὁ λόγος ὁ προφητικὸς ἔμφασιν ἔχει πολλήν. Οὐκέτι γὰρ ἔσεσθαί φησιν εὐσθενῆ καὶ ἐπίσημον ἐν τῇ Δαμασκῷ βασιλείαν, εἰ καὶ γεγόνασι μετὰ τοῦτο τοπάρχαι τινὲς καὶ φύλαρχοι μᾶλλον, καὶ οὐχὶ τῆς ἀληθοῦς βασιλείας τὴν λαμπρότητα περικείμενοι. Οὐκ ἔσται τοίνυν ἐν Δαμασκῷ βασιλεία, φησίν· ἀτονήσει δὲ σὺν αὐτῇ καὶ τὸ λοιπὸν τῶν Σύρων, τοῦτ' ἔστιν, ἅπαν τὸ ἔθνος τὸ ὑπ' αὐτῇ. Μητρόπολις γὰρ Συρίας ἡ Δαμασκός. Εἶτα πρὸς αὐτήν φησιν· Οὐ γὰρ σὺ βελτίων εἶ τῶν υἱῶν Ἰσραὴλ, καὶ τῆς δόξης αὐτῶν. Εἰ γὰρ καὶ κλήρου, φησὶ, τοῦ ἐκνεμηθέντος ἐμοὶ, τοῦτ' ἔστιν, τῶν ἐξ Ἰσραὴλ εἰς ἐμὲ πεπλημμεληκότων οὐκ ἐφεισάμην, πῶς οὐ πάντη τε καὶ πάντως ὑπομενεῖς καὶ αὐτὴ τὰ ἐκ τοῦ πολέμου βλάβη κατ' οὐδὲν οὖσα βελτίων τοῦ Ἰσραήλ;

VERS. 4. *Hæc dicit Dominus Sabaoth, Erit die* D *illa, defectio gloriæ Jacob, et pinguia gloriæ ejus conquassabuntur.*

Τάδε λέγει Κύριος Σαβαώθ· Ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις τῆς δόξης Ἰακὼβ, καὶ τὰ πίονα τῆς δόξης αὐτοῦ σεισθήσεται.

265 Jacobum hisce verbis nominat, ex Jacobo natos, vel decem tribus in Samaria et dimidium tribus Ephraim, quæ tantum a charitate erga Deum resiluerunt, et a spe salutis in ipso collocanda, ut sibi ipsis confiderent, et de sola multitudine et gloria altum supercilium erigerent. Hi erant eorum mores. Atque hoc nobis propheta manifesto declarat. Dixit enim de illis: Gloriæ eorum ex partubus, ex puerperiis, ex conceptionibus. Quibus subdit: Da illis, Domine. Quid dabis illis? Da illis matricem effetam, et mammas aridas. Erit itaque sub id

Ἰακὼβ ἐν τούτοις ὀνομάζει τοὺς ἐξ Ἰακὼβ γεγονότας, ἤτοι τὰς ἐν τῇ Σαμαρείᾳ δέκα φυλὰς, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραῒμ, αἳ τοσοῦτον ἀπεπήδησαν τῆς εἰς Θεὸν ἀγάπης, καὶ τοῦ τὴν ἐλπίδα τοῦ σώζεσθαι ποιεῖσθαι μᾶλλον ἐπ' αὐτῷ, ὥστε καὶ ἐφ' ἑαυτοῖς πεποιθέναι, καὶ ὑψηλὴν ἀνατείνειν ὀφρὺν ἐπὶ πλήθει μόνῳ καὶ δόξῃ. Ἦν τρόπος οὗτος αὐτοῖς. Καὶ τοῦτο ἡμῖν ἐναργέστατα πάλιν προφήτης φησίν. Ἔφη γὰρ περὶ αὐτῶν· Αἱ δόξαι αὐτῶν ἐκ τόκων καὶ ὠδίνων καὶ συλλήψεων. Εἶτα τούτοις ἐπιφέρει· Δὸς αὐτοῖς, Κύριε. Τί δώσεις αὐτοῖς; Δὸς αὐτοῖς μήτραν ἀτεκνοῦ-

[24] Loc. supra cit. [25] II Cor. XI, 32.

σαν, καὶ μαστοὺς ξηρούς. Ἔσται τοίνυν, φησὶ, κατ' A ἐκεῖνο καιροῦ, ἔκλειψις τῆς δόξης Ἰακὼβ, τοῦτ' ἔστι, δαπανηθήσεται ταῖς τῶν πολεμίων μαχαίραις ἡ πολλή τε καὶ ἀναρίθμητος πληθὺς τῶν ἐξ Ἰακὼβ, ἐφ' ᾗ καὶ ἐδοξάζετο, καὶ φρονεῖν ἐπεχείρει μέγα. Ἀλλὰ καὶ τὰ πίονα τῆς δόξης αὐτοῦ σεισθήσεται· τοῦτ' ἔστι, καὶ παρ' αὐτοῖς βασιλεία κατενεχθήσεται. Γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν, ὅτι Βασιλεύοντος Ὠσηὲ υἱοῦ Ἠλὰ ἐν τῇ Σαμαρείᾳ, ἐλθὼν ὁ Σαλμανασὰρ πεπολιόρκηκε τὴν Σαμάρειαν ἐφ' ὅλοις ἔτεσι τρισὶν, εἷλέ τε αὐτὴν καὶ τὸν Ὠσηὲ μετῴκησεν εἰς Βαβυλῶνα. Πίονα τοίνυν τῆς δόξης Ἰακὼβ νοηθεῖεν ἂν ὁ ἐν τῇ Σαμαρείᾳ κατ' ἐκεῖνο καιροῦ βεβασιλευκὼς, ἢ τάχα που οἱ κατὰ πᾶσαν τὴν χώραν λαμπροὶ καὶ ἐπισημότεροι τῶν ἄλλων, πλούτῳ τε καὶ δυναστείᾳ τὸ τῶν ἑτέρων πλεονεκτοῦντες μέτρον, καὶ ἀβρυνό- B μενοι ταῖς τρυφαῖς καὶ ταῖς παρὰ πάντων τιμαῖς.

Καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα, καὶ σπέρμα ἀσταχύων ἀμήσῃ· καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἄσταχυν ἐν φάραγγι στερεᾷ. Καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη, ἢ ὡς ῥῶγες ἐλαίας δύο ἢ τρεῖς, ἐπ' ἄκρου μετεώρου, ἢ τέσσαρες ἢ πέντε, ἐπὶ τῶν κλάδων αὐτῆς καταλειφθῇ.

Ὅτι καὶ ἑτοίμως καὶ ἀνιδρωτὶ περιέσονται τῶν ἐν Σαμαρείᾳ πολεμοῦντες Ἀσσύριοι, καὶ πρὸς τούτῳ πάλιν, ὅτι μὴ πρὸς ἅπαν καὶ ὁλοτελῶς οἰχήσεται πρὸς ἀπώλειαν, ἀλλ' ἔσται τι καὶ κατάλειμμα βραχὺ, διαμεμήνυκεν ἐναργῶς ἐν τούτοις ἡμῖν ὁ προφητικὸς λόγος. Οἱ μὲν γὰρ τὴν τοῦ θερίζειν τὰς ἀστάχυς C ἐμπειρίαν ἔχοντες, ἀποκείροντες εὐτέχνως τὸν μὲν σῖτον συλλέγουσιν· ἀεὶ δὲ κατόπιν ἰόντες ὡς ἄχρηστον τὴν καλάμην ὅλον ἐπιτρέχουσι τῶν λῃΐων τὸ πλάτος. Οἱ δέ γε τρυγᾷν εἰωθότες τὸν τῶν ἐλαιῶν καρπὸν, τοῦτο μὲν ῥάβδῳ καταπαίουσιν αὐτὰς, τοῦτο δὲ καὶ χερσὶν ἐπαφώμενοι καὶ τῶν ὀρπήκων ἁρπάζοντες συναγείρουσιν· ἀλλ' εἰκὸς ἀπομένειν αὐταῖς τρεῖς ἢ τέσσαρας, ἢ πέντε τυχὸν ἐπ' ἄκρῳ τῶν κλάδων, καὶ τοὺς τῶν τρυγώντων διαλαθεῖν ὀφθαλμούς. Τοιοῦτόν τι συμβήσεσθαί φησι τοῖς ἐν Σαμαρείᾳ· πείσεσθαι γὰρ αὐτοὺς διισχυρίζεται καθὰ καὶ ὁ στάχυς, ὅτε ταῖς τῶν ἀμώντων περιπίπτει χερσίν· καταλειφθήσεσθαι δὲ ὥσπερ ἐν αὐτῇ καλάμην, τοῦτ' ἔστιν, ὀλίγους τῶν ἀσημοτέρων, ἢ καὶ ὡς ῥῶγας ἐλαίας δύο ἢ τρεῖς τὸν τῶν τρυγώντων λαθούσας D ὀφθαλμὸν, διάτοι τὸ ἐν τοῖς ἀνωτάτω κεκρύφθαι κλάδοις.

Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτὸν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἐμβλέψονται· καὶ οὐ μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραήλ. Καὶ οὐκ ὄψονται τὰ δένδρα αὐτῶν, οὐδὲ τὰ βδελύγματα αὐτῶν.

Ὁ σοφώτατος Παῦλος, οὐκ ἀνόνητον εἰδὼς, οὐδὲ εἰκαῖον τὸ χρῆμα, τὸ παιδεύεσθαι παρὰ τοῖς δι' αὐ-

temporis decrementum gloriæ Jacob, id est, hostium absumetur gladiis frequens et innumerabilis multitudo nepotum Jacob, de qua gloriabatur, et altum sapiebat. Sed et præpinguia gloriæ ejus conquassabuntur, id est, regnum eorum prosternetur. Scriptum est enim libro quarto Regnorum [86], Regnante Osea filio Elæ in Samaria, adventantem Salmanasarum civitatem obsidione cinxisse continuos tres annos, cepisseque eam, et Oseam Babylonem transtulisse. Pinguia igitur gloriæ Jacob intelligi possunt, is qui in Samaria circiter id temporis regnavit, et fortassis homines per totam regionem splendidi, et reliquis insigniores divitiis et potentia, aliorum mensuram excedentes deliciis, et præ cæteris sibi placentes honoribus.

VERS. 5, 6. *Et erit perinde ac si quis congreget messem stantem, et semen spicarum metat. Et quemadmodum si quis congreget spicam in valle dura. et relicta fuerit in ea stipula; vel sicut grana olivæ duo aut tria in extremitate sublimi, vel quatuor, vel quinque in ramis ejus relinquantur.*

Quod et facile et sine sudore victuri essent Samaritanos Assyrii bellantes, et ad hæc rursus, quod non in totum ac prorsus ad interitum ruerent, sed futurum esset residuum pusillum, denotavit manifeste nobis hisce verbis sermo propheticus. Nam qui metendi spicas habent peritiam, artificiose demessum frumentum colligunt, semper autem post se stipulam, velut inutilem, relinquentes, totam segetum latitudinem percurrunt. Et qui vindemiare solent olearum fructum, partim quidem **268** eos baculo decutiunt, partim etiam et manibus attingunt, et ramis præreptis congregant: at tres in illis, vel quatuor, vel forte quinque in summis frondibus remanere verisimile est, et vindemiantium oculos latere. Tale quiddam et Samaritanis usu venturum ait: eventurum enim illis affirmat, sicuti cum spica in metentium manus incidit: relictum autem iri in ea velut stipulam, id est, paucos ignobiliores, vel etiam grana oleæ duo aut tria quæ racemantium oculum fugiunt, propterea quod in summis ramis occultentur.

VERS. 7, 8. *Hæc dicit Dominus Deus Israel: Die illo confidet homo ei qui fecit eum. Oculi ejus in sanctum Israelis intuebuntur, et non confident altaribus, non operibus manuum suarum, quæ fecerunt digiti eorum, sed fident sancto Israelis, et non respicient arbores suas, neque abominationes suas.*

Sapientissimus Paulus cum videret, neque inutilem, neque vanam esse rem ut erudirentur a Deo

[86] IV Reg. XVII, 5.

hi qui ab ipso ad agnitionem veritatis vocati sunt, scribit his verbis: « Si eruditionem sustinetis, ut filiis vobis se offert Deus : quis enim est filius, quem non erudit pater[37]? » Apponit et illa ex Scriptura divinitus inspirata ; infert enim statim : « Fili, ne contemnas eruditionem Domini; neque deficias ab illo correptus. Quem enim amat Dominus, castigat : flagellat autem omnem filium quem suscipit[38]. » Cum enim bonus sit universorum opifex, « omnes vult salvos esse, et in agnitionem veritatis venire[39]. » Hinc igitur monuit sæpe per prophetas sanctos, Israelitas, maxime vero Hierosolymitanos, qui ad Samariam commigraverunt. Hi autem intemperanter ad id quod ipsis placitum est declinarunt, et Deo natura ac vere derelicto, cultores dæmoniorum exstiterunt, et idolis inanimis cultum tribuerunt. Cum vero tanta laborarent ignoratione, ut resipiscere renuerint, tandem Deus punivit. Quos enim non juvant verba, mutat afflictio, convertens eos velut ex necessitate ac vi, ad id quod Deo placet. Simile quid invenitur beatus quoque David dixisse: «In freno et camo maxillas eorum constringas qui prope ad te non accedunt[40].» Nam quemadmodum qui pullos **267** domare solent, earumque rerum periti, equos feriores ad cursum moderatum frenis circumagunt : sic universitatis Deus, necessitate laboris ac doloris, sæpe agitat ac circumflectit, ut rebellis et effrenis recte vivere desideret. Tale quid usu venit in Samaria habitantibus, qui postquam belli calamitates sustinuissent, vix punientem agnoverunt et offensum, et profligato cultu idolorum, ad sanctum Israelis oculum mentis transtulerunt, ab illo nimirum exspectantes fore auxilium, et a malis sibi invectis liberationem. Non enim, inquit, confident altaribus, nec operibus suarum manuum quæ fecerunt digiti eorum, et non intuebuntur arbores suas, neque abominationes suas. Solebant enim montium vertices conscendere, et sub quercu ac populo, siculi scriptum est, procumbere operibus suarum manuum. Sed non, inquit, respicient amplius hæc, cum reipsa et experimento didicerint rem esse irritam ac prorsus infrugiferam, omniumque potius causam miseriarum. Hanc enim ob causam perierunt, et traditi sunt inimicis. Consultissimum itaque est cavere, et omnibus viribus iram divinam declinare, et non experiendo discere malis occurrere, sed ante potius causas mature removere, de quibus Deus irasci poterat, Deoque commoto, ante plagam et verbera turpiora evitando, optima excolendo, omneque virtutis genus exercendo, sese purgare.

τὸν κεκλημένοις εἰς ἐπίγνωσιν ἀληθείας, ἐπιστέλλει καί φησιν· « Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ; » Παρατίθησι δὲ καὶ τὰ ἐκ τῆς θεοπνεύστου Γραφῆς· ἐπιφέρει γὰρ εὐθύς· « Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. » Ἐπειδὴ γάρ ἐστιν ἀγαθὸς ὁ τῶν ὅλων δημιουργὸς, « πάντας ἐθέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. » Ταύτῃτοι νενουθέτηκε πλειστάκις διὰ προφητῶν ἁγίων τοὺς ἐξ αἵματος Ἰσραὴλ, μάλιστα δὲ τοὺς ἐξ Ἱεροσολύμων μεταφοιτήσαντας εἰς Σαμάρειαν. Οἱ δὲ ἦσαν ἀσχέτως ἐπὶ τὸ αὐτοῖς δοκοῦν ἀπονενευκότες, καὶ Θεὸν ἀφέντες τὸν φύσει καὶ ἀληθῶς, θεραπευταὶ γεγόνασι δαιμονίων, καὶ εἰδώλοις ἀψύχοις προσεκόμιζον τὰς λατρείας. Ἐπειδὴ δὲ πολὺ λίαν ἀμαθαίνοντες, οὐδὲ ὅτι προσήκοι μεταγινώσκειν αὐτοὺς ἐβουλεύοντο, λοιπὸν ἐκολάζετο Θεός. Οὓς γὰρ οὐκ ὀνίνησι λόγος, μεθίστησι πόνος, περιτρέπων αὐτοὺς ὡς ἐξ ἀνάγκης καὶ βίας ἐπὶ τὸ ἀρέσκον Θεῷ. Τοιοῦτόν τι καὶ ὁ μακάριος Δαβὶδ εὑρίσκεται λέγων· « Ἐν χαλινῷ καὶ κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. » Ὅνπερ γὰρ τρόπον οἱ πωλοδαμνεῖν εἰωθότες, καὶ ταῦτα σοφοὶ, περιτρέπουσι χαλινοῖς τοὺς τῶν ἵππων ἀγριωτέρους εἰς ἐπιστήμονα δρόμον· οὕτως καὶ ὁ τῶν ὅλων Θεὸς, ταῖς ἐκ πόνων ἀνάγκαις, περιΐστησι πλειστάκις εἰς τὸ ἑλέσθαι βιοῦν ὀρθῶς τὸν ἀπειθῆ καὶ ἐξήνιον. Τοιοῦτόν τι πεπονθότες, οἱ ἐν Σαμαρείᾳ κατῳκηκότες, μετά γε τὸ παθεῖν τὰς ἐκ τοῦ πολέμου συμφορὰς, μόλις ἐπέγνωσαν τὸν κολάζοντα καὶ λελυπημένον· καὶ ἀπεσείσαντο μὲν τὰς τῶν εἰδώλων λατρείας, μετέβαλον δὲ τῆς διανοίας τὸν ὀφθαλμὸν ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ, παρ' αὐτοῦ δὲ δηλονότι προσδοκῶντες ἔσεσθαι τὴν ἐπικουρίαν, καὶ τῶν ἐπενηνεγμένων αὐτοῖς κακῶν τὴν ἀπαλλαγήν. Οὐ γὰρ μὴ πεποιθότες ὦσι, φησὶν, ἐπὶ τοῖς βωμοῖς, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν· καὶ οὐκ ὄψονται τὰ δένδρα αὐτῶν, οὐδὲ τὰ βδελύγματα αὐτῶν. Ἔθος μὲν γὰρ ἦν αὐτοῖς τὰς τῶν ὀρῶν καταλαμβάνειν κορυφὰς, καὶ ὑποκάτω δρυὸς καὶ λεύκης, καθὰ γέγραπται, προσκυνεῖν τοῖς ἔργοις τῶν ἰδίων χειρῶν. Ἀλλ' οὐκέτι τούτοις ἐμβλέψονται, φησὶ, πείρᾳ μαθόντες ὡς εἰκαῖον αὐτοῖς καὶ ἀνόνητον παντελῶς τὸ χρῆμά ἐστιν, μᾶλλον δὲ καὶ ἁπάσης αἴτιον συμφορᾶς. Ταύτης γὰρ ἕνεκα τῆς αἰτίας, καὶ διολώλασι, καὶ δέδονται τοῖς ἐχθροῖς. Ἄριστον οὖν ἄρα τὸ φυλάττεσθαι καὶ παντὶ παραιτεῖσθαι σθένει τὴν θείαν ὀργὴν, καὶ μὴ πείρᾳ μαθεῖν ἐκδέχεσθαι τὰ κακά. Προσαποδύεσθαι δὲ μᾶλλον καὶ μάλα γοργῶς τὰς αἰτίας, ἐφ' αἷς ἂν ὀργίζοιτο Θεὸς, καὶ πρὸ πληγῆς καὶ μάστιγος ἀπολογεῖσθαι λελυπημένῳ διά γε τοῦ παραιτεῖσθαι μὲν τὰ αἴσχιω, τιμᾶν δὲ τὰ κάλλιστα, καὶ πάντα τρόπον ἐπιτηδεύειν ἀρετῆς.

VERS. 9, 10. *Die illa erunt derelictæ urbes tuæ, quemadmodum reliquerunt Amorrhæi, et Evæi, a facie filiorum Israelis, et erunt desolatæ, quoniam*

Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται αἱ πόλεις σου ἐγκαταλελειμμέναι, ὃν τρόπον ἐγκατέλιπον οἱ Ἀμοῤῥαῖοι καὶ οἱ Εὐαῖοι ἀπὸ προσώπου τῶν

[37] Hebr. XII, 7. [38] ibid. 5, 6; Prov. III, 11, 12. [39] I Timoth. II, 4. [40] Psal. XXXI, 9.

υἱῶν Ἰσραήλ· καὶ ἔσονται ἔρημοι, διότι ἐγκατέλιπες τὸν Θεὸν τὸν Σωτῆρά σου, καὶ Κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης.

Ἐξ αὐτῶν ἀναπείθει τῶν συμβεβηκότων ἐννοεῖν ὅτι γέγονεν αὐτοῖς ἐξ ἀντιστρόφου τὰ πράγματα. Πάλιν μὲν γὰρ ἐνίκων ἐπικουροῦντος Θεοῦ, καὶ φοβεροί τινες ἦσαν ταῖς τῶν ἐθνῶν πόλεσί τε καὶ χώραις. Εἷλον γὰρ αὐτὰς ἀνιδρωτὶ, κατευμαρίζοντος αὐτοῖς τοῦ Θεοῦ πᾶν ὅσον ἦν ἀναντές τε καὶ δυσήνυτον. Ἐπειδὴ δὲ τῆς ἐκείνων ἀνοσιότητος γεγόνασι μιμηταὶ, δειλοὶ καὶ εὐάλωτοι κατ' ἐκείνους γεγόνασιν. Ἠρήμωνται γὰρ αἱ πόλεις αὐτῶν, καὶ κατελείφθησαν ὑπὸ τῶν κατοικούντων ἐν αὐταῖς, κατὰ τὸν ἴσον τρόπον, καθ' ὃν οἱ Εὐαῖοι καὶ Ἀμορραῖοί ποτε τοῖς αὐτῶν ξίφεσιν ἔπιπτον δαπανώμενοι· ἐναργῆ δὲ καθίστησι τὴν αἰτίαν εὐθὺς τοῦ πρὸς τοῦτο κατολισθεῖν ἀσθενείας αὐτοὺς, καὶ τὴν οὕτως ἀπηνῆ καὶ δύσοιστον ὑπομεῖναι συμφοράν· Ἐγκατέλιπες γὰρ τὸν Θεὸν τὸν Σωτῆρά σου, φησὶ, καὶ Κυρίου τοῦ Θεοῦ σου οὐκ ἐμνήσθης. Δέον γὰρ εὐχαριστεῖν ἐφ' οἷς εὐηργέτηνται, τοῦτο μὲν δουλείας τῆς ἐν Αἰγύπτῳ λελυτρωμένοι, τοῦτο δὲ καταχρατοῦντες ἐχθρῶν, καὶ καταδῃοῦντες τὰς πόλεις τῶν ἀνθεστηκότων, τοῦτο δὲ ὅτι καὶ εἰς αὐτὴν εἰσεκομίσθησαν τῆς ἐπαγγελίας τὴν γῆν· πονηρὰς ἀμοιβὰς ἀντεκόμιζον τῷ Δεσπότῃ προσκρούοντες ἀδεῶς, καὶ οὐ καθ' ἕνα λυποῦντες τρόπον, ἀλλὰ νόμου μὲν τοῦ διωρισμένου διὰ τοῦ πανσόφου Μωσέως μικρὰ κομιδῇ φροντίσαντες, ἀπολακτίσαντες δὲ παντελῶς τὴν εἰς Θεὸν εὐσέβειαν, καὶ ἀψύχοις ὕλαις ἀναθέντες τὸ σέβας, εἰρηκότες δὲ ταῖς δαμάλεσι ταῖς χρυσαῖς· «Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἵτινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου.» Ὅτε τοίνυν ἐσμὲν μετὰ Θεοῦ, τὰ αὐτοῦ δηλονότι φρονεῖν σπουδάζοντες, καὶ τὰ αὐτῷ φίλα κατορθοῦν ᾑρημένοι· τότε δὴ πάντως κρείττους ἐσόμεθα τῶν ἐχθρῶν, καὶ πατήσομεν ἀρχὰς, καὶ ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου τὰ πνευματικὰ τῆς πονηρίας, τότε περιεσόμεθα, καὶ μάλα γοργῶς, τῶν ἐκτόπων ἡδονῶν καὶ τῶν τῆς σαρκὸς κινημάτων· τότε λογισμοὺς νικήσομεν πονηροὺς, καὶ τὰ πνεύματα τοῦ ἐξουσιάζοντος οὐχ εὑρήσει τόπον ἐν ἡμῖν. Ἠμεληκότες δὲ τοῦ προσκεῖσθαι Θεῷ, ἀσθενεῖς καὶ ἄνανδροι, καὶ ὑπὸ πόδας ἐσόμεθα τῶν ἐχθρῶν, καὶ πλεονεκτοῦντα τὸν Σατανᾶν οὐδεὶς ἀνακόψει τρόπος.

Διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπιστον, καὶ σπέρμα ἄπιστον. Τῇ δὲ ἡμέρᾳ, ᾗ ἂν φυτεύσεις, πλανηθήσῃ. Τὸ δὲ πρωῒ ἐὰν σπείρῃς, ἀνθήσει εἰς ἀμητὸν, ᾗ ἂν ἡμέρᾳ κληρώσῃ, καὶ ὡς πατὴρ ἀνθρώπου κληρώσῃ τοὺς υἱούς σου.

Ἀσαφείᾳ πολλῇ κατημφιασμένην τοῦ προκειμένου τὴν ἔννοιαν διατρανοῦν ὡς ἔνι πειράσομαι. Ἔστι τοίνυν ὅ φησι τοιοῦτον· Φθάσας ἔφην, ὅτι πλανῶντές τε καὶ πλανώμενοι, καὶ φρονοῦντες ἃ μὴ θέμις οἱ ἐξ Ἰσραὴλ (ἤγουν ὁ Ἐφραΐμ, ἵνα τὰς δέκα νοήσῃς φυλὰς, τὰς ἐν τῇ Σαμαρείᾳ μετῳκισμένας), ὑψηλὴν εἶχον τὴν ὀφρὺν, ᾤοντο δὲ μηδένα παντελῶς τῶν ἐχθρῶν τῆς αὐτῶν δύνασθαι κατευμεγεθῆσαι χειρὸς, διά τοι τὸ ἀναριθμήτους εἶναι καὶ σφόδρα πολλούς.

[41] Exod. XXXII, 4.

A *dereliquisti Deum Servatorem tuum, et Domini adjutoris tui non recordata es.*

Ex his quæ acciderunt certiores eos facit, in contrarium illis res evenisse. Iterum enim vicerunt auxiliante Deo, et gentium urbibus et provinciis formidabiles fuerunt. Ceperunt enim eas sine sudore, Deo illis distribuente quidquid arduum erat et difficile. Postquam autem impietatis eorum imitatores facti sunt, meticulosi evaserunt, et facile capi poterant. In solitudinem enim redactæ sunt urbes eorum, et derelictæ sunt ab **268** inhabitantibus, quo modo Evæi olim, et Amorrhæi, eorum gladiis conciderunt consumpti; evidentemque causam reddit, B cur adeo debilitati et imminuti fuerint, et cur tam crudelem ac intolerandam calamitatem sustinuerint: Dereliquisti enim Deum Servatorem tuum, inquit, et Domini Dei adjutoris tui non recordatus es. Cum enim eos gratias agere oporteret de his quibus affecti sunt beneficiis, partim quia ex servitute Ægyptiaca redempti sunt, partim quia hostibus superiores facti sunt, et adversariorum urbes depopulabantur; partim etiam quia in ipsam promissionis terram fuerint introducti: illi Domino malum rependebant secure offendentes, nec uno modo cruciantes, sed legem etiam per sapientissimum Mosen descriptam pro minimo ducentes, divinæ quoque religioni prorsus recalcitrantes, et inanimis materiis venerationem attribuentes, vitulis aureis dicentes: C «Hi dii tui, Israel, qui reduxerunt te de terra Ægypti [41].» Quando igitur cum Deo sumus, et quæ ejus sunt studiose curamus, et illi grata facere cupimus, tunc quidem tunc omnino superiores erimus hostibus, et principatus, et potestates, et mundi dominos rectores tenebrarum harum, spiritualia nequitiæ calcabimus, tunc quamprimum subigemus monstrosas voluptates motusque carnis, tunc ratiocinia perversa superabimus, et spiritus dominantis non inveniet locum in nobis. At ubi adhærescere Deo negligimus, imbecilles sumus, et parum viriles, et pedibus inimicorum subjiciemur, et prævalentem Satanam nulla ratio infringere poterit aut impedire.

D VERS. 11. *Propterea plantabis plantationem infidelem, et semen infidele: die qua plantabis, errabis. Mane si semines, florebit in messem, quo die hæreditaveris, et ut pater hominis filiis tuis hæreditatem distribues.*

Obscuritate multa obtectam sententiam hujus oraculi, quantum licet, conabor explicare. Est itaque quod dicit hujusmodi: Dixi superius quod decipientes et decepti, et quæ fas non erat machinati Israelitæ sive Ephraim (ut decem tribus intelligas in Samariam translatas) alto fuerunt supercilio, omninoque rati sunt, hostes nullos ipsorum manum superare potuisse, eo quod innumerabiles essent, et valde populosi. Atqui spe **269** frustrati sunt. Cecide-

runt enim partim bello confecti, partim in victorum regiones asportati, captivi et timidi, et omnibus malis exerciti. At ubi Cyro imperante ex regione Persarum in civitatem sanctam reducti sunt, post separatim et seorsim reges habere supersederunt, omnesque Hierosolyma incoluerunt, et legem Dei coluerunt, inque pretio ac honore habuerunt; tunc immunes incolumesque fuerunt eorum liberi, et ad filios filiorum successiones excurrerunt. Tale quiddam docet hæc oratio nunc, frumenti et spicarum quasi ænigma proponens. Cum enim, inquit, Domini Dei tui non memineris, eam ob causam infidelis erit, et non ad perpetuitatem stabilis plantatio, id est, ex te semen et genus. Quando autem plantaveris, et numerosum genus videris, tunc errabis. Putabis enim te multitudine, inquit, niti; at non vere reputabis. Spicarum enim in morem cadent, et spem in illis omnino reperies esse inutilem. Si mane seminas, id est, si in luce versaris, et demum agnoveris natura et vere exsistentem Dominum, servantem facile et ad opitulandum potentem, tunc quod est plantatum florebit in messem, id est, fructificabit. Etenim immaturam spicam consumi, agricolis affert tum laborum, tum spei jacturam: ad messem vero pervenire, spem dat bonorum plenissimam. Florebit igitur in messem, id est, plenum fructum feret tua plantatio, quando fit tibi mane, id est, cum velut in luce ac die, et in agnitione Dei versari deprehenderis. Tunc et quasi pater hominis sortem suppeditabis filiis tuis: transmittes enim ad filios velut sortem quamdam ac patrimonium animi tranquillitatem, et supremi auxilii communicationem.

Vers. 12, 13. *Væ multitudini gentium multarum! sicut mare fluctuans, sic conturbabimini, et dorsum gentium multarum, tanquam aqua sonabit; tanquam aqua multa, gentes multæ, quasi aquæ multæ vi impulsæ. Et exterminabit eum, et longe eum persequetur, ut pulverem paleæ ventilantium coram vento, et quasi pulverem rotæ tempestas impellens.*

Non relinquit Israelitas consolatione destitutos universitatis Deus hominum amans, spemque bonorum cum metu sæpenumero **270** facit confligere, idque apte, ut utrinque juvet audientes. Quod itaque civitates eorum in desolationem redigendæ essent, dictum est manifesto: et quæ afflictionum occasio, docuit, cum ait: Dereliquisti Dominum Deum tuum, et Domini Dei tui adjutoris non recordatus es. Sed is qui percussit, confestim se curaturum promittit. Exponit autem quiddam quod accidit, quod propter utilitatem paucis dicere necesse est. Ezechia illis temporibus regni sedem occupante Hierosolymis, Sennacherim rex Assyriorum contra urbes Judææ munitas expeditione facta, eas cepit. Scriptum est enim sic [41]: Dein ablegat Rapsacem ex Laches Jerusalem ut

A Ἀλλ' ἐσφάλλοντο τῆς ἐλπίδος. Πεπτώκασι γάρ, καὶ οἱ μὲν δεδαπάνηνται τῷ πολέμῳ, οἱ δὲ εἰς τὰς τῶν νενικηκότων ἀποκομίζονται χώρας, αἰχμάλωτοι καὶ περιδεεῖς καὶ ἐν παντὶ γεγονότες κακῷ. Ἐπειδὴ δὲ καιροῦ διιππεύσαντος, ἀνεκομίσθησαν ἐκ τῆς Περσῶν χώρας εἰς τὴν ἁγίαν πόλιν, εἶτα κατέληξαν τοῦ ἀνὰ μέρος ἔχειν τοὺς βασιλεύοντας, κατῳκήκασι δὲ οἱ πάντες τὰ Ἱεροσόλυμα, καὶ τὸν τοῦ Θεοῦ τετιμήκασι νόμον· τότε καὶ ἐν ἀσφαλείᾳ γεγόνασιν οἱ ἐξ αὐτῶν παῖδες, καὶ εἰς τέκνα τέκνων δεδραμήκασιν αἱ διαδοχαί. Τοιοῦτόν τι διδάσκει καὶ νῦν ὁ λόγος, ὡς περὶ σίτου καὶ ἀσταχύων αἴνιγμα διδούς. Ἐπειδὴ γάρ, φησί, Κυρίου τοῦ Θεοῦ σου οὐκ ἐμνήσθης, ταύτης ἕνεκα τῆς αἰτίας ἄπιστον ἔσται, καὶ οὐκ ἀσφαλὲς εἰς διατήρησιν, ὅπερ ἂν φυτεύσῃς φύτευμα, τοῦτ' ἔστι, B τὸ ἐκ μέσου σπέρμα τε καὶ γένος. Ὅταν δὲ φυτεύσῃς, καὶ πολὺ γεγονὸς ἴδῃς, τότε πλανηθήσῃ. Οἰήσῃ μὲν γάρ, φησί, τῷ πλήθει τεθαρσηκώς, ἀλλ' οὐκ ἀληθῆ λογιῇ. Ἀσταχύων γὰρ δίκην πεσοῦνται, καὶ ἀνόνητον εὑρήσεις παντελῶς τὴν ἐπί γε τούτοις ἐλπίδα. Τὸ δὲ πρωῒ ἐὰν σπείρῃς, τοῦτ' ἔστιν, ἐν φωτὶ γεγονώς, καὶ λοιπὸν ἐπιγνοὺς τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Δεσπότην, σώζοντά τε ῥᾳδίως καὶ ἐπικουρεῖν ἰσχύοντα· τότε τὸ πεφυτευμένον, ἤτοι κατασπαρὲν ἀνθήσει εἰς ἀμητόν, τοῦτ' ἔστι, τελεσφορηθήσεται· τὸ γὰρ πρόωρον δαπανᾶσθαι τὸν ἄσταχυν, ζημίαν καὶ πόνων καὶ ἐλπίδος ἐμποιεῖ τοῖς γηπονεῖν εἰωθόσιν· τό γε μὴν εἰς ἀμητὸν ἐλθεῖν, πληρεστάτην δίδωσι τὴν ἐπ' ἀγαθοῖς ἐλπίδα. Ἀνθήσει τοίνυν εἰς ἀμητόν, τοῦτ' ἔστι, τελεσφορηθήσεται τὸ σὸν φύτευμα, ὅτ' ἂν γένηταί C σοι πρωΐ, τοῦτ' ἔστιν, ὅταν εὑρεθῇς ὡς ἐν φωτὶ καὶ ἡμέρᾳ καὶ ἐν ἐπιγνώσει Θεοῦ γεγονώς. Τότε καὶ ὡς πατὴρ ἀνθρώπου κληρώσῃ τοῖς υἱοῖς σου. Παραπέμψεις γὰρ εἰς υἱοὺς καθάπερ τινὰ κλῆρον τὴν εὐθυμίαν καὶ τῆς ἄνωθεν ἐπικουρίας τὴν μέθεξιν.

Οὐαὶ πλῆθος ἐθνῶν πολλῶν! ὡς θάλασσα κυμαίνουσα, οὕτω ταραχθήσεσθε· καὶ νῶτος ἐθνῶν πολλῶν, ὡς ὕδωρ ἠχήσει· ὡς ὕδωρ πολὺ ἔθνη πολλά, ὡς ὕδατος πολλοῦ βίᾳ καταφερομένου. Καὶ ἀποσκορακιεῖ αὐτόν, καὶ πόῤῥω αὐτὸν διώξεται, ὡς χνοῦν ἀχύρου λικμώντων ἀπέναντι ἀνέμου. καὶ ὡς κονιορτὸν τροχοῦ καταιγὶς φέρουσα.

Οὐκ ἀπαρακλήτους ἐᾷ τοὺς ἐξ Ἰσραὴλ φιλάνθρωπος ὢν ὁ τῶν ὅλων Θεός, συνεισβάλλουσαν δὲ τῷ D φόβῳ τὴν ἐπ' ἀγαθοῖς ἐλπίδα ποιεῖται πλειστάκις, καὶ τοῦτο οἰκονομικῶς, ἵνα δι' ἀμφοῖν ὠφελῇ τοὺς ἀκροωμένους. Ὅτι τοίνυν ἐρημωθήσονται μὲν αἱ πόλεις αὐτῶν, εἴρηται σαφῶς· καὶ ποία γέγονε τοῦ παθεῖν ἡ πρόφασις, ἐδίδαξε λέγων, ὅτι Ἐγκατέλιπες Κύριον τὸν Θεόν σου, καὶ Κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης. Ἀλλ' ὁ πλήξας εὐθὺς ἐπαγγέλλεται καὶ μοτοῦν. Ἐξηγεῖται δέ τι συμβεβηκός, ὃ καὶ εἰπεῖν ἀναγκαῖον ὡς ἐνὶ λόγοις διὰ τὴν χρείαν. Ἐζεκίου κατὰ καιροὺς τοὺς τῆς βασιλείας διέποντος θρόνους ἐν τοῖς Ἱεροσολύμοις, ἀνέβη Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις Ἰουδαίας τὰς ὀχυράς, καὶ ἔλαβεν αὐτάς. Γέγραπται γὰρ ὡδί· Εἶτα

41 IV Reg. XVIII, XIX.

πέμπει Ῥαψάκην ἐκ Λαχεῖς εἰς Ἱερουσαλὴμ πολιορκῆσαι αὐτήν, ὃς δὴ καὶ ἀφιγμένος, κατεφλυάρησε μὲν τῆς δόξης τοῦ πάντων ἡμῶν Σωτῆρος Θεοῦ· μὴ γὰρ δύνασθαι διασώζειν αὐτοὺς, κἂν εἰ βούλοιτο τοῦτο δρᾷν, ὁ παράφρων διετείνετο. Βαρβάρῳ δὲ γλώττῃ καὶ νῷ κεχρημένος, ἔγνω τῇ πείρᾳ μαθὼν, ὅτι σκληρὸν ἀνθρώπῳ παντὶ τῆς ἀνωτάτω κατεπαίρεσθαι δόξης. Ἐξῆλθε γὰρ ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐν μιᾷ νυκτὶ ἐκ τῆς παρεμβολῆς τῶν ἀλλοφύλων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας· καὶ ἀναστάντες τὸ πρωῒ, εὗρον πάντα τὰ σώματα νεκρά. Ἐπειδὴ δὲ τῶν προσδοκηθέντων ὁ πεπομφὼς ἐσφάλλετο, φημὶ δὴ Σενναχηρεὶμ, ὑπενόστησε φυγὰς, καὶ μόλις ἐσώζετο τὰ οἴκοι καταλαβὼν, εἰ καὶ διόλωλε καὶ οὐκ εἰς μακρὰν ὑπὸ τῶν ἑαυτοῦ παίδων. Ἐγένετο γὰρ, φησὶν, ἐν τῷ προσκυνεῖν αὐτὸν ἐν τῷ οἴκῳ αὐτοῦ Ἀσαρὰχ τὸν πάτραρχον αὐτοῦ, Ἀδραμελὲχ καὶ Σαρασὰρ, οἱ υἱοὶ αὐτοῦ, ἐπάταξαν αὐτὸν μαχαίραις. Ταύτης διαμέμνηται τῆς ἱστορίας ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος, τὴν δέ γε τῶν Ἀσσυρίων ἔφοδον προαφηγεῖται, καί φησιν· Οὐαὶ πλῆθος ἐθνῶν! καὶ τὰ τούτοις ἐφ' ἑξῆς. Ταλανίζει μὲν γὰρ αὐτοὺς, ὡς ὅσον οὐδέ πω τεθνηξομένους ἐν τοῖς Ἱεροσολύμοις, διόλλυντος ἀγγέλου. Ὅτι δὲ οὐχ ἓν ἦν ἔθνος, πλεῖστα δὲ μᾶλλον, διαδείκνυσιν ἐναργῶς, πλῆθος ἐθνῶν ὀνομάζων αὐτά. Ἐπῆεσαν δὲ ταῖς χώραις, ἤτοι ταῖς πόλεσι τῆς Ἰουδαίας, ὡς ὕδωρ πολὺ καὶ ὡς βίᾳ καταφερόμενον, καὶ θορύβους ἐμποιοῦν, μόνον δὲ οὐχὶ θαλάσσης δίκην τῶν ἀνθεστηκότων κατακυμαίνοντες. Νῶτον δὲ αὐτοὺς πολλῶν ἐθνῶν ἐν τούτοις ἀποκαλεῖ, διάτοι τὸ πολλὰ διώκεσθαι παρ' αὐτῶν ἔθνη. Τρέχουσι δὲ κατὰ νώτου πάντη τε καὶ πάντως τῶν φευγόντων οἱ διώκοντες. Εἶτα τί μετὰ τοῦτο; Ἀποσκορακιεῖ αὐτὸν, φησὶ, τοῦτ' ἔστιν, ὀπίσω πέμψει, καὶ πόῤῥω αὐτὸν διώξεται, ὡς χνοῦν ἀχύρου λικμώντων ἀπέναντι ἀνέμου, καὶ ὡς κονιορτὸν τροχοῦ καταιγίδος φέρουσα. Τί γὰρ οὕτως εὐδιαρίπιστον, ὡς χοῦς ἐκ τροχοῦ καὶ ἅλωνος, πνεύματος λάβρου κατασπιλάζοντος; Ὅτι δὲ ᾤχετο φυγὰς ὁ Σενναχηρεὶμ, πιστώσεται λέγων ὁ τῶν ὅλων Θεὸς πρὸς αὐτὸν διὰ φωνῆς Ἡσαΐου· « Καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου, καὶ χαλινὸν εἰς τὰ χείλη σου, καὶ ἀποστρέψω σε ἐν τῇ ὁδῷ ᾗ ἦλθες ἐν αὐτῇ. »

Πρὸς ἑσπέραν ἔσται πένθος πρὶν ἢ πρωΐ, καὶ οὐκ ἔσται. Αὕτη ἡ μερὶς τῶν ὑμᾶς[63] προνομευσάντων, καὶ κληρονομία τῶν ὑμᾶς κληρονομησάντων.

Φθάσας ἔφην ὅτι περιστήσας ὁ Ῥαψάκης τοῖς Ἱεροσολύμοις τὸ μάχιμον, καὶ οὐκ εἰς μακρὰν αἱρήσειν αὐτὴν ἀπειλήσας, ἀπόλωλε πανστρατιᾷ πρὸ αὐγῆς καὶ ἡμέρας. Πένθος τοίνυν ἔσται, φησὶ, πρὸς ἑσπέραν, πάντως που προσδοκησάντων ἐν τοῖς Ἱεροσολύμοις ἔσεσθαι πρωῒ, καὶ τοῦ πολέμου τὴν προσβολὴν, ἀλλὰ πέπαυται πρὸ αὐγῆς. Διὰ τοῦτό φησιν· Ἔσται μὲν πένθος πρὸς ἑσπέραν· οὐκ ἔσται δὲ πρὶν ἢ πρωῒ, τοῦτ' ἔστι, πεπαύσεται καὶ καταλήξει τὸ δάκρυον· καὶ ὁμοῦ τοῖς ἐκ τοῦ παθεῖν οἰχήσεται δείμασιν ἐπικουροῦντος Θεοῦ, καὶ παραδόξως ἀνῃρηκότος τὰς τῶν πολεμίων φάλαγγας, καὶ προσέτι τὸν ἡγού-

A eam obsideret; qui ubi venisset, majestatem omnium nostrum Servatoris Dei habuit derisui: non enim posse eos servare, etsi hoc velit maxime, affirmabat. Barbarica autem lingua ac mente usus, cognovit experientia edoctus, durum esse homini cuivis contra supremam majestatem sese attollere. Egressus est enim angelus Domini, et sustulit una nocte ex castris alienigenarum centum octoginta quinque millia, ac surgentes mane invenerunt omnia corpora mortua. Et cum exspectatione frustratus esset is qui misit, Sennacherim inquam, reversus est perfuga, et servatus est vix sua domi recuperans: quin et ipse trucidatus est non longe post a suis filiis. Factum est, inquit, dum adoraret domi suæ Sarach patrarchum suum, Adramelech et Sarasar, filii ejus, B eum gladio confoderunt. Hujus historiæ hoc loco meminit nobis sermo propheticus; incursumque Assyriorum præmonstrat, ac inquit: Væ gentium multarum multitudini, et quæ consequuntur. Luget enim eos miseros quasi jamjam morituros, perdente angelo. Quod autem non una fuerit gens, sed plures, demonstrat perspicue, cum gentium multitudinem nominat. Invaserunt autem provincias seu urbes Judææ velut aqua copiosa, et tanquam impetus aquæ desilientis et murmurantis, tantum non maris in morem contra adversarios inundantes. Incursant autem semper tergum eorum qui fugiunt, hi qui persequuntur. Dorsum vero in his multarum gentium appellat, eo quod multæ gentes apud ipsos persecutione premantur. Deinde postea exterminabit C eum, inquit, id est, a tergo mittet, et **271** eum longe persequetur, quasi pulverem paleæ ventilatum a vento, et ut pulvisculum rotæ turbo auferet. Quid est enim sic leve et mobile, ut pulvis vento rapido ex rotis et area sordidante? Quod autem discesserit fugitivus Sennacherim, probabit dicens ei universitatis Deus, voce Isaiæ: « Et injiciam retinaculum nari tuæ, et frenum ori tuo, et vertam te in via qua venisti [63']. »

VERS. 14. *Ad vesperum erit luctus antequam sit diluculum, et non erit. Hæc erit portio deprædan-* D *tium vos, et hæreditas eorum qui vestras hæreditates adiverunt.*

Dixi in superioribus quod, cum Rapsaces circumsideret Hierosolyma, et bellatores non longo post intervallo interempturum comminaretur, ante lucem et diem cum toto exercitu periit. Luctus igitur erit, inquit, sub vesperum, semper exspectantibus Hierosolymitanis, fore mane impressionem bellique impetum; verum cessavit ante lucem, idcirco ait: Erit quidam luctus vesperi, sed antequam lucescat, non erit, id est, desistet, et desinet lacryma, et simul cum metu patiendi facesset, subveniente Deo, et admirabiliter hostilem aciem fundente, et ducem insuper ex terra

[63] Sept. ἡμᾶς, ut in Hebr. [63'] Isa. XXXVII, 29.

Judaica profligante. Hoc etiam beatus David interpretatur, dicens : « Vesperi commorabitur fletus, et mane exsultatio [43]. » Sed hæc, inquit, sors, hæc pars eorum qui prædati sunt vos, et velut suum patrimonium diripuerunt. Convellit hic Israelem, quod ea designaverint ipsi, unde par erat gentem totam radicitus deleri. Commiseratur rursus ipse, et morte mulctat eos qui populum sibi destinatum diripuerant : « Divisit enim, inquit, Altissimus gentes, dispersit filios Adam, constituit terminos gentium juxta numerum angelorum Dei. Et factus est portio Domini populus ejus Jacob, funiculus hæreditatis ejus Israel [43*]. » Cæterum hoc mihi adhuc contemplare articulatius et subtilius, et veluti a rebus gestis historice, ad penitiores descende sententias. Cum impiæ et adversariæ potestates, aquæ violentæ instar in nostram animam effusæ, vel externis invadentes tentationibus, vel insitis motibus carnis, mentem bene constitutam obsidere aggrediuntur : ne in enervem timiditatem delabere,
272 quisquis palmam ac primas ferre, Deo juvante, cogitas; sed illi potius innixus, omnem terrorem exsuperabis. Quod enim auxilio illius potiturus sit, dubitare qui licet? Novit enim Dominus pios eripere ex tentatione, et beatus Paulus scribit : « Potens est Deus, ut non permittat vos tentari ultra quod potestis, sed efficiet cum tentatione exitum, ut sustinere vos queatis [44]. » Et ut Psaltes ait : « Castrametabitur angelus Domini in circuitu timentium eum, et eripiet eos [45]. » Quando etiam ignari sacrorum dogmatum hæretici sua freti contumacia insurgunt contra veritatis cultores, acresque et audaces adoriuntur, vel bella excitando, et persecutiones, vel afflictiones ipsis accumulando, et mortis metum, nihilominus debilitabuntur etiam hi : manu enim secreta bellum gerit Dominus adversus Amalec, in omnes ætates, sicut scriptum est.

A μενον ἐξελάσαντος τῆς Ἰουδαίων γῆς. Τοῦτο καὶ ὁ μακάριος Δαβὶδ ἐξηγεῖται λέγων· « Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς πρωῒ ἀγαλλίασις. » Ἀλλ' οὗτος, φησὶν, ὁ κλῆρος· αὕτη δὲ καὶ ἡ μερὶς τῶν ὑμᾶς προνομευσάντων καὶ διαρπαζόντων ὡς ἴδιον κλῆρον. Κατονειδίζει διὰ τούτων τοὺς ἐξ Ἰσραὴλ, ὅτι πεπράχασι μὲν αὐτοὶ τὰ δι' ὧν ἦν εἰκὸς ὁλόρριζον ἀπολέσθαι τὸ ἔθνος, κατοικτείρει δὲ πάλιν αὐτὸς, καὶ θανάτῳ κολάζει τοὺς διαρπάζοντας τὸν ἐκνεμηθέντα λαὸν αὐτῷ. « Ὅτε γὰρ, φησὶ, διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ· καὶ ἐγενήθη μερὶς Κυρίου· λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. » Ἀλλά μοι πρὸς τούτοις κἀκεῖνο ἄθρει λεπτῶς, καὶ ὡς ἀπό γε τῶν ἱστο-
B ρικῶς γεγονότων εἰς ἐννοίας ἔρχου τὰς ἐσωτάτω. Ὅταν ἡμᾶς αἱ πονηραί τε καὶ ἀντικείμεναι δυνάμεις, ὕδατος βιαίου δίκην καταχεόμεναι τῆς ψυχῆς, ἢ τοῖς ἔξωθεν πειρασμοῖς ἐμβάλλουσαι, ἤγουν τοῖς ἐμφύτοις κινήμασι τῆς σαρκὸς, ἐκπολιορκεῖν ἐπείγονται τὸν εὐσεβηκότα νοῦν· μὴ εἰς ἀδρανῆ δειλίαν καταπιπτέτω τις τῶν ἀριστεύειν εἰδότων μετὰ Θεοῦ, ἐπ' αὐτῷ δὲ μᾶλλον ποιησάμενος τὴν ἐλπίδα, παντὸς ἔστω κρείττων δείματος. Τεύξεται γὰρ ὅτι τῆς ἐπικουρίας παρὰ αὐτοῦ, πῶς ἔστιν ἀμφιβαλεῖν; Οἶδε γὰρ Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, καὶ ὁ μακάριος δὲ γράφει Παῦλος· « Δυνατὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειραθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. » Καὶ ὡς ὁ Ψάλτης φησίν·
C « Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. » Ὅταν δὲ καὶ οἱ τῶν ἱερῶν δογμάτων ἐπιστήμονες αἱρετικοὶ, ταῖς ἑαυτῶν δυστροπίαις χρώμενοι κατεπαίρονται τῶν τῆς ἀληθείας προσκυνητῶν, ἐπέρχονται δὲ δεινοὶ καὶ θρασεῖς, ἢ πολέμους ἀνιστάντες καὶ διωγμοὺς, ἢ θλίψεις αὐτοῖς, καὶ θανάτου φόβον ἐπισωρεύοντες· οὐδὲν ἧττον ἀσθενήσουσι καὶ οὗτοι· χειρὶ γὰρ κρυφαίᾳ πολεμεῖ Κύριος ἐπὶ Ἀμαλὴκ ἀπὸ γενεῶν εἰς γενεὰς, καθὰ γέγραπται.

Cap. xviii. Vers. 1, 2. *Væ terræ navium alis ultra flumina Æthiopiæ! Qui mittit in mari obsides, et epistolas chartaceas super aquas. Ibunt enim nuntii leves ad gentem excelsam, et peregrinum populum et durum. Quis ultra illum? Gens desperata et conculcata.*

Οὐαὶ γῆς πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας! ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλίνας ἐπάνω τοῦ ὕδατος. Πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον, καὶ ξένον λαὸν, καὶ χαλεπόν. Τίς αὐτοῦ
D *ἐπέκεινα; Ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον.*

Mirari quis poterit apud se, et ratiocinari forsan et dicere : Cujus rei gratia, cum hic contra Damascum sermo propheticus fuerit, etiam terræ quæ est ultra fluvios Æthiopiæ mentionem inducit? Dicimus igitur Israelitas multis ac diversis temporibus, universorum conservatore et Deo incaute relicto, in errorem plurium deorum devolutos esse, et cura Mosaicæ præceptionis in totum abjecta, a Deo castigatos, bello multoties in eos concitato, et hinc calamitatibus quasi colliquefactos et attritos. Hi autem, cum debuissent pœnitudine sanare offensum,

Θαυμάσειεν ἄν τις, καὶ δὴ καὶ καθ' ἑαυτὸν ἐκεῖνο τάχα που διαλογιεῖται, καὶ ἐρεῖ· Τοῦ δὴ χάριν ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος, γέγονε μὲν κατὰ τῆς Δαμασκοῦ, εἰσκομίζει δὲ μνήμην καὶ τῆς γῆς, τῆς ἐπέκεινα ποταμῶν Αἰθιοπίας; Φαμὲν οὖν ὅτι κατὰ καιροὺς οἱ ἐξ Ἰσραὴλ, τὸν τῶν ὅλων σωτῆρα Θεὸν καταλιπεῖν ἀφυλάκτως μεμελετηκότες, κατώχοντο μὲν εἰς πολύθεον πλάνην· κατημεληκότες δὲ εἰς ἅπαν τῆς διὰ Μωσέως ἐντολῆς, ἐπαιδεύοντο παρὰ Θεοῦ, πολέμους αὐτοῖς ἐπανιστάντος κατὰ καιροὺς, καὶ ταῖς ἐντεῦθεν κατατήκοντος συμφοραῖς. Οἱ δὲ,

[43] Psal. xxix, 6. [43*] Deut. xxxii, 8, 9. [44] I Cor. x, 13. [45] Psal. xxxiii, 8.

καίτοι δέον ταῖς μεταγνώσεσι θεραπεύειν λελυπημένον, καὶ ἀποφοιτᾷν μὲν τῆς ἑαυτῶν φαυλότητος, ἀνακομίζεσθαι δὲ πρὸς τὸ τῷ νομοθέτῃ δοκοῦν, καὶ τὴν παρ' αὐτοῦ διψῆν ἐπικουρίαν, τὰς τῶν ὁμόρων ἐθνῶν κατεμισθοῦντο συμπνοίας· καὶ ποτὲ μὲν προσίεσαν τοῖς τῆς Δαμασκοῦ βασιλεῦσι, ποτὲ δὲ τοῖς Αἰγυπτίων· καὶ οὐχὶ μόνον, ἀλλὰ γὰρ καὶ τὰς τῶν ἐπικουρούντων αὐτοῖς ἐθνῶν λατρείας μανθάνοντες, καὶ αὐτὰς ἠπείγοντο ζηλοῦν. Καὶ γοῦν ὁ Ἄχαζ ὁ τοῦ Ἰωάθαμ βασιλεὺς Ἰούδα, γενόμενος ἐν τῇ Δαμασκῷ, εἶτα θυσιαστήριον ἀνατεθειμένον εἰδώλῳ τεθεαμένος ἐκεῖσε καινοπρεπῶς εἰργασμένον, τὸ ἐμφερὲς κατεσκεύασε, καὶ ἀνατέθεικεν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Οὐκοῦν γέγονεν ἡ ὅρασις κατὰ Δαμασκοῦ. Ἰδοὺ γάρ, φησί, Δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων, καὶ οὐκ ἔσται ἔτι ὀχυρὰ τοῦ καταφυγεῖν Ἐφραΐμ. Ὁρᾷς τὴν αἰτίαν ἐπενηνεγμένην εὐθύς, τοῦ ἐκ πόλεων ἀρθήσεσθαι λέγει τὴν Δαμασκόν; Οὐ γὰρ ἔτι ἔσται, φησίν, οὕτως ὀχυρά, ὥστε καὶ προσφεύγειν αὐτῇ τὸν Ἐφραῒμ ἐν τῇ Σαμαρείᾳ βεβασιλευκότα. Μεθίστησι τοίνυν τὸν λόγον ἐπὶ τὴν Αἰγυπτίων. Προσίεσαν γὰρ καὶ αὐτοῖς οἱ ἐξ Ἰσραήλ, μάλιστα δὲ οἱ κατοικοῦντες ἐν τοῖς Ἱεροσολύμοις, καὶ μετεποιοῦντο σφόδρα τῆς παρ' αὐτῶν συνδρομῆς καὶ ἐπικουρίας, ἐπιόντων μάλιστα τῶν Βαβυλωνίων. Καὶ γοῦν διὰ φωνῆς προφήτου φησίν· «Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις καὶ ἅρμασι πεποιθότες!» Συμβέβηκε δέ τι τοιοῦτον. Κατεστρατεύετο μὲν γὰρ τῆς Ἰουδαίων γῆς ὁ Ναβουχοδονόσορ κατὰ καιρούς. Ἐν δὲ τῷ παρατρέχειν, ἁπάσας, ὡς ἔπος εἰπεῖν, τὰς τῆς ἑῴας κατεληΐζετο πόλεις. Ἐπειδὴ δὲ τὴν Τυρίων ἑλεῖν ἠθέλησε, νῆσον οὖσαν τὸ τηνικάδε, εἶτα τῶν διαβιβαζόντων πλοίων ἐν ἀπορίᾳ γέγονε, Περσικῷ φρονήματι κεχρημένος, ἐπιθαρσήσας δὲ τῷ πλήθει τῆς στρατιᾶς, βατὴν ἐκέλευσε γενέσθαι τὴν θάλασσαν, χώματος ἐγειρομένου, καὶ λεωφόρον αὐτὴν πλατεῖαν ἀποτελοῦντος ἀπὸ τῆς χέρσου μέχρις αὐτῆς τῆς Τυρίων. Δεδιότες τοίνυν αὐτοὶ οἱ Τύριοι, μή ἄρα πως ἡ πόλις ἁλῷ, πρὸς πέρας ἐνηνεγμένων τοῖς Βαβυλωνίοις τῶν ἐγχειρημάτων, ναῦς πανταχόθεν συναγηγερκότες, ἀπεκομίζοντο τῆς νήσου, ἐρήμην ἀφέντες αὐτῷ τὴν πόλιν. Ἐπειδὴ δὲ τοῦτο μεμάθηκεν ὁ Ναβουχοδονόσορ, μεθίστη τὴν στρατιὰν ἐπὶ τὸ χρῆναι λαβεῖν τῶν Αἰγυπτίων τὴν χώραν, εἷλέ τε αὐτὴν ἀκονητί, Θεοῦ κατεξανιστάντος τοῖς Αἰγυπτίοις αὐτόν· ὅτι καὶ αὐτοὶ μεγάλην ἀνασπῶντες ἀεὶ τὴν ὀφρύν, κατηλαζονεύοντο τῶν ἐξ Ἰσραήλ, ὡς οὐκ ἐχόντων Θεὸν τὸν διασώζειν αὐτοὺς ἰσχύοντα. Καλούμενοι γὰρ εἰς ἐπικουρίαν, καὶ εἰς τὸ ἐπαμύνειν αὐτοῖς, ἀλκιμωτέρους ἔφασκον εἶναι τοὺς παρὰ σφίσι θεοὺς τοῦ τῆς Ἰουδαίας Θεοῦ. Ὅτι δὲ τὴν Αἰγυπτίων εἷλεν ὁ Βαβυλώνιος μετά γε τὸν ἱδρῶτα τὸν ἐπὶ Τύρῳ, σαφὲς ἂν γένοιτο τοῦ Θεοῦ λέγοντος πρὸς τὸν προφήτην Ἰεζεκιήλ· «Υἱὲ ἀνθρώπου, Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος κατεδουλώσατο αὐτοῦ τὴν δύναμιν δουλείᾳ μεγάλῃ ἐπὶ Τύρον. Πᾶσα κεφαλὴ φαλάκρωμα, καὶ πᾶς ὦμος

A et a sua discedere pravitate, et ad id quod legislatori visum esset reduci, ipsiusque sitire opitulationem, conspirationes finitimarum gentium pretio mercabantur, nunc se regibus Damasci, nunc Ægyptiorum adjungendo: nec id solum, quin etiam gentium sibi ferentium præsidium cultus didicerunt, illosque æmulari contenderunt. Etenim Achazus filius Joatham, rex Juda, cum esset in Damasco, **273** ibi demum aram idolo sacratam conspicatus, nova fabricatum elegantia, simile adornavit, et in domo Dei dedicavit. Proinde facta est visio contra Damascum. Ecce enim, inquit [45], Damascus spoliabitur civitatibus, et non erunt munita ut confugiat Ephraim. Videsne causam illico introductam, cur dicat Damascum civitatibus
B exspoliandam? Non enim amplius erunt, inquit, sic munita, ut profugiat eo Ephraim, qui in Samaria regnavit. Traducit igitur orationem ad terram Ægyptiorum. Accedebant enim et ad eos Israelitæ, maxime vero hi qui habitarunt Hierosolymis, ipsorumque consortium et subsidium magnopere expetebant, invadentibus maxime Babyloniis. Siquidem voce prophetæ ait: « Væ descendentibus in Ægyptum propter auxilium, qui equis et curribus confisi sunt [46]! » Hoc autem ita se habuit. Arma tulit contra terram Judæorum Nabuchodonosorus, aliis atque aliis temporibus. In transitu autem omnes, ut sic dixerim, orientales urbes deprædatus est. Cumque Tyriorum urbem capere vellet, insulam
C tum, navium autem laboraret inopia, quæ trajicerent, Persico animo ac stomacho præditus, ac multitudine copiarum confisus, mare jussit fieri permeabile, mole aggesta, unde ex terra ad Tyriorum usque urbem lata via sibi præberetur. Veriti igitur Tyrii, ne forte caperetur civitas, Babyloniorum conatibus ad finem perductis, navibus undecunque convectis, discedunt ab insula, et vacuam ei relinquunt civitatem. Quod ubi didicisset Nabuchodonosorus, dimisso exercitu ad regionem Ægyptiorum capiendam, eam sine pulvere ac labore occupavit, Deo illum in Ægyptios excitante: quoniam isti quoque magno semper contracto supercilio, in Israelitas se gerebant arrogantius, quasi Deum haberent qui eos conservare
D minus valeret. Vocati enim in subsidium et ad opem illis ferendam, suos deos Judææ Deo jactabant fortiores. Babylonium autem cepisse Ægyptum, post illum laborem in Tyro sumptum, planum fieri poterit, ex eo quod Deus dicit prophetæ Ezechieli: « Fili hominis, Nabuchodonosor rex Babylonis in servitutem tradidit copias suas servitute magna contra **274** Tyrum. Omne caput calvitium, et omnis humerus depilis, et merces non erat ei, et copiis suis propter servitutem duram, qua servivit in Tyro. Propterea dedi ei terram Ægypti [47]. » Infert itaque propheta huic illud, Væ, dicens: Væ terræ navium alis ultra flumina Æthiopiæ. Æthiopiæ flumina septem

[45] Isa. XVII, 1, 3. [46] Isa. XXXI, 1. [47] Ezech. XXIX, 18, 19.

ostia dicit, per quæ latus et magnus Ægypti fluvius in mare influit. Terram vero ultra fluvios nominat, eam quæ nunc est Alexandria, tunc On vocata. Erat autem populosissima, et incolas habebat fortissimos, et a fluminibus Ægypti distabat paululum. Nam ab ultimo ostio, cui nomen est Heracleum, ad Occidentem stadiis plus minus octoginta disterminatur. Quoniam vero in more ac consuetudine erat positum, hanc, quæ commemorata est, civitatem habitantibus ultro citroque fluvium transmittere, utpote semper navigabilem, et exportare res ad alios, et importare, et ex emporiis ac negotiationibus quæstum uberrimum comparare : ideo exclamat his verbis in naves propheticus sermo : nec tamen contra naves infereus Væ, sed contra eos potius, qui semper eis usi sunt, et gaudentes et circumfluentes illo quæstu, ut dixi, quem ex his conflaverant. Occupata siquidem cuncta regione a Nabuchodonosoro, cessavit omnis mercatura, et ita fiduciæ magnitudo præcisa est, pereuntibus simul his qui eas possederunt. Væ igitur, ait, alis navigiorum terræ illius, quæ est ultra fluvios Æthiopiæ. Alas autem navigiorum nominat vela, in quæ ventorum impetus incidentes, per medios fluctus alitis instar eas deferunt. Qui mittit in mari obsides, et epistolas chartaceas per aquas. Difficilis est admodum horum dictorum sententia : continet autem historiæ Græcanicæ narrationem, quam etiam commemorare oportet, non ut ab officio decoroque Christiani sermonis deerremus, sed ut sententiarum explicationem auditoribus perspicuam faciamus. Habet vero se hoc modo historia : Fabulantur quidam apud Græcos poetæ, Myrrham fuisse Cyniræ cujusdam filiam, qui effreni impetu ad voluptatem ferebatur, ac cum propria filia congressus libidinose, eam fecit pueri matrem, **275** quem etiam nominavit Adonidem. Quo facto erubescens, et naturæ legibus, impii flagitii convictus, in monte, ut fertur, infantem exposuit. Acceperunt autem eum quædam nymphæ illic, quas etiam montanas vocant dæmonas, educarunt et conservarunt : qui cum ad pubertatem et ad juventutis maturitatem profecisset, venustissima forma esse videbatur, venationemque exercuit, studium illud in silvis diligenter colebat. Quem tum, ut aiunt, conspicata illic Venus, meretricia muliercula, amare, coire, et nunquam non amplecti. Quo offensus Mars æmulus ac rivalis Veneris, suis forma assumpta, in venantem insilit. Perit ille e vestigio. Quæ res causam luctus Veneri præbuit ; itaque consternata, metuque confecta est, ut ad Orcum usque descenderet, amasium reductura. Cum autem Plutonis uxor adolescentulum impendio quam complecteretur, et pulchritudine admirabili præstantem non dimitteret, convenerunt inter se, ut anni periodo divisa, et alternis vicibus eum haberent. Reversa Venus cum hoc suis familiaribus seu amicis seu cultoribus renuntiaret, in festum res exiit ac celebritatem. Itaque Græci hinc tale festum excogita-

A μαδών· καὶ μισθὸς οὐκ ἐγενήθη αὐτῷ καὶ τῇ δυνάμει αὐτοῦ, ἀντὶ τῆς δουλείας τῆς σκληρᾶς, ἧς ἐδούλευσαν ἐπὶ Τύρῳ. Ἀντὶ τούτου δέδωκα αὐτῷ γῆν Αἰγύπτου.ι Ἐπιφέρει τοίνυν ὁ προφήτης καὶ αὐτῇ τὸ, Οὐαὶ, καί φησιν· Οὐαὶ γῆς πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας! Αἰθιοπίας μὲν οὖν ποταμοὺς τὰ ἑπτὰ στόματά φησι, δι' ὧν ὁ εὐρύς τε καὶ μέγας τῆς Αἰγύπτου ποταμὸς τῇ θαλάσσῃ μίσγεται. Γῆν δὲ τὴν ἐπέκεινα ποταμῶν ὀνομάζει, τὴν νῦν οὖσαν Ἀλεξάνδρειαν, καλουμένην δὲ τὸ τηνικάδε Ὢν. Ἦν δὲ δὴ πολυανδροῦσα λίαν, καὶ ἀλκιμωτάτους ἔχουσα τοὺς οἰκήτορας, ἀφειστήκει δὲ βραχὺ τῶν Αἰγύπτου ποταμῶν. Ἀπὸ γὰρ τοῦ τελευταίου στόματος (ὄνομα δὲ αὐτῷ τὸ Ἡρακλεῖον), διίσταται πρὸς ἑσπέραν σταδίοις τάχα που τὸν ἀριθμὸν ὀγδοήκοντα. Ἐπειδὴ δὲ B ἦν ἔθος τοῖς τὴν μνημονευθεῖσαν οἰκοῦσι πόλιν, ἄνω τε καὶ κάτω τὸν ποταμὸν διαπλεῖν, ἀεὶ μὲν ὄντα ναυσίπορον, ἄγειν δὲ καὶ φέρειν τά τε παρ' αὐτῶν εἰς ἑτέρους, παρά τε σφίσι τὰ ἐξ ἑτέρων, καὶ φιλοκερδίαις ἐντρυφᾷν ταῖς ἐξ ἐμποριῶν· ταύτῃτοι ταλανίζει τὰς ναῦς ὁ προφητικὸς ἐν τουτοισὶ λόγος, καὶ οὐ κατά γε τῶν νηῶν ἐπιφέρει τὸ, Οὐαί· κατ' ἐκείνων δὲ μᾶλλον, οἵπερ ἦσαν αὐταῖς ἀεὶ χρώμενοι, χαίροντές τε καὶ ἐντρυφῶντες, ὡς ἔφην, ταῖς ἐξ αὐτῶν γινομέναις φιλοκερδίαις. Κατειλημμένης γὰρ ἁπάσης τῆς χώρας ὑπὸ τοῦ Ναβουχοδονόσορ, πέπαυται μὲν ἐμπορία πᾶσα, καὶ τῆς εἰς τοῦτο παῤῥησίας τὸ πλάτος ἀνεκόπτετο, διολωλότων τάχα που καὶ τῶν κεκτημένων αὐτάς. Οὐαὶ τοίνυν, φησὶν, αἱ πτέρυγες τῶν C πλοίων τῆς γῆς ἐκείνης τῆς οὔσης ἐπέκεινα τῶν ποταμῶν Αἰθιοπίας! Πτέρυγας δὲ πλοίων ὀνομάζει τὰ ἱστία, οἷς αἱ τῶν πνευμάτων ἐμπίπτουσαι προσβολαὶ, πτηνοῦ δίκην αὐτὰς ἀποφέρουσι διὰ μέσου κύματος. Ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλίνας ἐπάνω τοῦ ὕδατος. Δυσέφικτος μὲν κομιδῇ τῶν εἰρημένων ὁ νοῦς· ὠδίνει γε μὴν ἱστορίας Ἑλληνικῆς ἀφήγησιν, ἣν καὶ ἀναγκαίως ἐροῦμεν, οὐκ ἔξω βαίνοντες τοῦ εἰκότος, ἤγουν τοῦ πρέποντος λόγοις Χριστιανικοῖς, ἀλλ' ὑπέρ γε τοῦ σαφῆ καταστῆσαι τοῖς ἀκροωμένοις τὴν τῶν ἐννοιῶν ἀπόδοσιν. Ἔχει δὲ οὕτω τῆς ἱστορίας ὁ λόγος· Μυθολογοῦσί τινες τῶν παρ' Ἕλλησι ποιητῶν Μύῤῥαν γενέσθαι τὴν τοῦ Κινύρου τινὸς θυγατέρα, ὃς δὴ καὶ ἀχαλίνοις ὁρμαῖς ταῖς εἰς φιληδονίαν ἡττώμενος, συνεπλέκετο D μὲν ἀσελγῶς τῇ ἰδίᾳ θυγατρὶ, μητέρα δὲ αὐτὴν ἐποίει παιδὸς, ὃν δὴ καὶ ὠνόμασεν Ἄδωνιν. Ἐπερυθριῶν δὲ τῷ γεγονότι καὶ τοῖς τῆς φύσεως νόμοις, ὅτι πέπραχεν ἀνοσίως ἐξελεγχόμενος, ἐξέθηκεν ὥς φασι τὸ παιδίον ἐν ὄρει. Λαβοῦσαι δὲ τοῦτο τῶν ἐκεῖσε νυμφῶν τινες, ἃς καὶ ὀρεάδας καλοῦσι δαίμονας, ἔθρεψάν τε καὶ διεσώσαντο· ὃς δὴ καὶ ἡβήσας, καὶ ἐν νεανίαις ἤδη τελῶν, εὐπρεπεστάτην μὲν ἔχων τὴν ὥραν ἐφαίνετο· ἥπτετο δὲ κυνηγ[ε]ίας, καὶ τὰς ἐπὶ τούτῳ σπουδὰς καθ' ὕλας ἐποιεῖτο περὶ πολλοῦ. Εἶτα, φησὶ, θεασαμένη τοῦτον ἡ παρ' αὐτοῖς Ἀφροδίτη (ἑταιρικὸν δὲ τοῦτο γύναιον ἦν), ἠράσθη τε καὶ συνεγένετο, καὶ περιέπουσα διετέλει. Καὶ πρός γε τοῦτο λελυπημένος ὁ Ἄρης, ἀντεραστὴς ὑπάρχων τῆς Ἀφροδίτης, συῒ παρεικάζεται, καὶ θηρῶντι μὲν

ἐπιτηδῇ, διάλλυσι δὲ παραχρῆμα· καὶ θρήνου πρόφασις γέγονε μὲν τὸ χρῆμα τῇ Ἀφροδίτῃ, φησίν. Καθίκετο δὲ δυσθυμίας εἰς τοῦτο καὶ λύπης, ὥστε καὶ εἰς αὐτὸν καταφοιτῆσαι τὸν ᾅδην, ἀνακομίσαι θέλουσα τὸν ἐρώμενον. Ἐπειδὴ δὲ ἡ τοῦ Πλούτωνος γυνὴ μετεποιεῖτο τοῦ νεανίσκου σφόδρα, καὶ ἀξιοθαύμαστον ἔχοντα τὴν ὥραν οὐκ ἠφίει, συνέθεντο πρὸς ἀλλήλας, ὥστε μερίσασθαι τοῦ ἐνιαυτοῦ τὸν κύκλον· καὶ ἐξ ἡμισείας ἔχειν αὐτόν. Ἀνελθούσης δὲ τῆς Ἀφροδίτης, καὶ τοῦτο ἀναγγειλάσης τοῖς ἑαυτῆς οἰκείοις, ἤτοι φίλοις, ἢ λατρευταῖς, ἑορτὴ τὸ χρῆμα γέγονε καὶ πανήγυρις. Ἐπλάττοντο τοίνυν Ἕλληνες ἑορτὴν ἐπὶ τούτῳ τοιαύτην. Προσεποιοῦντο μὲν γὰρ λυπουμένῃ τῇ Ἀφροδίτῃ, διὰ τὸ τεθνάναι τὸν Ἄδωνιν, συνολοφύρεσθαι καὶ θρηνεῖν· ἀνελθούσης δὲ ἐξ ᾅδου, καὶ μὴν καὶ ηὑρῆσθαι λεγούσης τὸν ζητούμενον, συνήδεσθαι καὶ ἀνασκιρτᾷν· καὶ μέχρι τῶν καθ' ἡμᾶς καιρῶν ἐν τοῖς κατ' Ἀλεξάνδρειαν ἱεροῖς ἐτελεῖτο τὸ παίγνιον τοῦτο. Μεμαθήκασι καὶ οἱ ἐξ αἵματος Ἰσραὴλ, καὶ δὴ καὶ ἔδρων αὐτὸ, Θεὸν μὲν ἀφέντες τὸν φύσει καὶ ἀληθῶς, ἀπονενευκότες δὲ πρὸς ἃ μὴ θέμις, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις εἰς ὄλεθρον καὶ ἀπώλειαν ἀσυνέτως συνηρπασμένοι. Διαμέμνηται τούτου καὶ ὁ μακάριος προφήτης Ἰεζεκιήλ· ἔφη γὰρ οὕτως· «Καὶ εἶδον, καὶ ἰδοὺ ἐκεῖ γυναῖκες καθήμεναι, θρηνοῦσαι τὸν Θαμμούζ.» Διερμηνεύεται δὲ ὁ Θαμμοὺζ ὁ Ἄδωνις. Ἐπράττετο δέ τι τοιοῦτον παρὰ τῶν ὄντων ἐν τῇ γῇ τῇ ἐπέκεινα ποταμῶν Αἰθιοπίας, περὶ ἧς ἐν τοῖς ἀνωτέρω βραχὺ σαφῶς εἰρήκαμεν. Κέραμον λαβόντες, εἶτα γράφοντες ἐπιστολὴν πρὸς τὰς ἐν Βίβλῳ γυναῖκας, ὡς ηὑρημένου τοῦ Ἀδώνιδος, καὶ ἐνθέντες τε αὐτὴν τῷ κεράμῳ, καὶ σφραγίσαντες, καθίεσαν εἰς τὴν θάλασσαν, τελετάς τινας ἐπ' αὐτῷ ποιησάμενοι· καὶ ὥς γε ἔφασκον, αὐτομάτως εἰς Βίβλον ἀπεκομίζετο (1) κατὰ φανερὰς τοῦ ἔτους ἡμέρας. Ὃν δὴ καὶ ἀποδεξάμεναι γυναῖκές τινες τῆς Ἀφροδίτης φίλαι, εἶτα λαβοῦσαι τὴν ἐπιστολὴν ἐπαύοντο τοῦ θρηνεῖν, ὡς ηὑρημένου παρὰ τῆς Ἀφροδίτης τοῦ Ἀδώνιδος. Διαγελᾷ τοίνυν ὁ προφητικὸς ἡμῖν λόγος, ὡς εἰδωλολάτρας ποτὲ καὶ ἀνοσίους, καὶ ἀπατεῶνας, καὶ θεομισεῖς, τοὺς κατοικοῦντας τὴν γῆν τὴν ἐπέκεινα ποταμῶν Αἰθιοπίας, καί φησιν· Ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλίνας ἐπάνω τοῦ ὕδατος. Ἕπεται δὲ πάντως καὶ τούτῳ τὸ, Οὐαί· καθάπερ ἀμέλει καὶ ταῖς πτέρυξι τῶν πλοίων. Οὐαὶ γὰρ γῆς πτέρυγες πλοίων, φησίν! Οὐκοῦν ἀπὸ κοινοῦ προσεπάγεται τὸ, Οὐαὶ, τῷ ἀποστέλλοντι ἐν θαλάσσῃ ὅμηρα· τοῦτ' ἔστιν, ἐνέχυρα τῆς ὁμοψυχίας. Ὡς γὰρ Ἀφροδίτης τελοῦντες μυστήριον τοῖς ταύτην ἐν Βίβλῳ σεβομένοις, καὶ τὴν ἴσην αὐτοῖς νοσοῦσι μανίαν, ἐξέπεμπον τὰς ἐπιστολὰς, οὐ πλοίοις ἐνθέντες τοὺς διακομιστὰς, ἀλλ' οἷον ἐπάνω τοῦ ὕδατος, διὰ τὸ κεράμῳ, καθάπερ ἔφην, ἐντεθεῖσθαι ταύτας. Ἠναγκάσμεθα δὲ μύθων ὀδωδότων καὶ γεγηρακότων, καὶ

A runt, ut se cum Venere propter mortem Adonidis mœsta condolere et lugere: redeunti autem ex Orco et inventum esse dicenti, quem quæsiverat, gratulari, et una exsultare simularent; et ad nostram usque ætatem in Alexandrinis delubris hoc ludicrum peragebatur. Hoc quoque ex sanguine Israelitico orti didicerunt, idque ipsum factitarunt, Deo videlicet naturali et vero derelicto, ad id quod fas non erat delapsi, et dæmonum imposturis in perniciem et interitum imprudenter abrepti. Meminit hujus etiam beatus propheta Ezechiel. Dixit enim sic: « Et vidi, et ecce mulieres sedentes, lugentes Thammuz [47] » (exponitur autem Thammuz Adonis). Factum est autem tale quiddam ab his qui erant in terra trans fluvios Æthiopiæ, de qua in
B superioribus paulo planius diximus. Accepto fictili, dein conscriptam in papyro epistolam ad feminas, quasi invento Adonide, ac fictili impositam et
276 obsignatam, in mare demiserunt, quibusdam celebratis cæremoniis: et ut dicebant temere, et casu in chartas, juxta manifestos anni dies referebatur. Quod ubi illæ feminæ Veneris amicæ una cum epistola accepissent, perinde ac si repertus fuisset a Venere Adonis, luctum ponebant. Deridet ergo sermo propheticus nobis velut idololatras impios, seductores, et Dei hostes eos qui terram eam inhabitant, trans fluvios Æthiopiæ, et inquit: Qui mittit in mari obsides, et epistolas papyraceas super aquam. Hoc etiam omnino sequitur Væ, quem-
C admodum certe alis navium. Væ enim, inquit, terræ navium alis. Quare in commune extendit illud Væ ad eum etiam qui mittit in mari obsides, id est, concordiæ ac consensionis pignora. Nam perinde quasi Veneris mysteria celebrarent, eam in papyro colentibus ac pari laborantibus insania, miserunt epistolas, non impositis navi tabellariis, sed velut super aquas, eo quod, uti dixeram, eas in urceolo posuerunt. Coacti sumus, solum ut verborum intelligentiam declararemus, fabulas putidas et aniles, et Græcam abominationem commemorare. Ibunt enim nuntii celeres ad gentem excelsam, et peregrinum populum et durum. Quis ultra illum? Gens desperata et proculcata. Dixi offendisse reges Assyriorum, eos qui terram
D trans fluvios Æthiopiæ habitarunt: quoniam flagitantibus auxilium Israelitis non solum promiserunt, sed etiam miserunt, etiamsi nihil prorsus illos juverint. Hinc illi commoti, postquam universam, ut hoc verbo utar, Judæam depopulati sunt, bello Ægyptiis illato, totam terram nullo labore ceperunt, Deo illis dante ut adversariorum manum expugnarent, eo quod in Ægyptios concitati fuerint. Proin expugnaturo regionem eorum Babylonio, cursores quidam ex Judæa profecti, non longe abfuturam incursionem pronuntiarunt. De quibus propheta:

[47] Ezech. VIII, 14.

(1) Corr. Αὐτομάτως εἰς Βύβλον ἀπεκομίζετο· *Sua sponte in Byblum perferebatur.* Byblus enim charta, juncus, et urbs Phœnicum.

ibunt nuntii leves, id est, veloces, et velut pennati A et agiles, et vicinam ac jam in foribus præsentem belli calamitatem denuntiabunt. Gentem excelsam, ac populum peregrinum ac durum, Ægyptios nominat: excelsam **277** et elatam, pro, superbam vel levem et agilem, et nulli vulneri aut ictui expositam; peregrinam autem et duram, tanquam rara quadam sævitia ac inusitata immanitate præditam, quæ hic non habeat superiorem. Quis enim ultra illum, inquit, pro, Quis adeo levis et rudis, et imperitus, quis tantam bonis insuetam perversitatem exercuit, quantam Ægyptiacus populus? Maximi enim erant cultores idolorum. Quocirca etiam gentem desperatam, et conculcatum populum nuncupat: desperatam, eo quod eum qui natura et vere Deus est ignorarent; conculcatam autem, quo- B niam dæmoniorum erroribus animum subditum substratumque habentes, tantum non pedibus eorum succubuerunt. Quin aliter quod dictum est accipias. Nam dum in manus Assyriorum caderent, omni spe gaudii abjecta, sic proculcati sunt, ut restitui, si fas sit dicere, nunquam possent, quin victorum pedibus subjaceant ac substernantur.

βδελυρίας Ἑλληνικῆς ποιήσασθαι μνήμην, ὑπέρ γε τοῦ σαφηνίσαι μόνον τῶν προκειμένων τὸν νοῦν. Πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον, καὶ ξένον λαὸν καὶ χαλεπόν. Τίς αὐτοῦ ἐπέκεινα; Ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον. Φθάσας ἔφην, ὅτι προσκεκρούκασι τοῖς Ἀσσυρίων βασιλεῦσιν οἱ κατοικοῦντες τὴν γῆν τὴν ἐπέκεινα ποταμῶν Αἰθιοπίας· ἐπείπερ αἰτοῦσιν ἐπικουρίαν τοὺς ἐξ Ἰσραὴλ, οὐ κατεπηγγέλλοντο μόνον, ἀλλὰ γὰρ καὶ πεπόμφασιν, εἰ καὶ ὤνησαν αὐτοὺς παντελῶς οὐδέν. Οἱ δὲ πρὸς τοῦτο λελυπημένοι, μετὰ τὸ πᾶσαν, ὡς ἔπος εἰπεῖν, καταδηῶσαι τὴν Ἰουδαίαν, κεχωρήκασι κατὰ τῆς Αἰγυπτίων, εἷλόν τε ἅπασαν ἀμογητὶ, Θεοῦ διδόντος αὐτοῖς τὸ δύνασθαι κατευμεγεθεῖν τῆς τῶν ἀνθεστηκότων χειρὸς, διάτοι τὸ λελυπῆσθαι κατ' Αἰγυπτίων. Μέλλοντος τοίνυν καταστρατεύειν τῆς χώρας αὐτῶν τοῦ Βαβυλωνίου, δρομαῖοί τινες ἐβαδίζοντο ἐκ τῆς Ἰουδαίας, ἀπαγγέλλοντες αὐτοῖς τὴν οὐκ εἰς μακρὰν ἐσομένην ἔφοδον. Καὶ περὶ αὐτῶν φησιν ὁ προφήτης, ὅτι Πορεύσονται ἄγγελοι κοῦφοι, τοῦτ' ἔστι, ταχεῖς, καὶ οἱονεὶ πτηνοί τε καὶ ἐλαφροὶ, γείτονά τε καὶ ἐπὶ θύραις ἤδη γεγενημένην τὴν ἐκ τοῦ πολέμου καταμηνύοντες συμφοράν. Ἔθνος δὲ μετέωρον, καὶ ξένον λαὸν καὶ χαλεπὸν, τοὺς Αἰγυπτίους ὀνομάζει· τὸ, μετέωρον, ἀντὶ τοῦ, ὑπέροπτον, ἤτοι τὸ κοῦφον καὶ ἐλαφρὸν, καὶ ἀνούστατον· ξένον δὲ καὶ χαλεπὸν, ὡς ἐν χαλεπότητι ξενίζον, καὶ οὐκ ἔχον τινὰ τὸν ἐπέκεινα πρὸς τοῦτο. Τίς γὰρ αὐτοῦ ἐπέκεινα, φησίν, ἀντὶ τοῦ, Τίς οὕτω κοῦφος, καὶ ἀμαθὴς καὶ ἀσύνετος, καὶ ἀσυνήθη τοῖς ἄλλοις ἐπιτηδεύων φαυλότητα, ὡς ὁ ἐν Αἰγύπτῳ λαός; Σφόδρα γὰρ ἦσαν εἰδωλολάτραι. Τοιγάρτοι καὶ ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον αὐτοὺς ὀνόμαζει. Ἀνέλπιστον μὲν, διάτοι τὸ μὴ εἰδέναι τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεόν· καταπεπατημένον δὲ, ὅτι ταῖς τῶν δαιμονίων ἀπάταις πολὺ δὴ λίαν τὸν νοῦν ὑποστρώσαντες, μονονουχὶ τοῖς ἐκείνων ὑπέκειντο ποσίν· ἢ καὶ ἑτέρως ἐκδέξῃ τὸ εἰρημένον. Περιπεσόντες γὰρ ταῖς Ἀσσυρίων χερσὶν, πᾶσαν ἀποβεβλήκασιν εὐθυμίας ἐλπίδα, καταπεπάτηνται δὲ οὕτως, ὡς μηδὲ, ὅσον εἰπεῖν, ἀνασφῆλαι δύνασθαί ποτε, ὑποπεπτωκέναι τε καὶ ὑπεστρῶσθαι ταῖς τῶν νενικηκότων ποσίν.

VERS. 3. *Nunc fluvii terræ omnes, ut regio habitata, incoletur regio eorum.* C

Commode etiam modum captivitatis prædicit. Credebant enim Ægyptiacæ terræ incolæ se a Babyloniis non posse capi, quia tota eorum regio plurimis et magnis cincta esset fluminibus, et spatiosas ac ingentes paludes haberet. Sunt enim regiones hujusmodi inaccessæ grassatoribus, nec ita ad incursiones opportunæ. At ubi Deus illis succensuit, paratum hoc et facile Babyloniis reddidit. Omni enim aquarum confluxu exsiccato, humidam terram effecit equestrem. Hoc arbitror prophetam hic denotare, cum ait: Nunc fluvii terræ omnes, quasi regio habitata, incoletur regio eorum. Etenim, inquit, illa loca quæ erant navigabilia semper D et humida, erunt ejusmodi tempore belli, ut jam futura sit regio omnino habitata, et terra plane aquis destituta. Quid enim recta et omnipotens et suprema natura non poterit efficere?

Νῦν οἱ ποταμοὶ τῆς γῆς πάντες, ὡς χώρα κατοικουμένη, κατοικηθήσεται ἡ χώρα αὐτῶν.

Προαπαγγέλλει χρησίμως καὶ τὸν τῆς ἁλώσεως τρόπον. Ὤοντο μὲν γὰρ οἱ τὴν Αἰγυπτίων ἔχοντες γῆν, ἀνάλωτοι γεγενῆσθαι τοῖς Βαβυλωνίοις, διάτοι τὸ πᾶσαν αὐτῶν τὴν χώραν πλείστοις τε ὅσοις καὶ μέντοι καὶ μεγάλοις διεζῶσθαι ποταμοῖς, εὐρείας τε καὶ μακρὰς ἐσχηκέναι τὰς λίμνας. Δυσέμβατοι γάρ πως, καὶ οὐκ εὐκατάδρομοι λίαν τοῖς καταδηοῦν ἐθέλουσιν, αἱ τοιαίδε τῶν χωρῶν. Ἐπειδὴ δὲ Θεὸς αὐτοῖς ἐπεμήνισεν, ἕτοιμον καὶ τοῦτο τοῖς Βαβυλωνίοις ἐτίθει. Πᾶσαν γὰρ ὑδάτων ἀποξηράνας σύστασιν, ἱππήλατον αὐτοῖς ἀπέφηνε τὴν ὑγράν. Τοῦτο οἶμαι δηλοῦν τὸν προφήτην ἐν τουτοισὶ λέγοντα· Νῦν οἱ ποταμοὶ τῆς γῆς πάντες, ὡς χώρα κατοικουμένη, κατοικηθήσεται ἡ χώρα αὐτῶν. Τὰ γάρ τοι πλώϊμα, φησὶ, καὶ ἀεί πως ὑγρὰ τῶν χωρίων ἔσται τοιαῦτα, κατὰ τὸν τοῦ πολέμου καιρὸν, ὡς δοκεῖν ἤδη πως καὶ χώραν εἶναι κατοικουμένην διὰ παντὸς, καὶ χέρσον ἁπλῶς ὑδάτων ἔρημον. Τί γὰρ οὐκ ἂν δύναιτο κατορθοῦν ἡ θεία τε καὶ παναλκὴς, καὶ ἀνωτάτω φύσις;

Quasi in signum de monte levabitur, quasi tubæ vox, sub auditum cadet.

Rei militaris duces belli tempore, in tumulis quosdam statuunt, et jubent identidem signum tollere: quæ res manifestum est cuncto exercitui si-

Ὡσεὶ σημεῖον ἀπὸ ὄρους ἀρθῇ, ὡς σάλπιγγος φωνὴ, ἀκουστὸν ἔσται.

Οἱ τῶν τακτικῶν ἡγούμενοι, κατὰ τὸν τοῦ πολέμου καιρὸν ἐν γηλόφοις ἱστάντες τινὰς, αἴρεσθαι πλειστάκις ποιοῦσι σημεῖον· καὶ σύνθημα τοῦτο τῇ στρατιᾷ

γίνεται πράγματος ἐναργοῦς. Κέχρηται δὲ καὶ ταῖς διὰ σαλπίγγων φωναῖς, ἢ διανιστάντες ἐπὶ τὸ μάχεσθαι κατά τινα συνήθη ῥυθμὸν, ἢ καὶ ἀφιστάντες τοῦ πολέμου κατά γε τὸ αὐτοῖς εὖ ἔχειν δοκοῦν. Ἔστι τοίνυν καὶ τὸ αἰρόμενον ὑψοῦ σημεῖον ἐπισημότατον. Ἑστήκασι γὰρ εἰς ὄρος οἱ τοῦτο δρᾷν εἰωθότες, καὶ μὴν καὶ ἅπασι τοῖς κατὰ τὴν μάχην ἐξάκουστος καὶ σαφὴς ἡ τῶν σαλπίγγων ἠχή. Ἔσται τοίνυν, φησὶ, τῆς Αἰγυπτίων τὸ πάθος γνωριμώτατον οὕτω τοῖς ἁπανταχοῦ, ὥστε παρεικάζεσθαι σημείῳ τῷ κατά τι τῶν ὀρῶν ἐγηγερμένῳ· ἔκπυστον δὲ οὕτω, καθάπερ ἀμέλει καὶ ἡ διὰ τῶν σαλπίγγων ἠχή. Ἀπὸ δὴ τῶν τοιούτων ἐκεῖνο εἰσόμεθα, καὶ πρὸς ὠφελείας ἡμῖν ἔσται πολλῆς, τὸ κατὰ μηδένα τρόπον καταθήγειν εἰς ὀργὰς τὴν ἀκήρατον φύσιν· ἢ πάντῃ τε καὶ πάντως δρῶντας ἃ μὴ θέμις, καὶ τὴν ὑπ' αὐτῷ λατρείαν παραιτουμένους, ἤγουν συντρέχοντας ἀποστάταις, καὶ τοῖς ὑπὸ θείαν ὀργὴν τοὺς ἑαυτῶν συμπλάττοντας τρόπους, κοινωνεῖν αὐτοῖς τῆς συμφορᾶς, καὶ τὴν ἴσην πράττεσθαι παρὰ Θεοῦ δίκην. Τοῦτο πεπονθότας τοὺς τῶν Αἰγυπτίων οἰκήτορας κατίδοι τις ἄν. Ἐπειδὴ γὰρ προσκεκρούκασιν οἱ ἐξ Ἰσραὴλ, εἶτα σώζειν αὐτοὺς ἐπηγγέλλοντο, κἂν εἰ μὴ βούλοιτο Θεὸς, δίδονται τοῖς ἐχθροῖς εἰς ὄλεθρον καὶ ἀπώλειαν.

Ὅτι οὕτως εἶπέ μοι Κύριος· Ἀσφάλεια ἔσται ἐν τῇ ἐμῇ πόλει, ὡς φῶς καύματος μεσημβρίας, καὶ ὡς νεφέλη δρόσου ἡμέρας ἀμητοῦ ἔσται πρὸ τοῦ θερισμοῦ.

Σαφὴς μὲν τῆς ἱστορίας ὁ λόγος· πλὴν ἐπιδρομάδην ἐροῦμεν. Σέσωκε γὰρ τὰ Ἱεροσόλυμα Θεὸς πολιορκοῦντος αὐτὰ Ῥαψάκου, καὶ τὴν ἀναρίθμητον τὴν τῶν Ἀσσυρίων πληθὺν περιστήσαντος· σέσωκεν ὅπως; « Ἐξῆλθε γὰρ ἄγγελος Κυρίου, » φησὶ, « καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἐν μιᾷ νυκτὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. » Ἔσται τοίνυν, φησὶν, ἀσφάλεια ἐν τῇ πόλει τῇ ἐμῇ. Καὶ ὅτι γέγονα κινδυνεύουσιν ἐπίκουρος ἐγὼ, διαφανὲς οὕτω τοῖς ἁπανταχόσε γενήσεται, ὡς ἔστι λαμπρὸν καὶ ἀκμαιότατον τὸ ἐν μεσημβρίᾳ φῶς. Ἡλίου γὰρ μεσημβρίζοντος, καὶ ἀκμαιοτάτην ἄνωθεν τοῖς ἐπὶ τῆς γῆς ἐνιέντος τὴν ἀκτῖνα, πλουσιωτάτῳ φωτὶ τὰ πάντα καταλαμπρύνεται. Ἔσται τοίνυν, φησὶ, κινδυνεύουσιν ἡ παρ' ἐμοῦ δοθησομένη τὸ τηνικάδε χάρις τε καὶ ἀσφάλεια, ὥσπερ ἂν εἰ καὶ νεφέλη δρόσου ἐν ἡμέραις ἀμητοῦ πρὸ τοῦ θερισμοῦ. Καὶ τί δὴ βούλεται δηλοῦν, ἐρῶ πάλιν· Ἔθος τοῖς ἀμῶσι μὴ πρότερον τοῖς ἀστάχυσιν ἐπαφεῖναι τὸν σίδηρον, εἰ μὴ ἄρα πως προκατενεχθεῖσα δρόσος, εὐαφεστέραν αὐτοῖς τὴν καλάμην ἐργάσηται. Ἐν εὐχῇ τοιγαροῦν· τὸ χρῆμα αὐτοῖς, τὸ καθιεῖσθαί φημι παρὰ Θεοῦ τὴν δρόσον. Τριπόθητος οὖν τοῖς ἐν τοῖς Ἱεροσολύμοις ἡ παρὰ Θεοῦ γέγονεν ἀσφάλεια, καθάπερ ἀμέλει καὶ ἡ δρόσος ἐν ἡμέραις ἀμητοῦ πίπτουσα πρὸ τοῦ θερισμοῦ.

Ὅταν συντελεσθῇ στάχυς, καὶ ὄμφαξ ἀνθήσῃ ἄνθος ὀμφακίζουσα. Καὶ ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις, καὶ τὰς κληματίδας ἀφελεῖ,

[48] IV Reg. xix, 35.

A gnum et indicium. Utuntur etiam sonis tubarum, vel cum usitato quodam concentu ad pugnandum excitant, vel **278** cum (ubi visum est) receptui canunt. Est hoc igitur quod fit in sublimi loco, signum illustre. Stant enim in monte, qui hoc factitant; et omnibus qui in prælio sunt, exaudibilis est et clarus tubarum clangor. Erit ergo, inquit, Ægyptiorum casus ubivis gentium adeo celebratus, ut signo in monte aliquo erecto comparari possit; adeo autem clarus et exaudibilis, ut est sane tubarum sonitus. Ex his illud intelligemus, idque nobis e re erit, ut nullo modo ad iram immortalem exacuamus naturam: ac vel omnino quæ fas non est admittendo, et ejus cultum aversando, vel cum desertoribus et apostatis conspirando, mores hominum divinæ iræ obnoxiorum imitando, in societatem
B cum ipsis calamitatum veniamus, et pares pœnas divinitus luamus. Hoc usu venisse Ægypti incolis videre licet. Offendentibus enim Israelitis, atque adeo istis promittentibus servare eos, etiam Deo volente, deduntur hostibus in exitium et interitum.

VERS. 4, 5. *Quia sic dixit mihi Dominus: Securitas erit in mea civitate, velut lux ardoris in meridie, et velut nubes roris in die messis ante messem.*

C Aperta est hæc historia, attamen cursim commemorabimus. Servavit nempe Hierosolyma Deus, cumque obsideret Rapsaces, et innumerabili Assyriorum multitudine circumsideret, tamen conservavit. « Egressus est enim angelus Domini, » inquit, « et interemit ex castris Assyriorum una nocte centum octoginta quinque millia [48]. » Erit ergo, inquit, in civitate mea securitas. Quod autem ego periclitantibus fuerim adjutor, hinc perspicuum fiet ubivis gentium: quia lux meridiana, clarissima est et fortissima. Sole nimirum sub meridiem lucente, et desuper in terrestria radium intensissimum emittente, ditissimo et copiosissimo lumine collustrantur omnia. Erit proinde, inquit, periclitantibus gratia et securitas quæ tum a me dabitur, perinde ut nubes
D roris in diebus messis ante messem. Quid autem demonstrare velit, de integro repetam. In more est metentibus, non ante spicis admovere ferrum, quam ros demissus meliorem **279** culmum et tactu faciliorem efficiat. Illud igitur in votis est maxime, ut scilicet ros divinitus descendat. Itaque securitas hæc divinitus Hierosolymitanis fuit ter desiderabilis et optabilis, quemadmodum profecto in diebus messis ros ante messem.

VERS. 5, 6. *Quando consummatus fuerit flos, et immatura uva effloruerit, florem germinans immature, et auferet racemulos parvos falcibus, et sar-*

menta auferet, et abscindet et relinquet simul volucribus cœli et bestiis terræ. Et congregabuntur super illos volatilia cœli, et omnes bestiæ terræ eo venient.

Difficilis est admodum, nec parum obscura horum verborum sententia, et ipsa præterea dictionis compositio; at, quoad licuerit, conabor expedire. Transfert ergo orationem velut a scientia agricolarum. Moris enim illis est, quando vitis botros effloruisse viderint, et jam uvarum speciem habere, redundantes propagines amputare, et minutos racemulos superflue appensos, et majoribus intersertos, falcibus resecare, ut fecundiorem succum majores botri percipientes fructum possint fundere. Tale quiddam fecisse dicit universitatis Deum, sive de Assyriis, sive etiam de Ægyptiis : nec enim satis aperta est oratio, quibus maxime congruat. Si quis ergo malit intelligere velut unam vitem, Assyriorum multitudinem, quæ sanctam urbem obsidione pressit : dicimus invenire nos posse magnum in ea botrum significari, scilicet eum qui regio solio splendescens cum reliquis non periit, sed evasit ille quidem, cætera autem turba velut ordinem ac seriem pusillorum racemorum occupans, consumpta est, et paratissimus Domini gladius quasi falx quæpiam eos velut supervacaneos surculos detondit. Ceciderunt enim, ut dixi, angeli manu exstincti, et fuerunt cadavera eorum deliciæ animantibus agri et volatilibus cœli. Sin de Ægyptiis velis hæc dici, intelliges Assyrios, dum eam populati sunt, non stirpitus omnem, non funditus internecioni dedisse, sed domicilia hinc inde sparsim, et vicos velut parvos racemulos gladio percussisse, ad Dei misericordis iras **280** se attemperantes, qui castigat quidem offensantes, sæpe tamen pœnas abrumpit, nec prorsus interire sinit eos qui castigantur.

VERS. 7. *In tempore illo adducentur munera Domino Sabaoth a populo afflicto et avulso, et a populo magno, deinceps et in æternitatem. Gens sperans et conculcata, quæ est in parte fluvii regionis ejus, in loco ubi nomen Domini Sabaoth invocatum est mons Sion.*

Cum ea quæ in bello eventura erant olim Ægyptio populo pulcherrime edisseruerit, mentionem facit deinceps etiam conversionis ad Deum, et quod pristina erroris caligine ab oculis animi ablegata, et idololatriæ vale dicto, ad meliora se conferent, et natura et vere Deum et universitatis opificem Dominum agnoscent, et divertentes velut ad novam quampiam et selectam vitam, fructificabunt Deo in his quibus esse possunt accepti, et omnibus abundantes laudibus, et quasi munera adducent in odorem suavitatis Deo, fidem, spem, charitatem. Afflictum autem nominat eum populum, quippe quod plurimas sustineant calamitates, et divinæ iræ vim subeant. Ad hæc, evulsum dicit : fortassis transitum

A *καὶ κατακόψει καὶ καταλήψει ἅμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς. Καὶ συναχθήσεται ἐπ' αὐτοὺς τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα τὰ θηρία τῆς γῆς ἐπ' αὐτὸν ἥξει.*

Δυσχερὴς μὲν λίαν καὶ δυσκάτοπτος οὐ μετρίως τῶν προκειμένων ὁ νοῦς. Καὶ αὐτὴ δὲ πρὸς τούτο τῆς λέξεως ἡ συνθήκη. Πλὴν ὡς ἔνι διειπεῖν πειράσομαι. Ποιεῖται τοίνυν ὡς ἀπὸ τῆς τῶν γεωργῶν ἐπιστήμης τὸν λόγον. Ἔθος γὰρ ἐκείνοις, ὅταν τῆς ἀμπέλου λοιπὸν ἐξανθήσαντας τοὺς βότρυς θεάσωνται, καὶ ἤδη πως τὸ τῶν ὀμφάκων ἔχοντας εἶδος, ἀποκείρειν μὲν τὰς περιττὰς κληματίδας, καὶ τὰ μικρὰ τῶν βοτρυδίων περιττῶς τοῖς μείζοσι παρηρτημένα ταῖς δρεπάναις ἀποτέμνειν, ἵνα καὶ τροφιμωτάτην ἰκμάδα δεχόμενοι τῶν βοτρύων οἱ μείζους τελεσφορεῖσθαι B δύναιντο. Τοιοῦτόν τι πεπραχέναι φησὶν ὁ τῶν ὅλων Θεὸς, ἢ ἐπί γε τοῖς Ἀσσυρίοις, ἤγουν καὶ ἐπὶ τοῖς Αἰγυπτίοις· οὐ γάρ τοι λίαν ἐναργὴς ὁ λόγος, κατὰ τίνων ἂν ἴοι καὶ φέροιτο πρεπωδέστερον. Φαμὲν δὴ, ὅτι εἴτις ἕλοιτο νοεῖν ὡς ἄμπελον μίαν τὴν τῶν Ἀσσυρίων πληθὺν, τὴν πολιορκήσασαν τὴν ἁγίαν πόλιν, εὑρήσομεν ὅτι ὁ μέγας ἐν αὐτῇ νοούμενος βότρυς, τοῦτ' ἔστιν, ὁ τοῖς τῆς βασιλείας θάκοις ἐκλελαμπρυσμένος, οὐ συνδιόλωλε τοῖς ἑτέροις, ἀλλὰ σέσωσται μὲν αὐτὸς, δεδαπάνηνται δὲ ὡς ἐν τάξει τῶν μικρῶν βοτρύων ἡ ἑτέρα πληθὺς, καὶ οἷον τῶν περιττῶν κλημάτων δίκην καθάπερ τινὶ δρεπάνῃ περιέκειρεν αὐτοὺς ἡ τομωτάτη μάχαιρα τοῦ Κυρίου. Πεπτώκασι γὰρ, ὡς ἔφην, ἀγγέλου χειρὶ δαπανώμενοι, καὶ γεγό- C νασιν αὐτῶν τὰ πτώματα τρυφὴ τοῖς θηρίοις τοῦ ἀγροῦ, καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. Εἰ δὲ δή τις βούλοιτο καὶ ἐπὶ τοῖς Αἰγυπτίοις εἰρῆσθαι λέγειν αὐτὰ, συνήσεις ὅτι καταδῃοῦντες αὐτὴν οἱ Ἀσσύριοι, οὐκ ἄρδην ἅπασαν, οὔτε μὴν ὁλοσχερῶς ἀνεῖλον, ἀλλ' οἷον μικροῖς βοτρυδίοις ταῖς κατὰ τόπους συνοικ[ε]ίαις ἢ κώμαις ἐπαφιέντες τὴν μάχαιραν, συνεμέτρησαν τοὺς θυμοὺς τοῦ φιλοικτείρμονος Θεοῦ, παιδεύοντος μὲν τοὺς προσκρούοντας, κολοβοῦντος δὲ πλειστάκις τὰς δίκας, καὶ οὐκ εἰς ἅπαν ἐῶντος ἀπόλλυσθαι τοὺς παιδευομένους.

Ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα Κυρίῳ Σαβαὼθ ἐκ λαοῦ τετιλμένου καὶ τεθλιμμένου, καὶ ἀπὸ λαοῦ μεγάλου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον. Ἔθνος ἐλπίζον καὶ καταπεπατημένον, ὅ ἐστιν ἐν μέρει ποταμοῦ τῆς D *χώρας αὐτοῦ, εἰς τὸν τόπον οὗ τὸ ὄνομα Κυρίου Σαβαὼθ ἐπεκλήθη τὸ ὄρος Σιών.*

Τὰ ἐν τῷ πολέμῳ συμβησόμενα κατὰ καιροὺς τοῖς Αἰγυπτίων δήμοις εὖ μάλα διειρηκὼς, διαμέμνηται καὶ τῆς μετὰ τοῦτο πρὸς Θεὸν ἐπιστροφῆς, καὶ ὅτι τὴν ἀρχαίαν τῆς ἀπάτης ἀχλὺν, τῶν τῆς διανοίας ὀμμάτων ἀποπεμψάμενοι, καὶ ταῖς τῶν εἰδώλων λατρείαις ἐῤῥῶσθαι φράσαντες, βαδιοῦνται πρὸς τὰ ἀμείνω· καὶ τὸν μὲν φύσει καὶ ἀληθῶς ὄντα Θεὸν, καὶ τῶν ὅλων Δημιουργὸν καὶ Κύριον ἐπιγνώσονται, μεταστοιχειούμενοι δὲ ὥσπερ πρὸς νέαν τινὰ καὶ ἀπόλεκτον ζωὴν, καρποφοροῦσι τῷ Θεῷ τὰ ἐφ' οἷς ἂν εἶεν εὐδόκιμοι καὶ παντὸς ἐπαίνου μεστοὶ, καὶ οἷον δῶρα προσκομιοῦσι τὰ εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ, τὴν πίστιν, τὴν ἐλπίδα, τὴν ἀγάπην. Τεθλιμμένον δὲ αὐτὸν ὀνομάζει λαὸν, διάτοι τὸ πλείστην ὅσην

ὑπομεῖναι ταλαιπωρίαν τὰ ἐκ τῆς θείας ὀργῆς ὑπομείναντα. Καὶ πρός γε τούτῳ καὶ τετιλμένον· τάχα που τὴν εἰς τὰ ἀμείνω μετάστασιν αὐτῶν διὰ τούτου δηλῶν. Τὸ γάρ τοι φυτὸν μεταμοσχεύεται, καὶ βόθρου τοῦ ἐν αὐτῷ ἀποτετιλμένου, μεταχωρεῖ πρὸς ἕτερον· γεωργίας δὲ τῆς ἀρίστης οὗτος ὁ τρόπος τοῖς εἰωθόσι γηπονεῖν. Οὕτω καὶ τῶν ἐν πλάναις ὁ νοῦς, μεταβοθρεύεται, τρόπον τινὰ, τῆς μὲν ἀρχαίας ἀπάτης οἷον ἐκτετιλμένος, ἐμφυτευθεὶς δὲ πρὸς ἑτέρας ἐννοίας, καὶ πρός γε τούτῳ σπουδὰς καὶ γνῶσιν τὴν προὔχουσαν, μᾶλλον δὲ καὶ ἀσυγκρίτως τῆς ἀρχαίας ἐν ἀμείνοσιν. Καρποφορήσειν δὲ αὐτοὺς εἰς τὸν αἰῶνα χρόνον, τοῦτ' ἔστι, διηνεκῶς, οὐ διακοπῆς τινος μεταξυμβησομένης, ἀεὶ δὲ μᾶλλον καὶ μέχρι παντός. Τοιγάρτοι καὶ μέγαν αὐτὸν ὀνομάζει λαόν· ἢ τὸ πολύχουν αὐτοῦ διὰ τούτου σημαίνων, ἢ ὅτι γέγονεν εὐδόκιμος κεκλημένος διὰ πίστεως τῆς εἰς Χριστόν. Οἱ γὰρ τοὺς ἄλλους ἅπαντας νικῶντές ποτε πρὸς τὰ τῆς εἰδωλολατρείας ἐγκλήματα, νῦν εἰσιν πολλῶν ἀμείνους καὶ συνετώτεροι, καὶ ἀκμαιοτάτην ἔχοντες τὴν εἰς Χριστὸν ἀγάπην, καὶ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν εὐτολμίαν. Οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, φησὶν, ὑπερεπερι[έ]σσευσεν ἡ χάρις. Ποῦ τοίνυν καρποφορήσουσιν; Εἰς τὸν τόπον, φησὶν, οὗ τὸ ὄνομα Κυρίου Σαβαὼθ ἐπεκλήθη ὄρος Σιὼν, τοῦτ' ἔστιν, εἰς τὸ ὄρος τὸ Σιὼν, ἔνθα ἂν ἐπικληθείη τὸ ὄνομα Κυρίου Σαβαώθ. Σημαίνει δὲ διὰ τούτου τὴν Ἐκκλησίαν, τὸ μέγα καὶ νοητὸν ὄρος· χθαμαλὸν γὰρ οὐδὲν ἐν αὐτῇ, ἀλλ' οὐδὲ τῶν πεπατημένων δογμάτων, ἀλλ' εἴ τι μέγα καὶ ὑψηλὸν, ἡ περὶ Θεοῦ τοῦ κατ' ἀλήθειαν γνῶσις δηλονότι, ἡ δήλωσίς τε καὶ μάλα σαφὴς τῶν τοῦ Σωτῆρος ἡμῶν μυστηρίων. Σιὼν δὲ ὄρος ὀνομάζει πλειστάκις ἡ θεόπνευστος Γραφὴ τὴν Ἐκκλησίαν Χριστοῦ, ὡς ἀπό γε τῆς πρώτης ὀνομάζουσα νοητῶς τὴν ἀληθεστέραν Σιὼν, ὅ ἐστιν ὑψηλὴ καὶ σκοπευτήριον. Προσέῤῥιπται δὲ διὰ μέσου· Τὸ ἔθνος ἐλπίζον καὶ καταπεπατημένον, ὅ ἐστιν ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ. Ἤρξατο γὰρ ἡ τῶν Αἰγυπτίων ἐπιστροφὴ πρὸς Θεὸν ἀπό τινος μέρους τῆς χώρας κειμένης ἐπέκεινα τοῦ ποταμοῦ· ἵνα νοῇς τῆς Ῥινοκορουρητῶν, ἤγουν τῶν αὐτόθι πόλεων μίαν. Λέγει γὰρ ἐν τοῖς ἐφ' ἑξῆς, ἐν τῇ ὁράσει τῆς Αἰγύπτου· Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ. Καὶ ἔσται εἰς σημεῖον Κυρίῳ· καὶ εἰς τὸν αἰῶνα ἐν χώρᾳ Αἰγύπτου. Καὶ πεπατημένον μὲν ὡς συντετριμμένον ταῖς ἐκ τοῦ πολέμου συμφοραῖς· ἐλπίζον δὲ, ὅτι καὶ αὐτὸ πεποίηται τὴν ἐλπίδα λοιπὸν ἐπὶ Χριστῷ, καὶ ταῖς ὑπ' αὐτῷ ζεύγλαις ὑπήνεγκε τὸν αὐχένα, καὶ δεδούλευκεν αὐτῷ, καὶ τοὺς τῆς εὐσεβείας κεκάρπωκε τρόπους.

A eorum ad meliora inde designans. Planta enim viviradices emittit, et fundamento suo evulsa, transit ad alterum. Hæc agriculturæ optimæ species quædam est apud agricolas: sic etiam animus eorum qui in erroribus versantur, transplantatur quodammodo, a veteri seductione tanquam revulsus, et in aliam mentem ad alia studia aliamque cognitionem præstantem, imo antiqua incomparabiliter meliorem, traducta ac insita. Ut fructificent in æternitatem, id est continenter, nulla interruptione, nulla remora interveniente, imo vero semper et usque in omnem perpetuitatem. Quare et magnum eum populum nominat, vel fecunditatem ejus late fusam inde signans, vel quod probatus exstiterit, per fidem quæ est in Christum, vocatus. Qui enim alios B omnes idololatriæ scelere olim superarunt, nunc præstantiores sunt multis et prudentiores, et intensissima in Christum charitate, et ad omnia bona fortitudine ac fidentia præditi. Ubi enim abundavit peccatum, **281** superabundavit gratia [49]. Ubi ergo fructum ferent? In loco, inquit, ubi nomen Domini Sabaoth invocatum est mons Sion, id est, in monte Sion, ubi invocatum est nomen Domini Sabaoth. Unde significat Ecclesiam, magnum et spiritalem montem: nihil enim in ea humile, non protrita aut projecta dogmata, sed quidquid est magnum et excelsum, vera scilicet Dei cognitio, et illustris Servatoris nostri mysteriorum patefactio. Sion autem montem nominat sæpenumero divinitus inspi- C rata Scriptura, Ecclesiam Christi, velut a prima nominans spiritualiter veriorem Sion, quod est excelsa et specula. Interjectum est deinde in medio illud: Gens sperans et conculcata, quæ est in parte fluvii regionis ejus. Cœpit enim Ægyptiorum conversio ad Deum a quadam regionis parte ultra fluvium sita, ut Rhinocoruretarum, vel unam aliquam civitatum quæ inibi sunt, intelligas. Dicit enim in subsequentibus, in visione Ægypti: Die illa erit altare Domino in regione Ægyptiorum, et columna ad terminum ejus Domino. Et erit in signum Domino, et in æternum tempus in regione Ægypti. Conculcata vero est, quasi belli calamitatibus attrita et contusa: sperans autem, quoniam postea in Christo spem fixit, ejusque jugo cervicem submi- D sit, eique servivit, et pietatis mores quasi fructus protulit.

ΤΟΜΟΣ Δ

ΟΡΑΣΙΣ ΑΙΓΥΠΤΟΥ.

Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς.

Τίνα δὴ τρόπον ἡ τῶν Αἰγυπτίων σέσωσται χώρα

TOMUS IV.

VISIO ÆGYPTI.

CAP. XIX. VERS. 1. *Ecce Dominus insidet nubi levi, et veniet in Ægyptum, et concutientur manufacta Ægypti a facie ejus, et cor eorum deficiet in ipsis.*

Quomodo Ægyptiorum regio servata fuerit, et ad

[49] I Timoth. I, 14.

pietatem quasi illaqueata, per fidem videlicet Christianam, quantumvis multorum deorum cultrix, et erroris morbo prodigiose affecta, docere nititur hisce verbis propheta. Erant etenim tanquam **282** profundis tenebris obruti, natura Deum et vere universitatis architectum et Dominum prorsus ignorantes, creaturæ venerationem attribuentes, et, quod adhuc absurdius est, suorum deorum artifices esse deprehendebantur, et multiplicia idolorum examina in delubris habere, et animantium ratione carentium figuras effingere, et erectis altaribus, illis sacrificare. Oportuit ergo abundante in illis peccato, superabundare gratiam, et tam infenso morbo laborantibus illucescere medicum, et corde obtenebratis divinum lumen atque cœleste inclarescere. Ecce igitur, inquit, Dominus residet in nube levi, et veniet in Ægyptum. Quid autem sibi vult in nube levi conspici Dominum? Age dicamus quoad poterimus. Quidam interpretes levem dixerunt esse nubem, sanctam Domini carnem, id est, ex Virgine sumptum templum, quod propterea forsan nubi conferunt, quod a terrenis motionibus ac cupiditatibus liberetur, et sursum velut ac in altum evolet. Est enim omnino purissimum omnique terrestri immunditia liberum, ac immune sanctum corpus omnium nostrum Servatoris Christi. Alii rursus levem nominari nubem autumarunt sanctam Virginem. Equidem censeo alterius cujusdam sensus amplitudinem nobis subindicari, dum eum dicit nubi levi insidere. Multifariam enim beati prophetæ majestatem Domini conspicati visiones conscripserunt. Isaias enim in solio celso et elevato dicit conspectum esse Dominum Sabaoth, supremis potestatibus ratione præditis undequaque circumstantibus, ac hymnos illi cantantibus, cœlumque ac terram majestate ejus repleri dicentibus [80]. Sapientissimus item Daniel Antiquum dierum in solio collocat, ac mille millia ei ministrare contendit, ac mille myriadas circumstare asserit, et visum esse quasi Filium hominis in nubibus venientem, aliaque posuit deinceps his consentanea [81]. Ezechiel similiter firmamentum se ait vidisse, Seraphim subjectis, ac in throno hominem esse visum, seu speciem hominis, cujus superna electro dicit esse similia, a lumbo autem ad pedes usque quasi aspectum ignis [82]. Quibus visionibus singulis manifestatio quædam et effigies divinæ majestatis, et mysterii de Christo, eleganter nobis subindicatur. Nihil igitur obstat etiam in hoc Christum in levi nube conspectum intelligere, **283** imo commodissime fiet hoc et necessario. Etenim nubes typum pluviæ et roris spiritualis, ipsiusque salutaris lavacri nobis plene repræsentat. Siquidem beatus Paulus sanguine Israelitico ortos in nube et in mari dicit fuisse baptizatos, et vastam illam solitudinem transeuntibus, interdiu nubes impendebat, noctu columna ignis præcedebat [83]. Quo utroque descriptus est Christus, seu de ipso mysterium, nempe

A καὶ σεσαγήνευται πρὸς εὐσέβειαν, διὰ πίστεως δὲ δηλονότι τῆς ἐν Χριστῷ, καίτοι πολύθεος καὶ ἐκτόπως νοσοῦσα τὴν πλάνην, πειρᾶται διδάσκειν ὁ προφήτης ἐν τούτοις. Ἦσαν μὲν γὰρ οἷάπερ ἐν σκότῳ βαθεῖ, τὸν μὲν φύσει Θεὸν καὶ ἀληθῶς ὄντα τῶν ὅλων δημιουργὸν καὶ Κύριον ἠγνοηκότες παντελῶς, ἀνάπτοντες δὲ τῇ κτίσει τὸ σέβας· καὶ τὸ ἔτι τούτου παραλογώτερον, τεχνουργοὶ τῶν ἰδίων ἀναδεικνύμενοι θεῶν, καὶ πολύμορφον εἰδώλων ἑσμὸν ἐν τοῖς τεμένεσιν ἔχοντες, ὡς καὶ ζώων ἀλόγων ἀναπλάττειν τύπους, καὶ βωμοὺς ἱστάντας καταθύειν αὐτοῖς. Ἔδει τοίνυν πλεοναζούσης ἐν αὐτοῖς ἁμαρτίας, ὑπερπερισσεῦσαι τὴν χάριν, καὶ τοῖς οὕτως ἐχθίστως νενοσηκόσι ἐπιλάμψαι τὸν ἰατρὸν, καὶ τοῖς τὴν καρδίαν κατεσκοτισμένοις τὸ θεῖόν τε καὶ οὐράνιον ἐναστράψαι φῶς.
B Ἰδοὺ τοίνυν, φησὶ, Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον. Ἀλλὰ τί ἂν βούλοιτο παραδηλοῦν τὸ ἐπὶ νεφέλης κούφης ὁρᾶσθαι τὸν Κύριον; Φέρε λέγωμεν ὡς ἔνι· Τινὲς μὲν τῶν ἐξηγητῶν κούφην ἔφησαν εἶναι νεφέλην τὴν ἁγίαν τοῦ Κυρίου σάρκα, τουτ' ἔστι, τὸν ἐκ τῆς Παρθένου ληφθέντα ναόν· καὶ νεφέλῃ παρεικάζουσι, διάτοι τὸ ἀπηλλάχθαι τάχα που κινημάτων καὶ ἐπιθυμιῶν τῶν γεωδεστέρων ἄνω τε καὶ ὥσπερ ὑψοῦ. Πάναγνον γὰρ ἀληθῶς καὶ ἁπάσης γεώδους ἀκαθαρσίας ἀπηλλαγμένον τὸ ἅγιον σῶμα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ. Ἕτεροι δὲ αὖ κούφην ὠνομάσθαι νεφέλην ὑπειλήφασι τὴν ἁγίαν Παρθένον. Οἶμαι δὲ ἔγωγε τάχα που καὶ ἑτέρων ἡμῖν ἐννοιῶν ὑποσημῆναι πλάτος, τὸ ἐπὶ νεφέλης κούφης καθῆσθαι λέγειν αὐτόν. Πολυτρόπως μὲν γὰρ οἱ μα-
C κάριοι προφῆται, τὴν τοῦ Θεοῦ δόξαν καταθεώμενοι, γεγράφασι τὰς ὁράσεις. Ὁ μὲν γὰρ Ἡσαΐας ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου τεθεᾶσθαί φησι τὸν Κύριον Σαβαὼθ, περιεστώτων ἐν κύκλῳ τῶν ἀνωτάτω δυνάμεων λογικῶν, ὑμνολογουσῶν τε αὐτὸν, πλήρη τε εἶναι λεγουσῶν τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ. Ὁ δέ γε πάνσοφος Δανιὴλ Παλαιὸν ἡμερῶν ἐπὶ θρόνου καθίζει· χιλίας τε χιλιάδας λειτουργεῖν αὐτῷ διατείνεται, καὶ μυρίας μυριάδας περιεστάναι φησί· τεθεᾶσθαι δὲ καὶ ὡς Υἱὸν ἀνθρώπου μετὰ τῶν νεφελῶν ἐρχόμενον, καὶ τὰ τούτοις τέθεικεν ἑξῆς. Ἰεζεκιὴλ δὲ ὁμοίως στερέωμα, φησὶν, ἴδεν, ὑποκειμένων τῶν Σαραφείμ· ἐπὶ θρόνου δὲ ἄνθρωπον τεθεᾶσθαι, ἤτοι εἶδος ἀνθρώπου, οὗ τὰ μὲν ἄνω φησὶν
D ἠλέκτρῳ προσεοικέναι, τό γε μὴν ἐξ ὀσφύος εἰς πόδας ὡς ὅρασις πυρός. Ἑκάστη δὲ τῶν τοιούτων ὁράσεων, ἔμφασίν τινα δόξης τῆς θεοπρεποῦς, καὶ μυστηρίου τοῦ κατὰ Χριστὸν, ἀστείως ἡμῖν ὑπαινίττεται. Οὐδὲν οὖν ἄρα τὸ κωλῦον κἀν τούτῳ νοεῖν, ἐπὶ νεφέλης κούφης τεθεᾶσθαι τὸν Κύριον, χρειωδέστατά τε καὶ ἀναγκαίως. Ἀποπληροῖ γὰρ ἡμῖν ἡ νεφέλη τύπον ὑετοῦ τε καὶ δρόσου πνευματικῆς, καὶ αὐτοῦ δὲ τοῦ σωτηρίου βαπτίσματος. Καὶ γοῦν ὁ μακάριος Παῦλος, τοὺς ἐξ αἵματος Ἰσραὴλ βεβαπτίσθαι φησὶν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ· ἐπήρτητο καὶ τὴν βαθεῖαν ἐκείνην διαπεραιουμένοις ἔρημον, ἐν ἡμέρᾳ μὲν ἡ νεφέλη· προηγεῖτο δὲ καὶ νυκτὶ στύλος πυρός. Ἐγρά-

[80] Isa. vi, 1-3. [81] Dan. vii, 9 seqq. [82] Ezech. i, 1 seqq. [83] I Cor. x, 1 seqq.

γετο δὲ δι' ἀμφοῖν ὁ Χριστός, ἤτοι τὸ ἐπ' αὐτῷ μυστήριον, ἤγουν ὡς ἐν πίστει τε καὶ ἁγίῳ βαπτίσματι, δικαίωσις καὶ ἁγιασμός. Ἔδει τοίνυν ἐπὶ καθάρσει τε καὶ μεταβολῇ ἰόντα τὸν Κύριον τῶν Αἰγυπτίων, θεοπρεπῶς δὲ δηλονότι καὶ νοητῶς, ἐπὶ νεφέλης ὁρᾶσθαι κούφης. Οὐ γὰρ ἦν ἑτέρως ἀποσμήχεσθαι τῆς τῶν πλανωμένων ψυχῆς τὴν ἐντετηγμένην αὐτῇ κηλῖδα, μὴ οὐχὶ διὰ τοῦ ἁγίου βαπτίσματος. Οὗ καὶ εἰς τύπον τὴν νεφέλην εἶναι διοριζόμεθα. Κούφη δὲ ἡ νεφέλη καὶ μάλα εἰκότως ὠνόμασται. Βαπτιζόμεθα γὰρ εἰς ἀπόθεσιν ἁμαρτίας, καὶ οἱονεί τι δυσδιακόμιστον ἀληθῶς φορτίον ἀποτρεπόμενοι τὴν ἀσέβειαν, ὑπόπτεροι τρόπον τινὰ διὰ τούτου γινόμεθα, καὶ τὰ ἄνω φρονεῖν, καὶ τὰς καρδίας ἔχειν ὑψοῦ μανθάνομεν. Τό γε μὴν ἐπικαθῆσθαι τῇ νεφέλῃ τὸν Κύριον, ἐκεῖνο οἶμαι δηλοῦν· Ἡ κάθησις ἢ ἀνάπαυσιν, ἤγουν ἐξουσίαν ἡμῖν ὑπαινίττεται. Οὐκοῦν ἐπαναπαύεται Χριστὸς, οὐχὶ τῇ κατὰ νόμον λατρείᾳ ποθὲν, ἐν τελειώσει δὲ μᾶλλον τῇ διὰ τοῦ ἁγίου βαπτίσματος. Βεβασίλευκε δὲ οὕτω τῶν ἐπὶ τῆς γῆς. Σεισθήσεσθαι δέ φησι τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ. Ἀναδεδειγμένου γὰρ ἤδη τοῦ ἁγίου βαπτίσματος, καὶ Χριστοῦ λοιπὸν ἐπιλάμψαντος, πᾶσά πως ἀνάγκη, τὰ τῆς ἀρχαίας ἀπάτης ἀφανίζεσθαι παίγνια, καὶ τὰς τοῦ διαβόλου παγίδας ὁρᾶσθαι συντεθραυσμένας. Σεσαγήνευκε δὲ πρὸς ὄλεθρον καὶ ἀπώλειαν ἅπαν μὲν, ὡς ἔπος εἰπεῖν, ἔθνος τε καὶ γένος, μάλιστα δὲ τῶν ἄλλων τοὺς Αἰγυπτίους. Δεισιδαιμονέστατοι γὰρ γεγόνασι παρὰ τοὺς ἄλλους, καὶ τάχα που νικῶντες ἐν πλάνῃ Πέρσας τε καὶ Ἀσσυρίους· καίτοι τῆς θεοπνεύστου Γραφῆς περὶ τῆς ἐκείνων λεγούσης χώρας, ὅτι γῆ γλυπτῶν ἐστιν. Ἡττηθήσεσθαι δὲ τὴν καρδίαν τῶν Αἰγυπτίων φησὶν, παραχωρήσασαν, ὥς γε οἶμαι, τὸ χρῆναι νικᾶν τοῖς εὐαγγελικοῖς κηρύγμασι, καίτοι πάλαι θεομάχον οὖσαν, καὶ τοῖς τῆς ἀληθείας ἀντεξάγουσαν λόγοις. Εὑρήσομεν οὖν τὸν Φαραὼ τοιοῦτον ὄντα σαφῶς. Ὁ μὲν γὰρ ἱεροφάντης Μωσῆς ἔφασκεν ἐναργῶς· « Ὁ Θεὸς τῶν Ἑβραίων ἀπέσταλκεν ἡμᾶς πρὸς σὲ, λέγων· Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι ἐν τῇ ἐρήμῳ. » Ὁ δὲ πρὸς αὐτούς· « Τίς ἐστιν, οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ; Οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἀποστέλλω. » Ἡττηθήσεται γὰρ ἡ καρδία αὐτῶν ἐν αὐτοῖς, τοῦτ' ἔστιν, οὐκ ἄθραυστος, οὐδὲ σκληρὰ, καὶ ἀνουθέτητος διαμενεῖ· παραδέξεται δὲ μᾶλλον τὸ σωτήριον κήρυγμα.

A illa in fide et sacrosancto baptismate justificatio et sanctificatio. Decebat itaque Dominum, cum ad emundationem et mutationem Ægyptiorum se conferret, divino scilicet et spirituali more, in nube levi apparere. Non enim fieri aliter poterat ut macula animis peccantium aspersa abstergeretur, nisi sancto baptismo, cujus figuram nubem esse statuimus. Porro levis nubes non sane abs re nominatur. Nam baptismo tingimur, ut repudiemus et abnegemus peccatum, et impietate ceu vere intolerabili onere rejecta, alati quodammodo inde efficiamur, et quæ supra sunt cogitare, et corda in alto fixa et intenta habere discamus. Illud vero, Considere in nube Christum, hoc puto demonstrare. Sessio vel requiem nobis innuit vel potestatem. Christus itaque
B non in legali cultu requiescet unquam, sed potius in ea quæ est per sacrum baptisma perfectione. Sic etiam regnum in res terrenas obtinuit. Concutientur deinde, inquit, manufacta Ægypti a facie ejus. Exhibito enim jam sacro baptismate, et Christo deinceps irradiante, inveterati erroris ludicra obscurari et evanescere, et diaboli laqueos perfringi, omnino est necesse. Irretivit autem, ut sic dixerim, omnem gentem genusque omne ad interitum et exitium, maxime vero præ cæteris Ægyptios. Erant quippe præter cæteros superstitiosissimi, et quidem Persas ipsos Assyriosque errore vicerunt, Scriptura videlicet inspirata divinitus de ea regione dicente, eam esse terram sculptilium.
C Dicit porro cor Ægyptiorum defecturum, nimirum, ut ego quidem existimo, cedet evangelicæ prædicationi, ut primas ferat et evincat, etsi olim cum Deo bellaverit, et veritati obstiterit: talem esse Pharaonem manifeste **284** invenienmus. Moses enim sacrorum antistes aperte dixit: « Deus Hebræorum misit nos ad te, dicens: Dimitte populum meum ut serviant mihi in eremo. » Quibus ille: « Quis est? » inquit. « Non audiam vocem ejus; non novi Dominum, et Israelem non dimittam [84]. » Deficiet igitur cor eorum in ipsis, id est, non erit refractarium et pertinax, non durum et inemendabile manebit, sed prædicationem potius salutarem admittet.

Καὶ ἐπεγερθήσονται Αἰγύπτιοι πρὸς Αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ. Καὶ ἐπεγερθήσεται πόλις ἐπὶ πόλιν, καὶ νομὸς ἐπὶ νομόν (1). *Καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω.*

D VERS. 2, 3. *Et concitabuntur Ægyptii adversus Ægyptios, et oppugnabit homo fratrem suum, et homo vicinum suum. Et concitabitur civitas contra civitatem, et præfectura in præfecturam. Conturbabitur spiritus Ægyptiorum in ipsis, et consilium eorum dissipabo.*

Τοῦτο, οἶμαι, ἐστὶν ἐναργῶς ἕτερον οὐδὲν, ἢ ἐκεῖνό που πάντως ὅπερ ἔφη Χριστός· « Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρω-

Hoc plane aliud nihil est, arbitror, quam quod dixit Christus: « Nolite putare me venisse ad mittendum pacem in terram; non veni ut mittam pacem, sed gladium. Veni enim ut dissidere faciam

[84] Exod. v, 2, 3.

(1) LXX, νόμος ἐπὶ νόμον, *lex in legem.*

hominem contra patrem suum, et filiam contra matrem suam, et nurum contra socrum suam, et inimici omnes homines qui in domo ejus sunt [88]. » Proclamata enim divina et evangelica prædicatione, observantia erga parentes posthabita, inimica ac invisa ipsis cogitarunt homines, et bello tantum non pro lege concitato, in fratres insurrexerunt. Illi enim inveterato indulgentes errori, et ad idolorum imposturas effreni cursu proruentes, fidei sermonem non recipiunt. Ili autem ridiculum et impium omnino rati, velle deos a se fabricatos adorare, ad veritatis sermones convolarunt, et cum olim longe abessent, facti sunt propinqui, et declarati per fidem domestici Christi, ac intimi, et spei sanctorum et fidei in sæculum duraturæ scripti hæredes. Concussis igitur, ait, manufactis Ægypti, eo quod ad eam veniat Dominus in nube levi, magna erit familiarum et cognatorum dissensio, et bella, tum singulorum, tum universorum : ita ut civitas in civitatem, præfectura in præfecturam impressionem sit factura. Nomus autem dicitur ab his qui regionem Ægyptiorum **285** incolunt, unaquæque civitas et vicini agri, et pagi qui ei subsunt, ac trita est apud eos hæc dictio. Deinde ait : Turbabitur spiritus Ægyptiorum in ipsis, et consilium eorum dissipabo. Dicimus autem quod cum diversis dissiderent opinionibus, tumultuati sunt non mediocriter : sed cum seducti turbas excitarent, et bella contra credentes, universitatis Deum bellantem cum ipsis et repugnantem invenient. Dissipabo enim, inquit, ipsorum consilia, id est, omnem eorum solertiam vanam esse ostendam, et inutiles omnino conatus illorum qui adversus eos qui ad me confugiunt, intenduntur.

Vers. 4. *Et interrogabunt deos suos et simulacra sua, et eos qui de terra vocem edunt, et ventriloquos, et ariolos. Et tradam Ægyptum in manus hominum dominorum durorum, et reges duri dominabuntur ipsis*

Quomodo, et quo etiam tempore, salutaris prædicationis divitias acceperint Ægyptii, studiose conatur propheta explanare. Sensusque historiæ his qui rerum bonarum studio tenentur, non erit inutilis. Cum vastasset igitur Judæorum regionem Vespasianus, et incendisset Hierosolyma, omnibus copiis ac viribus descendit in Ægyptum, quam etiam in manum suam ac potestatem redegit. Quod quidem ex voluntate Dei fecit, qui Romanorum sceptris provincias omnes simul et civitates subjecit. Existimarunt quidem Ægyptii facile servitutis jugum effugere se potuisse, seque extra aleam captivitatis positos, quod aquis plurimis cincta fuerat regio. Sed errarunt a spe. Deus enim si quid perficere velit, omnia cedunt facile : et quæ inaccessa et

A πον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ πάντες οἱ ἄνδρες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ. » Ἀναφωνηθέντος γὰρ ἤδη τοῦ θείου τε καὶ εὐαγγελικοῦ κηρύγματος, καὶ τῆς εἰς γονέας αἰδοῦς κατημεληκότες ἄνθρωποι, πεφρονήκασιν ἐχθρὰ καὶ μεμισημένα αὐτοῖς, καὶ μονονουχὶ τὸν πολέμου νόμον ἐξηρτυμένοι, κατεξανέστησαν ἀδελφῶν. Οἱ μὲν γὰρ τῇ ἀρχαίᾳ συναγορεύοντες πλάνῃ, καὶ ταῖς τῶν εἰδώλων ἀπάταις ἀχαλίνως προσνενευκότες, ἀπαράδεκτον ποιοῦνται τὸν τῆς πίστεως λόγον. Οἱ δὲ καταγέλαστόν τι χρῆμα καὶ ἀνόσιον παντελῶς ἡγούμενοι προελέσθαι προσκυνεῖν τοῖς παρ' αὐτῶν τεχνουργουμένοις θεοῖς, τοῖς τῆς ἀληθείας προσδεδραμήκασι λόγοις, καὶ μακρὰν ὄντες ποτὲ, γεγόνασιν ἐγγὺς, καὶ οἰκεῖοι διὰ τῆς B πίστεως ἀναδεδειγμένοι Χριστοῦ, εἴσω τε γεγόνασι τῆς τῶν ἁγίων ἐλπίδος, καὶ κληρονόμοι τέθεινται τῆς εἰς αἰῶνα ζωῆς. Κατασεσεισμένων τοίνυν, φησὶ, τῶν χειροποιήτων Αἰγύπτου, διὰ τὸ ἐλθεῖν ἐν αὐτῇ τὸν Κύριον ἐπὶ νεφέλης κούφης, ἐπανάστασις ἔσται πολλὴ καὶ οἰκείων καὶ συγγενῶν, καὶ καθ' ἕνα καὶ κατὰ πληθὺν οἱ πόλεμοι, ὥστε καὶ πόλιν καὶ νομὸν ἐπὶ νομὸν ποιεῖσθαι τὰς ἐφόδους. Νομὸς δὲ λέγεται παρὰ τοῖς τὴν Αἰγυπτίων οἰκοῦσι χώραν, ἑκάστη πόλις καὶ αἱ περιοικίδες αὐτῆς καὶ αἱ ὑπ' αὐτῇ κῶμαι· καὶ τέτριπται παρ' αὐτοῖς ἡ τοιάδε φωνή. Εἶτά φησιν, ὅτι Ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω. Φαμὲν δὲ ὅτι διάφορον ἐσχηκότες κατ' ἀλλήλων τὸ φρόνημα, τεθορύβηνται μὲν οὐ μετρίως· ἐπαναστάσεις δὲ καὶ μάχας C μελετῶντες κατὰ τῶν πεπιστευκότων οἱ πλανώμενοι, πολεμοῦντα αὐτοῖς καὶ ἀνθεστηκότα τὸν τῶν ὅλων εὑρήσουσι Θεόν. Διασκεδάσω γὰρ αὐτῶν τὰς βουλὰς, φησὶν, τοῦτ' ἔστι, πᾶσαν αὐτῶν σκέψιν εἰκαίαν ἀποφανῶ, καὶ ἀνόνητα παντελῶς τὰ κατὰ τῶν ἐμοὶ προσδεδραμηκότων ἐπιχειρήματα.

Καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους, καὶ τοὺς γνώστας. Καὶ παραδώσω Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν· καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν.

Τίνα δὴ τρόπον, ἢ κατὰ ποῖον ὅλως καιρὸν, Αἰγύπτιοι πεπλουτήκασι τὸ σωτήριον κήρυγμα, σπουδὴ D τῷ προφήτῃ διατρανοῦν. Οὐκ ἀνόνητος δὲ τῆς ἱστορίας ὁ λόγος τοῖς γε ἅπαξ χρηστομαθεῖν ᾑρημένοις. Καταδῃώσας τοίνυν τὴν τῶν Ἰουδαίων χώραν Οὐεσπασιανὸς, καὶ κατεμπρήσας τὰ Ἱεροσόλυμα, πανστρατιᾷ καταβέβηκεν εἰς τὴν Αἰγυπτίων χώραν, χειρωσάμενος καὶ αὐτήν. Ἔδρα δὲ τοῦτο κατὰ βούλησιν τοῦ Θεοῦ, τοῖς Ῥωμαίων ὑποφέροντος σκήπτροις χώρας τε ἁπάσας ὁμοῦ καὶ πόλεις. Ἀλλ' ᾤοντο μὲν Αἰγύπτιοι καὶ διαφυγεῖν δύνασθαι ῥᾳδίως τὸν τῆς δουλείας ζυγὸν, εἶναί τε ἀνάλωτοι παντελῶς, διάτοι τὸ πλείστοις ὕδασι διεζῶσθαι τὴν χώραν. Ἀλλ' ἡμαρτήκασι τῆς ἐλπίδος. Θεοῦ γάρ τι κατορθοῦν ἐθέλοντος, πάντα ὑπείκει ῥᾳδίως, καὶ τὰ ἀνέφικτα

[88] Matth. xx, 34-36.

(A) καὶ δυσήνυτα παραδόξως κατευμαρίζεται. Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; κατὰ τὸ γεγραμμένον. Συμβέβηκε τοίνυν πάντα τὰ παρ' αὐτοῖς ὕδατος, τά τε ἐν λίμναις, καὶ μέν τοι καὶ ποταμοῖς ἀφανισθῆναι παντελῶς, ὡς διοδεύεσθαι ποσίν. Οὕτω τε λοιπὸν δυσχερείας ἁπάσης ἐψιλωμένην τὴν Αἰγυπτίων εὑρὼν, κεκράτηκεν αὐτῆς Οὐεσπασιανός. Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ, συμβέβηκεν εἰσελθεῖν εἰς τὴν Αἰγυπτίων τοὺς τὸ θεῖόν τε καὶ σωτήριον ἱερουργοῦντας κήρυγμα, καὶ τὰ ἔθνη σαγηνεύοντας διὰ πίστεως τῆς ἐν Χριστῷ, πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν. Μεμαθηκότες τοίνυν Αἰγύπτιοι, φησὶ, τῆς Ῥωμαίων στρατιᾶς τὴν παναλκῆ καὶ δυσκαταγώνιστον ἔφοδον, τεθορυβημένοι τε λίαν, καὶ ὅποι ποτὲ αὐτοῖς τὸ τοῦ πράγματος ἐκβήσεται πέρας, ἀναμαθεῖν ἐθέλοντες, ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, (B) καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους, καὶ μέντοι καὶ γνώστας. Διάφοροι γὰρ παρ' αὐτοῖς ψευδομαντείας ἦσαν τρόποι, καὶ πεπλασμένοι προφῆται. Οἱ μὲν τοὺς νεκροὺς ἐπερωτᾶν προσποιούμενοι· οἱ δὲ καὶ ἀπὸ τῆς σφῶν αὐτῶν καρδίας ἐρευγόμενοι λόγους. Ἕτεροι δὲ καὶ γνῶσται, τοῦτ' ἔστι, τοὺς ἐκ θυσιῶν καπνοὺς, καὶ τοὺς ἐν τοῖς ἥπασι τῶν σφαζομένων ζώων παλμοὺς πολυπραγμονοῦντες ἀνοσίως. Ἀλλ' οὐδεμιᾶς ἔσται, φησὶν, ἐκ μαντείας αὐτοῖς ἡ ὄνησις· οὔτε μὴν ἐπαμῦναι δυναμένους αὐτοὺς εὑρήσουσι, τοὺς νομισθέντας εἶναι θεούς. Παραδώσω γὰρ Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν. Σκληροὺς δὲ ὅταν ἀκούσῃς, μὴ ἀπηνεστάτους νοήσῃς, ἀθραύστους δὲ μᾶλλον, καὶ παραχωρεῖν εἰδότας τὸ νικᾶν οὐδενί. Τοιοῦτο γὰρ οἱ Ῥωμαίων γεγόνασιν εὐκλεέστατοι βασιλεῖς, τῆς θείας τε καὶ ἀπορρήτου βουλῆς ὑποτιθείσης, ὡς ἔφην, τὰ πάντα αὐτοῖς. Καὶ γοῦν κεκρατήκασι τῆς ὑπ' οὐρανόν.

immota sunt, inopinato dissipantur. Manum enim excelsam quis avertet? quemadmodum scriptum est [10]. Accidit ergo, omnes eorum aquas in lacubus et fluminibus auferri penitus, ut pedibus trajecerint: itaque deinceps, cum nudatam Ægyptum inveniret Vespasianus, eam facillime devicit. Quare sub id temporis evenit, ut ingrederentur Ægyptum divinæ ac salutaris prædicationis sacri ministri, et gentes per fidem **286** in Christo ad veritatis agnitionem irretiverunt. Itaque ubi Romani exercitus fortissimam ac insuperabilem incursionem Ægyptii intellexissent, valde tumultuati, et scire desiderantes quo tandem rei exitus evasurus sit, deos et imagines suas, et de terra vocem edentes, et ventriloquos, et ariolos interrogabunt. Diversa enim apud eos erant falsarum vaticinationum genera, et ficti prophetæ, alii qui se mortuos sciscitari simulabant, alii qui ex suo pectore verba eructabant. Alii etiam erant arioli, id est, qui fumos ex sacrificiis, et palpitationes in hepate mactatorum animantium indagant curiose et impie. Sed nulla, inquit, erit vaticiniorum utilitas. Nec enim qui dii putantur, eos auxilium afferre potuisse inveniemus. Tradam enim Ægyptum in manus hominum dominorum durorum, et reges duri dominabuntur eis. Duros autem cum audis, non immitissimos esse cogites, sed invictos potius et invulnerabiles, et victoriam cedere cuiquam nescios. Quales exstiterunt Romanorum celeberrimi imperatores, divino et secreto consilio, ut dicebam, illis subjiciente omnia: quippe orbem terrarum subjugarunt.

(C) *Τάδε λέγει Κύριος Σαβαώθ· Καὶ πίονται οἱ Αἰγύπτιοι τὸ ὕδωρ τὸ παρὰ θάλασσαν· ὁ δὲ ποταμὸς ἐκλείψει, καὶ ξηρανθήσεται. Ἐκλείψουσιν οἱ ποταμοὶ καὶ διώρυγες τοῦ ποταμοῦ, καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὕδατος, ἐν παντὶ ἕλει καλάμου, καὶ παπύρου, καὶ τὸ ἄχι τὸ χλωρὸν, πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ, πᾶν τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἀνεμοφθορίᾳ. Καὶ στενάξουσιν οἱ ἁλιεῖς, στενάξουσι πάντες οἱ βάλλοντες ἄγκιστρον εἰς τὸν ποταμὸν, καὶ οἱ βάλλοντες σαγήνας, καὶ οἱ ἀμφιβολεῖς πενθήσουσι. Καὶ ἡ αἰσχύνη λήψεται τοὺς ἐργαζομένους τὸ λίνον τὸ σχιστὸν, καὶ τοὺς ἐργαζομένους τὴν βύσσον· καὶ ἔσονται οἱ ἐργαζόμενοι αὐτὰ ἐν ὀδύνῃ, καὶ πάντες οἱ τὸν ζύθον ποιοῦντες λυπηθήσονται, καὶ τὰς ψυχὰς πονέσουσιν.*

VERS. 5-10. *Hæc dicit Dominus Sabaoth: Et bibent Ægyptii aquam quæ juxta mare: fluvius autem deficiet et exarescet. Deficient fluvii et rivi fluvii. Et exsiccabitur omnis congregatio aquæ in omni palude calami et papyri. Et achi viride, omne circum flumen, omne quod seminatur juxta flumen, arescet, ventoque peribit. Et gement piscatores, et gement omnes mittentes hamum in fluvium, et mittentes sagenas, et jacientes retia plorabunt. Et confusio apprehendet operantes linum fissile, et operantes byssum, et operabuntur ea in dolore, et omnes zythum facientes contristabuntur, et animis dolebunt.*

(D) Συναρμόσεις καὶ τάδε τοῖς ἀρτίως ἡμῖν εἰρημένοις. Εὐυγροτάτην γὰρ οὕτως τὴν Αἰγυπτίων, ξηρὰν ἀπέφηνεν ὁ πάντα ἰσχύων Θεὸς, ὥστε καὶ ἀνιδρωτὶ βάσιμον εἶναι τοῖς ἐθέλουσι διὰ λιμνῶν ἰέναι καὶ ποταμῶν. Διῄρηται δέ πως τῶν Αἰγυπτίων ἡ χώρα· καὶ οἱ μὲν ἔχουσι τὴν γῆν τὴν ἀρόσιμον, καὶ γονιμωτάτην, καὶ ἀμπελῶσιν ὅτι μάλιστα μελεδωνοί. Οἱ δὲ πρὸς αὐταῖς οἰκοῦσι ταῖς λίμναις, τὰ ἐξ αὐτῶν θρε-

Aptabis et hæc illis quæ sunt a nobis jam commemorata. Terram enim Ægyptiorum humidissimam, aridam effecit omnipotens Deus, ut enim **287** sine sudore pervia sit, stagna et fluvios pertransire volentibus. Divisa est autem quodammodo Ægyptiorum regio: et alii habent terram arabilem et fecundissimam, et vitium sunt cultores studiosissimi. Alii autem lacus accolunt, et quæ inde

[10] Isa. XIV, 27.

proveniunt, decerpunt. Piscatores enim sunt, et papyrum desecant, ac chartæ sunt artifices, et linum fissile operantur. Palustres autem homines sive bubulci denominantur. Sunt enim apud eos innumera boum armenta : panis, vini, aliarumque rerum magna penuria. Deficientibus itaque aquis, inquit, bibent aquam. Nam in littoribus quandoque fodientes, potabilem inde laticem exhauriunt. Deficient autem et exarescent omnes fluvii et alvei. Erit autem in omni palude calami et papyri raritas aquarum. Et omne quod in aquis nascitur, inquit, exsiccabitur, ut et lugeant piscatores, et qui linum conficiunt fissile, et in dolore magno versentur qui ea exercent ; et præterea qui apud eos zythum apparant. Aquis enim deficientibus, inopia laborabunt omnium quæ exhilarare solent, et ad vitam opportuna et accommoda affatim suppeditare. Et hoc quidem quatenus ad historiæ declarationem pertinet, clare dictum est. Sin velit quis aquarum raritatem aliter accipere, et ad subtilioris intelligentiæ profunditatem descendere, non a scopo recedet, si anilem et insulsam orationem Græcorum sapientum aquis comparet, piscibus autem et papyro et calamo, aliisque, quorum alumna et nutrix est aquarum natura, hominum frequentiam. Piscatoribus vero, et rerum aquatilium curatoribus, eos qui inescare norunt gregariam multitudinem, et qui student sermonibus in errorem deducentibus eam quasi linis quibusdam implicare. Hi lugebunt et contristabuntur, et animis dolebunt, cum eorum oratio diluta sit, et inefficax, quam merito aquis comparari posse hinc patet, quod ea prorsus deficiat, et omnia inde enutrita exarescant. Hi faciunt zythum : non enim vinum offerunt quod hominis cor exhilarat, sed spuriam quamdam et inutilem doctrinam, eamque verbis subtilibus et elimatis, ut quidem putant, efferunt. Hoc enim, ut opinor, byssus significat, ut dicat **288** eos nimium subtilitati et argutiis studere. Et linum fissile. Minutiæ enim apud eos subtiliter ac tenuiter disseruntur, verum prorsus frivola, et frigidis speculationibus referta. Frigidus enim zythus. Est autem Ægyptiorum quidam potus, sed frigidus et turbidus, talis siquidem est eorum oratio, et tales sunt doctrinæ, quæ sitim non sedant imbibitæ, sed inflammant potius, et insuaves sunt bibentibus, et ob vehementem frigiditatem morbos insanabiles pariunt.

A πόμενοι. Ἰχθυοθῆραί τε γάρ εἰσι, καὶ πάπυρον ἀποκείροντες, χάρτου τέ εἰσι δημιουργοὶ, καὶ λῖνον ἐργάζονται τὸ σχιστόν. Ἕλειοι δὲ ἄνδρες ἤγουν βουκόλοι κατονομάζονται· καὶ γάρ εἰσι παρ' αὐτοῖς ἀριθμοῦ κρείττονες αἱ βοῶν ἀγέλαι· πλείστη τε ἄρτου καὶ οἴνου καὶ τῶν ἄλλων ἡ σπάνις. Ἐκλελοιπότων τοιγαροῦν τῶν ὑδάτων, φησὶν, πίονται ὕδωρ. Ὀρύττοντες γὰρ ἐν τοῖς αἰγιαλοῖς ἔσθ' ὅτε τινὲς, πότιμον ἀρύονται νᾶμα. Ἐκλείψουσι δὲ καὶ ξηρανθήσονται οἱ ποταμοὶ, καὶ πᾶσαι αἱ διώρυγες. Ἔσται δὲ σπάνις ὑδάτων ἐν παντὶ ἕλει καλάμου, καὶ παπύρου. Καὶ πᾶν τὸ ἐν τοῖς ὕδασι φυόμενον ξηρανθήσεται, φησὶν, ὥστε καὶ στενάξαι τῶν ἰχθύων τοὺς θηρευτὰς, καὶ τοὺς τὸ λῖνον ἐργαζομένους τὸ σχιστὸν, καὶ ἐν ὀδύνῃ γενέσθαι πολλῇ, τοὺς ἐργαζομένους B αὐτά· καὶ πρὸς τούτοις ἔτι, τοὺς τὸν παρ' αὐτοῖς ζύθον ἀρτύοντας. Ἐκλελοιπότων γὰρ τῶν ὑδάτων, ἐν ἐνδείᾳ παντὸς ἔσονται τοῦ κατευφραίνειν εἰδότος, καὶ τὰ πρὸς ζωὴν αὐτοῖς ἐπιτήδεια παρατιθέντος πλουσίως. Καὶ ταυτὶ μὲν τό γε ἧκον εἰς τὸ ἐκ τῆς ἱστορίας δηλούμενον εἴρηται σαφῶς. Εἰ δὲ δή τις ἕλοιτο τῶν ὑδάτων τὴν σπάνιν καὶ ἑτέρως ἐκλαβεῖν, καὶ ἰσχνοτέρων ἐννοιῶν εἰς βάθος ἐλθεῖν, οὐκ ἀπὸ σκοποῦ βαδιεῖται, παρεικάζων ὕδασι τὸν παρά τε τοῖς τῶν Ἑλλήνων σοφοῖς, γραώδη τε καὶ ἀσύνετον λόγον· ἰχθύσι γε μὴν τὴν τῶν ἀνθρώπων πληθὺν, καὶ μὴν καὶ παπύρῳ, καλάμῳ τε καὶ τοῖς λοιποῖς, ὧν ἐστι τροφὸς ἡ τῶν ὑδάτων φύσις. Ἁλιεῦσί γε μὴν, καὶ οἷς ἂν ἔργον εἴη τὰ ἐν τοῖς ὕδασι, τοὺς σαγηC νεύειν εἰδότας τὴν τῶν ἀγελαίων πληθὺν, καὶ καθάπερ λίνοις τισὶν ἐμπλακῆναι παρασκευάζοντας τοῖς εἰς ἀπάτην αὐτοὺς ἀποφέρουσι λόγοις. Οὗτοι στενάξουσι καὶ λυπηθήσονται, καὶ τὰς ψυχὰς πονέσουσιν, ἀπρακτοῦντος ἤδη πως τοῦ παρ' αὐτοῖς ὄντος λόγου· ὃν καὶ ὕδασι παρεικάζοντες διεβεβαιούμεθα σαφῶς, διὰ τὸ ἐκλελοιπέναι παντελῶς αὐτὸν, ξηρανθήσεσθαι δὲ πάντα τὰ δι' αὐτοῦ τρεφόμενα. Οὗτοι ποιοῦσι τὸν ζύθον· οὐ γὰρ οἶνον προσάγουσι τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου, ἀλλὰ νόθην τινὰ καὶ ἄχρηστον διδασκαλίαν, καὶ τοῖς ἰσχνοῖς αὐτὴν ὥσπερ οὖν οἴονται κατασεμνύνοντες λόγοις. Ὑπαινίττεται γὰρ, οἶμαι, τουτὶ τὸ βύσσον λέγειν αὐτοὺς ἐργάζεσθαι, τὴν ἰσχνοτάτην ἄγαν. Καὶ λῖνον δὲ τὸ σχιστόν. Σκινδάλαμοι γὰρ ὥσπερ ἰσχνομυθίας τὰ παρ' αὐτοῖς· πλὴν D ἀνόνητα παντελῶς, καὶ ψυχρῶν θεωρημάτων ἀναπλιμπλάντα. Ψυχρὸς γὰρ ὁ ζύθος (1) . . . .

. . . .

VERS. 11. *Et stulti erunt principes Taneos, sapientes consiliarii regis, et consilium eorum infatuabitur.*

Imminente videlicet Ægyptiis inevitabili calamitate, et regione captivitati proxima, et cum jamjam licet inviti alieno jugo cervicem daturi essent : consternatus haud mediocriter, et intolerando terrore perculsus is qui principatum sortitus erat,

Καὶ μωροὶ ἔσονται οἱ ἄρχοντες Τάνεως, οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως, ἡ βουλὴ αὐτῶν μωρανθήσεται.

Ἐπηρτημένης γὰρ Αἰγυπτίοις τῆς ἀφύκτου συμφορᾶς, καὶ μελλούσης ἁλῶναι τῆς χώρας, καὶ ὅσον οὐδέπω τοῖς ἑτέρων ζυγοῖς, κἂν εἰ μὴ βούλοιντο τυχὸν, ὑπενεγκεῖν τὸν αὐχένα, τεθορυβημένος οὐ μετρίως, καὶ ἀφορήτοις δείμασι κατεπτοημένος ὁ

(1) Lacuna hic relicta est, licet in Vaticano et Regio nulla reperiatur.

καθηγεῖσθαι λαχὼν, συνεκόμισε μὲν τοὺς ἐπίκλην A σοφοὺς, τοῦτ' ἔστι, τοὺς μάγους· ἤρετο δὲ καὶ λίαν ἐσπουδασμένως, ὅποι ποτὲ ἄρα τὸ τῶν πραγμάτων αὐτοῖς βαδιεῖται τέλος, καὶ τίνα τρόπον διακρούσαιντο τοῦ πολέμου τὴν ἔφοδον. Οἱ δὲ τοσοῦτον ἀφεστήκασι, φησὶ, τοῦ δύνασθαί τι τῶν ἀναγκαίων, ἤγουν ἀληθῶν, εἰπεῖν, ὡς καὶ ἐπ' ἀκράτῳ μωρίᾳ καταγινώσκεσθαι. Θεοῦ γὰρ κακοῦν ἐθέλοντος, ἀπρακτήσειεν ἂν ἡ παντὸς ἀνθρώπου βουλή τε καὶ δύναμις. Ἐὰν γὰρ κλείσῃ κατ' ἀνθρώπου, τίς ἀνοίξει; κατὰ τὸ γεγραμμένον. Σοφοὺς οὖν ἄρα Τάνεως τοὺς ἐν αὐτῇ φησι ψευδοπροφήτας τε καὶ τῶν ἐν τοῖς τεμένεσιν ἐπιμελητάς. Οἳ καὶ ἐπὶ μάγῳ τέχνῃ φρονοῦντες μέγα, δι' αὐτῶν ἠλέγχοντο τῶν πραγμάτων οὐδὲν ὄντες παντελῶς.

sapientes, qui et magi dicuntur, coegit, et ad quem tandem finem hæc res exiret, et quo pacto belli impetum frangere possent, diligentissime interrogavit. Tantum abest, ut hi aliquid opportunum aut verum potuerint dicere, ut etiam insignis stultitiæ damnarentur. Deo enim volente malum inferre, parum valebit omne consilium humanum et potentia. Si enim clauseris contra hominem, quis aperiet? sicuti scriptum est [87]. Sophos igitur Taneos, pseudoprophetas ejus delubrorum curatores dicit; qui cum arte magica se efferrent, ex ipsis rebus nihil esse prorsus arguebantur.

Πῶς ἐρεῖτε τῷ βασιλεῖ· Υἱοὶ συνετῶν ἡμεῖς, B *υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς; Ποῦ εἰσι νῦν οἱ σοφοί σου, καὶ ἀναγγειλάτωσάν σοι, καὶ εἰπάτωσαν· Τί βεβούλευται Κύριος Σαβαὼθ ἐπ' Αἴγυπτον;*

Ἐπὶ ποίοις, φησὶ, κατορθώμασιν ἀνασπάσετε τὴν ὀφρύν; Τί τὴν Αἰγυπτίων ὀνήσαντες χώραν θαυμασθήσεσθε παρ' αὐτῶν, ἢ ποίοις κέχρησθε λόγοις τὸν βασιλεύοντα συναρπάζοντες· λέγοντες, ὅτι Υἱοὶ συνετῶν ἡμεῖς, τοῦτ' ἔστι, προφητῶν; Μάγοι καὶ ἐκ μάγων· οἳ καὶ τῆς χώρας ἁπάσης, μονονουχὶ βεβασιλεύκασι, διαβόητον ἐσχηκότες παρὰ τοῖς τῶν εἰδώλων θεραπευταῖς τὴν δόξαν, καὶ τοῖς κρατοῦσιν ἀεὶ συνόντες τε καὶ συνδιαιτώμενοι· ἅτε δὴ καὶ βουλὰς ἐφ' ἅπασι τοῖς πρακτέοις εἰσκομίζειν εἰωθότες, τῶν ψευδωνύμων θεῶν ἐνηχούντων C αὐτοῖς τὴν τοῦ συμφέροντος θήραν. Ὅταν τοίνυν ψευδηγοροῦντες ἐλεγχθήσεσθε, φησὶ, καὶ τῶν ἀληθῶν εἰδότες οὐδὲν, πῶς ἐρεῖτε τῷ βασιλεῖ· Υἱοὶ συνετῶν ἡμεῖς; υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς; Καὶ γέγονε μὲν ἐν τούτοις ὁ προφητικὸς ἡμῖν λόγος, ὡς πρός γε τοὺς δοκοῦντας εἶναι σοφούς· εἶτα μέτεισιν ἐπὶ τὸ αὐτοῦ πρόσωπον τοῦ καθηγεῖσθαι λαχόντος, καὶ φησίν· Ποῦ εἰσι νῦν οἱ σοφοί σου; καὶ ἀναγγειλάτωσάν σοι, καὶ εἰπάτωσαν τί βεβούλευται Κύριος Σαβαὼθ ἐπ' Αἴγυπτον. Εἰ μὴ γάρ εἰσι φένακες, φησὶν, ἢ ἀπατεῶνες καὶ βωμολόχοι, καὶ ψευδηγορεῖν εἰωθότες, καὶ τὰ ἀπὸ καρδίας αὐτῶν λαλοῦντες μόνης, καὶ οὐκ ἀπὸ στόματος Κυρίου· μάνθανε παρ' αὐτῶν τὰ τοῖς Αἰγυπτίοις ἐπηρτημένα, καὶ αὐτίκα δὴ μάλα συμβησόμενα διὰ D βουλῆς Κυρίου Σαβαώθ. Ἐπιτωθάζει δὲ ὥσπερ ὁ λόγος τοῖς οὐκ εἰδόσι Θεὸν, ἀλλ' οἷον ἐν σκότῳ βαθεῖ κειμένοις, διὰ τοῦ προσκεῖσθαι φιλεῖν ταῖς τῶν εἰδώλων λατρείαις. Πάνδεινον οὖν ἄρα, μᾶλλον δὲ καὶ εἰκαῖον παντελῶς, τὸ ταῖς τῶν ψευδομάντεων ἀπάταις ἐπιθαρσεῖν· εἰδότες γὰρ ὅλως τὸ σύμπαν οὐδὲν, ἢ τῶν ἐσομένων, ἢ καὶ ὧν ἂν ἐπιφέροι Θεὸς, ἀργυρολογίας ὑπόθεσιν ποιοῦνται τὴν ψευδομαντίαν, καὶ θεοκλυτεῖν ὑποπλάττοντες, τὰ ἀπὸ μόνης τῆς σφῶν βουλῆς ἐρευγόμενοι, καὶ τὸν τῶν προσκειμένων αὐτοῖς καταγοητεύοντες νοῦν. Λαλοῦσι γὰρ ἃ ἂν βούλοιτό τις, καὶ μόνον ἐκεῖνό φασιν, ὅπερ ἂν εἶναι τεκμήραιντο τοῖς ἀκροωμένοις καθ' ἡδονήν. Ἀλλ' ὅ γε θεῖος ἡμῖν ἐπι-

VERS. 12. *Quomodo dicetis regi: Filii intelligentium nos, filii regum ab initio? Ubi sunt nunc sapientes tui, et annuntient tibi, et dicant: Quid consilii cepit Dominus Sabaoth super Ægyptum?*

Ob quænam, inquit, præclara facinora, attolletis supercilium? Quid adjumenti regioni Ægyptiæ attulistis, ut in admiratione apud eos sitis? Vel qua oratione utemini, cum regem corripitis, dicentes: Filii intelligentium nos, id est, prophetarum? Magi ex magis: qui etiam per universam regionem tantum non regnarunt, qui apud cultores idolorum existimationem et **289** gloriam celeberrimam adepti sunt: qui cum potentibus versati semper fuerunt, et victitarunt, quippe consilia in omnibus rebus agendis afferre soliti, falso nominatis diis quid conduceret inspirantibus. Cum igitur falsa concionantes, inquit, et veri nihil scientes convincemini, quomodo dicetis regi: Filii intelligentium nos? Filii regum qui a primis exstiterunt temporibus? In his autem sermo propheticus spectat ad eos qui esse videbantur sapientes; dein vero transitum facit ad personam ejus qui principatum sortitus erat, et ait: Ubi sunt sapientes tui nunc? Et annuntient tibi, et dicant quid consilii ceperit Dominus Sabaoth de Ægypto. Etenim, inquit, si non sunt impostores et deceptores, et scurræ, si non falsa prædicare solent, nisi ex suo pectore solo loquantur, non ab ore Domini: disce ab illis quæ Ægyptiis impendent, et quæ ex consilio Domini Sabaoth primo quoque tempore sunt eventura. Insultat quasi illis qui Deum non cognoverunt, sed velut in profundis tenebris jacuerunt, eo quod idolorum cultui affigerentur. Gravissimum igitur, imo vero prorsus frustraneum, imposturis falsorum vatum confidere. Cum enim futura et quæ Deus infert, omnino ignorent, coacervandi argenti materiam faciunt artem pseudomanticam, vaticinationes, et a Deo audire se fingunt quæ suo solo arbitratu eructant, animumque eorum qui ipsis adhærent, excantant. Loquuntur enim quæ placent aliis, illud dicunt solum quod voluptati esse audientibus conjiciunt. Cæterum divina lex præcipit ab hujus-

[87] Job XII, 14.

modi hominibus recedere. Habet enim sic: « Si ingressus sis in terram quam dat tibi Dominus Deus tuus, non disces facere secundum abominationes gentium earum. Non invenietur in te qui lustrat filium suum vel filiam suam igni, aut vaticinans vaticinium, vel ariolus, vel augur, vel qui veneficiis incantat, aut ventriloquus, vel qui ostenta considerat, aut qui interrogat mortuos. Etenim abominatio Domino Deo tuo quicunque talia facit [58]. » Adjungit porro his, et ait: « Perfectus eris coram Domino Deo tuo [59]. » Nam gentes illæ quas tu hæreditate possides, ariolationes et vaticinationes audiunt. Tibi vero non sic dedit Dominus Deus tuus: « Prophetam de fratribus tuis excitabit tibi Dominus Deus tuus, ipsum audietis per omnia, **290** quæcunque loquetur vobis [60]. » Omnino enim Dei amore vacuus erit, et pietatis ornamentis nudabitur, qui vaticiniis, ariolationibus, auguriis et incantatorum fucis animum adhibuerit. At is spei bonæ vere plenus erit, qui evangelicis oraculis animum intenderit, et his quæ Christus dicit, veritatis calculum attulerit. Siquidem ille est prophetarum Dominus, et omnis cognitionis largitor, etiamsi pro mensura humanitatis propheta nominetur.

VERS. 13-15. *Defecerunt principes Taneos, et evecti sunt principes Mempheos, et decipient Ægyptum secundum tribus. Dominus enim confudit eos spiritu erroris, et deceperunt Ægyptum in omnibus operibus ejus, sicut errat ebrius et vomens simul; nec ullum opus habent Ægyptii quod faciat caput et caudam, principium et finem.*

Deridet nobis quodammodo falsorum vatum nugas et vanitates in hisce verbis sermo propheticus. Ægyptiorum enim præfectus, qui cum ipso semper erant præstigiatores et vanos vates, qui etiam nominabantur sophi, interrogavit in quem tandem finem exspectata devenirent. Postquam autem consilio frustrati sunt, et mendacii convicti, nullusque esset qui consilii utilis viam indicaret, nihili facti sunt, ac alii deinceps sapientes quærebantur: et quidam mirabantur principes Mempheos, id est, sacerdotes et magos, qui, inquam, Memphin incolebant. Eximii enim quasi videbantur hi tum temporis, et cum ad magicæ peritiæ summum pervenissent fastigium, omni veneratione digni idololatris habebantur. Defecerunt igitur, inquit, principes Taneos, id est, pro nihilo habiti sunt, et summi ac admirabiles regi ac omnibus qui circum illum erant esse visi sunt Memphitarum præsides et antistites. Verum seduxerunt et illi Ægyptum secundum tribus, id est, oppidatim et vicatim, non viritim solum, sed etiam catervatim. Habebant enim illis fidem, etiamsi quod e re esset nihil dicerent: nam quomodo confisi sunt? Dominus enim, inquit, confudit eos spiritu erroris, id est, omnem veritatis sermonem ab eorum lingua excussit, ut nihil veri

[58] Deut. XVIII, 10-12. [59] ibid. 13. [60] ibid. 15.

τάττει νόμος τῶν τοιούτων ἀποφοιτᾷν. Ἔχει γὰρ οὕτως· « Ἐὰν εἰσέλθῃς εἰς τὴν γῆν ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐ μαθήσῃ ποιεῖν κατὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων. Οὐχ εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ ἢ τὴν θυγατέρα αὐτοῦ ἐν πυρὶ, μαντευόμενος μαντείαν, κληδονιζόμενος, καὶ οἰωνιζόμενος, φαρμακὸς, ἐπᾴδων, ἐγγαστρίμυθος, καὶ τερατοσκόπος, καὶ ἐπερωτῶν τοὺς νεκρούς. Ἔστι γὰρ βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα. » Προσεπάγει δὲ τούτοις καὶ φησί· « Τέλειος ἔσῃ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου. » Τὰ γὰρ ἔθνη ταῦτα, οὓς σὺ κατακληρονομεῖς αὐτοὺς, οὗτοι κληδονισμῶν καὶ μαντειῶν ἀκούσονται. Σοὶ δὲ οὐχ οὕτω δέδωκεν Κύριος ὁ Θεός σου· « Προφήτην ἐκ τῶν ἀδελφῶν σου ἀναστήσει σοι Κύριος ὁ Θεός σου, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. » Ἀφιλόθεος γὰρ παντελῶς, καὶ τῶν εἰς εὐσέβειαν αὐχημάτων ἔσται γυμνὸς ὁ μαντείαις προσέχων καὶ κληδονισμοῖς, οἰωνοσκοπίαις τε καὶ τοῖς τῶν γοητῶν φενακισμοῖς. Ἐλπίδος γε μὴν ἀγαθῆς ἐπίμεστος ἀληθῶς, ὁ τοῖς εὐαγγελικοῖς θεσπίσμασι προσέχων τὸν νοῦν, καὶ οἷς ἂν λέγοι Χριστὸς, τὴν τῆς ἀληθείας ψῆφον ἐπιτιθείς. Καὶ γάρ ἐστι προφητῶν Δεσπότης, καὶ ἁπάσης γνώσεως χορηγὸς, εἰ καὶ προφήτης ὠνόμασται, διάτοι τὸ τῆς ἀνθρωπότητος μέτρον.

Ἐξέλιπον οἱ ἄρχοντες Τάνεως, καὶ ὑψώθησαν οἱ ἄρχοντες Μέμφεως, καὶ πλανήσουσιν Αἴγυπτον κατὰ φυλάς. Κύριος γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως, καὶ ἐπλάνησαν Αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων, καὶ ὁ ἐμῶν ἅμα. Καὶ οὐκ ἔσται τοῖς Αἰγυπτίοις ἔργον, ὃ ποιήσει κεφαλὴν καὶ οὐρὰν, ἀρχὴν καὶ τέλος.

Ἐπιμειδιᾷ τρόπον τινὰ τοῖς τῶν ψευδολόγων ἀθύρμασι, καὶ κενοφωνίαις ὁ προφητικὸς ἡμῖν ἐν τούτοις λόγος. Ἤρετο μὲν ὁ τῶν Αἰγυπτίων ἡγούμενος τοὺς ἀεὶ συνόντας αὐτῷ, γόητάς τε καὶ ψευδομάντεις, οἳ καὶ ὠνομάζοντο σοφοί. Πρὸς ποῖον αὐτῷ καταντήσει τέλος τὰ προσδοκώμενα. Ἐπειδὴ δὲ βουλῆς ἡμάρτανον, καὶ ψευδοεποῦντες ἠλέγχοντο, καὶ οὐδεὶς ἦν αὐτοῖς ὁ βουλῆς ὀνησιφόρου καὶ σκεμμάτων ἐπωφελῶν εἰσκομίζων ὁδόν. Κατελογίσθησαν μὲν εἰς οὐδὲν, ἕτεροι δὲ λοιπὸν ἐζητοῦντο σοφοί· καὶ δὴ καὶ τεθαυμάκασί τινες τοὺς ἄρχοντας Μέμφεως, τοῦτ' ἔστι, τοὺς ἱερεῖς τε καὶ μάγους, τοὺς κατά γέ φημι τὴν Μέμφιν. Ἀπόλεκτοι γὰρ ὥσπερ ἐδόκουν εἶναι τὸ τηνικάδε, καὶ μαγικῆς ἐμπειρίας εἰς ἄκρον ἐληλακότες τοῦ παντὸς ἄξιοι λόγου τοῖς εἰδωλολάτραις ἐφαίνοντο. Ἐξέλιπον τοίνυν, φησὶν, οἱ ἄρχοντες Μέμφεως, τοῦτ' ἔστι, κατελογίσθησαν εἰς οὐδὲν, ὑψηλοί τε εἶναι καὶ τεθαυμασμένοι παρά τε τῷ βασιλεῖ καὶ ἅπασι τοῖς ἀμφ' αὐτὸν ἔδοξαν εἶναι τῆς Μέμφεως οἱ προεστηκότες. Πλὴν πεπλανήκασι καὶ αὐτοὶ τὴν Αἴγυπτον κατὰ φυλὰς, τοῦτ' ἔστι, κατὰ πόλεις καὶ κώμας· καὶ οὐ καθ' ἕνα μόνον, ἀλλὰ γὰρ καὶ κατὰ πληθύν. Τεθαρσήκασι γὰρ αὐτοῖς, καίτοι τῶν ἀναγκαίων οὐδὲν ἔχουσιν εἰπεῖν· τεθαρσήκασι γὰρ τίνα τρόπον; Κύριος γὰρ, φησὶν, ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως,

τοῦτ' ἔστι, πάντα λόγον ἀληθείας ἀπετίναξε τῆς A γλώττης αὐτῶν, ὡς μηδ' ὁτιοῦν ἰσχῦσαι τῶν ἀληθῶν ἢ νοεῖν ἢ λέγειν. Οὐ γὰρ ἔδει ταῖς τῶν εἰδωλολατρούντων γλώσσαις ἐνιζῆσαι τὴν ἀλήθειαν. Πεπλανήκασι τοίνυν τὴν Αἴγυπτον, ὡς πλανᾶται ὁ μεθύων καὶ ὁ ἔμων ἅμα. Ἔθος γὰρ τοῖς μεθύουσι, τὸ ταῖς ἐξ ἐμέτων περιπίπτειν ἀκαθαρσίαις. Ταύτῃτοι, φησίν· Οὐκ ἔσται τοῖς Αἰγυπτίοις ἔργον, ὃ ποιήσει κεφαλὴν καὶ οὐρὰν, ἀρχὴν καὶ τέλος. Οὐδὲ γὰρ ἐγχειρημάτων ἅψονται νεανικῶν. Τοῦτο γὰρ ἀρχὴ καὶ κεφαλή. Οὔτε μὴν εἰς εὐκταιότατον αὐτοῖς καταντήσει τέλος τὰ δρώμενα· τοῦτο γὰρ ἡ οὐρὰ καὶ τὸ τέλος· πᾶσα γὰρ σκέψις ἀνθρώπων ἀνόνητος, καὶ πᾶν ἐπικούρημα σαθρὸν, καὶ κατ' οὐδένα τρόπον ὀνῆσαι δυνάμενον· Θεοῦ γὰρ κακοῦντος, ὡς ἔφην, καὶ χεῖρα τὴν παναλκῆ τοῖς ἀποσκιρτῶσιν ἐπάγοντος, καὶ εἰς τὸ αὐτῷ B δοκοῦν μετατρέποντος τῶν πραγμάτων τὰς φύσεις.

Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι ὡς αἱ γυναῖκες ἐν φόβῳ καὶ ἐν τρόμῳ, ἀπὸ προσώπου τῆς χειρὸς Κυρίου Σαβαὼθ, ἣν αὐτὸς ἐπιβαλεῖ ἐπ' αὐτούς. Καὶ ἔσται ἡ χώρα τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις εἰς φόβητρον. Πᾶς ὃς ἂν ὀνομάσῃ αὐτὴν αὐτοῖς φοβηθήσονται, διὰ τὴν βουλὴν ἣν βεβούλευται Κύριος ἐπ' αὐτήν.

Οἱ γὰρ πάλαι θρασεῖς καὶ ἀνήμεροι, καὶ κινδύνου παντὸς καταφρονηταὶ, περιδεεῖς ἔσονται, φησὶ, καὶ τεθρυμμένην εὑρήσουσιν ἐν ἑαυτοῖς τὴν καρδίαν, ὡς γυναικῶν τῶν ἀσθενεστάτων ἀποδεῖν οὐδὲν, ἀλλ' οἱονείπως εἰς θηλυπρεπὲς ἀνανδρίας κατολισθεῖν. Πρόφασις δὲ αὐτοῖς τοῦ δείματος, καὶ τῆς ἐπὶ τούτῳ C πτοίας, ἡ χεὶρ ἔσται Κυρίου Σαβαὼθ, ἣν αὐτὸς ἐπιβαλεῖ ἐπ' αὐτούς. Χεῖρα δὲ Κυρίου Σαβαὼθ ἐν τούτοις τὸ παναλκὲς θέλημα τοῦ Θεοῦ διορίζεται τῇ Ῥωμαίων βασιλείᾳ τὸ τῶν Αἰγυπτίων ὑποφέροντος ἔθνος. Ἄμαχος δὲ παντελῶς ἡ θεία βουλὴ, καὶ τοῖς τῆς ἀνωτάτω φύσεως σκέμμασι τὸ δοκοῦν πᾶσά πως ἀνάγκη διαπεραίνεσθαι. Ἔσται δὲ πρὸς τούτοις ἡ χώρα τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις εἰς φόβητρον· καὶ τί δὴ ἄρα φησὶν ἐν τούτοις, εἴδωμεν ἀκριβῶς· ἀσαφὲς γὰρ λίαν τὸ δηλούμενον. Οὐκοῦν ἐσώζετο μὲν πάλαι τῶν Ἰουδαίων ἡ χώρα προασπίζοντος Θεοῦ, καὶ δυσκαταγώνιστον αὐτὴν ἀποφαίνοντος ἁπάσαις, ὡς ἔπος εἰπεῖν, ταῖς ἐν κύκλῳ βασιλείαις τῶν ἐθνῶν. Ἀλλὰ καίτοι τοσοῦτον ἔχουσα τὸν ἐπίκουρον, ἥλω καὶ γέγονεν ὑπὸ Ῥωμαίοις, καὶ ἐμπέπρησται μὲν πᾶσα D πόλις, κένανδροι δὲ μεμενήκασιν οἶκοί τε καὶ κῶμαι. Καὶ ποία γέγονεν αὐτοῖς ἡ τοῦ ἁλῶναι πρόφασις; Ἡ βουλὴ δηλονότι Κυρίου, ἣν καὶ ἐπ' αὐτῇ βεβούλευται. Παραδέδοται γὰρ καὶ αὐτὴ ταῖς ἄλλαις ὁμοῦ τῇ Ῥωμαίων πανσθενεστάτῃ χειρί. Ἔσται τοίνυν ἡ χώρα τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις εἰς φόβητρον. Οἱ μὲν γὰρ τῶν ψευδομάντεων λόγος παραθαρσύνειν ἤθελον, ὅτι καὶ ἀμείνους ἔσονται τῆς τῶν ἐπιόντων χειρὸς, καὶ κρατήσουσιν ἀντεξάγοντες. Τὸ δὲ δὴ παραδεδόσθαι καὶ αὐτὴν αὐτοῖς τὴν τῶν Ἰουδαίων χώραν, καίτοι Θεὸν ἔχουσαν τὸν ὑπεραθλοῦντά ποτε, πάνδεινον αὐτοῖς ἐνετίθει τὸ δεῖμα. Προσεδόκησαν γὰρ ἐντεῦθεν, πάντῃ τε καὶ πάντως τοῖς καταδηοῦν ἐθέλουσιν ὑποκεῖσθαι, παθούσης τοῦτο καὶ τῆς Ἰουδαίων γῆς,

potuerint, vel cogitare, vel dicere. Etenim **291** in linguis idololatrarum veritas residere nullo modo potuit. Deceperunt itaque Ægyptum, sicuti errat ebrius et vomens simul. Solent enim ebrii in vomitionum incidere intemperantiam. Itaque dicit: Non habent Ægyptii ullum opus quod faciat caput et caudam, principium et finem. Nec enim egregia cœpta juveniliter aggredientur, hoc enim est principium et caput; nec in optatissimum finem occurrent quæ geruntur: hoc enim est cauda et finis: omnis enim humana consultatio infructuosa et omne præsidium imbecillum, nec ulla ex parte juvare potest, si Deus, ut dixi, multat ac pœna afficit, manumque omnipotentem resilientibus affert, et ad suam voluntatem rerum naturas convertit.

Vers. 16, 17. *Die vero illa erunt Ægyptii velut mulieres in timore et in tremore a facie manus Domini Sabaoth, quam ille injiciet eis. Et erit regio Judæorum Ægyptiis terrori. Si quis nominaverit eam ipsis, expavescent ob consilium quod decrevit in illam Dominus.*

Qui enim olim audaces et immites et omnium periculorum contemptores fuerunt, pavidi, inquit, et fracto corde erunt, ut a mulieribus infirmissimis nihil differant, sed tanquam muliebriter effeminentur. Causa vero metus et terroris hujus, manus erit Domini Sabaoth, quam ipse injiciet eis. Manus Domini Sabaoth hic definitur esse omnipotens voluntas Dei, Ægyptiacam gentem Romanorum regno subjiciens. Invictum est divinum consilium, et quod supremæ naturæ placuerit, prorsus confici necesse est. Erit præterea regio Judæorum terrori Ægyptiis. Quid autem hic dicat, consideremus diligenter; valde enim obscurum est quod dicitur. Itaque conservata quidem olim est Judæorum regio, propugnante Deo, ita ut nulla, ut ita dicam, regna gentium quæ circumcirca sunt, expugnare potuerint. Cæterum licet tantum haberet opitulatorem, capta est, et Romanis subjecta, et omnes urbes incensæ, et domus juxta ac vici viris vacui remanserunt. Et quæ tandem causa fuit ut caperentur? Consilium nimirum quod contra illam **292** decrevit Dominus. Tradita enim est et ea una cum aliis Romanorum manui potentissimæ. Erit ergo regio Judæorum Ægyptiis terrori. Falsi enim vates, suis verbis animum addere illis voluerunt, quod et manu invadentium robustiores essent, et, si opponerent se, superarent. Verum cum ipsa Judaica regio etiam quæ Deum victorem olim habebat, illis tradita sit, hoc gravissimum timorem ipsis injecit. Exspectarunt enim inde semper, ut quibuslibet populaturis subjicerentur, cum, ut dixi, Judaicæ terræ hoc accidisset: non quod is qui servat, debilior esset, sed quod suo eam subjiceret nutui, et Romanorum sceptris submitteret. Aliis placet etiam aliter hoc quod proponitur intelligere. Postquam enim visitavit in uni-

versum Ægyptios, et a tenebris in lucem transtulit universitatis Deus, et a ritu idololatrico traduxit, deditque ut de cætero cognoscerent quis esset natura ac vere Deus, ac universitatis fabricator (crediderunt enim in Christum, et per illum et in illo noverunt quoque Patrem) hinc ait, propter magnam ipsorum probitatem et religionem, ipsis fore regionem Judæorum terrori. Terrori autem cum dicit, metum ex pietate intelliges profectum. Colunt enim omnes Hierosolyma, eo quod ibi natus fuerit Christus, et crucem pro mundi salute pertulerit, et in monumento positus, denuo revixerit, adque Patrem emigrarit. Olim quippe Ægyptiorum odio flagravit Judæorum regio, erat enim pugnans et discrepans eorum religio. Illi enim creaturam et opera suarum manuum adoraverunt; hi vero sanctissimo Deo servierunt, et legibus ejus gubernati, sinceræ conversationis imitatores exstiterunt. Hæc igitur quondam invisa regio, terror veluti quidam, et religionis erit causa et materia, propterea quod in ea Christus natus fuerit, ut dixi, qui ex tenebris eos ad mirabilem ipsius lucem vocavit.

A ὡς ἔφην, οὐχ ἠσθενηκότος τοῦ διασώζοντος, ἀλλ' ἰδίως καὶ αὐτὴν ὑποτιθέντος νεύμασιν, καὶ τοῖς Ῥωμαίων σκήπτροις ὑπάγοντος. Δοκεῖ δέ τισι καὶ ἑτέρως νοεῖν τὸ προκείμενον. Ἐπειδὴ γὰρ ὅλως ἐπεσκέψατο τοὺς Αἰγυπτίους, καὶ μετεκόμισεν ἐκ σκότους εἰς φῶς ὁ τῶν ὅλων Θεὸς, καὶ ἀπέστησε μὲν τῆς τῶν εἰδωλολατρείας ἐθῶν, δεδώρηται δὲ τὸ εἰδέναι λοιπὸν, τίς ὁ φύσει καὶ ἀληθῶς ἐστι Θεὸς, καὶ τῶν ὅλων δημιουργός. Πεπιστεύκασι γὰρ εἰς Χριστόν· ἐγνώκασι δὲ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τὸν Πατέρα. Ταύτῃ τοι, φησὶν, ἐκ πολλῆς ἄγαν ἐπιεικείας τε καὶ εὐλαβείας, ἔσται αὐτοῖς ἡ χώρα τῶν Ἰουδαίων εἰς φόβητρον. Τὸ δὲ εἰς φόβητρον ὅταν λέγῃ, νοήσεις τὸν ἐκ τῆς εὐλαβείας φόβον. Τιμῶσι γὰρ ἅπαντες τὰ Ἱεροσόλυμα, διά τοι τὸ ἐκεῖσε γενέσθαι Χριστὸν, καὶ τὸν ὑπὲρ τῆς
B τοῦ κόσμου σωτηρίας ἀνατλῆναι σταυρὸν, τεθῆναί τε ἐπὶ μνήματος, ἀναβιῶναί τε αὖ, καὶ ἀναβῆναι πρὸς τὸν Πατέρα. Πάλαι μὲν οὖν μεμίσητο παρὰ τοῖς Αἰγυπτίοις τῶν Ἰουδαίων ἡ χώρα· καὶ γὰρ ἦν μαχόμενος αὐτοῖς τῆς θρησκείας ὁ τρόπος. Οἱ μὲν γὰρ προσεκύνουν τῇ κτίσει, καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν· οἱ δὲ λελατρεύκασι τῷ παναγίῳ Θεῷ, καὶ τοῖς παρ' αὐτοῦ διοικούμενοι νόμοις, τῆς εὐαγοῦς πολιτείας γεγόνασιν ἐπιμεληταί. Ἡ τοίνυν μεμισημένη χώρα ποτὲ, φόβητρον ὥσπερ τι καὶ εὐλαβείας αὐτοῖς ὑπόθεσις ἔσται, διά τοι τὸ ἐν αὐτῇ γενέσθαι Χριστὸν, ὡς ἔφην, τὸν ἐκ σκότους αὐτοὺς καλέσαντα πρὸς τὸ θαυμαστὸν αὐτοῦ φῶς.

VERS. 18. *Die illa quinque civitates in Ægypto loquentur lingua Chananæa, et jurabunt nomine Domini. Civitas Asedec vocabitur una civitas.*

Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται πέντε πόλεις ἐν Αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ Χαναντίδι, καὶ ὀμνύουσαι τῷ ὀνόματι Κυρίου. Πόλις Ἀσεδὲκ κληθήσεται ἡ μία πόλις.

Mirari quis poterit in his, et valde quidem merito, argutam et exquisitam beati prophetæ tractationem, qui **293** eorum prorsus nihil ignoravit, quæ regioni Ægyptiorum adventus tempore essent futura: qui et sigillatim prædicit particularia, et quomodo evangelica prædicatio suscepta fuerit, clare disserit. Loquentur, inquit, quinque civitates in Ægypto lingua Chananæa, id est, Syrorum vel Palæstinorum. Una enim lingua loquuntur Phœnices et Palæstini. Sunt autem contermini sibique ipsis contigui Palæstini et Ægyptii, nec quidquam est intermedium, sed statim in extremis finibus Ægypti quæ ad orientem et ad mare spectat, inquam, Palæstinæ terræ primi introitus et quasi fauces apparent. Confinis igitur Chanaan Ægyptus: ideoque civitates illæ in confinio Ægypti, primum Evangelii receperunt prædicationem: fuerunt autem hæ quinque, quarum primam eam quæ nunc Rhinocoruretarum est, dicimus. Loquuntur enim etiam lingua Chananæa. Illis enim urbibus studio est, non tantum operæ curæque in Ægyptiorum sermone, quantum in Syriaca lingua ponere. Quidam etiam narrant in suis scriptis Josephum diserte commemorare quemdam nomine Joniam ministerio functum inter eos qui sanguine Levitico oriundi sunt, et sacerdotio ex lege ornatum simul, qui ut ex terra Judaica demigrasset, quod simultatem cum quodam cognato suo exercuisset, vel forte persecutionem perpessus fuisset, ad quinque has urbes finitimas Chanaan pertigisse. Hic, inquit, infinita coacta Ju-

C Καταθαυμάσειεν ἄν τις καὶ σφόδρα εἰκότως τῆς ἔν γε τούτοις ἰσχνομυθίας τὸν μακάριον προφήτην, καὶ ἠγνοηκότα μὲν παντελῶς οὐδὲν τῶν ἐσομένων, κατὰ τοὺς τῆς ἐπιδημίας καιροὺς τῇ τῶν Αἰγυπτίων χώρᾳ. Προαναφωνοῦντα δὲ τὰ καθ' ἕκαστον, τίνα τρόπον τὸ εὐαγγελικὸν παρεδείχθη κήρυγμα διαγορεύοντα σαφῶς. Ἔσονται τοίνυν, φησὶ, πέντε πόλεις ἐν Αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ Χαναντίδι, τοῦτ' ἔστι τῇ Σύρων, ἤτοι τῇ κατὰ τὴν Παλαιστίνην. Μιᾷ γὰρ λαλοῦσι γλώσσῃ Φοίνικες καὶ Παλαιστινοί. Ἀγχιτέρμονες δὲ πάλιν ἀλλήλοις εἰσὶ Παλαιστινοί τε καὶ Αἰγύπτιοι, καὶ τὸ μεσολαβοῦν οὐδὲν, ἀλλ' ἐν τοῖς τῆς Αἰγύπτου πέρασι, τοῖς πρός γέ φημι τὴν ἕω, καὶ θάλασσαν τῆς Παλαιστινῶν γῆς, αἱ πρῶται λοιπὸν ἀνίσχουσιν εἰσβολαί. Ὅμορος
D τοίνυν τῇ Χαναναίων ἡ Αἰγυπτίων. Ταύτῃ τοι καὶ αἱ πρὸς τοῖς πέρασι τῆς Αἰγύπτου πόλεις, πρῶτον παραδέχονται τὸ σωτήριον κήρυγμα· πέντε δὲ αὗται, ὧν δὴ καὶ πρώτην εἶναί φαμεν τὴν νυνὶ Ῥινοκορουρητῶν. Λαλοῦσι μὲν καὶ τῇ γλώσσῃ Χαναντίδι. Ἐσπούδασται γὰρ τοῖς ἐν ταύταις ταῖς πόλεσιν, οὐχὶ τῆς Αἰγυπτίων φωνῆς μεταποιεῖσθαι τοσοῦτον, ὅσον τῆς Σύρων. Φασὶ δέ τινες ἐν ἰδίαις συγγραφαῖς διαμνημονεῦσαι σαφῶς τὸν Ἰώσηπον, ὅτι τῆς Ἰουδαίων ἀποφοιτήσας γῆς, Ἰωνίας τις ὀνόματι τελῶν ἐν τοῖς ἐξαίμασι τοῦ Λευῒ καὶ τῇ κατὰ νόμον ἱερωσύνῃ τετιμημένος, ὡς ὁμόρους τῶν Χαναναίων τὰς πέντε ταυτασὶ κατελάβετο πόλεις, φιλονεικήσας πρός τινας τῶν ὁμογενῶν, ἢ τάχα που καὶ διώξιν ὑπομείνας. Οὗτος, φησὶν, οὐκ εὐαρίθμητον Ἰουδαίων πλῆθον συν-

ἀγηγερκὼς, κατῴκηκεν ἐν μιᾷ τῶν πέντε τουτωνὶ πόλεων, ἣ καὶ ὠνόμασται πόλις Ἀσεδὲκ, τοῦτ' ἔστι δικαιοσύνης. Ἐντεῦθέν φασι τοὺς πρὸς τοῖς Αἰγυπτίων τέρμασι κατηθίσθαι τε καὶ ἀγαπᾷν τῇ τῶν Χαναναίων γλώσσῃ λαλεῖν. Μαθήσονται δέ φησι καὶ ὀμνύειν τῷ ὀνόματι Κυρίου. Παράδοξον δὲ καὶ τοῦτο. Ἔθος μὲν γὰρ τοῖς ματαίων προσκυνηταῖς ὅρκιον ποιεῖσθαι τὸ ἑκάστῳ δοκοῦν τῶν τοῦ κόσμου στοιχείων. Οἱ μὲν γὰρ τὸν οὐρανὸν ὀνομάζουσιν, οἱ δὲ τὸν ἥλιον, ἕτεροι δὲ καὶ τὰ ἐν σηκοῖς χειρότευκτα· διαμέμνηνται δὲ κατ' οὐδένα τρόπον τοῦ κατ' ἀλήθειαν Θεοῦ· οὐ γὰρ ἐγνώκασιν αὐτόν. Τῶν γε μὴν ἐπεγνωκότων ἤδη καὶ πεπιστευκότων, ἐστὶ τὸ καὶ ὀμνύειν τῷ ὀνόματι αὐτοῦ. Οὕτω καὶ ὁ πάνσοφος Μωσῆς τῆς ἐν Αἰγύπτῳ λατρείας ἐκπεφοιτηκότα τὸν Ἰσραὴλ πρὸς ἐπίγνωσιν τοῦ κατ' ἀλήθειαν Θεοῦ προσεκόμιζε λέγων· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. » Προστίθει δὲ τούτοις, ὅτι Καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. Ἀπόδειξις τοίνυν ἐναργὴς τοῦ παραδέξασθαι τὴν πίστιν τὰς πέντε ταύτας πόλεις, τὸ ὀμνῦναι μὲν ἐπ' οὐδενὶ τῶν ματαίων, δέχεσθαι δὲ μᾶλλον εἰς ὅρκου χρείαν τὸ ὄνομα Κυρίου.

A dæorum multitudine, ad unam harum quinque civitatum commigravit, quæ etiam civitas Asedec, id est, justitiæ, dicta est. Hinc aiunt eos in ora Ægyptiorum solitos linguam sonare Chananæorum. Discent etiam, inquit, jurare nomine Domini. Hoc etiam plane est incredibile. Est enim solemne vanitatum cultoribus, juramentum pro suo cujusque arbitratu, mundi elementis nuncupare. Alii enim cœlestia nominant, alii solem, alii etiam in adytis manufacta, sed nullo modo veri Dei mentionem fecerunt, quem ne noverunt quidem. Agnoscentium autem et credentium munus et officium est, etiam in nomine ipsius jurare. Sic etiam Moses sapientissimus Israelem ab Ægyptiaco cultu demigrantem ad agnitionem veri Dei traduxit, dicens: « Dominum Deum tuum B adorabis, et illi **294** soli servies [61]. » Apposuit illud quoque, Nomine ejus jurabis. Argumentum est igitur et demonstratio evidens, illas quinque urbes fidem admisisse, quod in nullo vano idolo juraverint, sed ad jurisjurandi usum nomen Domini sumpserint.

Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ· καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου.

Ἡ μὲν γὰρ Αἰγυπτίων σύμπασα γῆ τεμένεσί τε πεπλήθει καὶ μεμέστωτο βωμῶν· σπονδαὶ δὲ ἦσαν καὶ θυσίαι πανταχῇ, τοῦτο μὲν τοῖς τοῦ κόσμου στοιχείοις προσκομιζόμεναι παρ' αὐτῶν· τοῦτο δὲ, ὡς ἔφην, καὶ τοῖς ἐν σηκοῖς ἱδρυμένοις ἀγάλμασι δηλονότι καὶ δαιμονίων στήλαις. Καὶ τί τοῦτο λέγω, ὅτε καὶ ἀλόγων ζώων ἀναθέντες μορφὰς, τὴν Θεῷ πρέπουσαν δόξαν αὐτοῖς ἐχαρίζοντο; Ὅρα τοίνυν ἐξ οἵων εἰς οἷα μεταπέπτωκε τὰ Αἰγυπτίων πράγματα. Οἱ γὰρ πάλαι τῶν ἄλλων ἁπάντων δεισιδαιμονέστεροι, καὶ ἀχαλίνως νενευκότες εἰς τὸ ἐξήνιον, τῇ ἡμέρᾳ ἐκείνῃ, φησὶ, τοῦτ' ἔστι, κατ' ἐκεῖνο καιροῦ, καθ' ὃ ἂν ἐπιλάμψῃ παρ' αὐτοῖς τὸ σωτήριον κήρυγμα, παραδέξονται τὴν προσκύνησιν τοῦ φύσει τε καὶ ἀληθῶς ὄντος Θεοῦ. Ἔσται γὰρ θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ τῶν Αἰγυπτίων. Ἔμφασιν ἔχει πολλὴν ὁ λόγος. Εἴρηται γὰρ μετὰ θαύματος. Πῶς γὰρ οὐ παράδοξον τὸ καὶ ἐν αὐτῇ τῇ Αἰγυπτίων χώρᾳ, θυσιαστήριον ὁρᾶσθαι Κυρίου; Καὶ πρός γε τούτῳ, καὶ στήλην πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ. Στήλην δὲ, φησὶν, ἐν τούτοις, ὥς γ' ἐμοὶ δοκεῖ, ἢ ναὸν ἅγιον Θεοῦ, τοῦτ' ἔστι τὴν Ἐκκλησίαν, ἣ τάχα που καὶ πρώτη τῶν ἄλλων ἐγήγερται πρὸς τὸ ὅριον αὐτῆς, ἤγουν τὸ τοῦ ἁγίου σταυροῦ σημεῖον, ᾧ περιφράττεσθαι τοὺς πιστεύοντας ἔθος. Κεχρήμεθα γὰρ ἀεὶ τῷ πράγματι, πᾶσαν διαβολικὴν ἐπήρειαν ἀνατρέποντες, καὶ τὰς τῶν δαιμονίων ἐφόδους διακρουόμενοι. Τεῖχος γὰρ ἡμῖν ἄρρηκτον ὁ σταυρὸς, καὶ τὸ ἐπ' αὐτῷ καύχημα σωτήριον ἀληθῶς· « Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ. » Παράδοξα τοίνυν, τὰ ἐκ τῆς προφητείας προηγορευμένα

VERS. 19. *Die illa erit altare Domino in regione Ægyptiorum, et columna ad confinia ejus Domino, et erit in signum, et testimonium in æternitatem Domino in regione Ægypti.*

Terra enim omnis Ægyptiorum fanis abundabat, et aris plena erat: passim liba erant, et sacrificationes, tum mundi elementis, tum etiam, ut dixi, imaginibus quæ in fanis collocabantur, oblatæ, et dæ- C moniorum erant columnæ. At quid hoc dico, cum etiam animantium ratione carentium erectis formis, gloriam quæ Deo congruit, his attribuerint? Vide itaque ex quibus Ægyptiacæ res conversæ et collapsæ sunt. Qui enim quondam aliis omnibus superstitiosiores fuerunt, et effrenate laxis habenis proruerunt: illa, inquit, die, id est, ex eo tempore quo salutaris prædicatio his illucescet, cultum naturalis et veri Dei amplectentur. Erit enim altare Domino in regione Ægyptiorum. Emphasim magnam et vim habet hæc oratio, quippe non sine admiratione dictum. Annon enim est ab opinione ac fide alienum et plane paradoxum etiam in ipsa regione Ægyptiorum, altare Domini videri, et ad hæc etiam colum- D nam ad confinia ejus Domino? Columnam vero hic dicit, ut mihi videtur, vel templum sanctum, hoc est Ecclesiam, quæ forte prima aliarum ad confinia ejus excitata est: vel sanctæ crucis signum, quo obsepiri credentes solent et communiri. Usi enim semper sumus hac re, cum omnem diaboli insultum evertimus, et dæmonum impetus infringimus. Murus enim infractus est nobis crux, et in ea est gloriatio, vere salutem afferens. Idcirco Paulus sapiens scribit: « Absit vero ut ego glorier, nisi in cruce Christi [62]. » Mirabilia erant igitur et supra opinionem vulgarem, quæ tunc prophetice prædicta fuerunt, et nunc etiam ad finem sunt perducta. Aræ enim ex-

[61] Deut. vi, 13. [62] Galat. vi, 14.

stiterunt Domino complures et innumerabiles per Ægyptum : et crucis signum incolis venerabile. Etenim in Dominum **295** nostrum Jesum Christum crediderunt. Nonnullis autem expositorum placuit, pro columna titulum dicere, eumque ferunt esse hunc sacrosanctum Evangelium. Judicet autem rursus prudens, quid optimum, et quid rectissimum esse videatur.

VERS. 20, 21. *Quia clamabunt ad Dominum propter affligentes se, et mittet illis Dominus hominem qui servabit eos, et notus erit Dominus Ægyptiis, et cognoscent Dominum Ægyptii in die illa, et facient sacrificia, et vovebunt vota Domino, et reddent.*

Contemplare mihi iterum prophetiæ egregiam et artificiosam vigilantiam. Nam perinde quasi interroget quispiam, ac dicat : Quid hoc rei est? quid causæ, ut Dominus veniret in Ægyptum in nube levi, atque hoc et illud gratis conferret? præoccupans propheta respondet et ait : Quia clamabunt ad Dominum propter affligentes se, et mittet ipsis Dominus hominem qui servabit eos. Insultavit etenim peccati pater, id est Satanas, universæ terræ incolis, et nequitiæ suæ jugo imposito omnibus, velut a septis divinæ charitatis abduxit, et tantum non ligatos habens apud se rigide et impie vi coercuit. Cæterum rei natura gravem et non ferendam in se habens violentiam, contra tyrannidem ejus vociferata est. Sic intelliges clamasse Ægyptios. At qui verum non sit dicere, eos qui natura universitatis Dominum cognorant, omnino ad ipsum non clamasse? At enim quemadmodum sanguis Abelis clamasse dicitur ad Deum, etiamsi ipse propriam vocem prorsus non habeat, sed quod ipsam quasi rei indignitatem Deus prosequatur : ad eumdem puto modum intelligere quis poterit, de his etiam qui adorare solebant immundos spiritus. Etsi enim universitatis Deum non habebant cognitum, tamen quia vim passi sunt a Satana, ipsa quodammodo re exclamarunt, omnino sibi auxilium implorantes. Sic clamasse dicimus et Ægyptios ad Deum propter affligentes eos, id est, sub manum eorum ac potestatem redigentes, et velut acerbissima quadam servitute opprimentes, videlicet impuros dæmonas. Cæterum mittet illis Dominus hominem qui conservaturus est eos. Quis tandem homo? annon Christus scilicet, in humana **296** forma natus, unigenitum Dei Verbum, hic servavit, non Ægyptios modo, sed porro etiam terram universam? Servavitque judicans. Et quid est illud, judicans? scilicet, justum in eos judicium pronuntians. Satanam enim qui vim intulit, et cum eo ipsos impuros dæmonas calculo sancto subjecit, catenis tenebrarum in Tartaro custodivit, tradiditque ut in judicium magni diei puniendi servantur. Qui porro tyrannidem sustinuerunt, eos conservavit et eripuit, et suos effecit cultores : ve-

A τὸ τηνικάδε, νυνὶ δὲ δὴ καὶ εἰς πέρας ἐκβεβηκότα. Θυσιαστήριον γὰρ τῷ Κυρίῳ· πλεῖστά τε ὅσα, καὶ ἀριθμοῦ κρείττονα, κατὰ τὴν Αἰγυπτίων· καὶ τὸ τοῦ σταυροῦ σημεῖον τοῖς ἐνοικοῦσι προσκυνητόν. Πεπιστεύκασι γὰρ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Ἔδοξε δέ τισι τῶν ἐξηγητῶν, ἀντὶ τῆς στήλης τίτλον ὀνομάσαι, καί φασιν εἶναι τοῦτο τὸ ἅγιον Εὐαγγέλιον. Δοξαζέτω δὲ πάλιν ὁ νουνεχὴς τὸ ὡς ἄριστά τε καὶ εὖ ἔχειν δοκοῦν.

Ὅτι κεκράξονται πρὸς Κύριον διὰ τοὺς θλίβοντας αὐτοὺς, καὶ ἀποστελεῖ αὐτοῖς Κύριος ἄνθρωπον ὃς σώσει αὐτούς. Καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις. Καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Καὶ ποιήσουσι θυσίας, καὶ εὔξονται εὐχὰς τῷ Κυ- B *ρίῳ, καὶ ἀποδώσουσι.*

Ἄθρει δή μοι πάλιν τῆς προφητικῆς εὐτεχνίας τὴν νῆψιν. Ὥσπερ γὰρ ἀναπυνθανομένου τινὸς καὶ λέγοντος· Τί τὸ χρῆμα; Ποία δὲ γέγονε πρόφασις τοῦ τὸν Κύριον ἐλθεῖν εἰς Αἴγυπτον ἐπὶ νεφέλης κούφης, χαρίσασθαί τε αὐτοῖς τοῦτό τε κἀκεῖνο; διαλαβὼν ὁ προφήτης ἀποκρίνεται καὶ φησίν· Ὅτι κεκράξονται πρὸς Κύριον διὰ τοὺς θλίβοντας αὐτοὺς, καὶ ἀποστελεῖ αὐτοῖς Κύριος ἄνθρωπον ὃς σώσει αὐτούς. Ἐπεπήδησε μὲν γὰρ ὁ τῆς ἁμαρτίας πατὴρ, τοῦτ' ἔστιν ὁ Σατανᾶς, τοῖς ἀνὰ πᾶσαν τὴν γῆν, καὶ τῆς ἑαυτοῦ δυστροπίας ἐπιθεὶς ἅπασι τὸν ζυγὸν, ἀπεβουκόλησε μὲν τῆς εἰς Θεὸν ἀγάπης. Μόνον δὲ οὐχὶ δεδεμένους ἔχων ὑφ' ἑαυτῷ, πικρῶς τε καὶ ἀνοσίως κατεβιάζετο· ἀλλ' ἡ τοῦ πράγματος φύσις, δεινὴν καὶ C ἀφόρητον ἔχουσα τὴν πλεονεξίαν, τῆς ἐκείνου κατεβόησε τυραννίδος. Οὕτω νοήσεις κεκράξοντας Αἰγυπτίους. Καίτοι πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὅτι τὸν φύσει τῶν ὅλων Δεσπότην οὐκ ἐγνωκότες, οὐδ' ἂν ὅλως ἐβόησαν πρὸς αὐτόν; Ἀλλ' ὥσπερ τὸ αἷμα τοῦ Ἄβελ βοῆσαι λέγεται πρὸς τὸν Θεὸν, καὶ οὐκ αὐτό που πάντως, ἰδίαν ἔχον φωνήν· ἀλλ' οἱονεὶ τὴν αὐτὴν τοῦ πράγματος ἀτοπίαν κατεστυγηκότος Θεοῦ· τὸν αὐτὸν, οἶμαι, τρόπον νοῆσαι τις ἂν καὶ ἐπὶ τῶν εἰωθότων προσκυνεῖν τοῖς ἀκαθάρτοις δαίμοσιν. Εἰ γὰρ καὶ οὐκ ἴσασι τὸν τῶν ὅλων Θεὸν, ἀλλ' οὖν ὅτι πεπλεονέκτηνται παρὰ τοῦ Σατανᾶ, δι' αὐτοῦ τρόπον τινὰ τοῦ πράγματος ἀνακεκράγασι τὴν ἐφ' ἑαυτοῖς που πάντως αἰτοῦντες ἐπικουρίαν. Οὕτω βοῆσαί φαμεν καὶ Αἰ- D γυπτίους πρὸς Θεὸν, διὰ τοὺς θλίβοντας αὐτοὺς, τοῦτ' ἔστι, τοὺς ὑπὸ χεῖρα τὴν ἑαυτῶν πεποιημένους, καὶ ὥσπερ τινὶ πικροτάτῃ δουλείᾳ καταπιέσαντας, δῆλον δὲ ὅτι τοὺς ἀκαθάρτους δαίμονας. Ἀλλὰ πέμψει αὐτοῖς Κύριος ἄνθρωπον ὃς σώσει αὐτούς. Καὶ τίς ὁ ἄνθρωπος, ἢ δηλονότι ὁ Χριστός; τοῦτ' ἔστιν, ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος· οὗτος σέσωκεν οὐκ Αἰγυπτίους μόνον, ἀλλὰ γὰρ καὶ τὴν σύμπασαν γῆν. Σέσωκε δὲ κρίνων· καὶ τί τὸ, κρίνων, ἐστίν; Ἀντὶ τοῦ, δικαίαν ἐπ' αὐτοῖς τὴν κρίσιν ἐκφέρων. Τὸν μὲν γὰρ πλεονεκτήσαντα Σατανᾶν, καὶ σὺν αὐτῷ τοὺς ἀκαθάρτους δαίμονας ψήφοις ὁσίαις ὑποτιθεὶς, σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν μεγάλης ἡμέρας κολασθησομένους τηρεῖν. Τοὺς δέ γε τὴν οὕτως ἀφόρητον ἀνατλάντας

πλεονεξίαν, σέσωκέ τε καὶ ἐξείλετο, καὶ ἰδίους ἀπέφηνε προσκυνητάς, τὸ τῆς ἀληθείας αὐτοῖς ἐναστράψας φῶς· καὶ τοῖς τῆς ἐλευθερίας αὐχήμασι περιβαλών. Οὕτω καὶ αὐτός που φησὶν ὁ Σωτήρ· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου. Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. Κἀγὼ ἐὰν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Ὁρᾷς ὅτι δεδίκακε τῷ κόσμῳ, καὶ τὸν πάλαι τυραννήσαντα κατ' αὐτοῦ Σατανᾶν ἐκβέβληκεν, εἵλκυσέ τε πάντας πρὸς ἑαυτόν. Ἐγνώκασι γὰρ αὐτὸν καὶ Αἰγύπτιοι. Καὶ δὴ καὶ ἐπεγνωκότες ποιοῦσι θυσίας, εὔχονται δὲ καὶ εὐχάς, καὶ εἰς πέρας ἄγουσι τὰ ἐπηγγελμένα. Τοῦτο γάρ ἐστι τὸ διὰ φωνῆς τοῦ Δαβὶδ μελῳδούμενον· « Εὔξασθε καὶ ἀποδῶτε τῷ Κυρίῳ Θεῷ ἡμῶν. » Ὅρα τοίνυν καινότητα πραγμάτων. Οἱ γὰρ πάλαι τοῖς δαιμονίοις καταθύειν εἰωθότες, οἱ τῷ Σατανᾷ προσκομίζοντες B τὰς λατρείας καὶ ἀνατιθέντες χαριστήρια, καὶ μὴν καὶ εὐχάς, ἤγουν ὑποσχέσεις ἀποπληροῦντες ἐσπουδασμένως· πεφωτισμένοι τὸν νοῦν διὰ Χριστοῦ, καὶ τοῖς τῆς ἀληθείας δόγμασιν ἐκλελαμπρυσμένοι, τῆς μὲν ἀρχαίας ἀποδραμοῦνται πλάνης, ἐπεγνωκότες δὲ ἅπαξ τὸν τῶν ὅλων γενεσιουργὸν καὶ Κύριον, αὐτῷ τὴν ἐν πνεύματι προσκομίζουσι λατρείαν, πανάγνους πληροῦντες εὐχάς, καὶ θυσίας ἀναφέροντες, οὐ τὰς δι' αἱμάτων ἔτι καὶ τῆς τῶν ἀλόγων σφαγῆς· πνευματικὰς δὲ μᾶλλον, ὡς ἔφην, καὶ εὐπροσδέκτους διὰ τὸ ἄμωμον.

A ritatis luce eos collustrans, et libertatis ornamento amiciens. Ita etiam ipse dicit alicubi Servator: « Nunc judicium est hujus mundi: nunc princeps mundi hujus ejicietur foras. Et ego si exaltatus fuero de terra, omnes traham ad meipsum [63]. » Viden' illum, mundum judicasse? et Satanam olim contra ipsum tyrannidem exercentem ejecisse? ad se omnes traxisse? Noverunt etenim ipsum Ægyptii. Et ubi agnoverunt, faciunt sacrificia, voventque vota, et quæ sunt promissa exsequuntur. Istud enim est voce Davidis decantatum: « Vovete et reddite Domino Deo nostro [64]. » Intuere itaque novitatem rerum. Qui etenim quondam dæmoniis sacrificare consueverunt, qui Satanam cultu prosecuti sunt, grata consecrarunt carmina, et vota quoque adimpleverunt studiose: illuminati mente per Christum, et veritatis dogmatibus illustrati, ab antiquo errore refugerunt, et agnoscentes semel universitatis procreatorem et Dominum, ipsi in spiritu cultum offerunt, purissima vota implendo, et sacrificia offerendo, non jam per cruorem et brutorum cædem, sed, uti dicebam, spiritualia, et propter immaculatam puritatem accepta.

Καὶ πατάξει Κύριος τοὺς Αἰγυπτίους πληγῇ μεγάλῃ, καὶ ἰάσεται αὐτοὺς ἰάσει· καὶ ἐπιστραφήσονται πρὸς Κύριον, καὶ εἰσακούσεται αὐτῶν, καὶ ἰάσεται αὐτούς.

Ὅταν ἐπισκέπτηται Θεός, πλήττει μὲν ἔσθ' ὅτε C τοὺς ἀνοσίως πεπραχότας, καὶ τὰς ὑπὲρ ὧν εἰς αὐτὸν πεπαρῳνήκασι πράττεται δίκας, ὀνίνησι δὲ σφόδρα κατὰ τοῦτον τὸν τρόπον. Οὐ γὰρ ἡττώμενος ἐπιφέρει τὴν μάστιγα, μετατιθεὶς δὲ μᾶλλον ἐπὶ τὸ ἄμεινον. Ἢ γὰρ ἐκ πλάνης μεθίστησιν εἰς ἀλήθειαν, ἢ καὶ ἀκαθέκτως ἀποκλίνοντας εἰς τὸ πλημμελεῖν τὰ αἴσχιω διδάσκει μεταμανθάνειν, καὶ μεταφοιτᾷν ἐπείγεσθαι πρὸς τὸ ἀρέσκον αὐτῷ. Τοιγάρτοι καὶ ὀνησιφόρον εἰδότες τὸ χρῆμα, τὸ παιδεύεσθαι φημί, κεκράγασι πρὸς αὐτὸν οἱ μακάριοι προφῆται· « Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ. » Καὶ πάλιν· « Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. » Ἔφη δέ που καὶ πρὸς τὴν τῶν Ἰουδαίων συναγωγήν· Πόνῳ καὶ μάστιγι παιδευθήσῃ, Ἱερουσαλήμ. Παιδεύει τοίνυν οὓς D ἂν ἕλοιτο καὶ ἀγαπᾷ. Τοῦτο χαριεῖσθαι καὶ τοῖς Αἰγυπτίοις ὁ προφήτης φησί· Πατάξει γὰρ αὐτοὺς ὁ Κύριος πληγῇ μεγάλῃ, καὶ ἰάσεται αὐτοὺς ἰάσει. Εἰ γὰρ καὶ δέδονται τυχὸν τοῖς Ῥωμαίων στρατηγοῖς, καὶ τὸν πολέμου νόμον ἐξωπλισμένοι κεκρατήκασι τῆς γῆς οἱ ὑπ' αὐτοὺς δορυφόροι, ἀλλ' οὖν τόπον ἐσχηκότες παρ' αὐτοῖς τοῦ θείου κηρύγματος, τὴν μὲν ἐκ τοῦ πεπλανῆσθαι ζημίαν ἀπεφορτίσαντο, μετακεχωρήκασι δὲ πρὸς τὸ θεῖόν τε καὶ οὐράνιον φῶς, καὶ τὴν ἀρχαίαν ἐκείνην ἀποκρουσάμενοι δόξαν, ὑγιᾶ λοιπὸν ἐσχήκασι τὴν καρδίαν. Ἐπιστραφήσονται γὰρ πρὸς Κύριον, καὶ εἰσακούσεται αὐτῶν, τοῦτ' ἔστιν, οἱ πά-

VERS. 22. *Et percutiet Dominus Ægyptios plaga magna, et sanabit eos sanatione. Et convertentur ad Dominum, et exaudiet eos, et sanabit.*

Quando visitat Deus, percutit quidem designantes impia, et quod in eum debacchati sunt, pœnas exigit, sed hac eadem ratione juvat. Non enim ira victus infert flagellum, sed in melius potius convertit. Vel enim ab errore traducit ad veritatem, **297** vel etiam incontinenter declinantes ad turpiter delinquendum, docet resipiscere, et celeriter ad id quod ipsi visum est sese recipere. Igitur cum scirent beati prophetæ rem utilem esse, castigari, inquam, clamarunt ad ipsum: « Castiga nos, Domine, verum in judicio, non in furore [65]. » Et rursum: « Domine, in afflictione meminimus tui, in afflictione exigua castigatio tua nobis. » Dixit etiam Synagogæ Judæorum: In dolore et verbere castigaberis, Jerusalem. Castigat itaque quos eligit et amat [66]. Hoc etiam largiturum Ægyptiis quoque ait propheta: « Percutiet enim eos Dominus plaga magna, et sanabit eos sanatione. » Etsi enim traditi sunt, puta Romanis ducibus, et jure belli armati eorum satellites terram subegerunt: attamen divina prædicatione locum apud eos habente, hoc erroris sui damno levati sunt, et ad divinam ac cœlestem lucem transierunt, et inveterata illa opinione depulsa, sano deinceps corde fuerunt. Convertentur enim ad Dominum, et exaudiet eos, id est, qui olim propter multam impietatem a Deo proscripti erant, de cætero discent non jam idolis abominandis pro his quæ fieri vellent, supplicationes offerre, sed ad

[63] Joan. XII, 31, 32. [64] Psal. XLIX, 14. [65] Jerem. X, 24. [66] Prov. III, 12.

ipsum clamabunt, qui cor sanat contritum. Erit autem non tardus Deus, sed potius ad annuendum illis paratus, propitius et placabilis. Causa igitur efficiens et concilians omnia bona omni homini est, natura ac vere Deum universitatis Creatorem et Dominum agnoscere.

A λαι διὰ πολλὴν ἀσέβειαν ἐν ἀποστροφῇ γεγονότες τῷ παρὰ Θεῷ, μαθήσονται λοιπὸν οὐκέτι τοῖς βδελύγμασι προσάγειν τὰς ἱκεσίας, τὰς ὑπὲρ ὧν ἂν ἕλοιντο ποιεῖσθαι τυχὸν, πρὸς αὐτὸν δὲ μᾶλλον κεκράξονται τὸν ἰώμενον τοὺς συντετριμμένους τὴν καρδίαν. Ἔσται δὲ αὐτοῖς οὐ βραδὺς, ἕτοιμος δὲ μᾶλλον εἰς τὸ κατανεῦσαι Θεὸς, ἵλεώς τε καὶ εὐμενής. Πρόξενον οὖν ἄρα παντὸς ἀγαθοῦ γένοιτ' ἂν ἀνθρώπῳ παντὶ, τὸ εἰδέναι τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, καὶ τὸν τῶν ὅλων Γενεσιουργὸν καὶ Κύριον.

VERS. 23. *Die illa erit via Ægyptiis ad Assyrios, et intrabunt Assyrii in Ægyptum, et Ægyptii vadent ad Assyrios, et servient Ægyptii Assyriis.*

Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ὁδὸς Αἰγυπτίοις πρὸς Ἀσσυρίους. Καὶ εἰσελεύσονται Ἀσσύριοι εἰς Αἴγυπτον, καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυρίους, καὶ δουλεύσουσιν οἱ Αἰγύπτιοι τοῖς Ἀσσυρίοις.

Beatus Paulus de omnium nostrum Servatore Christo scribit quod ipse sit pax nostra [67]. Non enim modo superioribus administris, et sanctis spiritibus terræ incolas conjunxit, sed gentes cum gentibus congredi ac celebrare cœtus inter se instituit. Antequam enim hoc commercium aliorum cum aliis veniret, separatæ erant provinciæ et urbes, crebræ seditiones ac turbationes, bellorum passim impressiones, et vincentium contra victos palmæ ac præmia, et effrenata vis dominabantur, et quosvis quibuscunque **298** modis opprimere, nobile quiddam et sane quam admirabile ducebatur. Cæterum etiam hic nobis pax Christus factus est. Postquam enim evangelicis vaticiniis orbem terrarum collustrans, omnes viam pietatis docuisset, et ut charitatem erga Deum et erga se mutuo amplecterentur, illa antiqua obsoleverunt, vetera recesserunt, et nova facta sunt, sicuti scriptum est; obtinuit enim pax ubique gentium. Hoc etiam est, opinor, quod et alibi dicit propheta Isaias de omnibus gentibus: « Et concident gladios suos in aratra, et lanceas suas in falces, et non tollet gens in gentem gladium, et non discent amplius bellare [68]. » Nam cum uni jugo parerent omnes, spiritualiter quidem Dei, corporaliter autem Romanorum: sedatam et inturbidam et belli expertem vitam vivunt, ut, omni liberati metu, etiam olim inimicissimi, alii cum aliis animorum conjunctione consentiant. Ægyptiis enim, inquit, via erit ad Assyrios, et Assyriis ad Ægyptios, et ibunt Ægyptii ad Assyrios, et servient Ægyptii Assyriis, non ut illis jugum servitutis injiciant, sed ut amoris vinculo captos et comprehensos teneant, et suavissimas societates coeant. Assyrios nominat orientalem regionem incolentes.

Ὁ μακάριος γράφει Παῦλος περὶ τοῦ πάντων B ἡμῶν Σωτῆρος Χριστοῦ, ὅτι αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν. Οὐ γὰρ μόνον τοῖς ἄνω πνεύμασι λειτουργικοῖς καὶ ἁγίοις συνῆψε τοὺς ἐπὶ τῆς γῆς, ἀλλὰ γὰρ ἔθνεσιν ἔθνη συμβῆναι παρεσκεύασεν. Πρὸ μὲν γὰρ τῆς ἐπιδημίας, τῆς εἰς ἄλληλα ἐπιμιξίας, ἀπενοσφίζετο χώρα τε καὶ πόλις, συχναί τε ἦσαν ἐξαναστάσεις καὶ πολέμων ἔφοδοι πανταχοῦ καὶ τῶν ἰσχυόντων ἆθλα τὰ τῶν ἡττωμένων, καὶ ἀνουθέτητος ἡ πλεονεξία, καὶ τὸ ἀδικεῖν οὓς ἂν δύναιτό τις, εὐκλείας εἶναί τι, καὶ τῶν ὅτι μάλιστα θαυμαστῶν ἐνομίζετο. Ἀλλὰ γέγονεν ἡμῖν εἰρήνη, καὶ κατὰ τοῦτο Χριστός. Ἐπειδὴ γὰρ τοῖς εὐαγγελικοῖς θεσπίσμασιν περιαστράπτων τῇ ὑπ' οὐρανὸν, ἐδίδαξεν ἅπαντας τῆς εὐσεβείας τὴν ὁδὸν, καὶ τῆς εἰς Θεὸν καὶ ἀλλήλους ἀγάπης ἀντέχεσθαι, πέπαυται μὲν ἐκεῖνα πάλαι, C παρῴχηκε δὲ τὰ ἀρχαῖα, καὶ γέγονε καινὰ, καθὰ γέγραπται. Κεκράτηκε γὰρ ἡ εἰρήνη πανταχοῦ. Καὶ τοῦτο, οἶμαι, ἐστὶν, ὃ καὶ ἑτέρωθί πού φησιν ὁ προφήτης Ἡσαΐας περὶ πάντων τῶν ἐθνῶν· « Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ μὴ ἄρῃ ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. » Γεγονότες γὰρ ἅπαντες ὑπὸ ζυγὸν ἕνα, πνευματικῶς μὲν τὸν ὑπὸ Θεῷ, σωματικῶς δὲ τὸν ὑπὸ Ῥωμαίοις, τὸν ἠρεμαῖον καὶ ἀσύγχυτον, καὶ πολέμου δίχα διαζῶσι βίον, ὥστε παντὸς ἐξῃρημένου δείματος, καὶ τοὺς πάλαι πολεμιωτάτους ἀλλήλοις συμφέρεσθαι πρὸς ὁμοψυχίαν. Αἰγύπτιοι γὰρ, φησὶν, ὁδὸν ἕξουσι πρὸς Ἀσσυρίους, καὶ Ἀσσύριοι πρὸς Αἰγυπτίους. Καὶ πορεύσονται Αἰγύπτιοι πρὸς Ἀσσυρίους, καὶ D δουλεύσουσιν οἱ Αἰγύπτιοι τοῖς Ἀσσυρίοις, οὐ ζυγὸν δουλείας ἐπιῤῥιπτούντων ἐκείνων, ἀλλὰ τοὺς τῆς ἀγάπης δεσμοὺς ἐνειλημμένους ἔχοντας, καὶ ἡδείστας ποιουμένους τὰς ἐπιμιξίας. Ἀσσυρίους γε μὴν ὀνομάζει τοὺς τὴν ἕω οἰκοῦντας χώραν.

VERS. 24, 25. *Die illa erit Israel tertius inter Assyrios et Ægyptios benedictus in terra cui benedixit Dominus Sabaoth, dicens: Benedictus populus meus qui in Ægypto, et qui in Assyriis, et hæreditas mea Israel.*

Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Ἰσραὴλ τρίτος ἐν τοῖς Ἀσσυρίοις καὶ ἐν τοῖς Αἰγυπτίοις εὐλογημένος ἐν τῇ γῇ, ᾗ εὐλόγησεν ὁ Κύριος Σαβαὼθ λέγων· Εὐλογημένος ὁ λαός μου ὁ ἐν Αἰγύπτῳ, καὶ Ἀσσυρίοις, καὶ ἡ κληρονομία μου Ἰσραήλ.

Dicitur Israel primogenitus inter filios. Cum autem in Christum debaccharentur, gentibus subditi sunt, et secundam velut classem sortiti sunt. Illa-

Ὠνόμασται μὲν ὁ Ἰσραὴλ πρωτότοκος ἐν τέκνοις. Ἐπειδὴ δὲ πεπαρῴνηκεν εἰς Χριστὸν, κατόπιν τέθειται τῶν ἐθνῶν, καὶ δευτέραν ὥσπερ μετεκληρώσατο

[67] Ephes. II, 14. [68] Isa. II, 4.

τάξιν. Τετήρηται γὰρ καὶ αὐτῷ τῆς ἐπιστροφῆς ὁ καιρός. Γέγραπται γοῦν, ὅτι « Ὅταν δὲ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται. » Ἄθρει δὴ οὖν, ἄθρει τρίτον ἐν τούτοις ὠνομασμένον, ἐν τοῖς Ἀσσυρίοις καὶ Αἰγυπτίοις. Ἀσσυρίους δέ φησιν ἐν τούτοις, ὡς ἔφην, τοὺς κατά γε τὴν ἑῴαν ἅπασαν γῆν, μάλιστα δὲ τὴν μέσην τῶν ποταμῶν, ἐν ᾗ καὶ εἶναί φασι γνησίους προσκυνητὰς, καὶ ἀδελφὴν καὶ γείτονα τῆς Αἰγυπτίων ἐπιτηδεύοντας ἄσκησιν, ὡς ἰσάμιλλον ἔχειν τήν τε εἰς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἔφεσίν τε καὶ προθυμίαν, καὶ μέν τοι καὶ ἀρετήν. Τοιγάρτοι φησὶν ὁ τῶν ὅλων Θεός· Εὐλογημένος ὁ λαός μου, ὁ ἐν Αἰγύπτῳ καὶ ἐν Ἀσσυρίοις· ἐπαριθμεῖται δὲ τρίτος ὁ Ἰσραήλ. Προσεπάγει γὰρ ὅτι Καὶ κληρονομία μου Ἰσραήλ. Καὶ τούτου δὲ τὴν πρόφασιν προαπέδειξεν ἡμῖν ὁ λόγος· κεκυριοκτόνηκε γὰρ καὶ τέθειται εἰς νῶτον, καθά φησιν ὁ Δαβίδ. Καὶ ἐν τοῖς περιλοίποις γέγονεν ὁ πρωτότοκος.

A bent enim et illi destinatum sibi tempus suæ conversionis. Nam scriptum est : « Quando vero plenitudo gentium intraverit, tum omnis Israel salvus erit [69]. » Contemplare igitur, contemplare in his tertium denominatum inter Assyrios et Ægyptios. Assyrios hic dicit, ut aiebam, qui totam velut orientalem terram occupant, maxime eam quæ inter fluvios sita est, in qua etiam germanos et ingenuos adoratores esse ferunt, qui et cognatam et vicinam Ægyptiorum excolunt disciplinam, ita ut in bonarum rerum studio, alacritate et virtute **299** æquo prorsus marte decertare videantur. Proinde dicit universitatis Deus : Benedictus populus meus qui est in Ægypto, et qui in Assyriis, numeraturque tertius Israel. Subdit enim : Hæreditas mea

B Israel. Causam autem præsignificavit nobis oratio ; Dominum enim occidit, et positus est in tergum, quemadmodum ait David [70], et in reliquiis censetur primogenitus.

Τοῦ ἔτους οὗ εἰσῆλθεν Ταναθὰν εἰς Ἄζωτον, ἡνίκα ἀπεστάλη ὑπὸ Ἀρνὰ βασιλέως Ἀσσυρίων, καὶ ἐπολέμησε τὴν Ἄζωτον, καὶ κατελάβετο αὐτὴν, τότε ἐλάλησε Κύριος πρὸς Ἡσαΐαν λέγων· Πορεύου καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου, καὶ τὰ σανδάλιά σου ὑπόλυσαι ἀπὸ τῶν ποδῶν σου· καὶ ἐποίησεν οὕτως, πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος. Καὶ εἶπε Κύριος· Ὃν τρόπον πεπόρευται Ἡσαΐας ὁ παῖς μου γυμνὸς καὶ ἀνυπόδετος, τρία ἔτη ἔσται σημεῖα καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ Αἰθίοψιν· ὅτι οὕτως ἄξει βασιλεὺς Ἀσσυρίων τὴν αἰχμαλωσίαν Αἰγύπτου καὶ Αἰθιόπων. Νεανίσκους καὶ πρεσβυτέρους, τὴν αἰσχύνην Αἰγύπτου.

CAP. XX. VERS. 1-4. *Anno quo ingressus est Tanathan in Azotum, quando missus ab Arna rege Assyriorum, et Azotum aggressus est et cepit, tunc locutus est Dominus Isaiæ, dicens : Vade, et exue a lumbo tuo saccum, et calceos tuos detrahe de pedibus tuis. Et fecit sic, incedens nudus et discalceatus. Et dixit Dominus : Quemadmodum ambulat Isaias servus meus nudus et discalceatus, sic tribus annis erunt signa et prodigia Ægyptiis et Æthiopibus, quia sic ducet rex Assyriorum captivitatem Ægypti et Æthiopum juvenes senesque nudos et*

C *discalceatos, opertos dedecore Ægypti.*

γυμνοὺς καὶ ἀνυποδέτους, ἀνακεκαλυμμένους

Διαπεράνας εὖ μάλα τὸν ἐπὶ τοῖς Αἰγυπτίοις λόγον, καὶ τίνα τρόπον κεκλήσονται διὰ πίστεως εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν προηγορευκὼς, οἰκονομεῖ τι πάλιν τῶν ὅσαπερ ἦν χρήσιμά τε καὶ ἀναγκαῖα πρὸς ὄνησιν τοῖς ἐξ Ἰσραήλ· καὶ ποῖα δὴ ταῦτά ἐστιν, ὡς ἐν βραχέσιν ἐρῶ. Ἀφειδήσαντες γὰρ καὶ αὐτῆς τῆς εἰς τὸν διὰ Μωϋσέως νόμον αἰδοῦς, καὶ μὴν καὶ τῆς εἰς Θεὸν ἀγάπης ὀλιγωρήσαντες, ἀσυνετώτατα κατεφέροντο πρός γε τὸ δεῖν εἰς πολύθεον καθικέσθαι πλάνησιν, καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν λατρεῦσαι. Τοῖς δὲ ἅπαξ εἰς τοῦτο γνώμης ὠλισθηκόσιν ἀνεπιτήδευτον ἦν τῶν φαύλων οὐδέν. Ταύτης ἕνεκα τῆς αἰτίας ἐπηφίει πλειστάκις αὐτοῖς ὁ τῶν ὅλων Θεὸς πολέμους καὶ μάχας, τοῦτο μὲν τοὺς ἀπό γε τῶν ὁμόρων ἐθνῶν, τοῦτο δὲ τοὺς παρὰ Περσῶν τε καὶ Μήδων· οἱ δέ γε τῆς Ἰουδαίας κατεξανιστάμενοι, τὰ ἕτερα τῶν ἐθνῶν προκαταδῃοῦντες ἔσθ' ὅτε, δεινοῖς καὶ ἀφορήτοις δείμασιν ὁμιλεῖν παρεσκεύαζον τοὺς ἐξ Ἰσραήλ. Οἱ δὲ καίτοι δέον τὸν τῶν ὅλων ἐκμειλίσσεσθαι Θεὸν, καὶ ἀνοσίων μὲν ἀποφοιτᾶν σπουδασμάτων, μεταχωρῆσαι δὲ μᾶλλον ἐπὶ τὸ αὐτῷ δοκοῦν, καὶ ἀπολογεῖσθαι λελυπημένῳ, διά γε τῆς ἐκ τῶν αἰσχιόνων εἰς τὸ ἄμεινον μεταδρομῆς, οὕτω τε τὴν παρ' αὐτοῦ καὶ μόνου σωτηρίαν ἐπιζητεῖν, καὶ τὴν

Cum sermoni de Ægyptiis finem optime imposuerit, et quemadmodum vocandi essent per fidem ad veritatis agnitionem prædixerit, rursus quod Israelitis perutile et pernecessarium est, apte intexit. Ea quæ sint paucis dicam. Contempta enim ipsius legis Mosaicæ religione, et charitate in Deum spreta, eo devoluti sunt imprudentissime, ut errore multorum deorum involverentur, et suarum manuum operibus servirent. Quo semel in animum demisso, nihil malorum non aggrediebantur. Qua de causa sæpenumero universitatis Deus bellis et

D præliis eos vexavit, cum per finitimas gentes, tum per Persas et Medos : qui in Judæam impressione facta aliis gentibus prius vastatis, Israelitas gravi et intolerando metu non raro exanimarunt. Hi vero cum universitatis Deum emollire et placare, et ab impiis studiis pedem referre, et potius ad Dei placitum se conferre, et se ei offenso purgare, atque a turpioribus ad meliora confugere, et ita ab eo salutem, et quidem **300** solam quærere, manumque semper conservantem et vindicantem expetere deberent : id sane miselli non fecerunt, sed corrogatis et emendicatis ab hominibus auxiliis, interdum finitimos quosdam ad hoc evocarunt, interim et

[69] Rom. xi, 25. [70] Psal. xx, 13.

vicinos Ægyptios, addentes iniquitatem iniquitati suæ, uti scriptum est [71]: et hoc ipso Deum omnipotentem ad iram exstimularunt. Dixit siquidem per unum e sanctis prophetis: « Et erat Ephraim columba amens, cor non habens; invocavit Ægyptum, et ad Assyrios profecti sunt [72]. » Quin et per ipsum prophetam Isaiam: « Væ descendentibus in Ægyptum pro subsidio, qui in equis confisi sunt et curribus. Sunt enim multi, et eorum qui equis insident multitudo magna. Et non confisi sunt Sancto Israelis, et Deum non exquisiverunt; et sapienter ipse inflixit illis mala, et verbum ejus non frustrabitur [73]. » Cum igitur Tanatha regis Assyriorum dux oppugnasset Azotum, vique cepisset (erat autem hæc regioni Judæorum vicina), exspectarunt Israelitæ se jamjam etiam citra laborem similia esse perpessuros. Hanc ob causam Ægyptiorum manu conducta, ad ferendum ipsis subsidium, Assyriorum phalangibus se voluerunt opponere. Vanam ergo esse eorum spem declarat Deus, et clare prædicit fore ipsos prædam Assyriorum potentiæ, et successu temporum capiendos, et captivorum in numero ac loco futuros. Ferunt enim Ægyptum fuisse sub manu Assyriorum diversis temporibus, et continuis tribus annis commisso cum ea prælio, vi totam cepisse, ac magna turba captivorum comitante suam in patriam rediisse. Præcipit ergo Deus prophetæ ut habitum captivis convenientem et consuetum sumat, id est, nuditatem et discalceationem. Nam victores captivorum non magnam plane rationem habent: hique eo miseriæ prolapsi, etsi essent juxta carnem nobiles, etsi ex infima plebe, uno calamitatis lino involvuntur, non vestem habentes, nec aliud quid vel ad ornatum, vel ad refocillationem ipsorum pertinens, sed ad hunc contemptum ex libidine capientium coguntur accedere. Jubetur itaque, ut dixi, divinus propheta saccum detrahere lumbo suo, et sandalia solvere, et mediam Jerusalem transire nudum et sine calceis. **301** Idque fecit non admodum sollicitus quomodo elegans aut venustus appareat: Deique decreto nihil adjecit, licet id grave et reprehensioni expositum videretur. Sed forte dixerit quispiam: Cur non præmonstravit potius Israelitis ea quæ processu temporum contingerent Ægyptiis? cur adeo nudus ac discalceatus tam celebris propheta ambulavit, omni conveniente cultu neglecto? Ad hoc dicimus nos prophetarum sermonibus non obtemperasse, imo cum prædicerent futura, increpasse: « Alia, inquiunt, nobis loquimini, et annuntiate nobis alium errorem [74]. » Hinc prudens hic vir, modestus, et omni virtute cumulatus, ac prophetiæ dono quasi coronatus, et in meditatione illustris, ipsum adeo saccum exuit, non mollem sane aut splendidam vestem, sed crassam potius et vilem; ipsa etiam solvit pedum calceamenta, tali habitu ingrediens, ut qui ipsum videant, hoc mirentur, causasque sci-

A ἀεὶ σώζουσάν τε καὶ ἐπαμύνουσαν χεῖρα· τοῦτο μὲν οὐχ ἔδρων οἱ δείλαιοι, ἐρανιζόμενοι δὲ τὰς ἐξ ἀνθρώπων ἐπικουρίας, ποτὲ μὲν τῶν ὁμόρων τινὰς ἐκάλουν εἰς τοῦτο, ποτὲ δὲ τοὺς γείτονας Αἰγυπτίους, προστιθέντες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καθὰ γέγραπται, καὶ καταθήγοντες ὡς εἰς ὀργὰς καὶ ἐπ' αὐτῷ δὴ τούτῳ τὸν πάντα ἰσχύοντα Θεόν. Καὶ γοῦν ἔφη δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Καὶ ἦν Ἐφραῒμ περιστερὰ ἄνους, καὶ οὐχ ἔχουσα καρδίαν· Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν. » Καὶ μὴν καὶ δι' αὐτοῦ τοῦ προφήτου Ἡσαΐου· « Οὐαὶ, οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες καὶ ἐφ' ἅρμασιν. Ἔστι γὰρ πολλὰ καὶ ἐφ' ἵπποις πλῆθος σφόδρα· καὶ οὐχ ἦσαν πεποιθότες ἐπὶ τὸν Ἅγιον τοῦ Ἰσραὴλ, καὶ τὸν Θεὸν οὐκ B ἐξεζήτησαν· καὶ αὐτὸς σοφὸς ἦγεν ἐπ' αὐτοὺς κακὰ, καὶ ὁ λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ. » Τοῦ τοίνυν Ταναθὰν, στρατηγὸς δὲ οὗτος βασιλέως Ἀσσυρίων, πολεμήσαντος τὴν Ἄζωτον, ἑλών τε κατὰ κράτος αὐτήν· γείτων δὲ αὕτη τῇ τῶν Ἰουδαίων χώρᾳ· προσεδόκουν οἱ ἐξ Ἰσραὴλ, αὐτίκα δὴ μάλα καὶ αὐτοὶ καὶ λίαν ἀμογητὶ τὰ ἴσα παθεῖν. Ταύτης τε ἕνεκα τῆς αἰτίας τὴν Αἰγυπτίων χεῖρα καταμισθούμενοι πρὸς τὸ ἐπαμύνειν αὐτοῖς ταῖς Ἀσσυρίων φάλαγξιν ἀντεξάγειν ἤθελον. Ματαίαν τοίνυν αὐτῶν ἀποφαίνει τὴν ἐλπίδα Θεός· προαγορεύει δὲ σαφῶς, ὅτι τῆς Ἀσσυρίων δυνάμεως ἔργον[ἄγρα]ἔσονται καὶ αὐτοὶ, ἁλώσονταί τε κατὰ καιροὺς, καὶ ἐν δορυκτήτων ἔσονται τάξει. Φασὶ γὰρ ὅτι γέγονεν ὑπὸ χεῖρα βασιλέως Ἀσσυρίων κατὰ καιC ροὺς ἡ Αἰγυπτίων· καὶ ἐν ὀλίγοις ἔτεσι τρισὶν ἐγκαθεσθεὶς αὐτῇ, πᾶσάν τε ἑλὼν κατὰ κράτος, πλείστην ὅσην ἔχων αἰχμαλωσίαν, ὑπενόστησεν εἰς τὴν ἑαυτοῦ. Ἐπιτάττει τοίνυν τῷ προφήτῃ Θεὸς, τὸ τοῖς αἰχμαλώτοις πρέπον τε καὶ σύνηθες σχῆμα λαβεῖν· τοῦτ' ἔστι, γυμνότητά τε καὶ ἀνυποδεσίαν. Τοῖς γὰρ ὅλως νενικηκόσιν οὐ πολὺς τῶν ἑαλωκότων ὁ λόγος· οἱ δὲ εἰς τοῦτο πεσόντες ταλαιπωρίας, κἂν εἴτε τινὲς εἶεν τῶν εὐγενῶν κατὰ σάρκα, κἂν εἴτε τῆς ἀγελαίου πληθύος, ἑνὶ τῷ τῆς ἀθλιότητος συνέχονται λίνῳ, οὐκ ἄμφιον ἔχοντες, ἤγουν ἕτερόν τι τῶν τελούντων εἰς κόσμον αὐτοῖς ἢ ἀνάπαυσιν, ἀτημελῶς δὲ οὕτως πρὸς πᾶν ὁτιοῦν τοῖς ἑλοῦσι καταθυμίων, ὡς ἐξ ἀνάγκης ἐρχόμενοι. Προστάττεται τοίνυν, ὡς ἔφην, ὁ θεσπέσιος προφήτης, ἀφελεῖν τὸν σάκκον ἀπὸ τῆς ὀσφύος D αὐτοῦ, ὑπολύσασθαί τε τὰ σανδάλια, καὶ διὰ μέσης ἰέναι τῆς Ἱερουσαλὴμ γυμνὸς καὶ ἀνυπόδετος. Ἔδρα δὲ τοῦτο τοῦ δοκεῖν εὐσχήμων εἶναί τις, οὐ σφόδρα πεφροντικὼς, καὶ τῶν ἀρεσκόντων Θεῷ προστιθεὶς οὐδὲν, κἂν εἰ φαίνοιτό τι βαρὺ καὶ μώμου μεστόν. Ἀλλ' ἴσως πρὸς τοῦτο ἐρεῖ τις· Διὰ τί γὰρ μὴ μᾶλλον προηγόρευσε μόνον τοῖς ἐξ Ἰσραὴλ τὰ συμβησόμενα τοῖς Αἰγυπτίοις κατὰ καιρούς; Πεπόρευται δὲ οὕτως γυμνός τε καὶ ἀνυπόδετος ὁ διαβόητος ἐν προφήταις, τῆς αὐτῷ πρεπούσης εὐκοσμίας ἠφειδηκώς. Πρὸς δὴ τοῦτό φαμεν ὅτι τοῖς τῶν προφητῶν οὐκ ἐπείθοντο λόγοις, μᾶλλον δὲ καὶ ἐπετίμων τοῖς προαγορεύειν ἐθέλουσι τὰ ἐσόμενα, λέγοντες· « Ἄλλο

[71] Isa. xxx, 1 seqq. [72] Osee vii, 11. [73] Isa. xxxi, 1, 2. [74] Isa. xxx, 10.

ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν.» A Ταύτῃ τοι καὶ μάλα σαφῶς ὁ σώφρων, ὁ κόσμιος, καὶ ἀρετῆς ἁπάσης ἔμπλεως, ὁ προφητικῇ κατεστεμμένος χάριτι, καὶ ἐν ἀσκήσει περιφανής, καὶ αὐτὸν ἀποδύεται τὸν σάκκον, οὐ τρυφερὸν ἱμάτιον, παχὺ δὲ μᾶλλον καὶ εὐτελές· ἀπολύει δὲ καὶ τῶν ποδῶν τὰ σανδάλια, καὶ ἐν τῷ τοιῷδε βαδίζει σχήματι· ἵν' αὐτὸ δὴ τοῦτο θαυμάζοντες οἱ ὁρῶντες αὐτὸν, ἀναπυνθάνωνται τὰς αἰτίας, καὶ ἐφ' ὅτῳ τοῦτο πέπραχεν εἰδέναι σπουδάζοντες, πληροφορηθεῖεν· ὅτι ματαίαν ἔχουσι τὴν ἐπ' ἀνθρώποις ἐλπίδα· καὶ χρῆν δὴ που μᾶλλον αὐτοὺς γλίχεσθαι μὲν τῆς ἄνωθεν εὐημερίας, ἐπίκουρον δὲ ποιεῖσθαι φιλεῖν τὸν ἀεὶ σεσωκότα Θεόν. Γυμνοῦ τοίνυν καὶ ἀνυποδέτου περινοστοῦντος τὴν Ἰουδαίαν τοῦ μακαρίου προφήτου, καὶ πτοίας ἐγγινομένης τοῖς ὁρῶσιν αὐτὸν οὐ μικρᾶς, Εἶπεν, φησὶ, B Κύριος· Ὃν τρόπον πεπόρευται Ἡσαΐας ὁ παῖς μου, γυμνὸς καὶ ἀνυπόδετος, τρία ἔτη ἔσται σημεῖα καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ Αἰθίοψιν. Ὡς γὰρ ἔφην φθάσας, ἐν ὀλίγοις ἔτεσι τρισὶ καταδῃώσας τὴν Αἰγυπτίων ὁ τῶν Ἀσσυρίων βασιλεὺς, καὶ μὴν καὶ τοὺς προσοικοῦντας Αἰθίοπας αὐτῇ, καὶ τῇ Θηβαίων γείτονας, πλείστην ἔχων αἰχμαλωσίαν, καὶ ταῖς Αἰγυπτίων ἐναπαταλήσας συμφοραῖς· τότε δὴ τότε λαμπρὸς οἴκοι πάλιν ἀνεκομίζετο.

scitentur, et scire cupientes cur hoc fecerit, vanam se spem habuisse in hominibus, exploratum habeant: cum oportuisset potius, e supernis favorem ambire, Deumque sibi conciliare adminiculatorem, qui semper servavit. Proinde nudo et sine calceis perambulante Judæam beato propheta, cum spectatoribus non exiguus timor incuteretur, Dixit Dominus, inquit: Quemadmodum ambulat Isaias puer meus nudus et discalceatus, sic tribus annis erunt signa et prodigia in Ægyptios et Æthiopes. Nam, ut superius dixi, cum Assyriæ rex triennio toto Ægyptum, Æthiopesque vicinos, et Thebanorum terram accolentes depopulatus, complures captivos haberet, Ægyptiorum calamitatibus exsultans et insolescens: tunc, tunc illustris domum iterum reducitur.

Καὶ ἡττηθήσονται αἰσχυνθέντες οἱ Αἰγύπτιοι ἐπὶ τοῖς Αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποιθότες οἱ Αἰγύπτιοι· ἦσαν γὰρ αὐτοῖς δόξα. Καὶ ἐροῦσιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ· Ἰδοὺ ἡμεῖς ἦμεν πεποιθότες, τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν, καὶ οὐκ ἠδύναντο σωθῆναι ἀπὸ βασιλέως Ἀσσυρίων, καὶ πῶς ἡμεῖς σωθησόμεθα;

VERS. 5, 6. *Et erubescent victi super Æthiopibus, quibus confisi sunt Ægyptii; erant enim eis gloria. Et dicent habitatores insulæ istius: Ecce nos confisi sumus, ut confugeremus ad eos in auxilium, qui non potuerunt defendi contra regem Assyriorum. Et quo pacto servabimur nos?*

Τὰ πρόσοικα τῇ Θηβαίων ἔθνη βάρβαρα, Βλέμμυες δὲ οὗτοι, οἳ καὶ εἰσὶν Αἰθίοπες, εὐτεχνέστατα μὲν τὰς C βελῶν ἀφαιρέσεις ποιεῖσθαι μεμελετήκασι. Φαρμάκῳ δὲ ταύτας ἀποχρίοντες ὀλεθριωτάτῳ ἐπαφιᾶσι τοῖς μαχομένοις· κἂν εἰ προσψαύσειαν, τεθνήξεται πάντως ὁ πληγεὶς, καὶ ὥσπερ τις ὀφιόδηκτος γεγονὼς παραχρῆμα πεσεῖται. Ἦν οὖν ἐν ἔθει καὶ τριβῇ Αἰγυπτίοις, πολέμου καὶ μάχης ἐπηρτημένων, τὰς τῶν Αἰθιόπων καταμισθοῦν τε φάλαγγας, καὶ μέγα φρονεῖν ἐπ' αὐτοῖς· ἀλλ' ἥλωσαν σὺν αὐτοῖς τῆς τῶν Ἀσσυρίων ἀνδρείας ἡττώμενοι. Αἰσχυνθήσονται τοίνυν οἱ Αἰγύπτιοι, φησὶν, ἐπὶ τοῖς Αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποιθότες. Κατειλημμένων γὰρ καὶ αὐτῶν καὶ νενικημένων, ἐροῦσιν οἱ ἐν τῇ νήσῳ ταύτῃ κατοικοῦντες· Ἰδοὺ ἡμεῖς ἦμεν πεποιθότες ποτὲ τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν, οἳ οὐκ ἠδύναντο σωθῆναι ἀπὸ βασιλέως Ἀσσυρίων· καὶ πῶς ἡμεῖς σωθησόμεθα; Νῆ- D σον μὲν οὖν τὴν Αἴγυπτον ὀνομάζει, διά τοι τὸ εἶναι περίῤῥυτον ποταμοῖς, καὶ λίμναις ὑδάτων διεζῶσθαι πανταχοῦ· εἰσκομίζει γε μὴν τοὺς ἐνοικοῦντας αὐτὴν, τῆς ἐπὶ τοῖς Αἰθίοψιν ἐλπίδος καταγινώσκοντας. Εἰ γὰρ ἥλωσαν αὐτοὶ, φησὶν, πῶς ἂν ἐκσώσειαν τοὺς ἐπ' αὐτοῖς πεποιθότας; Ἀγαθὸν οὖν ἄρα τὸ ἐλπίζειν ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον· καὶ ὥς φησιν ὁ προφήτης Ἱερεμίας· «Ἐπικατάρατος μὲν ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίζει σάρκα βραχίονος αὐτοῦ· εὐλογημένος γε μὴν, ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ.» Ἀεὶ δέ πως ἡμᾶς ὁ προφητικὸς ὀνίνησι λόγος· κἂν

Accolæ Thebanorum sunt gentes barbaræ, Blemmyes, qui idem sunt Æthiopes, **302** homines peritissimi, telis mittendis atque torquendis exercitati, quæ veneno perniciosissimo inuncta, in eos quibuscum congrediuntur ejaculabantur: si tetigerint, percussus omnino moritur, et perinde atque a serpente morsus, confestim concidit. Erat igitur in more et consuetudine Ægyptiis, bello et pugna ingruente, Æthiopicas phalanges conductitias corrogare, et de illis plurimum superbire; verum cum illis capti sunt fortitudine Assyriorum devicti. Erubescent igitur, inquit, Ægyptii in Æthiopibus quibus fidebant. Captis enim illis et superatis, dicent ejus insulæ habitatores: Ecce nos confisi eramus ut confugeremus ad eos auxilii gratia, qui non potuerunt contra regem Assyriorum defendi; quonam pacto servabimur nos? Insulam igitur Ægyptum nominat, eo quod fluminibus circumfluat et stagnis aquarum undique cingatur. Introducit ejus habitatores seipsos spei in Æthiopibus collocatæ damnantes. Si etenim, inquit, capti sunt ipsi, confisos sibi qui servare poterunt? Melius est ergo sperare in Domino, quam confidere in homine, et, ut dicit Jeremias propheta: «Maledictus homo qui spem habet in homine, et innititur carni brachii sui: benedictus qui fidit Domino, et erit Dominus spes ejus [74].» Oratio autem prophetica nobis semper utilis est, et quanquam forte spiritualem enarrationem non habeat hæc historia, tamen haud exiguus fructus inde pervenit.

[74] Jerem. XVII, 5, 7.

Paulus enim dicit hæc figurate contigisse majoribus, ad nostram quoque admonitionem esse conscripta [75].

VISIO DESERTI.

Terminato pulcherrime sermone, qui de Ægyptiis inquam habitus est, cum a propheta, quando et quomodo per fidem ad agnitionem veri Dei vocarentur expositum sit : ad aliam visionem se confert, de eremo : nec simpliciter hic terræ desertæ et desolatæ facit mentionem, sed eremum vocat Babyloniam, quæ cum olim innumerabiles haberet incolas fortes et pugnacissimos, ira e supernis illata sic devastata est, ut omnino viris vacua remaneat, cum Cyrus Cambysis filius oppugnaret Babyloniam : **303** cujus et alibi meminit propheta, inquiens : « Sic dicit Dominus uncto meo Cyro, cujus apprehendi dexteram, ut audiant coram eo gentes : et civitates non concludentur [76]. » Hic illam superbam quondam, et contra omnem gentem elevatam, et in pugnis formidabilem, Babylonem, inquam, vi occupavit : facit autem et nunc propheta ejus mentionem et desertum nominat. Quomodo autem eo calamitatis delapsa sit, duabus de causis manifeste narrat, ut quidem ego censeo : vel ut Judæos a spe in illis collocata abducat : « Erat enim Ephraim columba amens, » quemadmodum ait alius e prophetis [77] : « Ægyptum invocavit, et ad Assyrios profecti sunt : » vel ut contristatos consoletur, quia vastata eorum regione, et exusto ipsorum templo, Babylonem captivi abducti sunt cum uxoribus et liberis. Quo quidem perspicue docet, si ex præscripto legis vivere instituant, et divinarum præceptionum germani et ingenui custodes esse velint, Deum vastatores illos aggressurum. Narrationem igitur instituit propheta, habetque visionis contextus enallagen, et imitationes personarum. Nunc enim velut futurorum oculatus testis, et spectator a Deo sibi ostensa enarrat : nunc et quid temporum decursu et delapsu contingeret, spiritu prophetico ante denuntiat : nunc introducit insuper personam Babyloniorum, sese ob tam acerbas et inopinatas calamitates deplorantium. Proinde quasi contemplatus Persarum, et Medorum, et Elamitarum, contra Babylonem expeditionem, ita ait : Obequitabunt et peragrabunt eremum.

Cap. XXI. Vers. 1. *Sicut venti tempestas desertum pertransit.*

Pulverem excitans, et omnia susque deque miscens. Addit :

Vers. 2. *Horribilis visio, et dura annuntiata est mihi.*

Sufficit enim nudum et solum hostium spectaculum, et virorum bellicosorum multitudo fortissima

A εἰ μὴ ἔχοι τυχὸν πνευματικῆς ἀφηγήσεως τρόπον ἡ ἱστορία, ἀλλ' οὖν τὸ ἐξ αὐτῆς ὄφελος οὐ βραχύ. Φησὶ γὰρ ὁ Παῦλος, τυπικῶς συμβαίνειν τοῖς ἀρχαιοτέροις, γεγράφθαι γε μὴν πρὸς νουθεσίαν ἡμῶν.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΕΡΗΜΟΥ.

Διαπεράνας εὖ μάλα τὸν ἐπί γέ φημι τοῖς Αἰγυπτίοις λόγον, ηνίκα τε καὶ ὅπως κεκλήσονται διὰ πίστεως πρὸς ἐπίγνωσιν τοῦ κατ' ἀλήθειαν ὄντος Θεοῦ διειπὼν ὁ προφήτης, μεταφοιτᾷ πρὸς ἑτέραν ὅρασιν τὴν περὶ τῆς ἐρήμου· καὶ οὐχ ἁπλῶς γῆς ἡμῖν ἐν τούτοις ἀοικήτου καὶ ἐρήμης ποιεῖται μνήμην· ἀλλὰ γὰρ ἔρημον ὀνομάζει τὴν Βαβυλωνίων, ἣ ποτε μὲν ἀριθμοῦ κρείττονας εἶχε τοὺς οἰκήτορας, δεινούς τε καὶ μαχιμωτάτους· ἠρημώθη δὲ οὕτως, ὀργῆς αὐτῇ B τῆς ἄνωθεν ἐπενηνεγμένης, ὡς κένανδρον ἀπομεῖναι παντελῶς καταστρατεύσαντος τῆς Βαβυλωνίων Κύρου τοῦ Καμβύσου. Οὗ καὶ ἑτέρωθι διαμνημονεύει λέγων ὁ προφήτης· « Οὕτως λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη. Πόλεις οὐ συγκλῃθήσονται. » Οὗτος εἷλε κατὰ κράτος τὴν ἀλαζόνα ποτὲ καὶ κατὰ παντὸς ἔθνους ἐπαιρομένην, καὶ δυσάντητον ἐν μάχαις, τὴν Βαβυλῶνά φημι. Ποιεῖ δὲ μνήμην καὶ νῦν ὁ προφήτης αὐτῆς, καὶ ἔρημον μὲν ὀνομάζει. Τίνα δὲ τρόπον ἀθλιότητος εἰς τοῦτο κατώλισθεν, ἀφηγεῖται σαφῶς δύο τούτων ἕνεκα καθάπερ ἐγῷμαι. Ἢ γὰρ ἵνα τοὺς Ἰουδαίους ἀποστήσῃ τῆς ἐλπίδος· « Ἦν γὰρ Ἐφραῒμ περιστερὰ ἄνους, » καθά φησιν εἷς τῶν ἁγίων προφητῶν· « Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους C ἐπορεύετο· » ἢ ἵνα παρακαλέσῃ λελυπημένους, ὅτι πεπόρθηται μὲν αὐτῶν ἡ χώρα, ἐμπέπρησται δὲ καὶ αὐτὸς ὁ νεὼς, δορύληπτοι δὲ γυναιξὶν ὁμοῦ καὶ τέκνοις ἀπεκομίσθησαν εἰς τὴν Βαβυλῶνα. Τοῦτο δὲ ἦν διδάσκοντος ἐναργῶς, ὅτι καὶ τῶν πεπορθηκότων αὐτοὺς κατεξαναστήσεται Θεὸς, εἰ ζῇν ἕλοιντο κατὰ νόμον, καὶ τῶν θείων ἐνταλμάτων αὐτοῦ γνήσιοι γενέσθαι φύλακες. Οὐκοῦν ἀφηγεῖται μὲν ὁ προφήτης. Ἔχει γε μὴν τὸ τῆς ὁράσεως ὕφος προσώπων ἐναλλαγάς. Ποτὲ μὲν γὰρ ὡς αὐτόπτης τῶν ἐσομένων, καὶ θεωρὸς ἤδη γεγονὼς, ἐξηγεῖται τὰ παραδειχθέντα αὐτῷ παρὰ Θεοῦ· ποτὲ δὲ καὶ τί συμβήσεται κατὰ καιροὺς προφητικῷ πνεύματι προαναφωνεῖ· εἰσκομίζει δὲ καὶ τὸ Βαβυλωνίων ἔσθ' ὅτε πρόσωπον κατοιμωζόν- D των ἑαυτοὺς ἐπὶ ταῖς οὕτω δειναῖς καὶ ἀδοκήτοις συμφοραῖς. Ὡς τεθεαμένος τοίνυν τὴν Περσῶν τε καὶ Μήδων, καὶ μὴν καὶ Ἐλαμιτῶν κατὰ τῆς Βαβυλῶνος ἐκστρατιὰν, οὕτω φησί· Καθιππεύσουσί τε καὶ διελεύσονται τὴν ἔρημον.

Ὡσανεὶ καὶ ἀνέμων καταιγὶς δι' ἐρήμου διέλθοι.

Τὴν κόνιν εἶναι ἀναστᾶσα, καὶ μονονουχὶ συγχέουσα τὸ πᾶν. Προσεπάγει δέ·

Ὅτι φοβερὸν τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μοι.

Ἱκανὴ γὰρ λίαν, καὶ ψιλὴ καὶ μόνη τῶν πολεμίων ἡ θέα, καὶ τῶν μαχίμων ἡ ἀλκιμωτάτη πληθὺς κατ-

[75] I Cor. x, 11. [76] Isa. xlv, 1. [77] Osee, 7, 11.

κατεσκευασμένη πρὸς πόλεμον, σκληρὸν ἐμποιῆσαι δεῖμα A τοῖς θεωμένοις. Ἀλλ' οὐ τεθεᾶσθαί φησι μόνον, ἀλλὰ γὰρ καὶ Ἀνηγγέλη μοι, φησίν· ὁμοῦ γὰρ τῇ θέᾳ, καὶ τῶν πραγμάτων τὴν ἔκβασιν ἐδιδάσκετο, δῆλον δὲ ὅτι παρὰ Θεοῦ.

Ὁ ἀθετῶν ἀθετεῖ, καὶ ὁ ἀνομῶν ἀνομεῖ.

Ἀνεπίπληκτον, φησὶ, τῶν ἐπιόντων τὸ θράσος. Οὐ γὰρ λογισμοῖς ἀνθρωπίνοις ἀνάπτονται πρὸς τὸ ἥμερον· ἀλλ' οὐδέ τις τῶν ἐν αὐτοῖς διενθυμεῖταί τι τῶν ἡκόντων· ἀνομεῖ δὲ ἀκαθέκτως, καὶ ἀθετεῖ κατὰ τὸ αὐτῷ δοκοῦν, οὐ φειδοῦς ἐνούσης τινός· Οὐ γὰρ εἰς ἔλεον βλέπουσιν, ἀλλ' ἔργον αὐτοῖς τὸ ἐσπουδασμένον ἔσται, φησὶν, τὸ ἀνομεῖν τε καὶ ἀθετεῖν. Ἔφη τι τοιοῦτον καὶ διὰ φωνῆς τοῦ αὐτοῦ, πρὸς τοὺς τῆς Ἀσσυρίων οἰκήτορας· Ἰδοὺ ἐγὼ ἐπάγω ὑμῖν τοὺς Μήδους, οἳ οὐ λογίζονται ἀργύριον, οὐδὲ χρυσίου χρείαν B ἔχουσι. Τοξεύματα νεανίσκων συντρίψουσι. Θεοῦ γὰρ ὀργὴν τοῖς πλημμελοῦσιν ἐπάγοντος, οὐδὲν ἔσται τὸ ἐπικουρεῖν δυνάμενον. Θηριοπρεπὴς δὲ μᾶλλον τοῖς ἐθέλουσι καταδηοῦν τοὺς ἐφ' οἷς ἂν τρέχοιεν, ἐνοικίζεται νοῦς.

Ἐπ' ἐμοὶ οἱ Ἐλαμῖται, καὶ οἱ πρέσβεις τῶν Περσῶν ἐπ' ἐμὲ ἔρχονται. Νῦν στενάξω, καὶ παρακαλέσω ἐμαυτόν. Διὰ τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως, καὶ ὠδῖνες ἔλαβόν με, ὡς τὴν τίκτουσαν· ἠδίκησα τοῦ μὴ ἀκοῦσαι, ἐσπούδασα τοῦ μὴ βλέπειν. Ἡ καρδία μου πλανᾶται, καὶ ἡ ἀνομία με βαπτίζει, ἡ ψυχή μου ἐφέστηκεν εἰς φόβον.

Προσωποποιΐας ἔχει δύναμιν ὁ ἔν γε τουτοισὶ λόγος. C Εἰσκομίζεται γὰρ ὁ Ἀσσύριος, καὶ δεδιὼς τὴν ἔφοδον, καὶ τῶν πολεμίων τὰς φάλαγγας οὐχ ἠγνοηκὼς, καὶ ἐπὶ τίνας αὐταῖς ὁ τοῦ πολέμου σκοπός. Οὐ γὰρ ἐφ' ἑτέρους τινὰς, ἀλλ' ἐμοὶ, φησὶν, οἱ Ἐλαμῖται, καὶ οἱ πανάριστοι τῶν Περσῶν ὡρμήκασι. Στενάξω δὴ οὖν καὶ παρακαλέσω ἐμαυτόν. Τοῖς γὰρ ἐν ἐσχάτῃ συμφορᾷ γεγονόσι δοκεῖ προσεῖναί τις παραμυθίας τρόπος, τὸ θρηνεῖν τε καὶ ὀλοφύρεσθαι. Ἐκθλίβεται γὰρ ἐξ ὀδύνης τὸ δάκρυον. Πρᾶγμα δὲ ξένον εἰ θρηνοῦσιν Ἀσσύριοι, σκληροὶ καὶ ἀγέρωχοι γεγονότες ἀεὶ, ἐξωφρυωμένοι τε ἄγαν κατὰ πάντων τῶν ἐθνῶν, καὶ οὐκ εὐάντητον ἔχειν οἰόμενοι τὴν ἀντίστασιν. Ἀλλ' οἱ θρασεῖς οὕτω καὶ φρονήμασι τοῖς ὑπὲρ ἄνθρωπον ἐξογκούμενοι, γυναικοπρεπὲς εἰσδέχονται τὸ δάκρυον, καὶ θρῆνον ἐφ' ἑαυτοῖς ἀρτύουσι, πρὸ τῆς τοῦ πολέ- D μου πείρας κατακλώμενοι πρὸς ἀσθένειαν. Ἐνεπλήσθη γὰρ ἡ ὀσφύς μου ἐκλύσεως, καὶ ὠδῖνες ἔλαβόν με ὡς τὴν τίκτουσαν. Ἀλλ' ὅτου δὴ χάριν τὰ τοιαῦτά σοι συμβήσεται, φησὶν, ὦ Ἀσσύριε; Φράσαις ἂν τῷ ἐρομένῳ· Ναί, φησίν· οἶδα γὰρ προσκεκρουκὼς διὰ πολλὴν ἁμαρτίαν τῷ πάντων κρατοῦντι Θεῷ. Ἠδίκησα τὸ μὴ ἀκοῦσαι, ἐσπούδασα τὸ μὴ βλέπειν. Κατὰ τοῦτο, φησὶν, ἐμαυτὸν ἠδίκησα, ὅτι μεμελέτηκα πολὺ τὸ δυσήκοον, καὶ σπουδῆς ἔργον ἐθέμην τὸ μὴ βλέπειν, τοῦτ' ἔστι, τίς ὁ φύσει καὶ ἀληθῶς ἐστι Θεός. Ἤκουον μὲν γὰρ τὴν Ἰουδαίων λατρείαν, εἷλον κατὰ κράτος τὴν ἁγίαν πόλιν, πεπόρθηκα τὸν νεών. Ἔσχον ἐκ παρακουσμάτων τὴν μετρίαν εἴδησιν τῶν ἐντεταλμένων τοῖς ἐξ Ἰσραήλ. Μᾶλλον δὲ καὶ ὁ προφήτης Ἰωνᾶς

ad bellum instructa, timorem vehementem injicit spectatoribus. Sed non spectari tantum dicit, sed, Annuntiatum est mihi, inquit; simul enim cum spectaculo rerum eventum docuit, a Deo scilicet.

Prævaricans prævaricatur, iniquus inique agit.

304 Imperterritam esse ait, et proruptam grassatorum audaciam, qui non ratiociniis humanis revocantur ad placabilitatem, sed nemo eorum quidquam cum officio et decoro conjunctum cogitat, at prævaricatur, nec reprimi potest, nulloque suffusus pudore pro sua libidine opprimit : Non enim misericordiam spectant, sed opus, inquit, horum et hoc studium est, iniqua agere, et opprimere. Huic non dissimile dixit voce ejusdem ad Assyriorum habitatores : Ecce induco ego vobis Medos, qui argentum non curant, nec auro opus habent. Arcus juvenum conterent. Deo enim iram delinquentibus infligente, nihil opem afferre poterit : imo et in illis qui quos incursant, perdere aggrediuntur, belluina mens insidet.

Vers. 3, 4. *In me Elamitæ, et Persarum legati in me venient. Nunc ingemiscam et consolabor meipsum. Propterea impleti sunt lumbi mei dissolutione, et dolores ceperunt me sicut parientem : injuste egi ne audirem, operam dedi ne viderem. Cor meum aberrat, et iniquitas me demergit, anima mea conjecta est in timorem.*

Prosopopœiæ vim habet hæc oratio. Inducitur enim Assyrius, impetum pertimescens, et hostium phalanges non nesciens, et contra quem hujus belli scopus tendat. Non enim, inquit, contra alium quemque, sed contra me Elamitæ et præstantissimi omnium Persarum fecerunt impetum. Ingemisco igitur et consolabor meipsum. Qui namque in ultimis ærumnis sunt, his consolationis genus quoddam esse videtur, flere et plorare. Extunditur enim ex dolore lacryma. Novum vero et peregrinum, Assyrios, duros et fastuosos semper, et contra omnes gentes superciliosissimos, quorum occursus ominosus, et formidabilis esse putabatur, lacrymari. Cæterum hi tam audaces et animis supra homines tumidis, muliebriter fundunt lacrymas, et ante belli periculum debilitate fracti et contusi, fletum sibi ipsis consciscunt et eliciunt. Repleti sunt enim, inquit, lumbi mei dissolutione, et dolores ceperunt me sicut parturientem. Sed quamobrem tibi contingent hæc, inquit, o Assyrie? Dic roganti : Næ, inquit, conscius mihi sum offendisse multis peccatis omnipotentem Deum. Injuste egi ne audirem, **305** operam dedi ne viderem. In hoc, ait, meipsum damno, et inique feci, quod insigni pervicacia, et in audiendo pertinacia usus sim, et operam dedi ne viderem, id est, quis sit ille natura et vere Deus. Audieram enim Judæorum cultum, sanctam urbem vi cepi, templum everti, ex disciplina auditu perceptа, mediocrem cognitionem eorum quæ Israelitico populo præcepta erant consecutus sum : imo

propheta Jonas a Deo missus est, ut prædicet, et dicat: « Adhuc tres dies et subvertetur Ninive[78]; » mox pertimui minas, et egi pœnitentiam, sed injuste iterum feci, ne audirem, et studio annixus sum, ne viderem quæ vidisse oportuit. Aberravit enim cor meum, et demersit me iniquitas, quodammodo obruens. Hinc et anima mea conjecta est in timorem, fui enim in metu extremo. Hæ igitur voces esse possunt Assyriorum. Familiare enim est prophetis voces et personas affingere propter utilitatem audientium.

Vers. 5. *Parate mensam, bibite, edite. Surgite, principes, arripite clypeos.*

Dixeram orationem propheticam multis interdum personarum varietatibus distingui pulcherrime: omnino igitur qui scire hæc et referre probe volunt, talia debent observare. Perspicua igitur erit et nihil abrupti, nihil difficultatis habebit horum dictorum intelligentia. Induxit ergo personam Assyriorum apud sese flentium, et timiditate confractorum, et de malis futuris intolerabili timore dolentium. Dein tempus commemorat quo eos capi et immedicabiles in ærumnas incidere continget, et causam iræ contra illos declarat. Scripsit enim beatus Daniel: « Baltasar regem apparasse cœnam magnatibus suis, millibus coram millibus vinum[79]. » Dein ait, et sacra vasa ex Hierosolymis sumpta olim obtulisse impie, et bibisse ex illis cum ipsum, tum pellices ejus et concubinas. Hoc autem aliud nihil erat quam contra divinam majestatem magno elatoque animo se efferre, et adversus Israelitarum ducem et præsidem erigi: quasi suum populum nullo modo juvare posset. Bibente igitur Baltasaro, et sacra vasa **306** tamen non irridente: Apparuit, inquit articulus manus et scripsit in pariete, *Mane, Thecel, Phares*[80], quam scripturam divinus Daniel interpretatus est, Assyrium alloquens: Disrupit Deus regnum tuum, et divisit illud, ac datum est Medis et Persis. Hujus historiæ, ut ego quidem censeo, meminit propheta affatus veluti ipsos principes, seu magnates et Baltasar: Parate mensam, bibite, edite. Surgite, principes, arripite clypeos, luxu diffluite, inquit, in mensis intemperantibus (est autem hæc oratio usitata) exsaturamini bibentes inexplebiliter. Quid deinde? Bella excipient celebritatem et non longe aberit ut patiamini, sed ab ipsa compotatione ad arma curretis et quæretis clypeos. Est enim vere gravissimum contra Deum efferri et contra majestatem, qua nihil est sublimius, animos et spiritus tollere. Traditus est enim Assyriis Israel: Deo propter summam iniquitatem captivitatis pœnam irrogante. Non enim par fuit eos ad hanc stupiditatem et in has stultas cogitationes consulto devenire, ut cogitarent et in animum inducerent se manum superare posse ejus qui

ἀπεστάλη παρὰ Θεοῦ κηρύσσων καὶ λέγων· « Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται· » καταδείσας δὲ παραχρῆμα τὴν ἀπειλὴν, μετενόησα μὲν, ἀλλ' ἠδίκησα πάλιν μὴ ἀκούσας, καὶ ἐν σπουδῇ τέθειταί μοι τὸ μὴ ὁρᾷν ἅπερ ἦν ὁρᾷν ἀναγκαῖον. Πεπλάνηται γὰρ ἡ καρδία μου. Καὶ ὑποβρύχιόν με πεποίηκεν ἡ ἁμαρτία, καταχωννῦσα τρόπον τινά. Ταύτῃ τοι καὶ ἡ ψυχή μου ἐφέστηκεν εἰς φόβον· γέγονα γὰρ ἐν δείμασι τοῖς τῶν ἐσχάτων. Αὗται τοίνυν φωναὶ τῶν Ἀσσυρίων εἶεν ἄν. Ἔθος γὰρ τοῖς ἁγίοις προφήταις προσωποποιεῖν τὰς φωνὰς, διὰ τὸ τοῖς ἀκροωμένοις χρήσιμον.

Ἑτοιμάσατε τράπεζαν, πίετε, φάγετε. Ἀναστάντες οἱ ἄρχοντες, ἑτοιμάσατε θυρεούς.

Ἔφην ὅτι τῆς προφητείας ὁ λόγος εἰς πολλὰς ἔσθ' ὅτε προσώπων διαφορὰς εὖ μάλα διαποικίλλεται· δεῖ δὲ δὴ πάντως τοὺς, οἵπερ ἂν ἕλοιντο συνιέναι τε καὶ ἀπαγγέλλειν ὀρθῶς, ἐπιτηρεῖν ἀκριβῶς τὰ τοιάδε. Σαφὴς γὰρ ἂν οὕτω γένοιτο, καὶ οὐδὲν ἔχουσα τὸ ἄναντες εἰς δυσχερείαν τῶν λεγομένων ἡ γνῶσις. Εἰσκεκόμικε τοίνυν τὸ τῶν Ἀσσυρίων πρόσωπον κλαιόντων ἐφ' ἑαυτοῖς, καὶ συντεθραυσμένων μὲν εἰς δειλίας, ἀφόρητον δὲ τὸν ἐπί γε τοῖς μέλλουσιν ἔσεσθαι κακοῖς ὠδινόντων τὸ δεῖμα. Εἶτα μέμνηται τοῦ χρόνου, καθ' ὃν αὐτοὺς ἁλῶναί τε καὶ ταῖς ἀνηκέστοις συμφοραῖς περιπεσεῖν συμβήσεται· καὶ μὴν καὶ αὐτὴν καθίστησιν ἐναργῆ τῆς ἐπ' αὐτοῖς γεγενημένης [ὀργῆς] τὴν αἰτίαν. Γέγραφε γὰρ ὁ μακάριος Δανιὴλ, ὅτι « Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον τοῖς μεγιστᾶσιν αὐτοῦ· χιλίοις κατέναντι τῶν χιλίων ὁ οἶνος. » Εἶτά φησιν, ὅτι καὶ τὰ ἐκ τῶν Ἱεροσολύμων ληφθέντα κατὰ καιροὺς ἅγια σκεύη προσκεκόμικεν ἀνοσίως, καὶ ἔπινον ἐν αὐτοῖς αὐτὸς καὶ αἱ παλλακαὶ αὐτοῦ, καὶ αἱ παράκοιται αὐτοῦ. Τοῦτο δὲ ἦν ἕτερον οὐδὲν, πλὴν ὅτι μεγαλαυχεῖν κατὰ τῆς τοῦ Θεοῦ δόξης· κατεπαίρεσθαί τε τοῦ προεστηκότος τῶν ἐξ Ἰσραὴλ, ὡς κατὰ μηδένα τρόπον ὀνῆσαι δεδυνημένου τὸν ἴδιον λαόν. Πίνοντος τοίνυν τοῦ Βαλτάσαρ, καὶ μονονουχὶ γελῶντος τὰ σκεύη τὰ ἅγια· Ὤφθη, φησὶν, ἀστράγαλος χειρὸς, καὶ ἔγραφεν ἐν τῷ τοίχῳ, *Μανῆ Θεκὲλ Φαρές*· διερμηνεύων τὴν γραφὴν ὁ θεσπέσιος Δανιὴλ, ἔφη πρὸς τὸν Ἀσσύριον· Διέῤῥηξεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ ἐμέρισεν αὐτὴν, καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις. Ταυτησὶ τῆς ἱστορίας, ὥς γε οἶμαι, διαμέμνηται νυνὶ, καί φησιν ὁ προφήτης ὡς πρός γε αὐτοὺς τοὺς ἄρχοντας, ἤτοι μεγιστᾶνας, καὶ μέν τοι τὸν Βαλτάσαρ· Ἑτοιμάσατε τράπεζαν, πίετε, φάγετε· ἀναστάντες οἱ ἄρχοντες, ἑτοιμάσατε θυρεούς· σπαταλήσατε, φησὶν, ἐπὶ τραπέζαις ἀσώτοις· ἐν ἔθει δέ πώς ἐστιν ὁ λόγος· κατακορέσθητε πίνοντες ἀπλήστως. Καὶ τί μετὰ τοῦτο; Πόλεμοι διαδέξονται τὴν πανήγυριν, καὶ οὐκ εἰς μακρὰν τὸ παθεῖν· ἀλλ' ἐξ αὐτοῦ τοῦ πότου δραμεῖσθε πρὸς ὅπλα, καὶ ζητήσετε θυρεούς. Παγχάλεπον γὰρ ἀληθῶς τὸ κατεπαίρεσθαι Θεοῦ, καὶ καταθρασύνεσθαι δόξης, ἧς ἐπέκεινα τῶν ὄντων οὐδέν. Δέδοται μὲν γὰρ τοῖς Ἀσσυρίοις ὁ Ἰσραὴλ· Θεοῦ τὸ χρῆναι

[78] Jon. III, 4. [79] Dan. V, 1 seqq. [80] ibid. 25.

παθεῖν αὐτοὺς τὴν αἰχμαλωσίαν διὰ πολλὴν ἁμαρτίαν ἐπενηνοχότος. Οὐ μὴν ἔδει ᾐρηκότας εἰς τοῦτο πεσεῖν ἀμαθίας καὶ ἀσυνέτων ἐννοιῶν, ὡς οἴεσθαι καὶ φρονεῖν τὴν τοῦ σώζειν αὐτοὺς ἐθέλοντος πλεονεκτῆσαι χεῖρα, καὶ ἀμείνους γενέσθαι τῆς ἀφράστου δυνάμεως τοῦ πάντα ὑπερκειμένου καὶ ἀνεστηκότος τὴν κτίσιν ὡς Θεοῦ.

A servare illos volebat, et ineffabilem Dei quæ super omnia exstat et eminet, potentiam debellare.

Ὅτι οὕτως εἶπε Κύριος πρός με· Βαδίσας σεαυτῷ στῆσον σκοπόν· καὶ ὃ ἐὰν ἴδῃς, ἀνάγγειλον. Καὶ εἶδον ἀναβάτας ἱππεῖς δύο· ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου.

Ἔθος τοῖς ἁγίοις προφήταις ἐν τῷ τῆς θεοπτίας ἤτοι τῶν ὁράσεων καιρῷ, συλλέγειν ὥσπερ ἐν ἑαυτοῖς τὸν νοῦν, καὶ ἀπερισπάστῳ διανοίᾳ κατασκέπτεσθαι τὰ δεικνύμενα παρὰ Θεοῦ. Καὶ οἷον ὑψοῦ καὶ ἐν ἀπορρήτῳ τινὶ περιωπῇ γεγονότας τῶν θείων ἐπακροᾶσθαι λόγων. Καὶ γοῦν ἔφη τις τῶν ἁγίων προφητῶν· « Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἐπιβήσομαι ἐπὶ πέτραν, καὶ ἀποσκοπεύσω, τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοὶ, καὶ τί ἀποκριθῶ ἐπὶ τὸν ἔλεγχόν μου. » Τοιοῦτόν τι νῦν ὁ προφήτης διδάσκει, καί φησιν ἀκοῦσαι παρὰ Θεοῦ· Βαδίσας σεαυτῷ στῆσον σκοπὸν, καὶ ὃ ἐὰν ἴδῃς ἀνάγγειλον· καὶ οὐχ ἕτερόν τινα σκοπὸν ἱστᾷν ἐκελεύετο, ἀλλ' ἑαυτόν που πάντως εὐτρεπίσαι πρὸς θεοπτίαν, καὶ οἷόν τινα σκοπὸν ὑψοῦ γεγονότα τῷ νῷ, καταθρεῖν τὰ ἐσόμενα, καὶ ὄψει δέχεσθαι τῶν πραγμάτων τὴν θέαν. Εἶδον οὖν, φησὶν, ἀναβάτας ἱππεῖς δύο· ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου. Καὶ τί δὴ τοῦτό ἐστιν, ὁ τῶν Ἀσσυρίων θρῆνος διδάξει σαφῶς. Ἔφασκε γάρ· Ἐπ' ἐμοὶ Ἐλαμῖται, καὶ οἱ πρέσβεις τῶν Περσῶν πρὸς ἐμὲ ἔρχονται· καὶ Ἐλαμῖται μὲν βάρβαρον ἔθνος, καμήλοις ἐποχεῖσθαι μεμελετηκός. Ὁ δέ γε ἀναβάτης τῆς ὄνου τίς ἂν ἕτερος εἴη παρά γε τοὺς Περσῶν ἐξειλεγμένους; οὓς δὴ καί φασιν ἡμιόνοις τε καὶ σκιαδίοις (1) ἐμβεβηκότας ἰέναι πρὸς μάχην, ὡς ἂν μή τις αὐτοὺς ἀπονευρώσῃ πόνος. Ἐπειδὰν δὲ τὸν τῆς μάχης ἴδωσι χῶρον, τὸ τηνικάδε τῶν σκιαδίων καταπηδήσαντες, ἵπποις κέχρηνται ἐξειλεγμένοις. Ὄνου τοίνυν ἀναβάτην τὸν ταῖς ἡμιόνοις ἐποχούμενόν φησιν. Εἰ καὶ καθ' ἕτερον τρόπον θεάσασθαι μὲν εἰκὸς τὸν προφήτην, ἵπποις ἐποχούμενον τῶν πολεμίων τὸ στῖφος, ἑπομένην δὲ πληθὺν καμήλων καὶ ἡμιόνων, ηὐτρεπισμένων τάχα που πρὸς τὴν τῶν λαφύρων μετακομιδήν. Τοῦτο γὰρ ἑτέρωθί πού φησιν· « Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ, λέων καὶ σκύμνος λέοντος· ἐκεῖθεν καὶ ἀσπίδες καὶ ἔγγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπ' ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν. » Λέοντα γὰρ καὶ σκύμνον λέοντος τὸν Κῦρον ἐκάλει· καὶ τοὺς ὑπ' αὐτῷ Πέρσας τε καὶ Μήδους. Ἀσπίδας δὲ καὶ ἀσπίδων ἔγγονα πετομένων· τοῦτο ἔστιν, ὀξέως διάττειν καὶ πτηνοῖς ἐν ἴσῳ φέρεσθαι μεμελετηκότας, τοὺς ἐκ τῶν ἑτέρων ἐθνῶν, οἷς καὶ ἐποχεῖσθαι καμήλοις ἐν ἔθει καὶ τριβῇ.

VERS. 6, 7. *Quia sic dixit Dominus mihi : I, tibi constitue speculatorem, et quod videris, renuntia. Et vidi sessores equites duos : sessorem asinæ, et sessorem cameli.*

In more est sanctis prophetis, divinæ contemplationis seu visionum tempore, velut in se ipsis animum cogere et colligere, et acerrima attentissimaque cogitatione a Deo res ostensas perlustrare, et velut in sublimi ac secreta specula divinis B verbis aurem præbere. Quippe ex sanctis prophetis quidam dixit : « In custodia mea stabo, et conscendam petram, et speculabor, ut videam quid loquetur in me, et quid respondeam ad castigationem meam [81]. » Hoc itaque propheta docet se a Deo audire : I, et constitue speculatorem, et quod videris renuntia. Non jubetur alium speculatorem statuere, at seipsum omnino ad divinam contemplationem comparare, et velut speculatorem in edito loco, animo ac mente, factum, circumspicere futura, et rerum inspectionem visu aspectuque consequi. Vidi igitur, ait, sessores equites duos, **307** sessorem asinæ, et sessorem cameli. Et quid hoc est, lamentatio Assyriorum plane docebit. Dixit enim : In me Elamitæ, et legati Persarum C ad me veniunt. Elamitæ gens barbara sunt, et camelis vehi solita. Sessor autem asinæ quis alius sit præter electos et eximios Persarum viros? quos aiunt mulis et sciadiis conscensis, ad pugnam fuisse, ne quis eos labor enervet : ubi autem pugnæ locum vident, tum e sciadiis desultantes, equis utuntur lectissimis. Asinæ ergo insessorem dicit, eum qui mulabus vectus est. Vel etiam alio modo : verisimile est vidisse prophetam, hostium cuneum equis vectum, et camelorum et mulorum instructorum multitudinem sequentem, fortassis ad spolia avehenda. Hoc siquidem dicit alibi : « In afflictione et angustia leo et leunculus : ibi, et aspides et progenies aspidum volantium, qui portabant asinis et D camelis divitias suas [82]. » Leonem siquidem et catulum leonis Cyrum vocavit, et Persas sub eo Medosque : aspidas et aspidum volantium progeniem, id est, qui propere præcurrere, et avium in morem ferri solent, eos dicit qui ex aliis erant gentibus, quos etiam camelis vehi in more positum erat et consuetudine.

Ἀκρόασαι ἀκρόασιν πολλὴν, καὶ κάλεσον Οὐρίαν εἰς τὴν σκοπιὰν Κυρίου.

Διωμολόγηκεν ὁ προφήτης, ὡς θεάσαιτό τινας

VERS. 8. *Audi auditionem multam, et voca Uriam in speculam Domini.*

Confessus est propheta vidisse se quosdam

[81] Habac. II, 1. [82] Isa. XXX, 6.

(1) Σκιάδια videntur fuisse currus quidam ceu umbraculo quodam operti.

ascensores, equites duos, cameli et asinæ: qui A autem fuerint, superius diximus. Semel autem speculatus, jussus est deinceps quæ ex ea incursione futura sunt, docere, et calamitatis Chaldæorum narrationem terribilem inducere. Multa enim auditio ejusmodi est revera. Nam quæ Babyloni contigerunt, horrenda erant, nec ulla oratione exprimi poterant, et in summum venerunt malorum. Cyrus etenim sic eam cepit, ut prorsus desertam reddiderit, et qui in ea erant interemerit, et eos demum qui in speluncis insidiabantur, et omnino se posse latere sperabant. Etenim dixit ei universitatis Deus: « Dabo tibi thesauros tenebrosos, occultos, a conspectu remotos aperiam tibi [83]. » Inducitur etiam persona Jerusalem velut Babylonem alloquentis: Ne gaudeto, o inimica mea, de B me; **308** si ceciderim, resurgam: si in tenebris sedero, Dominus mihi lux erit. Iram Domini feram, quia peccavi ei, donec ipse justificet justitiam meam, et faciat judicium meum, et educat me in lucem, videamque justitiam ejus. Videbit inimica mea et circumfundetur pudore, quæ dicit mihi: Ubi Dominus Deus tuus? oculi mei videbunt eam. Jamjam conculcanda est, quasi lutum in viis. Dies lituræ lateris, deletio tua dies illa: qua videlicet a Persis et Medis et Elamitis vastata et deleta est, ut dixi. Audi igitur, inquit, auditionem multam, id est, de captivitate longam et horribilem narrationem. Et voca Uriam in speculam Domini. Uriam dicunt fuisse quemdam legis ministerio maxime conspicuum. Voca, inquit, te- C stem factæ tibi speculationis, videlicet visionis, Uriam, et doceatur abs te futura. Postquam enim prophetarum enarrationibus minus credentes, dixerunt: « Alia nobis loquamini, et annuntiate nobis alterum errorem [84]; » hinc et appositissime universorum Deus, Judæorum honoratissimos adhibuit testes eorum quæ ostensa sunt diversis temporibus, ut qui velut in visione prophetica prophetiæ spiritum haberent, ut nisi illorum verbis morem gerere voluissent, saltem animarent illos hi, qui apud eos ornati et honorati sunt legali sacerdotio.

Et dixi: Steti semper die, et in castris steti per D *totam noctem, et ecce ille venit ascensor bigæ.*

Jussus propheta sibi constituere speculatorem, et apte denuntiare quidquid ei a Deo ostensum esset: Steti, inquit, per totam diem et per totam noctem. Et ecce ille venit ascensor bigæ. Quisnam ille? Persa et Elamita, vel exercitus præfectus, id est, Cyrus.

VERS. 9. *Et respondens ait: Cecidit Babylon, et omnes imagines ejus, et manufacta ejus contrita sunt in terram.*

Cum dixisset propheta: Ecce ille venit ascensor

A ἀναβάτας ἱππεῖς δύο, καμήλου τε καὶ ὄνου· καὶ τίνες ἂν εἶεν οὗτοι, φθάσαντες ἤδη προείπαμεν. Ἐπειδὴ δὲ ἅπαξ τεθέαται, προστάττεται λοιπὸν τὰ ἐκ τῆς ἐφόδου μανθάνειν ἐπείγεσθαι, καὶ τῆς τῶν Χαλδαίων συμφορᾶς τὰ φρικτὰ διηγήματα. Πολλὴ γὰρ ἀκρόασις ἡ τοιάδε κατὰ τὸ ἀληθές. Τοιγάρτοι τῇ Βαβυλῶνι συμβεβηκότα φρικτὰ, καὶ λόγου πέρα παντὸς, καὶ εἰς ἄκρον ἥκοντα κακῶν. Εἷλε γὰρ οὕτως ὁ Κῦρος αὐτὴν, ὥστε καταστῆσαι μὲν ἐρήμην αὐτὴν εἰς ἅπαν, ἀνελεῖν δὲ τοὺς ἐν αὐτῇ, καὶ ἐξ αὐτῶν τε τῶν σπηλαίων σαγηνεύοντα τοὺς ὅλως δύνασθαι λαθεῖν προσδοκήσαντας. Καὶ γοῦν ἔφη πρὸς αὐτὸν ὁ τῶν ὅλων Θεὸς, ὅτι Δώσω σοι θησαυροὺς σκοτεινοὺς, ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι. » Εἰσφέρεται δέ που καὶ τῆς Ἱερουσαλὴμ τὸ πρόσωπον ὡς πρός B γε τὴν Βαβυλῶνα λέγον· Μὴ ἐπίχαιρέ μοι, ἡ ἐχθρά μου, ὅτι πέπτωκα καὶ ἀναστήσομαι· διότι ἐὰν καθίσω ἐν τῷ σκότει, ὁ Κύριος φωτιεῖ με. Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως οὗ δικαιώσαι αὐτὸν τὴν δικαιοσύνην μου, καὶ ποιήσῃ τὸ κρίμα μου, καὶ ἐξάξει με εἰς τὸ φῶς· καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ. Καὶ ὄψεται ἡ ἐχθρά μου, καὶ περιβαλεῖται αἰσχύνην, ἡ λέγουσα πρός με, Ποῦ Κύριος ὁ Θεός σου; οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν. Νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ἐξόδοις. Ἡμέραι ἀλοιφῆς πλίνθου, ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη· καθ' ἣν δηλονότι πεπόρθηται μὲν ὑπὸ Περσῶν τε καὶ Μήδων καὶ Ἐλαμιτῶν, ἠρήμωται δὲ, ὡς ἔφην. Ἀκρόασαι τοίνυν, φησὶν, ἀκρόασιν πολλὴν, τοῦτ' ἔστι, τὰ ἐπὶ τῇ ἁλώσει μακρὰ καὶ φρικτὰ δι- C ηγήματα· καὶ κάλεσον Οὐρίαν εἰς τὴν σκοπιὰν Κυρίου. Οὐρίαν φασί τινα γενέσθαι τῶν ὅτι μάλιστα διαφανεστάτων ἐν ἱερουργοῖς τοῖς κατὰ τὸν νόμον. Παράλαβε τοίνυν, φησὶ, μάρτυρα τῆς δεικνυμένης σοι κατασκοπῆς, ἤγουν ὁράσεως, τὸν Οὐρίαν, καὶ διδασκέσθω παρὰ σοῦ τὰ ἐσόμενα. Ἐπειδὴ γὰρ τοῖς τῶν προφητῶν διηγήμασιν ἀπειθοῦντες ἔφασκον· « Ἄλλα ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, » ταύτητοι καὶ λίαν οἰκονομικῶς ὁ τῶν ὅλων Θεὸς τοὺς παρὰ τοῖς Ἰουδαίοις ἐντιμοτάτους ἐποιεῖτο μάρτυρας τῶν δεικνυμένων κατὰ καιροὺς, ὡς ἐν ὁράσει προφητικῇ, τοῖς τὸ τῆς προφητείας ἔχουσι πνεῦμα, ἵν' εἰ μὴ βούλοιντο τοῖς παρ' αὐτῶν καταπείθεσθαι λόγοις, κἂν οὖν ἐκείνοις θαρσήσειαν, οἳ τῇ κατὰ νόμον ἱερωσύνῃ τετίμηνται παρ' αὐτοῖς.

D *Καὶ εἶπεν· Ἔστην διὰ παντὸς ἡμέρας, καὶ ἐν τῇ παρεμβολῇ ἔστην ὅλην τὴν νύκτα· καὶ αὐτὸς ἔρχεται ἀναβάτης ξυνωρίδος.*

Κεκελευσμένος ὁ προφήτης ἑαυτῷ στῆσαι σκοπὸν, ἀπαγγεῖλαί τε σαφῶς, ὅπερ αὐτῷ δειχθείη παρὰ Θεοῦ· Ἔστην, φησὶ, διὰ παντὸς ἡμέρας, καὶ δι' ὅλης νυκτός· καὶ ἰδοὺ αὐτὸς ἔρχεται ἀναβάτης ξυνωρίδος. Αὐτὸς ἄρα τίς; ὁ Πέρσης τε καὶ Ἐλαμίτης, ἤγουν ὁ τῆς στρατιᾶς ἡγούμενος, τοῦτ' ἔστιν, ὁ Κῦρος.

Καὶ ἀποκριθεὶς εἶπεν· Πέπτωκε Βαβυλὼν, καὶ πάντα τὰ ἀγάλματα αὐτῆς, καὶ τὰ χειροποίητα αὐτῆς συνετρίβησαν εἰς τὴν γῆν.

Τοῦ προφήτου λέγοντος· Ἰδοὺ αὐτὸς ἔρχεται

[83] Isa. XLV, 3. [84] Isa. XXX, 10.

ἀναβάτης ξυνωρίδος, τίνα τρόπον τὰ τῆς ἐφόδου A πραχθήσεται, καὶ οὐχ εἰς μακρὰν εὖ μάλα τεθεαμένου, λοιπὸν ἀποκρίνεται Θεὸς καί φησιν· Πέπτωκε Βαβυλὼν, τοῦτ' ἔστιν, ἡ ἀλαζὼν, ἡ ὑβρίστρια, ἡ σφύρα πάσης τῆς γῆς, καθά φησιν Ἱερεμίας· ἡ πᾶσι τοῖς ἔθνεσι θηριοπρεπῶς ἐπεμβαίνουσα, ἡ γαῦρον αἴρουσα τὸν αὐχένα, χώρας τε καὶ πόλεις καταλεαίνουσα. Πέπτωκε, φησὶ, τοῦτ' ἔστιν, ἀπόλωλε παντελῶς· ᾤχετο καὶ πεπάτηται, καὶ κατερριμμένη παντελῶς, καὶ ὑπὸ πόδας τῶν ᾑρηκότων ὁρᾶται κειμένη λοιπόν. Συνετρίβη δὲ καὶ πάντα αὐτῆς τὰ ἀγάλματα καὶ τὰ χειροποίητα. Γῆ γὰρ τῶν γλυπτῶν ἐστι, καθά φησιν ἕτερος τῶν ἁγίων προφητῶν· ἐπεποίθει δὲ λίαν ἐπὶ τοῖς ψευδωνύμοις θεοῖς· καὶ ταῖς παρ' αὐτῶν ἐπικουρίαις σώζεσθαι προσδοκήσασα, πεπάτηται σὺν αὐτοῖς, καὶ ὁμοῦ τοῖς ἰδίοις B συνετρίβη σεβάσμασιν.

Ἀκούσατε, οἱ καταλελειμμένοι, καὶ ὀδυνώμενοι, ἀκούσατε ἃ ἤκουσα παρὰ Κυρίου Σαβαὼθ, ὁ Θεὸς τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν.

Ἀπεκομίσθη μὲν αἰχμάλωτος ὁ Ἰσραὴλ, καὶ δεδούλευκε τοῖς Βαβυλωνίοις, ἐφιέντος Θεοῦ διὰ πολλὴν ἁμαρτίαν καὶ ταῖς οὕτω μακραῖς αὐτὸν ἐναλῶναι συμφοραῖς. Ἀπομεμενήκασί γε μὴν ἔν τε Ἱεροσολύμοις, καὶ ἐν τῇ Ἰουδαίᾳ πολλοί· πλὴν διετέλουν στένοντές τε καὶ ὀδυνώμενοι, πεπορθημένης αὐτοῖς τῆς χώρας· κατεμπρησθέντος δὲ καὶ αὐτοῦ τοῦ ναοῦ, ἠρημωμένης δὲ κατὰ κράτος τῆς Ἱερουσαλήμ. Φάρμακον τοίνυν ἐπικουρίας αὐτοῖς εἰς παράκλησιν ἐξυφαίνει χρησίμως ὁ προφήτης τὴν ὅρασιν, καί φησι πρὸς αὐτούς· Ἀκούσατε, οἱ κατα- C λελειμμένοι καὶ ὀδυνώμενοι, ἀκούσατε ἃ ἤκουσα παρὰ Κυρίου Σαβαώθ. Ὁ Θεὸς τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν. Ἤδει γὰρ, ᾔδει τὴν Βαβυλωνίων συμφορὰν θυμηδίας αὐτοῖς ἐσομένην πρόξενον, καὶ τὰ κατὰ τῶν λελυπηκότων διηγήματα παρακλήσεως ἔσεσθαι τρόπον τοῖς οὕτω πεπορθημένοις.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΙΔΟΥΜΑΙΑΣ.

Καὶ τῆς προκειμένης ὁράσεως οἶμαι δὴ δεῖν προαφηγήσασθαι τὴν ὑπόθεσιν. Συνεῖεν γὰρ ὧδέ τε καὶ οὐχ ἑτέρως οἱ ἐντευξόμενοι. Δύο τοίνυν γενέσθην υἱοὶ τῷ Ἰσαὰκ, Ἡσαῦ τε καὶ Ἰακώβ· καὶ ὁ μὲν Ἡσαῦ Ἐδὼμ ἐπεκλήθη, τοῦτ' ἔστι, γήϊνος· τοιοῦτος γὰρ ἦν ὁ βίος αὐτῷ, καὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ, καθὰ γέγραπται. Ἰακὼβ δὲ ἦν D ἀνὴρ ἄπλαστος, οἰκῶν οἰκίαν· ἔφη γὰρ οὕτω περὶ αὐτοῦ τὸ Γράμμα τὸ ἱερόν· Καὶ γεγόνασι μὲν ἐξ Ἰακὼβ, ὃς μετωνόμασται καὶ Ἰσραὴλ, Ἰουδαῖοι· ἀπὸ δέ γε τοῦ Ἡσαῦ, ἤγουν τοῦ Ἐδὼμ, οἱ Ἰδουμαῖοι, ἤγουν οἱ Ἀγαρηνοὶ, εἰσὶ δὲ οὗτοι Σαρακηνοί. Οὐκοῦν ἀδελφοὶ καὶ ἀγχίσποροι τοῖς ἐκ Ἰσραὴλ γεγόνασιν οἱ Ἰδουμαῖοι· ἦσαν δὲ καὶ ἀλλήλοις ὅμοροί τε καὶ ἀγχιτέρμονες, ἥ τε τῶν Ἰουδαίων καὶ ἡ τῶν Ἰδουμαίων χώρα. Ἀλλ' οὔτε τὸ συγγενὲς, οὔτε μὴν τὸ γειτνιᾷν ἀλλήλοις, ἐβράβευε τοῖς γένεσι τὴν ὁμοψυχίαν. Διεφέροντο γὰρ καὶ τοῖς Ἑλλήνων ἔθεσί

bigæ, et quomodo hæc incursio fieret, et quod non longe abesset, optime contemplaretur: respondet Deus, et inquit: Cecidit Babylon, id est, superbus **309** et insolens universæ terræ malleus, ut inquit Jeremias, et quæ omnes gentes belluino more invadit, quæ elatam cervicem tollit, quæ provincias, quæ urbes solo æquat. Concidit, inquit, id est, funditus periit, interiit et conculcata est, et projecta deinceps, et pedibus victorum subjecta conspicitur. Contritæ sunt etiam omnes ejus imagines et manufacta. Terra enim est sculptilium, sicuti dicit alius e sanctis prophetis, et falso nominatis diis magnopere confisa est, illorumque ope servari sperans cum illis calcata est, et simul cum numinibus contrita.

VERS. 10. *Audite, derelicti et dolentes, audite quæ audivi a Domino Sabaoth, Deus Israel annuntiavit nobis.*

Abductus est captivus Israel, et serviit Babyloniis, Deo propter multa flagitia immittente, et permittente diuturnis eum involvi calamitatibus. Remanserunt quidem Hierosolymis et in Judæa multi, at suspirantes jugiter et dolore affecti, regione ipsorum vastata, temploque ipso incenso, et vi deletis Hierosolymis. Pharmacum igitur auxiliare ipsis ad consolationem commode subtexit propheta hanc visionem, dicitque illis: Audite, derelicti et dolentes: audite quæ audivi a Domino Sabaoth. Deus Israelis annuntiavit nobis. Noverat enim, noverat Babyloniorum calamitatem illis conciliaturam lætitiam, et illis sic excisis eversisque, jucundas fore narrationes contra eos quos affecerunt molestia.

VISIO IDUMÆÆ.

Et hujus etiam visionis argumentum primum exponendum arbitror: hac enim sola ratione qui hæc legent, intelligent. Erant proinde Isaaco filii duo, Esau et Jacob, et hic quidem Esau, Edom cognominatus est, id est, Terrenus: talis enim ei fuit victus vitæque ratio, et edulio solo vendidit jus primogenituræ suæ, quemadmodum scriptum est [88]. Jacob autem doli fucique nescius erat, domi habitans: de eo enim sic dixit sacra Scriptura: Ex Jacobo, qui nomen quoque Israelis adeptus est, Judæi nati sunt; ab Esau vero sive Edom, Idumæi **310** sive Agareni, hi sunt autem Saraceni. Itaque fratres, et semine sanguineque propinqui Israelitis fuerunt Idumæi, et confinis fuit Judæorum et Idumæorum regio ac contermina. Sed neque generis conjunctio, neque vicinitas eorum inter se conciliare potuit et alere inter hos cognatos benevolentiam. Nam dissenserunt, et Idumæi Græcorum juxta mores leges-

[88] Gen. xxv, 31 seqq.

que viventes, Judæorum provinciam sæpe prædati sunt, et perpetrare in eos ausi sunt omnium turpissima. Quippe Ægyptiacæ sævitiæ jugo aliquando exonerantes se Israelitæ, in terram patribus promissam migrarunt. « Misit, inquit, legatos Moses ex Cades ad regem Edom, dicens: Hæc dicit frater tuus, Israel: Tu scis omnem laborem qui invenit nos: et descenderunt patres nostri in Ægyptum, habitavimusque in Ægypto dies complures, et vexarunt nos Ægyptii ac patres nostros. Clamavimus autem ad Dominum, et exaudivit Dominus vocem nostram, et misso angelo, eduxit nos ex Ægypto, et nunc sumus in Cades civitate ex parte finium tuorum: transibimus per terram tuam: non proficiscemur per agros, nec per vineas: non bibemus aquam ex lacu tuo: via regia ibimus: non declinabimus ad dextram, nec ad sinistram, donec prætierierimus fines tuos. Dixit autem ei Edom: Non transibis per me, alioqui in bellum egrediar contra te [86]. » Videsne quam fuerint duri, quam ab omni misericordia alieni Idumæi, idque etiam erga fratres? Sed non huc tantum eorum proruperunt scelera, sed et aliud quiddam et impium et immite admiserunt. Capta enim Judæorum regione a Babylonio, incensoque templo, vastatis Hierosolymis, ea in cives patraverunt quæ nulla consectari potest oratio. Deinde cum eorum aliquot, qui a gladio Persico immunes et salvi evaserant, ad regionem Judæorum, ut finitimam et ut ad fratres et consanguineos fugissent: isti quanquam succurrere ut fratribus, misereri ut miserorum, refocillare ac restituere ut amicos debuissent, belluine invaserunt, et crudelitatem suam in profugos exercuerunt. Ob hoc ipsum graviter insimulavit eos universitatis Deus, voce Abdiæ prophetæ. Scriptum est enim sic: « Illo die, ait Dominus, perdam sapientes ex Idumæa, **311** et intelligentiam de monte Esau, et consternabuntur bellatores tui qui ex Theman, ut auferatur homo de monte Esau, propter cædem et impietatem in fratrem tuum Jacob. Operiet te ignominia, et exterminaberis in æternum: a quo die restitisti ex adversa parte, in die alienigenarum captivum ducentium exercitum ejus: et alienigeni ingressi sunt in portas ejus: et de Jerusalem jecerunt sortes: et tu eras quasi unus ex illis [87]. » Ecce, ut Persicæ crudelitatis imitatores exstiterunt, et qui salutem exspectabant, et propterea tanquam ad fratres et vicinos ibant, eos trucidarunt immaniter. Quare Babylonii cum Judæorum regionem cepissent, reducti deinceps in suam patriam, obiter depopulati sunt Idumæam. Ceperunt enim omnes facile sane, et absque pulvere, Dei ira illis imminente. Et rursus dixit voce Abdiæ: « Propterea prope est dies Domini super omnes gentes: quemadmodum fecisti, ita erit tibi: retributio tua retribuetur in caput tuum [88]. » Hoc igitur est quasi brevi compendio, ejus quæ præ manibus est visionis argumentum. Progrediendum

A τε καὶ νόμοις διαζῶντες; Ἰδουμαῖοι, κατελῄζοντο συχνῶς τὴν τῶν Ἰουδαίων χώραν, καὶ πάντων αἴσχιστα δρᾷν εἰς αὐτοὺς ἀπετόλμων. Καὶ γοῦν ὅτε τῆς Αἰγυπτίων πλεονεξίας ἀποφορτισάμενοι τὸν ζυγὸν οἱ ἐξ Ἰσραὴλ, ἀνεφοίτων εἰς τὴν γῆν τὴν τοῖς πατράσιν ἐπηγγελμένην. « Ἀπέστειλε, φησὶν, ὁ Μωσῆς ἀγγέλους ἐκ Κάδης πρὸς βασιλέα Ἐδὼμ, λέγων· Τάδε λέγει ὁ ἀδελφός σου Ἰσραήλ· Σὺ ἐπίστῃ πάντα τὸν μόχθον τὸν εὑρόντα ἡμᾶς· καὶ κατέβησαν οἱ πατέρες ἡμῶν εἰς Αἴγυπτον, καὶ παρῳκήσαμεν ἐν Αἰγύπτῳ ἡμέρας πλείους· καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι καὶ τοὺς πατέρας ἡμῶν· καὶ ἀνεβοήσαμεν πρὸς Κύριον, καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς ἡμῶν, καὶ ἀποστείλας ἄγγελον ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου· καὶ νῦν ἐσμὲν ἐν Κάδης πόλει ἐκ μέρους
B τῶν ὁρίων σου· παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ διελευσόμεθα δι' ἀγρῶν, οὐδὲ δι' ἀμπελώνων· οὐδὲ πιόμεθα ὕδωρ ἐκ λάκκου σου· ὁδῷ βασιλικῇ πορευσόμεθα· οὐκ ἐκκλινοῦμεν δεξιὰ, οὔτε εὐώνυμα, ἕως ἂν παρέλθωμεν τὰ ὅριά σου. Καὶ εἶπεν πρὸς αὐτὸν Ἐδώμ· Οὐ διοδεύσῃ δι' ἐμοῦ· εἰ δὲ μὴ, ἐν πολέμῳ ἐξελεύσομαι εἰς συνάντησίν σου. » Ὁρᾷς ὅπως σκληροὶ καὶ ἀφιλοικτείρμονες γεγόνασιν Ἰδουμαῖοι, καὶ τοῦτο πρὸς ἀδελφούς; Ἀλλ' οὐ μέχρι τούτων αὐτοῖς τὰ ἐγκλήματα· ἀλλὰ γὰρ καὶ ἕτερόν τι πεπράχασιν ἀνόσιόν τε καὶ ἀπηνές. Εἷλε μὲν γὰρ τὴν τῶν Ἰουδαίων χώραν ὁ Βαβυλώνιος, κατεμπρήσας δὲ τὸν ναὸν καὶ καταδῃώσας τὸν Ἰσραὴλ, τὰ πέρα λόγου παντὸς κατὰ τῶν ἐνοικούντων εἰργάζετο. Εἶτά
C τινες τῶν διασεσωσμένων ἐκ μαχαίρας Περσικῆς, ὡς εἰς ὅμορον χώραν τῶν Ἰουδαίων, καὶ ὡς πρὸς ἀδελφοὺς καὶ ὁμαίμονας καταφεύγειν ἐσπούδαζον· οἱ δὲ καίτοι δέον ἐπαμῦναι ὡς ἀδελφοῖς, καὶ ἀθλίως πεπραχότας ἐποικτείρειν αὐτοὺς, καὶ μὴν καὶ ἀνακτᾶσθαι φιλοφρόνως, θηριοπρεπῶς ἐπεπήδων· ἔργον δὲ τῆς ἑαυτῶν ὠμότητος ἐποιοῦντο τοὺς φεύγοντας. Καὶ ἐπ' αὐτῷ δὴ τούτῳ, κατῃτιᾶτο λίαν αὐτοὺς ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς Ἀβδίου τοῦ προφήτου· γέγραπται γὰρ ὡδί· « Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰδουμαίας, καὶ σύνεσιν ἐξ ὄρους Ἡσαῦ· καὶ πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ Θεμὰν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ἡσαῦ, διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν τὴν εἰς τὸν ἀδελφόν σου Ἰακώβ· καὶ καλύψει σε αἰσχύνη, καὶ
D ἐξαρθήσῃ εἰς τὸν αἰῶνα, ἀφ' ἧς ἡμέρας ἀντέστης ἐξ ἐναντίας, ἐν ἡμέρᾳ αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ· καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ· καὶ ἐπὶ Ἱερουσαλὴμ ἔβαλον κλήρους· καὶ σὺ ἦς ὡς εἷς ἐξ αὐτῶν. » Ἄθρει δὴ οὖν ὅπως τῆς Περσικῆς ὠμότητος γεγόνασι μιμηταὶ, καὶ τοὺς ἀνασώζεσθαι προσδοκήσαντας, ταύτης τε ἕνεκα τῆς αἰτίας ὡς πρὸς ἀδελφοὺς ἰόντας καὶ γείτονας ἀπεκτόνασιν ἀνηλεῶς. Ἑλόντες τοίνυν τὴν τῶν Ἰουδαίων χώραν οἱ Βαβυλώνιοι, ἀνακομιζόμενοί τε λοιπὸν εἰς τὴν ἑαυτῶν, ὁδοῦ πάρεργον ἐποιοῦντο τῆς Ἰδουμαίας τὴν δῄωσιν. Εἷλον γὰρ ἅπαντας καὶ λίαν ἀκονιτὶ, Θεοῦ τὴν ὀργὴν ἐπαφιέντος αὐτοῖς. Καὶ

[86] Num. xx, 14-18. [87] Abdiæ i, 8-11. [88] ibid. 15.

γοῦν ἔφη πάλιν διὰ φωνῆς Ἀβδίου· « Διότι ἐγγὺς ἡ ἡμέρα Κυρίου ἐπὶ πάντα τὰ ἔθνη· ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου. » Αὕτη τοίνυν ἐν βραχέσι τῆς ἐν χερσὶν ἡμῶν ὁράσεως ἡ ὑπόθεσις. Καὶ δὴ καὶ ἰτέον πρός γε τὰ ἕκαστα, κατά γε τὸ ἐγχωροῦν εἰπεῖν τὰ ἐγγεγραμμένα.

Πρὸς ἐμὲ κάλει παρὰ τοῦ Σηεὶρ.

Αὕτη ἡ φωνὴ τοῦ πάντων κρατοῦντος Θεοῦ τῷ προφήτῃ λεγόντος, ὡς αὐτίκα δὴ μάλα πολέμου τῆς τῶν Ἰδουμαίων κατασκήψαντος γῆς, τραπήσονται πρὸς φυγὴν ἅπαντες οἱ κατοικοῦντες αὐτήν. Σηεὶρ δὲ τῆς Ἰδουμαίας ὄρος ἐστὶ παμμέγεθες, ὑφ' ᾧ λέγεται λαμπρὰ παρ' αὐτοῖς εἶναι πόλις. Ὡς οὖν μελλόντων ὡς οὐδέπω τραπέσθαι πρὸς φυγὴν τῶν ἐξ ὄρους Σηεὶρ, ἤτοι τῶν Ἰδουμαίων, Πρὸς ἐμὲ, φησὶ, κάλει, τοῦτ' ἔστιν, ἡκέτωσαν οἱ ἐκεῖθεν φεύγοντες εἰς τὴν Ἰουδαίαν. Ὥσπερ γὰρ ἐπετώθαζον τοῖς ἐξ Ἰσραὴλ καταφεύγουσι παρ' αὐτοὺς, οὕτω γελασθήσονται, φησὶ, τὰ ἴσα δρῶντες αὐτοῖς, καὶ τῆς Βαβυλωνίων χειρὸς ἡττώμενοι.

Φυλάξατε ἐπάλξεις, φυλάξω τὸ πρωῒ καὶ τὴν νύκτα.

Ἔστι μὲν ὁ λόγος ὡς πρὸς Ἰδουμαίους, μονονουχὶ κατονειδίζοντος αὐτοῖς τοῦ Θεοῦ τὸ εἰκαῖον εἰς πόνους, τοὺς ἐπί γε τὸ δεῖν ἀμύνεσθαι τοὺς ἐχθροὺς, γλίχεσθαι δὲ κατ' οὐδένα τρόπον τῆς παρ' αὐτοῦ σωτηρίας καὶ ἀρωγῆς. Μελλούσης γὰρ ἔσεσθαι τῆς τῶν Ἀσσυρίων ἐφόδου, καὶ τῶν πόλεων ἀποφράττοντες εἰσβολὰς, τὰς ἐπάλξεις ἐτήρουν. Ἀλλ' ἦν ἀνόνητον τὸ χρῆμα αὐτοῖς. Ἥλωσαν γὰρ αἱ παρ' αὐτοῖς πόλεις, καὶ οὐδεὶς ἦν παντελῶς ὁ σωζόμενος. Ἐν ἤθει τοίνυν ὁ παρὰ Θεοῦ πρὸς αὐτοὺς γέγονε λόγος· Ναὶ, φησὶν, ὀρθὰ καὶ εἰκότα βουλεύεσθε, φυλάσσετε τὰς ἐπάλξεις. Εἶτα ὡς παρ' αὐτῶν, Φυλάσσω τὸ πρωῒ, καὶ τὴν νύκτα. « Ἀλλ' ἐὰν μὴ ὁ Κύριος φυλάξειε πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. » Ἔδει γὰρ μᾶλλον ἐπικουρίαν ζητεῖν τὴν ἄνωθεν καὶ παρὰ Θεοῦ, καὶ οὐχὶ δὴ μᾶλλον ἐπιθαρσῆσαι λίθοις. Κατασεσεῖσθαι γὰρ οὕτω φασὶν τῶν παρ' αὐτοῖς πόλεων τείχη, ὡς λίθον ἐπὶ λίθον οὐχ ὁρᾶσθαι κείμενον.

Ἐὰν ζητῇς ζήτει, καὶ παρ' ἐμοὶ οἴκει, ἐν τῷ δρυμῷ ἑσπέρας κοιμηθήσῃ.

Εἰ γὰρ δὴ βούλοιο, φησὶν, ἐπικουρίαν ζητεῖν, ζήτει ταύτην παρ' ἐμοῦ τοῦ διασώζειν ἰσχύοντος, καὶ οἴκει παρ' ἐμοὶ, τοῦτ' ἔστιν, ἐμὸς ἔσο καὶ φρόνει τὰ ἐμὰ, τῆς τῶν ψευδωνύμων θεῶν λατρείας σαυτὸν ἀφιστάς. Τοιοῦτόν τί φησιν ὁ Σωτήρ· « Ὁ ἐμὲ ἀγαπῶν, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔστω. » Κατατρεχούσης τοίνυν, φησὶ, τῆς τῶν πολεμίων φάλαγγος τὴν τῶν Ἰουδαίων ἅπασαν γῆν, ἔξω καὶ οἴκων ἢ καὶ πόλεων, καὶ ἐν τῷ δρυμῷ ἑσπέρας κοιμηθήσῃ, τοῦτ' ἔστιν, ὁμοῦ τοῖς ἀγρίοις καταλύσει θηρίοις· καταυλισθήσῃ δὲ καὶ ἐν τοῖς ἕλεσιν, οὕτω τε λοιπὸν τῆς εἰς ἀδελφοὺς ὠμότητος πραχθήσῃ τὰς δίκας.

Ἐν τῇ ὁδῷ Δαιδὰν, εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε, οἱ ἐνοικοῦντες ἐν χώρᾳ Θεμὰν, ἄρτοις συναντᾶτε τοῖς φεύγουσι διὰ τὸ πλῆθος τῶν

est autem ad singula tractanda, prout eorum quæ scripta sunt ordo postulat.

VERS. 11. *Ad me clama de Seir.*

Hæc vox est omnipotentis Dei alloquentis prophetam. Perinde quasi bellum terræ Idumæorum primo quoque tempore ingrueret, vertentur in fugam omnes qui eam inhabitant. Seir vero mons ingens est Idumææ, in quo illustris urbs apud eos esse dicitur. Quasi igitur montani Seir, id est Idumæi, jamjam fugam pararent: Ad me, inquit, clama, id est, veniant qui hinc fugiunt, in Idumæam. Nam ut Israelitas apud eos profugos sannis et scommatis exceperunt, sic irridebuntur, inquit, et par pari referent illis, cum Babyloniorum manu victi fuerint.

VERS. 12. *Custodite propugnacula, custodiam mane et noctu.*

Sermo est Dei velut ad Idumæos, quibus vanos et irritos labores quos in propulsandis hostibus collocaverunt, ab ipso salutem auxiliumque nulla ratione expetentes objicit. Imminente enim Assyriorum incursione, urbium obstructo et præcluso **312** aditu propugnacula custodiebant ac defendebant, sed res erat ipsis inutilis. Occupatis enim eorum urbibus, nemo prorsus evasit. Itaque habetur ad eos a Deo oratio moribus accommodata: Certe enim, ait, recta et consentanea decernite, custodite propugnacula. Deinde respondetur quasi ab illis: Custodiam mane et nocte. « Sed nisi Dominus custodierit civitatem, frustra vigilat qui custodit [59]. » Oportebat enim potius supernum auxilium a Deo quærere, et non lapidibus confidere. Sic enim narrant urbium mœnia concussa fuisse, ut lapis lapidi suppositus non videatur.

VERS. 13. *Si quæsieris, quære, et apud me habita, in saltu vesperi dormies.*

Si enim volueris, inquit, præsidium quærere, hoc a me qui servare valeo quære, et apud me habita, id est, mecum esto et mea sapito, a falso nominatorum deorum cultu teipsum conservato. Tale quid Servator ait: « Qui me amat, sequatur me: et ubi ego sum, ibi et minister meus sit [60]. » Phalange ergo, inquit, hostium universam terram Idumæorum incursante, ex ædibus deturbaberis et ex urbibus, et in silva vesperi dormies: id est, una cum silvestribus feris diversaberis, et in paludibus commoraberis, atque ita crudelitatis erga fratres in posterum pœnas persolves.

VERS. 14, 15. *In via Dædan, in occursum sitienti aquam ferte, qui inhabitatis regionem Themani, panibus occurrite fugientibus propter multitudinem fugien-*

[59] Psal. CXXVI, 1. [60] Joan. XII, 26.

tium et propter multitudinem errantium, et propter multitudinem gladiorum, et propter multitudinem arcuum extentorum, et propter multitudinem cadentium in bello.

Idumæos qui impie patrarant accusat, quemadmodum jam dixi, idque Abdiæ prophetæ voce. Cum enim Israelitis in miserias insanabiles incidentibus succurrere et condolere debuissent, hoc minime fecerunt, sed ab omni pietatis affectu alieni et præfracti, et Assyriorum crudelitate immaniores esse videbantur, et cum omnino manu eorum effugere non valerent, crudeliter interimebant. In quo igitur bene audire eos oportuisset, si fecissent, hoc cum non fecerint, accusat dicens: In via Dædan, in occursum sitienti **313** aquam ferte, qui habitatis in regione Theman, cum panibus occurrite fugientibus. Oportuit enim, oportuit, inquit, vos qui australem habetis regionem, Theman enim interpretatur *Auster*, in via Dædan, fugientibus et errantibus panes et aquam adducere, et charitatis officia erga fratres, ut æquum est, studiose et incunctanter exsequi, et non belluino more resistere, et quodammodo afflictis jam insultare, et jugum adeo acerbis asperisque calamitatibus pressorum aggravare. Æquum ergo fuerat amanter occurrere fugientibus. Versi sunt enim in fugam domo et urbibus spretis, propter gladiorum et crudelissimorum arcuum multitudinem, et quia complures ceciderunt, innumerabilesque apud eos mortui fuerunt.

VERS. 16, 17. *Quia sic dixit mihi Dominus: Adhuc annus, quasi annus mercenarii, deficiet gloria Cedar, et residuum arcuum fortium filiorum; Cedar erit exiguum, propterea locutus est Dominus Deus Israel.*

Quod prope sit et quasi in foribus Idumææ interitus, et quod prorsus penitusque ad internecionem abituri, incendentibus ipsorum urbes Babyloniis, et cunctam regionem devastantibus, perspicue prænuntiat: Unus enim, inquit, erit annus intermedius, et sagittarii Cedar, qui mirum in modum hac de re sibi placebant, deficient et disperibunt. Verum erit hoc vaticinium. Dominus enim locutus est, Dominus Deus Israel. Veritas autem minime mentietur. Annum mercenarii dicit, exacte et præcise ad calculos revocatum. Qui enim in servitute sudorem tolerat, et se mercede addixit alteri, subtiliter et accurate rationem init semper temporis suæ conductionis. Hæc quidem quod ad litteram attinet. Ac de historia jam dictum sit. Hujus autem sermonis vim ad sanctam Ecclesiam ejusque alumnos, et ad heterodoxorum greges referentes illud dicimus, Græcorum agmina non raro adversari his qui recte sentiunt et qui natura et vere universitatis opificem ac Dominum adorare volunt, eos acerbis prosequi insectationibus ac persecutionibus, intolerandisque interdum laboribus involvere. Similiter etiam qui impiarum hæreseon virus animo et pectore habent, etsi **314** Christianorum nomen furati sunt, et fraternitatem nobiscum simu-

A *φευγόντων, καὶ διὰ τὸ πλῆθος τῶν πλανωμένων, καὶ διὰ τὸ πλῆθος τῆς μαχαίρας, καὶ διὰ τὸ πλῆθος τῶν τοξευμάτων τῶν διατεταμένων, καὶ διὰ τὸ πλῆθος τῶν πεπτωκότων ἐν τῷ πολέμῳ.*

Ἀνόσια πεπραχότας καταιτιᾶται τοὺς Ἰδουμαίους, καθάπερ ἤδη προεῖπον, καὶ διὰ φωνῆς Ἀβδίου τοῦ προφήτου. Καίτοι γὰρ δέον ἀνηκέστοις περιπεσοῦσι συμφοραῖς τοῖς ἐξ Ἰσραὴλ ἐπαμῦναι συνηλγηκότας, τοῦτο μὲν οὐκ ἔδρων· ἀφιλόστοργοι δὲ καὶ ἀτεράμονες, καὶ τῆς τῶν Ἀσσυρίων ὠμότητος ἀγριώτεροι κατεφαίνοντο, τοὺς καὶ ὅλως διαφυγεῖν ἰσχύσαντας τὰς ἐκείνων χεῖρας, ὠμῶς ἀποσφάττοντες. Ὅπερ οὖν ἔδει ποιοῦντας εὐδοκιμεῖν, τοῦτο μὴ πεποιηκότας τε..... λέγων· Ἐν τῇ ὁδῷ Δαιδὰν εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε, οἱ ἐνοικοῦντες ἐν χώρᾳ Θεμὰν, B ἄρτοις συναντᾶτε τοῖς φεύγουσιν. Ἔδει γὰρ, ἔδει, φησὶν, ὑμᾶς, τοὺς τὴν νοτίαν ἔχοντας χώραν, Θεμὰν γὰρ ἑρμηνεύεται *Νότος*, τοῖς ἐν τῇ ὁδῷ Δαιδὰν φεύγουσί τε καὶ πλανωμένοις ἄρτους τε καὶ ὕδωρ προσάγειν, καὶ τὰ ἐξ ἀγάπης τοῖς ἀδελφοῖς πρεπούσης περαίνειν ἐπείγεσθαι μᾶλλον, καὶ οὐκ ἀντιφέρεσθαι θηριοπρεπῶς τοῖς ἤδη παθοῦσιν, ἐναλομένους τρόπον τινὰ, καὶ καταφορτίζοντας τὸν ζυγὸν τῶν ἤδη πεπιεσμένων ταῖς οὕτω πικραῖς καὶ ἀτιθάσσοις συμφοραῖς. Ἔδει τοίνυν τοῖς φεύγουσιν ὑπαντᾷν φιλοφρόνως. Ἐτρέποντο γὰρ εἰς φυγὴν, οἴκων τε καὶ πόλεων ἀλογήσαντες, διὰ τὸ πλῆθος τῆς μαχαίρας καὶ τῶν δεινῶν τοξευμάτων· καὶ ὅτι πολλοῖς πεπτώκασι, καὶ ἀριθμοῦ κρείττονες γεγόνασι παρ' αὐτοῖς οἱ νεκροί.

C *Ὅτι οὕτως εἶπέ μοι Κύριος· Ἔτι ἐνιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ, ἐκλείψει ἡ δόξα Κηδὰρ, καὶ τὸ κατάλοιπον τῶν τοξευμάτων τῶν ἰσχυρῶν υἱῶν· Κηδὰρ ἔσται ὀλίγον, διότι Κύριος ἐλάλησεν ὁ Θεὸς Ἰσραήλ.*

Ὅτι γέγονεν ἐγγὺς, καὶ οἷον εἴσω βέβηκε θυρῶν ὁ τῆς Ἰδουμαίας ὄλεθρος, καὶ ὅτι πάντη τε καὶ πάντως οἰχήσονται πρὸς ἀπώλειαν, κατεμπιπράντων αὐτοῖς τὰς πόλεις τῶν Βαβυλωνίων, καὶ ἅπασαν δὲ καταδηούντων τὴν χώραν, προαπαγγέλλει σαφῶς· Εἷς γὰρ ἔσται, φησὶν, ἐνιαυτὸς ὁ μεταξὺ, καὶ οἱ τῆς Κηδὰρ τοξευταὶ, καί τοι, φησὶν, οὐκ ἀθαύμαστον ἐπ' αὐτῷ δὴ τούτῳ τὴν ὑπόληψιν ἐσχηκότες, ἐκλείψουσί τε καὶ ἀπολοῦνται· καὶ ἀληθὴς ἡ προαγόρευσις. Κύριος D γὰρ ἐλάλησεν ὁ Θεὸς Ἰσραήλ· ψεύσεται δὲ οὐδαμῶς ἡ ἀλήθεια. Ἐνιαυτοῦ γε μὴν μισθωτοῦ φησι τὸν ἀκριβῶς ἐκμετρούμενον. Ὁ γάρ τοι τοὺς ἐπὶ ταῖς θητείαις ἱδρῶτας εἰσελθὼν, καὶ ἀπομισθώσας ἑαυτὸν ἑτέρῳ, λεπτῶς τε καὶ ἀκριβῶς ἀεί πως περιεργάζεται τοῦ τῆς μισθώσεως χρόνου τὸ μέτρον. Καὶ ταυτὶ μὲν τό γε ἧκον εἰς γε τὸ γράμμα, καὶ μέν τοι τὴν ἱστορίαν εἰρήσθω νυνί. Περιενεγκόντες δὲ τοῦ λόγου τὴν δύναμιν εἰς τὸ τὴν ἁγίαν Ἐκκλησίαν καὶ τοὺς ταύτης τροφίμους, καὶ μὴν καὶ εἰς τὰς τῶν ἑτεροδόξων ἀγέλας, ἐκεῖνό φαμεν· ὅτι κατεπιφύονται πλειστάκις τὰ Ἑλλήνων στίφη τῶν ὀρθὰ φρονεῖν εἰωθότων, καὶ τὸν φύσει τε καὶ ἀληθῶς τῶν ὅλων δημιουργὸν καὶ Κύριον προσκυνεῖν ἑλομένων. Εἶτα διωγμοῖς ὑποθέντες πικροῖς, ἀφορήτοις ἔσθ' ὅτε περιβάλλουσι

πόνοις. Ὁμοίως δὲ καὶ οἱ τῶν ἀνοσίων αἱρέσεων τὸν ἰὸν εἰς νοῦν ἔχοντες καὶ καρδίαν, καίτοι τὸ Χριστιανῶν ὄνομα κλέπτοντες, ὑποπλαττόμενοί τε τὴν πρὸς ἡμᾶς ἀδελφότητα, τὰς τῶν ἐχθρῶν ἀγριότητας νικῶσιν ἔσθ' ὅτε, ἀφιλόστοργοί τε καὶ ἀπηνεῖς. Καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων ὑπάρχοντες δι' αὐτῶν ἐλέγχονται τῶν πραγμάτων; ἀλλ' οὐχ εἰς ἅπαν αὐτοῖς διακαρτερήσει Θεὸς, ἀνέξεται δὲ οὐδαμῶς ἀφιλοστοργούντων ἄγαν, ἐποίσει δὲ μᾶλλον αὐτοῖς τὰ ἐξ ὀργῆς καὶ δίκης.

A lant, immanitatem etiam hostilem interdum superant, a charitate et pietate alieni et immites. Nam quid horum est, cujus affines esse reipsa non deprehenduntur? At omnino eos non feret Deus, nec eos qui sic ad omnem humanitatis et pietatis affectum obduruerunt sustinebit, at illis quæ ira, quæ justitia flagitat, irrogabit.

ΤΟΜΟΣ Ε'.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΦΑΡΑΓΓΟΣ ΣΙΩΝ.

Τὴν τῶν Αἰγυπτίων, Ἀσσυρίων τε καὶ Ἰδουμαίων ἅλωσιν προηγορευκὼς ὁ προφήτης, ἐπ' αὐτὴν ἔρχεται τὴν ἁγίαν πόλιν, τοῦτ' ἔστι τὴν Ἱερουσαλὴμ· καὶ τὰ συμβησόμενα αὐτῇ κατὰ καιροὺς ἐκ θείας ὀργῆς προαφηγεῖται χρησίμως· ἵν' εἰδεῖεν, ὅτι δικαιοσύνης ὑπάρχων πρύτανις ὁ τῶν ὅλων Θεὸς, μᾶλλον δὲ αὐτὸ χρῆμα δικαιοσύνη· οὐ τὸν οἰκεῖον ἁπλῶς γεγονότα, διά γε τοῦ πεπαιδαγωγεῖσθαι νόμῳ, τιμᾷ καὶ προσίεται, καὶ φροντίδος ἀξιοῖ· δοκιμάζει δὲ μᾶλλον τὰ ἑκάστῳ βεβιωμένα, καὶ τοῖς μὲν ἀγαθοῖς τὴν ἕξιν διανέμει τὰ ἀγαθά· ἡγεῖται δὲ ξένον καὶ κατ' οὐδένα τρόπον αὐτῷ προσοικειούμενον τὸν τῆς φαυλότητος ἐραστὴν, κἂν εἴ τις εἴη τυχὸν ἀγαπητὸς διὰ τοὺς πατέρας. Ὤοντο τοίνυν ἐκ πολλῆς ἄγαν ἀμαθίας τῶν Ἰουδαίων οἱ δῆμοι, καὶ ἀνάλωτοι παντελῶς ἔσεσθαι τοῖς ἐχθροῖς, καὶ οὐδενὸς τὸ σύμπαν ἐπιπηδῶντος αὐτοῖς, τὸν ἠρεμαῖόν τε καὶ ἐν πολλαῖς ἄγαν εὐημερίαις διαβιῶναι βίον, καίτοι Θεῷ προσκρούοντες, καὶ εἰς πολλὴν ἄγαν ἀσέβειαν ἀπονενευκότες. Προσκεκυνήκασι γὰρ εἰδώλοις, καὶ ὑποκάτω δρυὸς καὶ λεύκης ἀναθέντες ἕδη καὶ βωμοὺς τοῖς ματαίοις θυσίας προσῆγον καὶ σπονδὰς ἐπετέλουν, τῆς ὀφειλομένης τῷ παναγίῳ Θεῷ δόξης εἰς ἅπαν ἠφειδηκότες. Καὶ γοῦν διὰ φωνῆς Ἱερεμίου φησὶ πρὸς αὐτοὺς περὶ τῆς Ἱερουσαλὴμ· «Καὶ μὴ λέγετε ὅτι, Ναὸς Κυρίου ἐστὶν, ὅτι ἐὰν μὴ διορθοῦντες διορθώσητε τὰς ὁδοὺς ὑμῶν, καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ δώσω τὸν οἶκον τοῦτον ὥσπερ Σηλώμ.» Κατῃτιᾶτο δὲ πάλιν αὐτοὺς διὰ Μιχαίου τοῦ προφήτου λέγων· «Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίνοντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν Κύριον ἐπανεπαύοντο λέγοντες· Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστιν; Οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. Διὰ τοῦτο δι' ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ ὄρος τοῦ οἴκου ὡς ἄλσος δρυμοῦ.» Ὀξὺ δὲ ὅτι τὸ τοῦ Θεοῦ κρίμα κατὰ παντὸς ἔρχεται τοῦ πλημμελεῖν εἰωθότος φανερὸν αὐτοῖς ἐποίει λέγων καὶ ὁ θεσπέσιος Ἰωάννης· «Γεννήματ' ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, ὅτι Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δέν-

TOMUS V.

VISIO VALLIS SION.

Ægyptiorum, Assyriorum et Idumæorum captivitatem cum propheta prædixerit, ad ipsam sanctam B civitatem, id est Jerusalem, accedit, quæque illi defluxu temporum ex divina ira contingent, opportune denuntiat: ut universitatis Deum, justitiæ administratorem, imo vere ipsam justitiam videant, non simpliciter quod per legis pædagogiam intimi et conjunctissimi essent, propterea eos colere, recipere et cura dignari: sed potius quid in vita a quoquam fit, explorare, et bonis quidem virtutis habitu confirmatis bona distribuere, vitiositatis autem amantem, quasi nulla secum necessitudine junctum, peregrinum ducere: quantumvis forte propter patres charus atque dilectus fuerit. Existimavit igitur præ insigni quadam stupiditate populus Judaicus, ab hostibus nullo modo captum iri, nec ullam C prorsus impressionem facturos, at sedatam et altissima tranquillitate circumfluentem vitam victurum, etiamsi Deum offenderit, et in summam impietatem pervolutus fuerit. Idolis enim procubuerunt, et sub quercu ac populo delubris et aris erectis, vanis diis sacrificia fecerunt, illisque, gloria sanctissimo Deo debita prorsus contempta, liba obtulerunt. Etenim voce Jeremiæ affatur Hierosolymitanos: «Nolite dicere: Templum Domini est, quia si vere et serio non correxeritis vias vestras et studia vestra, etiam domum hanc faciam quasi Selom [91].» Sugillavit item illos per Michæam prophetam dicens: «Præfecti **315** ejus propter munera judicabant, et sacerdotes ejus propter mercedem respondebant, et prophetæ ejus propter argentum vaticinabantur, et in Domino D acquiescebant, dicentes: Nonne Dominus in nobis est? Non venient in nos mala. Ideo propter vos Sion ut ager arabitur, et Jerusalem ut pomorum custodia erit, et mons domus Domini, quasi saltus silvæ [92].» Quod autem judicium Dei acre contra omnem delinquentem veniat, perspicuum fecit illis etiam divinus Baptista Joannes, inquiens: «Progenies viperarum, quis submonstravit vobis ut fugeretis a futura ira? Facite igitur fructus dignos resipiscentiæ, et ne putate dicendum apud vos ipsos, Patrem habemus Abraham: dico enim vobis, posse Deum ex lapidibus istis excitare filios Abraham. Jam vero securis ad radicem arborum posita est: omnis igitur arbor quæ non fert fructum bonum, exscinditur

[91] Jerem. VII 4 14. [92] Mich. III, 11, 12.

et in ignem mittitur [23]. » Proinde cum Israel effrenata libidine ad peccandum propenderet, et, ut jam dixi, commentitiis idolorum cultibus adhæresceret, futuram Hierosolymorum cursu temporum captivitatem præsignificat Deus per prophetam, et inquit :

CAP. XXII. VERS. 1, 2. *Quid factum est tibi, quod nunc ascendistis omnes tecta vana? Plena est civitas clamantibus : vulnerati tui, non vulnerati gladio, nec mortui tui, mortui bello.*

Videtur hic devastationem temporibus Jechoniæ demonstrare : graviterque Israelitas perstringit, utpote qui in ipsis jam malis, et in urgentissimis gravissimisque calamitatibus, quod ex re est, quodque benevolentiam e supernis conciliaret, facere recusarunt. Nam flere et plorare oportuit, et in domum Dei ascendere, et pœnitentiam edicere, et oblivionem eorum quæ debacchati sunt poscere, ac manum subsidiariam ab eo solo petere. Hoc illos docebat dicens apud prophetam quemdam sanctum scriptum esse : « Circumcincti estote et plangite, sacerdotes; flete, vos qui ministratis altari; ingredimini, dormite in saccis, qui ministratis Deo, quia defecit ex domo Dei vestri sacrificium et libatio; sanctificate jejunium, prædicate cultum, convocate seniores omnes inhabitantes terram in domum Dei vestri, clamate ad Dominum jugiter : Heu, heu, per diem [24]. » **316** Hæc igitur fecisse oportuit, et concitatum qui servare potest, emollire. Cæterum elati forsitan et turgidi fiducia, hæc debere se facere ne cogitarunt quidem, et contra ritus patrios et vernaculos, ad excelsa redierunt. Erant autem luctus undique, et lamenta feminarum et liberorum, fame et siti confectorum. Nam urbibus obsidione cinctis, hæc usuvenire necessum est. Hinc inquit : Quid factum est tibi, quod nunc ascendistis omnes tecta vana? Quare enim, inquit, in his adeo intolerandis terroribus, cum de summa rerum sermones et omne certamen vobis est, non clamastis ad Deum : sed in ædiculas assiliistis, etsi res ea nihil vobis emolumenti afferat? Propterea etiam vana tecta vocat. Cur etiam impleta est civitas clamantibus? non sane ad Deum, sed frustra vociferantibus, et cum tantum non in foribus essent mala, haud modice indolescentibus. Oportebat fletum esse ad resipiscentiam, oportebat lacrymas effundi ad Deum. Ecce, inquit, priusquam susciperetis bellum, priusquam arriperetis gladium, priusquam oppugnationem moliremini, plena facta est cadaveribus civitas. Utile igitur et ad salutem necessarium est, ut ex quibus Deum Servatorem conciliare quis possit, ea rite præstet, etiamsi in acerbissimis calamitatibus versetur. Psallit itaque et ait beatus David : « Domine Deus virtutum, beatus homo qui sperat in te [25]. » Sciendum porro nominare eum vallem Sion, Jerusalem. Est enim mons

δρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. » Ἀχάλινον τοίνυν ἔχοντος Ἰσραὴλ ἐπὶ τὸ χρῆναι πλημμελεῖν τὴν ἐπίδοσιν, προσκειμένου τε καθάπερ ἔφην ἀρτίως, ταῖς τῶν εἰδώλων ψευδολατρείαις, τὴν ἐσομένην τῶν Ἱεροσολύμων κατὰ καιροὺς ἅλωσιν προαναφαίνει Θεὸς διὰ τοῦ προφήτου, καί φησιν·

Τί ἐγένετό σοι νῦν, ὅτι ἀνέβητε πάντες εἰς δώματα μάταια; Ἐνεπλήσθη ἡ πόλις βοώντων· οἱ τραυματίαι σου, οὐ τραυματίαι μαχαίρας, οὐδὲ οἱ νεκροί σου, νεκροὶ πολέμου.

Ἔοικε μὲν οὖν τὴν ἐν καιροῖς Ἰεχονίου δῄωσιν ἐνθάδε δηλοῦν· αἰτιᾶσαι δὲ λίαν τοὺς ἐξ Ἰσραὴλ, ὡς μηδὲ ἐν αὐτοῖς τοῖς κακοῖς, καὶ οὕτως ἄγαν ἀκμαιοτάταις συμφοραῖς κατορθοῦν εἰδότας τὸ τελοῦν εἰς ὄνησιν, καὶ ὅπερ ἔμελλεν αὐτοῖς εὐμενείας τῆς ἄνωθεν ἔσεσθαι πρόξενον. Ἔδει γὰρ κλαίοντάς τε καὶ ὀλοφυρομένους ἀναβαίνειν μὲν εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἐπαγγέλλεσθαι δὲ τὴν μετάγνωσιν, καὶ τῆς ἐφ' οἷς πεπαρῳνήκασιν ἀναμνηστείαν αἰτεῖν, καὶ τὴν παρ' αὐτοῦ καὶ μόνου ζητεῖν ἐπίκουρον χεῖρα. Καὶ τοῦτο αὐτὸς ἐδίδαξε λέγων δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Περιζώσασθε καὶ κόπτεσθε, οἱ ἱερεῖς, θρηνεῖτε, οἱ λειτουργοῦντες θυσιαστηρίῳ, εἰσέλθετε, ὑπνώσατε ἐν σάκκοις, οἱ λειτουργοῦντες Θεῷ, ὅτι ἀπέσχεν ἐξ οἴκου ὑμῶν θυσία καὶ σπονδή· ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε πρεσβυτέρους πάντας κατοικοῦντας γῆς εἰς οἶκον Θεοῦ ὑμῶν, καὶ κεκράξατε πρὸς Κύριον ἐκτενῶς, Οἴμοι, οἴμοι, εἰς ἡμέραν. » Ταῦτα δὴ οὖν ἔδει δρῶντας αὐτοὺς ἐκμειλίσσεσθαι παρωξυμμένον τὸν διασώζειν ἰσχύοντα. Οἱ δὲ ταυτὶ μὲν ὅτι προσήκει δρᾷν, οὐδὲ εἰς νοῦν τάχα που πληροῦντες ἐδέχοντο, ἀνεφοίτων δὲ εἰς τὰ ἀνώτατα τῶν οἰκειῶν, καὶ κόμμοι μὲν ἦσαν πανταχοῦ, θρῆνοι δὲ παίδων, λιμῷ τάχα που καὶ δίψει δαπανωμένων. Ταυτὶ γὰρ συμβαίνειν ἀνάγκη ταῖς τῶν πόλεων πολιορκουμέναις. Ταύτητοί φησι· Τί ἐγένετό σοι νῦν, ὅτι ἀνέβητε πάντες εἰς δώματα μάταια; Διὰ τί γὰρ, φησὶ, καὶ ἐν τοῖς οὕτως ἀφορήτοις δείμασι, καὶ ὅτι περὶ τῶν ἐσχάτων ὑμῖν οἱ λόγοι, καὶ ὁ σύμπας ἀγὼν, οὐχὶ δὴ κεκράγατε πρὸς Θεὸν, ἀνεπηδήσατε δὲ μᾶλλον εἰς δώματα, καίτοι τοῦ πράγματος ὑμᾶς ὠφελοῦντος οὐδέν; Διὰ τοῦτο γὰρ καὶ μάταια δώματά φησι. Διὰ τί καὶ ἐνεπλήσθη ἡ πόλις βοώντων; οὐχὶ δὴ μᾶλλον πρὸς Θεὸν, ἀλλ' εἰκῇ κεκραγότων, καὶ μονονουχὶ τοῖς εἴσω θυρῶν γεγονόσι κακοῖς οὐ μετρίως ἐπασχαλλόντων. Ἔδει τὸν θρῆνον εἶναι πρὸς μετάγνωσιν, ἔδει τὸ δάκρυον καταχεῖσθαι πρὸς Θεόν. Ἰδοὺ, φησὶ, πρὶν ἅψασθαι μάχης, πρὶν ἐπιλαβέσθαι μαχαίρας, πρὶν μελετῆσαι τὴν ἀντίστασιν, πλήρης γέγονε νεκρῶν ἡ πόλις. Χρήσιμον οὖν ἄρα καὶ ἀναγκαῖον εἰς σωτηρίαν, τὸ εἰδέναι κατορθοῦν τὰ δι' ὧν ἄν τις ἔχοι σώζοντα Θεὸν, κἂν εἰ ἐν πικραῖς γένοιτο συμφοραῖς. Ψάλλει γοῦν καί φησιν ὁ μακάριος Δαβίδ· « Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. » Ἰστέον δὲ ὅτι φάραγγας Σιὼν ὀνομάζει τὴν Ἱερουσαλήμ. Ἔστι μὲν γὰρ ὄρος ἤγουν ἐν ὄρει ἡ Σιών· ὑπο-

[23] Matth. III, 7-10. [24] Joel I, 13-15. [25] Psal. LXXXIII, 13.

κειται δὲ ταῖς ὑπωρείαις Ἱερουσαλὴμ, ὅθεν αὐτὴν καὶ τῆς Σιὼν ἀποκαλεῖ φάραγγα.

Πάντες οἱ ἄρχοντές σου πεφεύγασιν, καὶ οἱ ἁλόντες σκληρῶς δεδεμένοι εἰσὶ, καὶ οἱ ἰσχύοντες ἐν σοὶ πόῤῥω πεφεύγασιν.

Καταλελοιπότες, ὡς ἔφην, τὸν τῶν ὅλων σωτῆρα Θεὸν τῶν Ἰουδαίων οἱ δῆμοι, καὶ ταῖς ἐξ ἀνθρώπων ἐπικουρίαις ἐπιθαρσήσαντες, σώζεσθαι προσεδόκων. Ἐπειδὴ δὲ ἧκον οἱ πολέμιοι, καὶ ἐν ἀκμαῖς ἦν ὁ τοῦ παθεῖν φόβος, καὶ περιεστῶσας ἤδη τὴν χώραν ἤγουν τὴν ἁγίαν πόλιν τὰς τῶν Ἀσσυρίων τεθέανται φάλαγγας, ἀπεπήδησαν οἱ ἐν τέλει καὶ ἐν ταῖς ἀνωτάταις τιμαῖς· καθάπερ νηὸς βαπτιζομένης ἀπενήχοντο σώζοντες ἑαυτοὺς, καὶ τοῖς ἐπ' αὐτοὺς ἠλπικόσι μονονουχὶ ἐῤῥῶσθαι φράσαντες. Πεφεύγασι τοίνυν ἅπαντες, φησὶν, οἱ πάλαι σε σώζειν ὑπισχνούμενοι, καὶ δυσκαταγώνιστον ἔχειν ὑπονοηθέντες χεῖρα· οἱ δὲ δὴ καὶ ἁλόντες σκληρῶς δεδεμένοι εἰσίν. Συνελήφθη γὰρ Σεδεκίας ἅμα τοῖς αὐτοῦ παισί· καὶ τοὺς μὲν ἀπέσφαξαν οἱ Βαβυλώνιοι, τὸν δὲ τῶν ὀμμάτων ἐκκεκομμένων ἀπεκόμισαν εἰς τὴν ἑαυτῶν. « Ματαία τοίνυν ἡ σωτηρία ἀνθρώπων, » κατὰ τὸ γεγραμμένον. Δεῖ δὲ δὴ μόνῳ προσκεῖσθαι Θεῷ, τὸ σοφὸν ἐκεῖνο διακεκραγότας· « Οὐχ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. » Σώζει γὰρ μόνος ὁ τῶν δυνάμεων Κύριος τοὺς ἀγαπῶντας αὐτὸν, καὶ ἐκ παντὸς ῥύεται κακοῦ, ὥστε καὶ χαίροντας λέγειν· « Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας. »

Διὰ τοῦτο εἶπα, Ἀφετέ με, πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου, ὅτι ἡμέρα ταραχῆς καὶ ἀπωλείας καὶ καταπατήματος παρὰ Κυρίου Σαβαὼθ, ἐν φάραγγι Σιών.

Αὕτη τοῦ προφήτου φωνὴ μονονουχὶ κλαίοντος καὶ ταῖς τοῦ γένους ἐποιμώζοντος συμφοραῖς. Δι' ὧν δὲ παραιτεῖται τοὺς παρακαλεῖν ἰσχύοντας, τὸ τῆς πληγῆς ἐμφανίζει μέγεθος, οἷον οὐκ ἐχούσης θεραπείαν· ἐπενηνεγμένην δὲ μᾶλλον ἀφορήτως αὐτοῖς, πικράν τε καὶ ἀνουθέτητον ἐχούσης τὴν ἔφοδον. Ἡμέρα γὰρ ταραχῆς καὶ ἀπωλείας καὶ καταπατήματος παρὰ Κυρίου Σαβαὼθ ἐπενήνεκται. « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » Ἡ μὲν γὰρ ὀργῆς δίχα τῆς ἄνωθεν ἡ τῆς ἐφόδου παρὰ τῶν Ἀσσυρίων ἐπράττετο, πολλή τις ἄγαν ἐλπὶς τοῖς κάμνουσιν ἦν, τοῦ καὶ ἔσθ' ὅτε κατευμεγεθήσειν δύνασθαι τῶν ἐπιόντων αὐτοῖς, τοῦ πάντων κρατοῦντος Θεοῦ τὴν ἀεὶ σώζουσαν αὐτοῖς ὀρέγοντος χεῖρα. Ἐπειδὴ δὲ αὐτὸς ὁ πλήττων ἐστὶν, καὶ παρὰ Κυρίου τὸ καταπάτημα, τίς ὁ ἀνατρέψων αὐτό; « Ἐὰν γὰρ κλείσῃ κατὰ ἀνθρώπου, τίς ἀνοίξει; » φησίν.

Πλανῶνται ἀπὸ μικροῦ ἕως μεγάλου, πλανῶνται ἐπὶ τὰ ὄρη.

Θαύμαζε τὴν νῆψιν τοῦ πνευματοφόρου. Ἐπειδὴ γὰρ ἔφη παρὰ Κυρίου Σαβαὼθ ἐπενεχθήσεσθαι τὴν ταραχὴν καὶ τὴν ἀπώλειαν καὶ τὴν ἡμέραν τοῦ καταπατήματος, ἵνα μή τις οἴηται μάτην αὐτοῖς τὸν θεῖον

A vel in monte Sion, et in radicibus montis sita est Jerusalem, unde eam Sion vallem appellat.

VERS. 3. *Omnes principes tui fugerunt, et capti graviter vincti sunt, et præpotentes in te longe fugerunt.*

Populus Judaicus, ut dixi, derelicto universorum conservatore Deo, humanis præfidens adminiculis, salutem exspectavit. Cum vero advenissent hostes, et timor malorum crevisset, et quasi maturuisset, vidissentque Assyriorum cohortes regionem jam et sanctam civitatem circumsidere, qui in fastigio erant, summisque potiebantur honoribus, desultarunt, et tanquam navi demersa, spei salutis quam in se collocabant valedicentes, natarunt et **317** fluctuarunt. Fugerunt igitur omnes, qui olim tibi
B salutem promittebant : et qui insuperabilem manum habere putabantur, hi etiam capti, graviter ligati sunt et duriter. Comprehensus est enim Sedecias simul cum suis liberis ; illosque trucidaverunt Babylonii, hunc, oculis exsectis, in suam avexerunt patriam, « Vana igitur salus hominis, » uti scriptum est [96] : at soli Deo adhærescendum, illud sapienter dictum clamando : « Non in arcu meo sperabo, et gladius meus non servabit me [97]. » Servat nimirum solus exercituum Dominus diligentes se, et ex omni malo eruit, ut gaudentes etiam dicant : « Servasti enim nos ab his qui affligunt nos, et qui nos oderunt, confudisti [98]. »

C VERS. 4, 5. *Idcirco dixi, Dimittite me, amare flebo : ne tentate me consolari in contritione filiæ generis mei : quia dies trepidationis, et interitus, et conculcationis a Domino Sabaoth, in valle Sion.*

Hæc est prophetæ vox tantum non flentis, et generis calamitates deplorantis. Cum autem prohibet præpotentes consolationem admovere, plagæ magnitudinem declarat; quippe quæ medicinam reperire non possit, sed intolerabiliter potius inflicta illis sit, cujus ictus sit acerrimus et inevitabilis. Dies enim trepidationis, et interitus, et conculcationis a Domino Sabaoth illata est. « Manum enim excelsam quis avertet [99]? » Si enim Supremo non irato, incursio ab Assyriis facta fuisset, spes foret
D maxima fessis et languescentibus, posse se invadentes, Deo omnium dominatore manum semper illos conservantem porrigente, tandem aliquando superare. At cum is sit qui percutit, et a Domino conculcatio sit, quis evertet hoc, aut labefactabit ? « Si enim contra hominem clauserit, quis, inquit, aperiet [1] ? »

Errant a parvo ad magnum, errant in montibus.

Admirare hujus qui Spiritu afflatus est vigilantiam. Postquam enim dixit, a Domino Sabaoth trepidationem et interitum diemque conculcationis importandam, ne quis abs re autumet divinam in

[96] Psal. LIX, 12. [97] Psal. XLIII, 7. [98] ibid. 8. [99] Isa. XIV, 27. [1] Job XII, 14.

eos iram insiliisse, suspicionem illico amputat eorum qui ex levitate eos ad hanc aliquando stultitiam devenisse opinantur, annectitque apologiam, ut universitatis conditor **318** justus judex esse appareat. « Errant » enim, inquit, « a parvo ad magnum, errant in montibus. » Quid vero istud sit, ex ipsis Dei verbis disces. Dixit enim alicubi beatus Jeremias : Vides quæ fecerunt mihi domus Israel, abierunt ad omnem montem excelsum, et in omnem collem excelsum, et sub omni ligno frondoso, et illic fornicati sunt. Occupantes enim excelsa montium, aras et delubra pararunt. Tum efformato pro suo arbitratu idolo, obtulerunt hostias ei, et religione divina prorsus neglecta, ligno dixerunt : Pater meus es tu : et lapidi : Tu genuisti me. Numquid a paucis hoc factum est? Nequaquam, inquit : ex omni enim genere hominum, ex omni domo quasi aberraverunt, parvi et magni[1]. Siquidem rursus alloquitur beatum prophetam Jeremiam : « Et tu noli orare pro populo isto, et noli rogare pro illis precationem, et orationem, quia non exaudiam. Annon vides, quid tui faciant in civitatibus Juda, et in viis Jerusalem? Filii eorum colligunt ligna, et patres eorum accendunt ignem, et uxores eorum subigunt farinam, ut parent hordeaceos panes militiæ cœli. Et libaverunt liba diis alienis, ut ad iram excitarent me[2]. » Justo igitur calculo puniti sunt. Tribuentes enim creaturæ venerationem, et operibus suarum manuum servientes, ipsi in sua capita divinam iram transfuderunt. Non enim injuste tenduntur retia volucribus, sicuti scriptum est : et pœnis subdit Deus eum qui gloriam suam contumelia afficit, et qui erratica mente ad omnem fœditatem delabitur.

Vers. 6-8. *Elamitæ vero acceperunt pharetras, conscenderunt homines super equos, et convenerunt ad pugnam. Et erunt electæ valles tuæ : et implebuntur curribus, ac equites oppilabunt portas tuas, et patefacient portas Juda, et inspicient die illa electas domos civitatis, et retegent abscondita domorum arcis David.*

Amplificat narrationem, et belli assultum modo non depingit, ac terrore auditores percellit, eos artificiose quasi coercens, ac in arctum cogens, ut pœnitentiam agant, eaque dicit quasi jam præsentes catervas et pro portis videret. Elamitæ **319** sunt quasi ex civitate Persica, qui ex ea nomen sortiti sunt. Aiunt etiam quidam, equites illos esse Saracenos, suntque hi equestres sagittarii, dexterrimi ac peritissimi, asperi et inflexibiles, et misereri nescii. Quod autem sint innumerabiles, docet, inquiens : Electæ valles tuæ replebuntur curribus, et oppilabunt equites portas tuas, ut qui ingredi volunt miris premantur ac cingantur angustiis. Irrumpentes autem in omnem domum splendidam,

A ἐπιπηδῆσαι θυμὸν, ἀνακόπτει παραχρῆμα τὴν ὑπόνοιαν τῶν ἐξ ἐλαφρίας ἔσθ' ὅτε πρὸς τοῦτο μωρίας καθικέσθαι προσδοκωμένων· καὶ συνάπτει τὴν ἀπολογίαν, ἵνα φαίνηται δίκαιος κριτὴς ὁ τῶν ὅλων δημιουργός. « Πλανῶνται » γὰρ, φησὶν, « ἀπὸ μικροῦ ἕως μεγάλου, πλανῶνται ἐπὶ τὰ ὄρη. » Καὶ τί δὴ τοῦτον ἐστὶ, ἐξ αὐτῶν μαθήσεις τῶν τοῦ Θεοῦ ῥημάτων. Ἔφη γάρ που πρὸς τὸν μακάριον προφήτην Ἱερεμίαν· Ἴδες ἃ ἐποίησέν μοι ἡ κατοικία τοῦ Ἰσραὴλ, ἐπορεύθη ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ ἐπόρνευσαν ἐκεῖ. Καταλαμβάνοντες γὰρ τὰ ὑψηλὰ τῶν ὀρῶν, βουνούς τε καὶ τεμένη κατεσκεύαζον. Εἶτα τὸ δοκοῦν διαπλάσαντες εἴδωλον, προσεκόμιζον θυσίας αὐτῷ, καὶ τῆς εἰς Θεὸν εὐσεβείας εἰς ἅπαν ἠφειδηκότες, τῷ ξύλῳ εἶπαν, ὅτι Πατήρ μου εἶ σὺ, B καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με. Ἆρ' οὖν ὀλίγοι τοῦτο πεπόνθασιν; Οὐδαμῶς, φησί· παγγενεὶ γὰρ καὶ πανοικὶ πεπλάνηνται μικροὶ καὶ μεγάλοι. Καὶ γοῦν ἔφη πάλιν πρὸς τὸν μακάριον προφήτην Ἱερεμίαν· « Καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου περὶ αὐτῶν ἐν δεήσει καὶ προσευχῇ, ὅτι οὐκ εἰσακούσομαι. Ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ; Οἱ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ· καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς τοῦ ποιῆσαι χλυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καὶ ἐποίησαν σπονδὰς θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με. » Ὁσίᾳ δὴ οὖν τετιμώρηνται ψήφῳ. Ἀναθέντες γὰρ τῇ κτίσει τὸ σέβας καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν λατρεύσαντες, αὐτοὶ ταῖς οἰκείαις ἐπήντλησαν κεφαλαῖς τὰ ἐκ C θείας ὀργῆς. Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς, κατὰ τὸ γεγραμμένον· καὶ ποιναῖς ὑποφέρει Θεὸς τὸν ἀτιμάζοντα τὴν δόξαν αὐτοῦ, πεπλανημένῃ τε γνώμῃ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀπονενευκότα.

Οἱ δὲ Ἐλαμῖται ἔλαβον φαρέτρας, ἀναβάται ἄνθρωποι ἐφ' ἵπποις, καὶ συναγωγὴ παρατάξεως. Καὶ ἔσονται αἱ ἐκλεκταὶ φάραγγές σου, πλησθήσονται ἁρμάτων, οἱ δὲ ἱππεῖς ἐμφράξουσι τὰς πύλας σου, καὶ ἀνακαλύψουσι τὰς πύλας Ἰούδα· καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους τῆς πόλεως, καὶ ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαβίδ.

Εἰς ὕψος αἴρει τὰ διηγήματα, καὶ τοῦ πολέμου τὴν ἔφοδον μονονουχὶ ζωγραφεῖ, καὶ καταπτοεῖ τοῖς δείD μασι τοὺς ἀκροωμένους, συνελαύνων εὐτεχνῶς ἐπί γε τὸ χρῆναι ἑλέσθαι μετανοεῖν· οὐκοῦν ὡς ἤδη τὰ στίφη παρόντα καταθεώμενος, εἴσω τε πυλῶν γεγονότα τὰ τοιάδε φησίν. Ἐλαμῖται δὲ ὡς ἀπὸ πόλεως Περσικῆς, οἱ ἐξ αὐτῆς ὀνομάζονται. Φασὶ δέ τινες ἱππότας αὐτοὺς εἶναι Σαρακηνοὺς, ἱπποτοξόται δὲ οὗτοι καὶ τῶν ἄγαν εὐστοχωτάτων, σκληροί τε καὶ ἀκαμπεῖς, καὶ τὸ ἐλεεῖν οὐκ εἰδότες. Ὅτι δὲ καὶ ἀριθμοῦ κρείττονες διδάσκει λέγων· Αἱ ἐκλεκταὶ φάραγγές σου πλησθήσονται ἁρμάτων, καὶ, ὅτι ἐμφράξουσιν οἱ ἱππεῖς τὰς πύλας σου, ὡς στενοχωρεῖσθαι λίαν τοὺς ἐλαύνειν ἐθέλοντας· εἰσπηδήσαντες δὲ πᾶσαν οἰκίαν περιεργά-

[1] Jerem. III, 6 seqq.; II, 27 seqq. [2] Jerem. VII, 16 seqq.

σονται λαμπρὰν, ἀνακαλύψουσι δὲ τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαβὶδ, τοῦτ' ἔστι, τὸν πλοῦτον τῶν βασιλέων. Ἐβασίλευον γὰρ οἱ ἐκ φυλῆς Ἰούδα, ἐξ ἧς γέγονε καὶ ὁ μακάριος Δαβίδ. Καὶ ταυτὶ μὲν πρὸς ἱστορίαν εἰρήσθω πάλιν. Εἰ δὲ δὴ καὶ πολεμίων δίκην εἰσελάσειαν εἰς νοῦν τὸν ἀνθρώπινον ἢ λογισμῶν ἀσυνέτων στίφη, ἢ καὶ ἡδονῶν σαρκίνων· καταχρατοῦσι μὲν ὡς ἁλούσης πόλεως· ἅπαντα δὲ αὐτῆς τὸν πνευματικὸν ἀφανίζουσι πλοῦτον, εὐσεβείας ἁπάσης ἐκπέμποντες, καὶ τῶν ἐξ ἀρετῆς ἀπαμφιεννύντες αὐτὸν λαμπρῶν ἀνδραγαθημάτων. Ταύτητοί φησιν ἡ θεόπνευστος Γραφή· « Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπου σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. » Ἀνακοπτόμενα μὲν γὰρ τὰ τοιάδε τῶν παθῶν, ἐπὶ τὸ μεῖον ἔρχεται, καὶ ὀνίνησιν ἡ νῆψις τοὺς κεχρημένους αὐτῇ. Ἀνειμέναις δὲ ὥσπερ καὶ ἀνεπιπλήκτοις ὁρμαῖς ἀεὶ πρὸς τὸ χεῖρον ἐξέρποντα, κατασείουσιν ἐκ βάθρων τοὺς νοητῶς νυστάζοντας.

Καὶ ἴδοσαν ὅτι πλείους εἰσὶν, καὶ ὅτι ἀπέστρεψαν τὸ ὕδωρ τῆς ἀρχαίας κολυμβήθρας εἰς τὴν πόλιν, καὶ ὅτι καθεῖλον τοὺς οἴκους Ἱερουσαλὴμ εἰς ὀχύρωμα τοῦ τείχους τῇ πόλει. Καὶ ἐποιήσατε ἑαυτοῖς ὕδωρ ἀνὰ μέσον τῶν δύο τειχῶν, ἐσώτερον τῆς κολυμβήθρας τῆς ἀρχαίας, καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπαρχῆς ποιήσαντα αὐτὴν, καὶ τὸν κτίσαντα αὐτὴν οὐκ ἴδετε.

Καταιτιᾶται πάλιν τῶν Ἰουδαίων τοὺς δήμους ἤγουν τοὺς προεστηκότας καὶ ταῖς ἀνωτάτω τιμαῖς κατηγλαϊσμένους, ὡς ἡμαρτηκότας μὲν λογισμοῦ τοῦ σώφρονος, πεπραχότας δὲ ἀσυνέτως οὐχ ὅπερ ἦν εἰκὸς διασώζειν δύνασθαι κινδυνεύουσαν τὴν Ἱερουσαλὴμ, ἀλλ' ὅσα τὴν ἐπισκήψασαν αὐτοῖς ὀργὴν ἀγριωτέραν ἐτίθει, καταθηγομένου τρόπον τινὰ καὶ ἔτι μειζόνως εἰς τὴν ἐπ' αὐτοῖς ἀγανάκτησιν τοῦ πάντων κρατοῦντος Θεοῦ, ἅτε δὴ παρεωραμένου, καὶ οὐδενὸς μὲν ἐπ' αὐτῷ πεποιθότος ἔτι· σπουδαῖς δὲ μᾶλλον καὶ ἀνθρωπίνοις ἐπιχειρήμασιν οἰομένων τῶν ἐξ Ἰσραὴλ κατευμεγεθήσειν δύνασθαι τῆς τῶν πολεμίων χειρός. Φασὶ γὰρ ὅτι ἀπαριθμησάμενοι τὰς τῆς πόλεως οἰκίας, εἶτα τὸ ἀπόθετον ὕδωρ ὡσεὶ στοχασμοῖς ἀναμετρησάμενοι, συνεῖδον ὅτι πλείους εἰσὶ, καὶ μετωχέτευσαν τῆς ἀρχαίας κολυμβήθρας τὸ ὕδωρ εἰς τὴν πόλιν, ἵνα ἔχοιεν ὡσπεροῦν ᾤοντο κατὰ σφᾶς αὐτοὺς τὸ ἀρκέσαι δυνάμενον, εἰ καὶ μακρότερος γένοιτό πως ὁ τῆς πολιορκίας καιρός. Καὶ προσέτι τούτῳ τὰς τῶν τειχῶν ὀχυρώσεις ἐποιοῦντο, φησὶ, τὰς τῆς πόλεως οἰκίας κατασείοντες. Καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπαρχῆς ποιήσαντα αὐτὴν, καὶ τὸν κτίσαντα αὐτὴν οὐκ ἴδετε. Ἔδει γὰρ, ἔδει, φησὶ, μὴ ταῖς ἑαυτῶν δυνάμεσιν, ἤγουν εὐτυχίαις ἐπιθαρσῆσαι μᾶλλον, ἀνατεῖναι δὲ τῆς διανοίας τὸν ὀφθαλμὸν εἰς τὸν ἀεὶ τειχίσαντα τὴν ἁγίαν πόλιν. Ὄρη γὰρ, φησὶ, κύκλῳ αὐτῆς καὶ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ὃ καὶ διὰ τῆς τοῦ προφήτου φωνῆς ἐπηγγέλλεται αὐτῇ, λέγων· Καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυ-

A curiose perlustrabunt, et relegent abscondita domorum arcis David, id est regum opulentiam. Regnarunt enim ex tribu etiam Juda, ex qua natus est quoque beatus David. Sed hæc quoad historiam dicta, rursus tractentur. Si hostium instar in mentem humanam irrumpunt, vel rationum stultarum, vel carnalium voluptatum agmina : tanquam captæ civitati dominantur, omnesque ejus divitias spirituales demoliuntur, omnem expellunt pietatem, et virtutis præclaris actionibus eum exuunt et spoliant. Ideo dicit Scriptura divinitus inspirata : « Si spiritus potestatem habentis ascendat in te, locum tuum ne deseras, quia sanitas requiescere faciet peccata magna [4]. » Decurtatæ enim et circumcisæ hujusmodi perturbationes, in nihilum prope recidunt. B Utilis est autem vigilantia his qui ea utuntur: qui vero soluto et laxo quasique incoercito impetu semper vergunt et serpunt in pejus, eos spiritualiter dormitantes, a fundamentis convellunt atque concutiunt.

VERS. 9-11. *Et viderunt quod plures sunt, quodque averterunt aquam antiquæ piscinæ in civitatem, et quod diruerunt domos Jerusalem ad munienda mœnia civitatis. Et fecistis vobis ipsis aquam inter duros muros, intra piscinam antiquam, neque respexistis in eum qui ab initio fecit, et in eum qui condidit eam, non spectastis.*

Iterum accusat Judaicum populum, præfectos nempe summisque ornatos honoribus, utpote a C ratione sana aberrantes, imprudenterque facientes non ea quibus periclitantem Jerusalem servari posse videbatur, sed unde iram eos infestantem magis aggravarent, et exasperarent, cum adhuc magis ad indignationem exacueretur contra eos omnipotens Deus, contemptui **320** habitus et despicatui, in illo nemine jam fidem collocante, sed Israelitis hostilem manum superare se posse studio et conatu humano existimantibus. Etenim narrant recensuisse eos civitatis familias, dein aquam quam repositam domi habebant, quantum conjectura assequi poterant, emensos, cognovisse quod plures essent, derivaruntque veteris piscinæ aquam in civitatem, ut haberent, quemadmodum sibi videbatur, quod posset sufficere, etiamsi tempus obsidionis D protraheretur in longius. Et adhæc, inquit, muros communierunt dirutis urbis domibus. Neque respexistis ad eum qui ab initio fecit, et in eum qui condidit, non spectastis. Oportuit enim, inquit, oportuit, non suis eos copiis, vel artibus confidere, sed mentis oculum ad eum potius qui sanctam urbem semper quasi murus obmunit intendere. Montes enim, inquit, circum eam, et Dominus in circuitu populi sui, qui etiam voce prophetæ ei promissus est, cum ait : Et ego ero ei, dicit Dominus, murus ignis circumquaque, et in gloriam ero in medio ejus ; sed nihili, inquit, hoc fecistis, divina

[4] Eccle. x, 4.

pro nihilo duxistis, et perinde quasi superno auxilio vobis opus non esset, lapidum vallis et sepimentis nixi estis stultissime. Sed longe melius fuisset invictam manum invocare, et ut hæc clementia et humanitate divina acciperent, quærere, illum Servatorem et Redemptorem nominare, sicque affectos ex pœnitentia lacrymas effundere.

VERS. 12-14. *Et vocavit Dominus Sabaoth die illa luctum, et planctum, et rasuram, et cincturam saccorum : ipsi autem fecerunt lætitiam et exsultationem, mactantes vitulos, et sacrificantes oves ad edendas carnes, et bibendum vinum, dicentes : Edamus et bibamus, cras enim morimur. Et hæc patefacta sunt in auribus Domini Sabaoth, quoniam non remittetur vobis hoc peccatum donec moriamini.*

Verum est, sicuti scriptum est, impium cum in profundum malorum venerit, contemnere [a]. Hoc Israelitis contigisse, videre licet. Reformidantes enim omnia mala, et impendens sibi conspicati periculum crudelitate Assyriorum, cum suam ipsorum **321** socordiam deplorando, Deum mitigare, et luctum edere, et rasuram ac cincturam saccorum facere debuissent, tempore ad hoc vocante : omnino illi versi sunt ad contrarium. Protervi enim et contumaces veluti, et quasi omnem doloris sensum exuentes, delicias consectati sunt, et hilaritatis ac gaudii partes et opera agere satagebant, vitulos et oves sacrificando, ebrietati indulgendo, et luxuria supra satietatem diffluendo, et desperato, agresti ac securo animo sibi mutuo acclamando : « Edamus et bibamus, cras enim morimur. » Putabant etiam sicuti verisimile est, Deum talia non audire : Sed, inquit, patefacta sunt hæc in auribus ejus, et non vobis remittetur peccatum hoc, quin moriamini ; id est, Descendetis omnino ad mortem et interitum, idque vestri peccati causa. Oportet itaque vos in diebus iræ, videlicet tentationum consternatione fractos, non torpore et ignavia supinos esse, sed lugere potius, et lacrymantes, ad Deum bonorum amicum accedere, et vos jejunii laboribus affligere, misericordiam quærere, illud voce Psallentis clamantes : « Vide humilitatem meam et luctum meum, et remitte omnia peccata mea [b]. » Quoniam vero in his propheta dicit, Vocavit Dominus Sabaoth die illa ad fletum et ploratum, et rasuram et cincturam saccorum, operæ pretium esse putabam Michææ, vel potius per prophetam a Deo facta verba, his sermonibus intexere. Scriptum est autem sic : « Et nunc dicit Dominus Deus noster : Convertimini ad me ex toto corde vestro, in jejunio et in fletu et in luctu, et disrumpite corda vestra et non vestimenta vestra, et convertimini ad Dominum Deum vestrum, quia misericors est et propitius, longanimus et multum misericors, pœniten-

A χλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς· ἀλλ' οὐδενὸς μὲν ἠξιώσατε λόγου τὸ χρῆμα, φησὶ, παρεώρατε δὲ τὰ παρὰ Θεοῦ, καὶ τῆς ἄνωθεν ἐπικουρίας ὡς κατ' οὐδένα τρόπον δεδεημένοι, ταῖς ἐκ λίθων ἐπιβολαῖς ἀνοήτατα τεθαρσήκατε. Ἀλλ' ἦν ἄμεινον παρὰ πολὺ τὴν ἄμαχον ὑμᾶς ἐπικαλέσασθαι χεῖρα, καὶ ζητῆσαι λαβεῖν τὰ ἐξ ἡμερότητος καὶ φιλανθρωπίας Θεοῦ, Σωτῆρά τε καὶ Λυτρωτὴν ὀνομάζειν αὐτὸν, οὕτω τε διακειμένους τὸ ἐπὶ ταῖς μεταγνώσεσι καταστάξαι δάκρυον.

Καὶ ἐκάλεσε Κύριος Σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμὸν καὶ κοπετὸν, καὶ ξύρησιν, καὶ ζῶσιν σάκκων, αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνην καὶ ἀγαλλίαμα, σφάζοντες μόσχους, καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέα, καὶ πιεῖν οἶνον, λέγοντες· Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. Καὶ ἀνακεκαλυμμένα ταῦτά ἐστιν B *ἐν τοῖς ὠσὶ Κυρίου Σαβαὼθ, ὅτι οὐκ ἀφεθήσεται ὑμῖν αὕτη ἡ ἁμαρτία, ἕως ἂν ἀποθάνητε.*

Ἀληθὲς ὅτι κατὰ τὸ γεγραμμένον· « Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ· » τοῦτο πεπονθότας κατίδοι τις ἂν τοὺς ἐξ Ἰσραήλ. Ἐν δείμασι γὰρ γεγονότες τοῦ παντὸς κακοῦ, καὶ ἀπηρτημένον ἑαυτοῖς ὁρῶντες τὸν κίνδυνον τὸν ἀπό γε τῆς Ἀσσυρίων ὠμότητος, εἶτα δέον ταῖς σφῶν αὐτῶν ῥᾳθυμίαις ἐποιμώζοντας ἐκμειλίσσεσθαι Θεὸν, κόμμον τε καὶ ξύρησιν, καὶ ζῶσιν σάκκων ποιεῖσθαι, καιροῦ πρὸς τοῦτο καλοῦντος, πρὸς πᾶν ἐτράποντο τοὐναντίον. Ἀπαυδήσαντες γὰρ ὥσπερ, καὶ οἷον εἰς ἅπαν ἀπηλγηκότες τρυφὰς ἐπετήδευον, καὶ τὰ εὐφροσύνης ἔργα πληροῦντες ἐσπούδαζον, μόσχους τε καὶ πρόβατα C καταθύοντες, μεθυσκόμενοί τε καὶ ταῖς ὑπὲρ κόρον ἐνσπαταλῶντες τρυφαῖς, καὶ μὴν καὶ τὰ ἐξ ἀπογνώσεως καὶ φρενὸς ἀγρίας καὶ ἀτημελοῦς ἀλλήλοις ἐπιφθεγγόμενοι· « Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. » Ὠήθησαν γὰρ κατὰ τὸ εἰκὸς, ὅτι καὶ ἀνήκοος ἔσται τῶν τοιούτων ὁ Θεός· Ἀλλ' ἔστιν ἀνακεκαλυμμένα ταῦτα, φησὶν, ἐν τοῖς ὠσὶν αὐτοῦ· καὶ οὐκ ἂν ὑμῖν ἀφεθείη ἡ ἁμαρτία αὕτη, ἕως ἂν ἀποθάνητε, τοῦτ' ἔστι, κατοιχήσεσθε πάντως εἰς θάνατον καὶ φθορὰν, καὶ διὰ ταύτην ὑμῖν τὴν ἁμαρτίαν. Χρὴ τοίνυν ἡμᾶς ἐν ἡμέραις ὀργῆς, ἤγουν τοῖς ἐκ τῶν πειρασμῶν περιθραυομένους δείμασι, μὴ ὑπτιοῦσθαι πρὸς ῥᾳθυμίαν, πενθεῖν δὲ μᾶλλον καὶ προσιέναι δεδακρυμένους τῷ φιλαγάθῳ Θεῷ, καὶ τοῖς ἐκ D νηστείας πόνοις ἑαυτοὺς καταικίζοντας ἐλεεῖσθαι ζητεῖν, ἐκεῖνο βοῶντας διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· « Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. » Ἐπειδὴ δέ φησιν ὁ προφήτης ἐν τούτοις, ὅτι Ἐκάλεσε Κύριος Σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμὸν καὶ κοπετὸν, καὶ ξύρησιν, καὶ ζῶσιν σάκκων, δεῖν ᾠήθην τὰς τοῦ Μιχαίου φωνὰς, μᾶλλον δὲ τὰς διὰ τοῦ προφήτου παρὰ Θεοῦ γενομένας ἐνυφῆναι τοῖς λόγοις. Γέγραπται δὲ οὕτως· « Καὶ νῦν λέγει Κύριος ὁ Θεὸς ἡμῶν· Ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν, ἐν νηστείᾳ καὶ ἐν κλαυθμῷ καὶ ἐν κοπετῷ, καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπι-

[a] Prov. XVIII, 3. [b] Psal. XXIV, 18.

στρέψατε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι ἐλεήμων καὶ οἰκτείρμων ἐστὶν, μακρόθυμος καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Τίς οἶδεν εἰ ἐπιστρέψει καὶ μετανοήσει, καὶ ὑπολείψεται ὀπίσω αὐτοῦ εὐλογίαν, θυσίαν καὶ σπονδὴν Κυρίῳ τῷ Θεῷ ἡμῶν; Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε λαὸν, ἁγιάσατε Ἐκκλησίαν, ἐκλέξατε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστοὺς, ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. Ἀνὰ μέσον τῆς κρηπῖδος καὶ τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες Κυρίῳ, καὶ ἐροῦσι· Φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσι, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; » Θεοῦ τοιγαροῦν κατ' ἐκεῖνο καιροῦ κλαυθμὸν καλοῦντος καὶ κοπετὸν, καὶ ξύρησιν καὶ ζῶσιν σάκκων, εὐφροσύνας ἐποιοῦντο, καταθήγοντες ἐφ' ἑαυτοῖς καὶ ἔτι μειζόνως εἰς ἀκάθεκτον ὀργὴν τὸν ἀπολέσαι τε καὶ διασῶσαι δυνάμενον.

A tiam agens super malis. Quis novit an convertetur et pœnitudine ducetur, et relinquet post ipsum benedictionem et sacrificationem et libamen Domino Deo nostro? Canite tuba in Sion, sanctificate jejunium, prædicate cultum, congregate populum, sanctificate Ecclesiam, eligite seniores, cogite infantes sugentes ubera. Egrediatur sponsus de cubiculo suo, et sponsa de thalamo suo. Per medium fundamenti altaris plorabunt sacerdotes qui ministrant Domino, et dicent: Parce, **322** Domine, populo tuo, et ne des hæreditatem tuam in opprobrium, ut dominentur illis gentes; ne dicant inter gentes, Ubi est Deus eorum [7]? » Deo igitur, illo tempore, ad fletum vocante, et ad planctum et rasuram et cincturam saccorum, jucunditati sese dediderunt, acuentes in B seipsos gravius ad irrevocabilem iram eum qui perdere potest et servare.

Τάδε λέγει Κύριος Σαβαώθ· Πορεύου εἰς τὸν παστοφόριον πρὸς Σομνὰν τὸν ταμίαν, καὶ εἶπον αὐτῷ· Τί σὺ ὧδε, καὶ τί σοί ἐστιν ὧδε; ὅτι ἐλατόμησας σαυτῷ ὧδε μνημεῖον, καὶ ἐποίησας σαυτῷ ἐν ὑψηλῷ μνημεῖον, καὶ ἔγραψας σαυτῷ ἐν πέτρᾳ σκηνήν; Ἰδοὺ δὴ Κύριος Σαβαὼθ ἐκβαλεῖ καὶ ἐκτρίψει ἄνδρα, καὶ ἀφελεῖ τὴν στολήν σου, καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον, καὶ ῥίψει σε εἰς χώραν μεγάλην καὶ ἀμέτρητον, καὶ ἐκεῖ ἀποθανῇ· καὶ θήσει τὸ ἅρμα σου τὸ καλὸν εἰς ἀτιμίαν, καὶ τὸν οἶκον τοῦ ἄρχοντός σου εἰς καταπάτημα, καὶ ἀφαιρεθήσῃ ἐκ τῆς οἰκονομίας σου καὶ ἐκ τῆς στάσεώς σου.

VERS. 15-19. *Hæc dicit Dominus Sabaoth: Vade in pastophorium ad Somnan quæstorem, et dic ei: Quid tu hic? et quid tibi est hic? quia excidisti tibi ipse hic monumentum, et fabricasti tibi in edito monumentum, et scripsisti tibi in petra tabernaculum? Ecce Dominus Sabaoth ejiciet et atteret virum, et auferet stolam tuam, et coronam tuam gloriosam, et projiciet te in regionem magnam et immensam, ibique morieris. Et rediget currum tuum pulchrum in ignominiam, et domum principis tui in conculcationem, et de dispensatione tua et de gradu tuo deturbaberis.*

Σομνὰς ἐγένετο ταμίας χρημάτων, καὶ ποίων οὔπω σαφὲς, πότερόν ποτε τῶν ἱερῶν, καὶ ἐκνεμηθέντων τῷ ναῷ, ἤγουν τῶν βασιλικῶν, ἔοικε δὲ μᾶλλον τῇ τῶν ἱερῶν χρημάτων ἐπικεῖσθαι συγκομιδῇ, καὶ τοῖς ἀναγκαίως καὶ χρειωδῶς δαπανωμένοις ἔσθ' ὅτε πρὸς ἐπανόρθωσιν σκευῶν ἱερῶν. Φασὶ δὲ αὐτὸν καὶ ἐξ αἵματος ὄντα τοῦ Λευὶ τοῖς τῆς ἀρχιερωσύνης αὐχήμασιν ὁρᾶσθαι διαπρεπῆ. Μεγαλόφρων δέ τις καὶ ὑπέροφρυς ἄγαν ἦν, καὶ τοῖς λυποῦσι δυσάντητος, καὶ πλεονεξίαις ἐπιπηδῶν, καὶ λημμάτων αἰσχρῶν ἡττώμενος, καὶ φιλοκομπίας ἐραστὴς, καὶ τὰς ἐξ ἀνθρώπων τιμὰς ἀεὶ θηρώμενος. Ταύτητοι καὶ μάλα εἰκότως Θεῷ κατεστυγμένος, μελλούσης τοίνυν ὅσον οὐδέπω καταδῃοῦσθαι τῆς Ἰουδαίας, ἁλῶναι δὲ καὶ αὐτῆς τῆς Ἱερουσαλὴμ, ὅτε καὶ νενικηκότες οἱ Βαβυλώνιοι μετεκόμισαν εἰς τὴν ἑαυτῶν αἰχμάλωτον τὸν Ἰσραὴλ, μνημεῖον ἑαυτῷ περιφανὲς ὁ Σομνὰς εἰργάζετο, καὶ πολυτελεστάτην αὐτῷ τὴν κατασκευὴν ἐνετίθει. Ἐν ἤθει τοίνυν ὁ παρὰ Θεοῦ πρὸς αὐτὸν ἐγένετο λόγος. Τί γὰρ τῷ προφήτῃ φησί; Πορεύου εἰς τὸ παστοφόριον, χῶρος οὗτος ἐν τῷ ναῷ, πρὸς Σομνὰν τὸν ταμίαν, καὶ εἶπον αὐτῷ· Τί σὺ ὧδε; καὶ τί σοί ἐστιν ὧδε; Τοῦτ' ἔστι, ποῖον ἐνταῦθα κλῆρον ἔχεις; ἢ πῶς ὧδε μένεις; Διὰ τί γὰρ λελατόμηκας σεαυτῷ μνημεῖον καὶ ἔγραψας ἐν πέτρᾳ σκηνήν;

Somnas fuit quæstor ærarii et custos pecunia- C rum, sacrarumne et templo deputatarum, an regiarum, incertum. Videtur autem potius sacræ pecuniæ colligendæ, et rebus necessario et utiliter interdum ad restaurationem sacrorum vasorum expensis præstitutus fuisse. Narrant etiam illum ex sanguine Levitico esse, et sacerdotii ornamentis insignem habitum fuisse. Magno elatoque erat animo et superciliosus admodum, ac sævus in eos qui offenderant, rapinis exsultans, sordido quæstui mancipatus, ostentabundus, et honores semper ab hominibus venans. Hinc cum, et quidem justissime, a Deo odio haberetur, et Judæa jamjam propterea devastanda esset, et capienda ipsa Jerusalem, quando etiam Babylonii vicissent, et in suam terram captivum Israelem transportassent: monumentum D sibi illustre Somnas apparavit, et in eo sumptuosissimam structuram erexit. A Deo igitur ad eum sermo habetur. Quid enim dicit prophetæ? Vade in pastophorium (erat autem locus hic in templo) ad Somnam quæstorem, et dic ei: Quid tu hic? et quid tibi est hic? Id est, quam habes hic sortem? vel quomodo manes? Quare enim excidisti tibi ipse monumentum et scripsisti in petra tabernaculum? Quid enim erit? et quid est quod impendet? vel in

[7] Joel. II, 12-18.

323 quibus, inquit, malis versaberis? Ecce Dominus Sabaoth ejiciet et conteret virum. Abierunt enim, ut dixi, captivi, cum gregariis potentissimi, et electissimam præ cæteris habentes eminentiam. Cum autem abductus esset et ipse in captivitatem, sacerdotii ipsius corona ablata est, et tanquam vas inutile in terram immensam projectus est, illic moriturus, absque omni misericordia, non jam, ut prius, splendidis curribus insidens, at potius jactatus, et omnino de dispensatione sibi commissa deque gradu dejectus, id est statione qua præsidebat et Deo ministrabat.

A Τί ἄρ' ἔσται; καὶ τί τὸ ἐπηρτημένον; ἢ ποίοις ἄρα, φησὶν, ὁμιλήσεις κακοῖς; Ἰδοὺ δὴ Κύριος Σαβαὼθ ἐκβαλεῖ καὶ ἐκτρίψει ἄνδρα. Ἀπῴχοντο γὰρ, ὡς ἔφην, αἰχμάλωτοι μετὰ τῶν ἀγελαίων οἱ δυνατώτατοι, καὶ ἐκκεκριμένην ἔχοντες τὴν κατὰ τῶν ἄλλων ὑπεροχήν. Ἐπειδὴ δὲ ἀπεκομίσθη καὶ αὐτὸς εἰς αἰχμαλωσίαν, ἀφῄρηται μὲν ὁ τῆς ἀρχιερωσύνης αὐτοῦ στέφανος, ἔῤῥιπται δὲ ὡς σκεῦος ἄχρηστον εἰς γῆν ἀμέτρητον, ἐκεῖ τεθνηξόμενος ἐλέου δίχα παντὸς, οὐκέτι λαμπροῖς ὀχήμασι καθὰ καὶ πρώην ἐμβεβηκὼς, σεσαλευμένος δὲ μᾶλλον καὶ ἐξωσθεὶς εἰς ἅπαν τῆς ἐγχειρισθείσης οἰκονομίας αὐτῷ καὶ τῆς στάσεως, τοῦτ' ἔστι, τοῦ παρεστάναι καὶ λειτουργεῖν τῷ Θεῷ.

VERS. 20-24. *Et erit in die illa, vocabo puerum meum Eliacim filium Chelciæ, et induam eum stola tua, et coronam tuam dabo ei, et potentiam et dispensationem tuam ei in manus tradam; et erit quasi pater inhabitantium Jerusalem, et inhabitantium Juda, et dabo gloriam Davidis ei, et imperabit, et non erit qui contradicat* (1), *et statuam eum principem in loco fideli, et erit pro throno glorioso domui patris sui, et confidet ei omnis gloriosus in domo patris sui, et parvus æque ac magnus, et pendebunt ab eo die illa.*

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καλέσω τὸν B *παῖδά μου Ἐλιακεὶμ τὸν τοῦ Χελκίου, καὶ ἐνδύσω αὐτὸν τὴν στολήν σου, καὶ τὸν στέφανόν σου δώσω αὐτῷ, καὶ τὸ κράτος καὶ τὴν οἰκονομίαν δώσω εἰς τὰς χεῖράς αὐτοῦ· καὶ ἔσται ὡς πατὴρ τοῖς ἐνοικοῦσιν ἐν Ἱερουσαλὴμ, καὶ τοῖς ἐνοικοῦσιν Ἰούδα, καὶ δώσω τὴν δόξαν Δαβὶδ αὐτῷ, καὶ ἄρξει, καὶ οὐκ ἔσται ὁ ἀντιλέγων καὶ στήσω αὐτὸν ἄρχοντα ἐν τόπῳ πιστῷ, καὶ ἔσται εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, καὶ ἔσται πεποιθὼς ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ, ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἔσονται ἐπικρεμάμενοι ἐν αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.*

Nondum ab historia recedit narratio. Fertur enim adhuc contra Somnam quæstorem sacerdotii quidem dignitatem consecutum, qui tamen eo sic abusus est, et omnes invasit se contra opponentes, ut intolerabili rerum alienarum cupiditate inflammaretur, ut omnino quidquid est turpitudinis, id et cognitum haberet et meditatum. Quare eo profligato, id est in regionem longinquam et immensam asportato: Vocabo, ait, sub id temporis, puerum meum Eliacim filium Chelciæ. Cum eum puerum suum appellat, sequacem et flexilem fuisse testatur: quod autem sacerdotii honorem ei collaturus esset, perspicuum facit, cum se coronaturum illum pollicetur, et cum dicit, se stolam ei daturum, et dispensationem et potentiam, id est, ut posset subditis manui suæ populis imperare. Testificatus est etiam ad hæc, fore benignum, non instar Somnæ elato supercilio, sed velut patrem, fidelem et bonum, ac propterea fore stabilitum in loco fideli, per eum scilicet firme et solide conservato et manenti, ut cupiat etiam quisque insignis et conspicuus, tantum non in eo spem collocare, non quasi in Deo: multum enim abest: sed **324** quasi in patre benignissimo. Præerit enim, inquit, et proteget parvum et magnum, sicque amabitur, ut populus in ejus manu ac potestate positus, ab eo quasi pendere videatur. Et hæc, ut dixi, historicus sermo nobis affert. Cæterum interiori ac penitiori intelligentia, Christi nobis mysterium videtur subindicare. Scribæ siquidem et Pharisæi, sacerdotio legali coronati et ornati, fuerunt illi quidem haudquaquam morigeri,

Οὔπω τῆς ἱστορίας ἀποφοιτᾷ τὸ διήγημα, φέρεται γὰρ ἔτι κατὰ Σομνᾶ τοῦ ταμίου, λαχόντος μὲν τῆς C ἱερωσύνης τὴν δόξαν, καταχεχρημένου δὲ οὕτως αὐτῇ καὶ κατὰ παντὸς ἰόντος τοῦ κατεζευγμένου, ὡς καὶ ἀφορήτως πλεονεκτεῖν καὶ ἅπαξ ἁπλῶς οὐδὲν ἔχειν τῶν ἐκτόπων ἀνεπιτήδευτον. Ἀποῤῥιφέντος δὴ οὖν αὐτοῦ, τοῦτ' ἔστιν, ἀποκομισθέντος εἰς χώραν μακρὰν καὶ ἀμέτρητον, Καλέσω, φησὶ, κατ' ἐκεῖνο τοῦ καιροῦ τὸν παῖδά μου Ἐλιακεὶμ τὸν τοῦ Χελκίου. Παῖδα δὲ αὐτὸν ἴδιον ἀποκαλῶν μεμαρτύρηκε τὸ εὐήνιον· ὅτι δὲ χαριεῖται τῆς ἱερωσύνης τὴν δόξαν αὐτῷ καθίστησιν ἐναργές· στεφανώσειν αὐτὸν ὑπισχνούμενος καὶ λέγων, ὅτι καὶ στολὴν αὐτῷ δώσει, καὶ τὴν οἰκονομίαν καὶ τὸ κράτος, τοῦτ' ἔστι, τὸ δύνασθαι κρατεῖν τῶν ὑπὸ χεῖρα λαῶν. Μεμαρτύρηκε δὲ πρὸς τούτοις, ὅτι καὶ ἔσται χρηστὸς, οὐ κατά γε τὸν Σομνᾶν ὑπερόφρυς, ἀλλ' οἷα πατὴρ, ἢ πιστὸς καὶ ἀγαθός. Ἔσται D δὲ διὰ τοῦτο καὶ ἐστηριγμένος ἐν τόπῳ πιστῷ, τοῦτ' ἔστι, βεβαίως αὐτῷ σωζομένῳ καὶ μένοντι, ὡς ἐλέσθαι καὶ πάντα ἔνδοξον καὶ ἐπιφανῆ μονονουχὶ καὶ ἐπ' αὐτῷ ποιεῖσθαι τὴν ἐλπίδα, οὐχ ὡς εἰς Θεὸν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὡς εἰς πατέρα χρηστόν. Προστήσεται γὰρ καὶ ὑπερασπίσει μικροῦ καὶ μεγάλου, φησίν. Ἀγαπηθήσεται δὲ οὕτως, ὡς καὶ ἐκκρεμᾶσθαι δοκεῖν αὐτοῦ τοὺς ὑπὸ χεῖρα λαούς. Καὶ ταυτὶ μὲν, ὡς ἔφην, ὁ τῆς ἱστορίας ἡμῖν εἰσκομίζει λόγος. Ἔοικε δὲ πάλιν διὰ τῆς ἐσωτάτω θεωρίας ἡμῖν τὸ Χριστοῦ μυστήριον ὑπαινίττεσθαι. Τῇ μὲν γὰρ κατὰ νόμους ἱερωσύνῃ κατεστεμμένοι οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι γεγόνασι μὲν οὐκ εὐήνιοι, σκληροί τε καὶ ἀλαζόνες, καὶ ἐρασιχρήματοι, καὶ βαλαντίων

(1) Sept. et Hebr. plura habent hoc loco.

ἀδρῶν ἐρασταὶ, καὶ πᾶν ὁτιοῦν τῶν τῷ Θεῷ κατεστυγημένων ἐπιτηδεύοντες. Καὶ γοῦν αὐτὸς ὁ προφήτης Ἡσαΐας ἐν ἀρχῇ τοῦ βιβλίου φησί· « Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως ἐν, ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί; » Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον· οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι· οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. Αἰτιᾶται δὲ αὐτοὺς καὶ αὐτὸς ὁ Σωτὴρ οὕτω λέγων· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἄνηθον καὶ ἡδύοσμον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, τὸ ἔλεος, καὶ τὴν πίστιν. » καὶ τὸ ἔτι τούτων ἀνοσιώτερον, γεγόνασι καὶ κυριοκτόνοι. Ταύτης ἕνεκα τῆς αἰτίας, ἐξώσθησαν μὲν τῶν τῆς ἱερωσύνης γερῶν, ἀποκεκίνηνται δὲ τοῦ κατάρχειν λαῶν, καὶ ἐκβέβληνται τῆς ἐγχειρισθείσης αὐτοῖς κατὰ νόμον οἰκονομίας, ἔξωτε στεφάνων γεγόνασιν ἱερῶν, καὶ στολῆς ἱεροπρεποῦς· κέκληται δὲ μετ' ἐκείνους ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μέγας ἡμῶν ἀρχιερεύς. Ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος· « Οὐχ ἑαυτῷ τις ἁρπάζει τὴν τιμὴν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθὼς ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν εἰς τὸ γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. » Θεὸς γὰρ ὢν φύσει καὶ τῶν ὅλων Κύριος, καὶ τὰς παρὰ πάντων λατρείας δεχόμενος, ἐπειδὴ γέγονεν ἄνθρωπος, κεχρημάτικεν ἡμῶν καὶ ἀρχιερεύς. Λαβεῖν δὲ λέγεται καὶ τὴν δόξαν Δαβὶδ, τοῦτ' ἔστι, τὴν ἐπί γε τὸν Ἰσραὴλ ἀρχήν τε καὶ βασιλείαν· Ἰσραὴλ δέ φαμεν οὐ τὸν κατὰ σάρκα πάντως, ἀλλὰ τὸν ἐν πνεύματι καὶ νοητόν. Οὐ γὰρ πάντες, φησὶν, οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ πάντες τέκνα, ἀλλ' ὅσοι διὰ πίστεως δεδικαίωνται, κατακολουθήσαντες τοῖς ἴχνεσι τοῦ πατρὸς Ἀβραὰμ, οὗτοι καὶ τέκνα αὐτοῦ, καὶ τῆς ἐπαγγελίας υἱοὶ καὶ Ἰσραὴλ χρηματίζουσιν. Ἀναδειχθέντος τοίνυν τοῦ πάντων ἡμῶν ἀρχιερέως Χριστοῦ, Οὐκ ἔσται, φησὶν, ἀντιλέγων. Οὐ γὰρ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. Καὶ καθ' ἕτερον δὲ τρόπον. Ἀντείρηκε μὲν γὰρ ὁ Ἰσραὴλ, ἠσμένησε δὲ τὰ ἔθνη τὸ ὑπ' αὐτῷ βασιλεύεσθαι. Καὶ γοῦν εὑρίσκεται λέγων διὰ φωνῆς τοῦ Δαβὶδ, περὶ μὲν τοῦ Ἰσραήλ· « Ῥῦσαί με ἐξ ἀντιλογιῶν λαοῦ· » περί γε τῶν ἐθνῶν, « Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν· λαὸν ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. Πεπαλαίωνται γὰρ καὶ ἐγγὺς γεγόνασιν ἀφανισμοῦ, κεκλασμένην δὲ ὥσπερ ἐσχήκασι τὴν διάνοιαν, υἱοὶ γεγονότες ἀλλότριοι, τοῦτ' ἔστιν, οἱ ἐξ Ἰσραήλ. » Πάλαι μὲν γὰρ ἦν πρωτότοκος, ἐπειδὴ δὲ κατεψεύσαντο τοῦ Χριστοῦ, γεγόνασιν ἀλλότριοι. Τέκνα γὰρ ἀπωλείας, υἱοὶ γεέννης κέκληνται λοιπόν. Ἀλλ' ὅταν, φησὶν, ἀναδείξω τὸν Ἐλιακεὶμ (ὃς ἑρμηνεύεται *Θεοῦ ἀνάστασις*· ἐγήγερται γὰρ εἰς ἐπικου-

A sed præfracti, arrogantes, et ad rem attenti, et marsupiorum turgidorum amantes, et quidquid esset Deo invisum exercentes. Siquidem ipsemet propheta Isaias principio libri, inquit : « Quomodo facta est meretrix civitas fidelis Sion, plena judicio, in qua justitia pernoctavit, nunc autem homicidæ [9]? » Argentum vestrum reprobum. Caupones tui miscent vinum aqua. Principes tui infideles sunt, consortes furum, diligentes munera, consectantes remunerationem, orphanis non judicantes, et judicio viduæ non attendentes. Sugillat illos quoque ipse Servator, sic inquiens : « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia decimatis anethum, et thymum, et cuminum, et omisistis graviora legis, judicium, et misericordiam, et fidem [9]; » et quod B etiam his magis impium est, Domini fuerunt interfectores. Hac de causa depulsi sunt sacerdotii honoribus, deturbati dominatu populari, dejecti dispensatione sibi ex præscripto legis designata, exuti coronis sacris et stola sacerdotali. Vocatusque est post eos Dominus noster Jesus Christus, magnus noster sacerdos. Quemadmodum enim beatus Paulus scribit : « Non sibi quis arripit honorem, sed vocatus a Deo, quemadmodum et Christus non seipsum glorificavit, ut fieret pontifex, sed qui locutus est ad illum : Tu sacerdos in æternitatem, secundum ordinem Melchisedec [10]. » Deus enim natura et universitatis Dominus, et cultum ab omnibus recipiens, cum esset homo factus, vocatus est etiam noster pontifex, et Davidis gloriam accipere C dictus est, id est potentiam et regnum in Israelem. Israelem vero dicimus, non carnalem omnino, sed intelligentia perceptum, et in spiritu. Non enim, inquit, omnes ex Israele hi sunt Israel, neque quod sint semen Abraham, omnes filii sunt : sed qui per fidem justificati sunt, qui sequuntur vestigia patris Abraham, hi et liberi ejus, et **325** promissionis filii et Israel nuncupantur. Exhibito igitur omnium nostrum Domino et pontifice Christo, Non erit, inquit, qui contradicat. Non enim proficiet inimicus in illo, et filius iniquitatis non perget vexare illum. Item alio modo. Contradixit quidem Israel, at gentes regnum ipsius amplexæ sunt. Invenitur enim voce Davidis dicere, de Israele : « Libera me a contradictionibus populi » : de gentibus autem « : Cons-D tities me in caput gentium : populus quem non cognovi, servivit mihi, in auditu auris audivit mihi. Filii alieni mentiti sunt mihi, filii alieni inveterati sunt, et claudicaverunt a semitis suis. Inveterati sunt, et interitui facti sunt proximi, et levi et quasi fracto animo fuerunt præditi, filii facti alienigenæ, Israel scilicet [11]. » Olim erat primogenitus, at cum Christo mentiti sunt, facti sunt alieni. Proles enim perditionis, et filii gehennæ vocati sunt deinceps. Sed quando, inquit, designabo Eliacim (qui interpretatur *Dei resurrectio*, excitatus est enim in subsidium nostrum Deus Verbum, qui etiam dicit : Propter

[8] Isa. I, 21. [9] Matth. XXIII, 23. [10] Hebr. V, 4 seqq. [11] Psal. XVII, 44 seqq.

miseriam inopum, et gemitum pauperum, nunc exsurgam, dicit Dominus [11],) tunc, inquit, confidet ei omnis gloriosus in domo patris sui : Domus autem Patris Christi quæ esset alia, præter Ecclesiam? Atqui si quis in ea sit celebris, ille fidet Christo, et non solum gloriosus ac celebris, sed etiam si quis tenuis sit mundi judicio. Justus enim est, et personas non suscipit universitatis Deus, sed potius pro mensura spiritualis ætatis, hi patres sunt, illi etiam filioli, et adolescentes, et ephebi intelligibiliter.

A ρίαν ἡμῶν Θεὸς ὢν ὁ Λόγος, ὁ καὶ πάλαι λέγων· Ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ ἀπὸ τοῦ στενάγμου τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος), τότε, φησὶν, ἔσται ἐπ' αὐτῷ πεποιθὼς πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. Οἶκος δὲ τοῦ Πατρὸς τοῦ Χριστοῦ τίς ἂν ἕτερος εἴη παρὰ τὴν Ἐκκλησίαν; Ἀλλ' εἴ τίς ἐστιν ἔνδοξος ἐν αὐτῇ, οὗτος ἔσται πεποιθὼς ἐπὶ Χριστῷ, καὶ οὐχὶ δὴ μόνος ἔνδοξος, ἀλλὰ γὰρ καὶ εἴ τις εἴη βραχὺς κατά γε τὸν κόσμον φημί. Δίκαιος γὰρ καὶ ἀπροσωπόληπτος ὁ τῶν ὅλων Θεὸς, κατὰ τὸ μέτρον δὲ μᾶλλον τῆς πνευματικῆς ἡλικίας, οἱ μὲν γάρ εἰσι πατέρες, οἱ δὲ καὶ ἔτι τέκνα, νεανίαι τε καὶ ἔφηβοι νοητῶς.

Vers. 25. *Hæc dicit Dominus Sabaoth : Movebitur homo firmatus loco fido, et cadet, et gloria ejus tolletur, quia Dominus locutus est.*

Τάδε λέγει Κύριος Σαβαώθ· Κινηθήσεται ὁ ἄνθρωπος ὁ ἐστηριγμένος ἐν τόπῳ πιστῷ, καὶ πεσεῖται, καὶ ἀφαιρεθήσεται ἡ δόξα ἡ ἐπ' αὐτὸν, B *ὅτι Κύριος ἐλάλησεν.*

Post adeo longam narrationem concisa et brevis inducitur oratio, divinorum judiciorum severitatem declarans, ceu rex pro imperio id fieri præcipiat. Spectat autem rursus sententiæ hujus vis, si quis velit, ad Somnan quæstorem : si latius, ad legis sacrificos, ita intelliges sicuti jam reddidimus. Nam qui in secura tranquillitate positi videbantur (hoc nempe **326** est firmari in loco fideli), corruerunt, et quæ illis aderat, gloria privati sunt, nemine auxilium præbente, vel lapsos erigere valente, quia Dominus locutus est. « Si enim clauserit contra hominem, quis, inquit, aperiet [12]? »

Μετὰ τὴν οὕτω μακρὰν ἀφήγησιν, σύντομος καὶ βραχὺς εἰσκεκόμισται λόγος τῶν θείων κριμάτων ἐμφανίζων τὴν ἀποτομίαν, καὶ οἱονεὶ βασιλέως μετὰ τῆς πρεπούσης ἐξουσίας ὁρίζοντος γίγνεσθαι. Βλέπει δὲ πάλιν ἡ τῆς ἀποφάσεως δύναμις, εἰ μὲν βούλοιτό τις, εἰς Σομνὰν τὸν ταμίαν· εἰ δὲ δὴ καὶ πλατύτερον ἐπὶ τῶν κατὰ νόμον ἱερουργούντων, οὕτω συνήσει, καθὰ καὶ ἀποδεδώκαμεν ἀρτίως. Οἱ γὰρ δοκοῦντες ἐν βεβαιώσει κεῖσθαι τῆς εὐημερίας, τοῦτο γάρ ἐστι τὸ ἐστηρίχθαι δοκεῖν ἐν τόπῳ πιστῷ, πεπτώκασί τε καὶ τῆς ἐνούσης αὐτοῖς ἀφῄρηνται δόξης, ἐπαμύνοντος οὐδενὸς, ἤγουν ἀνορθοῦν ἰσχύοντος τοὺς ἤδη κατηρειμμένους, ὅτι Κύριος ἐλάλησεν. « Ἐὰν γὰρ κλείσῃ κατ' ἀνθρώπου, τίς ἀνοίξει; » φησίν.

VISIO TYRI.

C

ΤΟ ΟΡΑΜΑ ΤΥΡΟΥ.

Cap. XXIII. Vers. 1. *Ululate, naves Carthaginis, quia periit, et non amplius revertuntur, e terra Citiensium ducta est captiva.*

Ὀλολύξατε, πλοῖα Καρχηδόνος, ὅτι ἀπώλετο, καὶ οὐκέτι ἔρχονται, ἐκ γῆς Κιτιαίων ἦκται αἰχμάλωτος.

Age denuo quæ in Tyro a Deo patefacta fuerunt oraculis, quoad licet, explanare studeamus, historiamque prius enarremus, et quemadmodum capta sit et periit, et captiva venit, juxta quod scriptum est, planum perspicuumque faciamus. Cum igitur Babylonii Judæam delevissent, et sanctam urbem concremassent, atque captivum Israelem avexissent : gentes alienigenarum accolæ et circumhabitantes, audax et effrene os nullis obseratum valvis aperientes, divinam majestatem conviciis ausæ sunt proscindere. Jactabant etenim servare illos non valuisse, etiam ipsum opitulatorem Deum Assyriorum manu inferiorem fuisse, imo suos deos vernaculos, Hebræorum Deo et fortiores esse rati sunt, et protegere ipsos quasique muris obvallare, ab omni incursione conservare, et Babyloniis efficere superiores. Quin et alio quoque modo ipsi deprædati sunt gentem Judaicam, partim laborantibus insidiando, et imminendo, et superstites diripiendo : partim falso nuncupatis diis sacra vasa consecrando, et qui jugo servitutis ab illis oppressi erant, a legis cultu abdicando, ac vi quasi abarcendo. Siquidem dixit Deus per unum sanctorum prophetarum :

Φέρε δὴ πάλιν διατρανοῦν ὡς ἔνι σπουδάζοντες καὶ τὰ ἐπί γε τῇ Τύρῳ παρὰ Θεοῦ κεχρησμῳδημένα τὴν ἱστορίαν προαφηγησόμεθα, καὶ τίνα τρόπον ἥλωτε καὶ ἀπώλωλε καὶ αἰχμάλωτος ἦκται, κατὰ τὸ γεγραμμένον, σαφὲς καταστήσωμεν. Ὅτε τοίνυν οἱ Βαβυλώνιοι τὴν Ἰουδαίαν καταδῃώσαντες, κατεμπρήσαντες δὲ καὶ αὐτὴν τὴν ἁγίαν πόλιν, ἀπεκόμιζον αἰχμάλωτον τὸν Ἰσραὴλ, τὰ κύκλῳ καὶ περίοικα τῶν ἀλλοφύλων ἔθνη, θρασὺν καὶ ἀπύλωτον ἀνοιγοῦντα στόμα, τὴν τοῦ Θεοῦ δόξαν κατακερτομεῖν ἐπεχείρουν. Ἔφασκον D γὰρ μὴ δεδυνῆσθαι σώζειν αὐτοὺς, ἡττῆσθαι δὲ μᾶλλον καὶ αὐτὸν τὸν ἐπικουροῦντα Θεὸν τῆς τῶν Ἀσσυρίων χειρὸς, μᾶλλον καὶ τοὺς παρὰ σφίσι θεοὺς ᾤοντο μὲν εἶναι καὶ ἀλκιμωτέρους τοῦ τῶν Ἑβραίων Θεοῦ, προεστάναι δὲ καὶ ἀνατειχίζειν αὐτοὺς, ἔξω τε πάσης ἐφόδου τηρεῖν, καὶ ἀμείνους ἀποφαίνειν τῶν Βαβυλωνίων. Καὶ καθ' ἕτερον δὲ τρόπον· συγκατεληΐζοντο καὶ αὐτοὶ τὸ τῶν Ἰουδαίων ἔθνος, τοῦτο μὲν πεπονηκόσιν ἐπιθέμενοι, καὶ ἁρπάζοντες τοὺς ὑπολελειμμένους· τοῦτο δὲ καὶ ἀνατιθέντες τοῖς ψευδωνύμοις θεοῖς σκεύη τε ἱερὰ, καὶ τῆς κατὰ νόμον λατρείας ὡς ἐξ ἀνάγκης ἐκπέμποντες τοὺς ὑπὸ ζυγὰ γεγονότας τῆς ὑπ' αὐτοῖς δου-

[11] Psal. xi, 5. [12] Job xiv 27.

λείας. Καὶ γοῦν ἔφασκε Θεὸς δι' ἑνὸς τῶν ἁγίων A
προφητῶν· « Καὶ τί καὶ ὑμεῖς ἐμοὶ, Τύρος καὶ Σιδὼν, καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων; μὴ ἀνταπόδομα ὑμεῖς ἀνταποδίδοτέ μοι, ἢ μνησικακεῖτε ὑμεῖς ἐπ' ἐμοί; Ὀξέως δὲ καὶ ταχέως ἀνταποδώσω, τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν, ἀνθ' ὧν τὸ ἀργύριόν μου, καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ ἐπίλεκτά μου καὶ τὰ καλὰ εἰσηνέγκατε εἰς τοὺς ναοὺς ὑμῶν, καὶ τοὺς υἱοὺς Ἰούδα, καὶ τοὺς υἱοὺς Ἰσραὴλ ἀπέδοτε τοῖς υἱοῖς τῶν Ἑλλήνων, ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν ὁρίων αὐτῶν.[13] » Ἥλω τοίνυν καὶ ἡ Τύρος ἐξ ὀργῆς Θεοῦ, κατὰ τοιόνδε τινὰ τρόπον· ἦν μὲν γὰρ νῆσος ἔτι πορθμείου διὰ μέσου κεχωρηκότος, καὶ οὐ μακροῖς διαστήμασι τῆς ἠπείρου διείργοντος. Ἐπειδὴ δὲ ἧκεν ὁ Βαβυλώνιος, ζητεῖ τε αὐτὴν ὁμοῦ ταῖς ἄλλαις ἑλεῖν, ἐκέλευσέ τε ταῖς ὑπὸ χεῖρα B
στρατιαῖς τὴν μεταξὺ καταχωννύντας θάλασσαν, τῇ τε ἠπείρῳ συνάπτειν αὐτὴν, καὶ νῆσον οὐκέτι μένειν ἐᾷν. Οὗ δὴ γεγονότος ἢ καὶ ἔσεσθαι προσδοκηθέντος οὐκ εἰς μακρὰν, οἱ πλεῖστοι τῶν ἐν τῇ Τύρῳ, ἅτε δὴ καὶ ἐμπορίαν ἔχοντες τὸ ἐπιτήδευμα, καὶ ναυσιπορεῖν εἰωθότες ἀπενήχοντο τῆς νήσου παισί τε ὁμοῦ καὶ γυναίοις, καὶ εἰς ἑτέρας ἀπῴχοντο πόλεις τε καὶ κώμας. Εἰσελάσαντες τοίνυν οἱ Βαβυλώνιοι τοὺς ἐναπομείναντας ἀπεκτόνασιν, εἷλόν τε πολλοὺς, καὶ τὰ τοῖς νενικηκόσι συνήθη δεδράκασι, πλὴν οὐ μετρίως λελύπηνται μεμαθηκότες ὅτι πλεῖστοί τε ὅσοι, καὶ τῶν ἄγαν ἐπιφανεστέρων ἐν αὐτῇ ναυσὶν ἐνθέντες τὰ ὄντα πεφεύγασι. Μέμνηται δὲ τῆς ἱστορίας, καὶ τῆς Ἐζεκιὴλ προφητείας ὁ λόγος. Ἔφη γὰρ οὕτω πρὸς C
αὐτὸν ὁ τῶν ὅλων Θεός· Υἱὲ ἀνθρώπου, Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος κατεδουλώσατο τὴν δύναμιν αὐτοῦ δουλείᾳ μεγάλῃ ἐπὶ Τύρου. Πᾶσα κεφαλὴ φαλάκρωμα, καὶ πᾶς ὦμος μαδῶν, καὶ μισθὸς οὐκ ἐγενήθη αὐτῷ καὶ τῇ δυνάμει αὐτοῦ, ἀντὶ τῆς δουλείας τῆς σκληρᾶς ἧς ἐδούλευσεν ἐπὶ Τύρον. Ἀντὶ τούτου δέδωκα αὐτῷ γῆν Αἰγύπτου.[14] » Μετὰ γάρ τοι τὴν Τυρίων ἅλωσιν ἐπὶ τὸ τῶν Αἰγυπτίων ἔθνος μετετίθει τὴν μάχην ὁ Βαβυλώνιος. Ταυτησὶ τῆς ἱστορίας διαμέμνηται νῦν ὁ μακάριος προφήτης Ἡσαΐας, καὶ ὀλολύζειν κελεύει τὰ τῆς Καρχηδόνος πλοῖα. Ὀλολύζειν δὲ δῆλον ὅτι τὴν Τύρον ὅτι ἀπώλετο, καὶ οὐκέτι ἔρχονται ἐκ γῆς Κιτιέων. Φασὶ δὲ τὰς Κιτιεῖς οἱ μὲν νήσους Ἑλλαδικὰς, ἤτοι Μακεδονικάς· οἱ δὲ σημαίνεσθαι διὰ τούτου διαβεβαιοῦνται D
τὴν Κύπρον, ὡς ἐκ μιᾶς τῶν ἐν αὐτῇ πόλεων, οὕτως ὠνομασμένης. Ὀλολύζετε δὲ, φησὶ, διὰ ποίαν αἰτίαν; ἦκται γὰρ αἰχμάλωτος. Ἀλλ' ἴσως ἐρεῖ τις, ἐποιμώζειν κελεύει τῇ Τύρῳ τὴν Καρχηδόνα, ἤτοι τὰς ἐκεῖθεν ναῦς; Διὰ ποίαν αἰτίαν; ἄποικοι γὰρ Τυρίων γεγόνασι Καρχηδόνιοι. Ἐφρόνουν τε μεγάλως ἔχοντες μητέρα τὴν Τύρον, ἐπισημοτάτην τε ὁμοῦ καὶ ἀλκιμωτάτην ἐν νήσοις, ταῖς κατά γε φημὶ τὴν ἑῴαν. Φασὶ δὲ καὶ τοὺς ἐκ γῆς Κιτιέων μεγαλοφρονεῖν ἐπ' αὐτῇ, καὶ τοῖς τῶν ἐμπορίων κερδῶν ἐντρυφᾷν. Ὀλολύζετε τοίνυν, φησὶν, οἱ τῆς Καρχηδόνος ἔμποροι, ἤτοι τὰ πλοῖα, ἀπόλωλε γάρ. Ὀλολυζέτω δὲ καὶ ἡ Τύρος, οὐ γὰρ ἔτι ἔρχονται ἐκ τῆς Κιτιέων. Ἦκται γὰρ αἰχμάλωτος.

« Ecquid vos mihi, Tyre et Sidon, et omnis Galilæa alienigenarum? Num retributionem vos retribuitis mihi? num malorum memores eritis vos mihi: Velociter et celeriter retribuam retributionem vestram in capita vestra: propterea quod argentum meum et aurum meum accepistis, et electa mea, et pulchra mea introduxistis in templa vestra, et filios Juda, et filios Israel tradidistis filiis Græcorum, ut extruderetis eos ex terminis vestris[13]. » Capta igitur fuit hoc sane modo, ex ira divina, Tyrus, ut quæ insula erat, trajectu per medium jam facto, et non longis intervallis a continente **327** dirimente. Postquam autem appulit Babylonius, eamque simul cum aliis capere quæsiit, jussit copiis sub manu sua positis mare intermedium aggere structo obruere, idque mari continuare, nec sinere ut amplius insula maneret. Quod ubi factum esset, vel etiam jamjam futurum exspectaretur, complures Tyrii, quippe qui mercaturæ studium sectati erant, et navigare consueverant, ex insula cum liberis simul et cum mulieribus enataverunt, et ad alias urbes et pagos commigrarunt. Irruentes itaque Babylonii, commoratos in ea trucidarunt, et ceperunt multos, et quæ in more sunt victoribus factitarunt. Verum haud mediocri sunt perculsi dolore, cum didicissent quamplurimos, et multo cæteris illustriores in ea, bona navibus imponentes aufugisse. Meminit etiam historiæ, Ezechielis prophetæ oratio. Dixit enim sic ei universitatis Deus: « Fili hominis, Nabuchodonosor rex Babylonis in servitutem tradidit exercitum suum servitute magna super Tyrum. Omne caput calvitium, et omnis humerus depilis, et merces non fuit ei et exercitui ejus, pro servitute dura qua servierat adversum Tyrum. Propterea dedi illi terram Ægypti[14]. » Siquidem post Tyriorum captivitatem, ad gentem Ægyptiacam transtulit pugnam Babylonius. Hujus historiæ meminit etiam nunc beatus propheta Isaias, et plorare jubet naves Carthaginis, plorare videlicet Tyrum, quod periit, et non jam ulterius ex terra Citticnsium veniunt. Narrant quidam Cittienses insulas esse Helladicas, seu Macedonicas, alii hinc Cyprum designari affirmant, quasi sic nominatam. Plorate, inquit. Quam ob causam? Ducta enim est captiva. At dicet fortassis quispiam, Jubetne Carthaginem, seu naves quæ ibi sunt, deplorare Tyrum? Quam ob rem? Coloni enim Tyriorum fuerunt Carthaginenses: Tyrum autem matrem nobilissimam habere se gloriabantur, et ex insulis orientalibus fortissimam. Et narrant Citienses de illa plurimum gloriari, et ex nundinarum quæstu insolescere. Plorate igitur, inquit, Carthaginis negotiatores vel naves, perierunt enim. Ploret etiam Tyrus: non enim revertuntur ex terra Citiensium. Ducta enim est captiva.

[13] Joel III, 46. [14] Ezech. XXIX, 18, 19.

VERS. 2, 3. *Cui similes facti sunt qui habitant in* A **328** *insula, negotiatores Phœniciæ transmittentes mare per aquam multam. Semen negotiatorum, quasi esset messis illata, negotiatores gentium.*

Quibus, inquit, gentibus, eos qui hanc insulam incolunt, assimilabimus? Quinam talia passi sunt? vel qui sic vastati deletique sunt, sicut hi negotiatores Phœniciæ? Negotiatio nimirum Tyriorum exercitatio fuit, et mare trajicere lucri et quæstus causa, studio illis erat. Cum adjicit, Semen negotiatorum, ostendit patrium genus eorum ignobile, et ex mala stirpe satos, majoresque ipsorum superiores, avaritiæ deditos et addictos fuisse. Fuisse etiam innumerabiles, qui sordidam hanc vitam exercent, docet, cum inquit : Quasi messis illata esset, negotiatores gentium. Frumento enim de- B messo, sive spicis, in agro undique multa est invectio manipulorum, et in aream comportatio.

VERS. 4. *Erubesce, Sidon, dixit mare; fortitudo autem maris dixit : Non parturivi, nec enutrivi virgines, nec evexi juvenes.*

Coloni Tyriorum Carthaginenses; verum Tyrii matrem habuerunt Sidonem, a Sidone enim erat Tyrus. At ubi capta esset, et venisset captiva, tunc dicit mare, id est, maritimæ insulæ cunctæ deinceps dicent : Erubesce, Sidon, periit ornamentorum tuorum pulcherrimum, siquidem munimentum fuit pervetustum, validum et fortissimum, et divitiis multis celeberrimum. Itaque mare hæc dicet : Ipsa etiam maris fortitudo, nimirum quæ insularum do- C mina est, Tyrus scilicet, suas deplorans calamitates, quando se incolis nudam et filiis desertam conspexerit, tum plane dicet : Non parturivi, neque enutrivi virgines, nec evexi juvenes. Erant enim, inquit, pari in loco cum his quæ prorsus non pepererunt, nec juvenes educarunt, nec virgines, eo quod omnes funditus ad interitum pervenerint, nullusque omnino remanserit.

ἀναθρεψάσαις, ἢ νεανίσκους ἢ παρθένους, διά τοι τὸ φθῆναι δὲ παντελῶς οὐδένα.

VERS. 5. *Quando autem auditum fuerit in Ægypto, eos capiet dolor de Tyro.*

Non ignoravit ergo propheta, quemadmodum jam D prædixi, Assyrium, post **329** captos Tyrios, ad Ægyptiorum regionem se recepturum. Cum igitur, inquit, hæc audita fuerint ab Ægyptiis, tunc et ipsi passim ac prorsus dolore consternabuntur, non quod Tyrus succumbat, at quod ad se belli mala pervadant.

VERS. 6. *Transite Carthaginem, ululate, qui habitatis in hac insula.*

Solemnis admodum est hæc apud prophetas oratio. Non etenim proprie et vere a Tyriorum urbe hortatur recedere, et Carthaginem concedere, sed neque simpliciter ejulare, imo quasi exprobrat fugientibus, et ingenti timiditate supra modum fractis. Oportere autem dicit ipsos se deflere, se, in-

A *Τίνι ὅμοιοι γεγόνασιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ, μετάβολοι Φοινίκης, διαπερῶντες τὴν θάλασσαν ἐν ὕδατι πολλῷ, σπέρμα μεταβόλων, ὡς ἀμητοῦ εἰσφερομένου, οἱ μετάβολοι τῶν ἐθνῶν.*

Ποίοις ἄρα, φησὶ, τῶν ἐθνῶν παρεικάσωμεν τοὺς ταύτην κατοικοῦντας τὴν νῆσον; τίνες τοιαῦτα πεπόνθασι, ἢ καὶ οὕτως πεπόρθηνται, καθὰ καὶ οἱ μετάβολοι τῆς Φοινίκης; Ἐμπορία γὰρ Τύροις τὸ ἐπιτήδευμα, καὶ τὸ διαπλεῖν τὴν θάλασσαν ἐν σπουδῇ, κερδῶν ἕνεκα καὶ λημμάτων. Προστιθεὶς δὲ ὅτι σπέρμα μεταβόλων, ἔδειξεν ὅτι καὶ πατρῷον αὐτοῖς τὸ δυσγενὲς, καὶ ἐκ ῥίζης ἀνέφυσαν πονηρᾶς, καὶ φιλοκερδίας ἥττονες ἄνωθεν αὐτοῖς καὶ πρόγονοι. Οἱ δὲ καὶ ἀριθμοῦ κρείττονες, ὅσοι τὴν οὕτως αἰσχρὰν παρ' αὐτοῖς ἐπιτηδεύοντες B ζωὴν, διδάσκει λέγων· Ὡς ἀμητοῦ εἰσφερομένου οἱ μετάβολοι τῶν ἐθνῶν. Σίτου γὰρ ἀμηθέντος, ἤγουν ἀσταχύων ἐν ἀγρῷ, πολλὴ τῶν δραγμάτων πανταχόθεν ἡ εἰσφορὰ, καὶ ἡ εἰς τὴν ἅλω συγκομιδή.

Αἰσχύνθητι, Σιδὼν, εἶπεν ἡ θάλασσα· ἡ δὲ ἰσχὺς τῆς θαλάσσης εἶπεν, Οὐκ ὤδινον οὐδὲ ἔτεκον, οὐδὲ ἐξέθρεψα παρθένους, οὐδὲ ὕψωσα νεανίσκους.

Ἄποικοι μὲν Τυρίων οἱ Καρχηδόνιοι. Πλὴν ἐσχήκασι μητέρα Τύριοι τὴν Σιδῶνα· Ἀπὸ γὰρ τῆς Σιδῶνος ἦν ἡ Τύρος. Πλὴν ὡς ἐπί γε θυγατρὶ λαμπρᾷ καὶ διαβοήτῳ τῇ Τύρῳ μέγα πεφρόνηκε Σιδών. Ἐπειδὴ δὲ ἥλω, καὶ ἦκται αἰχμάλωτος, τότε φησὶν ἡ θάλασσα, τοῦτ' ἔστιν, αἱ κατὰ θάλασσαν νῆσοι πᾶσαι λοιπὸν ἐροῦσιν· Αἰσχύνθητι, Σιδὼν, ἀπόλωλε γὰρ τῶν σῶν αὐχημάτων τὸ κάλλιστον, καὶ φρούδη C γέγονεν ἡ πάλαι δεινὴ καὶ ἀλκμαιοτάτη, πλούτῳ τε πολλῷ διαφανεστάτη. Οὐκοῦν ἡ μὲν θάλασσα ταῦτα ἐρεῖ· Αὐτὴ δὲ τῆς θαλάσσης ἡ ἰσχὺς, τοῦτ' ἔστιν, ἡ κατισχύουσα τῶν νήσων, ἡ Τύρος δὲ δηλονότι ταῖς ἑαυτῆς ἐποιμώζουσα συμφοραῖς, ὅταν ἤδη γυμνὴν ἑαυτὴν τῶν οἰκητόρων, καὶ τέκνων ἐρήμην, τότε δὴ πάντως ἐρεῖ, τὸ, οὐκ ὤδινον, οὐδὲ ἔτεκον, οὐδὲ ἐξέθρεψα νεανίσκους, οὐδὲ ὕψωσα παρθένους. Ἐν ἴσῳ γὰρ γέγονα, φησὶ, ταῖς μὴ τεκούσαις ὅλως, μηδ' πάντας ἄρδην καθικέσθαι πρὸς ἀπώλειαν, περιλει-

Ὅταν δὲ ἀκουστὸν γένηται Αἰγύπτῳ, λήψεται αὐτοὺς ὀδύνη περὶ Τύρου.

D Οὐκ ἠγνόηκεν ὁ προφήτης, ὅτι καθάπερ ἤδη προεῖπον, μετὰ τὴν Τυρίων ἅλωσιν, ἐπὶ τὴν τῶν Αἰγυπτίων χώραν μεταφοιτήσειν ἔμελλεν ὁ Ἀσσύριος. Ὅταν τοίνυν, φησὶν, ἀκουστὰ ταῦτα γένηται παρὰ τοῖς Αἰγυπτίοις, τότε καὶ αὐτοὶ πάντῃ τε καὶ πάντως ὀδυνηθήσονται, οὐχ ὅτι πεπόρθηται τυχὸν ἡ Τύρος, ἀλλ' ὅτι μεταπεφοίτηκεν ἐπ' αὐτοὺς τὰ ἐκ τοῦ πολέμου κακά.

Ἀπέλθετε εἰς Καρχηδόνα, ὀλολύζετε, οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ.

Ἐν ἤθει πολλῷ τῆς προφητείας ὁ λόγος. Οὐ γάρ τοι κυρίως τε καὶ ἀληθῶς ἀπανίστασθαι τῆς Τυρίων παρακελεύεται, μεταχωρεῖν δὲ μᾶλλον εἰς Καρχηδόνα, ἀλλ' οὐδὲ ὀλολύζειν ἁπλῶς, ἀλλ' οἷον κατονειδίζειν φυγόντας, καὶ ἀμετρήτῳ δειλίᾳ συντεθραυσμένους. Χρῆναι δὲ φησὶν ἐποιμώζειν αὐτοὺς ἑαυτοῖς, καὶ

ταῖς ἐπενηνεγμέναις αὐτοῖς συμφοραῖς. Ἄμφω δὲ ταῦτα θηλυπρεπῆ, καὶ μειρακίοις μᾶλλον, καὶ τοῖς ἤδη παρηβηκόσιν ἁρμοδιώτερα. Πολέμου μὲν γὰρ περιηγγελμένου, καὶ κατὰ χώρας ἤτοι πόλεως ἔρχεσθαι προσδοκωμένου, ἅπαν μὲν ὅσον ἐστὶν ἐν ἀκμαῖς εὐτρεπίζεται πρὸς μάχην, καὶ γυμνάζει τὰ τακτικὰ, καὶ ταῖς τῶν πολεμίων φάλαγξι, κἂν εἰ μήπω παρεῖεν, τό γε ἧκον εἰς προθυμίας ἐπιμαίνεται. Γύναια δὲ καὶ μειράκια τὰ εἰς φυγὴν μελετᾷ, καὶ ὀλολύζει κλαίοντα. Ἕτοιμα γὰρ ἀεί πως εἰς φόβον καὶ θρήνους μειράκιον καὶ γυνή. Ἐπιμειδιᾷ τοιγαροῦν ὁ τῶν ὅλων Θεὸς ταῖς Τυρίων ἀνανδρίαις. Φεύγουσι γὰρ καὶ ὀλολύζουσιν οἱ πάλαι κρατοῦντες ἐν μάχαις δεινοὶ καὶ δυσάντητοι, θρασεῖς καὶ ἀνάλωτοι.

Οὐχ αὕτη ὑμῶν ἡ ὕβρις ἡ ἀπαρχῆς, πρὶν ἢ παραδοθῆναι αὐτήν; Τίς ταῦτα ἐβούλευσεν ἐπὶ Τύρον; Μὴ ἥσσων ἐστὶν, καὶ οὐκ ἰσχύει;

Φθάσας ἔφην, ὅτι τῶν Ἱεροσολύμων πεπορθημένων, κατεμπρησθέντος δὲ καὶ αὐτοῦ τοῦ ναοῦ παρὰ τῆς τῶν Ἀσσυρίων στρατιᾶς, τὰ κύκλῳ καὶ ὅμορα τῶν ἐθνῶν ἐπεγάννυντο μὲν ὡς ἀπολωλότι τῷ Ἰσραὴλ, καὶ ὡς εἰσάπαν ἐκκεκομμένῳ, καὶ ἔσειον ἐπ' αὐτοῖς τὰς σφῶν αὐτῶν κεφαλάς· ᾤοντο δὲ ὅτι πεπτώκασιν ὑπὸ χεῖρας ἐχθρῶν, οὐ διά γε τὰς αὐτῶν ἁμαρτίας, ἀλλ' ὅτι μᾶλλον ἠτόνησεν ὁ σώζων αὐτοὺς, καὶ κρείττους γεγόνασι τῆς τοῦ Θεοῦ χειρὸς οἱ κεκρατηκότες. Τί οὖν, ὦ Τύριοι, φησίν; Οὐ πρὶν αὐτὴν παραδοθῆναι, ταύτην ἐποιήσασθε κατ' ἐμοῦ τὴν ὕβριν; οὐκ ἐλέγετε τὴν ἐμὴν ἰσχὺν ἧττω καὶ ἐν μείοσιν εἶναι τῶν ὑμετέρων Θεῶν; Τίς οὖν ἄρα, φησὶν, ταῦτα ἐβούλευσεν ἐπὶ Τύρον; Ἐγὼ δηλονότι, ὃν ὑμεῖς ἥττονά τε καὶ ἄναλκιν εἰπεῖν τετολμήκατε. Ἐξ αὐτῶν τοιγαροῦν κατατεκμήρασθε τῶν πραγμάτων, πότερόν ποτε ἥττων ἐστὶ τῶν παρ' ὑμῖν Θεῶν, ἢ οὐκ ἰσχύει; Ἐγὼ μὲν γὰρ πλημμελοῦντα εἰς ἐμὲ παραδέδωκα τοῖς ἐχθροῖς τὸν ἐξήνιον Ἰσραήλ. Ἐπειδὴ δὲ πλουτεῖτε θεοῖς, καὶ πολλοὶ παρ' ὑμῖν οἱ τιμώμενοι, τίς ἄρα αὐτῶν τὴν τοιάνδε σκέψιν ἐβουλεύσατο κατὰ Τύρου; Τίς παραδέδωκε τοῖς ἐχθροῖς; χαλεπὸν οὖν ἄρα τὸ διὰ πείρας αὐτῆς ἐκδέχεσθαι ἅπερ ἂν πρέποι παθεῖν. Δεῖ δὲ οἶμαι τοὺς νουνεχεστάτους, ἰσχνοῖς διανοίας ὄμμασι μακρόθεν ὁρᾷν τὸ τελοῦν εἰς ὄνησιν, καὶ μεμαστιγωμένοις ἁγίοις μὴ ἐπαγάλλεσθαι, μήτε μὴν οἴεσθαι τὴν ἀεὶ σώζουσαν αὐτοὺς ἀτονῆσαι χεῖρα, ἐννοεῖν δὲ μᾶλλον ὅτι περιπίπτουσιν ἔσθ' ὅτε καὶ πειρασμοῖς ἐφιέντος Θεοῦ.

Οἱ ἔμποροι αὐτῆς ἔνδοξοι, ἄρχοντες τῆς γῆς. Κύριος Σαβαὼθ ἐβουλεύσατο παραλῦσαι πᾶσαν τὴν ὕβριν τῶν ἐνδόξων, καὶ ἀτιμάσαι πάντα ἔνδοξον ἐπὶ τῆς γῆς.

Μέτεισι πάλιν ὁ λόγος ἐπί γε τὸ δεῖν ἀπογυμνοῦν τῆς ἐνούσης ἀλαζονείας αὐτοῖς τὸ ὑπερφερὲς, καὶ μέντοι πρὸς τούτῳ τὸ ἀκόρεστον εἰς φιλοκερδίας. Ἔμποροι γὰρ ὄντες, φησὶ, καὶ οὕτως αἰσχρὸν καὶ δυσγενὲς ἔχοντες τὸ ἐπιτήδευμα, εἰς τοσοῦτον καὶ δόξης καὶ ὑπεροχῆς κεχωρήκασιν, ὥστε καὶ τὰς τοῖς ἄρχουσι πρεπωδεστάτας ἀναδεσμεῖσθαι τιμὰς, καὶ στεφάνοις τοῖς ἐπ' εὐκλείᾳ γενέσθαι γνωριμωτάτους. Ἀλλ' ὁ τῶν δυνάμεων Κύριος, φησὶν, ἐβουλεύσατο

A quam, implicatos calamitatibus. Ambo hæc muliebria sunt, et adolescentulis magis et ætate provectis jam senibus convenientia. Etenim bello denuntiato, et ut regionem aut civitatem invadat, exspectato, omnes qui in flore ætatis sunt et maturi, ad pugnam instruuntur, et disciplinam militarem exercent, et in hostium phalanges licet nondum adsint, neque parati sint, furunt. Mulierculæ vero et adolescentuli, fugam meditantur, et ejulant et lacrymantur. Proni sunt enim semper ad metum et fletum adolescentulus ac femina. Deridet itaque universitatis Deus imbelles ac parum masculos Tyriorum animos. Fugiunt enim et ululant, qui quondam dominabantur in pugnis, vehementes et occursu sævi, audaces et insuperabiles.

B Vers. 8. *Nunquid hæc vestra contumelia ab initio, priusquam traderetur ipsa? Quis hæc decrevit in Tyrum? Num imbecillior est, vel an non valuit?*

Supra dixi, Hierosolymis eversis, et ipso quoque templo incenso ab exercitu Assyriorum, accolas et confines gentes insultasse Israelitis quasi perditis et in totum concisis, et in illos sua moverunt capita, et putarunt sub manu hostium corruisse, non sua ob scelera, sed quod is qui servat eos, debilis et languidus esset, et quod hi qui vicerant, divina manu fortiores exstiterant. Quid igitur, inquit, o Tyrii? Nonne priusquam ipsa traderetur, hanc mihi fecistis injuriam? Nonne dixistis meam fortitudinem imbecilliorem, et vestris diis minorem? Quis igitur hæc, inquit, cogitavit contra **330** Ty-
C rum? Ego videlicet, quem vos infirmiorem dicere ausi estis et imbellem. Ex rebus igitur ipsis conjecturam facite, sitne vestris diis inferior, an non prævaleat? Ego enim delinquentem in me Israelem effrenatum, inimicis tradidi. Cum vero abundetis diis, et plurimi dii apud vos in honore habeantur, quisnam eorum tale consilium cepit contra Tyrum? Quis tradidit hostibus? Grave igitur est ex ipso periculo percipere, quæ pati oporteat. Cordatissimos itaque oportet subtili mentis oculo longe prospicere quid e re sit, et flagellatis sanctis non insultare, neque putare manum quæ semper conservat, elanguisse, sed cogitare potius quod Deo permittente nonnunquam in tentationes incidant.

D Vers. 9. *Mercatores ejus clari, principes terræ. Dominus Sabaoth cogitavit dissolvere universam contumeliam gloriosorum, et ignominia afficere omne gloriosum super terram.*

Transit iterum oratio, ut arrogantiæ altitudinem quæ illis inest, et præterea insatiabile lucri studium denudet. Negotiatores enim, inquit, cum sint, et institutum vitæ adeo turpe et abjectum ineant, eo gloriæ et eminentiæ pervenerunt, ut etiam principibus dignissimos honores sibi accommodent, et corona nobilitatis atque splendoris fiant spectatissimi. Sed Dominus exercituum, inquit, gloriosorum injuriam decrevit infringere et labefactari,

omnemque ejusmodi dedecore afficere et infamia. Si Deus talem de ea ferat calculum, et acre judicium præcisumque inducat, patrocinari quis poterit? aut quis iram divinam profligabit? Quis enim omnipotenti potestate fortior? Aut quis excelsam manum avertet? sicuti scriptum est [18]. Igitur ne arbitrentur, inquit, quod suos deos offendentes, a gloria ad ignominiam traducti fuerint; sed intelligant potius, judicium Domini Sabaoth factum esse, contra quem audebant dicere: Imbecillior est, et non valet. Dicamus proinde et nos legem prævaricantibus et peccantibus, ne cornu exaltent, nec tollant illud impie, nec contra omnium dominatorem Deum injustitiam loquantur.

Vers. 10, 11. ***Cole terram tuam, naves enim non veniunt ultra Carthagine. Manus tua* 331 *non amplius valebit per mare, quæ provocat reges.***

Studium, inquit, tuum ab instituto negotiandi ad agriculturam converte. Non enim mercaturis tibi gratissimis uteris de integro. Nec venient Carthagine, qui ad te immensas opes convehunt, et ad tuam manum, id est potestatem, confugiunt. Nihil enim prorsus ultra poteris, etsi potueris in mari plurimum, id est, quæ contra omnem et insulam et urbem mari adjacentem fortissima exstiteris, et complures reges provocaveris. Sæva enim, ut dixi, fuit Tyrus antiquitus, et terribilis tum remotissimis et vicinis, tum gentium ducibus.

Sed exercituum Dominus præcepit de Chanaan (id est, de terra alienigenarum), ***ut perdat ejus fortitudinem.***

Mala siquidem bellica, ex Assyriorum crudelitate non soli Tyro illata sunt, sed reliquis gentibus, Moabitis et Idumæis, et aliis quibusdam. In universum vero omnes Chananæi nominabantur qui cultores erant idolorum, et non ex semine Israelitico. Probro enim afficitur quisquis audit semen Chanaan et non Juda. Quando igitur, inquit, belli nocumenta per omnes simul Chananæos pervaserint, tunc quidam causis eorum quæ ipsis contigerunt perspectis ac cognitis, dicent: Nec pergatis amplius vexare et injuria afficere filiam Sion. Dixit enim eos probra jecisse in Judæam, et Israelitas derisui habuisse ut captos, et ut miseram exagitasse Jerusalem et Sion, non quasi despectam a Deo conservatore, sed quasi in captivitatem et afflictionem decidentem, ob id quod Deus, quem colebant, cui secundum legem cultum exhibebant, victus fuisset et debilitatus.

Vers. 13. ***Et si abieris ad Citienses, neque erit tibi illic requies, et in terram Chaldæorum, et illa vastata est ab Assyriis, murus ejus cecidit.***

[18] Isa. xiv, 27.

A παραλῦσαι τὴν ὕβριν τῶν ἐνδόξων καὶ ἀτιμάσαι πάντα τοιοῦτον. Ψῆφον δὲ αὐτῶν τὴν τοιαύτην καθορίζοντος Θεοῦ, καὶ τομὸν ἐπάγοντος κρίμα, τίς ἐπαμῦναι δυνάμενος, ἢ τίς ἂν τὴν θείαν ἀποσοβήσειεν ὀργήν; τίς γὰρ ἔσται κρείττων τῆς πανσθενοῦς ἐξουσίας; Ἢ τὴν χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει, κατὰ τὸ γεγραμμένον; Οὐκοῦν μὴ οἰέσθωσαν, φησὶν, ὅτι τοῖς ἰδίοις θεοῖς προσκεκρουκότες κατεκομίσθησαν ἐκ δόξης εἰς ἀτιμίαν, ἴστωσαν δὲ μᾶλλον ὅτι κρίμα γέγονε Κυρίου Σαβαὼθ, καθ' οὗ τετολμήκασιν εἰπεῖν. Ὅτι καὶ ἥσσων ἐστὶν καὶ οὐκ ἰσχύει. Οὐκοῦν λέγωμεν καὶ ἡμεῖς τοῖς παρανομοῦσι μὴ παρανομεῖν, καὶ τοῖς ἁμαρτάνουσι μὴ ὑψοῦτε κέρας, μήτε μὴν ἀνοσίως ἐπαίρειν αὐτὸ, καὶ ἀδικίαν λαλεῖν κατὰ τοῦ πάντων κρατοῦντος Θεοῦ.

B *Ἐργάζου τὴν γῆν σου· καὶ γὰρ πλοῖα οὐκέτι ἔρχονται ἐκ Καρχηδόνος. Ἡ δὲ χείρ σου οὐκέτι ἰσχύσει κατὰ θάλασσαν, ἡ παροξύνουσα βασιλεῖς.*

Μετατίθησι, φησὶ, τὰς σπουδὰς ἐξ ἐμπορικῶν ἐπιτηδευμάτων εἰς γεωπονίας. Οὐ γὰρ ταῖς ὅτι μάλιστα φιλαιτάταις ἐμπορίαις κεχρήσῃ πάλιν, οὐδὲ ἥξουσιν ἐκ Καρχηδόνος οἱ τὸν ἀμέτρητόν σοι πλοῦτον συλλέγοντες, καὶ τὴν σὴν ὑποτρέχοντες χεῖρα, τοῦτ' ἔστι, τὴν δύναμιν. Δυνήσῃ γὰρ οὐδὲν ἔτι παντελῶς, καίτοι πολλὰ δυνηθεῖσα κατὰ τὴν θάλασσαν, τοῦτ' ἔστιν, ἀλκιμωτάτη γεγενημένη κατὰ πάσης καὶ νήσου καὶ πόλεως πρὸς τῇ θαλάσσῃ κειμένης, ἡ καὶ πλείστους παροξύνασα βασιλεῖς. Δεινὴ γὰρ, ὡς C ἔφην, κατὰ τὸ ἀρχαῖον ἡ Τύρος καὶ τοῖς ἀπωτάτω καὶ γείτοσιν καὶ τοῖς ἐθνῶν ἡγουμένοις.

Ἀλλ' ὁ τῶν δυνάμεων Κύριος ἐνετείλατο περὶ Χαναὰν (τοῦτ' ἔστι, περὶ τῆς γῆς τῶν ἀλλοφύλων), *ὥστε ἀπολέσαι αὐτῆς τὴν ἰσχύν.*

Ἐπενήνεκται γὰρ τὰ ἐκ τοῦ πολέμου κακὰ διὰ τῆς Ἀσσυρίων ὠμότητος, οὐχὶ δὴ μόνῃ τῇ Τύρῳ ποθὲν, ἀλλὰ γὰρ καὶ ἑτέροις τῶν ἐθνῶν, Μωαβίταις τε καὶ Ἰδουμαίοις, καὶ ἄλλοις τισί. Συλλήβδην δὲ πάντες Χαναναῖοι κατονομάζονται τῶν εἰδώλων οἱ προσκυνηταὶ, καὶ οὐκ ἐξ αἵματος ὄντες τοῦ ἐξ Ἰσραὴλ, καὶ γοῦν ὀνειδιζέτω τις ἀκούων, σπέρμα Χαναὰν καὶ οὐκ Ἰούδα. Ὅταν τοίνυν, φησὶ, τὰ ἐκ τοῦ πολέμου βλάβη κατὰ πάντων ὁμόσε χωρήσῃ τῶν Χαναναίων, τότε τῶν συμβεβηκότων αὐτοῖς τὰς αἰτίας τινὲς συνιέντες D ἐροῦσιν· Οὐκέτι μὴ προσθῆτε τοῦ ὑβρίζειν καὶ ἀδικεῖν τὴν θυγατέρα Σιών. Ἔφη γὰρ ὅτι κατωνείδιζον τὴν Ιουδαίαν, καὶ κατεγέλων τῶν ἐξ Ἰσραὴλ ὡς ἑαλωκότων, ἐταλάνιζόν τε τὴν Ἱερουσαλὴμ, ἤτοι τὴν Σιὼν οὐχ ὡς παρεωραμένην μᾶλλον παρὰ Θεοῦ τοῦ σώζοντος, ἀλλ' ὡς διὰ τοῦτο πεσοῦσαν εἰς τὸ ἁλῶναι καὶ παθεῖν, ὅτι νενίκηται καὶ ἠσθένησε ὁ παρ' αὐτοῖς τιμώμενος Θεὸς, ᾧ τὰς κατὰ νόμον λατρείας ἐτέλουν.

Καὶ ἐὰν ἀπέλθῃς εἰς Κιτιεῖς, οὐδὲ ἐκεῖ σοι ἀνάπαυσις ἔσται· καὶ εἰς γῆν Χαλδαίων, καὶ αὐτὴ ἠρήμωται ἀπὸ τῶν Ἀσσυρίων, ὁ τοῖχος αὐτῆς πέπτωκεν.

Θεοῦ συνελαύνοντος εἰς ἱδρῶτας καὶ πόνους, τίς ὁ A ἐπαμῦναι δυνάμενος; Τῆς πανσθενοῦς δεξιᾶς πολεμούσης, τίς ἐστι τοσοῦτος ὃς τῆς ἀνηκέστου συμφορᾶς ἐξελεῖται τοὺς κάμνοντας; οὐδεὶς παντελῶς. Ἕπεται γὰρ τοῖς θείοις αὐτοῦ νεύμασι τῶν πραγμάτων ἡ φύσις, καὶ ὅπερ ἂν ἐθέλει γενέσθαι, τοῦτο πάντη τε καὶ πάντως ἀποπεραίνεται. Ἂν τοίνυν, φησὶ, μακρᾶς ἀπέλθῃς ἀποδημίας, ὥστε καὶ εἰς Κιτιεῖς παραγενέσθαι· φασὶ γὰρ πόλιν εἶναι τῶν κατὰ τὴν Κύπρον μίαν· οἱ δὲ Κιτιεῖς, αὐτὴν εἶναι διισχυρίζονται τὴν Καρχηδόνα· οὐδὲ ἐκεῖ σοι ἀνάπαυσις ἔσται, τοῦτ' ἔστι, πόλεμοί σε, καὶ ὁ τοῦ θανάτου φόβος, καὶ οἱ περὶ τοῦ θανάτου εὑρήσουσι κίνδυνοι. Ἀλλὰ κἂν αἰχμάλωτος γενόμενος καταλάβοις τὴν Χαλδαίων, οὐδὲ οὕτως πεπαύσῃ τοῦ καταλγύνεσθαι δεῖν. Οὐ γὰρ ἔσται σοι ἀνάπαυσις, πῶς ἢ τίνα τρό- B πον· ἠρήμωται γὰρ καὶ αὐτὴ καταδῃούντων αὐτὴν Περσῶν τε καὶ Ἀσσυρίων, Κύρου δηλονότι καταστρατεύοντος, ὅτε καὶ πέπτωκεν ὁ τοῖχος αὐτῆς. Τοῖχον δὲ οἶμαι τῆς Χαλδαίων γῆς, ἢ τὸν προεστηκότα καὶ τὸν βασιλεύοντα φησὶν, ἢ καὶ αὐτὸ τὸ τεῖχος, ἐφ' ᾧ μάλιστα τεθαρσηκότες προσεδόκων οἱ Βαβυλώνιοι πείσεσθαι μὲν τῶν ἀνιαρῶν οὐδὲν, ἄπρακτον δὲ τοῖς πολεμοῦσιν αὐτοῖς γενέσθαι τὴν ἔφοδον. Κατεσκεύαστο γὰρ οὕτως ὡς καὶ ἁμαξῶν παραλλὰξ ἐρχομένων, ὁδὸν ἐν αὐτῷ πλατεῖαν ὁρᾶσθαι. Καὶ γοῦν διὰ φωνῆς Ἱερεμίου φησὶν ὁ τῶν ὅλων Θεὸς, τὴν ἐπ' αὐτῷ δὴ τούτῳ κατασείων ἐλπίδα τῶν Βαβυλωνίων· « Τεῖχος Βαβυλῶνος ἐπλατύνθη, κατασκαπτόμενον κατασκαφήσεται. »

C *Ὀλολύζετε, πλοῖα Καρχηδόνος, ὅτι ἀπώλετο τὸ ὀχύρωμα ὑμῶν.*

Ὠδὴ καὶ θρῆνος ὁ ἐν ἀρχῇ τῆς ὁράσεως τέθειται διὰ μέσου πρέπειν ὅτι μάλιστα τῇ Τύρῳ τὰς τοιαύτας παρὰ πάντων λέγεσθαι φωνὰς, διαβεβαιούμενος τρόπον τινὰ τῆς προφητείας ὁ λόγος. Ὀλολύζειν δὲ τὰ ἐκ Καρχηδόνος πλοῖα, διά τοι τὸ ἀπολέσθαι τὸ ὀχύρωμα αὐτῶν, τοῦτ' ἔστι, τὴν Τύρον. Καὶ ἡ τοῦ πράγματος ἀφορμὴ διὰ τῶν ἤδη παρῳχηκότων εἴρηται σαφῶς.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταληφθήσεται Τύρος ἔτη ἑβδομήκοντα, ὡς χρόνος βασιλέως, ὡς χρόνος ἀνθρώπου.

Ἐπετώθαζεν αὐτοῖς Ἱεροσολύμοις ἡ Τύρος, ὡς πεπορθημένοις, καὶ τὰς τοῦ παθεῖν αἰτίας, οὐ ταῖς Ἰουδαίων μᾶλλον ἀνετίθει ῥᾳθυμίαις, ὡς προσκε- D κρουκότων Θεῷ διὰ τῆς εἰς τὸν νόμον, καὶ τὸ αὐτῷ δοκοῦν παροινίας· ἀλλὰ γὰρ ᾠήθη μὴ δεδυνῆσθαι σώζειν αὐτοὺς τὸν προεστηκότα, τοῦτ' ἔστι, τὸν τῶν ὅλων Θεόν. Ἥλω καὶ αὐτὴ τοιγαροῦν ταύτης ἕνεκα τῆς αἰτίας, ἰσόχρονον δὲ τῇ αἰχμαλωσίᾳ τῶν ἐξ Ἰσραὴλ ὑπέμεινε τὴν ἐρήμωσιν. Ἔτη γὰρ ἑβδομήκοντα διατετελέκασι παρὰ τοῖς Χαλδαίοις, τὸν δυσαχθῆ τῆς δουλείας ἔχοντες ζυγόν. Ἐκείνῳ τοιγαροῦν τῷ καιρῷ καταλειφθήσεται, τοῦτ' ἔστιν, ἐρημωθήσεται Τύρος ἀπομενεῖ δὲ κένανδρος, καὶ εἰς τοῦτο παρατενεῖ χρόνου μῆκος ὥστε καὶ δοκεῖν χρόνον εἶναι ζωῆς ἀνθρώπου, ἤγουν βασιλείας, τοῦτ' ἔστιν, ἔτος ἑβδομηκοστὸν, καθὰ καὶ ὁ μακάριος ψάλλει Δαβίδ·

A Deo ad sudorem et laborem impellente, quis auxiliari poterit? Et si omnipotens dextera bellum gerit, quisnam is est, qui ab insanabili calamitate eripiet laborantes? Nemo prorsus. Sequitur enim divinos ejus nutus rerum natura, et quod fieri velit, **332** hoc semper et omnino perficit. Si igitur longinquam confeceris profectionem, ut etiam ad Citienses pervenias (aiunt enim urbem esse in Cypro, Citienses vero eam esse contendunt Carthaginem), ne ibi quidem tibi requies erit, id est, hostes te et formido mortis, et extrema apprehendent pericula. Imo etiamsi captivus factus Chaldæam occupes, nec sic a dolore requiesces, nec tibi erit respiratio. Qui id vel quo pacto? Est enim et illa vastata, depopulantibus eam Persis et Medis, Cyro B nimirum oppugnante, quando etiam cecidit murus ejus. Murum autem, opinor, vocat vel Chaldæorum præsidem et regem, vel ipsum murum, cui innixi Babylonii nihil adversi sperabant se passuros, sed hostium impetum fore irritum. Sic enim exstructus erat, ut etiamsi plaustra alternatim succederent, via in eo lata ac spatiosa conspiceretur. Et hinc voce Jeremiæ dicit universorum Dominus, spem hanc Babyloniorum labefaciens: « Murus Babylonis dilatatus est, suffossus suffodietur [16]. »

C Vers. 14. *Ululate, navigia Carthaginis, quia periit munitio vestra.*

Canticum et lamentatio quæ in principio visionis fuit, posita est in medio; maxime convenire de Tyro eas voces dici, quæ ab omnibus celebrata sunt, et affirmat quodammodo sermo propheticus; et, Ululate, naves Carthaginis, eo quod munitio eorum perierit, id est, Tyrus. Rei vero occasio, ex his quæ jam præterita sunt, manifeste exposita est.

Vers. 15. *Et erit in die illa, derelinquetur Tyrus, annis septuaginta, sicut tempus regis, sicut tempus hominis.*

Subsannavit Hierosolyma Tyrus, ut quæ veluti deleta fuissent, causasque malorum non Judæorum D socordiæ attribuit, Deum offendentium per debacchationes in legem ejusque decreta, sed existimavit non potuisse servare ducem ipsorum, nimirum universitatis Deum. Capta igitur est et illa, hanc ob causam, et ad vastitatem redacta est, captivitati Israelitarum æqualem tamque diuturnam. Annos enim septuaginta apud **333** Chaldæos commorati sunt, jugo servitutis vix tolerabili detenti. Eo igitur tempore derelinquetur, id est, desolabitur Tyrus, et viris destituta manebit, et manebit temporis intervallo tanto, quantum tempus vitæ hominis, seu regni esse videtur, id est, annos septuaginta, ut etiam beatus David psallit: « Dies annorum nostrorum in ipsis, septuaginta anni; ut vero ad sum-

[16] Jerem. LI, 58.

nium, octoginta et amplius, eorum labor et dolor [17]. »

VERS. 16. *Et erit post septuaginta annos, erit Tyrus quasi canticum meretricium. Sume citharam, circui, o civitas, meretrix oblivioni tradita, bene cithara cane, multum cane, ut tui memoria sit.*

Pervulgata et scortatrix mulier, quæ formam corporis amatoribus prostituit, quandiu ætate est integra et juvencula, multos irretit, et corporis flos veluti laqueus est, et cassis intuentibus. Cum autem ætas provectior fuerit, tunc etiam tunc pulchritudine ejus deflorescente et emarcescente, cum ad hanc venationem et aucupium inutilis est, alia via aggreditur, ut miserarum prædarum proventus excogitet. Cantus enim et melodia ei studio sunt, multique dum citharam pulsat, demulcentur. Hinc exigua et brevis quæpiam erit ejus vitæ præteritæ memoria, et venustatem ejus vigentem, et floridam quidam laudibus vehunt. Simile quiddam, inquit, Tyro accidet. Erit enim velut canticum meretricis oblivioni traditæ, nec jam, ut prius, ornata erit et elegans. Canticum erit et melos nonnullis. Commemorabunt enim quæ olim ei affuerunt. Tu autem, o Tyre, veluti quædam vetula et effeta meretrix, cape citharam, circumi, o civitas facta veluti meretrix quæpiam, oblivione sepulta. Emarcescente enim, ut dixi, mulierum forma, obliviscuntur ejus qui alliciebantur, ejus quondam amatores. Bene igitur cane cithara, et multum cane, ut tui sit memoria.

VERS. 17, 18. *Et erit post septuaginta annos, inviset Deus Tyrum, et iterum restituetur in pristinum, et erit emporium omnibus regnis orbis terrarum, et erit ejus negotiatio, et merces sancta Domino non ipsis congregabitur, sed iis qui habitant coram Domino; omnis negotiatio ejus ut edat* **334** *et bibat, et ad satietatem impleatur, ut sit monumentum coram Domino.*

Justo judicio Deus, ut dixi, captivitatem Israelitarum, et Tyriorum internecionem æqualem fecit. Cum vero Cyrus cum Persis et Medis Babylonicum regnum vi sustulisset, universa Chaldæorum regione eversa, liberatus est captivitate Israel, inque suam patriam iterum remigravit, sanctamque urbem inhabitavit. Quin et absque ulla malorum exprobratione universitatis Deus a Tyriis iram avertit: rursus collegit se, et in priorem dignitatem restituta est, atque ut prius omnibus terræ regnis emporium fuit, ac diversorium. Verum observa differentiam. Olim enim merces quæ ex negotiatione surgebat, colligebatur ab his solum qui eam exercent; at nemo omnino fructus Deo adduxit. At ubi vocatis in fidei gratiam gentibus, cognovisset et ipsa universorum Conservatorem et Redemptorem, templo sancto ab eis exstructo, atque divino altari erecto, non ipsis jam solis, merces negotiationis reposita

[17] Psal. LXXXIX, 10.

A « Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. »

Καὶ ἔσται μετὰ ἑβδομήκοντα ἔτη, ἔσται Τύρος ὡς ᾆσμα πόρνης. Λάβε κιθάραν, ῥέμβευσον, πόλις, πόρνη ἐπιλελησμένη, καλῶς κιθάρισον, πολλὰ ᾆσον, ἵνα σου μνεία γένηται.

Ἡ πολύκοινος καὶ μαχλῶσα γυνὴ, καὶ τὴν τοῦ σώματος ὥραν καταπωλοῦσα τοῖς ἐρασταῖς, ἕως μὲν ἐστιν ἡβῶσά τε καὶ νέα, σαγηνεύει πολλοὺς, καὶ παγὶς αὐτὴ καὶ οἱονεὶ θέλγητρον τῶν ὁρώντων ἐστὶ τὸ τοῦ σώματος ἄνθος. Ἐπειδὰν δὲ παρηβήσῃ, τότε δὴ τότε, καταμαρανθείσης αὐτῇ τῆς ὥρας, ἀπρακτεῖ μὲν ἤδη περὶ τὴν θήραν, ἑτέρῳ δὲ τρόπῳ μέτεισι τὸ δύνασθαι πάλιν ἀθλίων λημμάτων ἐπινοεῖν πορισμούς.
B Ὠδὴ γὰρ αὐτῇ καὶ μέλος τὸ ἐπιτήδευμα γίνεται· ἐπιγάννυνται γὰρ κιθαριζούσῃ πολλοί. Ἐντεῦθεν αὐτῇ καὶ βραχεῖά τις ἔσθ' ὅτε τῆς παρελθούσης ζωῆς ἀνάμνησις ἔσται, καὶ τὸ ἐν ἀκμαῖς αὐτῆς κάλλος ἐπαινοῦσι τινές. Τοιοῦτόν τι συμβήσεται τῇ Τυρίων, φησίν. Ἔσται γὰρ ὡς ᾆσμα πόρνης ἐπιλελησμένης, καὶ οὐκέτι τὸν ἐν ἀρχαῖς ἔχουσα κόσμον. Ὠδὴ καὶ μέλος ἔσται πολλοῖς. Διαμεμνήσονται γὰρ τῶν πάλαι προσόντων αὐτῇ. Σὺ δὲ, ὦ Τύρος, καθάπερ παλαιά τε καὶ ἀφηβήσασα πόρνη, λάβε κιθάραν, ῥέμβευσον ὡς πόλις γενομένη καθάπερ τις πόρνη ἐπιλελησμένη. Ἀπομαρανθείσης γὰρ, ὡς ἔφην, τῆς τῶν γυναίων ὥρας, ἐπιλανθάνονται ταύτης καὶ οἱ συνηρπασμένοι ποτὲ, καὶ γεγονότες αὐτῆς ἐρασταί. Καλῶς τοίνυν κιθάρισον,
C καὶ πολλὰ ᾆσον, ἵνα σου κἂν μνεία γένηται.

Καὶ ἔσται μετὰ ἑβδομήκοντα ἔτη, ἐπισκοπὴν ποιήσει Θεὸς Τύρου, καὶ πάλιν ἀποκατασταθήσεται εἰς τὸ ἀρχαῖον, καὶ ἔσται ἐμπόριον πάσαις ταῖς βασιλείαις τῆς οἰκουμένης, καὶ ἔσται αὐτῆς ἡ ἐμπορία, καὶ ὁ μισθὸς ἅγιον τῷ Κυρίῳ, καὶ οὐκ αὐτοῖς συναχθήσεται, ἀλλὰ τοῖς κατοικοῦσιν ἔναντι τοῦ Κυρίου· πᾶσα ἡ ἐμπορία αὐτῆς φαγεῖν καὶ πιεῖν, καὶ ἐμπλησθῆναι εἰς πλησμονὴν, μνημόσυνον ἔναντι τοῦ Κυρίου.

Δικαίᾳ ψήφῳ Θεὸς, ἰσόχρονον, ὡς ἔφην, τῇ αἰχμαλωσίᾳ τῶν ἐξ Ἰσραὴλ καὶ τὴν τῶν Τυρίων ἐρήμωσιν ἐποιήσατο. Ἐπειδὴ δὲ Κύρου μετὰ Περσῶν τε καὶ Μήδων κατὰ κράτος ᾑρηκότος τὴν Βαβυλωνίων, ἅπασαν δὲ τὴν Χαλδαίων καταδῃώσαντος χώραν, ἀνείθη
D μὲν τῆς αἰχμαλωσίας ὁ Ἰσραὴλ, ὑπενόστησε δὲ πάλιν εἰς τὴν ἑαυτοῦ, καὶ τὴν ἁγίαν κατῴκηκε πόλιν. Ἀμνησικάκως δὲ ὁ τῶν ὅλων Θεὸς, καὶ τῆς Τυρίων ἀπέστησε τὴν ὀργήν· συγκεκρότηκε δὲ πάλιν, καὶ ἀναπεφοίτηκεν εἰς τὸ ἐν ἀρχαῖς, ἐμπόριόν τε καὶ κατάλυμα γέγονε, καθὰ καὶ πάλαι πάσαις ταῖς βασιλείαις τῆς γῆς. Πλὴν ἐπιτήρει τὴν διαφοράν. Πάλαι μὲν γὰρ ὁ ἐκ τῆς ἐμπορίας μισθὸς συνεκομίζετο μόνοις τοῖς ταύτην ἐπιτηδεύουσι, καρποὶ ὅλως παρ' οὐδενὸς τὸ σύμπαν προσεκομίζοντο τῷ Θεῷ. Ἐπειδὴ δὲ κεκλημένων τῶν ἐθνῶν εἰς τὴν διὰ πίστεως χάριν, ἔγνω καὶ αὐτὴ τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν, καὶ ναὸς ἅγιος ἐγήγερται παρ' αὐτοῖς, καὶ θεῖον ἔστη θυσιαστήριον,

A οὐκ αὐτοῖς ἔτι μόνοις ὁ ἐκ τῆς ἐμπορίας συγκομίζεται μισθός· ἀλλὰ γὰρ καὶ ἅγιον ἔσται τῷ Κυρίῳ, τοῦτ' ἔστιν, εἰς ἀνάθημα καὶ καρποφορίαν, ὥστε καὶ φαγεῖν καὶ πιεῖν ἔναντι Κυρίου. Πάλαι μὲν γὰρ τοὺς τῶν εἰδώλων καταλαμβάνοντες σηκοὺς, καὶ τὰ τῶν δαιμονίων τεμένη προσεκόμιζον μὲν θυσίας, πανηγύρεις δὲ τὰς ἐπ' αὐτοῖς ἐπετέλουν, εἰς τιμὴν καὶ δόξαν τῶν ἰδίων σκευασμάτων· ἐπλανῶντο γὰρ ἔτι. Ἐπειδὴ δὲ, ὡς ἔφην, ἐγνώκασι τὸν Θεὸν τὸν ἀληθινὸν, ἅγιον μὲν τῷ Κυρίῳ γέγονεν ὁ τῆς ἐμπορίας μισθὸς, ἐσθίουσι δὲ καὶ πίνουσιν εἰς μνημόσυνον ἔναντι Κυρίου, Θεῷ δηλονότι τὰ ἐφ' οἷς ἂν εὖ πράττοιεν ἀνατιθέντες χαριστήρια.

Ἰδοὺ Κύριος καταφθείρει τὴν οἰκουμένην, καὶ ἐρημώσει αὐτὴν, καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς, καὶ διασπερεῖ τοὺς οἰκοῦντας ἐν αὐτῇ.

B Φθάσας ἔφην ὅτι πεπόρθηται μὲν ἡ Ἱερουσαλὴμ, συγκατεδῃώθησαν δὲ αὐτῇ καὶ αἱ λοιπαὶ τῆς Ἰουδαίας πόλεις. Τά γε μὴν κύκλῳ καὶ περίοικα τῶν ἐθνῶν ἐπεμειδίων κειμένῃ, καὶ μονονουχὶ κατασείοντες ἐπ' αὐτῇ τὰς κεφαλὰς πλατὺ γελῶντες ἔφασκον, τῆς Ἀσσυρίων χειρὸς ἡττᾶσθαι Θεόν· καθάπερ ἀμέλει καὶ ὁ Ῥαψάκης Περσικῆς ἀλαζονείας ἀνάμεστος ὢν, τοῖς ἐν τῷ τείχει καθεζομένοις ἔφασκεν· « Μὴ ἀπατάτω ὑμᾶς Ἐζεχίας λέγων, ὅτι Ῥύσεται ὁ Θεὸς τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου. » Οὐκοῦν ἐπειδήπερ ὁμοῦ τοῖς ἐκ Βαβυλῶνος καὶ τὰ ἕτερα τῶν ἐθνῶν τὴν τοῦ Θεοῦ δόξαν κατακερτομοῦντες ἔφασκον, οὐ δεδυνῆσθαι σώζειν αὐτοὺς τὸν πάλαι προεστηκότα, ταύτῃ τοι καὶ σφόδρα εἰκότως καὶ τῶν πεπλημμελημένων καὶ τῆς εἰς τοῦτο δυσσεβοῦς ἀθυροστομίας πραττόμενοι δίκας, C δέδονται καὶ αὐτοὶ τοῖς Βαβυλωνίοις εἰς ἐρήμωσιν. Καὶ τὴν ἐφ' ἑκάστῳ τῶν ἐθνῶν ὅρασιν ὁ τῆς προφητείας ἡμῖν ἀφηγήσατο λόγος. Ὑποπεπτώκασι γὰρ τοῖς ἐκ θείας ὀργῆς κινήμασιν, ἀλλόφυλοί τε καὶ Μωαβῖται, Δαμασκηνοί τε καὶ Αἰγύπτιοι, καὶ μὴν καὶ οἱ ἐκ τῆς ἐρήμου, Ἀζώτιοί τε καὶ Ἰδουμαῖοι, Τύρος τε πρὸς τούτοις, τελευταία τε καὶ ἡ Βαβυλὼν, καὶ ἅπασα δὲ τῶν Χαλδαίων ἡ γῆ, καθ' ὁμοιότητα τῶν ἄλλων ἠρήμωται, Κύρου τοῦ Καμβύσου καὶ Μανδάνης υἱοῦ κατεξανιστάντος αὐτῆς Ἀσσυρίους τε καὶ Μήδους. Ἀφηγησάμενος τοίνυν ὁ μακάριος προφήτης τὰ ἑκάστῳ τῶν ὠνομασμένων ἐθνῶν ἐκ θείας ὀργῆς ἐπενηνεγμένα, διὰ τῶν προκειμένων, μονονουχὶ τοῦ παντὸς λόγου ποιεῖται τὴν ἀνακεφαλαίωσιν, καὶ οἰκουμενικὴν ὀνομάζει φθορὰν τὴν κατὰ πολλῶν ἐθνῶν γενομένην. D Ταύτῃ τοί φησιν· Ἰδοὺ Κύριος καταφθείρει τὴν οἰκουμένην, καὶ ἐρημώσει αὐτὴν, καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς. Οὐ γάρ τοι μία καὶ δύο πεπτώκασι πόλεις, κατεφθάρησαν δὲ χῶραί τε καὶ ἔθνη κατά γε τοὺς ἤδη προειρημένους τρόπους. Καταφθερεῖ τοίνυν καὶ ἐρημώσει, φησὶ, τὴν οἰκουμένην, καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς. Ἕως μὲν γὰρ ἀνεξικακεῖ καὶ ἀναβάλλεται τὰς δίκας ὁ τῶν ὅλων Θεὸς, διαλανθάνει πως καὶ ὁ τῶν ἀσεβῶν βίος, καὶ οἱονεὶ κέκρυπται τῆς ἑκάστου ζωῆς τὸ πρόσωπον, ἤγουν ἡ ἐμφάνεια. Ἐπάγοντος δὲ τὴν ὀργὴν καὶ τὴν ἑκάστῳ πρέπουσάν τε

[18] IV Reg. xviii, 29, 30.

conditur, sed Domino sacra erit, id est, ei anathema et sacrum donarium erit, et oblatio fructuum, ut edant et bibant coram Domino. Olim enim idolorum domiciliis et dæmoniorum fanis occupatis, sacrificia obtulerunt, et panegyres cœtusque inter se in honorem ac gloriam suorum numinum celebrarunt: adhuc enim errabant. Postquam vero, ut dixi, Deum verum agnovissent, quæstus negotiationis Domino sacer fuit, comedebant et bibebant; deinceps in monumentum, coram Domino Deo videlicet, ob res prosperas gratiarum dona consecrabant.

CAP. XXIV. VERS. 1. *Ecce Dominus dissipabit orbem terrarum, et delebit eum; et releget faciem ejus, et disperget ejus habitatores.*

Supra dixi vastatam esse Jerusalem, et una reliquas Judææ urbes fuisse dissipatas. Gentes autem circumquaque finitimæ jacenti illudebant, et tantum non motis capitibus, diducto ore late ridentes dictitarunt, Assyriorum manu inferiorem Deum: quemadmodum certe et Rapsaces Persica plenus arrogantia, in muro sedentibus dixit: « Ne decipiat vos Ezechias dicens: Liberabit Deus Jerusalem ex manu mea [18]. » Quia igitur cum Babylone, **335** aliæ quoque gentes divinam majestatem conviciis incessentes, illum eorum quondam ducem non potuisse servare eos dictitassent· hinc justissime quidem et delictorum et tam impiæ ac effrenatæ dicacitatis pœnas dederunt, traditæque sunt et ipsæ Babyloniis in vastationem. Visionem autem de singulis gentibus prophetica nobis exposuit oratio. Subjecti enim sunt divini furoris jactationibus Ammonitæ, Moabitæ, Damasceni, Ægyptii et qui ex deserto erant, Azotii et Idumæi, ad hæc Tyrus, et ad ultimum Babylon, omnisque terra Chaldæorum exemplo moreque aliarum gentium, Cyro Cambysis et Mandanæ filio, contra eam Assyrios et Medos concitante, deleta est. Cum igitur beatus propheta, quæ singulis gentibus dictis ex divina ira inflicta erant, commemoraverit: his verbis totius orationis summam recolligit, et totius orbis excidium vocat, quod multis gentibus accidit. Hinc ait: Ecce Dominus dissipabit orbem terrarum, illumque delebit, et releget faciem ejus. Non enim una civitas aut duæ ceciderunt, sed provinciæ et gentes, iis quos jam dixi modis, deletæ sunt. Dissipabit itaque, inquit, et delebit orbem terrarum, et ejus faciem releget. Quandiu enim mala tolerat, et differt pœnas universitatis Deus, latet quodammodo impiorum vita, et cujusque vitæ facies, seu species quasi tegitur et occultatur. Cum vero iram infligit, et de singulo quoque dignum ac debitum sumit supplicium, supplicio affectorum facies ac persona retegitur. Quales enim sint et fuerint, genus animadversionis arguit, siquidem verum est, redditurum Deum unicuique secundum opera sua. Quin et illud puto dicendum. Scilicet cum

orbem terrarum propheta nominasset, illumque A delendum et in solitudinem redigendum dixisset, volunt quidam propheticum sermonem velut a particulari indignatione, ad generalem et contra omnes descendere, asseruntque palam prædici, quæ tempore consummationis erant mundo eventura. Oportet itaque nos illorum sequi sententias, et quæ dicta sunt singula dupliciter interpretari. Proinde terrarum orbem perdendum **336** dicit et vastandum, et faciem ejus detegendam, his nimirum quæ a singulis gesta sunt patefactis, sive bonis sive malis. Dispergetque, inquit, habitantes in eo. Si de gentibus vis sententiæ efferatur, intelliges, dictis regionibus in vastitatem deductis, earum incolas partim disseminatos et disjectos, partim captivos servisse capientibus, relictaque sua patria, ad alias demigra- B visse. Sin de universali judicio, dispersum iri habitantes in terra significare poterit dividi, id quod aperte docebit Servator, dicens: « Quando sederit Filius hominis in solio majestatis suæ, stabunt oves a dextris, hædi a sinistris [19]. » Itaque pro dividere vel dispartiri habitatores terræ, illud, Dispergere, hic posuit.

καὶ ὀφειλομένην ἐπιτιθέντος κόλασιν ἀπογυμνοῦται τῶν κολαζομένων τὸ πρόσωπον. Ὁποῖοι γάρ τινές εἰσι καὶ γεγόνασιν, ὁ τῆς μωρίας διαδείκνυσι τρόπος, εἴπερ ἐστὶν ἀληθὲς ὡς ἀποδώσει Θεὸς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Χρῆναι δὲ οἶμαι κἀκεῖνο εἰπεῖν. Ἐπειδὴ γὰρ οἰκουμένην ὁ προφήτης ὠνόμασεν, ἔφη τε αὐτὴν καταφθαρήσεσθαι· καὶ μὴν καὶ εἰς ἐρημίαν ἐλθεῖν, βούλονταί τινες, ὡς ἐκ μερικῆς ἀγανακτήσεως ἐπὶ τὴν καθ' ὅλου καὶ κατὰ πάντων μεταφοιτῆσαι τῷ προφήτῃ τὸν λόγον· καὶ δὴ καί φασιν ὅτι τὰ συμβησόμενα τῷ κόσμῳ, καὶ κατὰ τὸν τῆς συντελείας καιρὸν προαφηγεῖται σαφῶς. Χρὴ τοίνυν ἡμᾶς καὶ ταῖς ἐκείνων ἐννοίαις ἕπεσθαι δεῖν ἑλομένους διττὴν ποιεῖσθαι τὴν ἐφ' ἑκάστῳ τῶν λεγομένων τὴν ἀφήγησιν. Καταφθαρήσεσθαι τοίνυν τὴν οἰκουμένην φησὶ καὶ ἐρημωθήσεσθαι, καὶ τὸ πρόσωπον αὐτῆς ἀποκαλυφθήσεσθαι, φανερουμένων δηλονότι τῶν ἑκάστῳ πεπραγμένων εἴτε ἀγαθῶν εἴτε φαύλων, διασπερεῖ δὲ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ, καὶ εἰ μὲν ἐπὶ τῶν ἐθνῶν φέροιτο τῆς ἐννοίας ἡ δύναμις νοήσεις ὅτι τῶν ὠνομασμένων χωρῶν εἰς ἐρημίαν ἐνηνεγμένων, οἱ ἐνοικοῦντες ἐν αὐταῖς, οἱ μὲν διεσπάρησαν, οἱ δὲ καὶ αἰχμάλωτοι γεγονότες τοῖς ἑλοῦσι δεδουλεύκασι, καὶ τὴν ἐνεγκοῦσαν ἀφέντες, μετακεχωρήκασιν εἰς ἑτέρας. Εἰ δὲ ἐπὶ τῆς καθ' ὅλου κρίσεως, τὸ διασπαρήσεσθαι τοὺς ἐνοικοῦντας ἐν τῇ γῇ κατασημαίνειεν ἂν τὸ διαιρεθήσεσθαι, καὶ τοῦτο διδάξει σαφῶς ὁ Σωτὴρ λέγων, ὅτι « Ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου τῆς δόξης αὐτοῦ, στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. » Οὐκοῦν ἀντὶ τοῦ διελεῖν, ἤτοι ἀπομεριεῖν τοὺς ἐνοικοῦντας ἐν τῇ γῇ, τὸ διασπερεῖ τέθεικεν ἐν αὐτοῖς.

VERS. 2, 3. *Et erit populus velut sacerdos, et* C *servus ut dominus, et famula ut domina. Erit emens ut vendens, et fenerans ut fenus accipiens, debens ut is cui debet. Perditione perdetur terra, et direptione diripiatur terra. Os enim Domini locutum est hæc.*

Καὶ ἔσται ὁ λαὸς ὡς ὁ ἱερεὺς, καὶ ὁ παῖς ὡς ὁ Κύριος, καὶ θεράπαινα ὡς ἡ κυρία· ἔσται ὁ ἀγοράζων ὡς ὁ πωλῶν, καὶ ὁ δανείζων ὡς ὁ δανειζόμενος, καὶ ὁ ὀφείλων, ὡς ᾧ ὀφείλει. Φθορᾷ καταφθαρήσεται ἡ γῆ, καὶ προνομῇ προνομευθήσεται ἡ γῆ, τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

Vigente pace, necesse est omnino, tum urbes, tum provincias congruentibus legibus tam divinis quam humanis, administrari, et dignitatum et præstantiæ ordines conservari, et opulentis constabiliri opulentiam, et liberis libertatem. Sin hostiles phalanges ingruant, et barbaricæ crudelitatis fomentum et materia fiat urbs aut provincia, rerum erit perturbatio, et nihil demum ordine continebitur. Cassus enim erit honor sacerdotum, pari D loco erunt servus ac dominus, famula et domina, emens et vendens, fenerans et fenus accipiens, debens et is cui debet: quibus denotatur dives et pauper. Pervadit enim omnes eodem modo interitus et depastio, direptio scilicet ac deprædatio. Obsignat autem propheta verum esse quod dicitur, inferens: Etenim os Domini locutum est hæc. Quod autem pro divino tribunali judicium sine acceptatione personarum sit futurum, quis non audebit dicere? Non enim auctoritatis eminentia ullos servabit, nisi quis conversationis legitimæ bonos fructus habeat, nec divitiæ eos qui his præditi erant juvabunt, sed **337** pari modo ac æquali statu omnes sistemur apud judicem, seu parvus sit seu

Κρατούσης εἰρήνης, πᾶσά πως ἀνάγκη καὶ τοῖς καθήκουσι νόμοις, θείοις τε καὶ ἀνθρωπίνοις διοικεῖσθαι καὶ πόλεις καὶ χώρας, καὶ ἀξιωμάτων καὶ ὑπεροχῆς σώζεσθαι τάξεις, ἐῤῥῶσθαί τε καὶ πλουτοῦσι τὸ πλουτεῖν, καὶ τοῖς ἐλευθέροις τὴν ἐλευθερίαν. Εἰ δὲ κατασκήψειαν αἱ τῶν πολεμίων φάλαγγες, καὶ βαρβαρικῆς ὠμότητος ἔργον γένηται πόλις, ἢ χώρα τυχὸν φορμὸς ἔσται πραγμάτων, καὶ οὐδὲν ἐντάξει λοιπόν. Φρούδη μὲν γὰρ ἱερέων τιμὴ, ἐν ἴσῃ δὲ τάξει παῖς καὶ κύριος, θεράπαινα καὶ κυρία, ὁ ἀγοράζων καὶ ὁ πωλῶν, ὁ δανείζων καὶ ὁ δανειζόμενος, ὁ ὀφείλων καὶ ᾧ ὀφείλει· σημαίνεται δὲ διὰ τούτων ὁ πλούσιος καὶ ὁ πένης. Χωρεῖ γὰρ ἐν ἴσῳ τρόπῳ κατὰ πάντων ἡ φθορὰ, καὶ ἡ προνομὴ, τοῦτ' ἔστιν, ἡ διαρπαγὴ καὶ ἡ προνόμευσις. Κατασφραγίζει δὲ πρὸς ἀλήθειαν ὁ προφήτης τὸ εἰρημένον ἐπενεγκών· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Ὅτι δὲ καὶ ἐπὶ τοῦ θείου βήματος ἀπροσωπόληπτόν ἐστι τὸ κρίμα, τίς ὁ μὴ φάναι τολμῶν; Οὐ γὰρ ἀξιωμάτων ὑπεροχὴ διασώζει τινὰς, εἰ μὴ τῆς ἐννόμου πολιτείας ἀγαθοὺς ἔχοι καρπούς· ὀνίνησι δὲ κατ' οὐδένα τρόπον ὁ πλοῦτος τοὺς ἐσχηκότας αὐτὸν, ἀλλ' ἐν ἴσῳ καὶ ἐν τῇ τοιᾷδε τάξει παραστησόμεθα πάντες τῷ κριτῇ, κἂν εἴτε μικρὸς

[19] Matth. xxv, 31, 32.

καὶ μέγας, πλούσιός τε καὶ πένης. Οὐδὲ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. Τοιοῦτόν τι καὶ ἐν τῷ Ἰὼβ γέγραπται· « Μικρὸς καὶ μέγας ἐκεῖ ἐστι, καὶ θεράπων οὐ δέδοικε τὸν κύριον αὐτοῦ. »

Ἐπένθησεν ἡ γῆ, καὶ ἐφθάρη ἡ οἰκουμένη, ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς· ἡ δὲ γῆ ἠνόμησεν διὰ τοὺς κατοικοῦντας αὐτήν.

Στυγνὸν ἀεί πως ἐστὶ τοῖς πενθοῦσι τὸ σχῆμα, καὶ κατηφείας μεστοὶ οἱ ὀφθαλμοί τε καὶ παρειαί, καὶ κατωχριᾷ τὸ μέτωπον· πυρὸς γὰρ δίκην τὴν τοῦ ἀνθρώπου καταφλέγει καρδίαν ἡ ἐπί γε τοῖς τεθνεῶσι λύπη. Τοιοῦτόν τι παθοῦσαν ἔστι καὶ πόλιν ἰδεῖν, ἤτοι γῆν τε καὶ χώραν κατειλημμένην ὑπὸ βαρβάρων· στυγνὰ γὰρ τὰ πάντα γίνεται, δαπανηθέντων μὲν ξίφεσι τῶν ἐν αὐταῖς, ἐμπεπρησμένων δὲ οἴκων, καὶ τὰ ἐκ τοῦ πολέμου πεπονθότων βλάβη. Οὕτω νοήσεις πενθῆσαι τὴν γῆν, ἧς τὰ τοιάδε παθούσης παθεῖν ἀναγκαῖον καὶ τοὺς ὑψηλοὺς ἐν αὐτῇ, τουτέστι, τοὺς περιφανεστέρους. Οὐ γὰρ δὴ μάλιστα, καὶ τιμῆς καὶ πλούτου καὶ τῶν ἄλλων ἐστερημένοι, τῶν ὅσα φιλεῖ τοῖς ἐνδόξοις ἀκολουθεῖν, φορτικωτέραν ἔχουσι τὴν ἐν τοῖς πεπονθόσι λύπην, ἀνομῆσαι δέ φησι τὴν γῆν διὰ τοὺς κατοικοῦντας αὐτήν. Ὀνομάζεται γὰρ, καὶ πόλις ἄνομος, καὶ μέντοι καὶ χώρα πλειστάκις, καίτοι τῆς ἀναισθήτου γῆς οὐκ εἰδυίας τὸ ἀνομεῖν, ἀπὸ δέ γε τῆς τῶν οἰκούντων φαυλότητος ταύτην λαβούσαι τὴν κρίσιν. Ἐκλέξῃ δὲ πάλιν καὶ γενικῶς τὸν λόγον. Εἰ γὰρ καθά φησί τις τῶν ἁγίων μαθητῶν, γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται πάντα, κατὰ τὸν τῆς συντελείας καιρὸν, στυγνὸν ἔσται τὸ τῆς γῆς πρόσωπον, καὶ τοῖς ἐν πένθει προσεοικός. Ὡς δὲ ἄνομος γῆ, τουτέστιν, τοῖς ἀνόμοις ὑπηρετήσασα καταπίμπραται. Καινοὺς γὰρ οὐρανοὺς καὶ τὴν γῆν καὶ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν, κατὰ τὸ γεγραμμένον, γράφει δὲ καὶ ὁ Παῦλος, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

Διότι παρέβησαν τὸν νόμον, καὶ ἤλλαξαν τὰ προστάγματα διαθήκην αἰώνιον. Διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν, ὅτι ἡμάρτησαν οἱ κατοικοῦντες αὐτήν.

Ἀνανήφει πάλιν εἰς τὸ ἀκριβὲς τῆς προφητείας ὁ λόγος. Ἵνα γὰρ μή τινες οἴωνται τὰς δίκας ἐπάγειν ἀναιτίως τισὶ τὸν τῶν ὅλων Θεὸν τοῖς ἐξ ὀργῆς κινήμασι συνάπτουσι τὰς αἰτίας, καὶ τὰ τῶν κολαζομένων ἐγκλήματα διαγγέλλουσι σαφῶς. Πενθήσει τοίνυν ἡ γῆ, διὰ ποίαν αἰτίαν; Διότι παρέβησαν τὸν νόμον καὶ παρέλυσαν διαθήκην αἰώνιον. Ταύτῃ τοί φησι καὶ ἐπάρατος ἔσται ἡ γῆ. Πεπλημμελήκασι γὰρ οἱ κατοικοῦντες αὐτήν. Ἔοικε δὲ πάλιν ὁ προφήτης, ἐπειδὴ ταῖς ἄλλαις πόλεσιν ὁμοῦ ἤτοι χώραις καὶ ἡ τῶν Ἰουδαίων ἐξῄτησε δίκας, πεπόρθηται γὰρ, ὡς ἔφην, τὰ τῶν ὑπὸ νόμον, πλημμελήματα παρακομίζει εἰς μέσον· Παρέβησαν γὰρ τὸν νόμον, φησὶ, λόγου μὲν αὐτὸν ἀξιοῦντες οὐδενὸς οἱ ἐξ Ἰσραὴλ, εἰς ἑτέραν δὲ ὥσπερ τραπόμενοι τρί-

magnus, dives seu pauper. Non enim est apud Deum personarum respectus. Tale quidpiam et apud Jobum scriptum est: « Parvus et magnus illic est, et famulus qui metuit dominum suum [20]. »

VERS. 3, 4. *Luxit terra, et corruptus est orbis, luxerunt excelsi terræ, terra autem inique egit propter habitantes in ea.*

Mœstus est semper lugentium habitus, et oculi demissionis pleni sunt et etiam genæ, fronsque pallescit. Siquidem instar ignis, humanum cor exurit tristitia, quæ pro mortuis concipitur. Tale quid videre est, ubi vel terræ et regioni, quæ capta est a barbaris, usuvenire. Tristia enim et tetrica fiunt omnia, consumptis gladio his qui in eis sunt, et incensis ædificiis, belli que detrimenta sustinentibus. Sic intelliges terram lugere, quæ cum talia patitur, excelsos in ea, id est, insigniores lugere necessum est. Qui enim maxime honore et divitiis, aliisque bonis, quæ nobiles et principes viros comitari solent, privati sunt, inter eos qui patiuntur, graviori tristitia afficiuntur. Inique agere terram dicit, propter eos qui illam incolunt. Nominatur enim urbs iniqua, sæpe etiam regio, etiamsi terra sensus expers prævaricari nesciat, at propter improbitatem inhabitantium hoc judicii subit. Accipies etiam hunc sermonem iterum generaliter. Si enim, quemadmodum ait quidam sanctorum discipulorum, terra et quæ in ea sunt omnia, consummationis tempore concremabuntur [20*], mœsta erit terræ facies, et lugenti assimilis. Quoniam etiam terra iniqua, id est, quæ impiis servit, comburitur. Cœlos enim novos et terram novam, et promissiones ejus exspectamus, juxta id quod scriptum est [20**], scribitque Paulus [21], quod etiam ipsa creatura liberabitur a servitute corruptionis, in libertatem gloriæ filiorum Dei.

VERS. 5, 6. *Propterea quod transgressi sunt legem, et mutaverunt præcepta, et dissiparunt fœdus æternum, ideo exsecratio exedet terram, quia peccaverunt inhabitantes eam.*

Rursus ad diligentiam expergiscitur prophetica oratio. Ne etenim quidam putent Deum universorum aliquibus abs re 338 pœnas inferre, iræ ac concitationis adjungunt atque annectunt causas, et eorum qui pœna affecti sunt, crimina liquido annuntiant. Lugebit igitur terra: quam ob causam? Quoniam transilierunt legem, et dissolverunt fœdus sempiternum. Idcirco ait: Et maledicta erit terra; deliquerunt enim qui inhabitant eam. Videtur autem rursus propheta (postquam cum aliis civitatibus ac regionibus etiam Judæa pœnas solvit, eversa est enim, ut dixi) eorum qui sub lege sunt, peccata in medium adducere: Transgressi enim sunt legem, inquit; quippe cum nihil penai haberent Israelitæ, sed ad aliam semitam deflecterent,

[20] Job III, 19. [20*] II Petr. III, 7, 12. [20**] ibid. 13. [21] Rom. VIII, 21.

doctrinis ac mandatis hominum intenderent, ad generalem hanc rationem, sententiarum expositionem referentes, Deum quidem universorum dicimus ab initio hominem condidisse, et naturalem ei legem impressisse, quæ ad notitiam mali ac boni institueret. Hoc etiam puto esse quod Joannis voce dictum est de unigenito Filio Dei : « Erat lux vera, quæ illuminat omnem hominem venientem in mundum [22]. » Hoc etiam extremis temporibus, adventus, inquam, fieri intelligimus. Scriptum est enim : « In diebus illis, dicit Dominus, dabo leges meas in animum ipsorum, et cordibus ipsorum inscribam eas [23]. » Hanc itaque legem ingenue et insititio quodam instinctu nos veluti clavo ad cognitionem boni et mali gubernantem, terræ incolæ violarunt, et mandata mutarunt. Conditi enim ad opera bona, ad carnis studium et sensum terrenum versi sunt. Hinc etiam exsecranda facta est terra. Offenderunt enim Conditorem plurimis delictis, qui eam inhabitabant.

Propterea pauperes habitabunt in terra, et relinquentur homines pauci.

Cum enim, inquit, exsecrabilis facta sit terra, propterea quod summa in ea sit iniquitas, hinc inopinata etiam mendicitate onerati, vix salvi evadent; relinquentur enim pauci et numeratu faciles. Et hactenus, quantum ad litteram attinet, et ad historiæ externam superficiem. De interiori vero intelligentia illud rursus dicimus, quod qui semper ac omnino coram divino tribunali multorum criminum convincendi sunt, mere erunt pauperes, atque supinorum bonorum distinguentur inopia, ac nudi spe **339** quæ sanctis præparata est : descendent enim ad inferos puniendi, et relinquentur pauci, id est, qui per justitiam Deo placuerunt, et ex præclare fortiterque gestis divitias adepti sunt. Sunt autem hi pauci, juxta Servatoris vocem : « Quoniam multi quidem vocati, pauci vero electi [24]. »

Vers. 7-12. *Lugebit vinum, lugebit vitis, gement omnes qui læti sunt animo. Cessavit lætitia tympanorum, cessavit contumacia et opulentia impiorum, cessavit vox citharæ. Erubuerunt, non biberunt vinum, amara facta est sicera bibentibus, desolata est omnis civitas, claudet domum ut non ingrediatur. Plorate pro vino ubique. Cessavit omnis lætitia ex terra, et relinquentur urbes desertæ, et domus derelictæ perdentur.*

Accusavit sæpenumero universorum Deus creatos sanguine Israelitico, quippe qui intoleranda deliquissent : hinc quidem præscii se puniendos, non tamen laboribus pœnitentiæ iram restringere studentes. Dixerat enim quod vocarat Dominus Sabaoth die illa luctum et planctum, et rasuram et cincturam saccorum, hi autem gaudio et lætitiæ

A δον, καὶ προσέχοντες διδασκαλίαις ἐντάλμασιν ἀνθρώπων, ἐπειδή γε τὸν καθ' ὅλου λόγον τὴν τῶν ἐννοιῶν ἀπόδοσιν ἀποφέροντες φαμὲν, ὅτι δεδημιούργηκεν ἐν ἀρχαῖς τὸν ἄνθρωπον ὁ τῶν ὅλων Θεὸς, ἐνεχάραξε δὲ φυσικὸν αὐτῷ νόμον, παιδαγωγοῦντα πρὸς εἴδησιν κακοῦ τε καὶ ἀγαθοῦ. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ διὰ τῆς Ἰωάννου φωνῆς εἰρημένον περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· ὅτι « Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. » Τοῦτό τοι καὶ ἐν ἐσχάτοις καιροῖς, κατά γε φημὶ τοὺς τῆς ἐπιδημίας, γενέσθαι νοοῦμεν· γέγραπται γὰρ, ὅτι « Ἐν ταῖς ἡμέραις ἐκείναις, φησὶ Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὰς καρδίας αὐτῶν ἐπιγράψω αὐτούς. » Τοῦτο τοίνυν τὸν ἐμφύτως ἡμᾶς πηδαλιουχοῦντα νόμον πρὸς B εἴδησιν ἀγαθοῦ καὶ κακοῦ παρέβησαν οἱ ἐπὶ τῆς γῆς, καὶ ἤλλαξαν τὰ προστάγματα. Ἐκτισμένοι γὰρ ἐπὶ ἔργοις ἀγαθοῖς, ἐτράποντο πρὸς φιλοσαρχίας καὶ φρόνημα τὸ ἐπίγειον. Ταύτῃ τοι καὶ ἐπάρατος ἡ γῆ γέγονεν. Προσκεκρούκασι γὰρ τῷ δημιουργῷ διὰ πλείστων ὅσων πλημμελημάτων οἱ κατοικοῦντες αὐτήν.

Διὰ τοῦτο πτωχοὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τῇ γῇ, καὶ καταλειφθήσονται ἄνθρωποι ὀλίγοι.

Ἐπειδὴ γὰρ, φησὶν, ἐπάρατος γέγονεν ἡ γῆ, διά τοι τὸ πλείστην ὅσην ἐν αὐτῇ γενέσθαι τὴν ἀνομίαν, ταύτῃ τοι καὶ ἀδοκήτῳ πτωχείᾳ πεφορτισμένοι, διασωθήσονται μόλις· καταλειφθήσονται γὰρ βραχεῖς τε καὶ εὐαρίθμητοι. Καὶ ταυτὶ μὲν τόγε ἧκον εἰς τὸ γράμμα, καὶ τὸ τῆς ἱστορίας ἐξωφανές. Πρὸς διάνοιαν δὲ τὴν ἐσωτάτω πάλιν ἐκεῖνό φαμεν, ὅτι πάντῃ τε C καὶ πάντως οἱ ἐπὶ τοῦ θείου βήματος ἐπὶ πολλοῖς ἄγαν πλημμελήμασι καταγνωσθησόμενοι πτωχοὶ πάντως ἔσονται, καὶ ἐν ἐνδείᾳ τῶν ἄνωθεν ἀγαθῶν, καὶ γυμνοὶ τῆς ἐλπίδος τῆς τοῖς ἁγίοις ἠὐτρεπισμένης· κατοιχήσονται γὰρ εἰς ᾅδου κολασθησόμενοι, καὶ καταλειφθήσονται ὀλίγοι, τοῦτ' ἔστιν, οἱ διὰ δικαιοσύνης εὐαρεστήσαντες τῷ Θεῷ, καὶ πλοῦτον ἔχοντες τὸν ἐξ ἀγαθῶν ἀνδραγαθημάτων, εὐαρίθμητοι δὲ οὗτοι κατά γε τὴν τοῦ Σωτῆρος φωνὴν, ὅτι « Πολλοὶ μὲν κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. »

Πενθήσει οἶνος, πενθήσει ἄμπελος, στενάξουσι πάντες οἱ εὐφραινόμενοι τὴν ψυχήν· πέπαυται εὐφροσύνη τυμπάνων, πέπαυται αὐθάδεια καὶ πλοῦτος ἀσεβῶν· πέπαυται φωνὴ κιθάρας, ᾐσχύνθησαν, οὐκ ἔπιον οἶνον, πικρὸν ἐγένετο τὸ D *σίκερα τοῖς πίνουσιν. Ἠρημώθη πᾶσα πόλις, κλείσει οἰκίαν τοῦ μὴ εἰσελθεῖν. Ὀλολύζετε περὶ τοῦ οἴνου πανταχῇ· πέπαυται πᾶσα εὐφροσύνη τῆς γῆς, καὶ καταλειφθήσονται πόλεις ἔρημοι, καὶ οἶκοι ἐγκαταλελειμμένοι ἀπολοῦνται.*

Ἐπητιᾶτο πλειστάκις ὁ τῶν ὅλων Θεὸς τοὺς ἐξ αἵματος Ἰσραὴλ, ὡς ἀφόρητα μὲν πεπλημμεληκότας, ὅτι δὲ κολασθήσονται. Ταύτῃ τοι προεγνωκότας μὴ μὴν ἑλομένους ἀποκρούεσθαι τὴν ὀργὴν τοῖς μετεγνωκόσι πόνοις. Ἔφη γὰρ ὅτι Καὶ ἐκάλεσε Κύριος Σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμὸν, καὶ κοπετὸν, καὶ ξύρησιν, καὶ ζῶσιν σάκκων, αὐτοὶ δὲ ἐποιήσαντο

[22] Joan. I, 9. [23] Jer. XXXI, 33. [24] Matth. XX, 16.

εὐφροσύνην καὶ ἀγαλλίαμα, σφάζοντες μόσχους καὶ θύοντες πρόβατα, ὥστε καὶ φαγεῖν κρέα καὶ πιεῖν οἶνον λέγοντες· « Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. » Καὶ μὴν δι' ἑτέρου προφήτου, φησίν· « Οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐν ταῖς στρωμναῖς αὐτῶν. Οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνὰ, οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, καὶ οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ Ἰωσήφ. » Οὐκοῦν εἰς πολλὴν ἄγαν ἐξιτηλίαν ἀπονενευκότες ἐτρύφων οὐκ ἐν καιρῷ, καίτοι δέον ἀσχέτοις δακρύοις καταβρέχειν τὴν παρειὰν, καὶ ἀμνηστείαν αἰτεῖν τῶν ἡμαρτημένων, ἐπενήνεκται δικαίως αὐτοῖς τὰ ἐκ τοῦ πολέμου βλάβη· καὶ οἱ πάλαι τρυφῶντες παρ' ἐλπίδα περιπεπτώκασι συμφοραῖς. Πεπένθηκεν ἡ ἄμπελος, καὶ οὐκ αὐτὸ τὸ φυτὸν, ἀλλ' οἱ τὸν ἐξ αὐτοῦ πίνοντες καρπὸν, οἱ πάλαι, φησὶν, εὐφραινόμενοι τὴν ψυχὴν κατοιμώξουσι, καὶ ὀλολυγὴ μᾶλλον αὐτοῖς ἔσται τὸ ἐπιτήδευμα. Πέπαυται γὰρ εὐφροσύνη τυμπάνων, πέπαυται αὐθάδεια καὶ πλοῦτος ἀσεβῶν. Αὐθάδειαν δέ φησι τὴν ὑπεράγαν ὀφρὺν, ἤτοι τὴν ἀλαζονείαν. Καταλήγει δὲ καὶ τὰ ἐκ τοῦ πλούτου φησὶ, καὶ φωνὴ κιθάρας, καὶ πικρὸν τὸ σίκερα τοῖς τρυφῶσι ποτὲ, ἔρημοί τε πόλεις καὶ οἶκοι γεγόνασι. Πέπαυται γὰρ πᾶσα εὐφροσύνη τῆς γῆς, εἰ δὲ δὴ καὶ ἐπ' αὐτῆς διαλογίζοιτό τις τοῦ αἰῶνος συντελείας, καθ' ἣν ὁ τῆς κρίσεως ἔσται καιρὸς, ἐρεῖ δὴ πάλιν· ὅτι παρελάσει πᾶσα τῶν ἐν κόσμῳ τρυφὴ, καὶ στεναγμὸς ἔσται μᾶλλον καὶ βρυγμὸς ὀδόντων τῶν εἰς ᾅδου κατοιχησομένων· καὶ ὠφελήσει μὲν ὁ πλοῦτος οὐδὲν τοὺς ἐσχηκότας αὐτὸν, ὀργήσει δὲ πᾶσα τρυφὴ, καὶ πεπαύσεται τὰ σωματικὰ, μᾶλλον δὲ καὶ εἰς πικρὸν τοῖς φιλαμαρτήμοσι ἐκβήσεται τέλος, ἡ τριπόθητος αὐτοῖς φιλοσαρκία ποτέ. Ἀποτίσουσι γὰρ λόγους τῷ πάντων κριτῇ· ὡς γὰρ ὁ σοφώτατος γράφει Παῦλος, τοὺς πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν, εἴτε φαῦλον.

Ὃν τρόπον ἐὰν τις καλαμήσηται ἐλαίαν, οὕτω καλαμηθήσονται αὐτούς· καὶ ἐὰν παύσῃ ὁ τρυγητὸς, οὗτοι φωνῇ βοήσονται.

Δείκνυσι πάλιν ὡς ἐκ τῶν ἐν ὄψει καὶ ἐμφανεστάτων παραδειγμάτων τῆς τῶν πολεμίων δυστροπίας τὸ ἀπηνὲς φειδομένων οὐδενὸς, οὔτε μὴν ἀνασχομένων ἄμοιρον τῆς ἐνούσης αὐτοῖς ὠμότητος διαφεῖναι τινά. Ἀκριβεῖ γὰρ ὀφθαλμῷ κατασκέπτονται τὸ φυτὸν, οἱ τὸν ἐκ τῶν ἐλαιῶν ζητοῦντες καρπόν· καὶ εἴ που τι πέσοι, τριποθήτως ἁρπάζουσι, καὶ μέχρι μιᾶς συλλέγουσιν· οὕτω, φησὶν, αὐτοὺς καλαμήσονται, πανωλεθρίᾳ καταφθείροντες οἱ πολέμιοι, κἂν ὁ τρυγητὸς παύσηται, οὗτοι φωνῇ βοήσονται. Ὡς ἐξ ἔθους δὲ πάλιν τοῦ πράττεσθαι πεφυκότος ἐπὶ ταῖς τοῦ τρυγητοῦ συντελείαις δέχεται καὶ τοῦτο. Οἱ γάρ τοι τρυγῶντες ὅταν εἰς τοῦτο καταλήξειαν πόνων, χαίροντες ἀλαλάζουσι, καὶ ἀγροικόν τινα συνθέντες ᾠδὴν, ἀποφέρονται τῶν χωρίων. Ὅταν τοίνυν, φησὶν, ἀπαν-

A se dederunt, mactantes vitulos et sacrificantes oves, ut edant carnes et bibant vinum, dicentes: « Edamus et bibamus, cras enim morimur [15]. » Et apud alium prophetam, inquit: « Dormientes in lectis eburneis, et deliciantes in stratis suis, comedentes hædos ex gregibus, et vitulos ex medio armentorum lactentes, bibentes delicatum vinum, et primis unguentis uncti, nec patiebantur quidquam propter contritionem Joseph [16]. » Quapropter posteaquam in maximam devoluti lasciviam, luxui non tempestive fuerunt addictiores, cum jugibus lacrymis genas rigare oportuisset, et oblivionem postulare peccatorum, jure illis illata sunt quæ ex bello oriuntur incommoda: et qui luxuria quondam diffluxerunt, præter spem inciderunt in calamitates. B Luxit vitis, non ipsa stirps et insitio, sed qui ex ea bibunt vinum, qui quondam, inquit, exhilararunt animam, plorabunt, et ululatus magis iis cordi ac curæ erit. Cessavit enim lætitia tympanorum, cessavit contumacia et opulentia impiorum. Contumaciam dicit, celsum supercilium vel arrogantiam. Quæ **340** autem inde nascuntur enumerat: et vox citharæ, et amara est sicera olim luxuriantibus, ac vastæ factæ sunt urbes et domus. Cessavit enim omne gaudium terræ. Si vero quis de sæculi fine hic disserat, quando erit tempus, judicii rursus dicet, præteriturum omnem mundanarum rerum luxum, et gemitum potius fore et stridorem dentium ab his qui descendunt ad inferos: divitiæ illis qui C habent, nihil proderunt, omnes deliciæ evanescent, cessabunt corporalia, imo his qui peccatis oblectant se, desideratissima illa quidem olim carnalis voluptas, in amaram exibit catastrophen. Reddent siquidem omnium Judici rationem; oportet enim nos omnes, ut sapientissimus Paulus scribit [17], coram Christo manifestari, ut recipiat unusquisque ea quæ per corpus gessit, seu bonum seu malum.

VERS. 13. *Quemadmodum si quis excutiat olivam, sic excutient eos: et si quieverit vindemia, isti voce clamabunt.*

Rursus ab exemplis ob oculos positis et evidentissimis, demonstrat hostium improbam immanitatem, D cum nemo parcit, nemo quemquam immunem ab insita crudelitate sua permittit effugere. Acri enim oculo contuentur arbusculam, qui ex oleis fructum quærunt. Si quid ceciderit, cupidissime arripiunt, et ad unum usque colligunt: sic, inquit, illos excutient ac colligent, ad internecionem usque perdentes inimici. Et si vindemia cesset, isti voce clamabunt. Hoc item sumit ex more eo qui sub finem vindemiæ inolevit. Vindemiantes enim quando ab his laboribus desistunt, gaudent ac vociferantur, et rustica quapiam cantilena composita ex prædiis se referunt. Quando ergo, inquit, hostes racemaverint omnes, et nullum prorsus re-

[15] Isa. XXII, 13. [16] Amos VI, 4 seqq. [17] II Cor. V, 10.

liquerint, tunc quemadmodum exacta vindemia, voce exclamabunt, jubilantes nimirum contra eos qui jacent et succumbunt, et insultantes his qui ceciderunt. Jam vero ad penitiorem sensum respicientes dicimus, judicii tempore neminem eorum qui vixerunt impie, latiturum. Sed qui versati sunt ac vixerunt recte et legitime, in suprema ibunt habitacula: profani autem et improbi, ignis omnium edacis erunt alimentum. Exquisita igitur, **341** inquit, erit talium collectio, et hic docebit ipse Servator, dicens: « Simile est regnum cœlorum verriculo jacto in mare, et ex omni genere colligenti, quo attracto et in littore collocato, bonos congregarunt in vasa, malos foras ejecerunt [28]. » Exacta et rigida igitur, inquit, erit impiorum inquisitio, sed eorum, qui sic traduxerunt vitam, nemo supererit: at omnes exhibebit angelis ad hoc ordinatis, is qui corda et renes habet cognitos.

VERS. 14. *Qui vero in terra superstites erunt, exhilarabuntur cum gloria Domini.*

Cum diligentem fore inquisitionem dixisset eorum qui in peccatis deprehensi essent, ut nullus posset delitescere, non sinit pium et religiosum hominem his pavoribus frangi et consternari. Etsi enim ira dicatur in omnes permeare, tamen universitatis Deus non perdit justum cum impiis. Et istuc docet voce Ezechielis dicens: « Fili hominis, terra ad quam adduco judicium sanguinis, etsi sint in medio eorum Noe, et Daniel, et Job, hi in justitia sua servabuntur, terra autem erit in perditionem. [29] » Et alibi dicit ipse propheta nobis se contemplatum esse virum talari veste indutum, et zonam habentem, et sex homines sequentes illum, et cujusque securis in manu sua, et dixit: « Ite in civitatem post illum, et lugete, et nolite parcere, nec misereamini senioris: juvenem, infantes et mulieres interficite ad internecionem: ad omnes autem in quibus est signum, ne appropinquetis, et a sanctis incipite [30]. » Jam cum prophetæ verba inexcussa relinquere non oporteat, age dicamus, quid tandem est quod dicat, Noe et Jobo jam mortuis, fortassis etiam ipso Daniele, servatum iri tamen eos in propria justitia, etsi alia quævis terra, contra quam mortis calculus latus est, corrupta ante sit et pessumdata? Videtur itaque Noe comparare, qui per fidem in Deum ipsi placent, Danieli sapientes et perspicaces: rursus Jobo, per patientiam nimirum in omni re laudata ei placent. Cum igitur, inquit, ira consumat eos qui in terra sunt, non Judæorum solum, verum etiam gentium, qui residui sunt, et justo judicio Dei omnia ad nos pertinentia librantis **342** et expendentis, interitum effugerunt, exhilarabuntur cum gloria Domini. Gaudebunt scilicet servati per inenarrabilem gloriam ejus qui præses est sanctorum,

A τας οἱ πολέμιοι χαλαμήσωνται καὶ καταλείψουσι παντελῶς οὐδένα, τότε καθάπερ πεπαυμένου τοῦ τρυγητοῦ, φωνῇ βοήσονται καταλαλάζοντες δηλονότι τῶν κειμένων καὶ πεπτωκόσιν ἐπιγαννύμενοι. Φαμὲν δὴ πάλιν εἰς τὴν ἐσωτάτω βλέποντες ἔννοιαν, ὅτι κατὰ τὸν τῆς κρίσεως καιρὸν οὐδεὶς ἔσται τῶν ἀνοσίως βεβιωκότων ὃς δυνήσηται λαθεῖν. Ἀλλ' οἱ μὲν πολιτευσάμενοί τε καὶ διαζήσαντες ὀρθῶς καὶ ἐννόμως εἰς τὰς ἄνω βαδιοῦνται μονάς· οἵ γε μὴν βέβηλοί τε καὶ πονηροὶ πυρὸς ἔσονται παμφάγου τροφή. Ἀκριβὴς οὖν ἔσται, φησὶ, τῶν τοιούτων ἡ συλλογὴ, καὶ τοῦτο διδάξει λέγων αὐτὸς ὁ Σωτήρ· « Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ, ἣν ἀναβιβάσαντες, καὶ ἐπὶ τὸν αἰγιαλὸν καθίσαντες συνέλεξαν καλὰ εἰς ἄγγη, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον. » B Ἀκριβὴς οὖν ἔσται, φησὶ, τῶν ἀνοσίων ἡ ζήτησις, καταλειφθήσεται δὲ τὸ σύμπαν οὐδεὶς τῶν οὕτως βεβιωκότων· παραδείξει γὰρ ἅπαντας τοῖς εἰς τοῦτο τεταγμένοις ἀγγέλοις ὁ καρδίας εἰδὼς καὶ νεφρούς.

Οἱ δὲ καταλειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου.

Ἀκριβῆ τὴν κατάσκεψιν ἔσεσθαι λέγων τῶν ἐν ἁμαρτίαις κατειλημμένων, ὡς μηδένα δύνασθαι διαλαθεῖν, οὐκ ἐᾷ καταθραύεσθαι τοῖς εἰς τοῦτο δείμασι τὸν ἀσεβῆ καὶ φιλόθεον. Κἂν γὰρ εἰ λέγοιτο κατὰ πάντων ἰέναι τὰ ἐξ ὀργῆς, ἀλλ' οὖν ὁ τῶν ὅλων Θεὸς οὐ διόλλυσι τὸν δίκαιον μετὰ ἀσεβῶν. Καὶ τοῦτα διδάσκει λέγων διὰ φωνῆς Ἰεζεκιήλ· « Υἱὲ ἀνθρώπου, γῆν ἐφ' ἣ ἐπάγω κρίμα αἵματος, κἂν ὦσιν ἐν C μέσῳ αὐτῶν Νῶε καὶ Δανιὴλ καὶ Ἰὼβ, οὗτοι ἐν τῇ δικαιοσύνῃ αὐτῶν σωθήσονται, ἡ δὲ γῆ ἔσται εἰς ὄλεθρον. » Καὶ μὴν καὶ ἑτέρωθι φησὶν ὁ αὐτὸς ἡμῖν προφήτης· τεθεᾶσθαι μὲν ἄνδρα ποδήρη ἐνδεδυμένον, καὶ ζώνην ἔχοντα, καὶ ἓξ ἄνδρας ἐρχομένους ὀπίσω αὐτοῦ· καὶ ἑκάστου φησὶν ὁ πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ εἶπεν· « Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ, καὶ κόπτετε καὶ μὴ φείδεσθε, καὶ μὴ ἐλεήσητε πρεσβύτερον, νεανίσκον, καὶ νήπια, καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν, ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε, καὶ ἀπὸ τῶν ἁγίων ἄρξασθε. » Ἐπειδὴ δὲ οἶμαι δεῖν οὐκ ἀβασανίστους ἐᾷν τὰς τοῦ προφήτου φωνὰς, φέρε λέγωμεν, τί δή ποτε Νῶέ τε καὶ Ἰὼβ τεθνεώτων ἤδη, τάχα δέ που καὶ αὐτοῦ τοῦ Δανιὴλ, σώθήσεσθαί φησιν αὐτοὺς ἐν D τῇ ἰδίᾳ δικαιοσύνῃ, καί τοι τῆς ἄλλης ἁπάσης γῆς, καθ' ἧς ἂν ἡ τοῦ θανάτου ψῆφος ἐκφέροιτο καταφθειρομένης. Ἔοικε τοίνυν τῷ μὲν Νῶε παρεικάζειν τοὺς διὰ πίστεως τῆς εἰς Θεὸν εὐαρεστοῦντας αὐτῷ· τῷ γε μὴν Δανιὴλ τοὺς σοφούς τε καὶ διορατικούς· Ἰὼβ δὲ πάλιν τοὺς διά γε τῆς ὑπομονῆς, δῆλον δὲ ὅτι τῆς εἰς πᾶν ὁτιοῦν τῶν ἐπαινουμένων εὐαρεστοῦντας αὐτῷ. Δαπανώσης τοίνυν, φησὶ, τῆς ὀργῆς τοὺς ἐπὶ τῆς γῆς, οὐχὶ μόνης τῆς Ἰουδαίων, ἀλλὰ γὰρ καὶ τῆς τῶν ἐθνῶν, οἱ καταλειφθέντες καὶ κρίσει δικαίᾳ τοῦ πάντα τὰ καθ' ἡμᾶς ταλαντεύοντος Θεοῦ διαφυγόντες τὸν ὄλεθρον εὐφρανθήσονται ἅμα τῇ

[28] Matth. XIII, 47, 48. [29] Ezech. XIV, 13 16. [30] Ezech. IX, 5, 6.

δόξῃ τοῦ Κυρίου· ἡσθήσονται γὰρ ἀνασεσωσμένοι διὰ τῆς ἀῤῥήτου δόξης τοῦ τῶν ἁγίων προεστηκότος, καὶ ἀντειχίζοντος τὸν εὐσεβῆ τῇ παρ' αὐτοῦ φειδοῖ τε καὶ χάριτι. Προσθήσομεν δὲ τοῖς εἰρημένοις κἀκεῖνο. Κατὰ γάρ τοι τὸν τῆς συντελείας τοῦ παρόντος αἰῶνος καιρὸν, καταπεμφθήσονται μὲν εἰς ᾅδου κολασθησόμενοι οἵτινες τῶν ἐκτόπων ἐπιτηδευμάτων γεγόνασιν ἐρασταί. Οἵ γε μὴν καταλειφθέντες, τοῦτ' ἔστιν, οἱ δίκαιοι εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου, συνέσονται γὰρ τῷ Χριστῷ ὅς ἐστι δόξα τοῦ Θεοῦ καὶ Πατρός. Ἔφη γὰρ αὐτὸς, ὅτι « Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι, ἵνα ποιήσω αὐτό. » Καὶ μὴν καὶ αὐτός που φησὶν ὁ Θεὸς καὶ Πατὴρ τῷ μακαρίῳ Μωσῇ· Ζῶ ἐγὼ, καὶ ζῇ τὸ ὄνομά μου, ἦ μὴν ἐμπλησθήσεται τῆς δόξης Κυρίου πᾶσα ἡ γῆ. Ἐμπέπλησται γὰρ τὰ πάντα Χριστοῦ.

A qui velut maceria communit impium, sua misericordia et gratia. Addimus dictis et illud. Tempore videlicet consummationis hujusce sæculi, mittentur in orcum quicunque fœdorum studiorum amantes exstiterunt: at qui reliqui sunt, id est, justi, lætitia afficientur cum gloria Domini. Erunt enim cum Christo, qui est gloria Dei et Patris. Dixit enim ille: « Illustravi te in terra, opus consummavi quod mandasti mihi ut faciam [30*]. » Quin et ipse Deus ac Pater dicit beato Mosi: « Vivo ego, et vivit nomen meum [30**]. Certe implebitur gloria Domini omnis terra: repleta sunt enim omnia Christo.

Ταραχθήσεται δὲ τὸ ὕδωρ τῆς θαλάσσης. Διὰ τοῦτο ἡ δόξα Κυρίου ἐν ταῖς νήσοις ἔσται τῆς θαλάσσης, τὸ ὄνομα Κυρίου ἔνδοξον ἔσται.

B Vers. 15. *Turbabitur aqua maris, propterea gloria Domini in insulis erit maris, nomen Domini gloriosum erit.*

Ὕδωρ καὶ θάλασσαν αἰνιγματωδῶς ὀνομάζει τῶν ἐθνῶν τὴν πληθύν. Ἔθος γὰρ τοῖς ἁγίοις προφήταις τοῦτο δρᾷν. Καὶ γοῦν ὁ μακάριος Δαβὶδ περί τε τῆς γῆς καὶ τῶν ἐν αὐτῇ φησιν· « Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμὸς, ζῶα μικρὰ μετὰ μεγάλων· ἐκεῖ πλοῖα διαπορεύεται, δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. » Καὶ οὐ δή πού φαμεν ὡς περὶ τῶν ἐν τῇ θαλάσσῃ νηχομένων ὁ λόγος ἦν αὐτῷ, οὔτε μὴν τὰς τῶν ἰχθύων διαφορὰς ὑπεμφαίνειν ἤθελεν, ἀλλ' οὐδὲ δράκοντά τινα σωματικόν τε καὶ αἰσθητὸν τοῖς τῆς θαλάσσης ὕδασιν ἐνεῖναί φαμεν. Δηλοῖ δὲ, ὡς ἔφην, διά γε τούτων ἡμῖν τὴν ἐν τῷδε τῷ βίῳ τύρβην, καὶ τῶν ἐν αὐτῷ τὸν ἐν σάλῳ βίον· καὶ μὴν καὶ δράκοντα, τοῦτ' ἔστι, τὸν Σατανᾶν, ὃς πάντας περίεισιν ἀνθρώπους, καὶ τὴν καθ' ἡμᾶς οἰκουμένην περινοστεῖ, ταῖς τῶν ἁγίων ἐπιβουλεύων ψυχαῖς. Ὕδωρ τοίνυν θαλάσσης τὴν τῶν ἐθνῶν ὀνομάζει πληθύν· νήσους δὲ τάχα που τὰς πόλεις. Καὶ δὴ καὶ ταραχθήσεσθαί φησιν ἅπαντας τοὺς ἐν αὐταῖς, τῆς θείας ὀργῆς ἐπιπηδώσης αὐτοῖς. Τήν γε μὴν τοῦ Χριστοῦ δόξαν ἐν ἁπάσαις ἔσεσθαί φησι κατά τινα τρόπον. Ἐπιγνώσονται δὲ ὅτι τοῖς θείοις νεύμασι πεπόρθηνται δὲ καὶ διολώλασι, καὶ τῷ πάντα ἰσχύοντι διὰ τῆς ἐνούσης αὐτοῖς ἀνοσιότητος οὐ μετρίως προσκεκρουκότες δέδονται πρὸς ἐρήμωσιν. Καταγνώσονται δὲ πάντῃ τε καὶ πάντως τῶν ἰδίων θεῶν, κατ' οὐδένα τρόπον ἐπαμυνάντων αὐτοῖς. Τοῦτο δὲ ἦν ἕτερον οὐδὲν, ἢ τὴν τοῦ Κυρίου δόξαν εἰς ὕψος αἴρεσθαι μέγα. Ἔοικε δὲ τῶν προφητικῶν προαγορεύσεων ὁ σκοπὸς μεταφοιτῆσαι λοιπὸν ἐπὶ τὸ Χριστοῦ μυστήριον, καὶ τῆς ἐσομένης δι' αὐτοῦ σωτηρίας ποιεῖσθαι τὴν ἀνάμνησιν. Οἱ γάρ τοι, φησὶ, καταλειφθέντες ἐπὶ γῆς εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου· « Σεσώσμεθα γὰρ οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος, καὶ οὐ διὰ τῆς ἐν νόμῳ σκιᾶς δικαιούμενοι. » Δικαιοῖ γὰρ ἡμᾶς ἥκιστα μὲν ὁ νόμος, ἀπαλλάξει δὲ μᾶλλον πλημμελημάτων ἡ διὰ τοῦ ἁγίου βαπτίσματος χάρις, καὶ τῇ τῶν ἐσομένων

Aquam et mare ænigmatice nominat gentium multitudinem. Est enim in more sanctis prophetis hoc facere. Quippe beatus David, de terra et his qui in ea sunt, inquit: « Hoc mare magnum et spatiosum; illic reptilia quorum non est numerus, animalia parva cum magnis. Illic naves transeunt, draco iste, quem formasti, ut illudat ei [31]. » Nec dicimus eum loqui de his qui natant in mari, nec differentias piscium demonstrare voluisse, sed nec draconem aliquem corporeum et sensibilem in marinis aquis esse dicimus. Sed, uti dicebam, hinc nobis turbas in vita ostendit, et vitam in C hoc salo, quin et draconem malorum principem et caput, id est, Satanam qui omnes circumstat homines, et orbem terrarum apud nos peragrat, animabus sanctorum struens insidias. Aquam igitur maris, gentium vocat multitudinem; insulas vero, urbes forsan appellat. Porro omnes in illis turbandos ait, divina ira insiliente. Gloriam autem Christi in omnibus quodammodo fore ait. Agnoscent enim sese divino nutu vastatos et perditos fuisse, et Deum omnia potentem illa sua impietate non mediocriter offendisse. Quare traditi sunt in desolationem, et **343** ubique ac semper deos suos insimulabunt, nullo modo opem ferentes. Hoc autem aliud nihil erat, quam Domini gloriam in D magnam celsitatem evehi. Scopus porro propheticarum prædictionum in posterum ad Christi mysterium videtur tendere, et futuræ per illum salutis mentionem facere. Qui enim sunt, inquit, residui super terram, exhilarabuntur simul cum gloria Domini. « Servati enim sumus non ex operibus in justitia quæ fecimus nos, sed ex magna ejus misericordia, nec per legis umbram justificamur [32]. ; minime namque justificat nos lex; sed potius gratia quæ per sacrosanctum baptisma est, nos a peccatis liberat: quæ futurorum bonorum spem reficit ac recreat, et affatim fecundat quasique pinguefacit. Exspectamus enim nos fore cum Christo ipso, qui

[30*] Joan. XVII, 4. [30**] Num. XIV. 21. [31] Psal. CIII, 25, 26. [32] Galat. II, 16; Tit. III, 5.

est gloria Dei et Patris, sicuti modo dixeram. Postquam autem a terminis ad terminos orbis terrarum sanctorum apostolorum perambulavit oratio; et gentes a multorum deorum errore transtulit, et ad gratiam per Christum adduxit; turbari ait aquam maris, nimirum terræ universæ sub sole populos. Turbantur autem, peregrinam linguam sonantes, et a pristino errore discedentes, atque ad veritatis agnitionem adductæ. Gloria Domini in insulis erit maris. Insulas, ut quidem censeo, sanctas dicit Ecclesias Dei, quæ in mundo quasi mari constitutæ, Christo servante, ferunt et superant ejus tumultuationes, et qui non sinit eas persecutionum fluctibus concuti. Cum enim mare nominasset ænigmatice gentes, huic in translatione sermonis prudenter immoratus, insulas nominat Ecclesias, in quibus admirabilis est Dei gloria.

περιθραύεσθαι. Ἐπειδὴ γὰρ αἰνιγματωδῶς θάλασσαν εχῶ; ἑπόμενος, νήσους ὀνομάζει τὰς ἐκκλησίας ἐν αἷς

VERS. 16. *Domine Deus Israel, ab alis terræ portenta audivimus, spes pio.*

Relictorum in terra, et exhilaratorum cum gloria Domini, et in ipsis insulis, Ecclesiis, inquam, habitantium, personam inducit hisce verbis nobis propheta, universorum servatorem Deum glorificantium et dicentium: Ab alis terræ audivimus portenta, et ad hæc credentium, piis bonam fore spem, se per illum servatum iri, quin abunde benignitatis ejus fore consortes. Alas terræ videtur nominare, **344** sanctos mystagogos, et sacrorum antistites, quorum sermonibus velut alis tantum non subvecti, superna sapimus, in res terrenas desultantes, et terrestrem ac carnalem affectum abjicientes, conversationem habemus in cœlis. Ab his alis terræ sic intellectis, dicunt se portenta audire, per Christum videlicet. Initiamur enim sanctorum apostolorum et evangelistarum scriptis, et Christi divina miracula discentes, in ipsis spem habemus solidissimam, et confidimus, et firmo ac constanti affectu præditi sumus, atque spem piorum optimam esse credimus. Exspectamus enim regnum cœlorum, et honores ac gloriam, quæ diligentibus Deum destinantur et præparantur.

VERS. 17, 18. *Et dicent: Væ prævaricantibus qui prævaricantur legem; timor, et fovea, et laqueus super vos qui habitatis in terra. Et erit, qui fugit timorem, incidet in foveam; qui evadit ex fovea, capietur laqueo.*

Quinam dicent? Qui supererunt omnino in terra, et cum gloria Dei exhilarabuntur, et insulas seu Ecclesias inhabitant. Quibus vero dicent? Legem repudiantibus, id est, qui non crediderunt. Si enim credidissent Mosi, credidissent Christo, de illo enim is scripsit. Vide quomodo qui fidem receperunt, illico legem respuentes admoneant, et futuræ

A ἀγαθῶν ἐλπίδι κατευφραίνουσα καταπιαίνει πλουσίως. Προσδοκῶμεν γὰρ ὅτι καὶ αὐτῷ συνεσόμεθα τῷ Χριστῷ, ὅς ἐστι δόξα τοῦ Πατρὸς, καθάπερ ἔφην ἀρτίως. Ἐπειδὴ δὲ ἐκ περάτων εἰς πέρατα τῆς ὑπ' οὐρανὸν, ὁ τῶν ἁγίων ἀποστόλων διαπεφοίτηκε λόγος, μεθιστὰς μὲν τὰ ἔθνη τῆς πολυθέου πλάνης, προσκομίζων δὲ τῇ χάριτι τῇ διὰ Χριστοῦ· τεταράχθαι φησὶ τὸ ὕδωρ τῆς θαλάσσης, τοῦτ' ἔστι, τοὺς κατὰ πᾶσαν τὴν ὑφ' ἡλίῳ λαούς. Ταράττονται δὲ ξενοφωνούμενα, καὶ τῆς μὲν ἀρχαίας ἀπαίροντα πλάνης, μεθορμιζόμενα δὲ πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν. Ταύτῃ τοί φησιν. Ἡ δόξα Κυρίου ἐν ταῖς νήσοις ἔσται τῆς θαλάσσης. Νήσους δὲ, ὥς γε οἶμαι, φησὶ τὰς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, αἳ καθάπερ ἐν θαλάσσῃ τῷδε τῷ κόσμῳ κεῖμεναι, τῆς ἐν αὐτῷ τύρβης ἀν-
B έχουσί τε καὶ ὑπερφέρονται Χριστοῦ διασώζοντος, καὶ τοῖς τῶν διωγμῶν κύμασιν οὐκ ἐῶντος αὐτὰς ὀνομάζει τὰ ἔθνη, ταύτῃ τοι τοῦ λόγου τροπῇ νουν ἡ δόξα τοῦ Θεοῦ θαυμάζεται.

Κύριε ὁ Θεὸς τοῦ Ἰσραὴλ, ἀπὸ τῶν πτερύγων τῆς γῆς τέρατα ἠκούσαμεν, ἐλπὶς τῷ εὐσεβεῖ.

Τῶν καταλειφθέντων ἐπὶ τῆς γης καὶ εὐφραινομένων ἅμα τῇ δόξῃ Κυρίου, καὶ τῶν ἐν αὐταῖς κατοικούντων νήσοις, φημὶ δὴ ταῖς ἐκκλησίαις, εἰσκομίζει τὸ πρόσωπον ὁ προφήτης ἡμῖν ἐν τούτοις, τὸν τῶν ὅλων δοξολογούντων Θεὸν καὶ λεγόντων· Ἐκ πτερύγων τῆς γῆς ἀκούσατε τέρατα, καὶ πρός γε τούτῳ πεπιστευκότων ὅτι ἔσται τοῖς εὐσεβοῦσιν ἐλπὶς ἀγαθὴ τοῦ δικαιωθήσεσθαι παρ' αὐτοῦ, καὶ μὴν καὶ πλουσίως μετασχεῖν τῆς ἡμερότητος αὐτοῦ. Πτέρυγας δὲ τῆς γῆς ἐοίκασιν ὀνομάζειν τοὺς ἁγίους μυσταγωγοὺς, ὧν τοῖς λόγοις μονονουχὶ καὶ πτε-
C ρούμενοι τὰ ἄνω φρονοῦμεν, τῶν ἐπιγείων ἀναπηδῶντες πραγμάτων, καὶ τὸ γεῶδες καὶ σαρκικὸν ἀφέντες φρόνημα τὸ πολίτευμα ἔχομεν ἐν τοῖς οὐρανοῖς. Ἐκ τῶν οὕτω νοουμένων τῶν πτερύγων τῆς γῆς τέρατα ἠκούσαμεν τὰ διὰ Χριστοῦ, φησὶ δηλονότι. Μεμυσταγωγήμεθα γὰρ τοῖς τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν συγγράμμασι, καὶ τὰς διὰ τοῦ Σωτῆρος θεοσημείας μανθάνοντες, ἑδραιοτάτην ἔχομεν ἐν αὐτοῖς τὴν πίστιν, τεθαρσήκαμέν τε καὶ ἀρρήκτως διακείμεθα καὶ πιστεύομεν, ὅτι καὶ καλὴ λίαν ἡ τῶν εὐσεβούντων ἐλπίς· προσδοκῶμεν γὰρ τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ τὰς τοῖς ἀγαπῶσι τὸν Θεὸν ηὐτρεπισμένας τιμάς τε καὶ δόξας.

Καὶ ἐροῦσιν· Οὐαὶ τοῖς ἀθετοῦσιν, οἱ ἀθετοῦν-
D *τες τὸν νόμον· φόβος καὶ βόθυνος, καὶ παγὶς ἐφ' ὑμᾶς τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. Καὶ ἔσται, ὁ φεύγων τὸν φόβον ἐμπεσεῖται εἰς τὸν βόθυνον, ὁ δὲ ἐκβαίνων ἐκ τοῦ βοθύνου, ἁλώσεται ἐκ τῆς παγίδος.*

Τίνες ἐροῦσιν; Οἱ καταλελειμμένοι που πάντως ἐπὶ τῆς γῆς, καὶ εὐφραινόμενοι ἅμα τῇ δόξῃ Κυρίου, καὶ οἱ κατοικοῦντες τὰς νήσους, ἤτοι τὰς Ἐκκλησίας. Ἐροῦσι δὲ τίσι; Ταῖς ἀθετοῦσι τὸν νόμον, τοῦτ' ἔστι, τοῖς μὴ πιστεύσασιν. Εἰ γὰρ ἐπίστευον τῷ Μωσῇ, ἐπίστευον ἂν τῷ Χριστῷ, περὶ γὰρ αὐτοῦ ἐκεῖνος ἔγραψεν. Ὅρα δὲ ὅπως τὴν πίστιν παρα-

δεξάμενοι, νουθετοῦσιν εὐθὺς τοὺς ἀθετοῦντας τὸν νόμον, καὶ τὸν ἐκ τῆς ἐσομένης ἐπ' αὐτοῖς κολάσεως ἐπανατείνουσι φόβον, καὶ καταπτοοῦσι τοῖς δείμασι προαπαγγέλλοντες τὰ ἐσόμενα. Φόβος γάρ, φησί, καὶ βόθυνος καὶ παγίς, τοῦτ' ἔστι, πᾶν εἶδος κακῶν ἐφ' ὑμᾶς, καὶ ἀπόνευσις οὐκ ἔσται τῆς συμφορᾶς. Ἀλλ' εἰ καί τις τὸ δέ τι διαφύγοι τυχὸν τῶν κακῶν ὑφ' ἑτέρου ληφθήσεται, καὶ πάντη τε καὶ πάντως ἑνὶ τῶν ἐνηνεγμένων ἁλώσεται κακῶν. Τοῦτο δὲ παθεῖν τοῖς Ἰουδαίοις συμβέβηκε, μετὰ τὸν τοῦ Σωτῆρος σταυρόν, πεπορθημένης αὐτοῖς τῆς χώρας, πόλεών τε καὶ οἴκων κατασεσεισμένων· καὶ μακρὸν ἕκαστα λέγειν εἰδόσι μάλιστα τοῖς τῆς Ἐκκλησίας τροφίμοις.

Ὅτι θυρίδες ἐκ τοῦ οὐρανοῦ ἀνεῴχθησαν, καὶ σεισθήσεται τὰ θεμέλια τῆς γῆς. Ταραχῇ ταραχθήσεται ἡ γῆ, καὶ ἀπορίᾳ ἀπορηθήσεται ἡ γῆ. Ἔκλινεν καὶ σεισθήσεται ἡ γῆ πᾶσα ὡς ὀπωροφυλάκιον, ὡς ὁ μεθύων καὶ κραιπαλῶν, καὶ πεσεῖται, καὶ οὐ μὴ δύνανται ἀναστῆναι, κατίσχυσε γὰρ ἐπ' αὐτῆς ἡ ἀνομία.

Ἀποδίδωσι τὴν αἰτίαν τῶν ἔσεσθαι προαπηγγελμένων, καὶ ὅτι πικραῖς καὶ ἀνεξιτήτοις περιπεσοῦνται συμφοραῖς. Ἔφη γὰρ ὅτι φόβος καὶ βόθυνος καὶ παγὶς ἐφ' ὑμᾶς· καὶ ὅτι τὸν βόθυνον εἴ τις διαφύγοι ἁλώσεται ὑπὸ τῆς παγίδος. Ποία τοίνυν ἡ τοῦδε πρόφασις; Θυρίδες, φησίν, ἐκ τοῦ οὐρανοῦ ἠνεῴχθησαν, τοῦτ' ἔστιν, ἐπεσκέψατο ὁ Θεὸς τοὺς ἐπὶ τῆς γῆς. Ἕως μὲν γὰρ ἀνεξικακεῖ τοῖς εἰωθόσι πλημμελεῖν, οἱονεί πως δοκεῖ καὶ μὴ ἐφορᾷν, κεκλεῖσθαι δὲ μᾶλλον ὁ οὐρανός. Ἐπειδὴ δὲ κατασκέπτεται τῶν ἐπὶ γῆς τὰς ὁδούς, τότε δὴ τότε, καθάπερ θυρίδων ἀνεῳγμένων, ἐν ὀφθαλμοῖς ποιεῖται τοὺς ὄντας ἐπὶ τῆς γῆς· ἐπιφέρων δὲ τὰς αἰτίας τοῖς ἑκάστου πλημμελήμασιν ἀναλόγως, θορύβου τὰ πάντα καὶ δέους ἀναμεστοῖ, καὶ οἷον ἐκ μέθης ἅπαντες οἱ ἐπὶ τῆς γῆς πρὸς πᾶν εἶδος διαῤῥιπτοῦνται κακῶν. Ἐπενήνεκται δὲ χρησίμως τὸ φάναι καθάπερ τι τῶν ἐν ἀγροῖς ὀπωροφυλακίων σεσαλεῦσθαι τὴν γῆν· τὸ ὅτι κατίσχυσεν ἐπ' αὐτῆς ἡ ἀνομία. Ἕως μὲν γὰρ φορητὰ πλημμελοῦσιν οἱ ἐπ' αὐτῆς ἀναδύεται τὰς δίκας, καὶ χαλινοῖ τὴν κίνησιν ὁ τῶν ὅλων Θεός. Ἀσχέτου γε μὴν τῆς ἁπάντων δυσσεβείας γεγενημένης πᾶσά πως ἀνάγκη, καὶ ἐποπτεύεσθαι παρὰ Θεοῦ τὴν γῆν, καὶ κατισχυούσης ἐπ' αὐτῆς ἀνομίας, μεθύειν τρόπον τινὰ καὶ κραιπαλᾷν, καὶ πρὸς πᾶν εἶδος καταδονεῖσθαι συμφορᾶς.

Καὶ ἐπάξει ὁ Θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα, καὶ ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς. Καὶ συνάξουσι καὶ ἀποκλείσουσιν εἰς ὀχύρωμα καὶ εἰς δεσμωτήριον, διὰ πολλῶν γενεῶν ἐπισκοπὴ ἔσται αὐτῶν, καὶ τακήσεται ἡ πλίνθος, καὶ πεσεῖται τὸ τεῖχος.

Λαμπρὸν καὶ τοῦτο κατόρθωμα τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς. Ἔδει γάρ, ἔδει λοιπὸν ἐπιλάμψαντος τοῦ τῆς δικαιοσύνης ἡλίου, τὸν νοητὸν ἐκεῖνον διασκίδνασθαι σκότον, ὃν ταῖς ἁπάντων καρδίαις ἐνέχεεν ὁ Σατανᾶς. Ἐσκότισε γὰρ τὰ νοήματα τῶν ἀπίστων, κατὰ τὸ γεγραμμένον, καὶ ἀνέπεισε προσκυνεῖν τῇ κτίσει παρὰ τὸν κτίσαντα. Ἐμερίζοντο γὰρ οἱ πλανώμενοι τὰ τοῦ κόσμου στοιχεῖα. καὶ οἱ μὲν τὸν ἥλιον

A punitionis metum aggravent, et terroribus concutiant, futura denuntiando. Timor enim, inquit, et fovea, et laqueus, id est, omnia genera malorum super vos, et a calamitate suffugium nullum erit, nec declinatio. Sed forte si unum quid malorum effugerit, capietur altero, et ubique ac semper, aliquo malorum illatorum comprehendetur. Hoc contigit Judæis post crucem Servatoris, cum regio eorum vastaretur, urbesque et ædes conquassarentur : sed dicere singula longum est, maxime Ecclesiæ alumnis gnaris ac scientibus.

B Vers. 19, 20. *Quia fenestræ cœli apertæ sunt, et concutientur fundamenta terræ. Turbatione turbabitur terra, et ad summam inopiam redigetur terra. Declinavit, et commovebitur sicut tugurium, omnis terra ut ebrius et plenus crapulæ, et cadet,* **345** *nec potest resurgere, invaluit enim contra eam iniquitas.*

Causam reddit eorum quæ prænuntiata sunt, et quod in acerbas et inextricabiles miserias incident. Dixit enim, timor, et fovea, et laqueus super vos, et foveam si quis effugerit, capietur laqueo. Quæ igitur est rei hujusce causa? Januæ cœli apertæ sunt, id est, invisit Deus eos qui sunt in terra. Quandiu enim suffert delinquentes, non inspicere quodammodo, imo potius quoque cœlum occludi videtur. Cum autem vias mortalium obtuetur, tunc, C tunc veluti januis apertis, ob oculos constituit eos qui in terra sunt, ac pœnas pro ratione cujusque delicti convenienter infligens, tumultu ac metu complet omnia. Et tanquam præ ebrietate omnes terræ incolæ omni malorum generi objiciuntur. Commode autem infertur post illud dictum, Sicut aliquod in agris tugurium, commoveri terram, illud alterum : Quia invaluit in ea iniquitas. Nam dum qui in ea agunt, peccant tolerabiliter, revocat et retractat quasi pœnas, et ictum refrenat universorum Deus. Sed omnium impietas si intemperans fiat et effrenis, necesse omnino est, terram a Deo spectari, et invalescente in ea iniquitate, inebriari quodammodo, et oppleri crapula, et omni calamitatis genere agitari.

D Vers. 21, 22. *Et inducet Deus super ornatum cœli manum, et super reges terræ, et congregabunt et concludent in munitionem et in carcerem; per multas ætates visitatio erit eorum, et liquefiet later, et cadet murus.*

Illustre est hoc quoque humanitatis Unigeniti documentum. Oportuit enim, oportuit, deinceps illucescente justitiæ sole, tenebras illas intelligibiles dissipari, quas omnium cordibus Satan offuderat. Obtenebravit enim, juxta id quod scriptum est [82], sensus infidelium, persuasitque ut creaturæ supra Creatorem procumberent. Partiti sunt nimirum hi qui errabant, mundi elementa, alii solem nuncupabant

[82] Rom. I, 21 sqq.

deum, alii lunam, cæteri ex astris aliud, atque pro sua libidine. Laborabant vero hac impietate etiam ipsi Judæorum populi. Alicubi enim dixit Deus Jeremiæ prophetæ pro illis supplicanti : « Et 346 tu ne ora pro populo isto, et ne precare, et ne accede ad me pro illis in oratione et precatione, quia non exaudiam. Annon vides quid isti faciant in civitatibus Judæ, in viis Jerusalem? Filii illorum colligunt ligna, et patres eorum accendunt ignem, et uxores eorum subigunt farinam ut faciant placentas militiæ cœli, et libaverunt liba diis alienis, ut ad iram provocent me [33-34]. » Et per alium prophetam alloquitur illos : « Nunquid mactationes et hostias adduxistis mihi quadraginta annos in deserto, domus Israel, dicit Dominus? Et sustulistis tabernaculum Moloch, et sidus dei vestri Rephan, figuras quas fecistis vobis ut adoretis [35]. » Inducet igitur, inquit, Deus super ornatum cœli manum, id est, dissipabit eos qui ornatum cœli adorant, solem, inquam, et lunam, et astra. Verisimile vero est, velut ex parte, totam idololatriam in his denominari. Jam enim cessatum est, Christo exhibito et demonstrato, adorare mundi elementa. Sique ornatum cœli ipsum peccati inventorem et patrem, id est, Satanam, intelligamus, recta sane ad veritatem pervenerimus. Dictum est de eo : « Quomodo cecidit de cœlo Lucifer mane oriens [36]? » Cum autem semel ante lapsum, propter antiquam ejus gloriam Lucifero assimilaretur, ornatum cœli etiamnum propheticus sermo nobis eum appellitat. Manum inferendam dicit, non soli ornamento cœli, sed et terræ regibus, id est, sublunarem hunc globum vi obtinentibus, videlicet sæculi hujus mundanis rectoribus, nequam et adversariis potestatibus. Regnum enim terræ tenuerunt, et suos in ea adoratores effecerunt, persuaseruntque omnibus, charitatem erga Deum prorsus contemnere. Istos igitur ex fraude et mendacio et cupiditate regnantes, congregabunt, et in munitionem et carcerem concludent. Demisit enim eos in supplicii carcerem, Servatoris potentia, in firmam ac inevitabilem custodiam. Siquidem rogarunt dæmones accedentes ad eum, ne præciperet in abyssum abire [37]. Subnectit propheta, ac inquit : Per multas ætates visitatio erit illorum. Etenim a constitutione mundi tyrannidem occuparunt, nec destiterunt cum divina 347 et secreta majestate bellum gerere. Continuata est autem hæc eorum amentia, ad usque Servatoris omnium nostri Christi adventum, et visitatione postea per illum facta in custodiam conclusi sunt, et in carcerem, verum hoc per multas ætates passi sunt. Liquefaciendum dicit laterem, et casurum murum, muro forsan Satanam comparans. Potens enim ad resistendum erat, et quasi civitas turribus munitissima : cæterum quatiente Christo captus est et prostratus. Non enim valuit invictam ejus vim sustinere et excipere. Quod autem deleto et concidente Satana, idololatriæ nugæ

ἐπεγράφοντο θεὸν, οἱ δὲ τὴν σελήνην, ἕτεροι δὲ τῶν ἀστέρων τῶν καθ' ἡδονήν. Νενοσήκασι δὲ ταυτηνὶ τὴν δυσσέβειαν καὶ αὐτοὶ τῶν Ἰουδαίων οἱ δῆμοι. Καὶ γοῦν ἔφη που Θεὸς τὰς ὑπὲρ αὐτῶν ἱκετείας ἀναφέροντί ποτε τῷ προφήτῃ Ἱερεμίᾳ· « Καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν ἐν δεήσει καὶ προσευχῇ, ὅτι οὐκ εἰσακούσομαι. Ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ; Οἱ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς, τοῦ ποιῆσαι χαυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις ἵνα παροργίσωσί με. » Καὶ μὴν καὶ δι' ἑτέρου προφήτου πρὸς αὐτούς φησι· « Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, οἶκος Ἰσραὴλ, λέγει Κύριος; Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ Ῥεφάν· πρὸς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. » Ἐπάξει τοίνυν, φησὶν, ὁ Θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα, τοῦτ' ἔστι, διασκεδάσει τοὺς προσκυνοῦντας τῷ κόσμῳ τοῦ οὐρανοῦ, ἡλίῳ τέ φημι καὶ σελήνῃ καὶ ἄστροις. Εἰκὸς δὲ δὴ τὴν σύμπασαν εἰδωλολατρείαν ὡς ἐκ μέρους ἐν τούτοις κατονομάζεσθαι. Πέπαυται γὰρ τὸ προσκυνεῖν τοῖς τοῦ κόσμου στοιχείοις ἀναδειχθέντος Χριστοῦ. Κόσμον δὲ τοῦ οὐρανοῦ καὶ αὐτὸν εἶναι νοοῦντες τὸν τῆς ἁμαρτίας εὑρέτην καὶ πατέρα, τοῦτ' ἔστι, τὸν Σατανᾶν, κατ' εὐθὺ τάχα που τῆς ἀληθείας ἥξομεν. Εἴρηται γὰρ περὶ αὐτοῦ· « Πῶς ἐξέπεσεν ἐξ οὐρανοῦ ὁ Ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων; » Ἐπειδὴ δὲ ἅπαξ διά τοι τὴν ἀρχαίαν, καὶ τὴν πρὸ τῆς ἀποπτώσεως αὐτοῦ δόξαν Ἑωσφόρῳ παρεικάζεται, κόσμον αὐτὸν τοῦ οὐρανοῦ καὶ νῦν ὁ προφητικὸς ἡμῖν ὀνομάζει λόγος. Ἐπενεχθήσεσθαι δὲ τὴν χεῖρά φησιν, οὐχὶ δὴ μόνῳ τῷ κόσμῳ τοῦ οὐρανοῦ, ἀλλὰ γὰρ καὶ τοῖς βασιλεῦσι τῆς γῆς, τοῦτ' ἔστι, τοῖς ἐκ τῆς πλεονεξίας κεκρατηκόσι τῆς ὑπ' οὐρανὸν, δῆλον δὲ ὅτι τοῖς κοσμοκράτορσι τοῦ αἰῶνος τούτου, ταῖς πονηραῖς καὶ ἀντικειμέναις δυνάμεσι. Βεβασιλεύκασι γὰρ τῆς γῆς, ἰδίους ἀποφήναντες προσκυνητὰς τοὺς ἐν αὐτῇ, καὶ τῆς πρὸς Θεὸν ἀγάπης ὀλιγωρῆσαι παντελῶς ἀναπείσαντες. Τούτους τοιγαροῦν τοὺς ἐξ ἀπάτης καὶ ψεύδους καὶ πλεονεξίας κεκρατηκότας ἤγουν βασιλεύσαντας συνάξουσι καὶ ἀποκλείσουσιν εἰς ὀχύρωμα καὶ εἰς δεσμωτήριον. Κατέπεμψε γὰρ αὐτοὺς εἰς τὸ τῆς κολάσεως δεσμωτήριον τοῦ Σωτῆρος ἡ δύναμις, εἰς τὸ ἄφυκτον ὀχύρωμα. Καὶ γοῦν παρεκάλουν οἱ δαίμονες προσιόντες αὐτῷ, ἵνα μὴ προστάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Προσεπάγει δὲ καί φησιν ὁ προφήτης, ὅτι διὰ πολλῶν γενεῶν ἐπισκοπὴ ἔσται αὐτῶν· τετυραννεύκασι μὲν γὰρ ἀπὸ καταβολῆς κόσμου, καὶ οὐ διαλελοίπασι τῇ θείᾳ τε καὶ ἀποῤῥήτῳ πολεμοῦντες δόξῃ. Παρέτεινε δὲ τὰ τῆς ἀνοίας αὐτοῖς, καὶ μέχρι τοῦ καιροῦ τῆς ἐπιδημίας τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ. Ἐπισκοπῆς δὲ λοιπὸν ἐπ' αὐτοῖς γενομένης κατεκλείσθησαν εἰς δεσμωτήριον. Πλὴν διὰ πολλῶν τοῦτο πεπόνθασι

[33-34] Jerem. VII, 16-18. [35] Amos V, 25,26. [36] Isa. XIV, 12. [37] Matth. VIII, 31 sqq.

γενεῶν, ταχήσεσθαι δὲ τὴν πλίνθον, καὶ πεσεῖσθαι τὸ τεῖχός φησι, τείχει παρεικάζων τάχα που τὸν Σατανᾶν. Δεινὸς γὰρ εἰς ἀντίστασιν καὶ οἷον πόλις εὐπυργοτάτη· ἀλλ' ἥλω καὶ πέπτωκε Χριστοῦ κατασείοντος. Οὐ γὰρ ἦν δύνασθαι τὴν ἄμαχον αὐτοῦ διεκδῦναι δύναμιν. Ὅτι δὲ καθῃρημένου καὶ πεπτωκότος τοῦ Σατανᾶ, κατηρήμωται τὰ τῆς εἰδωλολατρείας παίγνια, καὶ κέκληνται διὰ πίστεως εἰς ἐπίγνωσιν ἀληθείας οἱ πάλαι πλανώμενοι, μονονουχὶ διαρπαζούσης αὐτοὺς τῆς πανσθενοῦς δεξιᾶς, διδάξει λέγων αὐτὸς ὁ Σωτήρ· « Ἢ πῶς δύναταί τις εἰς τὴν οἰκίαν εἰσελθεῖν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τότε διαρπάσῃ τὰ σκεύη αὐτοῦ; » Ἔθος δὲ τῇ θεοπνεύστῳ Γραφῇ τοὺς ἄγαν ἀλκιμωτάτους, καὶ τείχει καὶ πόλεσι παρεικάζειν, καθάπερ ἀμέλει καὶ πρὸς τὸν μακάριον προφήτην Ἱερεμίαν. Ἔφη γάρ που Θεός· « Ἰδοὺ τεθείκασιν ἐν τῇ σήμερον ἡμέρᾳ ὡς πόλιν ὀχυρὰν, καὶ ὡς τεῖχος χαλκοῦν ὀχυρὸν ἅπασι τοῖς βασιλεῦσι τῆς γῆς, καὶ πολεμήσωσί σε καὶ οὐ μὴ δύνωνται πρὸς σὲ, διότι μετὰ σοῦ εἰμι τοῦ ἐξαιρεῖσθαί σε, λέγει Κύριος. » Διαμεμνῆσθαι δὲ ἀναγκαῖον, ὅτι Ἰησοῦς ὁ τοῦ Ναυῆ, τοὺς πέντε τῶν ἐθνῶν βασιλεῖς κατὰ κράτος ἑλὼν, καὶ νενικηκὼς κατέκλεισεν ἐν σπηλαίῳ, καὶ προσεκύλισε λίθους ἀποφράττων αὐτοῖς τὴν διαδρομήν. Εἰκὼν δὲ ἦν ἀποφράγματος ἀληθοῦς. Κατεκλείσθησαν γὰρ εἰς ὀχύρωμα καὶ εἰς δεσμωτήριον διὰ τῆς Χριστοῦ ἰσχύος αἱ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις αἱ καταχρατήσασαί ποτε τῆς ὑπ' οὐρανοῦ. Συγκατηργήθη δὲ αὐτοῖς, καὶ τὸ μέγα καὶ ἄῤῥητόν ποτε τεῖχος, τοῦτ' ἔστιν, ὁ Σατανᾶς. Κέκληνται δὲ οὕτω διὰ πίστεως οἱ πλανώμενοι πρὸς τὸ εἰδέναι λοιπὸν τὸν ἀληθῶς καὶ φύσει τῶν ὅλων δημιουργὸν καὶ Θεὸν καὶ Κύριον. Ἰστέον δὲ ὅτι ταὐτά τινες ἀποφέρουσι καθ' ἑτέραν διάνοιαν ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ, καί φασιν, ὅτι κατὰ τὸν τῆς συντελείας καιρὸν ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. Χρῆναι δὲ οἶμαι τοῖς θεωρήμασιν ἑπομένως, καὶ εὖ μάλα συνηρμοσμένως τὰς τῶν προκειμένων ἑκάστοτε διανοίας ἀποπεραίνεσθαι.

A irritæ fuerint, et qui olim erraverant, per fidem ad veritatis agnitionem vocati fuerint, omnipotenti dextera eos tantum non rapiente, docebit ipse Servator, inquiens: « Vel quomodo potest quis ingredi in domum fortis, et vasa ejus diripere, nisi prius ligaverit fortem, et tunc vasa ejus diripiat[37*]? » Solemne autem est Scripturæ divino Spiritu proditæ robustissimos, et muris, et urbibus conferre, quemadmodum sane et beato prophetæ Jeremiæ dixit Deus: « Ecce posui te hodierno die, velut civitatem munitam, et velut murum æreum munitum, omnibus regibus terræ, et bellabunt contra te, et non prævalebunt adversum te, quia tecum sum ut eripiam te, dicit Dominus[38]. » Commemorandum necessario est quod Jesus filius Nave quinque reges B gentium captos et victos in spelunca concluserit, et lapidibus advolutis excursum eis et effugium obstruxerit. Imago siquidem fuit rei veræ. Conclusæ enim erant in præsidium et carcerem Servatoris fortitudine malæ et adversariæ potestates, quæ olim orbem terræ subegerunt: abolitus autem est cum illis magnus et infractus olim murus, nimirum Satanas. Vocati sunt per fidem, qui errabant, ut cognoscerent deinceps, vere et natura universorum architectum et Deum et Dominum. Sciendum præterea quosdam hæc in alium sensum ad ornatum cœli referre, et inquiunt quod consummationis tempore sol obtenebrescet, et luna non dabit lucem suam. Sed oportet, ut arbitror, interpretationi C apte et convenientissime verborum propositorum sententiam semper respondere.

Ὅτι βασιλεύσει Κύριος ἐν Σιὼν, καὶ ἐν Ἱερουσαλὴμ, καὶ ἐνώπιον τῶν πρεσβυτέρων δοξασθήσεται.

Σιὼν ἑρμηνεύεται *ὑψηλὴ*, καὶ *σκοπευτήριον*, ἤγουν Ἱερουσαλὴμ, *ὅρασις εἰρήνης*. Σκοπευτήριον οὖν τὸ ἀληθὲς καὶ μὴν καὶ εἰρήνης ὅρασις, εἴη ἂν κατά γε τὸ ἀληθὲς ἡ Ἐκκλησία Χριστοῦ. Ἐν αὐτῇ γὰρ ἡ τῶν θείων αὐτοῦ μυστηρίων ὑψηλοτάτη κατάσκεψις πράττεσθαι φιλεῖ, καὶ μὴν καὶ ἡ τῆς εἰρήνης ὅρασις. Εἰρήνην δὲ εἶναί φαμεν τὸν Χριστὸν, ὃν ἐκ τῆς θεοπνεύστου Γραφῆς ἐπιγινώσκομεν, γεγραφότος περὶ αὐτοῦ πανσόφου Μωσέως, καὶ πρός γε τούτῳ τῶν ἁγίων προφητῶν. Περιῃρημένης τοιγαροῦν τῆς βεβήλου καὶ μυσαρᾶς εἰδωλολατρείας, καὶ ἐκποδὼν γεγονότος τοῦ προσκυνεῖσθαι τὴν κτίσιν, κατακεκλεισμένων δὲ καὶ εἰς ὀχύρωμα καὶ εἰς δεσμωτήριον τῶν ἐκ πλεονεξίας κεκρατηκότων τῆς ὑπ' οὐρανὸν, κατατετηγμένου τε τοῦ τείχους, καὶ ἐκ βάθρων αὐτῶν κατασεσεισμένου, κατά γε τὰς ἤδη προαποδοθείσας ἐννοίας, βασιλεύσει Κύριος ἐν Σιὼν, καὶ ἐνώπιον τῶν πρεσβυτέρων δοξασθήσεται. Πρεσβυτέρους

348 VERS. 23. *Quia regnabit Dominus in Sion et in Jerusalem, et coram senioribus glorificabitur.*

Sion exponitur *excelsa*, et *specula*: Jerusalem, *visio pacis*. Specula itaque vera et pacis visio vere esse poterit Christi Ecclesia. In ea enim divinorum ejus mysteriorum excelsissima speculatio esse solet, D et pacis visio. Pacem esse dicimus Christum, quem ex Scriptura divinitus inspirata agnoscimus, sapientissimo Mose de ipso scribente, præterea etiam sanctis prophetis. Circumcisa itaque profana et detestabili idololatria, et e medio sublata creaturæ adoratione, et coarctatis in præsidium et in ergastulum his qui ex improba cupiditate mundum occuparunt, liquefactis mœnibus, et a fundamentis ipsis juxta expositas jam ante sententias conquassatis, regnabit Dominus in Sion, et coram senioribus gloria extolletur. Seniores puto vocare illum hic mente integros et perfectos, et animo veluti cano præditos, ut cordis oculis mysteriorum ejus profunditatem possent intueri. His sapiens quoque

[37*] Matth. XII, 29. [38] Jerem. XV, 20.

Joannes scribit dicens: « Scribo vobis, patres, quia cognovistis eum qui ab initio est [39]. » Sed qui norunt admirantur, et gloriam ei divinam tribuunt, et regem illum ac universitatis Dominum esse confitentur. Quod autem diaboli tyrannide in totum deleta, Christus regnarit, ipsemet docebit, inquiens, quando seipsum pro vita omnium pretium redemptionis Deo et Patri obtulit, pretiosam crucem pro nobis sustinens: « Nunc judicium est hujus mundi, nunc princeps mundi hujus ejicietur foras. Et ego si exaltatus de terra fuero, omnes traham ad meipsum [40]. » Quapropter eos qui in tota terra degunt, suis sceptris subjugavit, ejecto ante sæculi hujus principe. Ejectionis autem nomen, tyrannidis in omnes eversionem videtur denotare.

A δὲ, ὥς γε οἶμαι, φησὶν ἐν τούτοις τοὺς τελείους τὴν φρένα, καὶ οἱονεὶ τὸν νοῦν πεπολιωμένον ἔχοντας, ὡς δύνασθαι κατιδεῖν τοῖς τῆς καρδίας ὄμμασι, τῶν περὶ αὐτοῦ μυστηρίων τὸ βάθος. Τούτοις καὶ ὁ σοφὸς Ἰωάννης ἐπιστέλλει λέγων· « Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. » Ἀλλ' οἱ γνόντες, θαυμάζουσι καὶ ἀνάπτουσι δόξαν αὐτῷ τὴν θεοπρεπῆ, βασιλέα καὶ Κύριον τῶν ὅλων ὁμολογοῦντες ὑπάρχειν αὐτόν. Ὅτι δὲ τῆς τοῦ διαβόλου τυραννίδος εἰς ἅπαν ἐξῃρημένης βεβασίλευκεν ὁ Χριστὸς, διδάξει λέγων αὐτὸς, ὅτε τῆς ἁπάντων ζωῆς ἀντίλυτρον ἑαυτὸν προσεκόμισε τῷ Θεῷ καὶ Πατρὶ, τὸν τίμιον ὑπὲρ ἡμῶν ὑπομένων σταυρόν· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Οὐκοῦν τοῖς ἰδίοις καθυπέταξε σκήπτροις τοὺς ἀνὰ πᾶσαν τὴν γῆν, προεκβεβληκὼς τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου. Τὸ δὲ τῆς ἐκβολῆς ὄνομα, τῆς κατὰ πάντων πλεονεξίας καταστημαίνειν ἔοικε τὴν ἀνατροπήν.

[39] I Joan. II, 13. [40] Joan. XII, 31, 32.

ΒΙΒΛΙΟΝ Γ'. ΤΟΜΟΙ Ε'

349 LIBER TERTIUS. TOMI QUINQUE.

TOMUS I.

CAP. XXV. VERS. 1. *Domine Deus meus, glorificabo te, et hymnis laudabo nomen tuum, quia res miras fecisti, consilium antiquum verum: fiat, Domine.*

In eo quem absolvimus libro, propheta orationem longam, reconditisque plenam sententiis habuit, exorsus tum de malitia diaboli, futuroque ei supplicio ac pœna, tum etiam de improbarum et adversariarum potestatum eversione: quibus præterea regni Christi adjecit prædictionem. Dixit enim regnaturum Dominum in Sion, et in Jerusalem, et in conspectu seniorum celebrandum. Horum omnium causa repletus est propheta gaudio, et rerum tam admirabilium effectorem ornat encomiis. Ideoque inquit: Domine Deus meus, celebrabo te, et hymnis cantabo nomen tuum: consilium antiquum et verum, resque miras effecisti. Quia **350** vero de his quæ nondum facta sunt eo tempore, fecisti, dicit, quod non fierent adhuc; sed prorsus penitusque forent, subindicat, adjecto illo, Fiat, Domine. Nam adventus tempus velut instans animi oculis videbant, et nondum præsens minime ignorabant. Consilium autem tanquam antiquum, et res miras, appellat humanitatis Unigeniti mysterium, et quæ ab ea fuerunt per universam terram instaurata. « Servati enim sumus in Christo, qui ante mundi constitutionem præscitus est, et in extremis

B

ΤΟΜΟΣ Α'.

Κύριε ὁ Θεός μου, δοξάσω σε, καὶ ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν· γένοιτο, Κύριε.

Ἐν μὲν τῷ τετελεσμένῳ βιβλίῳ μακρὸς τῷ προφήτῃ γέγονε λόγος, καὶ διὰ κεκρυμμένων ἐννοιῶν ἐρχόμενος, περί τε τῆς τοῦ διαβόλου σκαιότητος, καὶ τῆς ἐσομένης ἐπ' αὐτῷ κολάσεώς τε καὶ δίκης, καὶ προσέτι καὶ ἀνατροπῆς τῶν πονηρῶν καὶ ἀντικειμένων δυνάμεων. Προσετίθει δὲ τούτοις, καὶ τῆς τοῦ Χριστοῦ βασιλείας τὴν ἀνάῤῥησιν. Ἔφη γὰρ, ὅτι βασιλεύσει Κύριος ἐν Σιὼν, καὶ ἐν Ἱερουσαλὴμ, καὶ ἐνώπιον τῶν πρεσβυτέρων δοξασθήσεται. Τούτων τοιγαροῦν ἁπάντων C ἕνεκα περιχαρείας ἔμπλεως ὁ προφήτης γίνεται, καὶ τὸν τῶν οὕτω τεθαυμασμένων ἀποτελεστὴν καταγεραίρει ταῖς εὐφημίαις. Ταύτῃ τοί φησι· Κύριε ὁ Θεός μου, δοξάσω σε, καὶ ὑμνήσω τὸ ὄνομά σου, βουλὴν ἀρχαίαν καὶ ἀληθινὴν, καὶ τεθαυμασμένα πεποίηκας πράγματα. Ἐπειδὴ δὲ περὶ τῶν οὔπω γεγονότων κατ' ἐκεῖνο καιροῦ τὸ Ἐποίησας φησὶν, ὅτι μὲν οὔπω γέγονεν, ἔσται γε μὴν πάντῃ τε καὶ πάντως ὑποδηλοῖ, προστιθεὶς τὸ Γένοιτο, Κύριε. Τοῖς μὲν γὰρ τῆς διανοίας ὄμμασιν, ὡς ἐνεστηκότα τὸν τῆς ἐπιδημίας κατεθεῶντο καιρὸν, ἠγνόουν δὲ οὐδαμῶς οὔπω παρόντα, ὡς ἀρχαίαν δέ γε βουλὴν, καὶ θαυμαστὰ πράγματα τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς ἀποκαλεῖ τὸ μυστήριον, καὶ τὰ ἐξ αὐτῆς τοῖς ἀνὰ πᾶσαν κατωρθωμένα τὴν γῆν

«Σεσώσμεθα γὰρ ἐν Χριστῷ, προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, » καθά φησιν ὁ σοφώτατος Παῦλος· « Οὐ γὰρ νέον, ἢ ἀρτιφανὲς τὸ τοῦ Χριστοῦ μυστήριον, ἀλλὰ προώριστο μὲν πρὸ τῆς τοῦ κόσμου καταβολῆς, πεφανέρωταί γε μὴν ἐν καιροῖς ἰδίοις. »

Ὅτι ἔθηκας πόλεις εἰς χῶμα, πόλεις ἰσχυρὰς, τοῦ πεσεῖν αὐτῶν τὰ θεμέλια· τῶν δὲ ἀσεβῶν πόλις εἰς τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ.

Τῆς ἀληθινῆς καὶ τοῦτο βουλῆς, καὶ τῶν ἀμωμήτων σκεμμάτων τοῦ πάντα ἰσχύοντος Θεοῦ, τὸ κατασεισθῆναι πόλεις ὀχυρὰς, γενέσθαι δὲ καὶ εἰς χῶμα, καὶ οἷον ἐκ βάθρων αὐτῶν ἀναμοχλευθῆναι, καὶ ἐλπίδος ἔξω γενέσθαι, ἧς οὐ δυνήσονται ἀνασφῆλαί ποτε. Οὐ γὰρ μὴ, φησὶν, εἰς τὸν αἰῶνα οἰκοδομηθῇ. Πόλεις δὲ εἶναί φαμεν τὰς κατασεσεισμένας, οὐχὶ δή που πάντως τὰς αἰσθητὰς, ἤγουν ἀνθρώπους τοὺς ἐν αὐταῖς· οἰόμεθα δὲ μᾶλλον ἑκάστην τῶν πονηρῶν, καὶ ἀντικειμένων δυνάμεων, καὶ πρό γε τῶν ἄλλων, ὠνομάσθαι πόλιν τὸν Σατανᾶν, καὶ τοῦτο ἰσχυράν. Ἔθος γὰρ τῇ θεοπνεύστῳ Γραφῇ πύργοις, καὶ τείχεσιν ἢ καὶ πόλεσιν ἔσθ' ὅτε παρεικάζειν τοὺς ἄγαν ἀλκιμωτάτους, καθάπερ ἀμέλει καὶ προλαβόντες εἴπομεν, ὅτι τέθειται παρὰ Θεοῦ, καὶ ὁ μακάριος προφήτης Ἱερεμίας, ὡς πόλις ὀχυρὰ, καὶ ὡς τεῖχος χαλκοῦν ὀχυρόν. Ἀναδεδειγμένου δὲ καὶ ἐπιλάμψαντος τῷ κόσμῳ τοῦ Ἐμμανουὴλ, ἀνήρηται μὲν τῶν ἀντικειμένων δυνάμεων τὸ ἀνόσιον στῖφος, ἐξ αὐτῶν δὲ κατεσείσθη βαράθρων [al. βάθρων] ὁ Σατανᾶς, πέπτωκε δὲ οὕτως ὡς ἀτελευτήτῳ περιπεσεῖν ἀσθενείᾳ, καὶ κατ' οὐδένα καιρὸν ἀνασθήσεσθαί τε καὶ ἀνανεῦσαι προσδοκᾷν.

Διὰ τοῦτο εὐλογήσει σε ὁ λαὸς ὁ πτωχὸς, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε. Ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθὸς, καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ αὐτούς· σκέπη διψώντων, καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε ὡς ἄνθρωποι ὀλιγόψυχοι διψῶντες ἐν Σιὼν, ἀπὸ ἀνθρώπων ἀσεβῶν οἷς ἡμᾶς παρέδωκας.

Κέκληται μὲν εἰς ἐπίγνωσιν Θεοῦ διὰ τῆς ἐν νόμῳ παιδαγωγίας ὁ Ἰσραὴλ, καὶ πεπλούτηκε τὰ παρὰ Θεοῦ. Σέσωσται γὰρ, καὶ τὴν τῆς ἐπαγγελίας κεκληρονόμηκε γῆν. Ἡ δέ γε τῶν ἄλλων ἐθνῶν ἀμέτρητος οὖσα πληθὺς τῶν κατὰ πᾶσάν φημι τὴν ὑπ' οὐρανὸν, ἀλλότριος παντελῶς τῶν πνευματικῶν, καὶ ἄνωθεν καθειστήκεισαν ἀγαθῶν, ἄγευστοι τῶν παρὰ Θεοῦ χαρισμάτων, γυμνοὶ τρόπον τινὰ καὶ ἀνείμονες, οὐ τὴν θείαν ἀνέχοντες σκέπην, οὐ τὴν ἐξ ὕψους περιβολὴν, οὐ πλοῦτον εἰς νοῦν τὸν ἐξ ἀρετῆς οὐχ ἕτερόν τι τῶν ὅσα ἐστὶν ἐπαίνου μεστὰ, καὶ τοῦ παντὸς ἀξιοῦται θαύματος. Ἐπειδὴ δὲ καὶ αὐτὸς ἐπέφανεν ὁ Χριστὸς, καὶ τῆς τοῦ διαβόλου πλεονεξίας ἐξελὼν προσκεκόμικε τῷ Θεῷ καὶ Πατρὶ, καὶ τὸ τῆς ἀληθείας πεπλουτήκασι φῶς, τῆς παρ' αὐτοῦ δόξης τὴν μέθεξιν τῆς εὐαγγελικῆς πολιτείας τὴν μεγαλειό-

A hujus sæculi temporibus manifestatus[41];» quemadmodum ait sapientissimus Paulus: « Neque enim novum aut recens est Christi mysterium, sed ante conditum mundum quidem præfinitum, suo autem tempore patefactum[42]. »

VERS. 2. *Quia posuisti urbes in tumulum, urbes munitas, ut caderent earum fundamenta; urbs vero impiorum non ædificabitur in sæculum.*

Hoc quoque ex vero illo consilio est, inculpatisque decretis omnia potentis Dei, ut urbes munitæ concutiantur, inque tumulum redigantur, velutque ab ipsis fundamentis dimoveantur, spemque posse aliquando restaurari omnem amittant: Non enim, inquit, ædificabitur in sæculum. Urbes conquassa- B tas esse dicimus, non illas sensu perceptas, aut homines qui in illis sunt: sed unamquamque improbarum adversariarumque potestatum, et ante alias ipsum Satanam, urbem idque fortem nominari existimamus. Solet enim divinitus inspirata Scriptura eos qui validissimi sunt, turribus et mœniis vel etiam urbibus, quemadmodum etiam supra diximus, comparare. Quippe a Deo quoque positus est beatus propheta Jeremias, ut urbs munita, et ut murus æneus munitus[43]. Cum autem apparuisset, mundoque illuxisset Emmanuel, impium agmen adversariarum potestatum est submotum, ex ipsisque fundamentis deturbatus est Satanas, itaque concidit, ut in non finiendam incideret imbecillitatem, C nulloque modo exspectarit, resurrecturum se et respiraturum.

VERS. 3-5. *Propterea benedicet tibi populus mendicus, urbesque hominum oppressorum injuria, benedicent tibi. Factus enim es* **351** *omni urbi humili adjutor, et deficientibus propter incpiam umbraculum, ab hominibus improbis liberabis eos: umbraculum sitientium, et respiratio hominum injuria oppressorum benedicent tibi quasi homines parvo animo præditi sitientes in Sion, qua liberabis eos ab hominibus impiis, quibus nos tradidisti.*

Vocatus est ad Dei agnitionem per institutionem legalem Israel, bonisque divinis locupletatus est. Nam servatus est, terramque promissionis hære- D ditate obtinuit. At aliarum gentium innumerabilis multitudo, qui, inquam, sub toto cœlo degunt, hi bonis spiritualibus, et supernis prorsus alieni exstiterunt, nec charismata divina gustarunt, et nudi quodammodo ac non vestiti, non tegumentum divinum, non amictum supernum, non opes animi ex virtute, non aliud quidpiam vel laude vel admiratione dignum habuerunt. Cum autem ipse Christus apparuit, submotaque diaboli tyrannide, Deo et Patri adduxisset, ac luce veritatis, ejusque gloriæ participatione, evangelicæ conversationis magnitudine ditati fuissent: propterea gratulatorias odas Deo ac Patri emittunt. Itaque, inquit, o Do-

[41] Ephes. I, 4. [42] ibid. 9. [43] Jerem. XV. 20.

mine, cum antiquum consilium ac verum effeceris, omnibus in Christo capite recollectis ac consummatis, et illustratis illis qui in tenebris sederunt, et deletis mundi principibus sæculi hujus, quantumvis instar urbium quarumdam potentibus, benedicet tibi populus mendicus, universæque urbes te prædicabunt. Exstitisti enim cunctis opitulator, et umbraculum his qui propter inopiam spiritualium bonorum intolerabili dolore affecti sunt, eosque ab improbis hominibus liberasti. Erant enim etiam in Sion adeo pusillo animo quidam præditi, sicut hi qui siti erant confecti. Fortassis et illud nobis hisce verbis ostendit propheta. Nam in Israel etiam fuerunt, qui Servatoris adventum sitiverunt, et universorum Servatorem ac redemptorem videre cupiverunt: qualis fuit Simeon quidam ille justus, cum natum Jesum manibus accepisset, dicens: «Nunc dimittis servum tuum, Domine, secundum verbum tuum in pace: quia viderunt oculi mei salutare tuum, quod parasti ante faciem **352** omnium populorum. Lumen ad revelationem gentium, et gloriam populi tui Israel[43].» Atque etiam beatus Zacharias pater Joannis, sancto Spiritu repletus, gloriam cecinit, clamans: «Benedictus Dominus Deus Israel, quia visitavit et fecit redemptionem populo suo: et erexit cornu salutis nobis, in domo Davidis pueri sui, sicut locutus est ore sanctorum qui a sæculo sunt, prophetarum suorum; salutem ex inimicis nostris, et de manu omnium qui oderunt nos. Ad faciendam misericordiam cum patribus nostris, et memorari testamenti sancti sui. Jusjurandum quod juravit ad Abraham patrem nostrum, daturum se nobis: ut sine timore, e manu inimicorum nostrorum liberati serviamus illi; in sanctitate et justitia coram ipso omnibus diebus nostris[44].» Viden' quomodo antiquum et verum consilium Dei et Patris sanctis etiam pluribus promissum sit? Emmanuelem, inquam, salutem mundo esse demonstrandum? Qui factus est respiratio hominum injuria oppressorum. Ab inimicis enim respirarunt, et liberati sunt ab hominibus impiis quibus fuerunt traditi. Si de gentibus quis verba hæc accipiat, homines vocari eos dicimus, impios dæmones, qui iis qui terram incolunt olim dominabantur: quorum imbecillitas ex eo quod homines nominentur, optime declaratur. Probabile quoque est doctores eorum falsos, et sacrorum præfectos, vel etiam poetas et oratores, inventoresque eloquentiæ, quæ apud Græcos in pretio fuit, dici homines improbos, utpote qui per oris facundiam qua pollebant, deceptos in puteum interitus dejicerent. Sin de Israelitis istud dicatur, improbos asserimus esse, qui ad docendum sorte delecti, Scribæ nimirum et Pharisæi, sacerdotii gloriam consecuti, dignitate inde simul ac potestate ornati, clavem scientiæ acceperunt, et nec ipsi crediderunt, nec aliis ut hoc facerent concesserunt. Tradebantur autem legalibus

A τητα τὰς ὑπέρ γε τούτων χαριστηρίους ᾠδὰς ἀναπέμπουσι τῷ Θεῷ καὶ Πατρί. Οὐκοῦν ἐπειδήπερ, φησὶν, ὦ Δέσποτα, καὶ βουλὴν ἀρχαίαν καὶ ἀληθῆ ἐποίησας ἀνακεφαλαιωσάμενος τὰ πάντα ἐν τῷ Χριστῷ, καὶ καταφωτίσας μὲν τοὺς ἐν σκότῳ, καθελὼν δὲ τοὺς κοσμοκράτορας τοῦ αἰῶνος τούτου· καίτοι καθάπερ τινὰς πόλεις οὕτως ἰσχυρὰς εὐλογήσει σε ὁ λαὸς ὁ πτωχὸς, ὅλαι τε πόλεις δοξολογήσουσί σε. Ἁπάσαις γὰρ γέγονας βοηθὸς, καὶ σκέπη τοῖς διὰ πτωχείαν τῶν πατρικῶν ἀγαθῶν ἀφορήτως λελυπημένοις· ἐῤῥύσω τε αὐτοὺς ἀπὸ πονηρῶν ἀνθρώπων. Ἦσαν γὰρ οὕτω καὶ ἐν τῇ Σιὼν ὀλιγοψυχήσαντές τινες, καθάπερ ἀμέλει ἄνθρωποι δεδιψηκότες. Καὶ τάχα που διὰ τούτων ἡμῖν ὁ προφήτης ἐκεῖνο δηλοῖ. Ἦσαν γὰρ, ἦσαν καὶ ἐν τῷ Ἰσραὴλ οἱ τὴν τοῦ Σω- B τῆρος διψῶντες ἐπιδημίαν, καὶ τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν ἐπιθυμοῦντες ἰδεῖν· ὁποῖός τις ἦν Συμεὼν ὁ δίκαιος, ὅτε τεχθέντα τὸν Ἰησοῦν εἰς χεῖρας λαβὼν ἔφασκε· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.» Καὶ μὴν καὶ ὁ μακάριος Ζαχαρίας ὁ Ἰωάννου πατὴρ ἁγίου Πνεύματος ἔμπλεως γεγονὼς ἐδοξολόγει βοῶν· «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαβὶδ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ C χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν· τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.» Ὁρᾷς ὅπως ἀρχαία καὶ ἀληθινὴ βουλὴ γέγονε τοῦ Θεοῦ, καὶ Πατρὸς, καὶ τοῖς ἁγίοις πατράσιν ἐπηγγελμένη. Τὸ ἀναδειχθῆναί φημι σωτηρίαν τῷ κόσμῳ τὸν Ἐμμανουὴλ, ὃς γέγονε πνεῦμα ἀνθρώπων ἀδικουμένων. Ἀναπεπνεύκασι γὰρ ἐξ ἐχθρῶν, καὶ ἐῤῥύσθησαν ἀπὸ ἀνθρώπων ἀσεβῶν, οἷς καὶ παραδέδονται. Καὶ εἰ μὲν ἐπὶ τῶν ἐθνῶν τις τὰς τοιαύτας ἐκλάβοι φωνὰς, ἀνθρώπους κεκλῆσθαί D φαμεν, τοὺς πάλαι κρατοῦντας τῶν ἐπὶ τῆς γῆς ἀνοσίους δαίμονας, ὧν τὸ ἀσθενὲς εὖ μάλα κατασημαίνεται, διὰ τοῦ καὶ ἀνθρώπους αὐτοὺς ὀνομάζεσθαι. Εἰκὸς δὲ δή που καὶ τοὺς παρ' αὐτοῖς ψευδοδιδασκάλους, καὶ τοὺς καλουμένους ἱερομύστας, ἢ καὶ ποιητὰς καὶ λογάδας, καὶ τοῖς παρ' Ἕλλησι τετιμημένης εὐγλωττίας εὑρετὰς ἀνθρώπους κεκλῆσθαι πονηροὺς, ὡς διὰ τῆς ἐνούσης αὐτοῖς εὐστομίας τοῖς τῆς ἀπωλείας ἐνιέντας τέλμασι τοὺς ἀπατωμένους. Εἰ δὲ δὴ περὶ τῶν ἐξ Ἰσραὴλ λέγοιτο ταυτὶ, πονηροὺς ἀνθρώπους εἶναί φαμεν τοὺς καθηγεῖσθαι λαχόντας, Γραμματέας τέ φημι καὶ Φαρισαίους· οἳ τὴν τῆς ἱεροσύνης ἔχοντες δόξαν, καὶ τὴν ἐντεῦθεν εὐ-

[43] Luc. II, 29-32. [44] Luc. I, 68-75.

κλειάν τε ὁμοῦ καὶ δυναστείαν ἀνειμμένοι τὴν κλεῖδα τῆς γνώσεως ἔλαβον. Καὶ οὔτε αὐτοὶ πεπιστεύκασιν, οὔτε μὴν ἑτέρους συγκεχωρήκασι τοῦτο δρᾷν· παραδίδονται δὲ τοῖς μὲν ἐν νόμῳ καθηγηταῖς οἱ ὑπὸ χεῖρα λαοί. Τοῖς γε μὴν ἀκαθάρτοις δαίμοσιν οἱ πλανώμενοι Θεοῦ παθεῖν αὐτοὺς τὴν παράδοσιν ἐπιτρέψαντος, καθάπερ ἀμέλει καὶ εἰς ἀδόκιμον νοῦν παραδίδονταί τινες ἀναξίους ἑαυτοὺς ἀποφήναντες τῆς παρ' αὐτοῦ φειδοῦς καὶ ἐπικουρίας.

A præceptoribus subditi populi, et errantes, impuris dæmonibus, Deo permittente ut hanc traditionem paterentur. Ita sane in reprobam quoque mentem traditi sunt quidam, qui se ejus misericordia auxilioque indignos reddiderunt.

Καὶ ποιήσει Κύριος Σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν· ἐπὶ τὸ ὄρος τοῦτο πίονται εὐφροσύνην, πίονται οἶνον· χρίσονται μύρῳ ἐν τῷ ὄρει τούτῳ. Παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν. Ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη.

Προειρηκὼς ὅτι βασιλεύσει Κύριος ἐν Σιὼν καὶ ἐν Ἱερουσαλὴμ, ὡς ἐξ ὁμοιότητος τῶν ἐν αἰσθήσει καὶ ὁρατῶν πραγμάτων μυστικὴν ἐξυφαίνει διάνοιαν· B ὑψηλὴ γὰρ καὶ *σκοπευτήριον* ἡ Σιὼν, *ὅρασις* μὲν γὰρ *εἰρήνης* Ἱερουσαλὴμ ἑρμηνεύεται. Ἀμφότερα δέ ἐστι ταῦτα κατὰ ἀλήθειαν, ἡ Ἐκκλησία Χριστοῦ· ὑψηλὴ γὰρ καὶ περίοπτος, καὶ οἷον ἐν ὄρει κειμένη. Καὶ καθ' ἕτερον δὲ τρόπον ὑψηλὴ νοεῖται πρὸς ἡμῶν, χθαμαλὸν γὰρ οὐδὲν ἐν αὐτῇ, καὶ τῶν γηΐνων πραγμάτων ἀνῴκισται λίαν. Γέγραπται γὰρ ὅτι « Τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. » Ὑψηλὰ δὲ ὁμοίως καὶ τὰ ἐν αὐτῇ θεῖά τε καὶ ἀληθῆ δόγματα. Περὶ Θεοῦ γὰρ ὁ λόγος, ἤτοι περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἰσχνὸς καὶ ἀπεξεσμένος καὶ εἰς μόνην τετραμμένος τὴν ἀλήθειαν. Ὁρᾶται δὲ πάλιν ἐν αὐτῇ ὁ Χριστὸς ὅς ἐστιν εἰρήνη. Ποιήσει τοίνυν, φησὶ, Κύριος Σαβαὼθ, καὶ οὔτι που μόνοις τοῖς ἐξ Ἰσραὴλ, ὡς ἀγαπητοῖς διὰ τοὺς πατέρας καὶ ἐξειλεγμένοις, C ἀλλὰ γὰρ πᾶσι τοῖς ἔθνεσι, τουτέστι, τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανόν. Ποιήσει δὲ τί; Πίονται, φησὶν, εὐφροσύνην, πίονται οἶνον· χρίσονται μύρῳ ἐν τῷ ὄρει τούτῳ. Ἔοικε δὲ διὰ μὲν τῆς εὐφροσύνης ὑποδηλοῦν τὸ ἱλαρὸν ἐν ἐλπίδι, δῆλον δὲ ὅτι τῇ ἐν Χριστῷ· συμβασιλεύομεν γὰρ αὐτῷ, καὶ τὰ ὑπὲρ νοῦν καὶ λόγον ἀποκερδαίνοντες ἁπάσης εἴσω θυμηδίας ἐσόμεθα. Διὰ δέ γε τοῦ οἴνου, τὴν μυστικὴν εὐλογίαν ὑποδηλοῦν, καὶ τῆς ἀναιμάκτου θυσίας τὸν τρόπον, ἣν ἐν ταῖς ἁγίαις ἐκκλησίαις ἀποπληροῦν εἰθίσμεθα. Τὸ δέ γε μῦρον ἡμῖν κατασημήνειεν εὖ μάλα τὴν τοῦ ἁγίου Πνεύματος χρίσιν. Γράφει γὰρ ὁ σοφὸς Ἰωάννης· « Καὶ ὑμεῖς χρίσμα ἔχετε ὑπὸ τοῦ Ἁγίου καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ' ὡς D τὸ αὐτοῦ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων. » Καταχριόμεθα γὰρ μύρῳ κατὰ τὸν καιρὸν μάλιστα τοῦ ἁγίου βαπτίσματος, σύμβολον τοῦ μεταλαχεῖν ἁγίου Πνεύματος τὸ χρίσμα ποιούμενοι. Ἀλλὰ ταυτὶ δὴ πάντα, φησὶ, παράδος τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη. Ὁ μὲν γὰρ πάλαι νόμος, καὶ ἡ κατ' αὐτὸν λατρεία διακονηθεῖσα δι' ἀγγέλων οὐ πᾶσιν ἁπλῶς ἐδόθη τοῖς ἔθνεσιν· ἀλλ' ἑνὶ καὶ μόνῳ τῷ ἐξ αἵματος Ἰσραήλ. Ἡ δὲ ἐν Χριστῷ χάρις, καὶ ἡ διὰ πίστεως κλῆσις, ἁγιασμός τε πρὸς τούτοις ὁ διὰ τοῦ Πνεύματος, καὶ αὐτὸ δὲ τὸ μυστήριον διὰ βουλῆς τοῦ

353. VERS. 6, 7. *Et faciet Dominus Sabaoth omnibus gentibus : super monte hoc bibent lætitiam, bibent vinum; ungentur unguento in monte hoc. Trade hæc omnia gentibus. Consilium enim hoc super omnes gentes.*

Cum prædixerit Dominum in Sion et in Jerusalem regnaturum, ex hac quasi similitudine rerum sub sensum aspectumque cadentium, mysticum sensum pertexit. *Excelsa* enim et *specula* Sion, *visio* autem *pacis* Jerusalem exponitur. Est autem utrumque hoc vere, Christi Ecclesia : celsa nempe et illustris, et velut in monte posita. Alio etiam modo excelsa a nobis intelligitur : in ea enim nihil est humile, et a terrenis rebus procul habitat. Scriptum namque est: « A Deo fortes terræ vehementer elevati sunt [44]. » Similiterque dogmata in ea alta divinaque et vera sunt. De Deo enim, et de sancta ac consubstantiali Trinitate sermo est subtilis et perpolitus, et sola veritate conformatus, conspicitur rursus in ea Christus, qui est pax. Faciet igitur, inquit, Dominus Sabaoth : neque solis Israelitis velut dilectis propter patres et probatis : imo omnibus gentibus, id est, in omni terra sub cœlo agentibus. At quid faciet? Bibent, inquit, in lætitia, bibent vinum, ungentur unguento in monte hoc. Per lætitiam vero videtur hilaritatem in spe, videlicet per Christum subindicare : nam cum Christo regnabimus, et lucrifacientes quæ neque cogitatione, neque oratione consequi possumus, omni animi voluptate perfruemur. Per vinum autem mysticam eulogiam et incruenti sacrificii modum significat, quod in sacris ecclesiis consuevimus adimplere. Unguentum nobis perpulchre sancti Spiritus unctionem designat. Scribit enim sapiens Joannes : « Et vos unctionem habetis a Sancto : neque opus habetis, ut quis doceat vos, at sicut unctio docet vos de omnibus [45] » Ungimur enim unguento tempore præsertim sacri baptismatis, chrisma statuentes signum ac symbolum participationis sancti Spiritus (1). Sed hæc, inquit, omnia trade gentibus. Consilium enim hoc super omnes gentes. Antiqua enim lex ejusque cultus per angelos administratus, non omnibus simpliciter gentibus dabatur, **354** sed uni et soli ex sanguine Israelitico oriundo. At gratia in Christo, et per fidem vocatio, ad hæc per Spiritum sanctificatio, hocque per consilium Dei et spiritus mysterium, in omnes gentes exstitit. Est enim Christus juxta vocem Sancti, gentium exspectatio.

[44] Psal. XLVI, 10. [45] I Joan. II, 20 27.

(1) Vide infra lib. V, p. 917, et *in Joan.* p. 633, ubi mentionem facit chrismatis κατηχήσεως et τελειώσεως.

Θεοῦ καὶ Πατρὸς ἐπὶ πάντα γέγονε τὰ ἔθνη. Χριστὸς γάρ ἐστιν ἡ τῶν ἐθνῶν προσδοκία, κατὰ τὴν τοῦ Ἁγίου φωνήν.

VERS. 8. ***Absorpsit mors potens, et rursum abstulit Deus omnem lacrymam ab omni facie. Opprobrium populi abstulit ex omni terra. Os enim Domini locutum est hæc.***

Commodissime et necessario cum mysterii traditione sermo de resurrectione mortuorum conjungitur. Idcirco etiam sacri baptismatis tempore, fidei confessionem exhibentes, etiam carnis resurrectionem futuram exspectamus, itaque credimus. Mors igitur invaluit contra primum parentem nostrum Adamum, propter transgressionem, et veluti fera sæva et dira insiliens, rapuit: inde demum lamenta luctusque, et lacryma, et planctus mortuorum, terræ incolas occuparunt. At in Christo cessarunt; tertia enim die revixit, calcata morte, factus via humanæ naturæ ad interitum propulsandum. Factus enim est primogenitus e mortuis, et primitiæ dormientium [46]; sequeturque omnino primitias, et primum id quod est posterum, nimirum nos. Versus est ergo planctus in gaudium, saccus diruptus est, Christique præcincti sumus lætitia data divinitus, ut gaudentes dicamus: « Ubi victoria tua, mors? Ubi aculeus tuus, inferne? Aculeus, inquit, mortis est peccatum [47]. » Omnis itaque lacryma sublata est. Nam credentes quod mortuos prorsus penitusque Christus excitet, non illos lacrimis prosequimur, nec in tristitiam immoderatam delabimur, sicuti reliqui qui spem non habent. Probrum vero populi, ipsam mortem videtur dicere: utpote per quam primum nos transgressio invasit, et peccatum, per quod interitus ingressus est, mortisque imperium terræ incolis est dominatum. Cum autem resurrectionis mysterium multis non probaretur, sed propter ejus magnificentiam incredibile videretur, necessario adjungit beatus propheta: Os Domini locutum est. Quis vero audet dicere Deum mentiri, nec prorsus penitusque quod annuntiatum est, 355 vere perficere? « Cœlum enim, inquit, et terra præteribunt, sermones autem mei non præteribunt [48]. »

VERS. 9. ***Et dicent in die illa: Ecce Deus noster in quo sperabamus et exsultabamus, et servabit nos. Iste Dominus; exspectavimus illum, et exsultabimus, et lætabimur in salute nostra, quia requiem dabit Deus super montem hunc.***

Cognoscetis, inquit, eum qui lætitiam propinat, et vinum præterea, et qui unguento eos qui in Sion sub intelligentiam cadente sunt, inungit: cognoscetisque vere Deum esse, et ex Deo natura Filium, etiamsi in forma servi appareat omnium salutis et vitæ causa homo factus, et per omnia terrenis hominibus, extra solum peccatum similis. Etenim,

A *Κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. Τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.*

Ἐπὶ καιροῦ σφόδρα. Καὶ ἀναγκαίως τῇ τοῦ μυστηρίου παραδόσει, καὶ ὁ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν συνεισκεκόμισται λόγος. Ταύτῃ τοι καὶ ἐν καιρῷ τοῦ ἁγίου βαπτίσματος τῆς πίστεως ποιούμενοι τὴν ὁμολογίαν, καὶ τῆς σαρκὸς τὴν ἀνάστασιν προσδοκῶμεν ἔσεσθαι, καὶ οὕτω πιστεύομεν. Ὁ τοίνυν θάνατος κατίσχυσε μὲν τοῦ προπάτορος ἡμῶν Ἀδὰμ διὰ τὴν παράβασιν, καὶ ὥσπερ τι θηρίον ὠμόν τε καὶ ἀπηνὲς ἐπιπηδῆσαν ἥρπασε. Θρῆνοί τε λοιπὸν ἐντεῦθεν, καὶ οἰμωγαὶ, καὶ δάκρυον, καὶ τὸ ἐπὶ τοῖς τεθνεῶσι πένθος, κεκρατήκασι τῶν ἐπὶ τῆς γῆς. Πέ-
B **παυταί γε μὴν ἐν Χριστῷ. Τριήμερος γὰρ ἀνεβίω πατήσας τὸν θάνατον, καὶ ὁδὸς γεγονὼς τῇ ἀνθρωπίνῃ φύσει πρὸς τὸ διακρούσασθαι δεῖν τὴν φθοράν. Γέγονε γὰρ πρωτότοκος τῶν νεκρῶν, καὶ ἀπαρχὴ τῶν κεκοιμημένων. Ἕψεται δὲ πάντως τῇ ἀπαρχῇ, καὶ πρώτῳ τὸ μετ' αὐτὴν, τοῦτ' ἔστιν, ἡμεῖς. Ἐστράφη τοίνυν τὸ πάθος εἰς χαρὰν, καὶ διεῤῥάγη μὲν ὁ σάκκος· περιεζώσμεθα δὲ τὴν θεόσδοτον εὐφροσύνην, ὡς χαίροντας λέγειν· « Ποῦ ἡ νίκη σου, θάνατε; Ποῦ τὸ κέντρον σου, ᾅδη; Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, φησίν. » Οὐκοῦν ἀφῄρηται πᾶν δάκρυον· πιστεύοντες γὰρ ὅτι πάντῃ τε καὶ πάντως ἐγείρει τοὺς νεκροὺς ὁ Χριστὸς οὐ δακρυῤῥοοῦμεν ἐπ' αὐτοῖς, οὔτε μὲν εἰς ἀκράτους καταβαίνομεν λύπας, καθάπερ καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα, ὄνειδος δὲ τοῦ λαοῦ κατονομά-**
C **ζειν ἔοικεν αὐτὸν τὸν θάνατον, ὡς γένεσιν ἔχοντα τῆς καθ' ἡμῶν ἐφόδου τὴν παράβασιν. Ἤγουν τάχα που τὴν ἁμαρτίαν δι' ἣν εἰσβέβηκεν ἡ φθορὰ καὶ τὸ τοῦ θανάτου κράτος κεκυρίευκε τῶν ἐπὶ τῆς γῆς. Ἐπειδὴ δὲ τὸ τῆς ἀναστάσεως μυστήριον οὐκ εὐπαράδεκτόν ἐστι τοῖς πολλοῖς, ἀπιστεῖσθαι δὲ ἦν εἰκὸς διά τοι τὴν ἐν αὐτῷ μεγαλουργησίαν προσεπήνεγκεν ὁ μακάριος προφήτης, ὅτι τὸ στόμα Κυρίου ἐλάλησεν. Εἶτα τίς ὁ φάναι τολμῶν, ὡς ψευδοεπήσει ὁ Θεὸς, καὶ οὐχὶ πάντῃ καὶ πάντως ἐκτελευτήσει πρὸς ἀλήθειαν τὸ ἐπηγγελμένον; « Οὐρανὸς γὰρ καὶ ἡ γῆ, φησὶ, παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. »**

Καὶ ἐροῦσιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ἰδοὺ ὁ Θεὸς ἡμῶν ἐφ' ᾧ ἠλπίζομεν, καὶ ἠγαλλιώμεθα, καὶ σώσει ἡμᾶς. Οὗτος Κύριος, ὑπεμείναμεν αὐτῷ,
D ***καὶ ἀγαλλιασόμεθα· καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν, ὅτι ἀνάπαυσιν δώσει ὁ Θεὸς ἐπὶ τὸ ὄρος τοῦτο.***

Ἐπιγνώσεσθε, φησὶ, τὸν ποτίζοντα μὲν εὐφροσύνην, καὶ πρός γε τούτῳ καὶ οἶνον, καταχρίοντα δὲ καὶ μύρῳ τοὺς ἐν τῇ νοητῇ Σιών· ἐπιγνώσεσθε δὲ ὅτι Θεὸς κατὰ ἀλήθειάν ἐστι, καὶ ἐκ Θεοῦ τοῦ κατὰ φύσιν Υἱὸς, καὶ εἰ ἐν τοῦ δούλου φαίνοιτο μορφῇ, τῆς ἁπάντων γέγονε σωτηρίας καὶ ζωῆς ἄνθρωπος γεγονὼς, καὶ ὁμοιωθεὶς κατὰ πάντα τοῖς ἐπὶ τῆς γῆς,

[46] Coloss. I, 18; I Cor. XV, 20. [47] I Cor. XV, 55, 56. [48] Matth. XXIV, 35.

δίχα μόνης ἁμαρτίας. Μονονουχὶ γὰρ καὶ χεῖρα, φησὶ, προτείνοντες ἐροῦσιν· Ἰδοὺ ὁ Θεὸς ἡμῶν ἐφ' ᾧ ἠλπίζομεν καὶ ἠγαλλιώμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν. Οἶμαι δὲ ἔγωγε τοῦτόν γε μάλιστα τὸν λόγον ἀνῆφθαι πρέπειν τοῖς ἐξ Ἰσραὴλ οἳ καὶ ταῖς Μωσαϊκαῖς ἐντεθραμμένοι φωναῖς καὶ τὰς τῶν ἁγίων προφητῶν προαγορεύσεις, οὐκ ἠγνοηκότες προσεδόκουν ἀφίξεσθαι κατὰ καιρὸν Σωτῆρα, καὶ Λυτρωτὴν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ γοῦν ὡς ἤδη προεῖπον, Ζαχαρίας μὲν ὁ Ἰωάννου πατὴρ προφητεύων ἐν πνεύματι λελάληκε περὶ τοῦ Χριστοῦ, ὅτι «Κέρας ἐγήγερται τῷ λαῷ σωτηρίας.» Καὶ Συμεὼν ὁμοίως εἰς χεῖρας ἑλὼν τὸ ἅγιον Βρέφος· «Εἶδον, φησὶν, οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν.» Ἐπιγνόντες τοίνυν τὸν πάλαι προηγγελμένον, τὴν ἁπάντων ἐλπίδα τὸν Σωτῆρα καὶ Λυτρωτὴν ἐροῦσι, φησίν· Ἰδοὺ ὁ Θεὸς ἡμῶν. Προσομολογήσουσι δὲ ὅτι ἀνάπαυσιν δώσει ὁ Θεὸς ἐπὶ τὸ ὄρος τοῦτο. Καί μοι πάλιν ὄρος οἴου λέγεσθαι τὴν Ἐκκλησίαν, δέδοται γὰρ ἡ ἀνάπαυσις ἐν αὐτῇ. Ἀκηκόαμεν γὰρ Χριστοῦ λέγοντος· «Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.» Ἀπεφορτισάμεθα γὰρ διὰ τῆς εἰς αὐτὸν πίστεως τὴν δυσαχθῆ καὶ δυσφόρητον ἁμαρτίαν. Ἀνεπαυσάμεθα δὲ καὶ καθ' ἕτερον τρόπον δειμάτων ἀπηλλαγμένοι τῶν ἐπί γέ φημι τὸ χρῆναι κολάζεσθαι· καὶ τὰς ἐπὶ τοῖς πλημμελήμασιν ἀποτίσαι δίκας. Καὶ οὐ μέχρι τούτων ἡ εἰς ἡμᾶς τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ γέγονε χάρις· προστέθειται δὲ καὶ τὰ ἐν ἐλπίσιν ἀγαθὰ, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἡ κτῆσις μακρὰ καὶ ἀκήρατος ζωὴ, καὶ παντὸς τοῦ καταλυπεῖν εἰωθότος ἡ ἀπόστασις. Γέγραπται γὰρ περὶ τῶν ἁγίων ὅτι «Εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν.»

Καὶ καταπατηθήσεται ἡ Μωαβῖτις, ὃν τρόπον πατοῦσιν ἅλωνα ἐν ἁμάξαις, καὶ ἐν ἀμήτῳ. Καὶ ἀνήσει τὰς χεῖρας αὐτοῦ, ὃν τρόπον καὶ αὐτὸς ἐταπείνωσε τοῦ ἀπολέσαι. Καὶ ταπεινώσει τὴν ὕβριν, ἐφ' ἃ τὰς χεῖρας ἐπέβαλε. Καὶ τὸ ὕψος τῆς καταφυγῆς τοῦ τοίχου σου ταπεινώσει, καὶ μεταβήσεται ἕως τοῦ ἐδάφους.

Βαθὺς ἀεί πώς ἐστι τῶν ἁγίων προφητῶν ὁ λόγος, καὶ τὴν εἴσω τε καὶ κεκρυμμένην διέρπει τρίβον. Χρὴ δὴ οὖν ἄρα μὴ τὸ ἐξωφανὲς τοῦ γράμματος πάντη τε καὶ πάντως ἀληθὲς εἶναι νομίζειν, κατασκέπτεσθαι δὲ μᾶλλον τὸν οἱονεί πως ἐγκεχωσμένον τῷ γράμματι νοῦν. Μωαβῖται τοίνυν ὅμοροι μὲν ἦσαν τοῖς Ἰουδαίοις, ἀτοπώτατα δὲ διετέθησαν πρὸς ἀπάτην, καὶ πρός γε τὸ χρῆναι ταῖς τῶν εἰδώλων προσκεῖσθαι λατρείαις. Ὅτι τοίνυν ἔμελλεν ἐπιλάμψαντος τοῦ Χριστοῦ, καὶ κεκλημένων τῶν ἐθνῶν εἰς τὸ σεπτὸν καὶ θεῖον αὐτοῦ μυστήριον, ἡγιασμένων τε διὰ τῆς πίστεως, ἡ βδελυρὰ καὶ ἀκάθαρτος εἰδωλολατρία πάντη τε καὶ πάντως ἐκ μέσου γενήσεσθαι τοῖς τῶν πιστευόντων ποσὶν ὑπενηνεγμένου τοῦ Σατανᾶ· δέδωκε γὰρ ἡμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ διδάσκει λέγων, πατηθήσεσθαι τὴν Μωαβῖτιν, ὃν τρόπον πατοῦσιν ἅλωνα ἐν ἁμάξαις.

A inquit, modo non protensa manu dicent : Ecce Deus noster in quo speravimus, et exsultavimus in salute nostra. Hunc sermonem maxime convenire Israelitis arbitror, qui tum verbis Mosaicis innutriti, tum sanctorum prophetarum prædictiones non ignorantes, Dominum nostrum Jesum Christum Servatorem et Redemptorem suo tempore adventurum exspectarunt. Quippe, ut jam ante dixi, Zacharias Joannis pater, prophetans in spiritu, de Christo dixit, Cornu salutis populo excitatum fuisse [49]. Simeon item sancto Infante in manus accepto, inquit : « Viderunt oculi mei salutare tuum, quod parasti ante faciem omnium populorum [50]. » Cum igitur agnoverint eum, qui omnium spes est Servator ac B Redemptor, prænuntiatum, dicent, inquit : Ecce Deus noster; confitebuntur etiam, quod requiem dabit Deus super monte hoc. Rursus mihi cogita montem dici Ecclesiam, in ea enim data est requies. Audivimus siquidem Christum dicentem : « Venite ad me, omnes qui laboratis et onerati estis, et ego refocillabo vos [51]. » Etenim per fidem in illum, molestum et grave onus peccati excussimus. Requievimus etiam alio modo, liberati terroribus supplicii quod subire oportuit, ac pœnæ delictorum solvendæ. Nec usque eo solum Christi omnium nostrum Servatoris gratia in nos exstitit, sed insuper bona in spe, regnique cœlorum possessio, diuturna et æterna **356** vita, omnisque mali quod tristitia solet afficere, solutio adjiciuntur. Nam de sanctis C scriptum est : « Lætitia sempiterna super caput eorum [52]. »

VERS. 10-12. *Et conculcabitur Moabitis, quemadmodum calcant aream plaustris, et remittet manus suas, quemadmodum et ipse humiliavit ut perderet. Et deprimet superbiam ejus, in quæ manus injecit. Et altitudinem refugii muri tui humiliabit, et descendet usque ad pavimentum.*

Profundus semper est sanctorum prophetarum sermo, et penitissimis occultisque viis serpit. Itaque externam litteræ superficiem omnino omnibusque modis veram esse, putandum non est, sed D intelligentia litteræ veluti aggregata adjunctaque magis est consideranda. Moabitæ igitur Judæis erant contermini, sed in errorem monstrosum in modum proclives, idolorumque cultibus dediti. Quoniam ergo illucescente Christo, gentibusque ad augustum divinumque ejus mysterium vocatis, ac per fidem sanctificatis, exsecranda et impura idololatria prorsus penitusque e medio esset exterminanda, fidelium pedibus subjecto Satana. Dederat enim nobis potestatem conculcandi serpentes et scorpiones, et omnem potentiam hostis : docet dicitque Moabitidem conculcandam, quemadmodum calcant aream curribus. Illumque hisce verbis vel totum Moabiticum

[49] Luc. I, 69. [50] Luc. II, 30, 31. [51] Matth. XI, 28. [52] Isa. XXXV, 10.

cultum demonstrare dicimus : vel ex una regione idolorum cultrice, totum exemplum sumere, sermone, ut dixi, ad universam idololatriam extenso. Conculcabitur igitur, ait, veluti triturantium pedibus subjecta. Remittetque manus suas, quemadmodum et ipsa humiliavit ut perderet. Quis remittet manus? Idololatriæ inventor, qui errore implicat, quique hominem a Deo segregat, nempe Satanas. Remittet enim manus suas, id est, dissolventur omnes ejus vires, et vis ac energia practica. Figurate etenim pro energia et actione manus sumuntur. Quemadmodum namque ille in terra degentes humiliavit, ut cunctos perderet : pari modo, Christus ejus deprimet superbiam, id est, intolerandam insolentiam, qua in omnes utebatur : tantum non manum injiciens, et tyrannice suo sceptro eos, qui a Deo propter opera **357** bona remunerati sunt, submittens. Transit deinde sermo propheticus velut ad ipsam Moabitidem, sive ad profanam idololatriam, et inquit : Altitudinem refugii muri tui dejiciet. Altitudinem refugii muri dejectam, ipsum esse dicimus idololatriæ ac erroris antistitem, qui eam veluti muro cingit, coercetque ut consistat. Cæterum, inquit, cadet. Illum siquidem Christus demolietur, et ad solum usque, id est, in totum diruet. Videmus namque ex rebus ipsis, quod prænuntiatum est ad exitum pervenisse. Ceciderunt namque fana, et omnia quæ in templis erant, e medio sublata, nec sunt aræ amplius, non sacrificia, non incantamenta, non hi qui erroris ludibria exercebant. Omnia vero per Christum cessarunt, exortaque est hominibus terram incolentibus lux veritatis, invaluitque sol justitiæ, corda credentium in ipsum collustrans.

Cap. XXVI. Vers. 1. *Die illo cantabunt canticum istud in terra Judæ, dicentes : Ecce civitas munita, et salus nostra ponet murum et muri propugnaculum.*

Conculcata Moabitide, id est, cultu idolorum in totum sublato, juxta mentem jam ante expositam, hi qui errore liberati sunt, et ad lucem veritatis pertigerunt, apertis intelligentiæ oculis, agnoscent, inquit, universorum opificem et Dominum Servatorem et Redemptorem, per quem omnia, et in quo omnia, qui propter nos nostraque fuit deductus. Huic odas et melos veluti lyra præcinunt, glorificantesque dicunt : Ecce civitas munita et salus nostra. Est enim vere tanquam civitas quædam probe turri defensa et prorsus indelebilis, Dominus noster Jesus Christus sive spes in illum. Accipit enim eos qui diaboli tyrannidem effugiunt, acceptosque conservat. Ideoque dicebat : « Oves meæ vocem meam audiunt, et sequuntur me ; et ego do illis vitam æternam, et nemo eas de manu mea rapiet [83]. » Urbs videlicet munita et salutaris est Servator omnium, et urbs murum habens, et propugnaculum, omnem scilicet

A Φαμὲν δὲ δηλοῦν ἐν τούτοις αὐτὸν, ἢ τὴν Μωαβῖτιν λατρείαν, ἤγουν ἐκ μιᾶς χώρας τῆς εἰδωλολατρούσης ἅπαν δέχεσθαι τὸ παράδειγμα, κατὰ πάσης, ὡς ἔφην, τῆς εἰδωλολατρίας ἐκτεινομένου τοῦ λόγου. Οὐκοῦν καταπατηθήσεται, φησὶ, καθάπερ ποσὶν ἀλοώντων ὑποκειμένη. Ἀνήσει δὲ καὶ τὰς χεῖρας αὐτοῦ, ὃν τρόπον καὶ αὐτὸς ἐταπείνωσε τοῦ ἀπολέσαι. Τίς ἀνήσει τὰς χεῖρας; Ὁ τῆς εἰδωλολατρίας εὑρετὴς, ὁ συνέχων τὴν ἀπάτην, καὶ ἀποβουκολήσας Θεοῦ τὸν ἄνθρωπον, τοῦτ' ἔστιν, ὁ Σατανᾶς. Ἀνήσει γὰρ τὰς χεῖρας αὐτοῦ, τοῦτ' ἔστιν, ἐκλυθήσεται πᾶσα ἡ δύναμις αὐτοῦ, καὶ ἐνέργεια πρακτική· ἐνεργείας γὰρ εἰς τύπον αἱ χεῖρες λαμβάνονται. Ὥσπερ γὰρ αὐτὸς ἐταπείνωσε τοὺς ἐπὶ τῆς γῆς, ὥστε καὶ ἀπολέσαι σύμπαντας, κατὰ τὸν αὐτὸν τουτονὶ τρόπον ταπεινώσει B Χριστὸς τὴν ὕβριν αὐτοῦ, τοῦτ' ἔστι, τὴν ἀφόρητον πλεονεξίαν ᾗ κατὰ πάντων ἐχρήσατο, μονονουχὶ τὰς χεῖρας ἐπάγων, καὶ σκήπτροις ἰδίοις ὑποφέρων ἐκ πλεονεξίας τοὺς ἐπ' ἔργοις ἀγαθοῖς ἐκτισμένους παρὰ Θεοῦ. Εἶτα μέτεισιν ὁ λόγος τῷ προφήτῃ πάλιν. Ὡς πρὸς αὐτὴν τὴν Μωαβῖτιν, ἤτοι τὴν βέβηλον εἰδωλολατρίαν, καί φησιν· ὅτι Τὸ ὕψος τῆς καταφυγῆς τοῖχον τὸ ταπεινούμενον αὐτὸν εἶναί φαμεν τὸν τῆς εἰδωλολατρίας καὶ τῆς ἀπάτης προεστηκότα, καὶ οἷον ἀνατειχίζοντα αὐτὴν, καὶ συνέχοντα πρὸς τὸ συνεστάναι. Ἀλλὰ πεσεῖται, φησί. Καταβαλεῖ γὰρ αὐτὸ Χριστὸς, καὶ καταβιβάσει μέχρις ἐδάφους, τοῦτ' ἔστιν, εἰς τὸ παντελὲς, καὶ ὁρῶμεν διὰ πραγμάτων εἰς πέρας ἐκβεβηκὸς τὸ προηγγελμένον. Πεπτώκασι γὰρ τεμένη, C καὶ τὰ ἐν σηκοῖς ἅπαντα γέγονεν ἐκποδών. Βωμοὶ δὲ οὐκέτι καὶ θυσίαι, καὶ γοητεῖαι, καὶ οἱ τὰ τῆς ἀπάτης ἐπιτηδεύοντες παίγνια. Πέπαυται δὲ πάντα διὰ Χριστὸν, καὶ ἀνατέταλκε τοῖς ἐπὶ τῆς γῆς τῆς ἀληθείας τὸ φῶς καὶ ὁ τῆς δικαιοσύνης ἀνισχόμενος ἥλιος τὰς τῶν πιστευόντων εἰς αὐτὸν καταφαιδρύνων καρδίας.

Τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ γῆς τῆς Ἰουδαίας λέγοντες· Ἰδοὺ πόλις ὀχυρὰ, καὶ σωτήριον ἡμῶν θήσει τεῖχος καὶ περίτειχος.

Καταπατηθείσης γὰρ τῆς Μωαβίτιδος, τοῦτ' ἔστιν, ἀνῃρημένης εἰς ἅπαν τῆς τῶν εἰδώλων λατρείας, κατά γε τὸν ἤδη προαποδοθέντα νοῦν οἱ τῆς ἀπάτης ἀπηλλαγμένοι, καὶ πρὸς τὸ τῆς ἀληθείας διελάσαντες φῶς, τὸν τῆς διανοίας ἀνευρύνοντες ὀφθαλμὸν ἐπιγνώ- D σονται μὲν, φησὶ, τὸν τῶν ὅλων δημιουργὸν καὶ Κύριον Σωτῆρα καὶ Λυτρωτὴν, τὸν δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, τὸν δι' ἡμᾶς καθιγμένον ἐν τοῖς καθ' ἡμᾶς. Ὠδὴν δὲ αὐτὴν καὶ μέλος καθάπερ ἐκ λύρας ἀνακρουόμενοι δοξολογοῦντες ἐροῦσιν· Ἰδοὺ πόλις ὀχυρὰ, καὶ σωτήριον ἡμῶν. Καὶ γάρ ἐστιν ἀληθῶς οἷά τις πόλις εὐπυργοτάτη καὶ ἀνάλωτος παντελῶς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἤγουν ἡ εἰς αὐτὸν ἐλπίς. Δέχεται γὰρ τοὺς φεύγοντας τὴν τοῦ διαβόλου πλεονεξίαν, καὶ ἀνασώζει λαβών. Ταύτῃ τοι καὶ ἔφασκεν, ὅτι « Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι, καὶ ἀκολουθοῦσί μοι· κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον, καὶ οὐ μὴ ἁρπάσει τις ἐκ

[83] Joan. x, 26, 27.

τῆς χειρός μου αὐτά.» Πόλις τοιγαροῦν ὀχυρὰ, καὶ A σωτήριος, ὁ πάντων Σωτὴρ, πόλις δὲ ἔχουσα τεῖχος καὶ περιέχουσα τεῖχος, τοῦτ' ἔστι, πᾶσαν ἀσφάλειαν. Αἱ γάρ τοι τῶν πόλεων εὖ μάλα τετειχισμέναι, καὶ οὐχ ἁπλῆν ἔχουσι τὴν περιβολὴν, ὠχύρωνται δὲ πρὸς τῷ μεγάλῳ τείχει, καὶ ἑτέρῳ προτειχίσματι. Εἰκὸς δὲ δὴ πάλιν τοὺς τὴν ᾠδὴν ἀναφέροντας περὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐκκλησίας εἰπεῖν, τὸ, Ἰδοὺ πόλις ὀχυρὰ καὶ σωτήριον ἡμῶν. Πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· διέζωσται γὰρ καθάπερ τείχει τινὶ διπλῷ ταῖς τε παρὰ τῶν ἁγίων ἀγγέλων ἐπικουρίαις· καὶ μέν τοι τῇ ἄνωθεν καὶ παρὰ Θεοῦ ὅς ἐστι περίτειχος. Καὶ γὰρ αὐτῶν ἐστιν ἡ ἰσχὺς τῶν ἁγίων πνευμάτων, ἐπείπερ ἐστὶν αὐτός τε καὶ μόνος ὁ τῶν ὅλων δυνάμεων Κύριος. Ἰστέον δὲ ὅτι παρὰ τοῖς ἱεροῖς Γράμμασι Ἰούδας ἔσθ' ὅτε κατωνόμασται Χριστὸς, ὡς ἐκ B φυλῆς γεγονὼς τῆς Ἰούδα, κατά γε τὴν Ἰακὼβ φωνὴν λέγοντος· «Ἰούδα, σὲ αἰνέσουσιν οἱ ἀδελφοί σου.» Ἐπὶ γῆς οὖν Ἰούδα τὸ μελῳδούμενον. Χριστοῦ γὰρ πόλις ἡ Ἐκκλησία.

Ἀνοίξατε πύλας, εἰσελθέτω λαὸς φυλάσσων δικαιοσύνην, καὶ φυλάσσων ἀλήθειαν, ἀντιλαμβανόμενος ἀληθείας, καὶ φυλάσσων εἰρήνην· ὅτι ἐπὶ σοὶ ἠλπίσαμεν, Κύριε, ἕως τοῦ αἰῶνος.

Ὡς ἐπεγνωκότων ἤδη τῶν ἀνὰ πᾶσαν τὴν γῆν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διωμολογηκότων τε, ὅτι πόλις ἔσται ὀχυρὰ καὶ σωτήριος, τεῖχος ἔχουσα καὶ περίτειχος, λοιπὸν ἀναγκαίως τοῖς ἁγίοις μυσταγωγοῖς, ἀποστόλοις τέ φημι καὶ εὐαγγελισταῖς διακελεύεται, λέγον τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς τοῦ προφήτου φωνῆς· Ἀνοίξατε πύλας· τοῦτ' ἔστιν, C ἀνευρύνατε τοῖς ἐθέλουσι τὴν διὰ πίστεως εἰσβολὴν, τὴν διὰ τῆς ἀμωμήτου μυσταγωγίας δρομὴν, καὶ εἰσίτω λαὸς φυλάσσων δικαιοσύνην, καὶ φυλάσσων ἀλήθειαν. Τὸ γὰρ θεῖον καὶ εὐαγγελικὸν, καὶ σωτήριον κήρυγμα διδάσκει μὲν τοὺς πιστεύοντας τὴν ὑπὲρ νόμον δικαιοσύνην, βεβαίους δὲ εἶναι πρὸς ἀληθείας τήρησιν. Οὐ γὰρ ἔτι τὴν ἐν τύποις καὶ σκιαῖς εἰσφέρει λατρείαν, καθάπερ ἀμέλει καὶ ὁ παλαιὸς νόμος, ἀλλὰ τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ καὶ τοῦτό ἐστιν ἡ ἀλήθεια. Ἐπιλαμβάνεται δὲ ἀληθείας. Ἐφεῖται γὰρ, ὡς ἔφην, οὐ τῶν ἐν σκιαῖς, ἀλλὰ τῶν διὰ Χριστοῦ ὅς ἐστιν ἡ ἀλήθεια. Φυλάττονται δὲ καὶ εἰρήνην. Πῶς ἢ τίνα τρόπον; Εἰσδεχθεὶς γὰρ ὅλως παρὰ Χριστοῦ, καὶ τὴν ἀρχαίαν ἐκείνην καταλύσαι D ἔχθραν· διεστήκει γὰρ αὐτοῦ πλανώμενος· ἀκλόνητος ἔσται προσκυνητής. Καὶ τοῦτο πληροῦν ἡμᾶς ὁ μακάριος Παῦλος ἀναπείθει γράφων· «Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.» Ἐμαχόμεθα γὰρ τῷ Θεῷ τῇ κτίσει λατρεύοντες καὶ τοῖς τῆς σαρκὸς πάθεσιν ἐνεχόμενοι. Φίλοι δὲ καὶ εἰρηνικοὶ χρηματίζομεν αὐτῷ καὶ μόνῳ λέγοντες· Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν. Τὸ ὄνομά σου ὀνομάζομεν, καὶ πρός γε τούτῳ τῆς ἐξαιρέτου ζωῆς καὶ εὐαγγελικῆς πολιτείας οἷά τινα στέφανον ἀναδησάμενοι, τὰ αὐχήματα περὶ τῶν τοιούτων εἰκότως ἂν λέγοιτο διὰ τῆς τῶν ἁγίων

incolumitatem. Nam urbes optime cinctæ muris, non simplicem habent munitionem, et præter magnum murum etiam altero circummurali munimento obvallantur. **358** Estque præterea consentaneum veritati illos qui hanc odam decantant, de Ecclesia Servatoris nostri dicere illud: Ecce urbs munita et salutaris. Portæ enim inferorum contra eam non invalescent, juxta vocem Servatoris [54]. Est enim veluti quodam gemino muro circumcincta, cum sanctorum angelorum præsidio, tum superno et Dei, qui est propugnaculum. Est enim et ipsorum sanctorum spirituum robur: quippe qui solus est cunctarum potentiarum Dominus. Sciendum est etiam, in sacris Litteris Judam aliquando vocari Christum, veluti natum ex tribu Juda, juxta vocem Jacob, dicentis: «Juda, te laudabunt fratres tui [55].» In terra igitur Juda, meles cantatum est. Christi enim civitas est Ecclesia.

VERS. 2-4. *Aperite portas; ingrediatur populus custodiens justitiam, et custodiens veritatem, apprehendens veritatem, et custodiens pacem; quia in te speravimus, Domine, usque ad perpetuum.*

Cum agnoverint jam per universam terram Dominum nostrum Jesum Christum, eumque confessi fuerint urbem esse munitam et salutiferam, murum habentem et propugnaculum: deinceps peropportune sanctis mystagogis, apostolis, inquam, et evangelistis præcipit Spiritus sanctus voce prophetæ, dicens: Aperite portas, id est, patefacite aditum per fidem his qui volunt, et per inculpatam mysteriorum institutionem, ingressum, et ingrediatur populus custodiens justitiam et custodiens veritatem. Nam divina, et evangelica, et salvifica prædicatio docet credentes justitiam supra legem ut constanter veritatem retineant. Nec enim jam typicum aut umbratilem, sicut certe antiqua lex, sed spiritualem et verum cultum inducit: et hæc est veritas. Apprehendens veritatem. Nimirum appetit, ut dixi, non ea quæ in umbris sita sunt, sed quæ sunt per Christum, qui est veritas. Custodiens pacem. Qui aut quomodo? Nam omnino susceptus a Christo, et vetere illa inimicitia dirempta (errans enim ab illo dissidebat), immotus erit firmusque cultor. Hoc implere illum beatus Paulus nobis fidem facit, scribens: «Justificati igitur ex fide, pacem habemus apud Deum, per Dominum nostrum Jesum Christum [56].» Repugnabamus enim Deo, **359** dum creaturæ serviremus, carnisque perturbationibus teneremur. Amici vero et pacati vocamur, ei soli dicentes: Domine, extra te alium non scimus, nomen tuum nominamus. Præterea vitæ præstantis, et evangelicæ conversationis ornamento, velut corona quadam, redimiti sunt. De quibus merito dici possit illud jactatum, hac voce sanctorum ad Deum: In te, Domine, spe-

[54] Matth. XVI, 18. [55] Gen. XLIX, 8. [56] Rom. V, 1.

ravimus usque in sæculum. Non enim unquam A sperare in Deum desistent, sed potius de eo jugiter gloriabuntur.

φωνῆς πρὸς Θεὸν, ὅτι Ἐπὶ σοὶ ἠλπίσαμεν, Κύριε, ἕως τοῦ αἰῶνος. Οὐ γὰρ καταλήξουσι τῆς εἰς Θεὸν ἐλπίδος, διηνεκῶς δὲ μᾶλλον ἐπ' αὐτῷ καυχήσονται.

VERS. 5, 6. *Deus magne, æterne, qui humilians detraxisti habitantes in excelsis; urbes munitas destrues, et sternes ad terram usque. Et proculcabunt eos pedes mansuetorum, et humilium vestigia.*

Ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, ὃς ταπεινώσας κατήγαγες τοὺς ἐνοικοῦντας ἐν ὑψηλοῖς· πόλεις ὀχυρὰς καταβαλεῖς, καὶ κατάξεις αὐτὰς ἕως ἐδάφους. Καὶ πατήσουσιν αὐτὰς πόδες πρᾳέων, καὶ ταπεινῶν ἴχνη.

De rebus valde admirabilibus solent sancti prophetæ gratias Deo omnium dominatori referre, et tanquam exsilire gaudio. Cujus ingenuitatis summæ argumentum evidens hoc esse poterit. Etenim impendio gaudent, videntes Dei gloriam amplificatam, et qui ei invident, impuros, inquam, dæmonas e medio sublatos, ad hæc Satanam quoque, B quos munitis urbibus comparat, et in excelsis habitare contendit. Alta enim sapiunt, et tument, ita ut contra manum Dei se efferant, putentque immaniter resistendo, se nihil passuros damni, sed regnum ubique in terræ incolas obtenturos. Verum tu, inquit, et solus Deus magnus es et æternus, idque adeo ex rebus ipsis demonstrasti; humiliando enim, eos qui in excelsis erant deduxisti, id est, superborum robur conquassasti, elatos licet et arrogantes ad terram depressisti, et quasi urbes munitas excidisti funditus. Hoc enim est, usque ad terram. Dedistique eos conculcando, pedibus mansuetorum et humilium. Qui autem sunt isti? annon oraculorum Servatoris custodes, qui Dominum suum imitari student, acclamantem et dicentem: C « Venite ad me, omnes qui laboratis et onerati estis, et ego refocillabo vos. Tollite jugum meum super vos, et discite a me, quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris [57]. » Rursus memores sumus ejus qui dixit: « Ecce dedi vobis potestatem **360** calcandi super serpentes et scorpiones, et super omnem inimici potentiam [58]. » Calcatus est enim draco apostata, et super aspidem et basiliscum incedimus, qui in auxilio Altissimi habitare volumus, esseque sub umbraculo Dei cœlestis, Christi videlicet; nam in cœlo adoratur. « Quando enim, inquit, primogenitum inducit in orbem terrarum, ait: Et adorent eum omnes angeli Dei [59]. »

Ἐπὶ πράγμασι τοῖς ἄγαν τεθαυμασμένοις, ἀνακομίζειν ἔθος τοῖς ἁγίοις προφήταις τὰ χαριστήρια τῷ πάντων κρατοῦντι Θεῷ, καὶ οἷον ἀνασκιρτᾷν ἐκ περιχαρείας. Γνησιότητος δὲ τῆς εἰς ἄκρον ἐπίδειξις ἐναργὴς γένοιτ' ἂν τὸ χρῆμα αὐτοῖς. Χαίρουσι γὰρ λίαν κατευρυνομένην ὁρῶντες τὴν τοῦ Θεοῦ δόξαν καὶ τοὺς ταύτῃ βασκαίνοντας ἐκ μέσου γεγενημένους· φημὶ δὴ τοὺς ἀκαθάρτους δαίμονας, καὶ πρός γε τούτοις τὸν Σατανᾶν· οὓς καὶ πόλεσιν ὀχυραῖς παρεικάζει, καὶ κατοικεῖν ἐν ὑψηλοῖς διεβεβαιώσατο. Φρόνημα γὰρ ἐν αὐτοῖς ὑψηλόν πως ἀεὶ καὶ ὑπέρογκον, ὥστε καὶ αὐτῆς τῆς τοῦ Θεοῦ κατεπαίρεσθαι χειρὸς, οἴεσθαί τε προσκεκρουκότας ἀγρίως, ἀδικηθήσεσθαι μὲν οὐδὲν, βασιλεύειν δὲ διὰ παντὸς τῶν ἐπὶ τῆς γῆς. Ἀλλὰ σὺ, φησὶ, καὶ μόνος Θεὸς ὁ μέγας αἰώνιος· καὶ ἐξ αὐτῶν τοῦτο δέδειχας τῶν πραγμάτων· ταπεινώσας γὰρ κατήγαγες τοὺς ἐνοικοῦντας ἐν ὑψηλοῖς. Τοῦτ' ἔστι, κατέσεισας τὴν τῶν ὑπερηφάνων ἰσχὺν, ὑψηλοὺς ὄντας, καὶ ἀλαζόνας κατεκόμισας εἰς γῆν, καὶ ὡς πόλεις ὄντας ὀχυρὰς ἐκ βάθρων καθεῖλες. Τοῦτο γὰρ τὸ ἕως ἐδάφους. Δέδωκάς τε αὐτοὺς εἰς καταπάτημα τοῖς ποσὶ τῶν πρᾳέων, καὶ ταπεινῶν. Τίνες δὲ οὗτοι πάλιν; ἢ οἱ τῶν τοῦ Σωτῆρος θεσπισμάτων γνήσιοι φύλακες; οἱ τὸν ἑαυτῶν δεσπότην ἀπομιμεῖσθαι σπουδάζοντες ἐπιφωνῶντα καὶ λέγοντα· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. » Μεμνήμεθα δὲ πάλιν εἰπόντος αὐτοῦ· « Ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Πεπάτηται γὰρ ὁ δράκων ὁ ἀποστάτης· καὶ ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπέβημεν, οἱ κατοικεῖν ἐθέλοντες ἐν βοηθείᾳ τοῦ Ὑψίστου, καὶ ὑπὸ τὴν σκέπην γεγονότες τοῦ Θεοῦ τοῦ οὐρανοῦ, δῆλον δὲ ὅτι Χριστοῦ, προσκυνεῖται γὰρ ἐν οὐρανῷ· « Ὅταν γὰρ, φησὶν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. »

VERS. 7, 8. *Via piorum recta facta est, et præparata via piorum. Via enim Domini judicium. Speravimus in nomine tuo, et in memoria quam desideravit anima nostra.* D

Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν. Ἡ γὰρ ὁδὸς Κυρίου κρίσις. Ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐπὶ τῇ μνείᾳ ᾗ ἐπεθύμει ἡ ψυχὴ ἡμῶν.

Beatus propheta Jeremias evangelicæ conversationis et justitiæ in Christo meminit, dicens veritatis amatoribus: « State in viis, et interrogate semitas Domini æternas, et videte quæ sit via bona, et incedite in ea, et invenietis purificationem animabus vestris [60]. » Semitæ enim et viæ

Ὁ μακάριος προφήτης Ἱερεμίας, τῆς εὐαγγελικῆς πολιτείας, καὶ τῆς ἐν Χριστῷ δικαιοσύνης διαμέμνηται, λέγων τοῖς ἀληθείας ἐρασταῖς· « Στῆτε ἐπὶ ταῖς ὁδοῖς, καὶ ἐρωτήσατε τρίβους Κυρίου αἰωνίους, καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ, καὶ βαδίσατε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν. » Τρί-

[57] Matth. XI, 28, 29. [58] Luc. X, 19. [59] Hebr. I, 6. [60] Jerem. VI, 16.

δοι μὲν γὰρ καὶ ὁδοὶ Κυρίου τῶν ἁγίων προφητῶν οἱ λόγοι, καὶ τῆς διὰ Μωσέως ἐντολῆς, ἡ ὡς ἐν σκιᾷ καὶ τύποις προαγόρευσις μυστηρίου τοῦ κατὰ Χριστόν. Ταυτασὶ τοιγαροῦν τὰς τρίβους διερευνώμενοι μανθάνομεν τὴν ὁδὸν τὴν ἀγαθὴν, τοῦτ' ἔστι, τὴν ἐν Χριστῷ πολιτείαν· βαδίσαντες ἐν αὐτῇ ταῖς ἑαυτῶν ψυχαῖς, τὸν ἀληθῆ καὶ διὰ πνεύματος ἁγνισμὸν εὑρήσομεν. Εὐθεῖαν τοίνυν φησὶ γενέσθαι τῶν εὐσεβῶν τὴν ὁδὸν, πῶς γὰρ οὐχ εὐθεῖα καὶ ἄτραχυς, καὶ οὐδὲν ἔχουσα παντελῶς ἄναντες, ὅτε τὸ ῥῆμα τῆς πίστεως λέγοντες δικαιούμεθα, καὶ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος καταπλουτοῦμεν κάθαρσιν. Εὐθεῖα δὲ καὶ ἑτέρως ἡ τῶν εὐσεβούντων ὁδός. Ἀνῃρημένων γὰρ τῶν ἐχθρῶν, καὶ καθῃρημένης τῆς τοῦ διαβόλου πλεονεξίας καὶ πάσης δυσχερείας ἐψιλωμένης, τί τὸ ἀνθεστηκὸς ἔτι, καὶ παραλύειν δυνάμενον τῆς εὐσεβείας τοὺς ἐραστάς; Θέα δὲ ὅπως καταλειανθείσης τῆς τῶν εὐσεβούντων ὁδοῦ τρόπον τινὰ τῶν ἐν τύποις καὶ σκιαῖς ἀνατροπὴν ἔσεσθαί φησι. Ἐπιφέρει γὰρ οὐχ ἁπλῶς, τὸ, Ἡ ὁδὸς Κυρίου κρίσις· τουτέστιν, οὐ μόσχων προσαγωγαὶ, οὐ προβάτων σφαγαὶ, οὐ πόπανα καὶ λιβανωτοί· κρίσις δὲ μᾶλλον, τοῦτ' ἔστι, δικαιοσύνη. Ἔθος γὰρ τῇ θεοπνεύστῳ Γραφῇ τῷ τῆς κρίσεως ὀνόματι τὴν δικαιοσύνην ὑποδηλοῦν. Καθάπερ ἀμέλει καὶ ὁ μακάριος Δαβίδ· « Τιμὴ, φησὶ, βασιλέως κρίσιν ἀγαπᾷ, » τοῦτ' ἔστιν, τὴν δικαιοσύνην· ἐν τιμῇ γὰρ τῇ παρὰ Θεῷ καὶ ἀνθρώποις πᾶσά ἐστι βασιλεία φιλοῦσα δικαιοσύνην. Οὐκοῦν ἡ ὁδὸς Κυρίου κρίσις. Χαίροντας δὲ λίαν εἰσκομίζει πάλιν τοὺς τὴν εὐθεῖαν ταύτην βαδιουμένους ὁδόν· φασὶ γὰρ, ὅτι Ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐπὶ τῇ μνείᾳ ᾗ ἐπεθύμει ἡ ψυχὴ ἡμῶν. Πᾶσα γὰρ ἡμῶν ἡ ἐλπὶς εἰς Χριστὸν, οὗ καὶ ἀεὶ μεμνήμεθα, ταύτην ἔχοντες τὴν ἐπιθυμίαν, ὅτι καὶ δι' αὐτῆς σεσώμεθα.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Νύκτα καλεῖ, τὸν πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου καιρόν· ὄρθρον δὲ τὴν προφητικὴν πρόγνωσιν· φῶς δὲ ἀληθινὸν τὸ Εὐαγγέλιον τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, ὃ καὶ τῆς ἁπανταχοῦ γῆς μαθεῖν ἐγκελεύεται. Καὶ γὰρ οὐχ ἀπὸ φύσεώς φησι τὸ μαθεῖν, ὥσπερ τὸ βλέπειν ἢ τὸ βαδίζειν, ἀλλ' ἀπὸ σπουδῆς καὶ ἐπιμελείας. Ὁ δὲ μὴ μαθὼν ἐκ ζώντων ἀρθήσεται, καὶ τὴν δόξαν Χριστοῦ οὐχ ὄψεται. Οἱ λέγοντες· Ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐπὶ τῇ μνείᾳ, ᾗ ἐπεθύμει ἡ ψυχὴ ἡμῶν προσεπάγουσιν ἀναγκαίως καὶ τοῦτο. Τὸν γάρ τοι θεῖον εἰς νοῦν εἰσοικισάμενοι φωτισμὸν, καὶ τῆς ἀρχαίας ἀπάτης τὸν σκότον ἀποπεμψάμενοι, καὶ τὴν τῆς ἁμαρτίας ἀχλὺν κατηφανισμένην ὁρῶντες, ἀναφέρουσιν ᾠδὰς τὰς χαριστηρίους, καθάπερ ἐκ νυκτὸς, καὶ σκότους ὀρθρίζειν λέγοντες, οἷον διαυγαζούσης ἐν αὐταῖς τῆς νοητῆς ἡμέρας, καὶ ἑωσφόρου λοιπὸν ἀνατέλλοντος ἐν ταῖς καρδίαις αὐτῶν, καθὰ γέγραπται. Τοῖς τοιούτοις καὶ ὁ θεσπέσιος Παῦλος ἐπιστέλλει, καί φησιν· « Οἱ ποτὲ σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ. « Καὶ μὴν καὶ ἑτέρωθι· « Οὐ γὰρ

A Domini sunt sermones sanctorum prophetarum, et Mosaicæ præceptionis mysteriique de Christo velut in umbra et figuris prædictio. Itaque has semitas pervestigantes, viam bonam discimus, id est, Christianæ vitæ institutionem, et incedentes in ea nostris animabus veram et spiritualem purificationem inveniemus. Rectam ergo piorum viam factam dicit. Qui enim non esset recta ac plana, nihilque omnino habens prærupti, quando, verbum fidei dicentes, justificamur : et per sacrosanctum baptisma abunde ac perfecte repurgamur. Recta vero est et alio modo via piorum. Nam sublatis hostibus, et amota diaboli tyrannide, omnique difficultate expedita, quid est quod obsistat amplius, aut quod pietatis amantes possit labefactare? Spectat autem,
B quomodo via piorum quodammodo levigata typicorum et umbratilium eversionem fore dicat. Infert enim non simpliciter illud : Via Domini judicium, id est, non vitulorum oblationes, non ovium mactationes, non liba, aut thura, sed judicium potius, id est, justitia. Mos enim est Scripturæ divino afflatu præditæ, judicii nomine justitiam subindicare, quemadmodum etiam et beatus David : « Honor, inquit, regis judicium diligit [61], » id est, justitiam. In honore namque est, tum apud Deum, **361** tum apud homines, omne regnum diligens justitiam. Itaque via Domini judicium. Rursus inducit eos oppido quam gaudentes, qui rectam hanc viam ingrediuntur. Dicunt enim : Speravimus in nomine
C tuo, et in memoria quam desiderat anima nostra. Omnis siquidem spes nostra in Christum conjecta est, cujus sumus etiam semper memores, hoc habentes desiderium, quia et inde servati sumus.

Vers. 9. *De nocte vigilat spiritus meus ad te, Deus, propterea quod lux præcepta tua super terram.*

Noctem vocat tempus quod incarnationem præcessit : mane autem propheticam prænotionem, lucem autem veram, Evangelium solis justitiæ Christi, quod ubique terrarum disci præcipitur. Nec enim a natura disci ait quemadmodum natura videmus aut incedimus, sed cura et studio. Qui vero non didice-
D rit, de medio vivorum tolletur, et Christi gloriam non videbit. Qui dicunt : Speravimus in nomine tuo et in memoria quam concupivit anima nostra, adducunt porro necessario et illud. Divino enim lumine in mentem velut domicilium admisso, et inveterata erroris caligine amandata, cum peccati nubem amotam conspicantur, odas gratiarum referunt, quasi de nocte et ex tenebris evigilare ac surgere mane dicentes, elucente in illis, quæ sub mentis notionem cadit, die, et lucifero denuo exoriente in cordibus eorum, sicut scriptum est. Talibus etiam divinus Paulus missa epistola ait : « Qui quondam tenebræ, nunc autem lux in Domino [62]. » Et alibi : « Nec enim sumus noctis aut tenebrarum, sed lucis

[61] Psal. xcviii, 4. [62] Ephes. v, 8.

filii et filii diei [64]. » Illustratur siquidem credentium mens evangelicis vaticiniis. Hinc dicit etiam divinus David, velut ad Dominum nostrum Jesum Christum : « Lucerna pedibus meis lex tua, et lumen semitis meis [65]. » Caligine etenim velut et obumbrationibus nimirum litteræ, sapientissimi Mosis lex quasi incrassata est. Sed in evangelicis præconiis, nuda et pellucida veritatis forma apparet, et mentem exhilarat piorum sensibus instar luminis infusam.

VERS. 10. *Justitiam discite qui inhabitatis terram. Cessavit enim impius. Omnis qui* **362** *non didicerit justitiam in terra, veritatem non faciet. Tollatur impius, ne videat gloriam Domini.*

Dixit alicubi voce prophetæ Deus : « Et erunt omnes docti a Deo [66]. » Vide ergo quo pacto in his verbis sermo nobis inducat Christum fuisse veluti mystagogum quemdam gentibus in ipsum credentibus. Nam qui semel agnoverunt ejus præcepta lucem esse super terram his oportuit ; oportuit, inquam, cognitionem ejus quod est utile, ab eo inseri. « O vos, » inquit, « qui inhabitatis terram, discite justitiam. » Similis est illi vox Davidica : « Audite hæc omnia, gentes ; aures advertite, omnes qui inhabitatis orbem terrarum [64]. » Lex siquidem quæ in littera est, rudimentis solum carnalem Israelem informavit. Dominus autem noster Jesus Christus, mansuetudinis lino expanso, terram universam sub cœlo quasi illaqueavit. Merito igitur illis qui universam terram incolunt, consulit, dicens : Justitiam ab illo dictam, id est, evangelicam eis discendam esse. Quod autem damno non careat, illius sermonibus non obtemperare, adjungit porro et ait : Cessavit enim impius. Omnis qui non discit justitiam in terra, veritatem non faciet. Abibit enim, inquit, in exitium et interitum, ac velut exstinguetur. Istud enim puto significare, Cessavit. Omnis qui non admiserit justitiæ evangelicæ cognitionem, et qui veritatem non fecerit. Veritatem rursus hic vim Christianæ conversationis appellat, adorationemque ac cultum in spiritu atque veritate. Umbram enim habens lex futurorum bonorum, et non ipsam rerum imaginem, non erat veritas. Christus autem, illiusque vaticinia, justitia et veritas non immerito possint intelligi, illudque, puto, dicendum est : Factus est nobis a Patre justitia Christus, estque præterea veritas. Discite igitur justitiam, inquit, et veritatem : nimirum, eum qui vere Filius est, et universorum opifex ac Dominus, agnoscite. Tolletur quippe et exterminabitur omnis impius, ne videat gloriam Domini. Ejusmodi est illud quo Christus Judaicum populum alloquitur : « Amen, amen dico vobis, quia si non credideritis quod ego sum, in peccatis vestris moriemini [67]. » Et rursus : « Qui credit in Filium, non judicatur. Qui autem non credit, jam judicatus est, quia non credi-

A ἐσμεν νυκτὸς, οὐδὲ σκοτους, ἀλλὰ υἱοὶ φωτὸς, καὶ υἱοὶ ἡμέρας. » Καταλαμπρύνεται γὰρ τῶν πιστευόντων ὁ νοῦς, τοῖς εὐαγγελικοῖς θεσπίσμασι. Ταύτῃ τοί φησι καὶ ὁ θεσπέσιος Δαβὶδ ὡς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· « Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. » Ἀχλύϊ μὲν γὰρ οἱονεί πως καὶ κατασκιάσμασι τοῖς ἀπό γέ φημι τοῦ γράμματος, ὁ διὰ τοῦ πανσόφου Μωσέως κατεπαχύνετο νόμος. Ἐν δέ γε τοῖς εὐαγγελικοῖς κηρύγμασι γυμνὸν καὶ διαφανὲς τὸ τῆς ἀληθείας ἐκφαίνεται κάλλος, καὶ καταφαιδρύνει τὸν νοῦν ταῖς τῶν εὐσεβούντων διανοίαις φωτὸς δίκην εἰσχεόμενον.

Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Πέπαυται γὰρ ὁ ἀσεβής. Πᾶς ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσῃ. Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν B *δόξαν Κυρίου.*

Ἔφη που ὁ Θεὸς διὰ φωνῆς προφήτου· « Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ. » Ὅρα δὴ οὖν ὅπως ἐν τούτοις ἡμῖν ὁ λόγος μυσταγωγὸν ὥσπερ τινὰ τοῖς ἐξ ἐθνῶν πιστεύσασιν αὐτὸν εἰσκομίζει γεγονότα Χριστόν. Ἔδει γὰρ, ἔδει τοῖς ἅπαξ ἐπεγνωκόσιν, ὅτι φῶς εἰσι τὰ προστάγματα αὐτοῦ ἐπὶ τῆς γῆς, τὴν τοῦ συμφέροντος εἴδησιν ἐνίεσθαι παρ' αὐτοῦ. « Ὦ τοίνυν, φησὶν, οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς μάθετε δικαιοσύνην. » Ἔοικε δὲ τοῦτο τῷ διὰ φωνῆς τοῦ Δαβίδ· « Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. » Ὁ μὲν γὰρ ἐν γράμμασι νόμος πεπαιδαγώγηκε μόνον τὸν κατὰ σάρκα Ἰσραὴλ, ὁ δέ γε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς C τὸ τῆς ἡμερότητος ἁπλώσας λίνον ὅλην σεσαγήνευκε τὴν ὑπ' οὐρανόν. Εἰκότως οὖν ἄρα καὶ τοῖς ἀνὰ πᾶσαν τὴν γῆν συμβουλεύει, λέγων, ὅτι Χρὴ μανθάνειν αὐτοὺς, τὴν δι' αὐτοῦ λαληθεῖσαν δικαιοσύνην, τοῦτ' ἔστι, τὴν εὐαγγελικήν. Ὅτι δὲ τὸ ἀπειθεῖν τοῖς παρ' αὐτοῦ λόγοις οὐκ ἀζήμιον, προσεπάγει καί φησι· Πέπαυται γὰρ ὁ ἀσεβής. Πᾶς ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσῃ, οἰχήσεται γὰρ, φησὶν, εἰς ὄλεθρον καὶ ἀπώλειαν, καὶ οἷον ἀποσβεσθήσεται. Τοῦτο γὰρ οἶμαι τὸ Πέπαυται δηλοῦν. Πᾶς εἴ τις μὴ προσδέξηται τῆς δικαιοσύνης τῆς εὐαγγελικῆς τὴν εἴδησιν, καὶ ὃς ἂν μὴ ποιήσῃ τὴν ἀλήθειαν. Ἀλήθειαν δὲ πάλιν ἐν τούτοις τῆς ἐν Χριστῷ πολιτείας ἀποκαλεῖ τὴν δύναμιν, καὶ τὴν ἐν πνεύματί τε καὶ ἀληθείᾳ προσκύνησιν, καὶ λατρείαν. Σκιὰν γὰρ D ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, καὶ οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, οὐκ ἦν ἀλήθεια. Χριστὸς δὲ καὶ τὰ αὐτοῦ θεσπίσματα νοοῖτ' ἂν εἰκότως δικαιοσύνη καὶ ἀλήθεια. Οἶμαι δὲ δεῖν κἀκεῖνο εἰπεῖν, Γέγονεν ἡμῖν παρὰ τοῦ Πατρὸς δικαιοσύνη Χριστὸς, ἔστι δὲ πρὸς τούτῳ καὶ ἀλήθεια. Μάθετε τοίνυν τὴν δικαιοσύνην, φησὶ, καὶ τὴν ἀλήθειαν· τοῦτ' ἔστιν, ἐπίγνωτε τὸν ἀληθῶς Υἱὸν καὶ τὸν ὅλων δημιουργὸν καὶ Κύριον. Ἀρθήσεται γὰρ καὶ ἐκ μέσου γενήσεται πᾶς ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. Τοιοῦτόν ἐστι τὸ δι' αὐτοῦ τοῦ Χριστοῦ τοῖς Ἰουδαίων δήμοις προσπεφωνημένον· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις

[64] I Thess. v, 5. [65] Psal. cxviii, 105. [66] Isa. liv, 13 ; Joan. vi, 45. [64] Psal. xlviii, 2. [67] Joan. viii, 24.

ὑμῶν ἀποθανεῖσθε. » Καὶ πάλιν· « Ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· » Ὁ δὲ ἅπαξ κατακεκριμένος, καὶ ταῖς ἰδίαις ἐναποθανὼν ἁμαρτίαις, πῶς ἂν ἴδοι τὴν δόξαν Κυρίου. Οὐ γὰρ συνέσται Χριστῷ, καὶ τῆς παρ' αὐτοῦ δόξης κατ' οὐδένα τρόπον μετεσχηκώς, τὸν τῶν ἁγίων οὐχ ὄψεται κλῆρον.

A dit in **363** nomen unigeniti Filii Dei [69-69]. » Qui autem semel condemnatus est, propriisque peccatis immortuus, qui poterit gloriam Domini videre? Non enim erit cum Christo, ejusque gloriæ nullo modo particeps, sanctorum sortem non videbit.

Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν· γνόντες δὲ αἰσχυνθήσονται. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Ἀπειλοῦντος Θεοῦ τοῖς μὴ μανθάνουσι δικαιοσύνην, καὶ τοῖς μὴ ποιοῦσι τὴν ἀλήθειαν· κατά γε τοὺς ἀρτίως ἡμῖν προαποδοθέντας λόγους εἰς ἀνάμνησιν ὁ προφήτης ἔρχεται τῆς τοῦ Ἰσραὴλ ἀγνοίας τε ἅμα καὶ ἀπειθείας. Ὁ μὲν γὰρ τῶν ὅλων δημιουργὸς Θεὸς Λόγος, ὁ παναλκὴς τοῦ Πατρὸς βραχίων, δι' οὗ τὰ πάντα προήχθη πρὸς γένεσιν, ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς ὑπάρχων ἑαυτὸν καθῆκεν εἰς ἑκούσιον κένωσιν, καὶ τεταπείνωκεν ἑαυτὸν, καθὰ γέγραπται, γενόμενος ἄνθρωπος, ἵνα δικαιώσῃ τοὺς ἐπὶ τῆς γῆς, διὰ πίστεως δὲ δηλονότι τῆς εἰς ἑαυτόν· καὶ εἰργάζετο μὲν τὰ ὑπὲρ λόγον, καὶ διὰ τῆς τῶν δρωμένων μεγαλοπρεπείας, ὅτι καὶ Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ἐστὶν, ἠξίου γνωρίζεσθαι, λέγων· « Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύετε. » Εἰ δὲ καί τοι τῶν οὕτω τεθαυμασμένων θεωροὶ γεγονότες, καὶ τῶν παρ' αὐτοῦ λόγων αὐτήκοοι, σκληροὶ καὶ ἀνουθέτητοι μεμενήκασι, μᾶλλον δὲ καὶ ἀπύλωτον ἐσχήκασι στόμα. Τετολμήκασι γὰρ Σαμαρείτην, καὶ μέθυσον καὶ τέκτονος υἱὸν, καὶ τὰ ἔτι τούτων ἀπηχέστερα δυσσεβοῦντες εἰπεῖν. Ταῦτα τοίνυν διὰ τῆς τοῦ Πνεύματος δᾳδουχίας προεγνωκὼς ὁ προφήτης ποιεῖται τοὺς λόγους πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεὸν, καί φησι, Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν. Τῇ μὲν γὰρ ἀξίᾳ τῆς ἰδίας ὑπεροχῆς, καὶ ὡς ἐν δόξῃ τῇ θεοπρεπεῖ, μέγας καὶ ὑψηλός· καὶ μέν τοι καὶ παναλκής ἐστιν ὁ βραχίων τοῦ Πατρὸς, τοῦτ' ἔστιν, ὁ δι' οὗ τὰ πάντα γέγονε Θεὸς Λόγος. Ἐπειδὴ δὲ ὤφθη μετὰ σαρκὸς ἠγνοήκασιν αὐτοῦ τὴν δόξαν. Πλὴν αἰσχυνθήσονται, φησὶν, εἰ μάθοιεν αὐτὸν ὄντα δηλονότι τὸν ζωοποιὸν τοῦ Θεοῦ Λόγον. Ἔμαθον δὲ τίνα τρόπον; Αὐτοὶ μὲν γὰρ τὸν ἀρχηγὸν τῆς σωτηρίας ἀπεκτείνασι, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἠρνήσαντο, καθάπερ φησὶν ὁ θεσπέσιος Πέτρος. Ἐπειδὴ δὲ τὰ τοῦ θανάτου δεσμὰ διαῤῥήξας τριήμερος ἀνεβίω Χριστὸς, καὶ τοῦτο ἐγνώκασιν οἱ τῶν Ἰουδαίων μάλιστα καθηγηταὶ, τότε δὴ, τότε καὶ κατῃσχύνθησαν, καὶ γοῦν δεδιότες μὴ ἄρα πως ἔκπυστον εἰς ἅπαντας τὸ τῆς ἀναστάσεως γένοιτο μυστήριον, ἀργύρια ἱκανὰ δεδώκασι τοῖς στρατιώταις, καθὰ γέγραπται· ἵνα εἴπωσιν ὅτι « Οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτόν. » Αἰσχυνθήσονται δὲ καὶ καθ' ἕτερον τρόπον. Ὅταν γὰρ ἴδωσιν αὐτὸν ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος ἐρχόμενον ἐν τῇ δόξῃ τοῦ Πατρὸς μετὰ τῶν ἀγγέλων, τότε καὶ ἐντροπὴν ἕξουσι τὴν

VERS. 11. *Domine, excelsum tuum brachium, et non cognoverunt : cum vero sciverint, erubescent. Æmulatio apprehendet populum ineruditum, et nunc ignis adversarios comedet.*

Cum Deus sit comminatus illis qui justitiam non discunt, et veritatem non faciunt, juxta verba jam ante a nobis exposita, propheta in mentionem B Israeliticæ ignorationis simul et inobedientiæ incidit. Nam universorum opifex Deus Verbum, fortissimum Patris brachium, per quem omnia in lucem ortumque producuntur, in forma et æqualitate Patris exsistens, sese ad voluntariam exinanitionem demisit, seque ipse humiliavit, ut scriptum est, factus homo, ut eos qui in terra sunt justificaret, per fidem scilicet in ipsum : ac quæ rationem excedunt, operatus est, et cum Deus, et ex Deo natura esset, ex rerum gestarum magnitudine dignatus est innotescere, inquiens : « Si non facio opera Patris mei, nolite mihi credere : si facio, etsi mihi non creditis, operibus credite [70]. » At isti rerum tam mirabilium spectatores, ejusque sermonum auditores ipsissimi, præfracti tamen et admonitionis impa- C tientes remanserunt, imo potius oris sui fores patulas effrenesque habuerunt. Nam Samaritanum eum, et ebriosum, et fabri filium, et nominibus adhuc odiosioribus impii audebant appellare. Cum hæc face spiritus præscivisset propheta, verba hæc ad Patrem ac Deum in cœlis facit, et inquit : Domine, excelsum tuum est brachium, et non cognoverunt. Etenim ex suæ præstantiæ dignitate, et velut ex divina gloria magnus et excelsus est, et prævalidum Patris brachium, nimirum per quem fiunt omnia Deus Verbum. Postquam autem in carne apparuit, ejus ignoraverunt gloriam. Verum erubescent, inquit, ubi eum didicerint esse, videlicet vivificum Dei Verbum. Didicerunt autem quomodo? Nam ipsi princi- D pem salutis interfecerunt, et sanctum Israel negaverunt, sicut ait divinus Petrus [71]. Posteaquam autem vincula mortis dirupisset, tertia die revixit : **364** quod Judæorum maxime doctores resciverunt. Tunc, tunc sane erubuerunt, et veriti nequando resurrectionis mysterium in vulgus percelebraretur, multum argentum dederunt militibus, sicut scriptum est, ut dicerent : « Discipuli ejus noctu venientes furati sunt illum [72]. » Erubescent etiam alio modo. Quando enim viderint in consummatione sæculi venientem, in gloria Patris cum sanctis angelis, tunc etiam pudore infinito suffundentur. Nam filii sponsi cum essent, propter patres, ipsorum enim erant promissiones et legislatio et testamentum, missi tamen

[69-69] Joan. III, 18. [70] Joan. X, 37, 38. [71] Act. III, 14, 15. [72] Matth. XXVIII, 13.

sunt in tenebras extremas. Ineruditum itaque populum nominat eos merito. Et æmulatio, inquit, apprehendet eos, et ignis adversarios comedet. Cum enim abjecti fuerint, et spe in Christum ejecti, et declarati a repromissionibus alieni, gentesque fuerunt assumptæ: hinc æmulatione conficiuntur, et tanquam igne quodam invidiæ videlicet miseri consumpti manent. Tale quid scriptum est in canticis, de his qui sunt sanguine Israelitico orti : ipsi ad æmulationem provocarunt me in non diis, irritaverunt me in idolis suis [73]. Et ego æmulatione provocabo eos in non gente, in gente stulta ad iram commovebo eos.

A ἀμήρυτον, υἱοὶ μὲν ὄντες τοῦ νυμφῶνος διὰ τοὺς πατέρας, αὐτῶν γὰρ αἱ ἐπαγγελίαι, καὶ ἡ νομοθεσία, καὶ ἡ διαθήκη, πεμπόμενοι δὲ εἰς τὸ σκότος τὸ ἐξώτερον. Ἀπαίδευτον τοίνυν εἰκότως ὀνομάζει λαὸν, καὶ ὅτι ζῆλος αὐτοὺς λήψεται, φησὶ, καὶ ὅτι πῦρ τοὺς ὑπεναντίους ἔδεται. Ἐπειδὴ γὰρ ἀπόπεμπτοι γεγόνασιν αὐτοὶ, καὶ ἐκβέβληνται τῆς εἰς Χριστὸν ἐλπίδος, καὶ ἀπεδείχθησαν μὲν ἀλλότριοι τῶν ἐπαγγελιῶν, προσελήφθη δὲ τὰ ἔθνη, ταύτῃ τοι κατατρύχονται τῷ ζήλῳ, καὶ οἷον ὑπὸ πυρὸς δαπανώμενοι, τοῦ τῆς βασκανίας δηλονότι διατελοῦσιν οἱ δείλαιοι. Γέγραπταί τι τοιοῦτον καὶ ἐν ᾠδαῖς περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ, ὅτι Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεοῖς· παρώξυνάν με ἐν τοῖς εἰδώλοις αὐτῶν. Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει· ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

VERS. 12, 13. *Domine Deus noster, pacem da nobis, omnia enim tradidisti nobis, Domine Deus noster, posside nos. Domine, extra te alium non novimus, nomen tuum nominamus.*

B *Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν· Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς. Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν.*

Consueverunt sancti prophetæ, pro Israele preces fundere, erant enim amici Dei, et pietatis ornamentis pulchre coronati. Nam ex radice Abrahami semel cum essent sati, et ex sanguine sanctorum patrum, Israelitis tribubus suis indolere oportuit : cum eos propter impietatem in Christum perire viderent. Hinc nunc quoque beatus propheta Isaias pergit, dicens : « Domine Deus noster, pacem da nobis, omnia enim tradidisti nobis [74]. » Si enim donaveris, inquit, pacem nobis, omni bono abundabimus, omniumque tuorum donorum participes efficiemur. Et quam pacem necessarium est videre. Aut enim ipsum petunt Christum : ipse est enim pax nostra, secundum Scripturas, et per illum spirituali scilicet cognatione etiam Patri copulamur. Vel illud dicunt. Qui enim nondum crediderunt, **365** et peccati maculam abjectam remotamque non habent, a Deo sejuncti sunt, et in hostium loco juste numerantur, et superba cervice sunt, et adversus ipsas Domini leges pugnant. At qui morigeri sunt, et ad frenum flexiles, et ad omnia quæ ei placent parati, amantissimi sunt, pacemque cum eo habent. Cæterum vere Dei donum est, et ex superna venit munificentia. Da igitur nobis, o Domine, ut pacem habeamus erga te, et profano ac detestabili peccato e medio profligato, tibi spiritualiter per mediatorem Christum uniamur. Cujusmodi est illud Paulina voce dictum recte : « Justificati igitur ex fide, pacem habemus erga Deum per Dominum et Servatorem nostrum Jesum Christum [75]. » Quod cum factum fuerit, Dei possessio et sors erimus. Hinc sapienter infertur illud : Domine, posside nos. Extra te alium non scimus, nomen tuum nominamus. Moribus enim similes sint oportet, et Deo soli conjuncti, qui cum ipso pacem habent : ita ut illum et solum sciant, et alterius commentitii Dei nomen omnino ne in lingua quidem gerant. Solum enim illum, quia solus est noster et natura et veritate Deus, nominare oportet. Quale est illud, quo nos lex sapientissimi Mosis affata est :

Ἔθος τοῖς ἁγίοις προφήταις, τὰς ὑπέρ γε τοῦ Ἰσραὴλ ποιεῖσθαι λιτὰς, ἦσαν μὲν γὰρ φιλόθεοι, καὶ τοῖς εἰς εὐσέβειαν αὐχήμασιν εὖ μάλα κατεστεμμένοι. Ἐπειδὴ δὲ ἅπαξ ἐκ ῥίζης πεφήνασιν Ἀβραὰμ καὶ ἐξ αἵματος τῶν ἁγίων πατέρων ἐπιστυγνάζουσιν ἀναγκαίως ὡς ὁμογενέσι τοῖς ἐξ Ἰσραὴλ ὁρῶντες ἀπολλυμένοις διά γε τὴν εἰς Χριστὸν δυσσέβειαν. Ταύτῃ τοι καὶ νῦν ὁ μακάριος προφήτης Ἡσαΐας πρόσεισι λέγων· « Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. » Εἰ γὰρ χαρίσαιο, φησὶ, τὴν εἰρήνην ἡμῖν, παντὸς ἐσόμεθα πλήρεις ἀγαθοῦ, C καὶ ἀπεσχήκαμεν τῶν παρὰ σοῦ χαρισμάτων τελειοτάτην τὴν μέθεξιν. Καὶ ποίαν αἰτοῦσιν εἰρήνην, ἰδεῖν ἀναγκαῖον· ἢ γὰρ αὐτὸν αἰτοῦσι Χριστόν· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, κατὰ τὰς Γραφὰς, καὶ δι' αὐτοῦ συνήφθημεν τῷ Πατρὶ, δι' οἰκειότητος δὲ, δηλονότι τῆς πνευματικῆς. Ἢ γοῦν ἐκεῖνό φασιν. Οἱ μὲν γὰρ οὔπω πιστεύσαντες, καὶ ἀναπόβλητον ἔχοντες τὴν ἐκ τῆς ἁμαρτίας κηλῖδα, διεστήκασι τοῦ Θεοῦ, καὶ ἐν ἐχθρῶν τάξει νοοῦνται δικαίως, γαῦρόν τε ἔχουσι τὸν αὐχένα, καὶ τοῖς τοῦ Δεσπότου μάχονται νόμοις. Οἱ δὲ εὐπειθεῖς καὶ εὐήνιοι, καὶ πρὸς πᾶν ὁτιοῦν ἕτοιμοι τῶν αὐτοῖς ἀρεσκόντων φιλαίτατοί τέ εἰσι καὶ εἰρήνην ἔχουσι πρὸς αὐτόν. Ἀλλ' ἔστι τὸ χρῆμα θεόσδοτον ἀληθῶς, καὶ διὰ τῆς ἄνωθεν φιλοτιμίας ἐρχόμενον. Δὸς τοίνυν ἡμῖν, ὦ Δέσποτα, τὸ εἰρηνεῦσαι πρὸς D σὲ, καὶ ἐκ μέσου γενομένης τῆς βεβήλου καὶ βδελυρᾶς ἁμαρτίας ἑνωθῆναί σοι πνευματικῶς διὰ μεσίτου Χριστοῦ. Τοιοῦτόν ἐστι τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς ὀρθῶς εἰρημένον· « Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, » οὗ δὴ γεγονότος κτῆσις ἐσόμεθα, καὶ κλῆρος Θεοῦ. Ταύτῃ τοι σοφῶς ἐπενήνεκται τὸ, Κύριε κτῆσαι ἡμᾶς, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Μονοτρόπους γὰρ εἶναι χρὴ, καὶ Θεῷ μόνῳ κατεζευγμένους τοὺς εἰρηνεύοντας πρὸς αὐτὸν, ὥστε καὶ αὐτὸν εἰδέναι μόνον, καὶ ἑτέρου παντελῶς ψευδωνύμου Θεοῦ, μηδὲ ἐπὶ γλώττης ὄνομα φέρειν. Δεῖ γὰρ αὐτὸν ὀνομάζειν μό-

[73] Psal. LXXVII, 58. [74] Isa. XXVI, 12. [75] Rom. V, 1.

νον, ὅτι καὶ μόνος ἐστὶν ἐφ' ἡμᾶς φύσει τε καὶ ἀληθείᾳ Θεός. Τοιοῦτόν τι καὶ ὁ τοῦ πανσόφου Μωσέως ἡμῖν ἐπεφώνησε νόμος, « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ τῷ ὀνόματι αὐτοῦ. Ἀμήν. »

A « Dominum Deum tuum adorabis, et ei soli servies, et nomini ejus [76]. »

Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσι. Διὰ τοῦτο ἐπήγαγες, καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες κακὰ πᾶσι τοῖς ἐνδόξοις τῆς γῆς.

VERS. 14, 15. *Mortui vitam non vident, neque medici resuscitabunt. Propterea induxisti, et perdidisti, et sustulisti omne masculum eorum. Adde illis mala, Domine, adde mala omnibus terræ gloriosis.*

Οἱ μόνον εἰδότες τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν ὀνομάζοντές τε τὸ ὄνομα αὐτοῦ, καὶ ἐπαριθμοῦντες αὐτῷ παντελῶς οὐδένα, λέγοντές τε διὰ τοῦτο, Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, συνείρουσιν ἀναγκαίως, τὸ, ὅτι Οἱ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, ἐκτός σου δὴ πάλιν. B Ζωὴ γὰρ ὢν κατὰ φύσιν ὁ τῶν ὅλων δημιουργὸς καὶ Κύριος ζωογονεῖ τὰ πάντα, καὶ ἐν αὐτῷ κινούμεθα, καί ἐσμεν. Ἀλλ' οὐδὲ ἰατροί, φησίν, οὐ μὴ ἀναστήσωσιν· ἑπομένου καὶ τούτῳ τοῦ ἐκτός σου δηλονότι. Πάντα γὰρ ἡμῖν παρὰ Θεοῦ, καὶ αὐτοῖς ἐποίησεν ἐκ γῆς φάρμακα, κατὰ τὸ γεγραμμένον. Ὅσον μὲν οὖν ἧκεν εἴς γε τὸ γράμμα, φημὶ, καὶ τὸν πρόχειρόν τε καὶ εἰς τοὐμφανὲς λόγον, ἡ τῶν ἐννοιῶν ἀπόδοσις ἔχοι ἂν ὀρθῶς ὧδέ γε, καὶ οὐχ ἑτέρως. Ἐπειδὴ δὲ χρὴ κατὰ νοῦν ἰέναι τὸν λόγον, καὶ τῆς προφητικῆς ἀκριβείας ἀπογυμνοῦν τὸν σκοπὸν, ἐκεῖνό φαμεν ἀναγκαίως· νεκροί τινές εἰσι καὶ οὐχὶ δὴ πάντως κατὰ τὴν σάρκα, νενεκρωμένοι δὲ μᾶλλον ὑπὸ φιληδονίας κοσμικῆς, καὶ ζωὴν οὐκ ἔχοντες τὴν ἁγίαν τὴν ἐν Χριστῷ τε καὶ ἀγγελικήν. C Ἀλλ' ἐκτός σου, φησίν, οἱ τοιοῦτοι, οὐκ ἂν μεταλάχοιεν τῆς ζωῆς, ἤτοι τῆς ζωοποιούσης χάριτος. Ἐκτός σου δὲ πάλιν οἱ τῶν ψυχικῶν ἀῤῥωστημάτων ἀπαλλάττειν οἷοί τε τοὺς ἐναλόντας αὐτοῖς, οἱ καὶ ἰατροὶ πνευματικοὶ νοοῖντ' ἂν εἰκότως· οὐκ ἄν τινα τῶν ἠῤῥωστηκότων ἀναστήσειαν. Ἰατροὺς δέ φαμεν πνευματικοὺς εἶναι, τοὺς ἁγίους προφήτας, ἀποστόλους τε καὶ εὐαγγελιστάς· οἳ διὰ τῆς ἄνωθεν χάριτος, καὶ τῆς ἐν πνεύματι χορηγίας τὸν ἰᾶσθαι δυνάμενον καταπλουτοῦντες λόγον θεραπεύουσι τοὺς τετραυματισμένους ὑπό τε τῆς ἁμαρτίας, καὶ τῆς τοῦ διαβόλου σκαιότητος. Εἰκὸς δὲ δή τι καὶ ἕτερον τὸν προφητικὸν ἡμῖν ὑπαινίττεσθαι λόγον· ὁ γάρ τοι Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἰσοσθενῆ καὶ ἰσοκλεᾶ τῷ Φύσαντι καταδεικνὺς ἑαυτὸν ἀνίστη μὲν ἐκ μνημάτων τοὺς νεκροὺς, τοὺς δὲ ἐν D ἐσχάταις ὄντας ἰᾶτο νόσοις. Ἀλλὰ καίτοι τῶν οὕτω παραδόξων ἀποτελεστὴς γεγονὼς οὐ τετίμηται παρὰ τῶν τεθεαμένων· ἐδίωκόν τε καὶ οὕτως αὐτὸν οἱ τῶν Ἰουδαίων μάλιστα καθηγηταὶ, καὶ διδάσκαλοι. Ἐπειδὴ τοίνυν ἐκτός σού φησιν, οὐκ ἂν ἴδοιεν ζωὴν οἱ νεκροὶ, σὺ γὰρ εἶ καὶ μόνος ὁ ζωοποιεῖν δυνάμενος, οὐδ' ἂν ἀναστήσειεν ἐκ μνημάτων ἰατρὸς, οὓς ἀνέστησας αὐτός· ἠπίστησαν δὲ καὶ μετὰ τοῦτο ἔτι, καὶ ἀκαθέκτως λελυττήκασιν, οὓς ἦν εἰκὸς, καὶ πρό γε τῶν ἄλλων ἔσεσθαι πιστούς· διὰ τοῦτο ἐπήγαγες, καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. Ἐπήγαγες γὰρ τὴν ὀργὴν αὐτοῖς, ἣ καὶ ἀπέκειρεν ἀναγκαίως οὐκ ἄρδην ἅπαντα τὸν Ἰσραήλ· σέσωσται γὰρ τὸ κατάλειμμα·

Qui solum natura et vere Deum norunt, ejusque nomen nominant, et ei nullum adnumerant, ideoque dicunt: Domine, extra te alium non scimus, adnectunt illud necessario: Mortui vitam non videbunt, extra te scilicet. Vita enim omnium cum sit ille natura universorum opifex et Dominus, omnia in vitam producit: et in eo movemur et sumus [77]. Sed nec medici, inquit, suscitabunt: illo videlicet consequente, extra te. Omnia enim nobis a Deo, et ipse fecit de terra pharmaca, juxta id quod scriptum est. Quantum igitur, inquam, ad litteram pertinet, et ad primam obviamque verbi speciem, hæc sententiarum expositio hoc modo recte se habet, et non aliter. Cum autem sermonem hunc **366** ad mentem prophetæ procedere oporteat, cumque propheticæ subtilitatis scopus denudandus sit, illud necessario dicimus, quosdam nondum carne tenus adhuc esse mortuos, sed esse voluptate mundana mortuos, quique vita sancta, Christiana et evangelica non præditi. Sed extra te, inquit, ejusmodi sunt, qui vitæ sive gratiæ vivificæ exsortes sunt. Rursus extra te qui animi morbis eos qui his detinentur liberare valebant, qui et spirituales medici merito queant intelligi, neminem eorum qui ægrotarunt, potuerunt suscitare. Spirituales autem medicos esse dicimus sanctos prophetas et apostolos et evangelistas, qui sermone ad sanandum potente ditati, a peccato et diaboli nequitia vulneratos curant. Verisimile est etiam propheticum sermonem aliud nobis subinnuere. Dominus enim noster Jesus Christus, potentia et gloria parem se Genitori ostendens, mortuos ex monumentis resuscitavit, morbisque extremis correptos sanavit. Verumtamen harum rerum adeo mirabilium et incredibilium effector, ab his qui spectarunt non colebatur, sed illum adeo persecuti sunt Judæorum maxime præceptores et doctores. Quoniam igitur extra te, inquit, non possunt vitam videre mortui: tu enim solus es qui ad vitam excitare potes, nec suscitabit e monumentis medicus, quos ipse suscitasti: infideles erant, insuper vero impotenter etiam in rabiem acti sunt, quos ante alios par erat fideles exstitisse: propterea induxisti, et perdidisti, et sustulisti omne eorum masculum. Induxisti enim illis iram, quæ totum Israelem funditus non delevit (nam servatæ sunt reliquiæ), sed omne masculum eorum, id est, primarium ordinem. Est enim maxime primarium, si feminam species, masculum. Mares etiam

[76] Deut. VI, 13; Matth. IV, 10. [77] Act. XVII, 28.

forsitan vocat, apud Judæos juniores ac florentiores, non corporis robore, sed legalium præceptorum scientia. Quale etiam dictum est a Deo apud unum e prophetis: « Vadam ad optimates et alloquar eos[78]. » Ecce una mente contriverunt jugum, diruperunt vincula: quod autem præstantiores et sanctiores inter Judæos, miseros jure merito vocet, iramque in illos vehementius effuderit, planum faciet ipse Christus, dicens: « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia peragratis mare **367** et aridam, ut faciatis unum proselytum: et si contingat, facitis illum filium gehennæ duplo magis quam vos estis[79]. » Et rursus etiam: « Væ vobis legisperitis, quoniam tulistis clavem scientiæ, ipsi vero non ingredimini, et eos qui introibant prohibuistis[80]. » Merito igitur plectitur masculum, id est, quod excellit, et in honore est, et quasi fortitudine spirituali ad cognitionem legalem pervenit: quibus etiam mala vult addi. Non solum enim a conjunctione quæ cum Deo est exciderunt, cum contra Christum debaccharentur, sed et fame consumpti sunt, et hinc in calamitates inciderunt, regione eorum vastata et omnino eversa. Quos autem dixit mares, eosdem etiam gloriosos appellat: utpote præcellentes, aliisque antestantes, quod sacerdotii insignibus coronarentur. Omne masculum eorum, divinitus traditum, et auxiliare; mala vero ea dicit quæ affligendi vim habent, sive iras divinitus illatas, fames, pestes, bella, et his similia. Gloriosos autem, qui malis sunt conspicui, et potentia clari.

A ἀλλὰ πᾶν ἄρσεν αὐτῶν, τοῦτ' ἔστι, τὸ ἡγούμενον τάγμα. Ἡγεμονικώτατον γὰρ ὡς πρός γε τὸ θῆλυ τὸ ἄρσεν. Ἄῤῥενας δὲ ἀποκαλεῖ ἴσως τοὺς οἱονεὶ νεανικωτέρους τῶν Ἰουδαίων, οὐ κατὰ τὴν τοῦ σώματος εὐρωστίαν, κατὰ τὴν γνῶσιν δὲ μᾶλλον τῶν νομικῶν ἐνταλμάτων, τοιοῦτόν ἐστι τὸ πρὸς ἕνα τῶν προφητῶν εἰρημένον παρὰ Θεοῦ· « Πορεύσομαι πρὸς τοὺς ἁδρούς, καὶ λαλήσω πρὸς αὐτούς. » Καὶ ἰδοὺ ὁμοθυμαδὸν συνέτριψαν ζυγὸν, διέῤῥηξαν δεσμούς, ὅτι δὲ τὸ προὖχόν τε καὶ ἱερώτερον ἐν τοῖς Ἰουδαίοις ταλανίζεται μὲν εἰκότως, ῥαγδαιοτέραν δὲ τὴν ὀργὴν ἐπήντλησεν αὐτῷ, σαφηνιεῖ λέγων αὐτὸς ὁ Χριστός· « Οὐαὶ ὑμῖν, Γραμματεῖς, καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν, καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ἐὰν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. B » Καὶ πάλιν· « Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσέρχεσθε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. » Κολάζεται τοίνυν εἰκότως τὸ ἄρσεν, τοῦτ' ἔστι, τὸ ἐν ὑπεροχῇ καὶ τίμιον. Καὶ ὡς ἐν ἀνδρείᾳ τῇ πνευματικῇ τότε ἧκον εἰς εἴδησιν τὴν κατὰ τὸν νόμον, οἷς καὶ προστεθῆναι βούλεται κακά. Οὐ γὰρ μόνον ἀποπεπτώκασι τῆς πρὸς Θεὸν οἰκειότητος ἐμπαροινήσαντες τῷ Χριστῷ, ἀλλὰ γὰρ καὶ τῷ λιμῷ δεδαπάνηνται, καὶ ταῖς ἐντεῦθεν περιπεπτώκασι συμφοραῖς, καταδῃωθείσης αὐτῶν τῆς χώρας, καὶ ἀνατετραμμένης εἰς ἅπαν. Οὓς δὲ εἴρηκεν ἄῤῥενας, τούτους καὶ ἐνδόξους ἀποκαλεῖ ὡς διαπρέποντας δηλονότι, καὶ ὑπερκειμένους τῶν ἄλλων, διάτοι τὸ κατεστέφθαι τοῖς τῆς ἱερωσύνης αὐχήμασιν. Τὸ πᾶν ἄρσεν αὐτῶν θεόδοτον, καὶ σύμμαχον, κακὰ δὲ τὰ κακωτικά φησιν, ἤτοι τὰς θεηλάτους ὀργὰς, λιμοὺς, λοιμοὺς, πολέμους, καὶ τὰ τούτοις ὅμοια. Ἐνδόξους δὲ τοὺς ἐν κακοῖς περιφανεῖς, καὶ ἐν δυναστείαις περιβοήτους.

VERS. 16, 17. *Domine, in afflictione recordati sumus tui, in afflictione parva, eruditio tua nobis. Et ut parturiens propinquat ad pariendum, et in dolore suo clamat, sic facti sumus dilecto tuo.*

C *Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.*

Beatus propheta ex multo maxima pietate contra Judaicos ausus commotus, cum dixerit: Appone mala omnibus gloriosis terræ: ne quis eum asperum immitemque esse putet, qui non rogat ut qui peccarunt deplorentur, sed potius in afflictione malisque versentur: necessario intulit quod cunctis solet obvenire, quod nimirum in afflictionibus et necessitatibus meminisse Dei omnia potentis consueverint. Nam summa et alta tranquillitas remissos facit, interdum ad contemptum usque nedum præ nimia pigritia peccatorum sensum adimit, cum in hanc mentem sententiamque prolapsi fuerint. At afflictio ad Deum veluti retrahit, et ad agnitionem offensarum reducit. Hac proinde de causa inquit: Appone mala gloriosis terræ; quoniam hoc omnibus commune est, tum maxime te habere in memoria, et tua cogitare ac sentire, quando in calamitatum venerint communionem. In afflictione enim parva erudimur: Deo non nimium grave, non nimis dirum supplicium inferente, **368** sed iram potius mansuetudine temperante. Non erat ergo odio habentis

Ἐκ πολλῆς ἄγαν φιλοθείας ὁ μακάριος προφήτης κεκινημένος κατὰ τῶν Ἰουδαϊκῶν τολμημάτων εἰρηκώς τε ὅτι Πρόσθες κακὰ πᾶσι τοῖς ἐνδόξοις τῆς γῆς, ἵνα μή τις εἶναι νομίζηται τραχύς τε καὶ ἀπηνὴς οὐ κατοικτείρεσθαι μᾶλλον παρακαλῶν τοὺς ἡμαρτηκότας, ἀλλ' ἐν θλίψει γενέσθαι καὶ κακοῖς, ἐπήνεγκεν ἀναγκαίως τὸ πεφυκὸς ἅπασι συμβαίνειν, φημὶ δὲ τὸ ἐν θλίψει καὶ ἀνάγκαις διαμεμνῆσθαι φιλεῖν τοῦ πάντα ἰσχύοντος Θεοῦ. Τὸ μὲν γὰρ τῆς εὐθυμίας πλάτος ἀνίησιν ἔσθ' ὅτε πρὸς καταφρόνησιν, καὶ οὐδ' ὅσον εἰπεῖν αἰσθάνεσθαι τῶν πλημμελημάτων αὐτοὺς ἐν πολλῆς ἄγαν ῥᾳθυμίας εἰς τοῦτο γνώμης κατολισθή- D σαντας. Συνελαύνει δὲ ὥσπερ ἡ θλίψις πρὸς Θεὸν, καὶ εἰς ἐπίγνωσιν ἀναφέρει τῶν διεπταισμένων. Οὐκοῦν ταύτης ἕνεκα τῆς αἰτίας, φησὶν, ἔφην ὅτι, Πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς, ἐπείπερ ἐστὶ κοινὸν ἅπασι τότε δὴ μάλιστά σε ποιεῖσθαι διὰ μνήμης, καὶ τὰ σὰ βουλεύεσθαι, καὶ φρονεῖν, ὅταν συμφοραῖς κοινωνήσωσιν. Ἐν γὰρ θλίψει μικρᾷ παιδευόμεθα, οὐκ ἄκρατον οὐδὲ εἰς ἅπαν ἀπηνῆ τὴν τιμωρίαν ἐπάγοντος τοῦ Θεοῦ, συγκεραννύντος δὲ μᾶλλον ἡμερότητι

[78] Jerem. v, 5. [79] Matth. xxiii, 15. [80] Luc. xi, 52.

τὴν ὀργήν. Οὐκοῦν οὐ μισοῦντος ἦν τοὺς ἡμαρτηκότας τὸ θλίψιν ἐπάγεσθαι παρακαλεῖν αὐτοῖς, ἀγαπῶντος δὲ μᾶλλον καὶ παιδεύεσθαι παρακαλοῦντος αὐτούς· ἵνα ἐπείπερ ἐκ προαιρέσεως ἰδίας καρπὸν οὐκ ἐσχήκασι τὴν εὐσέβειαν, κἂν γοῦν ὡς ἐξ ἀνάγκης περιτρέποιντο πρὸς τοῦτο τῆς θείας ὀργῆς εἰς αἴσθησιν κεκλημένοι. Τοιοῦτον, οἶμαι, ἐστὶ τὸ διὰ φωνῆς τοῦ Δαβὶδ ὀρθῶς εἰρημένον· « Ἐν χαλινῷ καὶ ἐν κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρὸς σέ. » Ἀλλ' ἐκεῖνοι μὲν ἀφόρητα πεπλημμεληκότες, καὶ ἐμπαροινήσαντες τῷ Χριστῷ περιπεσοῦνται τῇ θλίψει. Ἡμεῖς δὲ οἱ σοὶ καὶ τὰ σὰ φρονοῦντες καὶ λέγοντες διετέθημεν οὐχ ἑτέρως ἐπὶ τῷ ἀγαπητῷ σου, τοῦτ' ἔστι, τῷ Υἱῷ· καθάπερ ἀμέλει, καὶ ὠδίνουσα γυνὴ μονονουχὶ κατακεκραγότες τῶν ἀτιμαζόντων αὐτῶν ὀδυνόμενοί τε διὰ τοῦτο λίαν, καὶ πλείστην ὅσην τῶν ἀπειθούντων αὐτῷ ποιούμενοι τὴν καταβολήν. Ἔστι δ' ἀληθὲς ὅ φασι, καὶ γοῦν αὐτὸς ὁ μακάριος Ἡσαΐας ταῖς Ἰουδαίων ἀθυροστομίαις ἐπιτιμῶν, ἃς πεποίηνται κατὰ Χριστοῦ· « Ὑμεῖς δὲ, » φησὶ, « προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι· σπέρμα μοιχῶν καὶ πόρνης, ἐν τίνι ἐνετρυφήσατε, καὶ ἐπὶ τίνι ἠνοίξατε τὸ στόμα ὑμῶν, καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶτταν ὑμῶν; Οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἄνομον; » Καὶ μὴν καὶ ὁ μακάριος Δαβὶδ περὶ αὐτῶν πού φησιν· « Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸ νῶτον αὐτῶν διὰ παντὸς σύγκαψον. » Πλεῖστοί τε ὅσοι πρὸς τοῦτο παρὰ τῶν ἁγίων προφητῶν γεγόνασι λόγοι κατὰ τῆς τῶν Ἰουδαίων συναγωγῆς, διὰ τὴν εἰς Χριστὸν δυσσέβειαν.

A eos qui peccarunt, rogare ut illis afflictionem inducat, sed magis amantis, et erudiri illos rogantis: ut quia sponte ac voluntate sua fructum non habuerunt pietatem, veluti ex necessitate ad id traducantur, in iræ divinæ sensum vocati. Simile, opinor, est illud recte Davidica voce dictum: « In freno et lupato maxillas eorum stringas, qui non propinquant ad te [81]. » Sed illi quidem cum intoleranda delicta patrarint, Christoque obbacchati fuerint, in afflictionem incident. Nos autem, qui tui sumus, et tua sapimus ac loquimur, aliter affecti sumus erga dilectum tuum, id est, Filium: sane instar parturientis feminæ tantum non clamamus contra eos qui eum dedecore aspergunt, graviterque ob id dolemus, ac plurimum contra eos qui ei non parent, vocife- B ramur. Estque verum quod dicunt. Quippe beatus ipse Isaias Judæorum dicacitatem increpans, qua usi sunt contra Christum: « Vos, » inquit, « accedite huc; filii iniqui, semen adulterorum et meretricis, cui insultastis? in quem aperuistis os vestrum? in quem laxastis linguam vestram? Nonne vos filii estis perditionis, semen iniquum [82]? » Quinimo et beatus David de illis ait: « Obtenebrentur oculi eorum ne videant, et dorsum eorum omnino incurva [83]. » Sunt vero præterea complures sanctorum prophetarum sermones contra Judaicam Synagogam, propter hanc in Christum impietatem.

Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐκυήσαμεν ἐπὶ τῆς γῆς.

Οἱ λέγοντες, ἐκ φιλοθεΐας γενέσθαι τῷ ἀγαπητῷ τοῦ Πατρὸς, δῆλον δὲ ὅτι τῷ Υἱῷ, καθάπερ ὠδίνουσα γυνὴ τῇ τοῦ λόγου τροπῇ νουνεχῶς ἐμμένοντες, ὠδινῆσαί τέ φασι καὶ μὴν καὶ εἰληφέναι κατὰ γαστρὸς, καὶ τῆς σωτηρίας τὸ πνεῦμα τεκεῖν ἐπὶ γῆς. Πρέπει δ' ἂν, ὡς ἔφην, ὁ τοιοῦτος λόγος προφήταις τε καὶ ἁγίοις ἀποστόλοις τε καὶ εὐαγγελισταῖς οἱ τῆς ἄνωθεν μυσταγωγίας καταπλουτοῦντες τὴν χορηγίαν καὶ οἱόν τινας νοητοὺς δεχόμενοι σπερματικοὺς ἐκτετόκασι τοῖς ἐπὶ τῆς γῆς πνεῦμα σωτηρίας, τοῦτ' ἔστι, τὴν ἐν πνεύματι διδασκαλίαν, ἣ καὶ ζωῆς ἐστι τῆς εἰς αἰῶνας πρόξενος. Ἔθος γὰρ τῇ θείᾳ Γραφῇ πνεῦμα πλειστάκις ὀνομάζειν τὰς τινων συγγραφάς. « Καὶ γοῦν δοκιμάζετε, » φησὶ, « τὰ πνεύματα εἰ ἐκ τοῦ Θεοῦ ἐστιν. » Ἀεὶ γὰρ ἐν ἁγίῳ Πνεύματι τὸ σωτήριον λαλεῖται κήρυγμα, ἤγουν ἐν πνεύματι κοσμικῷ τὰ ὅσαπέρ ἐστι τῇ ἀληθείᾳ μαχόμενα. Γράφει γοῦν ὁ θεσπέσιος Παῦλος περὶ ἑαυτοῦ τε καὶ τῶν ἄλλων ἁγίων· « Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου τούτου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν. » Πνεῦμα τοίνυν σωτηρίας τὸ εὐαγγελικὸν ἀποκαλοῦσι κήρυγμα. Ἀποφέρει γὰρ εἰς ἀμήρυτον ζωὴν καὶ εἰς μακραίωνα βίον.

C VERS. 18. *Propter timorem tuum, Domine, nos uterum gessimus et parturivimus, et peperimus spiritum salutis, quo gravidi fuimus super terra.*

Qui dicunt pietatis causa fuisse se dilecto Patris Filio, scilicet instar feminæ parturientis, in figura sermonis prudenter commorantes, se parturire dicunt, et uterum tulisse, et spiritum salutis super terra peperisse. Quadrare, ut dixi, potest hæc oratio prophetis, et sanctis apostolis, et evangelistis, qui supernæ mystagogiæ largitione ditati, et velut intelligibili semine accepto, spiritum salutis in terra pepererunt, nimirum doctrinam spiritualem, quæ vitæ æternæ conciliatrix est et procuratrix. Solet enim Scriptura divina, spiritum sæpe nominare **369** aliquorum scripta. « Et probate, » D inquit, « spiritus an ex Deo sint [84]. » Nam in Spiritu sancto salutaris prædicatio resonat, et in spiritu mundi, quæcunque sunt veritati pugnantia. Scribit nimirum divinus Paulus de seipso aliisque sanctis: « Nos autem non accepimus spiritum mundi hujus, sed spiritum ex Deo: ut videamus quæ sunt a Deo nobis donata [85]. » Spiritum ergo salutis vocat evangelicam prædicationem: deducit enim ad sempiternam et longævam vitam (1).

[81] Psal. XXXI, 9. [82] Isa. LVII, 3, 4. [83] Psal. LXVIII, 24. [84] I Joan. IV, 1. [85] I Cor. II, 12.

(1) Catena Corderii (III, 922) hæc addit sub nomine Cyrilli: *Τοῦ αὐτοῦ.* Ἔγκαρπον ἀποφαίνει τὴν

VERS. 19. *Non cademus, sed cadent habitantes in terra. Resurgent mortui, et excitabuntur qui sunt in monumentis, et lætabuntur qui in terra sunt. Nam ros qui a te est, sanitas illis est; terra impiorum cadet.*

Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν. Ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

Admiratione sane digna est sanctorum vigilantia. Intelligunt enim semper verbis quæ apud nos faciunt, occurri solere. Itaque cum dixissent, se illis qui in terra sunt spiritum salutis peperisse, mortem tamen contra terræ incolas deinceps etiamnum invalescere videant, quasi dixisset quispiam : Quæ nobis utilitas divinorum præconiorum? ubi salutis spiritus? cadunt enim qui sunt in terra : necessario contra opponunt apologiam, ac inquiunt : Resurgent mortui, gratia quidem Dei, quemadmodum ait beatus Paulus[86]. Dominus noster Jesus Christus pro omnibus gustavit mortem, verum revixit die tertio, et factus est primitiæ eorum qui dormierunt, et radix eorum qui per ipsum ad vitam transformantur, et quasi principium humanæ naturæ, quæ exuit corruptionem, speque inconcussa vitam æternam possidemus. Itaque prorsus ac omnino reviviscent mortui, et mortis imperium in totum abolebitur : verum cum tempus quo resurrectio futura est nondum adsit, natura hominis interim subcidit, eo quod moriendum est, et mortem olim in Christo debilitatam, et in nobis quoque ipsis futuram debilem, tempore suo, perfert. An igitur, inquit, istud nostris sermonibus repugnabit, salutaribusque prædicationibus, quod in terra qui sunt cadant? Certe hoc omnino nihil est. Resurgent enim mortui, et quæ in terra ac monumentis sunt corpora, in vitam redibunt. Jam rursus hujus quis tandem erit modus? Ros qui a te est, sanitas illis est. Et rorem in his **370** vocare eum sentiunt vivificam spiritus efficacitatem et potentiam, per quam excitandos esse mortuos beatus David ait. Psallit enim ad Deum, et dicit : « Avertente enim te faciem, turbabuntur, et in pulverem suum revertentur. Emittes Spiritum tuum, et creabuntur, et renovabis faciem terræ[87]. » Est ergo ros vivificus Spiritus a Patre per Filium, per quem terrestribus corporibus incorruptio tribuitur : at qui in terra cadent, reviviscent (1). Terra vero eorum qui

Ἀξιάγαστος ἀληθῶς τῶν ἁγίων ἡ νῆψις. Ἐννοοῦσι γὰρ ἀεί πως τὸ ἀντιτετάχθαι δοκοῦν, οἷς ἂν πρὸς ἡμᾶς ποιοῖντο λόγοις. Οὐκοῦν ἐπειδήπερ πνεῦμα σωτήριον ἀποτεκεῖν ἔφασκον τοῖς ἐπὶ τῆς γῆς, κατισχύοντα δὲ καὶ μετὰ τοῦτο ἔτι τῶν ἐπὶ γῆς ὁρῶσι τὸν θάνατον, οἱονεί τινος λέγοντος· Τίς ἡ ὄνησις τῶν θείων ἡμῖν κηρυγμάτων; ποῦ δὲ τῆς σωτηρίας τὸ πνεῦμα; πίπτουσι γὰρ οἱ ἐπὶ τῆς γῆς· ἀντεπάγουσιν ἀναγκαίως τὴν ἀπολογίαν, καὶ δὴ καί φασιν, Ἀναστήσονται οἱ νεκροὶ, χάριτι μὲν Θεοῦ, καθά φησιν ὁ μακάριος Παῦλος· Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, πλὴν ἀνεβίω τριήμερος, καὶ γέγονεν ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ ῥίζα τῶν δι' αὐτοῦ μεταπλαττομένων εἰς ζωὴν, καὶ οἷον ἀρχὴ τῆς ἀνθρώπου φύσεως ἀποδυομένης τὴν φθοράν· καὶ πεπλουτήκαμεν μὲν ἐν ἀκλονήτοις ἐλπίσι τὴν εἰς αἰῶνα ζωήν. Ἄραρε δὲ ὅτι πάντη τε καὶ πάντως ἀναβιώσονται μὲν οἱ νεκροὶ, καταργηθήσεται δὲ εἰσάπαν τοῦ θανάτου τὸ κράτος· πλὴν οὔπω παρόντος τοῦ καιροῦ καθ' ὃν ἡ ἀνάστασις· ὑποπίπτει τέως ἡ ἀνθρώπου φύσις, τῷ τεθνάναι δεῖν. Καὶ τὸν ἐν Χριστῷ τέως ἠσθενηκότα, καὶ ἐν ἡμῖν τε αὐτοῖς ἐσόμενον ἀσθενῆ κατὰ καιροὺς ὑπομένει θάνατον. Ἆρ' οὖν ἐκεῖνο, φησὶ, τοῖς παρ' ἡμῶν ἀντιτετάξεται λόγοις, ἤγουν σωτηρίοις κηρύγμασι, τὸ πίπτειν ἔτι τοὺς ἐπὶ τῆς γῆς; Καὶ τί τοῦτό ἐστι; παντελῶς οὐδέν. Ἀναβιώσονται γὰρ οἱ νεκροὶ, καὶ τὰ ἐν γῇ καὶ μνημείοις σώματα παλινδρομήσει πρὸς ζωήν. Καὶ τίς ἂν γένοιτο τοῦδε δὴ πάλιν ὁ τρόπος; Ἡ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστι. Καὶ δρόσον ἐν τούτοις ἀποκαλεῖν ἐγνώκασι τὴν ζωοποιὸν τοῦ πνεύματος ἐνέργειάν τε καὶ δύναμιν, δι' ἧς ἐγερθήσεσθαι τοὺς νεκροὺς ὁ μακάριος ἔφη Δαβίδ. Ψάλλει γάρ που πρὸς Θεὸν, καί φησιν· « Ἀποστρέψαντος γάρ σου τὸ πρόσωπον, ταραχθήσονται, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Δρόσος οὖν ἄρα ζωοποιὸς τὸ Πνεῦμα παρὰ Πατρὸς δι'

[86] I Cor. xv, 35. [87] Psal. CIII, 29, 30.

του ἀνθρώπου ψυχὴν ὁ τοῦ Θεοῦ Λόγος, καὶ τῶν σαρκικῶν ἐπιθυμιῶν κολάζει τὴν κίνησιν. Μήτρᾳ γὰρ ἔοικεν ὁ νοῦς ὁ ἀνθρώπινος, ὃς εἰ λάβοι παρὰ Θεοῦ τὰ τῆς εὐσεβείας σπέρματα, τίκτει πάντως καρποὺς ἀγαθούς. Οὐκοῦν ἔγκαρποι οἱ ἐν Χριστῷ· τίκτουσι γὰρ ὡς ἀπὸ γαστρὸς καὶ μήτρας νοητῆς καρποὺς, ὡς ἔφην, ἀγαθούς.

EJUSDEM. *Verbum Dei fecundam reddit hominis animam, et carnalium desideriorum motum compescit. Mulieris enim utero similis est mens humana, quæ quidem si a Deo pietatis semina receperit, parit omnino bonos fructus. Igitur fecundi sunt qui Christo adhærent : pariunt enim quasi ex utero et matrice spiritali fructus, ut dixi, bonos.*

(1) Hæc in catena Corderii sic exponuntur : *Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν.* ΚΥΡΙΛΛΟΥ. Δρόσον ἐν τούτοις ἀποκαλεῖσθαι ἐγνώκαμεν τὴν ζωοποιὸν τοῦ Πνεύματος ἐνέργειάν τε καὶ δύναμιν, δι' ἧς ἐγερθήσεσθαι τοὺς νεκροὺς ὁ μακάριος ἔφη Δαβίδ. Ψάλλει γάρ που πρὸς Θεὸν καί φησιν· « Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται· καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι καὶ ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Δρόσος οὖν ἄρα ζωοποιὸς τὸ Πνεῦμα παρὰ Πατρὸς, ἡ καὶ αὐτοῖς τοῖς ἐκ γῆς σώμασιν ἐνιεῖσα τὴν ἀφθαρσίαν. *Καὶ πάλιν*· Δρόσον οἶμαι λέγειν τὴν ζωοποιὸν τοῦ ἁγίου Πνεύματος δύναμιν, καὶ τὴν τοῦ θανάτου λυτικὴν ἐνέργειαν· ὡς Θεοῦ καὶ ζωῆς. *Καὶ πάλιν*· Δρόσον ἐν τούτοις οὐχ ἕτερόν τι παρὰ τὸ Πνεῦμα λέγων, ἤτοι ζωοποιὸν τοῦ Πνεύματος ἐνέργειαν, ἡ διὰ Χριστοῦ καὶ τοῖς ἤδη κατεφθαρμένοις ἐκχεομένη σώμασι τὴν ὀλέθριον

Υἱοῦ, καὶ αὐτοῖς τοῖς ἐκ γῆς σώμασιν ἐνιεῖσα τὴν A ἀφθαρσίαν. Ἀλλ' οἱ μὲν ἐν γῇ πεσόντες ἀναβιώσονται, ἡ δέ γε τῶν δεδυσσεβηκότων γῆ πεσεῖται, καὶ τοῦτο παθεῖν συνέβη τῇ τῶν Ἰουδαίων χώρᾳ· πεπαρῳνήκασι γὰρ εἰς Χριστὸν, καὶ εἰς τοὺς ἁγίους μυσταγωγοὺς, καίτοι τὸ τῆς σωτηρίας τεκόντας πνεῦμα τοῖς ἐπὶ τῆς γῆς.

vixerunt impie cadet. Quod usu venit regioni Judaicæ: quippe qui in Christum debacchati fuerunt, sanctosque mysteriorum antistites, quantumvis spiritum salutis in terra degentibus peperissent.

Βάδιζε, λαός μου, εἴσελθε εἰς τὰ ταμιεῖά σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου. Ἰδοὺ γὰρ Κύριος ἀπὸ τοῦ ἁγίου τόπου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς. (1) *Καὶ ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς, καὶ οὐ κατακαλύψει τοὺς ἀνῃρημένους.*

VERS. 20, 21. *Vade, popule mi, ingredere in conclavia tua, claude ostium tuum, abscondere modicum quantulumcunque, donec pertranseat ira Domini. Ecce enim Dominus a sancto inducit iram in eos qui habitant super terram. Et revelabit terra sanguinem suum, et non abscondet interfectos.*

Τὸ τοῦ Θεοῦ πρόσωπον ἐν τούτοις ἡμῖν εἰσκομίζεται τῶν ἁγίων τὸν νοῦν ἐπαλείφοντος εἰς τὸ θληπαθές. Ἐπειδὴ γὰρ ἔμελλον, καὶ τοῖς ἐξ αἵματος Ἰσραὴλ, B καὶ τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν τὸ τῆς σωτηρίας ποιοῦντες πνεῦμα, τοῦτ' ἔστι, τὸ εὐαγγελικὸν ἱερουργοῦντες κήρυγμα δεινοῖς τε καὶ ἀφορήτοις πειρασμοῖς περιπεσεῖσθαι, καὶ αὐτὸν δὲ τὸν ἐπὶ ψυχῇ καὶ αἵματι κίνδυνον ὑπομεῖναι· ταύτῃτοι καὶ μάλα εἰκότως καταneανιεύεσθαι φιλεῖν τῶν τοιούτων αὐτοὺς ἀναπείθει, λέγων· Βάδιζε, λαός μου, εἴσελθε εἰς τὰ ταμιεῖά σου. Εὐφυέστατα δὲ καὶ εὐφήμως ἄγαν ἀποκαλεῖ τὰ ταμιεῖα τάχα που τὰ ἐν τῇ γῇ μνήματα· καὶ δὴ καὶ ἐν ἴσῳ τοῖς ἀληθῶς ἀποκρυπτομένοις ἀποκλείει τὰς θύρας, καὶ διαλανθάνει ἀνέχεσθαι βραχὺ, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου. Εἴρηται μὲν γὰρ τῇ τοῦ γένους ἀρχῇ, τοῦτ' ἔστι, τῷ Ἀδάμ· « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· » καὶ ἐπάρατος ἦν διὰ τὴν παράβασιν ἡ ἀνθρώπου φύσις· ταύτῃτοι καὶ ὑπενήνεκται τῇ C φθορᾷ. Λυθήσεται δὲ τὰ ἐκ θείας ὀργῆς ἐπενηνεγμένα. Καὶ τοῦτο εἰς ἅπαν κατὰ τὸν τῆς συντελείας καιρὸν καταργουμένου θανάτου, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἀνῃρημένης, καὶ τῆς ἁμαρτίας ἐκβεβοθρωμένης. Οὐκοῦν ἀποκρύβηθι, φησὶν, ὦ λαός μου, καὶ ἀνάσχου βραχὺ καὶ ὅσον ὅσον, ἕως ἂν ὁ ἐξ ὀργῆς Κυρίου θάνατος παρελάσῃ, καὶ ὁ τῆς ἁπάντων ἀναστάσεως ἀναμὲν ἐξελαύνει φθορὰν, ἀντικρίνεσθαι δὲ ὥσπερ παρασκευάζει τὴν ζωήν. Ὥσπερ γὰρ ἡ δρόσος ἐπὶ γῆς κατιοῦσα ἠρέμα καὶ πράως ἐκτρέφειν καὶ αὔξειν ποιεῖ τὰ ἐναποκείμενα αὐτῇ σπέρματα· τὸν αὐτὸν τρόπον ἡ παρὰ σοῦ δρόσος ἴαμα καὶ ζωὴν καὶ σωτηρίαν D παρέξει τοῖς σοῖς νεκροῖς, ὧν τὰ σώματα κατὰ καιρὸν ἐπὶ τῆς γῆς ἐσπάρη. Οὐχ ἂν δὲ ἁμάρτοις, αὐτὸν εἶναι λέγων δρόσον τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον· ὃς ἐπιστάξας τὰς ἑαυτοῦ ζωοποιοὺς σταγόνας τοῖς ἑαυτοῦ νεκροῖς ὁμοῦ τε ἴασιν ἁμαρτημάτων, εἴ πού τι αὐτοῖς κατὰ ἄνθρωπον πεπλημμέλητο παρέξει· ὁμοῦ τε ἀνάστασιν καὶ σωτηρίαν, καὶ ζωὴν αἰώνιον αὐτοῖς δωρήσεται. Ἀλλ' οὐχὶ τὰ τῶν ἀσεβῶν τοιαῦτα.

Dei persona nobis hisce verbis sanctorum mentem ad patientiam exhortantis, et quasi inungentis, inducitur. Cum enim tum sanguine Israelitico ortis, tum per totum terrarum orbem degentibus, spiritum salutis administrantes, id est, sacrosanctam Evangelii prædicationem in graves et intolerabiles casuri essent calamitates, adeoque vitæ et sanguinis discrimen subituri: huic et quidem meritissimo suadet adversus res ejusmodi fortes animos gerere, dicens: Vade, popule mi, ingredere in conclavia tua. Aptissimo et fausto nomine conclavia vocat, fortassis in terra monumenta: ac perinde quasi delecti essent, suadet ut fores claudant, sustineantque parumper latere, donec ira Domini pertranseat. Dictum enim est principio generis, id est, Adamo: « Terra es, et in terram reverteris [88]; » ac quidem maledicta fuit, propter transgressionem hominis, natura, unde corruptioni subjecta. Hæc autem ex ira divina illata solventur, idque in solidum, consummationis tempore: exinanita morte, et diaboli tyrannide sublata, peccatoque obruto ac sepulto. Abscondere igitur, inquit, o popule mi, subinde modicum quantulumcunque, donec mors ex ira Dei inflicta pertranseat, omniumque **371** resurrectionis tempus declaretur. Etiamsi enim, inquit, perpetirem puto appellari vitalem virtutem Spiritus sancti, atque operationem quæ mortem destruat; utpote quæ Dei sit ac vitæ. Et rursus: *Rorem hoc loco non aliud quam spiritum dicens, vel vitalem Spiritus sancti operationem, quæ per Christum infusa etiam corporibus jam pridem corruptis expellit mortalem corruptionem, et pro ea vitam reddit. Quemadmodum enim ros in terram delapsus est ea causa ut sensim et leniter semina in ipsa recondita augeantur et crescant: eodem modo ros a te stillans medicinam et vitam ac salutem præbebit defunctis tuis, quorum corpora super terram pro tempore sparsa fuerunt. Neutiquam tamen errabis, si dixeris ipsum rorem esse Unigenitum Dei Verbum: quod quidem suas vitales stillas emittens mortuis suis simul curationem afferet peccatorum, si quid ab ipsis secundum hominem peccatum fuerit; atque insuper a mortuis resurgendi tribuet facultatem, et salutem ac vitam sempiternam. Cæterum res impiorum non sic se habent.*

[88] Gen. III, 19.

Ros enim qui a te, sanatio eis est [*Vulgata*: Quia ros lucis ros tuus]. CYRILLI. *Cognovimus in his rorem appellari vivificam Spiritus operationem atque virtutem, per quam mortuos suscitandos esse David dixit, siquidem alibi ad Deum psallit, et ait: « Avertente autem te faciem turbabuntur: auferes spiritum eorum, et deficient, et in pulverem suum revertentur. Emittes Spiritum tuum, et creabuntur, et renovabis faciem terræ* (*Psal.* CIII, 29). » *Ros igitur vitalis est Spiritus a Patre missus, per quem etiam terrenis corporibus impertit immortalitatem.* Et iterum: *Ro-*

(1) In exemplari Vaticano hæc reperiuntur: Ἐπισκέψασθαι τὴν ἀνομίαν τῶν κατοικούντων τὴν γῆν κατ' αὐτῶν οὕτως. Quæ cum nec in Humfredi versione, nec in LXX legantur, credibile est ex margine in textum irrepsisse.

ris forte mortem, protervia hostium etiam in sanctos A mysteriorum antistites assiliente, attamen omnium herus supplicium his qui sanctos sustulerunt inferet. Inducet enim a sancto Dominus iram super eos qui habitant in terra. Simile est hoc illi : « Et pluit Dominus a Domino super Sodoma ignem et sulphur [88*]. » Igitur Filius a sancto Patris inferet iram habitantibus super terra. Ut enim ipse dixit: « Pater non judicat quemquam, sed judicium omne dedit Filio, ut omnes colant Filium, quemadmodum colunt Patrem [89]. » Instante vero tempore quo ira infligetur qui contra sanctificatos deliquerunt, sanguinem suum revelabit terra, et non abscondet interfectos, id est, omnis sanguis qui cecidit in terram erit manifestus, nemoque occultabitur, seu in oblivionem veniet eorum qui sunt oppressi inju- B ria. Recordabitur etenim omnium opifex, nec ullus omnino erit illorum qui injuste interempti sunt, qui non erit notus, cujusque Deus non meminerit.

CAP. XXVII. VERS. 1. *Die illo inducet Deus gladium sanctum, et magnum, et fortem, super draconem serpentem fugientem, super draconem serpentem tortuosum, et interficiet draconem.*

Inducendam iram his qui impie egerunt, sanctosque occiderunt, cum perpulchre disseruisset, ipsum quoque Satanam dixit, cum filiis suis una esse tollendum, cujus strategematis cedentes, oppugnarunt C sanctos, illorum resistentes prædicationibus. Illo enim, inquit, tempore, quo reteget terra sanguinem suum, sanctum gladium, et acutissimum et magnum, prævalidum et invictum, Unigenitum, scilicet Verbum, inducet Pater super draconem serpentem fugientem, super draconem serpentem tortuosum, et interficiet draconem. Draconem vero et serpentem nominat Satanam. Acerbus enim est et veneni jaculator; et ad hæc timidus. Semper enim ei familiare est fugere. Dirus est etiam et maleficiis gaudens. Currit enim tortuose instar bestiæ; at tolletur, quippe qui in posterum nihil efficiet, imo magis verborum impietatem luet, pœnam ultimam perpessus, et in portis inferorum detentus, æternæ D 372 flammæ materia ac opus, diuturnum ac infinitum sustinens supplicium.

VERS. 2, 3. *Die illo vinea bona, desiderium incipere contra eam. Ego civitas munita, civitas oppugnata; frustra potum dabo illi. Capietur enim nocte, die vero cadet murus.*

Cum absolverit percommode sermonem de his qui per fidem quasi illaqueati sunt, ostenderitque apertissime, ungendos unguento, et vino potandos, in monte sancto omnium nostrum Servatoris Christi, cumque (montem autem dicimus esse Ecclesiam) adjecisset ultionem fore eorum qui interfecti fuerant

[88*] Gen. xix, 24. [89] Joan. v, 22, 23.

A δειχθείη καιρός. Εἰ γὰρ καὶ πάθης, φησὶ, τὸ τεθνάναι τυχὸν, τῆς τῶν μισούντων σκαιότητος ἐπιῤῥιπτούσης καὶ τοῦτο τοῖς ἁγίοις μυσταγωγοῖς, ἀλλ' οὖν ὁ πάντων Δεσπότης ἐποίσει τὴν κόλασιν τοῖς ἀνῃρηκόσιν ἁγίους. Ἐπάγει γὰρ ἀπὸ τοῦ ἁγίου Κύριος τὴν ὀργὴν ἐπὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. Ὅμοιον τοῦτό ἐστιν ἐκείνῳ· « Καὶ ἔβρεξε γὰρ Κύριος παρὰ Κυρίου ἐπὶ Σόδωμα πῦρ καὶ θεῖον. » Οὐκοῦν ὁ Υἱὸς ἀπὸ τοῦ ἁγίου [Humfred. Πατρὸς] Πνεύματος ἐποίσει τὴν ὀργὴν ἐπὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. Ὡς γὰρ αὐτός πού φησιν· « Ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα. » Ἐνστάντος δὲ τοῦ καιροῦ, καθ' ὃν ἡ ὀργὴ τοῖς ἀνόσια πεπλημμεληκόσι κατὰ τῶν ἡγιασμένων ἐπενεχθήσε- B ται, τὸ αἷμα αὐτῆς ἀνακαλύψει ἡ γῆ, καὶ οὐ καταχρύψει τοὺς ἀνῃρημένους, τοῦτ' ἔστι, πᾶν ὅπερ πέπτωκεν εἰς γῆν αἷμα τοῦτο ἔσται φανερὸν ἀποκρυβήσεται οὐδεὶς, ἤγουν εἰς λήθειαν οἰχήσεται τῶν ἠδικημένων. Μεμνήσεται γὰρ ἁπάντων ὁ Δημιουργὸς, καὶ οὐδεὶς ἔσται παντελῶς τῶν ἀδίκως ἀνῃρημένων, ὃς οὐκ ἔσται γνώριμος, καὶ ἐν μνήμῃ Θεοῦ.

Τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν, καὶ τὴν μεγάλην, καὶ τὴν ἰσχυρὰν, ἐπὶ τὸν δράκοντα τὸν ὄφιν φεύγοντα, ἐπὶ τὸν δράκοντα τὸν ὄφιν τὸν σκολιὸν, καὶ ἀνελεῖ τὸν δράκοντα.

Ἐπενεχθήσεσθαι τὴν ὀργὴν τοῖς ἠσεβηκόσι, καὶ ἀπεκτονόσιν αὐτοὺς, εὖ μάλα διειρηκὼς συναναιρεθήσεσθαι τοῖς ἑαυτοῦ τέκνοις, καὶ αὐτὸν ἔφη τὸν C Σατανᾶν· οὗ τοῖς στρατηγήμασιν εἴκοντες κατεστράτευον τῶν ἁγίων οἱ τοῖς παρ' αὐτῶν κηρύγμασιν ἀντεξάγοντες. Κατ' ἐκεῖνο γὰρ, φησὶ, τοῦ καιροῦ, καθ' ὃν ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς τὴν ἁγίαν τε καὶ τομωτάτην, καὶ μεγάλην μάχαιραν, τὴν παναλκῆ καὶ ἀκαταγώνιστον, τοῦτ' ἔστι, τὸν μονογενῆ Λόγον, ἐπάξει ὁ Πατὴρ ἐπὶ τὸν δράκοντα τὸν ὄφιν φεύγοντα· ἐπὶ τὸν δράκοντα ὄφιν σκολιὸν, καὶ ἀνελεῖ τὸν δράκοντα. Δράκοντά τε καὶ ὄφιν ὀνομάζει τὸν Σατανᾶν. Πικρὸς γὰρ καὶ ἰοβόλος, καὶ πρός γε τοῦτο δειλός. Ἀεὶ γὰρ φεύγειν ἔθος αὐτῷ. Δεινὸς δέ ἐστι καὶ φιλοκακοῦργος. Σκολιοδρομεῖ γὰρ ὥσπερ τὸ θηρίον, πλὴν ἀναιρεθήσεται· καὶ γὰρ ἀπρακτήσει λοιπὸν, μᾶλλον δὲ τοὺς τῆς ἀνοσιότητος ἀποτίσει λόγους, D ποινὴν ἀνατλὰς τὴν ἐσχάτην, καὶ ταῖς ᾅδου πύλαις κάτοχος γεγονὼς, ἔργον τε τῆς εἰς αἰῶνα φλογὸς μακράν τε καὶ ἀτελεύτητον ὑπομένων κόλασιν.

Τῇ ἡμέρᾳ ἐκείνῃ ἀμπελὼν καλὸς, ἐπιθύμημα ἐξάρχειν κατ' αὐτοῦ. Ἐγὼ πόλις ὀχυρὰ, πόλις πολιορκουμένη· μάτην ποτιῶ αὐτήν. Ἁλώσεται γὰρ νυκτὸς, ἡμέρας δὲ πεσεῖται τεῖχος.

Διαπεράνας εὖ μάλα τὸν ἐπί γε τοῖς διὰ πίστεως σεσαγηνευμένοις λόγον, καὶ ὅτι χρίσονται μύρῳ, καὶ πίονται οἶνον ἐν τῷ ὄρει τῷ ἁγίῳ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ σαφέστατα διειπών· ὄρος δὲ εἶναί φαμεν τὴν Ἐκκλησίαν· προσεπαγαγών τε ὅτι καὶ ἐκδίκησις ἔσται τῶν ἀνῃρημένων δι' εὐσέβειαν, καὶ

μὴν ὅτι τῇ ἁγίᾳ, καὶ μεγάλῃ μαχαίρᾳ πάντῃ τε καὶ A πάντως ὁ ἀποστάτης ἀπολεῖται δράκων, ἀνακομίζει τὸν λόγον ἐπὶ τοῖς συμβεβηκόσιν ἐξ ἀμαθίας τοῖς ἐξ αἵματος τοῦ Ἰσραήλ. Κατ' ἐκεῖνο γάρ, φησί, τοῦ καιροῦ, καθ' ὃν ἀπαράδεκτον τὴν εἰς Χριστὸν ποιήσονται πίστιν· Ἐγὼ ὁ ἀμπελὼν ὁ καλός, οὗ καὶ τὸ κατάρχειν ἐπιθύμημα φαίη τις ἄν· ἐγὼ ἡ πόλις ἡ ὀχυρά· πεποίηται γὰρ οὕτως ὡς ἀπό γε τῆς Ἱερουσαλὴμ ὁ λόγος· Ἔσομαι πόλις πολιορκουμένη. Εἶτα τὸ τοῦ Θεοῦ πρόσωπον ὁ προφήτης ἡμῖν εἰσκομίζει, λέγων, ὅτι Μάτην ποτιῶ αὐτήν. Εἰ γὰρ καὶ γέγονε, φησίν, ἄμπελος εὐκληματοῦσα ὁ Ἰσραήλ, κατὰ τὴν Ἱερεμίου φωνήν, ἀλλ' ἐποίησεν ἀκάνθας, καὶ ἀνόνητον ἐφ' ἑαυτῇ τὴν διὰ τοῦ νόμου παράκλησιν ἐποιήσατο. Μάτην οὖν ἄρα πεπότικέ τε αὐτὴν διὰ τοῦ πάλαι νόμου, κἂν εἰ ποτίσειεν ἔτι δι' εὐαγγελικοῦ κηρύγματος, B ἀνωφέλητος καὶ οὕτως ὑπομενεῖ. Τί τοίνυν ἐντεῦθεν συνέβη παθεῖν αὐτήν; Ἁλώσεται νυκτός, ἡμέρας δὲ πεσεῖται τεῖχος. Ἐπειδὴ γὰρ αὐτὴν πόλιν ὠνόμασεν ἰσχυράν, καὶ μέντοι πολιορκουμένην ἀναλόγως τῇ τῶν νοημάτων ἀκολουθείᾳ ἁλῶναί τέ φησιν αὐτήν, καὶ μὴν ὅτι καὶ τὸ τεῖχος πεσεῖται διισχυρίζετο. Τὸ δέ γε νυκτὸς μὲν ἁλῶναι καὶ ἐν ἡμέρᾳ δὲ πεσεῖσθαι τεῖχος ἔοικέ τι τοιοῦτον ὑποδηλοῦν. Εἴληπται μὲν γάρ, ἤτοι πεπόρθηται, καθάπερ ἐν ἀχλύϊ καὶ σκότει γεγενημένη διά τοι τὸ μὴ ἀνασχέσθαι λέγοντος τοῦ Χριστοῦ· « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτί, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ. » Ἐπειδὴ δὲ τῶν παρ' αὐτοῦ λόγων ὀλίγα πεφροντικότες διατετελέκασιν, οἱ δείλαιοι κατελήφθησαν ὡς ἐν σκότῳ. C Κατεκράτησε γὰρ αὐτῶν ἡ ἁμαρτία. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς τοῦ Χριστοῦ πρὸς αὐτοὺς εἰρημένον· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Ἥλω τοιγαροῦν, καὶ ἀπομεμένηκεν ἐν ἁμαρτίαις· πέπτωκε δὲ τεῖχος ὡς ἐν ἡμέρᾳ, τοῦτ' ἔστιν, ἐναργῶς τε καὶ ἐμφανῶς, τῆς παρὰ Θεοῦ περιβολῆς ἐστέρηται. Τοιοῦτόν τί φησι καὶ ἐν ἀρχαῖς ὁ μακάριος προφήτης Ἡσαΐας. « Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαώθ, ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον. Ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. » Εἶτα προσεπάγει· « Νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ποιήσω τῷ ἀμπελῶνί μου· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα, καὶ ἀνήσω τὸν D ἀμπελῶνά μου καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ, καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα, καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. » Ὁρᾷς ὅπως ἐστὶν ἀληθὲς ὅπερ ἔφην, τοῦτ' ἔστι, τὸ μάτην ποτιῶ αὐτήν. Οὐ γὰρ δέδωκεν ἔτι τὸν νοητὸν ὑετὸν τοῖς ἐξ Ἰσραήλ· καθεῖλε δὲ τὸν φραγμὸν αὐτοῦ, καὶ πρός γε τούτῳ τὸν τοῖχον. Καὶ φραγμὸν μὲν ἴσως τὰς ἐκ τῶν ἀγγέλων ἐπικουρίας ἀποκαλεῖ· τοῖχόν γε μὴν ἄληπτόν τε καὶ πεπηγότα τῆς παρ' ἑαυτοῦ δυνάμεως τὴν περιβολήν. Ὄρη γάρ, φησί, κύκλῳ αὐτοῦ, καὶ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. Ἐὰν δὲ λέγῃ τό, « πέπτωκεν, » οὐχὶ πάντως ὅτι καὶ κατεκομίσθη δηλοῖ, ἀλλ' ὅτι μᾶλλον ἀφῄρηται. Μεμένηκε γὰρ ἀνεπικούρητος ὁ Ἰσραήλ, καὶ τῆς ἄνωθεν φειδοῦς καὶ ἀγάπης ἀμέτοχος παντελῶς.

religionis ergo, et gladio sancto et magno draconem defectorem prorsus penitusque perdendum, sermonem redintegrat de his quæ obtigerunt per ignorantiam sanguine Israelitico prognatis. Sub id enim tempus, inquit, quo fidem in Christum non recipient : Ego vitis pulchra, cujus desiderium incipere quispiam dixerit : ego civitas munita. Habetur enim hæc oratio velut ab Jerusalem : Ero civitas oppugnata. Deinde personam Dei nobis inducit propheta dicens : Frustra dabo illi potum. Etsi enim, inquit, fuerit vitis frondosa, juxta vocem Jeremiæ [Oseæ] [90], Israel, tamen protulit spinas, et legis exhortationem sibi reddidit inutilem. Frustra igitur lege antiqua illam potavit : et si evangelica prædicatione eam etiamnum potaret, et illud quoque manebit inutile. Quid ergo inde eveniet? Capietur nocte, die vero cadet murus. Postquam enim civitatem fortem nominavit, et tamen obsessam, consecutioni sententiarum accommodate dicit quoque eam capi, et mœnia casura affirmat. Illud autem, noctu capi, et interdiu casura mœnia, tale quid videtur submonstrare. Occupata enim fuit et vastata, ut quæ fuerit tanquam in caligine ac tenebris versata, eo quod non sustinuerit Christum dicentem : « Donec lucem habetis, ambulate in luce, ne tenebræ vos comprehendant [91]. » Cumque sermones ejus semper parvi duxerint, miseri veluti in tenebris comprehensi sunt. Dominatum enim est in eos peccatum. Id quod voce Christi ad eos dictum est : « Amen dico vobis, nisi credideritis **373** quod ego sim, in peccatis vestris moriemini [92]. » Capta est igitur, mansitque in peccatis; cecidit murus velut in die, id est, conspicue ac manifeste divino munimento privata est. Cujusmodi etiam in principio dicit propheta beatus Isaias : « Vinea enim Domini Sabaoth, homo Juda, novella, dilecta. Exspectavi ut proferret uvam, at protulit spinas [93]. » Dein adjunxit : « Nunc autem annuntiabo vobis quid facturus sim vineæ meæ : Auferam sepem ejus, et erit direptioni, et tollam murum ejus, et erit conculcationi. Et demam vineam meam, et non putabitur neque fodietur; et ascendent in illam ut in terram incultam spinæ. Et nubibus mandabo ne pluviam in eam depluant [94]. » Vides, quo pacto verum sit quod dixi, nimirum : Frustra potum illi dabo. Non enim amplius pluviam intelligibilem Israelitis dedit, sed ejus sepem, atque etiam murum diruit. Sepem quidem fortassis angelorum auxilia vocat; murum inexpugnabilem et fixam ejus potentiæ munitionem. Montes enim, inquit, in circuitu ejus. Et Dominus in circuitu ejus; et Dominus in circuitu populi sui. Et si dicat, « cecidit, » non significat sane dejectum, sed potius sublatum esse. Mansit enim Israel destitutus præsidio, et prorsus expers supernæ misericordiæ atque amoris.

[90] Ose. x, 1. [91] Joan. xii, 35. [92] Joan. viii, 24. [93] Isa. v, 7. [94] Ibid., 5, 6.

Vers. 4. *Non est quæ non apprehendet eam. Quis me ponet ut custodem stipulæ in agro? Propter hostilem hanc regionem aspernatus sum eam.*

Obsessa fuit Judæorum regio post Servatorem cruci affixum, et ex omnibus gentibus congregati, potentissimæ nempe Romanorum copiæ, adversus gentem Judaicam fortiter consurrexerunt. Quin et alio modo vastata est, intelligenter nimirum et recondite. Tradita enim est in conculcationem immundis spiritibus. Si enim sepimento sit privata, et murus qui illam servat dirutus sit, ecquis dubitare potest quin direptioni ferarum intellectualium sit exposita? Hoc siquidem voce Davidis dictum fuit de illa, ad universorum servatorem Christum: « Quare destruxisti sepem ejus, et vindemiant eam omnes qui prætergrediuntur viam [84]? » Depopulata est eam sus ex silva, et asinus ferus depastus est eam. Etenim per hæc, vastas perturbationes, **374** quibus mens Judæorum subjugata est, significat, asino extremam rationis inopiam, sue vero voluptatem significante. Quod igitur ab omni deprædari volente capi possit facile, docet, cum inquit: Non est quæ illam non apprehendet: non enim est manus, non vis, vel hominum, vel malorum spirituum, quæ illam non comprehendit. Sed, o Domine, dixerit forte quispiam: Non servasti tuum populum, non custodivisti, non murus ei prævalidus exstitisti. Certe, inquit, custodivi, et gratia mea et potentia circumvallavi, quin et custodiri oportuit tunc cum legis fructum haberet. At vero, inquit, cum eo infelicitatis deducta esset, eo spirituali laboris odio laboraret, ut nullum virtutis fructum ederet, videreturque stipulæ inani et infructuosæ similis: quis me constituet ut custodiam eam? Quæ enim est ex hac mea securitate et custodia utilitas, si bonis fructibus vacua fuerit? Quis mihi hoc persuadebit? Hoc enim denotat, « Constituere, » ad custodiendum stipulam in agro. Sed quomodo eo infelicitatis devenit, rationem reddit, cum dicit: Propter hanc hostilem regionem repudiavi eam. Commonstrat his verbis tantum et digito Jerusalem. Postquam, inquit, mihi facta est infestissima, propterea et quidem justissime illam repudiavi. Non enim aliam hostilem esse dicit hic, rursum aliam se repudiasse, sed eamdem potius Jerusalem, et ut hostilem demonstrat, et repudiasse dicit, dejectam videlicet spirituali cum ipso societate. Dixit enim ei: « Quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos suos sub alis, et noluistis? Ecce relinquitur vobis domus vestra deserta [85]. »

Vers. 5. *Propter hoc igitur fecit Dominus Deus omnia quæcunque ordinavit. Combusta sum, clamabunt omnes habitantes in ea.*

Cum enim, inquit, hostilis facta sit, et conservatori restiterit, et vocanti ad vitam velut inimico bellum intulerit, propterea omnia quæcunque or-

Οὐκ ἔστιν, ἢ οὐκ ἐπελάβετο αὐτῆς. Τίς με θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ; Διὰ τὴν πολεμίαν ταύτην ἠθέτηκα αὐτήν.

Πεπολιόρκηται μὲν ἡ τῶν Ἰουδαίων χώρα μετὰ τὸν τοῦ Σωτῆρος σταυρόν. Καὶ οἱ ἐκ παντὸς ἔθνους συναγηγερμένοι, τοῦτ' ἔστιν, ἡ πανσθενὴς τῶν Ῥωμαίων στρατιὰ κατεξανέστησαν ἀνδρικῶς τοῦ τῶν Ἰουδαίων ἔθνους. Πεπόρθηται δὲ καὶ ἑτέρως, νοητῶς δηλονότι, καὶ κεκρυμμένως· δέδοται γὰρ εἰς καταπάτημα τοῖς ἀκαθάρτοις πνεύμασιν. Εἰ γὰρ ἐστέρηται τοῦ φραγμοῦ, καὶ τὸ σῶζον αὐτὴν ἀφῄρηται τεῖχος, πῶς ἂν ἐνδοιάσειέ τις ὅτι γέγονε νομὴ τῶν νοητῶν θηρίων; Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς τοῦ Δαβὶδ περὶ αὐτῆς εἰρημένον πρὸς τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· « Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶντες αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; » Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ· καὶ ὄνος ἄγριος κατενεμήσατο αὐτήν. Ἡ γὰρ τὰ πολύτροπα διὰ τούτων σημαίνει πάθη ὑφ' ὧν κεκράτηται τῶν Ἰουδαίων ὁ νοῦς· ἀλογίαν μὲν τὴν ἐσχάτην τοῦ ὄνου σημαίνοντος· ἡδονήν γε μὴν τοῦ ὑός. Ὅτι οὖν γέγονεν εὐάλωτος παντὶ τῷ καταδῃοῦν ἐθέλοντι τοῦτο διδάσκει, λέγων· Οὐκ ἔστιν ἢ οὐκ ἐπελάβετο αὐτῆς, οὐ γάρ ἐστι χεὶρ ἤτοι δύναμις, ἢ ἀνθρώπων ἢ πονηρῶν πνευμάτων ἥτις οὐκ ἐπελάβετο αὐτῆς. Ἀλλ', ὦ Δέσποτα, φαίη τις ἂν ἴσως· οὐ γὰρ ἔσωζες ὡς σὸν ὄντα λαὸν, οὐκ ἐφρούρεις αὐτὴν, καὶ τεῖχος ἦσθα τὸ παναλκές. Ναὶ, φησὶ, πεφρούρηκά τε καὶ περιβέβληκα τῇ παρ' ἐμαυτοῦ χάριτί τε καὶ εὐσθενείᾳ· ἀλλ' ἦν ἀναγκαῖον φρουρεῖσθαι τότε καρπὸν ἔχοντα τὸν ἐκ νόμου. Ἐπειδὴ δὲ λοιπὸν κατεκομίσθη εἰς τοῦτο, φησὶν, ἀθλιότητος, καὶ ἀφιλεργίας πνευματικῆς, ὡς καρπὸν ἔχειν τὸν ἐξ ἀρετῆς οὐδένα· ἔοικε δὲ καλάμῃ ψιλῇ καὶ ἀκάρπῳ· τίς με θήσει φυλάσσειν αὐτόν; Ποῖον γάρ ἐστι τὸ ἐκ τῆς ἀσφαλείας ὄφελος, εἰ καρπῶν ἐρήμη γέγονεν ἀγαθῶν; τίς οὖν ἀναπείσει με; Τοῦτο γὰρ τὸ «Θήσει» δηλοῖ φυλάσσειν καλάμην ἐν ἀγρῷ. Ἀλλὰ γὰρ πῶς εἰς τοῦτο ταλαιπωρίας ἐκβέβηκεν ἀπολογεῖται λέγων· Διὰ τὴν πολεμίαν ταύτην ἠθέτηκα αὐτήν. Καταδείκνυσιν ἐν τούτοις μονονουχὶ καὶ δακτύλῳ τὴν Ἱερουσαλήμ. Καὶ ἐπειδήπερ, φησὶ, γέγονέ μοι πολεμιωτάτη, ταύτῃτοι καὶ μάλα εἰκότως ἠθέτηκα αὐτήν. Οὐχ ἑτέραν τοίνυν πολεμίαν ἐν ἑαυτῷ γενέσθαι, φησὶν, ἀθετῆσαί τε πάλιν ἑτέραν, αὐτὴν δὲ μᾶλλον τὴν Ἱερουσαλὴμ, ὡς πολεμίαν καταδείκνυσι, καὶ ἠθετεῖσθαί φησιν, ἀποβεβλημένος δηλονότι τῆς πρὸς αὐτὸν οἰκειότητος πνευματικῆς. Ἔφη γὰρ πρὸς αὐτήν· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. »

Τοίνυν διὰ τοῦτο ἐποίησε Κύριος ὁ Θεὸς πάντα ὅσα συνέταξε. Κατακέκαυμαι, βοήσονται πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Ἐπειδὴ γὰρ γέγονε πολεμία, φησὶ, καὶ ἀντέστη τῷ σώζοντι, καὶ πεπολέμηκεν ὡς ἐχθρῷ τῷ καλοῦντι πρὸς ζωὴν, διὰ τοῦτο πάντα ὅσα συνέταξε, τοὺς

[84] Psal. LXXXVIII, 41, 42. [85] Matth. XXIII, 37, 38.

ἐστιν, ὥρισέ τε καὶ γενέσθαι βεβούλευται, διεκόμισεν εἰς πέρας. Καὶ τίνα ταῦτά ἐστι; Τὸ ἠθετῆσθαι πάντως που, τὸ μηκέτι σχεῖν τὸν νοητὸν ὑετόν. Τὸ ὑπομεῖναι τὴν πολιορκίαν, τὸ ἐν ἐνδείᾳ γενέσθαι τῆς ἄνωθεν εὐμενείας, καὶ περιβολῆς; Ἐμπέπρησται γὰρ καὶ εἰς ἀχρειότητα κατεκομίσθη παντελῆ. Καὶ κατακέκαυμαι. Βοήσονται πάντες, φησὶν, οἱ κατοικοῦντες ἐν αὐτῇ. Κἂν εἰ βούλοιτό τις ἱστορικώτερον τοῖς προσκειμένοις προσβαλεῖν, κατεμπρησθεῖσαν εὑρήσει τὴν Ἱερουσαλήμ. Εἰ δὲ δὴ καὶ καθ' ἕτερον τρόπον, ὁ ἐμπρησμὸς ἐν τούτοις τὴν εἰσάπαν ἀχρειότητα δηλοῖ. Καὶ τὸν ὁλοτρόπως ἐπιῤῥιφέντα τοῖς Ἰουδαίοις ἀφανισμὸν, μονονουχὶ τῆς θείας ὀργῆς καταπιμπράσης αὐτοὺς, καὶ χοῦν οἷά περ καὶ σποδιὰν ἀποφαίνοντος. Τοιοῦτόν τί φησι καὶ ὁ θεσπέσιος προφήτης Ἱερεμίας ὡς πρός γε τὴν Ἱερουσαλήμ· « Ἐλαίαν ὡραίαν εὔσκιον τῷ εἴδει ἐκάλεσε Κύριος τὸ ὄνομά σου εἰς φωνὴν περιτομῆς αὐτῆς· ἀνήφθη πῦρ ἐπ' αὐτὴν, μεγάλη ἡ θλίψις ἐπ' αὐτήν. » Ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς. Ἀχρειοῖ γὰρ ὁλοτρόπως τὴν τοῦ ἀνθρώπου ψυχὴν, τὸ ἀποφοιτῆσαι Θεοῦ, καὶ ἀμοιρῆσαι παντελῶς τῆς παρ' αὐτοῦ χάριτος, καὶ ἐπικουρίας. « Φοβερὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρα Θεοῦ ζῶντος, » καὶ καθά φησιν ὁ Μωσῆς, « Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. »

A dinavit, id est, definivit, fierique decrevit, ad finem perduxit. Et quæ tandem ista? Repudiari omnino, pluviam intelligibilem posthac non habere, obsidionem pati, superno favore et munimento carere. Incensa est enim, et prorsus inutilis **375** reddita. Et combustus sum. Clamabunt enim, inquit, omnes qui habitant in illa. Si vero quis historica his dictis adjicere mallet, incensam inveniet Jerusalem. Sin aliter, incensio omnimodam in his verbis inutilitatem denotat, omnibusque modis incumbentem Judæis desolationem, divina ira illos tantum non incendente, et in pulverem veluti ac cinerem redigente. Tale quid etiam dicit Jeremias divinus propheta tanquam ad Jerusalem: « Olivam umbrosam pulchram specie vocavit Dominus nomen tuum; ad B vocem circumcisionis ejus accensus est ignis super eam: magna afflictio super illam [96]. » Inutiles facti sunt rami ejus. Inutile est enim et noxium animæ hominis, a Deo discedere, ejusque gratia et auxilio omnino privari. « Horrendum est enim incidere in manus Dei viventis [97], » et quemadmodum ait Moses: « Deus noster ignis consumens est [98]. »

Ποιήσωμεν εἰρήνην αὐτῷ, ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι, τέκνα Ἰακώβ. Βλαστήσει, καὶ ἐξανθήσει Ἰσραὴλ, καὶ ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ.

VERS. 6. *Faciamus pacem cum eo, faciamus pacem qui venimus, filii Jacob. Germinabit et florebit Israel, et implebitur orbis terræ fructu ejus.*

Ὡς τῶν Ἰουδαίων ἀπειρηκότων τὴν εἰς τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν ἀγάπην τε καὶ πίστιν, ὡς ἀπολακτίσαντος μὲν τοῦ ἠγαπημένου, μεταστήσαντος δὲ τὴν κλῆσιν ἐπὶ τὰ ἔθνη καὶ τοὺς ἐκ περάτων τῆς ὑπ' οὐρανὸν σαγηνεύοντος τοῦ Χριστοῦ διὰ τῶν ἁγίων ἀποστόλων ὁ μακάριος προφήτης τοῖς ἁπανταχόθεν λαοῖς σοφὸς προαναφαίνεται σύμβουλος, καί φησι πρὸς αὐτούς· Ἀποπεφοίτηκε μὲν ὁ Ἰσραὴλ, ἀπελάκτισεν ὁ πρωτότοκος, ἀρνεῖται τὴν πίστιν, δεδυσσέβηκεν εἰς τὸν λυτρωτήν· ἀλλ' ἡμεῖς οἱ ἐρχόμενοι, τοῦτ' ἔστιν, οἱ μέλλοντες ἥξειν κατὰ καιρούς· ἥξειν δὲ δὴ πάντως ὡς ἀπὸ σκότους εἰς φῶς, ἐξ ἀμαθίας Ἑλληνικῆς εἰς ἐπίγνωσιν τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ, ἐξ ἁμαρτιῶν εἰς δικαίωσιν· ποιήσωμεν εἰρήνην αὐτῷ, τοῦτ' ἔστι, τὴν ἀρχαίαν καταλύσαντες ἔχθραν, εἰρηνεύσωμεν πρὸς τὸν Θεόν. Ἀνῃρημένης γὰρ τῆς ἁμαρτίας καὶ κατηργημένου τοῦ Σατανᾶ, καὶ οὐδενὸς ὄντος ἔτι διακωλύοντος, τοῦ διïστάντος καὶ χωρίζοντος ἡμᾶς ἀπὸ Χριστοῦ, συναινέσωμεν τοῖς αὐτοῦ θεσπίσμασιν· ἀκολουθήσωμεν οἷς ἂν βούλοιτό τε καὶ λέγοι, ὑπαγάγωμεν τὸν αὐχένα τοῖς Εὐαγγελικοῖς κηρύγμασι· ποιήσομεν γὰρ οὕτω τὴν πρὸς αὐτὸν εἰρήνην. Τοιοῦτό τί φησι καὶ ὁ πάνσοφος Παῦλος τοῖς ἐξ ἐθνῶν κεκλημένοις· « Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Παρακαλέσας τοίνυν τοὺς ἐρχομένους περὶ ὧν καὶ ὁ μακάριος ἔφη Δαβίδ· « Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, » μεθίστησι τὸν λόγον ἐπ' αὐτοὺς τοὺς ἁγίους ἀποστόλους

C Perinde quasi Judæi dilectioni ac fidei in Servatorem universorum Christum renuntiassent, quasique dilectus eos repulisset, vocationemque ad gentes transtulisset, Christusque a finibus terræ homines velut irretiret per sanctos apostolos, beatus propheta omnibus ubique gentibus fidus consultor adest jam, et dicit: Recessit Israel, recalcitravit primogenitus, negat fidem, impius in redemptorem exstitit: at nos, qui venimus, id est, qui olim veniemus, veniemus autem omnino velut a tenebris ad lucem, ab ignorantia Græca ad agnitionem veri Dei, a peccatis ad justitiam: faciamus pacem cum eo, id est, pristina simultate dissoluta, pacem apud Deum habeamus. Sublato namque peccato, et abolito Satana, et nemine prohibente qui nos a D Christo secludat et separet, consentiamus ejus vaticiniis, quæ velit et dicit sequamur, Evangelii prædicationi cervicem subdamus; sic enim faciemus pacem cum eo, cujusmodi dicit etiam sapientissimus Paulus, his qui ex gentibus vocati sunt: « Justificati igitur ex fide, pacem habemus **376** apud Deum per Dominum nostrum Jesum Christum [99]. » Hortatus igitur eos qui veniunt (de quibus etiam David ait: « Annuntiabitur Domino ætas ventura [1] »), sermonem ad ipsos sanctos apostolos traducit: et cum orbem terrarum Deo adducendum intellexisset, seu per Spiritum sanctum didicisset, exsilit quodammodo, et præ ingenti gaudio inquit: Filii Jacob germinabunt, et efflorescet Israel, et implebit

[96] Jerem. XI, 16. [97] Hebr. X, 31. [98] Deut. IV, 24. [99] Rom. V, 1. [1] Psal. XXI, 32.

orbis terrarum fructu ejus. Nati enim sunt ex A sanguine Jacob, qui cognominatus est etiam Israel, divini discipuli. Postquam vero ab ortu in occasum, et in omnem terram exiit sonus eorum, et in fines orbis terrarum verba eorum [1], vocata est ad agnitionem gentium multitudo, et sicuti verba prophetæ habent, impletus est orbis terrarum fructu ejus. Cujus vero? Scilicet Israelis, id est, eorum qui orti sunt ex Israelis sanguine. Fructus namque sudorum apostolicorum sunt credentes, quos gaudium et coronam divinus Paulus nominavit. Gloriatio enim vere, et prædicatio sanctorum mystagogorum sunt, qui per ipsos servati sunt.

ὅτι κατακτήσονται τῷ Θεῷ τὴν ὑπ' οὐρανόν, ἐννενοηκώς, ἤτοι μεμαθηκὼς διὰ τοῦ ἁγίου Πνεύματος ἀνασκιρτᾷ τρόπον τινά, καί φησιν ἐκ πολλῆς ἄγαν τῆς περιχαρείας· Τέκνα Ἰακὼβ βλαστήσει, καὶ ἐξανθήσει Ἰσραήλ, καὶ ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ. Γεγόνασι μὲν γὰρ ἐξ αἵματος Ἰακώβ, ὃς μετωνόμασται καὶ Ἰσραήλ, οἱ θεσπέσιοι μαθηταί. Ἐπειδὴ δὲ ἐξ ἠοῦς εἰς ἑσπέραν, καὶ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν, κέκληται πρὸς ἐπίγνωσιν τῶν ἐθνῶν ἡ πληθύς, καὶ καθά φησι τῆς προφητείας ὁ λόγος, ἐνεπλήσθη ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ. Καὶ τίνος ἄρα; Ἢ δηλονότι τοῦ Ἰσραήλ, τοῦτ' ἔστι, τῶν ἐξ αἵματος Ἰσραήλ. Καρποὶ γὰρ ἱδρώτων ἀποστολικῶν οἱ πιστεύσαντες· χαρὰν δὲ αὐτοὺς καὶ στέφανον ὁ θεσπέσιος ὠνόμασε Παῦλος· καύχημα γὰρ ἀληθῶς καὶ δόξα τῶν ἁγίων μυσταγωγῶν οἱ δι' αὐτῶν σεσωσμένοι.

VERS. 7. *Nunquid ut ipse percussit, sic et ipse cædetur? et sicut ipse occidit, sic occidetur? Rixans et exprobrans emittet eos.* B

Μὴ ὡς αὐτὸς ἐπάταξε, καὶ αὐτὸς οὕτως πληγήσεται, καὶ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀναιρεθήσεται; Μαχόμενος, καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς.

Cohæret plane cum his quæ dicta sunt, horum verborum sententia : quo autem modo quoad licet dicemus. Etenim diximus quod filii Jacob germinabunt, et florebit Israel, et implebitur orbis fructu ejus. Sed perinde quasi urgeret quispiam ac diceret : Etiam impie egit ultra modum Israel; præfractus enim fuit et pervicax, occiditque sanctos, ac in quemvis justum hominem ac prophetam grassatus est, et manum habet plenam sanguinibus : ita quomodo rursus florebit? et quomodo quasi nihil sceleris admissum sit, implebitur orbis fructu ejus? quibus propheta : Nunquid, inquit, ut ipse percussit, C etiam ipse sic cædetur? An ut ipse occidit, sic occidetur? Impotenti enim iracundia, et effrenato impetu contra sanctos usus, eos interfecit, quasi nullo modo misereri novisset. An igitur pari et æquali vindicta utetur in eos fons clementiæ, sicque tollet eos, quomodo et ipsi sanctos **377** sustulerunt? An potius vincet ut Deus, et non in totum exscindet dilectum et electum quondam propter patres? Tale quiddam est apud unum e sanctis prophetis dictum a Deo : « Quid tibi faciam, Ephraim? quid tibi faciam, Juda? Sicut Adama ponam te, et sicut Seboim conversum est cor meum in hoc. Conturbata est pœnitentia mea. Non faciam juxta iram furoris mei. Non relinquam ut deleatur Ephraim, quoniam Deus ego sum, et non homo in te sanctus [2]. » Nam opor- D tuit, oportuit, inquam, eum qui Deus est, et non homo ut nos, et clementia nos anteire, et ut natura quidquid ortum habet superat, sic mortalibus antestare, et hac, inquam, humanitate debet excellere. Itaque florebit Israel, et implebitur orbis terrarum fructu ejus, eo modo qui jam expositus est. Non enim sic occidetur, inquit, sicut ipse occidit, neque pari modo ferietur, etiamsi immani furore exagitatus sanctos percusserit. Ergo quæ tandem erit mensura hujus contra illos commotionis? Rixans,

Ἕπεται σφόδρα τοῖς εἰρημένοις ἡ τῶν προκειμένων διάνοια· καὶ κατὰ τίνα δὲ τρόπον ἐροῦμεν ὡς ἔνι. Ἔφημεν γὰρ ὅτι τέκνα Ἰακὼβ βλαστήσει καὶ ἐξανθήσει, καὶ ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ. Ἀλλ' ὥσπερ τινὸς ἀντεγειρομένου τε καὶ λέγοντος· Καίτοι δεδυσσέβηκεν οὐ μετρίως ὁ Ἰσραήλ· σκληρὸς γὰρ γέγονε καὶ δυσάγωγος, καὶ ἀπέκτονε μὲν ἁγίους, ἐπεπήδησε δὲ δικαίῳ παντὶ καὶ προφήτῃ, καὶ αἱμάτων ἔχει τὴν χεῖρα μεμεστωμένην· εἶτα πῶς ἐξανθήσει πάλιν, καὶ ὡς γεγονότος τῶν ἐκτόπων οὐδενὸς ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ; πρὸς δὴ τὰ τοιάδε φησὶν ὁ προφήτης· Μὴ ὡς αὐτὸς ἐπάταξε, καὶ αὐτὸς οὕτως πληγήσεται; Ἢ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀναιρεθήσεται; Ἐχρήσατο μὲν γάρ, φησί, κατὰ τῶν ἁγίων ἀκράτῳ θυμῷ, καὶ ἀχαλίνοις ὁρμαῖς ἀνεῖλεν αὐτοὺς ὡς κατ' οὐδένα τρόπον οἰκτείρειν εἰδώς. Ἆρ' οὖν ἰσοῤῥόποις ὀργαῖς, καὶ ἰσοστάθμῳ δίκῃ κεχρήσεται κατ' αὐτῶν ἡ τῆς ἡμερότητος πηγή, καὶ οὕτως αὐτοὺς ἀνελεῖ, καθὰ καὶ αὐτοὶ τοὺς ἁγίους ἀνῃρήκασιν; Ἢ νικήσει μᾶλλον ὡς Θεός, καὶ οὐκ εἰσάπαν ἀποχερεῖ τὸν ἠγαπημένον, καὶ ἀπόλεκτον γεγονότα ποτὲ διὰ τοὺς πατέρας; Τοιοῦτόν τί ἐστι τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον παρὰ Θεοῦ· « Τί σοι ποιήσω, Ἐφραΐμ; τί σοι ποιήσω, Ἰούδα; Ὡς Ἀδαμὰ θήσομαι, καὶ ὡς Σεβωεὶμ μετεστράφη ἡ καρδία μου ἐν τούτῳ. Συνεταράχθη ἡ μεταμέλειά μου. Οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου. Οὐ μὴ ἐγκαταλείπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ, διότι Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος. » Ἔδει γάρ, ἔδει Θεὸν ὄντα, καὶ οὐκ ἄνθρωπον καθ' ἡμᾶς, καὶ προὔχειν ἐν ἡμερότητι, καὶ ὥσπερ ἐστὶ κατὰ φύσιν ἐπέκεινα παντὸς γενητοῦ, οὕτως ὑπερκεῖσθαι καὶ ὑπερέχειν τῶν ἐπὶ τῆς γῆς, καὶ κατά γέ φημι τὴν φιλανθρωπίαν. Οὐκοῦν ἐξανθήσει μὲν Ἰσραήλ, ἐμπλησθήσεται δὲ καὶ ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ, κατά γε τὸν ἤδη προαποδοθέντα λόγον. Οὐ γὰρ οὕτως ἀναιρεθήσεται,

[1] Psal. XVIII, 5. [2] Ose. XI, 8, 9.

φησι, καθὰ καὶ αὐτὸς ἀνεῖλεν, οὔτε μὴν ἐν ἴσῳ παταχθήσεται τρόπῳ, κἂν εἰ ἐπάταξεν αὐτὸς τοὺς ἁγίους ἀγρίῳ θυμῷ κατεθηγμένος. Ποῖον οὖν ἄρα τὸ μέτρον τῆς ἐπ' αὐτοῖς κινήσεως; Μαχόμενος, φησὶ, καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς· τὸ, « Ἐξαποστελεῖ » νοήσας ἀντὶ τοῦ, Τῆς πρὸς ἑαυτὸν οἰκειότητος ἀποπέμψεται. Τοῦτο πέπραχεν ὁ Σωτήρ· ἀπόπεμπτον γὰρ ἐποίησε τὸν Ἰσραήλ. Μαχόμενός τε καὶ ὀνειδίζων, τὸ δὲ Μαχόμενος ἀντὶ τοῦ ἐπιπλήττων τεθείημεν. Ἐπιπλήττων γὰρ Ἰουδαίοις, καὶ μέντοι καὶ ὀνειδίζων ἔφασκεν ὁ Σωτήρ· « Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτενοῦσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. » Τοῦτο γὰρ ἦν καὶ ἕτερον οὐδὲν, ἢ τὴν ἀπ' αὐτῶν ἀποφοίτησιν οὐκ εἰς μακρὰν ἔσεσθαι διατεινομένου. Οὗ δὴ γεγονότος ἀπόλωλεν ὁ Ἰσραὴλ, εἰ καὶ σέσωσται τὸ κατάλειμμα· καθὰ καὶ αὐτός φησιν Ἡσαΐας· « Καὶ ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης τὸ κατάλειμμα σωθήσεται. »

Οὐ σὺ ἦσθα ὁ μελετῶν τῷ πνεύματι τῷ σκληρῷ ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ;

Ὅρα τὸν προφήτην ἐν τούτοις ἁγιοπρεπεῖ παῤῥησίᾳ χρώμενον, διελέγχοντά τε τὸν Ἰσραὴλ ὅτι πεπολέμηκεν ἁγίους· καὶ μελέτην ἐποιήσατο, τὸ, οἱονεὶ σκληρῷ τε καὶ ἀνημέρῳ πνεύματι χρώμενον ἀναιρεῖν αὐτοὺς, καὶ ἀτίθασσον αὐτοῖς ἐπαφιέναι τὸ φρόνημα. Εἰ τοίνυν λέγοιμι, φησὶν, ὅτι αὐτὸς ἀνεῖλε, καὶ ἐπάταξε, οὐ ψευδομυθία τὸ χρῆμα πόθεν, ἀληθὲς δὲ μᾶλλον ἀναφανεῖται τὸ εἰρημένον. Ὁ γὰρ Ἰσραὴλ οὐ σὺ ἦσθα ὁ μελετῶν, ἤγουν εἰωθὼς πνεύματι μὲν, ὡς ἔφην, κεχλῆσθαι σκληρῷ, κατεπιφύεσθαι δὲ θηριοπρεπῶς τῶν ἀπεσταλμένων παρὰ Θεοῦ; Κἂν ἀρνήσῃ, φησὶν, αὐτὸν παροίσω μάρτυρα τὸν τῶν ὅλων κριτήν. Ἔφη γάρ που Χριστὸς πρὸς αὐτούς· « Τίνα τῶν προφητῶν οὐ κατέκτειναν οἱ πατέρες ὑμῶν; ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ. »

Διὰ τοῦτο ἀφεθήσεται ἡ ἀνομία Ἰακὼβ, καὶ τοῦτό ἐστιν ἡ εὐλογία αὐτοῦ, ὅταν ἀφέλωμαι αὐτοῦ τὴν ἁμαρτίαν, ὅταν θῶσι πάντας τοὺς λίθους τῶν βωμῶν κατακεκομμένους ὡς κονίαν λεπτὴν, καὶ οὐ μὴ μείνῃ τὰ δένδρα αὐτῶν, καὶ τὰ εἴδωλα αὐτῶν ἐκκεκομμένα ὥσπερ δρυμὸς μακράν.

Διὰ μέσου προστρίψας ὁ μακάριος προφήτης τὸν κατά γε τῶν δεδυσσεβηκότων εἰς τοὺς ἁγίους προφήτας ἔλεγχον, ἔχεται πάλιν τῆς τῶν νοημάτων ἀκολουθίας, καί φησιν ὡς ἐκ προσώπου τοῦ Θεοῦ· Διὰ τοῦτο ἀφαιρεθήσεται ἡ ἀνομία Ἰακώβ. Διὰ τοῦτο· Ποῖον; Ἐπειδὴ γὰρ οὐχ ὡς αὐτὸς ἀνεῖλεν οὕτως ἀναιρεθήσεται, οὔτε μὴν ὡς αὐτὸς ἐπάταξεν οὕτω πληγήσεται, τῆς ἐνούσης γαληνότητος τῷ Θεῷ νικώσης ἀεὶ τὰς ἀνθρωπίνας μικροψυχίας, καὶ οὐχὶ πάντῃ τε καὶ πάντως τοῖς ἐπὶ γῆς πλημμελήμασιν ἰσοπαλεῖς τὰς δίκας ἐπάγοντος, συγκεραννύντος δὲ μᾶλλον ἡμερότητι τὴν ὀργήν. Ταύτητοί φησιν· Ἀφαιρεθήσεται ἡ ἀνομία Ἰακὼβ, τοῦτ' ἔστι, τεύξεται φιλανθρωπίας, ἀνήσει δὲ αὐτῷ κατὰ καιροὺς τὰ ἐγκλή-

inquit, et exprobrans emittet eos. « Emittet, » intellige, pro A sua conjunctione relegabit, quod Servator fecit; relegavit enim abdicavitque Israelem. Rixans et exprobrans. Rixans, posuit pro increpans. Increpans enim Judæos, et etiam exprobrans, dicebat Servator: « Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidibus obruis missos ad te: quoties volui congregare filios tuos, quemadmodum congregat gallina pullos suos sub alas, et noluistis? Ecce relinquitur domus vestra deserta [4]. » Hoc enim erat nihil aliud quam affirmare discessionem ab illis non longe abfore. Quo quidem pacto periit Israel, etiamsi salvæ factæ sunt reliquiæ, sicut inquit et Isaias ipse: « Et si sit numerus filiorum Israel ut arena maris, reliquiæ salvæ erunt [5]. »

VERS. 8. *Nonne tu eras qui meditabaris spiritu duro interficere illos spiritu furoris?*

Contemplare prophetam in his digna sanctis libertate utentem, et arguentem Israelem quod sanctos debellaverit, et duro et immiti spiritu studium adhibuerit quo illos e medio tolleret, animoque in eos **378** efferato irrueret. Si igitur dixero, inquit, illum sustulisse et percussisse, minime erit hæc falsa doctrina, sed quod dictum est verum apparebit. Nam, o Israel, nonne tu eras qui meditabaris, id est, solebas spiritu duro, ut dicebam, contra eos qui missi fuerant a Deo, belluino more grassari? Et si negaveris, inquit, testem adhibebo ipsum universorum judicem. Dixit enim alicubi Christus illis: « Quem e prophetis non occiderunt patres vestri [6]? » Rursus: « Non capit prophetam perire extra Jerusalem [7]. »

VERS. 9. *Propter hoc auferetur iniquitas Jacob, et hoc est benedictio ejus, quando auferam peccatum ejus, quando posuerint omnes lapides ararum contritos, ut pulverem minutum. Nec manebunt arbores eorum, et idola eorum excisa velut lucus longe.*

Interjecta reprehensione contra eos qui impie se in sanctos prophetas gesserant, prosequitur denuo beatus propheta sententiarum contextum, et inquit velut in persona Dei: Propter hoc auferetur iniquitas Jacob. Propter hoc: Quidnam? Etenim quia ille non sic interficietur ut interfecit, neque sic percutietur quemadmodum ipse percussit, cum Deus clementia præditus sit, quæ humanam imbecillitatem semper vincit, neque unquam de peccatis in terra commissis æquale supplicium sumit, sed iram mansuetudine temperat; hinc ait: Remittetur iniquitas Jacob, id est, experietur humanitatem, atque tempore suo culpas ei remittet, criminibusque eum absolvet. Et hæc est benedictio ejus. Promisit enim Abrahamo dicens: « Certe benedicendo benedicam

[4] Matth. XXIII, 36-38. [5] Isa. X, 21. [6] Matth. XXIII, 31. [7] Luc. XIII, 33.

tibi, et multiplicando multiplicabo semen tuum [a]. » Atqui divinus Abraham benedictus revera non fuit, neque multiplicatum est semen ejus, pro ratione ac proportione peccatorum pœnas solventibus his qui ex illius erant orti sanguine. Cum autem etsi nihil boni egerant, sed ad ultimam impietatem potius deducti sunt, illi quoque hac remissione collocupletati sint, servata est, transiitque in eos benedictionis promissio. Quando igitur, inquit, auferam peccatum ejus, hic erit ei modus benedictionis. Tempus quoque perspicuum facit quo ille futurus est a delictis liber. Quando enim, **379** inquit, vocati per fidem ad agnitionem veri Dei, adversus pristinum errorem pugnabunt, quando e medio tollentur aræ, fana, et idolorum examina, quando igne concremabunt templa inanimis idolis facta, quando suas exscindent arbores, præterea manufacta velut lucum quemdam : tunc quidem, tunc remittet Deus etiam Israelitis offensas. Idque, opinor, est quod lumen divinus ille Paulus dicebat : « Quando plenitudo gentium intrabit, tum omnis Israel servabitur [b]. » Nam concremare templa, lucos eis affixos exscindere, statuasque propterea subvertere, nihil aliud omnino significat, quam eos qui olim errarunt, operaque manuum suarum adorarunt, ad veritatis agnitionem transituros : eoque religionis pietatisque deventuros, ut his quæ quondam adoraverant manus injiciant, deosque ex ligno factos tanquam lucum quempiam exscindant.

A ματα, ἀπαλλάξει καὶ αὐτῶν αἰτιαμάτων· καὶ τοῦτό ἐστιν ἡ εὐλογία αὐτοῦ. Ἐπηγγείλατο μὲν γὰρ τῷ Ἀβραὰμ λέγων· «Ἦ μὴν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου.» Ἀλλ' οὐκ ἂν ηὐλογήθη κατὰ ἀλήθειαν ὁ θεσπέσιος Ἀβραὰμ, οὐδ' ἂν ἐπληθύνθη τὸ σπέρμα αὐτοῦ, ἀναλόγους τοῖς ἡμαρτημένοις ἐξαιτουμένων τὰς δίκας τῶν ἐξ αἵματος αὐτοῦ. Ἐπειδὴ δὲ καίτοι πεπραχότες τῶν ἀγαθῶν οὐδὲν μᾶλλον δὲ κατενηνεγμένοι πρὸς ἀνοσιότητα τὴν ἐσχάτην πεπλουτήκασι καὶ αὐτοὶ τὴν ἄφεσιν τετήρηταί τε καὶ διαβέβηκεν εἰς αὐτοὺς ἡ τῆς εὐλογίας ὑπόθεσις. Ὅταν τοίνυν ἀφέλωμαι, φησὶ, τὴν ἁμαρτίαν αὐτοῦ οὗτος ἔσται τῆς εὐλογίας ὁ τρόπος αὐτῷ. Ἐναργῆ δὲ καθίστησι τὸν καιρὸν καθ' ὃν ἔσται καὶ αὐτὸς τῶν πλημμελημάτων ἐλεύθερος. Ὅταν γὰρ, φησὶν, οἱ διὰ B τῆς πίστεως κεκλημένοι πρὸς ἐπίγνωσιν τοῦ κατ' ἀλήθειαν ὄντος Θεοῦ τῆς ἀρχαίας καταστρατεύσονται πλάνης, ὅταν ἐκ μέσου γένωνται βωμοὶ, καὶ τεμένη, καὶ ὁ τῶν εἰδώλων ἑσμὸς, ὅταν πυρὶ δαπανήσωσι τοὺς τοῖς ἀψύχοις εἰδώλοις ἐκπεπονημένους ναούς· ὅταν ἐκκόψωσι τὰ δένδρα αὐτῶν, καὶ πρός γε τούτοις τὰ χειροποίητα καθάπερ τινὰ δρυμόν· τότε δὴ τότε ἀνήσει Θεὸς καὶ αὐτοῖς τοῖς ἐξ Ἰσραὴλ τὰ διεπταισμένα. Καὶ τοῦτο, οἶμαι, ἐστιν, ὅπερ ἔφησε φῶς ὁ θεσπέσιος Παῦλος· « Ὅταν δὲ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται. » Τὸ γὰρ ὅλως κατεμπρῆσαι ναοὺς, καὶ τοὺς παραπεπηγότας αὐτοῖς ἀποκεῖραι δρυμοὺς, προσθεῖναι δὲ καὶ αὐτῶν τῶν ἀγαλμάτων τὴν καταστροφὴν, κατασημήνειεν ἂν ἕτερον οὐδὲν ἢ ἐκεῖνό που πάντως, ὅτι τῶν πάλαι πλανωμένων, καὶ προσκυνούντων τοῖς ἔργοις τῶν ἰδίων χειρῶν μετάστασις ἔσται πρὸς ἀληθείας ἐπίγνωσιν, ὥστε πρὸς τοῦτο φιλοθεΐας ἥκειν αὐτοὺς, ὡς καὶ τοῖς πάλαι προσκυνουμένοις παρ' αὐτῶν ἐπαφεῖναι τὰς χεῖρας, καὶ τοὺς ἐκ ξύλων θεοὺς καθάπερ τινὰ δρυμὸν ἀποκεῖραι.

VERS. 10. *Habitans grex dimittetur velut grex derelictus, et erit multo tempore in depastionem, et illic requiescent, et post tempus non erit in illa quidquam viride, propterea quod exsiccabitur.*

Translatum gregem nominat Israelem, eo quod complures habuerit eosque bonos pastores, tantum non illic cohabitantes, qui eos ad omne quod laudatum est adducere dirigereque noverunt. Itaque repletus est pastoribus bonis. Sed erit, inquit, dimissus. Quid sit autem, dimissus erit, ipse statim explicavit, dicens : Velut grex derelictus, id est, omni præside curatoreque destitutus. Quod cum fiet, longo tempore in depastionem prostituetur. Diripient enim eos feræ sub intelligentiam cadentes, et potentissimæ, id est, Satanas, et quæ cum illo et sub illo sunt, potestates malæ. Nam cum nemo malarum potestatum insultus ab hominis corde abarceat, capi facillime poterit, demigrabitque quocunque illis certe videbitur. Si vero dicenda sunt quæ ex historia consequuntur, præda facti sunt, post crucem Salvatoris, etiam Romani exercitus. Mansit enim apud eos, et requievit instar stolonis cujusdam robusti; sed parvo, inquit, **380** tempore

C *Τὸ κατοικούμενον ποίμνιον ἀνειμένον ἔσται, ὡς ποίμνιον καταλελειμμένον, καὶ ἔσται πολὺν χρόνον εἰς βόσκημα, καὶ ἐκεῖ ἀναπαύσονται καὶ μετὰ χρόνον οὐκ ἔσται ἐν αὐτῷ πᾶν χλωρὸν, διὰ τὸ ξηρανθῆναι.*

Κατοικούμενον ποίμνιον ὀνομάζει τὸν Ἰσραὴλ διάτοι τὸ πλείστους μὲν ὅσους, καὶ ἀγαθοὺς ἐσχηκέναι ποιμένας, καὶ μονονουχὶ, καὶ συνοικοῦντας ἔχειν τοὺς ἀπευθύνειν εἰδότας εἰς πᾶν ὁτιοῦν τῶν ἐπαινουμένων. Οὐκοῦν ἐπεπλήθει ποιμέσιν ἀγαθοῖς, ἀλλ' ἔσται, φησὶν, ἀνειμένον, καὶ τί τὸ ἀνειμένον ἐστὶν, αὐτὸς παραχρῆμα διεσάφησε, λέγων· Ὡς ποίμνιον καταλελειμμένον, τοῦτ' ἔστι, παντὸς ἐπιστάτου, καὶ κηδεμόνος ἠρημωμένον. Οὗ δὴ γεγονότος, εἰς χρόνους προκείσεται μακροὺς εἰς βόσκημα. Κατανεμηθήσονται γὰρ D αὐτοὺς νοητοί τε καὶ ἀλκιμώτατοι θῆρες, τοῦτ' ἔστιν, ὁ Σατανᾶς, καὶ αἱ σὺν αὐτῷ καὶ ὑπ' αὐτῷ δυνάμεις πονηραί. Ἀποσοβοῦντος γὰρ οὐδενὸς τῆς ἀνθρώπου καρδίας τὰς τῶν πονηρῶν δαιμόνων ἐφόδους εὐάλωτος ἔσται, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκείνοις δοκούντων ἀμελητὶ κατοιχήσεται. Εἰ δὲ χρή τι καὶ τοῖς ἱστορικῶς γεγονόσιν ἀκόλουθον εἰπεῖν, νομὴ γεγόνασι μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν, καὶ τῆς Ῥωμαίων στρατειᾶς. Κατέλυσε γὰρ καὶ ἀνεπαύσατο παρ' αὐ-

[a] Gen. XXII, 17; Hebr. VI, 14. [b] Rom. XI, 25.

τοῖς οἷάπερ τις μόσχος εὐσθενής· ἀλλ' ὀλίγου διαγεγονότος καιροῦ, φησίν, οὐκ ἔσται ἐν αὐτῇ πᾶν χλωρὸν διὰ τὸ ξηρανθῆναι, τοῦτ' ἔστι, μέχρι τοσούτου κατανεμηθήσονται τὴν χώραν ὡς ἀποφανθῆναι ξηρὰν, καὶ οὐκ ἔχουσαν ἔτι νομήν. Τοῦτο δέ ἐστιν ἀπόδειξις ἐναργὴς τοῦ μὴ πρότερον ἀποφοιτήσειν αὐτῶν τῆς χώρας τοὺς καταδηοῦντας αὐτὴν, εἰ μὴ πᾶν ὁτιοῦν τῶν ἐν αὐτοῖς χρησίμων, καὶ μέχρι τῶν ἄγαν εὐτελεστάτων μονονουχὶ, καὶ κατεδηδοκόσιν ἴδιον πεποίηνται κλῆρον. Ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος, κἂν εἰ ἔλοιτό τις οἷά τινας μόσχους τὰς τῶν Ἰουδαίων καρδίας κατανενεμῆσθαι λέγειν τοὺς ἀκαθάρτους δαίμονας· μέχρι γὰρ τοσούτου κατέφαγον αὐτὰς ὥστε τάχα που καὶ ἀπορεῖν ἔτι νομῆς, διὰ τὸ μηδὲν ἔτι λοιπὸν ἐν αὐτοῖς σώζεσθαι τῶν ἀγαθῶν, ὃ δαπανᾶσθαι πέφυκε παρ' αὐτῶν.

A intercedente, nihil erit in ea viride, eo quod exsiccatum erit, id est, diripient terram usque eo ut arida appareat, nihil habens ultra pastionis. Hoc autem argumentum est evidens, non prius discessuros ab eorum regione qui illam devastant, quam totum quod illis utile est ad utiliora quæque tantum non devastaverint, propriamque sortem fecerint. Possit etiam et hæc esse oratio, si quis accipere velit, Judæorum corda velut stolones quosdam, impuros dæmonas vastare; usque eo namque devorarunt ea, ut in posterum destituantur pabulo; quod sit in illis deinceps nihil boni, nihil salvum ac reliquum quod possit ab iis consumi.

Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε. Οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν. Διὰ τοῦτο οὐ μὴ οἰκτειρήσῃ ὁ ποιήσας αὐτοὺς, οὐδὲ ὁ πλάσας αὐτοὺς οὐ μὴ ἐλεήσῃ.

Εἰρηκὼς ὅτι τὸ κατοικούμενον ποίμνιον ἀνειμένον ἔσται, καὶ ὅτι νομὴ γενήσεται, καὶ εἰς βόσκημα προσκείσεται, κατά γε τοὺς ἤδη προαποδοθέντας λόγους, ὡς ἤδη τοῦ Ἰσραὴλ ἔξω γεγονότος τῆς πρὸς Θεὸν οἰκειότητος διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν καὶ διαθήκης τῆς πρώτης, ἐθῶν τε τῶν κατὰ τὸν νόμον ἀποπεπαυμένων εὐαγγελίζεσθαι τοῦ Σωτῆρος ἡμῶν τὴν ἀνάστασιν ταῖς ἁγίαις προστέταχε γυναιξὶν, ὧν καὶ ὁ Ματθαῖος διαμέμνηται, λέγων ὡδί· « Ὀψὲ δὲ Σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ ἄλλη θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο. Ἐπειδὴ δὲ γεγόνασι περιδεεῖς, ἔφη πρὸς αὐτὰς ὁ μακάριος ἄγγελος· Μὴ φοβεῖσθε ὑμεῖς. Οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε, ἠγέρθη γάρ, καθὼς εἶπεν. Δεῦτε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο, καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε. Καὶ μετά γε τὰς τοῦ ἀγγέλου φωνὰς, ἰδοὺ Ἰησοῦς ὑπήντησεν αὐταῖς λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε, ὑπάγετε ἐπαγγείλατε τοῖς μαθηταῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. » Οὐκοῦν ἀφιεμένου τοῦ Ἰσραὴλ, ὑμεῖς αἱ σοφαὶ γυναῖκες, φησὶν, ἥκετε, καὶ μάλα γοργῶς εὐαγγελιζόμεναι τὴν ἀνάστασιν τοῦ τὸν θάνατον ἀποκτείναντος, καὶ ἀνελόντος τὴν φθορὰν, καὶ δικαιοῦντος τῇ πίστει τοὺς ἡμαρτηκότας, καὶ ἀπαλλάττοντος μολυσμῶν τοὺς ἐναλόντας αὐτοῖς, τοῦ μεταπλάττοντος εἰς καινότητα ζωῆς τοὺς προσιόντας αὐτῷ, τοῦ τὴν νέαν τοῖς ἐπὶ γῆς ἀναδείξαντος ζωὴν, τοῦτ' ἔστι, τὴν εὐαγγελικὴν, καὶ στήσαντος μὲν τῆς ἐν νόμῳ λατρείας τὸ ἀδρανὲς, καταλαμπρύναντος δὲ τὴν ἀλήθειαν, καὶ τῆς ἐν πνεύματί τε καὶ ἀληθείᾳ προσκυνήσεως τὴν ὁδὸν ἐναργῆ καταστήσαντος τοῖς σεβομένοις αὐτόν. Ἥκετε δὲ οὖν. Ἀποπέπτωκε γὰρ τῆς ἐλπίδος ὁ Ἰσραήλ. Οὐ γάρ ἐστι λαὸς

B VERS. 11. *Mulieres venientes a spectaculo, adeste. Non enim est populus habens intelligentiam. Propterea non commiserabitur qui fecit eos, et qui formavit eos non parcet.*

Cum dixerit translatum gregem dimittendum esse, foreque prædam, et in depastionem prostituendum, ut verba jam ante exposita habent, ac si jam Israel a conjunctione quæ cum Deo est, propter impietatem in Christum excluderetur, et testamento primo, et ritibus legalibus cessantibus: præcipit sanctis mulieribus Servatoris nostri resurrectionem evangelizare, quarum etiam meminit Matthæus, sic inquiens: « Vespera autem Sabbatorum, quæ illucescit in unam Sabbatorum, venit Maria Magdalena, et Maria alia, ut viderent sepulcrum. Et ecce C motus magnus factus est. Cum autem valde territæ essent, dixit illis beatus angelus: Nolite timere vos. Scio enim quod Jesum crucifixum quæritis: non est hic, surrexit enim, quemadmodum dixit. Venite, videte locum ubi positus erat, et celeriter profectæ, dicite discipulis ejus quod suscitatus sit a mortuis: et ecce præcedit vos in Galilæam; illic eum videbitis. Post vero dicta angeli, ecce Jesus occurrit illis, dicens: Avete. Illæ autem accedentes apprehenderunt pedes ejus, et adorarunt eum. Tum dicit illis Jesus: Ne timeatis, abite, renuntiate discipulis meis ut abeant in Galilæam, ibique me videbunt [10]. » Igitur dimisso Israele, vos sapientes mulieres, inquit, venite, et **381** evangelizate fortissime D resurrectionem ejus qui mortem occidit, et mortem peremit, peccantes fide justificat, inquinamentis implicatos liberat, qui ad novitatem vitæ transformat accedentes ad ipsum, qui novam iis qui in terra sunt vitam ostendit, id est, evangelicam, qui legalis cultus imbecillitatem abolet, veritatem illustrat, viam spiritualis et veræ adorationis colentibus ipsum planam constituit. Venite igitur. Excidit enim spe Israel. Non enim est populus intelligens. Excæcatus namque est corde, et manet in tenebris, et in caligine peccati detinetur. Non enim attendere voluit dicenti Christo: « Quandiu lucem habetis, ambulate in luce, ne vos tene-

[10] Matth. xxviii, 1 seqq.

bræ comprehendant [11]. » Admirandam vero esse A medico Servatoris dispensationem, in his sapientissimis etiam mulieribus. Possit enim, opinor, quis dicere : An non erant sancti discipuli, quibus fortasse melius erat, utpote divinorum dogmatum sacris administris, etiam ante alios faustum resurrectionis nuntium prædicare? Cur enim potius illi non viderunt primi Jesum potentiam mortis dissolventem, sed mulieribus apparuit, et dignitate apostolatus illis tributa, ire jubet, discipulisque referre Christum excitatum e mortuis, et primæ ejus gloriam spectarunt? Ad hæc dicimus, factum esse hominem Unigenitum Dei Verbum, ut infirmum curaret, hominemque pristinis sceleribus exsolveret. Oportebat igitur, oportebat gratificari mulieribus annuntiandæ resurrectionis prærogativam. Cum B enim prima et antiquior mulier Adamum in transgressionem induxisset, dictis serpentis subserviens, fuissetque illa mortis procuratrix et conciliatrix : cur non illa debuit tam gravium criminum causas ab apostolatu depellere? « Ubi enim, » inquit, « abundavit peccatum, exuberavit gratia [12]. » Datum est salutis Evangelium feminæ, quæ mortis ministra fuit. Dictum enim est his necessario : Avete, ab eo qui maledictionem imposuerat in principio. Dixit enim illi : « In dolore paries filios [13]. » Soluta sunt ergo secundis prima, et quod infirmum erat curatum est. Itaque illis præcipit Evangelium prædicare, Christi amore erga Judæos refrigescente. Nam, inquit, postquam **382** amentissimi et insulsi manserunt, non misericordiam capiet eorum qui fecit eos, neque digni sunt quorum misereri oporteat.

ἔχων σύνεσιν. Πεπώρωται γὰρ τὴν καρδίαν, καὶ μεμένηκεν ἐν σκότει, καὶ τῇ τῆς ἁμαρτίας ἀχλύϊ κεκράτηται. Οὐ γὰρ ἤθελε προσέχειν λέγοντι τῷ Χριστῷ· « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. » Χρῆναι δέ φημι τὴν τοῦ Σωτῆρος οἰκονομίαν, καὶ ἐπί γε ταυταισὶ ταῖς πανσόφοις ἀποθαυμάσαι γυναιξί. Φαίη γὰρ ἄν, οἶμαι, τίς· Οὐ γὰρ ἦσαν ἅγιοι μαθηταὶ, οἷς ἦν τάχα που καὶ ἄμεινον, ἅτε δὴ καὶ τῶν θείων δογμάτων ἱερουργοῖς, καὶ πρό γε τῶν ἄλλων εὐαγγελίσασθαι τὴν ἀνάστασιν; Διατί γὰρ οὐχὶ δὴ μᾶλλον ἐκεῖνοι τεθέανται πρῶτοι τοῦ θανάτου τὸ κράτος παραλύσαντα τὸν Ἰησοῦν, ὤφθη δὲ γυναιξὶ, καὶ τὸ τῆς ἀποστολικῆς ἀξίωμα περιθεὶς αὐταῖς ἰέναι κελεύει, φάναι τε τοῖς μαθηταῖς, ὅτι καὶ ἐκ νεκρῶν ἐγήγερται ὁ Χριστὸς, καὶ πρῶται τεθέανται τὴν δόξαν αὐτοῦ; Πρὸς δὴ τὰ τοιαῦτά φαμεν, ὅτι γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵνα θεραπεύσῃ τὸ ἀῤῥωστοῦν, καὶ τῶν ἀρχαίων αἰτιαμάτων ἀπαλλάξῃ τὸν ἄνθρωπον. Ἔδει δὴ οὖν, ἔδει χαρίσασθαι γυναιξὶ τὸ εὐαγγελίσασθαι πρώταις τὴν ἀνάστασιν. Ἐπειδὴ γὰρ ἡ πρώτη, καὶ ἀρχαιοτέρα γυνὴ παρεκόμισε τὸν Ἀδὰμ εἰς παράβασιν, ταῖς τοῦ ὄφεως ὑπηρετοῦσα φωναῖς, καὶ γέγονεν αὕτη τοῦ θανάτου πρόξενος, πῶς οὐκ ἔδει τῶν οὕτως δεινῶν ἐγκλημάτων ἀποκρούσασθαι τὰς αἰτίας διὰ τῆς ἀποστολῆς; « Οὗ γὰρ ἐπλεόνασε, » φησὶν, « ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. » Δέδοται τῆς σωτηρίας τὸ Εὐαγγέλιον τῇ τὸν θάνατον διακονησαμένῃ γυναικί. Εἴρηται γὰρ πρὸς αὐτὰς ἀναγκαίως τὸ Χαίρετε παρὰ τοῦ τὴν ἀρὰν ἐπιθέντος ἐν ἀρχῇ· ἔφη γὰρ πρὸς αὐτήν· « Ἐν λύπαις τέξῃ τέκνα. » Λέλυται τοίνυν τοῖς δευτέροις τὰ πρῶτα, καὶ τεθεράπευται τὸ ἠῤῥωστηκός. Αὐταῖς οὖν ἄρα τὸ εὐαγγελίζεσθαι δεῖν ἐπιτάττει τῆς πρὸς Ἰουδαίους ἀγάπης ἀποφοιτήσαντος τοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ ἀνουστατοί τε καὶ ἀμαθεῖς ἀπομεμενήκασι, φησὶν, οὐκ ἂν ἐλεήσειεν αὐτοὺς ὁ ποιήσας αὐτοὺς, οὐδ' ἂν εἶεν ἄξιοι τοῦ κατοικτείρεσθαι δεῖν.

VERS. 12. *Et erit die illo, obsepiet Dominus a fossa* C *fluminis, usque ad Rhinocururon. Vos autem congregate filios Israel singulos.*

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συμφράξει Κύριος ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ, ἕως Ῥινοκουρούρων. Ὑμεῖς δὲ συναγάγετε τοὺς υἱοὺς Ἰσραὴλ κατὰ ἕνα ἕνα.

Excitatus Christus, cum præcepisset sanctis apostolis : « Euntes docete omnes gentes, baptizantes eos in nomen Patris, et Filii, et sancti Spiritus [13*], » et in cœlos ascendisset : ira videlicet e supernis in eos qui impie in ipsum debacchati sunt descendit. Consumpti enim sunt ferro et igne, insurgente contra eos Romanorum manu, cunctasque eorum urbes incendente, ipsa Hierosolyma, ipsum celebre templum diruente. Terminatur igitur regio Judææ Euphratis flumine, veluti ad orientem et austrum, et ea quæ vocatur Rhinocururon. Est autem illa D urbs Ægyptum claudens et Palæstinam. Cum ergo Judææ nobis terminos nominaverit, obsepturum affirmat Dominum omnia circumcirca finitima, id est, universam Judæam. Obsepiet, posuit pro obsidebit et premet, et in summas adducet difficultates. Obseptio enim, sive conclusio, inevitabilem afflictionem vel calamitatem significare poterit. Quin et

Ἐγηγερμένου τοῦ Χριστοῦ, καὶ τοῖς ἁγίοις ἐπιτάξαντος ἀποστόλοις· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· » καὶ μὴν καὶ εἰς αὐτοὺς ἀναβάντος τοὺς οὐρανοὺς, ἐπενήνεκται τοῖς εἰς ἑαυτὸν ἀνοσίως πεπαρῳνηκόσι τὰ ἐξ ὀργῆς, τῆς ἄνωθεν δὲ δηλονότι. Δεδαπάνηνται γὰρ καὶ σιδήρῳ καὶ πυρὶ, κατεξανιστάσης αὐτῶν τὸν πόλεμον τῆς Ῥωμαίων χειρὸς, καὶ πάσας μὲν αὐτῶν κατεμπιπράσης τὰς πόλεις, καὶ αὐτὰ δὲ τὰ Ἱεροσόλυμα, καὶ τὸν διαβόητον ἐκεῖνον καθελούσης ναόν. Τερματίζεται τοίνυν τῶν Ἰουδαίων ἡ χώρα, τοῖς τε Εὐφράτου νάμασιν ὡς ἠῶ τε καὶ νότον, καὶ τῇ καλουμένῃ Ῥινοκορούρων. Πόλις τε αὕτη τήν τε Αἰγυπτίων ὁρίζουσα, καὶ μέντοι τὴν Παλαιστινῶν. Οὐκοῦν τῆς Ἰουδαίας ἡμῖν τοὺς ὅρους ὀνομάσας, συμφράξαι διαβεβαιοῦται τὸν Κύριον τὰ ἐμπεριεχόμενα πάντα, τουτ' ἔστιν, ἅπασαν τὴν Ἰουδαίαν. Τὸ

[11] Joan. XII, 35. [12] Rom. V, 20. [13] Gen. III, 16. [13*] Matth. XXVIII, 19.

δὲ συμφράξει τέθεικεν ἀντὶ τοῦ πολιορκήσει, καὶ καταθλίψει, καὶ εἰς ἀπορίαν κατοίσει τὴν ἐσχάτην. Ἡ γὰρ σύμφραξις, ἤγουν ὁ συγκλεισμὸς τὴν διάφυκτον κάκωσιν ἤτοι συμφορὰν ὑπεμφήνειεν ἄν. Καὶ καθ' ἕτερον δὲ τρόπον τὸ συμφράξει νοήσεις. Συγκέκλεισται γὰρ ὥσπερ τῶν Ἰουδαίων ὁ νοῦς, ὥστε κατὰ μηδένα δύνασθαι τρόπον τὸ τῆς ἀληθοῦς θεοπτίας εἰσδέξασθαι φῶς, μήτε μὴν συνιέναι τὸ Χριστοῦ μυστήριον, ὥσπερ ὁ μακάριος γράφει Παῦλος· « Πώρωσις ἀπὸ μέρους γέγονε τῷ Ἰσραὴλ, καὶ ἄχρι σήμερον, ἡνίκα ἂν ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. » Καὶ τοῦτο, οἶμαι, ἐστιν ἡ σύμφραξις. Ὅτι δὲ οὐ κατὰ πᾶσαν τοῦτο γέγονε τὴν ὑπ' οὐρανὸν, ἤγουν κατὰ πάντων τῶν ἐθνῶν, ἀλλὰ κατὰ μόνης τῆς Ἰουδαίας καὶ τῶν ἐν αὐτῇ παρέδειξεν ἐναργῶς· οὐχ ἁπλῶς τὴν σύμφραξιν συμβῆναι λέγων, ἀλλ' ἐκ τῆς διώρυγος τοῦ ποταμοῦ, ἕως Ῥινοκορούρων. Καὶ ταυτὶ μὲν τοῖς Ἰουδαίων δήμοις ἀπεκτονόσι τοὺς προφήτας, καὶ λιθοβολήσασι τοὺς ἀπεσταλμένους παρὰ Θεοῦ, προστεθεικόσι δὲ καὶ αὐτὸν τὸν Υἱὸν, συμβήσεσθαί φησιν. Εἶτα μεθίστησι τὸν λόγον εἰς τὸ αὐτοῦ πρόσωπον τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, διαλεγομένου τε καὶ λέγοντος τοῖς ἁγίοις ἀποστόλοις, ἤγουν ἅπασι τοῖς κατὰ καιρὸν ἱερουργοῦσι τὸ Εὐαγγέλιον αὐτοῦ, καὶ μυσταγωγεῖν εἰωθόσιν· Ὑμεῖς δὲ συναγάγετε τοὺς υἱοὺς Ἰσραὴλ κατὰ ἕνα ἕνα. Τουτ' ἔστι, μὴ πολὺς ἔστω λόγος τοῖς τὸ διδάσκειν πεπιστευμένοις, κἂν εἰ μὴ ὁρῷτο κατὰ πλῆθος εἰστρέχων ὁ Ἰσραὴλ· ἀλλ' εἴ τις εἴη συνετὸς ἐν αὐτοῖς καλείσθω διὰ τῆς πίστεως, ἡκέτω δὲ καὶ καθ' ἕνα, καὶ οἷον ἐξειλεγμένος. Σέσωσται γὰρ τὸ κατάλειμμα τοῦ Ἰσραήλ. Καὶ γοῦν οἱ θεσπέσιοι μαθηταὶ πλειστάκις αὐτοῖς προσπεφωνήκασι, καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Πέτρος· « Καὶ νῦν, ἀδελφοὶ, » φησὶν, « οἶδα, ὅτι κατ' ἄγνοιαν ἐπράξατε, καθὰ καὶ οἱ ἄρχοντες ὑμῶν. Μετανοήσατε οὖν καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. Ὑμῖν γάρ εἰσιν αἱ ἐπαγγελίαι, καὶ τοῖς τέκνοις ὑμῶν. » Καὶ σεσαγήνευται μὲν οὐ μέτριος πληθύς· πλὴν τό γε ἧκον εἰς ἅπαν τὸ Ἰουδαίων ἔθνος ὀλιγοστοὶ παντελῶς, καὶ οἷον καθ' ἕνα παρεδέχθησαν οἱ σεσωσμένοι, διὰ πίστεως δὲ δηλονότι τῆς ἐν Χριστῷ.

A alio modo intelliges illud, obsepiet. Conclusa enim quodammodo erat mens Judæorum, ut nullo modo posset lucem veræ contemplationis divinæ recipere, neque Christi mysterium cognoscere; sicuti beatus Paulus scribit: « Excæcatio ex parte facta est Israeli; et ad hunc usque diem, cum legitur Moses, velamen cordi illorum impositum est [14]. » Et hoc est, opinor, obseptio. Quod autem hoc factum sit, non contra universum orbem terræ, nimirum contra universas gentes, sed contra solam Judæam et qui in ea sunt, ostendit manifeste, cum dicit obseptionem non simpliciter contigisse, sed a fossa fluminis usque ad Rhinocurura. Et hoc quidem dicit eventurum populo Judaico, qui prophetas occidit, et missos a Deo lapidavit, ipsumque Filium B cruci affixit. Deinde sermonem transfert ad omnium nostrum **383** Servatoris Christi personam, disserentis et dicentis sanctis apostolis, videlicet omnibus, succedente tempore, Evangelium ejus ministrantibus, et mystica sacra tractare solitis: Vos autem congregate filios Israel singulos. Id est, ne multis verbis utantur, quibus docendi provincia concredita est, etiamsi non videatur Israel confertim ingredi: sed si quis inter eos sit intelligens, vocetur per fidem, veniatque seorsim et tanquam selectus. Salvæ enim sunt reliquiæ Israel. Et quidem divini discipuli eos allocuti sunt sæpenumero, quemadmodum sane divinus Petrus: « Et nunc, fratres, » inquit, « scio quod ex ignorantia fecistis, quemadmodum et principes vestri. Resipiscite itaC que, et baptizetur unusquisque vestrum in nomine Domini nostri Jesu Christi, et accipietis donum sancti Spiritus [15]. Vobis enim sunt promissiones et filiis vestris [15*]. » Et capta est haud modica multitudo; verum hi præ universa gente Judæorum paucissimi omnino erant, et veluti sigillatim unusquisque susceptus est, servatus per fidem, videlicet in Christo.

Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ, καὶ ἥξουσιν οἱ ἀπολόμενοι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων, καὶ οἱ ἀπολόμενοι ἐν Αἰγύπτῳ, καὶ προσκυνήσουσι τῷ Κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον ἐν Ἱερουσαλήμ.

VERS. 13. *Et erit die illo, clangent tuba magna, et venient qui perierant in regione Assyriorum, et* D *qui perierant in Ægypto, et adorabunt Dominum super montem sanctum in Jerusalem.*

Ἔθος τοῖς ἁγίοις προφήταις ἀσαφείᾳ τινὶ τὸν ἑαυτῶν καταχρύπτειν λόγον, καὶ ἐπείτοι πρὸς ὀργὰς ἀχάλινοι γεγόνασιν οἱ ἐξ Ἰσραὴλ μέσην τινὰ διανοιῶν ἰέναι τρίβον, ὡς εἶναι πλειστάκις ἀσυμφανὲς τὸ δηλούμενον. Σαλπίσαι μὲν κατ' ἐκεῖνο καιροῦ φησιν, οὐχ ἑτέρους, ὥς γε οἶμαι πάλιν, πλὴν ὅτι τοὺς ἁγίους μυσταγωγοὺς, σαλπίσαι δὲ οὐχ ἁπλῶς, ἀλλὰ σάλπιγγι τῇ μεγάλῃ, τουτ' ἔστι, τοῖς εὐαγγελικοῖς κηρύγμασι κεχρημένους μονονουχὶ κατηχῆσαι καὶ μέγα τι καὶ ἐξαίσιον ἀνακεκραγέναι τοῖς ἐπὶ τῆς γῆς. « Καὶ γάρ τοι κατὰ ἀλήθειαν εἰς πᾶσαν τὴν

Mos est sanctis prophetis obscuritate quadam suum obtegere sermonem, et quoniam effrenes ac præcipites in iram erant Israelitæ, media quadam via in sententiis incedere, ita ut sit sæpe obscurum quod significatur. Tuba canere non alios dicit, ut arbitror, quam sanctos mysteriorum antistites; et non simpliciter tuba canere, sed tuba magna, id est, evangelica prædicatione tantum non resonare, et magnum quiddam et stupendum clamare in terra degentibus. « Etenim vere in omnem terram exivit sonus eorum, et in fines orbis verba eorum [16]. »

[14] II Cor. III, 14, 15. [15] Act. III, 17. [15*] Act. II, 38. [16] Psal. XVIII, 5.

Tuba enim usus est olim quoque magnus Moyses, at non magna. Exili enim voce præditus erat, et tarda lingua; et legalium prædicationum vis ad solam regionem Judæorum contrahebatur. At divina et salutifera prædicatio cunctas urbes pervadit et regiones, et veluti per universam terram quæ sub cœlo est, intonuit. Tale quid etiam in libris Mosaicis scriptum **384** est: « Ambulavit enim universorum Deus specie ignis super montem Sina [17]. » Erant autem fumi et grandines, et caligine profunda ætherium corpus obtenebratum est; sed etiam, inquit, vox tubæ sonabat valde. Tum his subinfert, dicens: Factæ sunt autem voces tubæ procedentes multo fortiores. Initio enim lex exili voce resonabat; at tempore procedente, voces tubæ factæ sunt quam fortissimæ. Illo, inquit, tempore, magna tuba clangent, id est, evangelicum præconium resonabunt: eos qui erraverunt colligentes, et qui in loco captivorum facti sunt, ac idololatriæ laqueis impliciti, a pristino errore extrahentes. Venient enim, inquit, perditi in regione Assyriorum, et perditi in Ægypto, et adorabunt Dominum in monte Jerusalem. Duas regiones posuit maxime præ cæteris superstitiosas, Assyriorum, inquam, et Ægyptiorum. Sed hi, inquit, qui in illis perierunt, venient vocati per fidem ad agnitionem veri Domini et Dei, adorabuntque eum, non in fanis contaminatis, sed in monte sancto, Ecclesia videlicet: quam etiam Jerusalem nominat. montem quidem, eo quod humile omnino nihil humive repens exsistat in Ecclesiis, sed altis et sublimibus præcellat opinionibus. Jerusalem vero quod sit vere *pacis visio*.

γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. » Σάλπιγγι γὰρ ἐκέχρητο κατὰ καιροὺς καὶ ὁ μέγας Μωσῆς, πλὴν οὐ τῇ μεγάλῃ· ἰσχνόφωνος γὰρ καὶ βραδύγλωσσος ἦν, καὶ τῶν νομικῶν κηρυγμάτων ἡ δύναμις εἰς μόνην τὴν τῶν Ἰουδαίων συνεστέλετο χώραν. Τὸ δὲ θεῖον καὶ σωτήριον κήρυγμα διὰ πάσης ἔρχεται πόλεώς τε καὶ χώρας, καὶ οἷον ὅλης κατεβρόντησε τῆς ὑπ' οὐρανόν. Γέγραπται δέ τι τοιοῦτον καὶ ἐν τοῖς Μωσέως βιβλίοις· « Κατεφοίτησε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ. » Ἐγίνοντο δὲ καπνοὶ καὶ χάλαζαι, καὶ γνόφῳ βαθεῖ τὸ αἰθέριον κατεμελαίνετο σῶμα· ἀλλὰ καὶ φωνὴ, φησὶ, τῆς σάλπιγγος ἤχει μέγα. Εἶτα τούτοις ἐπιφέρει λέγων· Ἐγίνοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρώτεραι σφόδρα, σφόδρα. Ἐν ἀρχαῖς μὲν γὰρ ὁ ἰσχνόφωνος ἀνεφωνήθη νόμος, προβαίνοντος δὲ τοῦ καιροῦ, τῆς σάλπιγγος αἱ φωναὶ γεγόνασιν ἰσχυραὶ σφόδρα, σφόδρα. Κατ' ἐκεῖνο, φησὶ, τοῦ καιροῦ τοίνυν τῇ μεγάλῃ σάλπιγγι, τουτ' ἔστι, τὸ εὐαγγελικὸν ἀναφωνήσουσι κήρυγμα, συλλέγοντες τοὺς πεπλανημένους καὶ τοὺς ἐν τάξει τῶν δορυκτήτων γεγενημένους, καὶ τοὺς τῆς εἰδωλολατρίας ἐναλόντας βρόχοις τῆς ἀρχαίας ἀπάτης ἐξέλκοντες. Ἥξουσι γὰρ, φησὶν, οἱ ἀπολόμενοι ἐν χώρᾳ τῶν Ἀσσυρίων, καὶ οἱ ἀπολόμενοι ἐν Αἰγύπτῳ, καὶ προσκυνήσουσι τῷ Κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον ἐν Ἱερουσαλήμ. Δύο τέθεικε χώρας τὰς ὅτι μᾶλλον τῶν ἄλλων δεισιδαιμονεστέρας, τήν τε Ἀσσυρίων, φημὶ, καὶ τῶν Αἰγυπτίων. Ἀλλ' οἱ ἐν αὐταῖς ἀπολωλότες, φησὶν, ἥξουσι κεκλημένοι διὰ τῆς πίστεως πρὸς ἐπίγνωσιν τοῦ κατ' ἀλήθειαν ὄντος Κυρίου, καὶ Θεοῦ, καὶ προσκυνήσουσιν αὐτῷ, οὐκ ἐν τοῖς τεμένεσιν ἔτι τοῖς μεμολυσμένοις, ἀλλ' ἐπὶ τὸ ἅγιον ὄρος, τουτ' ἔστι, τὴν Ἐκκλησίαν, ἣν καὶ Ἱερουσαλὴμ ὀνομάζει· ὄρος μὲν ὅτι χθαμαλὸν ἢ χαμαιρριφὲς οὐδὲν τὸ σύμπαν ἐν Ἐκκλησίαις, ἀλλ' ὑψηλοῖς τε καὶ ἐπηρμένοις διαπρέπει δόγμασιν. Ἱερουσαλὴμ δὲ ὅτι ὅρασις ἀληθῶς εἰρήνης ἐστίν.

CAP. XXVIII. VERS. 1. *Væ coronæ injuriæ, mercenarii Ephraim, flos cadens de gloria super vertice montis pinguis, ebrii sine vino.*

Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως, οἱ μισθωτοὶ Ἐφραῒμ, τὸ ἄνθος τὸ ἐκπεσὸν ἐκ τῆς δόξης ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος, οἱ μεθύοντες ἄνευ οἴνου.

Cum supra ostenderit vocandos esse per fidem ad agnitionem veritatis, omnesque adoraturos Dominum quicunque perierunt laqueis detenti idololatriæ, orationem ad proceres Judæorum traducit, qui impietatis in Christum origo et occasio populo subdito exstiterunt. Non enim eos per legem et prophetas adduxerunt ad agnitionem eorum quæ promissa fuerant antiquitus, sed in foveam interitus depressos excommunicarunt, exterminaruntque e Synagoga, qui illum esse Christum confessi sunt. Sic etenim ait divinus Joannes. Convellentes autem veluti et labefactantes fidem in illo, et **385** imperitorum mentem a fide recta abducentes, Jesum Samaritanum, et ebriosum, et ex scortatione natum appellitarunt. Et quod adhuc his magis est impium, ad Pilatum adduxerunt, et ut cruci affigeretur rogaverunt, quantumque in ipsis erat, vitæ

Προαποφήνας, ὅτι κεκλήσονται διὰ τῆς πίστεως εἰς ἐπίγνωσιν ἀληθείας, καὶ προσκυνήσουσι τῷ Κυρίῳ πάντες ὅσοι διολώλασι τοῖς τῆς εἰδωλολατρίας βρόχοις ἐνισχημένοι, μετακομίζει τὸν λόγον ἐπὶ τοὺς τῶν Ἰουδαίων καθηγητὰς, οἳ καὶ τῆς κατὰ Χριστοῦ δυσσεβείας γεγόνασιν ἀρχὴ καὶ πρόφασις τοῖς ὑπὸ χεῖρα λαοῖς. Οὐ γὰρ ἀπεκόμιζον εἰς ἐπίγνωσιν αὐτοὺς τῶν πάλαι προηγγελμένων διά τε τοῦ νόμου καὶ τῶν προφητῶν, ἀλλὰ γὰρ τοῖς τῆς ἀπολείας ἐνιέντες βόθροις ἀποσυναγώγους ἐποιοῦντο τοὺς ὁμολογοῦντας ὅτι αὐτός ἐστιν ὁ Χριστός. Οὕτω γάρ που φησὶν ὁ θεσπέσιος Ἰωάννης. Κατασείοντες δὲ ὥσπερ τὴν ἐπ' αὐτῷ πίστιν, καὶ τῶν ἀγελαίων τὸν νοῦν τῆς εὐθείας ἀποκομίζοντες, Σαμαρείτην καὶ μέθυσον, καὶ ἐκ πορνείας γεγενημένον ὠνόμαζον τὸν Ἰησοῦν. Καὶ τὸ ἔτι τούτων δυσσεβέστερον, Πιλάτῳ προσῆγον, καὶ δὴ καὶ σταυροῦσθαι παρακεκλήκασιν, ἀπεκτόνασί τε τὸν ἀρχηγὸν τῆς ζωῆς, τό γε

[17] Exod. XIX, 18.

ἦχον ἐπ' αὐτοῖς, πλὴν ἀνεβίω πατήσας τὸν θάνατον· A ζωὴ γὰρ ἦν κατὰ φύσιν ὡς Θεὸς, καὶ εἴπερ ἦν ἐν σαρκί. Οὐαὶ τοίνυν, φησὶ, τῷ στεφάνῳ τῆς ὕβρεως. Στέφανον αὐτοὺς ἀποκαλεῖ. Καὶ γὰρ ἦσαν αὐτοὶ τοῦ παντὸς Ἰσραὴλ στέφανος ὥσπερ τις καὶ δόξα, τοῖς τῆς ἱερωσύνης αὐχήμασι διαπρέποντες, καὶ τὸ τῆς ἡγεμονίας λαχόντες ἀξίωμα. Ἀλλ' οὐ μεμενήκασιν ἐν ταῖς ἐκνεμηθείσαις αὐταῖς εὐκλείαις τε καὶ ὑπεροχαῖς, ἀποπεπτώκασι δὲ μᾶλλον ὕβρεως στέφανος γεγονότες. Περιβέβληνται γὰρ ἀτιμίᾳ καὶ μώμῳ καὶ τοῖς εἰς δυσσέβειαν ἐγκλήμασι γεγονότες ἔνοχοι, καθάπερ ἄνθος κατεμαράνθησαν. Γεγόνασι γὰρ αὐτοὶ καὶ μισθωτοὶ τοῦ Ἐφραῒμ. Ἐφραῒμ δέ φησι τὸν Ἰούδαν, διάτοι τὸ ἐκ φυλῆς εἶναι τῆς Ἐφραῒμ. Αὐτὸν οὖν ἄρα κατεμισθοῦντο τῆς Ἰουδαίων Συναγωγῆς οἱ προεστηκότες, πρός γε τὸ χρῆναι ταῖς αὐτῶν μιαιφονίαις B ὑπηρετεῖν καὶ παραδοῦναι τὸν Διδάσκαλον. Ὃ δὴ καὶ πέπρακται. Οὐαὶ τοίνυν τῷ στεφάνῳ τῆς ὕβρεως, φησὶ, τοῦτ' ἔστι, τοῖς ἡγουμένοις, οἳ καὶ ἐμισθώσαντο τὸν Ἐφραῒμ, τοῦτ' ἔστι, τὸν ἐκ φυλῆς Ἐφραῒμ. Γεγόνασί τε ταύτης ἕνεκα τῆς αἰτίας ὡς ἄνθος ἐκπεσὸν ἐκ τῆς δόξης. Ὥσπερ γὰρ δόξα τοῖς ἄνθεσι τὸ ἔξω τε ὁρᾶσθαι μαρασμοῦ, καὶ ἐν τῷ τῆς ἰδίας φύσεως κάλλει, κατὰ τὸν ἴσον οἶμαι τουτονὶ τρόπον νοηθείη ἂν καὶ ἐφ' ἡμῶν αὐτῶν. Ἕως μὲν γὰρ ἐσμεν ἐν οἷς ἡμᾶς εἶναι πρέπει, τῆς ἑαυτῶν ψυχῆς ἀδιαλώβητον εὖ μάλα τηροῦμεν τὸ κάλλος· παρατετραμμένης δὲ τῆς ἐν ἡμῖν διανοίας ἐφ' ἃ μὴ προσῆκεν, ἄνθος ἐσόμεθα τῆς αὐτῷ πρεπούσης δόξης ἐκπεπτωκός. Ὃ δὴ καὶ πεπόνθασιν οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι, καὶ γνώμην, καὶ λόγους, καὶ ἐγχειρήματα, καὶ πᾶν C ὁτιοῦν τῶν ἐκτόπων καταθήγοντες τοῦ Χριστοῦ. Ποῦ δὲ τὸ ἄνθος ἦν τὸ ἐκπεσὸν τῆς δόξης, καὶ τίνα τρόπον ἀπεκληρώσατο; Ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος. Ὄρος δὲ παχὺ τὸν Ἰσραὴλ ὀνομάζει· παχὺ μὲν, ὅτι ταῖς εὐθυμίαις κατεπιαίνετο· ὄρος δὲ, διάτοι τὸ ὑψοῦ τεθεῖσθαι παρὰ Θεοῦ, κατάγε τὸ ἔνδοξον, φημί. Αὐτὸς γάρ πού φησι περὶ τῶν ἐξ Ἰσραήλ· «Υἱὸν ἐγέννησα καὶ ὕψωσα.» Ἔθος δὲ τῇ θείᾳ Γραφῇ τὴν τῶν Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Ἱερουσαλὴμ ὄρει παρεικάζειν ἐσθ' ὅτε. Ἔκειντο τοίνυν ἄνθος ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, τοῦτ' ἔστιν, ἐπάνω πάντων, καὶ ἐπὶ πάντας ὡς ἡγούμενοι, καὶ τὸ κατάρχειν τῶν ἄλλων, ταῖς ἐκ νόμου λαχόντες ψήφοις. Οὗτοι δὲ ἦσαν οἱ μεθύοντες ἄνευ οἴνου. Καὶ γὰρ ἦν ἐξ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ D Γομόῤῥας, ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς, καὶ θυμὸς δρακόντων ἀνίατος. Κατεμεθύσκοντο γὰρ οὐχ οἶνον τοῦτον πίνοντες τὸν αἰσθητὸν, ἀλλὰ τὸ ἐξ ἀκράτου θυμοῦ, καὶ μανίας μέθυσμα, καὶ τῆς διαβολικῆς δυστροπίας τὸν σκοτισμὸν ταῖς αὐτῶν διανοίαις εἰσοικιζόμενοι.

A principem occiderunt. Verum calcata morte revixit, ut qui vita esset natura tanquam Deus, etiamsi in carne exsisteret. Væ igitur, inquit, coronæ injuriæ. Coronam eos vocat. Erant enim illi totius Israelis corona veluti quædam et gloria, sacerdotii insignibus excellentes, et principatus auctoritatem sortiti. Verum in hac dignitate et prærogativa sibi deputata non permanserunt, imo exciderunt potius, cum facti essent corona injuriæ, seu insolentiæ. Circumdati enim ignominia et labe, impietatisque crimine implicati, tanquam flos emarcuerunt. Erant enim illi mercenarii Ephraim. Ephraim dicit Juda, quod esset ex tribu Ephraim. Illum igitur mercede conduxerunt Judaicæ Synagogæ præfecti, ut essent cædis eorum admini- B stri, et hunc Doctorem traderent. Quod factum est. Væ ergo, inquit, coronæ injuriæ, id est, proceribus, qui etiam mercede conduxerunt Ephraim, scilicet eum qui esset e tribu Ephraim. Hanc namque ob causam facti sunt velut flos cadens de gloria. Quemadmodum enim florum gloria est sine marcore esse, et in suæ naturæ pulchritudine conspici, pari modo et in nobis ipsis posse intelligi arbitror. Quandiu enim versamur in quibus nos versari convenit, animæ nostræ pulchritudinem diligenter custodimus illibatam; at mente nostra ad ea quæ parum decet transversa, flos erimus cujus decora gloria defluxit. Quod usuvenit Scribis et Pharisæis, mente, sermone, conatibus, omnibusque prodigiosis machi- C namentis contra Christum instructis. At ubi erat flos decidens de gloria, et quem locum obtinuit? In vertice montis pinguis. Montem pinguem, Israelem nominat: pinguem quidem, quod tranquillitate et securitate gestiret; montem vero, quod in sublimi a Deo collocaretur, quod ad nobilitatem, inquit, attinet. Ait enim ipse de Israelitis: « Filios genui et evexi [18]. » Est autem familiare divinæ Scripturæ matrem Judæorum, Jerusalem inquam, monti comparare quandoque. Positi igitur erant flos **386** in vertice montis, id est, supra omnes et in omnes velut principes, et ad imperitandum aliis suffragio legis delecti. Hi erant ebrii sine vino. Etenim ex vite Sodomorum erat vitis eorum, et sarmentum eorum ex Gomorrha, uva bilis, D botrus amarus illis, et ira draconum insanabilis. Inebriati sunt enim, non hoc vinum subjectum sensibus bibendo, sed ex impotenti ira et furore ebrietatem et diabolicæ perversitatis obtenebrationem in animi quasi domicilium admittendo.

Ἰδοὺ ἰσχυρὸν καὶ σκληρὸν ὁ θυμὸς Κυρίου ὡς χάλαζα καταφερομένη, οὐκ ἔχουσα σκέπην βίᾳ καταφερομένη, ὡς ὕδατος πολὺ πλῆθος σῦρον χώραν τῇ γῇ, ποιήσει ἀνάπαυσιν ταῖς χερσὶ καὶ τοῖς ποσὶ, καὶ καταπατηθήσεται ὁ στέφανος τῆς ὕβρεως οἱ μισθωτοὶ τοῦ Ἐφραῒμ.

VERS. 2, 3. *Ecce forte et durum ira Domini, sicut grando quæ deorsum demittitur non habens tegmen, violenter demittitur; velut aquæ magna vis trahens regionem, in terra faciet quietem manibus et pedibus, et conculcabitur corona superbiæ, mercenarii Ephraim.*

[18] Isa. I, 2.

Quomodo illis dira contingent, et quod impietatis in Christum pœnas daturi sint, in duram et implacabilem iram justi judicis incidentes, hisce verbis propheticus sermo nobis submonstrat. Veniet enim, inquit, veniet contra nos dura et sæva ira Domini, sicque veniet perinde quasi grando demitteretur contra eos qui non habent velamentum, demissa violenter, id est, non tolerabiliter, seu potius fortiter et acriter, ac si quis funda vibrata, immaniter aliquem impeteret. Veniet ergo, inquit, instar grandinis, aut tanquam vis aquæ multæ trahens regionem. Est autem et hoc inexpugnabile. Agedum enim flumine, ut exempli causa dicam, vel torrente impetuosissime demisso, quid est quod obstare aut resistere valeat, quodque aquarum irruptioni non cedat? Veniet igitur velut aqua, totam inundans regionem, videlicet Judæorum. Erit autem casus tam horribilis, ut in tota terra facturus sit requiem. At qualem requiem, et quam? Manibus et pedibus. Est autem hæc verborum sententia. Nam qui natare discunt, si quidem sit aquarum status placidus et velut tractabilis, pedibus manibusque adductis et porrectis, mediocriterque laborantibus, suffocationis periculum effugiunt. At impetus aquarum si omnino irruat, ita ut exitus non pateat, quiescit ac desinit natare omnino captus, videturque labore liberatus, **387** ac cum sit prorsus submersus, ut deinceps præfocetur necesse est. Itaque ironiam habet hæc oratio, cum ait terræ facturam requiem aquam, requiemque manibus et pedibus. Simile est enim ac si diceret: Frustra laboret nemo, ut adventanti in omnes calamitati occurrat. Adeo enim impetuose ruet, ut si laborare vellent, nec consilio providere possint, nec cogitatione præcipere. Nemo enim enatabit, ac, velit nolit, deprimetur, quocunque aqua attrahens detulerit, id est, violentissima et invulnerabilis manus Romani exercitus. Tunc quidem, tunc conculcabitur, id est, pedibus eorum, quos dixi, subjicietur corona superbiæ, mercenarii Ephraim. Quinam autem isti sunt, ex his quæ jam supra dicta sunt cognovimus.

A Τίνα τρόπον αὐτοῖς τὰ δεινὰ συμβήσεται, καὶ ὅτι τῆς εἰς Χριστὸν δυσσεβείας ἀποτίσουσι δίκας σκληρῷ τε καὶ ἀνημέρῳ παραπεσόντες θυμῷ τοῦ τὰ δίκαια κρίνοντος, διὰ τούτων ἡμῖν ὁ προφητικὸς ὑπεμφαίνει λόγος. Ἥξει γὰρ, ἥξει, φησὶ, σκληρὸς καὶ δυσάντητος καθ' ὑμῶν ὁ θυμὸς Κυρίου, ἥξει δὲ οὕτως ὡσανεὶ καὶ χάλαζα καταφέροιτο κατά τινων οὐκ ἐχόντων σκέπην, καταφερόμενος δὲ σὺν βίᾳ, τοῦτ' ἔστιν, ἀφορήτως, ἐντόνως δὲ μᾶλλον καὶ μονονουχὶ κατασφενδονῶντός τινος, καὶ ἀγρίως τισὶν ἐπιφέροντος. Ἥξει δὲ οὖν ὡς χάλαζα, φησὶν, ἢ καὶ ὡς ὕδατος πολὺ πλῆθος σύρον χώραν. Ἄμαχον δὲ καὶ τοῦτο. Ποταμοῦ γὰρ, φέρε εἰπεῖν, ἤτοι χειμάῤῥου ῥαγδαιότατα καταφερομένου, ποῖον ἔσται τὸ ἀντιστατοῦν, καὶ ἀντισχεῖν δυνάμενον, καὶ τῇ τῶν ὑδάτων ῥύμῃ B μὴ παραχωροῦν; Ἥξει δὴ οὖν ὡς ὕδωρ ὅλην ἐπικλύζον τὴν χώραν, δῆλον δὲ ὅτι τὴν τῶν Ἰουδαίων. Ἔσται δὲ οὕτως ἀπηνὴς ἡ καταφορὰ, ὡς καὶ ἀνάπαυσιν ποιῆσαι τῇ γῇ. Ἀνάπαυσιν δὲ ποίαν ἄρα, καὶ τίνα; Ταῖς χερσὶ καὶ τοῖς ποσί. Καὶ ἔσται τοιοῦτος τῶν εἰρημένων ὁ νοῦς. Οἱ γάρ τοι νήχεσθαι μεμελετηκότες, εἰ μὲν εἴη τυχὸν ἠρεμαία τε καὶ οἷον εὐαφὴς τῶν ὑδάτων ἡ στάσις πόδας τε καὶ χεῖρας συστέλλοντες, καὶ ἐκτείνοντες, διαπονηθέντες τε συμμέτρως τὸν ἐκ τοῦ καταπνίγεσθαι διαδράσκουσι κίνδυνον. Τῆς δὲ τῶν ὑδάτων ὁρμῆς ἀπρόσιτον παντελῶς ἐχούσης τὴν προσβολὴν παύεται τοῦ νήχεσθαι πάντη τε καὶ πάντως ὁ ἐναλοὺς, καὶ δοκεῖ μὲν ἀπαλλάττεσθαι πόνου, καταπνίγεται δὲ λοιπὸν ὡς ἐξ ἀνάγκης τε καὶ βίας πάντη τε καὶ πάντως ὑποβρύχιος γεγονώς. C Οὐκοῦν διαγελᾷ πως ὁ λόγος, καὶ εἰρωνεύεται, ἀνάπαυσιν τῇ γῇ ποιῆσαι λέγων τὸ ὕδωρ, ἀνάπαυσιν δὲ ταῖς χερσὶ καὶ τοῖς ποσί. Ὅμοιον γὰρ ὡς εἰ καὶ λέγοι τυχὸν, Εἰκῇ πονείτω μηδεὶς, εἰς ἀντίστασιν τῆς μελλούσης κατὰ πάντων ἰέναι συμφορᾶς. Ἥξει γὰρ οὕτως ῥαγδαίως, ὡς ἀπρόσβλητον εἶναι παντελῶς καὶ ἀνόνητον ὁλοτρόπως τοῖς ἐθέλουσι πονεῖν γενέσθαι τὸ χρῆμα. Διανήξεται γὰρ οὐδεὶς, κατακομισθήσεται δὲ καὶ ἄκων, οὗπερ ἂν φέροι τὸ καθέλκον ὕδωρ, τοῦτ' ἔστι, τῶν Ῥωμαίων στρατείας ἡ βιαιοτάτη καὶ ἄθραυστος χείρ. Τότε δὴ τότε καταπατηθήσεται, τοῦτ' ἔστιν, ὑπὸ πόδας κείσεται τῶν εἰρηκότων ὁ στέφανος τῆς ὕβρεως, οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ. Τίνες δὲ οὗτοι, διὰ τῶν ἤδη προειρημένων ἐγνώκαμεν.

Vers. 4. *Et erit flos qui decidit de spe gloriæ, in summo montis excelsi, velut præcoqua ficus quam simul atque vidit aliquis, priusquam eam manu sumat, devorare cupiet.*

D *Καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς ἐλπίδος τῆς δόξης, ἐπ' ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ ὡς πρόδρομοι σύκου, ὁ ἰδὼν αὐτὸ πρὶν εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν, θελήσει αὐτὸ καταπιεῖν.*

Quid sit ille flos decidens de spe gloriæ, et quid præterea significaverit, in vertice montis excelsi situm esse et conspici, ex paulo ante dictis evasit perspicuum. Florem enim, utpote in monte conspicuum, vel Israelem, vel eos qui ut præsint delecti sunt, optime intelliges. Sed erit, inquit, tanquam præcoqua ficus. Nam cum fructus in ficu maturescunt, si quis forte alios prævenit et antevertit, fiatque ita aptus esui, qui videt, alacriter invadit cupitque devorare, et fortassis impetu ad hoc inflammato, quantum ad appetitum attinet, manum se extendere cunctantem accusat, oreque diducto in

Τί τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς ἐλπίδος τῆς δόξης, τί δὲ δὴ πρὸς τοῦτο κατασημάνειεν ἂν, τὸ ἐπ' ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ κεῖσθαί τε αὐτὸ καὶ ὁρᾶσθαι, διὰ τῶν ἔναγχος εἰρημένων κατέστη γνώριμον. Ἄνθος μὲν γὰρ, τὸ ὡς ἐν ὄρει περίοπτον, ἤτοι τὸν Ἰσραὴλ, ἤγουν τοὺς καθηγεῖσθαι λαχόντας εὖ μάλα συνήσεις. Ἀλλ' ἔσται, φησὶν, ὡς πρόδρομος σύκου. Μελλόντων γὰρ τῶν ἐν συκῇ πεπαίνεσθαι καρπῶν, εἴπερ τι τῶν ἄλλων προελάσειε τυχὸν, γένοιτό τε οὕτως ἐδώδιμον, ἐπιπηδᾷ μὲν προθύμως ὁ τεθεαμένος, γλίχεται δὲ καταπιεῖν, καὶ τάχα που ταῖς εἰς τοῦτο διαπύροις ὁρμαῖς, καὶ τό γε ἧκον εἰς ὄρεξιν αἰτιᾶται

μέλλουσαν τὴν χεῖρα πρὸς ἔκτασιν, καὶ διευρύνων A τὸ στόμα, τοῖς κλάδοις ἐκπηδᾷ. Οὕτως ἔσται, φησὶ, τοῖς ἁρπάζουσιν ὁ Ἰσραήλ. Καταπέποται γὰρ, ὡς ἔφην, ὑπὸ Ῥωμαίων, ἡδεῖά τε γέγονε τοῖς ἑλοῦσι τροφή.

Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος Σαβαὼθ ὁ στέφανος τῆς ἐλπίδος, ὁ πλακεὶς τῆς δόξης τῷ καταλειφθέντι μου λαῷ. Καταλειφθήσονται ἐν πνεύματι κρίσεως ἐπὶ κρίσιν, καὶ ἰσχὺν κωλύων [κωλύον] *ἀνελεῖν.*

Τίνα τε καὶ ὅπως τοῖς κυριοκτόνοις συμβήσεται, διεσάφησεν ἡμῖν ὁ λόγος ἐν τούτοις· προσεπάγει δὲ λοιπὸν τὴν ἐπί γε τοῖς πεπιστευκόσιν ἐξήγησιν· οὐ γὰρ εἰς ἅπαν ἀπόλωλεν ὁ Ἰσραήλ. Σέσωσται δὲ τὸ κατάλειμμα, κατὰ τὴν τοῦ προφήτου φωνήν. B Πεπίστευκε γὰρ εἰς Χριστὸν οὐ μετρία πληθὺς, ἧς γέγονεν ἀρχή τις ὥσπερ καὶ πρωτόλιον ὁ τῶν ἁγίων ἀποστόλων χορός. Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ, φησὶν, ἔσται Κύριος Σαβαὼθ ὁ στέφανος τῆς ἐλπίδος, ὁ πλακεὶς τῆς δόξης τῷ καταλειφθέντι μου λαῷ. Αὐτὸς γὰρ ὁ τῶν δυνάμεων Κύριος στεφανώσει τοὺς πεπιστευκότας· ἐλπίδι τε καὶ δόξῃ, καὶ ἐλπίδι μὲν τῆς τῶν ἐσομένων ἀγαθῶν δηλονότι, δόξῃ δὲ, ὅτι συμβασιλεύσουσιν αὐτῷ, καὶ τῶν ἀνωτάτω γερῶν εἴσω γεγονότες, ζηλωτοί τε ἔσονται καὶ ἀπόβλεπτοι. Τί γὰρ ἔσται τὸ ἰσοστατοῦν εἰς εὐκλείας λόγον τοῖς ἐλπίζουσι λαβεῖν τῆς ἐν Χριστῷ βασιλείας τὸν στέφανον; Τούτοις ἑτέρωθί φησιν αὐτὸς ὁ προφήτης Ἡσαΐας· Καὶ ἔσῃ στέφανος κάλλους, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου. Δόξῃ γὰρ ἀτελευτήτῳ C τοὺς εἰς αὐτὸν πιστεύοντας στεφανώσει Χριστὸς, καταπιαίνει δὲ καὶ ἐλπίδι λιπαρωτάτῃ. Ἔσται δὲ τῶν τοιούτων ἐν μεθέξει, φησὶν, ὁ καταλειφθείς μου λαὸς, τοῦτ' ἔστι, τὸ ἐξ Ἰουδαίων κατάλειμμα· συνεισδεχθέντος δηλονότι καὶ τοῦ ἑτέρου λαοῦ, τοῦτ' ἔστι, τῶν ἐθνῶν οἳ καὶ ἐπὶ Χριστῷ φρονοῦντες μεγάλα προσεύχονται, καὶ κεκράγασι πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. Εὐδοκήσαντος γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς, ὅπλον ἡμῖν ἀῤῥαγὲς ἐδείχθη καὶ γέγονεν ὁ Χριστὸς, τοῖς τοῦ πονηροῦ βέλεσιν ὑπὲρ ἡμῶν ἑαυτὸν ἀντεξάγων, ἄτρωτόν τε καὶ ταῖς ἐκείνου δυστροπίαις ἀχείρωτον τὸν ἑαυτοῦ τετήρηκε λαόν. Τοιοῦτόν τι, καθάπερ ἐγῷμαι, κατασημαίνει λέγων περὶ τοῦ καταληφθέντος λαοῦ, τοῦτ' ἔστι, τῶν D ἐν πίστει δεδικαιωμένων· Καταλειφθήσονται ἐν πνεύματι κρίσεως ἐπὶ κρίσιν, καὶ ἰσχὺν κωλύων ἀνελεῖν. Πάλαι μὲν γὰρ ἅπαξ, ὡς ἔπος εἰπεῖν, τὸ ἐπὶ γῆς γένος ἀνεῖλεν ὁ Σατανᾶς τοῖς τῆς ἁμαρτίας βόθροις ἐγκαθείς. « Οὐ γὰρ ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνὸς, ἀλλὰ πάντες ἐξέκλιναν ἅμα, ἠχρειώθησαν, » κατὰ τὴν τοῦ ψάλλοντος φωνήν. Ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἔκρινεν ἡμῶν τὴν κρίσιν, δεδίκακεν ὥσπερ ἡμῖν τε καὶ τῷ πλεονεκτήσαντι Σατανᾷ, καὶ κατεψηφίσατο μὲν ἐκείνου τὸν ὄλεθρον, ἀπέστησε δὲ τῶν ἐπὶ τῆς γῆς ὡς ὀλετῆρα, καὶ ἀνδροκτόνον, σέσωκε

ramos assultat. Sic erit, inquit, diripientibus Israel. Devoratus est enim, ut dicebam, a Romanis, dulcisque cibus factus est capientibus.

VERS. 5, 6. *Die illo erit Dominus Sabaoth corona spei, ornamentum gloriæ relicto populo meo. Derelinquentur in spiritu judicii super judicium et fortitudinem, prohibens interficere.*

Quæ et quomodo Domini interfectoribus eventura sunt, exposuit nobis hisce verbis oratio. Deinceps adducit explicationem de fidelibus: non enim in totum periit Israel, sed, juxta vocem prophetæ, reliquiæ salvæ factæ sunt. Credidit namque in Christum non parva multitudo, **388** cujus principium quoddam et quasi primitiæ exstitit sanctorum apostolorum chorus. Eo igitur tempore, inquit, erit Dominus Sabaoth corona spei, ornamentum gloriæ derelicto populo meo. Ipse enim exercituum Dominus coronabit credentes spe et gloria, futurorum videlicet bonorum: gloria, quod cum illo simul regnabunt, et summorum donorum facti participes, admirabiles exsistent et illustres. Quid enim ad rationem honoris par esse poterit sperantibus, se regni in Christo coronam accepturos? Ad hæc alibi dicit ipse propheta Isaias: Et eris corona pulchritudinis, et diadema regni in manu Dei tui. Gloria enim infinita coronabit credentes in se Christus, speque opima recreabit, quasique saginabit. Talium, inquit, particeps erit derelictus populus meus, scilicet Judæorum reliquiæ: comprehenso videlicet etiam alio populo, nimirum ex gentibus: qui in Christo magna fiducia concepta, orant et clamant ad Patrem et Deum cœlestem: Domine, velut armis benevolentiæ coronasti nos. Benevolente enim et pacato Deo Patre, arma nobis infracta exhibitus et factus est Christus, se telis maligni pro nobis opponens, populumque suum invulneratum, et ab ejus malitia immunem intactumque custodivit. Istud demum, ut opinor, significat, quod dicit de populo assumpto, id est, fide justificatis. Derelinquentur in spiritu judicii, super judicium et fortitudinem prohibens interficere. Semel enim olim Satanas, ut ita dicam, interfecit terrigenas, in peccati voraginem dejectos. « Non enim erat qui recte faceret, non erat ne unus: sed omnes declinarunt, simul inutiles facti sunt [20], » juxta vocem Psallentis. At posteaquam factus esset homo unigenitum Dei Verbum, nostrum judicavit judicium, et inter nos et Satanam tyrannum, se arbitrum interposuit, ac illius stragem damnavit, in terra velut perniciosum et homicidam exterminavit: itaque perditos, id est nos, servavit. Idque docet inquiens: « Nunc judicium est hujus mundi, nunc princeps mundi hujus ejicietur foras; » et: « Si exaltatus fuero de terra, omnes traham ad me ipsum [21]. » Quippe diserte ait: Non misit Deus

[20] Psal. LII, 2, 4. [21] Joan. XII, 31, 32.

Filium suum in mundum ut judicet mundum, sed A
389 « ut mundus servetur per illum. » Quomodo ergo dicit: Judicium est mundi hujus? Nos enim sumus, qui quondam clamarunt, voce prophetarum: « Excitare, Domine, et attende judicio meo, Deus mi, et Domine mi, causæ meæ [22]. » Nam etiam judicio de nobis justo facto, gratias agimus et dicimus: « Confitebor tibi, Domine, in toto corde meo; narrabo omnia mirabilia tua, psallam nomini tuo, Altissime [23]. » Et quam ob causam? Quia fecisti judicium meum, et egisti causam meam: sedisti in solio judicans judicium: increpasti gentes, et periit impius. Increpatæ sunt enim catervæ dæmonum, simulque cum illis periit impius, id est, Satan. Derelinquentur igitur, id est, conservabuntur in spiritu judicii. Judicavit enim et justificavit, ut dixi, super B
judicium et fortitudinem, id est, recto judicio et potentia, videlicet divina, prohibens interficere eos qui credunt in eum.

A δὲ οὕτως τοὺς ἀπολωλότας, τοῦτ' ἔστιν, ἡμᾶς. Τοῦτο διδάσκων φησὶ, Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. Κἀγὼ ἐὰν ὑψωθῶ ἐκ γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Καίτοι φησὶν ἐναργῶς, « Οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. » Πῶς οὖν ἄρα φησὶν, ὅτι κρίσις ἐστὶ τοῦ κόσμου τούτου; Ἡμεῖς γάρ ἐσμεν οἱ πάλαι βοῶντες διὰ φωνῆς προφητῶν· « Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου. » Ὅτι καὶ δικαίας κρίσεως ἐφ' ἡμᾶς γενομένης εὐχαριστοῦντές φαμεν, « Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου· διηγήσομαι πάντα τὰ θαυμαστά σου, ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε. » Καὶ διὰ
B ποίαν αἰτίαν; Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου. Ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην, ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· ἐπετιμήθησαν γὰρ τὰ τῶν δαιμόνων στίφη, συναπόλωλε δὲ τούτοις ὁ ἀσεβὴς, τοῦτ' ἔστιν, ὁ Σατανᾶς. Καταλειφθήσονται τοίνυν, τοῦτ' ἔστι, περισωθήσονται ἐπὶ πνεύματι κρίσεως· ἔκρινε γὰρ καὶ δεδικαίωκεν, ὡς ἔφην, ἐπὶ κρίσιν καὶ ἰσχὺν, τοῦτ' ἔστιν, ὀρθοκρισίᾳ καὶ δυνάμει, δῆλον δὲ ὅτι τῇ θεοπρεπεῖ, κωλύων ἀνελεῖν τοὺς εἰς αὐτὸν πιστεύοντας.

VERS. 7. *Hi enim vino erraverunt, erraverunt præ sicera; sacerdos et propheta mente alienati sunt præ vino. Vacillaverunt propter ebrietatem siceræ, erraverunt. Hæc est visio.*

Οὗτοι γὰρ οἴνῳ πεπλανημένοι εἰσίν· ἐπλανήθησαν διὰ τὸ σίκερα, ἱερεὺς καὶ προφήτης ἐξέστησαν διὰ τὸν οἶνον· ἐσείσθησαν ἀπὸ τῆς μέθης τοῦ σίκερα· ἐπλανήθησαν. Τοῦτ' ἔστι φάσμα.

Describit aliquo modo eos qui lapsi sunt, quique Deum diutina hac inobedientia offenderunt. Erraverunt enim tales, inquit, vino et ebrietate titubantes, non quidem sensibus subjecta aut corporea: at C
potius mentis cæcitate capti, quam hominibus otio et ignaviæ deditis, dirus draco immittit. Scribit enim divinus Paulus: Deus sæculi hujus obtenebravit intelligentiam infidelium, ne lux Evangelii gloriæ Dei illucesceret. Vinum igitur et siceram ex diaboli perversitate in animos hominum immissam, rectissime tenebras vocat. Stupore autem et admiratione veluti percellitur, quod non solum indoctissima vulgi multitudo hoc morbo laborare videatur, verum etiam sacerdos et propheta mente præ vino excesserint. Vinum rursus ebrietatem ex ignorantia vocat. Mirum vero, videre sacerdotem et prophetam hoc pati cum reliquis. Nam quos æquum erat alios instituere, et ad utilitatem indagandam et venandam dirigere, et salutis semitam ostendere: hi D
et quidem præ aliis tenebras receperunt; ita ut vacillarent, **390** et quovis vento, idque ex hac mentis ebrietate, circumferrentur. Dixerit autem quispiam, inquit, hanc rem veluti phasma ac visionem esse: id est, miraculum vel stuporem. [Quando enim præter spem et opinionem quidpiam contingit, tunc videntibus quemdam vehementem stuporem incutit.] His autem verbis prophetam dicit, non omnino verum, et a Deo missum: sed potius quam sibi ipsi gloriam existimationemque prophetæ affingit; de quibus loquitur voce Ezechielis: Væ prophetanti-

Καταδεικνύει τρόπον τινὰ τοὺς ὠλισθηκότας, καὶ διὰ τῆς οὕτω μακρᾶς ἀπειθείας προσκεκρουκότας Θεῷ. Πεπλάνηνται γὰρ οἱ τοιοίδε, φησὶν, οἶνον καὶ
C μέθυσμα πεπωκότες, οὐκ αἰσθητὸν ἢ σωματικὸν, σκοτισμὸν δὲ μᾶλλον ἑλόντες εἰς νοῦν, ὃν τοῖς εἰωθόσι ῥᾳθυμεῖν ὁ παγχάλεπος ἐνίησι δράκων. Γράφει γὰρ ὁ θεσπέσιος Παῦλος, ὅτι ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐσκότισε τὰ νοήματα τῶν πιστῶν, εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Θεοῦ. Οἶνον οὖν ἄρα καὶ σίκερα τὸν ἐκ τῆς τοῦ διαβόλου δυστροπίας ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐνιέμενον σκότον εὖ μάλα καλεῖ. Καὶ καταπλήττεται δὲ ὥσπερ, οὐχ ὅτι μόνη τοῦτο παθοῦσα φαίνεται τῶν ἀγελαίων ἡ ἀμαθεστάτη πληθὺς, ἀλλὰ γὰρ ἔτι πρὸς ἐκείνοις, ἱερεὺς καὶ προφήτης ἐξέστησαν διὰ τὸν οἶνον. Οἶνον δὲ πάλιν τὸ ἐκ τῆς ἀμαθίας μέθυσμά φησι. Θαυμαστὸν δὲ ὅτι τοῖς ἄλλοις ὁμοῦ τοῦτο πεπονθότας κατίδοι τις ἂν ἱερέα καὶ προφήτην. Οὓς γὰρ ἦν εἰκὸς
D καὶ τοὺς ἄλλους ἅπαντας ἀπευθύνειν δύνασθαι πρὸς τὴν τοῦ συμφέροντος θήραν καὶ τὴν τῆς σωτηρίας καταδεῖξαι τρίβον, οὗτοι τάχα που καὶ πρό γε τῶν ἄλλων τὸν σκότον ἐδέχοντο, ὥστε καὶ καταδονεῖσθαι, καὶ πάντα πνεύματι περιφέρεσθαι, καὶ τοῦτο ἐκ μέθης τῆς νοητῆς. Φαίη δ' ἄν τις τὸ πρᾶγμα οἷόν τι γενέσθαι φάσμα, τοῦτ' ἔστι, θάμβος ἢ ἔκπληξιν. Προφήτην δέ φησιν ἐν τούτοις οὐχὶ πάντως τὸν ἀληθῆ καὶ παρὰ Θεοῦ, ἐκεῖνον δὲ μᾶλλον τὸν οἱονεὶ δόξαν ἑαυτῷ τὴν προφητικὴν περιπλάττοντα· περὶ ὧν φησι διὰ φωνῆς Ἰεζεχιήλ· Οὐαὶ, οἱ προφητεύοντες ἀπὸ καρδίας αὐτῶν, καὶ οὐκ ἀπὸ στόματος Κυρίου. Δια-

[22] Psal. XXXIV, 23. [23] Psal. IX, 2, 3.

βέβληνται δὲ καὶ διὰ φωνῆς Ἠσαΐου· φησὶ γάρ που περὶ τῆς Ἱερουσαλὴμ, Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο.

Ἀρὰ ἔδεται ταύτην τὴν βουλήν· αὕτη γὰρ ἡ βουλὴ ἕνεκεν πλεονεξίας.

Πεπλανῆσθαι λέγων ἱερέα τε ὁμοῦ καὶ προφήτην, καὶ μὴν καὶ ἐκστῆναι φρενὸς ἀγαθῆς διὰ τὸν οἶνον τὸν ἐξ ἀμπέλου Σοδόμων, μέθυσμά τε τὸ νοητὸν, προσεπενεγκὼν δὲ ὅτι τοῦτό ἐστι φάσμα, τοῦτ' ἔστι, κατάπληξις, καὶ οἷόν τι θάμβημα, καταδείκνυσιν εὐθὺς καὶ τὴν τοῦ καταπεπλῆχθαι πρόφασιν, καὶ τῆς τῶν ἱερέων ἐκστάσεώς τε καὶ μέθης τὰ ἐγκλήματα. Ταύτῃ τοί φησιν, Ἀρὰ ἔδεται ταύτην τὴν βουλήν. Ἐπάρατος γὰρ ἡ τῶν Ἰουδαίων σκέψις γέγονεν ἀληθῶς, ἡ ἐπί γέ φημι τῷ πάντων Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ. Προαπέστειλε μὲν γὰρ ὁ Θεὸς καὶ Πατὴρ τοὺς ἁγίους προφήτας, καὶ ἀπεκτόνασιν αὐτούς. Εἶτα μετ' ἐκείνους πέπομφε τὸν ἀγαπητὸν λαβεῖν τοὺς καρποὺς τοῦ ἀμπελῶνος αὐτοῦ, κατά γε τὴν ἐν τοῖς Εὐαγγελίοις παραβολήν. Οἱ δὲ τοῦ ἀμπελῶνος προεστηκότες ἀγνωμονέστατοι γεωργοὶ, καίτοι συνέντες ὅτι αὐτός ἐστιν ὁ υἱὸς, καὶ ὁ τοῦ χωρίου δεσπότης, εἶπον, φησὶν, ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν ἑαυτοῖς τὴν κληρονομίαν αὐτοῦ. Ἐπάρατος τοίνυν, φησὶν, ἡ τοιάδε βουλή. Ταύτης καὶ ὁ μακάριος Δαβὶδ μέμνηται λέγων ποτὲ μὲν, ὅτι «Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.» Ποτὲ δὲ πάλιν περὶ τῶν τὰ τοιάδε πεπλημμεληκότων· Καθελεῖς αὐτοὺς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτοὺς, ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βουλὴν, ἣν οὐ μὴ δύνωνται στῆναι. Ὅσον μὲν γὰρ ἧκεν εἰς δύναμιν ἐπιχειρημάτων, ἀπέκτειναν τὸν υἱὸν, οἰηθέντες ὅτι τὸν δεσποτικὸν αὐτοὶ καθέξουσι κλῆρον· ἀνεβίω δὲ ὡς Θεὸς, καὶ ἀπώλεσε μὲν κακοὺς κακῶς, τοὺς ἀλητηρίους καὶ ἀγνώμονας γεωργοὺς, ἐκδέδωκε δὲ τὸ χωρίον ἑτέροις, δῆλον δὲ ὅτι τοῖς ἁγίοις ἀποστόλοις καὶ εὐαγγελισταῖς, καὶ τοῖς τῶν ἁγίων Ἐκκλησιῶν διδασκάλοις. Ἐπάρατος οὖν ἡ τῶν Ἰουδαίων βουλὴ, γέγονε γὰρ ἕνεκα πλεονεξίας. Πλεονεξία γὰρ ἀληθῶς τὸ ἐθελῆσαι τοὺς οἰκέτας κατεπιφύεσθαι τοῦ δεσπότου, ἴδιόν τε πεποιῆσθαι κλῆρον τὸν οὗ τετάχαντο γεωργοὶ, καίτοι μισθὸν ἔχοντες διαρκῆ τῆς ἱερωσύνης τὰ γέρα, καὶ τὰς ἐκ τοῦ τῶν ἄλλων προτετάχθαι τιμάς.

Τίνι ἀνηγγείλαμεν κακά; καὶ τίνι ἀνηγγείλαμεν ἀγγελίαν;

Ἔθος τοῖς ἁγίοις προφήταις, καὶ πάσῃ δὲ τῇ θεοπνεύστῳ Γραφῇ διὰ δύο πράγματα ἐπείγεσθαι καὶ συνωθεῖν, ἐπὶ τὸ βιοῦν ὀρθῶς ἑλέσθαι τὸν ἄνθρωπον. Ἢ γὰρ τοῖς τῆς κολάσεως δείμασι τὸν ἀπεσκληκότα νοῦν οἱονεὶ περιθραύοντες μετασοβοῦσιν ἐπὶ τὸ ἄμεινον, ἢ ταῖς τῶν γερῶν ὑποσχέσεσιν ἀποτελοῦσιν εὐτολμοτέρους περὶ τὸ χρῆναι τληπαθεῖν ὑπὲρ τῶν εἰς εὐσέβειαν ἀνδραγαθημάτων· ὁποῖόν ἐστι τὸ διὰ φωνῆς Ἠσαΐου πρὸς Ἰουδαίους, «Καὶ ἐὰν θέλητε καὶ εἰσ-

A bus ex corde suo, et non ex ore Domini. Accusantur etiam voce Isaiæ. Nam de Jerusalem dicit: Duces illius propter munera judicabant, prophetæ ejus propter argentum vaticinabantur.

VERS. 8. *Exsecratio devorabit hoc consilium. Hoc enim consilium est propter avaritiam.*

Cum ait errasse sacerdotem pariter et prophetam, et sana mente motos esse propter vinum ex vitibus Sodomorum, et animi ebrietatem; cumque adjiceret, hoc esse visionem seu spectrum, id est, obstupefactionem, et veluti miraculum: statim demonstrat occasionem hujus stuporis et excessus ebrietatisque, sacerdotum crimina. Ideoque inquit: Exsecratio devorabit hoc consilium. Exsecrabilis B enim Judæorum consultatio fuit vere, in Christum, inquam, omnium nostrum Servatorem. Præmisit enim Deus et Pater sanctos prophetas, et eos occiderunt. Dein, post illos misit dilectum, ut perciperet fructus vineæ suæ, ut in evangelica parabola habetur. Præfecti autem vineæ stultissimi agricolæ, etsi intelligerent illum esse filium, et loci dominum, dixerunt tamen, inquit, apud sese: Hic est hæres, adeste, occidamus eum, et habeamus inter nos hæreditatem ejus. Exsecrabile ergo est, inquit, hoc consilium. Hujus etiam meminit beatus David, nunc dicens: «Quare fremuerunt gentes, et populi meditati sunt inania? Astiterunt reges terræ, et principes congregati sunt in unum, adversus Dominum, et adversus Christum ejus [24]; » nunc rursus de his qui C talia deliquerunt: Evertes eos, et non ædificabis eos, quia declinaverunt in te mala, cogitaverunt consilium quod non potuerunt stabilire. Quantum enim ad illorum vim et conatus attinet, occiderunt filium, rati **391** se herilem sortem obtenturos: at ut Deus revixit, et malos male perdidit, sceleratos et stultos agricolas, et fundum dedit aliis, nimirum sanctis apostolis et evangelistis, et sanctarum Ecclesiarum doctoribus. Exsecrabile igitur consilium Judæorum: factum est enim avaritiæ causa. Est enim vere avaritia, servos velle superiores esse hero, et suum patrimonium fieri id cujus sunt constituti cultores: maxime cum mercedem habeant satis amplam, sacerdotii præmia, honoresque, quibus aliis præsident.

D *Cui annuntiavimus mala? et cui annuntiavimus nuntium?*

Sanctis prophetis in more est, adeoque universæ Scripturæ divinæ, duabus rebus hominem inducere et impellere, ut recte vitam instituere velit. Aut enim supplicii terrore frangunt obfirmatum animum, et ad melius incitant: aut præmiorum pollicitationibus audentiores efficiunt, ut virilia pro pietate facinora fortiter subeant. Quale est illud voce Isaiæ ad Judæos: «Si volueritis et audieritis me, bona terræ edetis. Si vero nolueritis, neque audieritis

[24] Psal. II, 1, 2.

me, gladius vos devorabit. Os enim Domini locutum est hæc [25]. » Ostendit igitur Israelem indomitum, sermones sanctorum prophetarum veluti contempsisse, cum ait : Cui annuntiavimus mala? et cui annuntiavimus nuntium? Ecce enim, ecce, cui? inquit, pro, duro et rebelli et imprudenti populo ministravimus, et e supernis divinorum sermonum legationem afferentes, annuntiavimus illi mala, id est, supplicia, minas, quæ prorsus certe ad caput eorum qui contumaces esse solent, affligentur : annuntiavimus nuntium, id est, læta annuntiavimus bona his qui bene consueverunt agere divinitus destinata. At nihilo melior reddetur intractabilis Israel, proclivis ad delicta, multumque laborans morbo inobedientiæ. Cum igitur dicit : Cui? nullo modo dignum significat. Etenim post hanc adeo claram sanctorum prophetarum prædictionem, nihilo secius tamen refractarii exstiterunt et improbi, et omnibus vitiis animum refertum replotumque habentes. Quin et immanes facti sunt ministri diabolicæ crudelitatis et amarulentiæ. Cruci enim
392 tradiderunt universorum Servatorem et Redemptorem, Christum, inquam, per quem et quocum sit Patri gloria cum Spiritu sancto in sæcula. Amen.

A ακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. » Ὡς οὖν ἀτιμάσαντα τῶν ἁγίων προφητῶν τοὺς λόγους; τὸν ἐξήνιον Ἰσραὴλ μονονουχὶ καταδείκνυσι, λέγων· Τίνι ἀνηγγείλαμεν ἀγγελίαν; Ἰδοὺ γὰρ, ἰδοὺ τίνι; φησὶν, ἀντὶ τοῦ, σκληρῷ τε καὶ ἀπειθεῖ καὶ ἀσυνέτῳ λαῷ διηκονησάμεθα, καὶ τοὺς ἄνωθεν παρὰ Θεοῦ διαπορθμεύσαντες λόγους, ἀνηγγείλαμεν αὐτῷ κακὰ, τοῦτ' ἔστι, τὰς κολάσεις, τὰς ἀπειλὰς, αἱ πάντη τε καὶ πάντως τοῖς τῶν ἀπειθεῖν εἰωθότων κατηργηθήσονται κεφαλῆς. Ἀνηγγείλαμεν ἀγγελίαν, τοῦτ' ἔστιν, εὐηγγελισάμεθα τὰ ἀγαθὰ τὰ τοῖς ἀγαθουργεῖν εἰωθόσιν ηὐτρεπισμένα παρὰ Θεοῦ. Ὠφέληται δὲ παντελῶς οὐδὲν ὁ δυσμετακόμιστος Ἰσραὴλ, ὁ
B πεπηγὼς εἰς τὸ πλημμελὲς, καὶ πολὺ νοσήσας τὸ δυσήκοον. Ὅταν τοίνυν λέγει τὸ, τίνι, τῷ κατ' οὐδένα τρόπον ἀξίῳ δηλοῖ· καὶ γάρ τοι μετὰ τὴν οὕτω σαφῆ τῶν ἁγίων προφητῶν προαγόρευσιν, οὐδὲν ἧττον ἀμείλικτοί τε ἦσαν καὶ πονηροὶ, καὶ δυστροπίας ἁπάσης ἐπίμεστον ἔχοντες τὴν καρδίαν. Γεγόνασι δὲ καὶ πικρίας διαβολικῆς ὑπηρέται γοργοί· σταυρῷ γὰρ παρέδωκαν τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν, φημὶ δὴ Χριστὸν, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

TOMUS II.

VERS. 1. *Ablactati a lacte, avulsi ab ubere, afflictionem super afflictionem exspecta, spem super spem, adhuc parum adhuc parum, propter irrisionem labiorum, propter linguam alteram.*

Desiit nobis oratio prima, in hoc : Cui annuntiavimus mala? et cui annuntiavimus nuntium? Prædictorum vero sententiam interpretantes, dicimus sanctorum prophetarum personam introductam esse, ortos ex sanguine Israelitico quodammodo increpantium : quippe qui temere ac frustra illorum sermonibus intersint, nihilo autem meliores reddantur, tametsi mala illis et nuntium fuissent prænuntiata. Ac mala quidem esse confirmavimus, supplicia delinquentibus destinata: Nuntia vero, in spe bona honores. Itaque perinde quasi nihil juvarentur qui ex sanguine Israelitico oriundi sunt, licet annuntiaverint illis prophetæ hæc a Deo, minas, inquam, et futurorum bonorum repromissiones : Cui, inquit, annuntiavimus mala? et cui annuntiavimus nuntium? Jam cum sancti prophetæ veluti conticuerint, suumque sermonem finiverint, ipse universorum Deus sanctos compellat, dicens : Ablactati a lacte, avulsi ab ubere, afflictionem afflictioni adjice, spem spei. Nam qui admonitioni recalcitrant, et frenum jamdiu abjecerunt, merito repudiati sunt, et salutis in Christo expertes ibunt in interitum. Vos autem deinceps per fidem vocati ad agnitionem veritatis, qui tanquam ab ubere et lacte legalis pædagogiæ abstracti estis, cibum olim parvulis accommodatum capientes, et rudiori mente præditi, provecti vero

ΤΟΜΟΣ Β'.

Οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπεσπασμένοι ἀπὸ μαστοῦ, θλῖψιν ἐπὶ θλίψει προσδέχου, ἐλπίδα ἐπ' ἐλπίδι, ἔτι μικρὸν, ἔτι μικρὸν,
C *διὰ φαυλισμὸν χειλέων, διὰ γλώσσης ἑτέρας.*

Κατέληξε μὲν ἡμῖν ὁ πρῶτος λόγος εἰς τὸ, Τίνι ἀνηγγείλαμεν κακά; καὶ τίνι ἀνηγγείλαμεν ἀγγελίαν; Διερμηνεύοντες δὲ τῶν προειρημένων τὴν δύναμιν, λέγομεν ὅτι τὸ τῶν ἁγίων προφητῶν εἰσεκομίσθη πρόσωπον ἐπιτιμώντων τρόπον τινὰ τοῖς ἐξ αἵματος Ἰσραὴλ, ὡς εἰκῇ μὲν τοῖς παρ' αὐτῶν ἐντετυχηκόσι λόγοις, ὠφεληθεῖσι δὲ παντελῶς οὐδὲν, καίτοι καὶ κακῶν αὐτοῖς, καὶ μέντοι καὶ ἀγγελίας προηγορευμένων. Καὶ κακὰ μὲν εἶναι τὰς τοῖς εἰωθόσι πλημμελεῖν ηὐτρεπισμένας κολάσεις διαβεβαιώμεθα, ἀγγελίας τε τὰς ἐπ' ἀγαθαῖς ἐλπίσι τιμάς. Ὡς οὐδὲν οὖν τὸ σύμπαν ὠφελημένων τῶν ἐξ αἵματος Ἰσραὴλ, εἰ καὶ ἀνηγγέλκασιν αὐτοῖς οἱ προ-
D φῆται τὰ παρὰ Θεοῦ, ἀπειλάς τέ φημι καὶ τῶν ἐσομένων ἀγαθῶν ὑποσχέσεις, Τίνι, φησὶν, ἀνηγγείλαμεν κακά; καὶ τίνι ἀνηγγείλαμεν ἀγγελίαν; Σεσιγηκότων δὲ ὥσπερ τῶν ἁγίων προφητῶν, καὶ μέχρι δὴ τούτων τὸν οἰκεῖον στησάντων λόγον, αὐτὸς ὁ τῶν ὅλων Θεὸς τοῖς ἁγίοις ἐπιφωνεῖ λέγων· Οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπεσπασμένοι ἀπὸ μαστοῦ, θλῖψιν ἐπὶ θλίψει προσδέχου, ἐλπίδα ἐπ' ἐλπίδι. Οἱ μὲν γὰρ ἀνουθέτητοι, φησὶν, καὶ πολὺ νοσοῦντες τὸ ἐξήνιον, ἐξώσθησαν εἰκότως, καὶ τῆς ἐν Χριστῷ σωτηρίας ἀμέτοχοι γεγονότες βαδιοῦνται πρὸς ὄλεθρον. Ὑμεῖς δὲ λοιπὸν οἱ διὰ πίστεως κεκλημένοι πρὸς ἐπίγνωσιν ἀληθείας, οἱ καθάπερ τινὲς

[25] Isa. I, 19, 20.

μαστοῦ καὶ γάλακτος ἀπεσπασμένοι τῆς ἐν νόμῳ A παιδαγωγίας· οἱ τροφὴν μὲν πάλαι νηπιοπρεπῆ δεχόμενοι, καὶ ἀμαθεστέραν ἔχοντες τὴν φρένα, προβεβηκότες δὲ νῦν εἰς ἄνδρα τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καὶ εἰς τὴν τελείοις πρέπουσαν μεταφοιτήσαντες τροφὴν, καὶ οὐ μεμενηκότες ἄπειροι λόγου δικαιοσύνης, κατευθύνατε τὰς ἑαυτῶν καρδίας εἰς παραδοχὴν τοῦ νέου κηρύγματος τῆς εὐαγγελικῆς πολιτείας τῶν διὰ Χριστοῦ θεσπισμάτων. Ἀνδρίζεσθε πρὸς ὑπομονὴν, καὶ εἰ θλίψις ἐπέρχοιτο συχνή τε καὶ ἀλλεπάλληλος ἐγηγερμένων τῶν πειρασμῶν, καὶ τῆς τῶν διωκόντων ὠμότητος ἐπιφυομένης ὑμῖν καρτερήσατε βραχὺ, καὶ ἐπὶ βραχὺ προσδέχεσθε τὰς θλίψεις, ἵνα καὶ ἐλπίδα πλουτήσητε, τήν γέ φημι τὴν ὑπὲρ νοῦν τὸν ἀνθρώπινον. «Ὀφθαλμὸς γάρ, φησίν, οὐκ οἶδεν, καὶ οὖς οὐκ B ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.» Εἶτα δείκνυσι ποία τις ἔσται πρώτη κατ' αὐτῶν ἡ θλίψις. Διὰ φαυλισμὸν γάρ φησι χειλέων, καὶ διὰ γλώσσης ἑτέρας. Ἔστι δὲ τοιοῦτος τῆς προφητείας ὁ νοῦς. Ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων γέγραπται, ὅτι «Κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἦσαν πάντες ὁμοῦ συνηγμένοι ἐπὶ τὸ αὐτὸ, καὶ ἰδοὺ ἐγένετο ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας.» Εἶτά φησιν· «Ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς.» Προστέταχε γὰρ αὐτοῖς ὁ Χριστὸς ἀπὸ Ἱεροσολύμων μὴ χωρί- C ζεσθαι, περιμένειν δὲ τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἕως ἂν ἐνδύσωνται ἐξ ὕψους δύναμιν. Εἶτα κατελθόντες ἐλάλουν τοῖς ἐξ Ἰσραὴλ, καὶ ἅπασι δὲ τοῖς ἐξ ἑτέρων χωρῶν ταῖς δοθείσαις αὐτοῖς παρὰ Θεοῦ γλώσσαις, «καὶ κατεπλήττοντο μὲν ἀκροώμενοι, καὶ δὴ καὶ ἔφασκον, Οὐχ ἰδοὺ πάντες οἱ λαλοῦντές εἰσιν Ἰουδαῖοι; Καὶ πῶς πάντες ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ γλώσσῃ λαλούντων αὐτῶν; Ἄλλοι δὲ ἔλεγον,» φησὶν, «ὅτι Γλεύκους μεμεστωμένοι εἰσὶ,» τοῦτ' ἔστι, μεθύουσι, τοῦτο, οἶμαι, ἐστὶ τὸ διὰ φαυλισμὸν χειλέων διὰ γλώσσης ἑτέρας. Ἐλάλουν μὲν γὰρ γλώσσαις ἑτέραις, τοῦ πάντα ἰσχύοντος Θεοῦ καὶ τοῦτο προειρηκότος. Ἐν ἑτερογλώττοις γὰρ, φησὶ, καὶ ἐν χείλεσιν ἑτέρων λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' ὡς πιστεύσουσιν. Ἀλλὰ καίτοι δέον εἰς πληροφορίαν δέχεσθαι τὸ σημεῖον, ἐννοήσαντας τὴν ἐπὶ τούτῳ γεγενημένην παρὰ Θεοῦ προαγόρευσιν, τοῦτο μὲν οὐκ ἔδρων, κατονειδίζοντες δὲ τὸ μεθύειν αὐτοῖς μεμενήκασιν ἐν ἀπειθείᾳ.

Ὅτι λαλήσουσι τῷ λαῷ τούτῳ λέγοντες αὐτῷ· D *Τοῦτο τὸ ἀνάπαυμα τῷ πεινῶντι, καὶ τοῦτο τὸ σύντριμμα, καὶ οὐκ ἠθέλησαν ἀκούειν.*

Ἔφη που Θεὸς ἐπὶ ταῖς Ἰουδαίων ἀπονοίαις ἀγανακτῶν· Ἰδοὺ ἐγὼ ἐπάγω λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγων Κυρίου. Καὶ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν παραδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, οὐ μὴ εὕρωσιν. Οὐκοῦν ἐπενήνεκται λιμὸς νοητὸς τοῖς ἐξ Ἰσραὴλ, καὶ ἐπειδήπερ οὐ παρεδέξαντο διὰ τῆς πίστεως τὸν ἄρτον τῆς ζωῆς τὸν ἐξ οὐρανοῦ καταβε-

nunc in virum perfectum, in mensuram ætatis plenitudinis Christi, et ad cibum perfectis **393** aptum transeuntes, quique non ignari sermonis justitiæ exstiteritis: præparate corda vestra, ut novam prædicationem evangelicæ conversationis suscipiatis, Christique oracula. Viros vos præbete patientia, et si afflictio accedat crebra, alia ex alia succedens, excitatis tentationibus, et persequentium crudelitate grassante in vos, sustinete paululum, et paululum sufferte afflictiones, ut et spe divites sitis, spe, inquam, quæ mentem humanam excedit. «Oculus enim,» inquit, «non vidit, et auris non audivit, et in cor hominis non ascendit, quæ præparavit Deus diligentibus se [26].» Deinde ostendit quænam futura sit prima illa contra eos afflictio. Propter irrisionem, inquit, labiorum, et propter linguam alteram. Est autem hæc mens prophetica. In Actibus sanctorum apostolorum scriptum est: «Die Pentecostes erant omnes simul congregati in unum. Et ecce factus est de cœlo sonitus, tanquam advenientis spiritus vehementis [27].» Deinde ait: «Conspectæ sunt illis dispertitæ linguæ instar ignis, et eorum unicuique insedit, et cœperunt loqui variis linguis, prout Spiritus dabat eis eloqui [28].» Præceperat enim Christus illis ut Hierosolymis non recederent, sed exspectarent promissionem Patris, donec ex alto induantur virtute. Deinde descendentes locuti sunt Israelitis, omnibusque ex aliis regionibus, datis sibi a Deo linguis, «et stupore perculsi sunt audientes, et dicebant: Nonne omnes qui loquuntur Judæi [Galilæi] sunt? Et quomodo nos audimus eos loquentes, propria quisque lingua? Alii autem dixerunt,» inquit, «Musto pleni sunt [28*],» hoc est, opinor, per irrisionem labiorum, propter linguam alteram. Loquebantur enim linguis diversis magnifica Dei omnia potentis. Et hoc prædixit: Variis linguis, inquit, et labiis variis loquar populo huic, neque tamen sic credent. Cum autem oportuisset certa fide signum accipere, et cogitare ob hoc divinitus factum esse hoc vaticinium, hoc minime fecerunt, sed exprobrantes illis ebrietatem, increduli esse perrexerunt.

VERS. 28. *Quia loquentur populo huic dicentes: Hæc est requies bibenti, et hæc* **394** *contritio, et noluerunt audire.*

Dixit alicubi Deus, contumacia Judæorum offensus: Ecce ego induco famem in terram, non famem panis, neque sitim aquæ, sed famem audiendi sermonem Domini. Et ab oriente ad occidentem circuibunt, quærent sermonem Domini, et non invenient [29]: Inducta est igitur fames intelligentiæ Israelitis, quia non susceperunt per fidem panem vitæ, qui de cœlo descendens vitam dedit mundo:

[26] I Cor. II, 9. [27] Act. II, 1, 2. [28] Ibid., 3, 4. [28*] Ibid., 7, 8, 13. [29] Amos VIII, 11, 12.

ideoque inopia cibi divinitus dati, justissime laborarunt. « Non enim, » inquit, « in solo pane vivet homo, sed in omni verbo quod egreditur ex ore Dei [30]. » Debacchati sunt autem in universorum Servatorem et Redemptorem; attamen bonus cum sit, impium vocavit ad resipiscentiam per sanctos apostolos. Allocutus est ergo illos B. Petrus, quod sanctum et justum negaverint, et vitæ principem occiderint, et homicidam sibi donari petiverint. Quin et hoc adjecit: « Et nunc scio, fratres, quod per ignorantiam feceritis, sicut et principes vestri. Pœnitentiam igitur agite, et baptizetur unusquisque vestrum in nomine Domini Jesu, et accipietis donum sancti Spiritus. Vobis enim sunt promissiones, et filiis vestris [31]. » Itaque, inquit, avulsi ab ubere et lacte, vocati ad apostolatum, et novæ prædicationis ministri facti, loquentur populo huic, clare ostendentes quænam sit requies bibenti, et quæ sit contritio, id est, quid utile, quid secus. At non audiverunt. Unde, opinor, motus quidam e sanctis eos affatus est: « Duræ cervicis et inobedientes corde, vos semper sancto Spiritui resistitis [32]. » Vide enim quo pacto illi, quantumvis intolerabiliter impii fuerint, pædagogos habuerint sanctos apostolos, ad resipiscentiam adducentes, et utilitatis cognitionem instillantes: at moribus duris erant ac præfractis supra modum præditi.

A βηκότα, καὶ ζωὴν διδόντα τῷ κόσμῳ· ταύτῃτοι καὶ μάλα εἰκότως ἐν ἐνδείᾳ γεγόνασι τῆς θεοσδότου τροφῆς· « Οὐ γὰρ ἐπ' ἄρτῳ, » φησὶ, « μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. » Καὶ πεπαρῳνήκασι μὲν εἰς τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτήν· ἐπειδὴ δέ ἐστιν ἀγαθὸς, καίτοι δεδυσσεβηκότα οὐ φορητῶς ἐκάλει πρὸς μετάγνωσιν διὰ τῶν ἁγίων ἀποστόλων. Προσπεφώνηκε γοῦν αὐτοῖς ὁ μακάριος Πέτρος, ὅτι δὴ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσαντο, καὶ ἀπεκτόνασι τὸν ἀρχηγὸν τῆς ζωῆς, καὶ ᾐτήσαντο ἄνδρα φονέα χαρισθῆναι αὐτοῖς. Πλὴν καὶ τοῦτο προσετίθει, « Καὶ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. Μετανοήσατε οὖν, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Κυρίου Ἰησοῦ, καὶ B λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. Ὑμῖν γάρ εἰσιν αἱ ἐπαγγελίαι, καὶ τοῖς τέκνοις ὑμῶν. » Οἱ τοίνυν, φησὶν, ἀπεσπασμένοι ἀπὸ μαστοῦ τε καὶ γάλακτος, οἱ κεκλημένοι πρὸς ἀποστολήν. Καὶ τῶν νέων κηρυγμάτων γεγονότες ἱερουργοὶ, λαλήσουσι τῷ λαῷ τούτῳ καταδεικνύοντες ἐναργῶς, ποία μὲν ἀνάπαυσις ἔσται τῷ πίνοντι, καὶ οἷον τὸ σύντριμμα, τοῦτ' ἔστι, τί τὸ ὠφέλιμον, καὶ τὸ ἐναντίον. Καὶ οὐκ ἂν ἀκούσειεν ἄν. Ὅθεν, οἶμαι, κεκινημένος τις τῶν ἁγίων ἔφη πρὸς αὐτούς· « Σκληροτράχηλοι καὶ ἀπειθεῖς τῇ καρδίᾳ, ὑμεῖς ἀεὶ τῷ ἁγίῳ Πνεύματι ἀντιπίπτετε. » Ἄθρει γὰρ ὅπως καίτοι δεδυσσεβηκότες οὐ φορητῶς παιδαγωγοὺς ἐσχήκασι τοὺς ἁγίους ἀποστόλους ἀποκομίζοντας εἰς μετάγνωσιν καὶ τὴν τοῦ συμφέροντος γνῶσιν ἐνιέντας αὐτοῖς· οἱ δὲ ἦσαν ἀγέρωχοι, καὶ πολὺ λίαν ἀπεσκληκότες, καὶ ἀσχέτως ἀπονενευκότες εἰς τὸ ἀπειθὲς καὶ δυσάγωγον τοῦ τρόπου.

Vers. 13. ***Et erit eis verbum Dei, afflictio super afflictionem, spes supra spem.***

Quibus tandem? Sanctis apostolis videlicet et evangelistis, qui divinum sacræ prædicationis munus administrantes, orbem **395** terrarum peragrabant, eos qui errabant irretientes, adducentes Christo per fidem eos qui olim dicebant ligno: Pater meus es tu, et lapidi: Tu genuisti me. Verum non sine sudore cursum sui apostolatus confecerunt, sed afflicti, vexati, et hostium Dei insidias sustinentes. Factum est igitur eis verbum Domini, afflictio super afflictionem, nec id solum, sed et spes ad spem. Exantlatis enim pro pietate in Christum laboribus, in spe diuturna, imo infinita erunt, et una cum Christo regnantes, corona incorruptionis cingentur.

Adhuc paululum, adhuc paululum, ut vadant, et cadant in posteriora, et periclitentur, et conterentur, et capientur.

Exstimulat ad fortitudinem, et inungit ad patientiam sanctos apostolos. Prædicarunt enim Israelitis, et salutis sermonem faustum illis annuntiarunt. Verum in eos tanquam indomitæ bestiæ insiliebant, ad conciliabula pertrahebant, illisque charitatem in Christum germanam, tanquam piaculare scelus crimini dabant, et acerbis dicteriis incessebant, et

C *Καὶ ἔσται αὐτοῖς τὸ λόγιον Κυρίου τοῦ Θεοῦ, θλῖψις ἐπὶ θλίψει, ἐλπὶς ἐπ' ἐλπίδι.*

Τίσιν ἔσται; Τοῖς ἁγίοις ἀποστόλοις δηλονότι καὶ εὐαγγελισταῖς, οἳ τὸ θεῖον ἱερουργοῦντες κήρυγμα, περιῄεσαν τὴν ὑπ' οὐρανὸν σαγηνεύοντες τοὺς πεπλανημένους, προσκομίζοντες διὰ πίστεως τῷ Χριστῷ τοὺς πάλαι λέγοντας τῷ ξύλῳ· Πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με. Πλὴν οὐκ ἀνιδρωτὶ κατωρθώκασι τῆς οἰκείας ἀποστολῆς τὸν δρόμον, ἀλλὰ θλιβόμενοι, κακουχούμενοι, καὶ τὰς τῶν ἀφιλοθέων ὑπομένοντες ἐπιβουλάς. Γέγονεν οὖν αὐτοῖς τὸ λόγιον Κυρίου θλῖψις ἐπὶ θλίψει, καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ γὰρ καὶ ἐλπὶς ἐπὶ ἐλπίδι. Ἀνατλάντες γὰρ τοὺς ὑπέρ γε τῆς εἰς Χριστὸν εὐσεβείας ἀγῶνας, ἐπ' ἐλπίσιν ἔσονται μακραῖς, μᾶλλον δὲ καὶ ἀτελευτήτοις, D καὶ τὸν τῆς ἀφθαρσίας περικείσονται στέφανον συμβασιλεύοντες τῷ Χριστῷ.

Ἔτι μικρὸν, ἔτι μικρὸν, ἵνα πορευθῶσι, καὶ πέσωσιν εἰς τὰ ὀπίσω, καὶ κινδυνεύσωσι, καὶ συντριβήσονται, καὶ ἁλώσονται.

Καταθήγει πρὸς ἀνδρείαν, καὶ ἀλείφει πρὸς ὑπομονὴν τοὺς ἁγίους μυσταγωγούς. Διεκήρυττον μὲν γὰρ τοῖς ἐξ Ἰσραὴλ, καὶ τὸν τῆς σωτηρίας αὐτοῖς εὐηγγελίζοντο λόγον. Ἀλλ' ἐπεπήδων αὐτοῖς θηρίων ἀτιθάσσων δίκην, εἰσεκόμιζον εἰς συνέδρια, καὶ οἷά τι τῶν ἄγαν ἐκτοπωτάτων ἐγκαλοῦντες αὐτοῖς τῆς εἰς Χριστὸν ἀγάπης τὸ γνήσιον, λοιδορίαις μὲν ταῖς

[30] Luc. IV, 4. [31] Act. III, 17; II, 38. [32] Act. VII, 51.

καὶ αὐτῶν ἐχρῶντο πικραῖς, καταικισάμενοι δὲ, καὶ A ταῖς διὰ μαστίγων πληγαῖς καταξαίνοντες ἔφασκον· « Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μηδενὶ λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ; Καὶ ἰδοὺ ἐπληρώσατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν. » Καὶ καθ' ἑτέρους δὲ τρόπους ἐπιφυόμενοι, καὶ ἀγρίως ἐπιβουλεύοντες, συντριβῆς αὐτοῖς καὶ ἱδρώτων γεγόνασι πρόξενοι. Ἐξυφαίνει τοίνυν αὐτοῖς ὁ τῶν ὅλων Θεὸς διαρκῆ τὴν παράκλησιν, καὶ τὸν ὅσον οὐδέπω παρεσόμενον τῶν διωκόντων ὄλεθρον προαναφαίνει λέγων· Ἔτι μικρὸν, ἔτι μικρόν. Οὐ γὰρ μακρὸς ἔσται, φησὶν, ὁ καιρὸς τοῦ καὶ ὀπίσω πεσεῖν αὐτοὺς, συντριβῆναί τε καὶ κινδυνεῦσαι, καὶ μὴν καὶ ἁλῶναι καὶ πορευθῆναι πρὸς ὄλεθρον. Ταυτὶ δέ φαμεν τοῖς Ἰουδαίων συμβῆναι λαοῖς νοητῶς τε ἅμα καὶ σωματικῶς, ἤγουν B αἰσθητῶς. Κεκινδυνεύκασι γὰρ καὶ ἀπολώλασι κατὰ δύο τρόπους, τοῦτο μὲν πολέμῳ τε καὶ πολιορκίαις δαπανώμενοι. Τοῦτο δὲ, καὶ αὐτῷ τῷ Σατανᾷ γλυκὺ γεγονότες θήραμα, καὶ ταῖς ἑαυτῶν κεφαλαῖς τὸν ἐκ τῆς ἀσεβείας ἐπαντλήσαντες ὄλεθρον.

Διὰ τοῦτο ἀκούσατε λόγον Κυρίου, ἄνδρες τεθλιμμένοι, καὶ ἄρχοντες τοῦ λαοῦ τούτου ἐν Ἱερουσαλὴμ, ὅτι εἴπατε· Ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας. Καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ ἡμῖν· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα.

Ἐπειδὴ γάρ, φησιν, ἀφόρητα τὰ ἐσόμενα καθ' ὑμῶν, καὶ τοὺς μέχρι παντὸς ἀσεβεῖν εἰρημένους πικρά τε καὶ δυσδιάφυκτος ἐκδέξεται δίκη· διὰ C τοῦτο ἀκούσατε λόγον Κυρίου. Ἦν γὰρ ἀπονεῦσαι τοῦ κακοῦ, τοῖς ἀποστολικοῖς κηρύγμασιν ἐπενεγκόντας τὸν νοῦν, καὶ οἷς ἂν λέγοι Χριστὸς ἀμελητὶ συννεύοντας. Ἀκούσατε τοίνυν τὸν λόγον Κυρίου, ἄνδρες τεθλιμμένοι, καὶ ἄρχοντες τοῦ λαοῦ τούτου ἐν Ἱερουσαλήμ. Τεθλιμμένους δὲ φησι τοὺς ἐξ Ἰσραὴλ, ἅτε δὴ τῷ κατακρίνοντι νόμῳ πεφορτισμένους. Ὀργὴν γὰρ ὁ νόμος κατεργάζεται, καὶ ἀθετήσας τις νόμον Μωσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν, ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. Τοιγάρτοι καὶ ὁ σοφώτατος Παῦλος τοῖς μετὰ τὴν πίστιν, δῆλον δὲ ὅτι τὴν εἰς Χριστὸν, ὑπονοστεῖν ἐθέλουσιν ἐπὶ τὰς τοῦ νόμου σκιὰς ἐπιστέλλει καί φησι· « Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, ὦ Κορίνθιοι, ἡ καρδία ὑμῶν πεπλάτυνται, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχω- D ρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν, τὴν δὲ αὐτὴν ἀντιμισθίαν ὡς τέκνοις λέγω, πλατύνθητε καὶ ὑμεῖς, μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. » Τεθλιμμένοι τοίνυν εἶεν ἂν οἱ ὑπό γε τῇ Μωσέως ἐντολῇ ἔτι κείμενοι καὶ πεπιεσμένοι τρόπον τινὰ, καὶ τοῦ νόμου τὸ δυσαχθὲς ἔχοντες εἰς νοῦν καὶ καρδίαν. Προσπεφώνηκε μὲν οὖν ἄρχουσί τε καὶ λαοῖς. Εἶτα μεταξὺ παρεντίθησί τινα τῶν Ἰουδαίων λόγον, ἐξ ἀπονοίας τε καὶ οἷον ἐξ ἀπογνώσεως αὐτοῖς ἀνοσίως ἐξηυρημένον. Καὶ ποῖος οὗτός ἐστι, ἀναγκαίως με εἰπεῖν· ὁ μὲν γὰρ τῶν ὅλων Θεὸς μακρόθυμός τε καὶ ἀνεξίκακος ὤν, οὐκ εὐθὺς τοῖς πταίουσιν ἐπηφίει τὴν κόλα-

plagis ac verberibus afficientes, et excoriantes dicebant: « Nunquid non interdicto interdiximus vobis ne cuiquam loquamini in nomine isto? Et ecce implevistis Jerusalem doctrina vestra [23]. » Quin aliis quoque modis insultantes, et immaniter insidiantes afflixerunt eos, laboremque illis facessiverunt. Pertexit itaque universorum Deus illis consolationem uberrimam, et interitum persequentium qui mox adfuturus erat, ante demonstrat, inquiens: Adhuc paululum, adhuc paululum. Non enim longe aberit tempus, inquit, cum retro cadent illi, et conterentur, et in pericula adducentur, et capientur ruentque in interitum. Hoc autem dicimus evenisse Judaico populo, spiritualiter simul et corporaliter seu sensibiliter. Periclitati sunt enim, et perierunt bifariam: partim bello et obsidione consumpti, partim quod essent dulcis præda Satanæ, et ex impietate hauserint quasi conflaverintque suo capiti interitum.

VERS. 14, 15. *Propter hoc audite verbum Domini, viri afflicti, et principes populi hujus in Jerusalem, quoniam dixistis: Fecimus* **396** *fœdus cum inferis, et pacta cum morte. Turbo irruens si pertransierit, nequaquam veniet ad nos. Posuimus in mendacio spem nostram, et mendacio protegemur.*

Quoniam, inquit, intolerabilia sunt futura contra vos, et acre ac inevitabile supplicium excipiet eos qui se omni impietati dediderunt: propterea audite verbum Domini. Licuit enim illis declinare a malo, si apostolicis prædicationibus mentem intenderent, hisque quæ Christus locutus est vere annuerent. Audite ergo verbum Domini, viri afflicti, et principes populi hujus in Jerusalem. Afflictos dicit Israelitas, videlicet lege quæ condemnat oneratos. Iram enim lex operatur. Et qui legem Mosis rejecerat, sine misericordia sub duobus aut tribus testibus moriebatur. Quippe Paulus sapientissimus epistola missa his qui post fidem nimirum in Christum, ad legis umbras redire voluerunt, inquit: « Os nostrum patet ad vos, o Corinthii, cor nostrum dilatatum est: non estis angusti in nobis, sed angusti estis in visceribus vestris: eamdem autem remunerationem vobis ut filiis præcipio, dilatemini et vos. Nolite jugum ducere cum infidelibus [24]. » Afflicti igitur esse queant hi qui adhuc subsunt præcepto Mosis, quique sunt oppressi quodammodo, et onus legis grave mente et corde habent. Allocutus est itaque principes et populos: dein interea sermonem quemdam Judæorum interponit, qui ab illis ex contumacia, et veluti ex desperatione excogitatus est. Et quis tandem iste, necesse est dicere. Deus enim universorum longanimus, et malorum patiens, non statim infert supplicium offendentibus, sed iram differt, terrore percellens, et prædicatione futurorum malorum interdum ad resipiscentiam revocans. Hinc sæpenu-

[23] Act. v, 28. [24] II Cor. vi, 11-14.

niero per sanctos prophetas inveniemus eum dicentem: Ecce venit, et, adhuc parum, adhuc parum, et, mox, mox. Sed audaces et superbi cum debuissent offensas corrigere posterioribus, lenitatem Domini in occasionem risus verterunt. Simul atque audiverant enim prophetam dicentem: Adhuc parum, adhuc parum, quam mox, illico inter se dixerunt: Longum tempus inter verba prophetæ et exhibitionem prædictorum interjacet. Nos moriemur, **397** et divina ira in illos insiliet. Siquidem dixit Deus prophetæ Ezechieli: « Fili hominis, filii populi tui dicunt: Visio hæc, quam hic videt, in dies multos, et in tempora longa hic prophetat. Propter hoc dic: Vivo ego, dicit Adonai Dominus: non amplius procrastinabunt omnes sermones mei quos loquar. Quia loquar sermonem, et faciam, dicit Adonai Dominus [33]. » Exprobrat igitur Israelitis, utpote contemnentibus, et tantum non dicentibus: Fecimus fœdus cum inferis, et cum morte pacta. Quænam illa? Turbo irruens si transierit, non invadet nos. Etenim, inquit, etiamsi voce dicant, tamen ipsis factis tantum non clamarent: Pacta fecimus cum inferis: capient enim nos. Et si veniat forte turbo, seu periculum contra nos, veniat sane nobis. Posuimus enim in mendacio spem nostram, et mendacio protegemur. Qui enim sibi ipsis finxerunt quod lubet, et dicunt: Moriemur antequam turbo ingruat, seu calamitates, quomodo non in mendacio spem suam posuerunt? Non etenim erat penes eos ut possent effugere, et morte eorum, quorum minas acceperant, insultum prævenire, sed in divinæ et ineffabilis potentiæ et excellentiæ potestate situm est.

A σιν, ἀνεβάλλετο δὲ τὴν ὀργὴν καταπτοῶν τοῖς δείμασι καὶ τῇ προαγορεύσει τῶν ἐσομένων κακῶν μετασοβῶν ἔσθ' ὅτε πρὸς μετάγνωσιν. Ταύτῃ τοι πλειστάκις διὰ τῶν ἁγίων προφητῶν εὑρήσομεν λέγοντα τὸ, Ἰδοὺ ἔρχεται, καὶ τὸ, ἔτι μικρὸν, ἔτι μικρὸν, καὶ τὸ, ὅσον, ὅσον. Ἀλλ' οἱ θρασεῖς καὶ ἀγέρωχοι, καίτοι δέον ἐπανορθοῦν τοῖς δευτέροις τὰ ἐπταισμένα, γέλωτος ἐποιοῦντο πρόφασιν τοῦ Δεσπότου τὴν ἡμερότητα. Ἅμα τε γὰρ ἤκουον προφήτου λέγοντος τὸ, Ἔτι μικρὸν, ἔτι μικρὸν, ὅσον, ὅσον· εὐθὺς πρὸς ἀλλήλους ἔφασκον, Καιροὶ μεταξὺ κείσονται μακροὶ τῶν τοῦ προφήτου ῥημάτων, καὶ τῆς ἀναδείξεως τῶν προηγγελμένων. Ἡμεῖς τεθνηξόμεθα, καὶ τοῖς μεθ' ἡμᾶς ὁ θεῖος ἐφαλεῖται θυμός. Καὶ γοῦν ἔφη Θεὸς πρὸς τὸν προφήτην Ἰεζεχιὴλ, « Υἱὲ ἀνθρώπου, οἱ υἱοὶ τοῦ B λαοῦ σου λέγουσιν· Ἡ ὅρασις, ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς, καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει. Διὰ τοῦτο εἶπον, Ζῶ ἐγὼ, λέγει Ἀδωναὶ Κύριος· οὐ μὴ μηκύνωσιν οὐκ ἔτι πάντες οἱ λόγοι μου οὓς ἂν λαλήσω. Ὅτι λαλήσω λόγον καὶ ποιήσω Ἀδωναὶ Κύριος. » Ὀνειδίζει τοίνυν τοῖς ἐξ Ἰσραὴλ, ὡς εἰωθόσι καταφρονεῖν, καὶ μονονουχὶ λέγουσιν· Ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας. Ποῖαι δὲ αὗται; Καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ ἐφ' ἡμᾶς. Μόνον γὰρ οὐχὶ, φησὶ, κἂν εἰ μὴ φωνῇ λέγοιεν, ἀλλ' οὖν αὐτοῖς κεκράγασι τοῖς δρωμένοις, ὅτι Συνθήκας πεποιήμεθα πρὸς τὸν ᾅδην, λήψεται γὰρ ἡμᾶς· Κἂν εἰ ἐπέλθοι τυχὸν ἡ καταιγὶς, ἤγουν ὁ ἀπειληθεὶς καθ' ἡμῶν ἔσεσθαι κίνδυνος, οὐ μὴ ἐπέλθῃ ἡμῖν. Τεθείκαμεν γὰρ ψεῦδος C τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα. Οἱ γὰρ ἑαυτοὺς ἀναπλάσαντες τὸ δοκοῦν, καὶ φάσκοντες, ὅτι Τεθνηξόμεθα πρὸ τῆς καταιγίδος, ἤτοι πρὸ τῶν συμφορῶν, πῶς οὐ ψεῦδος ἔθεντο τὴν ἑαυτῶν ἐλπίδα; Οὐ γὰρ ἦν ἐν αὐτοῖς τὸ διαφυγεῖν δύνασθαι, καὶ φθάσαι τῷ θανάτῳ τῶν ἀπειληθέντων τὴν ἔφοδον, ἔκειτο δὲ μᾶλλον ἐν ἐξουσίᾳ τῆς θείας τε καὶ ἀποῤῥήτου δυνάμεως, καὶ ὑπεροχῆς.

Vers. 16. *Propter hoc sic dicit Dominus: Ecce ego immitto in fundamenta Sion lapidem sumptuosum, electum, angularem, pretiosum, in fundamenta ejus: et qui credit in eo, non confundetur. Et ponam judicium in spem, misericordia vero mea in stateras.*

Hæc sunt adaptanda superioribus quæ sunt in medio interjecta: Propter hoc enim, inquit, audite verbum Domini, viri afflicti, et principes populi hujus in Jerusalem. Quid autem est quod audire jussit? Ecce ego immitto in fundamenta Sion lapidem electum, angularem, pretiosum, in fundamenta ejus. Et qui credit in eo non pudefiet. Lapidem igitur electum, sumptuosum et pretiosum, vocat Dominum nostrum Jesum Christum, divinitatis gloria et præstantia excellentem. Ipse est basis, et spes, et fulcrum, et fundamentum immotum Sion sub intelligentiam cadentis, id est, Ecclesiæ; idque explanat dicens, eum in fundamenta conjectum a Patre. Angularem vero esse **398** ait, utpote qui per fidem unam duos populos, Israeliti-

Διὰ τοῦτο οὕτω λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ. Καὶ θήσω κρίσιν εἰς ἐλπίδα, ἡ δὲ ἐλεημοσύνη μου εἰς σταθμούς.

Ταῦτα συναπτέον τοῖς ἀνωτέροις τῶν διὰ μέσου D προσεῤῥιμμένων· Διὰ τοῦτο γὰρ, φησὶν, ἀκούσατε λόγον Κυρίου, ἄνδρες τεθλιμμένοι, καὶ ἄρχοντες τοῦ λαοῦ τούτου ἐν Ἱερουσαλὴμ. Τί δὲ δὴ καὶ ἀκοῦσαι προστέταχεν; Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ. Λίθον μὲν οὖν ἐκλεκτὸν, πολυτελῆ καὶ ἔντιμον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀποκαλεῖ, καὶ τῇ τῆς θεότητος δόξῃ καὶ ὑπεροχῇ διαπρέποντα. Ὅτι δὲ αὐτὸς κρηπίς τε καὶ ἔρεισμα, καὶ ἀκλόνητος ὑποβάθρα γέγονε τῇ νοητῇ Σιὼν, τοῦτ' ἔστι, τῇ Ἐκκλησίᾳ, διατρανοῖ λέγων εἰς τὰ θεμέλια βεβλῆσθαι αὐτὸν παρὰ τοῦ Πατρός. Ἀκρογωνιαῖον δὲ εἶναί φησιν, ὡς διὰ πίστεως μιᾶς κατα-

[33] Ezech. XII, 27, 28.

A σφίγγοντα πρὸς ἑνότητα τὴν πνευματικὴν τοὺς δύο λαοὺς, τόν τε ἐξ Ἰσραὴλ, φημὶ, καὶ μέν τοι τὸν ἐξ ἐθνῶν· ἀεὶ γάρ πως ἐν ταῖς γωνίαις τῶν οἰκοδομημάτων δύο συμβαίνουσι τοῖχοι, καὶ ἀλλήλοις συναρμολογούμενοι κατασφίγγονται πρὸς ἑνότητα. Ἀλλ' ὁ πιστεύων, φησὶν, ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ. Ἄθρει δὲ ὅπως ἀνίησι τρόπον τινὰ τοὺς πεπιεσμένους, καὶ τοῖς τεθλιμμένοις κατευρύνει τῆς εὐαγγελικῆς πολιτείας τὸ ἐλεύθερον. Ὦ γὰρ τεθλιμμένοι, φησὶν, ἰδοὺ τίθημι τὸν ἐκλεκτὸν λίθον εἰς τὰ θεμέλια Σιών. Καὶ τί τὸ ἐντεῦθεν ὄφελος; Ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ. Ἀναπείθει δὲ διὰ τούτου τῆς τοῦ νόμου δυσαχθείας ἀπολύσασθαι τὸν αὐχένα, καὶ τῆς ἀνοήτου, καὶ ἀδρανοῦς ἀποφοιτῆσαι σκιᾶς, ἀνθελέσθαι δὲ μᾶλλον τὴν διὰ πίστεως χάριν, καὶ τὴν ἐν Χριστῷ δικαίωσιν ἁρπάσαι πόνον ἔχουσαν οὐδένα. Θήσω δὲ, B φησὶν, εἰς ἐλπίδα κρίσιν, ἡ δὲ ἐλεημοσύνη μου εἰς σταθμούς. Καὶ γὰρ ὡς αὐτός φησιν ὁ Σωτήρ· «Ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα.» Τοῦτο συνεὶς ὁ μακάριος Παῦλος ἐπιστέλλει καί φησιν, ὅτι «Τοὺς πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον.» Ἔσεσθαι τοίνυν τὴν κρίσιν ἐλπίζομεν, ἐλεεῖσθαι δὲ οὕτως ὡς ἂν ἑκάστῳ πρέπει, καὶ ἀναλόγως δηλονότι τοῖς κατωρθωμένοις. Τοῦτο γὰρ οἶμαι δηλοῖ τὸ, ἐλεημοσύνην γίνεσθαι παρὰ τοῦ κρίνοντος ἡμᾶς εἰς σταθμοὺς, τοῦτ' ἔστι, κατὰ τὸν τοῦ δικαίου, καὶ οἷον ἰσοῤῥοποῦντα ταῖς ἀγαθουργίαις λόγον.

cum, inquam, et gentilem, unione spirituali conjungit. Semper enim in angulis ædificiorum duo concurrunt muri, et contigui in unum coagmentantur. At qui credit in eo, inquit, non pudefiet. Vide autem quo pacto reficiat et relaxet quodam modo credentes, et afflictis libertatem evangelicæ conversationis patefaciat. O afflicti enim, inquit, ecce pono electum lapidem in fundamenta Sion. Et quæ inde utilitas? Qui credit in eo non pudefiet. Hinc vero suadet a gravi legis onere collum subducere, et ab inutili et inefficaci umbra recedere, et gratiam per fidem potius amplecti, justificationemque in Christo, quæ nihil laboris habet, arripere. Ponam, inquit, judicium in spem, misericordiaque mea ad stateras. Etenim, ut ipse Servator inquit: «Pater judicat neminem, sed omne judicium dedit Filio, ut omnes honorent Filium, quemadmodum honorant Patrem [36].» Quod intelligens beatus Paulus, scribit in Epistola, et inquit: «Omnes nos manifestari oportet coram tribunali Christi, ut reportet unusquisque ea quæ fiunt per corpus, sive bonum, sive malum [37].» Futurum igitur judicium speramus, et misericordiam, prout cuique convenit, recte factis nimirum congruenter. Quod significare puto illud: Misericordiam esse a judicante nos ad stateras, id est, ex ratione æqui et boni, benefactis veluti respondentis.

C *Καὶ οἱ πεποιθότες μάτην, ψευδεῖς, ὅτι οὐ μὴ παρέλθῃ ὑμᾶς καταιγὶς, μὴ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου, καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅδην, οὐ μὴ ἐμμείνῃ; Καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα. Ὅταν παρέλθῃ, λήψεται ὑμᾶς. Πρωῒ, πρωῒ παρελεύσεται ἡμέρας, καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς πονηρά.*

Ἔφην, ὅτι τῶν ἁγίων προφητῶν τοῖς ἐξ αἵματος Ἰσραὴλ, προαγορευόντων τὰ ἐσόμενα, καὶ τὴν θείαν ὀργὴν μονονουχὶ καὶ παροῦσαν ἤδη καταδεικνύντων αὐτοῖς, εἰς ἐκτόπους ἀπονοίας ἀπογαυρούμενοι διελογίζοντό τε καὶ ἔφασκον, ὅτι Κἂν εἰ γένοιτο ταῦτα τυχὸν, ἀλλ' οὖν εἰς ἀνάβλησιν ἔσται καιρῶν, καὶ οὐκ αὐτίκα παρέσται τῶν προηγγελμένων τὸ πέρας, δαπανηθήσεται δὲ τῆς ἡμετέρας ζωῆς ὁ χρόνος, καὶ D μεθ' ἡμᾶς ἔσται τὰ δεινά. Ταῦτα δὲ λέγοντες καὶ ἐνθυμούμενοι, μονονουχὶ καὶ συνθήκας ἐδόκουν μετὰ τοῦ θανάτου ποιεῖσθαι, καὶ οἷον ἐλπίδα τὴν πρὸς τὸν ᾅδην. Ταύτῃ τοί φησι πρὸς αὐτούς· Οἱ πεποιθότες μάτην, ψευδεῖς, ὅτι οὐ μὴ παρέλθῃ ὑμᾶς καταιγίς. Φοβήθητε μὴ καὶ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου, καὶ ἡ ἐλπὶς ἡ πρὸς τὸν ᾅδην οὐ μὴ ἐμμείνῃ. Οἶδε γὰρ, οἶδε καρδίας καὶ νεφροὺς, καὶ τῶν εἰς νοῦν κινημάτων τὴν δύναμιν ὁ τῶν ὅλων Δημιουργός. Ὅταν οὖν ἐλπίδα τὴν τοιαύτην ἔχουσα φησί· Μὴ ἄρά πως τὰ ἐν ὑμῖν ἐγνωκὼς ἀποστήσῃ ταύτην ὑμῶν τὴν μετὰ τοῦ θανάτου συνθήκην; Ἀποστήσει δὲ τίνα τρόπον; Εἰ γὰρ ἐπέλθοι τὰ ἐξ ὀργῆς, τοῦτ' ἔστιν, ἡ

VERS. 17-19. *Et qui credunt frustra, mendaces sunt, quia non transibit per vos tempestas, nonne etiam auferet vobis testamentum mortis, et spes vestra quæ erga infernum, non permanebit? Tempestas ruens si supervenerit, eritis illi in conculcationem. Cum pertransierit, tollet vos Mane, mane pertransibit interdiu, et in nocte erit spes mala.*

Dixi, sanctis prophetis futura prædicentibus Israelitico sanguine ortis, divinamque illis iram modo non præsentem jam ostendentibus, incredibili contumacia insolescentes disputasse dixisseque: Etiamsi fiant fortassis ista, tamen erit mora dilatatioque temporis, et non statim aderit eorum quæ prænuntiata **399** sunt exitus; dilabetur autem vitæ nostræ tempus, post nos hæc gravia erunt. Ista dicentes et cogitantes, tantum non cum morte fœdera fecisse visi sunt, et veluti spem habuere in inferis. Hinc dicit illis: Qui confidunt frustra, mendaces, quia non pertransibit vos turbo; timete ne vobis auferat fœdus mortis, et spes in inferis non maneat. Novit enim, novit corda et renes, et animi motuum vim, universitatis Opifex. Cum igitur hanc spem habet, ait: Nonne qui hæc in vobis novit, delebit hoc vestrum cum morte fœdus? Delebit autem quonam modo? Si enim adveniat ira, id est, turbo, non alii post vos, sed vos ipsi eritis conculcationi. Et tollet vos mane, mane; id est, non in longinquum erit, sed veluti diluculo et cras, non

[36] Joan. v, 22. [37] II Cor. v, 10.

erit omnino e malis evasio, sed in die et nocte erit mala spes, id est, omni tempore, rerum gravium exspectatione consumemini. Deo enim affligere volente, quis propulsabit calamitatis insultum? vel quis divino furori reluctabitur?

καταιγίς, οὐχ ἕτεροί τινες τῶν μεθ' ὑμᾶς, ἀλλ' ὑμεῖς αὐτοὶ γενήσεσθε εἰς καταπάτημα. Καὶ λήψεται ὑμᾶς πρωῒ πρωῒ, τοῦτ' ἔστιν, οὐκ εἰς μακρὰν, ἀλλ' οἷον ὄρθρου τε καὶ αὔριον. Οὐκ ἔσται ὅλως ἀνάπαυσις ἐκ κακῶν, ἀλλ' ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς πονηρά, τοῦτ' ἔστι, κατὰ πάντα καιρὸν τῇ τῶν δεινῶν προσδοκίᾳ δαπανηθήσεσθε. Θεοῦ γὰρ κακοῦν ἐθέλοντος, τίς ὁ ἀποστήσων τῆς συμφορᾶς τὴν ἔφοδον; ἢ τίς τῷ θείῳ διαμάχεται θυμῷ;

Vers. 20, 21. *Discite audire, qui estis in tribulatione: Non possumus pugnare. Ipsi autem debilitamur, ut vos congregemini. Sicut mons impiorum consurget, et erit in valle Gabaon. Cum furore faciet opera sua, amaritudinis opus. At furor ejus aliene utetur, et amaritudo ejus aliena.*

Μάθετε ἀκούειν, στενοχωρούμενοι· Οὐ δυνάμεθα μάχεσθαι. Καὶ αὐτοὶ δὲ ἀσθενοῦμεν, τοῦ ἡμᾶς συναχθῆναι. Ὥσπερ ὄρος ἀσεβῶν ἀναστήσεται, καὶ ἔσται ἐν τῇ φάραγγι Γαβαών. Μετὰ θυμοῦ ποιήσει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργον· ὁ δὲ θυμὸς ἀλλοτρίως χρήσεται, καὶ ἡ πικρία αὐτοῦ ἀλλοτρία.

Optimus maximus universitatis Deus omnes homines vult salvos fieri, et ad agnitionem veritatis venire. Hinc eos qui infirmi erant, commonefaciens, et qui animam suam nihili fecerunt, in rectam et planam semitam revocans, omnes vias omnemque orationem admovet: nunc enim suppliciorum minis ac iræ terroribus concutiens, ad melius reducit, nunc autem bonorum pollicitationibus inescat, attrahitque ad utile. Cum igitur comminatus fuerit, prædixeritque fore ut prorsus penitusque turbine seu calamitate mox contra illos futura implicarentur, essentque omni tempore in spe mala consolationis oratione adhibita, indulgentius agit, nec sinit animum despondere, veluti sapientissimi et peritissimi medici, qui membrorum corporis morbos aliquando **400** pharmaco acri curant, remediisque fortissimis, morborum in deterius progressum resecant, aliquando vero modicis et veluti mitissimis tantum non incantant valdeque molliunt. Postquam minatus est ergo monet, hortaturque ut animum adhibeant evangelicæ prædicationi, dicens: Discite audire, coangustati, deinde ait: Non possumus pugnare. Meminit vero etiam eorum quæ facta sunt olim in valle Gabaon. Admodum autem obscurum reddit cum dictionis expositio, tum ipsum filum contextusque compositionis. Puto autem ex historia hæc referenda. Vix enim sic erit perspicuum studiosis quod significatur. Bellum itaque gerente et duce Israelitarum Jesu filio Nave, et intolerabiliter grassante in regiones gentium, ac compluribus deletis: Gabaitæ veriti ne similia paterentur, cum essent ex alienigenarum urbibus, accurrerunt ad eum, et mentiti fefellerunt primum, et admissi sunt. Sed posteaquam cogniti sunt, et qui, et unde exsisterent, facti sunt aquæ geruli, et ligni cæsores cœtui. Quod ubi cognovissent gentium reges (quinque autem illi erant), bellum gesserunt contra Gabaon, crimini dantes quod ad Israelitas confugissent. Cum autem in extremis essent Gabaonitæ, cumque reputarent se pares non esse resistendo, rogarunt ut manu Jesu liberarentur. Hic vero statim opem ferens subditis suis, alienigenarum ducibus restitit. Deinde quid tunc manu Dei gestum fuerit, docebunt sacræ Litteræ. Habent enim sic [38]: « Et cum adortus

Ἀγαθὸς ὢν λίαν ὁ τῶν ὅλων Θεὸς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Ταύτῃ τοι νουθετῶν τοὺς ἠσθενηκότας καὶ ἀνακομίζων εἰς εὐθεῖάν τε καὶ ἀπλανῆ τρίβον τοὺς τῆς ἑαυτῶν ψυχῆς κατημεληκότας, διὰ παντὸς ἔρχεται τρόπου τε καὶ λόγου. Ποτὲ μὲν γὰρ ταῖς τῶν κολάσεων ἀπειλαῖς καὶ τοῖς ἐξ ὀργῆς δείμασι προκαταπτοῶν πρὸς τὸ ἄμεινον, ποτὲ δὲ ταῖς τῶν ἀγαθῶν ὑποσχέσεσι σαγηνεύει πρὸς τὸ συμφέρον. Ἀπειλήσας τοιγαροῦν καὶ προειρηκὼς, ὅτι τε πάντη τε καὶ πάντως ἁλώσονται μὲν ὑπὸ τῆς καταιγίδος, ἤτοι τῆς ὅσον οὐδέπω κατ' αὐτῶν ἐσομένης συμφορᾶς, καὶ ὅτι κατὰ πάντα καιρὸν ἐν ἐλπίσιν ἔσονται πονηραῖς· κατὰ τὸν τῆς παρακλήσεως χαρίζεται λόγον καὶ ἀπογινώσκειν οὐκ ἐᾷ. Καθάπερ τις τῶν ὅτι μάλιστα σοφῶν καὶ εὐτεχνεστάτων ἰατρῶν, οἳ τῶν τοῦ σώματος μελῶν τὰ ἠῤῥωστηκότα, ποτὲ μὲν δριμεῖ θεραπεύουσι φαρμάκῳ, καὶ τοῖς ἄγαν εὐσθενεστάτοις ἐπικουρήμασι τὴν ἐπὶ τὰ χείρω τῶν παθῶν ἐπίδοσιν ἀνακόπτουσι, ποτὲ δὲ συμμέτροις καὶ οἷον ἡμερωτάτοις μονονουχὶ καταγοητεύοντες, εὖ μάλα καταμαλθάσσουσιν. Ἀπειλήσας τοίνυν νουθετεῖ, καὶ τοῖς εὐαγγελικοῖς κηρύγμασιν ὑποθῆναι τὸν νοῦν διακελεύεται, λέγων· Μάθετε ἀκούειν, στενοχωρούμενοι. Εἶτα, φησὶ τὸ, Οὐ δυνάμεθα μάχεσθαι. Διαμνημονεύει δὲ καὶ τῶν ἐν τῇ φάραγγι Γαβαὼν γεγονότων κατὰ καιρούς. Καὶ πεποίηται μὲν ἀσυμφανῶς λίαν ἥ τῶν λέξεων ἀπόδοσις, καὶ αὐτὸ δὲ τῆς συνθήκης τὸ ὕφος. Οἶμαι δὲ δεῖν τὰ ἐκ τῆς ἱστορίας εἰπεῖν. Ἔσται γὰρ οὕτω καὶ μόλις ἐναργὲς τοῖς φιλομαθέσι τὸ δηλούμενον. Στρατηγοῦντος τοίνυν καὶ καθηγουμένου τῶν ἐξ Ἰσραὴλ τοῦ Ἰησοῦ τοῦ Ναυῆ, καὶ ταῖς τῶν ἐθνῶν χώραις οὐ φορητῶς κατασκήπτοντος, πλείστων τε ὅσων ἀπολωλότων, τὰ ἴσα παθεῖν δεδιῶτες οἱ ἐκ Γαβαὼν, πόλις δὲ αὕτη τῶν ἀλλοφύλων μία, προσδεδραμήκασιν αὐτῷ, καὶ ψευδοεποῦντες ἔλαθον ἐν ἀρχαῖς, καὶ δὴ καὶ εἰσεδέχθησαν. Ἐπειδὴ δὲ μετὰ τοῦτο, τίνες τε καὶ ὅθεν εἰσὶν ἐγνώσθησαν, ὑδροφόροι τε καὶ ξυλοκόποι γεγόνασι τῇ συναγωγῇ. Τοῦτο μεμαθηκότες οἱ τῶν ἐθνῶν βασιλεῖς, πέντε δὲ οὗτοι, κατεστράτευσαν τῆς Γαβαὼν, ἐγκαλοῦντες ὅτι προσπεφεύγασι τοῖς ἐξ Ἰσραήλ. Ἐπειδὴ δὲ ἦσαν ἐν ἐσχάτοις οἱ ἐκ Γαβαὼν, καὶ ἀμήχανον ἑαυτοῖς ἐλογίζοντο τὴν ἀντίστασιν, σώζεσθαι παρεκάλουν διὰ χειρὸς

[38] Josue, x, 1 seqq.

τοῦ Ἰησοῦ. Ὁ δὲ τοῖς ἅπαξ ὑπ' αὐτῷ γεγονόσιν A ἐπικουρῶν τοῖς τῶν ἀλλοφύλων στρατηγοῖς ἀντετάττετο. Εἶτα τί τὸ τηνικάδε τῶν διὰ χειρὸς Θεοῦ γενέσθαι συμβέβηκε, διδάξει τὸ Γράμμα τὸ ἱερόν. Ἔχει γὰρ οὕτως· « Καὶ ἐπείπερ ἐγένετο εἰς αὐτοὺς Ἰησοῦς ἄφνω, ὅλην τὴν ἡμέραν ἐπορεύθη ἐκ Γαλγάλων, καὶ ἐξέστησεν αὐτοὺς ὁ Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ, καὶ συντρίψει συνέτριψε μεγάλῃ ἐν Γαβαὼν, καὶ κατεδίωξαν αὐτοὺς ὁδὸν ἀναβάσεως Ὡρωνὶμ, καὶ κατέκοπτον αὐτοὺς ἕως Ἀζακῆ, καὶ ἕως Μαδαϊκά. Ἐν δὲ τῷ φυγεῖν αὐτοὺς ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς καταβάσεως Ὡρωνὶμ, καὶ Κύριος ἐπέῤῥιψεν αὐτοῖς λίθους χαλάζης ἐκ τοῦ οὐρανοῦ, ἕως Ἀζηκά· καὶ ἐγένοντο πλείους οἱ ἀποθνήσκοντες διὰ τοὺς λίθους τῆς χαλάζης, ἢ οὓς ἐπέκτειναν οἱ υἱοὶ Ἰσραὴλ μαχαίρᾳ ἐν τῷ πολέμῳ. » Δέχεται τοίνυν B ὡς ἀπό γε τῶν τοῖς ἀρχαίοις συμβεβηκότων, εἰκόνα καὶ τύπον τῆς ἐσομένης τῆς ἐξ Ἰσραὴλ ἐπικουρίας παρὰ Θεοῦ τοῦ σώζειν εἰδότος, εἴπερ ἕλοιντο τοῖς τοῦ Σωτῆρος ἡμῶν καταπείθεσθαι λόγοις. Ὑμεῖς γὰρ, φησὶν, οἱ στενοχωρούμενοι, τοῦτ' ἔστιν, οἱ διὰ πλείστης ὀδύνης κεχωρηκότες, οἱ ταῖς ἀπωλείαις καὶ τοῖς τῶν ἐσομένων δείμασιν οἱονεί πως ἐκτεθλιμμένοι, μάθετε ἀκούειν, καλέσατε καὶ αὐτοὶ Ἰησοῦν εἰς ἐπικουρίαν, εἴπατε καθάπερ ἀμέλει καὶ οἱ ἐκ τῆς Γαβαὼν· Οὐ δυνάμεθα μάχεσθαι, καὶ ἀσθενοῦμεν τοῦ συναχθῆναι, πρὸς ἀντίστασιν δηλονότι τῶν ἐπιόντων ἐχθρῶν. Καὶ τί τοῦτο, λέγουσιν, ἔσται; Γνώσεσθε, φησὶν, ὅτι κἂν εἰ φέροιτο καθ' ὑμῶν, ὥσπερ ὄρος, ἔφοδος ἀνδρῶν ἀσεβῶν, ἔσται κατ' αὐτῶν τὰ ἐν τῇ φάραγγι Γαβαών. C Κατὰ γὰρ τῶν πολεμούντων ὑμῖν μετὰ θυμοῦ ποιήσει τὰ ἔργα αὐτοῦ, καὶ πικρίας ἔργα, τοῦτ' ἔστιν, ὀργῆς. Καὶ τίς ἄρα, ἢ δηλονότι ὁ ἐπαμύνων Θεός; Ὁ δὲ θυμὸς αὐτοῦ ἀλλοτρίως χρήσεται, καὶ ἡ πικρία αὐτοῦ ἀλλοτρία. Ὀργὴ γάρ, φησι, ξένη τε καὶ ἀσυνήθης καταστρατεύεται τῶν διωκόντων ὑμᾶς. Πολεμήσει τε αὐτοῖς ὑψοῦ τε καὶ ἄνωθεν ὁ οὐρανὸς καταχέων ὥσπερ τινὰ χάλαζαν τὰ ἐξ ἀκράτου θυμοῦ. Τοιοῦτόν τί φησι καὶ διὰ τῆς τοῦ ψάλλοντος φωνῆς· « Εἰ ὁ λαός μου ἤκουσέ μου Ἰσραὴλ, ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον τὴν χεῖρά μου. »

fuisset illos Jesus repente, totam noctem profectus est ex Galgalis, et conturbavit eos Dominus a facie filiorum Israel, et attrivit eos Dominus attritione magna in Gabaon, et persecuti sunt per viam ascensus Oronim [LXX, Ectheron], et percusserunt eos usque ad Azeca, et usque ad Madaica. Cum autem fugerent ipsi a facie filiorum Israel, in descensu Oronim, Dominus projecit in eos lapides grandinis de cœlo usque ad Azeca. Plures autem mortui sunt lapidibus grandinis, quam quos occiderunt filii Israel gladio in bello. » Sumit igitur velut ab his quæ contigerunt veteribus, imaginem et figuram auxilii futuri Israelitis a **401** Deo, qui servare potest, si quidem velint Servatoris nostri verbis parere. Vos enim, inquit, coangustati, id est, multos dolores adeuntes, excidiis et futurorum horroribus veluti oppressi, discite audire; vocate et vos Jesum in auxilium; dicite quemadmodum certe et Gabaonitæ: Non possumus pugnare, et debiles sumus, ac congregemur, ut resistamus invadentibus, videlicet inimicis. Et quid hoc, inquiunt, erit? Cognoscetis, ait, etiamsi feratur contra vos veluti mons, insultus hominum impiorum, illis evenient ea quæ fuerunt in valle Gabaon. Nam contra eos qui bellum inferunt vobis, cum furore faciet opera sua, et opera amaritudinis, id est, iræ. Et quis tandem? an non videlicet vindex Deus? Furor autem ejus aliene utetur, et amaritudo ejus aliena. Ira enim, inquit, nova et inusitata bellabit contra persequentes vos: pugnabitque cœlum cum illis, e supernis effundens tanquam grandinem impotentis sui furoris severitatem. Tale quid dicit et voce Psallentis: « Si populus meus audivisset me, Israel si in viis meis ambulasset, vel ad nihilum inimicos eorum redegissem, et illis qui premunt eos injecissem manum meam [39]. »

Καὶ ὑμεῖς μὴ εὐφρανθείητε, μηδὲ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοὶ, διότι συντετελεσμένα, καὶ συντετμημένα πράγματα ἤκουσα παρὰ Κυρίου Σαβαὼθ, ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν.

Εἰσφέρεται πάλιν τὸ τοῦ μακαρίου προφήτου πρόσωπον τοῖς τῶν Ἰουδαίων καθηγηταῖς ἐπισκῆπτόν τε καὶ λέγον, ὅτι πάντη τε καὶ πάντως δεήσει τὸ μήτε χαίρειν αὐτοὺς, τοῦτ' ἔστι, μὴ τοῖς κατὰ Χριστοῦ τολμήμασιν ἐναβρύνεσθαι, καταστυγνάζειν δὲ μᾶλλον, καὶ δακρυῤῥοεῖν ἐπί γε ταῖς σφῶν αὐτῶν ἀσεβείαις, μήτε μὴν συντείνειν κατὰ τῶν ὑπὸ χεῖρα λαῶν τοὺς ἀπό γε τοῦ νόμου δεσμοὺς, ἐφεῖναι δὲ μᾶλλον πιστεύουσιν εἰς Χριστὸν ἔξω γενέσθαι τῆς ἀρχαίας ἐντολῆς, καὶ τὰ ἐν σκιαῖς ἀφέντας καὶ τύποις, τὴν ἐν πνεύματί τε καὶ ἀληθείᾳ ἐπιδέχεσθαι προσκύνησιν. Πνεῦμα γὰρ ὁ Θεὸς, καὶ ὃν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Ὅτι δὲ δεσμὸς οἷά τις ὁ νόμος ἦν, δικαιῶν μὲν οὐδένα· τετελείωκε γὰρ οὐδέν· κατα-

Vers. 22. ***Et vos ne lætemini, neque roborentur vobis vincula, quia consummatas et concisas res audivi a Domino Sabaoth, quas faciet super omnem terram.***

D Inducitur rursus beati prophetæ persona, Judæorum præceptores impetens et dicens: Omnino non oportet eos gaudere, id est, non insolescere conatibus audacissimis contra Christum, sed tristari magis, et lacrymas perfundere ob suas impietates: neque legis vincula populo manui suæ subdito injicere, sed permittere potius ut credentes in Christum a veteri præcepto immunes sint, et quæ in umbris erant et figuris omittentes, cultum in spiritu et veritate admittant. Est enim, inquit, spiritus Deus, et quem in spiritu et veritate oportet adorare. Quod autem lex quoddam quasi vinculum sit, justificans neminem (nec enim consummavit quidquam) sed veluti infirmos et manifestis transgressionibus

[39] Psal. LXXX, 14

implicatos supplicio coercens, nemo est qui ambigat. Unde, opinor, B. David, et quidem recte, Israelitas ad gratiam per fidem contendere vehementer hortatur, **402** dicens : « Rumpamus vincula eorum, et projiciamus a nobis jugum ipsorum [40]. » Onerarunt enim, onerarunt Judæorum præceptores impie suos subditos, et gravi illis jugo imposito videlicet legalium mandatorum, tanquam infractis catenis constrinxerunt. Hinc propheta dicit eis : Ne roborentur nobis vincula, quia consummatas et concisas res audivi a Domino Sabaoth, quas faciet super omnem terram. Et quænam sunt hæ consummatæ et concisæ res? Prædicatio evangelica, gratia quæ est per fidem, justificatio per Christum, sanctificatio per Spiritum. Lex enim non erat concisa neque consummata, nihil siquidem, ut dixi, consummavit. Erant autem theoremata ejus ac tractationes, quasi per ambages et anfractus, longosque litteræ circuitus. Cæterum hæc salvifica prædicatio perfectissimam habet et concisam viam, quæ scilicet ducit per fidem ad justitiam et sanctificationem. Lex autem solis dabatur Israelitis, Mose administro. Gratia vero et veritas per Jesum Christum facta est, nec jam solum Israelitis, sed omnibus etiam terræ incolis. Nam Moses ille divinus allocutus est Israelitas, dicens in hunc modum : Audi, Israel. Dominus autem noster Jesus Christus per lyram Psallentis : « Audite, inquit, hæc, omnes gentes ; auribus percipite, qui inhabitatis terram [41]. »

A σφίγγων δὲ ὥσπερ εἰς κόλασιν τοὺς ἠσθενηκότας, καὶ ταῖς παραβάσεσιν ἐνόχους ὄντας ἐληλεγμένους, οὐκ ἂν ἐνδοιάσειέ τις. Ὅθεν οἶμαι καὶ μάλα ὀρθῶς τὸν μακάριον προφήτην Δαβὶδ εἰς τὴν διὰ πίστεως χάριν ἰέναι γοργῶς συμβουλεύειν τοῖς ἐξ Ἰσραὴλ, λέγοντα· « Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. » Ἦσαν γὰρ, ἦσαν οἱ τῶν Ἰουδαίων καθηγηταὶ καταφορτίζοντες ἀνοσίως τοὺς ὑπεζευγμένους, καὶ ζυγὸν αὐτοῖς ἐπιτιθέντες τὸν δυσαχθῆ, δῆλον δὲ ὅτι τὸν τῶν νομικῶν ἐνταλμάτων, καὶ οἱονεί τισιν ἀῤῥήκτοις σειραῖς κατασφίγγοντες. Ταύτῃ τοί φησι πρὸς αὐτοὺς ὁ προφήτης· Μὴ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοὶ, διότι συντετελεσμένα καὶ συντετμημένα πράγματα ἤκουσα παρὰ Κυρίου Σαβαὼθ, ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ ποῖα B ταῦτά ἐστι τὰ συντετελεσμένα καὶ συντετμημένα πράγματα; Τὸ κήρυγμα τὸ εὐαγγελικὸν, ἡ διὰ πίστεως χάρις, ἡ ἐν Χριστῷ δικαίωσις, ὁ διὰ τοῦ Πνεύματος ἁγιασμός. Ὁ μὲν γὰρ νόμος οὐ συντετμημένος ἦν, οὔτε συντετελεσμένος. Τετελείωκε γὰρ, ὡς ἔφην, οὐδέν. Ἦν δὲ ὥσπερ καὶ ἐν κύκλοις, καὶ ἐν μακραῖς τοῦ γράμματος περιόδοις τὰ ἐν αὐτῷ θεωρήματα. Τὸ δέ γε σωτήριον κήρυγμα τελειοτάτην ἔχει καὶ συντετμημένην ὁδόν· ἀποφέρει γὰρ διὰ πίστεως εἰς δικαιοσύνην καὶ ἁγιασμόν. Καὶ ὁ μὲν νόμος μόνοις ἐδόθη τοῖς ἐξ Ἰσραὴλ, διακονοῦντος Μωσέως. Ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, καὶ οὐκ ἔτι μόνον τοῖς ἐξ Ἰσραὴλ, ἀλλὰ τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανόν. Μωσῆς μὲν γὰρ ὁ θεσπέσιος προσεφώνει τοῖς ἐξ Ἰσραὴλ οὕτω λέγων· Ἄκουε, Ἰσραήλ· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τῆς ψάλλοντος λύρας· « Ἀκούσατε, » φησὶ, « ταῦτα, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. »

Vers. 23. *Auribus percipite, et audite vocem meam; attendite, et audite sermones meos.*

Rursus his verbis ipsius Servatoris infertur persona, tantum non incantantis Israelitas, ac persuadentis, et quidem disertissime, evangelicæ prædicationis sermonem admittere, ejusque voces Mosaico præcepto non postponere. Quod autem non oporteat negligenter et oscitanter divinis et evangelicis sermonibus adhibere animum, ostendit dicens : Attendite, et audite sermones meos. Attentione enim opus est, et etiam obedientia, his qui ea prudentia et consilio valent, ut animorum suorum amplitudinem doctrina ac institutione quæ supra legem, nimirum Christiana, complere satagant. Quod vero exhibito illo, periculosum et noxium sit cultum legalem sectari, confirmabit **403** Paulus, dicens his qui ex nimia stultitia post fidem in ipsum et emundationem per sacrum lavacrum, ad Mosaica, id est, legalia reversi sunt : « Aboliti estis a Christo, quicunque in lege justificamini, a gratia excidistis. Nos enim per fidem spem justitiæ exspectamus [41*]. » Verisimile est et aliud subinnui, ex eo quod dicat Christus : Attendite, et audite sermones meos. Si enim volueritis subtiliter, inquit, umbras legis animo pensiculare, et digna attentione æstimare typos, omnino

C *Ἐνωτίζεσθε, καὶ ἀκούετε τῆς φωνῆς μου· προσέχετε, καὶ ἀκούετε τοὺς λόγους μου.*

Ἐν τουτοισὶ πάλιν τὸ αὐτοῦ τοῦ Σωτῆρος εἰσφέρεται πρόσωπον, μονονουχὶ κατεπᾴδοντος τοῖς ἐξ Ἰσραὴλ, ἀναπείθοντός τε καὶ μάλα σαφῶς τὸν τῶν εὐαγγελικῶν κηρυγμάτων προσέσθαι λόγον, καὶ τὰς αὐτοῦ φωνὰς, μὴ κατόπιν παραῤῥίπτειν τῆς διὰ Μωσέως ἐντολῆς. Ὅτι δὲ οὐκ ἠμελημένως, οὔτε μὴν ἀτημελῶς προσέρχεσθαι δεῖ τοῖς θείοις τε καὶ εὐαγγελικοῖς ἐμφανίζει λέγων· Προσέχετε, καὶ ἀκούετε τοὺς λόγους μου. Προσοχῆς γὰρ χρεία, καὶ μέν τοι καὶ εὐπειθείας τοῖς εἰς τοῦτο ἥκουσι λογισμῶν ἀγαθῶν, ὡς τῆς ἑαυτῶν διανοίας τὸ πλάτος κατεμπλῆσαι ζητεῖν τῆς ὑπὲρ νόμον εἰσηγήσεως, δῆλον δὲ ὅτι τῆς διὰ Χριστοῦ. Ὅτι γὰρ ἀναδειχθέντος αὐτοῦ τὸ μεταD ποιεῖσθαί τισι τῆς κατὰ νόμον λατρείας ἐπισφαλές τε καὶ ἐπιζήμιον πιστώσεται λέγων ὁ Παῦλος τοῖς μετὰ τὴν πίστιν τὴν εἰς αὐτὸν, καὶ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος κάθαρσιν, ἐκ πολλῆς ἄγαν ἀβελτηρίας ὑπονοστήσασιν ἐπὶ τὰ Μωσέως, ἤτοι τὰ ἐν νόμῳ· « Κατηργήθητε ἀπὸ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. Ἡμεῖς γὰρ διὰ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. » Εἰκὸς δὲ δή τι καὶ ἕτερον ὑπαινίττεσθαι διά γε τοῦ φάναι Χριστόν· Προσέχετε καὶ ἀκούετε τοὺς λόγους μου. Εἰ γὰρ δὴ

[40] Psal. II, 3. [41] Psal. XLVIII, 2. [41*] Galat. V, 4, 5.

βούλεσθε, φησὶ, ταῖς τοῦ νόμου σκιαῖς ἰσχυὸν ἐνιέναι τὸν νοῦν, καὶ προσοχῆς τῆς δεούσης ἀξιοῦν τοὺς τύπους, ἀκούσεσθε πάντως τῶν ἐμῶν λόγων. Γράφομαι γὰρ ἐν τύποις, καὶ ξένον οὐδὲν εἰσκεκόμικε τῶν ἐμῶν θεσπισμάτων ἡ δύναμις, εἴ γε δὴ νοοῖτο πνευματικῶς ὁ νόμος. « Εἰ γὰρ ἐπιστεύετε, » φησὶ, « Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. »

A sermones meos audietis. Describor enim in typis, et peregrinum nihil induxit vis meorum vaticiniorum, si quidem spiritualiter lex intelligatur. « Si enim, » inquit, « credideritis Mosi, credetis et mihi, de me namque ille scripsit [41]. »

Μὴ ὅλην τὴν ἡμέραν μέλλει ὁ ἀροτριῶν ἀροτριᾷν· ἢ σπόρον ἑτοιμάσαι πρὶν ἐργάσασθαι τὴν γῆν; Οὐχ ὅταν ὁμαλίσῃ αὐτῆς τὸ πρόσωπον, τότε σπείρει μικρὸν μελάνθιον καὶ κύμινον; Καὶ πάλιν σπείρει πυρὸν καὶ κριθὴν, καὶ ζέαν ἐν τοῖς ὁρίοις σου.

VERS. 24, 25. *Nunquid tota die debet arans arare, aut semen præparare, antequam præparet terram? Nonne cum æquarit faciem ejus, tunc seminat parvum papaver et cyminum? Et rursus seminat triticum, et hordeum, et speltam in finibus tuis.*

Βαθὺ μὲν λίαν τὸ αἴνιγμα, καὶ δυσκάτοπτος κομιδῇ τῶν προκειμένων ὁ νοῦς· ἐρῶ δὲ ὡς ἔνι, καὶ κατά γε τὸ ἐγχωροῦν. Ἀπόβλητον ἐποιοῦντο τοῦ Σωτῆρος τὸν λόγον οἱ τάλανες Ἰουδαῖοι, καὶ πρόφασις ἦν αὐτοῖς, τὸ ἀπρὶξ ἔχεσθαι φιλεῖν τῆς διὰ Μωσέως ἐντολῆς. Ὤοντο γὰρ ὅτι καὶ εὐσεβοῦσι τάχα που, μεταποιούμενοι μὲν τῶν ἐν τύποις, διαπτύοντες δὲ ὥσπερ τῆς ἀληθείας τὸ κάλλος. Ταύτῃ τοι καὶ ἐδίωκον τὸν Ἰησοῦν, ὡς τῆς νομικῆς ἐντολῆς τὴν δύναμιν ἑτέρωσέ πῃ παροχετεύοντα, καὶ εἰς ἑτέραν αὐτοὺς ἀποφέροντα λατρείαν, φημὶ δὴ τὴν εὐαγγελικήν. Δέχεται τοίνυν ὡς ἀπό γε τῆς ἐν χερσὶν οὔσης αὐτοῖς γεωργίας τὸ παράδειγμα, καί φησιν· Μὴ ὅλην τὴν ἡμέραν μέλλει ὁ ἀροτριῶν ἀροτριᾷν; Καὶ ὃ βούλεται δηλοῦν, ἔστι τοιοῦτον. Αἱ τῶν εἰδωλολατρούντων καρδίαι σκληραί τέ εἰσι καὶ ἄτεγκτοι, καὶ οἱονεί τις ἀγρία γῆ κεχερσωμένη. Δεῖ τοίνυν αὐταῖς, καθάπερ τινὸς ἀρότρου, τοῦ διαπτύσσοντος λόγου, τοῦ τῆς κατηχήσεως δηλονότι· ἵνα καὶ τὸν ἄνωθεν καὶ τὸν ἐξ οὐρανοῦ προσδέξωνται σπόρον· οὕτω τε λοιπὸν καρποφορήσειαν τῷ Θεῷ τὴν εἰς πᾶν ὅτι τῶν ἀγαθῶν ἔφεσίν τε καὶ προθυμίαν. Τοιοῦτόν τι γέγονε τοῖς ἐξ Ἰσραήλ. Ἦσαν μὲν γὰρ ἐν Αἰγύπτῳ τοῖς αὐτόθι προσκυνοῦντες θεοῖς, κέκληνταί γε μὴν διὰ τοῦ πανσόφου Μωσέως· δέδοται δὲ καὶ νόμος αὐτοῖς, ἀρότρου δίκην διατέμνειν αὐτοῖς εἰδὼς τὰς συνεσφιγμένας αὐτῶν καρδίας, καὶ νοῦν τὸν κεχερσωμένον. Ἀλλ' ἦν ἀναγκαῖον μὴ μόνον αὐτοὺς εἰς ἀρχὰς καλεῖσθαι τῆς νοητῆς γεωργίας, ἐπιλάμψαντος δὲ ἤδη τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καρποφορεῖν τῷ Θεῷ καὶ τῆς ἐν πνεύματι λατρείας τὴν δύναμιν. Οὐκοῦν ἐπειδήπερ, ὡς ἔφην, ἀπόβλητον ἐποιοῦντο τὸν διὰ Χριστοῦ λόγον, προκείμενοι τοῖς Μωσέως, ταύτῃ τοι καὶ λίαν εἰκότως μεθίστησιν αὐτοὺς τοῦ τοιοῦδε φρονήματος, λέγων· Μὴ ὅλην τὴν ἡμέραν μέλλει ὁ ἀροτριῶν ἀροτριᾷν; Ἢ τὴν ἀνήροτον γῆν τὴν ἀγρίαν, καὶ ἀκανθοτόκον διαπτύσσων, φησὶν, ἵνα ἕτοιμος γένοιτο πρὸς τὴν τῶν σπερμάτων παραδοχὴν, μὴ διὰ παντὸς ἀροτριᾷ; Ὁ δὲ τὴν γῆν, φησὶν, ἐργάζεσθαι βουλόμενος, ἆρα πρὶν εἰς νοῦν τοῦτο λαβεῖν ἑτοιμάσει σπέρμα; Οὐχ ὅταν ὁμαλίσῃ αὐτῆς τὸ πρόσωπον, τότε σπείρει μικρὸν μελάνθιον, καὶ κύμινον; Καὶ πάλιν σπείρει πυρὸν, καὶ κριθὴν καὶ ζέαν ἐν τοῖς ὁρίοις σου. Ἔδει γὰρ, ἔδει, φησὶ, προομαλισθῆναι διὰ τῆς ἐν τύποις ἐντολῆς

Propositorum verborum sententia profundissimum B sane et obscurum admodum est ænigma, dicam vero ut licet, et quatenus conceditur. Rejecerunt Servatoris verbum miseri Judæi, et causa illis erat quod volebant Mosaicis præceptis mordicus adhærescere. Putabant enim se pietatem colere, sectando typica, et pulchritudinem veritatis veluti despuendo. Unde Jesum persecuti sunt, tanquam legalis præcepti vim aliorsum derivantem, et ipsos ad alium cultum, evangelicum, inquam, traducentem. Sumit ergo veluti ab agricultura obvium et familiare exemplum, et inquit: Num totum diem debet qui arat arare? Quod hunc habet sensum: Idololatrarum pectora dura sunt et rigida, et veluti agrestis quædam terra inculta. Opus est igitur illis tanquam, aratro, dissecante sermone, sermone C scilicet institutionis, uti supernum cœlesteque semen admittant: sicque deinceps fructificent Deo omnium bonorum desiderium et promptitudinem. Tale quid factum est Israelitis. Colebant enim in Ægypto eos qui ibi erant deos; per **404** Mosen vero sapientissimum vocati sunt, data quoque est illis lex, quæ aratri instar scindere poterat corda eorum obturata et constricta, mentemque incultam. Sed enim necesse erat non solum ut ad principia agriculturæ sub intelligentiam cadentis vocarentur: sed illucescente jam omnium nostrum Servatore Christo, Deo fructificarent spiritualis cultus virtutem. Itaque postquam, ut dixi, sermonem Christi rejecerant, affixi Mosaicis præceptis, ideo, idque justissime, transfert eos ab hoc insti- D tuto, dicens: Num totum diem debet qui arat arare? Qui, inquit, terram inaratam, agrestem et spinosam subigit, ut apta sit et parata ad recipiendum semen, num semper arat? Qui, inquit, terram colere vult, an non, priusquam hoc animo cogitat, præparabit semina? Nonne cum æquavit ejus superficiem, tunc serit parvum papaver et cyminum? Et rursum serit triticum, et hordeum, et speltam in finibus tuis. Oportuit enim, inquit, oportuit, corda eorum qui pædagogia instituti erant, levigari ante, præceptisque typicis præcoli, quasique terræ cujuspiam superficiem præparari, ut deinceps ad fructus edendos prom-

[41] Joan. v, 46.

ptissima et accommodata esse conspiciatur. Agricola autem, inquit, si æquet et leviget superficiem terræ, non statim neque ab initio solidiora jacit semina, sed parva adhuc et infirma emittit, papaver nimirum et cyminum: apta autem nudataque jam terra ad fructus proferendos, tum, inquit, tum et triticum et hordeum et speltam serit. Hic enim modus artificiosæ agricolationis est in tuis finibus. Facta est igitur lex omnibus præcultrix et quasi prælevigatrix, ac quidam velut agricola peritissimus, inserens his qui instituti sunt, quasi papaver quoddam et cyminum, et parva et umbratilia, et quæcunque semina per se ipsa et sola esui minime apta sunt, sed quærunt semper adjungi et adhærere aliis, quo utilia esse videantur. Si namque tritico et hordeo, id est, panibus ex tritico et hordeo confectis adjungantur, tunc quodammodo videntur esse utilissima. Ea vero est legalis cultus virtus. Si enim non habeat utilitatem ex solidiore cibo, id est, evangelico, per spiritualem interpretationem, sola et ex se nihil commoditatis habere poterit.

A τὴν τῶν παιδαγωγουμένων καρδίαν, καὶ οἱονεί τινος γῆς εὐτρεπισθῆναι τὸ πρόσωπον, ὡς ἑτοιμοτάτην ὁρᾶσθαι πρὸς τὸ δύνασθαι λοιπὸν ἐπιτηδείως ἔχειν εἰς καρποφορίαν. Ὁ δέ γε γηπόνος, φησὶ, κἂν ὁμαλίσῃ τὸ πρόσωπον τῆς γῆς, οὐκ εὐθὺς οὐδὲ ἐκ πρώτης τῶν στερεωτέρων σπερμάτων ποιεῖται τὴν καταβολὴν, ἀλλ' ὅσα ἂν εἰσι τέως μικρὰ, καὶ ἀσθενῆ, τοῦτ' ἔστι, μελάνθιον καὶ κύμινον· καὶ γυμνασθείσης δὲ ἤδη τῆς γῆς εἰς καρποφορίαν, τότε δὴ τότε σπείρει, φησὶ, καὶ πυρὸν καὶ κριθὴν καὶ ζέαν. Τρόπος γὰρ οὗτος γηπονίας ἐντέχνου ἐν τοῖς σοῖς ὁρίοις. Γέγονεν οὖν ἅπασι μονονουχὶ προομαλιστὴς ὁ νόμος· καὶ οἷά τις εὐτεχνέστατος γεωργὸς, κατασπείρων ἐν τοῖς παιδαγωγουμένοις, οἱονεί τι μελάνθιον καὶ κύμινον, τὰ μικρά τε καὶ ὡς ἐν σκιαῖς, καὶ ὅσα τῶν σπερμάτων, B αὐτὰ καθ' ἑαυτὰ, καὶ μόνα, ἐδώδιμα μὲν οὐδαμῶς, ζητοῦντα δὲ πάντως τὴν πρὸς ἕτερα συμπλοκὴν, ἵνα ὁρῷτο καὶ χρήσιμα. Εἰ γὰρ δὴ προσεπάγοιτο πυρῷ καὶ κριθῇ, τοῦτ' ἔστιν, ἄρτοις τοῖς ἐκ πυρῶν, ἢ κριθῆς, τότε δοκεῖ πως εἶναι καὶ χρειωδέστατα. Τοιαύτη δέ πώς ἐστι καὶ τῆς κατὰ νόμον λατρείας ἡ δύναμις. Εἰ γὰρ μὴ ἔχοι τὸ συμφέρεσθαι δοκεῖν διὰ πνευματικῆς ἑρμηνείας τῇ στερεωτέρᾳ τροφῇ, τοῦτ' ἔστι, τῇ εὐαγγελικῇ, μόνη καὶ καθ' ἑαυτὴν οὐδὲν ἂν ἔχοι τὸ ὠφελοῦν.

VERS. 26-29. *Et erudieris judicio Dei tui, et lætaberis.* **405** *Non enim cum duritia purgatur papaver nigrum, neque rota plaustri circumducit super cyminum, sed virga excutitur melanthium, cyminum autem cum pane comedetur. Non enim in æternum ego vobis irascar, neque vox amaritudinis meæ conculcabit vos. Et hæc a Domino Sabaoth egressa sunt portenta.*

Καὶ παιδευθήσῃ κρίματι Θεοῦ, καὶ εὐφρανθήσῃ. Οὐ γὰρ μετὰ σκληρότητος καθαίρεται τὸ μελάνθιον, οὐδὲ τροχὸς ἁμάξης περιάγει περὶ τὸ κύμινον, ἀλλὰ ῥάβδῳ ἐκτινάσσεται τὸ μελάνθιον, τὸ δὲ κύμινον μετὰ ἄρτου βρωθήσεται· οὐ C *γὰρ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀργισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς. Καὶ ταῦτα παρὰ Θεοῦ Σαβαὼθ ἐξῆλθε τὰ τέρατα.*

Cum ad emundationem peccatorum, inquit, inefficax esset lex, amota est umbra, inutilia apparuerunt typica, et introductum est judicium vivificum et vere utilissimum. Et cujusmodi tandem est illud? Postquam enim per legem non potuit homo justificari, apparuit nobis unigenitum Dei Verbum, consummatam rem et concisam proponens, justificationem nimirum per fidem. Tu igitur, inquit, o Israel, obedienti cervice omnium Servatori Christo subjecta, ab illo judicio erudieris, discendo nimirum ab illo viam salutis. Eris enim sic in lætitia. Postquam vero semel papaveris nigri et cymini fecerit mentionem, aliquid inde utile desumit, et inquit: Non cum duritia purgatur papaver nigrum, et quæ sequuntur deinceps. Erat enim transgressionum reus Israel, et ad legis observationem piger esse convincebatur. Dixit igitur universorum Deus: « Populus iste labiis me honorat, cor autem eorum procul abest a me [43]. » Frustra colunt me, doctrinas docentes, mandata hominum. Nonne igitur pigritiæ in legem pœnas justissime exigere potuit? Certe, inquit. Verum humanus est legislatoris scopus ac consilium. Nam quemadmodum, inquit, nigrum pa-

Ἀδρανῶς ἔχοντος τοῦ νόμου, φησὶ, πρὸς κάθαρσιν ἁμαρτιῶν, ἀποκεκίνηται μὲν ἡ σκιὰ, ἀχρεῖα δὲ πέφηνε τὰ ἐν τύποις, εἰσκεκόμισται δὲ κρίμα τὸ ζωοποιὸν, καὶ ἐπωφελέστατον ἀληθῶς. Καὶ ποῖον τοῦτό ἐστιν; Ἐπειδὴ γὰρ οὐκ ἦν ἐν νόμῳ δικαιωθῆναι τὸν ἄνθρωπον, ἐπέφανεν ἡμῖν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, συντετελεσμένον καὶ συντετμημένον πρᾶγμα προθεὶς, τοῦτ' ἔστι, τὴν ἐν πίστει δικαίωσιν. Σὺ τοίνυν, φησὶν, ὁ Ἰσραὴλ, εὐήνιον ὑποθεὶς τῷ πάντων Σωτῆρι Χριστῷ τὸν αὐχένα, τῷ παρ' αὐτοῦ κρίματι παιδευθήσῃ, τοῦτ' ἔστιν, ἐπὶ τὸ μανθάνειν τῆς παρ' D αὐτοῦ σωτηρίας τὴν ὁδόν. Ἔσῃ γὰρ οὕτως ἐν εὐφροσύνῃ. Ἐπειδὴ δὲ ἅπαξ τὸν ἐπὶ μελανθίῳ τε καὶ κυμίνῳ πεποίηται λόγον, δέχεταί τι χρήσιμον ἐξ αὐτῶν, καί φησιν· Οὐ μετὰ σκληρότητος καθαίρεται τὸ μελάνθιον, καὶ τὰ ἑξῆς. Ἦν μὲν γὰρ παραβάσεσιν ἔνοχος ὁ Ἰσραὴλ, καὶ πρὸς αὐτὴν τὴν τοῦ νόμου τήρησιν ῥάθυμος γεγονὼς ἡλίσκετο. Ἔφη γοῦν ὁ τῶν ὅλων Θεός· « Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. » Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Ἆρ' οὖν οὐκ ἂν ἐξέτισε δίκας καὶ μάλα εἰκότως ῥαθυμίας τῆς εἴς γε τὸν νόμον; Ναί, φησιν. Ἀλλ' ἔστι φιλάνθρωπος ὁ τοῦ νομοθέτου σκοπός.

[43] Isa. XXIX, 13.

A Ὥσπερ γὰρ τὸ μελάνθιον, φησὶν, οὐ σκληρῶς καθαίρεται, οὔτε μὴν ἁμάξης τροχὸς περιάγει ἐπὶ τὸ κύμινον, ἀλοῶν δηλονότι, καὶ λεπτύνων αὐτὸ, καθάπερ ἀμέλει καὶ ἐπὶ σίτου πράττεται, ῥάβδῳ δὲ μᾶλλον καθαίρεται ἤγουν ἐκτινάσσεται· οὕτω τοῖς εἰς τὸν νόμον ἡμαρτηκόσιν ὁ νομοθέτης προσενεχθήσεται, δίκας μὲν οὐκ ἀπαιτῶν σκληρὰς, ῥάβδῳ δὲ μᾶλλον, καὶ συμμέτροις κινήσεσιν ἀποκαθαίρων αὐτούς. Προστιθεὶς δὲ ὅτι τὸ κύμινον μετὰ ἄρτου βρωθήσεται, δέδειχεν ὅτι τῆς νομικῆς λατρείας τὸ ἐξωφανὲς αὐτὸ καθ' ἑαυτὸ καὶ μόνον ἀχρεῖον εἰς ὄνησιν. Ἔσται δὲ χρήσιμόν τε καὶ ἀναγκαῖον εἰ τῇ στερεᾷ συνάπτοιτο τροφῇ, τοῦτ' ἔστι, τοῖς εὐαγγελικοῖς θεσπίσμασι. Διερμηνεύων γε μὴν τὸ αἴνιγμα, τὸ ἐπί γε τῷ κυμίνῳ καὶ μελανθίῳ φημί· καὶ τί ἂν βούλοιτο, δηλοῦντος ὅτι ῥάβδῳ τὸ μελάνθιον ἐκτινάσσεται, προσεπάγει καί B φησιν· Οὐ γὰρ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀργισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς. Ἔσομαι γὰρ οὐ βαρύμηνις, φησὶν, ἀλλ' οὐδὲ δίκην ὑμῶν καταψηφιοῦμαι τὴν ἐσχάτην, οὐδὲ πικρὸν ἐφ' ὑμῖν ἐξοίσω τὸ κρίμα, ὡς καὶ εἰς καταπάτημα γενέσθαι τοῖς ἐξ ὀργῆς συμβαίνουσιν. Ὅτι δὲ εἰς ἄκρον ἀνεξικακίας ἐληλακὼς, κἀν τούτῳ δὴ πάλιν ὁ τῶν ὅλων Θεὸς φαίνεται προσαποδείκνυσι λέγων· Καὶ ταῦτα παρὰ Κυρίου Σαβαὼθ ἐξῆλθε τὰ τέρατα. Τέρας γὰρ ἀληθῶς, καὶ σημεῖον οὐκ ἀθαύμαστον, τὸ ἐν τοσούτοις ὄντα παραπτώμασιν ἐλεεῖσθαι τὸν Ἰσραὴλ, καὶ ἀναριθμήτων ἐγκλημάτων ἀποκερδᾶναι τὴν ἄφεσιν, Θεοῦ κατοικτείροντος.

C *Βουλεύσασθε, ὑψώσατε ματαίαν παράκλησιν.*

Τὴν ἀμνηστίαν αὐτοῖς τὴν ἐφ' οἷς πεπαρῳνήκασιν ὑπισχνούμενος, καὶ ὅτι πικρὸς οὐκ ἔσται λίαν ἐπ' αὐτοῖς εὖ μάλα διειρηκὼς βουλῆς ἀγαθῆς ἐπιλαβέσθαι κελεύει· καταιτιᾶται δὲ, ὅτι ματαίαν παράκλησιν, μέγα τι καὶ ὑψηλὸν χρῆμα εἶναι νομίσαντες, ἔξω φέρονται τοῦ εἰκότος. Ποία δὲ ἡ παρ' αὐτοῖς καὶ μεγάλη νομισθεῖσα παράκλησις, ἔχουσα δὲ τὸ ἀνόνητον; Ἐκείνη που πάντως. Ἔφασκον γὰρ, Ποιήσομεν διαθήκην μετὰ τοῦ ᾅδου καὶ μετὰ τοῦ θανάτου συνθήκας· καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, οὐ μὴ ἔλθῃ ἡμῖν· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα. Ἀλλ' οἱ ταῦτα διενθυμούμενοι, καὶ κενὴν ἔχοντες τὴν ἐλπίδα, οἰηθέντες τε ὅτι τεθνήξονται πρὸ τῶν δεινῶν ἤκουον ἐναργῶς· Καταιγὶς φερο- D μένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα. Ὅταν παρέλθῃ, λήψεται ὑμᾶς.

Οὐαὶ πόλις Ἀριὴλ, ἣν Δαβὶδ ἐπολέμησε. Συναγάγετε γεννήματα ἐνιαυτὸν ἐπὶ ἐνιαυτόν. Φάγεσθε γὰρ σὺν Μωάβ· ἐκθλίψω γὰρ Ἀριὴλ, καὶ ἔσται αὐτῆς ἡ ἰσχὺς, καὶ ὁ πλοῦτος. Καὶ κυκλώσω, ὡς Δαβὶδ ἐπὶ σέ· καὶ βαλῶ περὶ σὲ χάρακα, καὶ θήσω περὶ σὲ πύργους, καὶ ταπεινωθήσονται οἱ λόγοι σου εἰς τὴν γῆν, καὶ εἰς τὴν γῆν οἱ λόγοι σου δύσονται. Καὶ ἔσται ὡς οἱ φωνοῦντες ἐκ τῆς γῆς ἡ φωνή σου, καὶ πρὸς τὸ ἔδαφος ἡ φωνή σου ἀσθενήσει.

Δέχεταί τι τῶν ἱστορικῶς γεγονότων ἐν καιρῷ τῆς βασιλείας τοῦ μακαρίου Δαβὶδ, καὶ τοῦτο ποιεῖ μο-

paver non purgatur duriter, et rota plaustri non circumagit cyminum, cum illud scilicet triturat et comminuit, ut sane fit in frumento, sed virga potius purgatur et excutitur: ita legislator iis qui in legem deliquerunt accedet, haud duras quidem pœnas exposcens, sed virga potius et moderatis illos agitationibus expurgabit. Cum vero adjecit: Cyminum cum pane comedetur, ostendit legalis cultus externam speciem per se ipsam et solitariam parum juvare, at utile et necessarium fore, si solido cibo, nempe evangelicæ prædicationi adhibeatur. Quod tum dixi, **406** cum ænigma illud de cymino et nigro papavere interpretarer. Quid autem illud velit, scilicet, Virga nigrum papaver excutietur, adjungit et inquit: Non enim in æternum ego vobis irascar, neque vox amaritudinis meæ conculcabit vos. Non enim, inquit, ero iracundus, neque vos pœnæ extremæ addicam, nec acerbum in vos proferam judicium ut conculcemini, quod fieri solet tum cum res per iram geruntur. Quod autem ad summum omnis patientiæ pervenerit, hoc rursus universorum Deus videtur porro ostendere, inquiens: Et hæc a Domino Sabaoth exiverunt portenta. Portentum enim vere, et monstrum est admiratione dignum, tot tantisque delictis obrutum Israelem, misericordiam consequi, et innumerabilium criminum remissionem, Deo commiserante, lucrifacere.

Consilium inite, extollite vanam consolationem.

Cum oblivione deleturum se quod debacchati essent promisisset, iramque in eos non admodum gravem fore, rectissime dixisset: bonum consilium capere jubet, insimulatque quod vanam consolationem, magnum quiddam et eximium rati, a decoro aberrarent. At quæ tandem est hæc magna, ut illi putant, consolatio, quæ tamen utilitatis nihil habet? Hæc prorsus: dicebant enim: Faciemus fœdus cum inferis et cum morte. Tempestas irruens si pertranseat, non veniet ad nos; posuimus mendacium spem nostram, et mendacio protegemur. At hi qui hæc cogitant, et vanam spem habent, et qui morituros se ante graves calamitates existimarunt, audiverunt clare: Tempestas irruens si venerit, eritis ei in conculcationem; cum transierit, tollet vos.

Cap. XXIX. Vers. 1-4. *Væ civitas Ariel, quam David expugnavit; congregate germina annum super annum. Comedetis enim cum Moab. Nam affligam Ariel, et erit ejus fortitudo et divitiæ mihi. Et circumdabo sicut David super te. Et mittam vallum in circuitu tuo, et ponam circum te turres, et dejicientur sermones tui in terram, et in terram sermones tui cadent. Et erit velut loquentium e terra vox tua, et ad pavimentum vox tua infirmabitur.*

407 Sumit quiddam historice factum tempore beati Davidis, idque facit fere ut Judaicæ Synago-

gæ scelera contra Christum ostendat. Sunt enim figuræ rerum verarum, ea quæ in umbris veteribus contigerunt. Quæ ergo nunc Jerusalem est, olim Jebus vocata est, quam beatus David obsedit. Quam vero ob causam, ex ipsis sacris Litteris cognoscemus. Habetur vero sic in secundo libro Regnorum: « Et abiit David, et omnes viri ejus in Jerusalem ad Jebusæum inhabitantem terram. Et dictum est Davidi: Non ingredietur David huc, quia restiterunt cæci et claudi, dicentes: Non ingredietur huc. Accepit autem David munitam Sion. Hæc est civitas David. Et dixit David die illo: Omnis percutiens Jebusæum, tangat punitione cæcos, et claudos oppugnantes animam Davidis [44]. » Itaque beato Davidi Hierosolymitani, id est, Jebusæi cæci et claudi restiterunt, quo facto misere disperierunt. Cepit enim eam. Restiterunt autem omnium Servatori Christo, ipsius adventus tempore, habitatores Jerusalem, claudi et cæci. Non enim recto pede incedere potuerunt, sed nec divinam lucem mente comprehenderunt, fidemque non receperunt, Scribæ maxime et Pharisæi. Dixerat enim de illis ita affectis voce Davidis: « Filii alieni mentiti sunt mihi, filii alieni inveterati sunt, et claudicaverunt a semitis suis [45]. » Scribit vero illis Paulus, inquiens: « Quapropter manus remissas et genua soluta erigite, et gressus rectos facite pedibus vestris, ut non claudicans quis erret, magis autem sanetur [46]. » Quod autem cæci fuerint, confirmabit ipse Servator dicens: « In judicium ego in mundum hunc veni, ut qui non vident videant, et qui vident cæci fiant [47]. » Visum enim receperunt gentes, etsi alioqui non viderint. Occæcati sunt Judæorum populi, etiam videntes mysterium, quantum ad legalem mystagogiam attinet. Exclamat igitur contra Jerusalem, et inquit: Væ civitas Ariel, quam David expugnavit. Ariel vero eam dicit, nomine usus multis recepto. Exponitur enim Ariel, *leo Dei*. Et quoniam expeditiones invictas contra omnes alias regiones et gentes **408** fecit Jerusalem, Dei ope vincens, et leonis in morem rapiens et lacerans resistentes, tale cognomen sortita est. Væ igitur, inquit, o misera civitas, quæ olim velut leæna frendebat in gentes, nunc vero demum in has adeo acerbas et insanabiles incidit calamitates. Expugnavit enim illam quondam David, et qui ex eo natus est postea Christus. Ait porro ad eos: Congregate germina ab anno ad annum. Comedetis enim cum Moab. Per totum enim biennium universam peragrans Judæam Dominus noster Jesus Christus, doctrinas omni sapientia refertas adhibuit, divinamque illis et evangelicam prædicationem tradidit. Cum adsit igitur temporis opportunitas, præbeatque facultatem spirituales cibos colligendi, et eos in animo et corde tanquam in horreo coacervandi, ne sitis in hoc tardi, sed potius omni abjecta cunctatione, alacriter colligite. Comedetis enim cum

A νονουχὶ πρὸς ἀνάδειξιν τῶν τολμηθέντων κατὰ Χριστοῦ παρὰ τῆς Ἰουδαίων συναγωγῆς. Τύποι γὰρ τῶν ἀληθῶν τὰ ὡς ἐν σκιαῖς τοῖς ἀρχαιοτέροις συμβεβηκότα. Οὐκοῦν ἡ νῦν Ἱερουσαλὴμ, Ἰεβοὺς ἐκαλεῖτό ποτε. Ταύτην πεπολιόρκηκεν ὁ μακάριος Δαβίδ. Καὶ διὰ ποίαν αἰτίαν, ἐξ αὐτῶν εἰσόμεθα τῶν ἱερῶν Γραμμάτων. Ἔχει γὰρ οὕτως, ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν· « Καὶ ἀπῆλθε Δαβὶδ, καὶ πάντες οἱ ἄνδρες αὐτοῦ εἰς Ἱερουσαλὴμ πρὸς τὸν Ἰεβουσαῖον τὸν κατοικοῦντα τὴν γῆν, καὶ ἐῤῥέθη τῷ Δαβὶδ, ὅτι Οὐκ εἰσελεύσεται Δαβὶδ ὧδε· ὅτι ἀνέστησαν οἱ τυφλοὶ καὶ οἱ χωλοὶ λέγοντες, ὅτι οὐκ εἰσελεύσεται ὧδε. Καὶ κατελάβετο Δαβὶδ τὴν περιεχομένην Σιών. Αὕτη ἡ πόλις τοῦ Δαβίδ. Καὶ εἶπε Δαβὶδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Πᾶς τύπτων Ἰεβουσαῖον ἁπτέσθω ἐν παραξιφίδι τοὺς τυφλοὺς, καὶ τοὺς χωλοὺς τοὺς πολεμοῦντας ψυχὴν B Δαβίδ. » Οὐκοῦν τῷ μὲν μακαρίῳ Δαβὶδ οἱ ἀπό γε τῆς Ἱερουσαλὴμ ἤτοι τῆς Ἰεβοῦς ἀντέστησαν τυφλοὶ καὶ χωλοὶ, καὶ τοῦτο πεποιηκότες οἰκτρῶς διολώλασι. Κατελάβετο γὰρ αὐτήν, ἀντέστησαν δὲ τῷ πάντων Σωτῆρι Χριστῷ, κατὰ τὸν τῆς ἐπιδημίας αὐτοῦ καιρὸν, οἱ τῆς Ἱερουσαλὴμ οἰκήτορες χωλοὶ, καὶ τυφλοί· οὐ γὰρ ᾔδεισαν ὀρθοποδεῖν. Ἀλλ' οὐδὲ τὸ θεῖον εἰς νοῦν ἐδέχοντο φῶς, οἱ τὴν πίστιν οὐ προσιέμενοι, γραμματεῖς δὴ μάλιστα καὶ Φαρισαῖοι. Καὶ γοῦν ἔφη διὰ φωνῆς τοῦ Δαβίδ· « Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. » Ἐπιστέλλει δὲ αὐτοῖς καὶ ὁ Παῦλος λέγων· « Διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς C ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. » Ὅτι δὲ ἦσαν καὶ τυφλοὶ, πιστώσεται λέγων αὐτὸς ὁ Σωτήρ· « Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέψωσι· καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. » Ἀνέβλεψαν μὲν γὰρ τὰ ἔθνη, καίτοι μὴ ὁρῶντά ποτε. Τετύφλωνται δὲ τῶν Ἰουδαίων οἱ δῆμοι, καίτοι βλέποντες τὸ Χριστοῦ μυστήριον τό γε ἧκον εἰς τὴν διὰ νόμου μυσταγωγίαν. Ταλανίζει τοίνυν τὴν Ἱερουσαλὴμ, καί φησιν· Οὐαὶ πόλις Ἀριὴλ, ἣν Δαβὶδ ἐπολέμησεν· Ἀριὴλ δὲ αὐτήν φησιν, ὀνόματι κεχρημένος τῷ κατὰ συνήθειαν τοῖς πολλοῖς. Ἑρμηνεύεται μὲν γὰρ Ἀριὴλ, *λέων Θεοῦ*. Ἐπειδὴ δὲ κατὰ πᾶσαν τῶν ἄλλων χωρῶν καὶ ἐθνῶν ἀφορήτους ἐποιεῖτο τὰς ἐφόδους Ἱερουσαλὴμ, νικῶσα διὰ Θεοῦ, καὶ λέοντος δίκην ἁρπάζουσα καὶ σπαράττουσα τοὺς D ἀνταίροντας, τοιαύτην ἔλαχε τὴν ἐπωνυμίαν. Οὐαὶ τοίνυν, φησὶν, ὦ ἀθλία πόλις· ἡ ποτὲ μὲν ὡς λέαινα καταβρυχομένη τῶν ἐθνῶν, περιπεσοῦσα δὲ μετὰ τοῦτο ταῖς οὕτω πικραῖς καὶ ἀνηκέστοις συμφοραῖς. Πεπολέμηκε μὲν γὰρ αὐτὴν πάλαι ὁ Δαβὶδ, ὁ δὲ ἐκ σπέρματος αὐτοῦ γεγονὼς μετ' αὐτὸν, τοῦτ' ἔστι Χριστός. Εἶτά φησι πρὸς αὐτούς· Συναγάγετε γεννήματα ἐνιαυτὸν ἐπ' ἐνιαυτόν· φάγεσθε μὲν γὰρ σὺν Μωάβ. Ἐν δυσὶ γὰρ ὅλοις ἔτεσιν ἅπασαν περινοστῶν τὴν Ἰουδαίαν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ταῖς πανσόφοις ἐχρήσατο διδασκαλίαις, καὶ τὸ θεῖον αὐτοῖς καὶ εὐαγγελικὸν παρετίθει κήρυγμα. Καιροῦ

[44] II Reg. v, 6 seqq. [45] Psal. xvii, 46. [46] Hebr. xii, 12 seqq. [47] Marc. iv, 12.

A τοιγαροῦν, φησὶν, ἐνεστηκότος, καὶ διδόντος τοῦ δύνασθαι τροφὰς συλλέγειν πνευματικὰς, καὶ οἷον εἰς ἀποθήκην σωρεύειν αὐτὰς, εἰς νοῦν καὶ καρδίαν, μὴ νωθροὶ περὶ τοῦτο γένησθε. Πάντα δὲ μᾶλλον ὄκνον ἀποπεμψάμενοι, προθύμως συλλέξατε. Φάγεσθε γὰρ σὺν Μωάβ· ἡ Μωαβιτῶν χώρα γέγονέ ποτε δεισιδαιμονεστάτη, καὶ ἦν ὅλως ἐν αὐτῇ οὐδεὶς, ὁ τῷ κατὰ φύσιν καὶ ἀληθῶς ὄντι Θεῷ προσκυνεῖν ἀνεχόμενος. Οὐκ οὖν ὡς ἀπὸ χώρας μιᾶς τῆς εἰδωλολατρούσης ἅμα τὸ σύμπαν τῶν πλανωμένων πρόσωπον δέχεται, καί φησιν, ὅτι Φάγεσθε γὰρ σὺν Μωάβ. Εἰσκέκληνται γὰρ καὶ τὰ ἔθνη, καὶ κοινὴ γέγονε τροφὴ τοῖς τε ἐξ αἵματος Ἰσραὴλ, καὶ αὐτοῖς δὲ τοῖς πλανωμένοις, ποτὲ τὸ εὐαγγελικὸν καὶ Σωτήριον κήρυγμα. Εἶτα προσεπάγει καί φησι, Ἐκθλίψω γὰρ Ἀριὴλ, ἀποδώσεις δὲ τούτῳ τῷ πρώτῳ. Ἔφη γὰρ, ὅτι Οὐαὶ, πόλις B Ἀριήλ. Εἶτα διὰ μέσου παρενθεὶς τὰ ἐκ τῆς συμβουλῆς πάλιν ἔχεται τοῦ σκοποῦ, καί φησιν· Ἔφην, ὅτι Οὐαὶ, πόλις Ἀριήλ· ἐκθλίψω γὰρ αὐτὴν, καὶ ἔσται αὐτῆς ἡ ἰσχὺς καὶ ὁ πλοῦτος ἐμοὶ, τοῦτ' ἔστιν, Ἐγὼ πάντα τὸν πλοῦτον αὐτῆς, καὶ πᾶσαν τὴν ἰσχὺν λήψομαι· καὶ τοῦτο νοήσεις αἰσθητῶς τε ἅμα καὶ πνευματικῶς. Ὁ μὲν γὰρ ἐπίγειος αὐτῶν κεκένωται πλοῦτος, ἁρπαζόντων δηλονότι τῶν πολιορκούντων αὐτήν. Συντέθραυσται καὶ ἡ πάλαι μεγάλη, καὶ διαβόητος ἰσχὺς, νενίκηνται γὰρ ὑπὸ τῆς τῶν Ῥωμαίων χειρός. Γυμνοὶ δὲ πρὸς τούτῳ γεγόνασι τῶν ἐξ ἀρετῆς αὐχημάτων, καὶ παντὸς ἀγαθοῦ πτωχείαν, ἠῤῥωστηκότες συναποβεβλήκασι τοῖς ἄλλοις, καὶ τῆς ἐν νόμῳ σοφίας τὸν πλοῦτον. Λέγω δὲ, ὅτι Κυκλώσω C ἐπὶ σὲ χάρακα, καθήσω ἐπὶ σὲ πύργους, τὴν γεγενημένην πολιορκίαν κατὰ τῆς Ἱερουσαλὴμ μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν ὑπεμφαίνει. Ἐπειδὴ δὲ γεγόνασιν ἀλάζονες οἱ Φαρισαῖοι, καὶ φωνὰς ἠρεύγοντο κατὰ τοῦ Χριστοῦ δεινάς τε καὶ ἐπηρμένας. Ἔφασκον γάρ· « Ἡμεῖς οἴδαμεν ὅτι Μωσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί. » Ταύτητοί φησιν, ὅτι Ταπεινωθήσονται οἱ λόγοι σου εἰς τὴν γῆν. Καὶ οὐκ αὐτοὶ πάντως οἱ λόγοι τοῦτο πείσονται κατὰ τὸ ἀληθὲς, ἀλλ' οἱ τολμήσαντες εἰπεῖν αὐτοὺς, ἔσονται καταβεβλημένοι, οἱ πάλαι φορτικὰ καὶ ὑπέρογκα λαλεῖν εἰωθότες ὑπενηνεγμένοι τοῖς ἐκ τοῦ πολέμου κακοῖς. Σμικρὰν καὶ ἀσθενεστάτην ἕξουσι τὴν φωνὴν, φθέγξονται δὲ οὕτως, καθάπερ ἀμέλει καὶ οἱ ἐκ τῆς γῆς φωνοῦντες, τοῦτ' ἔστιν, οἱ νεκυομάντεις, οἳ ἐπειδὰν προσποιοῦνται ψυχὴν ἀνενεγκεῖν, ἰσχνόν τι καὶ τετριγὸς ὑποφωνοῦσι μόλις, ὡς αὐτῆς ἠρέμα καὶ ἀπὸ τῆς γῆς λαλούσης ψυχῆς.

Moab. Erat autem quondam Moabitarum regio superstitiosissima, et inter eos nemo prorsus exstitit, qui natura et vere Deum adorare sustineret. Ex una itaque regione idololatrica quodammodo, simul omnem errantium personam intelligit, et inquit: Comedetis enim cum Moab id est, cibos a Christo omnium Servatore appositos, seu germina nimirum sub intelligentiam cadentia comedetis cum Moab. Vocatæ namque sunt et gentes, et communis cibus, tum Israelitico ortis sanguine, tum aliis quondam errantibus, facta est evangelica et salutaris prædicatio. Deinde adjungit et inquit: Affligam enim Ariel, expones etenim hoc de primo. Dixerat enim: Væ civitati Ariel. Tum interpositis illis de consilio, rursus prosequitur institutum, et inquit, Dixi: Væ civitati Ariel: affligam enim eam, et erit ejus fortitudo et divitiæ meæ, id est, Ego omnes ejus divitias et omnem fortitudinem tollam; quod intelliges sensu, tum externo tum spirituali. Terrenæ namque divitiæ eorum emunctæ et exinanitæ sunt, diripientibus videlicet his qui eam obsidebant. Confracta est etiam magna olim et celebrata fortitudo, quippe qui victi sunt manu Romanorum. Ad hæc nudati sunt virtutis ornamentis, omniumque bonorum laborantes penuria, simul cum aliis etiam legalis sapientiæ divitias abjecerunt. Dico præterea illud: Cingam te vallo, et ponam circum te turres: obsidionem Jerosolymitanam, **409** quæ facta est post crucem Salvatoris, ostendere. Cum autem arrogantes essent Pharisæi, et vocem contra Christum immanem et superbam jactarent, nam dictitabant: « Nos scimus Moysi locutum esse Deum, hunc autem nescimus unde sit [44]: » Hinc ait: Deprimentur sermones tui in terram. Nec tamen hoc eveniet omnino ac vere ipsis sermonibus, sed qui ausi sunt illos loqui, hi dejicientur: qui olim dura et fastuosa loqui solebant, hi belli malis exponentur. Hi exilem et debilissimam vocem habebunt, et ita sonabunt, ut qui certe e terra sonum edunt, nimirum ut necromantæ, qui evocatis mortuis fundunt oracula: qui cum fingunt se animam educere, subtile quid et stridulum vix mussitant, quasi ipsa anima leniter et e terra loquente.

D *Καὶ ἔσται ὡς κονιορτὸς ἀπὸ τροχοῦ ὁ πλοῦτος τῶν ἀσεβῶν, καὶ ὡς χοῦς φερόμενος, καὶ ἔσται ὡς στιγμὴ παραχρῆμα παρὰ Κυρίου Σαβαώθ.*

VERS. 5. *Et erunt sicut pulvis de rota divitiæ impiorum, et sicut lanugo quæ rapitur, et erit sicut punctus repente a Domino Sabaoth.*

Ἀσεβεῖς ὀνομάζει τοὺς εἰς Χριστὸν παροινήσαντας, καὶ σταυρῷ παραδόντας τὸν Λυτρωτὴν, καὶ τῆς σωτηρίας τὸν χορηγὸν θανάτῳ περιβαλεῖν τολμήσαντας, εἰ καὶ ἀνεβίω πάλιν ὡς Θεὸς ἐν σαρκί. Τοῦτον τὸν πλοῦτον ὡς κονιορτὸν ἀποιχήσεσθαί φησιν, ἀποπτῆναι δὲ καὶ ὡς χοῦν ἀπὸ τροχοῦ· καὶ οὐκ ἐν μήκει χρόνου, ἀλλ' ἐν βραχεῖ, καὶ οἷον ἐν στιγμῇ. Καὶ

Impios nominat qui in Christum debacchati sunt, et cruci tradiderunt Redemptorem, principemque salutis morti tradere audebant, etsi denuo ut Deus, in carne revixerit. Has divitias velut in pulverem abituras ait, et instar pulveris de rota avolaturas, et non longo tractu temporis, sed brevi, et tanquam in puncto. Hanc autem rem a Domino Sabaoth

[44] Joan. IX, 29.

futuram, id necessario indicavit, ne qua illos vana spes ludat, dum se effugituros exspectant.

VERS. 6. *Visitatio enim erit cum tonitru et commotione et voce magna, turbo irruens, et flamma ignis devorans.*

Quidnam illud significare velit: A Domino Sabaoth, explanat eum visitationem quamdam in illos fore dicit. Neqnaquam enim despiciet Deus et Pater, impietatis crimen in Filium. Sed excitabit, inquit, velut tonitru quoddam, et commotionem, et tempestatem, et flammam ignis quæ belli devorat potentiam.

VERS. 7, 8. *Et erunt ut somniantis in somno divitiæ gentium omnium, quæ militaverunt contra Jerusalem, et omnes qui congregati sunt contra eam, et qui affligebant: erunt sicut qui in somno bibunt, et edunt, et cum surrexerint, vanum eorum est insomnium. Et* **410** *quemadmodum somnians sitibundus videtur sibi bibere, et cum surrexerit, adhuc sitit, animaque ejus frustra sperat, sic erunt divitiæ omnium gentium, quotquot militarunt contra montem Sion.*

Cum dicit opes impiorum, id est, in Christum debacchantium, fore tanquam cinerem, et tanquam pulverem de rota, neque vastatores ipsos tuta et secura possessione fruituros confirmat. Qui enim, inquit, sic divites evaserunt, perinde erunt, ac si per visum nocturnum se ditatos esse crederent, cum tamen nihil omnino lucri habeant. Nam evigilantes somniorum agnoscent fallaciam, et quod verum esse autumabant, id omnino umbram esse et opinionem invenient. Id quod etiam videre licet in his, qui vel fame vel siti tenentur. Appetit enim corporis natura necessario quæ sui sunt, et licet interdum somnus mentem oblectet, nihilo secius tamen cupiditate rerum earum quas habere vult, inflammatur. Hinc, credo, tenues quædam rei imaginationes ac phantasiæ ceu vapores quidam mentem obsident ac circumcursant, sed erit vana et prorsus inutilis opinio, ubi somnus deinceps ab oculis discesserit. Hæ sunt, inquit, divitiæ omnium gentium, quotquot bellum gerunt contra montem Sion. Quando autem vel quomodo hæc fieri contigerit, omitto dicere.

VERS. 9, 10. *Dissolvimini et obstupescite, et inebriamini, non sicera, neque vino, quia potavit vos Dominus spiritu compunctionis, et claudet oculos eorum, et prophetarum eorum, et principum eorum, qui vident sculptilia.*

Pergit porro cum divinorum oraculorum contemptoribus, et divinam et cœlestem, evangelicam, inquam, prædicationem pro nihilo ducentibus, de integro disputare. Quanquam enim gratiam per Christum lucrifacere, idque facillime, potuissent, si mentis cervicem sequacem subdidissent: hoc qui-

A ὅτι τὸ χρῆμα παρὰ Κυρίου Σαβαὼθ συμβήσεται, διαμεμήνυκεν ἀναγκαίως, ἵνα μή τις ἐλπὶς αὐτοὺς διαπαίζῃ κενὴ προσδοκῶντας ὅτι καὶ διαφεύξονται.

Ἐπισκοπὴ γὰρ ἔσται μετὰ βροντῆς καὶ σεισμοῦ, καὶ φωνῆς μεγάλης· καταιγὶς φερομένη, καὶ φλὸξ πυρὸς κατεσθίουσα.

Τί ἂν βούλοιτο δηλοῦν τὸ, Παρὰ Κυρίου Σαβαὼθ, διατρανοῖ λέγων, ὡς ἔσται τις ἐπ' αὐτοῖς ἐπισκοπή. Περιόψεται γὰρ ὁ Θεὸς οὐδαμῶς καὶ Πατὴρ τῆς εἰς τὸν Υἱὸν δυσσεβείας τὰ ἐγκλήματα. Ἀλλ' ἐποίσει, φησὶ, καθάπερ τινὰ βροντὴν, καὶ σεισμὸν, καταιγίδα, καὶ φλόγα πυρὸς κατεσθίουσαν τοῦ πολέμου τὴν ἔφοδον.

Καὶ ἔσται ὡς ὁ ἐνυπνιαζόμενος ἐν ὕπνῳ, ὁ πλοῦτος τῶν ἐθνῶν πάντων, ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἱερουσαλὴμ, καὶ πάντες οἱ συνηγμένοι ἐπ' αὐτὴν, καὶ θλίβοντες αὐτήν· καὶ ἔσονται ὡς ἐν ὕπνῳ πεινῶντες καὶ ἐσθίοντες, καὶ ἐξαναστάντων μάταιον αὐτῶν τὸ ἐνύπνιον. Καὶ ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς πίνων καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος πάντων τῶν ἐθνῶν, ὅσοι ὑπεστράτευσαν ἐπὶ τὸ ὄρος τὸ Σιών. B

Ὡς κονιορτὸν ἔσεσθαι λέγων, καὶ ὡς χοῦν ἀπὸ τροχοῦ τὸν πλοῦτον τῶν ἀσεβῶν, δῆλον δὲ ὅτι τῶν εἰς Χριστὸν πεπαρῳνηκότων, οὐδὲ αὐτοῖς τοῖς καταδῃώσασιν ἐν ἀσφαλεῖ καὶ βεβαίᾳ γενήσεσθαι κτήσει διισχυρίζεται. Ἔσονται γὰρ οὕτω πεπλουτηκότες, φησὶν, ὡς ἂν εἰ καί τινες τῶν ἐν ὁράσει νυκτερινῇ C καταπλουτῆσαι μὲν οἰηθέντων, κεκερδακότων δὲ παντελῶς οὐδέν. Ἔξυπνοι γὰρ γεγονότες, τὴν τῶν ὀνειράτων ἀπάτην ἐπιγνώσονται, καὶ ὅπερ εἶναι νενομίκασιν ἀληθὲς τοῦτο δὴ πάντως εὑρήσουσι σκίαν οὖσαν, καὶ δόκησιν. Συμβαίνει δέ τι τοιοῦτον, καὶ ἐπὶ τῶν ἢ πείνῃ τυχὸν ἢ δίψει κατισχημένων ἰδεῖν· ὀρεκτιᾷ μὲν γὰρ ἡ τοῦ σώματος φύσις ἀναγκαίως τὰ ἑαυτῆς ὕπνου τε μὴν ἔσθ' ὅτε τὸν νοῦν καταχηλήσαντος· οὐδὲν ἧττον ἡ φύσις ἐν ἐπιθυμίαις ἐστὶν ὧν ἂν βούλοιτο τυχόν. Ἐντεῦθεν, οἶμαί που, καθάπερ τινὲς ἀτμοὶ καὶ φαντασίαι λεπταὶ τοῦ πράγματος περιθέουσι τὸν νοῦν, ἀλλ' ἔσται ματαία καὶ ἀνόνητος παντελῶς ἡ δόκησις, ὕπνου λοιπὸν τῶν ὀμμάτων ἀπονοστήσαντος. Οὕτως ἔστω, φησὶν, ὁ D πλοῦτος πάντων τῶν ἐθνῶν, ὅσοι ἐπεστράτευσαν ἐπὶ τὸ ὄρος τὸ Σιών. Πότε δὲ ἢ πῶς γενέσθαι ταυτὶ συμβέβηκε, παρείσθω λέγειν.

Ἐκλύθητε, καὶ ἔκστητε, καὶ κραιπαλήσατε, οὐκ ἀπὸ σίκερα, οὐδὲ ἀπὸ οἴνου, ὅτι πεπότικεν ὑμᾶς Κύριος πνεύματι κατανύξεως, καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ τῶν προφητῶν αὐτῶν, καὶ τῶν ἀρχόντων αὐτῶν οἱ ὁρῶντες τὰ γλυπτά.

Προσδιαλέγεται πάλιν τοῖς τῶν θείων θεσπισμάτων καταφρονηταῖς, καὶ παρ' οὐδὲν ἡγεῖσθαι μεμελετηκόσι τὸ θεῖόν τε καὶ οὐράνιον κήρυγμα, φημὶ δὴ τὸ εὐαγγελικόν. Καίτοι γὰρ παρὸν αὐτοῖς, καὶ σφόδρα ἑτοίμως τῆς διὰ Χριστοῦ σωτηρίας ἀποκερδᾶναι τὴν χάριν εὐήνιον τὸν τῆς διανοίας ἐπάγουσιν αὐ-

χένα. Τοῦτο μὲν οὖν οὐχ ἔδρων οἱ δείλαιοι, περιαυτιζόμενοι δὲ καὶ μεγάλα φρονοῦντες ἐφ' ἑαυτοῖς ἀνέδην ἔφασκον· « Ἡμεῖς τοῦ Μωσέως ἐσμὲν μαθηταί· ἡμεῖς οἴδαμεν ὅτι Μωσῇ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. » Ἀλλ' ἤκουον Χριστοῦ λέγοντος ἐναργῶς· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. » Καὶ πάλιν· « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ. » Ἐπειδὴ δὲ καίτοι τῶν οὕτω σεπτῶν ἀκροώμενοι λόγων γεγόνασι μὲν κατ' οὐδένα τρόπον ἑαυτῶν ἀμείνους ἢ σοφώτεροι· σκληροὶ δὲ καὶ ἀκαμπεῖς κατεφωρῶντο λοιπόν. Τότε δὴ τότε καὶ μάλα εἰκότως κατελήφθησαν ὑπὸ τῆς σκοτίας ἐκλέλυνται δὲ τρόπον τινὰ, καὶ φρενὸς ἐξέστησαν ἀγαθῆς, καὶ καθάπερ ἐξ οἴνου κεκραιπαληκότες πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων εὐκόλως καταδεδόνηνται. Τοιοῦτόν τι σημαίνων φησὶ πρὸς αὐτούς· Ἐκλύθητε, καὶ ἔκστητε καὶ κραιπαλήσατε, οὐκ ἀπὸ σίκερα, οὐδ' ἀπὸ οἴνου. Οἶδε γὰρ, οἶδε καταμεθύσκειν τὸν νοῦν, οὐχὶ πάντη τε καὶ πάντως οἶνος ὁ αἰσθητὸς, ἤγουν τὸ μεθύσκον κέρασμα, τουτ' ἔστι, τὸ σίκερα. Συμφοραὶ δὲ μᾶλλον τοῦτο δρῶσι νεανικώτερον, καὶ οἷά τις πώρωσις ἐκ θείας ὀργῆς τῇ διανοίᾳ συμβαίνουσα, τοῦτο γὰρ, οἶμαι, διδάσκει λέγων· Καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ τῶν προφητῶν αὐτῶν, καὶ τῶν ἀρχόντων αὐτῶν οἱ ὁρῶντες τὰ γλυπτά. Οἱ γὰρ πάλαι, φησὶ, διὰ τῆς τοῦ νόμου παιδαγωγίας σεσοφωμένοι, καὶ τῆς ἀληθείας τὸ κάλλος ὡς ἐν ἀμυδραῖς ἔτι καταθεώμενοι ταῖς σκιαῖς, καὶ συνιέντες ἐκ μέρους τῶν ἁγίων προφητῶν τοὺς λόγους, καὶ αὐτοῦ δὴ τούτου στερηθήσονται. Καμμύσει γὰρ τοὺς τῆς διανοίας αὐτῶν ὀφθαλμοὺς, καίτοι πάλαι βλέποντας τὰ γλυπτὰ [Sept. κρυπτὰ, non γλυπτά]. Πείσεται δὲ τοῦτο, φησὶν, ἄρχων, καὶ προφήτης, τουτ' ἔστιν, ἡγούμενος καὶ ἱερέως. Ὠνόμαζον γὰρ προφήτας τοὺς τῶν ἁγίων προφητῶν πολυπραγμονοῦντας τὰ προφητῶν. Ἦσαν δέ τινες παρὰ τοῖς Ἰουδαίοις νομομαθείας ὑπόληψιν ἔχοντες καθηγηταὶ καὶ διδάσκαλοι, καθάπερ ἀμέλει καὶ Γαμαλιὴλ, περὶ οὗ πολὺς παρ' αὐτοῖς ὁ λόγος ἦν.

Καὶ ἔσται ὑμῖν πάντα τὰ ῥήματα ταῦτα, ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου τούτου, ὃ ἐὰν δώσουσιν αὐτὸ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα, λέγοντες· Ἀνάγνωθι ταῦτα, καὶ ἐρεῖ· Οὐ δύναμαι ἀναγνῶναι, ἐσφράγισται γάρ. Καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα, καὶ ἐρεῖ αὐτῷ· Ἀνάγνωθι τοῦτο, καὶ ἐρεῖ· Οὐκ ἐπίσταμαι γράμματα.

Ἔφη που πρὸς Ἰουδαίους ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· « Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ὑμεῖς ζωὴν αἰώνιον ἔχειν. Καὶ αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε. » Οὐκοῦν εἰκῇ πεπονήκασιν ἄνω τε κάτω τὴν διὰ Μωσέως ἐντολὴν ἀειλογοῦντες οἱ ἐξ Ἰσραὴλ καὶ προσποιούμενοι μὲν τῶν νομικῶν γραμμάτων εἰς νοῦν καὶ καρδίαν οὐκ ἀγεννῆ συλλέξασθαι σύνεσιν, οὐ μὴν ἐπιζητοῦντες Χριστὸν, καίτοι τοῦ νόμου τὸ αὐτοῦ λαλοῦντος μυστήριον. Ἤκουον

A dem minime factitarunt miseri, sed præfidentes sibi, et de se magna sentientes, impudenter dixerunt: « Nos Moysis sumus discipuli; nos scimus Moysi locutum esse Deum, hunc autem nescimus unde sit [49]. » At Christum diserte dicentem audiverunt: « Ego sum lux mundi [50]. » Et rursus: « Quoad lucem habetis, ambulate in luce, ne **411** vos tenebræ comprehendant [51]. » Postquam autem, etsi hæc gravissime dicta audiverunt, facti sunt nulla ratione meliores seipsis, vel sapientiores, sed duri et præfracti postea deprehensi sunt: tunc quidem, tunc merito tenebris comprehensi sunt, et quodammodo defecerunt, et quasi vino temulenti in omnem turpitudinem facile deturbati sunt. Tale quid significat, cum ait illis: Deficite et obstupescite, et inebriamini, non sicera neque vino. B Etenim potest quidem, potest vinum hoc quod sensibus est subjectum, vel etiam illa inebrians mistura, sicera scilicet, mentem inebriare, sed non omnino ac in totum; sed calamitates et velut excæcatio quædam ex divinæ iræ cogitatione obveniens, hoc citius efficiunt et efficacius. Hoc enim, puto, docet, aiens: Et claudet oculos eorum, et prophetarum suorum, et principum suorum, qui vident sculptilia. Qui enim, inquit, olim legali pædagogia instituti tum erant, et veritatis pulchritudinem velut in obscuris abhuc umbris aspexerunt, et ex parte sermones sanctorum prophetarum intellexerunt, etiam hoc ipso, inquam, privabuntur. Occludet enim mentis eorum oculos, etiamsi viderint C olim sculptilia. Eveniet autem istuc, inquit, principi et prophetæ, id est, præfecto et sacerdoti. Nominarunt enim prophetas eos qui sanctorum prophetarum prophetias summa contentione indagabant. Erantque apud Judæos quidam, legis specie tenus studiosi præceptores et doctores, quemadmodum certe et Gamaliel, de quo multus apud eos pervagabatur sermo.

VERS. 11, 12. *Et erunt vobis omnia ista verba, velut sermones libri signati hujus, quem si homini scienti litteras tradant, dicentes: Lege hæc, dicet: Non possum legere, signatus est enim. Et dabitur liber hic in manus hominis non scientis litteras, D dicetque illi: Lege hunc, et dicet: Non scio litteras.*

Dixit Judæis Dominus noster Jesus Christus: « Scrutamini Scripturas, quia in illis putatis vos habere vitam æternam, et illæ sunt quæ testificantur de me. Et non vultis venire ad me ut vitam habeatis [51*]. » Itaque frustra sursum ac deorsum laborarunt Israelitæ, Moysis præcepta semper in ore habentes, fingentes quidem **412** se haud vulgarem legis cognitionem animo et pectore condidisse, cum Christum non inquirant, etsi lux ejus explicet mysterium. Nam et rursus audiverunt: « Si credi-

[49] Joan. IX, 29. [50] Ibid. VIII, 12. [51] Ibid. XII, 35. [51*] Ibid. V, 39, 40

dissetis Moysi, credidissetis mihi : de me enim ille scripsit [52]. » Cum ergo de lege frequens illis esset sermo, nihilo magis tamen eum qui ab ea præditus erat interficerent, honoris erga Moysen nulla ratione habita : obsignata est quodammodo a Deo, quasi liber unus, divinitus afflata Scriptura. Unus enim liber est, tota Scriptura, et ab uno sancto Spiritu prodita : at quomodo est obsignata ? Nec enim qui legere possunt, et litteras norunt, quidquam in eo possunt intelligere : nec etiam si qui nesciunt litteras, in eo quidpiam reconditum cognoscent, sed erit omnibus ex æquo lex obsignata, eo quod sententiarum vim ne hi qui legere scirent assequerentur. Hoc demum voce Davidis ad Deum hymno decantatum est : « Obtenebrentur oculi eorum ne videant, et dorsum eorum semper incurva [52*]. »

VERS. 13. *Et dixit Dominus : Appropinquat mihi populus iste, labiis suis honorant me, cor autem eorum procul abest a me. Frustra vero colunt me, docentes mandata hominum et doctrinas.*

Judæi enim mandatorum legis profunditatem perspicere se profitentes, et in ore ac lingua mandatum olim patribus descriptum habentes, ex hoc solo divini cultus vim metiebantur : eorum autem, quæ oraculo tradita sunt, omnino nihil præstabant ; sed, contempta velut legislatoris voluntate, ad doctrinas et hominum mandata convertebantur. Nam traditiones quasdam vanas de novo sibimet fabricantes, pios se putabant et bonos : at ipsis factis deprehendebantur a charitate in Deum imprudenter resiliisse. Quod ad legem igitur lingua tenus habitam attinet, se vicinos existimabant. Sed quia illam implere nolebant, deprehensi sunt recessisse, et extranei ab illo fuisse. Cæterum adhæsisse illos magis hominum mandatis, vel inde fieri posset perspicuum. « Accesserunt enim aliquando ad Servatorem Scribæ et Pharisæi dicentes : Quare discipuli tui transgrediuntur **413** mandatum seniorum ? Non enim lavant manus, cum panem edunt. Quibus dixit : Quare et vos transgredimini mandatum Dei ? Deus namque dixit : Honora patrem tuum et matrem tuam ; et qui maledicit patri vel matri, morte moriatur. Vos autem dicitis : Qui dicit patri vel matri, Donum quod ex me est, cedet in commodum tuum, nec honorabit patrem vel matrem ; et irritum fecistis mandatum Dei propter traditionem vestram [53]. » Adduxitque huc dictum hoc quod vobis præ manibus est, nam ait : « Hypocritæ, bene prophetavit Isaias de vobis, dicens : Populus iste labiis me honorat [53*]. » Cum ergo pædagogum contempsissent, et legem Dei nullo loco dignati, ad doctrinas et mandata hominum conversi fuissent, hinc justissime divinitus inspiratæ Scripturæ liber obsigna-

γὰρ πάλιν· « Εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοὶ, περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Οὐκοῦν ἐπειδήπερ οὐ πολὺς ἦν παρ' αὐτοῖς ὁ τοῦ νόμου λόγος, μᾶλλον δὲ ἀπεκτόνασι τὸν δι' αὐτοῦ προαναφωνούμενον, καὶ τῆς εἰς Μωσέα τιμῆς ἀλογήσαντες κατεσφραγίσθη τρόπον τινὰ παρὰ Θεοῦ, καθάπερ βιβλίον ἓν ἡ θεόπνευστος Γραφή. Ἓν γὰρ ἡ πᾶσά ἐστι καὶ λελάληται δι' ἑνὸς τοῦ ἁγίου Πνεύματος· κατεσφραγίσθη δὲ τινά τρόπον; Οὔτε γὰρ οἱ ἀναγνῶναι δυνάμενοι, καὶ εἰδότες γράμματα συνιέναι τι δύνανται τῶν ἐν αὐτῷ, οὔτε μὴν καὶ εἰ μή τις εἰδείη γράμματα γνώσεταί τι τῶν κεκρυμμένων ἐν αὐτῷ· ἀλλ' ἔσται πᾶσιν ἐν ἴσῳ τρόπῳ κατεσφραγισμένος ὁ νόμος, ὡς ἄληπτον παντελῶς, καὶ τοῖς τὴν λέξιν εἰδόσι, τὴν τῶν ἐννοιῶν γενέσθαι δύναμιν. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς τοῦ Δαβὶδ πρὸς τὸν Θεὸν ὑμνούμενον· « Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκυψον. »

Καὶ εἶπε Κύριος· Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι, καὶ τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. Μάτην δὲ σέβονταί με, διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας.

Ὑποκρινόμενοι γὰρ Ἰουδαῖοι τῶν νομικῶν ἐνταλμάτων τὸ βάθος ὁρᾷν, καὶ ἐπὶ γλώττης ἔχοντες τὴν πάλαι διωρισμένην τοῖς πατράσιν ἐντολὴν, μεμετρήκασιν ἐν τούτῳ καὶ μόνῳ τῆς πρὸς Θεὸν λατρείας τὴν δύναμιν. Ἔδρων μὲν γὰρ τῶν τεθεσπισμένων τὸ σύμπαν οὐδὲν, ἀτιμάσαντες δὲ ὥσπερ τὴν τοῦ νομοθέτου βούλησιν ἐτράποντο πρὸς διδασκαλίαν, καὶ ἀνθρώπων ἐντάλματα. Παραδόσεις γάρ τινας εἰκαίας καινοτομοῦντες ἑαυτοῖς ᾤοντο μὲν εἶναι φιλόθεοί τε καὶ ἀγαθοὶ, ἠλέγχοντο δὲ δι' αὐτῶν τῶν πραγμάτων τῆς εἰς Θεὸν ἀγάπης ἀσυνέτως ἀποπηδήσαντες. Οὐκοῦν τό γε ἧκον εἰς τὸ ἐπὶ γλώττης ἔχειν τὸν νόμον, ἐγγὺς ἑαυτοὺς ἐνόμιζον εἶναι Θεοῦ, διὰ δέ γε τοῦ μὴ ἀνέχεσθαι πληροῦν αὐτὸν, ἀποφοιτῶντες ἠλέγχοντο, καὶ ἔξω που γεγονότες αὐτοῦ. Ὅτι γὰρ τοῖς ἀνθρώπων ἐντάλμασι προσέκειντο μᾶλλον, κἀντεῦθεν ἂν γένοιτο καταφανές· « Προσῆεσαν μὲν γάρ ποτε τῷ Σωτῆρι λέγοντες οἱ Γραμματεῖς, καὶ οἱ Φαρισαῖοι· Διατί οἱ μαθηταί σου παραβαίνουσι τὴν ἐντολὴν τῶν πρεσβυτέρων; Οὐ γὰρ νίπτονται τὰς χεῖρας ὅτε ἄρτον ἐσθίουσι. Καὶ πρός γε ταῦτα ἔφασκεν ὁ Κύριος· Διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ; Ὁ γὰρ Θεὸς εἶπε· Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου· καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. Ὑμεῖς δὲ λέγετε· Ὃς ἂν εἴπῃ τῷ πατρὶ, ἢ τῇ μητρὶ, Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ, ἢ τὴν μητέρα· καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. » Προσεπήνεγκε δὲ τούτοις τὸ προκείμενον ὑμῖν ῥητόν· ἔφη γὰρ, ὅτι « Ὑποκριταὶ, καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν λέγων· Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ. » Οὐκοῦν ἐπειδήπερ τὸν παιδαγωγὸν ἀτιμάσαντες, καὶ τοῦ μηδενὸς ἀξιώσαντες λόγου τὸν παρὰ Θεοῦ νόμον ἐτράποντο

[52] Joan. v, 46. [52*] Psal. LXVIII, 24. [53] Matth. xv, 2 seqq. [53*] Marc. VII, 15.

πρὸς διδασκαλίας καὶ ἐντολὰς ἀνθρώπων, κατεσφραγίσθη ταύτητοι, καὶ σφόδρα εἰκότως τὸ τῆς θεοπνεύστου Γραφῆς βιβλίον. Οὐ γὰρ ἦν ἀκόλουθον τὴν διὰ τῆς θεοπνεύστου Γραφῆς πλουτῆσαι σύνεσιν τοὺς καταφρονοῦντας αὐτῆς.

Διὰ τοῦτο ἰδοὺ προσθήσω τοῦ μετατεθῆναι τὸν λαὸν τοῦτον, καὶ μεταθήσω αὐτούς, καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω.

Μετεκομίσθη γὰρ ὥσπερ ὁ τῶν Ἰουδαίων δῆμος κατὰ πολλούς, οἶμαι, τρόπους. Κλῆρος μὲν γὰρ ὠνομάσθη Θεοῦ, μερίς τε αὐτοῦ καὶ σχοίνισμα· μετετέθη δὲ ὥσπερ. Οὐ γὰρ ἔτι κλῆρος κεχρημάτικεν αὐτῷ, μερὶς δὲ γέγονεν ἀλωπέκων, καὶ δέδοται τῷ Σατανᾷ, καὶ τοῖς ἀκαθάρτοις πνεύμασιν εἰς τροφήν, μετετέθη δὲ καὶ ἀπό γε τοῦ φρονεῖν ὀρθῶς, εἰς ἀδόκιμον νοῦν B ἐκ δόξης εἰς ἀτιμίαν, ἐξ ἰσχύος εἰς ἀσθένειαν, ἐκ τοῦ εἶναι σοφὸς εἰς ἐσχάτην ἀβελτηρίαν. Ἀπολῶ γάρ, φησί, τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω. Εἶναι μὲν γὰρ ἐδόκουν σοφοί τε καὶ πολυγνώμονες οἱ Γραμματεῖς τε καὶ οἱ Φαρισαῖοι, νομομαθείας ἔχοντες δόξαν, ἀλλὰ κέκρυπται παρὰ Θεοῦ, καὶ μονονουχὶ συνεστάλη τῶν σοφῶν ἡ σύνεσις, τοῦτ' ἔστιν, ὁ νόμος, ἤγουν ἡ θεόπνευστος Γραφή.

Οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες, καὶ οὐ διὰ Κυρίου· οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν τῷ σκότει τὰ ἔργα αὐτῶν, καὶ ἐροῦσι· Τίς ἡμᾶς ἑώρακε; καὶ τίς ἡμᾶς γνώσεται ἢ ἃ ἡμεῖς ποιοῦμεν;

C Ὅτε ποινὴν καὶ δίκην καθορίζει τινῶν ὁ τῶν ὅλων Θεός, εὐθὺς ἐπιφέρει τὰς τοῦ πράγματος αἰτίας, καὶ ἵστησιν ἐναργῆ τὰ τῶν πεπονθότων ἐγκλήματα, ἵνα καὶ δίκαιος ὁρῷτο πάντα κολάζων ἐν δίκῃ. Ἔφη τοίνυν ὡς ἀσύνετοι παντελῶς ἔσονται τῶν Ἰουδαίων οἱ δῆμοι κατεσφραγισμένου τοῦ νόμου, καὶ ἁπάσης ἐξῃρημένης τῆς ἐν αὐτοῖς συνέσεως ἀπομεῖναι τυφλοὺς νοητῶς δηλονότι. Ποῖα τοιγαροῦν τὰ ἐγκλήματα, καὶ ἐπὶ τίσιν αὐτοῖς τὸ ἔν γε τούτῳ κατολισθεῖν συμβέβηκε διατρανοῖ παραχρῆμα. Πλεῖσται γὰρ ὅσαι κατὰ Χριστοῦ γεγόνασιν αἱ παρ' αὐτῶν σκέψεις, καὶ ἀπᾴδουσαι Θεῷ. Τοῦτο γάρ, οἶμαι, ἐστι τό, οὐ διὰ Κυρίου· καὶ δὴ καὶ ᾤοντο κατὰ σφᾶς αὐτοὺς βουλεύεσθαι μὲν λεληθότως, καὶ ἐγχειρημάτων ἅπτεσθαι πικρῶν ὡς τάχα που καὶ λέγειν, Τίς ἡμᾶς D ἑώρακεν, ἢ τίς γνώσεται ἃ ἡμεῖς ποιοῦμεν; Ἀλλ' ἠγνόησαν ὅτι τὸν θεῖόν τε καὶ ἀκήρατον νοῦν οὐκ ἂν διαλάθοι βουλή, καὶ σκέψις ἀνθρώπου πικρά, καὶ ἐγχειρημάτων δύναμις, κἂν εἰ πράττοι τὸ τυχὸν ἐν σκότει καὶ κεκρυμμένως. Κατεμισθοῦντο μὲν γὰρ τὸν προδότην Ἰούδα, μονονουχὶ λέγοντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι. Καὶ δὴ σταυρῷ παρέδωσαν, καὶ τό γε ἧκον ἐπ' αὐτοῖς ἀπεκτόνασι τὸν ἀρχηγὸν τῆς ζωῆς· ἐγηγερμένῳ δὲ πάλιν ἐκ νεκρῶν ἐπεφύοντο δεινοὶ καὶ λεληθότως ἔδρων τὰ ἐξ ἀνοσίας τε καὶ βασκάνου φρενός. Ἐγηγέρθαι γὰρ γνόντες αὐτόν, ἀργύρια ἱκανὰ δεδώκασι τοῖς στρατιώταις τοῖς τοῦ τάφου φρουροῖς, ἵνα εἴπωσιν ὅτι οἱ μαθηταὶ αὐτοῦ διὰ νυκτὸς λαθόντες ἔκλεψαν αὐτόν.

A tus est. Non enim consentaneum erat cognitione Scripturæ divinitus aspiratæ ditari eos, qui illam despectui haberent.

VERS. 14. *Propter hoc ecce rursus transferam populum istum, et transferam illos; et perdam sapientiam sapientum, et intelligentiam intelligentium abscondam.*

Transportatus enim veluti erat Judaicus populus, multis, ut mihi videtur, modis. Nam vocabatur sors Dei et portio ejus et funiculus, at translatus est quodammodo. Non enim ultra appellatus est ejus sors; sed vulpium portio factus est, et Satanæ immundisque spiritibus in cibum datus. Verum translatus est a recto sensu in mentem reprobam, a gloria in ignominiam, a fortitudine in infirmitatem, a sapientia in extremam stultitiam. Perdam enim, inquit, sapientiam sapientum, et intelligentiam intelligentium abscondam. Videbantur nimirum Scribæ et Pharisæi sapientes et valde cordati, scientiæ legis opinionem consecuti: ac a Deo abscondita est et tantum non coarctata sapientum intelligentia, id est, lex seu Scriptura divinitus inspirata.

VERS. 15. *Væ his qui profundum consilium capiunt, et non per Dominum; qui in abscondito consilium capiunt, et quorum opera erunt in tenebris, et dicent: Quis nos vidit? aut quis nos cognoscet, aut quæ nos facimus?*

Quando pœnam et supplicium quibusdam constituit universorum Deus, statim 414 infert hujusce rei causas, et eorum quibus hæc acciderunt crimina plana facit, ut et justus appareat is, qui omnia pro justitia non punit. Dicebat igitur imprudentem omnino futurum Judæorum populum lege obsignata: et omni eorum cognitione sublata, mansurum cæcum, mente videlicet et intelligentia. Qualia itaque crimina sint, et de quibus causis illis contigerit ut huc prolaberentur, mox explanat. Plurima eorum contra Christum exstiterunt consilia, et a Deo dissentientia. Hoc nimirum, opinor, est illud, Non per Dominum. Quin et cogitarunt apud se clam consilia inire, et res arduas suscipere, ut etiam dicant: Quis nos vidit? aut quis sciet quæ nos facimus? At ignorarunt consilium cogitationemque hominis acutam et moliminum potentiam non posse divinam et incorruptam mentem latere, etsi ea fortassis in tenebris et occulte faciant. Conduxerant enim proditorem Judam, tantum non dicentes: Ligemus hunc justum, quia inutilis est nobis. Et sane cruci tradiderunt, quantumque in ipsis erat, principem vitæ interfecerunt, et excitato e mortuis rursus, insultarunt acerbi, hæcque præstiterunt clam ex impietate et animo malevolo. Cum enim excitatum illum fuisse cognovissent argenteos sat multos dederunt militibus sepulcri custodibus, uti dicerent, discipulos ejus noctu venisse et furatos fuisse illum. Væ igitur, inquit,

his qui solent ea consilia inire, non per Dominum, sed veluti in Beelzebul.

VERS. 16. *Nonne ut lutum figuli reputabimini? Nunquid dicet figmentum fictori, Non tu me finxisti? aut opus ei qui fecit: Non tu me fecisti?*

Cum dixisset: Transferam populum istum, hisce verbis prorsus penitusque ostendit hanc rem se emendaturum, et quidem facile citra laborem, cum ait, transformandos esse ipsos prout voluerit is qui condidit, quemadmodum certe opus manibus figuli fabrefactum. Cujusmodi est etiam quod propheta Jeremias docuit, dicens: « Surge enim, » inquit, » et descende in domum figuli, et ibi audies sermones meos. Et descendi in domum figuli, et ecce ille faciebat opus super lapides, et cecidit vas quod ipse fecit manibus suis: et rursum fecit ex illo vas alterum, quomodo placuit ei
415 facere. Et dixit Dominus ad me: Nonne, ut figulus hic, potero facere vos, domus Israel? Ecce ut lutum figuli vos estis in manibus meis [34]. » Transformat enim facile ad quodcunque voluerit quod ad se factum est, universorum artifex et opifex.

VERS. 17. *Nonne adhuc modicum, et transferetur Libanus, quasi mons Chermel, et mons Chermel in silvam reputabitur?*

Cum dicit eos fore velut lutum figuli, et transformandos in fœdiora, propterea quod insint ipsis plurima peccata, quomodo res futura sit perspicue demonstrat, et quod subobscure videbatur dictum, quodammodo candide et clare ostendit. Libanus itaque mons est Phœniciæ, quique in ipso et circa ipsum habitarunt, erant homines quam superstitiosissimi. Similiter etiam Chermel, vel Chermelus, mons erat in regione Judæorum maximus, in quo habitasse dicitur Elias Thesbita. Itaque per montes seu regiones in quibus sunt montes, significare vult eos, qui in illis habitant, et inquit: Transferetur, nimirum transmutabitur Libanus, eritque velut mons Chermelinus: mons autem Chermelinus, velut Libanus, id est, qui quondam idolis servierunt, Deum qui adoratur in Judæa agnoscent, et in numero classeque primogeniti Israelis reputabuntur. Qui ex semine Israelis sunt, fient aliquando similes inhabitantibus Libanum et errantibus. Ejectus enim est Israel a conjunctione quæ est cum Deo, propter impietatem in Christum. Assumptæ sunt etiam gentes, et sanctificatæ per Spiritum, divinæ naturæ facti sunt participes. Transferetur igitur Libanus, inquit, velut mons Chermel: mons vero Chermel ut silva reputabitur, id est, ut silva lignorum agrestium, quorum finis est combustio. Vel etiam alio modo. Fuerunt enim velut lignorum

A Οὐαὶ τοίνυν, φησὶν, οἱ τὰς τοιάσδε βουλὰς ποιεῖν εἰωθότες, οὐ διὰ Κυρίου μᾶλλον, ἀλλ' ὡς ἔν γε τῷ Βεελζεβούλ.

Οὐχ ὡς ὁ πηλὸς τοῦ κεραμέως λογισθήσεσθε; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· Οὐ σύ με ἔπλασας; ἢ τὸ ποίημα τῷ ποιήσαντι, Οὐ συνετῶς με ἐποίησας;

Εἰρηκὼς ὅτι Μεταθήσω τὸν λαὸν τοῦτον, ὅτι πάντη τε καὶ πάντως κατορθώσει τὸ χρῆμα καὶ λίαν ἀμογητὶ διαδείκνυσιν ἐν τούτοις, μεταπλασθήσεσθαι λέγων αὐτοὺς εἰς ὅπερ ἂν ὁ δημιουργήσας ἐθέλοι, καθάπερ ἀμέλει, καὶ τὸ διὰ χειρῶν κεραμέως τεχνουργούμενοι. Τοιοῦτόν τι πάλιν καὶ ὁ προφήτης Ἱερεμίας ἐδιδάσκετο· « Ἀνάστηθι γὰρ, φησὶ, καὶ
B κατάβηθι εἰς τὸν οἶκον τοῦ κεραμέως, καὶ ἐκεῖ ἀκούσῃ τοὺς λόγους μου. Καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως, καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, καὶ διέπεσε τὸ ἀγγεῖον ὃ αὐτὸς ἐποίει ἀπὸ τῶν χειρῶν αὐτοῦ· καὶ πάλιν ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ ποιῆσαι, καὶ εἶπε Κύριος πρός με· Μὴ ὡς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι ποιῆσαι ὑμᾶς, οἶκος τοῦ Ἰσραήλ. Ἰδοὺ ὡς ὁ πηλὸς τοῦ κεραμέως ὑμεῖς ἐστε ἐν ταῖς χερσί μου. » Μεταπλάττει γὰρ εὐκόλως, ἐφ' ὅπερ ἂν ἕλοιτο τὸ παρ' αὐτοῦ γεγονὸς ὁ τῶν ὅλων τεχνίτης καὶ δημιουργός.

Οὐκέτι μικρὸν καὶ μετατεθήσεται ὁ Λίβανος ὡς τὸ ὄρος τὸ Χερμὲλ, καὶ τὸ ὄρος τὸ Χερμὲλ εἰς δρυμὸν λογισθήσεται;

C Ἔσεσθαι λέγων αὐτοὺς ὡς πηλὸν κεραμέως, καὶ μεταπλασθήσεσθαι πρὸς τὰ αἴσχιω· διά τοι τὸ πλείστην ὅσην ἐν αὐτοῖς εἶναι τὴν ἁμαρτίαν τινὰ τρόπον ἔσται τὸ χρῆμα διαδείκνυσιν ἐναργῶς, καὶ καταλευκαίνει τρόπον τινὰ τὸ ἀμυδρῶς εἰρῆσθαι δοκοῦν. Λίβανος μὲν ὄρος ἐστὶ τῆς Φοινίκης, καὶ ἦσαν πάντες οἱ ἐν αὐτῷ καὶ περὶ αὐτὸ κατοικοῦντες ἄνθρωποι τῶν ὅτι μάλιστα δεισιδαιμονεστάτων, ὁμοίως δὲ καὶ τὸ Χαρμὲλ ὄρος ἦν ἐν τῇ Ἰουδαίων χώρᾳ, παμμέγεθες ἐν ᾧ κατοικῆσαι λέγεται καὶ ὁ Θεσβίτης Ἠλίας. Οὐκοῦν ἀπὸ τῶν ὀρῶν ἤτοι τῶν χωρῶν ἐν αἷς τὰ ὄρη τοὺς ἐνοικοῦντας ἐν αὐτοῖς κατασημᾶναι βούλεται, καί φησιν, ὅτι Μετατεθήσεται, δέστι μεταβληθήσεται ὁ Λίβανος, ἔσται δὲ ὡς τὸ Καρμήλιον ὄρος. Τὸ δὲ
D ὄρος τὸ Καρμήλιον ὡς ὁ Λίβανος, τοῦτ' ἔστιν, οἱ μέν ποτε τοῖς εἰδώλοις λατρεύοντες τὸν ἐν τῇ Ἰουδαίᾳ προσκυνούμενον ἐπιγνώσονται Θεὸν, καὶ ἐν τάξει τοῦ πρωτοτόκου Ἰσραὴλ καταλογισθήσονται. Οἵ γε μὴν ἐκ σπέρματος Ἰσραὴλ τοῖς τὸν Λίβανον οἰκοῦσι καὶ πλανωμένοις ποτὲ γενήσονται παραπλήσιοι. Ἐκβέβληται μὲν γὰρ ὁ Ἰσραὴλ τῆς πρὸς Θεὸν οἰκειότητος διά τοι τὴν εἰς Χριστὸν δυσσέβειαν. Προσελήφθη δὲ τὰ ἔθνη καὶ ἡγιασμένα διὰ τοῦ Πνεύματος θείας φύσεως γεγόνασι κοινωνοί. Μετατεθήσεται τοίνυν, ὁ Λίβανος, φησὶν, ὡς τὸ ὄρος τὸ Χερμὲλ, καὶ τὸ ὄρος τὸ Χερμὲλ εἰς δρυμὸν λογισθήσεται, τοῦτ' ἔστιν, ὡς ὕλη ξύλων ἀγρίων, ὧν τὸ τέλος εἰς καῦσιν. Ἢ καὶ κατ'

[34] Jer. XVIII, 2 seqq.

ἕτερον τρόπον. Δρυτόμοι γὰρ ὥσπερ γεγόνασι τοῖς ἐξ A Ἰσραὴλ οἱ καταδῃοῦντες αὐτὸν, καὶ τοῦτο, οἶμαι, δηλοῖ λέγων ὁ προφήτης Ζαχαρίας· «Διάνοιξον, ὦ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος. Ὀλολύξατε, δρῦες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος.» Ἄθρει δὴ οὖν, ὅτι καὶ αὐτὸς τῷ Λιβάνῳ παρεικάζει τὴν Ἰουδαίαν, ὡς οὐδὲν διαφέρουσαν τῶν ἐν αὐτῷ πάλαι, τοῦτ' ἔστι, τῶν πλανωμένων. Πίτυν δὲ καὶ κέδρον, καὶ μέν τοι καὶ δρῦν τοὺς ἐν αὐτῇ πεσόντας ἀποκαλεῖ. Ὑψηλοὶ γὰρ ὄντες, ὑψοῦ τε ἠρμένοι, καθάπερ ὑπὸ πυρὸς δεδαπάνηνται τῆς θείας ὀργῆς.

Καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους βιβλίου, καὶ οἱ ἐν τῷ σκότει, καὶ οἱ ἐν τῇ ὁμίχλῃ. Ὀφθαλμοὶ τυφλῶν βλέψονται, καὶ ἀγαλ- B *λιάσονται πτωχοὶ διὰ Κυρίου ἐν εὐφροσύνῃ, καὶ οἱ ἀπηλπισμένοι τῶν ἐθνῶν ἐμπλησθήσονται εὐφροσύνης.*

Τὴν τῶν ἐθνῶν κλῆσιν διά γε τῶν προκειμένων ἡμῖν ἐναργέστατα δηλοῖ. Ἔστι δὲ καθάπερ ἐξ ἀντιστρόφου τῶν πραγμάτων τὴν φύσιν ἰδεῖν συμβαίνουσαν. Ἔφη μὲν γὰρ ὅτι κατασφραγισθήσεται τὸ τοῦ νόμου βιβλίον ἤγουν ἁπάσης τῆς θεοπνεύστου Γραφῆς, καὶ τὸν τῶν Ἰουδαίων κρυβήσεται νοῦν τῶν θείων λογίων ἡ γνῶσις· ὡς τὸν μὲν εἰδότα γράμματα, φάναι τὸ, Οὐ δύναμαι ἀναγνῶναι, ἐσφράγισται γάρ, τὸν μὴ εἰδότα δὲ, φάναι τὸ, Οὐκ οἶδα γράμματα, ἀλλ' ὅτι κεκλήσονται τὰ ἔθνη πρὸς ἐπίγνωσιν Θεοῦ καὶ τὸ τῶν εὐαγγελικῶν κηρυγμάτων εἰς νοῦν καὶ καρδίαν εἰσ- C δέξονται φῶς, καὶ αὐτὸν δὲ συνήσουσι τὸν διὰ Μωσέως νόμον, καίτοι κωφοὶ καὶ ἀνήκοοι γεγονότες ποτὲ, καὶ οἷον ἐν ὁμίχλῃ, καὶ σκότῳ διατρίβοντες, ὡς ἐν ἀμαθίᾳ, καὶ πλάνῃ καθίστησιν ἐναργές. Ἡσθῆσθαι δέ φησιν αὐτοὺς, οὐκ ἐφ' ἑτέροις τισὶ τοῖς κατὰ τόνδε τὸν βίον πράγμασιν, ἀλλ' ἐπὶ Κυρίῳ, τοῦτ' ἔστι, Χριστῷ. Πτωχοὶ γὰρ ὄντες, καὶ τῶν ἀγαθῶν οὐδὲν ἔχοντες εἰς νοῦν, ἀλλ' ἐν ἐνδείᾳ πάσης ὑπάρχοντες ἀρετῆς, καὶ ἐλπίδα μὴ ἔχοντες· ἄθεοι γὰρ ἦσαν ἐν τῷ κόσμῳ, κατὰ τὸ γεγραμμένον· πλησθήσονται ἐν εὐφροσύνῃ. Ἔσονται γὰρ, καὶ ἁμαρτίας ἐλεύθεροι καὶ πλήρεις ἁγιασμοῦ, καὶ θανάτου κρείττονες, καὶ ἐλπίδων ἐπίμεστοι τῶν παρὰ Θεοῦ, διηνεκοῦς εὐφροσύνης μέτοχοι.

Ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος, D *καὶ ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ, καὶ οἱ ποιοῦντες ἁμαρτεῖν ἀνθρώπους ἐν λόγῳ· πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσκομμα θήσουσι, καὶ ἐπλαγίασαν ἐν ἀδίκοις δίκαιον.*

Ὡς ἐκ μέσου γενομένων, καὶ ἐκβεβλημένων τῆς πρὸς Θεὸν οἰκειότητος τῶν ἐξ Ἰσραὴλ, εἰ καὶ μὴ εἰς ἅπαν. Σέσωσται γὰρ τὸ κατάλειμμα κατὰ τὴν τοῦ προφήτου φωνήν· ἐκλελοιπέναι φησὶν ἄνομόν τε καὶ ὑπερήφανον· ἄνομοι μὲν γὰρ ὡς μηδὲ αὐτὸν τετηρηκότες τὸν νόμον, τραπόμενοι δὲ μᾶλλον εἰς διδασκαλίας καὶ ἐντάλματα ἀνθρώπων, ὑπερήφανοι δὲ λίαν καὶ κατωφρυωμένοι δεινῶς ὡς Χριστὸν ἀτιμάσαντες. Ποτὲ μὲν γὰρ ἔφα-

cæsores Israelitis qui depopulantur eos. Id quod, opinor, significat propheta Zacharias, dicens: «Aperi, o Libane, portas tuas, et comedat ignis cedros tuas. Ploret pinus, quia cecidit cedrus; plorate, quercus Basanitidis, quia succisa est silva consita.» Vide itaque hunc quoque Libano comparare Judæam, utpote quæ ab his qui quondam in eo erant, nimirum errore deceptis, nihil differat. Pinum autem et cedrum et etiam **416** quercum, appellat in ea casuros. Nam elati et in altum subvecti, tanquam igne divinæ iræ consumpti sunt.

Vers. 18, 19. *Et audient die illa surdi sermones libelli, et qui in tenebris sunt, et qui in nebula. Oculi cæcorum videbunt, exsultabunt pauperes propter Dominum in lætitia, et spe destitutæ gentes implebuntur lætitia.*

Vocationem gentium ex his quæ proposita sunt, evidentissime ostendit. Est autem videre rerum quæ accidit naturam velut e contrario. Nam dixerat obsignandum libellum legis, seu universæ Scripturæ divinitus inspiratæ, et divinorum eloquiorum notitiam, Judæorum mentem esse celandam: adeo ut qui scit litteras, dicat: Haud queo legere; obsignata enim est, et qui non novit, dicat, Haud novi litteras. Verum quod vocabuntur gentes ad agnitionem Dei, lucemque evangelicæ prædicationis in animum et pectus recipient, ipsamque Mosaicam legem cognoscent, quantumvis surdæ fuerint, nec olim audierint, et velut in nebula ac tenebris ceu in ignorantia et errore versatæ fuerint, planum facit ac perspicuum. Gavisuros autem eos dicit, non in alia re quapiam hujus vitæ, nisi in Domino, id est, Christo. Nam pauperes cum sint, et nihil boni in mente habeant, sed omnium virtutum penuria laborent, spe etiam destituantur (nam erant carentes Deo, in mundo, siculi scriptum est), explebuntur lætitia. Erunt enim a peccato liberi, et pleni sanctimonia, et morte superiores, et spe referti a Deo, et æternæ lætitiæ consortes.

Vers. 20, 21. *Defecit iniquus, et periit superbus, et deleti sunt inique agentes propter malitiam, et facientes peccare homines in sermone: omnes autem arguentes in portis, offensionem ponent, et detorserunt ad injusta justum.*

Sublatis velut e medio, et ejectis a Dei consortio et conjunctione Israelitis, tametsi non in totum, servatæ enim sunt reliquiæ, juxta prophetæ vocem: defecisse inquit iniquum et superbum: iniqui, ut qui ipsam legem non servarint, sed aversi fuerint potius ad doctrinas et mandata **417** hominum: superbi vero et admodum superciliosi, Christum velut graviter contemnentes. Dixerunt enim, nunc: «Nonne hic est fabri filius, cujus nos

patrem et matrem novimus? Quomodo igitur dicit, A E cœlo descendi [56]? » Nunc rursus : « Abraham mortuus est, et prophetæ mortui sunt, et tu dicis : Si quis meum sermonem audiverit, mortem non videbit in sæculum; quem teipsum facis [56]? » Quin et alibi videre licet Scribas et Pharisæos valde impie dicentes : « Dæmonium habet, et furit, quid illum auditis [57]? » Deleti sunt ergo prævaricantes inique semper, propter insignem malitiam et nequitiæ ipsorum magnitudinem. Isti erant qui faciunt homines peccare in sermone : nam abducentes, ut dixi, populum suæ manui subditum a legis reverentia, peccare fecerunt, persuadentes suum sermonem, sua ipsorum nimirum præcepta servare, efficientesque ut hæc pro lege ducerent; et quod his magis est impium, posuerunt offensionem arguentes in portis. B Etenim sancti prophetæ supernos et divinos sermones tanquam legati annuntiantes Israelitis, redarguebant interdum, idque libere, non clam, sed velut pro portis. At qui delecti erant ad gregem manui et potestati suæ commissum instituendum, cumque omnia quæ utilia essent ut pædagogi docere deberent eos, qui a recta et inculpata via excurrunt, offensionem fecerunt reprehensiones hasce utiles, illos seductores et mendaces videlicet nominantes. Scopus enim propositumque eorum fuit injustis rebus justitiæ vim semper pervertere. Hoc nimirum, opinor, est: Detorserunt ad injusta justum: puta, cum lex dicat : « Honora patrem tuum et matrem tuam [58]; » et : « Qui maledicit patri vel C matri, morte moriatur [59]. » Isti docuerunt dicere genitoribus ex ipsis genitos filios : Donum quod ex me est, in tuum commodum cedet. Si hoc dicat, non honorabit patrem suum vel matrem suam. Licebit, inquit, non honorare patrem vel matrem. Hoc enim illis objecit Christus, inquiens : Irritastis præceptum Dei propter traditionem vestram.

VERS. 22, 23. *Propterea hæc dicit Dominus, super domum Jacob, quam segregavit ex Abraham : Non erubescet nunc Jacob, nec faciem mutabit nunc Israel : at quando videbunt filii eorum opera mea, propter me sanctificabunt nomen meum,* **418** *et sanctificabunt sanctum Jacob, Deum Israel timebunt.* D

Advigilat semper oratio prophetica, et malitiam eorum qui reprehendendi studio tenentur, præoccupat. Dixit enim : Deficit iniquus, periit superbus, deleti sunt inique agentes propter malitiam. Quoniam vero ex insigni imperitia verisimile erat quosdam putare Deum mentitum fuisse, cum in totum non perierit Israel, sed reliquiæ, uti dixi, servatæ fuerint; hinc valde opportune mentionem facit spei extremis sæculi temporibus Israeli reservatæ. Vocabuntur siquidem et ipsi per fidem in Christo, et post gentes accurrent. Cum enim, inquit, plenitudo

A σκον· « Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκε; » Ποτὲ δὲ πάλιν· « Ἀβραὰμ ἀπέθανε, καὶ οἱ προφῆται ἀπέθανον, καὶ σὺ λέγεις, ἐάν τίς μου τὸν λόγον ἀκούσῃ θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα. Τίνα σεαυτὸν ποιεῖς; » Καὶ μὴν καὶ ἑτέρωθι κατίδοι τις ἂν αὐτοὺς ἀνοσιώτατα λέγοντας τοὺς Γραμματέας τε καὶ Φαρισαίους· « Δαιμόνιον ἔχει καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε; » Ἐξωλοθρεύθησαν τοίνυν οἱ παρανομοῦντες ἀεὶ διὰ πολλὴν κακίαν καὶ τῆς ἐνούσης αὐτοῖς δυστροπίας τὸ μέγεθος. Οὗτοι δὲ ἦσαν οἱ ποιοῦντες ἁμαρτεῖν ἀνθρώπους ἐν λόγῳ, ἀποκομίζοντες γάρ, ὡς ἔφην, τοὺς ὑπὸ χεῖρα λαοὺς τῆς εἰς τὸν νόμον αἰδοῦς, ἁμαρτάνειν παρεσκεύαζον τὸν ἴδιον λόγον ἤτοι τὰ ἑαυτῶν ἐντάλματα B τηρεῖν ἀναπείθοντες· καὶ ταῦτα ἡγεῖσθαι παρασκευάζοντες νόμον· καὶ τὸ ἔτι τούτων ἀνοσιώτερον, ἐποιοῦντο πρόσκομμα τοὺς ἐλέγχοντας ἐν πύλαις. Οἱ μὲν γὰρ ἅγιοι προφῆται τοὺς ἄνωθεν καὶ παρὰ Θεοῦ διαπορθμεύοντες λόγους, τοὺς ἐξ Ἰσραὴλ ἤλεγχον ἔσθ' ὅτε, καὶ τοῦτο ἐν παῤῥησίᾳ καὶ οὐ λεληθότως, ἀλλ' οἷον ἐν πύλαις. Οἱ δὲ καθηγεῖσθαι λαχόντες τῶν ὑπὸ χεῖρα ποιμνίων, καὶ παιδαγωγεῖν ὀφείλοντες εἰς πᾶν ὁτιοῦν τῶν χρησίμων, τοὺς τῆς ὀρθῆς τε καὶ ἀμωμήτου παρεκθέοντας ὁδοῦ τοὺς ὠφελοῦντας ἐλέγχους ἐποιοῦντο πρόσκομμα, πλάνους τάχα που καὶ ψευδοεπεῖς ὀνομάζοντες. Σκοπὸς γὰρ ἦν αὐτοῖς τὸ ἐν ἀδίκοις πράγμασι τὴν τοῦ δικαίου δύναμιν παρευθύνειν ἀεί. Τοῦτο γάρ, οἶμαι, ἐστι τό, Ἐπλαγίασαν ἐν ἀδίκοις δίκαιον, οἷον τοῦ νόμου λέγοντος, « Τίμα τὸν C πατέρα σου καὶ τὴν μητέρα σου, » καί, « Ὁ κακολογῶν πατέρα, ἢ μητέρα, θανάτῳ τελευτάτω. » Αὐτοὶ λέγειν ἐδίδασκον τοῖς γεγεννηκόσι τοὺς ἐξ αὐτῶν γεννωμένους· Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς. Κἂν εἰ τοῦτε λέγοιεν, οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ, ἢ τὴν μητέρα αὐτοῦ. Ἐξέστω, φησί, μὴ τιμᾷν πατέρα, ἢ μητέρα. Τοῦτο γὰρ αὐτοῖς ὠνείδιζεν ὁ Χριστὸς λέγων· Ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.

Διὰ τοῦτο τάδε λέγει Κύριος, ἐπὶ τὸν οἶκον Ἰακὼβ, ὃν ἀφώρισεν ἐξ Ἀβραάμ· Οὐ νῦν αἰσχυνθήσεται Ἰακὼβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ Ἰσραήλ· ἀλλ' ὅταν ἴδωσι τὰ παιδία αὐτῶν τὰ ἔργα μου δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά D *μου, καὶ ἁγιάσουσι τὸν ἅγιον Ἰακὼβ καὶ τὸν Θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται.*

Ἀνανήφει πανταχοῦ τῆς προφητείας ὁ λόγος, καὶ τῶν εἰωθότων φιλοψογεῖν προαναβλέπει τὴν κακουργίαν. Ἔφη γὰρ μὲν ὅτι, Ἐξέλιπεν ἄνομος, ἀπώλετο ὑπερήφανος· ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ. Ἐπειδὴ δὲ ἦν εἰκὸς ἐκ πολλῆς ἄγαν ἀμαθίας οἴεσθαί τινας ψευδοεπῆσαι τὸν Θεόν· οὐκ εἰσάπαν ἀπολωλότος τοῦ Ἰσραήλ, σεσωσμένου δέ, ὡς ἔφην, τοῦ καταλείμματος· ταύτητοι καὶ σφόδρα χρησίμως διαμέμνηται τῆς ἐλπίδος τῆς τετηρημένης τῷ Ἰσραὴλ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς. Κληθήσονται καὶ αὐτοὶ διὰ πίστεως τῆς ἐν Χριστῷ, καὶ ὀπίσω δρα-

[55] Matth. XIII, 55. [56] Joan. VIII, 52. [57] Matth. XI, 18. [58] Exod. XX, 12. [59] Ibid. XXI, 17.

μοῦνται τῶν ἐθνῶν. Ὅταν γὰρ, φησὶ, τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται. Τί οὖν φησι; Διὰ τοῦτο τάδε λέγει Κύριος, ἐπὶ τὸν οἶκον Ἰακὼβ ὃν ἀφώρισεν ἐξ Ἀβραάμ. Ἐξειλεγμένος γὰρ ἦν ἀπὸ πάντων τῶν ἐθνῶν ὁ Ἰσραὴλ, καὶ οἷά τις κλῆρος ἐξαίρετος τῷ Θεῷ τῷ ἐξ Ἀβραάμ τε καὶ Ἰακὼβ κατελογίσθη γένος. Ἀλλ' οὐ νῦν αἰσχυνθήσονται, φησὶν, οὐδὲ νῦν μεταβαλοῦσι τὸ πρόσωπον, τοῦτ' ἔστιν, οὐκ εὐθὺς ὅτε καὶ δεδυσσεβήκασιν εἰς Χριστὸν, ἐν ἐπιγνώσει γεγονότες τῆς ἑαυτῶν ἁμαρτίας αἰσχυνθήσονται, καὶ οἷον μεταχωρήσουσιν, ὡς πρός γε τὸ δεῖν οὐκ ἐσθ' ὁρᾶσθαι τοιούτους. Τοῦτο γὰρ, οἶμαι, ἔστι τὸ μεταβαλεῖν τὸ πρόσωπον. ἀλλὰ προϊόντος τοῦ καιροῦ ὅταν οἱ ἐξ αὐτῶν γεγονότες ἴδωσί μου τὰ ἔργα, τοῦτ' ἔστιν, ὅταν θεάσωνται κεκλημένην τὴν ὑπ' οὐρανὸν, καὶ πιστεύσαντας τοὺς ἀνὰ πᾶσαν τὴν γῆν εἰς ἐμέ. Ὅταν ἴδωσι τὴν τοῦ διαβόλου δύναμιν κατασεσεισμένην, ἀνῃρημένης δὲ δηλονότι τῆς ἀρχαίας ἐκείνης, καὶ βεβήλου πλάνης. Καὶ ὁμοῦ τεμένεσιν εἰδώλων ἐμπεπρησμένων, τότε ἁγιάσουσι τὸ ὄνομά μου, ἀντὶ τοῦ, ἅγιον ἡγήσονταί με καὶ αὐτοί· ἁγιάσουσι δὲ ὡς ὄντα κατὰ ἀλήθειαν τὸν ἅγιον τοῦ Ἰακὼβ, καὶ τὸν Θεὸν τοῦ Ἰσραήλ. Οὕτω γάρ με φοβηθήσονται, ὁδὸς δὲ πρὸς σωτηρίαν ἀεί πως ἐστιν ὁ τοῦ Θεοῦ φόβος. Γέγραπται γὰρ, ὅτι « Φόβος Κυρίου ζωὴν ποιεῖ. »

gentium intraverit, tunc omnis Israel salvus fiet [89]. Quid itaque ait? Propterea hæc dicit Dominus, de domo Jacob, quam segregavit ex Abraham. Selectus enim erat ex omnibus gentibus Israel, et veluti sors quædam eximia Deo, Abrahamiticum et Jacobæum genus reputabatur. Sed nunc, inquit, non erubescent, neque faciem nunc mutabunt, id est, non quam primum impie egerunt in Christum, agnitis suis peccatis erubescent, et veluti retro cedent, ut qui tales videri nolint. Hoc enim, opinor, est mutare faciem; sed, tempore procedente, cum ex ipsis nati viderunt opera mea, id est, cum aspexerint vocatum omnem orbem terrarum, et credentes in me quotquot ubique gentium sunt, cum viderint diaboli potentiam conquassatam, everso scilicet inveterato illo et profano errore, simulque cum delubris incensis idolis: tunc sanctificabunt nomen meum, pro, sanctum credent esse me etiam ipsi: ipsi sanctificabunt vero utpote revera sanctum Jacobi, et Deum Israelis. Sic enim me timebunt. Via autem ad salutem semper est Dei timor. Scriptum namque est: « Timor Domini vitam parit [90]. »

Καὶ γνώσονται οἱ τῷ πνεύματι πλανώμενοι σύνεσιν, οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην.

Ἁγιάσαντες γὰρ τὸ ὄνομα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ ἀραρότως πεπιστευκότες, ὡς ἔστιν αὐτὸς ἅγιος τοῦ Ἰακὼβ, καὶ ὁ Θεὸς τοῦ Ἰσραὴλ γνώσονται σύνεσιν· καίτοι πνεύματι πλάνης κατεσχημένοι ποτὲ, καὶ τὸν νόμον ἔχοντες κατεσφραγισμένον· οἱ δὲ ἀεὶ γογγύζοντες μαθήσονται ὑπακούειν. Διεγόγγυζον γὰρ κατὰ Χριστοῦ οἱ τῶν Ἰουδαίων δῆμοι, ποτὲ μὲν λέγοντες· « Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; » Ποτὲ δὲ πρὸς τούτοις, καὶ διώκειν αὐτὸν οὐ παραιτούμενοι· καὶ εἰς ἐγκλήματος δύναμιν καταγράφοντες αὐτῷ τὴν ἀλήθειαν. Ὁ μὲν γὰρ τῶν ὅλων Σωτὴρ Υἱὸν ἑαυτὸν ὠνόμαζε τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ οὐδὲν οὖσαν τὴν τοῦ νόμου σκιὰν ἀποφαίνων, τῆς ἐν πνεύματι λατρείας παρετίθει τὸ κάλλος. Οἱ δὲ ἐδίωκον αὐτὸν, « Οὐ μόνον, φησὶν, ὅτι ἔλυε Σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. » Οἱ τοίνυν καταγογγύζοντες μαθήσονται ὑπακούειν, φησὶν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην. Τῶν γὰρ μὴ ὀρθὰ περὶ Χριστοῦ λαλεῖν εἰωθότων ἐψέλλιζον αἱ γλῶσσαι, πλὴν μαθήσονται, φησὶ, τὰ αὐτοῦ λαλεῖν καὶ τὰ εἰς εἰρήνην ἐρεύγεσθαι μᾶλλον, οὐκ ἀποφοιτοῦντες ἔτι πρὸς ἀπόνοιαν τὴν πρώτην, ὑποφέροντες δὲ μᾶλλον αὐτῷ τὸν τῆς διανοίας αὐχένα. Λαλεῖν δὲ εἰρήνην πρὸς τὸν Ἰησοῦν, εἴ τις λέγει, Κύριος ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

Vers. 24. *Et cognoscent spiritu errantes intelligentiam, et murmurantes discent obedire, et linguæ balbutientes discent loqui pacem.*

Nam ubi nomen Servatoris omnium nostrum Christi sanctificaverint, constanterque crediderint, ipsum esse sanctum Jacob, **419** et Deum Israelis, cognoscent intelligentiam, quantumvis olim spiritu erroris detenti, legemque obsignatam habentes, semperque murmurantes discent obedire. Nam Christo obmurmurabat, Judaicus populus, alias dicentes: « Quinquaginta annos nondum habes, et Abraham vidisti [91]? » Alias etiam persequi eum non detrectarunt, et crimini dederunt illi veritatem. Servator enim universorum Filium se nominavit Dei et Patris, et umbram legis nihil esse ostendens, spiritualis cultus pulchritudinem adjecit. At hi persecuti sunt eum « Non solum, inquit, quod violarit Sabbatum, sed quod et patrem suum vocavit Deum, æqualem seipsum faciens Deo [92]. » Hi igitur obmurmurantes discent obedire, inquit, linguæ balbutientes, discent loqui pacem. Balbutiebant enim linguæ eorum, qui nihil recte de Christo loquebantur; verum discent, inquit, quæ illius sunt loqui, imo clamare quæ ad pacem pertinent: non redeuntes ad priorem amentiam amplius, sed mentis cervicem potius ipsi submittentes. Loquetur autem pacem ad Jesum, si quis dicat: Domine Deus noster, possidi nos, extra te alium non novimus, nomen tuum nominamus.

Οὐαὶ, τέκνα ἀποστάται, τάδε λέγει Κύριος·

Cap. XXX. Vers. 1-3. *Væ, filii desertores, hæc*

[89] Rom. xi, 25. [90] Prov. xiv, 27. [91] Joan. viii, 17. [92] Ibid. v, 18.

dicit Dominus: Iniistis consilium non per me, et pacta non ex spiritu meo, ut adderetis peccatum peccatis : abeunt ut descendant in Ægyptum, me autem non interrogaverunt, ut auxilium habeant a Pharaone, et protegantur ab Ægyptiis. Erit enim vobis protectio Pharaonis dedecori, et fiducia in Ægypto probro, quia sunt in Tani principes, nuntii mali frustra laborabunt de populo qui non proderit eis ad auxilium, neque ad utilitatem, sed ad dedecus et probrum.

Exclamat rursus in Israelitas tanquam peccatis deditos et apostatas factos, et improbissimos, et tetra consilia capientes, non per Deum. Non enim fas consilium capere per Deum, qui in re ulla mala consentiunt, sed is cum Deo consilium capit, et in rebus agendis progreditur, quisquis pius est et bonus, et justitiæ amans. Scriptum est enim : « Cogitationes justorum judicia [61]. » Accusat ergo stupidum Israelem, ut qui sententiam de Christo tulerit a Deo dissentientem. Consultarunt enim **420** in consessu et dictitarunt : « Quid facimus, quia iste homo multa facit signa? Si dimittamus illum sic, venient Romani, et tollent nostram et civitatem et regionem. Alius vero ex his qui cum imperio et dignitate erant, inquit : Vos nihil prorsus scitis. Expedit unum hominem mori, et non totam gentem perire [62]. » Manifeste istuc docet in evangelicis parabolis Dominus, inquiens : « Qui vineam plantavit, paterfamilias, emisit servos eos, ut reportarent fructus. Interfecerunt autem illos agricolæ [63]. » Neque eo tantum proruperunt eorum impietatis scelera, nam filio conspecto post famulos misso a patre, dixerunt, inquit, apud se : « Hic est hæres, venite, interficiamus illum, et habeamus nobis hæreditatem ejus [64]. » Apostatæ itaque sunt, tam nefariorum et impiorum consiliorum magistri, peccatum peccatis addentes. Interfecerunt enim, uti dicebam, prophetas sanctos, dein post ipsum etiam hæredem, id est, filium. Quod autem diuturna et diu ante cogitata sententia eorum, ad apostasiam defectionemque a Deo spectarit, certo pleneque fidem conatur facere, dicens : Qui proficiscuntur ut descendant in Ægyptum (me autem non interrogaverunt), ut auxilium habeant a Pharaone, et protegantur ab Ægyptiis. Interjectum vero est illud in medio : Me autem non interrogarunt : consecutio vero sententiæ hoc modo se habet : Væ, inquit, descendentibus in Ægyptum, ut auxilia petant a Pharaone, inveniantque protectionem subsidiumve ab Ægyptiis. Denuntiato enim illis bello et pugna, et rege Assyriorum contra Judæorum regionem arma movente, confugerunt ad Ægyptios, eorumque opem implorarunt : cum oporteret Deum placare, et ea in quibus illum offenderant, reditu recursuque ad meliora delere et avertere. Nam quod illius bonitate ditati et favore, hostium pedibus

A *Ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρτίαις· οἱ πορευόμενοι καταβῆναι εἰς Αἴγυπτον· ἐμὲ δὲ οὐκ ἐπερώτησαν, τοῦ βοηθῆναι ὑπὸ Φαραὼ, καὶ σκεπασθῆναι ὑπὸ Αἰγυπτίων. Ἔσται γὰρ ὑμῖν ἡ σκέπη Φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς πεποιθόσιν ἐπ' Αἴγυπτον ὄνειδος, ὅτι εἰσὶν ἐν Τάνει ἀρχηγοὶ ἄγγελοι πονηροὶ, μάτην κοπιάσουσι πρὸς λαὸν ὃς οὐκ ὠφελήσει αὐτοὺς, οὔτε εἰς βοήθειαν, οὔτε εἰς ὠφέλειαν, ἀλλ' εἰς αἰσχύνην καὶ ὄνειδος.*

Ταλανίζει πάλιν ὡς φιλαμαρτήμονας καὶ ἀποστάτας γεγονότας τοὺς ἐξ Ἰσραὴλ, πονηρούς τε ἄγαν καὶ πικρὰ βουλευομένους, οὐ διὰ Θεοῦ. Οὐ γάρ τοι θέμις μετὰ Θεοῦ βουλεύεσθαι, τοὺς ἐπί τινι τῶν B φαύλων ὁμογνωμονεῖν ἐθέλοντας. Βουλεύσεται δὲ μετὰ Θεοῦ, καὶ χωρήσει πρὸς τὰ πρακτέα πᾶς εἴ τίς ἐστιν εὐσεβής τε καὶ ἀγαθὸς, καὶ δικαιοσύνης ἐραστής. Γέγραπται γὰρ, ὅτι « Λογισμοὶ δικαίων κρίματα. » Καταιτιᾶται τοίνυν τὴν ἀπόκλητον Ἰσραὴλ, ὡς ἀπᾴδουσαν τῷ Θεῷ γνώμην εἰσενεγκάμενον ἐπὶ Χριστῷ. Διεσκέπτοντο μὲν γὰρ συνεδρεύοντες, καὶ δὴ καὶ ἔφασκον· « Τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ ποιεῖ σημεῖα; Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ὑμῶν καὶ τὴν πόλιν καὶ τὴν χώραν. Ἕτερος δέ τις τῶν τεταγμένων ἐν ἡγουμένοις, Ὑμεῖς, φησὶν, οὐκ οἴδατε οὐδὲν, ὅτι συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. » Σαφέστερον τοῦτο αὐτὸ διδάσκει λέγων ὁ Κύριος ἐν παραβολαῖς εὐαγγελικαῖς, ὅτι « Ὁ τὸν ἀμπε- C λῶνα φυτεύσας οἰκοδεσπότης, ἀπέστειλε τοὺς ἑαυτοῦ δούλους, ὥστε κομίσασθαι τοὺς καρποὺς, ἀπεκτόνασι δὲ τούτους οἱ γεωργοί. » Καὶ οὐ μέχρι τούτων τὰ τῆς ἐκείνων δυσσεβείας γεγόνασιν ἐγκλήματα· ἀλλὰ γὰρ καὶ τὸν υἱὸν τεθεαμένοι μετὰ τοὺς οἰκέτας ἀπεσταλμένον παρὰ τοῦ πατρὸς, εἶπον, φησὶν, ἐν ἑαυτοῖς, « Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν ἑαυτοῖς τὴν κληρονομίαν αὐτοῦ. » Ἀποστάται τοιγαροῦν οἱ τῶν οὕτω πικρῶν καὶ ἀνοσίων σκεμμάτων εἰσηγηταὶ, οἱ προστιθέντες ἁμαρτίαν ἐφ' ἁμαρτίας· ἀπεκτόνασι γὰρ, ὡς ἔφην, προφήτας ἁγίους· εἶτα καὶ αὐτὸν μετ' ἐκείνους τὸν κληρονόμον, τοῦτ' ἔστι, τὸν υἱόν. Ὅτι δὲ ἐκ πολλοῦ ἄνωθεν αὐτοῖς ἡ γνώμη πρὸς ἀπόστασιν βλέπει τὴν ἀπὸ Θεοῦ πληροφορεῖν D πειρᾶται λέγων· Οἱ πορευόμενοι καταβῆναι εἰς Αἴγυπτον· ἐμὲ δὲ οὐκ ἐπερώτησαν, τοῦ βοηθηθῆναι ὑπὸ Φαραῶ, καὶ σκεπασθῆναι ὑπὸ Αἰγυπτίων, προσέῤῥιπτε διὰ μέσου τὸ, Ἐμὲ δὲ οὐκ ἐπερώτησαν. Ἡ δέ γε τῶν νοημάτων ἀκολουθία τοῦτον ἔχει τὸν τρόπον. Οὐαὶ, φησὶν, οἱ καταβαίνοντες εἰς Αἴγυπτον τοῦ βοηθηθῆναι ὑπὸ Φαραῶ, καὶ σκέπην εὑράσθαι τὴν ἀπό γε τῶν Αἰγυπτίων. Περιηγγελμένου γὰρ αὐτοῖς πολέμου καὶ μάχης καὶ τοῦ βασιλέως Ἀσσυρίας κατὰ τῆς Ἰουδαίων χώρας ὅπλα κινήσαντος προδεδραμήκασιν Αἰγυπτίοις, καὶ τὴν παρ' αὐτῶν ἐπικουρίαν ἐκάλουν, καίτοι δέον ἐκμειλίσσεσθαι Θεὸν, ἀποτρίβεσθαί τε ταῖς εἰς τὰ ἀμείνω μεταδρομαῖς, τὰ ἐφ' οἷς αὐτῷ προσκεκρού-

[61] Prov. XII, 5. [62] Joan. XI, 47 seqq. [63] Matth. XXI, 33. [64] Ibid., 38.

χασιν. Ὅτι γὰρ τὴν παρ' αὐτοῦ πλουτοῦντες εὐμένειαν, οὐκ ἂν ὑπηνέχθησαν τοῖς τῶν πολεμούντων ποσὶν, ἡ τῶν ἤδη φθασάντων πιστώσεται πεῖρα. Τίνα γὰρ οὐ νενικήκασι; τίνος οὐ κεκρατήκασι διὰ Θεοῦ; Ἀλλ' οὐδὲν εἶναι καταλογιζόμενοι τὸ σώζεσθαι παρ' αὐτοῦ, μᾶλλον δὲ τὸ μὴ δύνασθαι σώζειν τινὰς τῆς πανσθενοῦς καθορίζοντες δεξιᾶς τὰς ἐξ ἀνθρώπων ἐζήτουν ἐπικουρίας. Ἀλλ' ἔσται, φησὶ, τὸ χρῆμα αὐτοῖς εἰς αἰσχύνην καὶ ὄνειδος. Εἰσὶ γὰρ ἐν Τάνει, φησὶν, ἀρχηγοὶ, ἄγγελοι πονηροί. Κατέβησαν γὰρ εἰς Αἴγυπτον οἱ ἐξ Ἰσραὴλ, ᾤοντό τε, καθάπερ ἔφην ἀρτίως, ἀρκέσειν αὐτοῖς τῶν ἐν Τάνει καθηγητῶν, ἤτοι βασιλέων, τὴν ἐπικουρίαν. Ἀλλ' ἦλθον κἀκεῖσέ τινες ἀπαγγέλλοντες τοῖς κρατοῦσι τῆς χώρας πονηρὰ, καὶ δύσοιστα, κεχώρηκε γὰρ κατὰ τῶν Αἰγυπτίων ὁ Ἀσσύριος, μετά γε τὸν πρὸς Τυρίους πόλεμον. Μάτην οὖν ἄρα, φησὶν, οἱ ἐξ Ἰσραὴλ κοπιάσουσι κατατρέχοντες πρὸς λαὸν, ὃς κατ' οὐδένα τρόπον αὐτοὺς ὀνῆσαι δυνήσεται. Ἔσται γὰρ αὐτοῖς οὔτε ἀποχρόντως ἔχων εἰς ἐπικουρίαν, οὔτε μὴν εἰς τὸ δύνασθαι τῶν ἐπηρτημένων ἀπαλλάξαι κακῶν, ἀλλ' εἰς αἰσχύνην, καὶ ὄνειδος. Ἕπεται γὰρ ἀεὶ τοῖς τὴν ἑαυτῶν καρδίαν ἀποστήσασι τῆς εἰς Θεὸν ἐλπίδος, τὸ πάντη τε καὶ πάντως παντὶ περιπίπτειν κακῷ. Καὶ ἀληθεύει λέγων ὁ μακάριος Δαβίδ· « Ἀγαθὸν τὸ ἐλπίζειν ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Ἐκρύεται δὲ καὶ παντὸς ἀπαλλάττει κακοῦ τοὺς ἀγαπῶντας αὐτὸν, καὶ αὐτῷ προσκεῖσθαι σπουδάζοντας. »

A subjecti non fuerint, eorum quæ jam antecesserunt experimentum ac documentum confirmabit. Quem enim non vicerunt? quem ope divina non superarunt? Verum cum salutem ab ipso pro nihilo ducerent, imo nec posse quemquam conservare omnipotentem dexteram statuerent, ab hominibus auxilia quæsiverunt. Sed hæc res, inquit, in dedecus et probrum illis vertetur. Sunt namque in Tani, inquit, principes, nuntii mali. **421** Descenderunt siquidem in Ægyptum Israelitæ, putaruntque, sicuti jam dicebam, suffecturum sibi præfectorum in Tani seu regum auxilium. At inde quoque venerunt quidam mala et intoleranda nuntiantes dominatoribus regionis. Expeditionem enim fecit contra Ægyptios Assyrius, post bellum gestum adversus Tyrios. B Frustra igitur, inquit, laborarunt Israelitæ dum currunt ad populum, qui nullo modo illis poterit subvenire. Non enim satis habebit quo ipsis opituletur, neque quo possit ab impendentibus eos malis liberare, sed ad dedecus et opprobrium. Sequitur enim semper eos qui suo corde a spe in Deum defecerunt, ut prorsus omninoque in omnia mala incidant. Vere quidem dicit beatus David, inquiens : « Melius est sperare in Domino, quam confidere in hominem. Eripit autem et omni malo liberat diligentes se, ipsique studentes adhærere [44]. »

Η ΟΡΑΣΙΣ ΤΩΝ ΤΕΤΡΑΠΟΔΩΝ ΤΩΝ ΕΝ ΤΗ͂ ΕΡΗΜΩ͂.

C Ὡς τεθεαμένος τινὰ τῶν ἐσομένων κατὰ καιροὺς κατὰ τὴν τῶν Ἰουδαίων χώραν. Καὶ νῦν ἡμῖν ὁ προφήτης ποιεῖται τὴν ἀφήγησιν. Χρῆναι δέ φημι τῆς ἱστορίας ἡμᾶς διαμνημονεῦσαι πάλιν, ἐφ' ᾗ γέγονεν ὁ λόγος αὐτῷ. Ἔσται γὰρ οὕτω τοῖς ἐντευξομένοις ἐνκάτοπτος τῶν προκειμένων ἡ δύναμις. Βασιλεύοντος τοίνυν τῆς Ἰουδαίων χώρας Ἰεχωνίου τοῦ Ἐλιακείμ· εἶτα πολὺ διανενευχότος τοῦ Ἰσραὴλ εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ, καὶ ταῖς τῶν εἰδώλων λατρείαις προσκειμένου τε ἄγαν καὶ παροτρύνοντος ἐφ' ἑαυτῷ τὸν τῶν ὅλων Θεόν· πλεῖστοι μὲν ὅσοι γεγόνασι πρὸς αὐτοὺς οἱ λόγοι διὰ φωνῆς Ἱερεμίου καλοῦντος εἰς μετάγνωσιν, συμβουλεύοντός τε καὶ μάλα εὐφρόνως, ἀποτρίψασθαι μὲν τὸν ἔκ τε τοῦ πεπλανῆσθαι μῶμον, μᾶλλον δὲ τῆς εἰς ἄκρον δυσσεβείας ἀποχρούσασθαι τὰ ἐγκλήματα μεταχωροῦντας ἐπὶ τὸ ἄμεινον, καὶ παλινδρομοῦντας εἰς ἀλήθειαν. Οἱ δὲ ἦσαν σκληροί τε καὶ ἀνουθέτητοι, καὶ τοὺς τῶν ἁγίων προφητῶν ἀποσειόμενοι λόγους, καὶ πραγμάτων αὐτοὺς πειρᾶσθαι παρεσκεύαζον. Κατατεθηγμένος τοίνυν ἐπ' αὐτοὺς ὁ πάντα ἰσχύων Θεὸς, κατεξανέστησε τὸν Ναβουχοδονόσορ, ὃς εἷλέ τε τὴν Ἰουδαίαν, καὶ κατεμπρήσας τὰς ἐν αὐτῇ πόλεις τε καὶ κώμας προσκατέστησε τὸν Σεδεκίαν. Ἀποσκιρτήσαντος δὲ καὶ αὐτοῦ, λελυπημένος ὁ Ἀσσύριος κατεστράτευσε πάλιν τῆς Ἱερουσαλήμ· καὶ δὴ καὶ ἑλὼν, καὶ αὐτὸν δὲ τὸν θεῖον κατεμπρήσας ναὸν, ὑπενόστησε εἰς τὴν ἑαυ-

VISIO QUADRUPEDUM IN DESERTO.

Quod futura quædam suo tempore contra Judæorum regionem contemplatus fuerit, etiam nunc propheta nobis declarat. Operæ pretium vero duco rursus nobis historiam commemorare, cujus causa hæc illi habita est oratio. Ita enim sensus et vis horum verborum perspicuus evadet legentibus. Regnante ergo in regione Judæa Jechonia filio Eliachim, inde quoque Israele multum ad defectionem a Deo declinante, valdeque cultui idolorum affixo, et universorum Deum in se provocante : plurimæ apud eos habitæ sunt orationes per vocem Jeremiæ vocantis ad resipiscentiam, prudentissimeque suadentis, ut erroris labem abstergerent et eluerent, imo D summæ impietatis scelera excuterent, relapsi ad melius, reversi ad veritatem. Hi autem duri et præfracti, sanctorum prophetarum sermones rejicere, et negotia illis facessere. Itaque exacerbatus contra illos omnipotens Deus, excitavit Nabuchodonosorum, qui Judæam occupavit, et incensis in ea urbibus et vicis Sedeciam insuper præfecit. Cæterum illo resiliente offensus Assyrius, de integro bellum intulit Jerusalem; qua capta, et ipso Dei **422** templo incenso, in suam terram rediit. Tum itaque qui relicti sunt et servati, et qui effugere poterant gladium Babyloniorum, cum tota familia in Ægyptum descenderunt, etiamsi eos Deus hoc facere prohibuerit, ac manifestissime dicat voce Jeremiæ : No-

[44] Psal. CXVII, 8 seqq.

lite descendere in Ægyptum. Cum vero nihilo secius inobedientes manserint, perierunt in Ægypto. Nabuchodonosorus enim occupavit eam, simulque cum Israelitis sustulit Ægyptios. Visionis itaque hæc causa est, et occasio, hæ sunt rei omnes circumstantiæ. Sed dicenda nobis sunt, ut arbitror, quoad licet, singula.

A τοῦ. Τότε δὴ οὖν οἱ περιλειφθέντες, καὶ σεσωσμένοι, καὶ διαφυγεῖν ἰσχύοντες τῶν Βαβυλωνιτῶν τὸ ξίφος πανοικεὶ κατέβαινον εἰς τὴν Αἴγυπτον· καίτοι Θεοῦ τοῦτο δρᾷν οὐκ ἐφιέντος αὐτοῖς, ἀλλ' ἐναργέστατα λέγοντος διὰ φωνῆς Ἱερεμίου· Μὴ καταβαίνετε εἰς Αἴγυπτον. Ἐπειδὴ δὲ οὐδὲν ἧττον μεμενήκασιν ἀπειθεῖς, ἀπολώλασιν ἐν Αἰγύπτῳ. Εἷλε γὰρ καὶ αὐτὴν ὁ Ναβουχοδονόσορ, καὶ ὁμοῦ τοῖς ἐξ Ἰσραὴλ ἀνήρηκε τοὺς Αἰγυπτίους. Ἡ μὲν οὖν τῆς ὁράσεως αἰτία καὶ πρόφασις αὕτη, καὶ οἷον ἡ πᾶσα περίστασις. Δεῖ δὲ, οἶμαι, καθ' ἕκαστον ἡμᾶς διειπεῖν, ὡς ἔνι.

VERS. 6, 7. *In afflictione et angustia, leo et catulus leonis inde, et aspides et progenies aspidum volantium, qui ferebant super asinos et camelos divitias suas ad gentem, quæ non proderit illis ad auxilium, sed ad dedecus et probrum. Ægyptii nequidquam inaniterque succurrent vobis. Annuntia eis, Vana consolatio vestra hæc.*

Ἐν τῇ θλίψει, καὶ τῇ στενοχωρίᾳ λέων, καὶ σκύμνος λέοντος ἐκεῖθεν, καὶ ἀσπίδες καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπ' ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος ὃ οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν, ἀλλ' εἰς αἰσχύ- B *νην, καὶ ὄνειδος. Αἰγύπτιοι μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς; Ἀπάγγειλον αὐτοῖς, ὅτι Ματαία ἡ παράκλησις ὑμῶν αὕτη.*

Sortito dedit divinus Jesus, scilicet Nave filius, terram promissionis, his qui erant ex sanguine Israel. Aiunt autem tribum Juda maxime, quæ ad Orientem et Austrum spectant, in regione Judæa, sortitam esse : adjacente illis et imminente deserto, unde qui velit possit in Ægyptum transire. Tempore igitur afflictionis et angustiæ, id est, obsidente Nabuchodonosoro, et incumbente, et Judææ civitates affligente : leo et catulus leonis inde. Leones fortassis vocat, qui principatum obtinebant, et potentissimos, quique viribus haud parvis contra alios valebant : catulos leonis forsitan ex his natos : aspidas et aspidum progenies, rursus alios acerbos et pestiferos, summæque improbitati innutritos. Quod autem dicat : volantium, intelliges eos qui volucri cursu celeriterque tendunt ad omnia nefaria. Improbi vero omnes et acerbissimi plane sunt, qui a dilectione divina recedentes, ligno dicunt : Pater meus es tu; et lapidi : Tu genuisti me; et qui operibus manuum suarum venerationem exhibent. Isti ergo super asinos et camelos, relictas sibi divitias asportarunt ad gentem, quæ non proderit illis ad auxilium, sed ad dedecus et opprobrium. Inutilis enim **423** prorsus illis est hæc res, et vana facta est consolatio, id est, quod putarunt sibi fore solatio. Etenim, uti dixi, simul cum incolis regionis Ægyptiorum perierunt, vi etiam illam delente Nabuchodonosor. Gravissimum itaque est Deum offendere, etsi iram aliquibus intendat, vanum est omne consilium, nihilque omnino servabit eos contra quos hæc fiunt. « Manum enim excelsam quis avertet [28]? » sicuti scriptum est.

Κεκληροδότηκε μὲν τοῖς ἐξ αἵματος Ἰσραὴλ τῆς ἐπαγγελίας τὴν γῆν ὁ θεσπέσιος Ἰησοῦς, ὁ τοῦ Ναυὴ δηλονότι. Φασὶ δὲ τὴν Ἰούδα μάλιστα φυλὴν τὰ πρὸς ἠῶ τε καὶ νότον τῆς Ἰουδαίων χώρας διαλαχεῖν, προσπαρακειμένης αὐτοῖς τῆς ἐρήμου, διακομιζούσης τε τοὺς ἐθέλοντας εἰς τὴν Αἰγυπτίων. Ἐν καιρῷ τοιγαροῦν τῆς θλίψεως καὶ τῆς στενοχωρίας, τοῦτ' ἔστι, πολιορκοῦντος τοῦ Ναβουχοδονόσορ ἐγκειμένου τε καὶ καταθλίβοντος τὰς τῆς Ἰουδαίας πόλεις· λέων καὶ σκύμνος λέοντος ἐκεῖθεν. Καὶ λέοντας μὲν ἴσως ἀποκαλεῖ τοὺς καθηγεῖσθαι λαχόντας, καὶ δυνατωτάτους, καὶ ἐν ἀσθενείαις ὄντας ταῖς κατὰ τῶν ἄλλων C οὐ μικραῖς. Σκύμνους δὲ τάχα που τοὺς ἐξ αὐτῶν· ἀσπίδα δὲ καὶ ἀσπίδων ἔκγονα πάλιν ἑτέρους πικροὺς τε καὶ ἰοβόλους, καὶ ἀκράτῳ πονηρίᾳ συντεθραμμένους. Εἰ δὲ λέγοι, πετομένων, τῶν εὐπετῶς, καὶ ὀξέως πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων χωρούντων νοήσεις. Πονηροί τε ἅπαντες καὶ πικροὶ λίαν ὁμολογουμένως οἱ τῆς εἰς Θεὸν ἀγάπης ἀποφοιτήσαντες, καὶ τῷ ξύλῳ λέγοντες· Πατήρ μου εἶ σὺ, καὶ λίθῳ· Σὺ ἐγέννησάς με· καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν τὸ σέβας ἀνάπτοντες· οὗτοι τοιγαροῦν ὑπὸ ὄνων τε καὶ καμήλων τὸν περιλειφθέντα αὐτοῖς ἀπεκόμιζον πλοῦτον πρὸς ἔθνος ὃ οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν, ἀλλ' εἰς αἰσχύνην καὶ ὄνειδος. Ἀνόνητον γὰρ παντελῶς τὸ χρῆμα αὐτοῖς, καὶ ματαία γέγονεν ἡ παράκλησις, τοῦτ' ἔστιν, ἣν ἐνόμιζον εἶναι παραμυθίαν D αὐτοῖς. Συναπολώλασι γὰρ, ὡς ἔφην, τοῖς τῶν Αἰγυπτίων οἰκοῦσι χώραν, κατὰ κράτος καὶ αὐτὴν ἀνῃρηκότος τοῦ Ναβουχοδονόσορ. Πάνδεινον οὖν ἄρα τὸ προσκρούειν Θεῷ, κἂν εἰ ὀργὴν ἐπάγοι τισίν. Πᾶσα μὲν γὰρ εἰκαία σκέψις αὐτοῖς. Διασώσει δὲ τὸ σύμπαν οὐδὲν τοὺς καθ' ὧν ἂν γένοιτο. « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » κατὰ τὸ γεγραμμένον.

VERS. 8-11. *Nunc ergo sede et scribe in buxo hæc, et in libro : quod fient in diebus temporum ista, et usque in æternum. Quia populus incredulus est, filii mendaces, qui noluerunt audire legem Dei; qui dicunt prophetis : Nolite annuntiare nobis, et videntibus visiones : Nolite loqui nobis, alia loquimini*

Νῦν οὖν καθίσας γράψον ἐπὶ πυξίου ταῦτα, καὶ εἰς βιβλίον, ὅτι ἔσται εἰς ἡμέρας καιρῶν ταῦτα, καὶ ἕως εἰς τὸν αἰῶνα. Ὅτι λαὸς ἀπειθής ἐστιν, υἱοὶ ψευδεῖς, οἳ οὐκ ἠβούλοντο ἀκούειν τὸν νόμον τοῦ Θεοῦ· οἱ λέγοντες τοῖς προφήταις· Μὴ ἀναγγέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσι·

[27] Jer. II, 27. [28] Isa. XIV, 27.

Μὴ λαλεῖτε ἡμῖν, ἀλλὰ ἡμῖν λαλεῖτε καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης· ἀφέλετε ἀφ' ἡμῶν τὸν τρίβον τοῦτον, καὶ ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον τοῦ ἁγίου Ἰσραήλ.

A *nobis, et annuntiate nobis alium errorem, et avertite nos a via hac: auferte a nobis semitam hanc, et auferte a nobis verbum sancti Israel.*

Ὡς ἐσομένων κατὰ καιροὺς τῶν πραγμάτων γραφῆναι αὐτὰ ποιεῖσθαι προστέταχε, καὶ ἀποσημήνασθαι κελεύει. Συμβήσεται γὰρ, φησὶν, εἰς ἡμέρας καιρῶν· ἀξιωθήσεσθαι δὲ καὶ μνήμης αὐτὰ τῆς εἰς αἰῶνα. Καὶ ἀληθὴς ὁ λόγος. Ἔσται γὰρ ἀεὶ γνωρίσματα προφητῶν, καὶ μέχρις αὐτῆς συντελείας τοῦ παρόντος αἰῶνος. Ἀποσημῆναι δεῖ οὖν, φησὶ, καὶ γάρ εἰσι λαὸς ἀπειθής. Ἔσται δὴ τὸ χρῆμα πρὸς ὠφέλειαν αὐτοῖς. Εἰ γὰρ ἀπειθήσειαν τοῖς ἐσομένοις κατ' ἐκεῖνο τοῦ καιροῦ προφήταις ἁγίοις ἐντραπήσεσθαι καὶ μάλα εἰκὸς αὐτοὺς τὸ προειρῆσθαι ταῦτα B καὶ διὰ σοῦ. Ψευδεῖς δὲ αὐτοὺς ὀνομάζει καθάπερ ἐγῷμαι πάλιν διά τοι τὸ μὴ τηρῆσαι τῷ Θεῷ τὸ γνήσιον εἰς εὐσέβειαν, ψεύσασθαι δὲ τὴν ὑπόσχεσιν, ἣν πεποίηνται κατὰ καιροὺς τοὺς διὰ Μωσέως αὐτοῖς ὁρίζοντος νόμους ἐν τῷ ὄρει Σινᾶ τῶν πάντων ἡμῶν κρατοῦντος Θεοῦ. Εὑρήσομεν γὰρ σαφῶς εἰρηκότας· Πάντα ὅσα εἶπε Κύριος ὁ Θεὸς, ποιήσομεν, καὶ ἀκουσόμεθα. Παρεγγυῶντος τοιγαροῦν τοῦ νόμου καὶ λέγοντος· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Καὶ οὐ ποιήσεις σεαυτῷ εἴδωλον· » παρ' οὐδὲν πεποίηνται τὴν ἐντολήν· λελατρεύκασι γὰρ εἰδώλοις. Ταύτῃτοι καὶ μάλα εἰκότως υἱοὺς αὐτοὺς ὀνομάζει ψευδεῖς. Ψάλλει δέ που καὶ ὁ Δαβὶδ καί φησιν· « Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ· » καὶ μὴν καὶ ὡς ἐκ προσώπου Χριστοῦ, « Υἱοὶ C ἀλλότριοι, φησὶν, ἐψεύσαντό μοι. » Πρόφασις δὲ τῆς τοιᾶσδε νόσου γέγονεν αὐτοῖς τὸ μήτε τινὸς αἰδοῦς ἀξιοῦν τὸν νόμον, ἀτιμάζειν δὲ καὶ αὐτοὺς τοὺς τῶν ἁγίων προφητῶν λόγους. Καὶ τοῦτο διδάσκει λέγων· Οἳ οὐκ ἠβούλοντο ἀκούειν τὸν νόμον τοῦ Θεοῦ· οἱ λέγοντες τοῖς προφήταις μὴ ἀπαγγέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσι· Μὴ λαλεῖτε ἡμῖν, ἀλλὰ ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, καὶ ταύτης ἡμᾶς ἀποστρέψατε τῆς ὁδοῦ, καὶ ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον τοῦ ἁγίου Ἰσραήλ. Πολλοῖς μὲν γὰρ καὶ πλειστάκις ἁγίοις προφήταις ἐπεφύοντο πικροὶ, ταυτὶ βοῶντες καὶ λέγοντες οἱ ἐξ Ἰσραήλ. Ἴδοι δ' ἄν τις αὐτὸ καὶ μάλα ἐναργῶς, ὅτε παρακαλοῦντος Ἱερεμίου μὴ καταβαίνετε εἰς Αἴγυπτον, πρὸς ταῦτα ἔφησαν αὐτοὶ ψευδῆ, Οὐχ ἀπέστειλέ σε Κύριος, ἀλλ' ἢ υἱὸς Νηρίου συμβάλλει σε πρὸς ἡμᾶς, καὶ τὰ ἑξῆς.

Quasi hæc essent futura suo tempore, scribi ea mandat, et obsignari jubet. Contingent namque, inquit, in diebus temporum, æternisque monumentis digna sunt. Et verus est sermo. Semper enim erunt documenta prophetarum, usque ad consummationem hujus sæculi. Obsignari igitur dicit. Sunt enim populus incredulus. Erit autem hæc res illis utilitati. Nam si non credant futuris illo tempore prophetis sanctis, pudefieri eos maxime par est, cum hæc et per te fuerint prædicta. Mendaces autem nominat eos, sicuti ego judico, propterea quod germanam pietatem in Deum religionemque non conservent, quodque fidem fefellerint quam dederunt temporibus Moysis, qui eis in monte Sina leges descripsit, leges, inquam, Dei omnium nostrum dominatoris. Inveniemus enim dixisse eos: Omnia quæ dixit Dominus Deus, faciemus et audiemus. Præcipiente igitur lege et dicente: « Dominum Deum tuum adorabis, et ei soli servies: Et non facies tibi ipsi idolum [67]; » nihili hoc præceptum fecerunt, idolis enim servierunt. Hinc justissime eos nominat filios mendaces. Psallit autem David, ac inquit: « Inimici Domini mentiti sunt ei [68]; » et veluti in persona Christi: « Filii alieni, inquit, mentiti sunt mihi [69]. » Causa hujusce morbi eorum erat, quod **424** legem nulla dignarentur reverentia, ipsosque sermones sanctorum prophetarum contemptui haberent. Quod etiam docet, inquiens: Qui noluerunt audire legem Dei, dicentes prophetis: Nolite annuntiare nobis, et videntibus visiones: Nolite loqui nobis, alia nobis loquimini, et annuntiate nobis alium errorem, et avertite nos ab hac via, et auferte a nobis verbum sancti Israel. Multis enim prophetis sanctis idque multoties insultarunt homines acerbi, Israelitæ istuc clamantes atque dicentes. Perspicue illud videre est, quod cum Jeremias hortaretur ne descenderent in Ægyptum, ad hæc illi mendacia, Non misit te Dominus, sed filius Nerii emisit te ad nos, et reliqua.

Ὅτι ἠπειθήσατε τοῖς λόγοις τούτοις, καὶ ἠλπίσατε ἐπὶ ψεύδει, καὶ ὅτι ἐγόγγυσας, καὶ πεποιθὼς ἐγένου ἐπὶ τῷ λόγῳ τούτῳ· διὰ τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη ὡς τεῖχος πίπτον παραχρῆμα πόλεως ὀχυρᾶς ἑαλωκυίας, ἧς παραχρῆμα παρέστη τὸ πτῶμα· καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς σύντριμμα ἀγγείου ὀστρακίνου, ἐκ κεραμίου λεπτὰ ὥστε μὴ εὑρεῖν ἐν αὐταῖς ὄστρακον, ἐν ᾧ πῦρ ἀρεῖς, καὶ ἐν ᾧ ἀποσυριεῖς μικρὸν ὕδωρ.

D VERS. 12-14. *Quia non credidistis sermonibus his, et sperastis in mendacio; et quia murmurasti et confisus fuisti sermoni huic, propterea erit vobis peccatum hoc quasi murus cadens subito, civitate munita capta cujus subito adest ruina, et ruina ejus erit, quasi confractio vasis testacei ex figuli officina, comminuti ita ut inveniatur in eis testa, qua ignem tollas, et qua abstrahas parum aquæ.*

Ὅτι πάντη τε καὶ πάντως εἰς παγχάλεπον αὐτοῖς ἐκβήσεται πέρας τὸ ἀπειθεῖν ἑλέσθαι ταῖς τῶν ἁγίων

Docere aggreditur gravem illis exitum omnino imminere, quod sanctorum prophetarum monitis

[67] Lev. XXVI, 1. [68] Psal. LXXX, 16. [69] Psal. XVII, 46.

nolint obtemperare, sed in mendacium spem ponant, et quod inconsiderate, sese munire ac tueri conantur. Cum enim sermones prophetarum suggillaveritis, errorem eos nominantes, impieque dictitantes: Auferte a nobis verbum Domini, hinc vobis peccatum hoc tanquam murus captæ urbis concidet, idque subito, id est, brevi, urbis, inquam, sic attritæ, ut vas testaceum in minutas particulas confringitur, ut fragmenta singula omnino sint inutilia, ut nemo possit in eis vel ignem portare, vel modicam aquæ copiam collectam dispergere. His autem verbis innuit, quod tanta erit ac consimilis quodammodo pœna inobedientibus, et increscet calamitas, ut in ultimam miseriam deducantur, interque eos nemo prorsus reperiatur, qui non in horum malorum sortem deventurus sit.

Vers. 15. *Sic dicit Dominus sanctus Israel: Cum conversus ingemueris, tunc servaberis et* 425 *cognosces ubi fueris, quod confisus fueris inanibus.*

Cum supplicium eis omnium ultimum intentarit, et futurorum terriculamentis exagitaverit, commode mox etiam iræ in eos causam demonstrat, viamque salutis. Benignus est enim et humanus Conditor, et ut ipse dicit alicubi voce Ezechielis: « Non vult mortem impii, sed ut convertat a via mala, et vivat [99]. » Punitur ergo Israel, quippe qui a dilectione in Deum prorsus refugerit, et idolorum cultui se addixerit: at permittit volenti resipiscere ut expers malorum sit. Nam, inquit, cum a via prava et scelerata converteris, ab adorando, inquam, creaturam, et ab exhibendo venerationem ligno et lapidi, tunc servaberis. Ad hæc disces, ad quam tandem mentem, ad quam stupiditatem potius recideris, confisus inanibus. Si enim subvenire non valeant sibi, aliis opem afferre qui possent? Quid enim est idolo infirmius? Sunt nempe materia inanimis, et præterea nihil, dii errantium.

Vers. 16, 17. *Vana fortitudo vestra facta est, et noluistis audire: sed dixistis, Equis fugiemus, propterea fugietis, et in pernicibus equitabimus, propterea pernices erunt qui persequuntur vos. Voce unius fugient mille, et voce quinque fugient multi, donec relinquamini quasi malus navis super montem, et quasi signum ferens super collem.*

Etiamsi, inquit, experientia ipsa inveneritis spem in his qui dii habiti sunt, irritam esse, et videatis eorum fortitudinem vanam, nihilominus inobedientes mansistis. Audientes enim, inquit, non esse descendendum in Ægyptum, sed colendum fide eum qui servare promisit, noluistis audire, sed dixistis: Equis fugiemus, et in pernicibus equitabimus. Satis enim putastis ad salutem vobis, in

A προφητῶν νουθεσίαις· ἐλπίδα τε ποιεῖσθαι τὸ ψεῦδος, καὶ τὸ εἰς νοῦν ἧκον ἀπερισκέπτως κρατύνειν ἐπιχειρεῖν, πειρᾶται διδάσκειν. Ἐπειδὴ γὰρ τοῖς τῶν προφητῶν ἐπετιμήσατε λόγοις, πλάνησιν αὐτοὺς ὀνομάζοντες, καὶ φάσκοντες ἀνοσίως· Ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον Κυρίου, ταύτητοι καὶ ὡς ἁλούσης πόλεως τεῖχος ἐπιπεσεῖται ἡμῖν ἡ ἁμαρτία αὕτη, καὶ τοῦτο παραχρῆμα, τοῦτ' ἔστιν, οὐκ εἰς μακράν· πόλεως δέ φημι τῆς οὕτω συντετριμμένης, ὡς ἂν εἰ καὶ ἀγγεῖον ὀστράκινον εἰς λεπτὰ συνθράνοιτο, ὡς τῶν συνθραυσμάτων ἕκαστον ἀχρεῖον εἶναι παντελῶς, μηδένα δύνασθαι μήτε πῦρ ἐν αὐτῷ διακομίσαι ποι, μήτε μὴν ὕδατος βραχεῖαν σκεδάσθαι συλλογήν. Αἰνίττεται δὲ διὰ τούτων, ὅτι τοσαύτη τοῖς ἀπειθήσασιν ἐν σκήψει δίκη καὶ ἐφαλεῖται συμφορὰ, ὡς εἰς B ἐσχάτην αὐτοὺς κατακομίσαι ταλαιπωρίαν. Εὑρίσκεσθαι δὲ παντελῶς ἐν αὐτοῖς οὐδένα τὸν ἔξω μεμενηκότα τοῦ μὴ πρὸς λῆξιν ἐλάσαι κακῶν.

Οὕτως λέγει Κύριος ὁ ἅγιος τοῦ Ἰσραήλ· Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ, καὶ γνώσῃ ποῦ ἦσθα, ὅτι ἐπεποίθεις ἐπὶ τοῖς ματαίοις.

Τὴν ἁπασῶν ἐσχάτην αὐτοῖς ἐπαρτήσας δίκην, καὶ τοῖς τῶν ἐσομένων δείμασι προκαταπτοήσας χρησίμως δείκνυσιν εὐθὺς καὶ τῆς ἐπ' αὐτῆς ὀργῆς τὴν αἰτίαν, καὶ τῆς σωτηρίας τὴν ὁδόν. Χρηστὸς γάρ ἐστι καὶ φιλάνθρωπος ὁ Δημιουργὸς, καὶ ὡς αὐτός πού φησι διὰ φωνῆς Ἰεζεχιὴλ, « Οὐ θέλει τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν. » Κολάζεται τοίνυν ὁ Ἰσραὴλ ὡς τῆς εἰς Θεὸν ἀγάπης ὁλοτρό- C πως ἀποδραμὼν, καὶ ταῖς τῶν εἰδώλων λατρείαις προστεθειμένος, πλὴν ἐφίησιν ἑλομένῳ μετανοεῖν, ἔξω φέρεσθαι τοῦ κακοῦ. Ὅταν γὰρ, φησὶν, ὡς ἐξ ὁδοῦ φαύλης τε καὶ μιαρᾶς ἀποστρέψῃς τοῦ χρῆναί φημι τῇ κτήσει προσκυνεῖν, καὶ ξύλῳ καὶ λίθῳ προσάγειν τὸ σέβας, τότε σωθήσῃ, καὶ πρός γε τούτῳ μαθήσῃ λοιπὸν ὅποι ποτὲ ἦσθα φρενῶν, μᾶλλον δὲ ἀμαθίας πεποιθὼς ἐπὶ τοῖς ματαίοις. Εἰ γὰρ ἑαυτοῖς ἐπαρκεῖν οὐχ οἷοί τε, πῶς ἂν ἑτέροις χαρίσαιντο τὴν ἐπικουρίαν; Τί γὰρ εἴδωλον τὸ ἀδρανέστερον. Εἰσὶ γὰρ ἄψυχος ὕλη, καὶ ἕτερον οὐδέν; οἱ τῶν πλανωμένων θεοί.

Ματαία ἡ ἰσχὺς ὑμῶν ἐγενήθη, καὶ οὐκ ἐβούλεσθε ἀκούειν, ἀλλ' εἴπατε· Ἐφ' ἵππων φευξόμεθα· διὰ τοῦτο φεύξεσθε, καὶ ἐπὶ κούφοις D *ἀναβάταις ἐσόμεθα· διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώκοντες ὑμᾶς. Διὰ φωνὴν ἑνὸς φεύξονται χίλιοι, καὶ διὰ φωνὴν πολλῶν, φεύξονται πολλοὶ, ἕως ἂν καταλειφθῆτε ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ.*

Καίτοι γὰρ διὰ πείρας ἀνόνητον εὑρηκότες τὴν εἴς γέ φημι τοὺς νομισθέντας εἶναι θεοὺς ἐλπίδα, καὶ τὴν ἰσχὺν αὐτῶν ὁρῶντες ματαίαν, οὐδὲν ἧττον ἀπειθεῖς μεμενήκατε, φησίν. Ἀκούοντες γὰρ μὴ κατελθεῖν εἰς Αἴγυπτον, τιμῆσαι δὲ πίστει τὸν διασώζειν ὑπισχνούμενον, οὐκ ἠθέλετε ἀκούειν, ἀλλ' εἴπατε, Ἐφ' ἵππων φευξόμεθα, καὶ ἐπὶ κούφοις ἀναβάταις ἐσόμεθα. Ὠήθητε γὰρ, ὡς ἀπόχρη πρὸς σω-

[99] Ezech. XVIII, 32.

τηρίαν ὑμῖν τὸ τῆς Ἰουδαίας ἀποδραμεῖν. Ἀλλὰ A κοῦφοι, φησὶν, ἔσονται οἱ διώκοντες ὑμᾶς, τοῦτ' ἔστι, πτηνοὶ καὶ ὀξεῖς, δεινοὶ δὲ οὕτω καὶ φοβεροὶ παρ' ὑμῖν, καὶ εἰς τοῦτο δειλίας κατοιχήσεται τῶν ἀνηκόων ὁ νοῦς, ὡς ἑνὸς τῶν πολεμίων καὶ μόνον ἀναβοήσαντος τραπέσθαι χιλίους εἰς φυγήν. Εἰ δὲ δὴ καὶ πέντε καταλήξειαν τῆς Ἰουδαίων φάλαγγος φεύξονται πολλοί· ἐπίσημον δὲ οὕτως ὑπομενοῦσι τὴν ταλαιπωρίαν, ὡς περίοπτον γενέσθαι, καὶ οὐδενὶ τὸ σύμπαν ἀγνοουμένην, ὁρωμένην δὲ οὕτως καθάπερ ἀμέλει καὶ ἱστὸν εἴ τις ἐπ' ὄρους ἀναστήσειεν, ἢ καὶ σημαίαν ἐπὶ βουνοῦ. Σημαίαν δὲ καὶ ἱστόν φησιν εἶναι τὸ ἐν βουνοῖς, ἢ γηλόφοις ἐγειρόμενον ξύλον σημεῖα τινὰ φοροῦν, δι' οὗ σημαίνουσι τοῖς στρατεύμασιν οἱ καθηγεῖσθαι λαχόντες, ἢ ὅτι νενικήκασι, καὶ τὰ τῆς μάχης αὐτοῖς εὖ ἔχει τυχὸν, ἤγουν ὅτι χρὴ B συναγείρεσθαι πρὸς αὐτοὺς, ἵνα τι τῶν ἀγίων ἀκούσειαν.

Judæam recurrere. At pernices, inquit, erunt qui persequuntur vos, id est volucres et celeres. Adeo feroces ac formidabiles erunt vobis, ad eam timiditatem inobedientium animus delabetur, ut si unus hostium vociferetur solum, mille in fugam vertantur: sin quinque clamorem edant, ex phalange Judæorum multi fugient: adeo vero insignem calamitatem sustinebunt, ut conspicua futura sit, **426** nullique omnino non cognita: adeoque spectabilis, quemadmodum si quis certe malum in monte, vel etiam signum in colle statuerit. Signum autem et malum vocat lignum in collibus, et tumulis excitatum, signa quædam ferens, unde significant præfecti militibus, vel quod vicerint, bellique fortuna pulchre ceciderit, vel forte ut ad se convocentur, aliquid audituri necessarium.

Καὶ πάλιν μενεῖ ὁ Θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς· καὶ διὰ τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς, διότι κριτὴς Κύριος ὁ Θεὸς ὑμῶν. Καὶ ποῦ καταλήψετε τὴν δόξαν ὑμῶν;

VERS. 18. *Et rursus exspectabit Deus ut misereatur vestri, et propterea in altum tolletur, ut sit propitius vobis, quia judex Dominus Deus vester. Et ubi relinquetis gloriam vestram?*

Ἐλπίδα πάλιν τετήρηκε τοῖς ἐξ Ἰσραήλ. Σέσωται γὰρ τὸ κατάλειμμα. Οὐ γὰρ ὁλόῤῥιζος, φησὶν, ὁ ἠγαπημένος οἰχήσεται πρὸς ἀπώλειαν, οὔτε μὴν ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεὸς, καθά φησιν ὁ μακάριος Δαβὶδ, ἀλλ' ἔσται τὸ ὄνομα αὐτοῦ δεδοξασμένον καὶ ὑψηλὸν, ὅταν ὑμᾶς ἐλεήσῃ. Ἀλλ' ἐρεῖς, ὅτι Καίτοι πῶς οὐκ ἦν ἀγαθοῦ τὸ μηδ' ὅλως τὴν δίκην ἐπενεγκεῖν· ἀλλ' ἐννοεῖν Ἀκόλουθον, ὅτι πρὸς τὸ εἶναι χρη- C στὸς καὶ κριτής ἐστιν. Ἔργον δὲ τοῦ κρίνοντος ὀρθῶς τε καὶ ἀδεκάστως τὸ ἀναλόγως τοῖς ἑκάστου πταίσμασιν ἐπιμετρεῖν τὰς δίκας. Ἀγαθοῦ δὲ πάλιν τὸ καὶ ἡμέρῳ νεύματι μεταπλάττειν ἐπὶ τὸ ἄμεινον τοὺς κεκολασμένους. Ὑμεῖς δὲ, φησὶ, ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν; Ἀντὶ δὲ τοῦ, καταλείψετε, τὸ, καταλειφθήσεται, φησίν. Ἀδιαφορεῖ γὰρ ἔσθ' ὅτε περὶ τὰς λέξεις ἡ θεόπνευστος Γραφή. Ὀνειδίζει τοιγαροῦν αὐτοῖς ὅτι τὴν ἑαυτῶν δόξαν τὸ εἶναι Θεοῦ καὶ λέγεσθαι, κλῆρος γὰρ ἦσαν αὐτοῦ, οὐδενὸς πεποίηνται λόγου. Καταλελοίπασι γὰρ αὐτὴν μεταπίπτοντες εἰς τὰ αἴσχίω, καὶ λατρεύσαντες τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καὶ ἀπειθοῦντες μὲν προφήταις ἁγίοις, ἀλογήσαντες δὲ καὶ αὐτῆς τῆς παρὰ Θεοῦ σωτηρίας, καὶ ψευδῆ, καὶ ἀνόητον ἐλπίδα τὴν ἐπ' ἀνθρώποις τετιμηκότες. Καταβεβήκασι γὰρ, ὡς ἔφην, εἰς τὴν Αἰγυπτίων.

Spem rursus Israelitis servavit. Conservatæ enim sunt reliquiæ. Non enim, inquit, dilectus funditus abibit in interitum, neque obliviscetur misereri Deus, sicuti inquit beatus David, sed erit nomen ejus gloriosum et excelsum, quando vestri misertus fuerit. Sed inquies: Nonne boni proprium fuisset omnino pœnam non intulisse? Sed cogitandum est quod sit et benignus et judex. Judicis autem officium est, recte et incorrupte pro ratione delictorum cujusque, admetiri pœnas: rursus boni est, punitos placido nutu in melius transformare. Vos, inquit, ubi relinquetis gloriam vestram? Relinquetis, dicit, pro relinquetur. Scriptura enim divinitus aspirata de verbis minus interdum laborat. Objicit itaque illis, quod gloriam suam per quam essent et dicerentur Dei (nam sors ejus erant), nihili æstimarint. Illam enim reliquerunt, in turpiora se transferentes, et operibus manuum suarum servientes, et sanctis prophetis minus obedientes, ipsamque a Deo salutem negligentes, et falsam inutilemque spem in hominibus colentes. Descenderunt enim, uti dixi, in Ægyptum.

Μακάριοι πάντες οἱ ἐμμένοντες ἐν αὐτῷ, διότι D *λαὸς ἅγιος ἐν Σιὼν οἰκήσει, καὶ Ἱερουσαλὴμ κλαυθμῷ ἔκλαυσεν· Ἐλέησόν με. Ἐλεήσει σε; τὴν φωνὴν τῆς κραυγῆς σου ἡνίκα εἶδεν, ἐπήκουσέ σου.*

VERS. 19. *Beati omnes qui perseverant in eo, quia populus sanctus in Sion habitabit, et Jerusalem fletu flevit, Miserere mei. Miserebitur tui: vocem clamoris tui quando vidit, audivit te.*

Δόξαν ὀνομάσας τοῦ Ἰσραὴλ τὸν τῶν ὅλων Σωτῆρα Θεὸν, διαδείκνυσιν ὅτι τὸ μὴ ἐθέλειν ἀποφοιτᾷν αὐτοῦ, προσερηρεῖσθαι δὲ μᾶλλον αὐτῷ διὰ τῆς εἰς πᾶν ὅτι οὖν εὐπειθείας καὶ ὑποταγῆς, πάντη τε καὶ πάντως ἀποφαίνει μακαρίους. Ὅτι δὲ κατὰ τὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας καιρὸν, πολλοὶ μεταγνώσονται τῶν ἐξ αἵματος Ἀβραὰμ, καὶ δικαιούμενοι διὰ πίστεως, καὶ ἁπάσης ἁμαρτίας

Cum gloriam Israelis universorum Servatorem Deum nominarit, prorsus penitusque beatos pronuntiat, si nolint ab eo recedere, sed magis per obedientiam in **427** omnibus submissionemque ei inniti velint. Quod etiam Servatoris nostri adventus tempore, multi ex sanguine Abrahami pœnitentiam acturi sint, et justificati per fidem, et omni peccato liberati, per spiritum divitias sanctifi-

cationis consecuturi, docet, inquiens : Populus sanctus in Sion habitabit. Fletum enim flevit, inquit, Jerusalem, Miserere mei. Cumque sit universorum Deus ad humanitatem promptus et expositus, ad miserendum paratissimus : Miserebitur tui, inquit, tuumque clamorem exaudiet. Simul ac enim resipiscentem intuitus fuerit, oblivionis malorum gratiam etiam alacriter confert. Nam quod ad voluntatem omnium Domini attinet, omnes per fidem in Christo salvi esse potuissent. Cum autem Redemptorem non admiserint, hinc traditi sunt in exsilium, utpote quod ipsi elegerunt.

VERS. 20, 21. *Et dabit vobis Dominus panem afflictionis, et aquam angustam, et nequaquam ultra appropinquabunt tibi qui decipiunt te : quia oculi tui videbunt decipientes te, et aures tuæ audient sermones qui te deceperunt, dicentes : Hæc via, ambulemus in ea, sive ad dextram, sive ad sinistram.*

Factus est nobis virtus panis vitæ Dominus noster Jesus Christus. Dixit enim diserte : « Ego sum panis qui de cœlo descendit, et vitam dat mundo [70]. » Sed est quoque aqua, non sub sensum cadens aut materialis, sed divina potius et intelligentiæ subjecta. Nuncupatus siquidem est flumen pacis, et torrens deliciarum, idque dicimus, psallente et dicente beato Davide tanquam ad Deum et Patrem, de his qui fide justificati sunt : « Apud te fons vitæ, et torrente deliciarum potabis eos [71]. » Panis igitur et aqua vivifica, Christus : sed cum sudore et labore invenitur. Magna enim bona et eximia non percipiuntur ab his qui jacent et deliciantur, sed ab his qui sudores et labores in hac re collocatos contemnunt. Sic divinus David mysterium Christi scrutatus est, psallens et dicens : « Si ascendero in lectum strati mei, si dedero somnum oculis meis, et palpebris meis dormitationem, et requiem temporibus meis : donec invenero locum Domino, tabernaculum Deo Jacob. Ecce audivimus eam in Ephratha, **428** invenimus eam in campis silvæ [72]. » Natus est enim in Bethlehem Emmanuel, quæ est Ephratha. Promittit igitur universorum Deus Israelitis ad se convertentibus panem afflictionis, et aquam angustam daturum se, id est, vitam, quæ in Christo, donaturum, suique notitiam : quam colligere quis poterit, et in animi sui thesauris reponere, non in voluptates delabendo, non ignavam vitam ducendo, non latam et laxam viam ingrediendo, sed potius per angustam portam, quæ ducit ad vitam, subintrando. Hunc itaque panem, inquit, si acceperis, tunc fies etiam securus, neque in errorem proclivis, nec verbis decipientium facile abreptus. Videbis enim illos, et sermones eorum audies. Nam olim cum non poteras eorum verba dijudicare, similis eras his qui nec omnino vident, cum sermones eorum qui consueverunt fallere audiunt; sed pane hoc accepto, videbis

A ἀπηλλαγμένοι, τὸν διὰ τοῦ πνεύματος καταπλουτήσουσιν ἁγιασμὸν, διδάσκει λέγων, ὅτι Λαὸς ἅγιος ἐν Σιὼν οἰκήσει. Κλαυθμῷ γὰρ ἔκλαυσε, φησὶν, Ἱερουσαλὴμ, Ἐλέησόν με. Ἐπειδὴ δὲ πρόθυμος εἰς φιλανθρωπίαν, ἑτοιμότατά τε κατοικτείρειν ὁ τῶν ὅλων Θεὸς εἰδὼς, Ἐλεήσει σε, φησὶν, ἔσται δὲ καὶ τῆς σῆς κατήκοος κραυγῆς· ἅμα τε γὰρ μετανοοῦντα τεθέαται, καὶ ἀμελητὶ κατένευσε τῆς ἀμνησικακίας τὴν χάριν. Οὐκοῦν ὅσον μὲν ἧκεν εἴς γε τὸ δοκοῦν τῷ πάντων Δεσπότῃ, πάντες ἂν διεσώθησαν διὰ πίστεως τῆς ἐν Χριστῷ. Ἐπειδὴ δὲ οὐ προσήκαντο τὸν Λυτρωτὴν, ταύτητοι δέδονται πρὸς ἀπώλειαν. Εἵλοντο γὰρ τοῦτο μᾶλλον αὐτοί.

Καὶ δώσει ὑμῖν Κύριος ἄρτον θλίψεως καὶ ὕδωρ στενὸν, καὶ οὐκ ἔτι μὴ ἐγγίσωσί σοι οἱ πλανῶν- B *τές σε· ὅτι οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε, καὶ τὰ ὦτά σου ἀκούσονται τοὺς λόγους τῶν ὀπίσω σε πλανησάντων, οἱ λέγοντες· Αὕτη ἡ ὁδὸς, πορευθῶμεν ἐν αὐτῇ, εἴτε δεξιὰ, εἴτε ἀριστερά.*

Γέγονεν ἡμῖν εἰς δύναμιν ἄρτου ζωῆς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Ἔφη γὰρ ἐναργῶς· « Ἐγώ εἰμι ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Ἀλλ' ἔστω καὶ ὕδωρ, οὐκ αἰσθητόν τε καὶ ἔνυλον, θεῖον δὲ μᾶλλον καὶ νοητόν. Κεχρημάτικε γοῦν ποταμὸς εἰρήνης, καὶ χείμαρρος τρυφῆς, καὶ τοῦτό φαμεν ψάλλοντος, καὶ λέγοντος τοῦ μακαρίου Δαβὶδ ὡς πρὸς Θεὸν καὶ Πατέρα περὶ τῶν ἐν πίστει δεδικαιωμένων· ὅτι « Παρά σοὶ πηγὴ ζωῆς, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. » Ἄρτος C οὖν ἄρα καὶ ὕδωρ τὸ ζωοποιὸν ὁ Χριστός· εὑρίσκεται δὲ σὺν ἱδρῶτι, καὶ πόνῳ. Τὰ γάρ τοι μεγάλα, καὶ ἐξαίρετα τῶν ἀγαθῶν, οὐ τοῖς ἀναπίπτουσι, καὶ τρυφῶσιν ἁλώσιμα γένοιτ' ἂν, ἀλλ' εἰ τοῖς εἰωθόσι παρ' οὐδὲν ἡγεῖσθαι τοὺς ἐπ' αὐτοῦ δὴ τούτῳ καὶ ἱδρῶτας καὶ πόνους οὕτως ἐζήτει τὸ Χριστοῦ μυστήριον ἀναμαθεῖν. Καὶ ὁ θεσπέσιος Δαβὶδ ψάλλων τε καὶ λέγων· « Εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. » Γεγέννηται γὰρ ἐν Βηθλεὲμ ὁ Ἐμμανουὴλ, ἥτις ἐστὶν Ἐφραθά. Ἐπαγγέλλεται τοίνυν ὁ τῶν ὅλων Θεὸς τοῖς ἐξ Ἰσραὴλ ἐπι- D στρέφουσι πρὸς αὐτὸν ἄρτον διδόναι θλίψεως, καὶ ὕδωρ στενὸν, τοῦτ' ἔστι, ζωὴν τὴν ἐν Χριστῷ χαρίσασθαι καὶ γνῶσιν τὴν περὶ αὐτοῦ, ἣν ἄν τις συλλέξαιτο, καὶ τοῖς τῆς ἑαυτοῦ διανοίας ἐναποκλείσειε θησαυροῖς, οὐκ ἀναπίπτων εἰς τρυφὰς, οὐκ ἐξίτηλον ἔχων τοῦ βίου τὴν ἀγωγὴν, οὔτε μὴν τὴν πλατεῖαν καὶ εὐρύχωρον βαδίζων ὁδὸν, εἰσερχόμενος δὲ μᾶλλον διὰ τῆς στενῆς πύλης τῆς ἀποφερούσης εἰς ζωήν. Τοῦτον οὖν ἄρα, φησὶν, εἰ λάβοις τὸν ἄρτον, τότε γενήσῃ καὶ ἀσφαλὴς, οὐκ εὔκολος εἰς παραφορὰν, οὐδὲ τοῖς τῶν πλανώντων λόγοις ἑτοίμως συναρπαζόμενος. Ὄψει γὰρ αὐτοὺς, καὶ ἀκούσῃ τῶν λόγων αὐτῶν. Πάλαι

[70] Joan. VI, 33. [71] Psal. XXXV, 9. [72] Psal. CXXXI, 3 seqq.

μὲν γὰρ ἀπό γε τοῦ δύνασθαι μὴ διακρίνειν τὰ παρ' A αὐτῶν, ὁ ἐν ἴσῳ τεθεὶς τοῖς μηδὲ ὁρῶσιν ὅλως, μήτε μὴν ἀκούουσι τῶν λόγων τῶν εἰωθότων πλανᾷν· λαβὼν δὲ τὸν ἄρτον ὄψει δὴ πάντως αὐτοὺς, καὶ τίνες ἄρα τὴν ἕξιν εὖ μάλα συνήσεις· οἷα διαφέροντες ἁπλῶς, καὶ λέγοντες· Αὕτη ἡ ὁδὸς, πορευθῶμεν ἐν αὐτῇ, εἴτε δεξιὰ, εἴτε ἀριστερά· οὐ γὰρ ἦν διάκρισις τοῦ πεφυκότος ἀδικεῖν. καὶ τοῦ μὴ τοιούτου, ἀλλ' οἷον ἀπερισκέπτως πρὸς πᾶν ὁτιοῦν ἀπεκόμιζον τῶν ἁπάντων οἱ λόγοι.

omnino eos, et quo affectu ac indole sint, plane cognosces: nimirum dissentientes plane et dicentes: Hæc est via, ambulemus in ea, sive ad dextram, sive ad sinistram. Non enim erat injusti, et ejus quod tale non est, discrimen, sed velut inconsiderate ac promiscue ad quidvis eos quorumvis verba abducebant.

Καὶ ἐξαρεῖς τὰ εἴδωλα τὰ περιηργυρωμένα, καὶ περικεχρυσωμένα· λεπτὰ ποιήσεις, καὶ λικμήσεις ὡς ὕδωρ ἀποκαθημένης, καὶ ὡς κόπρον ὤσεις αὐτά.

Vers. 22. *Et auferes idola argentea, et deaurata: comminues ea, et disperges velut aquam menstruatæ mulieris, et ut stercus proturbabis ea*

Πρέποι ἂν, οἶμαι, καὶ τοῦτο κατορθοῦν, λέγεσθαι τοῖς τε ἐξ ἐθνῶν κεκλημένοις διὰ τῆς πίστεως εἰς ἐπίγνωσιν ἀληθείας, καὶ μὴν καὶ αὐτοῖς τοῖς ἐξ αἵ- B ματος Ἰσραήλ. Αὐτοῖ δὲ οὐδὲν ἁρμόσαι λέγειν καὶ τοῖς ἐξ Ἑλληνικῆς ἰοῦσι πλάνης, τὸ, Δώσει ὑμῖν Κύριος ἄρτον θλίψεως καὶ ὕδωρ στενόν· καὶ οὐκ ἔτι μὴ ἐγγίσωσί σοι οἱ πλανῶντές σε. Οἱ μὲν θάλανες Ἰουδαῖοι πονηροὺς ἐσχήκασι τοὺς καθηγητὰς, Γραμματέας δὴ λέγω, καὶ Φαρισαίους, οἱ πρὸς πᾶν ὁτιοῦν τῶν δοκούντων αὐτοῖς ἀποκομίζειν ἤθελον, ἐξιστάντες μὲν τῆς Μωσέως ἐντολῆς, ἀναπείθοντες δὲ προσέχειν διδασκαλίαις καὶ ἐντάλμασιν ἀνθρώπων. Κατεγινώσκετο δὲ πρὸς τούτοις ὁ Ἰσραὴλ, ὡς ἐκβεβηκὼς εἰς τοῦτο φρενοβλαβείας, ὡς καὶ ἀψύχοις εἰδώλοις ἐλέσθαι προσκυνεῖν. Ἑλλήνων δὲ παῖδες ἀνοσίους ἐσχήκασι διδασκάλους, οἱ ψυχικὴν καὶ δαιμονιώδη ἔχοντες σοφίαν ἀναρίθμητον τῷ βίῳ δαιμονίων ὄχλον ἐκήρυξαν, καὶ προσκυνεῖν τῇ κτίσει, παρὰ τὸν κτίσαντα. C Λαβόντες δὴ οὖν τὸν ἄρτον τῆς ζωῆς καὶ τὸ ὕδωρ τὸ ζωοποιὸν, οὗτοί τε κἀκεῖνοι τῶν ἀρχαίων ἀπηλλάττοντο διδασκάλων, μᾶλλον δὲ τῶν πλανώντων αὐτοὺς, κατεγνωκότες δὲ τῆς ἀπάτης περιεῖλον τὰ εἴδωλα. Δεδικαίωνται γὰρ διὰ πίστεως μονονουχὶ, καὶ ἐῤῥῶσθαι φράσαντες τῷ Σατανᾷ καὶ τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ τοὺς πάλαι παρ' αὐτοῖς νομισθέντας εἶναι ὑψηλοὺς, τοὺς ψευδωνύμους λέγω θεοὺς, καταμυσαττόμενοί τε καὶ φεύγοντες· ὡς ἂν καί τι τῶν ἄγαν ἐστυγημένων καὶ εἰς ἐσχάτην τελευτώντων ἀκαθαρσίαν. Κόπρου γὰρ καὶ ὕδατος ἀποκαθημένης, τί ἂν γένοιτο βδελυρώτερον;

Existimo decere cum eos qui ex gentibus vocati sunt per fidem ad agnitionem veritatis, tum eos qui orti sunt sanguine Israelitico, ut hoc velint recte administrare. Nihil autem incommodi est si dicamus, quadrare etiam his qui e Græco errore exierunt: Dabit vobis Dominus panem afflictionis, et aquam angustam, et nequaquam appropinquabunt tibi decipientes te. Judæi sane miseri malos habuerunt præceptores, Scribas, inquam, et Pharisæos, qui ad id omne quod ipsis collubitum est, abducere volebant, a præceptis Mosaicis avertentes, et persuadentes doctrinis et præceptis hominum attendere. Accusabatur porro Israel, quod eo quasi dementiæ progressus esset, ut et inanima idola voluerit adorare. Atqui Græcorum filii impios doctores habuerunt, qui animali et dæmoniaca prædili sapientia, innumerabilem in vita dæmoniorum **429** turbam prædicarunt, docueruntque creaturam supra Creatorem adorare. Accepto autem pane vitæ, et aqua vivifica, tam hi, quam illi, a pristinis liberati sunt doctoribus, aut potius deceptoribus, et se erroris accusantes, idola abstulerunt. Justificati sunt enim per fidem, Satana immundisque dæmonibus, seu spiritibus tantum non valedicentes, et qui olim apud eos sublimes habiti sunt, falso nominatos, inquam, deos, exsecrantes et fugientes, tanquam rem maxime odiosam et extreme immundam. Quid enim stercore, et aqua menstruæ mulieris esse potest detestabilius?

Τότε ἔσται ὑετὸς τῷ σπέρματι τῆς γῆς σου, καὶ ὁ ἄρτος τοῦ γεννήματος τῆς γῆς σου ἔσται D πλησμονὴ καὶ λιπαρός. Καὶ βοσκηθήσεταί σου τὰ κτήνη τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα καὶ εὐρύχωρον. Οἱ ταῦροι ὑμῶν καὶ οἱ βόες καὶ οἱ ἐργαζόμενοι τὴν γῆν φάγονται ἄχυρα ἀναπεποιημένα ἐν κριθῇ λελικμημένῃ.

Vers. 23, 24. *Tunc erit pluvia semini terræ tuæ, et panis germinis terræ tuæ erit abundans et pinguis. Et pascentur jumenta tua die illo, in loco pingui et spatioso. Tauri vestri et boves operantes terram, comedent paleas, immistas hordeo ventilato.*

Ἐσχημάτισται μὲν ὡς ἀπό γε τῶν εἰωθότων γηπονεῖν ὁ λόγος, οἳ ἐπειδὰν ἀμφιλαφῆ τῶν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταχεομένων ὑδάτων καταπλουτήσωσι τὴν φορὰν, τότε δὴ πάντως καὶ εὐκαρπίαν ἔχουσι πολλὴν, καὶ εἰς πλατύτητα ζωαρκῆ, καὶ αὐτὴν δὲ τοῖς κτήνεσι τὴν ἐξ ἀγροῦ κείρουσι πόαν· μεταπλάττεται δὲ πάλιν ἐκ τῶν αἰσθητῶν εἰς πνευματικὴν θεωρίαν τῶν προ-

Orationis figura sumitur ab agricolis qui, postquam magnam pluviæ copiam e supernis et e cœlo effusæ opulenter acceperint, tunc omnino et fertilitatem multam habent, et amplos proventus, qui satis ad victum suppeditent, herbamque ex agro jumentis demetunt. Transfertur autem rursus eorum quæ proposita sunt sententia, a rebus sub sensum

[70] Joan. vi, 35. [71] Psal. xxxv 9. [72] Psal. cxxxi, 3 seqq.

cadentibus, ad spiritualem considerationem. Cum enim, inquit, panem afflictionis, et aquam angustam dederit tibi Deus, quando videris decipientes te, et animum tuum ab illis averteris, quando idola sustuleris, et veræ Dei cognitionis illustrationem acceperis, tunc spirituali fertilitate abundabis. Erit namque pluvia semini terræ tuæ. Pluviam dicit intelligibilem spiritus consolationem, quæ corda colentium Deum recreat et quasi opimat, et fructuosos efficit. David enim canit de his qui per fidem in Christo justificati sunt: « Pluviam voluntariam segregabis, o Deus, hæreditati tuæ [73], » evangelicam nempe et salutarem prædicationem et consolationem, ut dixi, per sanctum Spiritum. Dixit quoque alicubi propheta Isaias, ex persona Dei, de Israelitis, qui erant vinea: Et mandabo nubibus, ut non depluant in eam pluviam. Erit ergo, inquit, pluvia semini terræ tuæ. Quin et panis **430** germinis terræ tuæ erit abundans et pinguis, id est, fructus tuorum operum erit adjumento et utilitati. Fructum enim edet, et pinguis erit et copiosus. Nam Malachias propheta defectores Israelitarum alloquebatur, dicens: « Quia decipiens erat vitulus tuus, Samaria, quia corrupta vento severunt, et subversio eorum excipiet ea [74]. » Manipulus non habens vires faciendi farinam. Rursus et alter e sanctis, increpat quosdam, et inquit: Et Domini Dei tui non es recordatus, propterea plantabis plantationem infidam. Infrugifer enim est impiorum fructus, et labores inutiles, et conatuum successus nihil habet utilitatis. At pii fructuosi sunt, quibus bene sane apprecatur divinus Paulus, inquiens: « Deus autem justitiæ augeat sementem vestram, et multiplicet proventus justitiæ vestræ [75]. » Adjecit vero his propheta: Et jumenta pascentur in loco pingui et spatioso. Jumenta puto illum vocare pusillanimes et simpliciores, qui mente tardi sunt: vocati autem semel ad agnitionem Dei per fidem, intelligentiæ pastum invenient, et in loco pingui pascentur, id est, in Scriptura divino Spiritu prodita, vere spatiosa. Est enim lata et ampla, et tendens ad pietatem. Tauros, seu boves operantes terram, esuros dicit paleas commistas hordeo ventilato, id est, bene saginati spirituali pastu, et solidis repleti disciplinis, terram colent. Tauros autem, opinor, vocat hisce verbis, eos qui divinæ prædicationis ministerio funguntur, et magna virtute Evangelium annuntiant. In hoc nobis fidem faciet iterum, sapientissimus Paulus, legale præceptum intelligens spiritualiter. Dixit enim, « Scriptum est: Non obturabis os bovi trituranti. » Tum adjicit: « Num boves curæ sunt Deo [76]? » An propter nos omnino dicit? Itaque tanquam ab optima vitulorum pastione explicat effingitque spiritualia, datque intelligere, electis, cultoresque Christi velut terram frugiferam reddentibus, pulcherrimum soliduumque pastum adfuturum. Oportuit enim, oportuit populorum præfectos spiritualibus bonis

A κειμένων ὁ νοῦς. Ἐπειδὰν γάρ, φησὶ, τὸν ἄρτον τῆς θλίψεως καὶ τὸ ὕδωρ τὸ στενὸν δοθείη σοι παρὰ Θεοῦ, ὅταν ἴδῃς τοὺς πλανῶντάς σε, καὶ ἀποστήσῃς τὴν σεαυτοῦ διάνοιαν ἀπ' αὐτῶν, ὅταν ἐξάρῃς τὰ εἴδωλα, καὶ τῆς ἀληθοῦς θεογνωσίας εἰσδέξῃ τὸν φωτισμὸν, τότε καὶ ἐν εὐκαρπίαις ἔσῃ πνευματικαῖς. Ἔσται γὰρ ὑετὸς τῷ σπέρματι τῆς γῆς σου. Ὑετὸν δέ φησι τὴν διὰ τοῦ πνεύματος νοητὴν παράκλησιν, ἣ τὰς τῶν σεβομένων Θεὸν καταπιαίνει καρδίας, καὶ μὴν καὶ εὐκάρπους ἀποτελεῖ. Ψάλλει μὲν γὰρ ὁ Δαβὶδ περὶ τῶν ἐν πίστει τῇ ἐν Χριστῷ δεδικαιωμένων· « Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ Θεὸς τῇ κληρονομίᾳ σου, » τὸ εὐαγγελικὸν δηλονότι καὶ σωτήριον κήρυγμα, καὶ τὴν διὰ τοῦ ἁγίου Πνεύματος, ὡς ἔφην, παράκλησιν. Ἔφη δέ που καὶ ὁ προφήτης Ἡσαΐας, ὡς ἐξ προσ-B ώπου Θεοῦ, περὶ τῶν ἐξ Ἰσραὴλ, ὃς ἦν ἀμπελών· Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. Ἔσται τοίνυν ὑετὸς, φησὶ, τῷ σπέρματι τῆς γῆς σου. Ἀλλὰ καὶ ὁ ἄρτος τοῦ γεννήματος τῆς γῆς σου, ἔσται πλησμονὴ καὶ λιπαρὸς, τοῦτ' ἔστιν, ὁ τῶν σῶν ἔργων καρπὸς εἰς ὄνησιν ἔσται. Τελεσφορηθήσεται γὰρ, καὶ πίων ἔσται καὶ πολύς. Μαλαχίας μὲν γὰρ ὁ προφήτης τοῖς ἀποστήσασι τῶν ἐξ Ἰσραὴλ προσεφώνει λέγων· « Διότι πλανῶν ἦν ὁ μόσχος σου Σαμάρεια, ὅτι ἀνεμόφθορα ἔσπειραν, καὶ ἡ καταστροφὴ αὐτῶν ἐκδέξεται αὐτά. » Δράγμα οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον. Ἕτερος δὲ πάλιν τῶν ἁγίων ἐπιπλήττει τισὶ καί φησι· Καὶ Κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης· διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπιστον. Ἀτελεσφόρητος γὰρ ὁ τῶν ἀνοσίων C καρπὸς, ἀνόνηται δὲ καὶ οἱ πόνοι, καὶ τῶν ἐπιχειρημάτων ἡ ἔκβασις οὐδὲν ἔχει τὸ ὀνησιφόρον. Ἐπικαρποὶ γε μὴν οἱ θεοφιλεῖς, οἷς μάλα ὀρθῶς ὁ θεσπέσιος Παῦλος ἐπεύχεται λέγων· « Ὁ δὲ Θεὸς τῆς δικαιοσύνης αὐξῆσαι τὸν σπόρον ὑμῶν καὶ πληθῦναι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. » Προσεπάγει δὲ τούτοις ὁ προφήτης, ὅτι καὶ τὰ κτήνη κατανεμηθήσονται τόπον πίονα καὶ εὐρύχωρον· κτήνη δὲ οἶμαι λέγειν αὐτὸν τάχα που τοὺς ὀλιγογνώμονας, καὶ ἀκεραιοτέρους, οἳ βραδεῖς μέν εἰσι τὴν διάνοιαν, κεκλημένοι δὲ ἅπαξ εἰς ἐπίγνωσιν Θεοῦ διὰ τῆς πίστεως νοητὰς εὑρήσουσι τροφὰς, καὶ εἰς τόπον πίονα κατανεμηθήσονται, τοῦτ' ἔστι, τὴν θεόπνευστον Γραφὴν, τὴν εὐρυχωρίαν ἀληθῶς. Πλατεῖα γὰρ καὶ πολλὴ καὶ τρέχουσα πρὸς εὐσέβειαν. Τούς δέ γε ταύρους, ἤτοι D τοὺς βοῦς τοὺς ἐργαζομένους τὴν γῆν, φάγεσθαί φησιν ἄχυρα ἀναπεποιημένα ἐν κριθῇ λελικμημένῃ, τοῦτ' ἔστιν, ἐν εὐτροφίαις ἔσονται πνευματικαῖς. Καὶ τῶν στερεῶν ἀναπιμπλάμενοι μαθημάτων ἐργάσονται τὴν γῆν. Ταύρους δὲ, ὥς γε οἶμαι, φησὶν ἐν τούτοις τοὺς τὸ θεῖον ἱερουργοῦντας κήρυγμα καὶ εὐαγγελιζομένους δυνάμει πολλῇ. Καὶ πιστώσεται εἰς τοῦτο πάλιν ἡμᾶς ὁ πάνσοφος Παῦλος, τὴν νομικὴν ἐντολὴν νοήσας πνευματικῶς. Ἔφη γὰρ, ὅτι « Γέγραπται, Οὐ φιμώσεις βοῦν ἀλοῶντα. » Προσεπάγει δὲ, « Μὴ τῶν βοῶν μέλλει τῷ Θεῷ; » Ἢ δι' ἡμᾶς πάντως λέγει; Οὐκοῦν ὡς ἀπό γε τῆς ἀρίστης τῶν μό-

[73] Psal. LXVII, passim. [74] Osee VIII, 5. [75] II Cor. IX, 10. [76] I Cor. IX, 9.

σχων τροφῆς διαμορφοῖ τὰ πνευματικὰ, καὶ νοεῖν ἐφίησιν, ὅτι τοῖς ἐξειλεγμένοις, καὶ οἷά τινα γῆν εὔκαρπον ἀποφαίνουσι τοὺς λατρεύοντας τῷ Χριστῷ, ἡ παγκαλής τε καὶ στερεὰ παρακείσεται τροφή. Ἔδει γὰρ, ἔδει τοὺς λαῶν ἡγουμένους προαναπελάσθαι τῶν διὰ τοῦ πνεύματος ἀγαθῶν, ἵνα ἔχοιεν ὠφελεῖν τοὺς ὑπεζευγμένους

ante impleri, quo habeant unde juvent subditos.

Καὶ ἔσται ἐπὶ παντὸς ὄρους ὑψηλοῦ, καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου ὕδωρ διαπορευόμενον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν ἀπόλωνται πολλοὶ, καὶ ὅταν πέσωσι πύργοι.

Καὶ τοῦτο συνήσεις πνευματικῶς. Βουνοὺς γὰρ καὶ ὄρη τοὺς ἁγίους εὐαγγελιστάς φησι καὶ ἀποστόλους, καὶ τοὺς ἄλλους δὲ ἅπαντας, οἳ μετ' ἐκείνους γεγόνασι τῶν ἁγίων Ἐκκλησιῶν ἐπιμεληταὶ, καὶ τῶν θείων μυστηρίων ἱερουργοὶ, οἳ φρονοῦσι μὲν τῶν ἐπιγείων οὐδὲν, ὑψοῦ δὲ ὥσπερ ᾐρμένοι. Γέγραπται γὰρ ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν, τὸν θεῖον δὲ καὶ οὐράνιον ἐκ τῆς ἑαυτῶν διανοίας οἷά περ ἀπὸ πηγῆς ἀναβρύουσι λόγον, προκαταπλουτοῦντες ἄνωθεν αὐτοὶ τὴν χάριν. Δαψιλὲς δὲ τὸ ὕδωρ τοῦτο, πολλὰ γὰρ τὰ ὄρη, τοσοῦτοι δὲ καὶ οἱ βουνοὶ, καὶ νάμα τὸ ἐξ αὐτῶν γλυκὺ καὶ ἀμφιλαφὲς πανταχῇ. Πλὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται, φησὶ, καὶ τοῦτο. Ἡμέραν δὲ ὀνομάζει πάλιν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὸν καιρόν· καθ' ὃν ἀνεδείχθησαν μὲν οἱ περὶ ὧν ὁ λόγος, ἀπολώλασι δὲ πολλοὶ καὶ καθῄρηνται πύργοι, τοῦτ' ἔστιν, οἱ τῶν Ἰουδαίων καθηγηταὶ, Γραμματεῖς τε καὶ Φαρισαῖοι. Καίτοι γὰρ τῶν ἄλλων ἁπάντων ὑπερηγμένοι διά τοι τῆς ἱερωσύνης τὴν δόξαν, καὶ τὸ τῆς ἡγεμονίας ἀξίωμα, δεδυσσεβήκασιν εἰς Χριστὸν, καὶ τὸν ἀποφήναντα αὐτοὺς ὑψηλοὺς ἀπεκτόνασι, καὶ πρός γε τούτῳ πεπλανήκασι τοὺς ὑπὸ χεῖρα λαούς. Πεπτώκασι δὲ καὶ ἕτεροι πύργοι, τὰ τῶν ἀνοσίων πνευμάτων ὑπέροπτα στίφη.

VERS. 25. *Et erit super omni monte excelso, et super omni colle sublimi aqua pertransiens* **431** *die illo, cum perierint multi, et cum ceciderint turres.*

Hoc quoque intelliges spiritualiter. Colles enim et montes, sanctos evangelistas dicit et apostolos, cæterosque omnes qui post illos exstiterunt sanctarum Ecclesiarum procuratores, et divinorum mysteriorum administri: qui terreni nihil sapiunt, et in altum velut sunt evecti. Nam scriptum est, Dei potentes terræ subvecti sunt vehementer, ac divina et cœlestis ex eorum mente tanquam e fonte fluit oratio, ipsi autem e supernis gratia locupletati sunt [77]. Est autem larga et liberalis hæc aqua. Multi enim montes, tot etiam colles, et rivulus ex illis dulcis et uber ac perennis. Verum die, inquit, illo, erit et hoc. Diem iterum nominat Servatoris nostri adventus tempus: quo hi de quibus sermo est, repræsentati sunt et exhibiti. Perieruntque omnino, et destructæ sunt turres, id est, Judæorum præceptores, Scribæ et Pharisæi: etsi enim cæteris omnibus antestarent, propter sacerdotii gloriam, et præfecturæ auctoritatem, in Christum tamen impii fuerunt, et qui illos effecit sublimes, trucidarunt. Populos ad hæc subditos deceperunt. Ceciderunt etiam aliæ turres, impiorum spirituum illustria agmina.

Καὶ ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου, καὶ τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλάσιον ἐν τῇ ἡμέρᾳ, ὅταν ἰάσηται Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς πληγῆς σου ἰάσεται.

Βούλονταί τινες τῶν ἐξηγητῶν τὴν τῶν προκειμένων διάνοιαν ἀποφέρεσθαι δεῖν ἐπὶ τὸν τῆς συντελείας τοῦ αἰῶνος καιρόν. Τότε γὰρ, φασὶν, ἐν προσθήκῃ φωτὸς, καὶ αὐτὰ γενήσονται τὰ στοιχεῖα, τὰ φωτίζειν πεφυκότα. Ἀλλ' εὑρήσομεν τὸ Γράμμα λέγον τὸ ἱερὸν, ὅτι « Σκοτισθήσεται μὲν ὁ ἥλιος τὸ τηνίκαδε, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. » Πεσοῦνται δὲ καὶ τὰ ἄστρα ὡς πίπτει φύλλα ἀπὸ συκῆς. Παρέντες δὴ οὖν τὸ οὕτω χρῆναι νοεῖν, μᾶλλον ἐκεῖνο φαμέν. Οὐ γὰρ ὅτι τοῖς στοιχείοις προσθήκη φωτὸς ἔσται, φησί. Σελήνην δὲ μᾶλλον ὀνομάζει τοὺς ἐν φωτὶ τῷ τῆς σελήνης διατρίβοντας, καὶ οἷον νόθως τε καὶ μετρίως κατηυγασμένους. Οὗτοι δ' ἂν εἶεν οἱ κατ' ἄνθρωπον ἐμφύτῳ τε καὶ τῇ ἐν ἡμῖν φρονήσει μόνῃ διαζῆν εἰωθότες, οὔπω γε μὴν τὸν ἄνωθεν καταπλουτήσαντες φωτισμὸν, ὁποῖοί τινες εἰσὶν οἱ οὔπω τὸν φύσει καὶ ἀληθῶς ὄντα Θεὸν ἐγνωκότες, ἀλλ' ὡς ἐν νυκτὶ μένοντες, πλὴν μετρίαν ἔχοντες αὐγὴν, ἣν κατεβάλετο τῇ ἀνθρώπου φύσει Θεὸς, ἐξ αὐτῆς τῆς κατασκευῆς. Οὗτοι τὸ τῆς ἀληθοῦς θεογνωσίας δεξά-

VERS. 26. *Et erit lux lunæ quasi lux solis, et lux solis erit septies major, eo die, quando sanaverit Dominus contritionem populi sui, et dolorem plagæ tuæ sanaverit.*

Volunt quidam interpretes propositorum verborum sensum referendum esse ad tempus consummationis sæculi. Tunc enim, inquiunt, erit incrementum lucis, in ipsis elementis, quæ quidem naturæ sunt lucidæ. Sed inveniemus sacram Scripturam dicentem: « Obtenebrabitur tunc sol, et luna non dabit lucem suam [78]. » Cadent quoque stellæ sicuti cadunt folia de ficu. Omisso itaque hoc sensu, illud potius dicimus: Non enim, inquit, erit elementis incrementum lucis. At lunam nominat, velut in luce lunæ versantes, et veluti adulterine et modice illuminatos. Isti esse possent, qui humanitus insita in nobis prudentia sola vivere **432** solebant, nondum superna illustratione ditati: cujusmodi sunt, qui nondum Deum natura et vere norunt, sed tanquam in nocte manent, mediocrem tum habent splendorem, quem ab ipsa creatione Deus humanæ naturæ indidit. Hi cum veræ Dei cognitionis lumen acceperint, non tanquam in nocte manent, nec exiguum iam et lunare

[77] Psal. XLVI, 2 seqq. [78] Matth. XXIV, 29.

lumen habent, sed deinceps velut in die radium solarem aspiciunt. Qui cum velut in die exsistunt, et quasi sole collustrati sunt, eo quod natura Deum sciant, septuplo majorem adhuc illustrationem accipient. Quales erant legis gnari, in animo habentes velut solaris radii coruscationem, eo, inquam, quod scirent omnium Conditorem et Dominum. Audierant enim: Audi, Israel, Dominus Deus tuus, Dominus unus est: necdum legem exacte cognoverant. At Christo illucescente, proficiente eorum cognitione in melius, et inspecta deinde lege spiritualiter, lux quæ illis inest solis, tantum non septies erit clarior. Sol enim justitiæ universorum Deus, et est et intelligitur, et ipse est universa sapientia. Resplenduit autem per legem Israelitis. Nam velut e caligine pristina Ægyptiaci erroris eduxit, fecitque eos intelligere et confiteri solum illum esse universorum Deum ac Dominum. Verum, inquit, hæc erunt, quando sanaverit Dominus contritionem populi sui, et dolorem plagæ tuæ. Attritos enim nos, et dolore plagæ confectos (impendebat namque supplicii metus et Græcis et Judæis), sanavit Christus. Eramus autem quodammodo demisso animo, et infirma ac soluta mente ad opera justitiæ præditi, sed hic non hæsimus. Medicinam enim universorum Deus gratuito dedit, et effecit veteri morbo liberos, et ad omnia quæ illi placent robustissimos, ac fide in Christum justificatos. Per quem et cum quo sit gloria Patri cum sancto Spiritu in sæcula sæculorum. Amen.

μενοι φῶς, οὐχ ὡς ἐν νυκτὶ μένουσιν ἔτι βραχύ τε καὶ σεληναῖον ἔχοντες φῶς, ἀλλ' ὡς ἐν ἡμέρᾳ λοιπὸν ἀκτῖνα βλέποντες τὴν ἡλιακήν. Οἱ δέ γε ὄντες ὡς ἐν ἡμέρᾳ καὶ οἷον ἡλίῳ καταλαμπόμενοι, διά γε τοῦ τὸν φύσει Θεὸν εἰδέναι, πολλαπλασίονα τὸν ἐπὶ τούτῳ λήψονται φωτισμόν. Τοιοῦτοί τινες ἦσαν οἱ νομοΐστορες, ἔχοντες μὲν ὥσπερ εἰς νοῦν ἡλιακῆς ἀκτῖνος ἀπαύγασμα, κατά γέ φημι τὸ εἰδέναι τὸν τῶν ὅλων Δημιουργὸν καὶ Κύριον. Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. Οὔπω γεμὴν συνίεσαν ἀκριβῶς τὸν νόμον. Ἐπιλάμψαντος δὲ τοῦ Χριστοῦ, προκοπτούσης αὐτοῖς τῆς γνώσεως ἐπὶ τὸ ἄμεινον, καὶ θεωρουμένου λοιπὸν τοῦ νόμου πνευματικῶς, μονονουχὶ καὶ ἑπταπλάσιον ἔσται τὸ ὂν ἐν αὐτοῖς τοῦ ἡλίου φῶς. Ἥλιος γὰρ δικαιοσύνης, ὁ τῶν ὅλων Θεὸς καὶ ὑπάρχων, καὶ νοούμενος, καὶ αὐτὸς ὢν ἡ πᾶσα σοφία. Ἔλαμψε δὲ διὰ τοῦ νόμου τοῖς ἐξ Ἰσραήλ. Ἐξεκόμισε γὰρ ὡς ἐξ ἀχλύος ἀρχαίας τῆς ἐν Αἰγύπτῳ πλάνης. Νοῆσαί τε καὶ ὁμολογεῖν παρεσκεύασεν ὅτι δὴ μόνος αὐτὸς εἴη ὁ τῶν ὅλων Θεὸς καὶ Κύριος. Ἀλλ' ἔσται ταῦτα, φησὶν, ὅταν ἰάσηται Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς πλάνης σου ἰάσεται. Συντετριμμένους γὰρ ἡμᾶς, καὶ ἐν ὀδύνῃ πληγῆς ὄντας· ἐπήρτητο γὰρ ὁ τοῦ κολάζεσθαι φόβος Ἕλλησί τε καὶ Ἰουδαίοις· ἰάσεται Χριστός. Ἦμεν δὲ τρόπον τινὰ παρειμένοι τὸν νοῦν, καὶ ἀδρανῆ, καὶ ἔκλυτον εἰς τὰ τῆς δικαιοσύνης ἔργα τὴν διάνοιαν ἔχοντες. Ἀλλ' οὐ μεμενήκαμεν ἐν τούτοις. Ἐχαρίσατο γὰρ τὴν ἄκεσιν ὁ τῶν ὅλων Θεὸς, ἀπέφηνε δὲ καὶ νόσου τῆς ἀρχαίας ἀπηλλαγμένους καὶ εὐσθενεστάτους ἄγαν, εἰς πᾶν ὁτιοῦν τῶν ἀρεσκόντων καὶ πίστει τῇ εἰς Χριστὸν δεδικαιωμένους· δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

433 TOMUS III.

Vers. 27, 28. *Ecce nomen Domini venit post multum temporis, ardens furor cum gloria. Eloquium labiorum ejus, eloquium iræ plenum; et ira furoris ejus quasi ignis devorat. Et spiritus ejus quasi aqua in valle trahens, veniet ad collum usque, et dividetur, ut terreat gentes errore vano, et persequetur eos error vanus, et capiet eos in conspectu ipsorum.*

Septies clariorem fore solis lucem credentibus in Christum, cum optime declaraverit, eo tempore, quo populi sui conquassationem sanabit, commode adjungit, divinum furorem etiam futurum contra Satanam qui contrivit, et contra ea quæ sunt cum illo dæmonia. Non enim exercebunt tyrannidem perpetuam in nos, nec firmam ac inconcussam potestatem habebunt: maxime ubi Servator omnium Christus humano generi illuxerit. Sed propheticus sermo non est velut nudus et retectus, sed obumbratus potius ac profundus. Est enim figuratus quasi de Assyriis, qui Jerusalem vastarunt, totamque ceperunt Judæam: et dilectum Israelem captivum habentes, reversi sunt in patriam suam, tantum non insultantes divinæ gloriæ, putantesque quod nolente Deo superaverint eos qui illum colunt. Siquidem Rhapsaces eos qui erant in muro affatus

ΤΟΜΟΣ Γʹ.

Ἰδοὺ τὸ ὄνομα Κυρίου διὰ χρόνου ἔρχεται πολλοῦ, καιόμενος ὁ θυμός μετὰ δόξης· τὸ λόγιον τῶν χειλέων αὐτοῦ, λόγιον ὀργῆς πλῆρες· καὶ ὀργὴ τοῦ θυμοῦ αὐτοῦ ὡς πῦρ ἔδεται. Καὶ τὸ πνεῦμα αὐτοῦ ὡς ὕδωρ ἐν φάραγγι σῦρον, ἥξει ἕως τοῦ τραχήλου καὶ διαιρεθήσεται τοῦ ἔθνη ταράξαι ἐπὶ πλανήσει ματαίᾳ, καὶ διώξεται αὐτοὺς πλάνησις ματαία, καὶ λήψεται αὐτοὺς κατὰ τὸ πρόσωπον αὐτῶν.

Ἑπταπλάσιον ἔσεσθαι τοῦ ἡλίου τὸ φῶς τοῖς εἰς Χριστὸν πιστεύουσιν εὖ μάλα διειρηκὼς, κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν ἂν ἰάσηται τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, προσεπάγει χρησίμως, ὅτι καὶ κατὰ τοῦ συντρίψαντος Σατανᾶ, καὶ τῶν σὺν αὐτῷ δαιμονίων ὁ θεῖος ἔσται θυμός. Οὐ γὰρ ἔμελλον ἀκατάληκτον ἥξειν τὴν καθ' ἡμῶν τυραννίδα, καὶ ἀκατάσειστον τὴν ἰσχὺν, ἐπιλάμψαντος μάλιστα τῷ τῶν ἀνθρώπων γένει τοῦ πάντων Σωτῆρος Χριστοῦ. Γέγονε δὲ τῆς προφητείας ὁ λόγος, οὐχ οἷον γυμνός τε καὶ ἀναμφίεστος, κατεσκιασμένος δὲ μᾶλλον καὶ βαθύς. Ἐσχημάτισται μὲν γὰρ ὡς περὶ τῶν Ἀσσυρίων, οἳ πεπορθήκασι μὲν τὴν Ἱερουσαλὴμ, εἷλον δὲ ἅπασαν τὴν Ἰουδαίαν, καὶ δορύληπτον ἔχοντες τὸν ἠγαπημένον Ἰσραὴλ, ὑπενόστησαν εἰς τὴν ἑαυτῶν, μονονουχὶ τῆς θείας δόξης κατορχούμενοι, καὶ οἰηθέντες ὅτι καὶ οὐχ ἑκόντος Θεοῦ κεκρατήκασι τῶν προσκυ-

νούντων αὐτῷ. Καὶ γοῦν ὁ Ῥαψάκης τοῖς ἐν τῷ τείχει προσπεφώνηκε λέγων, Μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας λέγων, ὅτι « Ῥύσεται ὁ Θεὸς Ἰσραὴλ ἐκ χειρός μου. [Μὴ ῥυόμενοι ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρός μου (1);] » καταλαζονευσάμενοι τοίνυν καὶ πολλὰ πεφλυαρηκότες κατὰ τῆς ἀῤῥήτου δόξης ἁλοῖεν ἂν οἱ περὶ ὧν ὁ λόγος. Διατελέσαντος δὲ τοῦ Ἰσραὴλ ἐν αἰχμαλωσίᾳ καὶ ἐν δουλείᾳ τῇ παρ' αὐτοῖς ἔτος ἑβδομηκοστὸν, ἐξείλετο πάλιν καὶ σέσωκεν ὁ τῶν ὅλων Θεός. Ἀνεκόμισε γὰρ εἰς τὴν Ἰουδαίαν, ἡγουμένων τὸ τηνικάδε Ζοροβάβελ τοῦ Σαλαθιὴλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα, καὶ μέντοι καὶ Ἰησοῦ τοῦ ἱερέως τοῦ μεγάλου. Οὐκοῦν δοκεῖ μέν πως τῆς προφητείας ἡ δύναμις, τό γε ἧκον εἰς τοὐμφανὲς τῶν συμβεβηκότων τοῖς Χαλδαίοις, καὶ τῇ Βαβυλῶνι ποιεῖσθαι μνήμην. Αἱ δὲ ἀληθεῖς τῶν εἰρημένων ἔννοιαι κατὰ τοῦ νοητοῦ γεγόνασιν Ἀσσυρίου, τοῦτ' ἔστι, τοῦ Σατανᾶ, πρὸς ὃν εἴρηται παρὰ Θεοῦ· Ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον, οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρὸς, διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας, οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν. Ἑτοίμασον τὰ τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρός σου, ἵνα μὴ ἀναστῶσι, καὶ τὴν γῆν κληρονομήσωσι, καὶ ἐμπλήσωσι τὴν γῆν πολέμου, καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει Κύριος Σαβαὼθ, καὶ ἀπολῶ αὐτῶν ὄνομα, καὶ κατάλειμμα, καὶ σπέρμα. Ἥξει τοίνυν διὰ χρόνου πολλοῦ τὸ ὄνομα Κυρίου, φησί. Καὶ εἰ μὲν ἱστορικῶς τις ἕλοιτο νοεῖν, δι' ἐτῶν ἑβδομήκοντα κατηλέησεν ὁ Θεὸς τὸν Ἰσραήλ. Εἰ δὲ δὴ τὴν ἔσω καὶ κεκρυμμένην τῶν ἐννοιῶν διάξοι τρίβον, εἰσδέξεται κατὰ νοῦν, ὅτι πλεῖστον μὲν διατετέλεκε χρόνον ὁ τῆς ἁμαρτίας εὑρετὴς, τῆς ἑαυτοῦ δυστροπίας τὸν ζυγὸν ἐπιτιθεὶς ἅπασι τοῖς ἐπὶ τῆς γῆς, ὥστε καὶ ἰδίους ἀποφῆναι προσκυνητὰς, καὶ τοῖς τῆς ἁμαρτίας ἐγκαταδῆσαι βρόχοις. Ἀλλ' ἐπέφανεν ἡμῖν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος διὰ χρόνου πολλοῦ, καὶ γέγονε καιόμενος ὁ θυμὸς μετὰ δόξης, καὶ τὸ λόγιον τῶν χειλέων αὐτοῦ λογίον ὀργῆς πλῆρες. Κῦρος μὲν γὰρ ὁ Καμβύσου, Θεοῦ παροτρύνοντος, καὶ ἐξανιστάντος εἰς μάχην κατεστράτευσε τῆς Χαλδαίων, εἷλέ τε κατὰ κράτος τὴν Βαβυλωνίων, καὶ οἷον ὀργὴ καὶ πῦρ γέγονεν αὐτοῖς, πάντας γὰρ ὥσπερ κατεδήδοκε, καὶ ἀφόρητον ἔχων τὴν ἔφοδον, ὡς ὕδωρ ἐν φάραγγι σύρον ὤφθη τοῖς αὐτόθι, καὶ θορύβου καὶ ταραχῆς ἐνέπλησε πάντα τὰ Χαλδαίων ἔθνη, κατεγνωσμένα δικαίως ἐπὶ πλανήσει ματαίᾳ. Ὠήθησαν γὰρ, ὡς ἔφην, ὅτι καὶ ἄκοντος Θεοῦ κατεκράτησαν τῆς Ἰουδαίας. Κατέλαβε τοίνυν αὐτοὺς ἡ ματαία πλάνησις. Ἐπενήνεκται γὰρ αὐτοῖς παρὰ Θεοῦ τὰ ἐξ ἀκράτου θυμοῦ, καὶ ταῖς σφῶν αὐτῶν διολώλασι δυσσεβείαις· αὐτὸ δὴ τοῦτο πεπονθότα, καὶ τὸν ἀρχέκακον δράκοντα κατίδοι τις ἄν. Γέγονε γὰρ αὐτῷ

A est, dicens: « Ne decipiat vos Ezechias, dicens: Eripiet Deus Israelem de manu mea. Num eripuerunt dii gentium, singuli regionem suam de manu mea [78*]? » Insolentes igitur esse, et multum adversus ineffabilem majestatem blaterare, arguuntur hi, de quibus sermo est. Sed cum durasset Israel in captivitate et servitute apud eos septuaginta annos, rursus eripuit et servavit universorum Deus. Reduxit enim in Judæam, ducibus tum Zorobabele, filio Salathielis ex tribu Juda, et Jesu sacerdote magno: sensus igitur prophetiæ, quantum quidem ad superficiem attinet, mentionem videtur facere eorum quæ Chaldæis et Babyloni acciderunt. At **434** vera dictorum sententia de Assyrio est subintelligentiam cadente, nimirum Satana, ad quem

B dictum est a Deo: Quemadmodum vestimentum sanguine mistum non erit mundum, sic neque tu eris mundus, eo quod terram meam perdidisti, et populum meum occidisti; non manebis in æterna tempora, semen improbum. Præpara filios tuos, ut mactentur in peccatis patris tui: ne resurgant, et terram hæreditario accipiant, et terram bello impleant, et ego resistam illis, dicit Dominus Sabaoth, et perdam eorum nomen, et reliquias, et semen. Veniet igitur, inquit, post multum temporis, nomen Domini. Si historice quis malit intelligere, post annos septuaginta misertus est Deus Israelis. Sin intus abstrusam sententiæ semitam in animum admiserit, longo tempore inventor peccati, jugum nequitiæ suæ, omnibus terræ incolis

C imposuit jugiter, ut suos efficeret cultores, et peccati laqueis irretiret. Atqui post multum temporis, unigenitum Dei Verbum nobis apparuit. Et factus est ardens furor cum gloria, et eloquium labiorum ejus, eloquium iræ plenum. Cyrus enim Cambysis filius, Deo stimulante et excitante, sine causa oppugnavit Chaldæos, terramque Babyloniorum cepit. Et velut ira et ignis factus est illis, omnes enim quasi devoravit, et intoleranda facta impressione, tanquam aqua in valle trahens factus est his qui ibi erant, et tumultu ac turba omnes Chaldæorum gentes implevit, juste propter errorem vanum condemnatas. Putabant enim, ut dixi, quod etiam nolente Deo, devicissent Judæam. Invasit

D itaque eos vanus error. Irrogatum est enim ex impotenti et vehementi furore supplicium, suisque perierunt impietatibus. Quod etiam passum fuisse principem malorum draconem videre est. Factum est enim illi eloquium Domini, eloquium iræ plenum. Jubebantur enim et ipse et malæ cum ipso potestates in abyssum abire, et consumpti sunt velut igni et aqua multa, distracti et agitati in cavernis infimis vi spiritus. Conturbati sunt enim et ipsi errore vano. Dixit namque: Universum or-

[78*] IV Reg. XVIII, 32, 33.

(1) Quæ uncinis clauduntur inseruimus; legit enim interpres, typothetarumque oscitantia excidisse videntur. EDIT. PATROL.

bem terrarum comprehendam manu ut nidum, et velut relicta ova tollam, et non est qui **435** fugiat me, vel contradicat mihi. Putabat nimirum se revera Deum esse, et gloria quæ soli omnium Conditori competebat, ad se perpetuo translata, terræ incolas se posse vincere existimavit. Turbati ergo sunt, erroris vani damnati, et in his capti sunt. Pœna enim illis, et furor, et supplicium, ob hanc etiam causam illata sunt.

A τὸ λόγιον Κυρίου, λόγιον ὀργῆς πλῆρες. Προσεπάττοντο γὰρ εἰς τὴν ἄβυσσον ἀπελθεῖν, αὐτός τε καὶ αἱ σὺν αὐτῷ δυνάμεις πονηραί. Δεδαπάνηνται δὲ ὥσπερ καὶ ὑπὸ πυρὸς, καὶ ὡς ἐξ ὕδατος πολλοῦ κατασυρόμεναι τῇ δυνάμει τοῦ πνεύματος ἐν τοῖς κατωτάτω μυχοῖς. Συνεταράχθησαν γὰρ ἐπὶ πλανήσει καὶ αὗται ματαίᾳ. Ἔφη μὲν γὰρ, ὅτι Γὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με ἢ ἀντείπει μοι. Ὠήθη δὲ ὅτι Θεός ἐστι κατὰ ἀλήθειαν, καὶ τὴν μόνῳ πρέπουσαν τῷ πάντων Δημιουργῷ δόξαν εἰς ἑαυτὸν μεταθεὶς διηνεκῶς, ἐνόμισε δύνασθαι κρατεῖν τῶν ἐπὶ τῆς γῆς. Ἐταράχθησαν τοίνυν ἐπὶ πλανήσει ματαίᾳ κατεγνωσμένοι, καὶ κατελήφθησαν ὑπ' αὐτῆς. Δίκη γὰρ αὐτοῖς, καὶ θυμὸς καὶ κόλασις ἐπηνέχθησαν, καὶ ταύτης ἕνεκα τῆς αἰτίας.

VERS. 29. *Num semper oportet vos lætari, et semper ingredi sancta mea? velut festum celebrantes, et velut lætantes, intrare cum tibia montem Domini, ad Deum Israelis?*

B *Μὴ διὰ παντὸς δεῖ ὑμᾶς εὐφραίνεσθαι καὶ εἰσπορεύεσθαι εἰς τὰ ἅγιά μου διαπαντὸς ὡσεὶ ἑορτάζοντας, καὶ ὡς εὐφραινομένους εἰσελθεῖν μετὰ αὐλοῦ εἰς τὸ ὄρος Κυρίου πρὸς τὸν Θεὸν τοῦ Ἰσραήλ;*

Dixi, devicta Judæa, Babylonios continenter insultasse captis, et impie admodum divinum templum derisisse. Sed capti sunt et ipsi: quo autem modo, non est obscurum. O igitur Assyrii, inquit, nunquid omni tempore adversus meos cultores gaudere debetis, et in panegyris occasionem trahere, et prohibente nemine, sancta mea ingredi, etiam cum tibia et cithara? Atque hæc quidem historice. Sin contra Satanam et quæ ejus sunt sapientes ac sentientes dicantur, hoc modo intelliges: Gaudebat longo tempore, contra ineffabilem majestatem se extollens, et sanctos conterens, et justitiæ operariis immaniter resistens, et veluti conspurcare sancta Dei studens, et hanc rem festi et voluptatis loco ducens, et contra direptos ac possessos triumphans. Verum excidit hisce miser, Christo illum in id quod præter spem erat detrudente, et a tyrannide in nos deturbante. Cessavit ergo omnis ejus voluptas et lætitia, desiit contra nos tripudium, et rerum natura in omnia contraria versa est et mutata. Nos enim oblectati et deliciati sumus in salute per Christum, in justificatione per fidem, in sanctificatione per Spiritum. At hic imperio frustratus, in jugi est mœrore, et suæ potentiæ eversionem deplorat.

Ἔφην ὅτι καταχρατήσαντες τῆς Ἰουδαίων χώρας οἱ Βαβυλώνιοι κατεχόρευον τῶν ἑαλωκότων, καὶ αὐτόν που τάχα τὸν θεῖον διαλέγοντες ναὸν ἀνοσιώτατα διετέλουν. Ἀλλ' ἥλωσαν καὶ αὐτοί· καὶ τίνα τρόπον, οὐκ ἀσυμφανές. Ὦ τοίνυν Ἀσσύριοι, φησὶ, μὴ ἐν παντὶ καιρῷ κατευφραίνεσθαι τῶν ἐμῶν ὀφείλετε προσκυνητῶν, καὶ πανηγύρεως ἀφορμὴν ποιεῖσθαι, ἐξείργοντος οὐδενὸς εἰσπορεύεσθαι εἰς τὰ ἅγιά μου, καὶ μετὰ αὐλοῦ καὶ κιθάρας; Καὶ ταυτὶ μὲν ἱστορικῶς. Πρὸς δέ γε τὸν Σατανᾶν καὶ τοὺς τὰ αὐτοῦ φρονοῦντας εἰ λέγοιτο, τοιάνδε τι νοήσεις· C Εἰς μακροὺς ηὐφραίνετο χρόνους τῆς ἀῤῥήτου δόξης κατεπαιρόμενος, καὶ συνθραύων ἁγίους, καὶ τοῖς τῆς δικαιοσύνης ἐργάταις ἀγρίως ἀντιταττόμενος, καὶ οἷον καταμιαίνειν ἐπιχειρῶν τὰ ἅγια τοῦ Θεοῦ, ἑορτὴν τε, καὶ θυμηδίαν τὸ χρῆμα ποιούμενος, καὶ τοῖς πλεονεκτουμένοις ἐπιγαννύμενος. Ἀλλ' ἐκπέπτωκε τῶν τοιούτων ὁ δείλαιος, Χριστοῦ κατωθήσαντος εἰς τὸ παρ' ἐλπίδα, καὶ τῆς καθ' ἡμῶν ἀποσοβήσαντος τυραννίδος. Πέπαυται τοίνυν αὐτοῦ πᾶσα θυμηδία, καὶ εὐφροσύνη· ἔστησε τὴν καθ' ἡμῶν χορείαν, καὶ εἰς πᾶν τοὐναντίον μεταπεφοίτηκε τῶν πραγμάτων ἡ φύσις. Ἡμεῖς μὲν γὰρ τέρψιν καὶ τρυφὴν πεποιήμεθα τὴν διὰ Χριστοῦ σωτηρίαν, καὶ τὴν ἐν πίστει δικαίωσιν, καὶ τὸν διὰ τοῦ Πνεύματος ἁγιασμόν. Ὁ δὲ τοῦ κατάρχειν διημαρτηκὼς ἐν ἀκαταλήκτοις ἐστὶ δυσθυμίαις, καὶ τῆς ἑαυτοῦ δυναστείας κατολοφύρεται τὴν καταστροφήν·

VERS. 30, 31, 32. *Per vocem enim Domini vincentur Assyrii plaga ea, quæ percutiet eos. Et erit ei undecunque, unde erat illis spes auxilii qua is confisus est; ipsi cum tibiis et citharis bellabunt contra illum ex commutatione.*

D *Διὰ γὰρ φωνῆς Κυρίου ἡττηθήσονται Ἀσσύριοι, τῇ πληγῇ ᾗ ἂν πατάξῃ αὐτούς. Καὶ ἔσται αὐτῷ κυκλόθεν ὅθεν ἦν αὐτῶν ἡ ἐλπὶς τῆς βοηθείας, ἐφ' ᾗ αὐτὸς ἐπεποίθει· αὐτοὶ μετὰ αὐλῶν καὶ κιθάρας πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς.*

436 Per vocem Domini, pro, jubente Domino, dicit. Etenim victi sunt Assyrii, et plagæ obnoxii sibi illatæ, Cyro et Persis et Medis, ut dixi, potentia et voluntate Dei, depopulantibus eos et tollentibus. Sed ante hæc, tum Medi, tum Persæ erant Chaldæorum defensores, habebantque spem in illis posse se feliciter agere, ac regiones et populos quos vellent, facile subigere. Hi ergo, inquit, illi, in quibus erat Babyloniis spes auxilii, rebus mutatio-

Τὸ, διὰ φωνὴν Κυρίου, φησὶν, ἀντὶ τοῦ, κελεύοντος τοῦ Κυρίου. Καὶ γὰρ ἡττήθησαν οἱ Ἀσσύριοι, καὶ ὑπὸ πληγὴν γεγόνασι τὴν ἐπενηνεγμένην αὐτοῖς, Κύρου καὶ Περσῶν καὶ Μήδων καταδῃούντων, ὡς ἔφην, καὶ ᾑρηκότων αὐτοὺς κατὰ κράτος καὶ βούλησιν Θεοῦ. Ἀλλ' ἦσαν πρὸ τούτων ἐπ' αὐτοῖς· τὴν ἐλπίδα τοῦ δύνασθαι κατορθοῦν τὸ καταχρατεῖν εὐκόλως, ὧν ἂν ἕλοιντο χωρῶν καὶ λαῶν. Αὐτοὶ τοίνυν, φησὶν, ἐκεῖνοι, ἐφ' οἷς ἦν τοῖς Βαβυλωνίοις ἡ τῆς

ἐπικουρίας ἐλπὶς, μονονουχὶ μεταβολὴν, καὶ ἀνάχυσιν A τὴν εἰς πᾶν τοὐναντίον πεπονθότων αὐτοῖς τῶν πραγμάτων, μετὰ κιθάρας καὶ αὐλῶν, τοῦτ' ἔστι, χαίροντές τε καὶ ἑορτάζοντες πολεμήσουσιν αὐτῷ. Τοῦτο δ' ἂν ὁρῷτο γεγονὸς ἐπί γε τῷ Σατανᾷ καὶ τῆς τῶν ἀκαθάρτων πνευμάτων ἀγέλης. Εἶχον μὲν γὰρ ἐν τῷδε τῷ κόσμῳ μυρίους τε ὅσους, μᾶλλον δὲ καὶ ἀναριθμήτους προσκυνητὰς, ἀλλὰ διὰ φωνῆς Κυρίου, τοῦτ' ἔστι, διὰ κηρύγματος Χριστοῦ, γεγόνασιν ὑπὸ πληγὴν καὶ ἡττήθησαν, καὶ οὓς προσεδόκησαν ἔχειν ἐπικουροῦντας ἑαυτοῖς, οὗτοι παραδόξως εἰς πᾶν τοὐναντίον ὑπομείναντες τὴν μεταβολήν. Κέκληνται γὰρ διὰ πίστεως καὶ πεπολεμήκασιν αὐτοῖς. Καθῄρηνται γὰρ τεμένη, κατεσείσθησαν βουνοὶ, καὶ πληθὺς ἀκαθάρτων δαιμόνων δεδαπάνηνται πυρὶ, καὶ B τοῦ πάλαι κρατοῦντος κατεγνωκότες, Θεὸν τὸν φύσει καὶ ἀληθῶς Βασιλέα καὶ Κύριον ἐπεγράψαντο. Καὶ πεποίηνται περὶ πολλοῦ τὸ διὰ πάσης ἀρετῆς τὸν εὐδόκιμον ἀληθῶς καὶ ἐξαίρετον ἐπιτηδεύειν βίον, τὸ ἐν φαυλότητι ζῆν ῥιπτοῦντες ὡς ἀπωτάτω.

nem et tantum non confusionem in omne contrarium subeuntibus, cum cithara et tibiis, id est, gaudentes et festum celebrantes, bellabunt contra illum. Hoc etiam videri potest factum, in Satana et immundorum spirituum grege. Habebant enim in hoc mundo infinitos potius et innumeros cultores, sed per vocem Domini, id est, per prædicationem Christi, plagæ subjecti sunt, et victi, et quos sperabant habere auxiliares sibi, hi præter opinionem passi sunt mutationem in omne contrarium. Vocati enim sunt per fidem, et eum illis gesserunt bellum. Nam subversa sunt fana, commoti colles, et multitudo immundorum dæmonum igne est consumpta, et vetere principe damnato, Deum natura et vere, Regis ac Domini titulo insigniverunt. Et magni æstimarunt, vitam probatam et præclaram in omni virtute vere colere: vitam autem vitiosam quam longissime profligarunt.

Οὐ γὰρ πρὸ ἡμερῶν ἀπαιτηθήσῃ; Μὴ καὶ σοὶ ἡτοιμάσθη βασιλεύειν; Φάραγγα βαθεῖαν, ξύλα κείμενα, πῦρ, καὶ ξύλα πολλά. Ὁ θυμὸς Κυρίου, ὡς φάραγξ ἀπὸ θείου καιομένη.

Πολεμηθήσεσθαι τὸν Ἀσσύριον, ἀφ' ὧν ἦν εἰκὸς καὶ ἐπικουρεῖσθαι μᾶλλον προσδοκᾶν, καὶ ὅτι τὰ παντὸς ἐπέκεινα κακοῦ πείσεται λέγων, ἀναγκαίως ἐπιφέρει καὶ ταῦτα. Ἐπειδὴ γὰρ μακροὺς αὐτοῖς χρόνους ἀνεξικακήσας ὁρᾶται, καὶ μόλις ἐπενεγκὼν ἀφόρητα πεπλημμεληκόσι τὰς δίκας, ἀπολογεῖται C τρόπον τινὰ, καί φησιν· Οὐ γὰρ πρὸ ἡμερῶν ἀπαιτηθήσῃ. Ἀνεξικακεῖ μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς, καὶ τοῖς πταίουσιν ἐπιδαψιλεύεται τὴν χρηστότητα, ἢ τάχα πως αὐτοῖς μετατεθεῖεν αἱ γνῶμαι πρὸς τὰ ἀμείνω, καὶ μετανοεῖν ᾑρημένοι, τὴν ὀφειλομένην αὐτοῖς διαδιδράσκωσι κόλασιν. Οὐδενὸς δὲ τούτων γεγενημένου, λοιπὸν ἐπάγει τὰ ἐξ ὀργῆς, οὐ πρὸ ἡμερῶν τοῦτο πράττων, ἀλλ' ὡς ἐν καιρῷ λοιπὸν καὶ οἷον εἰς μέτρον ἐλθούσης, τὸ ὅτι μάλιστα πρέπον τῇ γαληνότητι καὶ φιλανθρωπίᾳ τοῦ πάντων κρατοῦντος Θεοῦ. Οὐκοῦν, ὦ Ἀσσύριε, φησὶ, γέγονά σοι χρηστὸς, καὶ μακρόθυμος. Οὐ γὰρ πρὸ ἡμερῶν ἀπαιτηθήσῃ. Δῆλον δὲ ὅτι τὰς ἐφ' οἷς εἰς τοὺς ἐμοὺς πεπαρῴνηκας δίκας. Τοιοῦτόν ἐστι τὸ πρὸς τὸν μακάριον Ἀβραὰμ εἰρημένον· « Οὐδέπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμωῤῥαίων ἕως τοῦ νῦν. » D Ἀλλὰ καὶ ὁ μακάριος προφήτης Ζαχαρίας γύναια τεθεᾶσθαί φησι, πτερυγωθέντα μὲν ἔποπος δίκην, ἀποφέροντα δὲ τὸ μέτρον, καὶ ὡς ἐν εἴδει γυναικὸς καθημένην ἐν μέσῳ τὴν ἁμαρτίαν. Συμμετρεῖ γὰρ ὁ νομοθέτης τοῖς ἑκάστου πλημμελήμασιν ἀναλόγως τὰς δίκας. Ἀλλ' ᾠήθης, ὦ Ἀσσύριε, φησὶν, ὅτι καὶ σοὶ ἡτοιμάσθη τὸ διηνεκῶς βασιλεύειν, ἤτοι δύνασθαι κρατεῖν, καὶ ἀκράδαντον ἔχειν τὴν κατὰ πάντων πλεονεξίαν; Ἀλλ' ἐσφάλης τ' ἀληθοῦς· κληρονομήσεις γὰρ μᾶλλον φάραγγα βαθεῖαν, καὶ ξύλα κείμενα, καὶ πῦρ. Ἔσται γὰρ οὕτως ἐπὶ σὲ καὶ ἐπὶ

VERS. 33. *Non enim ante dies lues? Nunquid etiam tibi paratum est regnare? Vallem profundam, ligna posita, ignem et ligna multa. Furor Domini, ut vallis a sulphure incensa.*

Ubi dixisset Assyrium bello impugnandum ab his, a quibus par erat potius auxilium exspectare, quodque hæc quæ omnibus malis acerbiora essent pateretur, necessario infert et ista. Postquam enim longo tempore eos tolerasse videbatur, vixque intulisse supplicia intoleranda patrantibus, apologiam facit quodammodo, et inquit: Non enim ante dies lues. Tolerat enim, et benigne ac prolixe benignitatem suam confert in delinquentes universorum Deus, ut ad meliora eorum mentes convertantur, et pœnitentiam agentes debitam sibi pœnam effugiant. Quod cum factum non sit, deinceps inducit **437** iram: non ante dies hoc faciens, sed veluti tempore, cumque ad mensuram venit, prout maxime serenitati et humanitati omnium dominatoris Dei convenit. Itaque, inquit, o Assyrie, fui tibi benignus et longanimis. Non enim ante dies lues, scilicet pœnas, eo quod in meos debacchatus es. Tale est quod dictum fuit beato Abrahamo: « Nondum enim expleta sunt peccata Amorrhæorum usque ad hoc tempus [79]. » Quin et beatus Zacharias propheta [80] mulieres se vidisse ait alatas instar upupæ, et deferentes mensuram, et velut in forma mulieris sedens in medio peccatum. Admetitur enim legislator analogice et convenienter uniuscujusque delictis pœnas. Sed putasti, inquit, o Assyrie, quod et tibi præparatum sit continue regnare, vel posse imperium tenere, et inconcussum habere in omnes dominatum? Sed aberrasti a vero: nam hæreditario potius accipies vallem profundam, et ligna posita, et ignem. Erit enim sic in te et in tuos furor Domini. Dixerim autem et hoc convenire maxime dici Satanæ. Possedit enim vi terram universam, priusquam Christus

[79] Gen. XV, 16. [80] Zach. V, 9.

effulserit. Ubi vero Deus et Dominus effulsit nobis, abactus est tanquam sævissima fera e grege credentium, descenditque ad orcum, ignem et flammas ibi hæreditario consecuturus. Erit namque ei furor Domini, quasi vallis a sulphure incensa. Non igitur ante dies fuit, sed tempore postea illum ad hoc vocante. Nec enim comparatum est, ut ille regnet perpetuo, ut certe Christo Servatori omnium, cui illud per vocem Davidis dici a nobis commode potest : « Solium tuum, Deus, in sæculum sæculi, virga rectitudinis, virga regni tui [81]. »

A τοὺς σοὺς ὁ θυμὸς Κυρίου. Φαίην δ' ἄν, ὅτι ταυτὶ δὴ μάλιστα πρέποι ἂν καὶ αὐτῷ λέγεσθαι τῷ Σατανᾷ. Πεπλεονέκτηκε μὲν γὰρ τὴν σύμπασαν γῆν· ἐπιλάμψαι Χριστόν. Ἐπειδὴ δὲ Θεὸς καὶ Κύριος ἐπέφανεν ἡμῖν, ἀπεσοβήθη μὲν οἷά τις παγχάλεπος θὴρ τῆς τῶν πιστευσάντων ἀγέλης, κατῴχετο δὲ καὶ εἰς ᾅδου πῦρ ἐκεῖ κληρονομήσων, καὶ φλόγας. Ἔσται γὰρ αὐτῷ ὁ θυμὸς Κυρίου ὡς φάραγξ ὑπὸ θείου καιομένη. Οὐκοῦν οὐ πρὸ ἡμερῶν ἀπηρτήθη, καιροῦ δὲ λοιπὸν εἰς τοῦτο καλοῦντος αὐτόν· οὐ γὰρ ἡτοιμάσθη βασιλεύειν καὶ αὐτῷ διηνεκῶς, καθάπερ ἀμέλει καὶ τῷ πάντων Σωτῆρι Χριστῷ· ᾧ δὴ πρὸ ὑμῶν πρέποι ἂν λέγεσθαι τὸ διὰ φωνῆς τοῦ Δαβίδ· « Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. »

CAP. XXXI. VERS. 1, 2. *Væ qui descendunt in Ægyptum ad auxilium, qui equis confidunt et curribus. Sunt enim multi, et eorum qui equis insident multitudo magna. Et non confisi sunt Sancto Israelis, neque Deum quæsiverunt. Ipse autem sapienter adduxit super eos mala. Et verbum ejus non frustrabitur. Et insurget in domos hominum malorum, et contra spem eorum vanam. Ægyptium hominem et non Deum, equorum carnes, nec est auxilium.*

B *Οὐαὶ, οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες, καὶ ἅρμασιν· ἔστι γὰρ πολλὰ καὶ ἐφ' ἵπποις πλήθη σφόδρα. Καὶ οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν Ἅγιον τοῦ Ἰσραὴλ, καὶ τὸν Θεὸν οὐκ ἐζήτησαν. Καὶ αὐτὸς σοφῶς ἤγαγεν ἐπ' αὐτοὺς κακὰ, καὶ ὁ λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ, καὶ ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων πονηρῶν, καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν. Αἰγύπτιον ἄνθρωπον καὶ οὐ Θεὸν, ἵππων σάρκας, καὶ οὐκ ἔστι βοήθεια.*

438 Cum propheta didicerit eventura Assyriis, temporum successu, et quod Persis ac Medis devastantibus eorum regionem, funditus internecione deferentur, Deo nempe in illos excitante Cyrum: venit ad commemorationem inobedientiæ Israelita- C rum. Cepit enim Babylonius Judæam, et ipsam sanctam civitatem, dico, Jerusalem : abduxitque Israelem captivum, relictis deinde in Judæa Deus exhibuit misericordiam. At cum illi ad Ægyptios deficere voluerunt, veriti ne quando de integro bellum sibi inferretur ab Assyriis, mandavit is qui servare potest, per vocem Jeremiæ, ne descenderent in terram Ægyptiorum. Cæterum ubi postea quoque facti sunt rebelles, putaveruntque servaturas se potius humanas suppetias, ceciderunt in Ægypto, et funditus omnes interierunt. Exclamat igitur in ipsos propheta : Væ, inquit, qui descendunt in Ægyptum, ad auxilium. Non enim Deo qui omnia valet nixi sunt, sed equis potius et curribus, quorum magnus erat numerus in Ægypto; verum sapiens universo- D rum Deus adduxit in illos mala, et verbum ejus non frustratum est. Dixit enim illis voce Jeremiæ, quæ infra posita sunt. Igitur in domos hominum malorum insurget, scilicet confugientium in Ægyptum, et ad spem eorum vanam. Elegerunt enim, inquit, adjutorem Ægyptium hominem et non Deum, equorum carnes. Loquitur autem propheta, emphasi vehementissima, Israelitarum inscitiam redarguens. Quid enim est equus, nisi sola caro? Et quæ vis est carnis adeo infirmæ, et corruptioni subjectæ? Tale quid etiam inquit propheta Jeremias : « Exsecratus, qui spem habet in homine, et firmabit carnem brachii sui, cujus cor recedit a

Μεμαθηκὼς ὁ προφήτης τὰ τοῖς Ἀσσυρίοις συμβησόμενα κατὰ καιροὺς, καὶ ὅτι Περσῶν καὶ Μήδων καταδῃούντων αὐτοῖς τὴν χώραν πανωλεθρεὶ καταφθαρήσονται, Θεοῦ δηλονότι κατεξανιστάντος αὐτοῖς τὸν Κῦρον, εἰς ἀνάμνησιν ἔρχεται τῆς ἀπειθείας τῶν ἐξ Ἰσραήλ. Εἷλε μὲν γὰρ τὴν Ἰουδαίαν ὁ Βαβυλώνιος, καὶ αὐτὴν δὲ τὴν ἁγίαν πόλιν, φημὶ δὴ τὴν Ἱερουσαλὴμ, ἀπεκόμισέ τε τὸν Ἰσραὴλ αἰχμάλωτον, εἶτα τοῖς περιλελειμμένοις κατὰ τὴν Ἰουδαίαν ἐδίδου Θεὸς τὸν ἔλεον. Ἐπειδὴ δὲ ἤθελον μεταφοιτῆσαι πρὸς Αἰγυπτίους δεδιότες μὴ ἄρα πως καὶ εἰσαῦθις αὐτοῖς ὁ παρὰ τῶν Ἀσσυρίων ἐπενεχθείη πόλεμος, προσέταττεν ὁ σώζειν δυνάμενος, διὰ φωνῆς Ἱερεμίου, μὴ καταβαίνειν αὐτοὺς εἰς τὴν Αἰγυπτίων. Ἐπειδὴ δὲ καὶ μετὰ τοῦτο γεγόνασιν ἀπειθεῖς, ᾠήθησαν δὲ ὅτι διασώσει μᾶλλον αὐτοὺς ἡ ἀνθρώπων ἐπικουρία, πεπτώκασιν ἐν Αἰγύπτῳ, καὶ ἄρδην ἅπαντες ἀπολώλασι. Ταλανίζει τοίνυν αὐτοὺς ὁ προφήτης· Οὐαὶ γὰρ, φησὶν, οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν. Ἐθάρσησαν γὰρ οὐχὶ δὴ μᾶλλον τῷ πάντα ἰσχύοντι Θεῷ, ἀλλ' ἐφ' ἵπποις καὶ ἅρμασι· πλεῖστα γὰρ ἦν ἐν Αἰγύπτῳ. Ἀλλὰ σοφὸς ὢν ὁ τῶν ὅλων Θεὸς ἤγαγεν ἐπ' αὐτοὺς κακὰ, καὶ ὁ λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ. Ἔφη γὰρ διὰ φωνῆς Ἱερεμίου πρὸς αὐτοὺς τὰ ὑποτεταγμένα. Οὐκοῦν ἐπ' οἴκους ἀνθρώπων ἀναστήσονται πονηρῶν, τῶν καταπεφευγότων εἰς Αἴγυπτον δηλονότι καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν. Εἵλοντο γὰρ ἐπίκουρον, φησὶν, Αἰγύπτιον ἄνθρωπον, καὶ οὐ Θεὸν, ἵππων σάρκας. Ἐμφαντικώτατα δὲ φησὶν ὁ προφήτης, τῶν ἐξ Ἰσραὴλ ἐλέγχων τὸ ἀμαθές. Τί γάρ ἐστιν ἵππος ἢ ὅτι μόνη σάρξ; Ποία δὲ σαρκὸς ἡ δύναμις, τῆς οὕτως ἀσθενοῦς καὶ ὑποκειμένης τῇ φθορᾷ; Τοιοῦτόν τί φησι καὶ ὁ

[81] Psal. XLIV, 7.

προφήτης Ἱερεμίας· « Ἐπικατάρατος, ὃς τὴν ἐλπίδα A ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ. » « Ἀγαθὸν γὰρ ἀληθῶς τὸ ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄνθρωπον. »

Ὁ δὲ Κύριος ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς· καὶ κοπιάσουσιν οἱ βοηθοῦντες, καὶ ἅμα πάντες ἀπολοῦνται.

Ἐπεὶ γὰρ Αἰγύπτιοι τὴν ἀλάζονα καὶ ἀγέρωχον ὀφρῦν ὑψοῦντες, ἐδέχοντο μὲν τοὺς ἐξ Ἰσραὴλ, ᾤοντο δὲ ὅτι τῶν παρὰ σφίσι ψευδωνύμων θεῶν ἡ δύναμις ἐν ἀμείνοσίν ἐστι τοῦ τῶν Ἑβραίων Θεοῦ, δέδονται καὶ αὐτοὶ τοῖς Βαβυλωνίοις· κεκρατήκασι γὰρ τῆς χώρας, καὶ συνδιολώλασι τοῖς οἰκοῦσιν αὐτὴν, οἱ αὐτόθι κατειλημμένοι τῶν ἐξ Ἰσραήλ. B Ταύτῃτοί φησιν ἐπάξειν αὐτοῖς τὴν χεῖρα τὸν Κύριον, καὶ ὅτι πάντῃ τε καὶ πάντως κοπιάσουσι, τοῦτ' ἔστιν, ἀτονήσουσιν, οἱ τὴν ἄμαχον αὐτοῖς ἐπικουρίαν ὑπισχνούμενοι, καὶ ἅμα πάντες ἀπολοῦνται.

Ὅτι οὕτως εἶπέ μοι Κύριος. Ὃν τρόπον ἐὰν βοήσῃ λέων, ἢ σκύμνος ἐπὶ τῇ θήρᾳ, ᾗ ἔλαβε, καὶ κράξῃ ἐπ' αὐτῆς, ἕως ἂν ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ ἡττήθησαν, καὶ τὸ πλῆθος τοῦ θυμοῦ ἐπτοήθησαν· οὕτω καταβήσεται Κύριος ἐπιστρατεῦσαι ἐπὶ τὸ ὄρος Σιὼν, ἐπὶ τὰ ὄρη αὐτῆς. Ὡς ὄρνεα πετόμενα, οὕτως ὑπερασπιεῖ Κύριος ὑπὲρ Ἱερουσαλὴμ, καὶ ἐξελεῖται, καὶ περιποιήσεται, καὶ σώσει.

Προσέῤῥιψε μὲν ὁ προφήτης μεταξὺ τὴν ἐπίπληξιν, C τὴν ἐπί γε, φημὶ, τοῖς καταβαίνουσιν εἰς Αἴγυπτον, καὶ μὴν καὶ ἐπίκουρον ἔχειν ἑλομένοις Αἰγύπτιον ἄνθρωπον, καὶ οὐ Θεόν. Ἔφη δὲ ὅτι συνδιολοῦνται τοῖς ἐπαμύνειν ὑπισχνουμένοις. Εἶτα πάλιν ἀνακομίζει πρὸς τὸ ἐν ἀρχαῖς τὸν λόγον· εἰπὼν γὰρ, ὅτι φάραγγα βαθεῖαν κληρονομήσουσιν οἱ Ἀσσύριοι, προαφηγεῖται σαφῶς, ὅτι καὶ ἐπικουρήσει Θεὸς τοῖς εὐσεβουμένοις αὐτὸν, καὶ ὑπεραθλήσει τῶν κατὰ τὴν Ἰουδαίαν, ἐφαλεῖται δὲ οὕτω τοῖς ἀδικεῖν ἐθέλουσιν αὐτὴν, καθάπερ ἀμέλει καὶ λέων ἐπὶ θήρᾳ μέγα τι καὶ ἐξαίσιον τοῖς ἀνθεστηκόσιν ἐπιβρυχώμενος. Φασὶ γὰρ τοῦτο τὸ θηρίον, λιμοῦ κατεξανιστῶντος αὐτὸ πρὸς τὸ δεῖν, ἢ βοῶν ἀγέλαις, ἤγουν ἑτέροις τῶν θρεμμάτων ἐπιπηδᾷν, προκαταπτοεῖν αὐτὰ δεινῷ καὶ φοβερωτάτῳ βρυχήματι, καὶ ἀφόρητον ποιεῖσθαι τοῖς D ποιμέσι τὴν ἔφοδον. Οὕτως, φησὶ, καταβήσεται Κύριος ἐπιστρατεῦσαι ἐπὶ τὸ ὄρος τὸ Σιὼν, τοῦτ' ἔστι, τὴν Ἱερουσαλὴμ, ἐπὶ τὰ ὄρη αὐτῆς. Ὡς ὄρνεα πετόμενα, οὕτως ὑπερασπιεῖ Κύριος ὑπὲρ Ἱερουσαλήμ. Νεοττοκομοῦσι μὲν γὰρ ἐν τοῖς ὄρεσι πτηνὰ, καὶ ἐν τοῖς δασέσι τῶν φυτῶν διαπήγνυνται καλιάς. Εἰ δὲ δή τις ἕτερος ὄρνις ἢ ὄφις ἀποσυλῆσαι βούλοιτο τῶν νεοττῶν, ὑπερμάχεται δεινῶς ἡ τεκοῦσα αὐτοὺς, καὶ τῆς ἐνούσης αὐτῇ φιλοστοργίας τὴν δύναμιν καθίστησιν ἐναργῆ, περιιπταμένη τε καὶ τρύζουσα καὶ μονονουχὶ πλείστην ὅσην τοῦ παραλύειν ἐθέλοντος ποιουμένη τὴν καταβολήν. Οὕτω, φησὶν, ὁ τῶν ὅλων Κύριος, ὑπερασπιεῖ τῆς Ἱερουσαλὴμ, καὶ ἐξελεῖται, καὶ περιποιήσεται, καὶ σώσει. Γέγονε δὲ ταῦτα πε-

Domino [82]. » — « Vere enim melius est sperare in Domino, quam sperare in homine [83]. »

VERS. 3. *Dominus autem adducet manum suam in eos, et laborabunt auxiliantes, et simul omnes peribunt.*

Postquam enim Ægyptii arrogans et elatum tollentes supercilium, recepissent Israelitas, putassentque virtutem suorum falso nominatorum deorum, præstantiorem esse Deo Hebræorum, traditi sunt et ipsi Babyloniis : subegerunt namque regionem, et qui ibi relicti sunt **439** Israelitæ, una cum inhabitantibus eam perierunt. Dicit igitur Dominum ipsis inducturum manum, et quod prorsus penitusque laborabunt, id est, debilitabuntur hi, qui inexpugnabile præsidium illis promittunt : et simul omnes peribunt.

VERS. 4, 5. *Quia sic dixit mihi Dominus : Quemadmodum, si clamarit leo vel catulus leonis ob prædam quam cepit, et vociferabitur super ea, donec impleti sint montes voce ejus, et victi sint, et magnitudine furoris perterriti : sic descendet Dominus ut prælietur in monte Sion, in montibus ejus. Ut aves volantes, sic proteget Dominus Jerusalem, et eripiet, et fovebit, et servabit.*

Interjecit propheta territationem, in eos, inquam, qui descendunt in Ægyptum, et qui adjutorem habere maluerunt Ægyptium hominem, et non Deum. Dixitque simul perituros cum his qui promittebant subsidium : rursumque ad eum sermonem redit, qui ab initio fuit. Cum enim dixisset : Vallem profundam hæreditario possidebunt Assyrii, manifeste declarat Deum auxilium laturum rite colentibus se, et pro Judæis pugnaturum, et sic aggressurum illos qui injuria Judæam volunt afficere, veluti leo quidem, ob prædam magna et horribili voce irrugit obsistentibus. Nam aiunt hanc feram, fame incitante, quo armenta boum vel alia pecora aggrediatur, prius illa perterrere magno et terrifico admodum rugitu, et intolerabilem impetum facere in pastores. Sic, inquit, descendet Dominus ut prælietur in monte Sion, id est, Jerusalem, in montibus ejus. Ut aves volantes, sic proteget Dominus Jerusalem. Pullos enim suos curant in montibus volucres, et in densis arboribus constituunt nidos. Quod si alia quæpiam avis vel serpens pullos velit diripere, mater defendit acriter, et circumvolitando et substridendo, et tantum non ingentem clamorem edendo in eum qui destruere vult, affectus pietatisque suæ virtutem declarat. Sic, inquit, universorum Dominus, proteget Jerusalem, et eripiet, et fovebit, et servabit. Facta sunt autem hæc, vastata Babylone, et Cyro e captivitate Israelem relaxante. **440** Reversi enim sunt, regnum administrante apud eos Zorobabelo filio Salathielis, qui erat ex tribu Juda, sa-

[82] Jerem. XVII, 5. [83] Psal. III, 9.

cerdotio autem fungente Jesu filio Josedec, sacerdote magno. Cumque instaurarent mœnia Jerusalem, adorti sunt finitimi quidam, volentes impedire. Nemo tamen vicit, Deo nervos ac vires addente Israeli. Ejusmodi quoque exstitit in nos Servatoris nostri auxilii virtus. Cepit enim omnes captivos, qui creditus est hujus sæculi esse Deus : sed insiliit in illum Christus, tanquam leo quidam, vel catulus leonis, et verbo potentiæ suæ eum abolevit. Dominus est Sabaoth. Et præliatus est in monte Sion, id est, certavit pro intelligibili Sion, quæ est Ecclesia Dei viventis, et velut proprium suum nidum servavit fortiter. Pater siquidem peccati jactavit insigni superbia, Totum orbem habitabilem comprehendam manu velut nidum : et velut derelicta ova tollam, et non est qui effugiat me, vel contradicat mihi. Servator vero universorum et Dominus, congregavit fideles in unum, quemadmodum gallina congregat pullos suos sub alis, et extra omnes insidias posuit. Eripuit enim et fovit, asseruitque sibi universam terram, et servavit orbem terrarum.

A πορθημένης τῆς Βαβυλῶνος, Κύρου τε ἀνέντος τῆς αἰχμαλωσίας τὸν Ἰσραήλ. Ὑπενόστησεν μὲν γὰρ, τὴν παρ' αὐτοῖς βασιλείαν διέποντος Ζοροβάβελ τοῦ Σαλαθιήλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα, ἱερατεύοντος δὲ τοῦ Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου. Ἐπειδὴ δὲ ἀνατειχίζειν ἤθελον τὴν Ἱερουσαλὴμ, ἐπεφύοντο μὲν τῶν ὁμόρων τινὲς διακωλύειν ἐθέλοντες· νενίκηκε δὲ οὐδεὶς, Θεοῦ νευροῦντος τὸν Ἰσραήλ. Γέγονε δὲ τοιαύτη καὶ ἐφ' ἡμᾶς τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπικουρίας δύναμις. Εἷλε μὲν γὰρ αἰχμαλώτους ἅπαντας ὁ νομισθεὶς εἶναι Θεὸς τοῦ αἰῶνος τούτου· ἀλλ' ἐπεπήδησεν αὐτῷ Χριστὸς οἷά τις λέων, ἢ σκύμνος λέοντος, καὶ κατήργηκεν αὐτὸν τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. Κύριός ἐστι Σαβαώθ. Καὶ ἐπεστράτευσεν ἐπὶ τὸ ὄρος Σιὼν, τοῦτ' ἔστιν, ὑπερηγωνίσατο B τῆς νοητῆς Σιὼν, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, καὶ ὥσπερ τινὰ καλιὰν ἰδίαν σέσωκεν εὐσθενῶς. Ὁ μὲν γὰρ τῆς ἁμαρτίας πατὴρ ἐκ πολλῆς ἄγαν ὑπεροψίας ἔφασκε· Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν· καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι. Ὁ δέ γε τῶν ὅλων Σωτὴρ καὶ Κύριος συνήγαγε τοὺς πιστεύσαντας εἰς αὐτὸν, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ ἁπάσης ἔξω τέθεικεν ἐπιβουλῆς. Ἐξείλετο γὰρ, καὶ περιεποίησεν ἑαυτῷ τὴν σύμπασαν γῆν, καὶ σέσωκε τὴν ὑπ' οὐρανόν.

VERS. 6. *Convertimini, qui profundum consilium consultabatis et iniquum.*

Dicente Deo, se velut præliaturum in monte Sion, et insultaturum in eos qui injuria opprimunt Israelem, sive credentes in ipsum, robustissimi leonis instar, et adjiciente, se protecturum et erepturum, et asserturum, et servaturum : rursus propheta exclamat in illos qui credere non sustinent, quod omnipotens sit Dei dextera, et quos velit facile ab hostibus conservet. O igitur, inquit, qui adeo turpi et exsecratissima infidelitate laboratis, qui universorum Deum dereliquistis, et auxilia ab hominibus inconsulto corrogatis, et consilium nescio quomodo impium et ridiculum in hoc seculi fueritis, convertimini ad Deum, consilia capite meliora, dicite et vos : « Domine Deus virtutum, beatus homo qui sperat in te [84]. »

Ἐπιστράφητε, οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι, καὶ ἄνομον.

Τοῦ Θεοῦ λέγοντος, ὡς ἐπιστρατεύσει μὲν ἐπὶ τὸ ὄρος Σιὼν, ἐφαλεῖται δὲ τοῖς ἀδικοῦσι τὸν Ἰσραὴλ, C ἤτοι τοὺς πιστεύοντας εἰς αὐτὸν, ἀλκιμωτάτου λέοντος δίκην, προσεπάγοντος δὲ, ὅτι καὶ ὑπερασπιεῖ, καὶ περιποιήσεται, καὶ σώσει· πάλιν ὁ προφήτης κατακέκραγε τῶν πιστεύειν οὐκ ἀνεχομένων, ὅτι πανσθενής ἐστιν ἡ τοῦ Θεοῦ δεξιὰ, καὶ σώσει ῥᾳδίως, οὓς ἂν ἕλοιτο παρ' ἐχθρῶν. Ὦ τοίνυν, φησὶν, οἱ τὴν οὕτως αἰσχρὰν καὶ βδελυρωτάτην ἀπιστίαν νενοσηκότες, οἱ τὸν τῶν ὅλων καταλελοιπότες Θεὸν, καὶ τὰς ἐξ ἀνθρώπων ἐπικουρίας ἀσυνέτως ἐρανιζόμενοι, καὶ τὴν ἐπὶ τούτῳ σκέψιν ἄνομόν τε καὶ καταγέλαστον, οὐκ οἶδ' ὅπως, τετιμηκότες, ἐπιστράφητε πρὸς Θεὸν, βουλεύσασθε τὰ ἀμείνω, λέγετε καὶ ὑμεῖς· « Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. »

VERS. 7-9. *Quia in die illa auferent homines manufacta sua argentea et aurea, quæ fecerunt manus eorum, et cadet* **441** *Assur. Non gladius viri, neque gladius hominis devorabit illum, et fugiet non a facie gladii. At juvenes erunt victi : petra enim circumdabuntur quasi vallo, et vincentur : qui autem fugerit, capietur.*

Ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ ἀφελοῦνται οἱ ἄνθρωποι D *τὰ χειροποίητα αὐτῶν τὰ ἀργυρᾶ, καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν αἱ χεῖρες αὐτῶν, καὶ πεσεῖται Ἀσσούρ. Οὐ μάχαιρα ἀνδρὸς, οὐδὲ μάχαιρα ἀνθρώπου καταφάγεται αὐτὸν, καὶ φεύξεται οὐκ ἀπὸ προσώπου μαχαίρας. Οἱ δὲ νεανίσκοι ἔσονται εἰς ἥττημα, πέτρᾳ γὰρ περιληφθήσονται, ὡς χάρακι, καὶ ἡττηθήσονται· ὁ δὲ φεύγων ἁλώσεται.*

Redit et nunc oratio ad scopum sibi propositum. Proteget enim, inquit, Dominus Jerusalem, id est, pugnabit pro sua Ecclesia, quæ est civitas ipsius, et eripiet in se credentes, et sibi vindicabit illos, et propriam sortem reputabit, et ad hæc, etiam servabit. At quo pacto? Liberabunt enim seipsos a profana et detestanda idololatria, nec ultra colent

Ἐπάνεισι καὶ νῦν ὁ λόγος ἐπὶ τὸν αὐτῷ προτεθέντα σκοπόν. Ὑπερασπιεῖ μὲν γὰρ, φησὶν, ὁ Κύριος τῆς Ἱερουσαλὴμ, τοῦτ' ἔστιν, ὑπεραθλήσει τῆς ἑαυτοῦ Ἐκκλησίας, ἥτις ἐστὶν ἡ πόλις αὐτοῦ. Καὶ ἐξελεῖται τοὺς εἰς αὐτὸν πιστεύοντας, καὶ ἑαυτῷ περιποιήσει τούτους, καὶ ἴδιον καταλογιεῖται κλῆρον αὐτοὺς, καὶ πρός γε τούτῳ καὶ σώσει. Τίνα δὲ τρόπον; Ἀπαλλά-

[84] Psal. LXXXIII, 13.

ξουσι γὰρ ἑαυτοὺς τῆς βεβήλου καὶ βδελυρᾶς εἰδωλολατρίας, καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν οὐκ ἔτι λατρεύσουσιν, εἴτ' οὖν εἶεν χρυσᾶ καὶ ἀργυρᾶ, εἴτ' οὖν καὶ καθ' ἕτερόν τινα τρόπον πολυτελῶς ἐκπεποιημένα. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἐπιδημίας ἀνεπτόητο περὶ ταῦτα τῶν ἀνθρώπων τὸ γένος, καὶ οἱ μὲν τῇ κτίσει λελατρεύκασι, καὶ τοῖς τοῦ κόσμου στοιχείοις τὴν τῷ Θεῷ πρέπουσαν δόξαν ἐκνενεμήκασι, καθὼς ὁ προφήτης· Τὸ ἀργύριον αὐτῶν, καὶ τὸ χρυσίον αὐτῶν ἐποίησαν ἑαυτοῖς εἴδωλα. Ἐπιλάμψαντος δὲ τοῦ Χριστοῦ τῶν οὕτως αἰσχρῶν καὶ μυσαρῶν ἐγκλημάτων ἐλευθέρα γέγονεν ἡ σύμπασα γῆ. Καθῄρηνται γὰρ τεμένη, καὶ βωμοὶ, καὶ τὰ χειροποίητα, καὶ γέγονεν ἐκποδὼν ἡ πάλαι τοῦ Σατανᾶ πᾶσαν τὴν γῆν καταμιαίνουσα πλάνη. Ἀνῃρημένων δὴ οὖν τῶν χειροποιήτων, φησὶν, συνδιολεῖται τῇ πλάνῃ καὶ ὁ ταύτης εὑρετὴς, τοῦτ' ἔστιν, ὁ Σατανᾶς ὁ νοητὸς Ἀσσοὺρ, ἤγουν ὁ Ἀσσύριος. Πεσεῖται γὰρ οὐκ ἀνδρὸς μαχαίρᾳ πληττόμενος, καὶ δείλαιος ἔσται, κατοιχήσεται γὰρ εἰς ᾅδου ταῖς ἄλλαις ὁμοῦ δυνάμεσι πονηραῖς. Τουτὶ γὰρ ἡμῖν ὑπεμφαίνει λέγων· Οἱ δὲ νεανίσκοι ἔσονται εἰς ἥττημα, τοῦτ' ἔστιν, Οἱ ἰσχυροὶ καὶ κρατοῦντες ἐκ πλεονεξίας τῶν ἐπὶ τῆς γῆς, ἡττηθήσονται καὶ πεσοῦνται. Πῶς ἢ τίνα τρόπον; Πέτρᾳ γὰρ περιληφθήσονται ὡς χάρακι. Πέτραν ἐν τούτοις ἡμῖν τὴν ἀῤῥαγῆ καὶ ἄθραυστον τοῦ Σωτῆρος δύναμιν ὀνομάζει. Οὐκοῦν τῇ θείᾳ δυνάμει, καθάπερ τινὶ πέτρᾳ συνειλημμένοι, καὶ ὡς χάρακι, ἤτοι χαρακώσει, καὶ περιβολῇ, παραχωρήσουσι τὸ νικᾷν, καὶ οὐκ ἂν τις αὐτῶν διαφύγοι. Ἁλώσεται γὰρ πάντη τε καὶ πάντως, κἂν εἴ τις ἕλοιτο τοῦτο δρᾷν. Σημαίνει γὰρ, οἶμαι, τοῦτο τὸ, Ὁ δὲ φεύγων ἁλώσεται. Τίς οὖν ἄρα λοιπὸν ἐξ αὐτῶν ὁ σωζόμενος, εἰ περιληφθήσονται μὲν ὡς χάρακι τῇ πέτρᾳ, φυγῆς δὲ αὐτοῖς οὐδεὶς τὸ σύμπαν δοθήσεται τόπος; Κατώρθωκε δὲ ταῦτα τοῦ Σωτῆρος ἡ δύναμις, καταργήσασα μὲν τὸν Ἀσσοὺρ, τοῦτ' ἔστι, τὸν Σατανᾶν, συγκαθελοῦσά τε τούτῳ καὶ τὰς σὺν αὐτῷ δυνάμεις πονηρὰς, καὶ οἷον χάρακι περιβαλοῦσα, καὶ ἀπράκτους ἀποφήνασα, καὶ τοῖς ᾅδου μυχοῖς κολασθησομένας ἐγκαθειργνῦσα αὐτάς.

Τάδε λέγει Κύριος· Μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλήμ. Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι. Καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ· καὶ κρυβήσεται ὡς ἐφ' ὕδατος φερομένου, καὶ φανήσεται ἐν Σιὼν, ὡς ποταμὸς φερόμενος ἔνδοξος, ἐν γῇ διψώσῃ.

Ἀναφανδὸν ἐν τούτοις ὁ μακάριος προφήτης τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς ἀναφωνεῖ τὸ μυστήριον. Μακαρίους γὰρ ἔσεσθαί φησι τοὺς κατ' ἐκεῖνο καιροῦ κατοικήσαντας τὴν Σιών· δῆλον δὲ ὅτι τὴν νοητὴν, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος. Μακάριοι γὰρ ἀληθῶς, καὶ πρός γε τοῦτο ἡμᾶς αὐτὸς ὁ Σωτὴρ πληροφορήσει λέγων τοῖς πιστεύσασιν εἰς αὐτόν· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. » Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούουσι. Οὐκοῦν οἱ ἐσχηκότες, φησὶν, οἰ-

A opera suarum manuum, sive auro, sive argento, sive alio modo sumptuose effecta. Nam ante adventum Servatoris, stupore harum rerum percellebatur humanum genus, et hi quidem creaturam adorarunt, alii etiam mundi elementis gloriam attribuerunt quæ Deo convenit : ut et propheta : Argentum suum et aurum suum fecerunt sibimet idola. Postquam autem Christus illuxit, ab hisce fœdis et detestabilibus vitiis libera facta est universa terra. Eversa sunt enim delubra et aræ, et manufacta, et semotus est error antiquus Satanæ, totam terram polluens. Sublatis igitur, inquit, manufactis, una cum errore et erroris quoque patronus peribit, nimirum Satanas, intelligibilis Assur sive Assyrius. Cadet enim non gladio viri percussus, et timidus
B erit : abibit siquidem in Orcum, simul cum aliis malis potestatibus. Hoc namque subintravit nobis, dicens : Vincentur autem juvenes, id est, fortes et dominatum usurpantes in terræ habitatores, inferiores erunt et cadent. Quo pacto, aut quomodo? Petra enim circumdabuntur quasi vallo. Petram hic nobis vocat, infractam et inconcussam Servatoris potentiam. Itaque divina potentia tanquam rupe quadam cincti, et quasi vallo seu munimento et sepimento, cedent victoriam, et nemo eorum fugiet. Nam si quis hoc facere velit, omnino omni ex latere capietur. Nimirum, significat hoc, opinor, illud : Fugiens capietur. Quis ergo eorum deinceps salvus evadet, si tanquam **442** vallo circumcludantur
C petra, sicque nullus fugæ locus illis omnino detur? Præstitit vero hæc Servatoris potentia : partim Assur, id est, Satanam abolens, partim cum eo malas simul potestates tollens, et veluti vallo circumdans, et inefficaces reddens, et Orci recessibus coercens, ut puniantur.

CAP. XXXII. VERS. 1, 2. *Hæc dicit Dominus : Beatus qui habet in Sion semen, et domesticos in Jerusalem, Ecce enim rex justus regnabit, et principes cum judicio imperabunt. Et erit homo occultans sermones suos, et occultabitur ut ab aqua quæ fertur : et apparebit in Sion, ut fluvius currens inclytus in terra sitienti.*

D Aperte hisce verbis beatus propheta mysterium dispensationis Unigeniti in carne enuntiat. Nam beatos fore ait, qui eo tempore inhabitant Sion, scilicet intelligibilem, quæ est Ecclesia Dei viventis. Beati enim vere. Et ad hæc Servator ipse nos certos reddet, dicens credentibus in ipsum : « Amen, amen dico vobis, quia multi prophetæ et justi concupierunt videre quæ vos videtis, et non viderunt; et audire quæ auditis, et non audiverunt [88]. » Vestri autem oculi beati, quia vident, et aures vestræ, quia audiunt. Qui igitur, inquit, habuerunt interiorem ac quasi domesticam consuetudinem per spiri

[88] Matth. XIII, 17.

tum cum Domino nostro Jesu Christo, et fructus tulerunt in Sion intelligibili, et domesticos ac intimos habuerunt in Jerusalem, quæ alia non est quam ipsa Sion, ter beati sunt, et omnibus bonis præditi. Habuimus et nos quoque domesticos ac necessarios, spiritu, scilicet sanctos mystagogos sacrorumque antistites. Ecce enim rex justus regnabit, et principes cum judicio imperabunt. Regnavit namque Christus noster, justus pariter ac immaculatus, ac justitiæ omnis administer, et eorum quæ supra legem sunt præceptor. Imperarunt etiam cum judicio principes. Cum judicio dicit, pro, occulte. Erit siquidem justus Rex, homo quidem et frater per omnia eorum qui in terra sunt : revera enim Deus est : Verbum enim caro factum est [85*], juxta Scripturas. Et erit occultans sermones suos. Plurima enim locutus est in parabolis Dominus noster Jesus **443** Christus, qui etiam proclamavit hoc ipsum ante voce Davidis, dicens : « Aperiam in parabolis os meum, eructabo occulta a constitutione [86]. » Nec id solum dicit, sed, Et occultabitur quasi ab aqua quæ fertur. Impetum tentationum, aquæ quæ celeriter fertur, vel fluviorum rivis qui in terra rapide fluunt, solent sacræ Litteræ comparare. Quando igitur, inquit, grassantur in eos tentationes, suntque tanquam aqua celeriter ac rapide ruens, ipse occultabitur, id est, ab insidiis tentantium immunis erit, ut non capiatur. Dixitque de illo David : « Non proficiet inimicus in eo, et filius iniquitatis non apponet nocere ei [87]. » Sæpe enim insidias struxerunt populi Judæorum, incitantibus illos ad hoc, his qui tunc præfuerunt, Scribis dico et Pharisæis. Sed non poterat Christus præter voluntatem quidquam pati eorum quæ solent molesta esse. Illi enim lapidarunt, hic autem, sicuti ait beatus evangelista, per medium eorum transiit, et sic præteriit, id est, non curavit. Eritque his qui sunt in Sion, velut fluvius incitatus, gloriosus, in terra sitiente. His enim qui sitierunt, ex gentibus vocatis ad agnitionem ejus, nec habentibus sermonem qui servare novit, factus est velut quidam fluvius, divite rivulo exuberans, et etiam gloriosus, id est, insignis. Complures enim alii quoque fluvii vocati sunt. Etenim beatus David sanctos mysteriorum antistites, quique sermonem e supernis et cœlitus hauserunt, qui fidem admiserunt, fluviis comparans, ait : « Elevaverunt flumina, Domine, elevaverunt flumina vocem suam [88]. » Claræ enim et exaudibiles erant sanctorum apostolorum voces : at eorum nemo adeo fuit gloriosus, ut certe quidem est hic torrens deliciarum, id est, Christus. Ab eo enim dicimus quoque aliis omnibus datum esse, ut abunde habeant unde possent mysteria tradere, et vivificum Dei sermonem animis credentium instillare.

VERS. 3-8. *Et non erunt amplius confidentes homi-*

κειότητα τὴν διὰ πνεύματος πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ καρποφορήσαντες ἐν τῇ νοητῇ Σιὼν, καὶ οἰκείους ἐσχηκότες ἐν Ἱερουσαλὴμ· οὐχ ἑτέρα δὲ παρὰ τὴν Σιὼν αὕτη· τρισμακάριοί τε καὶ ἐν παντὶ γεγόνασι καλῷ. Ἐσχήκαμεν δὲ καὶ ἡμεῖς οἰκείους, τοὺς κατὰ πνεῦμα δηλονότι, τοὺς ἁγίους μυσταγωγούς. Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι. Βεβασίλευκε γὰρ ἡμῶν ὁ Χριστὸς ὁ δίκαιός τε καὶ ἄμωμος, καὶ δικαιοσύνης ἁπάσης βραβευτὴς, καὶ τῶν ὑπὲρ νόμον εἰσηγητής. Ἦρξαν δὲ καὶ μετὰ κρίσεως ἄρχοντες. Τὸ δὲ, μετὰ κρίσεως, ἀντὶ τοῦ, κεκρυμμένως, φησίν. Ἔσται γε μὴν ὁ δίκαιος βασιλεὺς ἄνθρωπος μὲν καὶ ἀδελφὸς κατὰ πάντα τοῖς ἐπὶ τῆς γῆς· Θεὸς γὰρ κατὰ ἀλήθειαν. Ὁ γάρ τοι Λόγος γέγονε σὰρξ, κατὰ τὰς Γραφάς. Ἔσται δὲ κρύπτων τοὺς λόγους αὐτοῦ. Πλεῖστα γὰρ ὅσα λελάληκεν ἐν παραβολαῖς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὃς καὶ διὰ φωνῆς τοῦ Δαβὶδ αὐτὸ δὴ τοῦτο προανακεκράγει λέγων· « Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς. » Καὶ οὐχὶ τοῦτο μόνον φησὶν, ἀλλὰ γὰρ καὶ κρυβήσεται, ὡς ἀφ' ὕδατος φερομένου. Ὕδατι φερομένῳ πάλιν, ἢ τοῖς ποταμίοις νάμασι ῥαγδαίως τῆς γῆς καταχεομένοις, παρεικάζειν ἔθος τοῖς ἱεροῖς γράμμασι τῶν πειρασμῶν τὴν ἔφοδον. Ὅταν τοίνυν κατεπιφύωνται, φησὶν, αὐτῶν πειρασμοὶ, εἶέν τε καθάπερ ὕδωρ φερόμενον, αὐτὸς κρυβήσεται, τοῦτ' ἔστιν, ἀνάλωτος ἔσται ταῖς τῶν πειραζόντων ἐπιβουλαῖς. Ἔφη δέ που καὶ ὁ Δαβὶδ περὶ αὐτοῦ, ὅτι « Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. » Πλειστάκις μὲν γὰρ ἐπεβούλευσαν οἱ τῶν Ἰουδαίων δῆμοι, παροτρυνόντων εἰς τοῦτο αὐτοὺς τῶν τότε καθηγεῖσθαι λαχόντων, Γραμματέων τε φημὶ, καὶ Φαρισαίων. Ἀλλ' οὐκ ἦν ὑπομεῖναί τι τῶν εἰωθότων λυπεῖν ἀβουλήτως Χριστόν. Οἱ μὲν γὰρ ἐλίθαζον, ὁ δὲ, καθὰ φησὶν ὁ μακάριος εὐαγγελιστὴς, ἐπορεύετο διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως, τοῦτ' ἔστι, οὐ πεφροντικώς. Ἔσται δὲ τοῖς ἐν Σιὼν ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ. Δεδιψηκόσι γὰρ τοῖς ἐξ ἐθνῶν κεκλημένοις εἰς ἐπίγνωσιν αὐτοῦ, καὶ τὸν εἰδότα σώζειν οὐκ ἔχουσι λόγον. Γέγονεν οἷά τις ποταμὸς πλουσίῳ καταχεόμενος νάματι, καὶ πρός γε τούτῳ καὶ ἔνδοξος, τοῦτ' ἔστιν, ἐπίσημος. Πλεῖστοι μὲν γὰρ καὶ ἕτεροι κέκληνται ποταμοί. Καὶ γοῦν ὁ μακάριος Δαβὶδ τοὺς ἁγίους μυσταγωγοὺς, καὶ τοὺς ἄνωθεν ἐξ οὐρανοῦ ποτίζοντας λόγον, τοὺς τὴν πίστιν προσιεμένους ποταμοῖς παρεικάζων ἔφασκεν· « Ἐπῆραν οἱ ποταμοὶ, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. » Ἐξάκουστοι μὲν γὰρ αἱ τῶν ἁγίων ἀποστόλων φωναί. Ἀλλ' οὐδεὶς αὐτῶν ἔνδοξος οὕτω, καθάπερ ἀμέλει καὶ ὁ χειμάῤῥους τῆς τρυφῆς, τοῦτ' ἔστι, Χριστός. Παρ' αὐτοῦ γὰρ καὶ τοῖς ἄλλοις ἅπασι δεδόσθαι φαμὲν τὸ ἐπιτηδείως ἔχειν πρός γε τὸ δύνασθαι μυσταγωγεῖν, καὶ τὸν ζωοποιὸν τοῦ Θεοῦ λόγον ταῖς τῶν πιστευόντων ἐνιέναι ψυχαῖς.

Καὶ οὐκέτι ἔσονται πεποιθότες ἐπ' ἀνθρώποις,

[85*] Joan. I, 14. [86] Psal. LXXVII, 2. [87*] Psal. LXXXVIII, 23. [88] Psal. XCII, 3.

ἀλλὰ τὰ ὦτα δώσουσιν ἀκούειν· καὶ ἡ καρδία τῶν ἀσθενούντων προσέξει τοῦ ἀκούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην, καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται σου, Σίγα. Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, τοῦ συντελεῖν ἄνομα, καὶ λαλεῖν πρὸς Κύριον πλάνησιν, τοῦ διαφθεῖραι ψυχὰς πεινώσας, καὶ τὰς ψυχὰς τὰς διψώσας κενὰς ποιῆσαι. Ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύσεται, καὶ καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις, καὶ διασκεδάσαι λόγους ταπεινῶν ἐν κρίσει. Οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο, καὶ αὕτη ἡ βουλὴ μένει.

A *nibus; sed aures dabunt ad audiendum, et cor infirmorum attendet ut audiat, et linguæ balbutientes cito discent loqui pacem, et non ultra dicent ministri tui, Sile. Stultus enim stulta loquetur, et cor ejus vana intelliget ut perficiat* **444** *iniqua, et loquatur ad Dominum errorem, ad corrumpendum animas esurientes, et animas sitientes vacuas reddet. Consilium enim malorum iniqua cogitabit, ut corrumpant humiles sermonibus injustis, et dissipent sermones humilium in judicio. Pii autem prudentia cogitarunt, et consilium eorum manet.*

Ἁρμόσειεν ἂν εὖ μάλα τῶν προκειμένων ἡ δύναμις τοῖς τε ἐξ ἐθνῶν κεκλημένοις διὰ τῆς πίστεως, καὶ τοῖς ἐξ αἵματος Ἰσραήλ. Οἱ μὲν γὰρ τοῖς ψευδωνύμοις λελατρευκότες θεοῖς, ἀνθρώποις ἐπιθαρσήσαντες, οἱ γεγόνασι παρ' αὐτοῖς δοκήσει σοφίας ἔχοντες δόξαν, καὶ ὑπόληψιν τῆς εἰς ἄκρον ἐλλογιμότητος παρεκομίσθησαν εἰς ἔκτοπόν τε καὶ κίβδηλον νοῦν. Πεπλάνηνται γὰρ καὶ εἰρήκασι τῷ ξύλῳ· Πατήρ μου εἶ σύ, καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με· καὶ θεοὺς ἐπεγράφοντο τοὺς οὐκ ὄντας θεούς. Ἰουδαῖοί γε μὴν τοῖς καθηγεῖσθαι λαχοῦσι προσεσχηκότες, οὐ παρεδέχοντο τὴν πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ὤοντο γὰρ οἱ τῶν ἱερῶν Γραμμάτων ὄντες ἐπιστήμονες, ἄμεινον ὃ αὐτοὶ βεβούλευνται, καὶ οὐκ ἠγνοήκασι τὸ Θεῷ δοκοῦν καὶ τοῖς ὑπὸ χεῖρα λαοῖς τὸ ὅτι μάλιστα τελοῦν εἰς ὄνησιν. Οὐκέτι τοίνυν ἔσονται, φησὶν, ἐπ' ἀνθρώποις πεποιθότες, παρέξουσι δὲ τὰ ὦτα πρός γε τὸ δεῖν τὸν τοῦ Σωτῆρος ἐπακροᾶσθαι λόγον, καὶ ἡ τῶν ἀσθενούντων καρδία ποτὲ λοιπὸν ἀνδρυνθεῖσα πρὸς σύνεσιν προσέξει τοῦ ἀκούειν, αἱ δὲ γλῶσσαι αἱ ψελλίζουσαι, τοῦτ' ἔστιν, αἱ λαλεῖν ὀρθῶς οὐκ εἰδυῖαί ποτε· ψελλισμὸς γάρ οἱονεί πως ἐστὶ τὸ μηδὲν μὲν δύνασθαι λαλεῖν τῶν εἰς δόξαν Θεοῦ, δαπανᾷν δὲ λόγους εἰς ὁμνολογίαν τῶν ψευδωνύμων· μαθήσονται, φησὶ, λαλεῖν εἰρήνην. Λαλεῖν εἰρήνην, οὐδὲν ἕτερόν ἐστιν, ἢ διὰ γλώσσης ἔχειν Χριστόν τε καὶ τὰ αὐτοῦ· καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν κατὰ τὰς Γραφάς. Ψελλισμὸς δὲ τοῖς ἐξ Ἰσραὴλ, τὸ μὴ ἀνέχεσθαι λαλεῖν τὸ Χριστοῦ μυστήριον· ἀειλογεῖν δὲ τὸν νόμον, καὶ τὰς ἐν αὐτῷ σκιὰς, καὶ διδασκάλων. Ἀλλὰ καὶ οὗτοι πεπαύσονται, φησὶ, καὶ ἅπας αὐτοῖς γενήσεται λόγος περὶ Χριστοῦ. Ὅτι δὲ τῶν ἀρχαίων οὐκ ἀνέξονται διδασκάλων, διαμεμήνυκεν εἰπών· Καὶ οὐκέτι οὐ μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν. Μωροὶ γὰρ ὁμολογουμένως οἱ παρ' Ἕλλησι σοφοί· μεμώραται γὰρ ἡ σοφία τοῦ κόσμου. Μωροὶ δὲ καὶ οἱ τῶν Ἰουδαίων καθηγηταὶ καὶ διδάσκαλοι, τὸ διὰ τῆς ἐν νόμῳ σκιᾶς γραφόμενον οὐκ ἐπεγνωκότες, καὶ τοὺς τῶν ἁγίων προφητῶν οὐ συνιέντες λόγους. Οὐκ ἐροῦσιν οὖν ἔτι τῷ μωρῷ ἄρχειν, ἀλλ' οὔτε μὴν οἱ τῶν μωρῶν ὑπηρεταὶ τοῖς παρ' αὐτῶν διδασκομένοις ἐροῦσι τὸ, Σίγα. Λελαλήκασι μὲν γὰρ ἐν Βεελζεβοὺλ οἱ ἐν κόσμῳ σοφοὶ, καὶ δογμάτων σκαιῶν, καὶ ψυχρῶν, καὶ πρός γε τούτῳ καὶ ἀνοσίων γεγόνασιν εὑρεταί. Ἀλλ' εἴ τις ἕλοιτο ταῖς ἑαυτῶν ἀντιτάττεσθαι φλυαρίαις, καὶ ὡς

Conveniet perpulchre verborum propositorum vis atque sententia, tum vocatis ex gentibus per B fidem, tum sanguine Israelitico oriundis. Nam qui falso nominatis diis servierunt, hominibus freti ac fisi, apud illos sapientiæ famam, et summæ eloquentiæ opinionem et existimationem consecuti, in mentem fœdam et corruptam quasique adulterinam abducti sunt. Nam decepti sunt, et dixerunt ligno: Pater meus es tu; et lapidi: Tu me genuisti, et deos nuncupabant qui dii non sunt [89]. Judæi vero, cum his qui præficiebantur attenderint, fidem in Dominum nostrum Jesum Christum haud admiserunt. Existimarunt enim qui sacrarum Litterarum periti erant, melius quam illos consuluisse, et quid Deo gratum, quid populo subdito utilissimum esset, non ignorasse. Ergo non amplius, inquit, erunt hominibus confisi, sed adhibebunt aures, C ut Servatoris sermones excipiant, et infirmorum cor aliquando tandem viriliter confirmatum ad cognitionem, attendet ut audiat. Linguæ autem balbutientes, id est, quæ recte loqui non sciunt unquam (est enim quodammodo balbuties, nihil posse in gloriam Dei, sed in celebrandis falso nominatis diis verba consumere), discent, inquit, loqui pacem. Loqui autem pacem, nihil aliud est quam in lingua habere Christum et quæ sunt ejus. Est enim ille pax nostra, secundum Scripturas. Balbuties quoque est Israelitis, non sustinere loqui Christi mysterium, sed garrire semper legem, et quæ in ea sunt umbras, et præcepta hominum atque doctrinas. Sed et hi, inquit, cessabunt, et omnis erit eorum de Christo D sermo. Quod autem veteres doctores non ferent, ostendit, inquiens: Et non ultra loquantur stulto ut imperet. Stulti enim plane, qui apud Græcos sapientes sunt. Infatuata est enim mundi sapientia. Stulti etiam Judæorum magistri ac doctores, qui in umbra legis quid scriptum esset non cognoverunt, et sermones sanctorum prophetarum non **445** intellexerunt. Non igitur dicent amplius stulto, ut imperet, sed neque stultorum ministri, his qui apud eos docentur, dicent: Sile. Locuti sunt enim in Beelzebul, qui in mundo sunt sapientes, et dogmatum sinistrorum et frigidorum, et præterea etiam impiorum inventores. Verum si quis eorum nugis resistere vellet, et illas velut prodigiosas de-

[89] Jer. II, 27.

formare atque adulterare, assiliunt quidam eorum qui solent eis ministrare, et clamant ut sileant, qui volunt eorum dictis non contradici. Narrant enim moris fuisse, cum Pythagoræ discipuli loquerentur interdum frigida et ridicula, et multis incredibilia, illud dicere, Ipse dixit: hoc est, Sile, et fidem adhibe dogmatis inventori, etiam citra examen. Non igitur dicent, inquit, ministri tui, Sile. Loquetur enim stultus omnino stulta, sed et vana sentiet, et cor ejus unum habet scopum, ut peragat iniqua, et loquatur ad Dominum errorem. Nihil enim aliud quam error sunt Græcorum nugamenta, contra Dei gloriam concinnata, ad corrumpendos animos esurientes, et ad animos sitientes evacuandos. Discendi enim studio flagrant quidam aliquando, deinde ad istos imprudenter accedentes, nihil omnino utilitatis percipiunt: et licet esuriant et sitiant discere, ut videtur, aliquid semper, quod ipsis sit necessarium et utile, ad salutem animæ: tamen consilium, inquit, improborum, iniqua cogitabit, et hoc spectat, ut injustis sermonibus corrumpat, et in judicio sermones humilium dissipet. Amatores enim mundanæ sapientiæ, et perversorum dogmatum assertores, etiam omne adhibent studium ac diligentiam, ut sermones doctrinæ sanctorum mystarum, quos etiam humiles nominat, dispergant atque dissipent: quantumvis in judicio facti fuerint, id est, non oscitanter, sed expense et excusse, ac in sapientia superna ac divina. Nam hoc, opinor, docet addens: Pii vero prudentia cogitarunt, et hoc consilium manet. Etenim sapientum in mundo compta loquacitas evanuit. Obtinuit autem piorum consilium, id est, doctrina, sive prædicatio. Et pios esse dicimus, qui divinum et evangelicum sermonem his qui per universam terram sunt, administrant.

VERS. 9, 10. *Mulieres divites, surgite, et audite vocem* **446** *meam. Filiæ, in spe audite sermones meos. Diei anni mentionem facite in dolore cum spe.*

Mos est Scripturæ divinitus aspiratæ, mulierum personam sæpenumero vel urbibus, vel etiam villis apponere, et cum una est metropolis, reliquas ejus filias appellare, sicut nimirum et divinus David inquit de Sion, sive Jerusalem, et accolis: « Audivit, et lætata est Sion, et exsultarunt filiæ Judææ [99]. » Semper enim fere sunt circum matrem omnium dominam, parvæ et subditæ civitates. Inducitur ergo hic, ipsius Servatoris persona nobis, civitatibus Judææ consilium dans, et dicens: Mulieres divites, surgite, et audite vocem meam. Exhortatur itaque ut obedientiam velint colere, et admittere ipsius sermones, videlicet evangelicam et salutarem prædicationem. Divites vero ipsas nunc percommode appellat, utpote admodum populosas jam, habentesque innumeram incolarum multi-

[99] Psal. xcvi, 8.

A ἐκτόπως γεγενημένας καταχιβδηλεύειν αὐτὰς, ἀναπηδῶσί τινες τῶν ἐκείνοις ὑπηρετεῖν εἰωθότων, ἀναφωνοῦσί τε σιγᾷν, ἀναντιῤῥήτους εἶναι θέλοντες τὰς ἐκείνων φωνάς. Φασὶ γοῦν, ὅτι τοῖς Πυθαγόρου μαθηταῖς λαλοῦσιν ἔσθ' ὅτε ψυχρά τε καὶ καταγέλαστα, καὶ ἀπιστουμένων παρὰ πολλῶν, ἔθος ἦν λέγειν τοῦτο, Αὐτὸς ἔφατο, τοῦτ' ἔστι, Σίγα, καὶ δίδου τῷ τοῦ δόγματος εὑρετῇ καὶ ἀβασανίστως τὴν πίστιν. Οὐκέτι τοίνυν μὴ εἴπωσι, φησὶν, οἱ ὑπηρέται σου, Σίγα. Λαλήσει γὰρ ὁ μωρὸς πάντως που μωρὰ, μάταια δὲ νοήσει καὶ ἡ καρδία αὐτοῦ, ἕνα σκοπὸν ἔχουσα, τὸ συντελεῖν ἄνομα, καὶ λαλεῖν πρὸς Κύριον πλάνησιν. Πλάνησις γὰρ καὶ ἕτερον οὐδὲν, οἱ παρ' Ἕλλησιν ὕθλοι κατὰ τῆς τοῦ Θεοῦ δόξης συντεθειμένοι, πρὸς τὸ διαφθεῖραι ψυχὰς πεινώσας, καὶ τὰς ψυχὰς τὰς διψώσας B κενὰς ποιῆσαι. Μαθητιῶσι μὲν γὰρ ἔσθ' ὅτε τινὲς, εἶτα προσιέντες ἐκείνοις ἀκατασκέπτως ὀνίνανται μὲν παντελῶς οὐδὲν, δείκνυνται δὲ μᾶλλον, καίτοι πεινήσαντες καὶ διψήσαντες, τὸ μαθεῖν που πάντως ἀναγκαῖον αὐτοῖς καὶ χρήσιμον εἰς σωτηρίαν ψυχῆς· ἀλλ' ἡ βουλὴ, φησὶ, τῶν πονηρῶν ἄνομα βουλεύσεται, καὶ εἰς τοῦτο βλέπει πρὸς τὸ ψυχὰς καταφθεῖραι ἐν λόγοις ἀδίκοις, καὶ διασκεδάσαι λόγους ταπεινῶν ἐν κρίσει. Οἱ γὰρ τῆς κοσμικῆς σοφίας ἐρασταὶ, καὶ τῶν διεστραμμένων δογμάτων ὑπασπισταὶ, καταστρατεύονται τῆς διδασκαλίας τῶν ἁγίων μυσταγωγῶν, οὓς καὶ ταπεινοὺς ὀνομάζει, καὶ πᾶσαν τίθενται σπουδὴν, ὥστε διασκεδάσαι τοὺς λόγους αὐτῶν, καίτοι γεγονότας ἐν κρίσει, τοῦτ' ἔστιν, οὐκ ἀτημελῶς, κεκριμένους δὲ μᾶλλον, καὶ ἐν σοφίᾳ τῇ ἄνωθεν, καὶ παρὰ Θεοῦ. Τοῦτο γὰρ, οἶμαι, διδάσκει προστιθεὶς, Οἱ δὲ εὐσεβεῖς C συνετὰ ἐβουλεύσαντο, καὶ αὕτη ἡ βουλὴ μένει. Ἤργησε μὲν γὰρ τῶν ἐν κόσμῳ σοφῶν ἡ εὔκομπος ἀθυροστομία. Κεκράτηκε γὰρ τῶν εὐσεβῶν ἡ βουλὴ, τοῦτ' ἔστιν, ἡ μάθησις, ἤτοι τὸ κήρυγμα. Καὶ εὐσεβεῖς εἶναι φαμὲν τοὺς τὸν θεῖον καὶ εὐαγγελικὸν τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ἱερουργοῦντας λόγον.

Γυναῖκες πλούσιαι, ἀνάστητε, καὶ ἀκούσατε τῆς φωνῆς μου· θυγατέρες, ἐν ἐλπίδι ἀκούσατε τοὺς λόγους μου. Ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετὰ ἐλπίδος.

Ἔθος τῇ θείᾳ Γραφῇ, καὶ θεοπνεύστῳ γυναικῶν πρόσωπον περιτιθέναι πλειστάκις ἢ πόλεσιν, ἢ καὶ κώμαις, ἀλλὰ καὶ μητροπόλεως οὔσης μιᾶς, θυγατέρας αὐτῆς τὰς ἑτέρας ἀποκαλεῖν, καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Δαβὶδ περί τε τῆς Σιὼν ἤτοι τῆς D Ἱερουσαλὴμ καὶ τῶν περιοικίδων φησίν· « Ἤκουσε καὶ ηὐφράνθη Σιὼν, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας· » ἀεὶ γάρ πως περὶ μητέρα τὴν ἁπασῶν ἡγουμένην εἰσὶν αἱ μικραί τε καὶ ὑπ' αὐτῇ πόλεις. Εἰσκεκόμισται τοίνυν ἐν τούτοις ἡμῖν τὸ αὐτοῦ τοῦ Σωτῆρος πρόσωπον, ταῖς τῆς Ἰουδαίας πόλεσι συμβουλεῦον καὶ λέγον· Γυναῖκες πλούσιαι, ἀνάστητε, καὶ ἀκούσατε τῆς φωνῆς μου. Προτρέπει μὲν οὖν εἰς τὸ ἑλέσθαι τιμᾷν τὸ εὐπειθὲς αὐτὰς, καὶ τοὺς παρ' αὐτοῦ προσίεσθαι λόγους, δῆλον δὲ ὅτι τὸ σωτήριον καὶ εὐαγγελικὸν κήρυγμα· πλουσίας δὲ

αὐτὰς ἀποκαλεῖ νυνὶ μάλιστα χρησίμως, ἅτε δὴ καὶ πολυανδρούσας ἔτι, καὶ ἀμέτρητον ἐχούσας τὴν τῶν ἐνοικούντων πληθὺν, πλὴν οὐκ εἰς μακρὰν ἐσομένας ἐρήμους καὶ πενιχροτάτας, τό γε ἧκον εἰς τὸ μηδένα τῶν ἐνοικούντων ἔχειν, εἰ μὴ τοῖς αὐτοῦ θεσπίσμασιν ὑπενεγκεῖν ἕλοιντο τὸν τῆς ἑαυτῶν διανοίας αὐχένα. Ὦ τοίνυν γυναῖκες, φησὶν, ὦ θυγατέρες, ἀκούσατε τοὺς λόγους μου ἐν ἐλπίδι, τοῦτ' ἔστιν, οὐκ ἀμισθὶ μᾶλλον, ἀλλ' ἐπ' ἐλπίδι λαμπρᾷ. Τί δὴ οὖν ἄρα τὸ προσταττόμενον; Μνείαν ποιήσασθε, φησὶν, ἡμερῶν ἐνιαυτοῦ καθ' ὃν ἐπέφανεν ὁ Χριστὸς, καὶ ἐνεκήρυξεν ἐναργῶς ταῖς ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν πόλεσί τε καὶ κώμαις. Ἔφη γὰρ αὐτὸς διὰ φωνῆς Ἡσαΐου· « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν. » Ἀνάστητε τοίνυν, φησὶν, τοῦτ' ἔστι, διαγρηγορήσατε, καὶ ἐλπίδα καλὴν προσοικισάμεναι κατὰ νοῦν μνημονεύσατε τῶν ἡμερῶν τοῦ ἐνιαυτοῦ καθ' ὃν, ὡς ἔφην, τὸ παρὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ γέγονε κήρυγμα. Ἐπιτάττει δὲ μὴ παρειμένως μήτε μὴν ἀμελῶς τοῦτο δρᾷν, ἀλλ' ὡς ἐν σπουδῇ καὶ μετὰ φροντίδος· κατορθοῦται γὰρ οὕτω τὰ ἀγαθά.

A tudinem: verum brevi futuras desertas et egentissimas, ita ut nullum habiturae sint qui inhabitet, nisi ejus oraculis cervicem mentis suae malint subjicere. O igitur, inquit, mulieres, o filiae: audite sermones meos in spe, id est, non absque mercede, sed potius cum spe ampla et splendida. Quid ergo jubetur? Mentionem facite, inquit, dierum anni quo apparuit Christus, et diserte praedicavit civitatibus et pagis per universam Judaeam. Dixit enim ipse voce Isaiae: « Spiritus Domini super me, propterea unxit me, ut fausta nuntiem pauperibus misit me, ut praedicem captivis remissionem, et caecis visum, ut dimittam confractos per remissionem, ut sanem contritos corde, ut proclamem annum Domini acceptum [21]. » Exsurgite igitur, id est, evigilate, et bona B spe animo concepta, commemorate dies anni quo, ut dicebam, facta est a Christo omnium nostrum Servatore praedicatio. Jubet autem ut hoc agant non remisse aut negligenter, sed studio et cura. Sic enim recte perficiuntur bona.

Ἀνήλωται ὁ τρυγητὸς, πέπαυται ὁ σπόρος, οὐκέτι μὴ ἔλθῃ· ἔκστητε, λυπήθητε, αἱ πεποιθυῖαι, ἐκδύσασθε, γυμναὶ γένεσθε, περιζώσασθε τὰς ὀσφύας, καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε. Ἐπὶ ἀγροῦ ἐπιθυμήματος, καὶ ἀμπέλου γεννήματος, ἡ γῆ τοῦ λαοῦ μου ἄκανθα καὶ χόρτος ἀναβήσεται, καὶ ἐκ πάσης οἰκίας εὐφροσύνη ἀρθήσεται. Πόλις πλουσία, οἶκοι ἐγκαταλελειμμένοι, πλοῦτον πόλεως καὶ οἴκους ἐπιθυμητοὺς ἀφήσουσι. Καὶ ἔσονται αἱ κῶμαι σπήλαια ἕως τοῦ αἰῶνος, εὐφροσύνη ὄνων ἀγρίων, καὶ βοσκήματα ποιμένων.

VERS. 11-14. *Consummata est vindemia, cessavit semen, ut non amplius veniat. Obstupescite,* 447 *contristamini, confidentes, exuite vos, nudae estote, cingite lumbos, et super ubera plangite, de agro cupiditatis et vite geniminis, terra populi mei spinam et gramen proferet, et ex omni domo laetitia tolletur,* C *civitas dives, domus derelictae, divitias civitatis et domos desiderabiles amittent, et erunt villae speluncae usque in saeculum, laetitia onagrorum, et pascua pastorum.*

Ὅτι τοῖς ἐξ Ἰσραὴλ οὐκ ἀζήμιον, μᾶλλον δὲ ἁπάσης αἰκίας καὶ συμφορᾶς ἔσται πρόξενον τὸ μὴ βούλεσθαι παρὰ Χριστοῦ προσέσθαι λόγον, διαδείκνυσιν ἐν τούτοις. Ἔμελλον γὰρ αἱ κατὰ πᾶσαν τὴν Ἰουδαίαν καταδηωθήσεσθαι πόλεις, καταπιμπράσης ἁπάσας τῆς Ῥωμαίων χειρὸς, ὡς ὁρᾶσθαι μὲν κενάνδρους αὐτὰς, καταχερσωθῆναί τε καὶ τὰ ἐξαίρετα τῶν χωρίων, οἴχεσθαί τε πρὸς φυγὴν τοὺς διαδρᾶναι μόλις ἰσχύσαντας, οἴκου τε καὶ πλούτου διαπεσεῖν, καὶ θηρίων ἐνδιαίτημα τὴν πολυάνθρωπον ποτὲ γενέσθαι πόλιν ἢ κώμην. Εἰ δὲ δή τις βούλοιτο καὶ πνευματικὴν ἐπὶ τοῖς προκειμένοις δέχεσθαι θεωρίαν, ἐκεῖνο συνήσει· Τρυγητὸν, ὥς γε οἶμαι, καὶ σπόρον ἀποκαλεῖ τῆς νοητῆς εὐκαρπίας τὴν δύναμιν, καθ' ἣν ἐσμὲν εὐάρεστοι τῷ Θεῷ, οὐχ οἷον ἄκανθαν τὴν πολυειδῆ τίκτοντες ἁμαρτίαν, ἀλλ' ὡς πίων τε καὶ εὔκαρπος γῆ παρὰ Θεῷ τιμώμενοι. Ἀποπεπτώκασι τοίνυν τῆς νοητῆς εὐκαρπίας οἱ τάλανες Ἰουδαῖοι· καὶ ὁ νοητὸς ἀμπελὼν ἀκανθοτόκος γέγονε γῆ. Ἐπέμεινε γάρ φησι τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δ' ἀκάνθας. » Εἴρηται δὲ καὶ διὰ φωνῆς τοῦ προφήτου περὶ τοῦ Ἰσραὴλ, ὅτι ἀνεμοφθόρα ἔσπειραν, καὶ ἡ καταστροφὴ αὐτῶν ἐκδέξεται αὐτά. « Δράγμα

Non impunitum fore, sed causam efficientem omnis supplicii, et miseriae Israelitis, hisce verbis ostendit, eo quod sermonem Christi non receperint. Erant enim civitates per universam Judaeam vastandae, incendente eas Romanorum manu, ut vacuae viris conspicerentur, et loca eximia delerentur, et in fugam verterentur qui vix fugere valuerunt, domoque et divitiis exciderent, et civitas seu villa aliquando multis hominibus referta, habitaculum ferarum fieret. Sin etiam velit quis spiritua- D lem intelligentiam in hisce verbis propositis accipere, illud cognoscet: Vindemiam et semen, ut arbitror, vocat intelligibilis fertilitatis virtutem, qua sumus Deo quasi terra pinguis et fecunda. Exciderunt ergo intelligibili fertilitate hi miseri Judaei: et intelligibilis vinea, facta est terra parens et ferax spinarum. « Exspectavit enim, inquit, ut ferret uvam, et tulit spinas [22]. » Dictumque est voce prophetae de Israel, quod ventosa seminarunt, et subversio eorum excipiet ea. « Manipulus non habens vim conficiendi farinam [23]. » Consumpta ergo est, inquit, vindemia, id est, non amplius vinea nuncupaberis, nihil enim est tibi maturum. Cessavit se-

[21] Isa. LXI, 1 seqq. [22] Isa. V, 2. [23] Osee. VIII, 7.

men, non eris terra pariens bona, et fructuum mitium nutrix. Hinc et meritissime obstupescite, id est, percellimini et admiramini. Contristamini, confidentes. Vos enim, inquit, quæ quondam superbiistis in Deo, cum videritis cor vestrum omnis boni inane, tunc tunc dolete. Exuite vos, nudæ estote, accingite lumbos, et super ubera plangite. Ex agro cupiditatis, et vite genimінis. Luctus, inquit, causa est, quod pereat et prorsus vastetur ager **448** desiderabilis, et vinea admirabilis. Significat autem per hæc Israelem. Explicat illud etiam aliter, et inquit : Terra populi mei spinam et gramen proferet. In vastitatem enim redactus est Israel : dimisit siquidem vineam suam, et nubibus imperavit ut non depluerent in eam pluviam. Et facta est lætitia onagrorum, et malorum pastorum pascua, nimirum immundorum spirituum. Sic quoque beatus David, velut de vinea Israele orationem conformans ad universorum Servatorem Deum : « Vineam, inquit, ex Ægypto transtulisti, ejecisti gentes, et plantasti eam [81]. » Deinde adjungit, inquiens : Quare destruxisti sepem ejus, et vindemiant eam omnes qui transeunt viam ? Vastavit eam aper silvestris, et asinus ferus depastus est eam. Quemadmodum enim loca quæ inculta jacent, negligunt et abjiciunt possessores, et nulla illis cura est, quodcunque damnum ipsis inferatur : sic et Deus noster virtutis amans, relinquit animam, et omni nudam destitutamque misericordia reddit, si bonorum operum fructibus vacua sit.

A οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον. » Ἀνάλωται τοίνυν, φησὶν, ὁ τρυγητὸς, τοῦτ' ἔστιν, Οὐκέτι χρηματιεῖς ἀμπελών. Οὐδὲν γάρ σοι τῶν ὡρίμων. Πέπαυται ὁ σπόρος, οὐκ ἔσῃ καλλιτόκος γῆ καὶ καρπῶν ἡμέρων τροφή. Ταύτητοι καὶ λίαν εἰκότως ἐκστῆτε, τοῦτ' ἔστι, καταπλάγητε, καὶ θαυμάσατε. Λυπήθητε, αἱ πεποιθυῖαι. Αἱ γὰρ πάλαι μέγα φρονοῦσαι, φησὶν, ἐπὶ Θεῷ, ὅταν ἐρήμην τὴν ἑαυτῶν καρδίαν παντὸς ἀγαθοῦ καταθρήσητε, τότε δὴ τότε λυπήθητε. Ἐκδύσασθε, γυμναὶ γένεσθε, περιζώσασθε τὰς ὀσφύας, καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε. Ἀπὸ ἀγροῦ ἐπιθυμήματος καὶ ἀμπέλου γενήματος. Πρόφασίς ἐστι τοῦ θρήνου, φησὶ, τὸ ἀπολέσθαι, καὶ ἠφανίσθαι παντελῶς ἀγρὸν ἐπιθυμητὸν, καὶ ἀμπελῶνα τεθαυμασμένον. Σημαίνει δὲ διὰ τούτου τὸν Ἰσραήλ. Καταλευ- B καίνει δὲ καὶ ἑτέρως αὐτὸ, καί φησιν, ὅτι Ἡ γῆ τοῦ λαοῦ μου ἄκανθα καὶ χόρτος ἀναβήσεται. Κατεχερσώθη γὰρ, ὡς ἔφην, ὁ Ἰσραήλ. Ἀνῆκε γὰρ τὸν ἀμπελῶνα αὐτοῦ, καὶ ταῖς νεφέλαις ἐνετείλατο τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. Καὶ γέγονεν εὐφροσύνη ὄνων ἀγρίων, καὶ πονηρῶν ποιμένων βοσκήματα, τοῦτ' ἔστι, τῶν ἀκαθάρτων πνευμάτων. Οὕτω καὶ ὁ μακάριος Δαβὶδ ὡς περὶ ἀμπελῶνος τοῦ Ἰσραὴλ τοὺς λόγους περιποιούμενος πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν· « Ἄμπελον, φησὶν, ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. » Εἶτα προσεπάγει λέγων· Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν ἅπαντες οἱ παραπορευόμενοι τὴν ὁδόν; Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. Ὅνπερ γὰρ τρόπον τὰ τῶν χωρίων κεχερσωμένα παραῤῥιπτοῦσιν οἱ κεκτημένοι, καὶ λόγος αὐτοῖς οὐδεὶς, κἂν εἰ πᾶν αὐτοῖς ἐπιφέροιτο βλάβος· οὕτω καὶ ὁ φιλάρετος ἡμῶν Θεὸς ἀνίησι ψυχὴν, καὶ φειδοῦς ἁπάσης ἀποφαίνει γυμνὴν, εἰ καρπῶν ἐρήμη γένοιτο τῶν εἰς ἀγαθουργίαν.

VERS. 15-18. *Donec adveniat in vos Spiritus ab excelso, et erit solitudo Chermel. Et Chermel in saltum deputabitur, et requiescet in solitudine judicium, et justitia in Carmelo habitabit. Et erunt opera justitiæ, pax, et obtinebit justitia requiem, et confidentes erunt usque in æternum. Et habitabit populus ejus in civitate pacis, et habitabit confidens, et requiescet cum divitiis.*

C *Ἕως ἂν ἐπέλθῃ ἐφ' ὑμᾶς Πνεῦμα ἀφ' ὑψηλοῦ. Καὶ ἔσται ἔρημος ὁ Χερμὲλ, καὶ ὁ Χερμὲλ εἰς δρυμὸν λογισθήσεται. Καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρῖμα, καὶ δικαιοσύνη ἐν Καρμήλῳ κατοικήσει. Καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης, εἰρήνη, καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἔσονται ἕως τοῦ αἰῶνος· καὶ κατοικήσει ὁ λαὸς αὐτοῦ ἐν πόλει εἰρήνης, καὶ ἐνοικήσει πεποιθὼς, καὶ ἀναπαύσεται μετὰ πλούτου.*

Tempus declarat, quo intelligibili fecunditate vacuum erit Israeliticum genus rebellans. Sermonem enim transfert ad eos qui submissione et obedientia Dominum nostrum Jesum Christum coluerunt, et ad eos qui purgati sunt per fidem in ipsum, et facti sunt participes sancti Spiritus. Futura enim sunt, inquit, prædicta, et desolabitur propter effrenem contumaciam Israel, donec adveniat in vos Spiritus ab excelso. Ut enim in Actis sanctorum apostolorum legimus : « Erant omnes congregati in unum, circiter dies sacræ Pentecostes. Ecce vero factus est subito e cœlo sonus, instar concitati et vehementis venti, et replevit domum ubi erant coacti, et visæ sunt illis dispertitæ linguæ tanquam ignis et

Ἐναργῆ καθίστησι καὶ τὸν χρόνον, καθ' ὃν τῆς νοητῆς εὐκαρπίας ἔρημον ἔσται τὸ ἐξ Ἰσραὴλ ἀπειθῆσαν γένος. Μεθίστησι γὰρ τὸν λόγον ἐπί γε, φημὶ, τοὺς ταῖς εὐπειθείαις τετιμηκότας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ κεκαθαρμένους μὲν διὰ τῆς εἰς D αὐτὸν πίστεως, γεγονότας δὲ καὶ ἐν μεθέξει τοῦ ἁγίου Πνεύματος. Ἔσται γὰρ, φησὶ, τὰ προηγγελμένα, καταχερσωθήσεται δὲ διὰ τὸ ἐξήνιον ὁ Ἰσραὴλ, ἕως ἂν ἐπέλθῃ ἐφ' ὑμᾶς Πνεῦμα ἀφ' ὑψηλοῦ. Ὡς γὰρ ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων ἀνέγνωμεν· « Ἦσαν πάντες συνηγμένοι ἐπὶ τὸ αὐτὸ, περὶ τὰς ἡμέρας τῆς ἁγίας Πεντηκοστῆς. Καὶ ἰδοὺ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσε τὸν οἶκον οὗ ἦσαν συνηγμένοι·

[81] Psal. LXXIX, 9.

καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, ὡσεὶ πυρὸς, καὶ ἐκάθησαν (1) ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς. » Ὅταν τοίνυν, φησὶν, ἔλθῃ ἐφ' ὑμᾶς τοὺς πιστεύοντας τὸ ἄνωθέν τε καὶ ἐξ ὕψους Πνεῦμα τοῦ Θεοῦ, τότε καὶ ἔρημος ἔσται ὁ Χερμέλ. Τὸ δὲ Χερμὲλ ἤτοι ὁ Κάρμηλος ὄρος ἐστὶ παμμέγεθες ἐν τῇ Ἰουδαίᾳ, καὶ ὕλῃ δασείᾳ κατάκομον. Παρεικάζει τοίνυν αὐτήν τε τὴν Ἱερουσαλὴμ, καὶ ἅπασαν δὲ τὴν περὶ οἰκίδα χώραν τῷ Χερμὲλ, ἅτε δὴ καὶ ἀναρίθμητον ἔχουσαν τὴν τῶν ἐνοικούντων πληθύν. Ἀλλ' ἔσται, φησὶν, ἔρημος καὶ λογισθήσεται εἰς δρυμόν. Δρυμὸν δέ φησι τὴν ἀγρίαν ὕλην, ἧς ἡ χρεία πρὸς καῦσιν. Ἐκκόπτεται γὰρ τὰ ἀνήμερα τῶν ξύλων, καὶ φλογός εἰσι τροφή. Ἐκκοπέντος δὴ τοῦ Χερμὲλ, καταλογισθέντος δὲ καὶ εἰς ἀγρίαν ὕλην, ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρῖμα. Ἔρημον δέ φησιν αἰνιγματωδῶς τὴν τῶν ἐθνῶν χώραν, ἧς καὶ ἑτέρωθι διαμέμνηται λέγων αὐτὸς ὁ προφήτης Ἡσαΐας· « Εὐφράνθητι, ἔρημος ἡ διψῶσα. Ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον. » Ἐρήμῳ δὲ παρεικάζεται διά τοι τὸ ἄκαρπον καὶ οἷον ἐψιλωμένον, καὶ ἀνεστηκὸς ἐν αὐτῇ εἶναι παντελῶς οὐδέν. Ἀλλὰ καὶ τοῦτο πεπλούτηκε. Πέφηνε καὶ εὐδενδροτάτη πνευματικῶς, ὅτι κατῴκησεν ἐν αὐτῇ Χριστός. Καὶ γοῦν ἔφη διὰ φωνῆς πάλιν τοῦ προφήτου Ἡσαΐου· « Καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὕδωρ, ποταμοὺς θήσω, εἰς τὴν ἄνυδρον γῆν, κέδρον, καὶ πύξον, καὶ μυρσίνην, καὶ κυπάρισσον, καὶ λεύκην. » Σημαίνονται γὰρ διὰ τούτων, αἱ διὰ πίστεως τῆς εἰς αὐτὸν εὐδοκιμοῦσαι ψυχαὶ, καὶ ἐς ὕψος ἠρμέναι τὸ ἐκ διαφόρου καὶ πολυειδοῦς ἀρετῆς. Ἀναπαύσεται τοίνυν, φησὶν, ἐν τῇ ἐρήμῳ κρῖμα, καὶ δικαιοσύνη ἐν τῷ Καρμήλῳ κατοικήσει, ἀντὶ τοῦ, ἀγαθὸν ἐμπολιτεύσεται τῇ τε ἐρήμῳ καὶ τῷ Καρμήλῳ. Ὁ δὲ Χερμὲλ καὶ ὁ Κάρμηλος, οὐχ ἕτερόν τι, καὶ ἕτερόν ἐστιν, ἀλλ' ἓν ὄρος τὸ δι' ἀμφοῖν σημαίνεται. Πῶς οὖν ἄρα καὶ ἔρημον ἔσται καὶ εἰς δρυμὸν λογισθήσεται, καὶ ἐν αὐτῷ κατοικήσει δικαιοσύνη; Φαμὲν ὅτι οὐκ εἰς ἅπαν ἐκπέπτωκε τῆς πρὸς Θεὸν οἰκειότητος ὁ Ἰσραὴλ, σέσωσται δὲ τὸ κατάλειμμα, καὶ συναγελάζονται τοῖς ἐξ ἐθνῶν οἱ ἐξ αὐτῶν πιστεύσαντες. Καὶ κατῴκηκεν ὁ Χριστὸς ἐν τούτοις τε κἀκείνοις, ὅς ἐστι δικαιοσύνη καὶ κρῖμα. Δεδικαιώμεθα γὰρ ἐν αὐτῷ, δικαίῳ τε δὲ καὶ ὀρθῷ κρίματι καταργηθείσης τῆς ἁμαρτίας, καὶ ἀνῃρημένου τοῦ Σατανᾶ. Τί οὖν ἐν ἐρήμῳ ἐργάσεται κατοικήσας ὁ Χριστὸς, ὅς ἐστι δικαιοσύνη, διατρανοῖ λέγων· Καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης, εἰρήνη. « Ἐλθὼν γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, » ὡς ὁ Παῦλός φησιν, « εὐηγγελίσατο εἰρήνην τοῖς μακρὰν, καὶ εἰρήνην τοῖς ἐγγὺς, » τοῦτ' ἔστιν, Ἕλλησί τε καὶ Ἰουδαίοις· ἐκράτυνε δὲ παρ' ἡμῖν ἡ δικαιοσύνη τὴν ἀνάπαυσιν. Εἰρηνεύσαντες γὰρ πρὸς Θεὸν, καὶ καταλύσαντες τὴν ἔχθραν ἐν πόλεσίν ἐσμεν ἀναπαύσεως, καὶ τῆς εἰς αἰῶνας τρυφῆς. Καὶ γεγόναμεν ἐν

A insederunt unicuique **449** eorum, et cœperunt loqui diversis linguis, sicut Spiritus dabat eis eloqui [95]. » Quando igitur, inquit, venerit in vos credentes e supernis et ab excelso Dei Spiritus, tunc et solitudo erit Chermel. Chermel autem sive Carmelus mons est ingens in Judæa, et silva spissa densus. Comparat itaque Chermelo ipsam Jerusalem, et omnem finitimam regionem, scilicet quæ innumerabilem habet multitudinem inhabitantium. Sed erit, inquit, solitudo, et reputabitur ut silva. Silvam dicit horridum et agreste nemus, cujus usus est combustio. Exscinduntur enim ligna squalida et horrentia, et flammæ sunt fomentum. Exciso igitur Chermelo, et reputato instar agrestis silvæ, requiescet in solitudine judicium. Solitudinem dicit ænigmatice B gentium regionem, cujus et alibi meminit ipse propheta Isaias, dicens: « Lætare, solitudo, quæ sitis; exsultet solitudo, et floreat ut lilium [95*]. » Comparat autem solitudini, eo quod infructuosa sit, et velut nudata, in qua etiam nulla arbor unquam crevit. Sed hæc ditata est, et facta est arboribus densissima spiritualiter, quando in ea Christus habitavit. Et sane iterum dixit voce prophetæ Isaiæ: « Et faciam in solitudine aquam, et in loco aquis carente fluvios; collocabo in terra aqua carente cedrum, et buxum, et myrtum, et cypressum, et populum [96]. » Significantur enim per hæc animæ probatæ per fidem in ipsum, et erectæ in altum, variorum et multiplicium virtutum fastigium. Requiescet igitur, C inquit, in solitudine judicium, et justitia in Carmelo habitabit, pro, bonum versabitur in solitudine et Carmelo. Chermel et Carmelus non diversa sunt, sed utroque unus idemque mons significatur. Quomodo igitur solitudo erit, et in silvis numerabitur, et in eadem habitabit justitia? Dicimus non in totum excidisse a conjunctione cum Deo Israelem, sed reliquiæ salvæ sunt, et congregantur cum gentibus qui ex illis crediderunt, et Christus tam in his quam in illis habitavit, qui est justitia et judicium. In illo enim justificati sumus, et justo et recto judicio, abolito peccato, et sublato Satana. Quid igitur Christus qui habitavit, qui justitia est, in solitudine effecturus sit declarat, inquiens: **450** Et erunt opera justitiæ, pax. « Adveniens enim Do- D minus noster Jesus Christus, » ut ait Paulus, « evangelizavit pacem vobis qui longe fuistis, et pacem iis qui prope [96*], » id est, et Græcis et Judæis: obtinuitque nobis justitia requiem. Pace enim facta cum Deo, et dissoluta inimicitia, in civitatibus sumus requietis et æternæ voluptatis. Et facti sumus in illo confidentes, usque in æternum, et habitavimus in civitate pacis, id est, Ecclesia Dei viventis. In ea enim habitat Christus, qui est pax. Et requievimus cum divitiis. Qui enim omnibus bonis et omni virtute egebamus, a Deo alieni in mundo, et spem non habentes, di-

[95] Act. II, 21 seqq. [95*] Isa. XXXV, 1. [96] Isa. XLI, 19. [96*] Ephes. II, 17.

(1) Ἐκάθισαν, ad linguas refert Cyrillus.

vites sumus jam per Christum, et magis adhuc erimus, supernorum et divinorum charismatum amplissimam accessionem consecuti.

A αὐτῷ πεποιθότες ἕως τοῦ αἰῶνος, καὶ κατῳκήκαμεν ἐν πόλει τῆς εἰρήνης, τοῦτ' ἔστιν, Ἐκκλησίᾳ Θεοῦ ζῶντος. Ἐν αὐτῇ γὰρ κατοικεῖ Χριστὸς, ὅς ἐστιν εἰρήνη, καὶ ἀναπεπαύμεθα μετὰ τοῦ πλούτου. Οἱ γὰρ πάλαι παντὸς ἀγαθοῦ πράγματος, καὶ ἀρετῆς ἁπάσης ἐν ἐνδείᾳ καθεστηκότες, οἱ ἄθεοι κατὰ τὸν κόσμον, καὶ ἐλπίδα μὴ ἔχοντες, πλούσιοι διὰ Χριστὸν ἐσμέν τε ἤδη, καὶ ἔτι μειζόνως ἐσόμεθα, τῶν ἄνωθεν καὶ παρὰ Θεοῦ χαρισμάτων ἀμφιλαφεστάτην λαχόντες τὴν ἐπίδοσιν.

VERS. 19. *Et grando si descenderit, non invadet vos, et erunt qui habitant in silvis tam fidentes quam hi qui in campis.*

Cum impie egissent in Dominum nostrum Christum Judæi, et quantum nefariis consiliis et summis viribus contendere poterant, illum tantum non occidissent, violentissima grando, nimirum divinæ iræ, universam infestavit regionem. Redacta est B enim in vastitatem, capta est, et vastata, et in omnes ventos dispersi sunt, juxta vocem prophetæ. Quando igitur grando, inquit, invecta erit, id est, divina ira, non vos qui credidis, et qui habitatis in civitate pacis, invadet, neque germina justitiæ nostræ corrumpet, neque bonos nostros labores pessumdabit, sed erunt tam confidentes hi qui habitant in silvis, quam hi qui in campis. Quid istud est? Terra enim spissis lignis referta, aspera est et arationi parum accommoda : illa vero terra campestris est et æquabilis, agricolis ad seminum esui servientium procreationem aptissima. Deo igitur annuente, omnia erunt fertilia, et terra quondam aspera, efficietur seminum sativorum alumna. C Omnia enim fructum ferunt per Christum, intelligentiæ scilicet fructus, spiritualiter. In spinis autem seminat nemo. Sed innovantes novalia, juxta prophetæ vocem [97], seramus in justitia, viventes non ultra secundum carnem et voluptuarie, sed conversantes magis evangelice.

Ἡ δὲ χάλαζα ἐὰν καταβῇ, οὐκ ἐφ' ὑμᾶς ἥξει. Καὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τοῖς δρυμοῖς πεποιθότες ὡς οἱ ἐν τῇ πεδινῇ.

Δεδυσσεβηκότων Ἰουδαίων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τό γε ἧκον εἰς ἀνοσιότητα λογισμῶν καὶ ἐγχειρημάτων δύναμιν ἀπεκτονότων αὐτὸν, μονονουχὶ ῥαγδαιοτάτη χάλαζα, τοῦτ' ἔστι, τὰ ἐκ θείας ὀργῆς, κατὰ πάσης ἠνέχθη τῆς χώρας. Δέδοται γὰρ εἰς ἐρήμωσιν, ἥλω, καὶ πεπόρθηται, καὶ διεσπάρησαν εἰς πάντα ἄνεμον κατὰ τὴν τοῦ προφήτου φωνήν. Ὅταν τοίνυν ἡ χάλαζα κατενεχθῇ, φησὶ, τοῦτ' ἔστι, τὰ ἐκ θείας ὀργῆς, οὐκ ἐφ' ὑμᾶς ἥξει τοὺς πιστεύσαντας, καὶ τοὺς κατοικοῦντας ἐν πόλει εἰρήνης, οὔτε μὴν τὰ γενήματα τῆς δικαιοσύνης ἡμῶν καταφθερεῖ, οὔτε τοῖς ἀγαθοῖς ἡμῶν διαλυμανεῖται πόνοις, ἐν ἴσῃ δὲ τάξει πεποιθότες ἔσονται τοῖς κατοικοῦσιν ἐν τοῖς δρυμοῖς καὶ οἱ ἐν τῇ πεδινῇ· καὶ τί δὴ τοῦτό ἐστιν; Ἡ μὲν γὰρ δασέσι ξύλοις κατάκομος γῆ τραχεῖά πώς ἐστι καὶ οὐκ εὐήροτος. Ἡ δέ γε ὑπτία καὶ ὁμαλὴ τοῖς γηπονεῖν εἰωθόσιν, ἐπιτηδεία πρὸς τὴν ἐδωδίμων σπερμάτων γένεσιν. Θεοῦ τοιγαροῦν κατανεύοντος ἔσται τὰ πάντα ἐν εὐκαρπίαις, καὶ σπερμάτων ἡμέρων τροφὸς ἡ πάλαι τραχεῖα δειχθήσεται γῆ. Καρποφορεῖ γὰρ τὰ πάντα διὰ Χριστὸν, νοητῶς δὲ δηλονότι καὶ πνευματικῶς. Καὶ σπείρει μὲν ἐπ' ἀκάνθαις οὐδείς. Νεώσαντες δὲ νεώματι κατὰ τὴν τοῦ προφήτου φωνὴν, σπείρωμεν εἰς δικαιοσύνην, ζῶντες μὲν οὐκ ἔτι κατὰ σάρκα καὶ φιληδόνως, πολιτευόμενοι δὲ μᾶλλον εὐαγγελικῶς.

451 VERS. 20. *Beati serentes super omnem aquam, ubi bos et asinus calcant.*

Traducto sermone ad agriculturæ opera et ad feracitatem agrorum, commoratur in translatione, et beatos nominat seminantes super aquam, ubi bos et asinus calcant. Aquam enim Scriptura divino Spiritu prodita divinum et cœlestem sermonem appellat, et sanctorum mystarum prædicationem. D Loquuntur enim in Spiritu etiam ipsi. Confirmabit etiam ipse Servator dicens : « Non vos qui loquimini, sed Spiritus Patris vestri qui loquitur in vobis [97*]. » Cum sit enim vivificus Dei sermo, idcirco ac quidem merito aquæ comparatur Vivifica est enim aqua, efficiensque omnis fecunditatis. Tales igitur aquæ intelligibiles cum nobis suppeditentur, colere solemus virtutis officia, studemusque pietatis insudare laboribus. In his aquis bos et asinus calcant, id est, Judæorum populus et gentium. Justificavit namque Deus circumcisionem ex fide, et præputium per fidem; et ut Paulus ait : « Interstitio maceriæ diruto, et lege mandatorum in decretis

Μακάριοι οἱ σπείροντες ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ.

Παρενηνεγμένου τοῦ λόγου πρὸς τὰ ἐκ τῆς γηπονίας ἔργα, καὶ τὰς ἐν ἀγροῖς εὐκαρπίας, ἐπιμένει τῇ μεταφορᾷ, καὶ μακαρίους ὀνομάζει τοὺς σπείροντας ἐφ' ὕδωρ, οὗ βοῦς, καὶ ὄνος πατεῖ. Ὕδωρ μὲν γὰρ ἡ θεόπνευστος Γραφὴ, τὸν θεῖον ἡμῖν καὶ οὐράνιον ὀνομάζει λόγον, καὶ τὸν τῶν ἁγίων μυσταγωγόν. Λαλοῦσι γὰρ ἐν Πνεύματι καὶ αὐτοί. Καὶ πιστώσεται λέγων αὐτὸς ὁ Σωτήρ· « Οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν.» Ἐπειδὴ γάρ ἐστι ζωοποιὸς ὁ τοῦ Θεοῦ λόγος, ὕδατι ταύτῃ τοι καὶ μάλα εἰκότως παρεικάζεται. Ζωοποιὸν γὰρ τὸ ὕδωρ, καὶ ἁπάσης πρόξενον εὐκαρπίας. Τῶν τοιούτων οὖν ὑδάτων τὴν νοητὴν ἔχοντες χορηγίαν γεωργεῖν εἰθίσμεθα τὰ εἰς ἀρετήν. Καὶ τοῖς κατ' εὐσέβειαν πόνοις ἐνιδροῦν σπουδάζομεν, ἐν τούτοις τοῖς ὕδασι βοῦς καὶ ὄνος πατεῖ· τοῦτ' ἔστιν, ὅ τε ἐξ Ἰουδαίων λαὸς, καὶ μέν τοι καὶ ἐξ ἐθνῶν. Δεδικαίωκε γὰρ ὁ Θεὸς περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Καὶ ὡς ὁ Παῦλός φησι· « Τὸ μεσό-

[97] Jer. IV, 3; Ose. X, 12. [97*] Matth. X, 20.

τοιχον τοῦ φραγμοῦ λύσας, καὶ τὸν ἐν δόγμασιν ἐντολῶν καταργήσας νόμον, ἔκτισε τοὺς δύο εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην. Καὶ ἀποκατήλλαξε τῷ Θεῷ ζυγὴν ἐπιθεὶς ἀμφοτέροις ἕνα, καὶ συνάψας εἰς ὁμοψυχίαν, διὰ πίστεως καὶ ἀγάπης καὶ ἁγιασμοῦ.» Καὶ βοΐ μὲν παρεικάζει τὸ ἐξ Ἰουδαίων ἔθνος· καθαρὸν γὰρ ζῶον κατὰ τὸν νόμον ὁ βοῦς· ἀνεκομίζετο δὲ καὶ εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ. Ὅ γε μὴν ὄνος ἀκάθαρτος. Καὶ γοῦν τὰ πρωτότοκα προστεταχὼς τῶν κτηνῶν προσκομίζεσθαι τῷ Θεῷ· «Ἁγιάσεις γάρ μοι, φησὶ, πᾶν πρωτότοκον διανοῖγον μήτραν.» . . . . «ὄνου ἀλλάξεις προβάτῳ·» πλὴν εἰ καὶ ἀκάθαρτος ἦν διὰ τὸ πεπλανῆσθαι τυχὸν ὁ ἐξ ἐθνῶν λαὸς, ἀλλ' οὖν ἡγιάσθη διὰ πίστεως. Ἐν Χριστῷ γὰρ δεδικαίωται, ἀπενίψατο τῶν ἀρχαίων αἰτιαμάτων τοὺς ῥύπους διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ ἀναμὶξ, ὡς ἔφην, τοῖς ἐξ Ἰσραὴλ, τοῖς τοῦ Σωτῆρος ἡμῶν ὑπενήνεκται ζυγοῖς.

Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς· ὑμᾶς δὲ οὐδεὶς ποιεῖται ταλαιπώρους, καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ. Ἁλώσονται οἱ ἀθετοῦντες, καὶ παραδοθήσονται, καὶ ὡς σὴς ἐπὶ ἱματίου, οὕτως ἡττηθήσονται.

Μακαρίους ὀνομάζει τοὺς σπείροντας ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ. Ἐλέγομεν δὲ σημαίνεσθαι διὰ τούτων τούς τε ἐξ Ἰουδαίων, καὶ μέντοι τοὺς ἐξ ἐθνῶν διὰ τῆς πίστεως κεκλημένους εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ. Ἀλλ' ἦν εἰκὸς διαλογίζεσθαι τινὰς, καὶ μὴν καὶ φράσαι· Εἶτα πῶς οἱ τοιοίδε μακάριοι διωκόντων αὐτοὺς τῶν φρονούντων τὰ ἐν κόσμῳ, καὶ ἀφορήτοις μὲν περιστάσεσι περιβαλόντων ἀεὶ, κατακομιζόντων δὲ καὶ εἰς αὐτὸ τὸ τεθνάναι πολλάκις; Ἀνανήφει τοίνυν ὁ λόγος εἰς παράκλησιν τῶν πεπιστευκότων καί φησιν· Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς, ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους. Τὸ μὲν γὰρ παθεῖν διὰ Χριστὸν τοῖς ἁγίοις εὐκλεὲς, τοῖς γε μὴν ἐπιφέρουσι τοὺς διωγμοὺς, ὀλέθρου τὸ χρῆμα πρόξενον. Ἑαυτοὺς οὖν ἄρα ταλαιπώρους ἀποφαίνουσι, καὶ οὐχὶ δὴ μᾶλλον τοὺς πεπονθότας, εἴπερ οἱ συμπάσχοντες συμβασιλεύσουσι τῷ Χριστῷ. Ἀλλὰ κἂν εἴ τις ὑμᾶς ἀθετήσειε, φησὶν, ἑαυτὸν καὶ οὗτος ἀθετεῖ. Ἁλώσονται γὰρ οἱ τοῦτο δρᾷν εἰωθότες, τοῦτ' ἔστιν, οὐ διαφεύξονται τὰ ἐκ τῆς θείας ὀργῆς· ἔσονται δὲ ταῖς ἐπενεχθησομέναις αὐτοῖς δίκαις οἱονεὶ πρὸς κατάβρωσιν, καθάπερ ἀμέλει καὶ ἱμάτιον ὑπὸ σητός. Οὐκοῦν ὁ μὲν πόνος τοῖς ἁγίοις, ὡς ἔφην, τῶν εἰς αἰῶνα πρόξενος ἀγαθῶν. Τό γε μὴν ἑλέσθαι κακοῦν τοὺς ἀνακειμένους τῷ Θεῷ, τοῖς τοῦτο πράττουσιν οὐκ ἀζήμιον. Μᾶλλον δὲ τῆς ἁπασῶν ἐσχάτης πρόφασις ἔσται δίκης.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν. Ἡ δὲ σωτηρία ἡμῶν ἐν καιρῷ θλίψεως.

Θεοῦ τοῖς ἁγίοις προσπεφωνηκότος· Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς· ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους· ἐκ πολλῆς ἄγαν περιχαρείας αὐτοὶ μονονουχὶ, καὶ ἀνασκιρτῶντές φασιν· ὅτι τῶν ἀπειθεῖν ἑλομένων ἀνόνητος ἔσται πᾶς πόνος, καὶ ὅτι πολλὴν νοσοῦντες τὴν ἀκαρπίαν βαδιοῦνται πρὸς ὄλεθρον, σωτηρίας δὲ

abrogato, condidit duos in unum novum hominem, faciens pacem, et reconciliavit Deo, jugum imponens ambobus unum, et conjungens animorum consensu, per fidem, et charitatem, et sanctificationem [98].» Bovi vero assimilat Judæorum gentem: mundum enim animal est, secundum legem, bos, et oblatus est in odorem bonæ fragrantiæ Deo. Asinus autem immundus. Et quidem cum primogenita animantium jussisset offerri Deo: «Sanctificabis enim mihi, inquit, omne primogenitum aperiens vulvam:» rejecit asinum, sic dicens: «Omne aperiens vulvam asini mutabis ove [99].» Verum enimvero etiamsi impurus fuerit, propterea quod erraverit forte gentium populus, tamen sanctificatus est per fidem: in Christo etenim justificatus est, et vetera peccata sacrosancto baptismo abluit, et promiscue, ut dixi, cum Judæis jugo Servatoris nostri subjectus est.

Cap. XXXIII. Vers. 1. *Væ, qui miseros faciunt vos! sed nemo vos facit miseros: et qui reprobat vos, non reprobat. Capientur reprobantes, et tradentur, et ut tinea in vestimento, sic isti superabuntur.*

452 Beatos nominat qui serunt in omni aqua, ubi bos et asinus calcant. Diximus per hæc significari, tum ex Judæis, tum ex gentibus per fidem ad agnitionem Christi vocatos. At verisimile erat quosdam disputaturos et dicturos: Ergo qui tandem beati sint ejusmodi, cum eos persequantur hi qui mundana sapiunt, et difficultatibus intolerabilibus semper implicent, et sæpe in capitis adducant periculum? Vigilat igitur et excitatur hæc oratio ad consolationem credentium, et inquit: Væ illis qui vos faciunt miseros, vos autem nemo miseros reddit. Pati enim propter Christum, sanctis gloriam, inferentibus autem persecutionem, parit exitium. Seipsos ergo miseros efficiunt, non eos qui passi sunt: siquidem qui compatiuntur, conregnant cum Christo. Atqui, inquit, si quis vos repudiaverit, seipsum etiam repudiat. Capienturque qui hoc facere solent, id est, non effugient iram divinam: sed erunt pœnis sibi illatis velut exesi et exhausti, veluti certe vestimentum a tinea. Itaque labor, ut dixi, sanctis æternorum bonorum conciliator est. At qui volunt malo afficere Deo dicatos, non erunt immunes, imo his qui hoc faciunt extremi supplicii causa est.

Vers. 2. *Domine, miserere nostri, in te enim confisi sumus. Redactum est semen incredulorum ad interitum, at salus nostra in tempore afflictionis.*

Postquam Deus affatus fuisset sanctos: Væ his qui miseros reddunt vos, cum tamen vos nemo miseros reddat: præ immenso gaudio illi, tantum non exsilientes dicunt, et misericordiam quærunt, et in ipso omnem spem habent. Quod autem infidelium omnis labor irritus futurus sit, quodque multi

[98] Ephes. II, 14 seqq. [99] Exod. 34, 19.

sterilitate laborantes et infructuosi, ad interitum A ruituri sint, cum his salus dabitur, semper suis temporibus demonstrabitur. Omnis enim in Christo virtus ipsorum, etiamsi prorsus debiles esse nonnunquam videantur, quatenus, inquam, persecutione inimicorum premantur. Sed tunc maxime is qui servare novit, mansuetudinis erga illos et auxilii e supernis magnitudinem exerit. Itaque tempore afflictionis maxime salus est sanctis mystagogis. Quod ostendet sapientissimus Paulus, scribens: « Quando ergo infirmus **453** sum, tum potens sum. » Cui universorum Salvator: « Sufficit tibi gratia mea. Potentia enim mea in infirmitate perficitur [1]. »

τῆς δοθησομένης αὐτοῖς ἔσται που πάντως κατὰ καιροὺς ἡ ἀνάδειξις. Πᾶσα γὰρ δύναμις αὐτῶν ἐν Χριστῷ. Κἂν εἰ δοκοῖεν ὅλως ἀσθενῆσαί ποτε κατά γέ φημι τὸ διώκεσθαι παρ' ἐχθρῶν, ἀλλ' οὖν τότε δὴ μάλιστα τῆς εἰς αὐτοὺς ἡμερότητος, καὶ τῆς ἄνωθεν ἐπικουρίας ἐμφανίζει τὸ μέγεθος ὁ σώζειν εἰδώς. Οὐκοῦν ἐν καιρῷ θλίψεως ἡ σωτηρία τοῖς ἁγίοις μάλιστα μυσταγωγοῖς. Καὶ τοῦτο δείξει γράφων ὁ πάνσοφος Παῦλος· « Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. » Καὶ μὴν καὶ πρὸς αὐτὸν ὁ τῶν ὅλων Σωτήρ· « Ἀρκεῖ σοι ἡ χάρις μου. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. »

VERS. 3, 4. *Propter vocem timoris tui obstupuerunt populi: a timore tuo, et a sublimitate tua dispersæ sunt gentes. Nunc autem congregabuntur* B *spolia vestra, parvi et magni: perinde ac si quis congreget locustas, sic illudent vobis.*

Διὰ φωνὴν τοῦ φόβου σου ἐξέστησαν λαοί. Ἀπὸ τοῦ φόβου σου καὶ ἀπὸ τῆς ὑψώσεώς σου διεσπάρησαν εἰς τὰ ἔθνη. Νῦν δὲ συναχθήσεται τὰ σκῦλα ὑμῶν μικροῦ καὶ μεγάλου. Ὃν τρόπον ἐάν τις συνάγῃ ἀκρίδας, οὕτως ἐμπαίξουσιν ὑμῖν.

Prorsus penitusque fore ut increduli Israelitæ, qui fidem Christianam non admiserunt, omnium turpissima et indignissima paterentur, et lex Mosaica proclamavit ante, et nihilominus etiam sanctorum prophetarum sermones ostendunt. Et ipse adeo Christus dixit: « Quando videritis obsessam undique a militibus Jerusalem, tunc dicetis montibus: Operite nos; et collibus: Cadite super nos [2]. » Propter vocem igitur timoris tui, inquit, nimirum quæ concutit timore, obstupuerunt populi: illud, ἐξέστησαν, dicit, pro perculsi sunt. Quo modo stupore percussi sunt? Præ magnitudine, ut arbitror, C calamitatis. Intoleranda enim mala dementant, et veluti stultum reddunt patientem. Sin quis maluerit ἐξέστησαν alio modo intelligere, significare potest hæc vox, patria ejecti sunt, sic autem in omnes gentes dispersi sunt. Et hactenus vox sanctorum prophetarum. Jam persona Dei infertur, dicens illis videlicet attonitis: Nunc congregabuntur spolia vestra, parvi et magni. Non enim diu, inquit, erit cum trademini hostibus, neque procrastinabuntur minæ, sed primo quoque tempore prædæ eritis, parvus et magnus. Sic vos colligent hi qui vastant, ut si quis multitudinem locustarum in agris congreget, non eum labore hoc efficiens, sed facile et velut per lusum. Dicere autem possit aliquis hoc ipsum passum esse D Israelem, etiam spiritualiter traditum Satanæ, et impuris spiritibus tanquam hostibus, in direptionem, et ut tanquam locustæ irrisioni prostituantur.

Ὅτι πάντη τε καὶ πάντως ἀπειθεῖν ἑλομένοις τοῖς ἐξ Ἰσραὴλ, καὶ τὴν εἰς Χριστὸν πίστιν οὐ προσιεμένοις τὰ πάντων αἴσχιστα παθεῖν συμβήσεται· καὶ οὕτως μὲν ὁ διὰ Μωσέως παρακεκράγει νόμος, οὐδὲν δὲ ἧττον καὶ οἱ διὰ τῶν ἁγίων προφητῶν ἐμφανίζουσι λόγοι. Καὶ μὴν καὶ αὐτὸς ἔφη Χριστός· « Ὅταν ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε ἐρεῖτε τοῖς ὄρεσι· Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς· Πέσατε ἐφ' ἡμᾶς. » Διὰ τὴν φωνὴν τοίνυν, φησὶ, τοῦ φόβου σου, τοῦτ' ἔστι, τὴν καταπτοοῦσαν εἰς φόβον, ἐξέστησαν λαοὶ, τὸ δὲ, ἐξέστησαν, ἀντὶ τοῦ, κατεπλάγησαν, φησί. Πεπόνθασι δὲ τὴν κατάπληξιν. Τίνα τρόπον; Ἀπό γε, οἶμαι, τοῦ μεγέθους τῆς συμφορᾶς. Τὰ γὰρ ἀφόρητα τῶν κακῶν, ἔξω τίθησι φρενὸς, καὶ οἷον ἀσύνετον ἀποφαίνει τὸν πεπονθότα. Εἰ δὲ δή τις ἕλοιτο τὸ, ἐξέστησαν, καὶ καθ' ἕτερον τρόπον χρῆναι νοεῖν, κατασημήνειεν ἂν ἡ φωνὴ, ἀντὶ τοῦ, ἔξω τῆς ἐνεγκούσης γεγόνασιν. Οὕτω δὲ διεσπάρησαν εἰς πάντα τὰ ἔθνη. Καὶ μέχρι μὲν τούτων ἡ τῶν ἁγίων προφητῶν φωνὴ, τὸ δέ γε τοῦ Θεοῦ πρόσωπον εἰσφέρεται παραχρῆμα λέγον αὐτοῖς, δηλονότι τοῖς ἐκπεπληγμένοις καὶ διεσπαρμένοις, ὅτι Νῦν συναχθήσεται τὰ σκῦλα ὑμῶν, μικροῦ καὶ μεγάλου. Οὐ γὰρ εἰς μακρὰν, φησὶ, παραδοθήσεσθε τοῖς ἐχθροῖς, οὐδὲ εἰς ὑπερθέσεις βαδιεῖται τὸ ἀπειλούμενον. Ἀλλ' αὐτίκα δὴ μᾶλλον πορθηθήσεσθε μικρός τε καὶ μέγας. Οὕτω τε ὑμᾶς οἱ καταδῃοῦντες συλλέξουσιν, ὡς ἂν εἰ καί τις τῶν ἐν ἀγροῖς τὴν τῶν ἀκρίδων συναγείραι πληθὺν, οὐ σὺν πόνῳ τὸ χρῆμα πληρῶν, ἀπονητὶ δὲ μᾶλλον, καὶ οἷον ὡς ἐν ἀθύρματι. Φαίη δ' ἄν τις αὐτὸ δὴ τουτὶ πεπονθέναι τὸν Ἰσραὴλ, καὶ πνευματικῶς παραδοθέντα τῷ Σατανᾷ, καὶ τοῖς ἀκαθάρτοις πνεύμασι, καθάπερ τισὶ πολεμίοις εἰς διαρπαγὴν, καὶ εἴς γε τὸ δεῖν ἀκρίδων δίκην ἐμπαίζεσθαι.

VERS. 5, 6. *Sanctus Deus qui habitat in excelsis. Repleta est Sion judicio et justitia: in lege tradentur, in thesauris salus* **454** *nostra. Illic sapientia, et scientia, et pietas erga Dominum: hi sunt thesauri justitiæ.*

Ἅγιος ὁ Θεὸς ὁ κατοικῶν ἐν ὑψηλοῖς. Ἐνεπλήσθη Σιὼν κρίσεως καὶ δικαιοσύνης. Ἐν νόμῳ παραδοθήσονται, ἐν θησαυροῖς ἡ σωτηρία ἡμῶν, ἐκεῖ σοφία, καὶ ἐπιστήμη, καὶ εὐσέβεια πρὸς τὸν Κύριον· οὗτοί εἰσι θησαυροὶ δικαιοσύνης.

[1] II Cor. XII, 9, 10. [2] Luc. XXIII, 29, 30.

Ἀναφωνοῦσι πάλιν οἱ ἅγιοι, καὶ ταῖς καθηκούσαις δοξολογίαις καταγεραίρειν ἐπείγονται τὸν τῶν ὅλων Σωτῆρα Θεὸν τὸν κατοικοῦντα ἐν ὑψηλοῖς, ἢ ἐν τοῖς οὐρανοῖς δηλονότι, ἢ καὶ ἐν κτίσμασι λογικοῖς ὧν ἂν εἴη τὸ ὕψος, ὡς ἐν νοητῷ μεγέθει τῆς πολυειδοῦς ἀρετῆς. Δοξολογοῦσι τοίνυν τὸν Θεὸν κατατεθηπότες τὴν Σιὼν, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν Χριστοῦ, κρίσεως καὶ δικαιοσύνης ὁρῶντες ἐμπεπλησμένην. Ἡ μὲν γὰρ ἐπίγειος Ἱερουσαλὴμ τῆς οὕτω λαμπρᾶς ἀπολείπεται δόξης. Προσήκατο γὰρ οὐδαμῶς τὴν παρὰ Θεοῦ καὶ Πατρὸς δικαιοσύνην, τοῦτ' ἔστι, Χριστόν. Ἡ δέ γε ἐξ ἐθνῶν Ἐκκλησία, ἡ νοητὴ καὶ ἀληθεστέρα Σιὼν μεστὴ γέγονε κρίσεως καὶ δικαιοσύνης· ἡ δὲ κρίσις ἐν τούτοις, τὴν δικαιοκρισίαν τὴν ἐφ' ἑκάστῳ πράγματι δηλοῖ. Ζῆν γὰρ ἔθος τοῖς ἁγίοις λογικῶς, καὶ ἐννόμως, καὶ κατευφραίνεσθαι ὑπὸ τῶν εὐαγγελικῶν θεσπισμάτων. Εἶτα θαυμάζουσι τοὺς ἐξ Ἰσραὴλ, ὡς νόμον μὲν ἔχοντας, καίτοι δοθέντα παρὰ Θεοῦ πρὸς ἐπικουρίαν, ἀπολωλότας δὲ δι' αὐτοῦ. Ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος, « Ἀπειθοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. » Ὁ μὲν γὰρ νόμος ἦν ἐν σκιαῖς μέχρι καιροῦ διορθώσεως κείμενος. Ἀναλάμψαντος δὲ τοῦ νέου κηρύγματος, καὶ τῆς ἀληθείας εἰσκεκομισμένης, ἐχρῆν δή που πάντως ἀργῆσαι τοὺς τύπους, καὶ ἀπρακτῆσαι τὴν σκιάν, ἀλλ' ὁ φιλόνεικος Ἰσραὴλ, καίτοι τῷ νόμῳ συναγορεύειν ἐθέλων, ἐνιστάμενός τε ταῖς Μωσέως ἐντολαῖς, εὐσεβεῖν τε διὰ τούτου νομίζων, παραδέδοται τοῖς ἐχθροῖς. Οὐ γὰρ ἔδει ταῖς οὕτω μακραῖς ἀπειθείαις ἀτιμάζειν τὴν ἀλήθειαν. Οὐκοῦν ἐν νόμῳ παραδοθήσονται. Ἡμῖν δὲ τοῖς ἐξ ἐθνῶν πιστεύσασι καὶ ὁ πάλαι δι' ἀγγέλων λαληθεὶς νόμος μεσολαβοῦντος Μωσέως θησαυρὸς ηὑρέθη σωτηρίας. Ἐκεῖ γὰρ, τοῦτ' ἔστιν, ἐν αὐτῷ σοφία τέ ἐστι καὶ ἐπιστήμη, καὶ εὐσέβεια πρὸς τὸν Κύριον. Διακέκραγε γὰρ ὁ Μωσέως νόμος τὸ τοῦ Χριστοῦ μυστήριον, καὶ τῆς εὐαγγελικῆς πολιτείας τὴν δύναμιν ὡς ἐν σκιαῖς εὑρήσομεν, ἰσχνὸν ἐνιέντες τοῖς γεγραμμένοις τὸν νοῦν. Καὶ γοῦν ἔφασκεν ὁ Σωτὴρ τοῖς Ἰουδαίων δήμοις· « Εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί, περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Οὐκοῦν θησαυρὸς δικαιοσύνης ὁ νόμος τοῖς οὐ προσέχουσι τῇ σκιᾷ, διακύπτουσι δὲ μᾶλλον αὐτὴν, καὶ τὸ τῆς ἀληθείας κάλλος πολυπραγμονεῖν σπουδάζουσι.

Interloquuntur rursus sancti, et debitis laudibus ornare satagunt universorum Servatorem Deum, qui in excelsis habitat, vel in cœlis videlicet, vel in ædificiis ratione præditis, quorum altitudo sita est in multiplicium virtutum intelligibili magnitudine. Gloriam igitur canunt Deo, suspicientes nimirum Sion, id est Christi Ecclesiam, videntes eam judicio et justitia repletam. Terrena enim Jerusalem hac tam illustri gloria destituitur. Nequaquam enim admisit justitiam Dei et Patris, id est, Christum. Ecclesia autem gentium, intelligibilis et verior Sion, plena facta est judicio et justitia. Judicium hic justum in re quaque judicium denotat. Solent enim sancti congruenter rationi et legibus vivere, et evangelicis oraculis semet oblectare. Deinde admirantur Israelitas, legem habentes a Deo traditam in auxilium, per eam tamen perire. Nam, ut beatus Paulus scribit, « Rejicientes Dei justitiam, et propriam stabilire quærentes, justitiæ Dei non sunt subjecti. Finis enim legis Christus, ad justitiam omni credenti [3]. » Lex namque erat in umbris, usque ad tempus reformationis posita; nova vero prædicatione elucescente, et veritate introducta, omnino cessare figuras oportuit, et umbras exolescere. Sed contentiosus et pertinax Israel, etiamsi voluerit legi consentire, et Mosaicis præceptis insistere, per hoc pietatem se colere arbitratus, traditur hostibus. Non enim tam diuturna contumacia veritatem contemnere oportebat. Itaque in lege tradentur. Nobis autem, qui ex gentibus credimus, lex quondam per angelos locuta, sequestre Moyse, thesaurus salutis inventa est. Illic enim, hoc est, in illa, et sapientia est, et scientia, et pietas in Deum. Nam clamitavit lex Mosaica Christi mysterium, et evangelicæ politiæ virtutem tanquam in umbris inveniemus, subtiliter et exquisite his quæ scripta sunt adhibentes animum. Dixit quippe Servator Judaico populo : « Si credidissetis Moysi, credidissetis et mihi. De me enim ille scripsit [3*]. » **455** Est ergo lex thesaurus justitiæ non attendentibus umbræ, sed ipsam penitus introspicientibus, et veritatis decus exquirere studentibus.

Ἰδοὺ δὴ ἐν τῷ φόβῳ ὑμῶν αὐτοὶ φοβηθήσονται· οὓς ἐφοβεῖσθε φοβηθήσονται ἀφ' ὑμῶν· ἄγγελοι ἀποσταλήσονται ἀξιοῦντες εἰρήνην, πικρῶς κλαίοντες, παρακαλοῦντες εἰρήνην. Ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί, πέπαυται ὁ φόβος τῶν ἐθνῶν, καὶ ἡ πρὸς τούτους διαθήκη αἴρεται, καὶ οὐ μὴ λογισθήσεσθε αὐτοὺς ἀνθρώπους.

VERS. 7, 8. *Ecce timore vestro ipsi timebunt; quos timuistis, ii timebunt vos. Angeli mittentur rogantes pacem, amare flentes, exhortantes pacem. Deferentur enim horum viæ. Cessavit timor gentium, et testamentum quod ad illos attinet tollitur, nec reputabitis eos homines.*

Πάλιν ἡμῖν ἐν τούτοις ὁ τῶν δυνάμεων Κύριος παραθαρσύνων ὁρᾶται τοὺς ἁγίους μυσταγωγούς· καὶ φόβου παντὸς ἀπαλλάττων, καὶ τῶν ἐσομένων αὐτοῖς ἀγαθῶν προαναφαίνων τὸ πλάτος. Ἐδίωκον μὲν γὰρ τοὺς ἁγίους ἀποστόλους οἱ τάλανες Ἰουδαῖοι·

Rursus hisce verbis Dominus exercituum animare videtur sanctos mystagogos, omnique metu liberare, et futurorum ipsis bonorum amplitudinem præmonstrare. Persecuti sunt enim sanctos apostolos miseri Judæi, partim citantes ad concilium, partim

[3] Rom. x, 3, 4. [3*] Joan. v, 46.

virgis cædentes, et dicam scribentes illis, criminisque loco ducentes Christi religionem, et in divina prædicatione studium et promptitudinem. Dixerunt enim : « Interminando interminati sumus vobis, ne cuiquam loquamini in nomine isto. Et ecce implevistis Jerusalem doctrina vestra [a]. » Ipsos etiam sanctos apostolos inveniemus timentes Judæorum insultum, et procidentes sanctissimo Deo, ac dicentes : « Inspice minas istorum, et da servis tuis, ut cum fiducia libere loquamur sermonem tuum [a*]. » Itaque, inquit, ecce ipsi potius vos, non vos ipsos timebitis. Hi quos timuistis, timebunt vos. Mittent etiam tempore suo angelos, petentes pacem, et amare flentes. Deserentur enim horum viæ, id est, iter sibi non cedet prospere : cum maluerint cum Deo pugnare, et Domini nutui contradicere. Olim enim Israel, ab initio, inquam, divinæ prædicationis, sanctis mystagogis erat molestus. Cum autem multitudo credentium numero vinceret per totam urbem et regionem, victa demum est eorum superbia, et credentium pedibus subjecti sunt, et flentes, et satis fore sibi putantes solatii, si pace cum ipsis digni habiti fuerint. Hæc est, opinor, mens prophetiæ. Cessavit enim, inquit, timor gentium, scilicet Judæorum, et fœdus cum illis tollitur. Facti namque sunt alieni a consortio Dei, et **456** extranei a promissionibus. Quia « Non omnes qui ex Israel, hi sunt Israel : neque quia semen Abrahæ sunt, omnes filii : sed filii promissionis hi reputabuntur pro semine [b], » id est, qui sunt ex fide in Christo. Justificatus est enim per fidem primus pater Abraham. Accepto igitur fœdere quod ad illos attinet, non reputabitis eos homines, id est, nullo pretio dignos existimabitis.

A τοῦτο μὲν καλοῦντες ἐν συνεδρίῳ, τοῦτο δὲ καὶ ῥάβδοις καταπαίοντες, καὶ γραφὴν αὐτοῖς καὶ εἰς ἐγκλήματος δύναμιν καταλογιζόμενοι τὴν εἰς Χριστὸν εὐσέβειαν, καὶ τὴν ἐπὶ τῷ θείῳ κηρύγματι σπουδήν τε καὶ προθυμίαν. Ἔφασκον γὰρ, ὅτι « Παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μηδενὶ λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ. Καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν. » Καὶ αὐτοὺς δὲ τοὺς ἁγίους ἀποστόλους εὑρήσομεν δεδιότας μὲν τῶν Ἰουδαίων τὴν ἔφοδον, προσπίπτοντας δὲ τῷ παναγίῳ Θεῷ, καὶ λέγοντας· « Καὶ τανῦν, Κύριε, ἔπιδε τὴν ἀπειλὴν αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου. » Ἰδοὺ τοίνυν, φησὶν, αὐτοὶ μᾶλλον ὑμᾶς, καὶ οὐχ ὑμεῖς αὐτοὺς φοβηθήσεσθε· οὓς ἐφοβεῖσθε φοβηθήσονται ἀφ' ὑμῶν. Ἀποστελοῦσι δὲ κατὰ B καιρὸν καὶ ἀγγέλους αἰτοῦντες εἰρήνην, καὶ πικρῶς κλαίοντες. Ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοὶ, τοῦτ' ἔστιν, οὐκ εὐοδωθήσονται θεομαχεῖν ᾑρημένοι, καὶ δεσποτικοῖς νεύμασιν ἀντεξάγοντες. Πάλαι μὲν γὰρ ὁ Ἰσραὴλ, ἐν ἀρχαῖς ὄντος φημὶ τοῦ θείου κηρύγματος, ἀφόρητος ἦν τοῖς ἁγίοις μυσταγωγοῖς. Ἐπεὶ δὲ ἡ τῶν πιστευσάντων πληθὺς ἀριθμοῦ γέγονε κρείσσων, ἐν ἁπάσῃ πόλει τε καὶ χώρᾳ νενίκηται λοιπὸν ἡ ἐκείνων ἀπόνοια, καὶ εἰσὶν ὑπὸ πόδας τῶν πεπιστευκότων ἡττημένοι τε καὶ κλαίοντες, καὶ ἀποχρήσειν ἐν αὐτοῖς εἰς εὐθυμίαν ἡγούμενοι τὸ κἂν γοῦν εἰρήνης ἀξιοῦσθαι τῆς πρὸς αὐτούς. Οὗτος, οἶμαι, ἐστὶ τῆς προφητείας ὁ νοῦς. Πέπαυται γὰρ, φησὶν, ὁ φόβος τῶν ἐθνῶν, τῶν Ἰουδαϊκῶν δηλονότι, καὶ ἡ πρὸς αὐτοὺς διαθήκη αἴρεται. Ἀλλότριοι γὰρ γεγόνασι τῆς πρὸς Θεὸν οἰκειότητος, καὶ ξένοι τῶν ἐπαγ- C γελιῶν· ὅτι « Μὴ πάντες οἱ ἐξ Ἰσραὴλ, οὐδὲ ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας ταῦτα λογίζεσθαι εἰς σπέρμα, » τοῦτ' ἔστιν, οἱ ἐκ πίστεως τῆς ἐν Χριστῷ. Δεδικαίωται γὰρ διὰ πίστεως ὁ προπάτωρ Ἀβραάμ. Ληφθείσης τοίνυν, φησὶ, τῆς πρὸς αὐτοὺς διαθήκης, οὐ μὴ λογίσησθε αὐτοὺς ἀνθρώπους, τοῦτ' ἔστιν, οὐδενὸς ἀξίους ἡγήσεσθε λόγου.

VERS. 9. *Luxit terra, erubuit Libanus, saltus factus est Saron. Manifesta erit Galilæa et Carmelus.*

Ἐπένθησεν ἡ γῆ, ᾐσχύνθη ὁ Λίβανος, ἕλη ἐγένετο ὁ Σαρών. Φανερὰ ἔσται ἡ Γαλιλαία καὶ ὁ Κάρμηλος.

Libanus mons est in Phœnicia celeberrimus, cedris aliisque lignis densissimus. Huic igitur monti solet Scriptura divinitus inspirata Judæorum Synagogam comparare : utpote quæ numerosam habeat incolarum multitudinem, sicuti etiam voce alterius prophetæ dicit ei : « Aperi, Libane, portas tuas [b*]. » Luxit igitur terra, non quidem absolute omnis, sed hæc terra Judæorum et derelicta a Deo, et ab ipsius misericordia exclusa, a Romanis vastata est. Erubuit Libanus, id est, Jerusalem. Hæc enim quondam clara et celebris, et supernæ benevolentiæ igne inflammata, et invictam habens potentiam contra omnes, cecidit sub pedibus inimicorum, incensa ac deserta est, et Domini misericordia privata. Saltus factus Saron. Locus est in Judæa, cui nomen Saronas, campos habens arabiles, et ad agriculturam valde accommodos. Cæterum, inquit,

Ὄρος ἐστὶν ὁ Λίβανος ἐν Φοινίκῃ τῶν ὅτι μάλιστα διαφανεστάτων, κέδροις τε καὶ τοῖς ἑτέροις τῶν ξύλων εὖ μάλα κατάκομον. Τούτῳ δὴ τῷ ὄρει παρεικάζειν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ τὴν τῶν Ἰουδαίων συναγωγὴν, ἅτε δὴ καὶ ἀριθμοῦ κρείττονα τὴν τῶν D ἐνοικούντων ἔχουσα πληθὺν, καθάπερ ἀμέλει καὶ διὰ φωνῆς ἑτέρου προφήτου τοῦ πρὸς αὐτήν φησιν, Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου. Ἐπένθησε τοίνυν ἡ γῆ, καὶ οὐχ ἁπλῶς πᾶσα, μόνη δὲ ἡ παθοῦσα τὴν ὑπὸ Ῥωμαίων δῄωσιν ἡ τῶν Ἰουδαίων γῆ. Τάχα που καὶ ἐγκαταλελειμμένη ὑπὸ Θεοῦ, καὶ τῆς ἀπ' αὐτοῦ θυμηδίας ἐξῳκισμένη. Ἠσχύνθη δὲ καὶ ὁ Λίβανος, τοῦτ' ἔστιν, ἡ Ἱερουσαλήμ. Ἡ γὰρ πάλαι περιφανὴς καὶ ἀοίδιμος, καὶ ταῖς ἄνωθεν εὐμενείαις πεπυργωμένη, καὶ ἄμαχον ἔχουσα τὴν κατὰ πάντων ἰσχὺν, πέπτωκεν ὑπὸ πόδας ἐχθρῶν, ἐμπέπρησται, καὶ ἠρήμωται, καὶ φειδοῦς ἐστέρηται τῆς παρὰ Θεοῦ, ἕλη

[a] Act. v, 28. [a*] Act. iv, 29. Act. iv, 16. [b] Rom. ix, 6 seqq. [b*] Zach. xi, 1.

A γέγονεν ὁ Σαρών. Χῶρος δὲ κατὰ τὴν Ἰουδαίαν ἐστὶν, ᾧ ὄνομα Σαρωνᾶς, εὐήροτα μὲν ἔχων πεδία, πρός δέ γε τὸ χρῆναι γηπονεῖν ἐπιτηδείως ἔχοντα λίαν. Ἀλλ' ἡ οὕτως φησὶν εὔκαρπός τε καὶ γονιμωτάτη γῆ ἕλη γέγονε, τοῦτ' ἔστι, δασεῖα πλείστης ὅσης ἀκάνθης φυείσης ἐν αὐτῇ. Δέχεται δὲ πάλιν, ὡς ἐξ ὁμοιότητος τῶν ἐμφανεστέρων πνευματικὴν θεωρίαν. Κατεχερσώθη γὰρ ὥσπερ ὁ Ἰσραήλ· καὶ ἡ πάλαι καρπῶν ἡμέρων τροφὸς, καὶ οἷά τις ἀγαθὴ καὶ πίειρα γῆ, τοῦτ' ἔστιν, ἡ τῶν Ἰουδαίων συναγωγὴ γέγονεν ἀκανθοτόκος. « Ἔμεινα γὰρ, φησὶ, τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. » Ἀλλὰ ταυτὶ μὲν τοῖς Ἰουδαίοις συμβήσεται, δεδυσσεβήκασι γὰρ εἰς Χριστόν. Ἡ δέ γε Γαλιλαία, καὶ ὁ Κάρμηλος φανερὰ ἔσται, τοῦτ' ἔστιν, ἐμφανὴς, καὶ περίοπτος τοῖς ἁπανταχῆ. B Γαλιλαίαν δέ φησι τὴν τῶν ἐθνῶν χώραν, ἤτοι τὰ ἔθνη. Καὶ τάχα που τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, ἣν καὶ τῷ Καρμήλῳ παρεικάζειν ἀξιοῖ. Κάρμηλος δὲ ὄρος ἐστὶ δασύ τε καὶ ὑψηλόν. Τοιαύτη δέ πως ἡ Ἐκκλησία Χριστοῦ. Πλεῖστοι γὰρ ὅσοι τεθήλασιν ἐν αὐτῇ θεοφιλῆ τὴν διάνοιαν ἔχοντες, καὶ παντὸς ἐπίμεστον ἀγαθοῦ, ὑψοῦ τε ἠρμένην, καὶ τῶν ἐπιγείων πραγμάτων ἀνῳκισμένην. Γέγραπται γὰρ ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. Ὄρεσί τε τὴν Ἐκκλησίαν ἐξομοιοῦν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ.

Νῦν ἀναστήσομαι, λέγει Κύριος, νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι. Νῦν ὄψεσθε, νῦν αἰσθήσεσθε· ματαία ἔσται ἡ ἰσχὺς τοῦ πνεύματος ὑμῶν, πῦρ ὑμᾶς κατέδεται· καὶ ἔσονται ἔθνη κατακεκαυμένα, ὡς ἄκανθα ἐν ἀγρῷ ἐῤῥιμμένη, καὶ κατακεκαυμένη.

C Ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ὁ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων, ὡς ἐξ αὐτοῦ κατὰ φύσιν, καὶ ἀποῤῥήτως γεγεννημένος, κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν, καὶ ἐν σχήματι ἀνθρώπων γενόμενος τεταπείνωκεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου· θανάτου δὲ σταυροῦ. Ἐπειδὴ δὲ τὸν ὑπὲρ τῆς ἁπάντων ζωῆς ὑπομείνας σταυρὸν ἀνεβίω πάλιν ὡς Θεὸς, τότε δὴ τότε τοῖς εἰς τοῦτο δυσσεβείας ἐληλακόσιν, ὡς μὴ ἀπειθῆσαι μόνον αὐτῷ, καίτοι καλοῦντι πρὸς ζωὴν, ἀλλὰ γὰρ λοιδορίαις τε καὶ αἰκίσμασι, καὶ αὐτῷ δὲ τῷ θανάτῳ τολμῆσαι περιβαλεῖν, τὴν αὐτοῖς πρέπουσαν ἐπήρτησε δίκην. Κἀκεῖ γὰρ κακῶς διολώλασιν, ἐμπεπρησμένων μὲν αὐτοῖς τῶν πόλεων. Καταδῃωθείσης δὲ εἰς D ἅπαν τῆς γῆς, τότε δὴ τότε τὴν τοῦ παθόντος ἐμάνθανον δόξαν, καὶ ταῖς οὕτω δειναῖς καὶ ἀφύκτοις ἐνολισθήσαντες συμφοραῖς, ἔγνωσαν μόλις, ὡς οὐχ εἰς ἕνα τῶν προφητῶν τὰ τῆς δυσσεβείας αὐτοῖς ἀνοσίως ἐξεπράττετο, ἀλλὰ γὰρ εἰς αὐτὸν τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτήν. Ὡς μελλούσης αὐτίκα δὴ μάλα τῆς θείας ὀργῆς ἐπιπίπτειν αὐτοῖς· Νῦν ἀναστήσομαι, φησὶ, λέγει Κύριος. Ἀνεξικακήσας γὰρ ὡς Θεὸς πρὸ τοῦ τιμίου σταυροῦ, πεπονθὼς ἤδη τὰ ἐπ' αὐτῷ μονονουχὶ καὶ κατεξανίσταται τῶν ἐχθρῶν. Ἐδοξάσθη δὲ καὶ ὑψώθη παραδοὺς μὲν εἰς ὄλεθρον τοὺς μέχρι παντὸς μεμαχημένους αὐτῷ, κεκληκὼς δὲ τὰ ἔθνη διὰ τῆς πίστεως, καὶ τῷ νοητῷ

hæc adeo fructuosa et fecundissima terra, id est, densa compluribus spinis in ea crescentibus. Sumit iterum, velut a similitudine rerum apparentium, spiritualem intelligentiam. Desolatus est enim veluti Israel, et terra quondam nutrix suavium fructuum, et veluti bona et opima, nimirum Judæorum Synagoga, facta est spinarum parens. « Exspectavi namque, inquit, ut proferret uvam, et protulit spinas *. » Sed hæc Judæis evenient, quippe qui impie in Christum egerint. Manifesta erit Galilæa et Carmelus, id est, illustris et conspicua ubilibet locorum degentibus. Galilæam vocat regionem gentium, seu gentes, et fortassis Ecclesiam ex gentibus : **457** quam etiam dignatur Carmelo comparare. Carmelus autem mons est densus et excelsus. Talis est quodammodo Ecclesia Christi. Complures enim in ea floruerunt, piam mentem habentes, plenam omni bono, in altum erectam, et a rebus terrenis sejunctam. Scriptum est enim : Dei potentes terræ multum elevati sunt. Est autem solemne Scripturæ divinitus inspiratæ Ecclesiam montibus assimilare.

Vers. 10-12. *Nunc exsurgam, dicit Dominus, nunc gloriose prædicabor, nunc evehar, nunc videbitis, nunc sentietis. Vana erit fortitudo spiritus vestri. Ignis vos devorabit, et erunt gentes combustæ, ut spina in agro projecta, et exusta.*

Unigenitum Dei Verbum, conforme et æquale Deo et Patri, utpote ab ipso secundum naturam et ineffabili modo genitum, exinanivit seipsum, forma servi accepta, et in habitu hominum factus, humiliavit seipsum, factus obediens usque ad mortem, mortem autem crucis. Cum autem hanc crucem pro vita omnium subiisset, et denuo ut Deus revixisset, tunc, tunc istis hujus suæ impietatis convictis, ita ut non solum non obedirent quantumvis vocanti ad vitam, sed auderent etiam conviciis et flagris et morte ipsa afficere, dignam pœnam intentavit. Mali enim male perierunt : incensis ipsorum urbibus, et terra in universum vastata. Tum didicerunt ejus qui passus est gloriam, et in tam graves et inevitabiles prolapsi calamitates, vix tandem cognoverunt, non in unum aliquem e prophetis hanc impietatem scelerate patratam esse, sed in ipsum omnium Servatorem et Redemptorem. Quasi itaque divina ira confestim in illos incideret : Nunc exsurgam, inquit, dicit Dominus. Nam ante pretiosam crucem cum mala tulisset ut Deus, passus jam in ea, insurgit propemodum contra inimicos, et glorificatus est et evectus, traditis in perniciem his qui omnia in illum machinati sunt, vocatisque per fidem, et intelligibili ac divina luce collustratis, qui olim in tenebris erant, et mentem pectusque inscitiæ caligine circumfusum habebant. Nunc igitur glorifica-

* Isai v, 2.

bor, nunc videbitis, nunc sentietis. Vana enim erit spiritus vestri fortitudo, id est, in nihil **458** evadet. Circumdabo enim vos nolentes, et ignis eritis alimentum, velut spina in agro combusta et projecta. Consumpti sunt nimirum, ut dixi, ab omnivora flamma quodammodo, cum divinæ iræ motus incidissent. Nam, ut beatus Moses ait: « Deus noster ignis est consumens[7]. »

δὲ καὶ τῷ θείῳ καταφαιδρύνας φωτὶ τοὺς ἐν σκότῳ πάλαι· καὶ τὴν ἐκ τῆς ἀμαθίας ἀχλὺν εἰς νοῦν ἔχοντας, καὶ καρδίαν. Νῦν οὖν δοξασθήσομαι, νῦν ὄψεσθε, νῦν αἰσθήσεσθε, ματαία γὰρ ἔσται τοῦ πνεύματος ὑμῶν ἡ ἰσχὺς, τοῦτ' ἔστιν, εἰς οὐδὲν ἐκτελευτήσει. Περιέσομαι γάρ, καὶ οὐχ ἑκόντων ὑμῶν, καὶ πυρὸς ἔσεσθε τροφὴ, καθάπερ ἄκανθα ἐν ἀγρῷ κατακεκαυμένη, καὶ ἐῤῥιμμένη. Δεδαπάνηνται γάρ, ὡς ἔφην, μονονουχὶ παμφάγῳ φλογὶ περιπεπτωκότες τοῖς ἐκ θείας ὀργῆς κινήμασιν. Ὡς γάρ φησιν ὁ μακάριος Μωσῆς· « Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. »

VERS. 13. *Audient qui longe sunt quæ feci, scient qui prope sunt fortitudinem meam. Recesserunt qui in Sion erant iniqui, apprehendet enim tremor iniquos.*

Missus quidem est a Deo et Patre Dominus noster Jesus Christus ad perditas oves domus Israel. Eorum etenim erant promissiones, leges, et fœdus, et patres; mansitque per universam Judæam sese manifestans: partim doctrina supra legem usus, partim divinis signis supra rationem territans. Sed inutile prorsus fuit hoc Judæis, propter magnam perversitatem mentis. Docuit enim Dominus; Scribæ vero et Pharisæi increpantes auditores, dixerunt: « Dæmonium habet, et furit, quid auditis illum[7*]? » Malos et immundos increpavit spiritus, idque cum potestate, ut Deus: at hi, hanc supernaturalem adeo et ineffabilem vere calumniantes potentiam, ausi sunt dicere: Hic non ejicit dæmonia, nisi in Beelzebul principe dæmoniorum[8]. Hinc abjecti sunt, et justissime, spei in illum haud participes. Et ad hæc mysteria introductæ sunt gentes, et salutarem et evangelicam prædicationem receperunt. Hoc, opinor, docet, dicens: Audient qui sunt longe, quæ feci. Nam quantum ad legis institutionem attinet, prope erat Israel: gentes vero a cognitione et conjunctione cum Deo, videlicet spirituali, semotæ erant, colentes creaturam supra Creatorem. Sed hi, inquit, audient quæ feci, cum nollet audire Israel. Scient qui propinqui sunt fortitudinem meam. Periit enim non in totum Israel: sed ex illis plurimi crediderunt, et velut prope Deum facti sunt. Quia in lege instituti jam fuerunt, Dei fortitudinem cognoverunt. Crediderunt namque eum miracula edidisse, ut Deum. Sed hi, inquit, scient. Recesserunt autem, et omnino expertes facti sunt spei sanctorum, qui in Sion iniqui sunt. **459** Apprehendet etiam illos tremor, quantumvis insigniter impios. Nam experientia calamitatum quæ illis inflictæ sunt, satis fuerit ad comprimendam eorum deinceps insolentiam.

Ἀκούσονται οἱ πόῤῥωθεν ἃ ἐποίησα, γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου. Ἀπέστησαν οἱ ἐν Σιὼν ἄνομοι, λήψεται γὰρ τρόμος τοὺς ἀσεβεῖς.

Ἀπεστάλη μὲν παρὰ Θεοῦ καὶ Πατρὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. Καὶ γὰρ ἦσαν αὐτῶν αἱ ἐπαγγελίαι, ἡ νομοθεσία, καὶ ἡ διαθήκη, καὶ οἱ πατέρες, καὶ διατετέλεκε μὲν τοῖς ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν ἐμφανῆ καθιστὰς ἑαυτόν· καὶ τοῦτο μὲν διδασκαλίαις ταῖς ὑπὲρ νόμον χρώμενος, τοῦτο δὲ ταῖς ὑπὲρ λόγον καταπλήττων θεοσημείαις. Ἀλλὰ γέγονεν ἀνόνητον τοῖς Ἰουδαίοις παντελῶς τὸ χρῆμα διὰ πολλὴν σκαιότητα νοῦ. Ἐδίδασκε μὲν γὰρ ὁ Κύριος· οἱ δὲ Γραμματεῖς τε καὶ Φαρισαῖοι τοῖς ἀκροωμένοις ἐπιπλήττοντες ἔλεγον· « Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί ἀκούετε αὐτοῦ; » Πονηροῖς καὶ ἀκαθάρτοις ἐπετίμα πνεύμασι, καὶ τοῦτο μετ' ἐξουσίας, ὡς Θεός· οἱ δὲ τὴν οὕτως ὑπερφυᾶ καὶ ἀπόῤῥητον συκοφαντοῦντες ἰσχὺν ἀληθῶς, ἀπετόλμων λέγειν· Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. Οὐκοῦν ἀπόπεμπτοι γεγόνασι, καὶ σφόδρα εἰκότως ἀμέτοχοι τῆς εἰς αὐτὸν ἐλπίδος. Μεμυσταγώγηνται δὲ τὰ ἔθνη, καὶ τὸ σωτήριόν τε καὶ εὐαγγελικὸν παρεδέξαντο κήρυγμα. Τοῦτο, οἶμαι, διδάσκει λέγων· Ἀκούσονται οἱ πόῤῥωθεν ἃ ἐποίησα. Ὅσον μὲν γὰρ ἧκεν εἴς γε τὸ πεπαιδεῦσθαι νόμῳ, γέγονεν ἐγγὺς ὁ Ἰσραήλ· ἀφειστήκεισαν δὲ τὰ ἔθνη τῆς πρὸς Θεὸν οἰκειότητος, δῆλον δὲ ὅτι πνευματικῆς, λελατρευκότα τῇ κτίσει παρὰ τὸν κτίσαντα· Ἀλλ' οὗτοι, φησὶν, ἀκούσονται ἃ ἐποίησα, οὐκ ἐθελήσαντος ἀκοῦσαι τοῦ Ἰσραήλ. Γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου. Ἀπόλωλε γὰρ οὐκ εἰσάπαν ὁ Ἰσραήλ· πλεῖστοί γε μὴν καὶ ἐξ αὐτῶν πεπιστεύκασι, καὶ οἷον ἐγγὺς ὄντες Θεοῦ. Διὰ τὸ ἤδη λαχεῖν τὴν ἐν νόμῳ παίδευσιν, ἐγνώκασι τὴν ἰσχὺν τοῦ Χριστοῦ. Πεπιστεύκασι γὰρ ὅτι τεθαυματούργηκεν ὡς Θεός. Ἀλλ' οὗτοι μὲν γνώσονται, φησίν. Ἀπέστησαν δὲ καὶ ἔξω γεγόνασιν ὁλοτρόπως τῆς τῶν ἁγίων ἐλπίδος οἱ ἐν Σιὼν ἄνομοι. Λήψεται δὲ αὐτοὺς καὶ τρόμος, καίτοι λίαν ὄντας ἀσεβεῖς. Ἀρκέσει γὰρ τῶν ἐπενηνεγμένων αὐτοῖς συμφορῶν ἡ πεῖρα πρός γε τὸ δεῖν, καὶ καταδεῖξαι λοιπὸν τὸν παρ' αὐτῶν ὑβρισμόν.

VERS. 14. *Quis annuntiabit vobis, quod ignis ardeat? Quis annuntiabit vobis locum æternum?*

Quod in acerbum et inevitabile supplicium incident, ignis alimentum futuri judicii tempore qui in Christum impie fecerunt, hic demonstrat. Dixit

Τίς ἀναγγελεῖ ὑμῖν, ὅτι πῦρ καίεται; Τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον;

Ὅτι σκληρᾷ καὶ ἀφύκτῳ περιπεσοῦνται κολάσει, πυρὸς ἐσόμενοι τροφὴ κατὰ τὸν τῆς κρίσεως καιρὸν οἱ δυσσεβοῦντες εἰς Χριστὸν, διαδείκνυσιν ἐν τού-

[7] Deut. IV, 24. [7*] Joan. X, 20. [8] Matth. XII, 24 seqq.

τοις. Ἔφη γάρ που καὶ αὐτός· « Ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς τὸν Υἱὸν, ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν. » Τοῖς δὴ οὖν ἄρα φησὶ σκληροκαρδίοις οὖσι, καὶ ἀπειθεῖν ᾑρημένοις ἀναγγελεῖ τὸν τόπον τὸν αἰώνιον, καὶ ὅτι πῦρ ηὐτρέπισταί τε καὶ ἀνακαίεται, καὶ τοῦτο διηνεκῶς. Ὡς γὰρ αὐτός που πάλιν φησὶν ὁ προφήτης περὶ τῶν τεθνεώτων ταῖς ἑαυτῶν πλημμελείαις· « Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. »

A enim alicubi et ipse: « Amen dico vobis: Qui credit in Filium, habet vitam æternam. Qui non credit Filio, non videbit vitam, sed ira Dei manet super eum [8]. » Itaque hominibus duri pectoris et inobedientibus annuntiat locum æternum, et quod ignis præparatus sit et ardeat, idque perpetim. Sicuti enim ipse propheta rursus dicit de his qui peccatis suis immortui sunt: « Vermis eorum non morietur, et ignis eorum non exstinguetur, venientque in conspectum omni carni [9]. »

Πορευόμενος ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν ὁδὸν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος, καμμύων τοὺς ὀφθαλμοὺς, ἵνα μὴ ἴδῃ ἀδικίαν· οὗτος οἰκήσει ἐν B *ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν. Βασιλέα μετὰ δόξης ὄψεσθε, καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται γῆν πόῤῥωθεν, ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον.*

VERS. 15-17. *Ambulans in justitia, loquens rectam viam, odio habens iniquitatem et injustitiam, et manus retrahens a muneribus, obturans aures, ne audiat judicium sanguinis, claudens oculos, ne videat injustitiam: hic habitabit in excelsa spelunca petræ fortis; panis ei dabitur, et aqua ejus fidelis. Regem cum gloria videbitis, et oculi vestri videbunt terram procul, anima vestra meditabitur timorem.*

Ὅτι μὲν οὖν κατοικήσονται μὲν εἰς ᾅδου κολασθησόμενοι, περιπεσοῦνται δὲ τῇ ἀσβέστῳ φλογὶ ταῖς κατὰ Χριστοῦ δυσσεβείαις ἐνεσχημένοι τινὲς, εὖ μάλα διαμεμήνυκε. Προσεπάγει δὲ χρησίμως, ᾧ καθίστησιν ἐναργὲς, τίνες ἂν εἶεν οἱ τῆς εἰς αἰῶνα ζωῆς μεταλαχεῖν ὀφείλοντες, καὶ τοῖς παρ' αὐτοῦ χαρίσμασι, θείοις δὲ δηλονότι καὶ πνευματικοῖς, ἐντρυφήσοντες κατὰ καιρούς. Ὁ γάρ τοι, φησὶ, πορευόμενος ἐν δικαιοσύνῃ, τοῦτ' ἔστιν, ὁ τὰ τῆς δικαιοσύνης ἔργα τετιμηκὼς, καὶ βίον ἐπασκήσας τὸν C ἐξαίρετον, καὶ ὁ λαλῶν εὐθεῖαν ὁδὸν, τοῦτ' ἔστιν, ὁ διὰ γλώττης ἔχων πᾶν ὅσον ἐστὶν ἀποφέρον εἰς τὸ εὐθὺ, καὶ ὁ μισῶν ἀδικίαν, καὶ πᾶς εἴ τις ἐστὶ φιλοχρηματίας ἀμείνων, καὶ δωροδοκίας ἐχθρὸς, καὶ τὴν καθ' αἵματος κρίσιν τῆς οἰκείας ἀποσοβῶν ἀκοῆς, ἀποστρέφων δὲ καὶ τοὺς ὀφθαλμοὺς, ὡς ἂν μή τι τῶν ἀδίκων θεάσαιτο, οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς. Ἐν ἀσφαλείᾳ γὰρ ἔσται, φησὶ, καὶ οἷον ἐν πέτρᾳ τὴν οἴκησιν ἔχων ἀκλόνητον, εὑρήσει τὴν ἐφ' ἅπασι τοῖς εὐκταίοις διαμονήν. Εἰκὸς δὲ δή που, καὶ πέτραν ἡμῖν ὠνομάσθαι διὰ τούτων τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ἐν ᾧ καθάπερ τι σπήλαιον, ἢ καὶ προβάτων σηκὸς ἡ Ἐκκλησία νοεῖται ἀσφαλῆ καὶ ἀκράδαντον ἔχουσα τὴν εἰς τὸ εὖ εἶναι διαμονήν· « Σὺ γὰρ εἶ Πέτρος, » φησὶν ὁ Σωτὴρ, D « καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ θεμελιώσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. » Τῷ τοίνυν, φησὶν κατοικήσαντι ἐν τῇ τοιᾷδε πέτρᾳ δοθήσεται μὲν ἄρτος, χορηγηθήσεται δὲ καὶ ὕδωρ πιστόν. Τοῖς γὰρ οἰκοῦσι τὴν Ἐκκλησίαν, ἄρτος ζωῆς δίδοται, Χριστὸς, παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ ὕδωρ πιστὸν τὸ τοῦ ἁγίου βαπτίσματος δηλονότι πιστοὺς καὶ ἑδραίους ἀποφαῖνον τοὺς ἀξιουμένους αὐτοῦ. Δίδοται γὰρ ἡ τοῦ ἁγίου βαπτίσματος χάρις τοῖς κεκαθαρμένοις διὰ τοῦ ἁγίου βαπτίσματος. Οἱ δέ γε λαβόντες βασιλέα μετὰ δόξης, ὄψεσθε,

Ostendit pulcherrime, quosdam impietate in Christum involutos, abituros ad inferos, puniendos, et in flammam inexstinctam casuros. Opportune vero adnectit, quod manifestum reddit, quinam sint hi qui æterna vita potiri debent, et qui sint tempore suo charismatis, divinis scilicet et spiritualibus, abundaturi. Nam, inquit, ambulans in justitia, id est, qui opera justitiæ colit, et vitam præclaram instituit, et qui loquitur rectam viam, id est, qui in lingua habet quidquid ad id quod rectum est adducit, et qui odit injustitiam, et quisquis avaritia superior est, et hostis corruptelæ munerum, et qui aures suas avertit a judicio sanguinis, et oculos amovet, ne quid injusti videant, hic habitabit in excelsa spelunca petræ fortis. **460** Securus enim erit, et veluti in petra domum habens, immotam inveniet in omnibus optabilibus permansionem. Quinimo consentaneum est his verbis petram nobis vocari Dominum nostrum Jesum Christum, in quo tanquam spelunca quædam vel ovium stabulum Ecclesia intelligitur, habens tutam et inconcussam, ita ut bene sit, domicilium. « Tu es enim, » inquit Servator, « Petrus, et super hanc petram fundabo meam Ecclesiam, et portæ inferorum non prævalebunt contra eam [10]. » Huic ergo, inquit, in hac petra habitanti, dabitur panis, et suppeditabitur aqua fidelis. Habitantibus namque in Ecclesia panis vitæ Christus datur a Deo et Patre, et aqua fidelis, sacrosancti nimirum baptismatis, fideles et stabiles efficiens eos qui eo digni habentur. Data est enim sacrosancti baptismatis gratia purificatis per sacrum baptisma. Qui vero regem accipitis, inquit, cum gloria videbitis, id est, Christum. Videbitis etiam terram procul, nondum enim intuiti sunt terram, de qua ait Servator: « Beati mites, quia ipsi hæreditate acci-

[8] Joan III, 36. [9] Isa. LXVI, 24. [10] Matth. XVI, 18.

picnt terram [11]. » Adhuc eam procul quasi intuemur oculis intelligentiæ : hinc etiam solemus meditari timorem Dei, ut in ea simus, et simul cum aliis sanctis, charismatis per Christum repleti, eum gloria et laude extollimus.

A φησὶ, τοῦτ' ἔστι, Χριστόν. Ὄψεσθε δὲ καὶ γῆν πόῤῥωθεν, οὔπω γὰρ τεθεαμένοι τὴν γῆν, περὶ ἧς φησιν ὁ Σωτήρ· « Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. » Τοῖς τῆς διανοίας ὄμμασιν οἷον πόῤῥωθεν αὐτὴν οὖσαν ἔτι καταθεώμεθα. Ταύτῃ τοι καὶ μελετᾷν εἰθίσμεθα τὸν τοῦ Θεοῦ φόβον, ἵνα ἐν αὐτῇ γενώμεθα καὶ ὁμοῦ τοῖς ἄλλοις ἁγίοις, τῶν διὰ Χριστοῦ χαρισμάτων ἀναπιμπλάμενοι δοξολογοῦμεν αὐτόν.

Vers. 18, 19. *Ubi sunt grammatici? ubi consiliarii? ubi est numerans eos qui conglobant parvum et magnum populum? Cui non consilium dederunt, neque sciebat profundam vocem habentem, ita ut non audiret populus contemptus, et non est audienti intelligentia.*

Ποῦ εἰσιν οἱ γραμματικοί; Ποῦ εἰσιν οἱ συμβουλεύοντες; ποῦ ἐστιν ὁ ἀριθμῶν τοὺς συστρεφομένους μικρὸν καὶ μέγαν λαόν; Ὧ οὐ συνεβούλευσαν, οὐδὲ ᾔδει βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι λαὸς πεφαυλισμένος· καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις.

Præmiis eorum qui pietatem amplexi sunt expositis, transit rursus ad exacerbandum, probro dans, idque merito, Judæorum præceptoribus, quod inconsulto exciderint ab eo statu in quo possent et feliciter agere per gratiam supernam, et omnibus bonis abundare. Nam cum meliores videri, studium virtutis pium habere, fidemque recipere potuissent, hoc miseri non fecerunt, sed provoluti potius in fœdiora, multis modis involuti et capti sunt. Etsi enim legem semper consuevissent loqui, et sanctorum prophetarum verba curiose indagare, ut sic cognoscerent Deum Verbum, qui in humana forma ipsis apparuit, et incolis terræ illuxit, ignorarunt **461** ipsum, aut certe cognito mysterio grassati sunt acerbi. Nam Filio, qui missus erat a Deo et Patre, post servos, agnito, dixerunt : « Hic est hæres, venite, occidamus eum, et habeamus nos hæreditatem ejus [12]. » Et quidem quantum ad conatum vimque ipsorum attinet, interfecerunt (etiamsi ille inferorum portis teneri non potuit), exstimulantes ad hoc populum subditum, et clamaverunt contra illum, Pilato dicentes : « Tolle, tolle, crucifige eum [13]. » Hac de causa, velut summæ impietatis rei, et Dominicæ cædis crimine impliciti, extranei facti sunt a spe in Christum, detrusi sunt a conjunctione quæ est cum Deo, et præcipitati sunt in calamitates insanabiles. Dicit ergo illis : Ubi sunt litterati ? pro, in quibus malis sunt ? Grammaticos seu litteratos vocat Scribas. Ubi sunt consiliarii ? Et qui tandem sunt isti ? Qui in sacerdotio constituti sunt, de quibus lex Mosis dicit : « Quia labia sacerdotis custodient judicium, et legem exquirent ex ore ejus [14]. » Admonitionibus enim sacerdotum, populus qui sub manu est, instituitur. Ubi ergo sunt consulentes? Ubi est numerans eos qui in agmen cogunt populum parvum et magnum ? Rursum hic mihi contemplare fastu turgidos Scribas et sacerdotes sive Pharisæos, qui populum suæ potestati et manui subditum contra Christum conglobarunt, et copias manumque populi parvi et magni collegerunt, qui domum Pilati cingentes postularunt sibi donari homicidam Barabbam, et eum qui nullius facinoris reus erat omnino, Chri-

Καταστήσας ἐναργῆ τῶν εὐσεβεῖν ᾑρημένων τὰ B γέρα, μέτεισι πάλιν ἐπὶ τὸ χρῆναι λυπεῖν, κατονειδίζων εἰκότως τοῖς τῶν Ἰουδαίων καθηγηταῖς ὡς ἡμαρτηκόσιν ἐξ ἀδουλίας τοῦ διὰ τῆς ἄνωθεν χάριτος εὐημερεῖν δύνασθαι, καὶ θεοφιλὲς ἔχειν εἰς ἀρετὴν τὸ σπούδασμα προσιεμένους τὴν πίστιν· τοῦτο μὲν οὐκ ἔδρων οἱ δείλαιοι, κατολισθαίνοντες δὲ μᾶλλον, εἰς τὰ αἴσχίω κατὰ πολλοὺς ἡλίσκοντο τρόπους. Καίτοι γὰρ τὸν νόμον οἱ λέγειν εἰωθότες, καὶ τὰς τῶν ἁγίων προφητῶν πολυπραγμονοῦντες φωνάς, οὕτω δὲ εἰδέναι μὲν τὸν αὐτοῖς ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα Θεὸν Λόγον, ἐπιλάμψαντά τε τοῖς ἐπὶ τῆς γῆς, ἠγνοήκασιν αὐτὸν, ἢ καὶ τάχα που συνέντες τὸ μυστήριον ἐπεφύοντο πικροί. Ἀποσταλέντα γὰρ τὸν Υἱὸν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς μετὰ τοὺς οἰκέτας ἐπιγνόντες ἔφασκον· « Οὗτός ἐστιν ὁ κληρονόμος, C δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν ἑαυτοῖς τὴν κληρονομίαν αὐτοῦ. » Καὶ δὴ καὶ ἀπεκτόνασι τό γε ἧκον εἰς ἐγχειρημάτων δύναμιν, εἰ καὶ μὴ γέγονε κάτοχος ταῖς ᾅδου πύλαις. Καταθήγοντες ἐπ' αὐτοῦ τοὺς ὑπὸ χεῖρα λαοὺς, οἳ κατακεκράγασιν αὐτῷ Πιλάτῳ λέγοντες· « Αἶρε, αἶρε, σταύρωσον αὐτόν. » Καὶ ταύτης ἕνεκα τῆς αἰτίας, ὡς ταῖς ἀνωτάτω δυσσεβείαις ἔνοχοι, καὶ τῷ τῆς Κυριοκτονίας ἐγκλήματι κατηχθισμένοι, ξένοι μὲν γεγόνασι τῆς εἰς Χριστὸν ἐλπίδος, ἀπώλοντο δὲ τῆς πρὸς Θεὸν οἰκειότητος καὶ κατώλισθον εἰς ἀνηκέστους συμφοράς. Φησὶ τοιγαροῦν πρὸς αὐτούς· Ποῦ εἰσιν οἱ γραμματικοί; ἀντὶ τοῦ, Ἐν τίσι γεγόνασι κακοῖς; Γραμματικοὺς δέ φησι τοὺς γραμματέας. Ποῦ εἰσιν οἱ συμβουλεύοντες; Καὶ τίνες ἂν εἶεν οὗτοι; Πάλιν οἱ τεταγμένοι πρὸς D ἱερουργίαν περὶ ὧν ὁ Μωσέως φησὶ νόμος, ὅτι « Χείλη ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. » Ταῖς γὰρ παρὰ τῶν ἱερέων νουθεσίαις, ὁ ὑπὸ χεῖρα παιδαγωγεῖται λαός. Ποῦ τοίνυν οἱ συμβουλεύοντες; Ποῦ ἐστιν ὁ ἀριθμῶν τοὺς συστρεφομένους μικρὸν καὶ μέγαν λαόν; Ἐνταῦθά μοι πάλιν σημαινόμενος ἄθρει γραμματέας τε καὶ ἱερέας ἤτοι Φαρισαίους, οἳ κατεσώρευσαν τοῦ Χριστοῦ τοὺς ὑπὸ χεῖρα λαούς, καὶ συστροφὴν πεποίηνται δήμων μικρῶν καὶ μεγάλων· οἳ καὶ τὸ Πιλάτου περισχόντες οἰκητήριον, ἠξίουν ἀνεῖσθαι μὲν, φησὶ, σφίσι τὸν φονευτὴν Βαραββᾶν, σταυροῦσθαί γε μὴν τὸν ἐπ' οὐδενὶ τῶν ἀτόπων τὸ σύμπαν

[11] Matth. v, 4. [12] Marc. xii, 7. [13] Joan. xix, 15. [14] Malach. ii, 7.

κατεγνωσμένον, φημὶ δὴ Χριστόν. Οὐ γὰρ ἐποίησεν A ἁμαρτίαν. Τούτου διαμέμνηται Ματθαῖός τε καὶ Μάρκος, οἱ μακάριοι εὐαγγελισταί. Πιλάτου γὰρ λέγοντος ὅτι χρὴ μᾶλλον τῇ ἑορτῇ τὸν Ἰησοῦν αὐτοῖς ἀνεῖσθαι πεπλημμεληκότα μηδὲν, ὁ Ματθαῖός φησιν, ὅτι οἱ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσι. Ταῦτο δὲ αὐτὸ καὶ ὁ Μάρκος, ὡς ἔφην, ἐναργέστατα λέγει. Ποῦ τοίνυν ὁ ἀριθμῶν τοὺς συστρεφομένους μικρὸν καὶ μέγαν λαὸν, ᾧ οὐ συνεβούλευσαν, οὐδὲ ᾔδει βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι λαὸς πεφαυλισμένος, καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις. Καὶ δυσχερεστάτη μὲν λίαν ἡ τῶν λέξεων συνθήκη, καὶ δυσκάτοπτος ὁ ἐν αὐτοῖς νοῦς ἐστιν. Ἐρῶ δὲ ὡς ἔνι. Ποῦ γὰρ, φησὶν, ὁ ἀριθμῶν τοὺς συστρεφομένους μικρὸν καὶ μέγαν λαὸν, B ᾧ λαῷ οὐ συνεβούλευσαν; Ὁ μὲν γὰρ πολὺς, ὡς ἔοικε, δῆμος ἠγνόει Χριστὸν ὄντα Υἱὸν τοῦ Θεοῦ τὸν καταβοώμενον· ἔδρων δὲ τοῦτο διὰ τὸ τοὺς ἐγνωκότας, τοῦτ' ἔστι, τοὺς ἡγουμένους, μὴ συμβουλεῦσαι μᾶλλον αὐτῷ τὴν εἰς αὐτὸν προσήκασθαι πίστιν. Οὐ γὰρ ᾔδει, φησὶν, ὁ λαὸς τὸν βαθύφωνον, τοῦτ' ἔστι, Χριστόν. Βαθύφωνον δὲ αὐτὸν ὀνομάζει, διά τοι τὸ κεκρυμμένους εἶναι, καὶ ὡς ἐν αἰνίγμασι καὶ παραβολαῖς τοὺς παρ' αὐτοῦ λόγους. Καὶ γοῦν εἰσκεκόμισται διὰ τῆς τοῦ ψάλλοντος λύρας οὕτω λέγων· « Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου. » Προσελάλει δὲ καὶ τοῖς Ἰουδαίοις ἐν παραβολαῖς. Οὐκοῦν οὐ συνεβούλευσαν τῷ λαῷ, φησὶν, ἀλλ' οὐδὲ ᾔδει τὸν βαθύφωνον. Οὐ συνεβούλευσαν C δὲ ὥστε μὴ ἀκοῦσαι λαὸς πεφαυλισμένος. Εἰ γὰρ ἦσαν συμβουλεύσαντες, οὐκ ἂν ἤκουσε λαὸς πεφαυλισμένος. Μακάριοι δὲ μᾶλλον ὡς ἐπεγνωκότες τὸν Λυτρωτήν. Ἀλλ' οὐκ ἦν, φησὶ, τῷ ἀκούοντι σύνεσις. Ἀσύνετοι γὰρ ὄντες οἱ Ἰουδαῖοι, τὰς τῶν ἡγουμένων οὐκ ἐδοκίμαζον φωνὰς, οὐδὲ διέκρινον πότερόν ποτε χρηστὰ συμβουλεύουσιν, ἢ δρῶσι τὸ ἐναντίον.

Ἰδοὺ Σιὼν ἡ πόλις, τὸ Σωτήριον ἡμῶν, οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλὴμ, πόλις πλουσία, σκηναὶ αἱ οὐ μὴ σεισθῶσιν, οἱ πάσσαλοι τῆς σκηνῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαῤῥαγῶσιν, ὅτι τὸ ὄνομα Κυρίου μέγα ὑμῖν. Τόπος ὑμῖν ἔσται, ποταμοὶ καὶ διώρυγες πλατεῖς, καὶ εὐρύχωροι. D

Διὰ μέσου τεθειμένων τῶν τοῦ Θεοῦ λόγων οὓς πεποίηται πρὸς τοὺς ἀσυνέτους τῶν Ἰουδαίων γραμματικοὺς, καὶ τοὺς ἀνόσια συμβουλεύοντας, εἰσφέρεται πάλιν τὸ πρόσωπον τῶν τῆς ἀληθείας ἐραστῶν, ἐπεγνωκότων τε τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ καὶ λεγόντων· Ἢ τὴν ἐπὶ γῆς Ἐκκλησίαν, ἤγουν τὴν ἐν οὐρανοῖς τὴν ἄνω καλλίπολιν, τὴν τῶν ἁγίων τροφόν. Ὥστε κἂν εἴτε τὴν ἐπὶ γῆς Ἐκκλησίαν ὀνομάσειέ τις, εἴτ' οὖν ἐκείνην εἰς νοῦν δέξαιτο, ἓν ἔσται τὸ δι' ἀμφοῖν δηλούμενον. Οἱ γὰρ ἐν τῇ κάτω γεγονότες, ἔσονται κατὰ καιροὺς καὶ ἐν ἐκείνῃ τῇ ἄνω καὶ ἐν οὐρανοῖς. Οὐκοῦν ἐπειδήπερ ἐκ περιχαρείας πολλῆς

A stum dico, crucifigi. Non enim fecit peccatum. Hujus meminerunt Matthæus et Marcus, beati evangelistæ. Nam Pilato dicente, oportere potius in festo Jesum remitti, qui nihil deliquerat, sacerdotum principes, ut Matthæus narrat [18], et seniores persuaserunt turbis ut Barabbam peterent, Jesum vero perderent. Id quod etiam Marcus, ut dixi, manifestissime narrat [18*]. Ubi igitur est qui numerat eos qui in agmen cogunt parvum et magnum populum? Cui populo non dederunt consilium, neque sciebat profundam vocem habentem, ita ut non audiret populus contemptus. Nec est audiendi intelligentia. Difficillima est horum verborum compositio, et eorum mens obscura. Dicam tamen ut licet. Ubi enim, inquit, est numerans **462** eos B qui in agmen cogunt populum parvum et magnum? Cui populo non consilium dederunt. Magna enim pars populi, ut videbatur, nesciebat Christum esse Dei Filium, in quem vociferabantur. Quod fecerunt propterea quod hi qui sciverunt, id est, præfecti, non consuluerint potius ut fidem in hunc admitterent. Non enim scivit, inquit, populus profundam vocem habentem, nimirum Christum. Profundæ vocis eum propterea nominat, quod occulti sint et velut in ænigmatis et parabolis ejus sermones. Siquidem introducitur per lyram Psallentis sic dicens: « Aperiam in parabolis os meum, eructabo abscondita a constitutione mundi [19]. » Allocutus est igitur Judæos per parabolas. Igitur non C dederunt, inquit, consilium populo. Sed neque sciebat profundam vocem habentem. Non consuluerunt autem, ita ut non audiret populus contemptus. Si enim consuluissent, non audivisset populus contemptus. At beati qui agnoverunt Redemptorem. Verum, inquit, non erat audienti intelligentia. Parum enim intelligentes Judæi, præfectorum voces non dijudicabant, nec discernebant commodane consulerent, an secus facerent.

VERS. 20, 21. *Ecce Sion Salutare nostrum, oculi tui videbunt Jerusalem civitatem opulentam, tentoria quæ non movebuntur, neque commovebuntur paxilli tentorii ejus in æternum tempus, neque funiculi ejus rumpentur, quia nomen Domini magnum vobis. Locus vobis erit, flumina et fossæ latæ et spatiosæ.* D

Interpositis in medio Dei sermonibus, quos habuit ad insipientes Judæorum litteratos, et impios consiliarios, rursus introducitur persona veritatis amantium, et agnoscentium apparitionem Christi, atque dicentium: Ecce Sion civitas Salutare nostrum. Significant per hæc vel in terra Ecclesiam, vel in cœlis summam et pulchram civitatem altricem sanctorum. Quare sive hanc in terris Ecclesiam nominet quis, sive illam animo concipiat, unum per utrumque demonstrabitur. Qui enim in hac inferiori sunt, erunt progressu temporis, etiam in illa summa et cœlesti. Proinde dum magno gau-

[18] Matth. XXVII, 17 sqq. [18*] Marc. XV, 1 seqq. [19] Psal. LXXVII, 2.

dio tantum non exsiliunt, agnoscentes Sion, in qua salus nostra est, id est Christus, dum ipsi sibi eam ostendunt, statim divinus sermo eorum **463** voces excipit, et inquit: Oculi tui videbunt Jerusalem, civitatem opulentam. Sermocinatur autem velut ab antiqua similitudine, et ab eo tentorio quod in deserto erat. Opulentam nominat Sion, et inconcussum tabernaculum. Confirmat enim habere eam funiculos infractos, et paxillos fixos firmosque in perpetuum. Fulcitur enim Ecclesia, et solida est ac immota, et bona ejus mansio. « Non enim, inquit, portæ inferorum prævalebunt adversus eam. » Redditque causam cur talis futura sit, et inquit credentibus in Christum: Quia nomen Domini magnum vobis. Nam his qui non receperunt fidem, haud magnum neque gloriosum est nomen Christi: at apud nos qui credidimus, magnum et excelsum. Adoramus quippe ut Deum, ut Filium vere Patris, ut Verbum hominem factum, ad universorum salutem. Hoc igitur, inquit, semper manens tentorium, vobis erit locus. Etenim Ecclesiam Christi fecimus tanquam civitatem summæ illius figuram. Eruntque in ea flumina, et fossæ latæ et spatiosæ. Significat autem his verbis sanctos evangelistas, et apostolos, qui successu temporum præsident Ecclesiis, qui instar fluvialis rivi credentium animos irrigant, et in eos divinis sermonibus influunt, amplissimamque consolationem ingerunt, scilicet per sanctum Spiritum. Verum hi omnes fluvii et fossæ, unum summum capiunt, scilicet Christum, de quo scriptum est: « Fluvii impetus lætitia afficiunt civitatem Dei [17]. » Et ipse alicubi voce prophetæ dicit de suis adoratoribus: « Ecce ego declino in eos velut fluvium pacis, et velut torrentem qui inundat gloriam gentium [18]. »

Vers. 22. *Non ambulabis per hanc viam, neque ambulabit navigium insonans. Deus enim meus magnus est: non præteribit me Dominus judex noster, Dominus princeps noster, Dominus rex noster, Dominus ipse nos servabit.*

Relabitur oratio ad personam credentium. Nam cum fluviorum et fossarum fecisset mentionem, ideo et quidem valde merito veluti de navigio dicit. Et quid autem sibi velit, explicare conabor. Nam ante adventum Servatoris] nostri deprædatus est orbem habitabilem, nemine increpante, Satanas. Sed postquam per Christum liberati sumus, et sanctum **464** tabernaculum, Ecclesiam inquam, inhabitamus, evangelicorum et apostolicorum sermonum velut deliciis luxuriamus, et audentiores sumus contra illum qui olim diripere valuit; et quia credimus Christum servaturum corda nostra, nec permissurum iniquitatis inventori, ut in illa ingrediatur, alloquimur eum: Non ambulabis per hanc viam, nec trans-

A μονονουχὶ, καὶ ἀνασκιρτῶσιν ἐπεγνωκότες τὴν Σιὼν, ἐν ᾗ τὸ σωτήριον ἡμῶν, τουτ' ἔστι, Χριστὸς, ἀλλήλοις αὐτὴν καταδεικνύουσιν, εὐθὺς ὁ θεῖος διαδέχεται λόγος τὰς παρ' αὐτῶν φωνὰς, καί φησιν· Οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλὴμ, πόλις πλουσία· καὶ διαλέγεται μὲν ὡς ἐξ ὁμοιότητος τῆς ἀρχαίας καὶ ἐν τῇ ἐρήμῳ σκηνῆς. Πλουσίαν τε ὀνομάζει τὴν Σιὼν, καὶ ἀκατάσειστον ἔσεσθαι τὴν σκηνήν. Διϊσχυρίζεται γὰρ, ἄῤῥηκτα μὲν ἔχουσα τὰ σχοινία, πασσάλους δὲ πεπηγότας διηνεκῶς. Ἐρήρεισται γὰρ ἡ Ἐκκλησία, καὶ ἀκράδαντον ἔχει τὴν εἰς τὸ εὖ εἶναι διαμονήν· « Πύλαι γὰρ ᾅδου, φησὶν, οὐ κατισχύσουσιν αὐτῆς. » Καὶ ἀποδίδωσι τὴν αἰτίαν, δι' ἣν ἔσται τοιαύτη, καί φησι τοῖς πιστεύσασιν εἰς Χριστὸν, ὅτι τὸ ὄνομα Κυρίου μέγα ὑμῖν. Τοῖς μὲν γὰρ οὐ προσηκαμένοις τὴν
B πίστιν, οὐ μέγα καὶ δεδοξασμένον ἐστὶ τὸ ὄνομα τοῦ Χριστοῦ. Παρ' ἡμῖν δὲ τοῖς πιστεύσασι, μέγα καὶ ὑψηλόν. Προσκυνοῦμεν γὰρ ὡς Θεὸν, ὡς Υἱὸν ἀληθῶς τοῦ Πατρὸς, ὡς ἐνανθρωπήσαντα Λόγον ἐπὶ σωτηρίᾳ τῶν ὅλων. Αὕτη τοίνυν, φησὶν, ἡ ἀεὶ μένουσα σκηνὴ τόπος ὑμῖν ἔσται. Πόλιν γὰρ ὥσπερ πεποιήμεθα τὴν Ἐκκλησίαν Χριστοῦ τῆς ἄνω τὸν τύπον. Ἔσονται δὲ ἐν αὐτῇ ποταμοὶ καὶ διώρυγες πλατεῖς καὶ εὐρύχωροι. Σημαίνει δὲ διὰ τούτων τοὺς ἁγίους εὐαγγελιστὰς, τοὺς ἀποστόλους, τοὺς τῶν Ἐκκλησιῶν κατὰ καιροὺς ἡγουμένους, οἳ ποταμίου νάματος δίκην τὰς τῶν πιστευσάντων κατάρδουσι διανοίας, τοῖς παρὰ Θεοῦ λόγοις αὐτὰς ἐπικλύζοντες, καὶ ἀμφιλαφῆ παράκλησιν ἐνιέντες αὐτοῖς, δῆλον δὲ ὅτι τὴν διὰ τοῦ ἁγίου
C Πνεύματος. Ἀλλ' οὗτοι πάντες οἱ ποταμοὶ καὶ αἱ διώρυχες ἕνα τῶν ἀνωτάτω δέχονται, δῆλον δὲ ὅτι Χριστὸν, περὶ οὗ γέγραπται· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. » Φησὶ δέ που καὶ αὐτὸς διὰ φωνῆς προφήτου περὶ τῶν ἰδίων προσκυνητῶν· « Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν. »

Οὐ πορεύσῃ ταύτην τὴν ὁδὸν, οὐδὲ πορεύσεται πλοῖον ἔναυλον. Ὁ γὰρ Θεός μου μέγας ἐστίν. Οὐ παρελεύσεταί με Κύριος. Κριτὴς ἡμῶν Κύριος, ἄρχων ἡμῶν Κύριος· αὐτὸς ἡμᾶς σώσει.

Μεταπεφοίτηκε πάλιν ὁ λόγος ἐπὶ τὸ τῶν πιστευσάντων πρόσωπον. Ἐπειδὴ γὰρ ποταμῶν, καὶ διωρύγων ἐποιήσατο μνήμην, ταύτῃ τοι, καὶ σφόδρα εἰ-
D κότως, ὡς περὶ πλοίου φησί. Καὶ τί δὴ ἄρα δηλοῖ, διατρανοῦν πειράσομαι. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας κατεληΐζετο τὴν οἰκουμένην, οὐδενὸς ἐπιτιμῶντος, ὁ Σατανᾶς. Ἐπειδὴ δὲ λελυτρώμεθα διὰ Χριστοῦ, καὶ τὴν ἁγίαν οἰκοῦντες σκηνὴν, φημὶ δὴ τὴν Ἐκκλησίαν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς ἐνσπαταλῶμεν λόγοις, κατεθαρσήσαμεν τοῦ πάλαι πλεονεκτεῖν ἰσχύοντος, καὶ ὅτι τηρήσει Χριστὸς τὰς καρδίας ἡμῶν, οὐκ ἐφιεὶς τῷ τῆς ἀνομίας εὑρετῇ κατεμβαίνειν αὐτῶν· διὸ οἱ πεπιστευκότες φαμὲν πρὸς αὐτόν· Οὐ πορεύσῃ ταύτην τὴν ὁδὸν, οὐδὲ πορεύσεται πλοῖον ἔναυλον, τουτ' ἔστιν, οὐκ ἐσόμεθα

[17] Psal. XLV, 5. [18] Isai. LXVI, 12.

βάσιμοι ταῖς σαῖς ἔτι πλεονεξίαις· ἀλλ' οὐδὲ ἐν τούτοις εὑρεθήσῃ τοῖς ποταμοῖς, καθάπερ τι πλοῖον ἔναυλον. Ἀλλ' ἴσως φαίη τις ἄν· Πόθεν τοῦτο λέγειν τεθαρσήκατε; Ναί, φησίν, ἔχομεν τὸ θαρσεῖν. Ὁ γὰρ Θεός μου μέγας ἐστί, καὶ οὐ παρελεύσεταί με· τοῦτ' ἔστιν, οὐ διελεύσεται δι' ἐμοῦ, καθὰ καὶ πρώην ὁ Σατανᾶς. Οὐχ ὑποκείσομαι τοῖς ἐκείνου ποσί· Κύριος γὰρ ἡμῶν ἐστι κριτής. Κύριος ἄρχων ἡμῶν, Κύριος βασιλεὺς ἡμῶν, Κύριος αὐτὸς ἡμᾶς σώσει. Πάλαι μὲν γὰρ αὐτὸς ἦν ἐκεῖνος ὁ δυστροπώτατός τε, καὶ ἀπηνὴς ἄρχων ἡμῶν. Ἐπειδὴ δὲ τὸν εὐαγγελικὸν καὶ σωτήριον ὑπεδράμομεν ζυγὸν, κριτὴν ἐσχήκαμεν ἄρχοντα, βασιλέα, Κύριον, τὸν Υἱὸν, καὶ αὐτὸς ἡμᾶς σώσει. Ἑτέρως δὲ τοῦτο διδάσκει λέγων αὐτὸς ὁ προφήτης Ἡσαΐας, περί τε τῆς Ἐκκλησίας τοῦ Θεοῦ, καὶ περὶ τῶν ἐν πίστει τῇ ἐν Χριστῷ δεδικαιωμένων· Ἔσται ἐκεῖ ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται, καὶ οὐκ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν θηρίων τῶν πονηρῶν οὐδὲν, οὐ μὴ ἀναβῇ ἐκεῖ. Ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι διὰ τὸν Κύριον.

Ἐῤῥάγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσεν. Ὁ ἱστός σου ἔκλινεν, οὐ χαλάσει τὰ ἱστία, οὐκ ἀρεῖ σημεῖον, ἕως οὗ παραδοθῇ εἰς προνομήν.

Πλοίου διαμνημονεύσας, καὶ σκηνὴν ὀνομάσας, ἔχεται πάλιν τῆς τοῦ Θεοῦ διεκβολῆς· καί φησιν, ὡς πρός γε τὴν τῶν Ἰουδαίων Συναγωγὴν, ἤτοι τὴν σκηνὴν, ὅτι Ἐῤῥάγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσε. Τῆς μὲν γὰρ Σιὼν τῆς πόλεως τῆς πλουσίας οὐ διαῤῥαγήσεσθαι τὰ σχοινία φησὶν εἰς τὸν αἰῶνα χρόνον. Τεθεμελίωκε γὰρ, ὡς ἔφην, ἐπὶ πέτραν τὴν ἑαυτοῦ Ἐκκλησίαν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· ἐῤῥάγη δὲ ὥσπερ τὰ σχοινία τῆς Ἰουδαίων σκηνῆς, οὐ γὰρ ἴσχυσαν. Ὥσπερ δὲ ἀνέμου ῥαγδαίου καταχεομένου νηὸς συντείνεται τὰ ἱστία, καὶ χαλᾶται μὲν οὐδαμῶς οὐκ ἐφιέντος τοῦ πνεύματος, ὑπομένει δὲ τὴν ναυαγίαν· οὕτω, φησὶ, καὶ ὁ σὸς ἱστὸς κέκλιται, καὶ οὐ μὴ χαλάσῃ τὰ ἱστία. Οὐκοῦν ὡς ἐξ εἰκόνος τῶν ναυτιλλομένων τοῦ συμβεβηκότος τῇ τῶν Ἰουδαίων Συναγωγῇ ποιεῖται τὴν δήλωσιν. Ἀλλ' οὐδὲ σημεῖον ἀρεῖ, φησίν. Μενεῖ δὲ οὕτως ἕως οὗ παραδοθῇ εἰς προνομήν. Ἰδοὺ καὶ τούτῳ χρῆται παραδείγματι, πολυτρόπως ἡμῖν σημαίνων τὰ συμβεβηκότα αὐτοῖς. Ἔθος μὲν γὰρ τοῖς ἐν πολέμῳ νενικηκόσι ἐπαίρειν σημεῖον, ἤτοι τρόπαιον ὑψοῦν. Οἱ δέ γε ἡττώμενοι, σημεῖον οὐκ αἴρουσιν. Οὐκ ἀρεῖ τοίνυν, φησίν, σημεῖον, τοῦτ' ἔστιν, οὐ περιγενήσεται τῶν ἐχθρῶν, ἀσθενήσει δὲ μᾶλλον, ἕως οὗ παραδοθῇ εἰς προνομήν. Σημαίνει δὲ διὰ τούτων ἁπάντων, ὅτι καὶ ὑπὸ πόδας κείσεται τοῦ Σατανᾶ, καὶ ναυαγίαν ὑπομενεῖ, καὶ οὐ περιέσται ποτὲ τῆς ἐκείνου δυστροπίας, καθάπερ ἀμέλει, καὶ οἱ τὴν ἀκατάσειστον οἰκοῦντες σκηνὴν, ἔσται δὲ μᾶλλον εἰς προνομὴν αὐτῷ.

Τοίνυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσι, καὶ οὐ μὴ εἴπῃ· Κοπιῶ, ὁ λαὸς ὁ ἐνοικῶν ἐν αὐτοῖς· ἀφείθη γὰρ αὐτοῖς ἡ ἁμαρτία.

Ἰουδαῖοι μὲν γὰρ, καίτοι τὸ ὀρθοποδεῖν δύνασθαι λαχόντες ἀπό γε τῆς ἐν νόμῳ παιδαγωγίας, εἰς προ-

A ibit navigium insonans, id est, non erimus pervii aut expositi tuis jam direptionibus, sed neque in his fluviis invenieris, veluti navis quædam insonans. At dixerit quispiam fortassis : Unde hoc audetis dicere? Certe, inquit, habemus unde confidamus. Deus enim meus est magnus, et non præteribit me, id est, non transibit per me, ut ante, Satanas. Non subjiciar ipsius pedibus, Christus enim noster est judex. Dominus princeps noster, Dominus rex noster, Dominus ipse nos servabit. Erat enim quondam iste, infestissimus ille et immitis, princeps noster. Postquam autem ad hoc evangelicum et salutare jugum accurrimus, judicem habuimus, principem, regem, Dominum, hunc Filium : et ipse nos servabit. Alio modo docet

B hoc, inquiens ipse propheta Isaias, et de Ecclesia Dei, et de justificatis per fidem in Christo : Erit illic via pura, et via sancta vocabitur, et non erit illic via impura, neque erit illic leo, nec ulla mala bestia ibi nascetur. Sed ambulabunt in ea redempti per Dominum.

VERS. 22, 23. *Dirupti sunt funiculi tui, quia non prævaluerunt. Malus tuus inclinatus est, non pandet vela, non tollet signum, donec tradatur vastationi.*

Navigii mentione facta, et tabernaculo commemorato, persequitur rursus Dei interpositam orationem, aitque ad Judæorum Synagogam seu tabernaculum : Dirupti sunt funiculi tui, quia non prævaluerunt. Nam Sion civitatis opulentæ funiculos

C non ruptum iri dicit in æternum tempus. Fundavit enim, ut dixi, super petram Dominus noster Jesus Christus suam Ecclesiam. Sed dirupti sunt velut funes Judaici tabernaculi, utpote qui non prævaluerunt. Cæterum, ut vehemente vento perflante, navis vela intenduntur, minime vero laxantur, flatu non permittente, et naufragium patitur : sic, inquit, malus tuus inclinatus est, et non laxabis vela. Itaque tanquam imagine quadam ex navigantibus sumpta, id quod **465** accidit Judæorum Synagogæ, ostendit. Sed nec signum tollet, inquit, at manebit sic, donec tradatur vastationi. Ecce hoc quoque utitur exemplo, multifariam nobis significans quæ ipsis acciderunt. Solent enim in bello

D victores signum tollere, vel tropæum erigere : victi autem signum non tollunt; itaque ait : Non tollet signum, id est, non superabit hostes, sed imbecillior erit, donec tradatur vastationi. Ex quibus rebus omnibus significat, subjiciendum pedibus Satanæ, et naufragium passurum, nec unquam fore superiorem ejus sævitia, sicuti sane hi qui inconcussum habitant tabernaculum, sed in prædam ei futurum.

VERS. 24. *Igitur multi claudi prædam agent, et non dicet, Laboro, populus qui habitat in illis. Remissum est enim illis peccatum.*

Judæi enim, etsi recto pede incedere per legis pædagogiam potuissent, in prædam traduntur Sa-

tanæ. At gentes, licet mentem habeant claudicantem (quippe erraverunt), et rectas ire vias nesciebant, prædas agent. Nam lucrabuntur divina, victo Satana. Quodque gravi peccati onere ablegato, spiritualem habituræ sint requietem, explicat, dicens: Non dicet, Laboro, populus habitans in illis, remissum est enim ipsis peccatum. Nam qui sunt ex sanguine Israelis, impendente videlicet ipsis peccato (nec enim justificantem gratiam admiserunt), merito in prædam abrepti sunt, et velut captivi sunt peccati inventori. At qui ex gentibus sunt, meliores, quam ut accusari possint propter peccatum (ablatum enim est, Christo abstergente), omni voluptate fruentur, omnique labore immunes et liberi sunt, relegata omni molestia. Quorum meminit etiam beatus David: « Beati, quorum remissæ sunt iniquitates, et quorum tecta sunt peccata. Beatus vir cui non imputabit Dominus peccatum [19]. » Etiamsi dicat peccator: « Iniquitates meæ superarunt caput meum, velut onus grave gravatæ sunt in me [20]. » Siquidem lex intolerabilis erat. Et Christus dixit: « Venite ad me, omnes qui laboratis, et onerati estis, et ego reficiam vos [21]. »

Cap. XXIV. Vers. 1-4. *Accedite, gentes, et audite, principes,* **466** *audiat terra, et qui in ea sunt, orbis habitabilis, et populus in eo. Quia furor Domini super omnes gentes, et ira in omnem numerum eorum, ut perdat eos, et tradat eos mactationi, et vulnerati eorum projicientur, et mortui, et ascendet eorum fetor, et rigabuntur montes sanguine eorum, et convolvetur cœlum ut liber, et omnes stellæ cadent, quasi folia de vite, et ut cadunt fici de ficu. Ebrius est gladius meus in cœlo.*

Cum perpulchre disseruerit Judæorum Synagogam naufragium incursuram, et tradendam his qui vastaturi sunt eam, in prædam, cumque his vocationem gentium subintulerit: Multi enim claudi, inquit, prædam facient: necessariam aggreditur catechesin et institutionem his qui olim claudicantem habuerunt mentem, nunc autem didicerunt recto pede incedere, per fidem in Christum. Commemorat igitur judicium contra omnes futurum, parvos æque ac magnos. Hinc ait gentibus velut e longinquo constitutis: Accedite, gentes, et audite, principes. Illud, accedite, posuit, pro, appropinquate. Nam quandiu sunt in errore, et serviunt creaturæ supra Creatorem, longe a Deo constituti sunt. Sublata autem causa ob quam longe abesse dicuntur, conjuncti sunt cum Deo, et prope esse intelligunt: participes facti ipsius, quod consortes sint sancti Spiritus. Propinquate igitur, inquit, gentes et principes. Audiat terra, et qui in ea sunt, orbis terræ, et populus in ea. Et quid

νομὴν δέδονται τῷ Σατανᾷ. Οἱ δέ γε ἐξ ἐθνῶν, καίτοι χωλεύουσαν ἔχοντες τὴν διάνοιαν, ἐπεπλάνηντο γὰρ καὶ ὀρθὰς ἰέναι τρίβους οὐκ ᾔδεσαν, ποιήσουσι προνομήν. Κερδανοῦσι γὰρ τὰ παρὰ Θεοῦ, νικῶντες τὸν Σατανᾶν. Ὅτι δὲ καὶ τὸ τῆς ἁμαρτίας δυσαχθὲς φορτίον ἀποπεμψάμενοι, πνευματικὴν ἕξουσι τὴν ἀνάπαυσιν, διατρανοῖ λέγων· Οὐ μὴ εἴπῃ, Κοπιῶ, ὁ λαὸς ὁ ἐνοικῶν ἐν αὐτοῖς· ἀφείθη γὰρ αὐτοῖς ἡ ἁμαρτία. Οἱ μὲν γὰρ ἐξ αἵματος Ἰσραὴλ, ἅτε δὴ καὶ ἐπηρμένης αὐτοῖς τῆς ἁμαρτίας· προσήκατο γὰρ οὐδαμῶς τὴν δικαιοῦσαν χάριν, εἰκότως δέδονται προνομὴ, καὶ οἷον αἰχμάλωτοι τῷ τῆς ἁμαρτίας εὑρετῇ. Οἱ δὲ ἀμείνους γεγονότες τοῦ κατηγορεῖσθαι διὰ τὴν ἁμαρτίαν, ἀφῄρηται γὰρ Χριστοῦ διασμήχοντος, ἁπάσης εἴσω γενήσονται θυμηδίας, ἀπαλλαχθήσονται δὲ καὶ κόπου παντὸς, ἀποπεμψάμενοι τὸ λυποῦν. Τούτων καὶ ὁ μακάριος Δαβὶδ διαμέμνηται λέγων· « Μακάριοι, ὧν ἀφείθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. » Καίτοι λέγοντος τοῦ πλημμελεῖν εἰωθότος, ὅτι « Αἱ ἀνομίαι μου ὑπερῇραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. » Δυσφόρητος δὲ καὶ ἄνομος [Humfr. legit ὁ νόμος] ἦν. Καὶ γοῦν ἔφη Χριστός· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. »

Προσαγάγετε, ἔθνη, καὶ ἀκούσατε, ἄρχοντες. Ἀκουσάτω ἡ γῆ καὶ οἱ ἐν αὐτῇ· ἡ οἰκουμένη, καὶ ὁ λαὸς ὁ ἐν αὐτῇ. Διότι ὁ θυμὸς Κυρίου ἐπὶ πάντα τὰ ἔθνη, καὶ ἡ ὀργὴ ἐπὶ τὸν ἀριθμὸν αὐτῶν, τοῦ ἀπολέσαι αὐτοὺς, καὶ παραδοῦναι αὐτοὺς εἰς σφαγήν. Οἱ δὲ τραυματίαι αὐτῶν ῥιφήσονται, καὶ οἱ νεκροὶ, καὶ ἀναβήσεται αὐτῶν ἡ ὀσμὴ, καὶ βραχήσεται τὰ ὄρη ἀπὸ τοῦ αἵματος αὐτῶν. Καὶ εἱλιχθήσεται ὁ οὐρανὸς ὡς βιβλίον, καὶ πάντα τὰ ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου, καὶ ὡς πίπτει σῦκα ἀπὸ συκῆς. Ἐμεθύσθη ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ.

Ναυαγίῳ περιπεσεῖν τὴν τῶν Ἰουδαίων Συναγωγὴν εὖ μάλα διειρηκὼς, καὶ ὅτι παραδοθήσεται τοῖς καταδῃοῦσιν αὐτὴν εἰς προνομήν τε καὶ ἅλωσιν· καὶ τούτοις ἐπενεγκὼν τὴν τῶν ἐθνῶν κλῆσιν· Πολλοὶ γὰρ χωλοὶ, φησὶ, προνομὴν ποιήσουσιν· ἀναγκαίαν ποιεῖται τὴν κατήχησιν τοῖς ποτε μὲν χωλεύουσαν ἔχουσι τὴν διάνοιαν, μεμαθηκόσι δὲ τὸ ὀρθοποδεῖν διὰ πίστεως τῆς εἰς Χριστόν. Διαμνημονεύει τοιγαροῦν τῆς κατὰ πάντα ἐσομένης κρίσεως μικρῶν τε καὶ μεγάλων. Ταύτῃ τοι φησὶν ὡς ἔτι πόῤῥω καθεστηκόσι τοῖς ἔθνεσι· Προσαγάγετε, ἔθνη, καὶ ἀκούσατε, ἄρχοντες. Τὸ δὲ, προσαγάγετε, τέθεικεν, ἀντὶ τοῦ, προσεγγίσατε. Ἕως μὲν γάρ εἰσιν ἐν τῷ πλανᾶσθαι τυχὸν, καὶ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα, πόῤῥω που Θεοῦ καθεστήκασιν. Ἐξῃρημένης δὲ τῆς αἰτίας, ἐφ' ᾗ καὶ μακρὰν εἶναι λέγονται, προσοικειοῦνται Θεῷ, καὶ ἐγγὺς γενέσθαι νοοῦνται, μέτοχοι γεγονότες αὐτοῦ, διὰ τοῦ μεταλαχεῖν ἁγίου Πνεύματος. Ἐγγίσατε τοίνυν, φησὶν, ἔθνη τε καὶ ἄρχοντες. Ἀκουσάτωσαν δὲ καὶ ἡ γῆ, καὶ οἱ ἐν αὐτῇ,

[19] Psal. xxxi, 1, 2. [20] Psal. xxxvii, 5. [21] Matth. xi, 28.

ἡ οἰκουμένη, καὶ ὁ λαὸς ὁ ἐν αὐτῇ. Καὶ τί δὴ τὸ δηλούμενον; Ἐπήρτηται γὰρ ὀργή, φησίν, ἐπὶ πάντας τοὺς ἐν αὐτῇ, καὶ οὐχ ἁπλῶς ἢ ἀδιακρίτως· ἥξει δὲ μᾶλλον ἐπ' ἐκείνους, οἳ καὶ ἀναπόβλητον ἐσχήκασι τὴν ἁμαρτίαν, καὶ ταῖς ἑαυτῶν ψυχαῖς τὸν ἐκ τοῦ πλημμελεῖν ῥύπον ἐντετηγμένον. Ὅτι δὲ καὶ ἀπολοῦνται, καὶ οἷον εἰς ὄλεθρον καὶ σφαγὴν παραδοθήσονται, καὶ καταμιανοῦσι τὸν πάντα χῶρον, ὡς ἐπὶ σωμάτων διολωλότων τὸ τοῦ λόγου διαπλάττει σχῆμα. Βραχήσεται γάρ, φησί, τὰ ὄρη ἀπὸ τοῦ αἵματος αὐτῶν. Εἶτα τὸν τοῦδε καιρὸν ἐμφανῆ καθιστάς, τὴν τοῦ κόσμου συντέλειαν εἰς μέσον ἄγει, καί φησιν, Εἱλιχθήσεται μὲν ὡς βιβλίον ὁ οὐρανός, ἐν ἴσῳ δὲ φύλλοις τὰ ἄστρα πεσεῖται. Ὡς γὰρ ὁ τοῦ Σωτῆρος εἴρηκε μαθητὴς περὶ τῆς ἐσχάτης ἡμέρας· « Ὅτι ἐν αὐτῇ μὲν οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσεται, γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται πάντα. Καινοὺς δὲ οὐρανούς, καὶ καινὴν γῆν κατὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν. » Οὐκοῦν τὸ εἱλιχθήσεσθαι τὸν οὐρανόν, πεσεῖσθαι δὲ καὶ τὰ ἄστρα, τὸν τοῦδε τοῦ παντὸς ἀνακαινισμὸν ὑπεμφαίνειεν ἄν. Ἐλευθερωθήσεσθαι δὲ τὴν κτίσιν, καὶ ὁ θεσπέσιος ἔφη Παῦλος ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. Προστιθεὶς δὲ ὅτι, Ἐμεθύσθη ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ, δίδωσι νοεῖν, ὅτι τῆς θείας ὀργῆς ἡ ἔφοδος οὐ κατὰ μόνων ἥξει τῶν ἐπὶ τῆς γῆς, ἀλλὰ γὰρ καὶ κατ' αὐτῶν δραμεῖται τῶν ἀκαθάρτων πνευμάτων, οὓς καὶ κοσμοκράτορας τοῦ σκότους, καὶ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις ὀνομάζειν ἔθος τοῖς ἱεροῖς Γράμμασι. Κολασθήσονται γὰρ καὶ οἷον κατακορέσουσι, δι' ἧς ὑφίστανται δίκης τὴν τοῦ Θεοῦ μάχαιραν, τετυραννευκότες μὲν εἰς χρόνους μακρούς, καὶ ὅλην ἀπολέσαντες τό γε ἧκον ἐπ' αὐτοῖς τὴν ὑπ' οὐρανόν· ἐξαιτούμενοί τε τῶν οὕτω δεινῶν δυσσεβειῶν τὰς δίκας.

A demonstratur? Impendet enim, inquit, ira omnibus qui in ea sunt, et non simpliciter et promiscue, sed invadet potius illos qui peccatum non abjecerunt, habentque delictorum sordes animis suis inustas. Quod autem peribunt, et velut in exitium et mactationem tradentur, et omnem locum polluent, corporibus velut intereuntibus, orationis schema exprimit. Nam ait: Rigabuntur montes sanguine ipsorum. Dein tempore declarato, mundi consummationem adducit in medium, et inquit: Convolvetur quasi liber cœlum, instar foliorum stellæ cadent. Sicuti etiam discipulus Servatoris dixit de extremo die: « Quia in **467** ea cœli magno impetu transibunt, et elementa calore solventur: terraque et quæ in ea sunt opera, ex-
B urentur omnia. Et novos cœlos, et novam terram, juxta promissa ipsius exspectamus [21]. » Igitur illud, convolvendos esse cœlos, et casuras stellas, hujus universitatis renovationem potest ostendere. Liberandam vero esse creaturam divinus etiam Paulus ait, a servitute corruptionis, in libertatem gloriæ filiorum Dei [22]. Cum addit: Ebrius est gladius meus in cœlo, dat intelligere divinæ iræ impetum non in sola terrestria incursurum, sed in ipsos impuros spiritus: quos etiam mundi dominos, rectores tenebrarum, et spiritualia nequitiæ in supercœlestibus vocare solent sacræ Litteræ [23]. Punientur enim, et veluti exsaturabunt Dei gladium supplicio quod tolerant, cum tyranni-
C dem exercuerint in longum tempus, et totum terrarum orbem, quantum in ipsis erat, deleverint, luentes pœnas tam insignis impietatis.

Ἰδοὺ ἐπὶ τὴν Ἰδουμαίαν καταβήσεται, καὶ ἐπὶ τὸν λαὸν τῆς ἀπωλείας μετὰ κρίσεως. Ἡ μάχαιρα Κυρίου ἐνεπλήσθη αἱμάτων, ἐπαχύνθη ἀπὸ στέατος ἀρνῶν, καὶ ἀπὸ στέατος ταύρων, καὶ κριῶν.

Ἀπὸ τῆς καθ' ὅλου κρίσεως καταβιβάζει τὸν λόγον ἐπὶ τὴν τοῖς Ἰδουμαίοις ἐπενηνεγμένην κόλασιν, διά τοι τὴν εἰς Χριστὸν δυσσέβειαν. Ἰδουμαίαν γε μὴν τὴν Ἰουδαίαν ἀποκαλεῖ· βραχὺ παραλλάξας, ἵνα φαίνοιτο καὶ κατασκώπτων αὐτήν. Ὁ μὲν γὰρ ἐξ Ἰσαὰκ γεγονὼς Ἡσαῦ, βρώσεως μιᾶς καταπωλήσας τὰ πρωτοτόκια, κέκληται δὲ δικαίως Ἐδώμ, τοῦτ' ἔστι, γήϊνος· φρόνημα γὰρ ἦν τοιούτων ἐν αὐτῷ· ἀπ' αὐτοῦ δὲ λοιπὸν οἱ ἐξ αὐτοῦ κέκληνται, τοῦτ' ἔστιν, Ἰδουμαῖοι. Γήϊνοι γὰρ καὶ αὐτοί, γεῶδες ἔχειν τὸ φρόνημα οἰηθεῖεν ἄν, ὡς ἀπό γέ φημι τῆς τοῦ ὀνόματος ἑρμηνείας. Ἰδουμαίαν τοίνυν τὴν Ἰουδαίαν ἀποκαλεῖ, ὡς οὐκ εἰδυῖαν τὰ ἄνω φρονεῖν, ἐνιζήσασαν δὲ μᾶλλον τοῖς ἐπιγείοις πράγμασι, καὶ σαρκικὸν ἔχουσαν τὸ φρόνημα. Ἰδοὺ τοιγαροῦν, ἡ ἐν τῷ οὐρανῷ μεθυσθεῖσα μάχαιρα, φησί, καταβήσεται νῦν ἐπὶ τὴν Ἰουδαίαν, ἤτοι τὴν Ἰδουμαίαν, καὶ ἐπὶ τὸν λαὸν τῆς ἀπωλείας, πλὴν μετὰ κρίσεως. Ἀπωλείας δὲ λαὸς τίς ἂν ἕτερος εἴη παρά γε τὸν Ἰσραήλ; Οὐ γὰρ ἠθέλησε τιμῆσαι

• VERS. 5, 6. *Ecce ad Idumæam descendet, et ad populum interitui destinatum cum judicio. Gladius Domini repletus est sanguine, pinguis factus est adipe agnorum, et adipe taurorum et arietum.*

A generali judicio demittit orationem ad punitionem illatam Idumæis, propter impietatem in Christum. Idumæam vocat Judæam, paululum immutans, ut eam deridere videatur. Esau enim natus ex Isaac, qui cibo solo vendidit primogenita, jure vocatus est
D Edom, id est terrenus. Sic enim is affectus erat, a quo cæteri nomen habent, nimirum Idumæi: quippe terreni et ipsi. Terrenum habere affectum intelligi potest ex ipsa, ut dixi, nominis interpretatione. Idumæam igitur Judæam vocat, ut quæ nesciret ea quæ supra sunt sapere, sed magis rebus terrenis assideret, et carnalem affectum haberet. Ecce igitur, inquit, gladius in cœlo ebrius est, descendet nunc super Judæam seu Idumæam, et ad populum interitui destinatum. At cum judicio, populus interitui destinatus, quis esset nisi Israel? Noluit enim fide colere Redemptorem. **468** Verum gladius ebrius est cum judicio, seu cum justo judicio, non enim simpliciter vel citra discrimen, et

[21] II Petr. III, 10, 13. [22] Rom. XII, 21. [23] Ephes. VI, 12.

velut funditus periit Israel, at salvæ factæ sunt reliquiæ per fidem, scilicet in Christum. Vocat isunt enim ex Judæis innumerabiles, et crediderunt in Christum. Sed in contumacibus gladius Domini cruentus exsaturatus est, id est, ira tantum non mactans, et quasi arietes quosdam et tauros crassos et præpingues sternens. Quibus merito id dici poterit a nobis : « Agite nunc, divites, flete, ululantes super miseriis vestris, quæ advenient [22*]. » Subinferemus et his illud : Luxuriastis, lascivistis super terram, enutrivistis corda vestra, velut in die mactationis. Tales enim exstiterunt moderatores Judæorum, pascentes in pingui loco et spatioso, ex reditibus populi, obesi velut omnibus honoribus. Sed ut arietes et tauri ceciderunt, in gladium Domini irruentes miseri.

τῇ πίστει τὸν Λυτρωτήν. Πλὴν ἡ μάχαιρα μετὰ κρίσεως, ἤτοι μετὰ δικαιοκρισίας· οὐ γὰρ ἁπλῶς, ἢ ἀδιακρίτως, καὶ οἷον ἄρδην ἀπόλωλεν ὁ Ἰσραὴλ, ἀλλὰ σέσωται τὸ κατάλειμμα διὰ πίστεως, δηλονότι τῆς εἰς Χριστόν. Κέκληνται γὰρ καὶ ἐξ Ἰουδαίας οὐκ εὐαρίθμητοι, καὶ πεπιστεύκασιν εἰς Χριστόν. Ἐπὶ δὲ τοῖς ἀπειθήκασιν ἐνεπλήσθη αἵματος ἡ τοῦ Κυρίου μάχαιρα, τοῦτ' ἔστιν, ἡ ὀργὴ μονονουχὶ κατασφάξασα, καὶ οἱόν τινας κριοὺς, καὶ ταύρους ἁδροὺς καὶ πίονας καταστρώσασα, οἷς ἂν εἰκότως λέγοιτο πρὸς ἡμῶν· « Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε, ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. » Προσεποίσομεν δὲ τούτοις τὸ, Ἐτρυφήσατε, ἐσπαταλήσατε ἐπὶ τῆς γῆς, ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς. Τοιοῦτοι γὰρ γεγόνασιν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, καταβοσκόμενοι μὲν τρόπον τινὰ τόπον πίονα καὶ εὐρύχωρον τὰς ἐκ τῶν λαῶν καρποφορίας· καταπιανθέντες δὲ ὥσπερ ταῖς παρὰ πάντων τιμαῖς. Ἀλλ' ὡς κριοὶ καὶ ταῦροι πεπτώκασι, τῇ τοῦ Κυρίου μαχαίρᾳ περιπεσόντες οἱ δείλαιοι.

VERS. 7. *Quia sacrificium in Bosor Domino, et cædes magna in Idumæa, et concident robusti cum eis, et arietes et tauri, et ebria erit terra sanguine, et adipe eorum implebitur.*

Ὅτι θυσία Κυρίῳ ἐν Βοσὸρ, καὶ σφαγὴ μεγάλη ἐν τῇ Ἰδουμαίᾳ· καὶ συμπεσοῦνται οἱ ἁδροὶ μετ' αὐτῶν, καὶ οἱ κριοὶ, καὶ οἱ ταῦροι, καὶ μεθυσθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος, καὶ ἀπὸ τοῦ στέατος αὐτῶν ἐμπλησθήσεται.

Bosor interpretatur *coarctatio*, et *munitio*, et *faustum nuntium*, et *caro*. Idumæam igitur vocat Bosor, ut intelligas carnalem, vel coarctatam, id est, obsessam ; vel faustum nuntium, in ea enim fausta annuntiavit Christus. Addi potest, et munitio : Dominus enim erat in circuitu ejus, et in circuitu populi sui, quemadmodum scriptum est. Sed in hac, inquit, sacrificium Domino. Sacrificati enim sunt gladiis obsidentium, et non in odorem bonæ fragrantiæ ascendentes Deo, sed in satietatem gladii qui eos percutit. Quod autem non sola multitudo in Idumæa perdenda sit, sed insignium in ea virorum futura sit cædes plurima et miserabilis, ænigmatice subindicat, inquiens robustos, et arietes, et tauros casuros cum illis. Et inebriabitur terra sanguine eorum, et adipe eorum implebitur. Hæc autem dicit quasi de tauris et arietibus projectis in terram, et multum sanguinis fundentibus, eo quod diffluant, eamque tantum non irrigantibus.

Βοσὸρ ἑρμηνεύεται *συνοχὴ*, καὶ *ὀχύρωσις*, καὶ *εὐαγγελισμὸς*, καὶ μέν τοι καὶ *σάρξ*. Τὴν τοίνυν Ἰδουμαίαν καὶ Βοσὸρ ὀνομάζει, ἵνα νοήσῃς σαρκίνην, ἢ συνεσχημένην, τοῦτ' ἔστι, πολιορκηθεῖσαν· ἤγουν εὐαγγελισμὸν, εὐηγγελίσατο γὰρ ἐν αὐτῇ Χριστός. Προσθείην δ' ἂν, ὅτι καὶ ὀχύρωσις· Κύριος γὰρ ἦν κύκλῳ αὐτῆς, καὶ κύκλῳ τοῦ λαοῦ αὐτοῦ, καθὰ γέγραπται. Ἀλλ' ἐν ταύτῃ, φησὶ, θυσία τῷ Κυρίῳ. Τέθυνται γὰρ ταῖς τῶν πολιορκησάντων μαχαίραις, καὶ οὐκ εἰς ὀσμὴν εὐωδίας ἀναβαίνοντες τῷ Θεῷ, ἀλλ' εἰς κόρον τῆς καταπαιούσης αὐτοὺς μαχαίρας. Ὅτι δὲ οὐχὶ ἐν μόνῃ τῇ Ἰδουμαίᾳ δαπανηθήσεται πληθὺς, ἀλλὰ γὰρ καὶ τῶν ἐπισήμων ἐν αὐταῖς, πλείστη τε ὅση καὶ ἐλεεινὴ γενήσεται πτῶσις, αἰνιγματωδῶς ὑπεμφαίνει λέγων, τοὺς ἁδροὺς, καὶ τοὺς κριοὺς, καὶ τοὺς ταύρους πεσεῖσθαι μετ' αὐτῶν, καὶ ὅτι μεθυσθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος αὐτῶν, καὶ ἀπὸ τοῦ στέατος αὐτῶν ἐμπλησθήσεται. Ὡς γὰρ ἐπὶ ταύρων, καὶ κριῶν ἐῤῥιμμένων εἰς γῆν, καὶ αἵματός τε χύσιν ἱέντων, πολλὴν ὑπὸ τοῦ κατατήκεσθαι, μόνον δὲ οὐχὶ καὶ καταρδόντων αὐτὴν τοιαῦτά φησιν.

489 VERS. 8-11. *Dies enim judicii Domini, et annus retributionis judicii Sion. Et vertentur valles ejus in picem, et terra ejus in sulphur. Et erit terra ejus ardens velut pix noctu et interdiu, et non exstinguetur in æternum tempus, et ascendet fumus ejus sursum. In ætates deseretur, et habitabunt in ea aves, et erinacei, et ibes, et corvi. Et injicietur super eam funiculus geometriæ deserti, et onocentauri habitabunt in ea.*

Ἡμέρα γὰρ κρίσεως Κυρίου, καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρίσεως Σιών. Καὶ στραφήσονται αὐτῆς αἱ φάραγγες εἰς πίσσαν, καὶ ἡ γῆ αὐτῆς εἰς θεῖον· καὶ ἔσται ἡ γῆ αὐτῆς καιομένη, ὡς πίσσα, νυκτὸς καὶ ἡμέρας, καὶ οὐ σβεσθήσεται εἰς τὸν αἰῶνα χρόνον, καὶ ἀναβήσεται ὁ καπνὸς αὐτῆς ἄνω. Εἰς γενεὰς ἐρημωθήσεται, καὶ κατοικήσουσιν ἐν αὐτῇ ὄρνεα καὶ ἐχῖνοι, καὶ ἴβεις, καὶ κόρακες. Καὶ ἐπιβληθήσεται ἐπ' αὐτὴν σπαρτίον γεωμετρίας ἐρήμου, καὶ ὀνοκένταυροι οἰκήσουσιν ἐν αὐτῇ.

[22*] Jac. v, 1.

Ἐναργέστερον ἐν τούτοις ἅπερ ἔφη δι' αἰνιγμάτων A ἀφῆκε νοεῖν. Ὀνομάζει γὰρ δὴ τὴν Σιὼν, ᾗ καὶ κρίσεως ἡμέραν, καὶ ἀνταποδόσεως ἐνιαυτὸν ἐνεστηκέναι φησὶ, καθ' ὃν μονονουχὶ πίσσης τε καὶ θείου καταῤῥανθέντων ἁπάσῃ αὐτῶν τῆς χώρας, ἀνημέρῳ πυρὶ δαπανηθήσονται, καὶ ἀκατευνάστους ἕξουσι φλόγας· καὶ καπνὸν δὲ τάχα που τὸν ἀναβαίνοντα, νοεῖν ἀκόλουθον τὴν οἱονεὶ τοῦ πάθους ἀκοὴν, καὶ τοῖς πόῤῥω κατασημαίνουσαν, τῆς ἐπενεχθείσης αὐτοῖς συμφορᾶς τὸ μέγεθος. Ἐρημωθήσεσθαι δέ φησιν αὐτὴν εἰς γενεὰς καὶ τὰ ταῖς ἐρημουμέναις πόλεσι συμβαίνοντα λέγει. Ὄρνεα μὲν γὰρ, καὶ ἐχίνους, ἴβεις τε καὶ κόρακας ἐναυλισθήσεσθαί φησιν αὐτῇ, καὶ μὴν ὅτι καὶ εἰς ἔρημον καταμετρηθήσεται, κατοικούντων ὀνοκενταύρων ἐν αὐτῇ. Ὀνοκενταύρους δέ φησι τοὺς ἀγρίους τῶν ὄνων, οἷς δὴ καὶ φίλον B ἐνδιαίτημα ποιεῖσθαι τὰ εἰσάπαν ἔρημα τῶν χωρίων. Ἐχίνους δὲ λέγειν τοὺς ἀκάνθῃ κατημφιεσμένους τῶν μυῶν. Εἰ δὲ δή τις ἕλοιτο καὶ θεωρίαν ἐπὶ τούτοις τὴν ἐσωτάτω λαβεῖν, φαμὲν ὅτι τὰς ἠρημωμένας, καὶ οἷον μεμονωμένας τῶν ἀνθρώπων διανοίας, διά τοι τὸ μὴ κατοικεῖν ἐν αὐταῖς διὰ τοῦ πνεύματος τὸν τῶν ὅλων Θεὸν τὰ πονηρὰ τῶν θηρίων κατανεμηθήσονται καὶ καταυλήσουσιν ἐν αὐτῇ τὰ ἀκάθαρτα τῶν πνευμάτων, ὡς ἐν εἴδει τῶν ὠνομασμένων ἐχίνων τέ φημι καὶ κοράκων, καὶ ὄνων ἀγρίων.

Clarius his verbis proponit ad intelligendum quæ dixit per ænigmata. Nominat enim Sion, cui et judicii diem et retributionis annum imminere ait, quando pice et sulphure tantum non effusis in totam eorum regionem immiti igne consumentur, et irrequietas flammas habebunt: fumum autem ascendentem fortassis intelligere oportet, rumorem veluti afflictionum, qui longe dissitis significat calamitatis quæ inflicta est magnitudinem. Deserendam ait eam in ætates, et quæ desertis urbibus contingunt, dicit. Nam aves, et erinaceos, et ibides, et corvos ait in ea commoraturos, et in desertum commensurandam esse, habitantibus in ea onocentauris. Onocentauros vocat onagros, quibus gratum est in desertissimis locis versari. Echinos seu erinaceos, mures dicit spina vestitos. Sin maluerit quis intimam contemplationem seu internam accipere intelligentiam in hisce verbis, dicimus desertas, et velut desolatas hominum mentes, eo quod non in illis habitet per spiritum universorum Deus, a malis bestiis depascentur, et impuri spiritus ibi diversabuntur, tanquam in forma dictorum erinaceorum, et corvorum, et asinorum silvestrium.

Οἱ ἄρχοντες αὐτῆς οὐκ ἔσονται, οἱ γὰρ βασιλεῖς αὐτῆς, καὶ οἱ ἄρχοντες, καὶ οἱ μεγιστᾶνες αὐτῆς, ἔσονται εἰς ἀπώλειαν.

VERS. 12. *Principes ejus non erunt; reges enim et principes, et magnates ejus interibunt.*

Ἀδροὺς καὶ κριοὺς καὶ ταύρους ἐν τοῖς ἀνωτέρω C λέγων, τοὺς τῶν Ἰουδαίων καθηγητὰς, ἤγουν τοὺς τὴν περίοπτον λαχόντας δόξαν, ἢ κατὰ τὸν τῆς ἱερωσύνης τρόπον, ἢ διά τοι τὸ ἐν πλούτῳ καὶ περιφανείᾳ γενέσθαι πολλῇ· ἄρχοντας ἐν τούτοις κατονομάζει, σαφεστέραν τὴν ἐπ' αὐτοῖς ἀποφαίνων δήλωσιν. Οἱ τοίνυν ποτὲ βασιλεύοντες αὐτῶν, φησὶ, καὶ οἱ ἄρχοντες καὶ οἱ μεγιστᾶνες οὐκ ἔσονται. Οὐ γὰρ ἔτι ταῖς κατὰ πάντων ἐντρυφήσουσι δυναστείαις, οὔτε μὴν ἐξίτηλον ἀροῦσιν ὀφρὺν, ταῖς οὕτως ὑπερηρμέναις ἐνσπαταλῶντες τιμαῖς· ἀλλ' ἐξωσθήσονται θώκων τῶν ἐν ἀρχαῖς· καὶ οἷον βασιλείας ἀπολισθήσαντες, καὶ τοῦ κατάρχειν ἐκβεβλημένοι κατοιχήσονται πρὸς ἀπώλειαν, ὁμοῦ τοῖς ἑτέροις παρ' αὐτῶν διολωλόσι. Γεγόνασι γὰρ ἀφορμὴ τοῖς ὑπὸ χεῖρα πρὸς ὄλεθρον. Καὶ τοῦτο διδάξει λέγων ὁ τῶν ὅλων Θεός· « Ποιμένες D πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου. » Ἔδωκαν μερίδα ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον. Ἐγενήθη εἰς ἀφανισμὸν ἀπωλείας.

Cum dixerit in superioribus, robustos, et arietes, et tauros, Judæorum gubernatores, nimirum conspicuam gloriam sortitos seu sacerdotii ratione, sive quod divitiis et honore insigni illustres fuerint: his verbis principes nominat, apertiori eos designans vocabulo. Itaque qui reges eorum quondam erant, inquit, et **470** principes, et magnates non erunt. Non enim potentia delicate insolescent in omnes, nec vanum tollent supercilium, adeo sublimibus luxuriantes honoribus: sed detrudentur solio et principatu, et, quasi regno delapsi et imperio dejecti, abibunt in interitum simul cum aliis per illos pereuntibus. Facti sunt enim occasio exitii populo suæ manui commisso. Quod etiam docebit universorum Deus, inquiens: « Pastores multi corruperunt vineam meam, polluerunt partem meam [24]. » Dederunt partem meam desiderabilem in desertum invium. Redacta est ad interitum pessimum.

Καὶ ἀναφύσει εἰς τὰς πόλεις αὐτῶν ἀκάνθινα ξύλα, καὶ εἰς τὰ ὀχυρώματα αὐτῆς· καὶ ἔσται ἔπαυλις σειρήνων, καὶ αὐλὴ στρουθῶν. Καὶ συναντήσουσι δαιμόνια ὀνοκενταύροις, καὶ βοήσονται ἕτερος πρὸς τὸν ἕτερον· ἐκεῖ ἀναπαύσονται ὀνοκένταυροι. Εὗρον γὰρ αὐτοῖς ἀνάπαυσιν· ἐκεῖ ἐνόσσευσεν ἐχῖνος.

VERS. 13, 14. *Et renascentur in civitatibus eorum spinea ligna, et in munitionibus ejus: et erunt cubilia sirenum, et aula struthionum. Et occurrent dæmonia onocentauris, et clamabit alter ad alterum; illic requiescent onocentauri. Invenerunt enim sibi requiem; illic nidum construxit erinaceus.*

Πάλιν ἡμῖν ἑτέρῳ τρόπῳ τὰ ταῖς ἐρήμοις συμβαίνοντα πειρᾶται διατρανοῦν. Ἕως μὲν γὰρ πολυανδροῦσιν αἱ πόλεις, οὐδὲν αὐταῖς τῶν ἀγρίων ἐμ-

Rursum nobis alio modo quæ in solitudine contingunt, conatur declarare. Quandiu enim virorum multitudine refertæ sunt civitates, nulla ligna silve-

[24] Jer. XII, 10.

stria in eis nascuntur, et recedunt bestiæ quæ desertis gaudent. Ubi autem viris vacuæ sunt et incolis destitutæ, tunc veluti inculta quædam tellus invenietur, spinis plena, struthionum et sirenum maxime habitaculum. Sirenas autem dicit, volucres vocem lugubrem noctu edentes, et propemodum ululantes : quæ interdiu solitariæ sunt, et in desertis locis commorantur : imo in tenebris volant, exempli causa, noctua et similia. Cum dicit dæmonia et onocentauros sibi invicem occurrere, et clamare alterum ad alterum, summam veluti solitudinem civitatum subinnuit. Habitare enim dicuntur libenter in desertis locis etiam mali spiritus; libentissime etiam divertunt feræ, quæcunque abesse ab hominibus impendio cupiunt, et naturæ lege ad sævitiam instituuntur.

VERS. 15-17. *Et servavit terra filios ejus cum securitate : illic cervi occurrerunt, et viderunt facies inter se. Numero transierunt, et una ex eis non periit; altera alteram non quærebat, quia Dominus præcepit ipsis, et spiritus ejus congregavit ipsas. Et ipse* **471** *immittet eis sortes, et manus ejus divisit ipsis, ut pascerentur. In æternum tempus hæreditatem habebitis, in omnes ætates quiescent in ea.*

Cum dixerit regionem Judæorum in extremam solitudinem tradendam, et prorsus expertem esse supernæ et divinæ misericordiæ et dilectionis, rursum memorat eos qui servati in ea fuerunt. Isti esse possunt reliquiæ, nimirum fideles. Et de illis hic dicit: Servavit terra filios ejus cum securitate. Filii enim erant Judaicæ regionis, credentes Israelitæ, et securitatem et quasi turrim immotam auxilii invenientes, Dominum nostrum Jesum Christum. Ab his filiis qui servati sunt, cervi quodammodo nati sunt divini discipuli : comparantur, et meritissime, cervis. Est enim animal serpenticida, et aquarum fontes sæpe et libenter frequentat. Tales sunt omnes hi qui in sortem divinæ religionis assumpti sunt, ad evertendum intelligibilem draconem instructi et idonei, gloriam ejus subvertendo, et nequitiæ illius venenum infirmum et inefficax reddendo. Sed et in aquarum fontibus sub intelligentiam cadentibus velut lasciviunt, id est, spiritualium bonorum ministeriis, tantum non irrigantibus mentem, et fructuosam eam Deo efficientibus. Illic igitur, inquit, id est, in his qui servati sunt, occurrerunt sibi invicem cervæ, admiratæ sunt ipsæ sese. Hoc enim opinor significare illud : Viderunt facies suas inter se. Nulla periclitata est, nam id sibi vult, Transierunt numero, et una ex his non periit. Altera alteram non quæsivit. Quis igitur servavit? Dominus præcepit ipsis, et spiritus ejus congregavit ipsas. Elegit enim eas, et jussit docere omnes gentes, et baptizare in nomine Patris, et Filii, et Spiritus sancti [25]. Inji-

[25] Matth. XXVIII, 19.

A φύεται ξύλων· ἀποφοιτᾷ δὲ καὶ τὰ ταῖς ἐρήμοις χαίροντα τῶν θηρίων. Ἐπειδὰν δὲ κένανδροί τε γένοιντο, καὶ τῶν οἰκούντων ἐστερημέναι, τότε καὶ οἷά τις χέρσος εὑρεθήσεται γῆ, μεστὴ μὲν ἀκάνθης, ἐναύλισμα δὲ στρουθῶν, σειρήνων μάλιστα. Σειρῆνας δέ φησι τὰ ἐν νυκτὶ θρηνώδη φωνὴν ἱέντα τῶν πτηνῶν, καὶ μονονουχὶ κατολολύζοντα, ἃ μεθ' ἡμέραν μὲν ἠρεμεῖ, καὶ ταῖς ἐρήμοις τῶν χωρῶν ἐναυλίζεται· ποιεῖται δὲ μᾶλλον τὰς πτήσεις ἐν σκότῳ, οἷον ἡ γλαὺξ, καὶ τὰ ἐοικότα. Δαιμόνια δὲ καὶ ὀνοκενταύρους ἀλλήλοις συναντῶντας, καὶ μὴν καὶ βοῶντας, ἕτερος πρὸς τὸν ἕτερον λέγων, τὴν οἷον ἄκρατον ἐρημίαν τῶν πόλεων ὑπαινίττεται. Ἐμφιλοχωρεῖν γὰρ λέγονται τοῖς ἠρεμοῦσι τῶν τόπων καὶ πονηρὰ πνεύματα. Ἥδιστα δὲ καταλύει καὶ τῶν θηρίων ὅσα
B τῶν ἀνθρώπων τὸ ἀπεῖναι ποιεῖται περὶ πολλοῦ, καὶ φυσικοῖς εἰς τὸ ἀνήμερον παιδαγωγεῖται νόμοις.

Καὶ ἔσωσεν ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας· ἐκεῖ ἔλαφοι συνήντησαν, καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων. Ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν οὐκ ἀπώλετο· ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησεν, ὅτι Κύριος ἐνετείλατο αὐταῖς, καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς. Καὶ αὐτὸς ἐπιβαλεῖ αὐτοῖς κλήρους, καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισεν αὐτοῖς βόσκεσθαι· εἰς τὸν αἰῶνα χρόνον κληρονομήσατε, εἰς γενεὰς γενεῶν ἀναπαύσονται ἐπ' αὐτοῖς.

Εἰς ἐρημίαν ἐσχάτην παραδοθήσεσθαι λέγων τὴν τῶν Ἰουδαίων χώραν, καὶ ἀμοιρῆσαι παντελῶς τῆς ἄνωθεν, καὶ παρὰ Θεοῦ φειδοῦς· καὶ ἀγάπης δια-
C μέμνηται πάλιν τῶν ἐν αὐτῇ διασεσωσμένων. Εἶεν δ' ἂν οὗτοι τὸ κατάλειμμα, τοῦτ' ἔστιν, οἱ διὰ πίστεως. Καὶ περὶ αὐτῶν ἐνθάδε φησὶν, ὅτι Σέσωκεν ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας. Υἱοὶ γὰρ γεγόνασι τῆς Ἰουδαίων χώρας οἱ ἐξ Ἰσραὴλ πιστεύοντες ἀσφάλειάν τε καὶ οἱονεὶ πύργον ἀκατάσειστον εἰς ἐπικουρίαν εὑρόντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ἀπὸ δέ γε τῶν ἀνασεσωσμένων παιδίων, ἔλαφοι τρόπον τινὰ γεγόνασιν οἱ θεσπέσιοι μαθηταί. Παρεικάζονται δὲ ταῖς ἐλάφοις καὶ μάλα εἰκότως. Ὀφιοκτόνον γάρ ἐστι τὸ ζῶον, καὶ πηγαῖς ὑδάτων ἐμφιλοχωρεῖν εἰωθός. Τοιοῦτοι δὲ πάντες οἱ τῆς εἰς Θεὸν εὐσεβείας εἰς λῆξιν ἠρμένοι πρὸς ἀναίρεσιν τοῦ νοητοῦ δράκοντος ἐπιτηδείως ἔχοντες διὰ τοῦ καταστρέφειν τὴν δόξαν αὐτοῦ ἀδρανῆ τε καὶ ἄπρακτον
D τῆς ἐνούσης αὐτῷ δυστροπίας τὸν ἰὸν ἀποφαίνειν. Ἀλλὰ καὶ ταῖς νοηταῖς τῶν ὑδάτων ἐνσπαταλῶσι πηγαῖς, τοῦτ' ἔστι, ταῖς τῶν πνευματικῶν ἀγαθῶν χορηγίαις, μονονουχὶ καταρδούσαις τὸν νοῦν, εὔκαρπόν τε αὐτὸν ἀποφαινούσαις τῷ Θεῷ. Ἐκεῖ τοίνυν, φησὶ, τοῦτ' ἔστιν, ἐν τοῖς ἀνασεσωσμένοις συνήντησαν ἀλλήλαις ἔλαφοι. Τεθαυμάκασιν ἀλλήλας. Τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ, Εἶδον τὰ πρόσωπα ἀλλήλων. Κεκινδύνευκε δὲ οὐδεμία, τοῦτο γὰρ πάλιν τὸ, Παρῆλθον ἀριθμῷ, καὶ μία αὐτῶν οὐκ ἀπώλετο, ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν. Τίς οὖν ὁ σώσας; Κύριος ἐνετείλατο αὐταῖς, καὶ τὸ πνεῦμα αὐτοῦ

συνήγαγεν αὐτάς, καὶ προστέταχε μαθητεύειν πάντα τὰ ἔθνη· καὶ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἐπιβαλεῖ δὲ αὐτοῖς καὶ κλήρους, καὶ διεμέρισεν ἡ χεὶρ αὐτοῦ βόσκεσθαι εἰς τὸν αἰῶνα χρόνον. Ἐκνενέμηνται γὰρ τοῖς ἁγίοις ἀποστόλοις οἱά τινες κλῆροι παρ' οἷς ἕκαστον διακηρύξαι ἐχρῆν. Καὶ γοῦν τέθειται μὲν ὁ θεσπέσιος Πέτρος εἰς τὴν περιτομήν. Κεχρημάτικε δὲ τὸ Πνεῦμα λέγον· « Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν, καὶ τὸν Σαῦλον, εἰς τὸ ἔργον ὃ προσκέκληται αὐτούς· καὶ γεγόνασιν ἀπόστολοι τῶν ἐθνῶν. » Διεμέρισε τοίνυν αὐτοῖς ἡ χεὶρ αὐτοῦ κλήρους, ὥστε βόσκεσθαι εἰς τὸν αἰῶνα χρόνον. Ἐπειδὴ γὰρ ἐλάφων ἐποιήσατο μνήμην, τέθεικεν ἀναγκαίως τὸ, βόσκεσθαι· μόνον γὰρ οὐχὶ κατεβοσκήσαντο τὰς χώρας, B ἐντρυφῶντες τοῖς διὰ πίστεως καλουμένοις εἰς ἐπίγνωσιν ἀληθείας, καὶ κλῆρος οὗτος αὐτοῖς. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τοῖς δι' αὐτοῦ σεσωσμένοις προσεφώνει, λέγων· « Χαρὰ καὶ στέφανός μου. » Ὅτι δὲ ἀτελεύτητον αὐτοῖς φυλαχθήσεται παρὰ Θεῷ τὸ ἐπὶ τούτοις αὔχημα, διατρανοῖ λέγων τὸ, Ἀναπαύσονται ἐπ' αὐτῆς. Ἐπ' αὐτῆς δὲ τίνος; Ἢ δηλονότι τῆς ἐκνεμηθείσης αὐτοῖς κληρονομίας παρὰ Θεοῦ. Διαμνημονεῦσαι δὲ χρὴ καὶ τοῦ μακαρίου ψάλλοντος Δαβὶδ περὶ αὐτῶν, ὅτι « Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους καὶ ἀποκαλύψει δρυμούς. » Δρυμοὶ γὰρ ὥσπερ νοηταῖς ἐλάφοις ἀνεδείχθησαν παρὰ Θεοῦ, τῶν ἐθνῶν ἡ ἀριθμοῦ κρείττων πληθὺς, ἣν κατενεμήθησαν νοητῶς ταῖς τῶν πιστευόντων ἐνσπαταλῶντες ἐπιεικείαις.

A ciet eis sortes, et distribuit manus ejus, ut pascerentur in æternum tempus. Divisæ sunt namque sanctis apostolis velut quædam sortes, quibus unumquemque prædicare oportuit. Præpositus scilicet est divinus Petrus circumcisioni. Vaticinatusque est Spiritus dicens : « Segregate mihi Barnabam et Paulum, ad opus, ad quod vocavi eos, et erunt apostoli gentium [25*]. » Divisit igitur illis manus ejus sortes, ut pascerentur in æternum tempus. Quoniam **472** enim cervorum fecit mentionem, necessario posuit, pasci; nam regiones modo non pascebant, oblectantes se in his qui per fidem vocati sunt ad agnitionem veritatis, et sors hæc illis. Quippe divinus Paulus alloquitur eos qui per ipsum vocati sunt, inquiens : « Gaudium et corona mea [26]. » Sine fine B autem servandam ipsis a Deo hanc de illis gloriationem, exponit, dicens : Requiescent in ea. In qua? Scilicet in hæreditate sibi distributa a Deo. Nec prætereundum est, quod beatus David de illis psallit : « Vox Domini præparantis cervos, et revelabit silvas [26*]. » Silvæ enim intelligibilibus cervis monstratæ sunt a Deo, innumerabilis gentium multitudo: quam possidebant intelligibiliter, in probitate credentium acquiescentes, et quasi deliciantes.

Εὐφράνθητι, ἔρημος διψῶσα· ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον. Ἐξανθήσει καὶ C *ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου· καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ ἡμῶν.*

Ἔρημον καὶ στεῖραν ἀποκαλεῖν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, ἥ ποτε μὲν ἐν τούτοις ἦν, οὔτε τὸν ἐξ οὐρανοῦ νοητὸν ἔχουσα νυμφίον, φημὶ δὴ Χριστὸν, ἀλλὰ καὶ ἐν ἐνδείᾳ τυγχάνουσα παντὸς ἀγαθοῦ, καὶ οἷον ἀκάνθης οὖσα τροφὸς δίψης τε καὶ ἄνυδρος. Ἐπειδὴ δὲ γέγονεν ἐν αὐτῇ Χριστός· (προσελήφθη γὰρ διὰ τῆς πίστεως καὶ τὸ θεῖον παρ' αὐτοῦ πεπλούτηκε νάμα· πηγὴ γάρ ἐστι ζωῆς, καὶ χειμάῤῥους τρυφῆς· καὶ αὐτὸς ἦν ὁ λέγων δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἰδοὺ ἐγὼ D ἐκκλίνω ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν· ») στεῖρα μὲν οὐκέτι καὶ ἔρημος· πολύπαις δὲ μᾶλλον καὶ ὑπὸ νυμφίῳ, καὶ εὐανθὴς νοητῶς. Ἡ πάλαι τοίνυν διψῶσα κατευφραινέσθω, φησίν· ἐξανθείτω δὲ καὶ ὡς κρίνον ὁμοῦ καὶ τὸ ἀνθηρὸν, καὶ τὸ εὐῶδες ἔχουσα. Χριστοῦ γὰρ γέγονεν ὀσμὴ, καὶ πιστώσεται γράφων ὁ Παῦλος, ὅτι « Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ. » Τὰ δέ γε ἔρημα τοῦ Ἰορδάνου, τὴν περὶ αὐτὸν ἔρημόν φησιν. Οὐ γὰρ τοῖς ἀπειθήσασιν ἐξ Ἰσραὴλ, ἀλλ' ἡμῖν τοῖς ἐξ ἐθνῶν, ἢ καὶ τοῖς ἐξ αὐτῶν πιστεύσασι, τὸ τοῦ Ἰορδάνου δέδοται νάμα, καὶ παρ' ἡμῖν ἐστι· βαπτιζόμεθα γὰρ ἐν αὐτῷ, καὶ ἡμῶν, ὡς ἔφην, γέγονεν ἡ ἁγία πηγή. Ταύτῃ τοίνυν ἐν τῇ ἐρήμῳ, φησὶ, τῇ ποτὲ μὲν

Cap. XXXV. Vers. 1, 2. *Lætare, desertum sitiens, exsultet solitudo, et floreat ut lilium. Efflorescent et exsultabunt solitudines Jordanis, et gloria Libani data est ei, et honor Carmeli. Et populus meus videbit gloriam Domini, et altitudinem Dei nostri.*

Desertam et sterilem appellare solet divino Spiritu tradita Scriptura gentium Ecclesiam, quæ olim in illis erat : non habens e cœlo intelligibilem sponsum, Christum, inquam, sed inopia laborans bonorum omnium, et quasi nutrix spinarum, siticulosa et aquis carens. At ubi in ea esset Christus (assumptus enim est per fidem, et divino ejus rivulo ditata est : fons enim est vitæ, et torrens deliciarum, dixitque ipse apud quemdam e sanctis prophetis : « Ecce ego inclino in eos, velut fluvium pacis, et velut torrentem inundantem gloriam gentium [27] »), ultra sterilis non erat, nec desertum : imo fecunda, et sub sponso, et florida intelligibiliter. Quæ olim igitur sitiens erat, lætetur, inquit, et efflorescat quasi lilium, tum floridum, tum odoratum. Christi enim odor fuit. Quod confirmabit Paulus scribens. « Christi bonus odor sumus Deo [28]. » Deserta Jordanis, dicit circum ipsum solitudinem. Non enim rebellibus Israelitis, sed nobis gentibus, et inter eas credentibus, Jordanis rivulus datus est, et apud nos est ; nam in eo baptizamur, et, ut dixi, noster est sanctus fons. Hinc **473** itaque, ait, in solitudine quondam siticulosa, nunc autem celebrem Jordanem sortita, gloria Libani data est ei, et honor Carmeli.

[25*] Act. XIII, 2. [26] Philipp. IV, 1. [26*] Psal. XXVIII, 9. [27] Isa. LXVI, 12. [28] II Cor. II, 15.

Libanus et Carmelus dicitur sæpe Jerusalem, et ipsum Dei templum. Verum gloria digna sancta civitate, et divino templo, data est gentium Ecclesiæ: et in ea vidimus gloriam Domini, et altitudinem Dei. Nam Judæi tanquam nudo homini et præ aliis nihil egregium habenti, adducti sunt Domino: nos autem altitudinem gloriæ ipsius vidimus. Deum enim scimus ipsum, propter nos ex dispensatione et providentia factum hominem, itaque Deum.

A διψώσῃ, λαχούσῃ δὲ νῦν τὸν διαβόητον Ἰορδάνην, ἡ δόξα δέδοται τοῦ Λιβάνου, καὶ ἡ τιμὴ τοῦ Καρμήλου. Λίβανος δὲ καὶ Κάρμηλος εἴρηται πλειστάκις ἡ Ἱερουσαλὴμ, καὶ αὐτὸς ὁ θεῖος νεώς. Ἀλλ' ἡ πάλαι πρέπουσα δόξα τῇ τε ἁγίᾳ πόλει καὶ τῷ θείῳ νεῷ, δέδοται τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ, καὶ ἐν αὐτῇ τεθεάμεθα τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ. Ἰουδαῖοι μὲν ὡς ἀνθρώπῳ ψιλῷ, καὶ οὐδὲν ἔχοντι παρὰ τοὺς ἄλλους τὸ πλέον προσεφέροντο τῷ Κυρίῳ· ἡμεῖς δὲ τὸ ὕψος τῆς δόξης αὐτοῦ τεθεάμεθα. Θεὸν γὰρ ἴσμεν αὐτὸν, οἰκονομικῶς δι' ἡμᾶς ἐνηνθρωπηκότα, καὶ οὕτως Θεόν.

Vers. 3-6. *Corroboramini, manus remissæ, et genua labantia. Consolamini, o pusillanimes; corroboramini, ne timeatis. Ecce Deus noster judicium retribuit et retribuet: ipse veniet, et servabit nos. Tunc aperientur oculi cæcorum, et aures surdorum audient. Tunc saltabit sicut cervus claudus, et expedita erit lingua balborum.*

Digna est mystagogia, et spiritualis consolatio his qui ex gentibus ad agnitionem Christi vocati sunt: Corroboramini, manus remissæ, et genua labantia. Nam errantibus adhuc manus sunt pigræ, et genua soluta. Nec semper hæc dicit de corporis partibus, sed mente et intelligentia infirmos inveniemus qui decipiuntur, et in erroribus versantur. Nec enim ullum pietatis officium apud eos invenire est, nec firmitatem genuum, seu mentis puram viam in justitia gradientis. Sed robusti estote, inquit, ut ad Deum possitis currere. Vos autem qui veluti ordinati estis ad ministerium divinæ prædicationis, consolamini infirmos, dicite sapienter his qui parvo animo præditi sunt: Roboramini, ne timete. Non enim robusta mens est Deum nescientibus; timent enim velut impressiones afflictionum, et Satanam olim contra ipsos tyrannidem occupantem, et porro, mortem. At ecce, inquit, Deus, id est, non multo post Servator, qui retribuet judicium. Condemnabit enim principem sæculi hujus, et liberabit a servitute eos qui sub illo oppressi sunt. Veniet enim, veniet, et servabit nos. Quid tum? Veniet tunc his qui super terram sunt. Aperientur oculi cæcorum: nam qui olim creaturæ supra Creatorem servierunt, ipsam creaturam, quæ olim seduxit, **474** tanquam ducem quamdam facient, pulchre ad agnitionem Opificis adducentem. Ex pulchritudine enim opificii, analogice architectator eorum conspicitur: et, ut Paulus ait, « Invisibilia ejus, a creatione mundi, per ea quæ facta sunt, intellecta conspiciuntur, æterna ejus virtus, et divinitas [25]. » Aperientur igitur, inquit, oculi olim cæcorum, aures surdorum audient. Nam qui quondam, divinis sermonibus rejectis, mysticam sanctorum etiam institutionem recipere non studuerunt, libenter eam admittent. Saltabit etiam tanquam cervus claudus, et diserta erit lingua balborum. Siquidem qui olim recto pede nescierunt insistere, sed veluti remissa mente fuerunt, cervorum in morem, inquit, exsilient, id est,

Ἰσχύσατε, χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. Παρακαλέσατε τοὺς ὀλιγοψύχους τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε. Ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει. Αὐτὸς ἥξει καὶ B *σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων.*

Πρέπουσα μυσταγωγία, καὶ παράκλησις πνευματικὴ τοῖς ἐξ ἐθνῶν καλουμένοις εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ, τὸ, Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. Τοῖς μὲν γὰρ ἔτι πλανωμένοις, αἱ χεῖρες ἀργαὶ, παραλελυμένα δὲ καὶ τὰ γόνατα. Καὶ οὐχὶ δὴ πάντως περὶ τῶν τοῦ σώματος μορίων τὰ τοιαῦτά φησιν, ἀῤῥωστοῦντας δὲ νοητῶς εὑρήσομεν, τοὺς ἐν ἀπάταις καὶ πλάναις. Οὔτε γὰρ ἔργον εὐσεβείας παρ' αὐτοῖς ἔστιν εὑρεῖν, οὔτε ἰσχὺν γονάτων, ἤγουν διανοίας, τὴν εὐαγῆ τῆς δικαιοσύνης διαπορευομένοις ὁδόν. Ἀλλ' ἰσχύσατε, φησὶν, ἵνα καὶ δραμεῖν δύνωνται πρὸς Θεόν. C Ὑμεῖς δὲ ὡς τεταγμένοι πρὸς ἱερουργίαν τοῦ θείου κηρύγματος παρακαλέσατε τοὺς ἠσθενηκότας, λέγετε σαφῶς τοῖς ὀλιγοψύχοις· Ἰσχύσατε, μὴ φοβεῖσθε. Οὐ γὰρ εὔρωστος ὁ νοῦς τοῖς οὐκ εἰδόσι τὸν Θεόν· δεδίασι γὰρ ὥσπερ τὰς τῶν παθῶν ἐφόδους, καὶ τὸν πάλαι κατ' αὐτῶν τυραννήσαντα Σατανᾶν, καὶ πρός γε τούτῳ τὸν θάνατον. Ἀλλ' ἰδοὺ, φησὶν, ὁ Θεὸς, τοῦτ' ἔστιν, οὐ μακρὰν ὁ Σωτὴρ, ὃς ἀνταποδώσει κρίσιν. Κατακρινεῖ γὰρ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, καὶ ἀπαλλάξει τῆς ὑπ' αὐτῷ δουλείας τοὺς βεβιασμένους. Ἥξει γὰρ, ἥξει καὶ σώσει ἡμᾶς. Τί οὖν; Ἥξει τότε τοῖς ἐπὶ τῆς γῆς, ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν. Οἱ γὰρ πάλαι τῇ κτίσει παρὰ τὸν Κτίστην λατρεύοντες, αὐτὴν τήν ποτε πλανήσασαν κτίσιν, χειραγωγὸν ὥσπερ τινὰ D ποιήσονται, καλῶς ἀποφέρουσαν πρὸς ἐπίγνωσιν τοῦ Δημιουργοῦ. Ἀπὸ γὰρ καλλονῆς κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται· καὶ ὥς φησιν ὁ Παῦλος, « Τὰ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. » Ἀνοιχθήσονται τοίνυν οἱ ὀφθαλμοὶ τῶν πάλαι τυφλῶν, ἀκούσονται τὰ ὦτα τῶν κωφῶν. Οἱ γὰρ πάλαι τοὺς περὶ Θεοῦ λόγους ἀποσειόμενοι, καὶ ἀπαράδεκτον ποιεῖσθαι σπουδάζοντες τὴν τῶν ἁγίων μυσταγωγίαν, ἀσμένως αὐτὴν παραδέξονται. Ἁλεῖται δὲ καὶ ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται ἡ γλῶσσα μογιλάλων. Οἱ γάρ τοι πάλαι, φησὶν, ὀρθοποδεῖν οὐκ εἰδότες, ἀλλ' οἱονεὶ παρειμέ-

[25] Rom. I, 20.

νον ἔχοντες, τὸν νοῦν ἐλάφων δίκην ἀναπηδήσουσι, τοῦτ' ἔστιν, εὔδρομοί τε καὶ εὐκλεεῖς ἔσονται· νοητῶς δηλονότι, καὶ πρός γε τούτῳ καὶ ὀφιοκτόνοι, καὶ εἰδότες εὐστομεῖν. Λαλήσουσι γὰρ τὰ τοῦ Θεοῦ μᾶλλον, οὐκέτι λέγοντες τῷ ξύλῳ· «Πατήρ μου εἶ σύ· καὶ τῷ λίθῳ· Σὺ ἐγέννησάς με.» Ἰστέον δὲ ὅτι καὶ σωματικῶς ταῦτα πεπλήρωκεν ὁ Χριστὸς ταῖς ἀποῤῥήτοις θεοσημείαις καταπλήττων τὴν Ἰουδαίαν.

A cursu agiles, et cruribus firmi erunt: nimirum intelligibiliter, et porro serpentum interfectores, et bene dicendi periti. Loquentur enim divina, non amplius dicentes ligno: «Pater meus es tu; et lapidi: Tu genuisti me[38].» Sciendum vero hæc etiam corporaliter Christum implevisse, ineffabilibus miraculis perterrentem Judæam.

Ὅτι ἐῤῥάγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν τῇ διψώσῃ. Καὶ ἡ ἄνυδρος ἔσται εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν, πηγὴ ὕδατος· ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, ἔπαυλις καλάμου, καὶ ἕλη.

Εὐφρανθῆναι προστέταχε τὴν διψῶσαν ἔρημον· εἶτα προσεπάγει τὴν τῆς εὐφροσύνης αἰτίαν εὐθύς. Ἐῤῥάγη γὰρ ὕδωρ ἐν αὐτῇ, φησί. Καὶ τὸ, ἐῤῥάγη, καλῶς, ἵνα τὸ ἀμφιλαφὲς τῆς χορηγίας διὰ τούτου σημαίνηται. Φάραγγα δέ φησιν, ἀντὶ τοῦ ποταμοῦ· οὗ δὴ γεγονότος ἡ ἄνυδρός ποτε στραφήσεται λοιπὸν εἰς ἕλη. Ἕξει δὲ καὶ ὕδατος πηγήν, ἢ τὸν ἅγιον Ἰορδάνην, ἤγουν καὶ αὐτὸν τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· πηγὴ γάρ ἐστι ζωῆς, καὶ φρέαρ ὕδατος ζῶντος. Ἐπ' αὐτῶν γέγονεν ἡ τῶν ὀρνέων συνδρομή τε καὶ εὐφροσύνη. Ὄρνεα δέ φησιν ἐν τούτοις, τοὺς τῶν ἐπιγείων ἀναπτάντας πραγμάτων, καὶ ὑψοῦ γεγονότας διὰ τὴν ἀρετήν, τὰ ἄνω τε φρονεῖν ἑλομένους· οὗτοι χαίρουσιν ὡς ἐπὶ πηγῇ τῷ Χριστῷ, τῷ ποιήσαντι τὴν ἔρημον ἔπαυλιν καλάμου, καὶ ἕλη. Τὰ μὲν γὰρ εὔδενδρα τῶν χωρίων ἀεί πως τοῖς ἕλεσι στεφανοῦσθαι φιλεῖ. Ἡ δὲ ἐξ ἐθνῶν Ἐκκλησία τὸ ἐξ οὐρανοῦ πλουτήσασα νάμα, καὶ τοῖς θείοις καταρδομένη χαρίσμασι, καὶ ταῖς τῶν ἁγίων διδασκαλίαις ἐνσπαταλήσασα, τροφός ἐστιν ἑλῶν, καὶ καλάμου, τοῦτ' ἔστι τῶν ἐν Χριστῷ τεθηλότων εἰς ζωὴν ἀμύρητον δι' ἁγιασμοῦ.

VERS. 7. *Quia rupta est in deserto aqua, et vallis in terra sitiente. Vertetur terra sine aquis in paludes, et in siticulosa terra erit fons aquæ; illic erit lætitia avium, caula arundinis, et paludes.*

Lætari jussit siticulosam solitudinem: dein mox lætitiæ causam subnectit. Rupta enim est, inquit, in ea aqua. Et bene quidem, rupta est, ut maxima vis B subministrationis inde significetur. Vallem dicit pro fluvio: quo facto, locus sine aquis deinde in paludes vertetur. Habebit etiam aquæ fontem, vel sanctum Jordanem, vel etiam ipsum universorum Servatorem Christum: fons enim est vitæ, et aquæ vivæ puteus. In illis factus est avium concursus, et lætitia. Aves hic dicit eos qui ultra res terrenas evolant, et qui alti sunt propter virtutem, et quæ supra sunt sapiunt: hi gaudent Christo tanquam fonte, qui effecit desertum, caulam arundinis, et paludes. Semper namque aquosa loca paludibus quasi ornari solent. Et Ecclesia gentium, cœlesti rivo ditata, et divinis charismatis rigata, et doctrina sanctorum affluens et quasi luxurians, nutrix est paludum et arundinum, id est, in Christo **475** florentium ad vitam C æternam per sanctificationem.

Ἐκεῖ ἔσται ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται, καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος· οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐπ' αὐτῆς, καὶ οὐ μὴ πλανηθῶσι. Καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδέ τι τῶν θηρίων τῶν πονηρῶν οὐ μὴ ἀναβῇ ἐπ' αὐτήν, οὐδ' οὐ μὴ εὑρεθῇ ἐκεῖ, ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι διὰ Κύριον, καὶ συνηγμένοι ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτούς, ἀπέδρα ὀδύνη καὶ στεναγμὸς καὶ λύπη.

Ὁδὸν ὀνομάζει καθαρὰν τῆς εὐαγγελικῆς πολιτείας τὴν δύναμιν, ἤγουν καὶ ἑτέρως τὴν διὰ τοῦ Πνεύματος κάθαρσιν. Ἀποσμήχει γὰρ τὴν ἐντετηγμένην ταῖς τῶν ἀνθρώπων ψυχαῖς κηλῖδα, καὶ ἀπαλλάττει πλημμελημάτων, καὶ ῥύπου παντὸς ἀποφαίνει κρείττονας. Ὁδὸς οὖν ἁγία καὶ καθαρὰ καὶ μᾶλλον ὀρθῶς ὠνόμασται, ἀνέμβατος δὲ τοῖς οὔπω κεκαθαρμένοις. Πολιτεύεται γὰρ οὐδεὶς εὐαγγελικῶς μὴ οὐχὶ πρότερον τὸν διὰ τοῦ ἁγίου βαπτίσματος καταπλουτήσας κάθαρσιν· οὐδεὶς οὖν ἄρα τῶν ἀπίστων. Οὗτοι γὰρ οἱ ἀκάθαρτοι βαδιοῦνται, φησίν, ἐν αὐτῇ. Πορεύσονται δὲ μᾶλλον οἱ διεσπαρμένοι, τοῦτ' ἔστιν, οὓς

VERS. 8-10. *Illic erit via pura, et via sancta vocabitur, et non transibit illic immundus: neque erit illic via immunda; at dispersi ambulabunt in ea, et non errabunt. Et non erit illic leo, neque ulla mala bestia ascendet ad eam, neque invenietur illic: sed ambulabunt in ea redempti per Dominum, et congregati convertentur, et venient in Sion cum lætitia, et lætitia perpetua super caput eorum. Nam in capite eorum laus et exsultatio, et lætitia apprehendet eos; fugit dolor, et tristitia, et gemitus.*

D Viam puram vocat evangelicæ conversationis virtutem, vel aliter, purificationem per Spiritum. Detergit enim maculam animis hominum impressam, et a delictis absolvit, et efficit ne ullis commaculemur sordibus. Via ergo sancta et pura, et quidem recte dicta est, sed his qui nondum emundati sunt, inaccessa. Versatur enim nemo evangelice, qui prius ditatus non est purgatione per sacrum baptisma; nec igitur quisquam infidelium. Nam hi qui impuri sunt, vadent, inquit, in ea. Sed ambulabunt dispersi, id est, quos sparsit Satanas: innuit vero gentes; nec errabunt. Olim siquidem errabant,

[38] Jer. II, 27.

lignis et lapidibus servientes, et obliquis viis insistentes. Nunc autem discent rectam viam et puram, ad sanctam vitam adducentem. Quod autem a vi diabolica liberi, hanc gloriosam vitam transacturi sint, candide et perspicue tradit, inquiens : Nec leo, nec alia quæpiam mala bestia, illic erit, id est, in via pura. Olim enim tanquam sæva fera, cum impiis spiritibus insultavit terræ incolis inventor peccati : sed per Christum fractus est, et a grege credentium abactus est, et a Christo ejectus est hac contra eos tyrannide. In hac ergo via pura per Christum redempti, et congregati per fidem, in unam animorum consensionem coibunt, et, via veteri omissa, convertentur, et venient in Sion, id est, Ecclesiam, habentes et in terra et in cœlo jugem lætitiam. Laudibus igitur vehent Deum qui servavit. **476** Et exsultatio, et lætitia, et omne genus voluptatis in Christo capiet eos, nec ullum prorsus gustabunt dolorem aut gemitum. Nam qui vocati sunt ad spem adeo amplam, qui æternæ vitæ hæredes futuri sunt, et gloriæ supernæ decoribus locupletandi sunt, qui exspectant ut cum ipso Christo simul regnent, quem illi dolorem percipient? aut quem accipient gemitum? cum universorum Deus malas bestias perditurus sit et vastaturus. Imo gaudebunt potius, ut qui futuri sunt omnium bonorum omnino omnibusque modis consortes.

A ἐσκόρπισεν ὁ Σατανᾶς, δηλοῖ δὲ τὰ ἔθνη, καὶ οὐ μὴ πλανηθῶσι. Πάλαι μὲν γὰρ πεπλάνηνται ξύλοις τε καὶ λίθοις λελατρευκότες, καὶ σκολιὰς ἰόντες ὁδούς. Νῦν δὲ μαθήσονται τὴν εὐθεῖαν καὶ καθαρὰν τὴν πρὸς ἁγίαν ζωὴν ἀποφέρουσαν τρίβον. Ὅτι δὲ καὶ τῆς τοῦ διαβόλου πλεονεξίας ἐλεύθεροι γεγονότες τὸν οὕτως εὐκλεᾶ διαζήσονται βίον, διαλευκαίνει λέγων, ὡς Οὔτε λέων, οὔτε μὴν ἕτερόν τι τῶν πονηρῶν θηρίων ἐκεῖ ἔσται, τοῦτ' ἔστιν, ἐν τῇ ὁδῷ τῇ καθαρᾷ. Πάλαι μὲν γὰρ οἷά τις ἄγριος θὴρ ὁμοῦ τοῖς ἀνοσίοις πνεύμασιν ἐπεπήδα τοῖς ἐπὶ γῆς ὁ τῆς ἁμαρτίας εὑρετής· ἀλλ' ἠσθένησεν ἐν Χριστῷ, ἀπελήλαται δὲ τῆς τῶν πιστευσάντων ἀγέλης, καὶ τῆς κατ' αὐτῶν πλεονεξίας ἐξεσοβήθη παρὰ Χριστοῦ. Ἐν ταύτῃ τοιγαροῦν τῇ ὁδῷ τῇ καθαρᾷ οἱ διὰ Χριστοῦ λελυτρωμένοι, καὶ B συναχθέντες διὰ τῆς πίστεως εἰς ὁμοψυχίαν βαδιοῦνται, καὶ τὴν πάλαι τρίβον ἀφέντες ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν, τοῦτ' ἔστιν, τὴν Ἐκκλησίαν, τὴν δὲ ἐπὶ γῆς, καὶ ἐν οὐρανοῖς εὐφροσύνην ἔχοντες τὴν ἀμύρητον. Δοξολογήσουσι γὰρ τὸν διασώσαντα Θεόν. Ἀγαλλίαμα δὲ καὶ εὐφροσύνη, καὶ πᾶν εἶδος τῆς ἐν Χριστῷ θυμηδίας, καταλήψεται αὐτοὺς, καὶ ἄγευστοι παντελῶς λύπης ἔσονται, καὶ στεναγμοῦ. Οἱ γὰρ ἐπ' ἐλπίσι ταῖς οὕτω λαμπραῖς κεκλημένοι, οἱ τῆς εἰς αἰῶνα ζωῆς ἐσόμενοι κληρονόμοι, καὶ δόξης τῆς ἄνωθεν καταπλουτεῖν μέλλοντες τὰ αὐχήματα, καὶ αὐτῷ δὲ προσδοκῶντες συμβουλεῦσαι Χριστῷ, ποίας ἔσονται λύπης μέτοχοι; ἢ ποῖον εἰσδέξονται στεναγμόν; τὸν τῶν ὅλων Θεὸν τὰ πονηρὰ τῶν θηρίων καταναμηθήσονται καὶ καταλύσουσιν. Ἡσθήσονται γὰρ μᾶλλον ὡς ἐν παντὶ πάντῃ τε καὶ πάντως ἐσόμενοι καλῷ.

C

TOMUS IV.

CAP. XXXVI. VERS. 1, 2. *Factum est autem, in quartodecimo anno, regnante Ezechia, ascendit Senacherim rex Assyriorum ad civitates Judææ munitas, et cepit eas. Et misit rex Assyriorum Rabsacen ex Lachis, in Jerusalem, ad regem Ezechiam cum copiis multis, stetitque in aquæductu piscinæ superioris, in via agri fullonis.*

Nota est omnibus studiosis historia; paucis tamen verbis, ut potero, expediam. Regnante Achazo Hierosolymis, cum deinde Phacee filius Romeliæ, et Rhaasson rex Syriæ, obsidione Judæam premerent, ipsisque Hierosolymis manus injicere cogitarent, nec ad resistendum satis validus esset; hic quem commemoravi, legatis missis, Theglatphalasarum Assyriorum regem in subsidium vocavit, multisque muneribus ei persuasit ut suppetias ipsi ferret, et regum contra se conspirantium, Samariæ, inquam, et Syriæ, vim reprimeret [29]. Quo quidem facto, perierunt qui cum eo bellarunt. Cepit enim Damascum et Syriam Assyrius, et redactus est in manum ac potestatem ejus, et coactus ad tributum vectigaliaque pendenda deinceps Achazus. Erat autem is flagitiosissimus, quippe idolorum cultor et Dei osor,

ΤΟΜΟΣ Δ'.

Καὶ ἐγένετο τοῦ τεσσαρεσκαιδεκάτου ἔτους βασιλεύοντος Ἐζεχίου, ἀνέβη Σενναχειρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυρὰς, καὶ ἔλαβεν αὐτάς. Καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων Ῥαψάκην ἐκ Λαχῆς εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα Ἐζεκίαν, μετὰ δυνάμεως πολλῆς, καὶ ἔστη ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω, ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως.

Ἐναργὴς μὲν ἅπασι τοῖς φιλομαθεστέροις τῆς ἱστορίας ὁ λόγος· ἐρῶ δ' οὖν ὅμως βραχυλογήσας ὡς ἔνι. Βασιλεύοντος τοῦ Ἄχαζ ἐν τοῖς Ἱεροσολύμοις, εἶτα Φακεὲ τοῦ Ῥωμελίου, καὶ τοῦ Ῥαασσὼν D τοῦ βασιλέως Συρίας ἐκπολιορκούντων τὴν Ἰουδαίαν, καὶ αὐτοῖς δὲ τοῖς Ἱεροσολύμοις ἐπαφεῖναι τὴν χεῖρα βουλευσαμένων, ἀτονήσας πρὸς ἀντίστασιν ὁ μνημονευθεὶς, πρεσβείαν ἐστέλλετο, καὶ δὴ καὶ ἐκάλει πρὸς ἐπικουρίαν τὸν Θεγλαφαλλασὰρ Ἀσσυρίων βασιλέα, καὶ δώροις αὐτὸν ἀναπείθει πολλοῖς ἐπαμῦναί τέ οἱ, καὶ τὰς τῶν ἐπ' αὐτὸν συμπεφωνηκότων βασιλέων, τοῦ τε τῆς Σαμαρείας φημὶ, καὶ τοῦ τῆς Συρίας ἀνακόψαι πλεονεξίας. Οὗ δὴ γεγονότος, διολώλασι μὲν οἱ πολεμοῦντες αὐτῷ. Εἷλε γὰρ τήν τε Δαμασκὸν, καὶ τὴν Συρίαν ὁ Ἀσσύριος, γέγονε δὲ ὑπὸ χεῖρα τὴν αὐτοῦ, καὶ ὑπὸ δασμὸν καὶ τέλη λοιπὸν ὁ

[29] IV Reg. XVI, 5 seqq.

Ἄχαζ. Ἦν δὲ τῶν ὅτι μάλιστα φαυλοτάτων. Εἰδωλολάτρης τε γὰρ καὶ θεομισὴς καὶ τοὺς ἄλλους τάχα που νενικηκὼς ἅπαντας ταῖς κατὰ τοῦ Θεοῦ δυστροπίαις. Καταλύσαντος δὲ τὸν ἀνθρώπινον βίον τοῦ Ἄχαζ, βεβασίλευκεν ἀντ' αὐτοῦ Ἐζεχίας, υἱὸς μὲν ὢν αὐτοῦ, πλὴν ἀνὴρ θεοφιλὴς, καὶ τῆς ἀνωτάτω δικαιοσύνης καὶ εὐσεβείας ἀνημμένος τὰ αὐχήματα. Οὗτος ἠθέτησεν, φησὶ, ἐν τῷ βασιλεῖ Ἀσσυρίων. Οὐ γὰρ ἠνέσχετο τὴν ἑαυτοῦ βασιλείαν ὑπὸ δασμοὺς ἐᾶσαι γενέσθαι, καθάπερ ἀμέλει καὶ Ἄχαζ. Ταύτης ἕνεκα τῆς αἰτίας ὁ Σεναχειρεὶμ ὁ τῶν Ἀσσυρίων βασιλεὺς, ὡς ὀφείλων ἔχειν ὑπὸ δασμοὺς τήν τε Ἰουδαίαν ἅπασαν, καὶ αὐτήν τε τὴν παρ' αὐτοῖς βασιλείαν, ἀνεκαίετο μὲν εἰς ὀργὰς, καταδῃώσας δὲ τὴν Σαμάρειαν καὶ ταῖς κατὰ τὴν Ἰουδαίαν πόλεσιν ἐπηφίει τὴν στρατιὰν, ἑλὼν δὲ πολλὰς, ἐπ' αὐτὰ λοιπὸν τὰ Ἱεροσόλυμα πέμπει τὸν Ῥαψάκην, οὐχ ὅπλα τέως κινήσοντα πολέμου νόμῳ, ἀπειλαῖς δὲ μᾶλλον, καὶ ὑποσχέσεσι ταῖς εἰς ἡμερότητα δελεάσοντα τὸ δημοτικόν.

A et cæteros omnes perversitate contra Deum superavit. **477** Cum migrasset ex humana vita Achazus, in regnum ejus successit Ezechias, hujus quidem filius, vir tamen Dei amans, et summæ justitiæ pietatisque gloriam adeptus. Hic, inquit, in regem Assyriorum prævaricatus est: nec enim sustinuit regnum suum tributarium esse, sicuti certe Achazus [30]. Hac de causa, Senacherim, rex Assyriorum, quasi debuisset habere totam Judæam vectigalem, regnumque ipsorum, ira incensus est, Samariaque devastata, etiam contra Judææ civitates duxit exercitum: captisque multis, ad ipsam demum Hierosolymam mittit Rabsacen: non ut arma tum lege belli moveret, sed ut vulgus et minis et pollicitationibus blandis inescaret.

Καὶ ἐξῆλθε πρὸς αὐτὸν Ἐλιακεὶμ ὁ τοῦ Χελκίου ὁ οἰκονόμος, καὶ Σομνὰς ὁ γραμματεὺς, καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑπομνηματογράφος. Καὶ εἶπεν αὐτοῖς Ῥαψάκης· Εἴπατε Ἐζεχίᾳ· Τάδε λέγει ὁ βασιλεὺς, ὁ μέγας βασιλεὺς Ἀσσυρίων· Μὴ ἐν βουλῇ ἢ λόγοις χειλέων παράταξις γίνεται; Καὶ νῦν ἐπὶ τίνι πέποιθας, ὅτι ἀπειθεῖς μοι; Ἰδοὺ πεποιθὼς εἶ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην, τὴν κεκλασμένην ταύτην ἐπ' Αἴγυπτον, ὃς ἂν ἐπ' αὐτὴν ἐπιστηριχθῇ, εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ. Οὗτός ἐστι Φαραὼ βασιλεὺς Αἰγύπτου, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

B VERS. 3-6. *Et exivit ad eum Eliacim filius Cheleiæ, œconomus, et Somnas scriba, et Joach filius Asaph qui erat a commentariis, dixitque illis Rabsaces. Dicite Ezechiæ: Hæc dicit rex, magnus rex Assyriorum: Non consilio neque sermonibus labiorum fit prælium. Nunc vero cui confidis, quod mihi non obtemperas? Ecce confisus es virgæ arundineæ, confractæ isti Ægypto; qui ei innixus fuerit, penetrabit manum ejus, et perforabit. Sic est Pharao, rex Ægypti, et omnes qui ei confidunt.*

Κεκλεισμένων δηλονότι τῶν πυλῶν, καὶ τοῖς τείχεσιν ἐφεστηκότος δήμου πάντως που τοῦ μαχιμωτάτου, τὴν τῶν πρεσβειῶν ἀποτελοῦντος χρείαν, ἐξῄεσαν πρὸς Ῥαψάκην οἱ ἀπόλεκτοι τοῦ βασιλέως, καὶ προὔχοντες ἐν ἱερουργοῖς. Ὁ δὲ Περσικῆς ὠμότητος ὢν, ἔχων δὲ στόμα λαλοῦν μεγάλα, κατὰ τὸ γεγραμμένον, τῆς τοῦ Θεοῦ δόξης κατεθρασύνετο. Καὶ ψιλῇ μὲν κλήσει τὸν Ἐζεχίαν ὀνομάζει, οὐ προστεθεικὼς βασιλέα· οὐχ ἕτερόν τι τῶν ὅσα ἐστὶ τῶν ἐν τοιαύταις ὑπεροχαῖς πρεπωδέστατα. Τὸν δέ γε τῶν Ἀσσυρίων βασιλέα, οὐχ ἁπλῶς αὐτὸ δὴ τοῦτό φησιν, ἀλλὰ καὶ μέγαν ἀποκαλεῖ. Φησὶ δὲ ὅτι, Μὴ ἐν βουλῇ ἢ λόγοις χειλέων παράταξις γίνεται; Ἐπειδὴ γὰρ Ἰουδαῖοι τὸν διὰ Μωσέως νόμον ἔχοντες σοφώτεροι τῶν ἄλλων ἐθνῶν ἐνομίζοντο· καὶ γοῦν ἔφασκον, Μακάριοί ἐσμεν Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν ἐστι· καταφέρει πρὸς τὸ μηδὲν ὁ Ῥαψάκης τὸ ἐπὶ τούτῳ καύχημα πολέμου, καὶ μάχης ἐνεστηκότων ἀνόνητον παντελῶς ἔσεσθαι λέγων εἰς ἐπικουρίαν αὐτοῖς, καὶ τὸ ἐν εἰδήσει νόμων, καὶ τὸ συνετὸν καὶ μόναις βουλαῖς, καὶ αὐτὸ δὴ τὸ ἐν λόγοις οἱονεί πως ἐντριβές. Ἐπειδὴ δέ τινες τῶν βεβασιλευκότων τῆς Ἰουδαίας εἰς ἐπικουρίαν κεκλήκασι τῶν Αἰγυπτίων τὴν χεῖρα, καίτοι τοῦτο δρῶντες ἐκτόπως, ᾠήθη καὶ νῦν ὁ Ἀσσύριος, οὐχ ἐπὶ Θεῷ μᾶλλον πεποιθέναι τὸν Ἐζεχίαν, ἀλλ' ἑτέροις τισὶ, μᾶλλον δὲ τοῖς τῶν Αἰγυπτίων ἔχουσι τὴν γῆν. Ταύτῃ τοι καλαμίνην αὐ-

Clausis nimirum portis, et stante in mœnibus populo, cumque semper fortissimus legationis munere fungitur, exiverunt ad Rabsacen electi et C præstantes ministri regis. Iste autem, Persica crudelitate præditus, et os habens, sicuti scriptum est, loquens magnifica, contra divinam majestatem audacter se opposuit. Et simplici quidem appellatione Ezechiam nominat, non addito regis vocabulo, nec alia re quapiam viris ea dignitate præditis convenientissima. At regem Assyriorum vocat, nec simpliciter hoc ipso contentus, sed et magnum appellat. Ait vero: Num consilio vel sermonibus labiorum prœlium fit? Quoniam enim Judæi legem Mosis habentes, reliquis gentibus sapientiores habebantur (nam dicebant: Beati sumus Israel, quia quæ placita sunt Deo, nobis cognita sunt), Rabsaces gloriationem in hoc nullam esse dicit, bello et prœlio instantibus, ac prorsus inutilem **478** ipsis ad auxilium fore D dicens, scientiam legum et cognitionem, et quidquid tandem in solo consilio aut verbis quasi situm est. Cumque regum Judææ quidam in subsidium vocarent Ægyptiorum manum (atque id quidem turpiter factum est), putavit quoque nunc Assyrius Ezechiam non in Deo fiduciam collocavisse, sed in aliis quibusdam, maxime Ægyptum obtinentibus. Hinc etiam arundineam virgam nominat eam. Imbecilla enim, inquit, semper et fragilis spes est in illis, et

[30] IV Reg. XVIII, 7.

obessent potius quam prodessent qui ipsis utuntur, quemadmodum sane arundinea virga, super qua si quis resederit, et illa prorsus confringitur, et qui ei confisus est læditur.

τὴν ὀνομάζει ῥάβδον. Σαθρὰ γάρ πως, φησὶ, καὶ εὐδιάκλαστος ἀεὶ, ἡ ἐπ' ἐκείνοις ἐλπὶς, καὶ ἀδικοῦσα μᾶλλον, ἢ ὠφελεῖν ἰσχύουσα τοὺς κεχρημένους αὐτῇ· καθάπερ ἀμέλει καὶ καλαμίνη ῥάβδος, ᾗ εἴπερ τις ἐπαναπαύσεται συνθραύσει μὲν πάντως αὐτὴν, ἢ δὲ ἀδικήσει τὸν ἐπ' αὐτῆς θαρσήσαντα.

VERS. 7-9. *Quod si dicetis : Domino Deo nostro confidimus : nunc miscemini domino meo regi Assyriorum, et dabo vobis duo millia equorum, si poteritis dare sessores super eos. Et quomodo potestis compescere eorum toparcha uno?*

Εἰ δὲ λέγετε· Ἐπὶ Κύριον τὸν Θεὸν ἡμῶν πεποίθαμεν, νῦν μίχθητε τῷ κυρίῳ μου τῷ βασιλεῖ Ἀσσυρίων, καὶ δώσω ὑμῖν δισχιλίαν ἵππον, εἰ δυνήσεσθε δοῦναι ἀναβάτας ἐπ' αὐτούς. Καὶ πῶς δύνασθε ἀποστρέψαι εἰς πρόσωπον τοπάρχου ἑνός;

Obblaterat adhuc effreni ore, et cornua in altum tollit, et injustitias contra Deum loquitur. Si enim, inquit, illi confiditis, miscemini domino meo, id est, capessite arma, et state in procinctu. Ego quoque adjiciam equos vobis bis mille, et hoc, inquit, ad fidem satis erit : quia superabitis manum Assyriorum, si inveniatis insessores, vel gnaros omnino in bellis equitandi. Dein, cum neque hoc præstare possitis, quomodo superabitis unum toparcham? Nam divisum est Assyriorum imperium, et reges subjectos habet ei qui major est omnibus, hique toparchæ nominantur.

Ἀθυροστομεῖ πάλιν, καὶ τὸ κέρας εἰς ὕψος ἐπαίρει, καὶ ἀδικίαν λαλεῖ κατὰ τοῦ Θεοῦ. Εἰ γὰρ δὴ, φησὶν, ἐπ' αὐτῷ πεποίθατε, μίχθητε τῷ Κυρίῳ μου, τοῦτ' ἔστιν, ἐξοπλίσασθε, καὶ στῆτε πρὸς μάχην. Ἐγὼ δὲ προσθήσω, καὶ ἵππους ὑμῖν δισχιλίας, καὶ ἀρκέσει τοῦτο, φησὶ, πρὸς πίστιν, ὅτι περιγενήσεσθε τῆς Ἀσσυρίων χειρὸς ἐὰν εὕρητε τοὺς ἀναβησομένους ἢ καὶ εἰδότας ὅλως ἱππεύειν ἐν μάχαις. Εἶτα πῶς οὐδὲ τοῦτο πληροῦν δυνάμενοι περιγενήσεσθε τοπάρχου ἑνός; Καταδιῄρηται γὰρ ἡ τῶν Ἀσσυρίων ἀρχὴ, καὶ βασιλέας ὑποβεβηκότας ἔχει τοῦ πάντων μείζονος οἳ καὶ ὠνομάζοντο τοπάρχαι.

VERS. 10. *Servi sunt qui confidunt in Ægyptiis, in equo et equite. Et nunc haud sine Domino ascendimus in regionem hanc oppugnatum eam. Dominus dixit mihi : Ascende in terram hanc, et disperde eam.*

Οἰκέται εἰσὶν οἱ πεποιθότες ἐπ' Αἰγυπτίοις, εἰς ἵππον, καὶ ἀναβάτην. Καὶ νῦν μὴ ἄνευ Κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν ταύτην πολεμῆσαι αὐτήν. Κύριος εἶπε πρός με· Ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην, καὶ ἄνελαι αὐτήν.

Spem omnem in Ægyptiis tantum non resecat et tollit, et in servis numerari dicit eos jam qui illis confidunt. Capientur enim facile, inquit, qui equo et equiti fidunt. Deinde acerbum quiddam, et velut ex malitia sua resonat, affirmans se non sine Domino contra Judæam bellum capessere. Si enim, inquit, quemadmodum vos ipsi dicitis, **479** magnus est et potentissimus Deus vester, et propugnat regionem, qui nos ascendimus in eam? Si enim vicimus auxiliantis vires, non magnus est, sed tenuis et imbellis. Sin magnus et validus, non prohibemur, si velimus, populari Judæam : non ascendimus contra eam sine Domino.

Ἀποκείρει παντελῶς τὴν ἐπ' Αἰγυπτίοις ἐλπίδα, μονονουχὶ καὶ ἐν οἰκέταις ἤδη τετάχθαι λέγων τοὺς ἐπ' αὐτῇ πεποιθότας. Ἀλώσονται γὰρ, φησὶν, εὐκόλως ἵππῳ τε καὶ ἀναβάτῃ τεθαῤῥηκότες. Εἶτα πικρόν τι καὶ ὡς ἀπό γε τῆς ἐνούσης αὐτῷ δυστροπίας ἀποφθέγγεται, οὐκ ἄνευ Κυρίου διαβεβαιούμενος τὴν κατὰ τῆς Ἰουδαίας αἱρεῖσθαι μάχην. Εἰ γὰρ δὴ, φησὶ, καθάπερ αὐτοί φατε, μέγας τε καὶ ἀλκιμώτατος ὁ παρ' ὑμῖν ἐστι Θεὸς, καὶ ὑπεραθλεῖ τῆς χώρας, πῶς ἀνέβημεν ἐπ' αὐτήν; Εἰ μὲν γὰρ πεπλεονεκτήκαμεν τὴν τοῦ ἐπαμύναντος ἰσχὺν, οὐ μέγας ἐστὶ, μᾶλλον δὲ βραχύς τε καὶ ἄναλκις. Εἰ δὲ μέγας καὶ δυνατὸς, οὐ κεκωλύμεθα καταδῃοῦν θέλοντες τὴν Ἰουδαίαν· οὐκ ἀνέβημεν ἐπ' αὐτὴν ἄνευ Κυρίου.

VERS. 11, 12. *Et dixit ei Eliacim, et Somnas scriba, et Joach : Loquere pueris tuis Syriace, audimus enim nos, et ne loquaris nobis Judaice. Et quare loqueris in aures hominum super muro? Dixit autem Rabsaces illis : Num ad Dominum vestrum, aut ad vos misit me dominus meus, ut loquar sermones hos? An non ad homines sedentes super muro, ut comedant stercus, et bibant urinam una vobiscum?*

Καὶ εἶπε πρὸς αὐτὸν Ἐλιακεὶμ, καὶ ὁ Σομνᾶς ὁ γραμματεὺς, καὶ Ἰωάχ· Λάλησον πρὸς τοὺς παῖδάς σου Συριστὶ, ἀκούομεν γὰρ ἡμεῖς· καὶ μὴ λάλει πρὸς ἡμᾶς Ἰουδαϊστί. Καὶ ἵνα τί λαλεῖς εἰς τὰ ὦτα τῶν ἀνθρώπων ἐπὶ τῷ τείχει; Καὶ εἶπε Ῥαψάκης πρὸς αὐτούς· Μὴ πρὸς τὸν Κύριον ὑμῶν, ἢ πρὸς ὑμᾶς ἀπέσταλκέ με ὁ κύριός μου λαλῆσαι τοὺς λόγους τούτους; Οὐχὶ πρὸς τοὺς ἀνθρώπους τοὺς καθημένους ἐπὶ τῷ τείχει, ἵνα φάγωσι κόπρον καὶ πίωσιν οὖρον μεθ' ὑμῶν ἅμα;

Vehementer trepidum est semper vulgus, et proclive admodum ad contemptum, ingruente maxime bello, et cæde exspectata, aut urbis incendio. Hinc prudentissime qui sermones cum Rabsace habent, aiunt non oportere ipsum loqui Judaice, sed lingua Syrorum uti debere potius. Nolebant

Εὐκαταπτόητον ἀεί πως ἐστι τὸ δημοτικὸν, καὶ πολὺ λίαν ἕτοιμον εἰς ὀλιγωρίαν ἐνεστηκότος μάλιστα πολέμου, καὶ σφαγῆς ἔσεσθαι προσδοκωμένης, ἐμπρησμῶν τε τῶν ἀνὰ τὴν πόλιν. Ταύτῃ τοι καὶ μάλα ἐμφρόνως οἱ τῷ Ῥαψάκῃ προσδιαλεγόμενοί φασι, μὴ δεῖν χρῆναι λαλεῖν αὐτὸν Ἰουδαϊστὶ, κεχρῆ-

σθαι δὲ μᾶλλον τῇ Σύρων φωνῇ. Οὐ γὰρ ἤθελον A βαρβαρικῆς ἀπονοίας γέμοντας λόγους ἐνίεσθαι παρ' αὐτοῦ ταῖς τῶν δημοτῶν ἀκοαῖς, καίτοι παροτρύνοντος αὐτοὺς εἰς ἀλκὴν τοῦ βασιλέως Ἐζεχίου, καὶ φάσκοντος ἐναργῶς ὅτι Κύριος μετ' αὐτῶν, καὶ ὅτι τοῖς μὲν ἐπὶ Θεῷ πεποιθόσιν ἀκράδαντος ἐλπὶς, εὐκατάσειστα δὲ τὰ ἀνθρώπινα, καὶ οὐδὲν ὅλως ὡς πρός γέ φημι τὴν τούτου δύναμιν. Ἀλλὰ συνίησιν ὁ Ῥαψάκης, καὶ τὴν αἰτίαν οὐκ ἀγνοεῖ τοῦ κεκωλῦσθαι λαλεῖν Ἰουδαϊστί. Ταύτῃ τοί φησιν ὡς οὐ πρὸς αὐτοὺς, οὔτε μὴν πρὸς τὸν βασιλέα σκοπὸς αὐτῷ γέγονε τῆς ὁδοῦ, ἀλλ' ἵνα μᾶλλον τοῖς ἐν τῷ τείχει προσδιαλέγηται. Ὑβρίζει δὲ πάλιν, καὶ τοὺς ἐξ ἀκαθάρτου καρδίας ἐρεύγεται λόγους, φάσκων, ὅτι ταύτης ἕνεκα τῆς αἰτίας ἐπικάθηνται τῷ τείχει τηροῦντες τὴν πόλιν, ἵνα λιμώττοντες, ἐν ἐνδείᾳ τε γεγονότες ἄρτου τε καὶ ὕδατος εἰς τοῦτο κατενεχθεῖεν ἀνάγκης, ὡς τὰ εἰσάπαν ἀπηχθημένα καὶ αὐτοῖς τάχα που κυσὶ τροφὴν ποιήσασθαι καὶ πότον.

enim eum sermones barbaricæ superbiæ plenos popularium auribus instillare, quantumvis eos ad fortitudinem rex Ezechias excitaret, diceretque diserte: Dominus est nobiscum, et spem firmam esse his qui Domino confidunt, facile vero labascere humana, et nihil prorsus esse ad hujus, inquam, potentiam. Verum intelligit id etiam Rabsaces, et causam non ignorat cur prohibeatur loqui Judaice. Hinc ait, non ad ipsos, neque ad regem profectionis hujus consilium fuisse, sed ut cum illis in muro disputaret. Rursus contumeliosus est, et sermones ex impuro corde eructat, dictitans, propterea sedere in muro, et custodire civitatem, ut propter inopiam panis et aquæ eo adducantur necessitatis, ut omnino invisa ipsis etiam canibus, cibum faciant sibi et potum.

Καὶ ἔστη Ῥαψάκης, καὶ ἐβόησε φωνῇ μεγάλῃ B *Ἰουδαϊστὶ, καὶ εἶπεν· Ἀκούσατε τοὺς λόγους τοῦ βασιλέως τοῦ μεγάλου, βασιλέως τῶν Ἀσσυρίων. Τάδε λέγει ὁ βασιλεύς· Μὴ ἀπατάτω ὑμᾶς Ἐζεχίας λόγοις οἳ οὐ δυνήσονται ῥύσασθαι ὑμᾶς· καὶ μὴ λεγέτω ὑμῖν Ἐζεχίας, ὅτι Ῥύσεται ὑμᾶς ὁ Θεὸς, καὶ οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη εἰς χεῖρας βασιλέως Ἀσσυρίων. Μὴ ἀκούετε Ἐζεχίου. Τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων· Εἰ βούλεσθε εὐλογηθῆναι, ἐκπορεύεσθε πρός με, καὶ φάγεσθε ἕκαστος τὴν ἄμπελον αὐτοῦ, καὶ τὰς συκὰς αὐτοῦ, καὶ πίεσθε ὕδωρ τοῦ λάκκου ὑμῶν ἕως ἂν ἔλθω καὶ λάβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, σίτου καὶ οἴνου, καὶ ἄρτων καὶ ἀμπελώνων.*

VERS. 13-17. *Et stetit Rabsaces, et clamavit voce magna Judaice, et dixit: Audite verba regis magni, regis Assyriorum.* **480** *Hæc dicit rex: Ne decipiat vos Ezechias verbis quæ non poterunt liberare vos, neque dicat vobis Ezechias: Liberabit vos Deus, nec tradetur civitas hæc in manus regis Assyriorum. Nolite audire Ezechiam. Hæc ait rex Assyriorum: Si velitis beati esse, egredimini ad me, et edite quisque vitem suam et ficus suas, et bibite aquam cisternæ vestræ, donec veniam, et accipiam vos in terram quæ perinde est ut terra vestra, terra frumenti et vini, et panum et vinearum.*

Μεθίστησι τοὺς λόγους ἐπ' αὐτοὺς ἤδη τοὺς ταῖς C ἐπάλξεσιν ἐνιζήσαντας, καὶ τοῖς ἐθέλουσιν ἐκπολιορκεῖν ἀντιφέρεσθαι προτεθυμημένους· ἄνω τε καὶ κάτω βασιλέα μέγαν ἀποκαλεῖ τὸν Ἀσσύριον, καὶ κατασμικρύνει μὲν ἐλπίδα τὴν ἐπὶ Θεῷ, ψεύστην δὲ ἀποκαλεῖ τὸν Ἐζεχίαν, καὶ ἀπατεῶνα, λέγοντα χρῆναι μᾶλλον ἐπανακεῖσθαι Θεῷ, δεδιέναι δὲ κατ' οὐδένα τρόπον ἐπαμύνοντος αὐτοῦ τὰς ἐξ ἀνθρώπων ἐφόδους. Εἶτα ἐπαγγέλλεται τοῖς αὐτομολοῦσιν ἐπ' αὐτὸν, ὡς ἔσονται μὲν ἐν τοῖς ἑαυτῶν μέχρι καιροῦ. Τοῦτο γὰρ τὸ, Ἕως ἔλθω, καὶ λάβω ὑμᾶς. Ἀπολαύσουσι δὲ τῶν ἰδίων ἀγρῶν, καὶ καταλεαίνει ὥσπερ τῆς αἰχμαλωσίας τὸ δεῖμα, καὶ τὸ τραχὺ τοῦ πράγματος ἀπατηλοῖς κατακρύπτει λόγοις, προστιθεὶς τὸ, Ἕως ἔλθω, καὶ λάβω ὑμᾶς εἰς τὴν γῆν ὡς ἡ γῆ ὑμῶν. Παρεικάζει γὰρ τὴν Ἀσσυρίων τῇ τῶν Ἰου- D δαίων γῇ, μονονουχὶ λέγων· Καὶ τὴν Ἰουδαίαν ἀφέντες κἂν γένησθε παρ' ἡμῖν οὐδὲν ἧττον τὴν ἑαυτῶν εὑρήσετε. Γῆ γάρ ἐστι σίτου καὶ οἴνου, καὶ ἄρτων καὶ ἀμπελώνων, ἡ Περσῶν τε καὶ Ἀσσυρίων.

Convertit sermonem jam ad eos qui in propugnaculis sedebant, parati resistere his qui volebant obsidere. Supra et infra vocat magnum regem Assyrium, et spem in Deo elevat, et mendacem Ezechiam appellat, et deceptorem, qui dicat requiescendum potius esse in Deo, et hominum impetus, eo subveniente, nullo modo extimescendos. Promittit demum confugientibus ad se, fore ipsos in suis possessionibus ad tempus (hoc enim illud est, donec veniam et accipiam vos): suisque agris fruituros. Mitigat vero quasi captivitatis horrorem, et rei asperitatem fucatis verbis contegit, addens illud: Donec veniam et accipiam vos, in terram quæ perinde est ac terra vestra. Assimilat namque Assyriorum terram terræ Judæorum, in hanc fere sententiam: Amissa Judæa, etsi sitis apud nos, nihilo tamen minus vestram ipsorum terram invenietis. Terra enim est frumenti et vini, et panum et vinearum, Persarum regio et Assyriorum.

Μὴ ὑμᾶς ἀπατάτω Ἐζεχίας, λέγων· Ὁ Θεὸς ῥύσεται ὑμᾶς. Μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτῶν χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων; Ποῦ ἐστιν ὁ θεὸς Ἐμὰθ καὶ Ἀρφάθ; καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς πόλεως Σεπφαρουΐμ; Μὴ ἠδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ τῆς χειρός

VERS. 18-21. *Ne decipiat vos Ezechias dicens: Deus vester liberabit vos. Nunquid liberaverunt dii gentium suam quisque regionem de manu regis Assyriorum? Ubi est Deus Emath, et Arphath? et ubi est Deus civitatis Seppharim? Num potuerunt liberare Samariam e manu mea? Quis deorum omnium*

gentium istorum liberavit terram suam de manu mea? quomodo liberabit Deus Jerusalem de manu mea? Et siluerunt, et nemo ei respondit verbum, quia præcepit rex ut nihil responderent.

Barbara iterum mente Rabsaces, et verbis contra Deum insolescit, et magna spirat, quod Assyriorum rex plurimas **481** civitates gentium ceperit, nullaque earum a falso nominatis diis servata fuerit. Verum ignoravit ligna illos fuisse et lapides, et nihil aliud quam humanæ manus solertiam. At Judææ Deus, imo universi mundi Deus, est vivus et verus: non recens et fictus, sed fictor potius ipsorum sæculorum, et opifex universitatis, et exercituum Dominus. Existimat ergo Rabsaces, evidentissimo fore argumento Judæis, ipsos prorsus penitusque capiendos, etiamsi magnus Deus illis ferret auxilium, eo quod nemo Græcorum deorum servare potuerit civitatem, seu regionem, in qua colebatur. Propterea inquit: Ubi Deus Emath et Arphath? Adjecit et illud: Num potuerunt liberare Samariam de manu mea? At dicere potero: O miserrime, aureos vitulos isti quoque adorarunt, captaque est regio, Deo subtrahente auxilium. Et, ut supra dixi, si nullus e diis Græcorum servavit suam civitatem, hoc nihil ad Deum vere et natura et magnum pertinet. Nam illi arte humana adepti hoc sunt, nimirum ut solum esse videantur: hic vero cunctis dominatur, et invictam habet manum, utpote exercituum Dominus. Respondet autem nemo Rabsaci, quod rex edixerit tacere, et quidem prudentissime. Imperitis enim sermonibus, et fastui barbarico, et contra Deum petulantiæ illacrymari potius quam reclamare oportuit. Idque, opinor, docet beatus David, inquiens: « Apposui ori meo custodiam, cum consisteret peccator contra me. Obmutui, et dejectus sum, et a bonis silui [31]. »

Cap. XXXVII. Vers. 1. *Et intravit Eliacim Chelciæ œconomus, et Somnas scriba exercitus, et Joach a commentariis ad Ezechiam scissis vestibus, et annuntiaverunt ei sermones Rabsacis. Et factum est cum audiret rex Ezechias, scidit vestimenta, saccum induit, et ascendit in domum Domini.*

Propter Rabsacis jactantiam, et effrenem contra Deum linguæ pruritum, rumpunt vestes qui ad ipsum missi sunt, et Persicæ insolentiæ fœda responsa regi annuntiant. Hic autem disrumpit vestem, et amictus est **482** sacco, id est, vestitu lugubri, et ascendit, inquit, in domum Domini. Et quæ causa fuit conscindendi amictum? Moris erat apud Judæos, in blasphemiis conviciisque contra Deum istud factitare. Siquidem traditus est Servator

A *μου; Τίς τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων ἐῤῥύσατο τὴν γῆν αὐτοῦ ἐκ χειρός μου, ὅτι ῥύσεται ὁ Θεὸς Ἰερουσαλὴμ ἐκ χειρός μου; Καὶ ἐσιώπησαν, καὶ οὐδεὶς ἀπεκρίθη αὐτῷ λόγον, διὰ τὸ προστάξαι τὸν βασιλέα μηδὲν ἀποκριθῆναι.*

Βαρβαρίζει πάλιν τῇ γνώμῃ Ῥαψάκης, καὶ τοῖς κατὰ Θεοῦ λόγοις ἐμβαρύνεται, καὶ μέγα πεφρόνηκε Ἀσσυρίων πλείστας μὲν ὅσας ἑλόντος πόλεις τῶν ἐθνῶν, σεσωσμένης δὲ οὐδεμιᾶς ὑπὸ τῶν ἐν αὐτῇ ψευδωνύμων θεῶν, ἀλλ' ἠγνόησεν ὅτι ξύλα μὲν ἦσαν ἐκεῖνοι, καὶ λίθοι, καὶ ἀνθρωπείας χειρὸς φιλοτέχνημα, καὶ ἕτερον οὐδέν. Ὁ δέ γε τῆς Ἰουδαίας Θεὸς, μᾶλλον δὲ ὁ τοῦ κόσμου παντὸς, ἔστι Θεὸς ζῶν καὶ ἀληθινὸς, οὐ πρόσφατος πεποιημένος, ποιητὴς δὲ
B μᾶλλον καὶ αὐτῶν αἰώνων, καὶ δημιουργὸς τῶν ὅλων, καὶ τῶν δυνάμεων Κύριος. Οἴεται δὴ οὖν ὁ Ῥαψάκης ἐναργεστάτην ἀπόδειξιν τοῖς Ἰουδαίοις ἔσεσθαι, τοῦ ὅτι πάντη τε καὶ πάντως ἁλώσονται, κἂν ἐπικουρήσῃ αὐτοῖς Θεὸς ὁ μέγας, τὸ μηδένα τῶν παρ' Ἕλλησι θεῶν ἀνασῶσαι δύνασθαι πόλιν, ἤτοι χώραν ἐν ᾗ καὶ ἐτετίμητο. Διὰ τοῦτό φησι· Ποῦ ὁ Θεὸς Ἐμὰθ, καὶ Ἀρφάθ; Προσεπάγει δὲ τὸ, ὅτι Μὴ ἠδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ τῆς χειρός μου; Ἀλλ', Ὦ τρισάθλιε, φαίην ἂν, δαμάλεσι καὶ αὐτοὶ προσκεκυνήκασι ταῖς χρυσαῖς, ἥλω τε ἡ χώρα Θεοῦ συστέλλοντος τὴν ἐπικουρίαν. Καὶ, ὡς ἔφην φθάσας, εἰ μηδεὶς τῶν παρ' Ἕλλησι θεῶν σέσωκε τὴν ἑαυτοῦ, τοῦτο πρὸς Θεὸν οὐδὲν τὸν ἀληθῶς, καὶ φύσει,
C καὶ μέγαν. Οἱ μὲν γὰρ ἐκ τέχνης ἀνθρωπίνης διέλαχον, τὸ κἂν γοῦν ὁρᾶσθαι μόνον. Ὁ δὲ κατεξουσιάζει τῶν ὅλων, καὶ ἄμαχον ἔχει τὴν χεῖρα, τῶν δυνάμεων ὑπάρχων Κύριος. Ἀποκρίνεται δὲ οὐδεὶς τῷ Ῥαψάκῃ, σιωπᾷν ἐπιτάττοντος τοῦ βασιλέως, καὶ μάλα ἐμφρόνως. Ἀπαιδεύτοις δὲ λόγοις, καὶ φρονήματι βαρβαρικῷ, καὶ ταῖς κατὰ Θεοῦ γλωσσαλγίαις ἐπιδακρύειν μᾶλλον, ἢ ἀντεξάγειν ἐχρῆν. Καὶ τοῦτο, οἶμαι, διδάσκει λέγων ὁ μακάριος Δαβίδ· « Ἐθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν. »

Καὶ εἰσῆλθεν Ἐλιακεὶμ ὁ τοῦ Χελκίου οἰκονόμος, καὶ Σομνᾶς ὁ γραμματεὺς τῆς δυνάμεως, καὶ Ἰωὰχ ὁ ὑπομνηματογράφος πρὸς Ἐζεκίαν
D *ἐσχισμένοι τοὺς χιτῶνας, καὶ ἀνήγγειλαν αὐτῷ τοὺς λόγους Ῥαψάκου. Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα Ἐζεκίαν, ἔσχισε τὰ ἱμάτια, καὶ σάκκον περιεβάλετο, καὶ ἀνέβη εἰς τὸν οἶκον Κυρίου.*

Ἐπὶ ταῖς Ῥαψάκου μεγαληγορίαις, καὶ ταῖς ἀχαλίνοις περὶ τοῦ Θεοῦ γλωσσαλγίαις περιῤῥήγνυνται τοὺς χιτῶνας οἱ πρὸς αὐτὸν ἐσταλμένοι, καὶ ἀπαγγέλλουσι μὲν τῷ βασιλεῖ τὰ ἐκ τῆς Περσικῆς ἀπονοίας ἐκτόπως ἀνηγορευμένα. Ὁ δὲ κατεῤῥήγνυ τὴν ἐσθῆτα, καὶ μετημφιέσατο σάκκον, τοῦτ' ἔστιν, ἱμάτιον πενθικὸν, καὶ ἀνέβη, φησὶν, εἰς τὸν οἶκον Κυρίου. Καὶ ποία τις ἡ πρόφασις τοῦ περιῤῥήγνυσθαι τὰ ἄμφια; Ἔθος ἦν Ἰουδαίοις ἐπὶ ταῖς κατὰ Θεοῦ δυσ-

[31] Psal. XXXVIII, 2.

φημίαις τοῦτο δρᾷν. Καὶ γοῦν παραδίδοται μὲν ὁ Σωτὴρ τοῖς τῶν Ἰουδαίων καθηγηταῖς, καὶ ὁ τοῦ κόσμου κριτὴς ἐκρίνετο παρ' αὐτοῖς. Ἀλλ' ἐσιώπα, ταῖς τῶν ψευδηγορούντων φωναῖς οὐκ ἀποκρινόμενος. Εἶτά φησι πρὸς αὐτὸν ὁ ἀρχιερεύς· « Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ; Λέγει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας. Πλὴν λέγω ὑμῖν, Ἀπ' ἄρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ ἀρχιερεὺς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, λέγων· Ἐβλασφήμησεν. » Ἔφη δὲ καὶ δι' ἑνὸς τῶν προφητῶν ὁ τῶν ὅλων Θεὸς τοῖς ἐξ αἵματος Ἰσραὴλ, ὅτι « Διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. » Ὤοντο γὰρ ἴσως εὐσεβεῖν, καὶ ταῖς ἀνωτάτω τιμαῖς κατευφραίνειν Θεὸν, ἐπὶ ταῖς κατ' αὐτοῦ B δυσφημίαις τοὺς χιτῶνας κατασχίζοντες, κἂν εἰ μηδένα ποιοῖντο λόγον τῶν διὰ Μωσέως τεθεσπισμένων. Σάκκον μέν γε ἤτοι περίβλημα πενθικὸν περιτέθειται μὲν Ἐζεκίας, ἄνεισι δὲ καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ μάλα εἰκότως. Πενθεῖν γὰρ ἀκόλουθον, κλαίειν δὲ καὶ κατατρύχεσθαι τοὺς ἐν ἀκμαῖς ὄντας κακῶν, καὶ σωτηρίας ἐλπίδα ποιεῖσθαι Θεὸν, αὐτῷ τε προσκαθῆσθαι, καὶ θαμίζειν (1) ἐν ἁγίοις τόποις, ἔνθα μάλιστα πρεπωδέστερον τὰς πρὸς αὐτὸν ἱκετείας ποιοῖτ' ἄν τις.

A Judæorum gubernatoribus, et mundi judex ab illis judicatus est. Sed tacuit, inquit, mentientium vocibus minime respondens. Dein dicit ei princeps sacerdotum: « Adjuro te, per Deum vivum, ut nobis dicas, tune es Christus ille Filius Dei? Ait illi Jesus: Tu dixisti. Verum aio vobis: Ab hoc tempore videbitis Filium hominis sedentem ad dexteram potentiæ, et venientem in nubibus cœli. Tunc princeps sacerdotum, conscissis vestibus, dixit: Blasphemavit [32]. » Dixitque etiam per unum e prophetis universorum Deus sanguini Israelitico: « Disrumpite corda vestra, et non vestimenta vestra [33]. » Putabant enim fortassis se pie facere, et summis honoribus Deum oblectare, cum propter blasphemias in eum tunicas discinderent, etiamsi vaticinia Moysis nihili penderent. Saccum vero seu indumentum lugubre circumposuit Ezechias, ascenditque in domum Dei, et sane merito. Lugere enim consentaneum est, et plorare, et affligi eos qui in summo discrimine malorumque cuspide versantur, Deumque spem salutis facere, ipsi assidere et adhærere, ubi possit quis ad eum preces decentissime fundere.

Καὶ ἀπέστειλεν Ἐλιακεὶμ τὸν οἰκονόμον, καὶ Σομνᾶν τὸν γραμματέα, καὶ τοὺς πρεσβυτέρους τῶν ἱερέων περιβεβλημένους σάκκον πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς τὸν προφήτην, καὶ εἶπαν αὐτῷ· Τάδε λέγει Ἐζεκίας· Ἡμέρα θλίψεως, καὶ ὀνειδισμοῦ, καὶ ἐλεγμοῦ, καὶ ὀργῆς ἡ σήμερον C *ἡμέρα, ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν. Εἴ πως εἰσακούσαι Κύριος ὁ Θεός σου τοὺς λόγους Ῥαψάκου, οὓς ἀπέστειλε βασιλεὺς Ἀσσυρίων ὀνειδίζειν Θεὸν ζῶντα, καὶ ὀνειδίζειν λόγους οὓς ἤκουσε Κύριος ὁ Θεός σου, καὶ δεηθήσῃ πρὸς Κύριον τὸν Θεόν σου περὶ τῶν καταλελειμμένων τούτων.*

VERS. 2-4. *Et misit Eliacim œconomum, et Somnam scribam, et seniores sacerdotum, indutos sacco, ad Isaiam filium Amos, prophetam et dixerunt ei: Hæc ait Ezechias: Dies afflictionis et opprobrii, et redargutionis et iræ est hodiernus dies, quia venit dolor parienti, sed vires non habet ad pariendum: si quomodo audiat Dominus Deus tuus verba Rabsacis, quæ misit rex Assyriorum, ad maledicendum Deo viventi, et ad objiciendum verba quæ audivit Dominus Deus tuus, et deprecaberis ad Dominum Deum tuum pro relictis his.*

Τοὺς προὔχοντας ἐν ἱερωσύνῃ καὶ ταῖς ἀνωτάτω τιμαῖς ἐκ νόμου κατεστεμμένους ὁμοῦ τοῖς ἄλλοις, οὐκ ἂν ἐσθήμασιν ὄντας ἱεροῖς, καὶ τοῖς τῇ λειτουργίᾳ πρεπωδεστέροις· ἐν σάκκοις δὲ μᾶλλον, ἤτοι πενθικοῖς περιβλήμασι κατημφιεσμένους ἰέναι προστέταχε πρὸς τὸν μακάριον προφήτην Ἡσαΐαν, ἀπαγγεῖλαί τε ὅτι θλίψεως αὐτοῖς ἐπιπέπτωκεν D ἡμέρα καὶ ὀνειδισμοῦ. Μονονουχὶ γάρ, φησὶ, κατονειδίζει Θεὸς τοὺς τὴν ἁγίαν οἰκοῦντας πόλιν, ὡς τῆς κατὰ νόμον ἐπιεικείας ἠμεληκότας· ἐλέγχει δὲ πεπλημμεληκότας, ἐπάγει τε οὕτω τὰ ἐξ ὀργῆς. Ἥκειν τε εἰς τοῦτο ὑπὸ τὰ πράγματα αὐτοῖς διαβεβαιοῦντο σαφῶς ὡς ἐοικέναι τὸν Ἰσραὴλ γυναικὶ μὲν τικτούσῃ, γενομένῃ δὲ λοιπὸν ἐν ἐσχάτοις διὰ τὸ μὴ δύνασθαι τεκεῖν. Βούλεται δὲ καὶ διὰ τῆς τοῦ προφήτου μεσιτείας ἐπακοῦσαι τῶν λόγων Ῥαψάκου τὸν τῶν ὅλων Θεὸν, οὓς ἀκήκοε δι' ἑαυτοῦ. Λανθάνει γὰρ αὐτὸν

Præcellentes sacerdotio viros, et ex lege summis ornatos honoribus, jubet simul cum aliis ire ad beatum prophetam Isaiam, non sacris indutos vestibus, et ministerio convenientioribus, sed potius saccis et lugubribus **483** indumentis, ut renuntiarent accidisse sibi diem afflictionis et opprobrii. Tantum enim non, inquit, exprobrat Deus civitatis sanctæ incolis, quasi æquitatem moderationemque in lege præscriptam neglexissent: delinquentesque redarguit, inducitque sic iræ signa. Eoque res ipsorum venisse, palam affirmant, ut similis sit Israel mulieri parienti, et quæ extremis torqueatur post cruciatibus, eo quod non queat parere. Vultque Deum universorum, per prophetæ intercessionem, audire verba Rabsacis, quæ per se ipsum audivit. Latet enim illum eorum quæ sunt nihili. Quasi vero multis jam in aliis civitatibus dirutis ædificiis at-

[32] Matth. XXVI, 64, 65. [33] Joel II, 13

(1) Ed. Θαυμάζειν, *admirari*, corr. ex cod. Venet. ap. Mai *Bibl. Nov. PP.* III, 445; quod jam viderat Cotelerius *Monum. Eccl. Gr.* II, p. 533. EDIT.

quæ incensis, Deprecare, inquit, pro relictis his. Ezechias valde prius adjutorem rogat fieri eum qui apud Deum in pretio est, videlicet prophetam. Utile igitur ad genua accidere Deo, sanctis viris assistentibus. Annuit enim propter eos, et sæpe miseretur lacrymæ etiam ignavorum.

A τῶν ὄντων οὐδὲν, ὡς δὲ ἤδη πολλῶν ἐν ἑτέραις πόλεσιν ἀνῃρημένων, ἐμπεπρησμένων τε οἴκων. Δεήθητι, φησὶ, περὶ τῶν καταλελειμμένων τούτων. Εὐσεβὴς ἄγαν ὁ Ἐζεχίας, συλλήπτορα παρακαλῶν γενέσθαι τὸν παρὰ τῷ Θεῷ τίμιον δηλονότι τὸν προφήτην. Ἐπωφελὲς οὖν ἄρα τὸ προσπίπτειν Θεῷ προεστηκότων ἁγίων. Κατανεύει γὰρ δι' αὐτοὺς, καὶ ἐποικτείρει πολλάκις, καὶ τῶν ῥᾳθυμεῖν εἰωθότων τὸ δάκρυον.

VERS. 5-7. *Et dixit eis Isaias : Sic referetis domino vestro : Hæc ait Dominus : Ne timeas verba quæ audisti, quibus maledixerunt mihi legati regis Assyriorum. Ecce ego immitto in illum spiritum, et audito nuntio revertetur in regionem suam, et cadet gladio in terra sua.*

Καὶ εἶπεν αὐτοῖς Ἡσαΐας· Οὕτως ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν· Τάδε λέγει Κύριος· Μὴ φοβηθῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας, οὓς ὠνείδισάν με οἱ πρέσβεις βασιλέως Ἀσσυρίων. Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς αὐτὸν πνεῦμα, καὶ ἀκούσας ἀγγελίαν ἀποστραφήσεται εἰς τὴν χώραν αὐτοῦ, καὶ B *πεσεῖται μαχαίρᾳ ἐν τῇ γῇ αὐτοῦ.*

Confirmat et recreat Deus, nec ita multo post, imo statim et confestim eum qui ipsi confidit, spemque ei ostendit auxiliarem : nec caruit præmio, quod ad domum Dei cucurrit, simulque precibus, doloris quoque lacrymas emiserit. Placatur sic humanissimus universorum Dominus. Cum enim Rabsaces omnem præcidisset spem salutis, Israelitis, etiamsi vellet servare is qui omnia potest Deus, impie dictitans : Ne decipiat vos Ezechias, quod liberaturus sit Deus Jerusalem e manu mea. Num liberaverunt dii gentium illorum regionem quisque suam de manu mea ? Hinc nec sine causa liberat his terroribus, nec frigidis et anilibus sermonibus, et barbarica dicacitate eos dejici sinit, sed potius ad spem optatissimam erigit, cum ait, superbum tyrannum nolentem volentem in suos fines reducendum malo spiritu territante, et metum ipsi **484** non tolerabilem de suo regno injiciente, et casurum gladio, non periclitantem in aliena regione, nec vero hostium strage gloriantem, aut splendidis propter fortitudinem in hostes honorariis locupletatum, sed in terra sua, idque præter spem et opinionem, et a quibus servari par erat, in discrimen vocatum. Qui vero sint isti, ex consequentibus videbimus.

Παραθαρσύνει Θεὸς, καὶ οὐκ εἰς μακρὰν, ἀλλ' εὐθὺ καὶ παραχρῆμα τὸν ἐπ' αὐτῷ πεποιθότα, καὶ ὀνησιφόρον αὐτῷ δέδειχε τὴν ἐλπίδα, καὶ οὐκ ἄμισθον τὸ δραμεῖν εἰς οἶκον Κυρίου, καὶ ὁμοῦ ταῖς λιταῖς τὸ ἐκ πόνου καθεῖναι δάκρυον. Ἐκμειλίσσεται οὕτως φιλάνθρωπος ὢν ὁ τῶν ὅλων Δεσπότης. Ἐπειδὴ δὲ ὁ Ῥαψάκης ἀποκείρων τῶν ἐξ Ἰσραὴλ τοῦ σωθῆναι τὴν ἐλπίδα, κἂν εἰ ἕλοιτο διασώζειν αὐτοὺς ὁ πάντα ἰσχύων Θεὸς, ἀνοσίως ἔφασκε· Μὴ ἀπατάτω ὑμᾶς Ἐζεχίας, ὅτι ῥύσεται ὁ Θεὸς Ἱερουσαλὴμ ἐκ χειρός μου. Μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν τούτων ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρός μου; Ταύτῃ τοι καὶ μάλα εἰκότως ἀπαλλάττει δειμάτων, καὶ ψυχροῖς, καὶ γραώδεσι λόγοις, καὶ βαρβαρικαῖς ἀθυροστομίαις C ἐπιστυγνάζειν οὐκ ἐᾷ, μᾶλλον δὲ ἀναῤῥώννυσιν εἰς πολύευκτον ἐλπίδα, καὶ οὐχ ἑκόντα λέγων τὸν ἀλαζόνα τύραννον ἀνακομισθήσεσθαι εἰς τὴν ἑαυτοῦ πονηροῦ καταπτοοῦντος πνεύματος, καὶ εἰς δειλίας αὐτὸν τὰς ὑπέρ γε τῆς ἑαυτοῦ βασιλείας οὐ φορητῶς συνελαύνοντος, πεσεῖσθαι δὲ καὶ μαχαίρᾳ, κινδυνεύσαντα μὲν οὐδαμῶς ἐν ἀλλοδαπῇ, οὔτε μὲν ἐπαυχήσαντα ταῖς κατὰ τῶν πολεμίων σφαγαῖς, καὶ τῆς κατ' ἐχθρῶν εὐανδρίας, λαμπρὰ πλουτοῦντα γέρα· ἀλλ' ἐν τῇ γῇ αὐτοῦ (1) ποιεῖσθαι τὰς διατριβὰς, πέπτωκεν ἐκεῖ ἐν τῇ γῇ αὐτοῦ παρ' ἐλπίδα τοῦτο, καὶ ἀδοκήτως συμβεβηκός. Ἔνθα γὰρ οἴεσθαι δειμάτων ἀπηλλαγμένον ποιεῖσθαι τὰς διατριβὰς πέπτωκεν ἐκεῖ, καὶ παρ' ὧν ἦν εἰκὸς σώζεσθαι κινδυνεύοντα. Τίνες δὲ οὗτοι διὰ τῶν ἐφεξῆς εἰσόμεθα.

VERS. 8-13. *Et reversus est Rabsaces, et deprehendit regem obsidentem Lobnan, audivitque rex Assyriorum, egressum esse Tharatha regem Æthiopum, ut obsidione premeret eum. Et hoc audito, reversus est, et misit nuntios ad Ezechiam dicens : Sic referetis Ezechiæ regi Judææ : Ne decipiat te Deus tuus, cui confisus es, dicens : Non tradetur Jerusalem in manus regis Assyriorum. An non audivisti quæ fecerunt reges Assyriorum omni terræ quam destruxerunt ? Num liberarunt eos dii gentium, quos patres mei perdiderunt ? Gazan, et Charan, et Raphis, quæ sunt in regione Thæman ? Ubi sunt reges Emath, et Arphath, et civitatis Empharaim, Ana et Ava ?*

D *Καὶ ἀπέστρεψε Ῥαψάκης, καὶ κατέλαβε πολιορκοῦντα τὸν βασιλέα Λαμνά· καὶ ἤκουσε βασιλεὺς Ἀσσυρίων ὅτι ἐξῆλθε Θαραθὰ βασιλεὺς Αἰθιόπων πολιορκῆσαι αὐτόν· καὶ ἀκούσας ἀπέστρεψε, καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἐζεκίαν, λέγων· Οὕτως ἐρεῖτε Ἐζεκίᾳ βασιλεῖ τῆς Ἰουδαίας· Μή σε ἀπατάτω ὁ Θεός σου ἐφ' ᾧ πέποιθας ἐπ' αὐτῷ, λέγων· Οὐ μὴ παραδοθῇ Ἱερουσαλὴμ εἰς χεῖρας βασιλέως Ἀσσυρίων. Ἢ οὐκ ἤκουσας ἃ ἐποίησαν βασιλεῖς Ἀσσυρίων, πᾶσαν τὴν γῆν ἀπώλεσαν; μὴ ἐῤῥύσαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν, οὓς οἱ πατέρες μου ἀπώλεσαν, τήν τε Γάζαν καὶ Χαῤῥὰν, καὶ Ῥαφεὶς, αἵ εἰσιν ἐν χώρᾳ Θαιμάν; Ποῦ εἰσιν οἱ βασιλεῖς Αἱμὰθ, καὶ Ἀρφὰθ, καὶ πόλεως Ἐμφαρουεὶμ Ἀνὰ καὶ Αὐά;*

(1) Abundant in Græco cod. nonnulla, quæ hic repræsentantur.

Κατειλημμένης τάχα που τῆς Λάχης, καὶ ὑπὸ A χεῖρα γεγενημένης τὴν βαρβαρικὴν, ἐπολιορκεῖτο μετ' ἐκείνην ἡ Λαμνά, ἐκεῖ Ῥαψάκης κατειληφέναι λέγεται τὸν Ἀσσύριον· ὁ δ' ἐτεθορύβητο λίαν. Κατεστράτευσε γὰρ αὐτοῦ Θαραθὰ Αἰθιόπων βασιλεύς. Εἶτα δεδιὼς μὴ καταληφθείσης αὐτῷ τῆς χώρας ἔξω γένοιτο θώκων τῶν περιφανεστάτων, ἀφίησι μὲν τὴν Ἰουδαίαν, σπεύδει δὲ μᾶλλον εἰς τὴν ἑαυτοῦ· πλὴν οὐ καθυφῆκε τῆς ἐνούσης ὠμότητος αὐτῷ. Πρὸς ἀκράτους δὲ ὥσπερ ὀργὰς ἀνακεκαυμένος, διά τοι τάχα που τὸ μὴ θελῆσαι τοὺς ἐξ Ἰσραὴλ, ἤτοι τοὺς τὴν ἁγίαν οἰκοῦντας πόλιν τοῖς τοῦ Ῥαψάκου λόγοις ἀναπεπεισμένους αὐτομολῆσαι παρ' αὐτὸν, ἀθυροστομεῖ δὴ πάλιν κατὰ τῆς τοῦ Θεοῦ δόξης ὁ δείλαιος· καί τισι τῶν οἰκείων ἐντέλλεται δρομαίως ἰέναι πρὸς Ἐζεχίαν ἀπαγγεῖλαί τέ οἱ τὰ παρ' αὐτοῦ. Ταῦτα δὲ B ἦσαν δυσφημίαι κατὰ Θεοῦ λέγοντος σαφῶς· ἐπειδὴ τῶν ἑτέρων χωρῶν ἤτοι ἐθνῶν οἱ θεοὶ τοῖς προσκυνοῦσιν αὐτοὺς συνδιολώλασι, μηδ' ἂν αὐτὸν ἰσχύσαι τὸν τῶν Ἑβραίων Θεὸν ἐξελέσθαι τε αὐτοὺς, καὶ τῆς Ἀσσυρίων ἐξαρπάσαι χειρός. Εἶτα πόλεις ἀπαριθμεῖται πεπορθημένας, ἃς καὶ ἦν εἰκὸς δύνασθαι πολλὰ, ἐξ ὧν ἕτεροι πεπόνθασι. Διὰ τούτων αὐτῶν καταπτοῶν, ὡς τεθνηξομένους, καὶ τοὺς ἐπ' αὐτῷ πεποιθότας τῷ πάντων κρατοῦντι Θεῷ.

Καὶ ἔλαβεν Ἐζεχίας τὸ βιβλίον παρὰ τῶν ἀγγέλων, καὶ ἤνοιξεν αὐτὸ ἔναντι Κυρίου· καὶ προσηύξατο Ἐζεχίας πρὸς Κύριον λέγων· Κύριε Σαβαὼθ ὁ Θεὸς Ἰσραὴλ ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σὺ μόνος Θεὸς εἶ πάσης βασιλείας τῆς C *οἰκουμένης. Σὺ ἐποίησας τὸν οὐρανὸν, καὶ τὴν γῆν. Εἰσάκουσον, Κύριε, εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους, οὓς ἀπέστειλε Σεναχηρεὶμ, ὀνειδίζειν Θεὸν ζῶντα.*

Ἐκ πολλῆς ἄγαν τῆς εἰς Θεὸν εὐσεβείας ἁπλοῖ τὸ βιβλίον, οὐχ ὡς ἀγνοοῦντι Θεῷ τῆς τοῦ Σεναχηρεὶμ ἀλαζονείας τὸ μέγεθος, κατακεκραγὼς δὲ μᾶλλον τῆς βαρβαρικῆς ἀπονοίας, καὶ οἱονεὶ μάρτυρα τῆς ἐκείνου θρασυστομίας ποιούμενος αὐτὸν τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεόν. Ἄθρει δὲ ὅπως τοῖς τοῦ Σεναχηρεὶμ ἀναφέρεται λόγοις, ἀνατείνων τὴν ἱκετηρίαν. Ὁ μὲν γὰρ τό γε ἧκον ἐπ' αὐτῷ τὴν τοῦ Θεοῦ δόξαν κατακερτομῶν· Μή σε ἀπατάτω, φησὶν, ὁ Θεός σου, ἐφ' ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ λέγων· Οὐ μὴ παραδοθῇ Ἱερουσαλὴμ εἰς χεῖρας βασιλέως Ἀσσυρίων. Ὁ δὲ D τῆς ἐξουσίας ὁμολογεῖ τὸ μέγεθος Κύριον Σαβαὼθ ὀνομάζων αὐτὸν, καὶ Θεὸν Ἰσραὴλ, καὶ ἐπὶ πᾶσαν τὴν κτίσιν τὴν ἄνω τε καὶ λογικήν. Σὺ γὰρ εἶ, φησὶν, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ. Προσομολογεῖ δὲ ὅτι κἂν εἰ λέγοιντό τινες ἐπὶ γῆς βασιλεῖς· ἀλλ' οὖν ὁ φύσει τε καὶ ἀληθῶς βασιλεὺς, καὶ πάντα ὑπὸ πόδας ἔχων, αὐτὸς ἂν εἴη καὶ μόνος ὁ γῆς τε καὶ οὐρανοῦ δημιουργὸς, καὶ ὑποστήσας νεύματι τὰ οὐκ ὄντα ποτέ. Εἰσακοῦσαι δὲ παρακαλεῖ καὶ εἰσβλέψαι, τοῦτ' ἔστι, μὴ παραβλέψαι, καὶ παρελθεῖν, τὰς οὕτω πικρὰς δυσφημίας· ἀλλ' ἐν δίκῃ κολάσαι τὸν ἀλιτήριον. Ὠνείδισε γὰρ Θεὸν ζῶντα, φησὶ, τοῦτ' ἔστι, κατ' οὐδὲν ἐοικότα τοῖς τῶν ἐθνῶν, οἷς ἐκεῖνος παρεικάζων αὐτὸν ἀνοσίως κατεθρασύνετο.

A Occupata Lache, et redacta in potestatem barbaricam, obsidebatur post eam Lobna; illic Rabsaces dicitur invenisse Assyrium, qui multum angebatur: militavit enim contra illum Tharatha Æthiopum rex. Dein veritus ne, occupata ab ipso regione, sedibus suis pulcherrimis exueretur, relicta Judæa, properat in suam patriam, de crudelitate tamen sua nihil remisit. Ira autem impotenti inflammatus, quod Israelitæ seu sanctæ civitatis incolæ nollent ad ipsum confugere, verbis Rabsacis persuasi: de integro effreni ore blaterat miser contra divinam majestatem, et in mandatis dat quibusdam servis familiaribus ut propere se ad Ezechiam conferrent, eique hæc ipsius nomine renuntiarent. Erant autem blasphemiæ contra Deum, cum palam diceret quoniam **485** dii aliorum, sive regionum simul cum adoratoribus suis perierant, non posse ipsum Deum Hebræorum eos eripere, et a manu Assyriorum defendere. Tum urbes vastatas enumerat, quas etiam verisimile est multum potuisse. Ex ipsis quæ reliqui passi sunt, hos velut jam morituros percellens, qui ipsi Deo omnium dominatori confisi sunt.

Vers. 14-17. *Et accepit Ezechias librum a nuntiis, aperuitque eum coram Domino, et oravit Ezechias ad Dominum dicens: Domine Sabaoth Deus Israel, qui sedes super Cherubim, tu solus Deus es omnis regni orbis terrarum. Tu fecisti cœlum et terram. Exaudi, Domine, inspice, Domine, et vide, et audi verba quæ misit Senacherim, ut maledicat Deo viventi.*

Ex immensa pietate in Deum, explicat librum Deo, non quasi ignoranti arrogantiæ Senacherim magnitudinem, sed ut in barbaricam hanc superbiam exclamaret, ejusque audacis et duri oris ac procacitatis, ipsum universorum Dominatorem quasi testem faceret. Ac vide quomodo Senacherim sermonibus adversetur, edens hanc supplicationem. Nam ille, quantum in se erat, Dei majestatem incessens, inquit: Ne decipiat te Deus tuus, cui confisus es, dicendo: Non tradetur Jerusalem in manus regis Assyriorum. At hic dominationis magnitudinem confitetur, cum eum Dominum Sabaoth nominat, et Deum Israelis, et superiorem omni creatura, superna et rationis compote. Tu enim es, inquit, qui sedes super Cherubim. Confitetur porro, etiamsi quidam in terra reges dicantur, hunc natura et vere regem esse, et omnia pedibus substrata habere, ipsum esse solum, et terræ et cœli conditorem, et nutu ea quæ non erant quondam, sustentare. Exaudire obsecrat, et inspicere, id est, non despicere, neque præterire has adeo diras blasphemias, sed hunc consceleratum juste plectere. Maledixit enim, inquit, Deo viventi, id est, nullo modo similem gentium diis, quibus ille audax eum impie comparavit.

Vers. 18-20. *Vere quidem vastarunt reges Assyriorum orbem terræ universum, et regiones eorum, et conjecerunt idola ipsorum* **486** *in ignem; non enim dii erant, sed opera manuum hominum, ligna et lapides, et perdiderunt eos. Tu autem, Domine Deus noster, serva nos de manu eorum, ut cognoscat omne regnum quod tu sis Deus solus.*

Audivi, inquit, barbarum dicentem: Num liberaverunt dii gentium suam quisque regionem e manu mea? Etsi hoc dicat quispiam, laudo et credo. Superarunt enim omnem terram, urbes concremarunt: cum falso nominati dii nihil ferre opis potuerint, nullum enim servarunt. Qui enim, aut unde? cum facti sint ex lapide et ligno, et opera artis lapidariæ, sintque fabrorum opificium? Hinc etiam cum suis cultoribus perierunt. Sed tu serva nos, o Domine. Hoc enim certo argumento erit, fidemque faciet universo orbi terrarum, ut firmam concipiant fiduciam, quod tu solus sis Deus. Quemadmodum enim quod caperentur regiones gentium, testimonium erat contra falso nuncupatos deos, quod omnino nihil sint: sic etiam, quod effugiat ejusque evadat manus Jerusalem, quæ tibi subest et tua est, testatam quoque propemodum et perspicuam faciet omnibus undique hominibus liberationem tuæ potentiæ, et absolutissimæ gloriæ, quodque solus sis tu ipse Deus, et in cœlo et in terra.

Vers. 21. *Et missus est Isaias filius Amos ad Ezechiam, et dixit ei: Hæc dicit Dominus Deus Israel: Audivi quæ orasti ad me de Senacherim rege Assyriorum.*

Non longe post servat, sed in propinquo est, et quasi ad pedes orationis ac petitionis, exitus. Mittitur enim propheta, qui ante hæc contra barbarum tacuit, et hunc contra eum Dei calculum ac sententiam non retulit: Hæc, inquit, dicit Deus Israel. Animat credentem, nec dicit aliquem e falso nuncupatis diis misisse, sed eum in bonam spem vocans, Dominum nominat, et Deum Israelis. Laudat quidem et approbat quodammodo, inquiens: Audivi quæ orasti ad me de Senacherim rege Assyriorum. Probo enim sane, inquit, hunc zelum et affectum; novi pietatem: hanc contra me blasphemiam et maledicentiam ferre non poteras, accessisti lacrymans, et tanquam dolens meo nomine, et tuam fecisti tristitiam, hæc in me facta convicia. Laude ergo dignissimus est sanctorum zelus, et Dei gloria contumeliis et maledictis exagitata, cum **487** hi dolent, lætatur Deus.

Vers. 22, 23. *Hic est sermo quem locutus est de illo Deus: Contemnit te et subsannat te, virgo filia Sion, in te caput movet filia Jerusalem. Quem exprobrasti, et quem concitasti? aut contra quem sustulisti vocem tuam, et non sustulisti in excelsum oculos tuos ad Sanctum Israelis, quia per nuntios probra fecisti in Dominum?*

Exponit deinceps calculum et judicium contra

A *Ἐπ' ἀληθείας γὰρ ἠρήμωσαν βασιλεῖς Ἀσσυρίων τὴν οἰκουμένην ὅλην, καὶ τὴν χώραν αὐτῶν, καὶ ἀνέβαλον τὰ εἴδωλα αὐτῶν εἰς τὸ πῦρ. Οὐ γὰρ θεοὶ ἦσαν, ἀλλ' ἔργα χειρῶν ἀνθρώπων, ξύλα, καὶ λίθος, καὶ ἀπώλεσαν αὐτούς. Σὺ δὲ, Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον ἡμᾶς ἐκ χειρῶν αὐτῶν, ἵνα γνῷ πᾶσα βασιλεία τῆς γῆς ὅτι σὺ εἶ ὁ Θεὸς μόνος.*

Ἀκήκοα, φησὶ, τοῦ βαρβάρου λέγοντος· Μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρός μου; Κἂν εἰ τοῦτο λέγοι τις, ἐπαινῶ καὶ πείθομαι. Κεκρατήκασι γὰρ ἁπάσης τῆς γῆς, καὶ τὰς πόλεις ἐνέπρησαν, οὐδὲν ἀπόνασθαι δυναμένης τῶν ψευδωνύμων θεῶν· σεσώκασι γὰρ οὐδένα. Πῶς γὰρ, ἢ πόθεν, ξύλου τε καὶ λίθου πεποιημένα καὶ B τέχνης ἔργα λιθουργικῆς, καὶ τεκτόνων ὄντες φιλοτεχνήματα: Ταύτῃ τοι καὶ τοῖς ἰδίοις προσκυνηταῖς ὁμοῦ διολώλασιν. Ἀλλὰ σὺ, σῶσον ἡμᾶς, ὦ Δέσποτα. Τεκμήριον γὰρ, καὶ τοῦτο, καὶ ἀναπείθει πᾶσαν τὴν ὑπ' οὐρανὸν, εἴς γε τὸ χρῆναι διακεῖσθαι, καὶ ἀραρότως ὅτι σὺ μόνος εἶ Θεός. Ὥσπερ γὰρ τὸ ἁλῶναι τὰς ἐθνῶν χώρας κατεμαρτύρησε τῶν ψευδωνύμων θεῶν, τὸ μηδὲν εἶναι παντελῶς· οὕτω, καὶ τὸ διαφυγεῖν τῆς ἐκείνου χειρὸς ἔξω γενέσθαι τὴν Ἱερουσαλὴμ τὴν ὑπὸ σοί τε καὶ σὴν μονονουχὶ καὶ διαμαρτύρεται, καὶ σαφῆ ποιήσεται τοῖς ἁπανταχοῦ τὴν ἀνάῤῥησιν τῆς σῆς εὐσθενείας, καὶ ἀκηράτου δόξης, καὶ ὅτι μόνος εἶ αὐτὸς ὁ Θεὸς ἔν τε οὐρανῷ, καὶ ἐπὶ γῆς.

C *Καὶ ἀπεστάλη Ἠσαΐας υἱὸς Ἀμὼς πρὸς Ἐζεκίαν, καὶ εἶπεν αὐτῷ· Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἤκουσα ἃ προσηύξω πρός με περὶ Σεναχηρεὶμ βασιλέως Ἀσσυρίων.*

Οὐ μακρὰν ὁ σώζων, ἀλλ' ἐγγὺς καὶ οἱονεὶ κατὰ πόδας τῆς προσευχῆς τῶν αἰτηθέντων τὸ πέρας. Ἀποστέλλεται μὲν γὰρ ὁ προφήτης· σεσιγηκὼς δὲ τέως τὰ ἐπὶ τῷ βαρβάρῳ, καὶ τὴν ἐπ' αὐτῷ τοῦ Θεοῦ ψῆφον οὐκ ἀπαγγείλας· Τάδε λέγει Κύριος, φησὶν, ὁ Θεὸς Ἰσραήλ. Ἐπιῤῥώννυσι τὸν πεπιστευκότα, καὶ οὐχ ἕνα τινὰ τῶν ψευδωνύμων θεῶν ἀποφαίνει τὸν ἀποστείλαντα, εὐθαρσῆ δὲ μᾶλλον ἀποτελῶν Κύριον ὀνομάζει, καὶ Θεὸν Ἰσραήλ. Ἐπαινεῖ δὲ ὥσπερ καὶ ἀποδέχεται λέγων· Ἤκουσα ἃ προσηύξω πρός με περὶ Σεναχηρεὶμ βασιλέως Ἀσσυρίων. Μονονουχὶ γὰρ, D φησὶν, ἀποδέχομαι τὸν ζῆλον, οἶδα τὴν φιλοθεΐαν, ἀφόρητον ἐποιήσω τὴν κατ' ἐμοῦ δυσφημίαν· προσῆλθε δεδακρυμένος, καὶ οἷον ἀλγήσας ὑπὲρ ἐμοῦ, καὶ σὴν ἐποιήσω λύπην τοὺς εἰς ἐμὲ γεγονότας ὀνειδισμούς. Ἀξιεπαινετώτατος τοίνυν τῶν ἁγίων ὁ ζῆλος, καὶ τῆς τοῦ Θεοῦ δόξης δυσφημουμένης, ὅταν ἀλγήσωσιν αὐτοὶ, Θεὸς κατευφραίνεται.

Οὗτος ὁ λόγος ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ Θεός· Ἐφαύλισέ σε καὶ ἐμυκτήρισέ σε παρθένος θυγάτηρ Σιών· ἐπὶ σοὶ κεφαλὴν ἐκίνησε θυγάτηρ Ἱερουσαλήμ. Τίνα ὠνείδισας καὶ παρώξυνας; ἢ πρὸς τίνα ὕψωσας τὴν φωνήν σου; Καὶ οὐκ ἦρας εἰς ὕψος τοὺς ὀφθαλμούς σου εἰς τὸν Ἅγιον τοῦ Ἰσραήλ, ὅτι δι' ἀγγέλων ὠνείδισας Κύριον.

Ἐμφανῆ λοιπὸν τὴν ἐπὶ τῷ βαρβάρῳ καθίστησι

ψῆφον· καί φησιν ὅτι μυκτηρισμὸν ἐπ' αὐτῷ ποιήσεται, καὶ καταδονήσει τὴν κεφαλὴν παρθένος θυγάτηρ Σιὼν ἤτοι ἡ Ἱερουσαλήμ. Φαμὲν δὲ ὅτι παρθένον, καὶ θυγατέρα τὴν Σιὼν ἤτοι τὴν Ἱερουσαλὴμ ὀνομάζει· καὶ παρθένον μὲν ὡς ἀμόλυντον, καὶ τὸν τῆς βδελυρᾶς εἰδωλολατρίας οὐκ ἔχουσαν μῶμον· θυγατέρα δὲ, ὅτι τὴν παρὰ πατρὸς ὀφειλομένην διάθεσιν τοῖς ἐξ αὐτοῦ τέκνοις ὑπονενέμηκεν αὐτῇ. Ἐφαύλισε δὲ τὸν Ἀσσύριον, ἤτοι κεφαλὴν ἐπ' αὐτῷ κεκίνηκέ τινα τρόπον· ἐπεμειδίασε γὰρ ἡττωμένῳ, καὶ οἷον ᾠδὴν καὶ μέλος ἐναρμόνιον τὰς αὐτοῦ πεποίηται συμφοράς. Εἶτα πρὸς αὐτόν φησι· Τίνα ὠνείδισας, καὶ παρώξυνας; ἢ πρὸς τίνα ὕψωσας τὴν φωνήν σου; Ἆρα γὰρ ἕνα τῶν ψευδωνύμων θεῶν ταῖς οὕτω θερμαῖς ἐλύπεις φωναῖς. Καίτοι πῶς οὐκ ἔδει, φησὶ, τὸν τῆς διανοίας ὀφθαλμὸν, εἰς ὕψος ἐπᾶραι, ἐννοῆσαί τε ἄρα, τίς δὴ καὶ πόσος ἐστὶν ὁ Θεὸς τοῦ Ἰσραήλ; Ἔδει καὶ ἐπ' αὐτῆς τῆς τῶν κτισμάτων θέας, τῆς τοῦ δημιουργοῦ δυνάμεως τὸ μέγεθος, ἀναλόγως ἰδεῖν. Ἔδει τῆς δόξης καταθρῆσαι τὸ ὕψος, καὶ μηδὲν ἐπ' αὐτῷ λογίσασθαι τῶν χθαμαλωτέρων. Ἀλλ' οὐδενὸς τῶν τοιούτων διαμνημονεύσας, φησὶν, ὠνείδισας τὸν Κύριον.

Σὺ γὰρ εἶπας· Τῷ πλήθει τῶν ἁρμάτων ἀνέβην εἰς ὕψος ὀρέων, καὶ εἰς τὰ ἔσχατα τοῦ Λιβάνου, καὶ ἔκοψα τὸ ὕψος τῆς κέδρου αὐτοῦ, καὶ τὸ κάλλος αὐτῆς, καὶ εἰσῆλθον εἰς ὕψος μέρους τοῦ δρυμοῦ, καὶ ἔθηκα γέφυραν, καὶ ἠρήμωσα ὕδατα, καὶ πᾶσαν συναγωγὴν ὕδατος.

Τῆς Περσικῆς ἀλαζονείας ἐξηγεῖται τὸν ὄγκον, καὶ τὸ ἀσύνετον φύσημα, καὶ τῆς μεγαληγορίας τὸ μέγεθος. Λιβάνῳ γὰρ παρεικάζει, καθὰ καὶ φθάσαντες ἔφημεν, τήν τε τῶν Ἰουδαίων χώραν, καὶ αὐτὴν τάχα που τῶν Σαμαρειτῶν, ἣν κατῳκήκασιν αἱ δέκα φυλαί. Ὁ μὲν γὰρ Λίβανος ὄρος ἐστὶν ἐν Φοινίκῃ κέδροις τῶν ξύλων ὑψοῦ δὴ λίαν ἠρμένοις εὐθαλὲς καὶ κατάκομον. Νοεῖται δέ πως τοιαύτη τῶν Ἰουδαίων ἡ χώρα, ὑψηλὴ μὲν ὅτι Θεὸς ἦν ὁ ἐπαμύνων αὐτῇ, δασεῖά γε μὴν, ὅτι ἀριθμοῦ κρείττονας ὁρᾶσθαι τοὺς ἐν αὐτῇ. Ἀλλ' εἷλον μὲν τὴν Σαμάρειαν οἱ Ἀσσύριοι τύραννοι, συγκατεδῄωσε δὲ αὐτῇ, καὶ τῆς Ἰουδαίας οὐκ εὐαριθμήτους πόλεις. Σὺ τοίνυν, φησὶν, ὦ Ἀσσύριε, γαῦρον ἔχων τὸ φρόνημα, καὶ τῶν γεγονότων τὴν ἔκβασιν ταῖς αὐτοῦ δυνάμεσιν ἀνατιθεὶς, εἶπας ὅτι Τῷ πλήθει τῶν ἁρμάτων ἀνέβην εἰς ὕψος ὀρέων, καὶ εἰς τὰ ἔσχατα τοῦ Λιβάνου, τοῦτ' ἔστιν, ἐπ' αὐτὴν τὴν βασιλείαν τὴν παρά γε τοῖς ἐξ Ἰσραήλ. Ἔκοψα τὸ ὕψος τοῦ κέδρου αὐτοῦ. Αὐτοῦ τίνος; Τοῦ Λιβάνου, δηλονότι τῆς Ἰουδαίας. Ὕψος δὲ κέδρου τὴν παρ' αὐτοῖς βασιλείαν φησὶ, καὶ εἰσῆλθεν εἰς ὕψος μέρους τοῦ δρυμοῦ. Ὡς γὰρ ἔφην, τῇ τῶν Σαμαρειτῶν συνδιολώλασι πολλαὶ τῆς Ἰουδαίας πόλεις. Ἔφης δὲ ὅτι Ἔθηκα γέφυραν, καὶ ἠρήμωσα ὕδατα, καὶ πᾶσαν συναγωγὴν ὕδατος. Πέρσαι γὰρ καὶ Ἀσσύριοι ταῖς ἑαυτῶν δυνάμεσι τὸ πάντα δύνασθαι κατορθοῦν ἀπονέμοντες, ἐν τῷ καταθεῖν τῶν χωρῶν, τοὺς μὲν τῶν ποταμῶν ἐγεφύρουν, ἔφερον δὲ πλειστάκις ὡς ὄντες τοσοῦτοι τὸν ἀριθμὸν, ὡς δαπανᾷν δύνασθαι πηγὰς, καὶ ὑδάτων συναγω-

A barbarum, aitque sannis et ludibriis excepturam eum, et concussuram caput, virginem filiam Sion, sive Jerusalem. Dicimus vero eum virginem et filiam dicere, Sionem seu Jerusalem: virginem quidem, utpote impollutam, et detestabilis idololatriæ macula non infectam: filiam autem, quod patris affectum, quo suos liberos prosequi debet, ei tribuerit. Contempsit Assyrium, et caput in illum movit quodammodo: nam derisit victum, et ejus calamitates in cantilenam et carmen concinnum vertit. Deinde ait ei: Cui exprobrasti, et quem concitasti? vel contra quem extulisti vocem tuam? An enim aliquem falso nuncupatum deum his ardentibus et inflammatis verbis offendisti? Nonne decebat, inquit, mentis oculos in altum attollere,
B et cogitare quis et quantus sit Deus Israelis? Decebat etiam ex ipsa creationis inspectione, opificis potentiæ magnitudinem ratione quadam et analogia perspicere: decebat majestatis ejus celsitudinem intueri, et contra eum nihil humile et terrenum cogitare. Verum, inquit, nihil horum tibi venit in mentem, probra jecisti in Dominum.

VERS. 24, 25. *Tu enim dixisti: Multitudine curruum ego conscendi altitudinem montium, et extrema Libani, et succidi altitudinem cedri ejus, et pulchritudinem ejus, et intravi in altitudinem partis silvæ, et posui pontem, et vastavi aquas, et omnem collectionem aquæ.*

C Persicæ arrogantiæ fastum, et stultum tumorem, et jactantiæ magnitudinem exponit. Nam comparat Libano, sicuti ante diximus, regionem Judæorum, et Samariam etiam fortassis, quam duodecim tribus incoluerunt. Libanus enim mons est in Phœnicia, cedrorum lignis altissimis floridus et refertus. Intelligitur vero talis esse Judæorum regio, excelsa quidem, quod **488** Deus sit qui illis subveniet, densa vero, quod cernantur esse in ea innumerabiles. Verum Samariam Assyrii tyranni ceperunt, unaque cum ea, Judææ civitates innumeras vastarunt. Tu igitur, inquit, o Assyrie, qui superbo et elato es animo, quique rerum gestarum eventum copiis tuis ascribis, dixisti: Multitudine curruum ascendi in altitudinem montium, et in extre-
D ma Libani, id est, ad ipsum Israeliticum regnum. Succidi altitudinem cedri ejus. Cujus tandem? Scilicet Libani, Judææ. Altitudinem cedri, eorum regnum dicit. Et intravi in altitudinem partis silvæ. Etenim, ut dixi, una cum terra Samaritanorum, multæ quoque Judææ urbes deletæ sunt. Dixisti etiam: Posui pontem, et vastavi aquas, et omnem collectionem aquarum. Persæ enim et Assyrii suis viribus attribuentes quod omnia præclare administrarent, cum regiones incursionibus infestarent, supra quædam flumina pontes construebant, sæpe vere auferebant, ut qui tot numero essent ut fontes et congregationem aquarum potuerint consumere, nec ipsa adeo flumina quandoque suffecerint viris et equis sitientibus. Græci autem scriptores,

qui res Persicas suis scriptis mandarunt, dicunt eos ponte stravisse Hellespontum. Et si flumen, inquiunt, adeunti regionem vel civitatem, in medio obstare inveniatur, imperasse tyrannum his verbis : Potando consumatur. Hujus igitur Persarum elationis meminit universorum Deus, et jactabundos et gloriosulos redarguit. Deinde post ostendit non potuisse ipsos hæc tam fastuosa, de quibus superbierunt, exsequi : sed hoc ejus decretum contra delinquentes prolatum, opinionem hanc illis quod potuerint, ingeneravit.

VERS. 26, 27. *Nonne hæc audivisti olim, quæ ego feci? Ab antiquis diebus decrevi, nunc autem ostendi, ut vastarem gentes in munitionibus, et habitantes in civitatibus munitis. Remisi manus, et exaruerunt, et fuerunt tanquam flos aridus in tectis, et ut gramen.*

Hæc igitur omnia, inquit, quæ te præstitisse putasti, nonne te pudet tuis viribus ascribere? Verum, o tu qui vanum supercilium tollis in re nihili, an non hæc audivisti olim, quæ ego **489** feci? Nam, inquit, si tu velis prophetarum meorum sermones perscrutari, jam ante dixi ea futura. Ego enim ab antiquis diebus decrevi, id est, definivi et annui : ostendique tempore nunc vocante demum ea quæ prænuntiata sunt : ut vastarem gentes in civitatibus munitis, id est, non infirmas aut captu faciles. Ego manus remisi, et exaruerunt. Qui enim quondam tolerantia et patientia continui eas, ac conservavi ut essent et consisterent, manum auxiliarem subtraxi, et instar herbarum exaruerunt, et sicuti gramen aridum igni in alimentum tradidi. Quod etiam alibi dicit ei : cum enim a Deo definita impius effecisset, et apud se plurimum sibi placeret, rursus audivit Deum dicentem : « Num gloriabitur securis absque percutiente cum ipsa? Num extolletur serra absque trahente eam [33]? » Siquidem ut hæc instrumenta se ad opera non movent, sed manum vibrantis exspectant : sic etiam, inquit, tu divinæ iræ instrumentum fuisti, tuis viribus ipse neutiquam opus fecisti, at tanquam securis et serra exstitisti, quæ ad inserviendum moventis voluntati destinata est.

VERS. 28. *Nunc autem requiem tuam, et exitum tuum, et introitum tuum ego novi : at ira tua qua iratus es, et amarulentia tua ascendit ad me.*

Insolescis igitur, inquit, divinorum judiciorum factus administer, et cogitas forsan apud te, te solum tot gentes et regiones magnifice domuisse, ut incenderes eas et caperes. Verum ego tuam requiem, et exitum, et introitum novi. Requiem, ut ego quidem arbitror, mortem vocat : exitum et introitum, ad omnes res agendas viam. Nihil enim prorsus

[33] Isa. x, 15.

A γάς, καὶ μηδὲ αὐτοὺς ἔσθ' ὅτε ποταμοὺς ἀρκέσαι δεδιψηκόσιν ὁμοῦ καὶ ἀνδράσι καὶ ἵπποις. Οἱ δέ γε τῶν Ἑλλήνων λογάδες, ὅσοι τῶν Περσικῶν ἐν ἰδίαις συγγραφαῖς ἔθεντο μνήμην, φασὶν αὐτοὺς καὶ αὐτὸν γεφυρῶσαι τὸν Ἑλλήσποντον· κἂν εἰ ποταμὸς, φασὶν, εὕρηται διὰ μέσου περιόντων αὐτῶν ἢ χώραν, ἢ πόλιν, προσέταττεν ὁ τύραννος λέγων· Δαπανάσθω πινόμενος. Διαμέμνηται τοίνυν ὁ τῶν ὅλων Θεὸς τῆς Περσῶν ἀλαζονείας, καὶ φιλοκομπεῖν εἰωθότας ἐλέγχει. Εἶτα μετὰ τοῦτο δείκνυσιν ὅτι μὴ μᾶλλον αὐτοὶ δεδύνηνται κατορθοῦν, ἐφ' οἷς πεφρονήκασι τὰ οὕτως ὑπέρογχα· ψῆφος δὲ μᾶλλον ἡ παρ' αὐτοῦ κατὰ τῶν πλημμελούντων ἐνηνεγμένη τὴν τοῦ δύνασθαι δόξαν ἐνεποίησεν αὐτοῖς.

B *Οὐ ταῦτα ἤκουσας πάλαι ἃ ἐγὼ ἐποίησα; Ἐξ ἀρχαίων ἡμερῶν συνέταξα, νῦν δὲ ἐπέταξα ἐξερημῶσαι ἔθνη ἐν ὀχυροῖς, καὶ ἐνοικοῦντας ἐν πόλεσιν ὀχυραῖς. Ἀνῆκα τὰς χεῖρας, καὶ ἐξηράνθησαν, καὶ ἐγένοντο ὡς ἄνθος ξηρὸν ἐπὶ δωμάτων, καὶ ὡς ἄγρωστις.*

Ταυτὶ μὲν οὖν ἅπαντα, φησὶν, ἅπερ αὐτὸς οἴει κατωρθωκέναι, ταῖς ἑαυτοῦ δυνάμεσιν ἀνατιθεὶς, οὐκ ἐρυθριᾷς. Ἀλλ', ὦ ματαίαν ἔχων ἐπ' οὐδενὶ τὴν ὀφρὺν, οὐ ταῦτα ἤκουσας πάλαι, ἃ ἐγὼ ἐποίησα; Εἰ γὰρ δὴ βούλοιο, φησὶ, τοὺς τῶν ἐμῶν προφητῶν πολυπραγμονῆσαι λόγους, ἔφην ἤδη φθάσας ὅτι ταῦτα γενήσεται. Ἐγὼ γὰρ ἐξ ἀρχαίων ἡμερῶν συνέταξα, τοῦτ' ἔστιν, ὥρισα καὶ κατένευσα· ἀπέδειξα δὲ νῦν καιροῦ καλοῦντος εἰς πέρας τὰ προηγγελμένα, C ὥστε ἐξερημῶσαι ἔθνη ἐν πόλεσιν ὀχυραῖς, τοῦτ' ἔστιν, οὐκ ἀσθενῆ, καὶ εὐάλωτα. Ἐγὼ τὰς χεῖρας ἀνῆκα, καὶ ἐξηράνθησαν. Ὁ γὰρ πάλαι ταῖς ἀνεξικακίαις ἔτι συνέχων αὐτὰ πρὸς τὸ εἶναι, καὶ συνεστάναι τὴν ἐπαμύνουσαν ἀπέστησα χεῖρα, καὶ ἐν ἴσῳ πόας κατεξηράνθησαν, καὶ χόρτου δίκην κατεμαράνθησαν, καὶ οἷά τις ἄγρωστις ξηρὰ πυρὶ δέδοται τροφή. Τοῦτό τοι καὶ ἑτέρωθί φησι πρὸς αὐτόν· ἐπειδὴ γὰρ τὰ ὁρισθέντα γενέσθαι παρὰ Θεοῦ διαπεράνας ὁ δυσσεβὴς, ἐφ' ἑαυτῷ πεφρόνηκε μέγα, πάλιν ἤκουε Θεοῦ λέγοντος· « Μὴ δοξασθήσεται ἀξίνη, ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; Ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; » Ὥσπερ γὰρ τὰ τοιάδε τῶν ὀργάνων, οὐχ ἑαυτὰ κινεῖ πρὸς ἔργα τυD χὸν, περιμένει δὲ μᾶλλον τὴν τοῦ σαλεύοντος χεῖρα· οὕτω καὶ σὺ, φησὶ, γέγονας ὄργανον τῆς θείας ὀργῆς, οὐ μὴν αὐτὸς εἰργάσω ταῖς δυνάμεσι ταῖς σαῖς, ἀλλ' ἦσθα μᾶλλον οἷον ἀξίνη, καὶ πρίων τοῖς τοῦ κινοῦντος θελήμασιν ὑπηρετεῖν τεταγμένος.

Νῦν δὲ τὴν ἀνάπαυσίν σου, καὶ τὴν ἔξοδόν σου ἐγὼ ἐπίσταμαι· ὁ δὲ θυμός σου ὃν ἐθυμώθης, καὶ ἡ πικρία σου ἀνέβη πρός με.

Καταλαζονεύῃ μὲν οὖν, φησὶ, τῶν θείων κριμάτων γεγονὼς ὑπουργὸς, οἴει δὲ ἴσως κατὰ σαυτὸν, καὶ μόνος κατευμεγεθῆσαι τοσούτων ἐθνῶν καὶ χωρῶν, ὡς κατεμπρῆσαί τε καὶ ἑλεῖν αὐτάς. Ἀλλ' ἐγὼ τὴν σὴν ἀνάπαυσιν, καὶ τὴν ἔξοδον, καὶ τὴν εἴσοδον ἐπίσταμαι. Ἀνάπαυσιν δὲ καθάπερ ἐγῷμαι τὸν θάνατον ὀνομάζει, ἔξοδόν τε καὶ εἴσοδον, τὴν εἰς πᾶν ὁτιοῦν

τῶν πρακτέων ὁδόν. Λανθάνει γὰρ ὅλως οὐδὲν τὸν A πάντα εἰδότα νοῦν. Προστιθεὶς δὲ, ὅτι Ὁ θυμός σου, ὃν ἐθυμώθης, καὶ ἡ πικρία σου ἀνέβη πρός με, μονονουχί φησι, Οὐ δίχα ποινῆς δεδυσφημηκὼς ἔσῃ. Παρόψομαι γὰρ οὐδαμῶς τῶν σῶν ἀνοσίων ἐνθυμημάτων τὸ κακόηθες καὶ πικρὸν, ἀλλ' οἷον εἰς λύπην ἠρεθισμένος τοῖς σοῖς ἐπιθήσω θυμοῖς τὴν αὐτοῖς πρέπουσαν δίκην.

latet eam mentem quæ novit omnia. Cum adjicit: Ira tua, qua iratus es, et amarulentia tua ascendit ad me, hoc fere dicit: Non impune blasphemus eris; non enim non videbo tuarum impiarum cogitationum malitiam et amarulentiam, sed velut ad dolorem commotus, ira tua dignam pœnam infligam.

Καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου, καὶ χαλινὸν εἰς τὰ χείλη σου, καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦρχου ἐν αὐτῇ.

VERS. 29. *Et injiciam circulum in nasum tuum, et frenum labiis tuis, et avertam te ea via, qua venisti.*

Ἐπειδήπερ ὁ Ἀσσύριος κτηνοπρεπεστάτην ἔχων τὴν ἀλογίαν κατεκερτόμει Θεὸν, καὶ οἷον ἀνασκιρτήσας εἰς ἀχάλινον ἀγριότητα τῆς τοῦ Θεοῦ δόξης παλιμφήμους ἠφίει φωνὰς, ταύτητοι καὶ μάλα εἰκότως ὡς ἐπὶ κτήνους φησὶν, ὅτι Φιμὸν ἐμβαλῶ εἰς B τὴν ῥῖνά σου, καὶ χαλινὸν εἰς τὰ χείλη σου, μονονουχὶ ταῖς τῶν πληγῶν ἐπαγωγαῖς ἀναπειράζων αὐτὸν, καὶ τῷ μεγέθει τῶν συμφορῶν οἷά τινι χαλινῷ τῶν οὕτως ἐκτόπων ἀνακόπτων ἐγχειρημάτων. Ὑπονοστήσειν γε μὴν καὶ πρὸς τὴν ἑαυτοῦ τὸν Ἀσσύριόν φησιν. Ὑπέστρεψε γὰρ ἀκούσας ὅτι Θαραθὰ βασιλεὺς Αἰθιόπων ἐξῆλθε κατ' αὐτοῦ. Καίτοι, Τί δή ποτε, φαίη τις ἂν, πεσούσης αὐτῷ τῆς στρατιᾶς ἁπάσης, οὐ σέσωσται μόνον αὐτὸς, ἀλλὰ γὰρ καὶ ὑπενόστησεν εἰς τὴν ἑαυτοῦ; Ἔδει γὰρ, ἔδει γυμνὸν γεγονότα τῆς ὑπὸ χεῖρα πληθύος, οἰκονομικῶς τὴν τοῦ δαπανῶντος ἀγγέλου χεῖρα φυγεῖν αὐτὸν, ἵν' ὀλοφύρηται τὴν ἑαυτοῦ συμφορὰν καὶ εἰς τίνα δεδυσφήμηκε γνῷ, καὶ τοῖς ἄλλοις ἅπασιν ἀπαγγείλῃ τὸ παράδοξον.

Quoniam Assyrius belluina et bruta **490** fatuitate præditus, incessebat Deum, et insultans quasi effrenata immanitate, contra Dei majestatem probrosas voces emittebat; hinc et justissime velut de bellua dicit: Circulum injiciam naso tuo, et frenum labiis tuis, plagarum inflictione tantum non retrahens illum, et magnitudine calamitatum, quasi quodam freno, hæc tam fœda facinora præscindens. Reversurum etiam dicit Assyrium ad suam patriam. Rediit enim cum audisset Tharatha, regem Æthiopum, expeditionem contra ipsum fecisse. Quanquam dixerit aliquis, Quid est quod, etsi totus ejus exercitus ceciderit, tamen non solum ipse servatus est, sed etiam in suam regionem reversus est? Oportuit enim, oportuit eum, nudum sua multitudine ac destitutum, providentia quadam ac consilio, consumentis angeli manum effugere, uti suam deploraret calamitatem, intelligeretque in quem convicia jecisset, omnibusque aliis hoc admirabile et incre- C dibile factum renuntiaret.

Τοῦτο δέ σοι τὸ σημεῖον. Φάγε τοῦτον τὸν ἐνιαυτὸν, ἃ ἔσπαρκας, τῷ δὲ ἐνιαυτῷ δευτέρῳ τὸ κατάλειμμα, τῷ δὲ τρίτῳ σπείραντες ἀμήσατε, καὶ φυτεύσατε ἀμπελῶνας, καὶ φάγεσθε τὸν καρπόν. Καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ἐν τῇ Ἰουδαίᾳ εἰς διάφευξιν· φυήσουσι ῥίζαν κάτω, καὶ ποιήσουσι σπέρμα ἄνω. Ὅτι ἐξ Ἱερουσαλὴμ ἔσονται οἱ καταλελειμμένοι, καὶ οἱ σωζόμενοι ἐξ ὄρους Σιών. Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.

VERS. 30-32. *Hoc autem tibi signum. Comede hoc anno quæ seminasti, anno autem secundo reliquias. Tertio seminantes metite, et plantate vineas, et comedite fructum. Et derelicti in Judæa, mittent radicem deorsum, et facient semen sursum. Quia ex Jerusalem erunt derelicti, et servati de monte Sion. Zelus Domini Sabaoth faciet hæc.*

Ἀποστραφήσεσθαι λέγων τὸν Ἀσσύριον εἰς τὴν ἑαυτοῦ, καὶ τῆς Ἰουδαίων ἀποφοιτήσειν χώρας, ὁρίζει τὸν χρόνον καθ' ὃν ἔσται τοῦτο, καί φησι· Φάγε τοῦτον τὸν ἐνιαυτὸν ἃ ἔσπαρκας, καὶ τὰ τούτοις ἐφεξῆς. Οὔπω γε μὴν ἅπασιν ἐναργὲς πότερόν ποτε τῷ Σενα- D χηρεὶμ δέδοται τὸ σημεῖον, ἤγουν Ἐζεχίᾳ καὶ τοῖς ἀμφ' αὐτόν. Πλὴν ἐροῦμεν τῶν γεγραμμένων τὸν νοῦν. Εἶτα τοῦτον ἐφαρμοστέον ἐκείνοις, ἢ τούτοις. Εἰ μὲν Ἐζεχίᾳ δεδόσθαι φαμὲν τὸ σημεῖον, συνίεμεν οὕτω· Ἐπεπολιόρκητο μὲν Ἱερουσαλὴμ, πλείστης δὲ ὅσης τῆς Ἀσσυρίων στρατιᾶς κατεμπρῆσαί τε καὶ ἑλεῖν ἐπιχειρούσης αὐτὴν, πλείστη τις ὅση τῶν ἐδωδίμων συγκομιδὴ, καρποί τε ἐναποκείμενοι, καὶ τὰ δι' ὧν ἂν γένηται διαζῆν δύνασθαι τοὺς ἐν Ἱερουσαλὴμ σωζομένους. Σὺ τοιγαροῦν ὁ Ἐζεχία, φησὶ, καὶ ἅπας ὁ μετὰ σοῦ λεὼς, φάγε τοῦτον τὸν ἐνιαυτὸν ἃ ἔσπαρκας· τῷ δὲ δευτέρῳ τὸ κατάλειμμα. Τῷ δὲ τρίτῳ σπείραντες ἀμήσατε, καὶ φυτεύσατε ἀμπελῶνας. Δυσὶ γὰρ ἔτεσιν ὅλοις ἐνιζήσας τῇ Σαμαρει-

Cum dixerit Assyrium reversurum domum, et discessurum ex regione Judæa, tempus præfinit, quo hoc fiet, et inquit: Comede hoc anno, quæ seminasti, et quæ sequuntur. Nec quidem constat omnibus, utrum Senacherim datum sit hoc signum, vel Ezechiæ et suis. Verum explicabo scriptorum sententiam, itaque vel illis, vel his accommodanda est. Si enim Ezechiæ datum esse signum dicamus, sic intelligimus: Erat nimirum Jerusalem obsessa. Cumque ingens exercitus Assyriorum eam aggrederetur incendere et capere, maxima erat eduliorum importatio, fructusque repositi sunt, et ex quibus possent hi, qui in Jerusalem servati sunt, vivere. Tu ergo, o Ezechia, inquit, omnisque tecum populus, comede hoc anno, quæ seminasti, et secundo reliquias. Et tertio, ubi seminaveritis, metite, et plantate vineas. **491** Per duos enim annos continuos obsedit terram Samaritanorum, totamque vastavit Assyrius. Jam-

que tertio fere instante abiit fugiens, cum delevissent Rapsacis milites plurima loca circum Jerusalem, ipsamque obsiderent. Tertio igitur anno, inquit, deinceps remissio erit, et satis erit agricolis et vinearum cultoribus, siquidem eas plantare voluerint, pace nimirum præstante ipsis etiam securitatem. Fore autem in tuto et in tranquillo, qui ex bello servati et superstites sunt, indicat, cum dicit, quasi de arboribus : Radicem extendent deorsum, et sursum semen jacient. Habitaturos autem secure et tuto, et extra omnem metum, illud decet, quod profundam radicem habeant. Ad finem etiam duraturam hanc tranquillitatem, ex eo intelligi potest, quod sursum agat radices. Annectit deinde : Zelus Domini Sabaoth faciet hæc. Quia enim blasphemiam admittebat Assyrius, audebatque eum diis falso nuncupatis comparare, et dicere : Num liberabit Deus Jerusalem de manu mea? Hæc omnia fient, inquit, concitato ad zelum et æmulationem Omnipotente. Sin contra Senacherim dicatur : « Comede hoc anno, quæ seminasti, secundo reliquias : » dicimus belligerare solitos, vel contra regiones, vel contra civitates, protracta interdum obsidione et bello ipsorum in dies prorogato, agriculturam attingere et exercere, ut alimentum habeant. Ita hoc modo etiam de illo dictum intelligi possit.

A τῶν, καὶ καταδηώσας ὅλην ὁ Ἀσσύριος. Τρίτου μόλις ἐνστάντος ᾤχετο φυγὰς, ἀπολωλότων μάλιστα τῶν μετὰ Ῥαψάκου κύκλῳ τῆς Ἱερουσαλὴμ, καὶ πολιορκούντων αὐτήν. Οὐκοῦν ἐν τρίτῳ, φησὶν, ἔτει λοιπὸν ἀνείσθω, καὶ γηπόνοις τὸ ἀρκοῦν καὶ τοῖς ἀμπέλων μελεδωνοῖς τὸ, εἴπερ ἕλοιντο φυτεύειν αὐτάς· εἰρήνης δηλονότι βραβευούσης αὐτὴν καὶ τὴν ἀσφάλειαν. Ὅτι δὲ ἐν βεβαίῳ κείσονται τῆς εὐθυμίας οἱ ἐκ τοῦ πολέμου σεσωσμένοι καὶ περιλελειμμένοι, καταμηνύει λέγων, ὡς ἐπὶ φυτῶν, ὅτι καὶ ῥίζαν κατατενοῦσι κάτω, καὶ ἄνω σπέρμα βαλοῦσι. Καὶ τὸ μὲν ὅτι κατοικήσουσιν ἀσφαλῶς, καὶ ἐρηρεισμένως, καὶ παντὸς ἔξω δείματος, δίδωσι νοεῖν τὸ ῥίζαν ἔχειν εἰς βάθος. Ὅτι δὲ καὶ εἰς πέρας αὐτοῖς ἐκταθήσεται, τῆς εὐημερίας τὸ χρῆμα, νοεῖν ἐφίησι τὸ
B ἄνω σπέρμα ποιεῖν. Προσεπάγει δὲ, ὅτι ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα. Ἐπειδὴ γὰρ δεδυσφήμηκεν ὁ Ἀσσύριος, καὶ τοῖς ψευδωνύμοις αὐτὸν παρεικάζων θεοῖς τετόλμηκεν εἰπεῖν, Οὐ μὴ ῥύσεται ὁ Θεὸς Ἱερουσαλὴμ ἐκ χειρός μου; Ταῦτα πάντα γενήσεται, φησὶ, κεκινημένου εἰς ζῆλον τοῦ πάντα ἰσχύοντος. Εἰ δὲ δὴ φέρει κατὰ τοῦ Σεναχηρεὶμ τὸ, « Φάγε τοῦτον τὸν ἐνιαυτὸν, ἃ ἔσπαρκας, τῷ δὲ δευτέρῳ τὸ κατάλειμμα, » φαμὲν ὅτι οἱ καταστρατεύειν εἰωθότες, ἢ χωρῶν, ἢ πόλεων, βραδυνούσης ἐσθ' ὅτε τῆς πολιορκίας καὶ τῆς μάχης αὐτοῖς εἰς χρόνους ἐκτεινομένης, ἅπτονται καὶ γηπονίας, ἵν' ἔχοιεν τροφάς. Καὶ κατὰ τοῦτον αὐτὸν ἁρμόσει τὸν τρόπον, τὸ καὶ ἐπ' αὐτοῦ νοεῖσθαι τὸ εἰρημένον.

VERS. 33. *Propterea sic dicit Dominus contra regem Assyriorum : Nequaquam invadet civitatem hanc, nec mittet in eam sagittam, nec mittet in eam scutum, nec circumdabit eam vallo, sed via qua venit, eadem revertetur.*

In capita quodammodo recolligit dictorum sententiam, et quasi paucis epitomen contexens, rei cursum exitumque ponit perspicue. Non enim, inquit, suscipiet bellum, imo ante pugnam, antequam arma vibret, antequam intentet immittatque sagittam, antequam levet scutum, antequam eam vallo circumdet, eadem ipsa via revertetur, et in domum, inquit, recurret. Sciendum est, eum vallum his verbis dicere, fixam ac congestam in monumentis seu tumulis struem lignorum, quæ acuta sunt, ut qui cadunt, eorum nemo servetur.

Διὰ τοῦτο οὕτως λέγει Κύριος ἐπὶ βασιλέα Ἀσ-
C *συρίων· Οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδ' οὐ μὴ βάλῃ ἐπ' αὐτὴν βέλος, οὐδ' οὐ μὴ βάλῃ ἐπ' αὐτὴν θυρεὸν, οὐδ' οὐ μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα· ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν, ἐν αὐτῇ ἀποστραφήσεται.*

Ἀνακεφαλαιοῦται τρόπον τινὰ τῶν εἰρημένων τὸν νοῦν, καὶ τὴν τοῦ πράγματος εἰς πέρας διεκδρομὴν, ὡς ἐν ὀλίγοις ἐπιτεμὼν, καθίστησιν ἐναργῆ. Οὐ γὰρ ἅψεται πολέμου, φησὶν, ἀλλὰ πρὸ μάχης πρὶν ὅπλα σαλεῦσαι, πρὶν ἐκτεῖναι καὶ ἐπαφεῖναι βέλος, πρὶν ἀνατιθέναι θυρεὸν, πρὶν ἐπ' αὐτὴν κυκλῶσαι χάρακα, τὴν αὐτὴν ὁδὸν ὑπονοστήσει, καὶ οἴκοι δραμεῖται, φησίν. Ἰστέον δὲ ὅτι χάρακά φησιν ἐν τούτοις τὴν ἐν ταῖς τάφροις καταπηγνυμένην τῶν ξύλων πληθὺν, εἰς ὀξὺ κατηκονημένων, ἵνα δὴ σώζοιτο τῶν πεσόντων
D μηδείς.

492 VERS. 34, 35. *Hæc dicit Dominus : Protegam civitatem hanc, ut servem eam propter me, et propter David servum meum.*

Resecat ac deprimit supercilium eorum qui misericordia divina servati sunt : nec sinit alta sapere ac tumere civitatis sanctæ inhabitatores. Erat enim plane probabile, cogitare eos ac dicere, se coli a Deo et æstimari propter morum probitatem et justitiæ suæ spiritualem fragrantiam. Servat ergo ut Deus, at juvat servatos, dum eos insolentiæ fluctibus non sinit obrui. Ait enim se protecturum civitatem, videlicet sanctam, nequaquam propter inhabitantes, sed nec in gratiam cujusquam, qui eo vixit tempore, hoc beneficii collaturum, sed propter se

Τάδε λέγει Κύριος· Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου.

Ἀποκείρει τὴν ὀφρὺν τῶν ἐν ἐλέει Θεοῦ σεσωσμένων, καὶ ὑπέρογκα φρονεῖν οὐκ ἐᾷ τοὺς τὴν ἁγίαν οἰκοῦντας πόλιν. Ἦν γὰρ δὴ καὶ μάλα εἰκὸς, οἴεσθαί τε καὶ λέγειν αὐτοὺς, ὅτι τετίμηνται παρὰ Θεοῦ διὰ τὸ ἐπιεικὲς τοῦ τρόπου, καὶ τῆς ἐνούσης αὐτοῖς δικαιοσύνης τὴν νοητὴν εὐκοσμίαν. Οὐκοῦν διασώζει μὲν ὡς Θεὸς, ὠφελεῖ δὲ σεσωσμένους, τοῖς τῆς ἀλαζονείας κύμασιν οὐκ ἐφιεὶς ἐναλίσκεσθαι. Ὑπερασπιεῖν γὰρ ἔφη τῆς πόλεως, δηλονότι τῆς ἁγίας, οὐ διά γε τοὺς ἐνοικοῦντάς ποθεν, ἀλλ' οὐδετέρῳ τινὶ τῶν κατ' ἐκεῖνο καιροῦ ζώντων ἔτι τὸ χρῆμα δω-

ρούμενος, ἀλλὰ δι' ἑαυτὸν, καὶ Δαβὶδ, ὃν καὶ παῖδα A ἴδιον ὀνομάζει, καὶ δι' ἑαυτὸν μὲν, ὅτι χρηστός τέ ἐστι καὶ φιλοικτίρμων, καὶ χρῆν δή που τοῖς τὴν θείαν αὐτοῦ καταχερτομοῦσι δόξαν τὴν αὐτοῖς ὅτι μάλιστα πρέπουσαν δίκην ἐπενεγκεῖν. Διὰ Δαβὶδ πάλιν, ὅτι ταῖς τῶν ἁγίων μνήμαις χαρίζεται πολλάκις τὸ ἀμνησίκακον, ἐφ' οἷς ἔσθ' ὅτε πλημμελοῖεν οἱ ἐξ αὐτῶν.

Καὶ ἐξῆλθεν ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν καὶ ὀγδοήκοντα καὶ πέντε χιλιάδας· καὶ ἀναστάντες τὸ πρωῒ, εὗρον πάντα τὰ σώματα νεκρά. Καὶ ἀποστραφεὶς ἀπῆλθε Σεναχηρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευῇ· καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ Ἀσαρὰχ τὸν πάτραρχον αὐτοῦ, Ἀδραμέλεχ καὶ Σαρασὰρ οἱ υἱοὶ αὐτοῦ B *ἐπάταξαν αὐτὸν μαχαίραις· αὐτοὶ δὲ διεσώθησαν εἰς Ἀρμενίαν, καὶ ἐβασίλευσεν Ἀχορδὰν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.*

Προσεπήνεκται χρησίμως τοῖς ἐπηγγελμένοις τῶν προσδοκηθέντων τὸ πέρας, ἵνα μὴ φαίνοιτο ψευδοεπὴς ὁ τῶν ὅλων Θεός. Δεδαπάνηται γὰρ ἡ τῶν Ἀσσυρίων πληθὺς, οὐ ταῖς Ἰουδαίων ἁλοῦσα χερσὶν, οὐ τόξον αὐτοῖς ἐπανατείναντός τινος, οὐ δόρυ πρὸς μάχην ᾐρηκότος, ἢ ξίφος ἀπογυμνώσαντος, οὐχ ἵππων κραταιῶν, ἀρξαμένου τὴν μάχην ἀγγέλου γε μὴν ἀῤῥήτῳ δυνάμει καταστορέσαντος, καὶ πληθὺν ἀποφαίνοντος νεκρῶν τὴν ἀριθμοῦ κρείττονα. Καταπλήττεται τοίνυν τῷ θαύματι καίτοι θρασὺς ὢν ἄγαν ὁ στρατηγὸς, ἤγουν ὁ Σεναχηρεὶμ, οἴκαδέ τε ἀνεκομίσθη μόλις, καὶ γυμνὸς C εἰσάπαν ἧς ἐπεσύρετο στρατιᾶς ὑπονοστήσας, ἐλεεινῶς κατῴκησε, φησὶν, ἐν Νινευΐ. Εἶ τὸ λεῖπον [*ἴσ.* εἶτα λοιπὸν] ταῖς παρὰ τοῦ Θεοῦ γενομέναις ὑποσχέσεσιν εἰς πέρας ἐνήνεκται. Πέπτωκε γὰρ ἐν τῷ οἴκῳ αὐτοῦ πάτραρχόν τινα προσκυνῶν, ἕνα δηλονότι τῶν κατὰ σάρκα πατέρων ἢ πάππων αὐτοῦ. Τοῖς γὰρ ἅπαξ πεπλανημένοις ἔθος, οὐχὶ δὴ μόνοις τοῖς ἀκαθάρτοις πνεύμασιν, ἀλλὰ γὰρ καὶ ὅσοις ἂν ἕλοιντο νεκροῖς τὸ χρῆμα προσνέμειν. Ἐκπεπτωκότες γὰρ ἅπαξ τῆς εὐθείας ὁδοῦ πρὸς ὁτιοῦν τῶν δοκούντων αὐτοῖς ἀβασάνιστον ποιοῦνται τὴν ἀποδρομήν. Υἱοὺς δὲ εἶναί φησι τοὺς ἀπεκτονότας αὐτόν· ψήφου γὰρ θείας ἐπενηνεγμένης τισὶ, κατακινδυνεύσειαν πάντῃ τε καὶ πάντως οἱ τοῦτο παθόντες, καὶ ὡς τοῖς ἄγαν ἐχθροῖς περιτεύξονται τοῖς ἰδίοις. Οὐ τὴν ἐξ αἵματος οἰκειότητα D τῆς ἀσφαλείας ἐνέχυρον ἔχοντες, οὐ διάθεσιν καὶ σπουδὴν τὴν ὀφειλομένην πατράσιν ἐκ τέκνων, ἀλλὰ δι' ὧν ἦν εἰκὸς σώζεσθαι κινδυνεύοντας, διὰ τούτων αὐτῶν τοῖς τῆς ἀπωλείας ἐνιεμένους βάθροις. Καὶ ταυτὶ μὲν τό γε ἧκον εἰς τὸ τῆς ἱστορίας ἐξωφανὲς οὐκ ἀκόμψως εἰρῆσθαι δοκῶ. Δεῖν δὲ οἶμαι καί τι τῶν ἐσωτάτω θεωρημάτων εἰπεῖν εἰς παράκλησιν τοῖς πνευματικοῖς. Ἡ μὲν γὰρ ἁγία πόλις, τοῦτ' ἔστιν, ἡ Σιὼν, ἤγουν Ἱερουσαλὴμ, τύπος ἂν εἴη τῆς Ἐκκλησίας Χριστοῦ, τῆς ἀληθεστέρας Σιών· ταύτην ἔσθ' ὅτε, μᾶλλον δὲ ὡς ἐπίπαν οἱ τῆς ἀληθείας πολιορκοῦσιν ἐχθροὶ, τοῦτ' ἔστιν, οἱ τῶν ἀνοσίων αἱρέσεων εὑρεταί· καὶ πολιορκοῦσιν οὐ μόνοι, καταμισθούμενοι δὲ τρόπον τινὰ καὶ τὰς ἐν κόσμῳ δυναστείας, ἐμπνεόν-

et Davidem, quem etiam filium suum nominat. Propter se autem, quia benignus est et misericors, oportuitque divinam majestatem conviciis proscindentibus pœnam dignam inferre. Propter Davidem rursus, quod sanctorum virorum memoriæ hoc beneficii dat, ut obliviscatur malorum, quæ posteri ipsorum interdum admiserunt.

VERS. 36-38. *Et egressus est angelus Domini, et occidit ex castris Assyriorum centum et octoginta et quinque millia. Et cum surrexissent mane, invenerunt omnia corpora mortua. Et reversus abiit Senacherim rex Assyriorum, et habitavit in Ninive. Et cum ille adoraret in domo Asarac patronum suum, Adramelech et Sarasar, filii ejus, percusserunt eum gladiis. Ipsi autem servati sunt in Armenia. Et regnavit Achordan filius ejus pro eo.*

Subnectitur opportune promissis exspectatorum finis, ne universorum Deus mendax videatur. Consumpta est enim Assyriorum multitudo, non capta manibus Judæorum, non arcu cujusquam tenso, non hasta ad pugnam sublata, non gladio extracto, non equis strenuis pugna inita, sed ineffabili potentia angelus prostravit, multitudinemque cadaverum innumerabilem effecit. Percellitur itaque miraculo, quantumvis audacissimus, hic vir bellicosus, nimirum Senacherim, vixque reductus est domum, omninoque nudus exercitu quem advexit, reversus est miserabiliter. Habitavit, inquit, in 493 Ninive. Sic demum promissa a Deo facta ad exitum perducta sunt. Cecidit enim in domo sua, patrarchum quemdam seu patronum adorans, unum aliquem videlicet e patribus carnis propagatione, vel ex avis suis. Consueverunt enim qui semel erraverunt, hoc honoris tribuere non solum impuris spiritibus, sed et quibuslibet mortuis. Nam cum semel exciderint recta via, ad quidvis quod collubitum est, currunt citra discrimen. Filios esse dicit qui ipsum interfecerunt. Nam divina sententia in aliquos lata, undecunque et omnibus modis veniunt in pericula, quibus hoc accidit : non sanguinis conjunctionem incolumitatis pignus habentes, non affectum neque studium filiorum patribus debitum : sed a quibus servari eos par erat, periclitantes, per eos ipsos in foveam interitus præcipitantur. Et hæc quidem quoad exteriorem speciem historicam non inornate dicta esse puto. Dicendum est etiam aliquid de interiori tractatione seu contemplatione, ad consolationem spiritualium. Civitas enim sancta, nempe Sion, vel Jerusalem, typus esse potest Ecclesiæ Christi, et verioris Sion : quam interdum, imo fere semper, veritatis hostes obsident, id est, impiarum hæreseon inventores : nec obsident soli, sed conductis quodammodo mundi potestatibus ac dynastiis, insufflante hoc illis intelligibili Senacherim, id est Satana, et quasi emittente suos subditos, quique ejus nequitiæ solent subservire. Qui

postquam veniunt, pugnantque cum veritatis assertoribus, ac divinam derident majestatem, operæ quidem pretium minime faciunt. Silebunt enim qui obsidentur. Quam vero ob causam, beatus Paulus docebit, inquiens: « Non esse verbis pugnandum inutiliter [34], » et rursus : « Hæreticum hominem post unam aut alteram admonitionem devita, sciens, quod eversus sit, qui talis est [35]. » Nam qui semel toti sunt delapsi in errores et fucos, et mendacio constricti, superflua est eorum fortassis qui prodesse solent oratio. Scriptum est enim : In aures audientium loquere. Quando igitur veritatis inimici vel honores vel requiem pollicentur, sicuti hic sceleratus Rapsaces, vel pericula aut prælia minantur, ad Deum est accedendum, et **494** ex solo auxilio supero pendendum. Sufficiet enim supera et præpotens dextera, tum ad conservationem eorum qui recto pede solent incedere, tum ad interitum illorum qui resistunt. Abiget enim eos inenarrabili quodam robore usus, et liberabit bello Sionem, vere sanctam et impollutam, id est, Ecclesiam, quippe adversus quam portæ inferorum non valebunt [35*].

A τος πρὸς τοῦτο τοῦ νοητοῦ Σεναχηρείμ, δῆλον δὲ ὅτι τοῦ Σατανᾶ, καὶ οἷον ἐπαφιέντος τοὺς ὑπὸ χεῖρα καὶ τοὺς ὑπηρετεῖν εἰωθότας τὰς δυστροπίας αὐτοῦ, οἳ, ἐπειδὰν ἥκωσι τοῖς τῆς ἀληθείας προεστηκόσι διαμαχόμενοι, τῆς τοῦ Θεοῦ δόξης καταφλυαροῦντες, πολλὰ τεύξονται μὲν τὸ σύμπαν λόγου οὐδενός. Σιωπήσουσι γὰρ οἱ πολιορκούμενοι, καὶ διὰ ποίαν αἰτίαν, ὁ μακάριος Παῦλος διδάξει λέγων· « Μὴ λογομαχεῖν ἐπ' οὐδενὶ χρησίμῳ· » καὶ πάλιν, « Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν, καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος. » Τοῖς γὰρ ἅπαξ ὁλοτρόπως ἀπονενευκόσι πρὸς ἀπάτην καὶ φενακισμὸν, καὶ κατηρατημένοις τῷ ψεύδει περιττός που τάχα καὶ τῶν ὠφελεῖν εἰωθότων ὁ λόγος. Γέγραπται γάρ· Εἰς ὦτα ἀκουόντων λάλει. Ὅταν τοίνυν οἱ τῆς ἀληθείας ἐχθροὶ B ἢ τιμὰς καὶ ἀναπαύσεις ἐπαγγέλλονται, καθάπερ Ῥαψάκης ὁ ἀλητήριος, ἤγουν ἀπειλοῦσι κινδύνους καὶ μάχας, Θεῷ προσέρχεσθαι χρὴ καὶ τῆς ἄνωθεν ἐπικουρίας μεταποιεῖσθαι μόνης. Ἀρκέσει γὰρ ἡ ἄνω τε καὶ παναλκὴς δεξιὰ, καὶ πρός γε τὸ σῶσαι τοὺς ὀρθοποδεῖν εἰωθότας, καὶ πρὸς ὄλεθρον τῶν ἀνθεστηκότων. Ἀποσοβήσει γὰρ αὐτοὺς ἀποῤῥήτοις τισὶν εὐσθενείαις χρώμενος, καὶ ἀπαλλάξει πολέμου τὴν Σιὼν τὴν ἁγίαν οὕτως καὶ ἄμωμον, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν. Πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

CAP. XXXVIII. VERS. 1-3. *Factum est autem eo tempore, ægrotavit Ezechias usque ad mortem, accessitque ad eum Isaias filius Amos propheta, et dixit ei : Hæc dicit Dominus : Dispone de domo tua, morieris enim tu, et non vives. Et convertit Ezechias faciem suam ad parietem, et oravit ad Dominum dicens : Memento, o Domine, quemadmodum ambulavi in conspectu tuo, cum veritate, in corde vero, et quæ placita sunt in conspectu tuo, feci. Et flevit Ezechias fletu magno.*

Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, ἐμαλακίσθη Ἐζεκίας ἕως θανάτου. Καὶ ἦλθε πρὸς αὐτὸν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης, καὶ εἶπε πρὸς αὐτόν· Τάδε λέγει Κύριος· Τάξαι περὶ τοῦ οἴκου C *σου, ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ ζήσῃ. Καὶ ἀπέστρεψεν Ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ προσηύξατο πρὸς Κύριον, λέγων· Μνήσθητι, Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετὰ ἀληθείας, ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα. Καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ.*

Spectatissima pietate in Deum præditus fuit Ezechias, et celebrem ideo gloriam adeptus est. Nam aras revulsit, delubra diruit, adyta incendit, lucos excidit, et jugibus sacrificationibus legi consentaneis Deum coluit. Accolas etiam Judææ barbaros vicit, ut tributarios et vectigales multos faceret. Urbes etiam instauravit, ac ut semel dicam, laude ac gloria summa abundans, merito admirationi fuit. Cæterum abductus est brevi, ut Hebræorum filii aiunt, a decoro, et animo magno elatoque fuit, ac in superbiæ laqueos incidit. Hanc ob causam ex amore virgam ei intentavit Deus : « Quem enim amat, inquit, erudit Dominus, flagellatque filium quem recipit [36]. » Verberat enim ut liberorum amans pater, traducens ad meliora, et abducens a turpioribus eos, qui iis sunt impliciti. Quemadmodum enim medici acerrimi et peritissimi, quæ in corpore computruerunt, vel igni colliquefaciunt et absumunt, vel ferro secant, non odio erga ægrotantem istud factitantes, sed potius misericordia in eum victi : ad eumdem, credo, modum, universorum

Γέγονε μὲν Ἐζεκίας τῶν ὅτι μάλιστα διαφανεστάτων εἰς φιλοθεΐαν, καὶ διαβόητον ἐσχηκότων ἐπὶ τούτῳ τὴν δόξαν. Κατέσπασε γὰρ βωμοὺς, τεμένη καθεῖλεν, ἐνέπρησε δὴ τὰ ἐν σηκοῖς, ἐξέκοψεν ἄλση, καὶ θυσίαις ταῖς κατὰ νόμον θεραπεύων Θεὸν οὐ κατέληξέ ποτε. Κεκράτηκε δὲ τῶν προσοίκων τῇ Ἰουδαίᾳ βαρβάρων, ὡς καὶ ὑπὸ δασμοὺς καὶ τέλη ποιῆσαι πολλούς. Ἀνεδείματο δὲ καὶ πόλεις, καὶ ἁπαξ- D απλῶς εὐκλείαις ἐπίμεστος ταῖς ἀνωτάτω γεγονὼς, εἰκότως ἐθαυμάζετο. Ἀλλ', ὡς Ἑβραίων παῖδές φασι, παρεκομίσθη βραχὺ τοῦ πρέποντος, καὶ πεφρόνηκεν ἐφ' ἑαυτῷ μεγάλα, καὶ τοῖς τῆς ἀλαζονείας περιπέπτωκε βρόχοις. Ταύτης ἕνεκα τῆς αἰτίας τὴν ἐξ ἀγάπης αὐτῷ ῥάβδον ἐπανέτεινε Θεός· « Ὃν γὰρ ἀγαπᾷ, φησὶ, Κύριος παιδεύει, μαστιγοῖ δὲ υἱὸν ὃν παραδέχεται. » Πλήττει γὰρ ὡς φιλόπαις πατὴρ, μεθιστὰς εἰς τὰ βελτίω, καὶ τῶν αἰσχιόνων ἀποφέρων τοὺς ἐναλόντας αὐτοῖς. Ὥσπερ γὰρ οἱ τῶν ἰατρῶν ὅτι μάλιστα δριμεῖς καὶ εὐτεχνέστατοι τὰ σεσηπότα τῶν σωμάτων ἢ πυρὶ κατατήκουσιν, ἢ σιδήρῳ τέμνουσιν, οὐκ ἀπεχθείᾳ τῇ πρὸς τὸν κάμνοντα τοῦτο δρᾶν

[34] I Tim. VI, 20. [35] Tit. III, 10, 11. [35*] Matth. XVI, 18. [36] Hebr. XII, 6.

εἰωθότες, φειδοῖ δὲ μᾶλλον τῇ περὶ αὐτὸν ἡττώμενοι· κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον ὁ τῶν ὅλων Θεὸς τῶν ἐν ἡμῖν νοσημάτων ἀποκείρει τὰ βλάβη συμμέτροις ἀγανακτήσεσιν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν, κατὰ τὸ γεγραμμένον. Ἀῤῥωστίᾳ τοίνυν περιπέπτωκεν ὁ βασιλεὺς Ἐζεχίας, καὶ δὴ εἰς λῆξιν τοῦ παντὸς ἥκοντι κακοῦ· κεκινδύνευκε γὰρ ἐσχάτως διὰ τῆς τοῦ προφήτου φωνῆς· ὅτι τεθνήξεται, λέγει, καὶ ὅτι προσήκει διατυποῦν αὐτὸν τὸν οἶκον αὐτοῦ. Τοῦτο δὲ ἦν οὐκ ἠγνοηκότος μὲν ὅτι ζήσεται, καὶ τὸ τῆς ἀῤῥωστίας διαφεύξεται δεινὸν ἐλέῳ τῷ παρ' αὐτοῦ, καλοῦντος δὲ καὶ παραθήγοντος εἰς προσευχήν· ἵνα αἰτήσας κομίσηται παρ' αὐτοῦ τὸν ἔλεον. Κατοικτείρει γὰρ τοὺς ἀγαπωμένους, καὶ τοῖς γνησίοις χαρίζεται τῶν ποθουμένων τὴν εὕρεσιν καὶ τοὺς τῶν ἱκετιῶν προσίεται λόγους. Ὃ δὴ καὶ πέπρακται. Προσηύξατο γὰρ Ἐζεχίας, λέγων· Μνήσθητι, Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετὰ ἀληθείας, ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα. Καλὴ τῶν δικαίων ἡ παῤῥησία· μονονουχὶ γὰρ τῶν πεποιημένων ἀντέκτισιν καὶ τοὺς τῆς γνησιότητος αἰτοῦσι καρπούς. Ἐπιγάννυται δὲ τοῖς ἐννόμως βεβιωκόσιν ὁ τῶν ὅλων Θεὸς, καὶ τοῖς τὸν ἐξαίρετον διασώζουσι βίον κατανεύει ῥᾳδίως, ὅταν ἴδῃ δεδακρυμένους, καὶ πόνον τῇ προσευχῇ συμπλέκοντας.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἡσαΐαν λέγων· Πορεύθητι καὶ εἰπὲ Ἐζεχίᾳ· Τάδε λέγει ὁ Θεὸς Δαβὶδ τοῦ πατρός σου· Ἤκουσα τῆς φωνῆς τῆς προσευχῆς σου, καὶ εἶδον τὰ δάκρυά σου· ἰδοὺ προστίθημι πρὸς τὸν χρόνον σου ἔτη δεκάπεντε, καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων σώσω σε, καὶ ὑπὲρ τῆς πόλεως ταύτης ὑπερασπιῶ. Τοῦτο δέ σοι τὸ σημεῖον παρὰ Κυρίου, ὅτι ὁ Θεὸς ποιήσει τὸ ῥῆμα τοῦτο, ὃ ἐλάλησεν. Ἰδοὺ στρέφω τὴν σκιὰν τῶν ἀναβαθμῶν οὓς κατέβη ὁ ἥλιος, τοὺς δέκα ἀναβαθμούς. Καὶ ἀνέβη ὁ ἥλιος τοὺς δέκα ἀναβαθμοὺς οὓς κατέβη ἡ σκιά.

Οὐ μακρὸς μεταξὺ γέγονε χρόνος, ἀλλ' εὐθὺς κατανεύει Θεὸς, καὶ δέχεται τοῦ δικαίου τὰς λιτάς. Ὡς γὰρ ἐν ταῖς Βασιλείαις γέγραπται, πρὶν τὸν μακάριον προφήτην ἔξω γενέσθαι τῆς τοῦ βασιλέως αὐλῆς, γέγονε πρὸς αὐτὸν ὁ τοῦ Θεοῦ λόγος. Ὑπονοστήσας δὴ οὖν παραχρῆμα, τοὺς παρ' αὐτοῦ λόγους καθίστησιν ἐναργεῖς. Ἀκηκοέναι γὰρ ἔφη τῆς φωνῆς αὐτοῦ, τοῦτ' ἔστι, προσδέξασθαι τὴν εὐχὴν, καὶ ἐποπτεῦσαι τὸ δάκρυον· νέμει τε αὐτῷ παραχρῆμα τὸ διαπηδῆσαι δύνασθαι τοῦ θανάτου τὸ δεῖμα, καὶ τῆς προστεθείσης ζωῆς κατασημαίνει τὸ μέτρον, ἵνα πρὸς τὸ τέλος ἀφορῶν, καὶ ὅτι πάντη τε καὶ πάντως τεθνήξεται διακείμενος, ἀπαράδεκτον εἰς νοῦν τὸ τῆς ὑπεροψίας ποιοῖτο νόσημα. Ὑπισχνεῖται δὲ ὅτι, καθάπερ ἐπήγγελται φθάσας, κρείττονα τῆς Ἀσσυρίων χειρὸς ἀποφαίνει μὲν αὐτὸν, ὑπερασπιεῖ δὲ τῆς Ἱερουσαλήμ. Ἔδρα τε ταῦτα, πάντα τρόπον δυσθυμίας ἐκ μέσου τιθεὶς, καὶ πολὺ λίαν ἀλγήσαντα τοῖς ἐξ ἡμερότητος ἀγαθοῖς ἀνακτώμενος. Ὁ γὰρ πλήξας μοτώσει ὑμᾶς. Χρηστὸς γάρ ἐστι καὶ φιλοικτίρμων ὁ τῶν ὅλων Θεός.

Deus offensiones morborum in nobis moderata acerbitate ac securitate rescindit, ne cum mundo, sicuti scriptum est, condemnemur [36*]. In ægrotationem igitur incidit rex Ezechias, **495** et in omnium malorum sortem veniens, extreme periclitatus est, ut ex verbis prophetæ constat, qui eum moriturum dicit, et par esse ut domum suam disponat. Quod non erat ignorantis, ipsum victurum et ægrotationis gravitatem misericordia sua declinaturum : sed vocantis et ad precationem exstimulantis : ut precatus misericordiam ipsius reciperet. Etenim miseretur eorum quos diligit, et germanis filiis concedit ut rebus cupitis potiantur, et supplices orationes admittit. Quod et factum est. Oravit enim Ezechias, dicens : Memor esto, o Domine, quemadmodum ambulavi coram te cum veritate, in corde vero, et quæ tibi placent, feci [37]. Pulchra est justorum libertas ac fiducia : nam laborum mercedem prope et ingenuitatis fructus postulant. Lætatur etiam his qui legitime vixerunt, universorum Deus, et his qui præclaram vitam transigunt, facile annuit, quando videt eos lacrymari, et laborem precibus conjungere.

Vers. 4-8. *Et factum est verbum Domini ad Isaiam, dicens : Vade et dic Ezechiæ : Hæc dicit Deus David patris tui: Audivi vocem precationis tuæ, et vidi lacrymas tuas. Ecce adjicio ad tempus tuum annos quindecim, et de manu regis Assyriorum servabo te, et civitatem hanc protegam. Hoc autem tibi signum a Domino, facturum Deum hanc rem, quam locutus est. Ecce verto umbram graduum per quos descendet sol decem gradibus in domo patris tui, reduco solem decem gradibus. Et ascendit sol decem gradibus, per quos descendit umbra.*

Non multum temporis intercedit, sed statim Deus innuit et justi preces recipit. Nam, ut in Regnis scriptum est, priusquam beatus propheta exiisset aula regis, factum est ad illum verbum Dei [37*]: reversus igitur mox sermones ejus exponit. Ait enim se audisse vocem ejus, id est, suscepisse precationem et respexisse lacrymas, datque ei illico, ut mortis terrorem possit effugere, et terminos vitæ adjectæ designat, ut finem intuens, et se prorsus penitusque moriturum sentiens, **496** morbum superbiæ non sinat in animum intromitti. Promittitque, ut pollicitus est ante, se illum superiorem manu Assyriorum effecturum, et se quoque propugnaturum Jerusalem. Præstitit autem omnia hæc, contractionem animi e medio profligans, et eum qui valde dolore confectus erat, placabilitatis clementiæque bono recreans. Qui enim percussit, sanabit nos [38], benignus quippe est et misericors universorum Deus [38*]. Et fide quoque corroborat, quod hæc sint ad finem provehenda quæ sunt promissa, signo solis,

[36*] I Cor. xi, 32. [37] IV Reg. xx, 3. [37*] IV Reg. xx, 4. [38] Osee vi, 2. [38*] Joel ii, 13.

et factæ tunc conversionis umbræ decem gradibus. Dicunt autem Achazum Ezechiæ patrem, in domo sua, velut machina et arte quadam, gradus quosdam confici curavisse, qui velut horas numerarent, et cursum solis decursu umbræ in illis factæ metirentur. Quod igitur remigraturus in vitam esset Ezechias, planum fecit Deus, retrogrediente solis umbra, et die ad inusitatam horarum mensuram prolata. Nihil vero est omnino quod ab universorum Domino non possit effici, imo quidquid voluerit, præclare perficit, si vel solum innuerit.

A Ἐμπεδοῖ δὲ πρὸς πίστιν, ὅτι πρὸς πέρας ἐκβήσεται τὰ ἐπηγγελμένα σημείῳ τῷ κατὰ τὸν ἥλιον, κατὰ τὴν γενομένην τότε ἐπιστροφὴν τῆς σκιᾶς ἐν τοῖς δέκα ἀναβαθμοῖς. Φασὶ δὲ ὅτι Ἄχαζ ὁ Ἐζεκίου πατὴρ ὡς ἐκ μηχανῆς τινος καὶ τέχνης ἐν τῷ ἰδίῳ οἴκῳ ἀναβαθμούς τινας γενέσθαι παρεσκεύασεν, οἷον ὡρολογοῦντας, καὶ τὸν ἡλίου δρόμον ἐκμετρεῖν εἰωθότας τῇ καταδρομῇ τῆς ἐπ' αὐτοῖς γενομένης σκιᾶς. Ὅτι τοίνυν ἔμελλεν ὁ Ἐζεκίας ὑπονοστήσειν εἰς ζωὴν, φανερὸν ἐποίει Θεὸς ἀνόπιν ἰούσης τῆς ἡλίου σκιᾶς, καὶ ἐκτεινομένης ἡμέρας εἰς ὡρῶν ἀσύνηθες μέτρον. Δυστήνυτον δὲ παντελῶς οὐδὲν τῷ τῶν ὅλων Δεσπότῃ, ἀλλ' ὅπερ ἂν ἕλοιτο, κατορθοῖ κατανεύσας μόνον.

ORATIO EZECHIÆ REGIS JUDÆÆ,

Quando ægrotarit, et ex morbo suo convaluit.

B

ΠΡΟΣΕΥΧΗ ΕΖΕΧΙΟΥ ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΙΟΥΔΑΙΑΣ,

Ἡνίκα ἐμαλακίσθη, καὶ ἀνέστη ἐκ τῆς μαλακίας αὐτοῦ.

VERS. 10-13. *Ego dixi : In excelso dierum meorum vadam ad portas inferi, relinquam annos residuos. Dixi : Non ultra videbo salutare Dei in terra, non ultra videbo hominem ex cognatione mea. Dereliqui quod reliquum est vitæ meæ, exivit et recessit a me, quasi dissolvat tentorium is, qui fixit. Spiritus meus factus est apud me, velut tela lanam tractantis, quæ appropinquat ad succidendum. Die illa traditus sum, usque mane, quasi leoni, sic ossa mea contrivit. Nam a die ad noctem usque traditus sum.*

Ἐγὼ εἶπα ἐν τῷ ὕψει τῶν ἡμερῶν μου, Πορεύσομαι ἐν πύλαις ᾅδου· καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα. Εἶπα· Οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τοῦ Θεοῦ ἐπὶ τῆς γῆς, οὐκέτι οὐ μὴ ἴδω ἄνθρωπον ἐκ τῆς συγγενείας μου. Κατέλιπον τὸ λοιπὸν τῆς ζωῆς μου· ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ, ὥσπερ ὁ καταλύων σκηνὴν πήξας, τὸ πνεῦμά μου παρ' ἐμοὶ ἐγένετο, ὡς ἱστὸς ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην, ἕως πρωῒ ὡς λέοντι, οὕτως τὰ ὀστᾶ μου συνέτριψεν· ἀπὸ γὰρ τῆς ἡμέρας ἕως τῆς νυκτὸς παρεδόθην αὐτῷ.

Necessario illud ante alia dicendum est, Septuaginta posuisse hic, « in excelso dierum meorum, » ut alii interpretes, « in dimidio dierum, » reddiderunt. Ego quidem arbitror verba **497** Septuaginta prudentissime esse posita. Obsessa enim est sancta civitas, Rapsace et Assyriorum innumerabili multitudine eam undique cingentibus. At promisit Deus, per vocem Isaiæ, facturum se admirabilia præter opinionem, et periclitantes servaturum, et propulsaturum a Judæa tyrannum, et ipsum moriturum, ubi rem domesticam constituisset. His igitur omnibus ad exitum provectis, eo tempore, quod universorum Deus dixit, sublata sunt jam in altum Ezechiæ regni insignia. Ego itaque, inquit, apud me dicebam, Tempore gloriæ, vel in excelso dierum meorum, ero pro foribus inferorum, et relinquam annos residuos. Deinde his porro attexit ea, quibus contingit eos, qui morbo correpti sunt, et non multo post mortem videbunt, extremis consternari terroribus. Hæc autem sunt : Non ultra videbo salutem a Deo, non videbo hominem ex cognatione mea, reliqui quod reliquum est vitæ meæ, abiit a me : factus sum quasi dissolutum tabernaculum, et quasi tela mulieris lanam tractantis, id est, operantis seu texentis, et demum appropinquantis ad succidendum. Deinde ait : Tota nocte et die traditus sum leoni cuidam quodammodo, qui ossa mea conterit. Et qui tandem leo? Vel morbi dolor, et tantum non mors feræ instar infremens, et insultum minitans : vel terror qui ex mortis exspectatione surgit. Atterit

C Ἀναγκαῖον ἐκεῖνο καὶ πρό γε τῶν ἄλλων εἰπεῖν· οἱ μὲν γὰρ Ἑβδομήκοντα τεθείκασιν, ἐν τούτοις τὸ « ἐν τῷ ὕψει τῶν ἡμερῶν μου, » ὥς γε μὴν ἕτεροι τῶν ἑρμηνευτῶν τὸ « ἐν ἡμίσει τῶν ἡμερῶν » ἐκδεδώκασιν. Οἶμαι δὲ ἔγωγε, καὶ σφόδρα ἐμφρόνως τὰς τῶν Ἑβδομήκοντα τεθεῖσθαι φωνάς. Πεπολιόρκητο μὲν γὰρ ἡ ἁγία πόλις, Ῥαψάκου καὶ τῶν σὺν αὐτῷ κύκλῳ περιστησάντων τὴν τῶν Ἀσσυρίων ἀριθμοῦ κρείττονα πληθύν. Ἀλλ' ἐπηγγέλλετο Θεὸς διὰ τῆς Ἡσαΐου φωνῆς, ὅτι ποιήσει παράδοξα, καὶ διασώσει τοὺς κινδυνεύοντας, καὶ ἀποστήσει τῆς Ἰουδαίας τὸν τύραννον, καὶ ὅτι τεθνήξεται τὰ οἴκοι καταλαβών. Τούτων δὴ οὖν ἁπάντων εἰς πέρας ἐκβεβηκότων, καθ' ὃν ἔφη καιρὸν ὁ τῶν ὅλων Θεὸς, ἔμελλε τῆς Ἐζεκίου βασιλείας αἴρεσθαι εἰς ὕψος τὰ αὐχήματα. Ἐγὼ τοίνυν D εἶπον ἐν ἐμαυτῷ, φησὶν, ὅτι ἐν καιρῷ τῆς εὐκλείας, ἤγουν ἐν αὐτῷ τῷ ὑψοῦσθαι τὰς ἡμέρας μου, ἔσομαι μὲν ἐν πύλαις ᾅδου, καταλείψω δὲ τὰ ἔτη τὰ ἐπίλοιπα. Εἶτα τούτοις προσεπάγει τὰ δι' ὧν τοῖς ἐσχάτοις δείμασι συμβαίνει προσομιλεῖν τοὺς ἀῤῥωστείᾳ κατειλημμένους, καὶ οὐ μακρὰν ὁρῶντας τὸν θάνατον. Ταῦτα δέ ἐστιν τὸ, Οὐκέτι οὐ μὴ ἴδω σωτηρίαν τὴν παρὰ Θεοῦ, οὔτε μὴν ἴδω ἄνθρωπον ἐκ τῆς συγγενείας τῆς ἐμῆς· ἀφῆκα τὸ λοιπὸν τῆς ζωῆς μου, ἀπῆλθεν ἀπ' ἐμοῦ· γέγονα δὲ ὥσπερ λυομένη σκηνὴ, καὶ ὡς ἱστὸς γυναικὸς ἐρίθου, τοῦτ' ἔστιν, ἐργαζομένης, ἤγουν ὑφαινούσης, καὶ λοιπὸν ἐγγιζούσης ἐκτεμεῖν. Εἶτά φησιν, ὅτι Ἐν ὅλῃ νυκτὶ καὶ ἡμέρᾳ καθάπερ τινὶ λέοντι παρεδόθη τὰ ὀστᾶ μου συντρίβοντι. Καὶ τίς ὁ λέων; Ἡ τῆς ἀῤῥωστείας τὸ ἄχθος, καὶ

μονονουχὶ καταβρυχόμενος ὡς ἐν εἴδει θηρίου ὁ θάνατος, καὶ τὴν ἔφοδον ἀπειλῶν, ἤγουν τὸ ἐκ τοῦ τεθνάναι προσδοκᾷν ἀνειμένον δεῖμα. Συντρίβει γὰρ φόβος τε ὁμοῦ καὶ δυσθυμία ψυχὴν, καὶ πᾶσαν αὐτῆς συνθρίπτει δύναμιν.

A enim timor et consternatio animum, omnemque ejus vim elidit ac comminuit.

Ὡς χελιδὼν, οὕτως φωνήσω, καὶ ὡς περιστερὰ, οὕτως μελετήσω. Ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοὶ τοῦ βλέπειν, εἰς τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς Κύριον, ὃς ἐξείλετό με, καὶ ἀφείλετό μου τὴν ὀδύνην τῆς ψυχῆς. Κύριε, καὶ περὶ αὐτῆς ἀνηγγέλη σοι, καὶ ἐξήγειράς μου τὴν πνοὴν, καὶ παρακληθεὶς ἔζησα. Εἵλου γάρ μου τὴν ψυχὴν, ἵνα μὴ ἀπόληται, καὶ ἀπέῤῥιψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας μου.

VERS. 14-17. *Quasi hirundo sic vociferabor, et quasi columba, sic meditabor. Defecerunt enim mei oculi, ne aspicerem ego celsitudinem cœli ad Dominum, qui exemit me, et abstulit a me dolorem animi. Domine, de ipsa renuntiatum est tibi, et suscitasti spiritum meum, et consolatione adhibita vixi. Eripuisti enim animam meam, ne pereat, et projecisti a me omnia peccata mea.*

Τὰς χαριστηρίους ἀνατείνων ᾠδὰς, τὰ τῶν στρουθίων εὐστομεῖν εἰωθότα μιμεῖσθαι κατεπαγγέλλεται, καὶ ἀκαταλήκτους ποιεῖσθαι τὰς ὑμνῳδίας. Φησὶ δὲ ὅτι τοὺς τῆς διανοίας ὀφθαλμοὺς ἀνατείνας πρὸς Θεὸν, σέσωσται καὶ διαπέφευγε, καὶ τῆς ψυχῆς τὴν ὀδύνην, καὶ αὐτὸν δὲ τὸν θάνατον. Ἐξήγειρας γὰρ, φησὶ, τὴν ζωὴν, ἔζησά τε καὶ περιεποιήσω τὴν ἐμὴν, ἵνα μὴ ἀπόληται, καὶ ἀπέῤῥιψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας μου. Τοῦτο δὲ οὐκ ἔστι νοσοῦντος τὴν ἀλαζονείαν, ἀλλ' ἐπεγνωκότος ἤδη τὴν ἑαυτοῦ φύσιν, καὶ εἰδότος ἀκριβῶς ὅτι πολλαῖς ἔνοχοι πάντες ἐσμὲν ἁμαρτίαις, κἂν εἰ μὴ βούλοιτο σώζειν ἐλέῳ Θεὸς, οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν, ἀλλ' οὐδ' ἂν παῤῥησιάσηται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας. Οὐκοῦν ἐν ταῖς εὐπαθείαις, αἵπερ ἂν ἡμῖν γένοιντο παρὰ Θεοῦ, δοξολογείσθω πρὸς ἡμῶν ὡς ἀμνημονήσας τῶν ἐφ' οἷς ἦν εἰκὸς ὁσίως κολάζεσθαι. Σοφοὶ γὰρ, φησὶν, οἱ ἑαυτῶν ἐπιγνώμονες

B Gratulatoria proferens carmina, aviculas quæ suavissime solent canere, imitari se prædicat, et perpetuos hymnos laudesque decantare. Ait vero, mentis oculis ad Deum subvectis servatum se fuisse, et cum animi dolores, tum ipsam mortem effugisse. Excitasti **498** enim, inquit, me ad vitam, et vixi, et asseruisti animam meam, ne pereat, et projecisti post me omnia peccata mea. Hoc autem non est hominis arrogantiæ morbo laborantis, sed agnoscentis jam naturam suam, et probe intelligentis, omnes nos pluribus peccatis esse constrictos, et nisi Deus ex misericordia servare vellet, neminem gloriaturum, castum se cor habere, sed nec libere dicturum, se a peccato mundum esse. Quare in beneficiis quibus nos a Deo afficimur, glorificetur a C nobis, ut qui oblivioni dederit ea, quorum nos juste dare pœnas æquum erat. Sapientes enim, inquit, sunt qui se norunt.

Οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσί σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε, οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου. Οἱ ζῶντες εὐλογήσουσί σε, ὃν τρόπον κἀγώ. Ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω, ἃ ἀναγγελοῦσι τὴν δικαιοσύνην σου, Κύριε τῆς σωτηρίας μου, καὶ οὐ παύσομαι εὐλογῶν σε μετὰ ψαλτηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

VERS. 18-20. *Non enim qui apud inferos sunt, laudabunt te, neque mortui tibi benedicent, neque sperabunt qui apud inferos sunt, misericordiam tuam. Qui vivunt benedicent tibi, quemadmodum et ego. Nam ab hodierno die filios faciam, qui annuntiabunt justitiam tuam, Domine salutis meæ, neque desinam benedicere tibi cum psalterio omnibus diebus vitæ meæ.*

Τὴν ἴσην ἂν ἔχοι τοῖς προκειμένοις διάνοιαν τὰ διὰ τῆς τοῦ ψάλλοντος φωνῆς εἰρημένα· « Τίς ἡ ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; Μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὰ θαυμάσιά σου; » Οἱ γὰρ ἅπαξ τεθνεῶτες, καὶ ταῖς ᾅδου πύλαις γεγονότες κάτοχοι, ἀποπεπαύσονται τάχα που καὶ τοῦ δοξολογεῖν. Προσεπιθεῖεν δ' ἂν οἷς εἰργάσαντο παντελῶς οὐδὲν, μενοῦσι δὲ μᾶλλον ἐν οἷς κατελείφθησαν, καὶ τὸν τῆς καθόλου κρίσεως ἐκδέξονται καιρόν. Οὐκοῦν οἱ ζῶντες, φησὶν, καὶ τοῦτο δρᾷν ὅτι τὸ ἀγαθὸν ἔχοντες ἐξουσίαν, ἐπειδὰν εὐπάθειεν, εὐλογήσουσί σε ὃν τρόπον κἀγώ. Ὑπισχνεῖται δὲ παιδία ποιεῖν, ἃ ἀναγγελοῦσι τὴν τοῦ Θεοῦ δικαιοσύνην. Καὶ οἱ μέν φασιν ὅτι χοροστασίαν ἀπαγγέλλεται, καὶ ψαλτῳδοὺς τοὺς ἔν γε τῷ θείῳ ναῷ κατα-

Similem hisce verbis sententiam habent ea, quæ voce Psallentis dicta sunt: « Quæ utilitas est in sanD guine meo, cum descendero ad corruptionem? Num confitebitur tibi pulvis, vel annuntiabit miracula tua [39]? » Qui namque semel mortui sunt, et in inferorum portis tenentur, desistent etiam Dei laudes celebrare. Nihil enim quidquam his quæ operati sunt, possunt adjicere, sed manebunt potius, in quibus relicti sunt, et generalis judicii tempus exspectabunt. Itaque viventes, inquit, et qui bene faciendi facultatem habent, cum beneficiis affecti sint, benedicent tibi, quemadmodum et ego. Pollicetur deinde se filios facturum, qui divinam justitiam annuntient. Quidam dicunt illum chorum symphoniacum promittere, et psalmorum cantores sua-

[39] Psal. xxix, 10

vissimos in divino templo præfecturum. Alii vero mente arcanioribus etiam rebus intenta dicunt, cum altum saperet Ezechias, putasse regnum se habere sine fine vitamque perennem, persuasus, de Christo scripta, tanquam de filio Davidis, de se dicta fuisse, et eo respexisse. Unde dicunt, etiamsi quatuordecim annos regnasset, nunquam tamen visum esse curam egisse suscipiendorum liberorum: nunc **499** itaque edoctum vitæ suæ terminum, curare eos qui sibi succedant, et quod filios dicat, et quod adjiciat: Annuntiabunt Domini justitiam; a vero tamen ejus aberravit oratio. Natus est enim Manasses impius et nefarius: verum quantum ad patris animum, pius etiam fuit, et divinæ gloriæ nuntius.

VERS. 21, 22. *Et dixit Isaias ad Ezechiam : Cape massam ficuum, et tere, et emplastrum impone, et sanus eris. Et dixit Ezechias : Hoc est signum quod ascendam in domum Dei.*

In quarto libro Regnorum scriptum est, causam morbi Ezechiæ fuisse ulcus malum et intractabile [39*], ut ipsas etiam artes medicorum respueret. Sed ubi semel Deus vitam annuit justo, et morbum quoque jussit tollere et detergere: et ex quibus verisimile, imo exploratum ac certissimum est, dolores vulneris ingravescere, ille per hæc dedit ut liberaretur. Est enim paradoxorum et incredibilium semper effectrix manus Omnipotentis, et hæc nimirum manus epitulatrix meat per ea quæ sunt a communi opinione abhorrentia. Tere igitur, inquit, massam ficuum, ut emplastrum imponas, et sanus eris. Et erat exspectandum, uti dixi, ut læderetur vulnus, aut certe nihil sentiret opis. Sed cum Deus jusserit, hoc in signi vim utitur prudentissimus Ezechias, et inquit: Si ex massa ficuum sanus fuero, cessante morbo, et omni in me dolore consopito, hoc mihi signum erit firmum et verum, quod ascendam in domum Dei, et scilicet facturus sacrificia et oraturus [39**].

CAP. XXXIX. VERS. 1, 2. *In tempore illo misit Meodach filius Ladam, rex Babyloniæ, epistolas, et legatos, et dona Ezechiæ; audivit enim ægrotasse illum usque ad mortem, et convaluisse. Gavisusque super eis est Ezechias gaudio magno, et monstravit eis domum Nechotha, et stactæ, et suffimentorum, et unguenti; et argenti, et auri, omnesque domos vasorum gazæ, et quæcunque erant in thesauris suis, nec erat quidquam quod non monstraverit Ezechias in domo sua.*

500 Mortuo Senacherim, e suis filiis regnasse loco ejus narrat Scriptura sacra Nochordam filium.

A στήσει τοὺς εὐφωνοτάτους. Ἕτεροι δὲ καὶ τοῖς ἀποῤῥητοτέροις ἔτι τὸν νοῦν ἐνιέντες λέγουσιν, ὅτιπερ ὑψηλὰ φρονήσας ὁ Ἐζεχίας ᾠήθη τάχα που καὶ ἀτελεύτητον ἔχειν τὴν βασιλείαν καὶ αὐτὴν ἀκατάληκτον ζωήν· διατεθεὶς ὅτι τὰ ἐπὶ Χριστῷ γεγραμμένα, ὡς ἐφ' υἱῷ τοῦ Δαβὶδ, εἰς ἑαυτὸν εἴρηταί τε καὶ βλέπει. Ὅθεν φασὶ, καίτοι τεσσαρεσκαιδέκατον ἔτος ἐν τῷ βασιλεύειν ἔχων, οὐχ ὁρᾶται πεφροντικὼς τοῦ χρῆναι παιδοποιεῖν· μεμαθηκὼς τοιγαροῦν τὸ τῆς ἑαυτοῦ ζωῆς πέρας, τῶν διαδεξομένων αὐτὸν ποιεῖται φροντίδα, καὶ ὅτι παιδία φησὶ, καὶ προστίθησιν ὅτι Ἀναγγελοῦσι τὴν τοῦ Κυρίου δικαιοσύνην, καὶ τῆς μὲν ἀληθείας διημάρτηκεν ὁ λόγος αὐτῷ. Γέγονε γὰρ ὁ Μανασσῆς δυσσεβής τε καὶ ἀλητήριος, πλήν τό γε ἧκον εἰς τὴν τοῦ φύσαντος γνώμην, ἦν καὶ αὐτὸς εὐ-
B σεβὴς καὶ τῆς τοῦ Θεοῦ δόξης ἀπαγγελεύς.

Καὶ εἶπεν Ἡσαΐας πρὸς Ἐζεχίαν· Λάβε παλάθην ἐκ σύκων, καὶ τρῖψον, καὶ κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ. Καὶ εἶπεν Ἐζεχίας· Τοῦτο δὴ τὸ σημεῖον, ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ Θεοῦ.

Ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν γέγραπται, ὅτι πρόφασις τῆς ἀῤῥωστίας τῷ Ἐζεχίᾳ γέγονεν ἕλκος πονηρὸν καὶ δυσμεταχείριστον, ὡς καὶ αὐτὰς ἀπειπεῖν τὰς τῶν ἰατρῶν εὐτεχνίας. Ἐπειδὴ δὲ ἅπαξ κατένευσε Θεὸς τῷ δικαίῳ τὴν ζωὴν, καὶ τὸ ἀποτρίψασθαι τὴν νόσον προστέταχε, δι' ὧν ἦν εἰκὸς, μᾶλλον δὲ καὶ ἀναμφιβόλως ἔχον, ὅτι πρὸς ἐπίδοσιν ἀλγημάτων κατανεύσει τὸ τραῦμα, διὰ τούτων ἀπαλλάττεσθαι. Παραδοξοποιὸς γὰρ ἀεὶ τοῦ πάντα
C ἰσχύοντος ἡ χείρ· καὶ διὰ τῶν ἀδοκήτων ἔρχεται τῆς ἐπικουρίας ὁ τρόπος· δῆλον δὲ ὅτι τῆς παρ' αὐτοῦ. Τρῖψον τοίνυν, φησὶν, ἐκ σύκων παλάθην, κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ. Καὶ ἦν ἐντεῦθεν, ὡς ἔφην, ἀδικηθήσεσθαι προσδοκᾷν, ἤγουν ἀπόνασθαί τι τὸ τραῦμα. Ἐπειδὴ δὲ ὁ Θεὸς προστάττων ἦν, εἰς σημείου δύναμιν τὸ χρῆμα ποιεῖται πανσύνετος ὢν Ἐζεχίας, καί φησιν, ὅτι Εἰ καὶ διὰ σύκων παλάθης ὑγιασθήσομαι, σημεῖον ἔσται τοῦτό μοι βέβαιόν τε καὶ ἀληθὲς ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ Θεοῦ, θύσων τε αὐτῷ δηλονότι, καὶ προσευξόμενος καταληγούσης τῆς ἀῤῥωστίας, καὶ παντὸς ἀλγήματος οἱονεὶ κατευνασθέντος ἐν ἐμοί.

*Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε Μεοδὰχ υἱὸς
D τοῦ Λαδὰμ ὁ βασιλεὺς τῆς Βαβυλωνίας, ἐπιστολὰς, καὶ πρέσβεις, καὶ δῶρα Ἐζεχίᾳ· ἤκουσε γὰρ ὅτι ἐμαλακίσθη ἕως θανάτου, καὶ ἀνέστη. Καὶ ἐχάρη ἐπ' αὐτοῖς Ἐζεχίας χαρὰν μεγάλην· καὶ ἔδειξεν αὐτοῖς τὸν οἶκον τοῦ Νεχωθᾶ, καὶ τῆς στακτῆς καὶ τῶν θυμιαμάτων, καὶ τοῦ μύρου, καὶ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου, καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης, καὶ πάντα ὅσα ἦν ἐν τοῖς θησαυροῖς αὐτοῦ, καὶ οὐκ ἦν οὐδὲν, ὃ οὐκ ἔδειξεν Ἐζεχίας ἐν τῷ οἴκῳ αὐτοῦ.*

Τεθνεῶτος τοῦ Σεναχηρεὶμ ὑπὸ τῶν ἑαυτοῦ παίδων βεβασιλευκέναι φησὶ τὸ Γράμμα τὸ ἱερὸν Νε-

[39*] IV Reg. xx 7. [39**] ibid., 8.

χοδὰν τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ. Ἀλλ' ὡς ἔοικεν, A ἐκείνου γεγονότος ἐκ μέσου, τοὺς τῆς βασιλείας κεκληρονόμηκε θώκους Μεωδὰχ ὁ τοῦ Λααδάν. Οὗτος πεπομφέναι λέγεται πρὸς Ἐζεχίαν δῶρά τε ὁμοῦ καὶ ἐπιστολὰς, καὶ πρέσβεις· καὶ ποία τίς ἐστιν ἡ τοῦδε πρόφασις, εἰπεῖν ἀναγκαῖον. Ἤκουσε γὰρ, φησὶν, ὅτι ἐμαλακίσθη ἕως θανάτου καὶ ἀνέστη· ἀλλ' οὐχὶ τοῦτο μόνον τὸ μαλακισθῆναι μὲν, φημὶ, τὸν Ἐζεχίαν, ῥέψαι δὲ αὖθις εἰς εὐρωστίαν ἀναδραμεῖν, κατέπληξε τὸν Βαβυλώνιον, ἀλλ' ἐκεῖνο πάντως τὸ μέγα καὶ ἐξαίσιον ἀληθῶς σημεῖον· ἀῤῥήτῳ τε καὶ θεοπρεπεῖ νεύματι παλινδρομεῖν ὁ ἥλιος προσετάττετο καὶ ὀπίσω βαδίζειν, ὥστε καὶ ἀνελθεῖν τὴν σκιὰν τοὺς δέκα ἀναβαθμούς. Βαβυλωνίων δὲ καὶ Χαλδαίων, οἱ ἐπίκλην σοφοὶ, ἰσχνοὶ λίαν ὑπάρχοντες, εἰ B καὶ αὐτοὺς εἶναι φάσκοντες περί τε τοῦ ἡλίου δρόμον, καὶ ἀστέρων ἐπανατολὰς, καὶ δύσεις, οὐκ ἠγνοήκασι κατὰ τὸ εἰκὸς τὴν ἀνόπιν ὑποστροφὴν, καὶ τῆς ἡμέρας ἐκείνης τὸ ἀσύνηθες μῆκος. Ἦν δὲ δὴ καὶ μάλα εἰκὸς ἐκτεθρυλλῆσθαι τοῖς ἀνὰ πᾶσαν τὴν γῆν τοῦ σημείου τὴν δύναμιν, καὶ ὅτι δέδοται πρὸς βεβαίωσιν τῆς ἐπαγγελίας τοῦ Θεοῦ τῆς ἐπί γε, φημὶ, τῷ Ἐζεχίᾳ γενομένης. Καὶ καθ' ἕτερον δὲ τρόπον τεθαυμακέναι φαμὲν τὸν Μεωδὰχ τὸ παραδόξως συμβεβηκὸς τοῖς μετὰ Ῥαψάκου πολιορκήσασι τὴν Ἱερουσαλὴμ, οὓς ἐν μιᾷ νυκτὶ δεδαπάνηκεν ἀγγέλου καταπαίουσα χεὶρ, ὡς εὑρεθῆναι πάντα πρωῒ τὰ σώματα νεκρά. Οὐκοῦν ἧκον μὲν οἱ πρέσβεις, ἐπ' αὐταῖς δὴ ταύταις ταῖς πέρα λόγου θεοσημίαις καταθαυμάσαντος τοῦ Μεωδὰχ τὴν Ἐζεχίου δικαιοσύνην. C Ὁ δὲ καίτοι δέον τοῖς ἐκ Βαβυλῶνος ἀφιγμένοις λαμπρὰν ποιεῖσθαι διήγησιν τὰς κατὰ καιροὺς ἐπικουρίας τοῦ πάντα ἰσχύοντος Θεοῦ, καὶ τῶν παραδόξων τὴν μεγαλουργίαν, ἵνα καὶ ἔτι μειζόνως τὴν θείαν ὑπεροχὴν θαυμάζοντες, καὶ τὴν ἄμαχον ἐξουσίαν τοῦ πάντων Δεσπότου, διὰ τῶν παρ' αὐτοῦ μυσταγωγηθέντων λόγων, ὑπονοστήσειαν εἰς τὴν ἑαυτῶν, τὴν περὶ Θεοῦ γνῶσιν καταπλουτήσαντες· ἦν γὰρ οὕτω δύνασθαι καὶ ἑτέρους ὠφελεῖν ἐπαγγέλλοντας ἃ μεμαθήκασι· τοῦτο μὲν οὐκ ἔδρα, παρεκομίσθη δὲ μᾶλλον εἰς ἀνθρωπίνην φιλοκομπίαν, καὶ οὐκ ἀφ' ὧν τετίμηται παρὰ Θεοῦ τὴν ἑαυτοῦ δόξαν οἰκονομεῖ, ἀλλ' ἐκ πλούτου τοῦ κατὰ τὴν βασιλείαν, καὶ μέχρι τούτων ὁρίζει τῆς ἐνούσης εὐκλείας ἑαυτῷ τὴν δύναμιν. Ἔδειξε γὰρ, φησὶν, αὐτοῖς τὸν οἶκον D τοῦ Νεχωθά· διερμηνεύεται δὲ τὸ Νεχωθὰ τῶν ἀρωμάτων, καὶ τῆς στακτῆς, καὶ τοῦ μύρου, καὶ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου, καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης, τοῦτ' ἔστι, τῆς περιουσίας. Γάζα γὰρ λέξις μὲν εἶναι λέγεται Περσικὴ, δηλοῖ δὲ τὸν πλοῦτον, ἤτοι τὴν περιουσίαν.

Sed, ut apparet, eo quoque e medio sublato, regni solium hæreditate accepit Meodach filius Ladam. Hic misisse dicitur ad Ezechiam dona simul et epistolas, et legatos. Quæ autem hujus sit causa, necessario dicendum. Audivit enim, inquit, ægrotasse usque ad mortem, et convaluisse : at non hoc solum admiratione perculsit Babylonium, quod, inquam, ægrotarit Ezechias, et rursus ad bonam valetudinem redierit, sed illud omnino magnum et ingens vere signum. Ineffabili et divino nutu sol jussus est recurrere et retrogredi, ut et umbra decem gradus redierit. Babyloniorum et Chaldæorum cognomine Sophi, id est sapientes, cum se jactitent in cursu solis, et stellarum ortu, et occasu cognoscendo subtiliter doctos : hanc retroversionem, ut videtur, et diei ejus insolitam magnitudinem non ignorarunt. Est autem et illud probabile, divulgatam fuisse per universam terram signi virtutem, et ad confirmationem promissi divini, quod, inquam, Ezechiæ factum est, fuisse datum. Alio quoque modo dicimus, Meodach admiratum esse id quod supra opinionem accidit his, qui cum Rapsace obsederunt Jerusalem, quos percutiens manus angeli una nocte consumpsit, ita ut mane omnia corpora mortua invenirentur. Itaque venerunt legati, his divinis ac rationem excedentibus signis admirante Meodach Ezechiæ justitiam. Hic vero cum profectis ex Babylone, illustri narratione, auxilia omnipotentis Dei, diversis temporibus, et incredibilium harum rerum splendorem ac magnificentiam exponere debuisset, et ut ipsi quoque divinam excellentiam et invictam universorum Domini potestatem, ex his quos ille institueret sermonibus magis admirantes, reverterentur in patriam, divina cognitione locupletati (sic enim licuit et aliis prodesse, cum hi renuntiarent quæ didicissent) : hoc ille minime fecit, sed in humanam potius jactantiam prolapsus est, nec suam gloriam ex his rebus, quibus est honoratus a Deo, sed ex regni opulentia æstimat, hincque dignitatis suæ **501** **potentiam metitur. Monstravit enim, inquit, illis domum Nechotha, nimirum, si interpreteris, aromatum, et stactæ, et unguenti, et argenti, et auri, et omnes domos vasorum gazarum, id est, facultatum. Gaza enim vox Persica esse dicitur, denotatque divitias seu facultates.**

Καὶ ἦλθεν Ἡσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα Ἐζεχίαν, καὶ εἶπε πρὸς αὐτόν· Τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι, καὶ πόθεν ἥκασι πρός σέ; Καὶ εἶπεν Ἐζεχίας· Ἐκ γῆς πόῤῥωθεν ἥκασι πρός με, ἐκ Βαβυλῶνος. Καὶ εἶπεν Ἡσαΐας· Τί εἴδοσαν ἐν τῷ οἴκῳ σου; Καὶ εἶπεν Ἐζεχίας· Πάντα τὰ ἐν τῷ οἴκῳ μου εἴδοσαν, καὶ οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου, ὃ οὐκ εἴδοσαν, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου εἴδοσαν. Καὶ εἶπεν αὐτῷ

VERS. 3-7. *Et venit Isaias propheta ad regem Ezechiam, dixitque ei : Quid narrant homines isti? et unde veniunt ad te? Et ait Ezechias : E terra longinqua veniunt ad me, ex Babylone. Et ait Isaias : Quid viderunt in domo tua? Et ait Ezechias : Omnia quæ in domo mea sunt viderunt, non est quidquam in domo mea, quod non viderint, quin et quæ in thesauris meis sunt, viderunt. Aitque illi Isaias : Audi verbum Domini Sabaoth : Ecce dies veniunt, et*

accipient omnia quæ in domo tua sunt : et quæcunque congregaverunt patres tui, usque ad diem hanc, in Babylonem venient, et nihil relinquent : aitque Deus, Etiam a filiis tuis quos genuisti, accipient, et facient spadones in domo regis Babyloniorum.

A *Ἡσαΐας· Ἄκουσον τὸν λόγον Κυρίου Σαβαώθ· Ἰδοὺ ἡμέραι ἔρχονται, καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα συνήγαγον οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης, εἰς Βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ μὴ καταλείψωσιν· εἶπε δὲ ὁ Θεός· ὅτι Καὶ ἀπὸ τῶν τέκνων σου ὧν ἐγέννησάς γε λήψονται, καὶ ποιήσουσι σπάδονας ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλωνίων.*

Mittitur quidem propheta a Deo, sed primum adveniens et Ezechiæ occurrens, quasi de sua sententia fingit se loqui. Hinc dicit : Quid dicunt homines isti? Est autem valde usitata hæc ejus oratio. Advenerunt siquidem Babylonii, quod fortassis cuperent scire, ut dixi, causam retrogressionis solis, et cur hoc signum tam celebratum factum fuerit. Ille vero cum, ut dicebam, potius debuisset divinam excellentiam eis narrare, et quod ipsius nutu hæc creatura recederet, domum ostendit suffimentorum et gazarum. Sciscitatur igitur propheta, cur venerint, et qui eorum hic sermo fuerit: cui nihil prorsus ille respondit : hoc solum dicit, ex Babylone et ex terra longinqua venisse : multum fortassis inde sibi placens, quod tanti viri, tam longo intervallo interjecto dissiti, haud mediocri studio ejus amicitiam ambierint. Interrogante ergo propheta, quid spectassent, ac rege dicente, nihil fuisse reliquum quod ipsis esset invisum : ait venturos dies, quando omnia in **502** thesauris ipsius, et ante ipsum studio et cura coacervata, transirent ad Babylonios : adjecit et illud, quod ex futuris sibi, temporis successu, filiis, perinde quasi ex remotiori generis successione essent, spadones, id est eunuchos, in domo regis Babyloniorum facerent, harum scilicet rerum artifices. Narrant, imo et Regnorum liber testatur hæc contigisse diebus Jechoniæ, quando vi totam Judæam Nabuchodonosorus cepit, Jerosolyma et insuper divinum templum incendit, Israelemque captivum abduxit, inter quos erant divinus Daniel et ejus socii, in domo regis Babyloniorum, quos etiam dicunt fuisse spadones, id est eunuchos. Cujusmodi est hæc, et cui usui est hæc prænuntiatio? Innuit hinc Deus, vel quod satius fuisset, ac sapientius horum quæ admirabiliter facta essent a divina excellentia et magnificentia, necessariam instituere narrationem, illis qui ex Babylone venerunt : vel etiam quod tantum non illexerit Babyloniorum oculos, eo quod recondita in thesauris ostenderit.

Ἀπέσταλται μὲν ὁ προφήτης παρὰ Θεοῦ, πλὴν ἐν ἀρχαῖς Ἐζεχίᾳ συντετυχηκὼς ὡς ἀπὸ γνώμης οἰκείας ἀφιγμένος προσποιεῖται λαλεῖν. Ταύτῃ τοί φησι· Τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι; Ἐν ἤθει δὲ πολλῷ γέγονεν ὁ λόγος αὐτῷ. Ἀφίκοντο μὲν γὰρ οἱ Βαβυλώνιοι, τάχα που τὴν αἰτίαν, ὡς ἔφην, ἀναμαθεῖν σπουδάζοντες τῆς ἀνόπιν ὑποστροφῆς τοῦ ἡλίου, B καὶ ἐφ' ὅτῳ γέγονε τὸ διαβόητον οὕτω σημεῖον. Ὁ δὲ καίτοι μᾶλλον, ὡς ἔφην, ἀφηγεῖσθαι δέον αὐτοῖς τὴν θείαν ὑπεροχὴν, καὶ ὅτι τοῖς αὐτοῦ νεύμασιν ἡ κτίσις παραχωρεῖ, τὸν οἶκον ἔδειξε τῶν θυμιαμάτων, καὶ τῆς γάζης. Διαπυνθάνεται τοιγαροῦν ὁ προφήτης ἐφ' ὅτῳ τε ἥκουσι, καὶ τίς ὁ λόγος αὐτοῖς. Ὁ δὲ πρὸς τοῦτο μὲν ἔφη παντελῶς οὐδέν· ὅτι δὲ ἐκ Βαβυλῶνος ἥκουσι, καὶ ἐκ γῆς μακρόθεν, αὐτὸ δὴ τουτὶ καὶ μόνον φησί· τάχα που καὶ μέγα πεφρονηκὼς, ὡς καὶ τῶν ἄγαν, καὶ μακροῖς διαστήμασι τοῖς μεταξὺ κειμένοις ἀφεστηκότων, τῆς πρὸς αὐτὸν μεταποιεῖσθαι φιλίας οὐ μετρίως διεσπουδακότων. Ἐρομένου δὴ οὖν τοῦ προφήτου τί ἄρα τεθέανται. Τοῦ γε μὴν βασιλέως οὐδὲν ἀπομεῖναι λέγοντος ἄποπτον αὐτοῖς, ἡμέρας ἥξειν φησὶ, καθ' ἃς ἅπαντα τὰ ἐν τοῖς θησαυ- C ροῖς αὐτοῦ, καὶ διὰ σπουδῆς, καὶ διὰ φροντίδος τῶν πρὸ αὐτοῦ συναγηγερμένα, μετοιχήσονται πρὸς Βαβυλωνίους· προσετίθει δὲ τούτοις ὅτι καὶ ἐκ τῶν ἐσομένων αὐτῷ κατὰ καιροὺς παίδων, ὡς ἐν μακροτέραις δὲ τοῦ γένους διαδοχαῖς σπάδονας, τοῦτ' ἔστιν, εὐνούχους, ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλωνίων ποιήσουσιν οἱ ταῦτα δηλονότι τεχνῖται. Συμβεβηκέναι δὲ τὰ τοιαῦτά φησι, μᾶλλον δὲ ἡ τῶν Βασιλειῶν διαμαρτύρεται βίβλος, ἐν ἡμέραις Ἰεχονίου, ὅτε κατὰ κράτος ἅπασαν τὴν Ἰουδαίαν ἑλὼν ὁ Ναβουχοδονόσορ, κατεμπρήσας δὲ τὰ Ἱεροσόλυμα, καὶ προσέτι τὸν θεῖον νεὼν, ἀπεκόμισε τὸν Ἰσραὴλ αἰχμάλωτον, ἐν οἷς ἦσαν οἱ τῶν ἀμφὶ τὸν θεσπέσιον Δανιὴλ ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλωνίων, οὕς φασι γενέσθαι σπάδονας, τοῦτ' ἔστιν εὐνούχους. D Ποία τις οὖν ἄρα καὶ ἐφ' ὅτῳ χρησίμῳ γέγονε τῆς τοιᾶσδε προαπαγγελίας τὸ χρῆμα; Δείκνυσι γὰρ διὰ τούτου Θεὸς, ἢ ὅτι τοῖς ἐκ Βαβυλῶνος ἥκουσιν, ἄμεινον ἦν δήπου, καὶ σοφὸν, ἀναγκαίαν ποιήσασθαι διήγησιν τὰ παραδόξως γεγενημένα διὰ τῆς θείας ὑπεροχῆς, καὶ μεγαλουργίας, ἤγουν καὶ μονονουχὶ καὶ κατερεθίσαι τὸν Βαβυλωνίων ὀφθαλμὸν, διὰ τοῦ παραδεῖξαι τὰ κεκρυμμένα ἐν θησαυροῖς.

VERS. 8. *Et ait Ezechias Isaiæ : Bonus sermo Domini, quem locutus est : Fiat autem pax et justitia diebus meis.*

Καὶ εἶπεν Ἐζεχίας πρὸς Ἡσαΐαν· Ἀγαθὸς ὁ λόγος Κυρίου ὃν ἐλάλησε· γενέσθω δὲ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου.

Destituitur apologia et defensione, cumque orationem non habeat, qua suis delictis opem afferat, bonum ait esse sermonem Dei, licet hæc prænuntiaverit, de quibus par erat ut uberes lacrymæ ex oculis

Ἠπόρησε πρὸς ἀπολογίαν, καὶ τοῖς ἑαυτοῦ πταίμασι τὸν ἐπικουροῦντα λόγον οὐκ ἔχων, ἀγαθὸν εἶναί φησι τὸν τοῦ Θεοῦ λόγον, καίτοι προαπηγγελκότα τὰ ἐφ' οἷς ἦν εἰκὸς ἄσχετον ἐξ ὀμμάτων καταχεῖσθαι

δάκρυον. Εἶτα τὴν ἐν ταῖς ἰδίαις ἡμέραις εἰρημένην A [γρ. εἰρήνην] ζητεῖ, μονονουχὶ καὶ φράσας ἐῤῥῶσθαι τοῖς μετ' αὐτὸν ἐσομένοις, καὶ ἀφειδήσας παντελῶς χώρας τε ὁμοῦ τῆς ἰδίας πόλεώς τε καὶ γένους. Ἀλλ' ἦν ἄμεινον αὐτῷ κατολοφύρεσθαι μὲν ἐπί γε τοῖς προηγορευμένοις, ἐξαιτῆσαι δὲ παρὰ Θεοῦ τὸν ἔλεον, καὶ ἐπὶ τοῖς μετ' αὐτὸν, οὐ πρόσκαιρον, καὶ συνεσταλμένην εὐημερίαν αἰτεῖν. Ἀλλὰ γὰρ ἀσθενὴς ἄγαν ὁ ἀνθρώπου νοῦς, καὶ πολλὰ πταίομεν, κατὰ τὸ γεγραμμένον, ἀγχίνους δὲ καὶ σοφὸς οὐδεὶς ἂν γένοιτο τῶν καθ' ἡμᾶς εἰσάπαν, διεκπίπτει δὲ πολλάκις εἰς τὸ μὴ ἔχον ὀρθῶς, καὶ καρδία θεοφιλὴς, καὶ νοῦς ὁ τεθαυμασμένος.

manarent. Deinde suis diebus pacem quærit, modo non vale dicto suis posteris, et abjecta omnino cura et regionis et suæ civitatis et generis. Verum satius fuisset ei, de his quæ prædicta sunt luxisse, et a Deo misericordiam petivisse, et posterorum nomine felicitatem non temporariam et contractam postulare. Sed valde infirma est mens humana, et in multis labimur omnes [40], secundum id quod scriptum est: nec quisquam nostrum cordatus, et in omnes partes sapiens esse poterit : sed cor etiam amans Dei, et mens admirabilis, sæpe in id quod minus rectum est, impingit.

Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός· ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερου- B *σαλὴμ, παρακαλέσατε αὐτὴν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς· λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς.*

CAP. XL. VERS. 1-2. *Consolamini, consolamini populum* **503** *meum, dicit Deus : Sacerdotes, loquimini ad cor Jerusalem, consolamini eam, quia completa est humiliatio ejus; solutum est ejus peccatum, quia recepit de manu Domini duplicia peccata ejus*

Μεταπεφοίτηκεν ὁ λόγος ἐπὶ τὰ ἐν Χριστῷ, καὶ τῆς δι' αὐτοῦ χάριτος ποιεῖται λοιπὸν ἐναργῆ τὴν ἀνάῤῥησιν· πλὴν οὐχ ἔξω τοῦ εἰκότος ὁρᾶται κεχωρηκὼς, οὔτε μὴν εἰσκεκομισμένος ἐν οὐ καιρῷ τῷ καθήκοντι. Φαῖεν γὰρ ἂν ἴσως τινὲς τῶν οὐ λίαν ἠκριβηκότων τὰ ἐν τῇ θείᾳ Γραφῇ· Τίνα δὴ τρόπον τοῖς Ἐζεκίου λόγοις ὁ προφήτης ἐν τούτοις ἡμῖν ποιεῖται γείτονα τὴν ἐπὶ Χριστῷ προαγόρευσιν; Ἀπολογησόμεθα δὲ πρὸς τοῦτο ἡμεῖς ἐκεῖνο λέγον- C τες· ὅτι διαμνημονεύσας ὁ λόγος τῆς τελευταίας ἁλώσεως τῆς Ἰουδαίων γῆς, καὶ αὐτῶν δὲ τῶν Ἱεροσολύμων, ὡς ἐν καιρῷ καὶ χρείᾳ λοιπὸν, τὴν μετὰ τοῦτο γενομένην παρὰ Θεοῦ παράκλησιν εἰσκεκόμικεν ἀναγκαίως. Ἐρῶ δὲ διὰ βραχέων τὴν διασάφησιν ἀκριβῆ τῶν ἀρτίως ἡμῖν εἰρημένων. Πλεῖσται μὲν γὰρ γεγόνασι κατὰ τῶν Ἱεροσολύμων ἔφοδοι, καὶ πεπόρθηται πολλάκις ἡ τῶν Ἰουδαίων χώρα· τοῦτο μὲν ὑπὸ χειρὸς Ἀσσυρίων· τοῦτο δὲ καὶ ἐξ ὁμόρων Βαρβάρων, καὶ μὴν καὶ ἑτέρων τινῶν καταδῃούντων αὐτήν. Εἶτα τελευταία γέγονεν ἅλωσις, ἡ διά γε τοῦ Ναβουχοδονόσορ ἐν καιροῖς τῆς Ἰεχονίου βασιλείας, ὅτε καὶ αἰχμάλωτος ὁ Ἰσραὴλ εἰς τὴν τῶν ᾑρηκότων ἀπεκομίσθη χώραν. Καὶ ἐν καιροῖς τῆς βασιλείας Κύρου τῆς αἰχμαλωσίας ἀνέθη καὶ ὑπενόστησεν εἰς D τὴν Ἰουδαίαν, ἀνεδείματό τε τὸν νεὼν, καὶ κατῳκήκασιν οὐ μεμερισμένως, μέχρι τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας. Ἐπειδὴ τοίνυν τῆς ἐσχάτης αἰχμαλωσίας πεποίηται μνήμην, ὅτε πάντα τὰ ἐν θησαυροῖς τῶν βασιλέων τῆς Ἰουδαίας ἐλθόντες (γρ. ἐχόντες) οἱ Βαβυλώνιοι ὑπενόστησαν εἰς τὴν ἑαυτῶν, ἀναγκαίως καὶ τῆς μετὰ τοῦτο γεγενημένης παρακλήσεως, δῆλον δὲ ὅτι τῆς διὰ Χριστοῦ, ποιεῖται τὴν προαγόρευσιν τοῖς τὸ θεῖον ἱερουργοῦσιν Εὐαγγέλιον, ἐπιτάττων, καὶ λέγων· « Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός. » Παράκλησις γὰρ πρὸς σωτηρίαν πρώτοις μάλιστα τοῖς ἐξ Ἰσραὴλ ἡ Χριστοῦ γέγονε πα-

Transit oratio ad Christi tempora, et gratiæ per ipsum clarum inducit vaticinium : nec extra decorum videtur exspatiari, neque intempestive introducta est. Dicent enim quidam in divinis Litteris non satis diligenter versati : Qui fit, ut propheta, hic sermonibus Ezechiæ prædictionem de Christo nobis vicinam faciat? Ad hoc sic defensionem instituemus, illud dicentes : Cum ultimam Judaicæ terræ captivitatem, ipsorumque adeo Jerosolymorum commemorasset oratio : tempestive veluti, et utiliter deinceps factam a Deo consolationem jam induxit, et necessario. Sed paucis dicam, exponamque accurate, quæ a nobis modo dicta sunt. Plures enim impressiones contra Jerosolyma factæ sunt, et sæpe regio Judæorum vastata est, partim manu Assyriorum, partim finitimorum Barbarorum, aliorumque eam populantium. Postrema demum facta est captivitas per Nabuchodonosorum, temporibus regni Jechoniæ, quando Israel captivus est abductus in regionem eorum qui illum vicerant. Temporibus vero regni Cyri, a captivitate relaxata est, rediitque in Judæam, ac templum refecit, et habitaverunt non disperse, usque ad Servatoris nostri adventum. Quando igitur ultimæ captivitatis mentionem fecit, cum omnes regum Judææ thesauros capientes Babylonii, redierunt in terram suam, necessario etiam post hæc consolationis factæ, videlicet per Christum, prædictionem facit, his qui divinum administrant Evangelium, præcipiens et dicens : « Consolamini, consolamini populum meum, dicit Deus. » Prima enim ad salutem consolatio, maxime Israelitis, fuit Christi adventus, et per illum oracula, cum dicat aperte : « Non sum missus, nisi ad oves perditas domus Israel [40*]. » O igitur, inquit, sacerdotes, o ministri novorum et Christi vaticiniorum, loquimini ad cor Jerusalem, id est, acceptum auditoribus

[40] Jac. III 2. [40*] Matth. x, 24.

sermonem consolationis habete. **504** Molesta enim et onerosa erat lex omnibus, et docens typos, non immittens in mentem et cor rerum necessariarum institutionem auditoribus: sed velut externam cognitionis speciem, tanquam in sola littera, idque vix, tradidit. At salutaris et evangelica prædicatio loquitur, Spiritu sancto, cujusque cogitationis profunditatem patefaciente, et spirituales meditationes ac contemplationes immittente, et sanctorum sermones infigente, et in penitissimis quasi animi penetralibus inurente. Talis erat beatus David, psallens et dicens: « In corde meo abscondi eloquia tua, ne peccem tibi [41]. » Quin et sanctos apostolos allocutus est Servator: Reponite vos in cordibus vestris sermonem, nimirum ab ipso traditum et salutarem. Quod autem ad mentem et cor loquatur evangelica sanctorum mystagogorum prædicatio, cooperante ad hoc, imo perficiente totum hoc sancto Spiritu, ex sacris Litteris fides peti potest. Dixit enim Deus per unum e sanctis prophetis: « Ecce dies veniunt, dicit Dominus, et consummabo super domum Israel et domum Judæ fœdus novum, non secundum fœdus quod feci cum patribus eorum, in die quo apprehendi manum eorum, ut educerem eos e terra Ægypti, quia ipsi non permanserunt in fœdere meo. Et ego neglexi eos, dicit Dominus, quia hoc est fœdus quod paciscar cum illis in diebus illis, dicit Dominus: dans dabo leges meas in mentem eorum, et in cordibus eorum inscribam eas [42]. » Scribit etiam ad quosdam beatus Paulus: « Epistola nostra vos estis, quæ intelligitur et legitur ab omnibus hominibus, dum palam fit, vos esse epistolam Christi, subministratam a nobis, inscriptam non atramento, sed Spiritu Dei viventis, non in tabulis lapideis, sed in tabulis cordis carneis [43]. » Placet autem quibusdam, pro divinæ prædicationis ministris, sacerdotes his verbis nominari sanctos angelos, quibus illud quadrare potest maxime, in cordibus loqui posse. Consolamini igitur illam. Quid vero dicentes? nempe destitisse ab ira in ipsos excitata, universorum Dominum. « Completa est humiliatio ejus: » abunde enim, inquit, humiliata est, et dissolutum est ejus peccatum. « Quia recepit de manu Domini duplicia peccata ejus. » An ergo **505** præter decorum punivit Deus, et pares criminibus pœnas non imposuit, sed longe ac veluti duplo graviores? Qui vero hoc probabile? Qui verus est, cum dicit: Non puniet Dominus bis idem in afflictione [43*]? Ergo quomodo est intelligendum quod dicitur? Quemadmodum enim pater quispiam filiorum amans, et ex intimis visceribus totus misericors, cum delinquenti cuipiam paululum offensus fuerit, putatur forte etiam ultra modum ei factus commotior (causa autem hujus est indulgentia, et patris affectus liberis debitus), sic ait Jerusalem, quam consolatur accipere de manu Domini duplicia peccata: quæ plerumque vehementer rerum gravium ac intoleranda-

ρουσία, καὶ τὰ δι' αὐτοῦ θεσπίσματα λέγοντος ἐναργῶς· « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Ὦ τοίνυν, φησὶν, ἱερεῖς, ὦ λειτουργοὶ τῶν νέων, καὶ διὰ Χριστοῦ θεσπισμάτων, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ, τοῦτ' ἔστιν, εὐπαράδεκτον τοῖς ἀκροωμένοις τὸν τῆς παρακλήσεως ποιήσασθε λόγον. Φορτικὸς μὲν γὰρ ὁ νόμος ἦν ἅπασι, καὶ σκιὰς διδάσκων καὶ τύπους· οὐκ εἰς νοῦν καὶ καρδίαν τὴν περὶ τῶν ἀναγκαίων ἐνιεὶς παίδευσιν τοῖς ἀκροωμένοις, ἀλλ' οἷον ἐξωφανῆ τινα γνῶσιν τὴν ὡς ἐν γράμμασι μόνοις ἐνετίθει μόλις. Τὸ δέ γε σωτήριον, καὶ εὐαγγελικὸν λαλεῖται κήρυγμα, δεικνύοντος τοῦ ἁγίου Πνεύματος τῆς ἑκάστου διανοίας τὸ βάθος, καὶ πνευματικὰς θεωρίας εἰσπέμποντος, καὶ τοὺς τῶν ἁγίων ἐμπηγνύντος λόγους, καὶ τοῖς ἐσωτάτοις τῆς διανοίας μυχοῖς οἱονεί πως ἐγκατακαίοντος. Τοιοῦτός τις ἦν ὁ μακάριος Δαβὶδ ψάλλων τε καὶ λέγων· « Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. » Ἀλλὰ καὶ τοῖς ἁγίοις ἀποστόλοις προσπεφώνηκεν ὁ Σωτὴρ, ὅτι Θέσθε ὑμεῖς εἰς τὰς καρδίας ὑμῶν λόγον, δῆλον δὲ ὅτι τὸν παρ' αὐτοῦ, καὶ σωτήριον. Ὅτι δὲ εἰς νοῦν καὶ καρδίαν λαλεῖται τὸ εὐαγγελικὸν κήρυγμα παρὰ τῶν ἁγίων μυσταγωγῶν, συνεργαζομένου πρὸς τοῦτο, μᾶλλον δὲ κατορθοῦντος τὸ πᾶν τοῦ ἁγίου Πνεύματος, ἐκ τῶν ἱερῶν Γραμμάτων ἔποιτο ἂν ἡ πίστις. Ἔφη γάρ που Θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν· οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου. Κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος, ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι αὐτοῖς ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος· διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὰς καρδίας αὐτῶν ἐπιγράψω αὐτούς. » Γράφει δέ τισι καὶ ὁ μακάριος Παῦλος· « Ἡ ἐπιστολὴ ὑμῶν ὑμεῖς ἐστε, γινωσκομένη τε καὶ ἐπιγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων, φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις. » Δοκεῖ δέ τισιν, ἀντὶ τῶν τοῦ θείου κηρύγματος ἱερουργῶν ἱερεῖς ἐν τούτοις ὠνομάσθαι τοὺς ἀγγέλους τοὺς ἁγίους· οἷς δὴ μάλιστα πρέποι ἂν καὶ τὸ ἐν καρδίαις δύνασθαι λαλεῖν. Παρακαλέσατε τοίνυν αὐτήν. Τί δὴ ἄρα λέγοντες; ὅτι κατέληξε τῆς ὀργῆς τῆς ἐπ' αὐτοῖς γενομένης ὁ τῶν ὅλων Θεός. « Ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς. » Ἀποχρώντως γὰρ, φησὶ, τεταπείνωται, καὶ λέλυται αὐτῆς ἡ ἁμαρτία. « Ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. » Ἆρ' οὐχὶ πέρα τοῦ δέοντος ἐκόλαζε Θεὸς, καὶ οὐκ ἰσοῤῥόπους τοῖς ἐγκλήμασιν ἐπετίθει τὰς δίκας, ἀλλ' ὑπὲρ ταύτας πολὺ, καὶ οἷον ἐν διπλῷ· εἶτα πῶς οὐκ ἀπίθανον τὸ χρῆμά ἐστι; Πῶς δὲ ἀληθεύσει, λέγων· Οὐκ ἐκδικήσει Κύριος δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει; πῶς

[41] Psal. cxviii, 11. [42] Jer. xxxi, 31-34. [43] II Cor. iii, 2, 3. [43*] Job xxxiii, 14.

οὖν ἄρα συνιέναι χρὴ τὸ εἰρημένον; οἱονεὶ γάρ τις φιλόπαις πατὴρ καὶ πλείστην ἔχων τὴν εὐσπλαγχνίαν πλημμελοῦντά τινα τὸν υἱὸν (τῶν υἱῶν?) ὀλίγα λελυπηκὼς, οἴεται τάχα που καὶ παρὰ τοῦ μέτρου τὸ ἐπ' αὐτῷ πεποιῆσθαι κίνημα· αἴτιον δὲ τούτου φιλοστοργία, καὶ ἡ παισὶν ἐκ πατρὸς ὀφειλομένη διάθεσις· οὕτω δεδέχθαι φησὶν ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς, τὴν παρακαλουμένην Ἱερουσαλὴμ, ἐπὶ πολὺ μὲν ἄγαν κατεγνωσμένην, δεινοῖς τε, καὶ ἀφορήτοις πράγμασι, μετρίως γε μὴν, καὶ οὐκ ἰσοῤῥόπως τοῖς παρ' αὐτοῦ γινομένοις κεκολασμένην. « Καὶ γάρ ἐστιν ἀληθῶς οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινὸς, καὶ οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν; οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν. »

rum accusata fuit, ab ipso tamen moderate et non pro dignitate factorum punita. « Est enim vere misericors et clemens Dominus, longanimis et multæ misericordiæ et verax, neque secundum iniquitates nostras fecit nobis, neque secundum peccata nostra rependit nobis [44]. »

Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδιάδα, καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησε.

VERS. 3-5. *Vox clamantis in deserto: Parate viam Domini, rectas facite semitas ejus. Omnis vallis implebitur, et omnis mons et collis humiliabitur. Et erunt omnia quæ obliqua sunt, directa et aspera in vias campestres, et apparebit gloria Domini, et videbit omnis caro salutare Dei, quia Dominus locutus est.*

Λελυτρῶσθαι λέγων τὸν Ἰσραὴλ, ἀπηλλάχθαι δὲ καὶ τῶν ἰδίων πταισμάτων τὴν Ἱερουσαλὴμ παρακληθῆναί τε προστεταχὼς αὐτὴν, μονονουχὶ κατὰ πόδας τῶν εἰρημένων ἰόντα τε, καὶ τρέχοντα τὸν τῆς παρακλήσεως ὑποφαίνει καιρόν· ἔστι δὲ οὗτος τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, οὗ καὶ πρόδρομος εἰσβέβηκεν ὁ θεσπέσιος Βαπτιστὴς ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, διακεκραγώς τε καὶ λέγων· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. » Τοῦτό τοι προεγνωκὼς ἐν πνεύματι, καὶ ὁ μακάριος Ζαχαρίας ὁ αὐτοῦ γεγονὼς Ἰωάννου πατὴρ προεφήτευσε, λέγων· « Καὶ σὺ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι τὰς ὁδοὺς αὐτοῦ. » Καὶ περὶ αὐτοῦ πρὸς αὐτοὺς ἔφασκεν ὁ Σωτήρ· « Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων. Ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. » Ἥλιος μὲν γὰρ δικαιοσύνης, καὶ φῶς τὸ ἀληθινόν ἐστιν ὁ Χριστός. Λύχνῳ δὲ παρεικάζει τὸ Γράμμα τὸ ἱερὸν, τὸν μακάριον Βαπτιστήν. Ὡς γὰρ πρὸς τὸ θεῖόν τε καὶ ἄῤῥητον φῶς, πρὸς τὴν ἄφραστόν τε καὶ ὑπερμεγέθη λαμπρότητα, παρεικάζοιτο ἂν εἰκὸς τῷ λύχνῳ τῷ βραχεῖ τὸ τῆς ἀνθρωπίνης διανοίας μέτρον, καὶ εἰ πλῆρες γένοιτο φωτὸς καὶ σοφίας. Τί τοίνυν ἐστὶ τὸ, « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, » καὶ τό γε δὴ δεῖν εὐθείας ποιεῖσθαι τὰς τρίβους αὐτοῦ; Σαφηνίζει προστιθείς· « Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδιάδα. » Εἰσὶ μὲν γὰρ λεωφόροι τινὲς, ἤτοι τρίβοι βάσιμοι μὲν ἥκιστά γε, τραχεῖαι δὲ αὗται καὶ δυσπόρευτοι, ὡς πῇ μὲν ἀνίστασθαι πρὸς ὄρη τε καὶ βουνοὺς, πῇ δὲ αὐτὰς καταφέρεσθαι, καὶ εἰς κρημνοὺς ἀποκρεμᾶσθαι βαθεῖς. Εἰ δὲ δὴ γένοιτό πως ὑφιζῆσαι μὲν τὰ ὑψοῦ καὶ ἀνάντη, ἀναπίμπλασθαι δὲ τὰ ἐν κοίλῳ καὶ βάθει, τότε δὴ, τότε πάντη τε καὶ πάντως εἰς εὐθεῖαν ἔσται τὰ σκολιὰ, καὶ εἰς

Cum dixerit redemptum esse Israelem, et absolutam a suis delictis Jerusalem, cumque jusserit consolationem ei adhiberi: tempus consolationis, proxime et tantum non ad pedes jam dictorum, ut ita dicam, subjungit, nimirum Servatoris nostri adventum: cujus prævius ac præcursor venit divinus ille Baptista in deserto Judææ, clamans et dicens: « Parate viam Domini, rectas facite semitas Dei nostri [45]. » Quod cum præscivisset spiritu etiam beatus Zacharias, hujus Joannis pater, prophetavit, dicens: « Et tu, puer, propheta Altissimi vocaberis. præibis enim faciem Domini, ut pares vias ejus [46]. » Et de eo dixit illis Servator: « Ille erat lucerna ardens et lucens, vos autem voluistis exsultare ad tempus in luce ejus [47]. » Sol enim justitiæ et lux vera est Christus. Lucernæ vero **506** comparat Scriptura sacra beatum Baptistam. Etenim, si divinam et ineffabilem lucem, si inexplicabilem et immensum splendorem respicias, merito comparari possit parvæ lucernæ mentis humanæ modulus, etiamsi plenus sit lucis et sapientiæ. Quid ergo est, « Parate viam Domini, et rectas facite semitas ejus? » Explanat, addens: « Omnis vallis implebitur, et omnis mons et collis reddetur humilis, et erunt omnia prava in directa, et aspera in vias planas [48]. » Sunt enim quædam publicæ viæ, et semitæ minime perviæ, sed asperæ illæ quidem et inviæ, ut aliquando assurgendum sit ad montes et colles, aliquando per eosdem descendendum, nunc in præcipitiis pendeas, nunc in colles profundos deferaris. Sin contingat ut edita hæc et prærupta loca subsidant, et quæ in cavo ac profundo sunt compleantur: tunc, tunc undequaque recta erunt, quæ erant obliqua, et campi plani, et via expedita, quæ quondam erat aspera et abrupta. Hoc factum est intelligibiliter, Servatoris nostri potentia. Olim enim omnibus, ut sic dixerim, hominibus inaccessa erat vita eximia, et

[44] Psal. CII, 8, 10. [45] Luc. III, 4. [46] Luc. I, 76. [47] Joan. V, 35. [48] Luc. III, 5.

evangelicæ conversationis semita parum trita : quod mens omnium mundanis et terrenis esset detenta cupiditatibus, ac subjecta carnis, iisque fœdis motibus. Postquam autem homo factus atque caro, secundum Scripturas, in carne abolevit peccatum, et principatus, ac potestates, et rectores mundi hujus demolitus est[48*] : æquabilem nobis et ad currendum aptissimam viam pietatis effecit, nihil habentem acclive, vel in altum sublatum, nihil cavum aut deorsum, sed in campos magis complanatam. Omnia enim obliqua, facta sunt directa. Nec hoc solum, sed « et apparebit, inquit, gloria Domini, et videbit omnis caro salutare Dei [49], quia Dominus locutus est. » At quo pacto, et quomodo gloriam dicit apparituram ? Erat enim et est unigenitum Dei Verbum, utpote Deus exsistens, et ex Deo Patre, arcana ratione natus, in deitatis præstantia, supra omnem principatum, et potestatem, et thronum, et dominationes, et omne nomen quod nominatur, non solum in hoc sæculo, sed et in futuro[49*]; et ipse est gloriæ Dominus, et novimus nos gloriam ejus, etiamsi olim non noverimus : quando sicut et nos, factus homo dispensatione, **507** se potentia, operatione, gloria Deo et Patri æqualem declaravit : omnia verbo potentiæ suæ ferens, miracula facile peragens, creaturam increpans, mortuos excitans, et cætera mirifica citra laborem perficiens. Apparuit igitur gloria Domini, et contemplata est omnis caro salutem Dei, scilicet Patris. Salvatorem enim et Redemptorem nobis misit de cœlo Filium. Cum enim lex nihil consummaret, et typica sacrificia non haberent vim abstergendi peccata, in Christo consummamur, et ab omni labe liberati, adoptionis spiritu honoramur. Hæc in illo gratia, quantum quidem ad scopum et animum servantis, per omnem carnem meavit, id est, per omnes homines. Carnem enim intelligere oportet hominem. Si quidam videantur hujus salutis expertes, verus tamen sic est prophetæ sermo. Scopus enim et propositum honorantis et servare volentis attenditur, non desidia vocatorum expenditur. Adjicit idque necessario : Quia Dominus locutus est, ne quis eum mendacia proferre arbitretur, vel ex corde suo, et quod ipsi visum est eructare, sed potius Dei opinionem, et quod prorsus penitusque futurum est, præsignificare.

A ψιλὰ πεδία, καὶ οἷον ὕπτιον ἔχοντα τὴν ὁδὸν τὰ τραχέα τε, καὶ φαραγγώδη. Πότε τοῦτο; τοῦτο γέγονε νοητῶς διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἰσχύος. Πάλαι μὲν γὰρ ἅπασιν, ὡς ἔπος εἰπεῖν, ἀνθρώποις δυσπόρευτος ἦν ἡ ἐξαίρετος ζωὴ, καὶ τῆς εὐαγγελικῆς πολιτείας ἡ τρίβος ἀνεπιτήδευτος, διάτοι τὸ κεκρατῆσθαι τὸν τῶν ἁπάντων νοῦν κοσμικαῖς καὶ γεώδεσιν ἐπιθυμίαις, καὶ τοῖς τῆς σαρκὸς ἐκτόποις κινήμασιν ὑποφέρεσθαι. Ἐπειδὴ δὲ γεγονὼς ἄνθρωπος, ἤτοι σὰρξ, κατὰ τὰς Γραφὰς, κατήργηκε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, καθεῖλε δὲ καὶ ἀρχὰς καὶ ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου, λείαν ἡμῖν καὶ εὐδρομωτάτην ἀπέφηνε τὴν εἰς εὐσέβειαν ὁδὸν οὐδὲν ἔχουσαν τὸ ἄναντες, ἢ καὶ ἠρμένον ὕψου. Οὐδὲν τὸ κοῖλον τὸ κάτω, ἀλλ' εἰς πεδία μᾶλλον ἐψιλωμένην. B Πάντα τὰ σκολιὰ γεγόνασιν εἰς εὐθεῖαν. Καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ γὰρ « καὶ ὀφθήσεται, φησὶν, ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησε. » Δόξαν δὲ, φησὶν, ὀφθήσεσθαι, πῶς ἢ τίνα τρόπον; Ἦν μὲν γὰρ, καὶ ἔστιν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἅτε δὴ καὶ Θεὸς ὑπάρχων, καὶ ἐκ Θεοῦ Πατρὸς ἀποῤῥήτως γεγεννημένος ἐν ταῖς τῆς θεότητος ὑπεροχαῖς ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, θρόνων τε, καὶ κυριοτήτων καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ αὐτός ἐστιν ὁ τῆς δόξης Κύριος, ἐγνώκαμεν δὲ καὶ ἡμεῖς τὴν δόξαν αὐτοῦ, καίτοι πάλαι μὴ εἰδότες, ὅτε καθ' ἡμᾶς γενόμενος ἄνθρωπος οἰκονομικῶς ἔδειξεν ἑαυτὸν, ἰσοσθενῆ, καὶ ἰσουργὸν, καὶ ἰσοκλεᾶ τῷ Θεῷ C καὶ Πατρὶ, φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καὶ κατορθῶν εὐκόλως τὰς θεοσημίας, ἐπιτιμῶν τῇ κτίσει, νεκροὺς ἀνιστὰς, καὶ τὰ ἕτερα δὲ τῶν θαυμάτων ἀμογητὶ κατορθῶν. Ὤφθη τοίνυν ἡ δόξα Κυρίου· τεθέαται δὲ καὶ πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, δῆλον δὲ ὅτι τοῦ Πατρός. Σωτῆρα γὰρ ἡμῖν καὶ Λυτρωτὴν πέπομφεν ἐξ οὐρανοῦ τὸν Υἱόν. Τελειοῦντος γὰρ οὐδὲν τοῦ νόμου, καὶ τῶν ἐν τύποις θυσιῶν οὐκ ἐχουσῶν τὸ δύνασθαι διασμήχειν ἁμαρτίας, ἐν Χριστῷ τελειούμεθα, καὶ ἁπάσης κηλῖδος ἀπηλλαγμένοι, τῷ τῆς υἱοθεσίας τετιμήμεθα πνεύματι. Καὶ ἡ μὲν ἐπὶ τούτῳ χάρις, τό γε ἧκον εἰς τὸν τοῦ διασώζοντος σκοπὸν, ἐπὶ πᾶσαν ἂν ἴοι σάρκα, τοῦτ' ἔστιν, ἐπὶ πάντας ἀνθρώπους. Σάρκα γὰρ ἐν τούτοις τὸν ἄνθρωπον νοητέον. Εἰ δὲ δὴ φαίνοιντό τινες τῆς σωτηρίας ἠμοιρηκότες, ἀψευδὴς ἂν εἴη· καὶ οὕτως ὁ τοῦ προφήτου λόγος. Ὁ γὰρ σκοπὸς τοῦ τιμήσαντος, καὶ διασῶσαι θελήσαντος, καὶ οὐχὶ τῶν κεκλημένων τὸ ῥᾴθυμον ἐξετάζεται. Προσεπάγει δὲ ἀναγκαίως ὡς ὅτι Κύριος ἐλάλησε, ἵνα μή τις οἴηται ψευδηγορεῖν αὐτὸν, ἢ καὶ ἀπὸ καρδίας, ἢ καὶ τὸ δοκοῦν ἐρεύγεσθαι τυχόν. Ἀλλ' ὅτι τὸ τῷ Θεῷ δόξαν, καὶ τὸ πάντῃ τε καὶ πάντως ἐσόμενον προμεμήνυκε.

VERS. 6-8. *Vox dicentis : Clama. Et dixi : Quid clamabo ? Omnis caro fenum, et omnis gloria hominis quasi flos feni. Exaruit fenum, et flos decidit ; verbum autem Domini manet in æternum.*

D *Φωνὴ λέγοντος· Βόησον. Καὶ εἶπα· Τί βοήσω; Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ ῥῆμα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα.*

Perspicue demonstrat non licere aliter videre salutem Dei, iis qui vere illum amant, et eo potiri cupiunt, nisi hoc solo, ut quæ ipsi placita et grata

Ὅτι μὴ ἑτέρως ἔξεστιν ἰδεῖν τὸ σωτήριον τοῦ Θεοῦ τοὺς ἀληθῶς ἐρῶντας αὐτοῦ, καὶ τυχεῖν αὐτοῦ γλιχομένους, πλὴν ὅτι μόνου τοῦ ἑλέσθαι φρονεῖν τε,

[48*] Coloss. II, 15. [49] Luc. III, 6. [49*] Ephes. I, 21

A καὶ δρᾷν τὰ αὐτῷ δοκοῦντα καὶ φίλα, καθίστησιν ἐναργές. Δεῖ γὰρ, οἶμαι, τοὺς ἐθέλοντας ἁγιοπρεπῶς πολιτεύεσθαι, καὶ τὴν εὐαγῆ, καὶ ἐξαίρετον ἐπανελέσθαι ζωὴν, καὶ τῆς ἐν Χριστῷ πολιτείας οἷά τινα στέφανον ἀναδήσασθαι τὰ αὐχήματα, παρ' οὐδὲν μὲν ποιεῖσθαι τὸν ἐν τῷδε τῷ βίῳ περισπασμὸν, δόξαν δὲ τὴν ἐν ἀνθρώποις, καὶ πρόσκαιρον, ὡς ἀπωτάτω ῥίπτειν, ἡγεῖσθαί τε κατὰ ἀλήθειαν χόρτῳ καὶ πόαις ὡμοιῶσθαι τὰ ἀνθρώπινα, ἔχειν τε εἰς νοῦν καὶ καρδίαν τὸ τοῦ Θεοῦ ῥῆμα, τοῦτ' ἔστι, τὸν ἐκ Θεοῦ, καὶ Πατρὸς Λόγον. Κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ τῆς πίστεως, καὶ τὸ θεῖον αὐτοῦ Πνεῦμα καταπλουτήσαντες, αὐτὸν ἔχομεν ἐν ἑαυτοῖς. Ἀξιόκτητον γὰρ τὸ χρῆμά ἐστι, καὶ τῆς εἰς αἰῶνα πρόξενον ζωῆς. Διαμένων γὰρ εἰς τὸν αἰῶνα, καὶ
B ζῶν ὁ τοῦ Θεοῦ Λόγος διατηρεῖ, καὶ ζωοποιεῖ. Εἰ δὲ δὴ βούλοιτό τις τὸ τοῦ Θεοῦ ῥῆμα νοεῖν τὴν ἐντολὴν αὐτοῦ· φαμὲν ὅτι καὶ τοῦτό ἐστιν οὐ μετρίως ὀνησιφόρον. Διατηρεῖ γὰρ καὶ αὐτὸ τοὺς κατορθοῦντας αὐτὸ πρὸς μακραίωνα βίον· κατά γε τὸ παρ' αὐτοῦ τοῦ Σωτῆρος εἰρημένον· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον μου τηρήσῃ, θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα.

Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιὼν, ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· εἰπὸν ταῖς πόλεσιν Ἰούδα· Ἰδοὺ ὁ Θεὸς ὑμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρείας. Ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ. Ὡς ποιμὴν ποιμανεῖ
C *τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει.*

Τοῖς τὸ θεῖον καὶ σωτήριον ἱερουργοῦσι κήρυγμα, φημὶ δὴ τοῖς ἁγίοις ἀποστόλοις καὶ εὐαγγελισταῖς, ἢ καὶ ἁπαξαπλῶς τοῖς κατὰ καιροὺς τῶν λογικῶν ποιμνίων προεστηκόσι, καὶ μυσταγωγικὸν ἔχουσι τὸ ἐπιτήδευμα, τίνα δὴ τρόπον εἶεν φιλόθεοί τε, καὶ διαβόητοι, καὶ τῆς ἀνωτάτω δόξης ἐπίμεστοι διαδείκνυσιν ἐν τούτοις. Οὐ γάρ τοι προσήκει, φησὶν, εὐαγγελιζόμενον τοῖς ἁπανταχοῦ τὴν δόξαν καὶ τὸ σωτήριον τοῦ Θεοῦ περιδεῶς, καὶ ὑπεσταλμένως, καὶ λανθάνειν σπουδάζοντα τοῦτο δρᾷν· ἀλλ' οἷον ὑψοῦ γεγονότας, καὶ ἅπασιν ὁρωμένους, καὶ ἐν πολλῇ παῤῥησίᾳ καθάπερ ἐν ὄρει πηδήσαντας δια-
D πρυσίῳ τρόπον τινὰ κεχρῆσθαι φωνῇ, καὶ δείματος ἐλευθέρᾳ. Ὃ δὴ καὶ ὑπάρξαι σφίσιν, αὐτοὶ οἱ θεσπέσιοι μαθηταὶ λιπαροῦντες, ἔφασκον πρὸς τὸν τῶν ὅλων κρατοῦντα Θεόν· Καὶ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, δῆλον δὲ ὅτι τῶν Ἰουδαίων, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου. Ὑψώσατε τοίνυν, μὴ φοβεῖσθε, φησίν. Ἀπαγγέλλετε ταῖς πόλεσιν Ἰούδα, Ὁ Θεὸς ὑμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρείας. Τὸ δὲ Ἰδοὺ προστιθεὶς, οὐχ εἰς μῆκος ἐᾷ τῆς ἀφίξεως ἀνατείνεσθαι τὴν ἐλπίδα, ἀλλ' ὅσον οὐδέπω, καὶ μετὰ βραχὺ παρεσόμενον, μᾶλλον δὲ καὶ ἀγχίθυρον ἤδη πως γεγονότα τὸν Λυτρωτὴν

sunt, et sentire velint et agere. Oportet namque eos, qui more sanctorum versari et sinceram præclaramque eligere vitam, et conversationis Christianæ insignia tanquam coronam quamdam sibi redimire volunt, occupationem turbasque quæ in vita accidunt contemnere, gloriamque humanam et temporariam quam longissime projicere, vereque existimare, humana, feno et herbis esse similia, animoque et corde habere Dei verbum, id est, ex Deo et Patre sermonem. Habitat enim in cordibus nostris per fidem, et divino ejus Spiritu ditati, ipsum in nobis ipsis habemus [80]. Est enim res possessione digna, et æternæ vitæ procuratrix. **508** Permanet enim in æternum, et vivens Dei Sermo conservat et vivificat. Si quis autem velit intelligere verbum Dei, ejus præceptum, et hoc quoque dicimus non mediocrem afferre utilitatem. Conservat enim et illud eos qui recte obeunt, ad vitam beatam, juxta ipsius Servatoris dictum: « Amen, amen dico vobis, si quis sermonem meum custodierit, mortem non videbit in æternum [80*]. »

VERS. 9-11. *Montem excelsum conscende, qui evangelizas Sion, exalta in fortitudine vocem tuam, qui evangelizas Jerusalem, exaltate, nolite timere; dic civitatibus Judæ: Ecce Deus vester, ecce Dominus cum fortitudine venit, et brachium cum dominatione. Ecce merces ejus cum eo, et opus in conspectu ejus. Ut pastor pascet gregem suum, et brachio suo congregabit agnos, et prægnantes consolabitur.*

Ostendit hisce verbis divinam et salutarem prædicationem administrantibus, sanctis, inquam, apostolis et evangelistis, vel etiam, ut semel dicam, his qui temporum successu gregibus præditis ratione præficerentur, et sacrorum mysteriorum curam haberent, quemadmodum Dei amantes, et celebres et pleni summæ gloriæ esse possint. Non enim decet, inquit, qui evangelizant omnibus, undique gloriam et salutem Dei, timide et submisse id facere, quasi qui latere studeant, sed tanquam in excelso positos, et omnibus conspicuos, et magna libertate tanquam in monte exsultantes, clara quodammodo voce, quæ aures penetret uti, et quæ sit metu libera. Quod ut sibi adesset, divini discipuli precabantur, dicentes universorum dominatori Deo: Et nunc, Domine, inspice minas eorum, videlicet Judæorum, et da servis tuis cum fiducia libere loqui sermonem tuum. Tollite igitur, et nolite timere, inquit. Annuntiate civitatibus Judæ: Deus vester, ecce Dominus cum fortitudine venit, et brachium cum dominatione. Cum adjicit illud: Ecce, non in longinquum sinit adventus spem extendi, sed mox et brevi adfuturum, imo jam prope in foribus esse Redemptorem ostendit. Nam jubet eos manum vel-

[80] Ephes. III, 17. [80*] Joan. VIII, 51.

ut extendere, et digito eum qui prænuntiatus est, A indicare. Quod autem non ut unus sanctorum prophetarum, nec instar supplicum futurus sit, **509** sed auctoritate Domini, et potentia, et dominatione Deo convenienti præditus, palam ostendit, cum dixit: Cum fortitudine venit, et brachium cum dominatione. Nam divini prophetæ, ut quædam fierent a Deo, et essent suo populo rogabant. At universorum Servator et Dominus, non preces fundens, non precario accipiens quidpiam aut dans, sed ut vere Filius, paterna bona, cum dignitate libero convenienti, credentibus in se distribuit, omniaque et potestate et arbitrio suo est operatus. Quod autem dispensationis hoc mysterium non esset infructuosum ei, qui propter nos noster factus B est, et crucem sustinuit, et in ea mortem, ostendit dicens: «Ecce merces cum eo, et opus coram eo, » et mercedem nominat, fructum ex eo quod secundum carnem mortuus sit. Dixit enim: « Amen, amen dico vobis, nisi granum frumenti quod in terram cecidit moriatur, ipsum solum manet. Si moriatur, plus fructus fert [51]. » Et rursus: « Si exaltatus fuero e terra, omnes traham ad meipsum [52]. » Quemadmodum enim Paulus inquit: « Subivit crucem, contempto pudore. Quare et Deus illum evexit, et donavit ei nomen supra omne nomen, ut in nomine Jesu Christi omne genu flectatur, cœlestium, terrestrium et subterraneorum, et omnis lingua confiteatur, quod Dominus Jesus Christus sit ad gloriam Dei Patris [53]; » hoc etiam cum C præscivisset divinus David spiritu, psallit, et inquit ad eum: « Omnes gentes quas fecisti venient, et adorabunt in conspectu tuo, Domine [54]. » Itaque non caret mercede, nec infructuosa est hæc dispensatio. At seculi sunt et quasi ob oculos pascentis fuerunt greges sui: et ante oculos ejus qui brachio suo, id est fortitudine, agnos colligit. Nam credentes in ipsum, ut nuper genitæ et recens natæ oves, ad novitatem vitæ instaurati sunt, consecuti videlicet regenerationem e supernis, et per Spiritum. Itaque primum quidem lac illud rationale appetunt, educati infantum more, sed excrescunt n mensuram ætatis plenitudinis Christi. Pasti sunt ergo agni, et quædam fetæ seu prægnantes consolationem acceperunt. Agni enim quasi modo D nati et modo orti, intelligi merito possunt gentiles. Prægnantes seu uterum gerentes, dicere possit quis eos, **510** puto, qui suum sermonem jam parturiunt, velut ex legis doctrina ac prophetarum prædicationibus. Servavit enim Christus non solum gentiles, sed etiam prognatos sanguine Israelitico, ad quos etiam dicit se missum esse potissimum. Hi etiam consolationem acceperunt, dum exactam cognitionem hujus mysterii occurrentem quasi et oblatam sibi, fide confirmarent.

VERS. 12-14. *Quis mensus est manu aquam, et*

A διαδείκνυσι. Χεῖρα γὰρ ὥσπερ προτείνειν αὐτοὺς προστέταχε, καὶ δακτύλῳ φανεροῦν τὸν προηγγελμένον. Ὅτι δὲ οὐ καθ' ἕνα τῶν ἁγίων προφητῶν οὔτε μὴν ἐν μέτροις ἔσται τοῖς ἱκέταις, ἀλλ' ἐν ἐξουσίᾳ δεσποτικῇ, καὶ ἐν δυνάμει τε, καὶ κυριότητι τῇ θεοπρεπεστάτῃ, διεσάφησεν εἰπών, « Μετὰ ἰσχύος ἔρχεται, καὶ βραχίων μετὰ κυρείας. » Οἱ μὲν γὰρ θεσπέσιοι προφῆται γενέσθαι τινὰ παρὰ Θεοῦ, καὶ μὴν καὶ ὑπάρξαι τοῖς ὑπὸ χεῖρα λαοῖς παρεκάλουν. Ὁ δέ γε τῶν ὅλων Σωτὴρ καὶ Κύριος, οὐ προσευχὴν ἀνατείνων, οὔτε μὴν ἐξ αἰτήσεώς τι δεχόμενος, καὶ διδούς, ἀλλ' ὡς Υἱὸς ἀληθῶς, τὰ ἐκ Πατρὸς ἀγαθὰ μετὰ τῆς ἐλευθέρῳ πρεπούσης ἀξίας διανενέμηκε τοῖς πιστεύσασιν εἰς αὐτὸν, εἰργάζετο δὲ πάντα δυνάμει τε ἰδίᾳ χρώμενος, καὶ μέντοι καὶ ἐξουσίᾳ. B Ὅτι δὲ τῆς οἰκονομίας τὸ μυστήριον οὐκ ἄκαρπον ἔσται τῷ καθ' ἡμᾶς γενομένῳ, καὶ σταυρὸν ὑπομείναντι, καὶ τὸν ἐν αὐτῷ θάνατον, διαδείκνυσι λέγων· « Ἰδοὺ ὁ μισθὸς μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ, » καὶ μισθὸν ὀνομάζει τὸν ἐκ τοῦ κατὰ σάρκα τεθνάναι καρπόν. Ἔφη γὰρ, ὅτι « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει. Ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πλείονα φύει. » Καὶ πάλιν· « Ἐὰν ὑψωθῶ ἐκ γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Ὡς γὰρ ὁ Παῦλός φησιν· « Ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, C καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός· » τοῦτο καὶ ὁ θεσπέσιος Δαβὶδ προεγνωκὼς ἐν πνεύματι ψάλλει καί φησι πρὸς αὐτόν· « Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε. » Οὐκοῦν οὐκ ἄμισθος οὐδὲ ἄκαρπος ἡ οἰκονομία. Ἠκολούθησε δὲ καὶ γέγονεν ὥσπερ ἐν ὀφθαλμοῖς αὐτοῦ ποιμαίνοντος τὰ ἑαυτοῦ ποίμνια, καὶ τῷ βραχίονι αὐτοῦ, τοῦτ' ἔστι, τῇ ἰσχύϊ συλλέγοντος ἄρνας. Οἱ γὰρ πιστεύσαντες εἰς αὐτὸν ὡς ἀρτιγενῆ, καὶ νεογνὰ πρόβατα πρὸς καινότητα ζωῆς ἀνεκτίσθησαν, λαχόντα δηλονότι τὴν ἄνωθεν, καὶ διὰ τοῦ Πνεύματος ἀναγέννησιν. Τοιγάρτοι τὸ λογικὸν ἐπιποθοῦσι γάλα τρεφόμενα μὲν νηπιοπρεπῶς ἐν ἀρχαῖς, ἀναβαίνοντα δὲ, καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώ- D ματος τοῦ Χριστοῦ. Οὐκοῦν ἐποιμάνθησαν μὲν οἱ ἄρνες, παρακέκληνται δὲ καὶ κυοφοροῦσαί τινες, ἤτοι ἐν γαστρὶ ἔχουσαι. Ἄρνες μὲν γὰρ ὥσπερ ἀρτιφανεῖς, καὶ ἀρτιτόκοι νοοῖντ' ἂν εἰκότως, οἱ ἐξ ἐθνῶν. Ἐχούσας γε μὴν ἐν γαστρὶ φαίη τις ἂν τοὺς ἤδη τὸν ἐπ' αὐτῷ λόγον ὠδίνοντας, ὡς ἀπό γε τῶν νομικῶν διδαγμάτων, προφητικῶν κηρυγμάτων. Σέσωκε γὰρ ὁ Χριστὸς, οὐχὶ δὴ μόνους τοὺς ἐξ ἐθνῶν, ἀλλὰ γὰρ καὶ τοὺς ἐξ αἵματος Ἰσραὴλ, πρὸς οὓς δὴ μάλιστα, καὶ ἀπεστάλθαι φησὶν, οἳ καὶ παρακέκληνται βεβαιοῦντες τῇ πίστει τὴν προσδραμοῦσαν ἐν αὐτοῖς τοῦ μυστηρίου γνῶσιν ἀκριβῆ.

Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρα

[51] Joan. xii, 24,25. [52] ibid.33. [53] Philipp. ii, 10, 11. [54] Psal lxxv, 9.

τὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; Τίς ἔγνω νοῦν Κυρίου, καὶ τίς σύμβουλος αὐτοῦ ἐγένετο, ὃς συμβιβάσει αὐτόν; Ἢ πρὸς τίνα συνεβουλεύσατο, καὶ συνεβίβασεν αὐτόν; Ἢ τίς ἔδειξεν αὐτῷ κρίσιν; ἢ ὁδὸν συνέσεως τίς ἔδειξεν αὐτῷ;

Διὰ τῶν ἀνεφίκτων τε καὶ ἀμηχάνων ἅπασιν ἀνθρώποις, μᾶλλον δὲ τάχα που, καὶ ταῖς ἄνω, καὶ ἐν οὐρανῷ δυνάμεσι πειρᾶται δεικνύειν τῆς ἐν Θεῷ σοφίας τὸ ὑπερτενές τε καὶ ἀκατάληπτον. Τεθαύμασται γὰρ τὸ μυστήριον τοῦ Χριστοῦ, καὶ ἐν ἀποῤῥήτοις ὁρᾶται λόγοις τῆς οἰκονομίας ὁ λόγος. Καί μοι δοκεῖ ταῖς τοῦ Παύλου φωναῖς ἐπὶ καιροῦ κεχρημένον εἰπεῖν· « Ὢ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! Τίς γὰρ ἔγνω νοῦν Κυρίου; » Ἢ οὐκ ἀδελφὰ τοῖς προκειμένοις ταυτὶ, φαίη τις ἂν καὶ μάλα εἰκότως; Βαθὺ γὰρ βάθος, καὶ ἀκατάληπτον τὸ ἐν τοῖς θείοις σκέμμασι διαφαίνεται. Καὶ ὥσπερ ἐστὶν ἀνεπιτήδευτον παντελῶς καὶ ἀμήχανον ἀνθρωπείᾳ χειρὶ σύμπαν μετρεῖσθαι τὸ ὕδωρ, καὶ σπιθαμῇ τὸν οὐρανὸν, καὶ ἅπασαν δὲ τὴν γῆν δρακὶ, καὶ σταθμῷ, καὶ ζυγῷ τὴν τῶν ὀρῶν ὁλκὴν ὅση τίς ἐστι γενέσθαι καταφανῆ, κατὰ τὸν ἴσον τουτονὶ τρόπον, οὐκ ἄν τις καταλάβῃ τὸν νοῦν Κυρίου. Καὶ πιστώσεται λέγων αὐτὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Οὐ γάρ εἰσιν αἱ ὁδοί μου ὥσπερ αἱ ὁδοὶ ὑμῶν, ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχουσιν αἱ ὁδοί μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. » Ποίου γὰρ, φησὶν, ἐδεήθην ποτὲ τοῦ συμβουλεύοντος ἢ συμβιβάζοντος, ἢ δεικνύοντος αὐτῷ κρίσιν, τοῦτ' ἔστιν, τὴν δικαιοσύνην, ἤτοι δικαιοκρισίαν, ἢ συνέσεως ὁδόν. Εἰ γὰρ αὐτόχρημα σοφία τυγχάνει, καὶ αὐτὸς σοφοῖ πάντα νοῦν, καὶ φωτός ἐστι τοῦ κατὰ σύνεσιν τῇ λογικῇ κτίσει χορηγός· πῶς ἂν ἑτέρου δέοιτ' ἂν, ἢ κατὰ τίνα τρόπον ὅπερ ἂν βουλεύσαιτο, διαμωμήσαιτ' ἄν τις; Ὅτι δὲ ἐντεῦθεν ὄφελος μέγα τοῖς ἀκροωμένοις ὁ προφήτης ἐνεργάζεται. Ἤδη γάρ τινες τῶν ἀπίστων ἔτι κατατολμῶσι λέγειν· Τί γὰρ ἔδει καθ' ἡμᾶς γενέσθαι τὸν τοῦ Θεοῦ Λόγον, καὶ σαρκὸς ἀνέχεσθαι, καὶ ῥύπον τὸν ἐξ αὐτῆς, διασῶσαι θελήσαντα τοὺς ἐπὶ γῆς, καίτοι κατανεῦσαί φησι χαλεπὸν οὐδὲν ὡς Θεὸς κατορθῶσαί τε τὸ δοκοῦν. Εἶτα πῶς οὐκ εἰκῇ γέγονεν ἄνθρωπος; Καὶ δι' ἐκτόπων ἐννοιῶν περιστάντες ἀνοσίως εἰς τὸ ἀκαλλὲς τὴν οἰκονομίαν, τῇ τοῦ μυστηρίου μάχονται δόξῃ. Ἀνακόπτει τοίνυν αὐτῶν τὰς ἀσυνέτους κενοβουλίας ὁ προφήτης ἐν τούτοις· καὶ ἀκατάληπτον εἶναί φησι τὴν ἐν Θεῷ σοφίαν, καὶ τὸν ἐν αὐτῷ νοῦν, εἰ καὶ ἔστιν αὐτόχρημα σοφία καὶ νοῦς ὁ ὑπερτάτω τε καὶ ἀκραιφνέστατος, ἵνα λοιπὸν καὶ ἀπαράδεκτος ἦν, μᾶλλον δ' ἂν γελῷτο δικαίως τῶν ἀπίστων ὁ λόγος, ἐπιτιμᾷν, οὐκ οἶδ' ὅπως, τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοῦ Μονογενοῦς οὐκ εὖ γενομένῃ τετολμηκότων. Δοκεῖ δέ τισι· Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ,

cœlum palmo, et omnem terram pugno? Quis appendit montes pondere, et rupes statera? Quis cognovit mentem Domini, et quis consiliarius ejus fuit, qui instruet eum? Aut quem consuluit, et instruxit eum? Aut quis ostendit ei judicium? aut viam intelligentiæ quis monstravit?

Ex his quæ nullus mortalium assequi potest et præstare, imo fortassis nec supernæ cœlestesque potestates, conatur ostendere præstantem et incomprehensam vim divinæ sapientiæ. Admirabile est enim Christi mysterium, et inter arcana recensetur hic sermo de providentia et dispensatione. Et mihi videtur tempestive utendum Pauli verbis: « O profunditatem divitiarum, et sapientiæ, et cognitionis Dei! quam inscrutabilia sunt judicia ejus, et impervestigabiles viæ ejus! Quis enim cognovit mentem Domini [88]? » Annon hæc licet merito dicere cognata esse his quæ proponuntur? Alta enim est profunditas, et incomprehensa videtur divinarum rerum consideratio. Et quemadmodum nullo studio, nulla arte fieri potest ut humana quis manu universam aquam, et palmo cœlum, omnemque terram pugno metiatur, et pondere ac statera montium tractum quantus sit perviderit: ad eumdem plane modum nemo poterit mentem Domini comprehendere. Huic rei faciet ipse fidem, cum ait per quemdam e sanctis prophetis: « Non enim sunt viæ meæ ut viæ vestræ, sed ut distat cœlum a terra, sic distant viæ meæ a viis vestris, et cogitationes vestræ a cogitatione mea [89]. » Quo enim egebam, inquit, consulente, aut instruente, aut ostendente judicium, id est, justitiam, vel justum judicium, vel intelligentiæ viam? Si enim reipsa sapientia sit, et ipse omnem mentem reddat sapientem, si et lucem intelligentiæ, creaturæ rationi participi subministret, qui opus habeat alio? **511** vel quomodo possit reprehendere quispiam, quod ille capit, consilium? Quantam igitur utilitatem hinc auditoribus propheta comparat! Jam enim quidam infideles audent etiamnum dicere: Quid enim oportebat Dei Verbum more nostro nasci, et carnem induere ejusque sordes, ut terræ incolas servaret: quandoquidem nihil sit ipsi, ut ait, difficile annuere, et possit quod vult, ut Deus, perficere? Deinde annon frustra factus est homo? Ita dum monstrosis sententiis hanc dispensationem impie deformant ac dedecorant, mysterii gloriæ ac majestati repugnant. Amputat igitur propheta his verbis stultas ac inanes cogitationes, et comprehendi non posse dicit divinam sapientiam, ac mentem, quamvis sit revera sapientia ipsa ac mens, summa et sincerissima, ita ut deinceps non sit probabilis, imo ridicula sit jure, infidelium oratio, qui ausi sunt, nescio quomodo, dispensationem Unigeniti in carne tanquam non recte factam calumniari. Placet autem quibusdam illud: Quis mensus est manu aquam, et cœlum

[88] Rom. XI, 33, 34. [89] Isa. LV, 8-10.

palmo, et quæ sequuntur, accommodare omnium dominatori Deo, ut qui possit et aquam metiri, et cœlum et terram, et montes et rupes, et omnium etiam inaccessorum cognitionem habeat, et omne quod factum est apprehendat, et quidquid est in creaturis, magnum, tumidum, immensum, et multum, nihil existimet [86]. Hoc si quis velit intelligere, nihil offendet.

TOMUS V.

VERS. 15-21. *Si omnes gentes velut stilla e situla, et velut momentum stateræ reputatæ sunt, et quasi saliva reputabuntur. Libanus quoque non sufficit ad combustionem, et omnia quadrupedia non sufficiunt ad holocaustum, et omnes gentes nihil sunt, et quasi nihil reputatæ sunt. Cum quo comparastis Dominum? cui similitudini assimilastis eum? Nunquid imaginem fecit faber, aut auri fusor conflans aurum, inauravit eam? Lignum enim* **512** *quod non putrescit eligit faber, et sapienter quærit quomodo statuat eam imaginem, ut non moveatur. Nonne scietis? nonne audietis? annon annuntiatum est ab initio vobis? nonne cognovistis fundamenta terræ?*

Dispensationem ac ministerium Unigeniti in carne propheticus sermo nobis commemoravit, et abunde admiratus est arcanam sapientiam, qua etiam servati sumus, et natura ac vere Dominum agnoscentes, gratia ipsius digni habiti sumus, congregati, velut agni, brachio ipsius, et illi subditi tanquam pastori optimo: posuit enim animam pro ovibus suis. Et cum fieri non posse ostenderit ut ejus mentem perspiciamus et emetiamur, confessusque fuerit eum esse summam sapientiam, et supra omnia: introducit necessario eum ad gentes, sive ad eos qui creaturam supra Creatorem adorant, sermones habentem, et ab inveterato, et a majoribus et a patribus tradito errore abducentem, et ad meliora traducentem, et ad cognitionem dignam hominibus reducentem. Demonstrat ergo Dei omnium dominatoris immensam præstantiam, et magnificentiæ ipsius excellentem dignitatem, omniaque præ illo exigua esse, et perinde ac nihil haberi: quantum quidem, inquam, attinet ad potentiæ et gloriæ ipsius celsitudinem. Hinc ait: Siquidem omnes gentes ut stilla e situla, et ut momentum stateræ reputatæ sunt, et ut saliva reputabuntur [87]. Exigua namque sunt hæc, et nullius omnino pretii. Nam quid est stilla una decidens e situla? Quid momentum stateræ, redigens ad æquabilitatem id quod videtur esse minus? Aut quid saliva, id est, sputum humanum? Sed nec suffecerit, inquit, ei Libanus ad combustionem, vel in holocaustum omnia quadrupedia [88]. Sunt enim plane contemptibilia ejusmodi: et si omnia ad holocaustum adducantur ei, etiam illa præ divina ma-

[86] Isa. XL, 12 seqq. [87] ibid., 15. [88] ibid., 16.

A καὶ τὰ ἑξῆς, ἐφαρμόττειν τῷ πάντων κρατοῦντι Θεῷ, ὡς δυναμένῳ καὶ ὕδωρ ἐκμετρεῖν, οὐρανόν τε καὶ γῆν, ὄρη τε καὶ νάπας, καὶ πάντων ἁπαξαπλῶς ἔχοντι γνῶσιν, καὶ τῶν ἀνεφίκτων, καταδραττομένῳ τε παντὸς τοῦ γεγονότος, καὶ ὡς οὐδὲν ἔχοντι τὰ ἐν μεγέθει τε καὶ ὄγκῳ τοσούτῳ τῶν κτισμάτων καὶ τὰ ἐν ἀμετρήτῳ πληθύϊ νοούμενα. Τό γε δὴ χρῆναι νοεῖν οὕτως εἴ γέ τις ἕλοιτο, τυχὸν ἀδικήσειεν ἂν οὐδέν.

ΤΟΜΟΣ Ε'.

Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, καὶ ὡς σίελος λογισθήσεται; Ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλο B *κάρπωσιν, καὶ πάντα τὰ ἔθνη εἰς οὐδέν εἰσι, καὶ ὡς οὐδὲν ἐλογίσθησαν. Τίνι ὡμοιώσατε Κύριον, καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; Μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτόν; Ξύλον γὰρ ἄσηπτον ἐκλέγεται τέκτων, καὶ σοφῶς ζητεῖ πῶς στήσει αὐτοῦ εἰκόνα, ἵνα μὴ σαλεύηται. Οὐ γνώσεσθε; οὐκ ἀκούετε; οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν; οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς;*

Τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς ὁ προφητικὸς ἡμῖν διαμνημονεύσας λόγος, καὶ ἀποχρώντως καταθαυμάσας τὴν ἀπόῤῥητον σοφίαν, δι' ἧς καὶ σεσώσμεθα, καὶ τὸν φύσει τε καὶ ἀληθῶς Δεσπότην ἐπεγνωκότες, τῆς παρ' αὐτοῦ χάριτος ἠξιώμεθα, συνηγερμένοι μὲν ὡς ἄρνες τῷ βραχίονι αὐτοῦ, γεγονότες δὲ C καὶ ὑπ' αὐτῷ καθάπερ ὑπὸ ποιμένι τῷ λίαν ἀγαθῷ· τέθεικε γὰρ τὴν ψυχὴν ὑπὲρ τῶν ἑαυτοῦ προβάτων. Καὶ μὴν καὶ ἀνέφικτον ἀποφήνας τοῦ δύνασθαι κατιδεῖν, ἤγουν ἀναμετρῆσαι τυχὸν τὸν νοῦν, σοφίαν τε τὴν ἀνωτάτω καὶ πάντων ἐπέκεινα διωμολογηκὼς αὐτὸν, εἰσκεκόμικεν ἀναγκαίως τὸν πρός γε τοὺς ἐξ ἐθνῶν, ἤγουν ἔτι προσκυνοῦντας τῇ κτίσει παρὰ τὸν κτίσαντα, ποιούμενον λόγους, καὶ ἀποκομίζοντα μὲν τῆς ἀρχαίας, καὶ προγονικῆς, καὶ πατροπαραδότου πλάνης, μεθιστάντα δὲ πρὸς τὰ βελτίω καὶ πρὸς γνῶσιν ἀνακομίζοντα τὴν ἀνθρωποπρεπῆ. Καταδείκνυσι τοίνυν τοῦ πάντων κρατοῦντος Θεοῦ τὴν ἀμέτρητον ὑπεροχὴν, καὶ τῆς ἐνούσης αὐτῷ μεγαλοπρεπείας τὸ ὑπερφερὲς ἀξίωμα, καὶ ὅτι πάντα αὐτῷ D σμικρὰ, καὶ ἐν ἴσῳ τοῦ μηδενὸς καταλογισθείεν ἂν ὡς πρός γε, φημὶ, τῆς ἐνούσης αὐτῷ δυνάμεώς τε καὶ δόξης τὸ ὑπερτενές. Ταύτητοί φησιν· Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, καὶ ὡς σίελος λογισθήσονται. Μικρὰ δὲ ταυτὶ καὶ τοῦ μηδενὸς ἄξια παντελῶς. Τί γὰρ μία καταφερομένη σταγὼν ἀπὸ κάδδου; Τί δ' ἂν εἴη καὶ ζυγοῦ ῥοπὴ, πρὸς ἰσότητα φέρουσα τὸ ἡττῆσθαι δοκοῦν; Τί δὲ καὶ σίελος, τοῦτ' ἔστι, πτύσμα τὸ ἀνθρώπινον; Ἀλλ' οὐδὲν ἀρκέσειεν αὐτῷ, φησὶν, ὁ Λίβανος εἰς καῦσιν, ἢ εἰς ὁλοκάρπωσιν πάντα τὰ τετράποδα. Εὐκαταφρόνητα δὲ τὰ τοιάδε παντελῶς· κἂν εἰ πάντα προσκομίζοιτο πρὸς ὁλοκάρπωσιν αὐτῷ,

καὶ αὐτὰ τῆς τοῦ Θεοῦ δόξης ἐῤῥίφθω κατόπιν. Καὶ εἰ πάντα τὰ ἔθνη, φησίν, ὡς οὐδέν εἰσιν, καὶ ὡς οὐδὲν ἐλογίσθησαν, τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; Τί γὰρ ἔσται τὸ εἰκὸς αὐτῷ, καὶ ἰσοστατοῦν, ἢ εἰς φύσιν, ἢ εἰς ὁλκήν, ἢ καὶ εἰς εὐκλείας λόγον; Ἆρα γὰρ μὴ τέκτονος τέχναις, καὶ ξυλουργοῦ ἐμπειρίαις; ἆρα χρυσοχόων, ἢ καὶ ὡς ἐν εἰκόνι μεμόρφωται πρὸς ὁτιοῦν τῶν κτισμάτων; ἤγουν ἐποιήθη, φησίν, ἀνθρωποειδὲς ἄγαλμα; Οὐμενοῦν. Οὐ γὰρ ἂν γένοιτό τι τὸ ἴσον αὐτῷ. Θεὸς γὰρ ὑπάρχων φύσει, καὶ κατ' αὐτὸν οὐκ ὄντος ἑτέρου, πάντα που πάντως καὶ ὑπερκείσεται. Ἀποφήνας δὴ οὖν παντὸς ἐπέκεινα τοῦ πεποιημένου καὶ κεκλημένου πρὸς γένεσιν, διαγελᾷ μετὰ τοῦτο τὴν εἰδώλων ποίησιν, καί φησιν, ὅτι Ξύλον ἄσηπτον ἐκλέγεται τέκτων, καὶ σοφῶς ζητεῖ, πῶς στήσει αὐτοῦ εἰκόνα, ἵνα μὴ σαλεύηται· ὥστε τῆς τοῦ τέκτονος ἐμπειρίας εἴη ἄν, τὸ, τοῖς πλανωμένοις κατά γε τὸ μέτρον τῆς ἐνούσης συνέσεως αὐτῷ, κατασκευάσαι θεὸν κατὰ τὸ αὐτοῖς δοκοῦν, καὶ διὰ πλείστης ἀσφαλείας ἐπικουρούμενον, ἵνα μὴ σαλεύηται καὶ συνθραύηται πεσόν. Ἦσαν οὖν ἄρα θεῶν ἐν σπάνει, οἱ τῶν εἰδώλων προσκυνηταί, τεκτονικῆς ἐμπειρίας οὐκ οὔσης ἐπὶ τῆς γῆς· ἀλλ' οὐδ' ἂν ἐσώζοντο τὰ γεγονότα χειροποίητα, εἰ μὴ σοφῶς ἐζήτησεν ὁ τεχνουργὸς τὰ δι' ὧν ἂν ἑστάναι δύναιντο, καὶ ἀκλόνητον ἔχειν τὴν ἕδραν. Φαίη δ' ἄν, οἶμαι, τις, καὶ σφόδρα εἰκότως τὸ διὰ φωνῆς τοῦ Δαβίδ· «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον, καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.» Προσεπάγει δὲ τούτοις· «Ὅμοιοι αὐτῶν γένοιντο πάντες οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.» Διαγελάσας τοίνυν τὴν εἰδώλων κατασκευήν, μεθίστησι τὸν λόγον ὡς ἐντροπήν τε καὶ ἐπανόρθωσιν τῶν πεπλανημένων, καὶ ἀπροφάσιστον αὐτοῖς τὸ ἐπὶ τούτῳ πλημμελὲς ἀποφαίνει λέγων· Οὐ γνώσεσθε; οὐκ ἀκούσεσθε; ἀντὶ τοῦ, οὐκ ἔγνωτε; οὐκ ἠκούσατε; οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν; οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς; Θεμέλια δὲ τῆς γῆς τελευταῖά τε καὶ ἄκρα φησὶν αὐτῆς. Ἔγνωτε δὴ οὖν, φησίν, οἱ ἐκ περάτων εἰς πέρατα. Ἠκούσατε, καὶ ἀνηγγέλη ὑμῖν ἐξ ἀρχῆς. Ἀνηγγέλη δὲ τί; Ὅτι Θεὸς μὲν ὁ φύσει καὶ ἀληθῶς, εἷς γέ ἐστι καὶ μόνος· ξύλα δὲ καὶ λίθοι, καὶ ἕτερον οὐδέν, τὰ δι' ἀνθρώπων ἡμῖν εἰς θεοὺς τεχνουργούμενα. Οὐ γὰρ σεσίγηκεν ἡ θεόπνευστος Γραφή· ἄνωθεν δὲ μᾶλλον ἡ τῆς ἀληθείας κεκήρυκται γνῶσις, διὰ πατριαρχῶν, διὰ νόμου καὶ προφητῶν. Οὐ γὰρ ὅτε καθ' ἡμᾶς γενόμενος ὁ τοῦ Θεοῦ μονογενὴς Λόγος, ἄνθρωπος ἐπέλαμψεν τοῖς ἐπὶ τῆς γῆς· τότε καὶ πρῶτον ἐν ταῖς ἐσχάταις διαβολαῖς τοῦ πλανᾶσθαι γέγονεν. Ἀλλ' ἦν ἀρχαῖον, ὡς ἔφην, τῆς εἰδωλολατρίας τὸ κατηγόρημα. Οὐ γὰρ διαλέλοιπεν ὁ τῶν ἁγίων χορὸς κακύνων αὐτήν, καὶ βδελυρὰν ἀποφαίνων, καὶ τὸν τῶν ὅλων Δημιουργὸν καὶ Κύριον ἐναργῆ καθιστάς.

Ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ οἱ κατοικοῦντες ἐν αὐτῇ ὡς ἀκρίδες. Ὁ στήσας ὡς καμάραν τὸν οὐρανόν, καὶ διαπήξας ὡς σκηνὴν τοῦ κατοικεῖν.

A jestate a tergo projicerentur. Siquidem omnes, inquit, gentes, quasi nihil sunt, et quasi pro nihilo habitæ sunt. Cui similitudini similem fecistis eum? Quid enim erit ei simile, et æquipollens, seu naturæ, seu ponderis, seu nobilitatis ratione? Num enim arte fabri, et lignarii, num auri fusorum peritia formatus est **513** in effigiem alicujus creaturæ [59]? An, inquit, effictus est humana imago? Minime. Nihil enim quidquam ei æquari potest. Deus enim cum sit natura, et quia ex se aliud non exstitit, omnibus omnino erit superior. Cum itaque ostenderit, supra omne esse quod factum est et quod genitum est, deridet post hæc idolorum effictionem, et inquit: Lignum quod non putrescit, eligit faber, et sapienter quærit quo-
B modo statuat ejus simulacrum, ne moveatur: quasi sit fabri peritiæ, hominibus istis errore seductis, deum fabricari pro mensura et modulo cognitionis suæ, ex animi eorum sententia: ut ita securo ac tuto muniatur præsidio, ne moveatur: neve, cum ceciderit, confringatur. Habuerunt igitur paucos deos idolorum cultores, cùm in terra fabricale ædificium non vigeret: neque servata essent ea quæ erant manufacta, si artifex sapienter non quæsivisset unde consistere poterant, sedemque habere immotam. Licet autem, opinor, non abs re illud voce Davidis dicere: «Idola gentium argentum et aurum, opera manuum hominum.» Quibus adjungit: «Similes illis fiant omnes qui faciunt ea, et omnes qui confidunt illis [60].» Cum
C irriserit igitur idolorum fabricationem, sermonem transfert, ut pudefaciat et corrigat errantes, et peccatum eorum in hoc declarat esse inexcusabile, cum dicit: Nonne scietis? nonne audietis? pro, annon cognovistis? annon audivistis? annon est annuntiatum ab initio vobis? annon cognovistis fundamenta terræ [61]? Fundamenta terræ, ultimas et extremas ejus partes vocat. Cognovistis igitur, inquit, a finibus usque ad fines. Audivistis, et annuntiatum est vobis ab initio. Quid est annuntiatum? Deum, inquit, natura et vere unum esse et solum; humana vero opera de diis, ligna et lapides esse, ac præterea nihil. Nec enim tacuit Scriptura divinitus inspirata, imo veritatis potius cognitio e supernis per patriarchas, per
D legem et prophetas confirmata est. Non enim quando nobiscum factus homo unigenitum Dei Verbum illuxit terræ incolis, tunc primum errorem perstrinxit, sed erat, uti dixi, vetus hæc accusatio idololatriæ. Non enim destitit sanctorum chorus eam exagitare, et exsecrabilem reddere, universorumque Opificem et Dominum patefacere.

514 Vers. 22. *Qui continet circulum terræ, et qui habitant in ea, quasi locustæ. Qui statuit quasi fornicem cœlum, et fixit quasi tabernaculum ad inhabitandum.*

[59] Isa. XL, 17 seqq. [60] Psal. CXIII, 8, 16. [61] Isa. XL, 23.

Ex pulchritudine creaturarum perspicitur ratione quadam et analogia eorum architectator, ab his qui sana mente sunt. Licet enim sapientibus pervidere, idque facillime, quisnam sit et quantus hujus universitatis effector et artifex, velut ab hac præstantia, et administratione inexplicabili et divina, per quam hæc creatura, cum non esset, facta est, et facta conservatur, et potentia effectoris, ut bene sit et consistat, continetur. Cui enim comparari potest? inquit Dominus. Annon superat ille omnem mentem, qui solus universam terram manu comprehendit, qui eam ita ut pulchre solidata sit continet, quique cœlum in ea quasi fornicem bene firmavit, et more tabernaculi expandit, ita ut inhabitent eam, scilicet propter quos facta est? Quemadmodum enim ipse propheta ait: Non incassum fecit eam, sed ad inhabitandum. An ergo, inquit, apud Deum magna est hæc habitantium in terra multitudo, quantumvis immensa? Nequaquam. Nam præ divina magnificentia et excellentia, sunt quasi locustæ. Vel etiam alio modo. Continet enim orbem terræ, id est, omnem ejus circulum, et præ ipso nihil sunt qui eam incolunt, quantumvis instar locustarum gregatim in ea pascant, et omnem numerum transeant. Est autem hoc admirabile et magnum ad omnipotentis Dei celebrationem ac commendationem.

Vers. 23, 24. *Qui reddit principes ut nihil regant, et terram quasi in nihilum redegit. Non enim plantabunt, non serent, nec radices aget in terra radix eorum. Spiravit in eos ventus, et exaruerunt, et procella velut stipulas eos colliget.*

Solebant hi qui errore decepti erant, quique hunc natura ac vere Deum ignorarunt, non modo dæmonum greges adorare, et ligno dicere: Deus meus es tu, et lapidi: Tu genuisti me[42]: sed etiam homines insignes in terra factos, inconsideratissime deos facere. Nimirum Senacherim reversus ex Judæa in terram suam, adorare dicitur patrarchum suum. Obtulerunt enim etiam mortuis sacrificia, et heroas vocant eos, deosque nuncuparunt. **515** Par itaque erat, cum multitudinem idolorum aperte traduxisset, et ad hunc quoque devenire sermonem, et fidem facere errantibus, ut humana pro nihilo ducant. Quin etiam si quidam in terra illustres et mirabiles exstiterint olim, vel soliis summis ac regiis eminentes, vel alio quopiam honoris privilegio illis temporibus digni habiti fuerint, nullo tamen modo eos esse deos existiment: imo potius cogitent, hoc ipsum imperare posse aliquibus, non aliunde nisi a Deo datum esse. Et quod res sit apud Deum omnipotentem haudquaquam difficilis, ostendit dilucide cum dicit, principes ab ipso reddi ut nihil regant. Amplificat adhuc, et inquit: Terram

[42] Jer. II, 27.

A 'Απὸ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται, παρά γε τοῖς οὖσιν ἐν καλῷ φρενός. Ἔνεστι γὰρ δὴ τοῖς σοφοῖς τὸ κατιδεῖν δύνασθαι, καὶ μάλα ῥᾳδίως, τίς δὴ ἄρα, καὶ πόσος ἐστὶν ὁ τοῦδε τοῦ παντὸς ποιητὴς καὶ τεχνίτης, ὡς ἀπό γε τῆς ὑπεροχῆς καὶ τῆς ἀῤῥήτου καὶ θεοπρεποῦς οἰκονομίας, καθ' ἣν ἡ κτίσις οὐκ οὖσα γέγονε, καὶ γενομένη σώζεται, τῇ τοῦ πεποιηκότος ἰσχύϊ πρὸς τὸ εὖ εἶναι καὶ συνεστάναι συνεχομένη. Τίνι γὰρ ἂν ὁμοιωθείη; φησὶν ὁ Κύριος. Πῶς δὲ οὐχ ὑπὲρ πάντα νοῦν ὁ μόνος τῇ χειρὶ δραττόμενος ἁπάσης τῆς γῆς, καὶ συνέχων αὐτὴν πρὸς τὸ ἐρηρεῖσθαι καλῶς, καὶ οἷά τινα καμάραν ἐπανορθώσας αὐτῇ τὸν οὐρανὸν, καὶ ἐν τρόπῳ σκηνῆς διατείνας, ὥστε κατοικεῖν ἐν αὐτῇ τοὺς δι' οὓς δηλονότι καὶ γέγονεν; Ὡς γὰρ αὐτός πού B φησιν ὁ προφήτης· Οὐκ εἰς κενὸν ἐποίησεν αὐτὴν, ἀλλὰ κατοικεῖσθαι. Ἆρ' οὖν πολὺ πρὸς Θεὸν, φησὶ, καίτοι ἀμέτρητος οὖσα τῶν ἐν γῇ κατοικούντων ἡ πληθύς; οὐδαμῶς. Ὡς γάρ τοι πρὸς τὴν τοῦ Θεοῦ μεγαλειότητα καὶ ὑπεροχὴν εἶεν ἂν ὡς ἀκρίδες. Ἢ καὶ καθ' ἕτερον τρόπον. Κατέχει γὰρ τὸν γῦρον τῆς γῆς, τοῦτ' ἔστιν, ἅπαντα τὸν κύκλον αὐτῆς, καὶ οὐδὲν πρὸς αὐτὸν οἱ κατοικοῦντες αὐτὴν, καίτοι δίκην ἀκρίδων ἀγεληδὸν ἐν αὐτῇ καταβοσκόμενοι, καὶ ἀριθμοῦ παντὸς ἰόντες ἐπέκεινα. Θαυμαστὸν δὲ καὶ τοῦτο, καὶ μέγα πρὸς εὐφημίαν τοῦ πάντα ἰσχύοντος Θεοῦ.

Ὁ διδοὺς ἄρχοντας εἰς οὐδὲν ἄρχειν, τὴν δὲ C *γῆν ὡς οὐδὲν ἐποίησεν. Οὐ γὰρ μὴ σπείρωσιν, οὐδ' οὐ μὴ φυτεύσωσιν, οὐδ' οὐ μὴ ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν. Ἔπνευσεν ἐπ' αὐτοὺς ἄνεμος, καὶ ἐξηράνθησαν, καὶ καταιγὶς ὡς φρύγανα ἀναλήψεται αὐτούς.*

Ἔθος τοῖς πεπλανημένοις, καὶ οὐκ εἰδόσι Θεὸν τὸν φύσει καὶ ἀληθῶς, οὐχὶ δὴ μόναις ταῖς τῶν δαιμόνων ἀγέλαις προσκυνεῖν, καὶ τῷ ξύλῳ λέγειν· Θεός μου εἶ σὺ, καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με, ἀλλὰ γὰρ καὶ ἀνθρώπους ἐπισήμους γεγονότας ἐπὶ τῆς γῆς ἀβουλότατα θεοποιεῖν. Καὶ γοῦν ὁ Σενναχηρεὶμ ὑπονοστήσας ἐκ τῆς Ἰουδαίας εἰς τὴν ἑαυτοῦ, προσκυνεῖν ἐλέγετο τὸν πάτραρχον αὐτοῦ. Προσεκόμιζον γὰρ καὶ τοῖς τεθνεῶσι θυσίας, ἥρωάς τε καλοῦντες αὐτοὺς ἀπεγράφοντο θεούς. Ἔδει τοίνυν διαβεβλημέ- D νης ἐναργῶς τῆς τῶν εἰδώλων πληθύος, καὶ ἐπ' αὐτὸν δὴ τοῦτον χωρῆσαι τὸν λόγον, ἀναπεῖσαι τοὺς πεπλανημένους οὐδὲν παντελῶς ἡγεῖσθαι τὰ ἀνθρώπινα· ἀλλὰ γὰρ κἂν εἴ τινες τῶν ἐπὶ τῆς γῆς λαμπροί τε καὶ ἀξιάγαστοι γεγόνασι κατὰ καιροὺς, ἢ θώκοις ἐμπρέποντες τοῖς ἀνωτάτω, καὶ βασιλικοῖς, ἤγουν ἑτέρας ὑπεροχῆς ἠξιωμένοι κατὰ καιροὺς, κατὰ μηδένα τρόπον οἴεσθαι θεοὺς ὑπάρχειν αὐτοὺς, ἐννοεῖν δὲ μᾶλλον ὅτι, καὶ τὸ δύνασθαι, καὶ τὸ ἄρχειν τισὶν εἴη ἂν οὐχ ἑτέρωθεν πλὴν ὅτι παρὰ Θεοῦ δοτόν. Καὶ ὅτι τὸ χρῆμα δυσχερείας ἁπάσης ἀπηλλαγμένον ἐστὶ παρά γε τῷ πάντα ἰσχύοντι Θεῷ, διαδείκνυσιν ἐναργῶς, οὐδὲν τοὺς ἄρχοντας εἰς τὸ ἄρχειν δίδοσθαι λέ-

γων παρ' αὐτοῦ. Ἀνάγει δὲ καὶ ἐπὶ τὸ μεῖζον ἔτι A καί φησι, Τὴν γῆν ὡς οὐδὲν ἐποίησεν. Ὅτι δὲ ἐν ἐξουσίᾳ κεῖται τῇ παρὰ Θεοῦ τὸ καὶ σώζεσθαί τινα μνήμην, ἢ μὴ, τῶν γεγονότων ἐν γῇ λαμπρῶν τε καὶ ἐπισήμων, ἀποφαίνει λέγων· Οὐ γὰρ μὴ σπείρωσιν, οὐδ' οὐ μὴ φυτεύσωσιν. Εἰ μὴ γὰρ βούλοιτο, δηλονότι Θεὸς, οὐδένα, φησὶν, ἕξουσιν ἐν γῇ καρπὸν, ἀλλ' οὐδὲ ῥίζαν ἢ μνήμην, ἀλλ' οἷον ἀνέμου κατενεχθέντος ἐπ' αὐτοὺς βαδιοῦνται πρὸς τὸ μηδὲν, φρυγάνοις ἐν ἴσῳ. Πάντα γὰρ τὰ ἀνθρώπινα μικρὰ καὶ εὐδιαῤῥίπιστα, καὶ εὐανάτρεπτα παντελῶς, καὶ πόαις ἐν ἴσῳ καταμαραίνεται. Προσκυνητέον οὖν ἄρα Θεῷ δὴ μόνῳ τῷ κατὰ φύσιν καὶ ἀληθῶς, καὶ λόγος ἔστω μηδεὶς τῶν ἐξ ἐπιστήμης τεκτόνων ἐξευρημένων, μήτε μὴν ἀνθρώπων οἷς ἐπεγράφη πρός τινων τὸ θεῶν ὄνομα. Νεκρολατρεία γὰρ τοῦτο, καὶ ἕτερον οὐδέν. B

Νῦν οὖν τίνι με ὡμοιώσατε; καὶ εἶπεν, Ὑψωθήσομαι, ὁ Ἅγιος. Ἀναβλέψατε εἰς ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τίς κατέδειξε ταῦτα πάντα· ὁ ἐκφέρων κατὰ ἀριθμὸν τὸν κόσμον αὐτοῦ, πάντας ἐπ' ὀνόματι καλέσει ἀπὸ πολλῆς δόξης, καὶ ἐν κράτει ἰσχύος οὐδέν σε ἔλαθεν.

Ὁ πάνσοφος Παῦλος κατακέκραγεν εἰκότως τῆς τῶν πλανωμένων ἀμαθίας, καὶ τῆς τῶν εἰδωλολατρούντων πληθύος δικαιοτάτην ποιεῖται τὴν καταβολήν. Ἐξὸν γὰρ αὐτοῖς καὶ ἐξ αὐτῆς τῆς κτίσεως τὸν τῶν ὅλων εἰδέναι γενεσιουργὸν καὶ τεχνίτην, ἀπεχομίσθησαν εἰς ψευδολατρείαν, καὶ προσκεκυνήκασι τοῖς οὐκ οὖσι θεοῖς. Ἔφη δὲ οὕτω περὶ τοῦ πάντων κρατοῦντος Θεοῦ· « Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε C ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι ἀναπολογήτους. Διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ εὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· καὶ φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. » Οὐκοῦν ἐπειδήπερ, φησὶ, κατέχω τὸν γῦρον τῆς γῆς, καὶ οἷά τινα σκηνὴν ἐκτέτακα τὸν οὐρανὸν, δίδωμί τε ἄρχοντας εἰς οὐδὲν ἄρχειν, καὶ οἷον ἀκρίσι παρεικάζω τοὺς ἐπὶ τῆς γῆς, τίνι με ὡμοιώσατε; ἀντὶ τοῦ, Τίνι με παρεικάζοντες οὐκ ἂν ἔξω γένησθε τοῦ εἰκότος, οὐδ' ἂν ἁμάρτητε τ' ἀληθοῦς. Ἆρά με τὸν οὐρανὸν εἰπόντες, ἢ καὶ ἑνὶ τῶν D στοιχείων ἐξομοιοῦν ἐθέλοντες, ὑψοῦν μὲν νομίζετε; Ἀλλ' οὐδὲν τῶν κτισμάτων ἐοικὸς ἐμοὶ, καὶ τὸ κατὰ πᾶν ὁτιοῦν ἀπαραλλάκτως ἔχον. Ἰσοστατήσειε γὰρ ἂν οὐδεὶς εἰς οὐσίας λόγον τῷ καλοῦντι πρὸς ὕπαρξιν τὰ οὐκ ὄντα ποτέ. Ὅτι γὰρ οὐ κατά γε τοὺς παρ' ὑμῖν εἰμι θεοὺς, τοὺς ἐκ τέχνης ἀνθρωπίνης λαχόντας τὴν γένεσιν, ἐξ αὐτῶν θεωρήσατε τῶν κτισμάτων. Ἄρατε εἰς ὕψος τοὺς ὀφθαλμοὺς, ἴδετε τὸ στερέωμα, τὸν τῶν ἀστέρων χορὸν, ἐννοήσατε τίς κατέδειξε ταῦτα πάντα, τίς ὁ ἐκφέρων κατὰ ἀριθμὸν τὸν κόσμον αὐτοῦ, δῆλον δὲ ὅτι τοῦ οὐρανοῦ. Κόσμον δὲ τοῦ οὐρανοῦ τοὺς ἀστέρας ἀποκαλεῖ, οὓς εἰδέναι φη-

quasi in nihilum redigit. Quod autem positum sit in Dei potestate, conservare memoriam, vel secus, eorum qui in terra clari insignesque evaserunt, ostendit, dicens: Non enim serent, neque plantabunt. Nisi enim velit, scilicet Deus, nullum, inquit, habebunt in terra fructum, sed neque stirpem, nec memoriam: sed tanquam vento in eos irruente, in nihilum velut sarmenta recident [63]. Omnia enim humana, parva sunt, et facile projici ac omnino everti queunt, atque herbarum in morem emarcescunt. Adorandus est igitur Deus solus, Deus, inquam, natura et vere: nec ulla sit eorum ratio quos fabrorum scientia invenit, neque etiam hominum qui a quibusdam deorum nomine insigniuntur. Est enim hæc necrolatria ac mortuorum cultus, et præterea nihil.

VERS. 25, 26. *Nunc igitur, cui me assimilastis? et dixit Sanctus, In excelsum collocabor. Attollite in excelsum oculos vestros, et contemplamini quis ostendit hæc omnia, qui educit juxta numerum ornamentum suum, omnes nomine vocabit a multa gloria, et in robore fortitudinis, nihil te latuit.*

Sapientissimus Paulus vociferatus est non immerito contra errantium imperitiam, et contra multitudinem idola colentium, justissime exclamavit. Nam cum liceret illis, ex ipsa adeo creatione universorum Creatorem et architectum videre, abducti sunt in pseudolatriam, ac eos qui dii non sunt, adoraverunt. Dixit autem ita de omnium dominatore Deo: « Quæ namque ejus sunt inaspectabilia, ex creatione mundi, dum considerantur per opera, perspiciuntur, æterna ejus potentia et divinitas, **516** ut sint inexcusabiles. Quapropter, cum Deum noverint, non ut Deo gloriam tribuerunt, nec gratias egerunt, sed vanis cogitationibus usi sunt, et obtenebratum est insipiens cor eorum; et professi se esse sapientes, infatuati sunt, et mutaverunt gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis, et volucrum, et quadrupedum, et serpentium [64]. » Quandoquidem ergo, inquit, orbem terræ contineo, et velut tabernaculum quoddam extendi cœlum, reddoque reges ut nihil regant, et terræ incolas cicadis similes facio, cui me assimilastis [65]? pro, quocum me comparabitis, ut decorum non transiliatis, et non a vero aberretis? An cœlum nominantes, vel etiam alicui me elemento assimilare volentes, putatis vos me extollere? At nulla creatura mihi similis, et quæ per omnia mihi respondeat. Nullus enim æquare poterit, ratione substantiæ, eum qui ad ortum vocat ea quæ aliquando non erant. Non enim esse me ex numero vestrorum deorum, qui humano artificio habent ortum, perspicite ex ipsis creaturis. Tollite in sublime oculos, videte firmamentum, stellarum chorum; cogitate quis hæc omnia ostenderit, quis educat in numero ornatum ejus, scilicet cœli. Ornatum autem cœli, stellas vocat, quas se cognoscere

[63] Isa. XL, 24. [64] Rom. I, 20 22. [65] Isa. XL, 25.

dicit apud se, non solum visas multitudine, sed etiam sigillatim, et quasi nominatim. Divina res hæc et eximia : quippe propheta multum hoc miratur, et affatur eum : Ex multa gloria, et in robore fortitudinis, nihil te latuit. Nam sicuti dicit sacra Scriptura, Numerabiles ei sunt stillæ pluviæ. Nihil enim prorsus latet hanc ineffabilem sapientiam, ac mentem quæ novit omnia.

VERS. 27. *Ne enim dicas Jacob, et quid locutus est Israel? Abscondita est via mea a Deo, et Deus meus judicium meum abstulit, et recessit.*

Quod hi errantes vocabuntur suo tempore, et veritatis luce ditati, animo ac corde agnoscent universitatis Creatorem et artificem, quodque sapientes et cordati futuri sunt, et ex pulchritudine creaturarum, ratione et proportione quadam, contemplabuntur eum qui totum hoc quidquid est, inenarrabili potentia produxit ut esset, optime disseruit. Ex his jam ita dictis, cum satis justam **517** iis mystagogiam institutionemque contexuerit, orationem ad eos transfert qui sanguine Jacobi sive Israelis orti sunt. Postquam enim offendissent in lapidem offensionis, et salutis auctore ac chorago non recepto, a conjunctione quæ cum illo est procul abessent, non jam contra receptam in lege umbram, sed contra adorationem ac cultum per spiritum ac in veritate invectum, id est, evangelicum, obmurmurarunt, et inquiunt : Abscondita est via mea a Deo, id est, non considerat legalem vivendi rationem, ac institutionem. Nam qui sic vivunt, nempe prout sapientissimi Moysis præceptum jussit, eos deinceps inspicere non dignatur. Sed abstulit judicium meum, et recessit, id est, legem cessare fecit. Judicium vocant legem : quod docebit beatus David, cum alloquitur universorum Deum : « Judicium et justitiam in Jacob tu fecisti [44] ; » id est, tu per angelos, vel per Moysis intercessionem, legem statuisti. Dixitque etiam Moyses de Israel : Illic dedit et justificationes et judicia. Abstulit igitur meum judicium, id est, legis quodammodo cultum abjecit, et abstulit a nobis, ac recessit. Non enim curat amplius electos, et primogenitus Israel in nihilum abiit.

VERS. 28. *Et nunc nonne cognovisti, neque audivisti? Deus æternus, Deus qui fabricavit terminos terræ, non esuriet, neque laborabit, neque prudentiæ ejus inventio.*

Olim namque, o Israel, eruditus es lege, cognovisti ex prophetis modum futuræ post legem dispensationis. Prodita enim lex est, umbras habens et typos futurorum bonorum, et mysterii Christi virtutem quasi parturiens in littera : multifariam enim per legis præceptum ante Christus formabatur, ejusque mysterium ænigmatice describebatur. Hoc ipse confirmabit, cum dicit Israelitis inobedientibus : « Si

[44] Psal. XCVIII, 4.

A σὶν ἐν ἑαυτῷ, οὐχὶ δὴ μόνον κατὰ πληθὺν ὁρωμένους, ἀλλὰ γὰρ καὶ καθ' ἕκαστον, καὶ οἷον ὀνομαστί. Θεοπρεπὲς δὲ τοῦτο, καὶ ἐξαίρετον· καὶ γοῦν ὁ προφήτης ἐν πολλῷ ποιεῖται τὸ χρῆμα τῷ θαύματι, καί φησι πρὸς αὐτόν· Ἀπὸ πολλῆς δόξης, καὶ ἐν κράτει ἰσχύος οὐδέν σε ἔλαθεν. Ὡς γάρ φησιν τὸ Γράμμα τὸ ἱερὸν, Ἀριθμηταί εἰσι παρ' αὐτοῦ σταγόνες ὑετοῦ. Λάθοι γὰρ ἂν παντελῶς οὐδὲν τὴν ἀπόῤῥητον σοφίαν, τὸν πάντα εἰδότα νοῦν.

Μὴ γὰρ εἴπῃς Ἰακὼβ, καὶ τί ἐλάλησεν Ἰσραήλ; Ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ Θεοῦ, καὶ ὁ Θεός μου τὴν κρίσιν μου ἀφεῖλε, καὶ ἀπέστη.

Ὅτι κεκλήσονται κατὰ καιροὺς οἱ πλανώμενοι, καὶ τὸ τῆς ἀληθείας εἰς νοῦν καὶ καρδίαν καταπλουτήσαντες φῶς, ἐπιγνώσονται μὲν τὸν τῶν ὅλων B γενεσιουργὸν καὶ τεχνίτην, εὖ μάλα διειρηκὼς, ἔσονται δὲ ὅτι σοφοὶ καὶ ἀγχίνοι, καὶ ἀπὸ καλλονῆς κτισμάτων θεωρήσουσιν ἀναλόγως τὸν τόδε τὸ σύμπαν ἀῤῥήτῳ δυνάμει προενεγκόντα πρὸς ὕπαρξιν, καὶ ἀποχρῶσαν αὐτοῖς ἐξυφήνας τὴν μυσταγωγίαν διὰ τῶν ἤδη προειρημένων, μεθίστησι τὸν λόγον ἐπὶ τοὺς ἐξ αἵματος Ἰακὼβ, ἤτοι τὸν Ἰσραήλ. Ἐπειδὴ γὰρ προσέκοψαν τῷ λίθῳ τοῦ προσκόμματος, καὶ τὸν τῆς σωτηρίας χορηγὸν οὐ παραδεξάμενοι, τῆς πρὸς αὐτὸν οἰκειότητος γεγόνασί που μακρὰν, οὐκέτι παραδεχθείσης τῆς κατὰ νόμον σκιᾶς, οὐχ εἰσκεκομισμένης δὲ μᾶλλον τῆς ἐν πνεύματί τε καὶ ἀληθείᾳ προσκυνήσεως, καὶ λατρείας, τοῦτ' ἔστι, τῆς εὐαγγελικῆς, διεγόγγυζον λέγοντες· Ἀπεκρύβη ἡ ὁδός μου C ἀπὸ τοῦ Θεοῦ, τοῦτ' ἔστι, τὴν νομικὴν οὐκ ἐπισκέπτεται πολιτείαν. Ζῶντας γὰρ οὕτω, καθάπερ ἀμέλει καὶ ἡ διὰ τοῦ πανσόφου Μωσέως προστέταχεν ἐντολὴ, τῆς παρ' ἑαυτοῦ λοιπὸν ἐποπτείας οὐκ ἀξιοῖ. Ἀφεῖλε δέ μου τὴν κρίσιν καὶ ἀπέστη, τοῦτ' ἔστιν, ἔπαυσε τὸν νόμον. Κρίσιν δέ φασι τὸν νόμον· καὶ τοῦτο διδάξει λέγων ὁ μακάριος Δαβὶδ πρὸς τὸν τῶν ὅλων Θεόν· « Κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας· » τοῦτ' ἔστι, Σὺ τὸν δι' ἀγγέλων, ἤγουν διὰ τῆς Μωσέως μεσιτείας ὡρίσω νόμον· ἔφη δὲ καὶ Μωσῆς περὶ τοῦ Ἰσραὴλ, ὅτι Ἐκεῖ ἔδωκεν αὐτῷ δικαιώματα καὶ κρίσεις. Ἀφεῖλέ μου τοίνυν τὴν κρίσιν, τοῦτ' ἔστι, τὴν κατὰ νόμον λατρείαν ἀποβεβληκὼς μονονουχὶ, καὶ ἀφεῖλεν αὐτὴν ἀφ' ἡμῶν, καὶ ἀπέστη. Κήδεται γὰρ οὐκέτι τῶν ἐξειλεγμένων, καὶ ὁ πρωD τότοκος Ἰσραὴλ οἴχεται πρὸς τὸ μηδέν.

Καὶ νῦν οὐκ ἔγνως, εἰ μὴ ἤκουσας; Θεὸς αἰώνιος, Θεὸς κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει, οὐδέ ἐστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ.

Πάλαι μὲν γὰρ, ὦ Ἰσραὴλ, ἐπαιδεύθης διὰ νόμου, ἔγνως διὰ προφητῶν τῆς μετὰ τὸν νόμον ἐσομένης οἰκονομίας τὸν τρόπον. Κεχρησμῴδηται μὲν γὰρ ὁ νόμος, σκιὰς ἔχων καὶ τύπους τῶν μελλόντων ἀγαθῶν, καὶ τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν ὡς ἐν ὠδῖσιν ἔχων τῷ γράμματι· πολυτρόπως γὰρ διὰ τῆς κατὰ νόμον ἐντολῆς προανεμορφοῦτο Χριστὸς, καὶ τὸ ἐπ' αὐτῷ μυστήριον αἰνιγματωδῶς κατεγρά-

φετο· καὶ πιστώσεται λέγων αὐτὸς τοῖς ἀπειθεῖν ἑλομένοις ἐξ Ἰσραὴλ· « Εἰ πιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοὶ, περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Ἐπειδὴ δὲ, φησὶν, αἰτιᾶται λέγων, Οὐχ ἐπισκέπτεταί μου τὰς κατὰ νόμον ὁδούς· τοῦτο γάρ ἐστι τό· Ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ Θεοῦ, καὶ ὅτι ἀφεῖλεν ἡμῶν τὴν κρίσιν, ἤτοι τὸν νόμον, καὶ ἀπέστη· ὡς ἠγνοηκὼς δέ που πάντως τὸν ἐν τῷ Θεῷ σκέποντα, τοιάδε φησί· Ἔστω, φησὶ, κἂν γοῦν νῦν οὐκ ἔγνως, εἰ μὴ ἤκουσας; τοῦτ' ἔστιν, εἰ μὴ ἀκούσειας; ὅμοιον δὲ ὡς εἰ λέγοι· Δέχομαι τὴν προσποίησιν οἰκονομικῶς. Οὐκ ἔγνως, εἰ μὴ μάθοις, ἤτοι μὴ ἀκούσας. Ἄκουε τοίνυν, Θεὸς αἰώνιος. Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει. Προσεκόμιζες δὲ, φησὶ, τὰς δι' αἱμάτων θυσίας πρόβατα, καὶ βοῦς ἀνετίθεις ἀποπεραίνων B εὐχάς· λιβανωτοῖς ἐτίμας καὶ καπνοῖς, τρυγόσι καὶ περιστεραῖς· ἀλλ' ἴσθι τοι καὶ μὴ ἀγνοήσῃς ὅτι τὰ ἄκρα κατεσκεύασε ὁ Θεὸς ὁ αἰώνιος. Ἄκρα δὲ τῆς γῆς τὰ πέρατά φησιν, ἵνα διὰ τούτου νοῆται πᾶσα. Οὐ πεινάσει, οὐδὲ κοπιάσει. Ὅμοιον εἶναι τοῦτό φημι τῷ πρὸς αὐτοὺς εἰρημένῳ, διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· « Μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων πίωμαι; » Πῶς γάρ μοι, φησὶ, προσκομίζετε τὰς θυσίας; ἆρ' ὡς πεινῶντι, καὶ ὑπὸ λιμοῦ κοπιᾶν εἰωθότι; ἄπαγε τῆς δυσβουλίας. Ὁ γὰρ αἰώνιος Θεὸς ὁ φθείρεσθαι μὴ εἰδὼς, οὔτε πεινάσει, οὔτε κοπιάσει· οὐδὲ γὰρ αὐτοῦ τι τῶν ἀνθρωπίνων ἅψεται. Ἀλλ' οὐδ' ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ. Αἰτίᾳ μὲν γὰρ ἐσθ' ὅτε, φησὶ, λέγων· Εἰ νῦν ἀπαράδεκτον ἐποιήσω τὴν διὰ Μωσέως ἐντολὴν, ἤτοι τὴν ἐν νόμῳ σκιὰν, τί καὶ C ὅλως ἐνομοθέτεις ἐν ἀρχαῖς; εἰ κρείττονα τῶν ἀρχαίων τὰ νέα, τοῦτ' ἔστι, τὰ εὐαγγελικὰ θεσπίσματα, διατί ταῦτα καὶ πρὸς αὐτοῦ τέθειται τοῦ νόμου; Ἀλλὰ μὴ εἴπῃς τοῦτο, φησίν. Οὐ γὰρ εὑρεῖν δυνάσαι τὴν ἀκατάληπτον φρόνησιν, ἤτοι σοφίαν τοῦ Θεοῦ. Δέδοται μὲν γὰρ ἡ διὰ Μωσέως ἐντολή· καὶ ἐπὶ τίσιν ἄρα, καὶ διὰ ποίαν αἰτίαν ὁ Παῦλος διδάξει, λέγων, ὅτι « Νόμος παρεισῆλθε, ἵνα πλεονάσῃ τὸ παράπτωμα. » Καὶ πάλιν· « Συνέκλεισε γὰρ ἡ Γραφὴ τὰ πάντα ὑπὸ ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ. » Ὡρίσθη τοίνυν ὁ τῆς ἁμαρτίας παραδεκτικὸς, καὶ οἱονεὶ τῆς ἁπάντων ἀσθενείας ἔλεγχος, ἵνα, ἐπείπερ οὐκ οἶδε δικαιοῦν τοὺς ἡμαρτηκότας, κατακρίνει δὲ μᾶλλον αὐτοὺς, λοιπὸν ἀναγκαίως εἰσφέρεται τῆς διὰ Χριστοῦ φιλοτιμίας ἡ χάρις, D δικαιοῦσα τὸν ἀσεβῆ, καὶ ἀπαλλάττουσα τῶν πλημμελημάτων τοὺς ἐνισχημένους αὐτοῖς. Οὐκοῦν οὐκ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως τοῦ πάντα σοφῶς οἰκονομοῦντος Θεοῦ, καὶ προαναδείξαντος μὲν τὸν νόμον εἰς ἔλεγχον ἁμαρτίας, πέμψαντος δὲ τὸν Υἱὸν ἐξ οὐρανῶν, ἵνα δικαιώσῃ τῇ πίστει τοὺς ἐν ἁμαρτίαις.

A credidissetis Moysi, credidissetis et mihi : de me enim ille scripsit [67]. » Quoniam vero, inquit, criminatur, dicens : Non considerat vias meas in lege, id enim est : Abscondita est via mea a Deo, et abstulit nostrum judicium, sive legem, et recessit, quasi non novisset prorsus eum qui Deo confidit : hæc dicit : Esto, inquit, etiam nunc non cognovisti, vel non audivisti ? id est, nonne audire potuisti [68]? Simile **518** est ac si dicat : Admitto fictionem quam instituisti. Non cognovisti, nisi didiceris vel audieris. Audi igitur, Deus æternus est. Deus, qui fabricavit extrema terræ, non esuriet, neque laborabit. Obtulisti, inquit, sanguinolenta sacrificia, oves et boves immolasti, vota fecisti, thure et fumo, turturibus et columbis honorasti. Sed cognosce, neque sis nescius, eum qui fabricavit extrema terræ, Deum esse æternum. Extrema terræ, fines dicit, ut inde tota terra intelligatur. Non esuriet, neque laborabit, simile est ei quod dicitur illis voce Psallentis : « Num edam carnes taurorum, aut sanguinem hircorum bibam [69]? » Quomodo enim mihi, inquit, adducitis sacrificia? an ut esurienti, et præ fame laboranti? Apage consilii inopiam. Æternus enim Deus corrumpi non potest, neque esuriet, neque laborabit, nec illum quidquam rerum humanarum attinget. Sed neque est inventio prudentiæ ipsius. Causaris enim, inquit, et dicis interdum : Si nunc rejeceris præceptum Moysis, seu legis umbram, cur omnino legem condidisti ab initio? si nova, id est, evangelica oracula, præstantiora sint veteribus, cur hæc ad ipsam legem apponuntur? Ne dicas, inquit, istud. Non enim poteris invenire incomprehensam Dei prudentiam, sive sapientiam. Data enim est lex per Moysem; ob quæ autem, et quam ob causam, Paulus docebit, inquiens : « Lex subingressa est, ut abundaret delictum [70]. » Et rursus : « Conclusit enim Scriptura omnia sub inobedientia, ut omnium misereretur [71]. » Definitur igitur esse peccati monstratrix, et omnium infirmitatis quasi redargutio, ut quoniam justificare peccatores non poterat, sed condemnet potius, deinceps necessario inducatur munificentiæ per Christum gratia, quæ justificat impium, et liberat delictis eos qui illis sunt implicati. Itaque non est inventio prudentiæ Dei, qui omnia gubernat sapienter, et qui præmonstravit legem, ut peccata redarguat, qui misit Filium de cœlo, ut justificaret per fidem peccatis obrutos.

Διδοὺς τοῖς πεινῶσιν ἰσχὺν, καὶ τοῖς μὴ ὀδυνομένοις λύπην. Πεινάσουσι γὰρ νεώτεροι, καὶ κοπιάσουσι νεανίσκοι, καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται. Οἱ δὲ ὑπομένοντες Θεὸν, ἀλλάξουσιν ἰσχὺν, πτεροφυήσουσιν ὡς ἀετοὶ, δραμοῦνται καὶ οὐ κοπιάσουσι, βαδιοῦνται καὶ οὐ πεινάσουσι.

VERS. 29-31. *Qui dat esurientibus fortitudinem, et non dolentibus mœrorem. Esurient enim juvenes, et laborabunt adolescentes, et electi infirmi erunt. Qui vero exspectant Deum, mutabunt fortitudinem, alas assument ut aquilæ,* **519** *current et non laborabunt, gradientur et non esurient.*

[67] Joan. v, 46. [68] Isa. XL, 27, 28. [69] Psal. XLIX, 13. [70] Rom. v, 20. [71] Rom. XI, 32.

Hoc mihi simul ac complexim intellige : Deus A æternus, Deus qui fabricavit extrema terræ, ipse est qui dat esurientibus robur. Non enim unquam cibi inopia angebatur, Deus quippe et æternus. Imo dat potius ipse esurientibus robur spirituale, justitiam : item dat non dolentibus mœrorem. Atque hoc bifariam intelliges. Vel enim ex ingenti stupore, et ex eo quod ignoraverint Dei voluntatem, nescientibus se offendisse eum, ac in graves atque inevitabiles calamitates incidentibus, dat auxilii causa ut doleant in posterum, de his in quibus lapsi sunt. Dolor enim qui est secundum Deum, pœnitentiam ad salutem non pœnitendam operatur, vel crucifigentibus Jesum, et propterea gaudentibus (sic enim affecti sunt Judæorum proceres, et quicunque ausi B sunt dicere : « Sanguis ejus super nos, et super filios nostros [72] ; ») dat mœrorem, dum effecit ut in calamitatibus bellique malis versarentur; et quoniam a conjunctione quæ est cum illo exciderunt, destituti sunt omni fortitudine ac cibo spirituali. Hinc tantum non exponens quod dictum est, infert dicens : Esurient enim juvenes, et laborabunt adolescentes, et electi infirmi erunt. Nam quod ad gentes attinet, quæ defecerant, et infirmæ erant, et sic pedibus diabolicis subjectæ, et facientes incunctanter quidquid immundis spiritibus visum esset, fortes quidam erant et juvenes : at intelligibiliter videlicet et spiritualiter, fame et labore premebantur. Jam qui ex legis pædagogia recte noverunt agere, et præceptum sibi traditum semel, C perficere, hi, inquit, esurient et laborabunt, id est, ad omnia bona infirmi erunt et inhabiles. Fames enim divinorum sermonum si quibus contingat, declarat eos prorsus infirmos et fractos, et qui nihil boni præclare ac fortiter possunt peragere. Quod autem fame perierit gens Israelitica, credentibus in Dominum nostrum Jesum Christum, a malo ereptis, proclamat Deus, quondam dicens per unum e prophetis : « Ecce dies veniunt, dicit Dominus, et inducam famem super terram, non famem panis, neque sitim aquæ, sed famem audiendi verbum Domini. Et ab oriente usque ad occidentem circumcursabunt, quærentes verbum **520** Domini, et non invenient [73]. » Quomodo enim infirmi non essent, quomodo non laborarent, ac fame mentis et intelligen- D tiæ non disperirent, cum videlicet Christum non admiserint, etiam cum dicat aperte : « Ego sum panis vivus, qui e cœlo descendit, et vitam dat mundo : si quis hunc panem edit, vivet in æternum [74]? » Cum autem propter insignem insulsitatem, etiam cum habere potuissent, panem vitæ non comederint, fame contabuerunt, deliciantibus gentibus. Est enim verum quod dicit Salomon : « Non fame perimet Dominus animam justam, vitam vero impiorum subvertet [75]. » Sed hæc usuvenerunt Judæis, quippe qui impii fuerant in ducem vitæ. At qui sustinent Dominum, id est, qui Christo ser-

Νόει δή μοι κατὰ κοινοῦ, τὸ, ὅτι Θεὸς ὁ αἰώνιος, Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, αὐτός ἐστιν ὁ διδοὺς τοῖς πεινῶσιν ἰσχύν. Οὐ γάρ τοι τροφῆς ἐν ἐνδείᾳ γέγονέ ποτε Θεὸς ὢν καὶ αἰώνιος. Δίδωσι δὲ τοῖς πεινῶσι μᾶλλον αὐτὸς τὴν δικαιοσύνην, πνευματικὴν εὐανδρίαν· δίδωσι δὲ ὁμοίως καὶ τοῖς μὴ ὀδυνωμένοις λύπην. Καὶ τοῦτο νοήσεις διχῇ. Καὶ γάρ τοι ἐκ πολλῆς ἄγαν ἀναισθησίας, καὶ ἐκ τοῦ μὴ ἐγνωκέναι τὸ ἀρέσκον Θεῷ, μήτε μὴν εἰδόσιν ὅτι προσκρούοντες αὐτῷ δειναῖς, καὶ ἀφύκτοις περιπεσοῦνται δίκαις, δίδωσιν εἰς ἐπικουρίαν τὸ λυπεῖσθαι λοιπὸν ἐφ' οἷς ἂν πταίωσιν. Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητόν τε κατεργάζεται, ἤγουν τοῖς σταυρώσασι τὸν Ἰησοῦν, καὶ τάχα που καὶ χαίρουσιν ἐπὶ τούτῳ (διετέθησαν γὰρ οὕτως οἵ τε τῶν Ἰουδαίων καθηγηταὶ, καὶ ὅσοι τετολμήκασιν εἰπεῖν· « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· ») διδοὺς λύπην, συμφοραῖς αὐτοὺς καὶ πολέμου κακοῖς ὁμιλῆσαι παρασκευάσας· καὶ ὅτι τῆς πρὸς αὐτὸν οἰκειότητος ἀπωλισθήκασιν, ἔρημοι γεγόνασιν ἁπάσης ἰσχύος καὶ τροφῆς πνευματικῆς. Ταὐτῃ τοι μονονουχὶ καὶ διερμηνεύων τὸ εἰρημένον ἐπιφέρει, λέγων· Πεινάσουσι γὰρ νεώτεροι, καὶ κοπιάσουσι νεανίσκοι, καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται. Ὅσον μὲν γὰρ ἧκεν εἰς τὸ ἐκλελύσθαι τὰ ἔθνη, ἠσθενηκέναι τε οὕτως, καὶ ὑπὸ πόδας ἐῤῥίφθαι διαβολικοὺς, καὶ πράττειν ἀμελητὶ τὸ τοῖς ἀκαθάρτοις πνεύμασι δοκοῦν, ἀνδρεῖοί τινες ἦσαν καὶ νεώτεροι· νοητῶς δὲ δηλονότι, καὶ πνευματικῶς, πείνῃ καὶ κόπῳ κατείχοντο. Οἱ δὲ διὰ τῆς ἐν νόμῳ παιδαγωγίας εἰδότες ἀγαθουργεῖν, καὶ τὴν δοθεῖσαν ἅπαξ ἀποπεραίνοντες ἐντολὴν, ἀλλ' οὗτοι, φησὶ, πεινάσουσι, καὶ κοπιάσουσι, τοῦτ' ἔστιν, ἀνίσχυες ἔσονται πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν. Ὁ γάρ τοι λιμὸς τῶν θείων λόγων εἰ συμβαίνοι τισὶν, ἀποφαίνει δὴ πάντως αὐτοὺς ἠσθενηκότας, καὶ παρειμένους, καὶ καταθλεῖν εἰδότας τῶν ἀγαθῶν οὐδέν. Ὅτι δὲ λιμῷ κατεφθάρη τὸ ἔθνος τὸ ἐξ Ἰσραὴλ, ἐξῃρημένων τοῦ κακοῦ τῶν πεπιστευκότων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, προαναφωνεῖ Θεὸς, καὶ πάλαι λέγων δι' ἑνὸς τῶν προφητῶν· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐπάξω λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι τὸν λόγον Κυρίου· καὶ ἀπ' ἀνατολῶν ἕως δυσμῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσι. » Πῶς γὰρ οὐκ ἔμελλον ἀνίσχυες ἔσεσθαι καὶ κοπιᾷν, καταφθείρεσθαί τε λιμῷ νοητῷ, δῆλον ὅτι Χριστὸν οὐ παραδεξάμενοι, καίτοι λέγοντα σαφῶς· « Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· ἐάν τις τὸν ἄρτον τοῦτον φάγῃ, ζήσεται εἰς τὸν αἰῶνα; » Ἐπειδὴ δὲ διὰ πολλὴν ἀβουλίαν, καίτοι μεταλαχεῖν ἐξὸν, οὐ κατεδηδόκασι τὸν ἄρτον τῆς ζωῆς, λιμῷ κατατήκονται, τρυφώντων τῶν ἐθνῶν. Ἀληθὲς γὰρ ὅτι, καθά φησιν ὁ Σολομὼν, « Οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίαν, ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει. » Ἀλλὰ ταῦτα μὲν Ἰουδαίους συνέβη παθεῖν. Δεδυσσεβήκασι γὰρ εἰς τὸν ἀρχηγὸν τῆς ζωῆς.

[72] Matth. XXVII, 25. [73] Amos, VIII, 11, 12. [74] Joan. VI, 51, 52. [75] Prov. X, 3.

Οἵ γε μὴν ὑπομένοντες τὸν Θεὸν, τοῦτ' ἔστιν, οἱ Χριστῷ δουλεύοντες, καὶ τὰ αὐτοῦ φρονοῦντες, καὶ κατορθοῦν σπουδάζοντες, ἀλλάξουσιν ἰσχύν. Οὐ γὰρ ἐν ἐκείναις μεμενήκασι ταῖς ἀσθενείαις ἐν αἷς ἦσάν ποτε πλανώμενοι, καὶ ὑπεζευγμένοι τῷ Σατανᾷ, καὶ ταῖς κοσμικαῖς ἡδοναῖς, ἀλλ' ἑτέραν ἕξουσι, τοῦ Χριστοῦ δηλονότι χορηγοῦντος αὐτοῖς τὸ δύνασθαι κατευμεγεθεῖν βδελυρᾶς ἁπάσης ἡδονῆς, καὶ τῶν τῆς ἁμαρτίας ἔξω φέρεσθαι βρόχων. Γέγραπται γάρ· «Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.» Ἀνακαινισθήσονται δὲ οὕτω, φησὶν, ὡσανεὶ καὶ ἀετοί. Καὶ τοῦτο διδάξει λέγων ὁ μακάριος Δαβίδ· «Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.» Δραμοῦνται δὲ, καὶ οὐ κοπιάσουσι. Πρόθυμοι γὰρ καὶ νεανικοὶ τὰς τῆς εἰς Θεὸν εὐσεβείας διοδεύσουσι τρίβους, διδόντος αὐτοῖς τὰ ζωαρκῆ, καὶ κοπιᾷν οὐκ ἐῶντος Χριστοῦ. Ἐμπίμπλησι γὰρ τὰς καρδίας τῶν ἀγαπώντων αὐτὸν τῆς ἄνωθεν εὐσθενείας, ὥστε κἂν εἰ γένοιτο πειρασμοῖς καὶ κόποις περιπεσεῖν, κατορθοῦντας τὴν ἀρετὴν, κρείττους γενέσθαι τοῦ καμεῖν, εὖ εἰδότας ὅτι πολύευχτον ἡ ὑπομονὴ, κἂν εἰ ἐνυπάρχοι τισὶν, ἀποφαίνει δὴ πανδοκιμωτάτους. «Κατεργάζεται γὰρ ἡ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει τοὺς οὕτω ζῆν εἰωθότας.» Παραθήγει πρὸς εὐανδρίαν, δῆλον δὲ ὅτι τὴν ἐφ' ἅπασιν ἀγαθοῖς, ὁ μακάριος Δαβὶδ λέγων· «Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.»

Ἐγκαινίζεσθε πρός με, νῆσοι. Οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν· ἐγγισάτωσαν, καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν εὐαγγελλάτωσαν.

Κατὰ διαφόρους τρόπους αἱ νῆσοι νοοῦνται. Εἰσὶ μὲν γὰρ καὶ ἐν θαλάσσαις πολλαὶ, λέγονται δὲ οὕτω καὶ πόλεις ἔσθ' ὅτε, καὶ κῶμαι πλατεῖαν ἔχουσαι κύκλῳ γῆν ἀνήροτον καὶ κεχερσωμένην· τοιαύτας εἶναί φασι τὰς τῶν Ἰδουμαίων καὶ Μωαβιτῶν, ὡς ἐν ἐρήμῳ κειμένας. Ἦσαν δὲ οὗτοι δυσσεβεῖς καὶ εἰδωλολάτραι, καὶ τῆς Ἰουδαίων χώρας οὐ μακράν. Φαμὲν τοίνυν, ὅτι τὴν τῶν ἐθνῶν πρόσληψιν κατασημεῖναι θέλων, καὶ ὡς ἐκ μέσου ἐπὶ τὸ πᾶν τὴν τοῦ πράγματος δύναμιν ἀποφέρων, ταῖς τῶν πλανωμένων πόλεσι προσφωνεῖ, λέγων· Ἐγκαινίζεσθε πρός με, νῆσοι, τοῦτ' ἔστι, τὴν ἐκ τοῦ πλανᾶσθαι, καὶ πλημμελεῖν παλαίωσιν, καὶ σαθρότητα τῶν ἰδίων ἀποπεμψάμενοι καρδιῶν, ἀνακαινίσθητε διὰ μεταγνώσεως. Βουλεύσασθε τὰ ἀμείνω, παραδέξασθε τὴν εἰς καινότητα ζωῆς ἀνακαινίζουσαν χάριν, δῆλον δὲ ὅτι τὴν διὰ Χριστοῦ. Εἰκὸς δὲ δὴ καὶ ἑτέρως, νήσους ἐνθάδε κατωνομάσθαι τὰς Ἐκκλησίας, αἳ μονονουχὶ μεταξὺ περιστάσεων κοσμικῶν τέθεινται, καὶ τοῖς τῶν ἐπανισταμένων αὐταῖς περικλύζονται κύμασι, πλὴν ἵδρυσιν ἔχουσιν ἀσφαλῆ, καὶ ἀκράδαντον διαμένουσι. Τεθεμελίωνται γὰρ ἐπὶ πέτραν, καὶ ἔστιν ἐν αὐτῇ Χριστός. Αὗται τοίνυν αἱ ὡς νῆσοι κατωνομασμέναι, τοῦτ' ἔστιν, αἱ Ἐκκλησίαι. Σημαίνεται δὲ δι' αὐτῶν, ἡ τῶν διὰ πίστεως κεκλημένη πληθὺς, ἡ φιλαμαρτήμων ποτὲ, ἡ βδελυρὰ καὶ ἀκάθαρτος, σαθρὰ δὲ καὶ ἐῤῥυτιδωμένη, μετεφοίτησε διὰ Χριστοῦ πρὸς καινότητα ζωῆς, γέγονε παρθένος, ἁγνὴ, μὴ

A viunt, et quæ ejus sunt sapiunt, et recte facere student, mutabunt fortitudinem. Non enim manserunt in illis infirmitatibus in quibus erant aliquando errantes, et subditi Satanæ jugo et mundi voluptatibus, sed aliam habebunt, Christo scilicet suppeditante illis facultatem qua omnem voluptatem detestabilem superent, et e laqueis peccati eluctentur. Scriptum est enim : « Fortitudo mea et laus mea, Dominus [76]. » Renovabuntur igitur sic, inquit, velut aquilæ. Quod etiam docebit beatus David : « Renovabitur sicut aquilæ juventus tua [77]. » Current et non laborabunt. Prompti enim et instar juvenum alacres, vias conficient divinæ pietatis, dante illis Christo quæ ad vitam suppeditant, et laborare non permittente. Implet enim corda diligentium B se superna fortitudine, ut, si contingat illos in tentationes et labores incidere, qui convenienter virtuti vivunt, laborem superent, probe scientes valde optabilem esse patientiam. Quæ si adsit aliquibus, eos semper efficit per omnia probatissimos. « Operatur enim patientia probationem, probatio vero spem, spes autem non pudefacit, qui sic consueverunt vivere [78]. » Stimulat ad fortitudinem, in omnibus nimirum bonis, beatus David, ita dicens : « Viriliter agite, et roboretur cor vestrum, omnes qui speratis in Domino [79]. »

Cap. XLI. Vers. 1. *Renovamini ad me, insulæ. Principes enim mutabunt fortitudinem; appropinquent* C *et loquantur simul, tunc judicium annuntient.*

Variis modis intelliguntur insulæ. Sunt enim et in mari complures, dicuntur sic etiam civitates interdum et villæ, quæ **521** amplam circumcirca habent terram inaratam et incultam : quales dicunt esse Idumæorum et Moabitarum, utpote in deserto sitas. Erant autem hi impii et idololatræ, non procul a regione Judæorum. Itaque dicimus, cum gentium ascriptionem notare, et velut a re in medium producta, ad universum genus summam negotii transferre vellet, errantium civitates affatur, dicens : Renovamini ad me, insulæ, id est, erroris et peccati vetustate, et vitiositate animorum vestrorum amandata, renovamini per pœnitentiam. Cogitate meliora, accipite gratiam, videlicet Christi, D quæ in novitatem vitæ renovat. Verisimile est aliter quoque nominari hic insulas, Ecclesias, quæ mundi hujus difficultatibus et angustiis circumsidentur, et insurgentium contra eas fluctibus jactantur, verum stationem habent firmam, et immotæ permanent. Nam fundatæ sunt super petram, in qua est etiam Christus. Hæ igitur tanquam insulæ dictæ sunt, nimirum Ecclesiæ. Significatur autem per hæc, vocatorum per fidem multitudo, quæ quondam peccatis dedita, exsecrabilis et impura, vitiosa et rugosa, per Christum ad novitatem vitæ transmigravit, virgo facta est, pura, maculam aut rugam non habens, sed potius sancta et incontaminata.

[76] Psal. CXVII, 14. [77] Psal. CII, 5. [78] Rom. V, 3-5. [79] Psal. XXVI, 14.

Renovamini igitur ad me, inquit. Mutare quoque pulchre affirmat principes fortitudinem. Principes hic nominat veritatis præcones, alios aliis post vocationem suffectos, ut et declarant Petrus et Paulus, et reliquus apostolorum catalogus, quibus illud amplius quadrat: Alas assument ut aquilæ, current et non laborabunt, gradientur et non esurient. Talia enim miracula eorum Acta demonstrant. Non enim consimiles primis illis, scilicet proceribus Judæorum, erant Servatoris nostri discipuli, sed alia potentia velut spirituali præditi, nimirum longe erant meliores, et incomparabiliter præstantiores virtutis insignibus. Hi ergo principes appropinquent, et loquantur simul. Appropinquent, de tempore intelliges. Si enim aperuerit illos tempus, simul loquentur. Perinde est ac si diceret: Omnes idem narrabunt eis quos mysteria docent; quasi ex uno loquentes **522** spiritu, non verbis inter se pugnabunt, sed summo cum concentu et consensu de divinis dogmatis prædicabunt, occultumque Christi mysterium annuntiabunt. Hoc enim est, ut arbitror: Tunc judicium annuntient. Quia namque Israelitæ judicium nominarunt, Mosaicam legem, hinc etiam opponens illi hanc evangelicam et salutarem prædicationem, eam judicium his verbis jure optimo appellat. Justum enim judicium vere, et legislatoris quæ Deo placet efficacitas, non in legis umbra, sed in prædicatione sanctorum mystagogorum, novorum principum ostenditur. Qui cum didicissent a Christo judicium, vel Dei ac Patris voluntatem, eam nobis uno ore ac consensu annuntiarunt.

A ἔχουσα σπίλον, ἢ ῥυτίδα, ἁγία δὲ μᾶλλον, καὶ ἄμωμος. Οὐκοῦν ἐγκαινίζεσθε πρός με, φησίν. Ἀλλάξαι γε μὴν τοὺς ἄρχοντας ἰσχὺν εὖ μάλα διϊσχυρίζεται. Ἄρχοντας ἐνταῦθα τοὺς τῆς ἀληθείας ὀνομάζει κήρυκας, ἑτέρους ἀνθ' ἑτέρων μετὰ τὴν κλῆσιν γεγενημένους. Καὶ δηλοῦσι Πέτρος καὶ Παῦλος, καὶ ὁ λοιπὸς τῶν ἀποστόλων κατάλογος, εἰς οὓς προσφυέστερον ἐκλαβέσθαι καὶ τὸ, Πτεροφυήσουσιν ὡς ἀετοί. Δραμοῦνται, καὶ οὐ κοπιάσουσι. Βαδιοῦνται, καὶ οὐ πεινάσουσι. Τοιαῦτα γὰρ αἱ κατ' αὐτοὺς Πράξεις ἐμφαίνουσι θαύματα. Οὐ γάρ τοι κατὰ τοὺς πρώτους, τοῦτ' ἔστι, τοὺς τῶν Ἰουδαίων καθηγητὰς, οἱ τοῦ Σωτῆρος ἡμῶν γεγόνασι μαθηταί. Ἀλλ' ὡς ἐν ἑτέρᾳ δυνάμει, πνευματικῇ δῆλον δὲ ὅτι, πολλῷ ἦσαν ἀμείνους, καὶ ἀσυγκρίτως ὑπερκείμενοι τοῖς κατὰ B ἀρετὴν αὐχήμασιν. Οὗτοι τοίνυν οἱ ἄρχοντες ἐγγισάτωσαν, καὶ λαλησάτωσαν ἅμα. Τὸ δὲ, ἐγγισάτωσαν, κατὰ χρόνον νοήσεις. Εἰ γὰρ ἀναδείξειεν αὐτοὺς ὁ καιρὸς, ἅμα λαλήσουσιν. Ὅμοιον ὡς εἰ λέγοι· Πάντες τὸ αὐτὸ τοῖς μυσταγωγουμένοις ἐροῦσιν. Ὡς γὰρ ἐξ ἑνὸς λαλοῦντες πνεύματος οὐ τοῖς ἀλλήλων διαμαχοῦνται λόγοις, συμφώνως δὲ μᾶλλον τὸ περὶ τῶν θείων δογμάτων ποιήσονται κήρυγμα, καὶ καταγγελοῦσι κεκρυμμένως τὸ Χριστοῦ μυστήριον. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ τὸ, Τότε κρίσιν ἀναγγειλάτωσαν. Ἐπειδὴ γὰρ οἱ ἐξ Ἰσραὴλ κρίσιν ὠνόμαζον τὸν διὰ Μωσέως νόμον, ταύτητοι καὶ μάλα εἰκότως ἀντεξάγων αὐτῷ τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, κρίσιν αὐτὸ διὰ τούτων ἀποκαλεῖ. Ἡ γὰρ ἀληθῶς δικαιοκρισία, καὶ τῆς ἀρεσκούσης Θεῷ νομοθεσίας ἡ δύναμις, οὐκ ἔν γε μᾶλλον τῇ κατὰ νόμον C σκιᾷ διαφαίνεται, ἀλλ' ἐν τῷ κηρύγματι τῶν ἁγίων μυσταγωγῶν τῶν νέων ἀρχόντων. Οἳ καὶ μαθόντες παρὰ Χριστοῦ τὴν κρίσιν, ἤτοι τὴν βούλησιν τοῦ Θεοῦ καὶ Πατρὸς, ταύτην καὶ ἡμῖν ταυτοεποῦντες ἀπηγγέλκασιν.

VERS. 2. *Quis suscitavit ab oriente justitiam, vocavit eam ad pedes suos, et vadet?*

Non propter nudam et solam creaturarum magnificentiam admirari decet universorum dominatorem Deum, sed per ea quibus nos afficit beneficia, suæ serenitatis et placabilitatis dat specimen. Servavit enim mortales, genusque humanum omnino perditum a morte, a corruptione, a diaboli tyrannide asseruit. Abolevit enim illum una cum potestatibus quæ cum illo sunt, justificavitque per fidem, peccato, quod contra nos tyrannice sæviebat, profligato. Sed hæc omnia egregie per Christum præstita sunt: « Factus est enim nobis a Deo et Patre justitia et redemptio, et sanctificatio [80]. » Et perillustrati sumus consortesque facti misericordiæ et charitatis, et omnium omnino quæ ad salutem valent. Hoc quoque nobis prædixit quidam sanctorum prophetarum, cum ait: « Et exorietur vobis timentibus nomen meum, sol justitiæ, et sanatio in alis ejus [81]. » Quis ergo, inquit, velut solem ab oriente oriri fecit justitiam? id est, Christum. Quis illam vocavit? id est, venire fecit, et apparere terræ incolis, et ita apparere, ut ad pedes eat vocantis,

Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην, ἐκάλεσεν αὐτὴν κατὰ πόδας αὐτοῦ, καὶ πορεύσεται;

Οὐκ ἀπό γε ψιλῆς καὶ μόνης τῆς ἐν τοῖς ποιήμασι μεγαλουργίας καταθαυμάζεσθαι πρέπει τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεὸν, ἀλλὰ γὰρ καὶ δι' ὧν εὐεργετεῖ, τῆς ἐνούσης αὐτῷ γαληνότητος ποιεῖται τὴν ἔνδειξιν. Σέσωκε γὰρ τοὺς ἐπὶ τῆς γῆς, καὶ ἀπολωλὸς εἰσάπαν τὸ γένος τὸ ἀνθρώπινον καὶ θανάτου, καὶ φθορᾶς ἐξείλετο, καὶ τῆς τοῦ διαβόλου πλεονεξίας. Κατήργηκε γὰρ αὐτὸν, ὁμοῦ ταῖς δυνάμεσι ταῖς σὺν αὐτῷ, δεδι- D καίωκε δὲ διὰ πίστεως, τὴν τυραννήσασαν καθ' ἡμῶν ἀποσοβήσας ἁμαρτίαν. Ἀλλὰ ταυτὶ δὴ πάντα κατωρθώθη διὰ Χριστοῦ· « Γέγονε γὰρ ἡμῖν παρὰ Θεοῦ καὶ Πατρὸς δικαιοσύνη καὶ ἀπολύτρωσις, καὶ ἁγιασμός. » Καὶ πεφωτίσμεθα δὲ δι' αὐτοῦ, μετεσχήκαμεν δὲ φειδοῦς καὶ ἀγάπης, καὶ ἁπαξαπλῶς παντὸς τοῦ σώζειν εἰδότος. Καὶ τοῦτο ἡμῖν δι' ἑνὸς τῶν ἁγίων προφητῶν προανεφώνει λέγων· « Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου, ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. » Τίς τοίνυν, φησὶ, καθάπερ ἥλιον ἐξ ἀνατολῶν ἀνασχεῖν παρεσκεύασε τὴν δικαιοσύνην; τοῦτ' ἔστι, Χριστόν. Τίς ἐκάλεσεν αὐτήν; τοῦτ' ἔστιν, ἀφικέσθαι παρεσκεύασε, καὶ

[80] I Cor. I, 30. [81] Malac. IV, 2.

A ἐμφανισθῆναι δὲ οὕτως, ὡς καὶ πορεύεσθαι κατὰ πόδας τοῦ κεκληκότος, ἀντὶ τοῦ μονονουχὶ κατ' ἴχνος ἰέναι τοῦ Θεοῦ καὶ Πατρός; Ἀνεστράφη γὰρ οὕτως ἐν γῇ Κύριος, τὰ τοῦ Πατρὸς ἔργα πληρῶν, καὶ αὐτὸν ἡμῖν ἐν ἰδίᾳ φύσει καταδεικνύς. Ἦν γὰρ καὶ ἔστιν ἰσοσθενὴς αὐτῷ, καὶ δι' αὐτῶν τῶν πραγμάτων πεπληροφόρηκε τοὺς ἐπὶ τῆς γῆς, ὅτι κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχει τῷ γεγεννηκότι. Καὶ γοῦν ἔφασκεν ἐναργῶς· « Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύητέ μοι. Εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύετε. » Ἑπόμενος δὴ πανταχοῦ τῇ θελήσει τοῦ Πατρὸς, μᾶλλον δὲ αὐτὸς ὢν ἡ θέλησις τοῦ Πατρὸς, τοῖς Ἰουδαίων δήμοις προσεφώνει λέγων· « Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε· ἐγὼ οὐ κρίνω οὐδένα. Καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστὶν, ὅτι οὐ ζητῶ τὸ θέλημα B τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. » Ὁρᾷς οὖν ὅπως οἱονεὶ κατὰ πόδας πορεύεται τοῦ Πατρός. Τοιγάρτοι καὶ ἔφασκεν· « Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι· » καὶ, « Ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν Πατέρα μου. »

id est, tantum non vestigiis Dei et Patris insistat? Sic enim versatus est in terra Dominus, et Patris opera implendo, et eum nobis in propria natura exhibendo. Erat enim et est æqualis ei potentia, et ex ipsis factis plene persuasit mortalibus, **523** quod per omnia parem Genitori mensuram habeat. Liquido enim dixit: « Si non facio opera Patris mei, ne credatis mihi. Sin facio, etiamsi mihi non credatis, operibus credite [32]. » Cumque semper voluntatem Patris sequeretur, imo ipse potius esset voluntas Patris, Judæorum populum allocutus est, dicens: « Vos secundum carnem judicatis: ego non judico quemquam. Et si judico, judicium meum est justum, quia non quæro voluntatem meam, sed voluntatem ejus qui misit me [33]. » Vides ergo quo pacto Patris quasi vestigiis insistat. Dixit enim: « Ego in Patre, et Pater in me est [34]; » et: « Qui vidit me, vidit et Patrem meum [35]. »

Δώσει ἐναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει. Καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα τὰ τόξα αὐτῶν. Καὶ διώξεται αὐτοὺς, καὶ διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ. Τίς ἐνήργησε, καὶ ἐποίησε ταῦτα; Ἐκάλεσεν αὐτὴν, ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχαίων.

Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, κτηνῶν ἀλόγων διενεγκόντες οὐδὲν οἱ ἐπὶ τῆς γῆς, C ἀμαθίᾳ πολλῇ συζῶντες ἐφαίνοντο, κεκράτηντο δὲ καὶ ἀγνωσίᾳ καὶ σκότῳ, καὶ δεδουλεύκασι τοῖς κοσμοκράτορσι τοῦ αἰῶνος τούτου, καὶ τοῖς τοῦ διαβόλου θελήμασι τὸν τῆς ἑαυτῶν διανοίας ὑπενεγκόντες αὐχένα, ταῖς εἰς φαυλότητα τροχιαῖς κατεφέροντο πρὸς ἀπώλειαν. Ἀλλ' ἐπέλαμψεν αὐτοῖς ὁ Χριστός. Αὐτὸς γάρ ἐστιν ἡ προσδοκία τῶν ἐθνῶν. Καὶ τῶν πάλαι πλεονεκτούντων ἀπαλλάξας ἐλευθέρους ἀπέφηνε, καὶ υἱοὺς Θεοῦ, πάντα ῥύπον τὸν ἐν αὐτοῖς διασμήξας· δεδικαίωκε γὰρ διὰ πίστεως, καὶ τῇ τοῦ ἁγίου Πνεύματος χύσει λαμπροὺς ἀπέφηνε καὶ πεφωτισμένους. Τὴν τοίνυν δικαιοσύνην τὴν ἐν ἡλίου τάξει μονονουχὶ καὶ ἐγηγερμένην ἐξ ἀνατολῶν δέδωκε τοῖς ἔθνεσιν, ἐξωσθέντος δηλονότι τοῦ Ἰσραὴλ διὰ τὴν εἰς αὐτὸν δυσσέβειαν. Οὗ δὴ γεγονότος, καὶ πληθύος ἀνασεσωσμένης D τῆς οὕτω πολλῆς ἐξανέστησαν οἱ βασιλεῖς. Ἔκστασις γὰρ ὥσπερ ἐπιπέπτωκε τοῖς κοσμοκράτορσι τοῦ αἰῶνος τούτου, καὶ πεφόβηνται τὸ θεῖον καὶ ἀφόρητον κρίμα, τὸ ἐπί γε, φημὶ, τοῖς ἔθνεσι γεγονός. Οἱ δὲ πάλαι δεινοί τε καὶ εὐσθενεῖς καὶ τῇ θείᾳ δόξῃ μαχόμενοι, καὶ οἷον ὅπλα κινεῖν κατ' αὐτῆς εἰωθότες, καὶ μαχαίρας ἀπογυμνοῦν, καὶ τὸ τῆς ἀπονοίας ἐντείνειν τόξον, πεπτώκασιν εἰς γῆν, καὶ τὰ τοῦ πολέμου σκεύη μεθέντες, φρυγάνοις ἐν ἴσῳ γεγόνασι. Πεποίηται δὲ πάλιν ὁ ἐπὶ τούτοις λόγος ὡς ἐξ ὁμοιότητος τῶν καθ' ἡμᾶς. Ἥττηνται γὰρ αἱ πονηραὶ δυνάμεις καὶ ἅπας αὐτῶν κακουργίας ἠσθένησε τρόπος, Χριστοῦ διαρπάζοντος τὰ σκεύη αὐτῶν. « Οὐ γὰρ ὠφελήσει, »

VERS. 2-4. *Dabit in conspectu gentium, et reges stupefaciet. Et dabit in terram gladios eorum, et velut stipulas projectas, arcus eorum. Et persequetur eos, et pertransibit in pace via pedum ejus. Quis operatus est, et effecit hæc? Vocavit eam is qui vocat eum ab ætatibus antiquis.*

Nam ante Servatoris nostri adventum, a brutis animalibus nulla in re discrepantes terræ incolæ, in magna ignorantia versari ac vivere videbantur, et inscitia ac tenebris involuti detentique sunt, mundique ac sæculi hujus rectoribus servierunt, ac diaboli voluntati mentis suæ cervicem submittentes, per vias vitiorum devoluti sunt in interitum. Sed illuxit illis Christus. Ipse est enim exspectatio gentium. Et ab his qui olim occuparunt ereptos, liberos effecit et filios Dei, omnesque sordes eorum abstersit; nam per fidem justificavit, et sancti Spiritus perfusione claros reddidit et illustratos. Hanc igitur justitiam, solis locum tenentem quodammodo et excitatam ab oriente, dedit gentibus, repulso videlicet Israele, propter hanc in illum impietatem. Quo facto, et multitudine adeo numerosa servata, insurrexerunt reges. Exstasis enim quasi et stupor in mundi hujus rectores incidit, et reformidarunt divinum et intolerandum judicium, quod, inquam, factum est in gentibus. Qui autem olim potentes et validi erant, divinæque rebellarunt majestati, et velut arma movere contra eam, ac gladios extrahere, et insolentiæ arcum intendere soliti sunt, in terram ceciderunt, et instrumentis belli missis, stipulis facti sunt assimiles. **524** Sumitur rursus in hisce verbis oratio tanquam ex similitudine eorum quæ apud nos sunt. Victæ enim sunt malæ potestates, et omnis eorum malitiæ modus est debilitatus, Christo ejus vasa seu instrumenta diripiente. « Non enim juvabit, » inquit,

[32] Joan. x, 37, 38. [33] Joan. viii, 15, 16. [34] Joan. xiv, 11. [35] ibid., 9.

« inimicus in eo, et filius iniquitatis non apponet nocere ei [86]. » Oportuit enim, oportuit, malis potestatibus ante sublatis, et dejecto in terram omnium hoste, tunc tunc, et quidem valde opportune, gentium perfici redemptionem. Persecutus est enim illos Christus, id est, in fugam vertit. Non etenim licebat resistere Deo, qui etiam pristinæ illorum tyrannidi finem imposuit, ne non paterentur illa per omnia, quæ par erat eos qui terram perdiderunt, subire. Hostibus ergo fugatis. Via enim, inquit, pedum ejus in pace pertransibit; nullum impedimentum omnium nostrum Servatori Christo res nostras administranti est injectum. Sed tanquam planam et æquabilem viam ingrediens, omnium nostrum salutem, nullo inimico infringente aut obsistente, est operatus. Nam ceciderunt. Quis ergo operatus est hæc omnia? vel quis vocavit justitiam? Nonne ego, inquit, qui et nunc et extremis temporibus eam ostendi, et vocavi ab ætatibus antiquis. Non enim nuperum est Christi mysterium, sed ante constitutionem mundi præfinitum, Deo quod futurum est præsciente. Simul enim atque cecidit Adam, imo priusquam in hoc laberetur, præcognovit Conditor, et medelæ futuræ illi suo tempore, scilicet per Christum, tempus præfinivit. Neque vero mireris quod inveniatur prævidisse nos per fidem in ipsum justificatos. Quos enim, inquit, cognovit, etiam præfinivit conformes imagini Filii ipsius, hos et vocavit. Quoniam igitur nos præfiniti sumus ex præcognitione, quanto magis ipse per quem servati sumus et vocati?

φησὶν, « ὁ ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. » Ἔδει γὰρ, ἔδει, προανῃρημένων τῶν κακῶν, καὶ πονηρῶν δυνάμεων, καὶ κατενεχθέντος εἰς γῆν τοῦ πάντων ἐχθροῦ, τότε δὴ τότε, καὶ λίαν καιροῦ, τῶν ἐθνῶν γενέσθαι τὴν λύτρωσιν. Κατεδίωξε γὰρ αὐτοὺς ὁ Χριστὸς, τοῦτ' ἔστιν, ἔτρεψε πρὸς φυγήν. Οὐ γὰρ ἦν ἀντανίστασθαι τῷ Θεῷ, καὶ τὴν ἀρχαίαν αὐτῶν τυραννίδα συνελαύνοντος εἰς πέρας, μὴ οὐχὶ πάντῃ τε καὶ πάντως ἐκεῖνα παθεῖν ἅπερ ἦν ἀκόλουθον ἐπενεχθῆναι παρ' αὐτοῦ τοῖς ἀπολέσασι τὴν γῆν. Δεδιωγμένων τοιγαροῦν τῶν ἐχθρῶν. Ἡ ὁδὸς γὰρ, φησὶ, τῶν ποδῶν αὐτοῦ ἐν εἰρήνῃ διελεύσεται· οὐδὲν γὰρ γέγονεν ἐμπόδιον οἰκονομοῦντι τὰ καθ' ἡμᾶς τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ. Ἀλλ' οἷον διὰ ψιλῆς καὶ ὑπτίας ὁδοῦ βαδίζων, τὴν πάντων ἡμῶν κατώρθωκε σωτηρίαν, οὐδενὸς ἐχθροῦ παραλύοντος ἢ ἀνθισταμένου. Πεπτώκασι γάρ. Τίς οὖν ἄρα ἐνήργησε ταῦτα πάντα, ἢ τίς ἐκάλεσε τὴν δικαιοσύνην; Οὐκ ἐγὼ, φησὶν, ὁ νῦν μὲν καὶ ἐν καιρῷ τῷ ἐσχάτῳ καταδείξας αὐτὴν, κεκληκὼς δὲ αὐτὴν ἀπὸ γενεῶν ἀρχαίων. Οὐ γὰρ πρόσφατόν ἐστι τὸ Χριστοῦ μυστήριον, προώριστο δὲ μᾶλλον πρὸ καταβολῆς κόσμου, προεγνωκότος Θεοῦ τὸ ἐσόμενον. Ἅμα γὰρ πέπτωκεν ὁ Ἀδὰμ, μᾶλλον δὲ πρὶν εἰς τοῦτο κατολισθεῖν αὐτὸν, προενόησεν ὁ Δημιουργὸς καὶ τῆς ἐσομένης αὐτῷ κατὰ καιροὺς θεραπείας, δῆλον δὲ ὅτι τῆς διὰ Χριστοῦ. Προωρίσατο τὸν τρόπον, καὶ μή τι θαυμάσῃς, ὅτι καὶ ἡμᾶς αὐτοὺς διὰ πίστεως τῆς εἰς αὐτὸν δεδικαιωμένους προαναθροίσας εὑρίσκεται. Οὓς γὰρ ἔγνω, φησὶ, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσεν. Ὅτε τοίνυν ἡμεῖς προωρίσμεθα κατὰ πρόγνωσιν, πῶς οὐ μᾶλλον αὐτὸς ὁ δι' οὗ σεσώσμεθα, καὶ κεκλήμεθα;

VERS. 4-6. *Ego Deus primus, et in tempora ventura ego sum. Viderunt gentes, et timuerunt, termini terræ appropinquaverunt, et venerunt simul, judicans unusquisque proximo et fratri ad auxiliandum.*

Ἐγὼ Θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι. Εἴδοσαν ἔθνη καὶ ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς ἤγγισαν, καὶ ἦλθον ἅμα, κρίνων ἕκαστος τῷ πλησίον, καὶ τῷ ἀδελφῷ βοηθῆσαι.

Primum se Deum esse dicit, non quasi esset secundum se secundus. Qui enim, aut unde? unus enim est, et universorum Deus, **525** non habens principium ut sit, sed vocans ipse potius ad ortum omnia. Primus igitur et solus, et sine principio Deus, universorum opifex, nec alio modo erit per infinita sæcula sequentia. Ipse enim est et solus. Quoniam autem viderunt gentes Christum, ejusque nobis exhibitam justitiam, videruntque omnino oculis mentis gloriam ipsius, timuerunt, inquit, ab extremis terræ, usque ad extrema, id est per universum orbem terrarum. Et aggregatæ sunt et appropinquaverunt, non jam procul manentes, et velut alienati per peccatum, sed tanquam prope facti, cognitione spirituali, et in unam fidem et animorum consensum congregati. Hoc enim, opinor, significat: Appropinquaverunt, et venerunt simul. Cumque gustassent Dominum, et intellexissent eum benignum esse, et pulchritudinem veritatis admirati fuissent, non sibi ipsis solum

Πρῶτον εἶναι ἑαυτὸν Θεόν φησιν, οὐχ ὡς γεγονότος μετ' αὐτὸν δευτέρου. Πῶς γὰρ ἢ πόθεν; εἷς γάρ ἐστι καὶ τῶν ὅλων Θεὸς, οὐκ ἀρχὴν ἔχων τοῦ εἶναι, κεκληκὼς δὲ μᾶλλον εἰς τὸ εἶναι τὰ πάντα. Αὐτὸς οὖν πρῶτος καὶ μόνος, καὶ ἄναρχος Θεὸς, ὁ τῶν ὅλων δημιουργὸς, καὶ εἰς ἀπεράντους αἰῶνας τοὺς ἐφεξῆς οὐ καθ' ἕτερον ἔσται τρόπον, αὐτὸς γάρ ἐστι καὶ μόνος. Ἐπειδὴ δὲ τεθέανται τὰ ἔθνη Χριστὸν καὶ τὴν παρ' αὐτοῦ γενομένην ἡμῖν δικαιοσύνην, τεθέανται δὲ πάντες τοῖς τῆς διανοίας ὄμμασι τὴν δόξαν αὐτοῦ, πεφόβηνται, φησὶν, οἱ ἀπ' ἄκρων τῆς γῆς ἕως ἄκρων, τοῦτ' ἔστιν, οἱ ἀνὰ πᾶσαν τὴν οἰκουμένην. Καὶ συνήχθησαν καὶ ἤγγισαν, οὐκέτι μένοντες μακρὰν, καὶ ὡς ἀλλοτριούμενοι διὰ τὴν ἁμαρτίαν, ἀλλ' οἷον ἐγγὺς γεγονότες διὰ τὴν οἰκειότητα τὴν πνευματικὴν, καὶ εἰς μίαν πίστιν καὶ ὁμοψυχίαν συνενηγμένοι. Τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ, ὅτι Ἤγγισαν, καὶ ἦλθον ἅμα. Γευσάμενοι δὲ τοῦ Κυρίου, καὶ συνέντες ὅτι χρηστός ἐστι, καὶ τῆς ἀληθείας τὸ κάλλος καταθαυμάσαντες, οὐχ ἑαυτοῖς μόνον τετηρήκασι τὸ δῶρον, ἀλλὰ γὰρ

[86] Psal. LXXXVIII, 23.

εὖ ποιοῦντες, καὶ ἐπιεικῶς κεκρίκασιν ἕκαστος τῷ ἀδελφῷ καὶ τῷ φίλῳ βοηθῆσαι, φησιν.

Καὶ ἐρεῖ· Ἴσχυσεν ἀνὴρ τέκτων, καὶ χαλκεὺς τύπτων σφύρᾳ, ἅμα ἐλαύνων. Ποτὲ μὲν ἐρεῖ· Σύμβλημα καλόν ἐστιν. Ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις, θήσονται αὐτὰ, καὶ οὐ κινηθήσονται.

Τῆς ἐπικουρίας τὸν τρόπον καθίστησιν ἐναργῆ. Ἕκαστος γὰρ τῶν κεκρικότων τῷ πλησίον, καὶ τῷ ἀδελφῷ βοηθῆσαι, μυσταγωγηθεὶς, φησὶ, καὶ ἐγνωκὼς τὴν ἀλήθειαν, καὶ ἑτέρους νουθετήσει λέγων· Ἴσχυσεν ἀνὴρ τέκτων καὶ χαλκεὺς τύπτων σφύρᾳ, ἅμα ἐλαύνων. Ἴσχυσε δὲ τίνα τρόπον; συνθεὶς γὰρ εἴδωλα καὶ διαγλύψας εἰς θεὸν ὁ τεκτονικὴν ἔχων τὴν ἐμπειρίαν, καὶ μὴν καὶ χαλκεὺς τύπτων σφυρήλατον ἄγαλμα πεποιηκὼς ἀπεκόμισε τοῖς ἠπατημένοις εἰς ἀδόκιμον νοῦν, καὶ τῶν ἑαυτοῦ πόνων ἤγουν εὑρημάτων ἀπέφηνε προσκυνητὰς τοὺς κατ' εἰκόνα Θεοῦ γεγονότας. Εἶτα διαγελᾷ τῶν εἰδώλων τὴν ποίησιν, καὶ οἷον ἀπομιμεῖται τῶν ἐργαζομένων αὐτὰ τοὺς λόγους ἐπιφωνούντων ἀλλήλοις, ὅτι Σύμβλημα καλόν ἐστιν. Οἱ γὰρ τῶν εἰδώλων δημιουργοὶ χεῖρα τυχὸν ἢ πόδα, ἢ καὶ ἕτερόν τι τῶν τοῦ σώματος μορίων ἀπεργασάμενοι ἀποτελοῦσι αὐτὰ διὰ συμβλημάτων, καὶ μέλη μέλεσιν ἐναρμόζοντες, καὶ ἰσχυρὰ ποιοῦντες αὐτὰ ἐν ἥλοις· εἶτα τιθέντες καὶ ἀσφαλιζόμενοι πρὸς τὸ ἑστάναι, καὶ μὴ σαλεύεσθαι. Γέλως δὲ ταῦτά ἐστι καὶ ἕτερον οὐδὲν, καὶ τῆς τῶν προσκυνούντων αὐτὰ ματαιότητος, καὶ τῆς εἰς ἄκρον εὐηθείας ἀποδεικτικά. Τὸ γὰρ εἰδέναι μὲν ὅτι καὶ ἐκ μορίων λεπτῶν καὶ συμβλημάτων τῶν κατὰ μέρος ἀπετελέσθη τὸ εἴδωλον, καὶ τὴν ἐπὶ τῷ γενέσθαι, καὶ μὴν, καὶ ἑστάναι διαμονὴν, καὶ ἀσφάλειαν ἐν ἥλοις ἔχειν· εἶτα προσκυνεῖν αὐτὰ, καὶ θεοὺς ὀνομάζειν, πῶς οὐχ ἁπάσης μωρίας ἐπίμεστον ἀληθῶς;

Σὺ δὲ, Ἰσραὴλ, παῖς μου, Ἰακὼβ, ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ, ὃν ἠγάπησα, οὗ ἀντελαβόμην ἀπ' ἄκρων τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε, καὶ εἶπά σοι· Παῖς μου εἶ, ἐξελεξάμην σε, καὶ οὐκ ἐγκατέλιπόν σε. Μὴ φοβοῦ. Μετὰ σοῦ γάρ εἰμι. Μὴ πλανῶ. Ἐγὼ γάρ εἰμι ὁ Θεός σου ὁ ἐνισχύσας σε, καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ τῇ δικαίᾳ μου.

Μυσταγωγήσας εὖ μάλα τοὺς ἐξ ἐθνῶν, καὶ εἰδέναι παρασκευάσας ὅτι καὶ Θεός ἐστι καὶ τῶν ὅλων δημιουργὸς, αὐτῷ τε ὑπείκει τὰ πάντα καὶ τοῖς θείοις αὐτοῦ νεύμασι, καὶ γεγόνασιν ἐν ἀρχαῖς, καὶ πρὸς τὸ εἶναι παρενηνεγμένα πέπηγεν ἐν καλῷ, καὶ ἀκλόνητον ἔχει διαμονὴν, παραθαρσύνει λοιπὸν ἀναγκαίως τοὺς τῶν εὐαγγελικῶν θεσπισμάτων ἱερουργοὺς, δι' ὧν ἔμελλον τὸν τῆς κατηχήσεως ποιεῖσθαι λόγον τοῖς ἐξ ἐθνῶν. Ἀποφαίνει δὲ αὐτοὺς σοφοὺς καὶ εὐτολμοτάτους, καὶ τῆς τῶν ἁγίων πατέρων ἀρετῆς ἀποφέρει πρὸς ἀνάμνησιν, καὶ τὴν εἰς αὐτοὺς γενομένην ἀγάπην εἰδέναι βούλεται. Ταύτητοί φησι· Σὺ δὲ, Ἰσραὴλ, παῖς μου, Ἰακὼβ, ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ, ὃν ἠγάπησα. Ἰακὼβ δὲ καὶ Ἰσραὴλ, καὶ σπέρμα τὸ Ἀβραὰμ τοῦ ἠγαπημένου, εἶεν ἂν οὐχ ἕτεροι παρά γε τοὺς ἐξ Ἰσραὴλ πιστεύσαντας εἰς Χριστὸν, ὧν οἱονεί τινες ἀπαρχὴ

A reservarunt hoc doni, sed benigne fecerunt, et ex æquo et bono judicarunt, quisque fratri et amico, inquit, ad auxiliandum.

VERS. 7. *Et dicet: Potior fuit vir faber et ærarius qui percutit malleo, atque producit. Et aliquando dicit: Conflatio bona est. Confirmarunt ea clavis, ponent ea, et non movebuntur.*

Modum auxilii ponit ante oculos. Unusquisque enim eorum qui judicarunt ut proximo et fratri suo auxilium ferat, mysteriis, inquit, initiatus, et qui veritatem cognovit, alios monebit, dicens: Potior fuit vir faber et ærarius, et qui percutit malleo, ac producit. At quomodo fuit potior? Cum enim confecisset idolum, et deum sculpsisset is qui fabrilem artem callet, et ærarius percutiens B cum malleo ductam imaginem effinxisset, adduxit eos qui decepti sunt in reprobam mentem, et qui facti sunt ad Dei imaginem, eos suorum laborum seu inventorum cultores reddidit. Dein irridet idolorum fictionem, et velut mimesi quadam orationem eorum qui fabricantur ea, imitatur, qui applaudunt sibi, Conflatio pulchra est. Idolorum namque opifices, ubi manum, vel pedem, vel quampiam partem expoliverunt, ea conflando et consolidando, et membra membris adaptando et firmando, clavis dein conjungendo et communiendo, perficiunt ut stare possint, et non moveri. At plane ridiculum est, et vanitatis adorantium, et summæ stupiditatis argumentum. **526** Nam cum sciant, ex minutis particulis, et C commissuris ac portiunculis effici idolum, et quod perpetuitatem ex eo quod factum sit, quod consistat, et ex clavis firmitudinem habeat, deinde adorare illa, et deos existimare, an non vere omni supplicio vindicandum est?

VERS. 8-10. *Tu autem, Israel, puer meus, Jacob, quem elegi, semen Abrahæ, quem dilexi, quem assumpsi ab extremis terræ, et a summitatibus ejus vocavi te, et dixi tibi: Puer meus es, elegi te, et non dereliqui te. Ne timeas. Tecum enim sum. Non fallo. Ego enim sum Deus tuus, qui corroboravi te, et auxiliatus sum tibi, et protexi te dextra justa mea.*

Mysteria edoctis pulcherrime gentibus, et in- D structis, quod Deus sit et universorum opifex, eique obediant omnia, ejusque divinis nutibus, et quod ab initio exstiterit, et quod quæ in vitam producta sunt pulchre fixerit, ac inconcusse permaneant, deinceps animat necessario evangelicorum vaticiniorum ministros, per ea quibus gentes instituere debebant. Sapientes autem eos reddit etiam et audentissimos, et virtutem sanctorum patrum in memoriam revocat, et charitatem erga illos scire vult. Hinc ait: Tu, Israel, puer meus, Jacob, quem elegi, semen Abrahæ, quem dilexi. Jacob autem et Israel, et semen Abraham dilectum, non sunt alii quam Israelitæ credentes in Christum, quorum veluti quædam primitiæ fuerunt divini discipuli. Electos porro et dilectos ait esse patres, illud quodam-

modo dicens : Qui ex stirpe nobili estis, adeo honorata, adeo amata a me, qui ex sanguine estis Abrahæ, patriæ virtutis laudem æmulamini, et eorum pietatis estote imitatores. Dicit etiam se assumpsisse Abrahamum, et eum ab extremitatibus et summitatibus terræ vocasse, propterea quod e longinquo et e terra Chaldæorum evocatus sit in Judæam. Audivit enim Deum dicentem : « Egredere e terra tua, et e cognatione tua, et e domo patris tui, et veni in terram quam tibi monstrabo [87]. » Dicit præterea quasi de toto Israel, Dixi tibi : Puer meus es. Vocatus est enim primogenitus. Erat quoque, ut dixi, **527** electus, nec relictus a Deo. Audivit, Ne timeas, et porro, Non fallo. Ego enim sum Deus tuus, qui roboravi te. Docebatur namque ex lege, Deum unum esse, et Dominum unum, et eum solum esse colendum, quod adjutus fuerit a Deo, et ipsius dextera, quæ est opifex et creatrix ejus potentia, nimirum Filius. Et in tuto fuit, et ab omnibus insidiis immunis. Vicit enim gentes, et hæreditatem accepit terræ eorum.

A γεγόνασιν οἱ θεσπέσιοι μαθηταί. Ἀπολέκτους δὲ γενέσθαι, καὶ ἠγαπῆσθαί φησι τοὺς πατέρας, μονονουχὶ λέγων· Οἱ ἐκ ῥίζης εὐγενοῦς, καὶ τῆς οὕτω τετιμημένης καὶ ἠγαπημένης παρ' ἐμοῦ, οἱ ἐξ αἵματος Ἀβραάμ, τῆς πατρῴας ἀρετῆς ζηλοῦτε τὴν εὐφημίαν, καὶ τῆς ἐκείνων φιλοθεΐας γένεσθε μιμηταί. Ἀντιλαβέσθαι γε μὴν τοῦ Ἀβραάμ φησι, καλέσαι τε ἀπ' ἄκρων τῆς γῆς αὐτόν, ἤτοι ἐκ τῶν σκοπιῶν αὐτῆς, διά τοι τὸ πόῤῥωθεν καὶ ἐκ γῆς Χαλδαίων μετακεκλῆσθαι πρὸς τὴν Ἰουδαίαν. Ἀκήκοε γὰρ Θεοῦ λέγοντος· « Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. » Εἶτά φησιν ὡς περὶ παντὸς τοῦ Ἰσραήλ, ὅτι Εἶπά σοι· Παῖς μου εἶ. Πρωτότοκος γὰρ ὠνόμασται. Γέγονε δὲ καὶ ἀπόλεκτος, B ὡς ἔφην, καὶ οὐκ ἐγκατελήφθη παρὰ Θεοῦ. Ἤκουσε· Μὴ φοβοῦ, καὶ προσέτι τὸ, Μὴ πλανῶ. Ἐγὼ γάρ εἰμι ὁ Θεός σου ὁ ἐνισχύσας σε. Ἐδιδάσκετο γὰρ διὰ τοῦ νόμου, ὅτι Θεὸς εἷς ἐστι, καὶ Κύριος εἷς, καὶ αὐτῷ χρὴ μόνον λατρεύειν, καὶ ὅτι βεβοήθηται παρ' αὐτοῦ καὶ διὰ τῆς αὐτοῦ δεξιᾶς, ὅς ἐστι δημιουργὶς αὐτοῦ δύναμις, τοῦτ' ἔστιν, ὁ Υἱός. Καὶ ἀσφαλὴς αὐτοῦ γέγονε, καὶ κρείττων πάσης ἐπιβουλῆς. Νενίκηκε γὰρ ἔθνη, καὶ κεκληρονόμηκε τὴν γῆν αὐτῶν ἐκείνων.

VERS. 11-14. *Ecce confundentur et erubescent omnes qui adversantur tibi. Erunt enim ac si non sint, et peribunt omnes adversarii tui. Quæres eos, et non invenies homines qui debacchabuntur in te. Erunt enim quasi non sint, neque erunt qui bellum gerant contra te, quia ego Deus tuus, qui teneo dexteram tuam, qui dico tibi : Ne timeas, vermicule Jacob, parvule Israel. Ego opitulatus sum tibi, dicit Deus, qui redimo te, sanctus Israel.*

Ἰδοὺ ἐντραπήσονται, καὶ αἰσχυνθήσονται πάντες οἱ ἀντικείμενοί σοι. Ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί σου. Ζητήσεις αὐτοὺς, καὶ οὐχ εὑρήσεις τοὺς ἀνθρώπους, οἳ παροινήσουσιν εἰς σέ. Ἔσονται γὰρ ὡς οὐκ ὄντες καὶ οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σοι, ὅτι ἐγὼ ὁ Θεός σου ὁ κρατῶν τῆς δεξιᾶς σου, C *ὁ λέγων σοι· Μὴ φοβοῦ, σκώληξ Ἰακὼβ, ὀλιγοστὸς Ἰσραήλ. Ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ Θεὸς, ὁ λυτρούμενός σε ὁ ἅγιος τοῦ Ἰσραήλ, καὶ αἱρετὸς εἰς τοὺς αἰῶνας.*

Hæc quoque superiorum est redditio. Tu enim puer meus, Israel, inquit, et Jacob, quem elegi, semen Abrahæ, quem dilexi. Ecce erubescent et pudefient omnes qui adversantur tibi. Complures enim sanctis mystagogis insidiati sunt olim, et salutari prædicationi ex sua perversitate resistere nitebantur, sed facti sunt tanquam nihilum, et impietatis adversarii disperierunt. Nam in eo quod ministris divinæ prædicationis reclamarint, nihil aliud contendebant quam ut dogmatis et opinionibus pietatis reluctarentur. Non erunt igitur, inquit, sed quæres eos, et non invenies qui debacchati fuerint in te. Erunt enim tanquam non sint. Hoc siquidem est voce beati Davidis hymno decantatum : « Vidi impium subvectum et elatum quasi cedros Libani, et præterii, et ecce non erat; et quæsivi eum, et non est inventus locus ejus [88]. » Extollunt enim se multi altum sapientes contra ætatem sanctorum antistitum, ac radicitus e terra peribunt, ut perhibent sacræ Litteræ. Et qui altum sapiunt, gravem patientur et inexspectatam ruinam. Scriptum est enim : « Qui altam facit domum suam, quærit ruinam [89]. » Itaque, inquit,

Ἀπόδοσις καὶ ταῦτα τοῖς ἀνωτέρω. Σὺ γὰρ, Ἰσραὴλ, παῖς μου, φησὶ, καὶ Ἰακὼβ, ὃν ἐξελεξάμην, σπέρμα Ἀβραάμ, ὃν ἠγάπησα. Ἰδοὺ αἰσχυνθήσονται, καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σου. Πλεῖστοι μὲν γὰρ γεγόνασι κατὰ καιροὺς, οἱ τοῖς ἁγίοις μυσταγωγοῖς ἀνοσίως ἐπιβουλεύσαντες, καὶ τοῖς σωτηρίοις κηρύγμασι τὰ ἐκ τῆς αὐτῶν δυστροπίας ἀντεξαγαγεῖν ἐπιχειρήσαντες. Ἀλλὰ γεγόνασιν ὡς οὐδὲν, καὶ ἀπολώλασιν οἱ τῆς εὐσεβείας ἀντίδικοι. Τὸ γὰρ ἀντιπράττειν τοῖς ἱερουργοῖς τοῦ θείου κηρύγματος εἴη ἂν ἕτερον οὐδὲν πλὴν ὅτι τὸ D μάχεσθαι τοῖς τῆς εὐσεβείας δόγμασιν. Οὐκ ἔσονται τοίνυν, φησὶν, ἀλλὰ ζητήσεις αὐτοὺς, καὶ οὐ μὴ εὕρῃς τοὺς εἰς σὲ πεπαρῳνηκότας. Ἔσονται γὰρ ὡς οὐκ ὄντες. Καὶ τοῦτό ἐστι τὸ διὰ φωνῆς τοῦ μακαρίου Δαβὶδ ὑμνούμενον· « Εἶδον ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. » Κατεπαίρονται μὲν γὰρ πολλοὶ τῶν τὰ ὑψηλὰ φρονεῖν εἰωθότων τῆς τῶν ἁγίων μυσταγωγῶν ἡλικίας. Ἀλλ' ὁλόῤῥιζοι ἐκ γῆς ὀλοῦνται, καθά φησι τὸ Γράμμα τὸ ἱερόν. Καὶ οἱ φρονοῦντες τὰ ὑψηλὰ, δεινὴν καὶ

[87] Gen. XII, 1. [88] Psal. XXXVI, 35. [89] Prov. XVII, 16.

ἀδόκητον ὑπομενοῦσι τριβήν. Γέγραπται γάρ· «Ὁς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ [οἶκον, ζητεῖ συντριβήν.» Οὐκοῦν οὐκ ἔσονται, φησὶν, οἱ ἀντιπολεμοῦντές σε· καὶ οὐ δή πού φησιν, ὅτι τοῖς ἁγίοις ἀποστόλοις ἀντιστήσεται μὲν οὐδείς. Ὑπάρξει δὲ πάντως τὸ λαμπρᾶς ἰέναι γαλήνης. Οὐ γάρ ἐστιν ἀληθές. Μυρίοι γὰρ ὅσοι πεπολεμήκασιν αὐτοῖς, ἀλλ' οὐδὲ εὑρεθεῖεν ὡς ὑπάρχοντες, ταπεινούμενοι δηλονότι, καὶ τοῖς τῆς θείας ὀργῆς κινήμασιν ὑποπίπτοντες. Ταύτητοι πρὸς εὐανδρίαν ἀνακομίζει αὐτοὺς λέγων· Ἐγὼ ὁ Θεός σου ὁ κρατῶν τῆς δεξιᾶς σου, τοῦτ' ἔστιν, ὁ ἀντιλαμβανόμενός σου, καὶ ἀποφαίνων κρείττονα παντὸς πειρασμοῦ· Ἐγὼ ὁ λέγων σοι, Μὴ φοβοῦ, Ἰακὼβ, ὀλιγοστὸς Ἰσραήλ. Ὅσον μὲν γὰρ πρός γε τὴν τῶν πολεμούντων πληθὺν, ἤτοι τὰς δυναστείας, ὀλιγοστὸς ἦν παντελῶς ὁ Ἰσραὴλ, καὶ οὐ σύμπαν φημὶ τὸ ἔθνος, ἀλλὰ τοὺς πρὸς αὐτοῦ ληφθέντας εἰς ἀποστολήν. Ἀλλ' ἦν ὁ σώζων αὐτοὺς μέγας ἰσχυρὸς καὶ κραταιὸς εἰς ἐπικουρίαν, ἄμαχον ἔχων τὴν χεῖρα. Λυτρουμένου γὰρ Θεοῦ τίς ὁ κακῶσαι δυνάμενος;

Ἰδοὺ ἐποίησά σε ὡς τροχοὺς ἁμάξης, ἀλοῦντας, καινοὺς, πρηστηροειδεῖς. Καὶ ἀλοήσεις ὄρη, καὶ λεπτυνεῖς βουνοὺς, καὶ ὡς χοῦν θήσεις, καὶ λικμήσεις, καὶ ἄνεμος λήψεται αὐτοὺς, καὶ καταιγὶς διασπερεῖ αὐτούς.

Αἰγυπτίων μὲν παῖδες συνενεγκόντες ἐξ ἀγρῶν ἐπὶ τὴν ἅλωνα δράγματα, εἶτα βοῦς ἐπαφιέντες αὐτοῖς, καὶ ἐν κύκλῳ περικομίζοντες καταλεπτύνουσι ταῖς χηλαῖς τοὺς ἀστάχυας. Διακρίνουσι δὲ καὶ διιστῶσι τῶν ἀχύρων σῖτον, οἵ γε μὴν ἐν ἑτέραις πόλεσι καὶ χώραις ἁμάξαις χρώμενοι καὶ τροχοῖς πρηστηροειδέσιν. Αὐτὸ δὴ τουτὶ μεμελετήκασι κατορθοῦν. Ἰδοὺ τοίνυν, φησὶν, ὦ Ἰσραὴλ, πεποίηκά σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας, καινοὺς, πρηστηροειδεῖς. Καὶ τί τὸ ἀλοώμενον; ἄσταχυς ἄρα καὶ σῖτος, καὶ τὰ ἐξ ἀγρῶν εἰς ἅλω συμπεφυρμένα; Οὐδαμῶς, ἀλλ' ὄρη, καὶ βουνοί. Καὶ τίνες ἂν εἶεν οἱ τοιοίδε πάλιν; Πρῶτον μὲν αἱ πονηραί τε καὶ ἀντικείμεναι δυνάμεις. Δέδωκε γὰρ ἡμῖν ὁ τῶν ὅλων Σωτὴρ πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Εἶτα παρεικάζειν ἔοικεν ὄρεσι καὶ βουνοῖς τοὺς ὑψηλὰ φρονεῖν εἰωθότας, καὶ ὑπέρογκον ἔχοντας φρόνημα, ὑψοῦ τε ἠρμένους, καὶ ἐν δυναστείαις ὄντας κοσμικαῖς, καὶ τοῖς ἁγίοις μυσταγωγοῖς, κατεξανιστάντες ἑαυτοὺς, καὶ δίκην ὀρῶν ἢ βουνῶν ὑπαντᾷν εἰωθότας, ὡς δυσχερεστάτην αὐτοῖς ἀποφαίνειν τὴν ὁδὸν, τὴν ἐπί γε, φημὶ, τῷ χρόνῳ πληροῦν τῆς ἀποστολῆς τὸν δρόμον. Ἀλλὰ καὶ τοὺς οὕτως ὄντας, φησὶ, λεπτυνεῖς, ἀχύρων δίκην ἀναπτῆναι παρασκευάσεις ταῖς τῶν ἀνέμων αὔραις διασκιδναμένους, καὶ οἷον καταιγίδα διδοὺς, ὥστε διασπείρειν αὐτούς. Βαδιοῦνται γὰρ οὕτω πρὸς τὸ μηδέν.

Σὺ δὲ εὐφρανθήσῃ ἐπὶ τοῖς ἁγίοις, Ἰσραήλ. Καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ, καὶ οἱ ἐνδεεῖς. Ζητήσουσι γὰρ ὕδωρ, καὶ οὐκ ἔσται· καὶ ἡ γλῶσσα

non erunt qui bellum gerant contra te. Nec prorsus ait : Nemo sanctis **528** apostolis restituturus est; neque etiam semper futurum est ut splendide ac tranquille vivant. Non enim hoc verum est ; innumeri namque pugnarunt contra eos, sed Deo protegente erunt perinde ac si non fuissent, neque invenientur superstites, dejecti nimirum, et divinæ iræ æstui succumbentes. Hinc ad fortitudinem eos revocat, dicens : Ego Deus tuus, apprehendens dexteram tuam, id est, suscipiens te, et reddens te omnibus tentationibus superiorem : Ego, inquam, qui dico tibi : Ne timeas, Jacob, parvule Israel. Quantum enim ad multitudinem bellantium, vel ad dynastias attinet, omnino parvulus erat Israel, non de tota gente loquor, sed de his qui ex illis assumpti sunt ad apostolatum. Verum qui servat eos magnus est et fortis, et satis validus ad auxilium ferendum, ut qui invictam manum habeat. Deo enim liberante, quis malo poterit afficere?

VERS. 15, 16. *Ecce feci te quasi rotas plaustri triturantes, novas, presteri similes. Et triturabis montes, et comminues colles, et quasi in pulverem rediges, et ventilabis, et ventus auferet eos, et tempestas disperget eos.*

Ægyptiorum filii, comportatis ex agris in aream manipulis, quos deinde bobus alligantes et circumagentes, ita ungulis spicas comminuunt, a paleis vero triticum discernunt atque separant. In aliis vero urbibus et regionibus, plaustris et rotis presteri similibus utentes, hoc idem conantur efficere. Ecce igitur, inquit, o Israel, feci te ut rotas plaustri triturantes, novas, presteri ac turbini similes. Et quid trituratur? an vero spica, et triticum, et quæ ex agris in aream convehuntur? Nequaquam, sed montes et colles. Qui tandem sunt isti? Primum quidem malæ et adversariæ potestates. Dedit namque universorum Servator nobis ut proculcaremus serpentes et scorpiones, et omnem inimici potentiam [89]. Deinde comparare videtur montibus et collibus eos qui altum sapiunt, et tumido sunt animo et elato, et qui mundanis dynastiis ac potestatibus præficiuntur, quique sanctis mystagogiis se opponunt, et obstant instar montium vel collium, ut illis impeditissimam difficillimamque viam reddant, quominus, inquam, cursum apostolatus perficiant. Sed qui tales sunt, inquit, comminues, efficiesque ut palearum in morem avolent, aura ventorum dissipati, **529** et trades quasi tempestati, ut illos dispergat. Sic enim in nihilum abibunt.

VERS. 16, 17. *Tu vero lætaberis in sanctis, Israel. Et exsultabunt pauperes et inopes. Quærent enim aquam, et non erit, et lingua eorum siti exaruit.*

[89] Luc. x, 19.

Ego sum Dominus Deus, ego exaudiam Deus Israel, et non derelinquam eos.

Hostes, inquit, divinæ prædicationis, et qui iter tuum impediunt, o Israel, inquit, ibunt in exsilium. Lætaberisque tu in sanctis, Israel, id est, deliciaberis, ubi complures factos filios, et in filiis Israel numeratos videris. « Non enim omnes ex Israel, hi Israel : neque quia sunt semen Abrahæ, omnes filii; sed filii promissionis recensebuntur in semen [91]. » Quod autem in more fuerit sanctis apostolis gaudere et exsultare, de his qui fide, scilicet in Christum, probati spectabilesque erant, declarabit etiam Paulus, epistolam ad eos mittens, et dicens : « Gaudium et corona mea [92]. » Quin et unumquemque sanctorum discipulorum ad eumdem modum affectum esse, equidem jure optimo dixerim. Summæ enim voluptatis causa illis erat errantium conversio, et eorum qui non noverunt veritatem, ad melius reductio. Lætaberis ergo in sanctis, Israel. Qui autem hi sint, enarrat, dicens : Exsultabunt pauperes et inopes, id est, gentes. Erant enim omnium bonorum indigi, et charismatum divinorum omnino expertes. Nam qui illum prorsus ignorant, eos virtutis insignibus carere est necesse. Pauperes igitur et inopes exsultabunt. Qui, aut quo pacto? Quærent enim aquam, et non erit, inquit : et lingua eorum præ siti exaruit. Quærent, his verbis, dicit pro, Quæsiverunt. Quoniam autem non invenerunt, lingua eorum siti exaruit. Exstiterunt enim apud Græcos multi philologi, et disputatores, et indagatores veritatis : sed qui docere norit apud eos hæc, non erat. Non erat aqua vivifica. Non erat qui saturare posset veritatis dogmatibus eos qui eam amant. Exaruit ergo lingua eorum præ siti. Sed ego exaudiam eos, inquit Deus Israel, nec derelinquam eos. Miseratus est enim turbæ errantium, nec reliquit eam in **530** hac supernorum donorum inopia, imo potius explevit : idque quo modo, ex sequentibus pulchre enucleabit.

VERS. 18-20. *Sed aperiam in montibus flumina, et in medio camporum fontes : vertam desertum in paludes, et sitientem terram in aquæductus. Ponam in terra carente aquis cedrum, et buxum, et myrtum, et cypressum, et populum, ut videant, et cognoscant, et cogitent, et certo sciant, manum Domini fecisse hæc omnia, et sanctum Israelis ostendisse.*

Desertum et terram aquis carentem dicit esse gentium regionem. Desertum quidem, quod nudata sit quodammodo, et arboribus florentissimis, sub intelligentiam scilicet cadentibus, deserta ac destituta, spinarum solum nutrix, et lignorum silvestrium, et quorumlibet igni ad consumendum accom-

A *αὐτῶν ἀπὸ τῆς δίψης ἐξηράνθη. Ἐγὼ εἰμι Κύριος ὁ Θεὸς, ἐγὼ ἐπακούσομαι ὁ Θεὸς Ἰσραὴλ, καὶ οὐκ ἐγκαταλείψω αὐτούς.*

Οἱ μὲν οὖν ἐχθροὶ τοῦ θείου κηρύγματος, καὶ τὴν σὴν διακόπτοντες τρίβον, ὦ Ἰσραὴλ, φησὶν, οἰχήσονται πρὸς ἀπώλειαν. Εὐφρανθήσῃ δὲ σὺ ἐν τοῖς ἁγίοις, Ἰσραὴλ, τοῦτ' ἔστιν, ἐντρυφήσεις ὅταν ἴδῃς πολλοὺς γεγονότας ἁγίους, καὶ ἐν υἱοῖς Ἰσραὴλ τεταγμένους. « Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. » Ὅτι δὲ χαίρειν ἦν ἔθος, καὶ ἐπιγάννυσθαι τοῖς ἁγίοις ἀποστόλοις ἐπὶ τοῖς εἰωθόσιν εὐδοκιμεῖν, διὰ πίστεως δηλονότι τῆς εἰς Χριστὸν, σαφηνιεῖ καὶ ὁ Παῦλος ἐπιστέλλων αὐτοῖς, καὶ λέγων· « Χαρὰ καὶ στέφανός B μου. » Καὶ ἕκαστον δὲ τῶν ἁγίων μαθητῶν τὸν αὐτὸν διακεῖσθαι τρόπον φαίην ἂν ἔγωγε, καὶ μάλα εἰκότως. Θυμηδίας γὰρ τῆς ἀνωτάτω πρόφασις ἦν αὐτοῖς ἡ τῶν πλανωμένων ἐπιστροφὴ, καὶ τῶν οὐκ εἰδότων τὴν ἀλήθειαν ἡ πρὸς τὸ ἄμεινον ἀνακομιδή. Εὐφρανθήσῃ τοίνυν ἐν τοῖς ἁγίοις, Ἰσραήλ. Τίνες δὲ οὗτοι διαδείκνυσι, λέγων· Ἀγαλλιάσονται οἱ πτωχοὶ καὶ ἐνδεεῖς, τοῦτ' ἔστι, τὰ ἔθνη. Ἦσαν γὰρ ἐν ἐνδείᾳ παντὸς ἀγαθοῦ, καὶ ἀμέτοχοι παντελῶς τῶν παρὰ Θεοῦ χαρισμάτων. Τοὺς γὰρ ὅλως ἀγνοοῦντας αὐτὸν ἀμοιρεῖν ἀνάγκη τῶν εἰς ἀρετὴν αὐχημάτων. Οἱ πτωχοὶ τοιγαροῦν καὶ οἱ ἐνδεεῖς, ἀγαλλιάσονται. Πῶς, ἢ τίνα τρόπον; Ζητήσουσι γὰρ ὕδωρ, καὶ οὐκ ἔσται, φησὶ, καὶ ἡ γλῶσσα αὐτῶν ἀπὸ τῆς δίψης ἐξηράνθη. Τὸ δὲ, ζητήσουσιν, ἐν τούτοις, ἀντὶ τοῦ, ἐζήτησαν, C φησίν. Ἐπειδὴ δὲ οὐχ εὑρήκασιν, ἡ γλῶσσα αὐτῶν ὑπὸ δίψης ἐξηράνθη. Γεγόνασι μὲν γὰρ καὶ παρ' Ἕλλησι πολλοὶ φιλολόγοι τε καὶ φιλοζητηταὶ, καὶ τῆς ἀληθείας ἐρευνηταί· ἀλλ' οὐκ ἦν παρ' αὐτοῖς ὁ ταῦτα διδάσκειν εἰδώς. Οὐκ ἦν ὕδωρ τὸ ζωοποιόν. Οὐκ ἦν ὁ καταχορέσαι δυνάμενος τοῖς εἰς ἀλήθειαν δόγμασι τοὺς ἐρῶντας αὐτῆς. Ἐξηράνθη τοίνυν ἡ γλῶσσα αὐτῶν ὑπὸ δίψης. Ἀλλ' ἐγὼ ὑπακούσομαι αὐτῶν, φησὶν ὁ Θεὸς Ἰσραὴλ, καὶ οὐκ ἐγκαταλείψω αὐτούς. Κατηλέησε γὰρ τὴν τῶν πλανωμένων πληθὺν, καὶ οὐκ ἀφῆκεν αὐτὴν ἐν ἐνδείᾳ τῶν ἄνωθεν χαρισμάτων, ἐνέπλησε δὲ μᾶλλον, καὶ τίνα δὴ τρόπον, διὰ τῶν ἐφεξῆς εὖ μάλα διατρανοῖ.

Ἀλλ' ἀνοίξω ἐπὶ τῶν ὀρέων ποταμοὺς, καὶ ἐν μέσῳ τῶν πεδίων πηγάς· ποιήσω τὴν ἔρημον εἰς D *ἕλη, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. Θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον, καὶ πύξον, καὶ μυρσίνην, καὶ κυπάρισσον, καὶ λεύκην· ἵνα ἴδωσι καὶ γνῶσι, καὶ ἐννοηθῶσι, καὶ ἐπιστῶνται ἅμα, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα πάντα, καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξε.*

Ἔρημόν τε καὶ ἄνυδρον εἶναί φησι τὴν τῶν ἐθνῶν χώραν. Ἔρημον μὲν διάτοι τὸ ἐψιλῶσθαι τρόπον τινὰ, καὶ φυτῶν ἐρήμην εἶναι τῶν εὐθαλεστάτων, νοητῶν δὲ δηλονότι· ἀκάνθης δὲ μόνης ὁρᾶσθαι τροφὸν, καὶ ξύλων ἀγρίων μητέρα, καὶ ὅσα πυρὶ πρὸς τὸ δαπανᾶσθαι χρήσιμον. Ταῦτα τὰ ἔθνη ποτὲ

[91] Rom. IX, 6, 7. [92] Philip. IV, 1.

ἐκαρποφόρει, ἀλλὰ τοῖς πάλαι δεδιψηκόσι φησίν· Ἀνοίξω μὲν ἐπὶ τῶν ὀρέων ποταμοὺς, ἄνδρας ἁγίους δηλονότι τοὺς τὸν θεῖον, καὶ ἄνωθεν καταπλουτήσαντας λόγον, καὶ ποταμίων ναμάτων δίκην τοῖς διψῶσιν ἐκχέοντας, καὶ οἷον ἀναπηγάζοντας. Ὥστε καὶ τὴν ἔρημον ποτὲ μεταβαλοῦσαν τὴν ὄψιν ἕλη φαίνεσθαι, καὶ δρυμοὺς, καὶ γῆν τὴν διψῶσαν ἐν ὑδραγωγοῖς. Ὑδραγωγοὶ δὲ πάλιν εἶεν ἂν οἱ κατὰ καιροὺς καὶ ἐν ἑκάστῃ χώρᾳ τε καὶ πόλει γεγονότες μυσταγωγοὶ, καὶ διδάσκαλοι τῶν Ἐκκλησιῶν· οἱ καθάπερ ἐκ πηγῶν τε καὶ ποταμῶν τῶν τῆς θεοπνεύστου Γραφῆς εἰς νοῦν καὶ καρδίαν εἰσοικισάμενοι λόγον καὶ εἰς ἑτέρους αὐτὸν μεθιστᾶσιν, οἷά τινες ὑδραγωγοὶ κήπους κατάρδοντες τοὺς εὐθαλεστάτους. Τίνα δὲ τρόπον ἡ ἔρημος εἰς ἕλη μεταστήσεται, καὶ ποίων ἔσται ξύλων τροφὸς, διδάσκει λέγων· «Θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον, καὶ πύξον, καὶ μυρσίνην, καὶ κυπάρισσον, καὶ λεύκην.» Ταῦτα δὲ πάντα ἐστὶν εὐώδη καὶ ἄσηπτα ξύλα. Πρόσεστι δὲ τοῖς ἁγίοις, καὶ τὸ εὔοσμον, νοητῶς δὲ διὰ πολιτείας εὐαγοῦς· καὶ τό γε μὴ καταφθείρεσθαι καθιεμένους ἐκλύτους εἰς ἐπιθυμίας κοσμικὰς, ἑστάναι δὲ καὶ ἐρηρεισμένους, ῥιζοῦντος Θεοῦ, καὶ ἀνέχοντος ταῖς ἐπικουρίαις. Ὑποστηρίζει γὰρ τοὺς δικαίους ὁ Κύριος, καθὰ γέγραπται. Ἔσονται δὲ, φησὶ, ποταμοὶ, καὶ πηγαὶ καὶ ὑδραγωγοὶ, καὶ ἐν ὄρεσι καὶ πεδίοις, καὶ οἷον πανταχοῦ. Ἔσται δὲ καὶ ἔρημος εἰς ἕλη, ἵνα οἱ καλούμενοι διὰ πίστεως καὶ αὐταῖς ὄψεσιν ἴδωσιν, ἐπιγνῶσι δὲ καὶ δι' ἐννοιῶν ἀγαθῶν, καὶ δὴ καὶ μάθοιεν ἐκ τῆς τῶν γεγονότων μεγαλουργίας, καὶ ἀδοκήτου μεταβολῆς, ὅτι δὴ μὴ ἁπλῶς μηδὲ αὐτομάτως τὰ οὕτω μεγάλα καὶ διαβόητα κατορθοῦσθαι φιλεῖ. Κατέδειξε γὰρ μᾶλλον αὐτὰ χεὶρ Κυρίου, τοῦτ' ἔστι, δύναμίς τε καὶ ἐξουσία θεοπρεπὴς, ἤγουν ὁ Υἱὸς, δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, γέγονέ τε ἤδη, καὶ τεθαυματούργηται παρὰ τοῦ Πατρός. Οὐ γὰρ ψευδώνυμοι θεοὶ, οὔτε μὴν στοιχεῖα κοσμικά· ἀλλ' οὐδὲ ὁ νομισθεὶς εἶναι Θεὸς τοῦ αἰῶνος τούτου, γέγονεν αὐτῷ ἐργάτης, ἀλλ' ὁ Ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν.

Ἐγγίζει ἡ κρίσις ὑμῶν, λέγει ὁ Θεός· ἤγγισαν αἱ βουλαὶ ὑμῶν, λέγει ὁ βασιλεὺς Ἰακώβ.

Τὴν τῶν ἐθνῶν κλῆσιν ὡς ἔσται κατὰ καιροὺς εὖ μάλα διειρηκὼς, ὑποσχόμενός τε ποιήσειν τὴν ἔρημον εἰς ἕλη, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς, κέδροις τε, καὶ πύξῳ καὶ τοῖς ἑτέροις φυτοῖς κατάκομον ἀποφῆναι, καὶ τὴν ἑαυτοῦ χεῖρα θαυμασθήσεσθαι λέγων, ὡς τῶν οὕτω μεγάλων δημιουργὸν, προσδιαλέγεται πάλιν τοῖς τῶν εἰδώλων ποιηταῖς, καὶ τοῖς τὰ τοιάδε τεχνίταις, καί φησιν ἐγγὺς γενέσθαι τὴν κρίσιν αὐτῶν. Κρίσιν δέ φησιν, ἢ τὴν ὀφειλομένην κόλασιν αὐτῆς, ἤγουν τὴν αἰσχύνην, καὶ ἐντροπήν. Ὁσίᾳ γὰρ ψήφῳ Θεοῦ, καὶ δικαίῳ κρίματι κολασθεῖεν ἂν ὡς ἠπατηκότες τὴν ὑπ' οὐρανὸν, καὶ βουλὰς οὐκ ἀληθεῖς εἰσκεκομικότες. Ἐδίδαξαν γὰρ τοὺς ἐπὶ τῆς

A modorum, mater esse videatur. Hos fructus aliquando tulerunt gentes. Cæterum his, inquit, qui quondam sitiverunt, aperiam in montibus flumina: viros nempe sanctos, qui divino et superno ditati sunt sermone, et qui fluviatilium rivorum instar, sitientibus effundunt, et quasi scaturiunt, ut desertum quondam mutet faciem, et in eo paludes ac silvæ appareant, et terra sitiens in aquæductus vertatur. Aquæductus rursus esse possint, qui variis temporibus, et in unaquaque regione ac civitate mystagogi sunt ac doctores Ecclesiarum: qui velut e fontibus atque fluviis sermonem Scripturæ divinitus inspiratæ, in mentem ac cor quasi in domicilium receperunt, eumque ad alios transferunt, et quasi aquæductus quidam, florentissimos B hortos irrigant. Quomodo autem solitudo in paludes transferatur, et cujusmodi lignorum nutrix futura sit, docet inquiens: «Ponam in terra carente aquis cedrum, et buxum, et myrtum, et cupressum, et populum.» Hæc vero omnia ligna sunt bene odorata, et quæ non putrescunt. Adest et sanctis quoque sua fragrantia, scilicet intelligibiliter, ex pura conversatione, et non admittunt corruptionem, quatenus soluti non sunt in hujus mundi cupiditates. Stant etiam firmi, radicante quasi Deo, et adminiculis sustentante. «Confirmat enim justos Dominus [90],» sicuti scriptum est. Erunt autem, inquit, flumina, et fontes, et aquæductus, etiam in montibus et campis, et fere ubilibet. Verteturque solitudo in C paludes, ut qui vocati sunt per fidem, etiam oculis suis videant, et sana cogitatione agnoscant, et ex factorum magnificentia **531** et repentina mutatione discant, hæc tam magna et celebrata non absolute per se aut fortuito perfici potuisse. Ostendit enim illa potius manus Domini, id est, potentia et facultas divina, nimirum Filius, per quem omnia, et in quo omnia facta sunt [91], etiam admirabiliter præstita a Patre. Non enim falso nuncupati dii, nec elementa mundi, neque qui putatur esse Deus hujusce sæculi, effector horum exstitit, sed Israelis Sanctus illa exhibuit.

VERS. 21. *Appropinquat judicium vestrum, dicit Deus: appropinquarunt consilia vestra, dicit rex Jacob.*

D Vocationem gentium quod suo tempore sit futura cum perpulchre ostenderit, pollicitus se versurum solitudinem in paludes, et sitientem terram in aquæductus, et cedris, et buxo, aliisque arboribus densam effecturum: ac dicens suam manum admirationi fore, utpote harum rerum adeo magnarum architectatricem: dialogo rursus cum idolorum effectoribus, et ejusmodi rerum artificibus disputat, aitque appropinquare judicium ipsorum. Judicium dicit vel debitam ipsis punitionem, vel ruborem et pudorem. Sancto enim calculo Dei, et justo judicio puniri possunt, utpote qui orbem terrarum deceperint, et consilia non vera adduxerint.

[90] Psal. xxxvi, 17. [91] Hebr. 11, 10.

Docuerunt namque terræ habitatores dicere ligno : « Pater meus es tu ; et lapidi : Tu genuisti me [92]. » Hinc ait eorum consilia appropinquasse, id est, ad finem pervenisse, excutiente errorem et ignorantiæ tenebras dissipante Deo, Deo, inquam, non ex illis falso nuncupatis scilicet, sed Domino et Deo vere, et rege Jacob, id est, eorum qui sunt ex sanguine Israel. His verbis memoriam refricat signorum quæ edita sunt in liberatione Israelitarum, ex quibus optime cognoscitur divinæ ipsius auctoritatis et incomparabilis excellentiæ potentia.

Vers. 22-24. ***Appropinquent, et annuntient vobis quæ contingent, vel priora quæ erant; dicite, et adhibebimus mentem, et cognoscemus quæ ultima, et quæ ventura. Dicite nobis, annuntiate ventura in novissimo, et cognoscemus vos deos esse. Benefacite et malefacite, et mirabimur, et videbimus simul, unde sitis vos, et unde opus vestrum. De terra abominationem elegit vos.***

Divinæ et ineffabilis gloriæ proprium ac peculiare est, omnia scire, nihil prorsus **532** ignorare, neque præteritorum, neque instantium, neque futurorum. Etenim per sapientissimum Mosem ea quæ ante fabricationem hujus mundi, et quæ principio erant, clarum reddit terræ incolis, dicens : « In principio fecit Deus cœlum et terram. Terra erat inaspectabilis et inordinata, et tenebræ supra abyssum [93], » et universi mundi fabricam diligentissime persequitur. Quin et Dominus noster Jesus Christus, qui olim illa locutus est per Mosem, annuntiavit nobis quæ eventura sunt in novissimis, ut nimirum discipulus ejus ait : « Cœlos novos et terram novam, et promissiones ejus exspectamus [94]. » Licet quoque illum audire clare dicentem : « Num me celabitur quidquam [94*]? » — « Est enim vere vivus sermo Dei, et efficax, et acutior gladio ancipiti, et pertingens usque ad divisiones animæ et spiritus, et compagum et medullarum, nec est ulla res creata non manifesta in conspectu ipsius, sed omnia nuda et patefacta oculis ipsius [95]. » Quia vero Deus est, servat et beneficiis afficit, et omni voluptate spirituali explet, eos scilicet qui ipsum colunt; malo afficit autem, et pœnam infert contemnentibus, et bene operari dedignantibus. Sed nihil horum videre licet in his quæ ex lapidibus facta sunt. Quid enim novit materia inanima? Aut quomodo benefacere alicui aut malefacere poterunt, cum sibi ipsis subvenire nequeant, sed accipiant ab aliis, et quod stent, et quod solum videantur? Veniant itaque, inquit, qui putantur ab his esse dii, annuntient quæ contingent, dicant priora, et novissima, et ventura. Cognoscemus enim tum quod dii sitis. Verum, inquit, non potestis annuntiare. Ergo vel benefacite vel malefacite. Sin horum nihil poteritis præstare, post videbimus, id est, fa-

A γῆς τῷ ξύλῳ λέγειν· « Πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με. » Ταύτητοι καὶ ἐγγίσαι φησὶ τὰς βουλὰς αὐτῶν, τοῦτ' ἔστιν, εἰς πέρας ἐλθεῖν, κατασείοντος τὴν πλάνην, καὶ τὴν ἐκ τῆς ἀμαθίας ἀχλὺν κατασκεδαννύντος Θεοῦ, καὶ οὐχ ἑνὸς τῶν παρ' αὐτῶν ὄντος, τῶν ψευδωνύμων δηλονότι, φαμέν· ἀλλὰ Κυρίου, καὶ Θεοῦ κατὰ ἀλήθειαν, καὶ τοῦ βασιλέως Ἰακὼβ, τοῦτ' ἔστι, τῶν ἐξ αἵματος Ἰσραήλ. Ἀποφέρει δὲ διὰ τούτων εἰς ἀνάμνησιν τῶν γεγονότων σημείων, ἐπὶ τῇ λυτρώσει τῶν ἐξ Ἰσραὴλ, δι' ὧν εὖ μάλα διαγινώσκεται τῆς ἐνούσης αὐτῷ θεοπρεποῦς ἐξουσίας, ἢ ἀσυγκρίτου ὑπεροχῆς ἡ δύναμις.

Ἐγγισάτωσαν, καὶ ἐπαγγειλάτωσαν ὑμῖν ἃ συμβήσεται, ἢ τὰ πρότερα τίνα ἦν· εἴπατε, καὶ ἐπιστήσομεν τὸν νοῦν, καὶ γνωσόμεθα, τί τὰ B *ἔσχατα, καὶ τὰ ἐπερχόμενα. Εἴπατε ἡμῖν, ἀναγγείλατε τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνωσόμεθα, ὅτι θεοί ἐστε. Εὖ ποιήσατε, καὶ κακώσατε, καὶ θαυμασόμεθα, καὶ ὀψόμεθα ἅμα, ὅτι πόθεν ἐστὲ ὑμεῖς, καὶ πόθεν ἡ ἐργασία ὑμῶν· ἐκ γῆς βδέλυγμα ἐξελέξατο ὑμᾶς.*

Τῆς θείας τε, καὶ ἀποῤῥήτου δόξης ἴδιόν τε καὶ ἐξαίρετον τὸ πάντα μὲν εἰδέναι, ἀγνοεῖν δὲ παντελῶς οὐδὲν οὔτε τῶν προγεγονότων, οὔτε τῶν ἐνεστηκότων, ἢ τῶν ἐσομένων. Καὶ γοῦν δὴ [γρ. διὰ] μὲν τοῦ πανσόφου Μωσέως τὰ πρὸ τῆς συμπήξεως τοῦδε τοῦ κόσμου, καὶ τὰ ἐν ἀρχαῖς ἐναργῆ τοῖς ἐπὶ τῆς γῆς καθίστησι λέγων· « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· » C καὶ τὴν παντὸς τοῦ κόσμου ποίησιν ἀκριβέστατα διεξέρχεται. Ἀλλὰ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πάλαι λαλήσας ἐκεῖνα διὰ Μωσέως, ἀπήγγειλεν ἡμῖν τὰ ἐν ἐσχάτοις· ὡς γάρ ὁ αὐτοῦ φησι μαθητής· « Καινοὺς οὐρανοὺς, καὶ καινὴν γῆν, καὶ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν. » Ἔστι δὲ ἀκοῦσαι λέγοντος ἐναργῶς· « Μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τί; » — « Καὶ γάρ ἐστιν ἀληθῶς ζῶν ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐναργὴς, καὶ τομώτερος μᾶλλον μαχαίρας διστόμου, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. » Ἐπειδὴ δὲ ἐστι Θεὸς, σώζει μὲν καὶ εὐεργετεῖ, καὶ ἁπάσης ἐμπίμπλησι θυμηδίας, πνευματικῆς δηλονότι, τοὺς D σεβομένους αὐτόν· κακοῖ δὲ καὶ ὑποφέρει ταῖς δίκαις τοὺς καταφρονεῖν εἰωθότας, καὶ ἀγαθουργεῖν οὐκ ἀνεχομένους. Ἀλλὰ τῶν οὐδὲν ἔν γε τοῖς ἐκ λίθων πεποιημένοις κατίδοι τις ἄν. Τί γὰρ οἶδεν ἄψυχος ὕλη; Ἢ πῶς ἂν εὖ ποιήσειάν τινα, ἢ καὶ κακῶσαι δύναιντο τὰ μήτε ἑαυτοῖς ἐπαμύναι δυνάμενα, λαβόντα δὲ παρ' ἑτέρων καὶ τὸ ἑστάναι τε καὶ ὁρᾶσθαι μόνον; Ἡκέτωσαν τοίνυν, φησὶν, οἱ νομισθέντες παρ' ὑμῖν εἶναι θεοί· ἀπαγγειλάτωσαν ἃ συμβήσεται, λεγέτωσαν τὰ πρότερα, καὶ τὰ ἔσχατα, καὶ τὰ ἐπερχόμενα. Γνωσόμεθα γὰρ τότε, φησὶν, ὅτι θεοί ἐστε. Ἀλλ' οὐ δύνασθε, φησὶν, ἀπηγγεῖλαι.

[92] Jer. II, 27. [93] Gen. I, 1, 2. [94] II Petr. III, 13. [94*] Eccl. XXXIX, 24. [95] Hebr. IV, 12.

Οὐκοῦν κἂν εὖ ποιήσατε καὶ κακώσατε. Εἰ δὲ τούτων δύνασθε δρᾷν οὐδὲν, λοιπὸν ὀψόμεθα, τοῦτ' ἔστιν, εὔκολον ἰδεῖν, πόθεν ἐστὲ ὑμεῖς, καὶ πόθεν ἡ ἐργασία ὑμῶν· ἐστὲ γὰρ ἐκ γῆς βδέλυγμα πεποιημένον. Ἢ γὰρ ἐκ ξύλου φέρε εἰπεῖν τὸ εἴδωλον γένοιτ' ἄν, ἢ λίθου λαμπροῦ καὶ ἐξειλεγμένου, ἤγουν ἐξ ἑτέρας ὕλης· ταῦτα δὲ πάντα ἐστὶν ἐκ γῆς. Δεῖ δὲ οἶμαι καταθαυμάσαι τοὺς τῶν εἰδώλων προσκυνητὰς, εἰ μηδὲ ἐκεῖνο ἐγνώκασι παρ' αὐτῶν, τὸ, ὅποι ποτὲ καταλήξει τὰ πράγματα αὐτοῖς. Οὐ γὰρ ἔγνωσαν, ἢ προειρήκασιν ὡς αὐτοῖς τεμένεσι κατεμπρησθήσονται, κείσονται δὲ καὶ εἰς γέλωτα κατὰ καιροὺς καὶ αὐτοῖς τοῖς πάλαι πεπλανημένοις.

A cile est videre, unde vos sitis, et unde operatio vestra: estis enim e terra abominatio facta. Aut enim e ligno, exempli gratia, idolum fiat, sive ex insigni et selecto lapide, sive ex alia materia, hæc autem omnia e terra sunt. Mirandique sunt, credo, idolorum cultores, si aliud non cognoverint, quorsum res ipsorum evasuræ sint. Neque enim norunt, nec prædixerunt, ipsos una cum templis incendendos, et risui temporibus succedentibus exponendos etiam his qui olim errarunt.

Ἐγὼ δὲ ἤγειρα τὸν ἀπὸ βοῤῥᾶ, καὶ τὸν ἀφ' ἡλίου ἀνατολῶν· κεκλήσονται τῷ ὀνόματί μου.

Ὁ μὲν γὰρ τῶν ἀκαθάρτων εἰδώλων ἑσμὸς, ἐπείπερ ἦσαν ἕτερον οὐδὲν, πλὴν ὅτι μόνον ξύλα τε καὶ λίθοι, πεπλανήκασι τοὺς ἠπατημένους. Ἀπήγγειλαν δὲ αὐτοῖς παντελῶς οὐδὲν ἢ τῶν πρώτων ἢ τῶν ἐσχάτων, οὔτε μὴν εὖ πεποιήκασί τινας, ἤγουν κακῶσαι δεδύνηνται. Ἐγὼ δὲ, φησὶν, ἐπείπερ ἀγαθός εἰμι Θεὸς, βεβούλημαι πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Σέσωκα τὴν ὑπ' οὐρανὸν, ἐν ἴσῳ τοῖς τεθνεῶσι κειμένους ἤγειρα πολλούς. Καὶ τίνες ἂν εἶεν οὗτοι διδάσκει λέγων· Τὸν ἀπὸ βοῤῥᾶ, καὶ τὸν ἀφ' ἡλίου ἀνατολῶν, τοῦτ' ἔστι, τὸν λαὸν τὸν ἐξ ἐθνῶν. Ὡς γάρ τοι πρὸς τὴν τῶν Ἰουδαίων χώραν νοτιωτάτην οὖσαν βορειοτέρα μᾶλλον ἡ τῶν ἐθνῶν, καὶ τὸν πρὸς ἀκτῖνα λαχοῦσα τόπον. Οὐκοῦν ὁ ἀπὸ βοῤῥᾶ, καὶ ἀφ' ἡλίου ἀνατολῶν, εἴη ἂν ὁ ἐξ ἐθνῶν λαὸς, οἳ κέκληνται τῷ ὀνόματι τοῦ Χριστοῦ. Χριστιανοὶ γὰρ ὠνομάσμεθα, καὶ ἐσμέν. Κατεκτήσατο γὰρ αἵματι τῷ ἰδίῳ ἡμᾶς, καὶ ἠγοράσμεθα τιμῆς, καὶ ἐσμὲν οὐχ ἑαυτῶν. Εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. Τοιγάρτοι φαμὲν ὡς πρός γε τὸν ἑαυτῶν Σωτῆρα καὶ Λυτρωτήν· Κύριε, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.» Κεκλήμεθα τοίνυν τῷ ὀνόματι αὐτοῦ, καὶ τοῦτο ἦν ἄρα τὸ εἰρημένον διὰ τῆς τοῦ προφήτου φωνῆς· Τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς. Δοκεῖ δὲ, φησὶ, τὸν ἀφ' ἡλίου ἀνατολῶν Χριστὸν εἶναι λέγειν, διά τοι τὸ γεγράφθαι περὶ αὐτοῦ· «Ἰδοὺ ἀνὴρ, Ἀνατολὴ ὄνομα αὐτῷ.» Καὶ πάλιν, ὡς τοῦ Θεοῦ καὶ Πατρὸς περὶ αὐτοῦ λέγοντος· «Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην;» «Γέγονε γὰρ ἡμῖν δικαιοσύνη Χριστὸς, ἁγιασμός τε καὶ ἀπολύτρωσις προσέτι.»

533 VERS. 25. *Ego vero excitavi eum qui ab aquilone, et eum qui ab ortu solis: vocabuntur nomine meo.*

B Nam immundorum idolorum examina, quoniam præter sola ligna et lapides nihil erant, in errorem eos qui decepti fuerunt deduxerunt: nihilque illis omnino vel primum, vel novissimum annuntiarunt, nec bonis affecerunt quemquam, nec malis afficere potuerunt. Ego autem, inquit, quippe qui bonus et Deus sum, volui omnes homines servari, et ad veritatis agnitionem venire [95*]. Servavi orbem terrarum, et qui perinde ac mortui jacebant, multos excitavi. Et qui tandem hi sunt? Docet, cum inquit: Eum qui est ab aquilone, et qui ab ortu solis, id est, populum gentium. Nam si regionem Judæorum respicias, quæ maxime ad austrum vergit, magis est aquilonaris terra gentium, et quæ ad solis radium C spectantem locum obtinet. Itaque qui ab aquilone est et ab ortu solis, poterit esse populus gentium, qui nomine Christi vocati sunt. Christiani enim nominamur et sumus [96]. Acquisivit siquidem nos sanguine suo, et empti sumus pretio, neque sumus nostri juris. «Unus enim pro omnibus est mortuus, ut qui vivunt, non amplius sibi vivant, sed ei qui pro illis mortuus est, et excitatus [96*].» Hinc dicimus velut Servatori nostro et Redemptori: Extra te alium non novimus, nomen tuum nominamus. Nomine itaque illius vocamur. Dictum quoque est hoc voce prophetica: Qui mihi serviunt, novum illis videtur nomen, quod prædicabitur supra terram. Videtur autem, eum qui ab ortu solis est, Christum D dicere, eo quod scriptum sit de eo: «Ecce vir, Oriens nomen ei.» Et rursus, veluti Deo et Patre de eo dicente: «Quis excitavit ab Oriente justitiam [97]?» «Factus enim est nobis justitia Christus, sanctificatio, et præterea redemptio [97*].»

Ἐρχέσθωσαν ἄρχοντες, καὶ ὡς πηλὸς κεραμέως, καὶ ὡς κεραμεὺς καταπατῶν πηλὸν, καταπατηθήσεσθε. Τίς γὰρ ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς, ἵνα γνῶμεν καὶ τὰ ἔμπροσθεν; Καὶ ἐροῦμεν, ὅτι ἀληθής ἐστιν. Οὐκ ἔστιν ὁ προλέγων, οὐδὲ ὁ ἀκούων τοὺς λόγους ὑμῶν.

Ἔμελλε γὰρ Θεοῦ κατανεύοντος, ἡ τῶν εἰδώλων πληθὺς καταπίμπρασθαι, καὶ τοῖς τῶν πιστευσάντων

VERS. 26. *Veniant principes, et ut lutum figuli, et ut figulus conculcans lutum, sic conculcabimini. Quis enim annuntiabit ea quæ a principio, ut cognoscamus ea quæ ad faciem sunt? Et dicemus quod verum sit. Nullus est qui prædicat, neque qui audiat sermones vestros.*

Deo enim annuente, idolorum multitudo comburenda erat, et credentium pedibus instar luti con-

[95*] I Tim. II, 4. [96] I Joan. III, 1. [96*] II Cor. v, 15. [97] Isa. XLI, 2. [97*] I Cor. I, 30.

culcanda. **534** Calcata sunt enim quasi pulvis, et quasi lutum figuli, et quæ præterea nihil aliud essent. Erat enim e terra ortus eorum. Quod autem hæc omnia ad finem perducenda erant, suo tempore, sanctis militantibus, et divino nutui alacriter quasique juveniliter subservientibus, declarat dicens : Veniant principes, id est, designentur populorum duces, qui credentes in me ab errore revocent, et contra inanimos deos armis instruant. Quis enim inter illos, inquit, annuntiat quæ sunt a principio, ut cognoscamus? vel priora, ut his quæ sunt dicta, ad exitum provectis, annuamus comprobemusque quod vera locuti fuerint? Sed, inquit, inter deos falso nuncupatos non est, vel inter immundos spiritus, qui prædicit : neque inter homines, qui vestros sermones audiat. Olim namque per regiones et urbes, in idolorum fanis, falsæ erant vaticinationes, et falsæ prædictiones dæmoniorum, tripodes et lebetes, et multitudo innumerabilis decipientium, multique iverunt sciscitaturi ab ipsis oracula. Cum autem illuxisset nobis Dei Verbum, conciderunt in adytis idola, conticuerunt dæmones qui seducunt, imo missi sunt in Orcum, et in Tartaro custodiuntur. Vocati sunt autem ad agnitionem veritatis, qui olim eorum sermones habuerunt in pretio. Quod docet, inquiens : « Neque est qui audiat sermones vestros. »

VERS. 27, 28. *Principatum Sioni dabo, et Jerusalem consolabor in via. Nam a gentibus ecce nemo, et a simulacris eorum non erat qui annuntiaret. Et si interrogavero eos, Unde estis? non respondebunt mihi. Sunt enim factores vestri, et frustra qui seducunt vos.*

Rursus pollicetur Servatoris ostensionem : per quem servatus est orbis terrarum, et vocata est ad agnitionem veritatis errantium multitudo. Ut enim haberemus præceptorem, qui sciret et posset ad salutis viam adducere, factus est homo unigenitum Dei Verbum. Et rex cum sit natura (in quantum et Deus, et ex Deo Patre intelligitur, omnibus dominante et creaturam pedibus subjiciente), rex in nos constitutus et electus dicitur. Scriptum enim est de illo : « Ecce rex justus regnabit, et principes cum judicio imperitabunt **. » Regnavit enim ac imperavit orbi terrarum Christus. Et **535** id manifestum nobis reddit, cum ait : « Data est mihi omnis potestas in cœlo et in terra **. » Etsi enim in universitatem rerum potestatem haberet ut Deus, propter carnis ministerium sibi data esse ait quæ ut Deus habuit. Cum ergo regnum obtinuerit, principes nobis præfecit sanctos apostolos, qui etiam imperarunt nobis cum judicio, id est, cum justitia. Dabo itaque Sioni, inquit, id est, Ecclesiæ, sive credentium multitudini, principatum servantem, id est, Christum. Consolabor etiam Jerusalem, quæ rursus est Ecclesiæ introitus. Consola-

A ποσὶ πηλοῦ παρεῤῥίφθαι δίκην. Πεπάτηνται γὰρ, καὶ ὡς χοῦς, ἢ καὶ ὡς πηλὸς κεραμέως, καὶ ἕτερον ὄντα παρὰ τοῦτον οὐδέν. Ἦν γὰρ ἐκ γῆς ἡ γέννησις αὐτοῖς. Ὅτι δὲ ἔμελλε ταῦτα σύμπαντα πρὸς πέρας ἄγεσθαι κατὰ καιροὺς στρατηγούντων ἁγίων, καὶ τοῖς τοῦ Θεοῦ νεύμασιν ὑπηρετούντων νεανικῶς καταδείκνυσι λέγων· Τὸ, ἐρχέσθωσαν ἄρχοντες, τοῦτ' ἔστιν, ἀναδειχνύσθωσαν οἱ τῶν λαῶν ἡγεμόνες, οἱ τοὺς εἰς ἐμὲ πιστεύοντας ἐπιθήγοντες τῇ πλάνῃ, ἐξοπλίζοντές τε κατὰ τῶν ἀψύχων θεῶν. Τίς γὰρ ἐν αὐτοῖς, φησὶν, ἀπαγγελεῖ τὰ ἐξ ἀρχῆς ἵνα γνῶμεν, εἰ καὶ τὰ ἔμπροσθεν, ἵνα ἐκβεβηκότων τῶν εἰρημένων εἰς πέρας συννεύσωμεν ὅτι λελαλήκασιν ἀληθῆ; Ἀλλ' οὐκ ἦν, φησὶν, ἐν τοῖς ψευδωνύμοις θεοῖς, ἤγουν ἐν τοῖς ἀκαθάρτοις πνεύμασιν ὁ προλέγων· ἀλλ' οὐδὲ ἐν B ἀνθρώποις ὁ ἀκούων τοὺς λόγους ὑμῶν Πάλαι μὲν κατά τε χώρας καὶ πόλεις ἐν ταῖς τῶν εἰδώλων τεμένεσι ψευδομαντίαι τε ἦσαν, καὶ ψευδηγορίαι δαιμονίων, τρίποδες δὲ καὶ λέβητες, καὶ πληθὺς ἀναρίθμητος τῶν ἀπατᾷν εἰωθότων· ἐβάδιζον δὲ πολλοὶ χρησμοὺς ληψόμενοι παρ' αὐτῶν. Ἐπεὶ δὲ ἐπέλαμψεν ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος, πεπτώκασι μὲν τὰ ἐν σηκοῖς εἴδωλα, σεσιγήκασι δὲ καὶ οἱ πλανῶντες δαίμονες· μᾶλλον δὲ καὶ κατεπέμφθησαν εἰς ᾅδου, καὶ ταρτάρωνται. Κέκληνται δὲ πρὸς ἐπίγνωσιν ἀληθείας οἱ πάλαι τοὺς παρ' αὐτῶν τιμῶντες λόγους, καὶ τοῦτο διδάσκει λέγων· « Οὔτε μὴν ὁ ἀκούων τοὺς λόγους ὑμῶν. »

Ἀρχὴν Σιὼν δώσω, καὶ Ἱερουσαλὴμ παρακαλέσω εἰς ὁδόν. Ἀπὸ γὰρ τῶν ἐθνῶν ἰδοὺ οὐθεὶς, C *καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν, οὐκ ἦν ὁ ἀναγγέλλων· καὶ ἐὰν ἐρωτήσω αὐτοὺς, Πόθεν ἐστέ; οὐ μὴ ἀποκριθῶσί μοι· εἰσὶ γὰρ οἱ ποιοῦντες ὑμᾶς, καὶ μάτην οἱ πλανῶντες ὑμᾶς.*

Ὑπισχνεῖται πάλιν τὴν τοῦ Σωτῆρος ἀνάδειξιν, δι' οὗ σέσωσται μὲν ἡ ὑπ' οὐρανὸν, κέκληται δὲ πρὸς ἐπίγνωσιν ἀληθείας ἡ τῶν πλανωμένων πληθύς. Ἵνα γὰρ ἔχωμεν τὸν καθηγητὴν, τὸν ἀποκομίζειν εἰδότα καὶ δυνάμενον εἰς τὴν τῆς σωτηρίας ὁδὸν, γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ βασιλεὺς ὢν φύσει· καθὸ καὶ Θεὸς καὶ ἐκ Θεοῦ νοεῖται Πατρὸς, τοῦ δὴ πάντων κρατοῦντος, καὶ ὑπὸ πόδας κειμένην ἔχοντος τὴν κτίσιν· κεχειροτονῆσθαι λέγεται βασιλεὺς ἐφ' ἡμᾶς. Γέγραπται γὰρ περὶ αὐτοῦ· « Ἰδοὺ δὴ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ D κρίσεως ἄρξουσι. » Βεβασίλευκε γὰρ τῆς ὑπ' οὐρανὸν ὁ Χριστὸς, καὶ τοῦτο ἡμῖν ἐναργὲς καθίστησι λέγων· « Ἐδόθη μοι ἐξουσία πᾶσα ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Καίτοι γὰρ τῶν ὅλων κατεξουσιάζων ὡς Θεὸς, διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν ἑαυτῷ δεδόσθαι φησὶν, ἅπερ εἶχεν ὡς Θεός. Βασιλεύσας τοίνυν, ἄρχοντας ἐφ' ἡμᾶς κεχειροτόνηκε τοὺς ἁγίους ἀποστόλους, οἳ καὶ ἦρξαν ἡμῶν μετὰ κρίσεως, τοῦτ' ἔστι, μετὰ δικαιοσύνης. Δώσω τοίνυν, φησὶ, τῇ Σιὼν, τοῦτ' ἔστι, τῇ Ἐκκλησίᾳ, ἤτοι τῇ τῶν πιστευόντων πληθύϊ, τὴν σώζουσαν ἀρχὴν, τοῦτ' ἔστι Χριστόν. Παρακαλέσω δὲ καὶ τὴν Ἱερουσαλὴμ, ἥ ἐστι πάλιν τῆς Ἐκκλη-

** Isa. xxxii, 1. ** Matth. xxviii, 18.

σίας εἴσοδος. Παρακεκλήμεθα γὰρ δυναμούμενοι διὰ Χριστοῦ, καὶ τὴν εἰς ζωὴν ἀποφέρουσαν τὴν ἀμήρυτον δεδιδάγμεθα τρίβον. Ἀπὸ γὰρ τῶν ἐθνῶν, φησὶν, ἰδοὺ οὐθεὶς, καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν οὐκ ἦν ὁ ἀπαγγέλλων. Πλεῖστοι μὲν γὰρ ὅσοι γεγόνασι παρ' Ἕλλησι σοφοὶ, καὶ λογάδες· ἀλλ' οὐδεὶς ἦν ἐν αὐτοῖς ὁ διδάξαι δυνάμενος τὴν εἰς εὐσέβειαν ὁδόν. Εἰδώλων δὲ πλήρεις οἱ παρ' αὐτοῖς ὄντες ἦσαν νέοι, ἀλλ' οὐδὲ ἐν τοῖς εἰδώλοις, ἤγουν ἐν τοῖς ψευδωνύμοις θεοῖς ἦν ὁ τὴν τοῦ συμφέροντος θήραν ἀγγεῖλαι δυνάμενος, ἤγουν εἰς ὁδὸν ἀπευθῦναι δικαιοσύνης. Μᾶλλον δέ τι τοῦτό φημι· Οὐδ' ἂν εἰ ἐρωτηθεῖεν, φησὶ, Πόθεν ἐστέ; δύναιντ' ἂν ἀποκρίνασθαι. Οἱ δὲ ἑαυτοὺς οὐκ εἰδότες, ὕλη γάρ εἰσι κωφὴ καὶ ἀναίσθητος, πῶς ἂν ἑτέροις γένοιντο καθηγηταί; ἢ πῶς ἂν τισι καταδείξειαν ὅλως τὸ τελοῦν εἰς ὄνησιν; Εἰσὶ γὰρ, εἰσὶν ὑμᾶς μὲν ποιοῦντες τοὺς ψευδωνύμους πλάττοντες θεοὺς, ὑμᾶς δὲ πάλιν πλανῶντες τοὺς προσκυνοῦντάς γε αὐτούς.

Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου. Ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν. Κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. Οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. Κάλαμον συντεθλασμένον οὐ συντρίψει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν. Ἀναλάμψει, καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη καὶ λαοὶ ἐλπιοῦσιν.

Προεπήγγελται, λέγων, Ἀρχὴν Σιὼν δώσω, καὶ ποία τις αὕτη διαδείκνυσι σαφῶς. Κεχειροτόνηται γὰρ ἐπὶ τὴν νοητὴν Σιὼν, τοῦτ' ἔστιν, ἐπὶ τὴν Ἐκκλησίαν ἄρχων καὶ καθηγητὴς οὐκ εἰς ἀρχὴν τοῦ πράγματος ἀναβαίνων τότε, ὅτε καὶ εἰς τοῦτο παρενεχθῆναι λέγεται. Ἦν γὰρ καὶ ἔστιν ἀεὶ βασιλεὺς, καὶ τῶν ὅλων Κύριος ὁ ἐκ Παρθένου Λόγος. Ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, ἴδιον ποιεῖται τὸ τῆς ἀνθρωπότητος μέτρον. Οὕτω γὰρ ἦν ἀληθῶς, καὶ ἀνενδοιάστως πιστεύεσθαι πρὸς ἡμῶν, ὅτι γέγονε καθ' ἡμᾶς. Οὐκοῦν κἂν εἰ λέγοιτο λαβεῖν τὸ κατὰ πάντων κράτος τῆς μετὰ σαρκὸς οἰκονομίας ἔσται τὸ λαβεῖν, οὐ τῆς ὑπεροχῆς αὐτοῦ, καθ' ἣν νοεῖται τῶν ὅλων Δεσπότης. Ἰακὼβ δὲ αὐτὸν ἀποκαλεῖ καὶ Ἰσραὴλ, ὡς ἐξ αἵματος γεγονότα τὸ κατὰ σάρκα τὸν ἐξ Ἰακὼβ, ὃς μετωνομάσθη καὶ Ἰσραήλ. Φησὶ δὲ, ὅτι Ἀντιλήψομαι, καὶ ἀπόλεκτον ὀνομάζει. Συνειργάζετο γὰρ ὁ Πατὴρ τῷ Υἱῷ, καὶ ὡς δυνάμεως τῆς ἰδίας ἀπετέλει τὰς μεγαλουργίας. Ἔστι δὲ καὶ ἀπόλεκτος ἀληθῶς, ὅτι καὶ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ παραδεκτὸς ὡς ἠγαπημένος· ηὐδόκησε γὰρ ὁ Θεὸς, καὶ Πατὴρ ἐν αὐτῷ. Ἔφη γοῦν· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. » Ὅτι δὲ κέχρισται κατὰ τὸ ἀνθρώπινον, καὶ μετεσχηκέναι λέγεται τοῦ ἁγίου Πνεύματος, καίτοι τὸ Πνεῦμα διδοὺς αὐτὸς, καὶ ἁγιάζων τὴν κτίσιν, σαφηνιεῖ λέγων· Ἔδωκα τὸ Πνεῦμά μου ἐπ' αὐτόν. Βαπτισθέντι γὰρ αὐτῷ τὸ Πνεῦμα, φησὶν, ἐπεφοίτηκεν ἐξ οὐρανῶν ἐν εἴδει περιστερᾶς καὶ

tione namque perfusi sumus, corroborati per Christum, et edocti sumus semitam quæ ad vitam æternam deducit. A gentibus enim, inquit, ecce nemo, et ab idolis eorum non erat qui annuntiaret. Plurimi enim apud Græcos et sapientes et eloquentes fuerunt : sed inter eos, qui docere posset viam pietatis, nemo erat. Idolorum apud eos complura erant delubra, sed non erat inter idola, vel inter falso nuncupatos deos, qui utilitatis quasi indaginem annuntiare potuit, vel ad justitiæ viam dirigere. Imo hoc dico, nec si interrogentur, inquit, Unde estis ? poterunt respondere. Qui vero sese non norunt, materia enim sunt muta et sensibus carens, quomodo duces aliorum esse possunt ? vel quomodo ulli ostendant quod illis cedat in commodum ? Sunt enim, sunt qui faciunt vos, falso nuncupatos deos formantes. Vos rursus decipiunt, qui eos adoratis.

Cap. XLII. Vers. 1-4. *Jacob puer meus, suscipiam eum; Israel electus meus, assumpsit eum manus mea. Dedi spiritum meum super eum. Judicium gentibus profert. Non clamabit, neque remittet, neque audietur foris vox ejus. Calamum confractum non conteret, et linum fumans non exstinguet, sed in veritate proferet judicium. Splendebit, et non conteretur, donec ponat in terra judicium. Et in nomine ejus gentes sperabunt.*

Promisit ante, dicens, Principatum Sioni dabo, et qui tandem ille sit, manifesto demonstrat. Præfectus est enim intelligibili Sioni, id est, Ecclesiæ princeps et gubernator, non tum ascendens ad principatum, cum **536** ad hoc adductus dicitur. Erat enim et est semper rex, et universorum dominus, ex Deo Patre Verbum. Postquam autem homo factus est, propriam adsciscit humanitatis mensuram. Sic enim credere vere et indubie possumus, eum ad similitudinem nostram factum esse. Quare ubi dicitur accepisse in omnia imperium, hoc erit dispensationis in carne accipere, non divinæ præstantiæ, ex qua universorum dominus esse intelligitur. Jacobum autem et Israelem eum vocitat, quasi natum ex sanguine Jacob secundum carnem, qui cognominatus est quoque Israel. Dicit porro : Suscipiam, et electum nominat. Cooperabatur enim Pater Filio, et velut potentiæ suæ faciebat mirabilia. Est etiam electus vere, quia speciosus est decore præ filiis hominum, et acceptus, ut qui dilectus est, in quo scilicet Deus et Pater acquievit. Dixit ergo : « Hic est Filius meus dilectus, in quo mihi complacui [1]. » Quod autem unctus sit more humano, et particeps fuisse dicitur sancti Spiritus, etiamsi ipse Spiritum det, et sanctificet creaturam, declarabit, cum ait : Dedi Spiritum meum super eum. Baptizato enim ei supervenit, inquit, Spiritus cœlitus, specie columbæ, et mansit super eum. Quod si tempore quo baptizatus est, recipit Spiritum, pro mensura humanitatis,

[1] Matth. III, 17.

possit et hoc esse inter cætera. Non enim quatenus Deus est, sanctificatus est, cum Spiritum accepit: ipse enim, ut dixi, est qui sanctificat: sed quatenus apparuit homo, ratione dispensationis. Unctus est igitur, ut et judicium proferat gentibus. Judicium his verbis justum vocat judicium. Justificavit enim illas, Satana condemnato qui occupaverat tyrannidem. Quod ipse nos docuit, inquiens: « Nunc judicium est mundi hujus. Nunc princeps mundi hujus ejicietur foras. Et ego si exaltatus fuero de terra, omnia traham ad meipsum [a]. » Damnavit enim capitis eum, ut dixi, qui orbem terrarum occupavit, et deceptos servavit sancto judicio. Sed nec clamabit, inquit, nec remittet, neque audietur foris vox ejus. Peregrinatus est enim universorum Servator et Dominus in submissione multa et humilitate, et quasi sine strepitu, et injuria afficiens neminem, sed in silentio et quiete, ut confractum calamum non contriverit, et linum fumigans non exstinxerit, id est, ne in abjectissimos et in perpetiendo damno timidissimos **537** pedem immiserit. Quid ergo faciet, et quid administrabit gentibus? In veritate proferet judicium. Judicium hic videtur legem dicere. Scriptum est enim de Israelis et omnium dominatore Deo: Illic dedit ei judicium, et rursus, Judicium et justitiam in Jacob tu fecisti. Judicium igitur sive legem in umbris et in typis vere proferet, per oracula evangelica, quibus viam conversationis sibi acceptæ indicavit, et cultum legis in littera in veritatem transtulit. Judæi vero miseri debacchati sunt in eum, et morte carnis affligere ausi sunt. Verum resplenduit ut lux, et non confractus est, id est, eum interitus non devicit, nec insolentia eorum qui insidias struxerant eum superavit. Soluta enim est mors, et revixit divine, et calcavit hostes, et passio ejus toti terrarum orbi facta est salutis occasio. Non conteretur itaque donec ponat in terra judicium. Neque vero existimes eum tempus aliquod præfinire quo vulnerandus sit, postquam scilicet posuerit in terra judicium: sed illud potius dicit, Superior erit adversariis, et adeo vincet, ut etiam per universam terram positurus sit judicium. Prædicatum est enim Evangelium per omnem terram, et quasi fixit sua vaticinia. Scriptum est enim: « Justitia tua in sæculum, et lex tua veritas [b]. » Speraverunt, inquit, gentes in nomine ejus. Agnito enim quod Deus vere sit, et quamvis in carne apparuerit, eum spem facient, sicuti inquit Psaltes: « In nomine ejus exsultabunt tota die. » Vocati sumus enim Christiani, et in eo omnem spem habemus [c].

A ἔμεινεν ἐπ' αὐτόν. Εἰ δὲ ἐν καιρῷ τοῦ βαπτισθῆναι δέχεται τὸ Πνεῦμα τῷ τῆς ἀνθρωπότητος μέτρῳ, εἴη ἂν μετὰ τῶν ἄλλων, καὶ τοῦτο. Οὐ γάρ τοι καθ' ὃ Θεός ἐστιν, ἡγιάζετο τὸ Πνεῦμα λαβών· αὐτὸς γάρ, ὡς ἔφην, ὁ ἁγιάζων ἐστίν· ἀλλὰ καθὸ πέφηνεν ἄνθρωπος οἰκονομικῶς. Κέχρισται τοίνυν, ὥστε κρίσιν τοῖς ἔθνεσιν ἐξοῖσαι. Κρίσιν δὲ τὴν δικαιοκρισίαν ἐν τούτοις φησί. Δεδικαίωκε γὰρ αὐτὰ κατακρίνας τὸν πλεονεκτήσαντα Σατανᾶν. Καὶ τοῦτο ἡμᾶς αὐτὸς ἐδίδαξεν, εἰπών· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου. Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. Κἀγὼ ἐὰν ὑψωθῶ ἐκ γῆς, πάντα ἑλκύσω πρὸς ἐμαυτόν. » Κατεψηφίσατο μὲν γὰρ τὸν ὄλεθρον τοῦ πλεονεκτήσαντος, ὡς ἔφην, τὴν ὑπ' οὐρανὸν, ὁσίῳ δὲ κρίματι σέσωκε τοὺς ἠπατημένους. Ἀλλ' οὐ κεκρά- B ξεται, φησὶν, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. Ἐπεδήμησε γὰρ ὁ τῶν ὅλων Σωτὴρ καὶ Κύριος ἐν ὑφέσει πολλῇ καὶ ἀφιλοκομπίᾳ, καὶ οἷον ἀψοφητὶ, καὶ ἀδικῶν οὐδένα· ἀλλ' ἐν σιγῇ τε, καὶ ἠρεμίᾳ, ὥστε καὶ συντεθλασμένον μὴ συντρῖψαι κάλαμον, μήτε μὴν λῖνον τυφόμενον σβέσειν, τοῦτ' ἔστι, μήτε τοῖς ἄγαν εὐτελεστάτοις καὶ εὐτολμότατα λίαν ὑπομένειν εἰωθόσι τὸ βλάβος ἐπαφεῖναι πόδα. Τί οὖν ἐργάσεται, καὶ τί κατορθώσει τοῖς ἔθνεσιν; Εἰς ἀλήθειαν ἐξοίσει κρίσιν. Ἐν τούτοις ἔοικε τὸν νόμον ἀποκαλεῖν. Γέγραπται γὰρ περὶ τοῦ Ἰσραὴλ, καὶ τοῦ πάντων κρατοῦντος Θεοῦ, ὅτι ἐκεῖ ἔδωκεν αὐτῷ δικαιώματα καὶ κρίσιν· καὶ πάλιν, Κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. Τὴν C κρίσιν τοίνυν ἤτοι τὸν νόμον τὸν ἐν σκιαῖς ὄντα καὶ τύποις, εἰς ἀλήθειαν ἐξοίσει τῶν εὐαγγελικῶν θεσπισμάτων, δι' ὧν τῆς ἀρεσκούσης αὐτῷ πολιτείας ἀνέδειξε τὴν ὁδὸν, καὶ τὴν ἐν γράμματι κατὰ νόμον λατρείαν μετέστησεν εἰς ἀλήθειαν. Καὶ πεπαρῳνήκασι μὲν εἰς αὐτὸν οἱ τάλανες Ἰουδαῖοι θανάτῳ τῷ τῆς σαρκὸς λυπῆσαι τολμήσαντες. Πλὴν ἀνέλαμψεν ὡς φῶς, καὶ οὐ συνεθραύσθη, τοῦτ' ἔστιν, οὐ νενίκηται τῇ φθορᾷ, οὐ κεκράτηκεν ἡ τῶν ἐπιβουλευθέντων ἀπόνοια. Λέλυται γὰρ ὁ θάνατος, καὶ ἀνεβίω θεοπρεπῶς, καὶ πεπάτηκεν ἐχθροὺς, καὶ γέγονε τοῖς κατὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν σωτηρίας ἀφορμὴ τὸ παθεῖν αὐτόν. Οὐ θραυσθήσεται τοίνυν, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν. Καὶ μὴ ὑπολάβῃς ὅτι καιρὸν ὁρίζει τινὰ καθ' ὃν θραυσθήσεται, τοῦτ' ἔστι, μετὰ τὸ θεῖναι τοῖς D ἐπὶ τῆς γῆς τὴν κρίσιν· ἀλλ' ἐκεῖνο μᾶλλον φησί, Περιγενήσεται τῶν ἀνθεστηκότων, καὶ κρατήσει τοσοῦτον, ὥστε καὶ ἐν πάσῃ τῇ γῇ θεῖναι τὴν κρίσιν. Κεκήρυκται γὰρ τὸ Εὐαγγέλιον ἐν πάσῃ τῇ γῇ, καὶ οἷον πέπηγε τὰ αὐτοῦ θεσπίσματα. Γέγραπται γὰρ, ὅτι « Δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. » Ἤλπισέ γε μὴν τὰ ἔθνη, φησὶν, ἐπὶ τῷ ὀνόματι αὐτοῦ. Ἐπεγνωκότα γὰρ ὅτι Θεὸς κατὰ ἀλήθειαν ἐστὶ, καὶ εἰ πέφηνε σαρκὶ, αὐτὸν ἐλπίδα ποιήσονται, καὶ καθά φησιν ὁ Ψάλλων· « Ἐν τῷ ὀνόματι αὐτοῦ ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν. » Κεκλήμεθα γὰρ Χριστιανοὶ, καὶ ἐπ' αὐτῷ πᾶσαν ἔχομεν ἐλπίδα.

VERS. 5-7. *Sic dicit Dominus Deus, qui fecit cœlum et fixit illud, qui firmavit terram et quæ in ea sunt, et qui dedit spirationem populo qui in ea est, et spiritum calcantibus eam: Ego Dominus Deus vocavi te*

Οὕτως λέγει Κύριος ὁ ποιήσας τὸν οὐρανὸν, καὶ πήξας αὐτὸν, ὁ στερεώσας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· Ἐγὼ Κύ-

[a] Joan. XII, 31, 32. [b] Psal. CXVIII, 142. [c] Psal. LXXXVIII, 17.

ριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε. Καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει βαθεῖ.

Ψευδοπροφῆται, καὶ ψευδομάντεις πλεῖστοι μὲν ὅσοι γεγόνασι κατὰ καιροὺς ἐν τῷ Ἰσραήλ. Συμβέβηκε δὲ ταύτης ἕνεκα τῆς αἰτίας ἀπιστεῖσθαι καὶ αὐτοὺς τοὺς ἀπεσταλμένους παρὰ Θεοῦ, καὶ προφήτας ἀληθῶς, καὶ ἐν Πνεύματι ἁγίῳ λαλεῖν εἰωθότας. Καὶ τό γε παράδοξον, ὅτι καὶ αὐτὸς ἐλοιδορήθη Χριστὸς, ὡς οὔτε ἀπεσταλμένος παρὰ Θεοῦ, οὔτε μὴν ἀληθῶς ἅγιός τε ὑπάρχων, καὶ ἐν ὑπεροχῇ θεότητος ἀποτελῶν τὰ παράδοξα. Καὶ γοῦν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, καίτοι τερατουργοῦντα βλέποντες, B ποτὲ μὲν ἔφασκον αὐτὸν ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλειν τὰ δαιμόνια· ποτὲ δὲ πάλιν ἀλλήλοις προσελάλουν· Εἰ ἦν οὗτος παρὰ Θεοῦ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον. Καὶ πρός γε ταῦτα, Χριστὸς ἐπειρᾶτο πλειστάκις ἀπολογεῖσθαι καὶ πληροφορεῖν ὅτι μὴ κατ' ἐκείνους ἐστὶ τοὺς ἐν ψιλῇ καὶ μόνῃ γεγονότας δοκήσει τοῦ ἀπεστάλθαι παρὰ Θεοῦ. Ἔφη γοῦν· « Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ. Ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι. » Καὶ πάλιν· « Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου. » Ἵνα τοίνυν καὶ αὐτὸν ἔχῃ μαρτυροῦντα τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα, καὶ διὰ προφητῶν ἁγίων χρησίμως τε καὶ ἀναγκαίως ἔφησεν, ὅτι Ἐγὼ Κύριος ὁ Θεὸς ὁ διαπήξας τὸν οὐρανὸν, ὁ τὴν γῆν ἑδραιοτάτην καὶ ἀκλόνητον ἀποφήνας, ὁ ζῶν καὶ ζωοποιὸς, C καὶ πνοὴν ἅπασι διδούς. Ἐγὼ ὁ τῶν ὅλων Θεὸς καὶ Κύριος ἐκάλεσά σε ἐν δικαιοσύνῃ. Οὐ γὰρ αὐτόμολος, φησὶ, κατ' ἐκείνους γέγονε τοὺς ψευδοπροφήτας, τοὺς ἀπὸ καρδίας αὐτῶν λαλοῦντας, καὶ οὐκ ἀπὸ στόματος Κυρίου· ἀλλ' ἐγώ σε κέκληκα, τοῦτ' ἔστι, κατ' εὐδοκίαν ἐμὴν ἐν δικαιοσύνῃ παρήγαγον. Κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε· ἀντὶ τοῦ, Συνεργάσομαί σοι, καὶ ἀποφανῶ πάντα ἰσχύοντα. Καὶ οὔτι πού φαμεν ὡς ἀσθενῆ καὶ ἀναλκῆ οἶδεν ὄντα τὸν Υἱὸν ὁ Πατὴρ, οὔτε μὴν ἐπικουρίας ἐνδεᾶ. Αὐτὸς γάρ ἐστιν ὁ τῶν δυνάμεων Κύριος, καὶ ἡ τοῦ Πατρὸς ἀνίκητος δεξιὰ, δι' ἧς τὰ πάντα παρήχθη πρὸς ὕπαρξιν. Ποιεῖται δὲ πάλιν τοὺς λόγους, οὓς πρὸς ἕνα τῶν καθ' ἡμᾶς, καθ' ὃ πέφηνεν ἄνθρωπος, καὶ δοκεῖ πως διὰ D τὸ ἀνθρώπινον δυναμοῦσθαι παρὰ τοῦ Πατρός. Οὕτω γὰρ αὐτὸν καὶ ἀναστῆσαι λέγεται, δοῦναί τε δόξαν αὐτῷ, καὶ ἀποφῆναι κρείττονα τῆς τῶν φονευόντων ἐπιβουλῆς. Εἰ γὰρ τεταπείνωκεν ἑαυτὸν, καὶ καθῆκεν ἑκὼν εἰς κένωσιν, δεῖ δὴ πάντως καὶ τὸ τῆς κενώσεως ὁρᾶσθαι μέτρον, καὶ δι' αὐτῶν τῶν πραγμάτων νοεῖσθαι τὸ ταπεινόν. Ὅρα δὲ ὡς περὶ ἀνθρώπου λέγων τὸ, Κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, εὐθὺς διαδείκνυσι Θεὸν ὄντα φύσει καὶ Υἱὸν ἀληθῶς, καὶ φῶς ἐκ φωτός. Δέδωκα γάρ σε, φησὶν, εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν. Ἀφίκετο γὰρ ὁ μονογενὴς τοῦ

A *in justitia, et apprehendam manum tuam, et corroborabo te. Et dedi te in fœdus generi meo, in lucem gentium, ut aperires oculos cæcorum, ut educeres e vinculis vinctos, et e domo custodiæ sedentes in tenebris.*

Pseudoprophetæ et falsi vates complures erant in Israel diversis temporibus. **538** Hanc ob rem accidit, ut non crederentur hi, qui a Deo missi sunt, et qui vere prophetæ erant, quique in Spiritu sancto loquebantur. Et, quod incredibile est, ipse Christus dicteriis exagitatus est, quasi non missus a Deo, quasi non esset vere sanctus, quasi illa mirabilia facinora, divinitatis prærogativa non perfecisset. Nimirum Judæorum principes, etsi prodigia viderent, tamen nunc illum in Beelzebul principe dæmoniorum ejicere dæmonia jactabant, nunc rursus inter se loquebantur: Si esset hic homo a Deo, non solvisset Sabbatum. Contra hæc sæpenumero conatus est se defendere Christus, et probare se non esse, quales illi fuerunt, qui solummodo a Deo missi sola opinione videbantur. Dixit itaque: « Fur non venit, nisi ut furetur, et mactet, et perdat. Ego veni ut vitam habeant [1]. » Et iterum: « Ego veni in nomine Patris mei [2]. » Ut igitur haberet cœlestem ipsum Patrem sibi testem, etiam per sanctos prophetas utiliter et necessario dixit: Ego Dominus Deus, qui fixi cœlum, qui terram stabilissimam et inconcussam feci, qui vivo, et vivifico, et spirationem do omnibus. Ego universorum Dominus ac Deus vocavi te in justitia. Non enim, inquit, sponte sua accessit, quemadmodum illi pseudoprophetæ, qui ex corde suo loquuntur, et non de ore Domini: sed ego te vocavi, id est, Ex mera benevolentia, et beneplacito meo, in justitia adduxi. Apprehendam manum tuam, et corroborabo te, pro, Adjutor ero tibi, et te reddam omnipotentem. Nec dicimus hæc, quasi Pater Filium infirmum et imbecillum esse noverit, et auxilio destitutum. Is est enim Dominus exercituum, et immota Patris dextera: qua omnia in ortum perducta sunt. Sed verba facit iterum, quasi ad aliquem nostræ conditionis, in quantum homo apparuit, et videtur quodammodo propter humanitatem a Patre roborari. Sic enim illum suscitasse dicitur, et gloriam ei tribuisse, et occisorum insidiis fortiorem reddidisse. Si enim humiliaverit seipsum, et ad hanc exinanitionem volens se dimiserit: oportet plane et exinanitionis modum ac mensuram apparere, et ex ipsis factis humilitatem intelligi. Vide autem quomodo istuc quasi de homine dicat: Apprehendam manum tuam et corroborabo te: et mox illum ostendit Deum esse natura, et **539** Filium vere, et lumen de lumine. Dedi enim te, inquit, in fœdus generis, in lucem gentium, ut aperires oculos cæcorum. Venit etenim unigenitum Dei Verbum in hunc mundum cum carne, et sui generis, id est, sanguinis Israelitici hominibus (ex his enim apparuit secundum

[1] Joan. x, 10. [2] ibid.

carnem natus ex muliere) novum dedit fœdus, olim voce prophetarum prænuntiatum. Factus est etiam gentibus lux: divinum quoque est et istuc. Etenim legislatorem, et irritam reddere sapientissimi Moysis umbram, et adjicere porro nova antiquis divinissima potestate, et illuminare posse eos qui versantur in tenebris, et oculos cæcorum aperire (affulsit enim gentibus divina et cœlestis lux), quid? nonne manifesto est indicio et argumento, eum et esse Deum et ex Deo secundum naturam? Quod autem spiritibus in inferno prædicatum abierit, et detentis in domo custodiæ apparuerit Christus, et omnes vinculis liberaverit, et necessitate, et pœna, et supplicio, porro pergit ostendere, cum ait, eum educere e vinculis vinctos, et e domo custodiæ sedentes in tenebris.

Vers. 8, 9. *Ego Dominus Deus tuus, hoc meum est nomen. Gloriam meam alteri non dabo, nec virtutes meas sculptilibus. Quæ a principio ecce venerunt, et nova, quæ ego annuntiabo, et antequam annuntientur, indicata sunt vobis.*

Proprie enim et vere et solus tum est, tum dicitur a nobis universorum opifex. Et sicuti Paulus sapientissimus inquit: « Etiamsi multi sunt dii et domini, et in cœlo et in terra: at nobis unus Deus ac Pater, ex quo omnia, et nos ex ipso: et unus Dominus Jesus Christus, per quem omnia, et per ipsum nos [7]. » Quoniam autem magnarum rerum et mirabilium effectorem se nobis induxit: nec idolis inanimis, nec alteri creaturæ ulli suam gloriam daturum se ait aut divinas virtutes, sed sibi ipsi soli servasse. Nec enim consentaneum est, divinitatis gloriam ulli alii præterea substantiæ ratione convenire, nisi ipsi naturæ soli et ineffabili, et quæ est supra omnia. Cum autem dicat nulli se gloriam suam daturum, Filio eam donavit. Gloria enim evectus est, quemadmodum sane et Pater qui adoratur in cœlo et in terra. Quomodo ergo dedit ei qui quasi alius ab ipso non sit, **540** ratione æqualis substantiæ, licet in hypostasin propriam uterque dividatur? Una siquidem summæ divinitatis natura, in tribus subsistentiis propriis, et intelligitur et adoratur, ab his qui recte sentiunt. Cum dicit: Quæ a principio, ecce venerunt, et nova quæ ego annuntiabo, et antequam annuntientur, indicata sunt nobis: non vult ut a nobis sermoni Servatoris nulla in re credatur. Quemadmodum enim, inquit, ad finem adducta sunt quæ ab initio dicta sunt de adventu ipsius: sic evenient vere, etiam quæ dicit nova, et antequam manifesta fiant, sunt indicata. Quænam illa? Promisit enim nobis Dominus noster Jesus Christus vitam futuri sæculi, quæ est scilicet in incorruptione, sanctificatione, justitia, regnum cœlorum: spiritualium bonorum gloriosam participationem, probitatis fructus, pietatis præmia, charitatis erga

[7] I Cor. VIII, 5, 6.

A Θεοῦ Λόγος εἰς τόνδε τὸν κόσμον μετὰ σαρκὸς, καὶ τοῖς ἐκ γένους, τοῦτ' ἔστι, ἐξ αἵματος Ἰσραήλ· ἐξ αὐτῶν γὰρ πέφηνεν τὸ κατὰ σάρκα γεννηθεὶς ἐκ γυναικός· τὴν καινὴν δέδωκε διαθήκην, τὴν πάλαι προηγγελμένην διὰ φωνῆς προφητῶν. Γέγονε δὲ καὶ τοῖς ἔθνεσι φῶς. Θεοπρεπὲς δὲ καὶ τοῦτο. Τὸ γάρ τοι νομοθέτην, καὶ ἄπρακτον ἀποφῆναι τὴν τοῦ πανσόφου Μωσέως σκιὰν, προσεπιθεῖναι δὲ τοῖς ἀρχαίοις τὰ νέα θεοπρεπεστάτῃ ἐξουσίᾳ, τὸ δὲ δὴ καὶ φωτίζειν τοὺς ἐν σκότῳ δύνασθαι, καὶ τυφλῶν ἀνοίγειν ὀφθαλμούς· ἐνήστραψε γὰρ τοῖς ἔθνεσι τὸ θεῖόν τε καὶ οὐράνιον φῶς· πῶς οὐκ ἂν ἔχοι σαφῆ τὴν ἀπόδειξιν, τοῦ, καὶ ὅτι Θεὸς, καὶ ἐκ Θεοῦ κατὰ φύσιν ἐστίν; Ὅτι δὲ καὶ τοῖς ἐν ᾅδου πνεύμασι πορευθεὶς ἐκήρυξε, καὶ τοῖς καθειργμένοις ἐν οἴκῳ φυλακῆς ἐπεφάνη B Χριστὸς, καὶ πάντας ἀνῆκε δεσμῶν, καὶ ἀνάγκης, καὶ ποινῆς, καὶ δίκης, προαπέφηνεν εἰπὼν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει.

Ἐγὼ Κύριος ὁ Θεὸς, τοῦτό μού ἐστιν ὄνομα. Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. Τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινὰ ἃ ἐγὼ ἀναγγελῶ. Καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν.

Κυρίως γὰρ καὶ ἀληθῶς καὶ μόνος Θεὸς ἂν εἴη, καὶ λέγοιτο πρὸς ἡμῶν ὁ τῶν ὅλων Δημιουργός. Καὶ καθά φησιν ὁ πάνσοφος Παῦλος· « Κἂν εἰ πολλοί τινες εἶεν θεοὶ καὶ κύριοι ἔν τε οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· ἀλλ' ἡμῖν εἷς Θεὸς καὶ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς ἐξ αὐτοῦ· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. » Ἐπειδὴ δὲ μεγάλων ἡμῖν καὶ τεθαυμασμένων πραγμάτων ἀποτελεστὴν ἑαυτὸν εἰσκεκόμικεν, οὐ τοῖς ἀψύχοις εἰ- C δώλοις, οὔτε μὴν ἑτέρῳ τινὶ τῶν κτισμάτων τὴν ἑαυτοῦ δόξαν χαριεῖσθαί φησιν, ἤτοι τὰς θεοπρεπεῖς ἀρετὰς, ἀλλ' ἑαυτῷ τηρῆσαι μόνῳ. Καὶ γὰρ ἦν ἀκόλουθον τὴν τῆς θεότητος δόξαν, οὐδενὶ τῶν ἄλλων καὶ παρ' αὐτῶν οὐσιωδῶς ἑτέρῳ ἐμπρέπειν, ἀλλ' αὐτῇ καὶ μόνῃ τῇ ἀῤῥήτῳ καὶ ὑπὲρ πάντα φύσει. Οὐδενὶ δὲ λέγων τὴν ἑαυτοῦ χαριεῖσθαι δόξαν, δέδωκεν αὐτὴν τῷ Υἱῷ· δεδόξασται γὰρ, καθάπερ ἀμέλει καὶ ὁ Πατὴρ προσκυνούμενος ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς. Πῶς οὖν ἄρα δέδωκεν ὡς οὐκ ὄντι παρ' αὐτῶν ἑτέρῳ, κατά γε τὸν τῆς ὁμοουσιότητος λόγον, κἂν εἰς ὑπόστασιν ἰδικὴν ἑκάτερος ἀπετέμνετο; Μία γὰρ ἡ τῆς ἀνωτάτω θεότητος φύσις ἐν τρισὶν ὑποστάσεσιν ἰδικαῖς, νοουμένη τε, καὶ προσκυνουμένη παρὰ τῶν ὀρθὰ φρονεῖν εἰωθότων. Λέγων· Τὰ δὲ ἀπ' D ἀρχῆς, ἰδοὺ ἥκασι. Καὶ καινὰ, ἃ ἐγὼ ἀναγγελῶ, καὶ πρὸ τοῦ ἀναγγεῖλαι, ἐδηλώθη ἡμῖν· οὐκ ἐφίησι πρὸς ἡμῶν τὸν τοῦ Σωτῆρος κατά τι γοῦν ὅλως ἀπιστεῖσθαι λόγον. Ὥσπερ γὰρ, φησὶν, εἰς πέρας ἤχθη τὰ ἀπ' ἀρχῆς εἰρημένα περὶ τῆς ἐπιδημίας αὐτοῦ, οὕτως ἐκβήσεται πρὸς τὴν ἀλήθειαν· καὶ ἅπερ ἂν εἴπῃ καινὰ, πρὶν ἐμφανῆ γενέσθαι δηλωθῇ. Ποῖα δὲ ταῦτά ἐστιν; Ἐπηγγείλατο γὰρ ἡμῖν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὴν εἰς αἰῶνα τὸν μέλλοντα ζωὴν, δηλονότι τὴν ἐν ἀφθαρσίᾳ, καὶ ἁγιασμῷ, καὶ δικαιο-

σύνῃ, τὴν τῶν οὐρανῶν βασιλείαν· τῶν πνευματικῶν ἀγαθῶν τὴν εὐκλεᾶ μέθεξιν, τοὺς τῆς ἐπιεικείας καρποὺς, τῆς εὐσεβείας τὰ γέρα, τῆς εἰς αὐτὸν ἀγάπης τὸν στέφανον· ὧν καὶ ἡμᾶς γένοιτο τυχεῖν δι' αὐτοῦ χάριτος καὶ φιλανθρωπίας· δι' αὐτοῦ τε καὶ σὺν αὐτῷ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

A ipsum coronam. Quæ utinam consequamur, gratia ejus et benignitate! Et per ipsum et cum ipso sit Deo ac Patri gloria, cum sancto Spiritu in æternitatem. Amen.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

541 LIBER QUARTUS.

ΛΟΓΟΣ Α'.

Ἐπέφανεν ἐν ἡμῖν Θεὸς ὢν Κύριος, κατὰ τὰς Γραφὰς, καὶ σεσαγήνευται δι' αὐτοῦ πρὸς τὴν διὰ πίστεως χάριν, ἡ τῶν πλανωμένων ἀγέλη. Προσδοκία γὰρ ἦν ἐθνῶν, καὶ τοὺς ἐν ὁμίχλῃ καὶ σκότῳ πρὸς τὸ τῆς ἀληθείας ἐκάλεσε φῶς ὁ Θεὸς καὶ Πατὴρ δι' αὐτοῦ. Καὶ τοῦτο ἡμῖν κατέστησεν ἐναργὲς διὰ τῶν ὀπίσω, βραχὺ λέγων· « Ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότῳ βαθεῖ. » Τέθειται γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς εἰς διαθήκην μὲν τοῦ κατὰ σάρκα γένους, φημὶ C δὴ τῶν ἐξ Ἰσραὴλ, οἷς καὶ πάλαι Θεὸς ἐπηγγέλλετο δι' ἑνὸς προφήτου λέγων· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν. » Μωσῆς μὲν γὰρ ὁ θεσπέσιος, σκιᾶς καὶ τύπου διάκονος ἦν, ἐν μέτροις ὑπάρχων τοῖς ἱκετικοῖς. Χριστός γε μὴν ὡς Υἱὸς καὶ Κύριος διαθήκης καινῆς γέγονε βραβευτής. Καινῆς δέ φημι, τῆς εἰς καινότητα ζωῆς ἁγίας ἀναμορφούσης τὸν ἄνθρωπον, καὶ διὰ πολιτείας εὐαγγελικῆς εὐδόκιμον, καὶ ἀληθινὸν ἀποφαινούσης προσκυνητήν· « Πνεῦμα γὰρ, φησὶν, ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. » Οὐκοῦν τέθειται εἰς διαθήκην γένους, καὶ εἰς φῶς ἐθνῶν, τοῦ ἀνοῖξαι ὀφθαλμοὺς D τυφλῶν, καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους. Ὁ μὲν γὰρ ἀρχέκακος Σατανᾶς κατεσκότισε τῶν ἐθνῶν τὰς καρδίας· « Ἐματαιώθησαν γὰρ ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. » Τὸ δέ γε φῶς τὸ ἀληθινὸν, τοῦτ' ἔστι, Χριστὸς, ὡς νοητὸς ἡμῖν ἀνέτειλεν ἑωσφόρος, καὶ ὡς τῆς δικαιοσύνης ἥλιος, τὴν τῆς ἀληθοῦς θεογνωσίας ἁπλώσας ἀκτῖνα τὸν ἐκ διαβολικῆς ἀπά-

B

ORATIO I.

Apparuit nobis Deus Dominus, ut in Scripturis habetur: et per ipsum captus est ac irretitus ad gratiam per fidem grex errantium. Exspectatio enim erat gentium, et per ipsum Deus ac Pater in tenebris et caligine mentis et intelligentiæ versantes ad veritatis lucem evocavit. Idque nobis verbis superioribus perspicuum reddidit, paucis dicens: « Ego Dominus Deus vocavi te in justitia, et apprehendam manum tuam, et corroborabo te, et dedi te in fœdus generis, in lucem gentium, ut oculos cæcorum aperires, vinctos e vinculis educeres et sedentes in tenebris profundis e domo custodiæ [8]. » Positus enim est Dominus noster Jesus Christus a Deo et Patre in fœdus sui generis, secundum carnem Israelitarum, inquam: quibus etiam per quemdam e prophetis iterum Deus adpromisit, cum inquit: « Ecce dies veniunt, dicit Dominus, et 542 consummabo super domum Israelis, et super domum Juda testamentum novum, non juxta fœdus, quod pepigi cum patribus eorum [9]. » Moyses namque divinus umbræ et typi minister erat, supplicis mensuram ac personam gerens: Christus vero, ut Filius ac Dominus, testamenti novi factus est administrator. Novi, inquam, quod ad novitatem sanctæ vitæ revocat, quod hominem reformat, et quod per evangelicam conversationem probatum et verum cultorem efficit. « Deus enim, inquit, est spiritus, et qui eum adorant, in spiritu et veritate oportet adorare [10]. » Itaque positus est in testamentum generis, et in lumen gentium, ut aperiret oculos cæcorum, et educeret vinctos e vinculis. Nam princeps ac caput malorum Satanas cordibus gentium offudit tenebras. « Evanuerunt enim in cogitationibus suis, et cum se profiterentur esse sapientes, infatuati sunt, et gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis, et volucrum, et quadrupedum, et reptilium, commutarunt [11]. » Vera autem lux, id est Christus, velut intelligibilis lucifer nobis exortus est, et velut sol justitiæ: veræ ac divinæ cognitio-

[8] Isa. XLII, 6, 7. [9] Jer. XXXI, 31, 32. [10] Joan. IV, 24. [11] Rom. I, 21-23.

nis radio expanso, tenebras diabolici erroris, quæ terræ incolas obruerunt, dissipavit: suorum delictorum catenis inevitabilibus captos e vinculis liberavit. Quod ergo hi quondam creaturam præ Creatore coluerunt, qui tenebras mentis circumtulerunt, qui operibus manuum suarum persuasi sunt se prosternere, qui procul a Deo abfuerunt, per fidem quæ est in Christo vocandi essent, et universorum Regem atque Dominum agnituri, pulcherrime oratio prophetica declarat. Præcipit enim his qui per Christum misericordiam consecuti sunt, ut ipsum gloriose prædicarent: itaque inquit:

Vers. 10. *Cantate Domino canticum novum; principatus ejus, celebrate nomen ejus ab extremo terræ: descendentes in mare, et navigantes in eo, insulæ, et incolentes eas.*

Novus est hymnus seu canticum, novitati rerum congruens. « Si quis enim in Christo est, nova creatura est, sicuti scriptum est: Et vetera præterierunt, et facta sunt omnia nova [11]. » Redempti enim sunt ex Ægyptiorum tyrannide, qui ex sanguine Israelitico fuerunt, sapientissimo Moyse tum sequestro: erepti sunt ex laterum labore, et e vanis
543 sudoribus in studiis terrenis, e sævitia præfectorum operis, e dominatoris inhumanitate: transierunt per medium mare, comederunt in deserto manna, biberunt aquam ex petra, transiverunt Jordanem sicco pede, introducti sunt in terram promissionis. Sed hæc apud nos omnia nova sunt, et antiquis incomparabiliter meliora. Non enim carnali, sed spirituali servitute liberati sumus, et pro rerum terrenarum studiis, erepti sumus ex carnalis cupiditatis inquinationibus: nec operum exactores effugimus Ægyptios, nec tyrannum impium quidem, et inclementem, hominem tamen sicut et nos: at potius malos et impuros dæmonas impellentes ad peccandum, et hujus gregis præsidem, id est, Satanam. Transivimus, tanquam salum quoddam, præsentis vitæ fluctus, et in ea turbam ac tumultuationes vanas. Manna mentis et intelligentiæ, panem cœli qui vitam dat mundo, edimus: aquam ex petra, Christi rivis, intelligibilibus scilicet, quasi affluentes et deliciantes bibimus. Jordanem, sancto baptismate dignati, transivimus. In terram promissam et dignam sanctis intravimus, cujus etiam Servator ipse meminit, dicens: « Beati mites, quia ipsi terram hæreditario possidebunt [12]. » Itaque ob nova facinora, novum hymnum cantari oportuit a principatu ejus: id est, ab his qui subsunt et parent ei: et hymnum cantari oportuit, vel eo dignam glorificationem, non in sola Judæorum regione, sed a terminis terræ scilicet usque ad terminos, id est, per universorum orbem terrarum. Olim enim erat in Judæa notus Deus, et in solo Israel magnum nomen ejus. Postquam autem vocati sumus per Christum ad agnitionem veritatis; plenum factum est cœlum et terra gloria ipsius. Sic enim et Psaltes ait:

[11] II Cor. v, 17. [12] Matth. v, 4.

A της ἐπισκήψαντα τοῖς ἐπὶ τῆς γῆς κατεσκέδασε σκότον· ἠλευθέρωσεν ἐκ δεσμῶν τοὺς ταῖς τῶν οἰκείων πλημμελημάτων σειραῖς ἐν ἀφύκτοις εἰλημμένους. Ὅτι τοίνυν οἱ πάλαι τῇ κτίσει παρὰ τὸν Κτίστην λατρεύοντες, οἱ σκότον ἔχοντες εἰς νοῦν, οἱ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν ἀναπεπεισμένοι προσκυνεῖν, οἱ μακρὰν ὄντες Θεοῦ, κεκλήσονται διὰ πίστεως τῆς ἐν Χριστῷ, ἐπιγνώσονταί τε τὸν τῶν ἁπάντων Βασιλέα καὶ Κύριον, διαδείκνυσιν εὖ μάλα τῆς προφητείας ὁ λόγος. Προστάττει γὰρ τοῖς ἠλεημένοις διὰ Θεοῦ δοξολογεῖν αὐτὸν, οὕτω τέ φησιν·

Ὑμνήσατε τῷ Κυρίῳ ὕμνον καινὸν, ἡ ἀρχὴ αὐτοῦ, δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς· οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν, καὶ πλέοντες αὐτήν· αἱ νῆσοι, καὶ οἱ κατοικοῦντες αὐτάς.

B Καινὸς ὁ ὕμνος, καὶ τῇ τῶν πραγμάτων καινότητι πρέπων. « Εἴ τις γὰρ ἐν Χριστῷ, καινὴ κτίσις, κατὰ τὸ γεγραμμένον, καὶ τὰ ἀρχαῖα παρῆλθε, γέγονε δὲ τὰ πάντα καινά. » Λελύτρωνται μὲν γὰρ ἐκ τῆς Αἰγυπτίων πλεονεξίας οἱ ἐξ αἵματος Ἰσραὴλ, μεσιτεύοντος τὸ τηνικάδε τοῦ πανσόφου Μωσέως, καὶ πλινθείας ἐξῄρηνται, καὶ ἱδρώτων κενῶν τῶν ἐπὶ γηΐνοις σπουδάσμασιν ἔργον· κηδεστῶν ἀγριότητος, καὶ τῆς τοῦ κρατοῦντος ἀπανθρωπίας· διεδιβάσθησαν διὰ μέσης θαλάσσης, ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα, ἔπιον ὕδωρ ἐκ πέτρας, ἀβρόχῳ ποδὶ διῆλθον τὸν Ἰορδάνην, εἰσεκομίσθησαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Τάδε ἐφ' ἡμῖν πάντα καινὰ, καὶ τῶν ἀρχαίων ἀσυγκρίτως ἐν ἀμείνοσιν. Οὐ γὰρ σαρκικῆς, μᾶλλον
C δὲ πνευματικῆς δουλείας ἐξῃρήμεθα, καὶ ἀντὶ τῶν περὶ γῆν σπουδασμάτων τῶν ἐκ φιλοσαρκίας ἀπηλλάγμεθα μολυσμῶν· οὐκ ἐργοδιώκτας ἐφύγομεν Αἰγυπτίους, οὐδὲ τύραννον μὲν ἀσεβῆ, καὶ ἀνήμερον, πλὴν ἄνθρωπον καθ' ἡμᾶς, τοὺς συνωθοῦντας δὲ μᾶλλον εἰς ἁμαρτίαν πονηροὺς καὶ ἀκαθάρτους δαίμονας, καὶ τὸν ταῖς τούτων ἀγέλαις ἐφεστηκότα, τοῦτ' ἔστι, Σατανᾶν. Διέβημεν καθάπερ τινὰ θάλατταν, τοῦ παρόντος βίου τὸν κλύδωνα, καὶ τὴν ἐν αὐτῷ τύρβην, καὶ εἰκαίους ὄντως περισπασμούς. Ἐφάγομεν τὸ μάννα τὸ νοητὸν, τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, τὸν ζωὴν διδόντα τῷ κόσμῳ· ἐπίομεν ὕδωρ ἐκ πέτρας, τοῖς Χριστοῦ νάμασιν ἐντρυφήσαντες, νοητοῖς δὲ δηλονότι. Διέβημεν τὸν Ἰορδάνην, ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος, εἰσήλθομεν εἰς τὴν
D τοῖς ἁγίοις ἐπηγγελμένην καὶ πρέπουσαν γῆν, ἧς καὶ αὐτὸς ὁ Σωτὴρ διαμνημονεύει, λέγων· « Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. » Οὐκοῦν ἐπὶ καινοῖς κατορθώμασι, καινὸν ἔδει γενέσθαι τὸν ὕμνον παρὰ τῆς ἀρχῆς αὐτοῦ· τοῦτ' ἔστι, παρὰ τῶν ὑπ' αὐτῷ γεγανότων καὶ ἀρχομένων ὑπ' αὐτοῦ· γενέσθαι δὲ τὸν ὕμνον, ἤτοι τὴν αὐτῷ πρέπουσαν δοξολογίαν, οὐ κατά γε μόνην τὴν τῶν Ἰουδαίων χώραν, ἀλλὰ γὰρ ἀπ' ἄκρου τῆς γῆς εἰς ἄκρον δηλονότι, τοῦτ' ἔστιν, ἅπασαν τὴν ὑπ' οὐρανόν. Πάλαι μὲν γὰρ ἦν ἐν τῇ Ἰουδαίᾳ γνωστὸς ὁ Θεὸς, καὶ ἐν μόνῳ τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. Ἐπειδὴ

δὲ κεκλήμεθα διὰ Χριστοῦ πρὸς ἐπίγνωσιν ἀληθείας, πλήρης γέγονεν ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. Οὕτω γάρ που καὶ ὁ Ψάλλων φησίν, ὅτι « Πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. » Τίνες οὖν οἱ δοξολογεῖσθαι τὸ ὄνομα αὐτοῦ προστάττοντες ἀπ' ἄκρου τῆς γῆς, οἱ τοὺς ᾠδοὺς ἱστάντες αὐτῷ, καὶ χοροστατεῖν ἀναπείθοντες, καὶ εἰς θίασον συγκαλοῦντες πνευματικόν, οἱ καταβαίνοντες εἰς θάλασσαν, καὶ πλέοντες αὐτήν, αἱ νῆσοι, καὶ οἱ κατοικοῦντες αὐτάς; Διαμέμνηται δέ, καθάπερ ἐγῷμαι, τῶν ἁγίων ἀποστόλων. Οὐ γάρ τοι κατὰ μόνην τὴν Ἰουδαίαν ἐκήρυττον τὸν Ἰησοῦν, καὶ τὴν δι' αὐτοῦ χάριν, ἀλλὰ γὰρ καὶ θάλασσαν διαπεραιούμενοι ταῖς τῶν ἐθνῶν εὐηγγελίζοντο χώραις. Ἀφίκοντο γοῦν καὶ μέχρι τοῦ Ἰλλυρικοῦ, καὶ ἐπέκεινα, ὥστε καὶ τὰς ἐν τῇ θαλάσσῃ νήσους μὴ ἀνηκόους ἀπομεῖναι τῶν ἱερῶν κηρυγμάτων, μήτε μὴν τοὺς οἰκοῦντας αὐτάς. Καὶ ἱστορικῶς μὲν ὧδι τοῖς εἰρημένοις προσβαλεῖς. Συνήσεις δέ, εἰ δοκεῖ, καὶ καθ' ἕτερον τρόπον τῆς προφητείας τοὺς λόγους. Θαλάσσῃ μὲν γὰρ ἡ θεόπνευστος Γραφὴ παρεικάζει πολλάκις τόνδε τὸν κόσμον, ἤτοι τὸν βίον τὸν ἀνθρώπινον, κατά γε τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· « Αὕτη ἡ θάλασσα ἡ μεγάλη, καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων. » Ἐοικέναι δὲ θαλάσσῃ τὸν καθ' ἡμᾶς ἰσχυρίζεται βίον, δι' αὐτὸ τάχα που τὸ ἀστάθμητον τῶν ἐν αὐτῇ πραγμάτων, καὶ τὸ ἄνω τε, καὶ τὸ κάτω, καὶ τὸ ἐν συγχύσει πολλῇ. Διαπλέουσι δὲ τὴν τοιάνδε θάλασσαν οἱ μὴ βαπτιζόμενοι παρ' αὐτῆς, ἀνανηχόμενοι δὲ ὥσπερ, καὶ περισπασμῶν ἑαυτοὺς ἀπαλλάττοντες κοσμικῶν. Οὗτοι τῆς παρὰ Θεοῦ τυχόντες ἐπικουρίας, καὶ τῶν διὰ Χριστοῦ χαρισμάτων ἀεὶ μεμνημένοι δοξολογοῦσιν αὐτόν, αἵ τε νῆσοι, τοῦτ' ἔστιν, αἱ ἐκκλησίαι μονονουχὶ τῇ νοητῇ διεσωσμέναι θαλάσσῃ, καὶ δεχόμεναι τοὺς χειμαζομένους ὑπὸ πνεύματος πονηροῦ, αὗται δοξολογοῦσι Χριστόν, ἤγουν οἱ κατοικοῦντες αὐτάς. Ἐκκλησίας γὰρ ὅτε φαμέν, ἤγουν ὀνομάζομεν, τοὺς ἐν αὐταῖς ὄντας ἁγίους προσκυνητὰς σημαίνομεν. Ἰστέον γε μὴν κἀκεῖνο· Καλοῦνται γὰρ νῆσοι καὶ ὅσαιπέρ εἰσι κωμῶν ἢ πόλεων ἐν μέσῳ κείμεναι πολλῆς τε καὶ εὐρείας γε μὴν ἐρήμου.

A « Implebitur gloria ejus omnis terra [14]. » Qui sunt ergo qui jubent nomen ejus celebrari ab extremis terræ finibus, qui cantores ei constituunt, qui suadent simul chorum symphoniarum instituere, qui ad festum convocant spirituale? qui descendunt in mare, et in eo navigant, insulæ et eas inhabitantes? Mentionem hic facit, ut ego sentio, sanctorum apostolorum. Non enim per solam Judæam prædicarunt Jesum, et gratiam per ipsum, **544** sed et mare trajicientes, regionibus gentium Evangelium nuntiarunt. Nam ad Illyricum usque et ultra pervenerunt, ut etiam maritimæ insulæ sacras prædicationes audirent, et qui etiam in illis habitarunt. Atque hæc quidem historice dicta sic expendere poteris. Intelliges autem, si placet, alio modo pro-
B pheticos sermones. Mari enim sæpenumero Scriptura divinitus inspirata hunc mundum et vitam humanam comparat, secundum id quod in Psalmis canitur: « Hoc mare magnum et spatiosum, illic reptilia, quorum non est numerus, animalia parva cum magnis [15]. » Similem autem confirmat esse vitam nostram mari, propter rerum in ea inconstantiam, et quod susque deque plurimum misceantur. Hoc mare transfretant, qui in eo non demersi sunt, sed enatant quasi, et se mundi occupationibus extricant: hi divinum auxilium consecuti, et donorum per Christum semper memores, eum celebrant. Insulæ quoque, nimirum Ecclesiæ, quæ intelligibile mare tantum non cingunt, et mali spiritus fluctibus jacC tatos recipiunt, hæ Christum celebrant, nempe qui eas inhabitant. Ecclesias cum enim dicimus seu nominamus, sanctos in illis cultores significamus. Sciendum et illud: Vocantur enim insulæ etiam villæ seu urbes, quæcunque magnæ et latæ in medio solitudinis positæ sunt.

Εὐφράνθητι, ἔρημος, καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις, καὶ οἱ κατοικοῦντες Κηδάρ. Εὐφρανθήσονται οἱ κατοικοῦντες πέτραν, ἀπ' ἄκρων τῶν ὀρέων βοήσουσι. Δώσουσι τῷ Θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀναγγελοῦσιν.

Οἱ μακάριοι προφῆται τοὺς περὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ἐξυφαίνοντες λόγους, τῆς τῶν ἐθνῶν κλήσεως ποιοῦνται μνήμην πλεισταχοῦ. Καὶ γὰρ ἦν, ὡς ἔφην, ἐθνῶν προσδοκία Χριστός. Ἐπαφιᾶσι δὲ τοὺς περὶ τῶν τοιούτων λόγους, οὐχ ἅπασιν ἁπλῶς τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔθνεσι καὶ λαοῖς. Οὐ γὰρ ἦν εἰκὸς ἀναριθμήτου πλήθους ἀναπιμπλάσης τὴν ὑπ' οὐρανὸν ἰσχνοεπεῖν ἑλέσθαι τοσοῦτον, ὡς καὶ ἁπάντων ποιεῖσθαι μνήμην ὀνομαστί τε, καὶ κατὰ γένος, δεχόμενοι δὲ πολλάκις τὰς ὁμόρους μὲν τῇ Ἰουδαίᾳ χώρας, εἰδωλολατρούσας δὲ σφόδρα, εἶτα ταύτας κληθήσεσθαι λέγοντες κατὰ καιρούς, ὡς ἐκ μέρους τὴν τοῦ παντὸς ἐποιοῦντο δήλωσιν. Ὁμόρου

VERS. 11, 12. *Lætare, solitudo, et vici ejus, villæ, et qui inhabitant Cedar. Lætabuntur qui habitant in petra, de summis montibus clamabunt. Dabunt gloriam Deo, virtutes ejus in insulis annuntiabunt.*

D Beati prophetæ, cum sermones de adventu Servatoris nostri contexunt, plerumque mentionem faciunt vocationis gentium. Erat enim, ut dixi, exspectatio gentium Christus. Cæterum de rebus ejusmodi, non omnibus absolute sermones injiciunt, per universum scilicet orbem gentibus et populis. Non enim verisimile erat, cum innumerabilis multitudo orbem terræ impleret, adeo subtiliter et minutim voluisse dicere, ut omnium nominatim et sigillatim facerent mentionem, sed regionibus accolis Judææ sumptis, idololatriæ deditissimis, quin illas vocandas suo tempore **545** dicerent, ex parte totum demonstrabant. Itaque cum esset finitima Judaicæ terræ solitudo

[14] Psal. CIII, 24. [15] Psal. CIII, 25.

lata, ad austrum sita, quam occuparunt Saracenorum et Arabum gentes: dicit eos qui in ea habitant, gratiam et salutem per Christum aliquando consecuturos. Nomina, etiam vicis seu oppidulis, quæ sunt, inquam, in solitudine, sunt villæ, et Cedar: et Petra quæ in Arabia hodieque sita est, et sic nominata. Superstitiosissimi sunt, ut dixi, hi de quibus sermo est, nimirum horum locorum incolæ, et in totum prolapsi sunt in apostasiam et defectionem a Deo, ut qui impuros spiritus coluerunt. Quoniam vero, ut dixi, participes futuri erant vocationis et salutis, quæ est per evangelicam prædicationem et fidem in Christo; hinc et quidem jure optimo, propheta tanquam pulchros pedes habens, evangelizat bona, et tantum non in altum tollit vocem, et inquit: « Lætare, solitudo, et vici ejus, villæ, et qui inhabitant Cedar: lætabuntur qui inhabitant Petram [16]. » Magna hæc est et admiranda Servatoris nostri potentiæ et præstantiæ demonstratio, qui tam dura et præfracta corda tam facile molliverit, persuaseritque ab inveterato errore discedere, et meliora præferre, et se ad veritatem applicare. Quod etiam voce Ezechielis præsignificavit, dicens: « Avellam cor eorum lapideum de carne eorum, et dabo illis cor carneum, id est, tenerum, ut me cognoscant, quia ego sum Dominus [17]. » Quod itaque et hi vocandi essent, ostendit dicens: Lætare, solitudo, et quæ sunt deinceps. Qui autem sint, qui a summitate montium clamant, et qui dant Deo gloriam, et in insulis ejus virtutes deprædicant, operæ pretium est videre. Nihil prohibet, quo minus illi esse intelligantur qui petram inhabitant, præaltam et excelsam regionem atque civitatem, qui vocati sunt, qui non jam hymnos et odas contexunt falso nominatis diis, sed potius Deum qui illuminavit, et ad veritatem pellexit et quasi inescavit, celebrant. Vel qui a summis montibus clamant, dici possunt et sane recte divini discipuli, quibus etiam alibi propheta dicit: « Montem excelsum **546** conscende, qui evangelizas Sion: extolle fortiter vocem tuam, qui evangelizas Jerusalem. Tollite, ne timete [18]. » Prædicabant enim summa fiducia et libertate loquendi, et neminem mortalium latere volebant, sed erant ubivis gentium omnibus conspicui, velut civitas in monte sita, nec sermo eorum abscondite et occulte habitus est, sed summa cum libertate et fiducia, ut modo dicebam. Hoc enim illis Servator etiam ipse præcepit, cum inquit: « Quod dico vobis in tenebris, dicite in luce: et quod in aurem auditis, prædicate in tectis [19]. » Dederunt igitur gloriam Deo, et virtutes ejus in insulis annuntiarunt. Nam sanctorum apostolorum et evangelistarum sermo videtur fuisse gloriæ Servatoris nuntius. Nunc enim de ineffabili ejus deitate verba faciunt, et eximiam virtutem laudibus ferunt, nec eum inter mortales genitos recensent, sed supra omne quod exsistit collocant, et natura eumdem cum Deo et Patre faciunt:

A τοίνυν οὔσης τῇ τῶν Ἰουδαίων γῇ τῆς πλατείας ἐρήμου τῆς κατὰ νότου κειμένης, ἣν δὴ κατενέμοντο τὰ Σαρακηνῶν καὶ Ἀῤῥάβων ἔθνη, τοὺς οἰκοῦντας ἐν αὐτῇ τεύξεσθαί φασι κατὰ καιροὺς τῆς διὰ Χριστοῦ χάριτος, καὶ σωτηρίας. Ὀνόματα δὲ ταῖς κώμαις, ἤτοι ταῖς πολίχναις, ταῖς κατά γέ φημι τὴν ἔρημον, ἐπαύλεις, καὶ Κηδὰρ, καὶ Πέτρα, κατὰ τὴν Ἀῤῥάβων γῆν καὶ εἰς δεῦρο κειμένη, οὕτω τε ὠνομασμένη. Δεισιδαιμονέστατοι δὲ, ὡς ἔφην, οἱ περὶ ὧν ὁ λόγος, ἤγουν οἱ τούτων οἰκήτορες, καὶ ὁλοτρόπως ἐκνενεύκασιν εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ. Λελατρεύκασι γὰρ τοῖς ἀκαθάρτοις πνεύμασιν. Ἐπειδὴ δὲ ἔμελλον, ὡς ἔφην, ἐν μεθέξει γενέσθαι κλήσεώς τε καὶ σωτηρίας τῆς διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων, καὶ πίστεως τῆς ἐν Χριστῷ· ταύτῃτοι καὶ μάλα εἰκότως, ὡς ὡραίους B ἔχων τοὺς πόδας ὁ προφήτης, ἐν τούτοις εὐαγγελίζεται γὰρ ἀγαθὰ, μονονουχὶ καὶ εἰς ὕψος αἴρει τὴν βοὴν, καί φησιν· « Εὐφράνθητι, ἔρημος, καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις, καὶ οἱ κατοικοῦντες Κηδάρ· εὐφρανθήσονται οἱ κατοικοῦντες Πέτραν. » Ἔνδειξις δὲ μεγάλη, καὶ ἀξιάγαστος τῆς τοῦ Σωτῆρος ἡμῶν δυνάμεως, καὶ ὑπεροχῆς τὸ χρῆμά ἐστι, τοῦ τὰς οὕτω σκληρὰς, καὶ ἀνουθετήτους καρδίας, εὐκόλως καταμαλάξαντος, καὶ ἀναπείσαντος μὲν τῆς ἀρχαίας ἀπάτης ἀποφοιτᾷν, ἀνθελέσθαι δὲ τὰ ἀμείνω, καὶ μεθαρμόζεσθαι πρὸς ἀλήθειαν. Καὶ τοῦτο ἡμῖν διὰ φωνῆς Ἰεζεκιὴλ προκαταμεμήνυκε λέγων, ὅτι « Ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην, ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, τοῦτ' ἔστι, τρυφερὰν, τοῦ εἰδέναι αὐτοὺς ἐμὲ, ὅτι ἐγώ εἰμι Κύριος. » C Οὐκοῦν ὅτι κεκλήσονται καὶ αὐτοὶ, κατεσήμαινε λέγων· Εὐφράνθητι, ἔρημος, καὶ τὰ τούτοις ἐφεξῆς. Οἱ δέ γε ἀπ' ἄκρων τῶν ὀρέων βοῶντες, διδόντες τε τῷ Θεῷ δόξαν, καὶ ἐν ταῖς νήσοις ἀναγγέλλοντες τὰς ἀρετὰς αὐτοῦ, τίνες εἶεν ἂν, ἄξιοι ἰδεῖν. Λυπεῖ τοιγαροῦν οὐδὲν, καὶ αὐτοὺς νοεῖσθαι τοὺς κεκλημένους, οἱ Πέτραν οἰκοῦντες, ὑψηλὴν οὕτω καὶ ἠρμένην χώραν τε καὶ πόλιν, οὐκέτι μὲν ὕμνους καὶ ᾠδὰς ὑφαίνουσι τοῖς ψευδωνύμοις θεοῖς, δοξολογοῦσι δὲ μᾶλλον τὸν καταφωτίσαντα Θεὸν, καὶ σαγηνεύσαντα πρὸς ἀλήθειαν. Ἤγουν οἱ ἀπ' ἄκρων τῶν ὀρέων βοῶντες, λέγοιντ' ἂν εἶναι, καὶ μάλα ὀρθῶς, οἱ θεσπέσιοι μαθηταί. Οἷς καὶ ἑτέρωθί πού φησιν ὁ προφήτης· « Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον D τῇ ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ. Ὑψώσατε, μὴ φοβεῖσθε. » Διεκήρυττον γὰρ ἐν παῤῥησίᾳ πολλῇ, καὶ οὐδένα τῶν ὄντων λανθάνειν ἤθελον, ἀλλ' ἦσαν περίοπτοι τοῖς ἁπανταχοῦ, καθὰ πόλις ἐν ὄρει κειμένη· καὶ ὁ λόγος αὐτοῖς οὐκ ἐν παραβύστῳ, καὶ λεληθότως ἦν, ἀλλ' ἐν πολλῇ παῤῥησίᾳ, καθάπερ ἔφην ἀρτίως. Τοῦτο γὰρ αὐτοῖς καὶ αὐτὸς ὁ Σωτὴρ ἐνετέλλετο λέγων· « Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτείᾳ, εἴπατε ἐν τῷ φωτὶ, καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων. » Ἐδίδοσαν τοίνυν τῷ Θεῷ δόξαν, καὶ ἀπήγγελλον αὐτοῦ τὰς ἀρετὰς ἐν ταῖς νήσοις. Ὁ γάρτοι τῶν ἁγίων ἀποστόλων τε καὶ εὐαγγελιστῶν λόγος τῆς τοῦ Σωτῆρος

[16] Isa. XLII, 11. [17] Ezech. II, 19. [18] Isa. XL, 9. [19] Matth. X, 27.

A δόξης ἐξαγγελεὺς ὁρᾶται γεγενημένος. Ποτὲ μὲν γὰρ τοὺς περὶ τῆς ἀῤῥήτου θεότητος αὐτοῦ ποιοῦνται λόγους, καὶ τὴν ὑπερκόσμιον ὑμνοῦσιν ἀρετὴν, οὐκ ἐν γεννητοῖς τιθέντες αὐτὸν, ἀλλ' ἐπέκεινα παντὸς τοῦ κεκλημένου πρὸς ὕπαρξιν, καὶ ἐν ταυτότητι φυσικῇ τῇ πρὸς Θεὸν καὶ Πατέρα· ποτὲ δὲ αὖ διηγοῦνται τὰς ὑπὲρ θαῦμα καὶ λόγον αὐτοῦ θεοσημείας. Τὸ γὰρ ἐγείρειν ἐκ μνημάτων νεκροὺς, καὶ τὸ ὡς ξηρᾷ κεχρῆσθαι θαλάσσῃ, βάσιμον αὐτὴν ἀποφαίνοντα τοῖς ἰδίοις ποσὶ, καὶ τὸ ἀνέμοις ἐπιτιμᾷν, καὶ λόγῳ συντρίβων τὸν Σατανᾶν, θεοπρεπῆ τὴν δόξαν αὐτῷ πραγματεύεται.

Κύριος ὁ Θεὸς τῶν δυνάμεων ἐξελεύσεται, καὶ συντρίψει πόλεμον· ἐπεγερεῖ ζῆλον, καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος· Ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; Ἐκαρτέρησα ὡς ἡ τίκτουσα.

B Πρόεισι καὶ νῦν ὁ λόγος ἐν τάξει πολλῇ, καὶ οὐκ ἀθαύμαστον ἔχει τὴν οἰκονομίαν. Ἔμελλον γὰρ οἱ τῶν τοῦ Σωτῆρος ἡμῶν θεσπισμάτων ἱερουργοὶ, τὰς ἀρετὰς αὐτοῦ διακηρύττειν τοῖς ἁπανταχοῦ, καὶ ἐν παῤῥησίᾳ πολλῇ τοὺς περί γε τούτων αὐτῶν ποιεῖσθαι λόγους. Ἀλλ' ἦν ἀναγκαῖον ἐννοεῖν, ὅτι πάντη τε καὶ πάντως ἀναστήσονται ταῖς οὕτω σεπταῖς αὐτῶν σπουδαῖς τε καὶ προθυμίαις οἱ τῆς ἀληθείας ἐχθροὶ, καὶ τῇ τοῦ Σωτῆρος δόξῃ πολυτρόπως ἐπιβουλεύοντες, ἄνδρες δηλονότι φθόροι τε, καὶ δεισιδαίμονες, καὶ διαβολικῆς σκαιότητος ὄργανα, καὶ τῆς ἐκείνου δυστροπίας ὑπασπισταὶ, ἢ τάχα που σὺν αὐτοῖς καὶ αὐτὰ τῶν δαιμονίων τὰ στίφη, ἅτε δὴ καὶ κατασειομένης αὐτῶν τῆς δόξης, καὶ τῆς ἐκ πλεονεξίας πεπορισμένης ἀρχῆς. Κεκρατήκασι γὰρ ἐξ ἀπάτης C τῆς ὑπ' οὐρανόν. Ὅτι τοίνυν ἀνάλωτοι γενήσονται τοῖς ἐχθροῖς, περιέσται δ' αὐτῶν οὐδεὶς Θεοῦ συνασπίζοντος, διαδείκνυσιν ὁ προφήτης ἐν τούτοις, λέγων, ὅτι Κύριος τῶν δυνάμεων ἐξελεύσεται, καὶ συντρίψει πόλεμον, καὶ τὸ, ἐξελεύσεται, φησὶν, ὡς ἐπί τινος τῶν ἐπὶ γῆς βασιλέων ταῖς τῶν πολεμίων φάλαγξιν ἀφορήτως ἐμπίπτοντος ὁμοῦ ταῖς ὑπὸ σκῆπτρα στρατιαῖς. Ὅτι δὲ περιέσται πάντως ὁ τῶν δυνάμεων Κύριος, ἐπέφηνεν, εἰπὼν, ὅτι συντρίψει πόλεμον. Οὐ γὰρ εὐάντητός τισιν ἡ παρὰ Θεοῦ δύναμις, μᾶλλον δὲ οὐδενὶ τῶν ὄντων οἰστὴ, κατεξανισταμένη, καὶ ἐμπίπτουσα, κἂν δυνάμεις ἐννοῶμεν πονηρὰς, κἂν αὐτὸν τὸν ἀποστάτην καὶ ἀλητήριον Σατανᾶν, κἂν ἐπιγείους τινὰς, οἷς ἀντ' ἐκείνων μέλοι· D ἀλλ' οὖν ἔσονται ληπτοὶ, καὶ τοῦτο ἀπονητί γε μὴν καὶ ἀκονιτί. « Τὴν χεῖρα γὰρ τὴν ὑψηλὴν τίς ἀποστρέψει, » κατὰ τὸ γεγραμμένον. Ὅτι τοίνυν τοῖς ἀνθισταμένοις τῷ χορῷ τῶν ἁγίων ἀποστόλων, οὐ πρὸς μόνους ἁγίους ἀγγέλους ὁ πόλεμος ἦν καὶ ἔστιν εἰς δεῦρο, ἀλλὰ γὰρ καὶ πρὸς αὐτὸν τὸν τῶν δυνάμεων Κύριον, πεπληροφόρηκεν ὁ προφήτης, αὐτὸν ἐξελεύσεσθαι λέγων, ἵνα συντρίψῃ πόλεμον. Ἐγερεῖ ζῆλον, φησὶ, τοῦτ' ἔστι, παροξυσμὸν, ἢ τὸν παρ' ἑαυτοῦ κατ' ἐχθρῶν, κατά γε τὸ γεγραμμένον ἐν τοῖς τοῦ Ζαχαρίου λόγοις· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ, καὶ τὴν Σιὼν ζῆλον μέγαν· » ἤγουν ἐκ τῶν ὑπεραθλούντων τῆς δόξης αὐτοῦ, δῆλον δὲ ὅτι τῶν σεβομένων αὐτὸν, ὧν ἕνα γενέσθαι καὶ ἀπόλεκτον τὸν ἱερώτατον

nunc rursus miracula ejus, quæ nec mirari satis nec eloqui possumus, narrant. Nam excitare e monumentis mortuos, et tanquam arida terra uti mari, illudque suis pedibus permeabile facere, ventos increpare, et verbo Satanam conterere, divinam ejus gloriam diligentissime asserunt.

VERS. 13, 14. *Dominus Deus virtutum egredietur, et conteret bellum, excitabit æmulationem, et clamabit contra inimicos ejus cum fortitudine. Tacui, num etiam semper tacebo, et sustinebo? Patienter egi, ut pariens.*

Progreditur nunc quoque sermo ordine concinno, et mirabilem habet œconomiam ac dispensationem. Ministri enim oraculorum Servatoris nostri prædicatori erant ejus virtutes omnibus ubique, et multa cum fiducia de illis rebus verba facturi. Cæterum cogitare debebant, undecunque restituros huic eorum sancto studio et alacritati veritatis hostes, quique majestati Servatoris modis omnibus struunt insidias, homines scilicet corrupti et superstitiosi, et malitiæ diabolicæ organa, et ejus perversitatis propugnatores, et simul cum illis ipsa dæmonum agmina, videlicet quando gloria eorum et imperium vi partum concutitur. **547** Dominabantur enim per fraudem orbi terrarum. Ostendit itaque his verbis, fore ut non caperentur ab hostibus, neque quemquam eos superaturum, Deo protegente, dicens: Dominus virtutum egredietur, et, egredietur, dicit veluti de quopiam rege in terra, qui copiis suo sceptro parentibus hostium phalanges intolerabili impetu adoritur. Quod autem prorsus evasurus sit Dominus exercituum superior, indicat, cum inquit: Conteret bellum. Nec enim ulli mortalium obvia est divina vis, imo nulli omnium qui sunt tolerabilis, si insurgat et impetum faciat, sive potestates malas, seu ipsum defectorem et exitiosum Satanam, sive mortalem aliquem, cui hæc pro illis curæ sunt, intelligamus. Verum et hi quoque comminuentur, idque sine labore et pulvere. « Manum enim excelsam quis avertet? » secundum id quod scriptum est [29]. Quod igitur bellum et fuerit et adhuc sit his qui choro sanctorum apostolorum resistebant, non contra sanctos angelos solum, sed adversus ipsum Dominum exercituum, fidem plene fecit propheta, cum ait, ipsum egressurum, ut bellum conterat. Excitabit æmulationem, inquit, excandescentiam et ardorem: vel suum in hostes, secundum id quod scriptum est in sermonibus Zachariæ: « Æmulatus sum Jerusalem et Sion æmulatione magna [30]: » vel eorum qui pro ejus gloria certant, videlicet qui ipsum colunt, quorum unum, electum et sanctissimum Paulum fuisse dicimus, qui etiam inquit: « Quis nos separabit a dilectione Christi? Afflictio? num angustia? num persecutio? num fames? num nuditas? num pericu-

[29] Isa. XIV, 27. [30] Zachar. I, 14.

lum? num gladius?» — «Mihi enim vivere, Christus: et mori, lucrum [20**].» Sic æmulatores et zelatores dicimus fuisse, et sanctos martyres, qui Satana fuerunt fortiores, eumque virtute Christianæ pietatis oppugnarunt. Servarunt enim fidem et charitatem erga ipsum germanam: Excitabit ergo zelum, inquit, et clamabit contra inimicos suos cum fortitudine. Clamabit, posuit pro, jubilabit. Vox etiam hæc victoribus convenientissima, contra victos successum quodammodo gratulans. Deinde inquit: Tacui, num etiam semper tacebo et sustinebo? Patienter duravi, ceu pariens. Hinc optime perspici poterit, quo tempore multitudo gentium in errore versabantur, **548** cum illos Satan dissiparet ac dispergeret, et tenebris peccati quasi denigraret, et a cognitione Domini abduceret, quis tum natura et vere sit universorum Deus, succurrere illis quidem voluisse qui supra omnes est Deum: sed rem abjecisse, et patienter tulisse, cum sine dubio exspectaret commodum tempus auxilii ferendi: nimirum quando incarnatum est et homo factum unigenitum ejus Verbum. Tunc enim, tunc bellum intulit his, qui nos vicerunt, et ab eorum malitia eripuit, opemque attulit, et servavit, proprioque nos jugo subdidit. Itaque præterlapsis retro temporibus, dilaceratis terræ incolis, et Satana leonis in morem omnes devorante: Tacui, inquit: num etiam semper tacebo et sustinebo? Patienter egi, sicut quæ parit [21]. Vide igitur quanta misericordia terræ incolas prosecutus sit Deus universorum, tametsi, ut inquit Psalmista, nemo exerceret bonitatem, sed omnes ad unum usque declinarent et prorsus essent inutiles [22]. Et cum hac de re dolores sentiret (quatenus quidem in illum tristitia cadere poterat), et istuc nostra causa pateretur: tempus, ut dixi, auxilio opportunum observavit.

A Παῦλόν φαμεν, ὅς δὴ καί φησιν· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλίψεις, ἢ στενοχωρία, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;» πάλιν, «Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος.» Οὕτω φαμὲν γενέσθαι ζηλωτὰς, καὶ τοὺς ἁγίους μάρτυρας, οἳ κρείττους γεγόνασι τοῦ Σατανᾶ, καὶ πεπολεμήκασιν αὐτοῦ τῇ δυνάμει, τῆς εἰς Χριστὸν εὐσεβείας ἕνεκα. Τετηρήκασι γὰρ τὴν πίστιν, καὶ τῆς εἰς αὐτὸν ἀγάπης τὸ, γνήσιον· Ἐπεγερεῖ τοιγαροῦν ζῆλον, φησὶ, καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος· τὸ βοήσεται, τιθεὶς, ἀντὶ τοῦ, καταλαλάξει. Φωνὴ δὲ αὕτη τοῖς νικῶσι πρεπωδεστάτη, κατορχουμένη τρόπον τινὰ τῶν νενικημένων· Εἶτά φησιν· Ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι, καὶ ἀνέξομαι; Ἐκαρτέρησα ὡς ἡ τίκτουσα. Ἐντεῦθεν εὖ μάλα κατίδοι τις ἂν ὅτι κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν B ἦν ἐν πλάνῃ τῶν ἐθνῶν ἡ πληθὺς, διαρπάζοντος αὐτοὺς τοῦ Σατανᾶ, καὶ τῷ τῆς ἁμαρτίας σκότῳ καταμελαίνοντος, ἀποφέροντός τε καὶ τοῦ μὴ εἰδέναι μόνον, τίς ὁ φύσει καὶ ἀληθῶς ἐστι τῶν ὅλων Θεὸς, ἐπαμῦναι μὲν αὐτοῖς ἤθελεν ὁ πάντων ἐπέκεινα Θεός· ἀνεδύετο δὲ τὸ χρῆμα, καὶ διεκαρτέρει σαφῶς, τὸν πρέποντα ταῖς ἐπικουρίαις περιμένων καιρόν· ἦν δὲ οὗτος καθ' ὃν ἐσαρκώθη τε, καὶ ἐνηνθρώπησεν ὁ μονογενὴς αὐτοῦ Λόγος. Τότε γὰρ τότε κατεστρατεύσατο τῶν ἡμᾶς νενικηκότων, καὶ ἐξείλετο μὲν τῆς ἐκείνων σκαιότητος, ἀντελάβετο δὲ καὶ σέσωκε, καὶ τοῖς ἰδίοις ἡμᾶς ὑπήνεγκε ζυγοῖς. Οὐκοῦν κατὰ μὲν τὸν παρῳχηκότα καιρὸν διαρπαζομένων τῶν ἐπὶ τῆς γῆς, καὶ λέοντος δίκην κατεσθίοντος ἅπαντας τοῦ Σατανᾶ· Σεσίγηκα, φησί· μὴ καὶ ἀεὶ σιωπήσομαι, καὶ ἀνέξομαι; C Ἐκαρτέρησα ὡς τίκτουσα. Ἄθρει δὴ οὖν ὅσην ἐποιεῖτο φειδὼ τῶν ἐπὶ τῆς γῆς ὁ τῶν ὅλων Θεός· καίτοι, καθά φησιν ὁ Ψαλμῳδὸς, οὐδενὸς ποιοῦντος χρηστότητα· ἐκκεκλικότων δὲ ἁπάντων, καὶ ἕως ἑνὸς, καὶ εἰσάπαν ἠχρειωμένων, μονονουχί. Καὶ ὠδῖνας ἔχων τὰς ἐπὶ τούτῳ, καὶ εἴπερ ἠνείχετο καὶ λύπης αὐτὸν εἶναι δεκτικὸν, παθὼν ἂν, καὶ τοῦτο δι' ἡμᾶς καιρῷ τετήρηκεν, ὡς ἔφην, τῷ πρέποντι τὰς ἐπικουρίας.

Vers. 15. *Expellam et arefaciam simul, et ponam fluvios in insulas, et paludes siccabo.*

Ἐκστήσω, καὶ ξηρανῶ ἅμα, καὶ θήσω ποταμοὺς εἰς νήσους, καὶ ἕλη ξηρανῶ.

Quid hic significet ἐκστήσω, inquirendum est necessario. Vel enim dicit: Qui nunc terræ dominantur, ejiciam, exterminari curabo, ac deturbari imperio illis contra omnes dato, secundum id quod dictum est a Christo: «Nunc princeps mundi hujus ejicietur foras [23]:» vel illud ἐκστήσω, intelliges, pro admirari faciam eos qui præstantia facinora et modum dispensationis meæ vident, et inexplicabilis potentiæ eminentiam: sicuti nimirum propheta Abacum ob hoc eodem stupore perculsus est, cum ait: «Domine, audivi auditionem tuam, et timui: consideravi opera tua, et obstupui [24].» Vel etiam, si placet alio modo illud, ἐκστήσω, intelliges. Qui enim decepti nunc sunt et in tenebris et caligine diabolica, eos ad veritatis agnitionem transferam, et ad divinam et intelligibilem ac cœlestem lucem: qui nunc polluti sunt, et pro-

Τί τὸ Ἐκστήσω, κατασημήνειεν ἂν ἐν τούτοις, πολυπραγμονεῖν ἀναγκαῖον. Ἢ γὰρ ἐκεῖνό φησιν, ὅτι Τοὺς νυνὶ κρατοῦντας τοὺς ἐπὶ τῆς γῆς ἐκβαλῶ, ἔξω τε γενέσθαι παρασκευάσω τῆς πεπορισμένης αὐτοῖς κατὰ πάντων ἀρχῆς, κατά γε τὸ εἰρημένον D παρὰ Χριστοῦ· «Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω·» ἢ τὸ Ἐκστήσω, συνήσεις, ἀντὶ τοῦ, Θαυμάσαι ποιήσω τοὺς ὁρῶντας τὰ κατωρθωμένα, καὶ τῆς ἐμῆς οἰκονομίας τοὺς τρόπους, καὶ τῆς ἀφράστου δυνάμεως τὴν ὑπερβολήν· καθάπερ ἀμέλει καὶ ὁ προφήτης Ἀββακοὺμ ἐπ' αὐτοῖς δὴ τούτοις κατεπλήττετο λέγων· «Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην.» Ἤγουν εἴ πέρ τῳ δοκεῖ, καὶ καθ' ἕτερον τρόπον τὸ, Ἐκστήσω, συνήσεις. Τοὺς γὰρ νυνὶ πλανωμένους, τοὺς ἐν σκότῳ, καὶ ὁμίχλῃ διαβολικῇ, μεταστήσω πρὸς ἐπίγνωσιν ἀληθείας, καὶ πρὸς τὸ θεῖον

[20**] Rom. VIII, 35. [21] Isa. XLII, 14. [22] Psal. XIII, 3. [23] Joan. XII 31. [24] Habac. III, 2.

τε καὶ νοητὸν καὶ οὐράνιον φῶς τοὺς· νῦν μεμολυσμένους, καὶ βδελυρὸν, καὶ ἀπεριχάθαρτον ἔχοντας νοῦν, πρὸς διάθεσιν μεταβαλῶ τὴν ἀσυγκρίτως ἀμείνω, ὥστε τῶν μὲν ἀρχαίων ῥύπων ἀποφοιτᾷν, ἀνθελέσθαι δὲ μᾶλλον τὸ ἀγαθουργεῖν. Τὸ δέ γε Ξηρανῶ ἅμα, σημαίνει τι πάλιν τοιοῦτον, ὃ δὴ σαφηνιεῖ τῶν ἐφεξῆς κειμένων ἡ δύναμις. Θήσω γὰρ, φησὶ, ποταμοὺς εἰς νήσους, καὶ ἕλη ξηρανῶ. Τίνες ἂν εἶεν οἱ εἰς νήσους τιθέμενοι ποταμοὶ, καὶ τὰ ξηραινόμενα τῶν ἑλῶν; Φαμὲν οὖν ὅτι οἱ παρ' Ἕλλησιν ποιηταὶ καὶ λογάδες, οἳ γεγόνασι μὲν τῆς πολυθέου πλάνης κήρυκες. Τεθεοποιήκασι γὰρ τὴν κτίσιν, καὶ ἀναριθμήτους θεοὺς εἰσεκόμισαν τῷ βίῳ. Ἦσαν δὲ ὥσπερ τινὲς ποταμοὶ, ποτίζοντες μὲν ἀνατροπῇ θολερᾷ, καθὰ γέγραπται, τοὺς ἠπατημένους, καὶ λόγων ἐξησκημένων νάμασι τὸν τῶν θαυμαζόντων αὐτοὺς B ἐπικλύζοντες νοῦν, συνέχοντές τε διὰ τούτου πρὸς πλάνησιν, καὶ οἷά τινα τροφὴν παρατιθέντες αὐτοῖς τῆς ἑαυτῶν καλλιεπείας τὸ γλυκὺ καὶ ἐπίχαρι. Οὐκοῦν παρεικάζοιντο ἂν εἰκότως ποταμοῖς τε καὶ ἕλεσι, τοῦτ' ἔστι, δρυμοῖς, ἤγουν ἄλσεσι πλείστην τε ὅσην καὶ εὐανθῆ λαχοῦσι τὴν πόαν. Τοὺς τοιούτους οὖν ποταμοὺς εἰς νήσους μεταβάλλειν ἐπαγγέλλεται ὁ Θεὸς, τοῦτ' ἔστι, ξηροὺς καὶ ἀνύδρους ἀποφῆναι, ἕλη δὲ ὥσπερ ἐργάσασθαι ξηρὰ, ὃ δὴ καὶ γέγονεν. Ἀπρακτεῖ γὰρ λοιπὸν τῆς ἐκείνων εὐστομίας τὸ καλλιεπές. Καὶ πρόσκειται μὲν αὐτοῖς παντελῶς οὐδεὶς, διαλαχτήσαντες δὲ ὥσπερ τὰ σαθρὰ καὶ βέβηλα, καὶ γραοπρεπῆ τῶν πλανώντων μυθάρια, τὴν ἐν Χριστῷ σοφίαν ἁρπάζουσιν οἵ ποτε πλανώμενοι. Γράφει C γοῦν ὁ Παῦλος· « Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου; » Οὐκοῦν ποταμοὺς εἶναί φαμεν τοὺς εἰς νήσους τεθειμένους, τοὺς εἰς ἀπάτην Ἑλληνικὴν συνέχοντας λόγους τῶν παρ' Ἕλλησι σοφῶν. Ἤγουν καὶ ἑτέρας νήσους εἶναι δεδώκαμεν ἐν τοῖς προλαβοῦσι τὰς Ἐκκλησίας Χριστοῦ, δεχομένας τοὺς ναυτιλλομένους, νοητῶς δηλονότι καὶ πνευματικῶς, καὶ ὁρμητηρίοις ὥσπερ τισὶν ἐμβάλλοντας ἀσφαλέσι τοῖς ἐν αὐταῖς διδασκάλοις, διαφεύγοντάς τε τὸ πνεῦμα τὸ πονηρὸν τὸ καταχειμάζον ἀεὶ τοὺς καταβαίνοντας εἰς τὴν θάλασσαν ἐν πλοίοις, καὶ ποιοῦντας ἐργασίαν ἐν ὕδασι πολλοῖς. Θαλάσσῃ δὲ παρεικαστέον, ὡς ἔφην, τοῦ καθ' ὑμᾶς βίου τὸν κλύδωνα, καὶ τῶν ἐπιγείων πραγμάτων τὴν τύρβην. D Ξηραίνονται δὲ καὶ τὰ ἕλη, τοῦτ' ἔστιν, αἱ νομαὶ τῶν πραγμάτων τῶν ὑπὸ χεῖρα ποτὲ τὴν σατανικήν· » ἵνα λοιπὸν ὑπ' αὐτῷ γένοιντο τῷ πάντων ἀρχιποιμένι, φημὶ δὴ Χριστῷ. Ὃς οὐ κατ' ἐκείνους τοὺς ψευδοποιμένας εἰς ἀκάνθας καὶ τριβόλους ἀποκομίζει τὰ ἴδια θρέμματα, ποιμαίνει δὲ μᾶλλον ἐν κρίνοις· ὡς εὐοσμώτατα γὰρ νοητῶς τὰ θεῖά τε καὶ ἱερὰ, καὶ ἴδια αὐτοῦ θεσπίσματα.

A sana ac incircumcisa mente præditi, ad mentem traducam incomparabiliter meliorem: **549** ut a pristinis sordibus recedant, et potius bene agere studio ac curæ habeant. Arefaciam simul, tale quiddam significat, quod etiam patefaciet consequentium sententia. Ponam enim, inquit, fluvios in insulas, et paludes exsiccabo [25]. Quinam sunt isti fluvii redacti in insulas, et siccatæ paludes? Dicimus esse scilicet Græcorum poetas et oratores, qui erant erroris multorum deorum præcones. Deificarunt enim creaturam, et innumerabiles deos in vitam invexerunt. Erantque velut quidam fluvii, potantes, uti scriptum est, subversione turbulenta seductos, et qui orationum elaboratarum rivis in mentem eorum qui ipsos admirantur, influunt, et hinc in errore detinent, et suæ ornatæ dictionis suavitatem et gratiam quasi pastum quemdam adhibent. Itaque merito comparari queant fluviis et paludibus, id est, saltubus, seu silvis, in quibus herbæ plurimum floret et crescit. Hos fluvios in insulas conversurum se promittit Deus, id est, aridos et siccos redditurum, et paludes quoque velut exsiccaturum. Quod etiam factum est. Nam irritum facit deinceps illorum eloquentiæ ornatum et elegantiam, et nihil prorsus illis suppetit. Et qui quondam decepti erant, calcatis veluti corruptis et profanis et anilibus decipientium fabulis, sapientiam Christi rapiunt. Scribit itaque Paulus: « Ubi sapiens? ubi scriba? ubi inquisitor hujus sæculi? Nonne infatuavit Deus sapientiam mundi [26]? » Proinde dicimus fluvios redactos in insulas vel esse, sermones Græcorum sapientum in errore Græco detinentes: vel etiam alias insulas exposuimus in præcedentibus, esse Christi Ecclesias quæ excipiunt eos qui navigant, intelligibiliter scilicet et spiritualiter, et qui velut aggeribus quibusdam suos doctores tuto communiunt, et qui malum spiritum effugiunt, semper eos qui navigiis in mare descendunt, et in aquis multis opus faciunt, fluctibus quasi et tempestatibus jactantem. Mari vero, ut dixi, assimilandus est fluctus nostræ vitæ, et rerum terrenarum turbatio. Exsiccantur vero et paludes, id est, pascua pecorum, quondam sub manu satanica, ut deinde subsint principi ac omnium pastori, Christo, inquam: qui non ut illi **550** falsi pastores, sua pecora in spinas et tribulos inducit, sed pascit potius in liliis. Fragrantissima enim sunt intelligibiliter, divina et sacra et propria ejus oracula.

Καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ᾔδεισαν πατῆσαι ποιήσω αὐτούς. Ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν. Ταῦτα τὰ ῥήματα ποιήσω, καὶ οὐκ ἐγκαταλείψω αὐτοὺς, λέγει Κύριος ὁ Θεός.

Ἐλθόντος γὰρ τοῦ Κυρίου τῶν δυνάμεων, ἵνα συντρίψῃ πόλεμον, καὶ καθῃρημένων τῶν ἐχθρῶν,

VERS. 16. *Et ducam cæcos in via quam non noverunt, et semitas, quas ignorarunt calcare eos faciam. Mutabo illis tenebras in lucem, et obliqua in directa. Hæc verba faciam, et non derelinquam illos, dicit Dominus.*

Egresso enim Domino exercituum, ut conterat bellum, et deletis hostibus, et redactis in insulas

[25] Isa. XLII, 15. [26] I Cor. I, 20.

fluviis, et exsiccatis paludibus, prout jam a nobis illa oratio pertractata est, redempti sunt omnino, qui in captivis numerabantur, et qui diaboli nequitiæ subjecti erant: et cæci cum essent (cæcavit enim corda eorum ille apostata), iterum ducuntur, a Christo videlicet, in vias quas antea nesciverunt. Sunt autem illæ omnino evangelica vaticinia, et vita cognitioni et virtuti consentanea, et sanctæ vitæ pulchritudo. Allocutus est igitur gentes divinus Paulus: « Eratis enim quondam tenebræ, nunc autem lux in Domino [27]. » Factæ itaque sunt illis tenebræ in lucem, pro, abierunt res in contrarium. Nam rudes facti sunt sapientes, qui quondam errarunt, rectas omnis justitiæ vias cognoverunt: qui cum boni nihil scivissent, omnis virtutis scientes et guari evaserunt, et officiorum pietatis studiosi. Facta sunt obliqua in directa, id est, difficilia et ardua, pervia et plana, æquabilia et levigata. Tale quid in prædicatione Joannis Baptistæ subindicatur. Omnis enim vallis implebitur, et omnis mons et collis humilis erit, et erunt obliqua in directa, et aspera in vias planas [28]. Colles enim et concavitates viam efficiunt inæqualem. Cum autem tumulus non est, nec cavitas, recta semper est via, et permeabilis, et omnibus difficultatibus extricata. Quod etiam alibi dicit ipse beatus propheta Isaias: « Via enim piorum recta, inquit, et præparata [29]. » Est enim via conversationis vere evangelicæ non aspera et invia, **551** sed potius æquabilis et veluti campestris, his qui vitam eximiam amant et excellentem. Promisit igitur hæc verba seu promissa Deus, se ad exitum perducturum, nec eos relicturum, id est, semper una futurum, juxta id: « Ecce ego vobiscum sum omnibus diebus usque ad consummationem sæculi [30]. »

A τεθειμένων δὲ καὶ εἰς νήσους τῶν ποταμῶν, καὶ ἀφανανθέντων τῶν ἑλῶν, κατά γε τοὺς ἀρτίως ἡμῖν γενομένους τῆς θεωρίας λόγους, λελύτρωνται πάντως οἱ ἐν δορυκτήτων τάξει γεγονότες, καὶ ταῖς τοῦ διαβόλου δυστροπίαις ὑπενηνεγμένοι, τυφλοὶ δὲ ὄντες· ἐτύφλωσε γὰρ τὰς καρδίας αὐτῶν ὁ ἀποστάτης· ἄγονται λοιπὸν ὑπὸ Χριστοῦ, δηλονότι εἰς ὁδοὺς, ἃς οὐ πρότερον ᾔδεισαν. Αὗται δέ εἰσι τὰ εὐαγγελικὰ πάντως θεσπίσματα καὶ ὁ κατὰ σύνεσίν τε καὶ ἀρετὴν βίος, καὶ τῆς ἁγιοπρεποῦς εὐζωΐας τὸ κάλλος. Προσπεφώνηκε γοῦν καὶ ὁ θεσπέσιος Παῦλος τοῖς ἐξ ἐθνῶν· « Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ. » Γέγονε τοίνυν αὐτοῖς τὸ σκότος εἰς φῶς· ἀντὶ τοῦ, μετακεχώρηκεν εἰς πᾶν τοὐναντίον τὰ πράγματα. Οἱ γὰρ ἀμαθεῖς γεγόνασι σοφοὶ, οἵ ποτε πλανώμενοι B τὰς εὐθείας πάσης δικαιοσύνης ἐγνώκασιν ὁδοὺς, οἱ τῶν ἀγαθῶν εἰδότες οὐδὲν ἀρετῆς ἁπάσης ἀνεδείχθησαν ἐπιστήμονες, καὶ τῶν εἰς εὐσέβειαν σπουδασμάτων ἐπιμεληταί. Γέγονεν αὐτοῖς τὰ σκολιὰ εἰς εὐθεῖαν, τοῦτ' ἔστι, τὰ δυσχερῆ καὶ δυσήνυτα βάσιμα, καὶ ἱππήλατα, ὕπτιά τε καὶ ἐψιλωμένα. Τοιοῦτόν τι καὶ ἐν τοῖς Ἰωάννου τοῦ Βαπτιστοῦ κηρύγμασιν ὑπεμφαίνεται. Πᾶσα γὰρ φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος, καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. Βουνοὶ μὲν γὰρ καὶ κοιλότητες τὸ ἀνωμάλως ἔχειν τὴν ὁδὸν ἀποφαίνουσιν. Ὄχθου δὲ οὐκ ὄντος, οὔτε μὴν κοιλότητος εὐθεῖά που πάντως, καὶ εὐήλατός ἐστιν ἡ ὁδὸς, καὶ δυσχερείας ἁπάσης ἀπηλλαγμένη. C Τοῦτο καὶ ἑτέρωθί πού φησιν αὐτὸς ὁ μακάριος προφήτης Ἡσαΐας· « Ὁδὸς γὰρ, φησὶ, εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν. » Καὶ γάρ ἐστιν ἀληθῶς τῆς εὐαγγελικῆς πολιτείας ἡ ὁδὸς οὐ τραχεῖα καὶ δύσβατος, ὁμαλὴ δὲ μᾶλλον, καὶ οἷον ὑπτία τοῖς τὸν ἐξαίρετον ἀγαπῶσι βίον. Ἐπαγγέλλεται δὴ οὖν ταῦτα τὰ ῥήματα, ἤτοι τὰς ἐπαγγελίας εἰς πέρας ἄγειν Θεὸς, καὶ μὴ ἐγκαταλιπεῖν αὐτοὺς, τοῦτ' ἔστι, συνεῖναι διὰ παντὸς, κατά γε τὸ, « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας αἰῶνος. »

VERS. 17. *Ipsi autem convertentur retrorsum. Ignominia afficimini, qui confiditis sculptilibus, qui dicitis conflatoriis: Vos estis dii nostri.*

Αὐτοὶ δὲ ἀποστραφήσονται εἰς τὰ ὀπίσω. Αἰσχύνθητε αἰσχύνην οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς, ὑμεῖς ἐστε θεοὶ ἡμῶν.

Tempestive admodum transfert orationem ad gentem Judaicam, qui, cum legem haberent Moysis, manu ducentem ad Dei cognitionem, et ut velint perficere ea, in quibus laudem eos consecuturos verisimile erat, lapsi sunt in apostasiam, et in multorum numinum cultus puteum illapsi, in barathrum exitii descenderunt; unde et non sine causa Deum, qui omnem ipsis et misericordiam et benevolentiam tribuit, offenderunt. Cum ergo ante oratio prædicasset, vocandas gentes suo tempore, et calcaturas quas non noverunt vias, et tenebras in lucem, et obliqua in recta versum iri: ruditatem eorum qui ex sanguine Israelitico orti sunt, retegit, dicens: Ipsi vero conversi sunt retrorsum. Illud, ipsi, sumendum est emphatice: nimirum qui di-

Ἐπὶ καιροῦ δὴ λίαν μεθίστησι τοὺς λόγους ἐπὶ τὸ D τῶν Ἰουδαίων ἔθνος, οἳ νόμον ἔχοντες τὸν διὰ Μωσέως χειραγωγοῦντα πρὸς θεογνωσίαν καὶ πρός γε τὸ δεῖν ἀποπεραίνειν βούλεσθαί τε τὰ ἐφ' οἷς ἦν εἰκὸς εὐδοκιμῆσαι αὐτοὺς, κεχωρήκασι πρὸς ἀπόστασιν, καὶ τοῖς τῆς πολυθεΐας ἐμβεβηκότες τέλμασιν εἰς τὸ τῆς ἀπωλείας κατώχοντο βάραθρον· προσκεκρούκασί τε διὰ τοῦτο, καὶ σφόδρα εἰκότως τῷ πᾶσαν αὐτοῖς, καὶ φειδὼ καὶ ἀγάθην νείμαντι Θεῷ. Προκηρύξας δὴ οὖν ὁ λόγος, ὅτι κεκλήσονται τὰ ἔθνη κατὰ καιροὺς, καὶ πατήσουσι μὲν ὁδοὺς ἃς οὐκ ᾔδεισαν. Ἔσται δὲ τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν, τὰς τῶν ἐξ αἵματος Ἰσραὴλ ἀμαθίας ἐκκαλύπτει, λέγων· Αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω. Ἐμφαντικῶς ἐκληπτέον τὸ, αὐτοί· τοῦτ' ἔστιν, οἱ

[27] Ephes. v, 8. [28] Luc. III, 5. [29] Isa. XXVI, 7. [30] Matth. XXVIII, 20.

A νόμῳ θείῳ παιδαγωγούμενοι, καὶ ὑπὸ χεῖρα γεγονότες τὴν ἐμὴν, καὶ μεσίτην λαχόντες Μωσέα, οἱ διαῤῥήδην ἀκούσαντες· «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι· καὶ οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ.» Οὗτοι τῆς τῶν ἐθνῶν πληθύος ἐν ἀγαθαῖς οὔσης ἐλπίσιν ἀπεστράφησαν εἰς τὰ ὀπίσω πρὸς τοὺς ἐν Αἰγύπτῳ μολυσμοὺς ἀνοσίως ὑπονοστήσαντες, καὶ τῆς ἀρχαίας ἀπάτης ἀναλαβόντες τὸν μῶμον. Καὶ γέγονεν αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας· «Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέρεμα, καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.» Ἔφη τι τοιοῦτον καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τὴν ἀρχαίαν ἀσέβειαν παλινδρομοῦντα δεικνύων τὸν Ἰσραήλ. «Ὅταν γὰρ, φησὶν, τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, πορεύεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκον ὑποστρέφει εἰς τὸν τόπον B ὅθεν ἐξῆλθεν. Καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα, καὶ σεσαρωμένον. Τότε παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ. Καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων.» Λελατρεύκασι μὲν γὰρ τοῖς Αἰγυπτίων θεοῖς, ἀλλ' ἐκβέβληται τὸ δαιμόνιον, κεκλημένων αὐτῶν πρὸς θεογνωσίαν, διά γέ φημι τοῦ νόμου· ἠῤῥωστήκασι δὲ τὴν ἐπὶ τῷ πεπλανῆσθαι διαβολὴν, καὶ ἔτι χειρόνως, ὅτι τὸν φύσει Θεὸν εἰδότες γεγόνασιν ἀποστάται, θεοὺς τιμήσαντες τοὺς οὐκ ὄντας θεούς. Αἰσχύνθητε δὴ οὖν αἰσχύνην, φησὶ, οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς, καὶ τῆς ὑπὲρ πάντα θεότητος τὸ σεπτὸν ὄνομα, τοῦτ' ἔστι τὴν δόξαν, τοῖς χειροτμήτοις, καὶ χειροποιήτοις ἀνάπτοντες.

C *Οἱ κωφοὶ, ἀκούσατε, καὶ τυφλοὶ, ἀναβλέψατε ἰδεῖν. Καὶ τίς κωφὸς, ἀλλ' ἢ οἱ παῖδές μου; καὶ τυφλοὶ, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; Καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ. Εἴδετε πλεονάκις, καὶ οὐκ ἐφυλάξατε· ἠνεῳγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε.*

Κωφοὺς καὶ τυφλοὺς τοὺς τοῖς εἰδώλοις λελατρευκότας εὖ μάλα φησίν. Ὡς γὰρ ὁ πάνσοφος γράφει Παῦλος· «Ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ.» Πρέποι δ' ἂν ἡ τοῦ λόγου δύναμις ὅτι μάλιστα τοῖς ἐξ Ἰσραὴλ, οἷς δὴ καὶ μετὸν αὐτοῖς τὸ θεῖον εἰς νοῦν καταπλουτῆσαι φῶς, ἐνιέντος αὐτοῖς τοῦ νόμου τῆς θεογνωσίας τὴν ἔλλαμψιν, ἠγάπησαν ἀνοήτως τὸ ἐν D σκότῳ περιπατεῖν, καὶ τοῖς τῆς ἀπάτης ἐγκαθιέσθαι βρόχοις. Τυφλοὶ δὲ δὴ καὶ ἑτέρως. Ἀπείργοντος γὰρ οὐδενὸς ἀπὸ καλλονῆς κτισμάτων ἀναλόγως ὁρᾷν τὸν τούτων Δημιουργόν· ὡς γὰρ ὁ πάνσοφος γράφει Παῦλος· «Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις, καὶ θεότης·» εἰς τοῦτο κατώλισθον ἀμαθίας, ὥστε τοῖς χωνευτοῖς λέγειν· «Ὑμεῖς ἐστε οἱ θεοὶ ἡμῶν.» Ὅτι γὰρ οὐ περὶ τῆς τῶν ἐθνῶν πληθύος ὁ λόγος ἐστὶ τῷ προφήτῃ νυνὶ, ἀλλὰ περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ, διέδειξεν εἰπών· Καὶ τίς τυ-

vina lege instituti sunt, et manui meæ subditi sunt, et sequestrem Moysen habuerunt, qui clare audierunt, «Dominus Deus tuus, Dominus unus est: et non erunt dii tibi alii præter me [31].» Hi, cum multitudo gentium in bona spe esset, retro conversi sunt, ad Ægyptiaca inquinamenta impie reversi, et pristini erroris labem receperunt. Accidítque illis quod vero proverbio jactatum est: «Canis reversus ad vomitum suum, et sus lota in cœni volutabro [32].» Simile quiddam dixit etiam Dominus noster Jesus Christus, cum Israelem ad veterem impietatem recurrentem notaret. «Cum enim, inquit, spiritus impurus exierit ex homine, transit siticulosa loca, quærens requietem: et cum non invenit, redit in locum unde exiit. Et postquam venit, invenit eum vacantem, et scopis mundatum. Tunc accipit septem alios spiritus pejores se, et ingressi habitant illic. Et fiunt ultima hominis **552** illius deteriora prioribus [33].» Nam deos Ægyptiorum coluerunt, sed ejectum est dæmonium, ipsis vocatis ad Dei cognitionem, per legem, inquam. Verum eo quod erraverint accusati sunt: adhuc tamen in deteriore loco erant, quod, cum Deum natura cognovissent, facti sunt apostatæ, quippe qui deos qui dii non erant, coluerint. Ergo ignominia afficimini, inquit, qui confiditis sculptilibus, et qui augustum deitatis, quæ supra omnia est, nomen, id est gloriam, manu conditis attribuitis.

VERS. 18-20. *Surdi, audite, et cæci, respicite, ut videatis. Et quis surdus, nisi pueri mei? et cæcus, nisi qui dominantur ipsis? Et cæcati sunt servi Dei. Vidistis sæpe, et non custodivistis: apertæ aures, et non audivistis.*

Surdos et cæcos vocat pulcherrime, qui idolis servierunt. Quemadmodum enim sapientissimus Paulus scribit: «Deus sæculi hujus excæcavit mentes infidelium, ut non illuceret Evangelii gloriæ Christi illustratio [34].» Convenire autem potest hic orationis sensus maxime Israelitis, quibus cum licuisset divina luce ditescere animo, immittente illis lege divinæ cognitionis irradiationem, amaverunt stulte in tenebris ambulare, et erroris implicari laqueis. Quin et alio modo cæci sunt. Cum enim nihil vetaret, quominus ex pulchritudine creaturarum, ratione quadam et analogia, earum Opificem pervidérent: nam ut sapientissimus Paulus scribit: «Inaspectabilia ejus ex creatione mundi operibus intellecta perspiciuntur, æterna ejus potentia et divinitas [35]:» eo sunt delapsi inscitiæ, ut conflatilibus dicerent: «Vos estis dii nostri [36].» Etenim prophetam nunc loqui, non de multitudine gentium, sed de his qui sunt ex sanguine Israel, ostendit, cum dixit: Et quis cæcus, nisi pueri mei? et

[31] Exod. xx, 3. [32] II Petr. ii, 22. [33] Matth. xii, 43, 44, 45. [34] Rom. i, 7. [35] ibid. 20. [36] Isa. xlii, 17.

surdi, nisi qui dominantur eorum? Obcæcata est enim multitudo subdita, ducum ignavia et supinitate huc prolapsa. Nam ipsi erant auctores inscitiæ, et erroris præceptores. Surdi quoque erant qui dominantur eorum, id est, qui principatum obtinebant: quippe qui, etiamsi gloriam Dei vidissent, et longo usu et experientia huc provecti fuissent, conversi sunt ad apostasiam. Noluerunt enim obedire Deo, clare dicenti: « Non erunt tibi dii alii **553** præter me [37]. » Postquam vero divinorum vaticiniorum gnari et periti, devenerunt simul cum his qui jugo subditi erant, ad defectionem et apostasiam, tantum non percellitur dicens: « Cæcati sunt servi Dei. » Et quænam illis occasio cæcitatis fuit? Volentes, inquit, huc deducti estis. Cum enim sæpenumero licuisset custodire, quia vidistis, et audire, quia novistis et intellexistis quæ scripta erant: non custodivistis, nec sustinuistis ea proferri ac dici, nec curam adhibuistis, nec obedientiam, ut vel aures sacrosanctis legibus patefaceretis. Inexcusabilia sunt ergo Judæorum crimina. Quamvis enim possent scire verum, et ad hoc legem quasi manuductricem haberent: perinde tamen fuerunt, ac qui oculis præditi non sunt, aut quibus aures frustra prominent in capite, cum sacrosanctas leges audire noluerint.

VERS. 21. *Dominus Deus cogitavit, ut justus haberetur, et magnis prædicaret laudibus.*

Eripui, inquit, eos e tyrannide Ægyptiorum, liberavi, cum alienis præter æquum servirent, instituti sunt per legem ad divinam cognitionem, dedi illis Moysen modestiæ antistitem. Erat enim mihi propositum, qui Dominus sum universorum, justitiæ operarium, et præstantissimorum operum studiosum, reddere Israelem, ut cum perductus esset in sensum et intelligentiam donorum meorum, magnis laudibus prædicaret, id est, indesinenter celebraret, scilicet me omnis eorum felicitatis datorem ac dispensatorem, et eorum quibus locupletati erant suppeditatorem. Sed horum nihil sentientes, mala pro bonis rependerunt Domino, et collo e jugo ejus excusso, servierunt Satanæ, et in cœno erroris multorum deorum se volutantes, exsecrabiles facti sunt, et Deo virtutis amanti invisi. Hoc quod dixi alibi, est de illis perspicue, tanquam de vinea: « Exspectavi ut ferret uvam, et tulit spinas [38]. »

VERS. 22. *Et vidi, et populus fuit vastatus et direptus. Laqueus enim in conclavibus ubique, et in domibus simul, ubi absconderunt eos, facti sunt deprædatio, et non erat qui eriperet e direptione, nec erat qui diceret: Redde.*

Revocat illis in memoriam, quæ acciderunt patribus: eo quod exsecrandæ multorum **554** numinum superstitionis retibus capti essent. Quod fecit non frustra, sed ut eos modestiores redderet, timentes ne similia cum majoribus patiantur. Quandoquidem

A φλὸς, ἀλλ' ἢ οἱ παῖδές μου; καὶ κουφοὶ, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; Τετύφλωνται μὲν γὰρ ἡ ὑπὸ χεῖρα πληθὺς ταῖς τῶν ποδηγῶν ῥαθυμίαις εἰς τοῦτο πεσοῦσα. Αὐτοὶ γὰρ ἦσαν οἱ τῆς ἀμαθίας αὐτοῖς παραίτιοι γεγονότες, καὶ τοῦ πλανᾶσθαι καθηγηταί. Κουφοὶ δὲ ἦσαν οἱ κυριεύοντες αὐτῶν· τοῦτ' ἔστιν, οἱ καθηγεῖσθαι λαχόντες· καίτοι γὰρ ὁρῶντες τὴν τοῦ Θεοῦ δόξαν, καὶ διὰ πείρας ἐλάσαντες μακρᾶς, ἐτράποντο πρὸς ἀπόστασιν. Οὐ γὰρ ἤθελον ὑπακούειν Θεῷ, λέγοντι σαφῶς· « Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. » Ἐπειδὴ δὲ τῶν ἐμῶν θεσπισμάτων ὄντες ἐπιστήμονες ὁμοῦ τοῖς ὑπεζευγμένοις κατῴχοντο πρὸς ἀπόστασιν, μονονουχὶ καταπλήττεται, λέγων· « Ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ. » Καὶ ποία γέγονεν αὐτοῖς ἡ τῆς τυφλώσεως ἀφορμή; Ἑκόντες, B φησὶ, παρηνέχθητε πρὸς τοῦτο. Ἐξὸν γὰρ πλειστάκις ἑωρακότας φυλάξασθαι, καὶ ἀκούειν εἰδότας ἤτοι συνιέντας τὰ γεγραμμένα, οὐκ ἐφυλάξασθε παθεῖν τὴν ἀπόφασιν, οὔτε μὴν μελέτην ἐποιήσασθε τὴν εὐπάθειαν, κατευρύνοντες ὥσπερ τοῖς ἱεροῖς νόμοις τὴν ἀκοήν. Ἀπροφάσιστα δὴ οὖν τὰ τῶν Ἰουδαίων ἐγκλήματα. Καίτοι γὰρ μετὸν εἰδέναι τὸ ἀληθὲς, καὶ χειραγωγὸν εἰς τοῦτο λαχόντας τὸν νόμον, ἐν ἴσῳ γεγόνασι τοῖς οὐκ ἔχουσιν ὀφθαλμοὺς καὶ τὰ ὦτα προκείμενα μάτην τῇ κεφαλῇ, διὰ τὸ μὴ βούλεσθαι τῶν ἱερῶν ἐπακροᾶσθαι νόμων.

Κύριος ὁ Θεὸς ἐβούλετο, ἵνα δικαιωθῇ, καὶ μεγαλύνῃ αἴνεσιν.

Ἐξειλόμην, φησὶ, τῆς Αἰγυπτίων πλεονεξίας αὐτοὺς, ἠλευθέρωσα παρὰ τὸ εἰκὸς ἀλλοτρίοις θητεύοντας· C ἐπαιδαγώγησα διὰ νόμου πρὸς θεογνωσίαν· εὐκοσμίας αὐτοῖς ἐπιστάτην δέδωκα Μωσέα. Σκοπὸς γὰρ ἦν ἐμοὶ τῷ Κυρίῳ τῶν ὅλων δικαιοσύνης ἐργάτην, καὶ ἀρίστων ἔργων ἐπιμελητὴν ἀποφῆναι τὸν Ἰσραὴλ, ἵν' εἰς αἴσθησιν ἐνηνεγμένος τῶν δωρηθέντων αὐτῷ παρ' ἐμοῦ, μεγαλύνῃ αἴνεσιν, τοῦτ' ἔστιν, ἀκαταλήκτως δοξολογήσειεν ἐμὲ, δηλονότι τὸν ἁπάσης αὐτοῖς εὐημερίας πρύτανιν, καὶ ὧν πεπλουτήκασι χορηγὸν γεγονότα. Ἀλλ' οὐδενὸς τῶν τοιούτων εἰς αἴσθησιν ἐνηνεγμένοι, πονηρὰ ἀντὶ ἀγαθῶν ἐκτετίκασι τῷ Δεσπότῃ, καὶ τῶν αὐτοῦ ζυγῶν ὑπεκλύσαντες τὸν αὐχένα, δεδουλεύκασι τῷ Σατανᾷ, καὶ τοῖς τῆς πολυθέου πλάνης βορβόροις ἐγκαλινδούμενοι βδελυροὶ γεγόνασι, καὶ ἀπηχθημένοι παρά γε τῷ φιλαρέτῳ Θεῷ. Τοῦτό ἐστιν ἐναργῶς ὅπερ ἔφη καὶ ἑτέρωθί D που περὶ αὐτῶν ὡς περὶ ἀμπέλου· « Ὑπέμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. »

Καὶ εἶδον, καὶ ἐγένετο λαὸς πεπρονομευμένος. Ἡ γὰρ παγὶς ἐν τοῖς ταμείοις πανταχοῦ, καὶ ἐν οἴκοις ἅμα ὅπου ἔκρυψαν αὐτοὺς, ἐγένοντο εἰς προνομὴν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ ἦν ὁ λέγων· Ἀπόδος.

Εἰς ἀνάμνησιν αὐτοὺς ἀποφέρει τῶν τοῖς πατράσι συμβεβηκότων, διά τοι τὸ ἁλῶναι βρόχοις τοῖς τῆς ἐπαράτου πολυθείας. Πέπραχε δὲ τοῦτο οὐ μάτην, ἀλλ' ἵν' ἀποφήνῃ σωφρονεστέρους τὰ ἴσα τοῖς πάλαι παθεῖν δεδιότας. Ἐπειδὴ γὰρ, φησὶ, γεγόνασι τυφλά

[37] Exod. x, 3. [38] Isa. v, 2.

καὶ κωφοὶ, παρωσάμενοι μὲν τὸ λατρεύειν Θεῷ, ξύλοις δὲ καὶ λίθοις τὸ σέβας ἀνῆπτον. Εἶδον μὲν οὖν τοῦτο ἐγώ, γέγονε δὲ ὁ λαὸς πεπρονομευμένος, καὶ διηρπασμένος. Ὅτε γὰρ ἐπισκέπτεται Θεὸς τὰ τῶν ἀφορήτως δυσσεβούντων ἐγκλήματα, τότε καὶ δίκας ἐπάγει τὰς ἀναλόγως ἐχούσας τοῖς αἰτιάμασι. Διηρπάσθη τοίνυν ὁ λαὸς, καὶ γέγονε τοῖς ἐχθροῖς προνομή· καὶ διὰ ποίαν αἰτίαν; ἡ γὰρ παγὶς ἐν τοῖς ταμείοις πανταχοῦ, καὶ ἐν οἴκοις ἅμα ἔκρυψαν αὐτούς. Τίνας δὲ αὐτούς; Χωνευτοὺς δηλονότι θεούς. Ὑποπλαττόμενοι γὰρ τὸ θεοσεβεῖν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, καὶ τοῖς νομίμοις θεσπίσμασι τό γε ἧκον εἰς τοὐμφανὲς ὑποτιθέντες τὸν αὐχένα, τῆς ἀποστασίας τὴν νόσον εἰς νοῦν ἔκρυπτον καὶ καρδίαν, προσκυνοῦντες τοῖς οὐκ οὖσι θεοῖς· καὶ τούτους ἐν τοῖς ταμείοις τῶν ἰδίων οἴκων ἐγκατακλείοντες λαθραίας ἐποιοῦντο τὰς τῶν θυσιῶν προσαγωγάς. Γέγραπται γοῦν ἐν τῷ Ἰεζεχιήλ· « Υἱὲ ἀνθρώπου, ὄρυξον. Καὶ ὤρυξα δὴ ἐν τῷ τοίχῳ. Καὶ εἶδον, φησὶ, καὶ ἰδοὺ πᾶσα ὁμοίωσις ἑρπετοῦ καὶ κτήνους, καὶ πάντα τὰ εἴδωλα οἴκου Ἰσραὴλ διαγεγραμμένα ἐπ' αὐτοῦ κύκλῳ. Καὶ εἶπε πρός με· Ἑώρακας, υἱὲ ἀνθρώπου, μὴ μικρὰ τῷ οἴκῳ Ἰσραὴλ ἃ ποιοῦσιν ἕκαστος ἐν τῷ κοιτῶνι αὐτῶν τῷ κρυπτῷ; » Ἄθρει δὴ οὖν ὅπως ἕκαστος αὐτῶν ἐν τῷ κοιτῶνι αὐτῶν τῷ κρυπτῷ τὴν γενομένην αὐτῷ παγίδα, τοῦτ' ἔστι, τὴν εἰδωλολατρείαν κειμένην ἔχων, ὑπεπλάττετο τὴν τῶν νόμων αἰδῶ. Ταύτητοί φησιν· Ἐγένοντο εἰς προνομὴν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ ἦν ὁ λέγων, Ἀπόδος. Θεοῦ γὰρ οὐκ ἐπαμύνοντος, τίς αὐτοὺς ἐξείλετο τῆς οὕτω βαρείας καὶ ἀνηκέστου συμφορᾶς; οὐκ ἐπιπλήττοντος δὲ τοῖς διαρπάζουσι, τίς ἂν αὐτοῖς ἔφη τὸ, Ἀπόδος; Οὐ γὰρ ἐζήτησε Θεὸς ὡς ἴδιον ἔτι κλῆρον, παρῆκε δὲ μᾶλλον ὡς ἀλλότριον γεγονότα αὐτοῦ διὰ τοῦ προτνεῦσαι τοῖς οὐκ οὖσι θεοῖς. Ἔοικε δὲ διὰ τούτων τὸν τῆς αἰχμαλωσίας ὑποφαίνειν καιρὸν, ὃν διατετελέκασιν οἱ ἐξ Ἰσραὴλ ὑπὸ χεῖρα πεσόντες ἐχθρῶν. Μέχρι γὰρ ἔτους ἑβδομηκοστοῦ οὐκ ἦν ὁ ἐξαιρούμενος αὐτοὺς, οὔτε μὴν τοῖς διαρπάσασι λέγων, Ἀπόδος. Οἰκονομικῶς δὲ σφόδρα μετά γε τὸ φάναι τῶν ἐθνῶν τὴν κλῆσιν, τὰ ἐφ' οἷς ἐκβέβληνται τῆς πρὸς Θεὸν οἰκειότητος οἱ ἐξ Ἰσραὴλ, εἴρηται σαφῶς, ἵνα δικαίᾳ ψήφῳ φαίνηται Θεὸς πανταχοῦ κεχρημένος. Ἔδει γὰρ, ἔδει τοὺς τὴν εἰς Θεὸν ἀσέβειαν τιμήσαντας, ἔξω γενέσθαι τῆς παρ' αὐτοῦ φειδοῦς καὶ ἀγάπης· τούς γε μὴν ἐξ ἀμαθίας τοῖς τῆς ἁμαρτίας βόθροις ἐνειλημμένους, καὶ ὑπὸ χεῖρα πεσόντας διαβολικὴν, κατοικτειρῆσαι παρὰ τοῦ πάντων Δημιουργοῦ, καλουμένους εἰς ἐπίγνωσιν αὐτοῦ, καὶ εἰς τὸ τῆς ἀληθείας φῶς. Τοῦτο γάρ που καὶ διὰ τοῦ πανσόφου Μωσέως εὑρίσκεται λέγων· Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεοῖς παρώξυνάν με ἐπὶ τοῖς γλυπτοῖς αὐτῶν. Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει· ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. Ἔφη δέ που καὶ ὁ θεσπέσιος Μελῳδὸς, ὅτι « Παρεπίκραναν αὐτὸν ἐν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν παρεζήλωσαν

A enim, inquit, cæci et surdi facti sunt, repulso ac rejecto Dei cultu, et lignis ac lapidibus venerationem exhibuerunt [39]. Vidi istuc ego : factusque est populus vastatus et direptus. Quando enim Deus considerat intolerabiliter impiorum crimina, tum etiam pœnas inducit pares flagitiis. Direptus est igitur populus, et factus est hostibus deprædatio. Et quam ob causam? Laqueus enim in conclavibus ubique, et in domibus simul absconderunt eos. Quosnam? conflatiles deos scilicet. Nam cum fingerent Judæorum moderatores, se Deum colere, et legalibus oraculis cervicem submittere, quantum ad externam speciem, animo ac corde apostasiæ morbum occultabant : et cum adorarent non natura deos, et in conclavibus suarum ædium eos clauderent, clandestina illis sacrificia offerebant. B Scriptum est itaque apud Ezechielem [40] : « Fili hominis, perfora. Et perforavi parietem. Et vidi, inquit, et ecce omnis similitudo reptilis et jumenti, et omnia idola domus Israel descripta in eo per circuitum. Dixitque mihi : Vidisti, fili hominis : num parva sunt, domo Israelis, quæ facit quisque in cubili suo occulto? » Vide igitur, quo pacto eorum singuli in cubili suo occulto, cum laqueum sibi positum, id est, idololatriam haberent, reverentiam tamen erga legem simulaverint. Hinc ait : Facti sunt deprædatio, et non erat qui a direptione eriperet, nec erat qui diceret : Redde. Nam cum Deus non subveniret, quis eos ab hac tam gravi et non sananda calamitate eriperet? Cumque ille non reprehenderet C diripientes, quis illis diceret : Redde? Non enim jam Deus ut propriam sortem eos quæsivit, sed ut alienum a se dimisit, propterea quod ad non deos declinarent. Videturque his verbis, captivitatis tempus subinnuere, quo Israelitæ in potestate ac manu inimicorum perpetuo fuerunt. Nam ad septuagesimum usque annum, qui illos eriperet, nemo fuit, neque qui diripientibus diceret : Redde. Commodissime autem et apposite, postquam vocationem, inquam, gentium exposuit, etiam quibus de causis Israelitæ a consortio Dei ejecti fuerint, **555** diserte dictum est, ut justo calculo usus semper Deus videatur. Oportuit enim, oportuit eos, qui impietatem in Deum exercuerunt, ejus misericordiæ et amoris D expertes esse : at qui ex ignorantia peccati laqueis impliciti erant, et in manum diabolicam cadebant, eos par fuit inflammatos agnitione Dei et luce veritatis, ab omnium Opifice misericordiam consequi. Hoc enim etiam apud sapientissimum Moysen dicere reperitur : Ipsi ad æmulationem provocarunt me in non diis, irritaverunt me in sculptilibus suis. Et ego ad æmulationem provocabo eos in non gente, in gente stulta concitabo eos. Et divinus Psalmista dixit alicubi : « Exacerbaverunt eum in sculptilibus suis, et in studiis suis ad æmulationem eum provocarunt. Aspexitque Dominus Deus et despexit, et plane nihili fecit Israelem [41]. » Si autem spiritualis

[39] Isa. XLII, 17. [40] Ezech. VIII, 8. [41] Psal. LXXVII, 58.

aliqua consideratio apponenda sit, diabolicum laqueum animo et corde habere cavemus: et in phantasiis ratiocinationum mala idola, ad lasciviam vocantia fœdasque voluptates, ne simus præda Satanæ, et dæmoniorum direptio. Scriptum est enim: « Si spiritus dominantis ascenderit in te, locum tuum ne deseras, quia curatio cessare faciet peccata magna [42]. »

Vers. 23. *Quis in vobis qui auribus percipiet hæc? Audite in futura.*

Familiare est Scripturæ divinitus inspiratæ, dicere, ut auribus percipiant, cum sermo non obiter aut oscitanter, sed in rebus necessariis vigilanter accipiendus est; ut quod proditur, mente et corde repositum habeant. Cujusmodi est quod voce Psallentis dictum est: « In corde meo abscondi eloquia tua, ne peccem tibi [43]. » Scriptum est enim, in psalmo quadragesimo octavo: « Audite hæc, omnes gentes, attendite, omnes qui habitatis orbem terræ. » Nam audire, omnibus ubilibet qui vocem vel alium quempiam sonum hauriunt, commune est: at vero attendere est, ut dixi, cum aliquid vaticinio proditum in mentem immigrat, eamque occupat. Videtur ergo hic sermo propheticus eos requirere, qui æquius ac cordatius auscultarunt, ut ad futurarum rerum securitatem, quæ veteribus contigerunt, acciperent. Quemadmodum enim dixit Paulus: « Hæc res in typis contigerunt illis, scripta sunt **556** autem, nos admonendi gratia, in quos sæculorum fines devenerunt [44]. » Non enim oportet nos frustra narrationes de hisce legere, sed ad animi utilitatem hæc capere, et cavere diligenter, ne similibus illaqueemur peccatis, ne in calamitates eorum incidamus.

Vers. 24, 25. *Quis dedit in direptionem Jacob, et Israelem deprædantibus eum? Nonne Deus, cui peccarunt, nec voluerunt in viis ejus ingredi, neque audire legem ejus? Et induxit in eos iram furoris sui et oppressit eos bellum, et qui comburebant eos. Nec tamen ulli ex illis cognoverunt, neque animo consideraverunt.*

Emphatice admodum in his verbis, Jacobum et Israelem videtur nominare. Et ut a nobis hujus emphaseos vis intelligatur, velut breviter dicemus. Variis enim temporibus Israelitæ servierunt Ægyptiis, sed Moyse sequestre, a Deo liberati sunt, at in manu forti et brachio excelso, sicuti scriptum est. Infinitis namque et intolerandis plagis in eos qui diripuerunt animadvertit. Postquam vero e terra Ægyptiorum fugissent, pede mare trajecerunt, panem angelorum comederunt, aquam de petra biberunt, in terram promissionis introducti sunt, regna debellarunt, hostes superarunt, potentem et horri-

A αὐτόν· καὶ εἶδε Κύριος ὁ Θεὸς, καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ.» Εἰ δὲ χρή τινα καὶ θεωρίαν πνευματικὴν τοῖς εἰρημένοις ἐπενεγκεῖν, φυλαττόμεθα παγίδα διαβολικὴν εἰς νοῦν ἔχειν καὶ καρδίαν, καὶ τὰ ἐν φαντασίαις λογισμῶν εἴδωλα πονηρὰ, καλοῦντα πρὸς ἀσέλγειαν καὶ εἰς ἐκτόπους ἡδονὰς, ἵνα μὴ γενώμεθα τῷ Σατανᾷ, καὶ ἅρπαγμα δαιμονίων. Γέγραπται γὰρ ὅτι, « Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. »

Τίς ἐν ὑμῖν ἐνωτιεῖται ταῦτα; εἰσακούσατε εἰς τὰ ἐπερχόμενα.

Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ τὸ ἀκουτίσασθαι λέγειν, ἐπὶ τοῦ μὴ παρέργως, ἢ ἀτημελῶς, τὸν ἐπί γε τοῖς ἀναγκαίοις πράγμασι δέχεσθαι λόγον, νηφα-B λέως δὲ μᾶλλον, ὥστε καὶ εἰς νοῦν καὶ καρδίαν ἀπόθετον ἔχειν τὸ διηγγελμένον. Ὁποῖόν ἐστι τὸ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς εἰρημένον· « Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. » Γέγραπται γὰρ, καὶ ἐν τεσσαρακοστῷ καὶ ὀγδόῳ ψαλμῷ· « Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. » Τὸ μὲν γὰρ ἀκοῦσαι, κοινὸν ἅπασι τοῖς ἅπαξ εἰς οὖς λαβοῦσι φωνὴν, ἢ καὶ ἕτερόν τινα κτύπον· τὸ δὲ μὴν ἐνωτίσασθαι, τὸ εἰς νοῦν, ὡς ἔφην, εἰσοικίσασθαί τι τῶν τεθεσπισμένων. Ἔοικε τοίνυν ὁ προφητικὸς ἐν τουτοισὶ λόγος τοὺς ἐπιεικέστερον ἤγουν ἐμφρονέστερον ἀκροασαμένους ἐπιζητεῖν, ὥστε καὶ εἰς τὴν τῶν μελλόντων ἀσφάλειαν τὰ τοῖς πάλαι συμβεβηκότα λαλεῖν. Ὡς γὰρ ὁ Παῦλός φησιν, ὅτι· « Τὰ τοιάδε C τῶν πραγμάτων τυπικῶς συνέβαινεν ἐκείνοις. Ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκε. » Δεῖ γὰρ ἡμᾶς οὐ μάτην τοῖς περὶ αὐτὸν ἐντυγχάνειν διηγήμασιν, ἀλλ' εἰς ὄνησιν ταῦτα δέχεσθαι ψυχῆς, παραιτεῖσθαι σφόδρα τὸ τοῖς ἴσοις ἁλῶναι πταίσμασιν, ἵνα μὴ ταῖς ἐκείνων περιπίπτοιμεν συμφοραῖς.

Τίς δέδωκεν εἰς διαρπαγὴν Ἰακὼβ, καὶ Ἰσραὴλ τοῖς προνομεύσασιν αὐτόν; Οὐχὶ ὁ Θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἠβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, οὐδὲ εἰσακούειν τοῦ νόμου αὐτοῦ; Καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν ἐπ' αὐτοὺς πόλεμος, καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ· καὶ οὐκ ἔγνωσαν ἕκαστος αὐτῶν, οὐδὲ ἔθεντο ἐπὶ ψυχήν.

D Ἐμφαντικώτατα λίαν τόν τε Ἰακὼβ, καὶ τὸν Ἰσραὴλ ἔοικεν ὀνομάζειν ἐν τουτοις. Καὶ τίς ἂν νοοῖτο πρὸς ἡμῶν ἡ τῆς ἐμφάσεως δύναμις, ἐροῦμεν ὡς ἐν βραχεῖ. Ἐθήτευον μὲν γὰρ Αἰγυπτίοις κατὰ καιροὺς οἱ ἐξ Ἰσραήλ· λελύτρωνται δὲ παρὰ Θεοῦ μεσιτεύοντος τοῦ Μωσέως, πλὴν ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, καθὰ γέγραπται. Μυρίαις γὰρ ὅσαις, καὶ ἀφορήτοις πληγαῖς τοὺς πλεονεκτοῦντας κατῃκίζετο. Ἐπειδὴ δὲ τῆς Αἰγυπτίων ἐξέδραμον γῆς, διέβησαν ποδὶ τὴν θάλασσαν, κατεδηδόκασιν ἄρτον ἀγγέλων, ἔπιον ὕδωρ ἐκ πέτρας, εἰσεκομίσθησαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, κατηγωνίσαντο βασιλείας, κεκρα-

[42] Eccle. x, 4. [43] Psal. cxviii, 11. [44] I Cor. x, 11.

τήκασιν ἐχθρῶν, δεινὴν καὶ δυσάντητον ἐσχήκασι χεῖρα καὶ διαβόητον ἐπὶ τούτῳ τὴν δόξαν. Ὅπλον δὲ ἦν αὐτοῖς ὁ τῶν ὅλων Θεός, ὁ ἱστὰς μὲν τοῦ ἡλίου καὶ σελήνης δρόμον, κατά γε τῆς Γαβαὼν, ἐπαφιεὶς δὲ χαλάζας τοῖς ἀλλοφύλοις ἐξ οὐρανοῦ καὶ εἰς λῆξιν πάσης εὐκλείας τὸν οἰκεῖον ἀναβιβάζων λαόν. Τίς τοίνυν, φησὶ, τὸν διαβόητον Ἰσραὴλ, τὸν ἀξιοζήλωτον Ἰακὼβ, τὸν ἀνάλωτον ἐχθροῖς, τὸν εὐσθενῆ τε καὶ μαχιμώτατον, καὶ ἀεὶ νικᾷν εἰωθότα δέδωκεν εἰς διαρπαγὴν, καὶ τοῖς προνομεύουσι; Πῶς ἠσθένησεν ὁ νικᾶσθαι μὴ εἰδώς; Πῶς ὑπηνέχθη, καὶ γέγονεν ὑπὸ πόδας τῶν ἀνθεστηκότων ὁ πᾶσιν ὑψοῦ, καὶ ἄθραυστον ἀνατείνων τὸ κέρας; Ἐπειδὴ δὲ ἦν ἀναγκαῖον τοὺς μετ' ἐκείνους ἡμᾶς μὴ ἀγνοῆσαι τὰς αἰτίας τοῦ παραδεδόσθαι τὸν οὕτω λαμπρὸν, καὶ ἐξῃρημένον λαὸν, ἐπήνεγκεν ἀναγκαίως· Οὐχὶ ὁ Θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἐβούλοντο ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ; Ἡ δὲ ἐπὶ τοῖς ἀμφιλόγοις ἐρώτησις ὁμολογίαν ἔχει σαφῆ τοῦ πράγματος. Θεὸς γάρ που πάντως ὁ δοὺς αὐτὸν, καὶ τὴν τοῖς ἐγκλήμασιν πρέπουσαν ἐπαρτήσας ὀργήν. Ταύτητοι τοίνυν κατίσχυσεν αὐτοὺς πόλεμος. Ἀσύνηθες δὲ τοῦτο τοῖς ἐξ Ἰσραὴλ, ἀεὶ γὰρ κεκρατήκασι συνασπίζοντος Θεοῦ. Ἐπειδὴ δὲ εἰς τοὺς θείους αὐτοῦ πεπαρῳνήκασι νόμους, ἔρημοι γεγόνασιν αὐχημάτων τῶν πάλαι. Πεπτώκασιν εἰς τὸ ἀδρανὲς, κατεκομίσθησαν εἰς τὸ ἄναλκες· κύκλῳ γεγόνασιν αὐτῶν οἱ συμφλέγοντες, καὶ οἷόν τινι πυρὶ δαπανῶντες αὐτοὺς τῷ μεγέθει τῶν ἐπενηνεγμένων, ἤγουν καταπιμπράντες αὐτῶν τὰς πόλεις, κατὰ τὸ ἑτέρωθί που σαφῶς εἰρημένον· Αἱ πόλεις ὑμῶν πυρίκαυστοι. Πλὴν οὐκ ἔγνωσαν, φησὶν, ἕκαστος αὐτῶν, οὐδὲ ἔθεντο ἐπὶ ψυχὴν· ἀναισθησίας ἐν τούτοις ὑπομένουσι γραφήν. Ἄρτιοι μὲν γὰρ εἰς σύνεσιν εἶεν ἂν οἱ τὸ προσκρούειν Θεῷ παραιτούμενοι, καὶ τοῦ παθεῖν τι τῶν ἐξ ὀργῆς ἔξω τείνοντες πόδα, διά γε τὸ τρυφερὸν ὑπέχειν αὐτῷ τὸν αὐχένα. Οἵ γε μὴν, καὶ ἐν αὐτῷ γεγονότες τῷ παθεῖν ἐξ ἀνθρωπίνων ὀλισθημάτων, εἰ μὴ αἰσθάνοιντο τῶν ἐπενηνεγμένων, ἀπάσης ἂν εἶεν ἐλπίδος ἀγαθῆς οἱ τοιοίδε μακράν. Ὅτι δὲ καὶ τοῖς τοιούτοις ἐγκλήμασιν ἔνοχοι γεγόνασιν οἱ ἐξ Ἰσραὴλ, καταθρήσαι τις ἂν Ἱερεμίου λέγοντος πρὸς τὸν τῶν ὅλων Θεόν· «Κύριε, οἱ ὀφθαλμοί σου εἰς πίστιν, ἐμαστίγωσας αὐτοὺς, καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν.» Μεμνήμεθα ὅτι μετὰ τὸ ἁλῶναι τὴν Ἱερουσαλὴμ, ἀποκομισθῆναι δὲ καὶ αἰχμάλωτον τὸν Ἰσραὴλ, τοῖς περιλελειμμένοις ὁ προφήτης Ἱερεμίας προσελάλει τὰ περὶ Θεοῦ λέγοντος μὴ κατελθεῖν εἰς Αἴγυπτον. Εἶτα πρὸς αὐτῶν αἱ γυναῖκες ἀναιδὴν ἔφασκον, μᾶλλον δὲ οὐδ' εἰς αἴσθησιν ἐνηνεγμέναι τῆς ὀργῆς, ὅτι, Οὐκ ἀπέστειλέ σε Κύριος. Προσεπήγαγον δὲ τούτοις τὰ ἐξ ἀκράτου φρενοβλαβείας. Ἐπειδὴ γὰρ, ἔφασκον, διελείπομεν θύουσαι τῇ βασιλίδι τοῦ οὐρανοῦ, ἐπῆλθεν ἐφ' ἡμᾶς πάντα τὰ κακὰ ταῦτα. Ἀληθὲς οὖν ἄρα τὸ εἰρημένον, ὅτι Οὐκ ἔγνωσαν ἕκαστος αὐτῶν, οὐδὲ ἔθεντο ἐπὶ ψυχὴν, κατισχύσαντος αὐτῶν τοῦ πολέμου, καὶ τῶν κύκλῳ περιεχόντων καταφλεγόντων παντελῶς αὐτούς.

bilem manum habuerunt, et celeberrimam inde gloriam consecuti fuerunt. Arma vero eorum erat universorum Deus: qui in Gabaon cursum solis sistebat et lunæ, et de cœlo grandines in alienigenas demisit, et suum populum in omnis dignitatis sortem evexit [44]. Ergo, inquit, quis Israelem celebratissimum, Jacobum æmulandum et admirandum, hostibus insuperabilem, præpotentem, et bellacissimum, et semper vincere solitum, in direptionem dedit, et deprædantibus objecit? Quomodo attenuatus est, qui vinci non poterat? Quomodo subjugatus et subjectus adversariorum pedibus, qui contra omnes excelsum et invulnerabile cornu efferebat? Quia autem necessarium erat nos, qui illos secuti sumus, causas, cur populus adeo illustris et electus traditus fuerit, non ignorare, induxit necessario: Nonne Deus, cui peccarunt, et non voluerunt viis ejus ingredi, neque legem ejus audire? Hæc in ambiguis rebus interrogatio, rei manifestam habet **557** confessionem. Deus enim erat omnino, qui dedit eum, et qui sceleribus iram dignam intentavit. Hinc itaque illos bellum oppressit. Eratque hoc Israelitis insuetum: ut qui semper Deo protegente, superiores evaserint. At ubi in divinas ejus leges debacchati sunt, veteribus ornamentis deserti et destituti sunt, ad impotentiam reciderunt, ad imbellem timiditatem deducti sunt, circumcirca erant qui eos comburerent, et veluti igne quodam, rerum quæ inferebantur magnitudine, consumerent, vel eorum civitates incenderent, quemadmodum alibi clare dictum est: Civitates vestræ igni incensæ sunt. Verum non cognoverunt, inquit, ulli ex illis, nec animum adhibuerunt: quibus stupiditatis dica hisce verbis scribitur. Etenim cognitione perfecti et absoluti esse possent, si Deum offendere supersederent, et a supplicio ac ira procul quasi pedem removissent, si cervicem ei teneram et flexilem præbuissent. Qui vero propter humanos lapsus patiuntur, si ea quæ inferuntur non sentiant, hi ab omni spe bona procul absunt. Fuisse autem Israelitas talibus implicatos noxiis, videre licet ex Jeremia, qui affatur Deum universorum: «Domine, oculi tui ad fidem, flagellasti eos, at noluerunt suscipere disciplinam [45].» Meminimus, postquam capta esset Jerusalem, et Israel captivus esset abductus, his qui reliqui erant, locutum esse Jeremiam prophetam, quæ Deus dixerat, ne descenderent in Ægyptum. Deinde impudenter mulieres, imo nullo ejus iræ sensu tactæ, ei dixerunt: Non misit te Dominus: et alia his ex impotenti insania adjecerunt. Postquam enim, dixerunt, destitimus sacrificare reginæ cœli, hæc omnia mala in nos venerunt. Proinde verum est quod dicitur: Non cognoverunt ulli ex illis, neque animum adhibuerunt, cum bellum illos oppresserat, et undique cingentibus eos, qui combusserunt.

[44] Jos. x, 12. [45] Jer. v, 3.

Cap. XLIII. Vers. 1, 2. *Et nunc sic dicit Dominus Deus, qui fecit te, Jacob, qui formavit te, Israel: Ne timeas, quoniam redemi te, vocavi te nomine tuo. Meus es tu: et si transieris per aquam, tecum sum, et flumina non cooperient te; et si transieris per ignem, non* **558** *combureris, flamma non comburet te, quia ego Dominus Deus sanctus, Israel, servans te.*

Mirari etiam nunc operæ pretium est misericordem Deum. Bonus enim cum sit natura Deus, et universorum conditor, etiamsi usuveniat, ad scelerum ablutionem, ut quidam in iræ justæ severitatem incidant, transit tamen ad misericordiam, nec longe post, et qui percussit, sanat, et aufert flagellum, et restituit pœnitentia ductos, et nos lapsos resuscitat, et his qui malis erant detenti ac calamitatibus, manum salutarem porrigit, eos omni ærumna extrahendo, et ad felicitatem traducendo. Specta enim quomodo velut in oblivionem delictorum veniat, et divina ἀμνηστίᾳ delere et obterere promittat crimina: adjecto quasi alio principio temporis, quod illos ad tranquillitatem adduceret. Et, Nunc, perinde esse dirimus ut illud in libro Psalmorum dictum: « Hodie si vocem meam audieritis, nolite obdurare corda vestra, ut in exacerbatione [44]. » Quemadmodum enim illic, Hodie, principium definit temporum aliorum: sic et hic Nunc, argumentum habet ἀμνηστίας et oblivionis eorum quæ jam sunt commemorata, et ad principium viæ ac rerum aliarum a Deo futurarum adducit. Itaque non sinit eos prorsus desperatione marcescere, nec in perpetuum aversatur, sed omni metu eximit, et dat fiduciam, ac spem facit omnia bona consequendi, Deo rerum naturam ad id quod incomparabiliter melius est convertente. Redemi enim te, inquit. Quo autem modo, manifestabit sapientissimus Paulus, cum dicit de omnium nostrum Servatore Christo: Collubitum est Deo et Patri in illo tanquam in capite omnia summatim comprehendere, et quæ in cœlis et quæ in terra [45]. In ipso enim est omnium redemptio et remissio, et præteritorum oblivio, et spiritualis cognationis, quæ cum eo, inquam, est, modus per sanctificationem perfectus et consummatus, quæ nos etiam ad communionem cum Deo et Patre adducit. Propterea dicit: Vocavi te nomine tuo. Quonam? nimirum: Meus es tu. Christi enim esse dicimur, et hoc præclarum nomen est, quo cognominamur. Sciendum vero, quod in alia Scriptura dicatur: Vocavi te nomine meo, verum cum adjicit et dicit: Meus es tu, solvit alienationem, quam subire solent qui peccatis **559** detinentur. Non enim illi sunt Dei, licet universorum dominium teneat. Et deturbat a societate et conjunctione quæ cum illo est, ad res malas proclivitas. Unde dicimus eos qui sunt contaminati inquinamentis, non esse Dei. Itaque spiritualis conjunctionis et cognationis, emphasis quædam est: Meus es tu. Promittitque ei auxilium

Καὶ νῦν οὕτως λέγει Κύριος ὁ Θεὸς, ὁ ποιήσας σε, Ἰακὼβ, ὁ πλάσας σε, Ἰσραήλ· Μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε, ἐκάλεσά σε τὸ ὄνομά σου. Ἐμὸς εἶ σύ. Καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμι, καὶ ποταμοὶ οὐ συγκλύσουσί σε· καὶ ἐὰν διέλθῃς διὰ πυρὸς, οὐ μὴ κατακαυθῇς· φλὸξ οὐ κατακαύσει σε· ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὁ ἅγιος, Ἰσραὴλ, ὁ σώζων σε.

Ἄγασθαι καὶ νῦν ἀναγκαῖον τοῦ φιλοικτίρμονος Θεοῦ. Ἀγαθὸς γὰρ ὑπάρχων φύσει, καὶ τῶν ὅλων Δημιουργὸς, κἂν εἰ γένοιτό τις ἀνάγκη πρὸς ἀπόνηψιν ἐγκλημάτων καταπέσαι τινὰς τοῖς ἐκ δικαίας ὀργῆς κινήμασι, μεταφοιτᾷ πρὸς ἔλεον, καὶ οὐκ εἰς μακρὰν, καὶ ὁ πλήξας μοτοῖ, καὶ ἀποφέρει τὴν μάστιγα, καὶ ἀνακτᾶται μεταγινώσκοντας, καὶ ἀνίστησιν ἡμᾶς ὠλισθηκότας, καὶ τοῖς τῷ παθεῖν ἐνειλημμένοις χεῖρα νέμει σωτήριον, συμφορᾶς ἁπάσης ἐξέλκων αὐτοὺς, καὶ μεθιστὰς εἰς εὐημερίαν. Ἄθρει γὰρ ὅπως εἰς λήθην ὥσπερ τῶν διεπταισμένων ἔρχεται, καὶ θεοπρεπέσιν ἀμνηστίαις ἀφανίζειν ὑπισχνεῖται τὰ ἐγκλήματα προτιθεὶς αὐτοῖς ἀρχὴν ὥσπερ ἑτέραν καιροῦ πρὸς εὐθυμίαν αὐτοὺς ἀναφέροντος. Καὶ γοῦν τοιοῦτον εἶναί φαμεν τὸ ἐν βίβλῳ Ψαλμῶν εἰρημένον· « Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. » Ὥσπερ γὰρ ἐκεῖ τὸ Σήμερον ἀρχὴν ὁρίζει καιρῶν ἑτέρων, οὕτω κἀνθάδε τὸ Νῦν ἀμνηστίας ὑπόθεσιν ἔχει τῶν ἤδη προειρημένων. Ἀναβιβάζει δὲ πρὸς ἀρχὴν ὁδοῦ, καὶ πραγμάτων ἑτέρων ἐσομένων παρὰ Θεοῦ. Οὐκοῦν οὐκ ἐᾷ ταῖς εἰς ἅπαν εὐθυμίαις αὐτοὺς καταμαραίνεσθαι, οὔτε μὴν ἀτελεύτητον ποιεῖται τὴν ἀποστροφὴν, ἐξίστησι δὲ καὶ φόβου παντὸς, καὶ δίδωσι τὸ θαῤῥεῖν, ὅτι τεύξεται παντὸς ἀγαθοῦ, μεθιστάντος Θεοῦ πρὸς τὸ ἀσυγκρίτως ἄμεινον τῶν κατ' αὐτοὺς πραγμάτων τὴν φύσιν. Ἐλυτρωσάμην γάρ σε, φησίν· καὶ τίνα τρόπον σαφηνιεῖ λέγων ὁ πάνσοφος Παῦλος περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ὅτι Ηὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν αὐτῷ, τά τε ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς. Ἐν αὐτῷ γὰρ ἡ πάντων λύτρωσις, ἄφεσίς τε καὶ ἀμνηστία τῶν πάλαι, καὶ ὁ τῆς πνευματικῆς οἰκειώσεως τρόπος, τῆς πρός γέ φημι πρὸς αὐτὸν, δι' ἁγιασμοῦ τελούμενος, ἀναφέροντος ἡμᾶς εἰς κοινωνίαν τοῦ Θεοῦ καὶ Πατρός. Διὰ τοῦτό φησιν· Ἐκάλεσά σε τὸ ὄνομά σου· καὶ ποῖον; τοῦτ' ἔστιν, Ἐμὸς εἶ σύ. Χριστοῦ γὰρ εἶναι λεγόμεθα, καὶ τοῦτό ἐστι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς. Ἰστέον δὲ ὅτι καὶ ἐν ἑτέρᾳ φέρεται Γραφῇ· Ἐκάλεσά σε τῷ ὀνόματί μου· πλὴν τὸ Ἐμὸς εἶ σὺ, τιθείς τε καὶ λέγων, ἔλυσε τὴν ἀλλοτρίωσιν, ἣν ὑπομένειν ἔθος τοὺς ἁμαρτίαις ἐνισχημένους. Οὐ γάρ εἰσιν ἐκεῖνοι Θεοῦ, καίτοι κατεξουσιάζοντος τῶν ὅλων, ἐξίστησι δὲ τῆς πρὸς αὐτὸν οἰκειότητος ἡ πρὸς τὰ φαῦλα διάθεσις. Ταύτητοί φαμεν οὐκ εἶναι Θεοῦ τοὺς ὄντας ἐν μολυσμοῖς. Οὐκοῦν οἰκειώσεως ἔμφασις εἴη ἂν τῆς πνευματικῆς τὸ, Ἐμὸς εἶ σύ. Ὑπισχνεῖται δὲ καὶ ἄμαχον αὐτῷ τὴν ἐπικουρίαν,

[44] Psal. xciv, 8. [45] Ephes. i, 20, 23.

ὡς ἀνάλωτον γενέσθαι παντὶ πειρασμῷ. Ποταμοὶ A γάρ, καὶ ὕδωρ, καὶ φλόγες τὰς πολυειδεῖς τῶν πειρασμῶν ἐφόδους κατασημαίνουσι. Γέγραπται δὲ, ὅτι « Πάντες οἱ θέλοντες εὐσεβῶς ζῇν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται. » Καὶ αὐτός γε Χριστὸς ἔφη που τοῖς εἰς αὐτὸν πιστεύσασι· Θλῖψιν ἔχετε ἐν τῷ κόσμῳ. Ἀλλ' ἐὰν διαβαίνῃς δι' ὕδατος, φησὶ, μετὰ σοῦ εἰμι. Χριστοῦ γὰρ συνόντος ἀδικήσειεν ἂν οὐδὲν τοὺς ὄντας αὐτοῦ. Ἀλλ' ἰσχύος εἰς τοῦτο δραμοῦνται πνευματικῆς, ὥστε οὐδένα τοῦ καταχειμάζειν ἰσχύοντος ποιεῖσθαι λόγον. Ἀλλὰ κἂν ἐπέλθῃ ποτὲ διωγμὸς ποταμίου ῥεύματος δίκην, κἂν πυρὸς ἀκμὴν ἔχοι, καὶ φλογὸς, καὶ οὕτω νικᾷν, πλὴν εἰδότος ὅτι Θεὸς ὁ σώζων ἐστίν. Ἔστι γὰρ ἔθος τῇ θείᾳ Γραφῇ καὶ ποταμοῖς, καὶ ὕδασι τὰς τῶν πειρασμῶν ἐφόδους ἐφομοιοῦν. B Διαδείξει λέγων καὶ αὐτὸς ὁ Σωτὴρ ὡς ἐν εἴδει παραβολῆς, ἤγουν παραδείγματος· « Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε. Τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν, ἡ δὲ πέτρα ἐστὶ Χριστός. »

Ἐποίησά σου ἄλλαγμα Αἴγυπτον καὶ Αἰθιοπίαν, καὶ Συήνην ὑπὲρ σὲ, ἀφ' οὗ σὺ ἔντιμος ἐγένου ἐναντίον μου. Ἐδοξάσθης, κἀγώ σε ἠγάπησα, καὶ δώσω ἀνθρώπους πολλοὺς ὑπὲρ σοῦ, καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου. Μὴ φοβοῦ. ὅτι μετὰ σοῦ εἰμι. C

Δυσέφικτος μὲν κομιδῇ τῶν προκειμένων ὁ νοῦς, ποιήσομαι δὲ τὴν ἀφήγησιν ὡς ἔνι Θεοῦ κατευθύνοντος, δίδωσι γὰρ αὐτὸς σοφίαν καὶ γνῶσιν. Οὐκοῦν πρὶν ἐπιλάμψαι τῷ κόσμῳ Χριστὸν, ὅς ἐστι φῶς τὸ ἀληθινὸν, ἐπεπλάνητο μὲν ἡ σύμπασα γῆ, βαθεῖ δὲ καὶ σφοδροτάτῳ τῆς ἀμαθίας κατεμελαίνετο σκότῳ, καὶ πλεῖσται μὲν ἦσαν πανταχοῦ λατρεῖαι, κατά τε χώρας καὶ ἔθνη. Δεισιδαιμονέστεροι δὲ τῶν ἄλλων γεγόνασι Χαλδαῖοι, καὶ Φοίνικες, καὶ ὅσοι τὴν Αἰγυπτίων ἔχουσι γῆν, μέχρι Συήνης τε καὶ Αἰθιοπίας. Ὅμορον γὰρ τῇ τῶν Αἰγυπτίων οἰκοῦσι χώραν. Ἀπόλεκτος δὲ Θεοῦ κλῆρος μόνος ἦν ὁ Ἰσραὴλ καὶ μερὶς Κυρίου, κατὰ τὸ γεγραμμένον. Ἐπειδὴ δὲ δεδυσσεβήκασιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, D καὶ γεγόνασι κυριοκτόνοι, κλῆρος μὲν οὐκ ἔτι Θεοῦ μεμενήκασί ποθεν· ἐξώλισθον δὲ τῆς πρὸς αὐτὸν οἰκειότητος, καὶ προσελήφθη τὰ ἔθνη, καὶ γεγόνασιν ἀντάλλαγμα τοῦ Ἰσραήλ· καὶ οἱ πάλαι τῶν ἄλλων ἁπάντων δεισιδαιμονέστεροι, καὶ δυσαπόνιπτον ἔχοντες ἐν τούτῳ τὸν ῥύπον. Ἔφην τε ὅτι δεινοὶ, καὶ πικροὶ γεγόνασιν οἱ Αἰγύπτιοι, μάλιστα περὶ τὰς τῶν εἰδώλων εὑρέσεις, καὶ βαθεῖς εἰς ψευδολατρείαν, καὶ μέγα φρονοῦντες ἐπὶ τῷ σοφίζεσθαι περιττὰ περὶ τὰς τῶν εἰδώλων θεραπείας τε ὁμοῦ, καὶ κλήσεις. Σοῦ τοίνυν τοῦ ἠγαπημένου, φησὶ, τοῦ ἐκνεμηθέντος εἰς κλῆρον ἐμοὶ ἐποίησα ἄλλαγμα Αἴγυπτον, καὶ Αἰθιοπίαν, τοῦτ' ἔστι, πάλιν τὴν Αἴγυπτον· Αἰθίοπας

invictum, quod nulla eum tentatio invadet. Nam fluvii, et aqua, et flammæ, multiplices tentationum impetus designant. Scriptum est : « Omnes qui volunt pie in Christo Jesu vivere, persecutionem patientur [47]. » Et ipsemet Christus alicubi dixit credentibus in se : Afflictionem habetis in mundo. Sed, inquit, si transieris aquam, tecum sum. Christus enim si una sit, nihil his qui sunt ejus, injuriam fecerit : at eo spiritualis fortitudinis devenient, ut nihili sint facturi eum qui valeat tempestatibus divexare et demergere : imo si persecutio in morem fluminis ac fluctus aliquando invadat, et ignis ac flammæ vim habeat, sic tamen evincet, illud scientes, Deum esse qui servat. Est enim familiare Scripturæ divinitus inspiratæ, et fluminibus et aquis tentationum insultus assimilare, quod demonstrabit etiam Servator ipse, cum dicit, veluti forma quadam parabolæ seu exempli : « Omnis igitur qui audit sermones meos hosce, et facit eos, assimilabitur viro prudenti, qui ædificavit domum suam super petram, et descendit imber, et venerunt fluvii, et spiraverunt venti, et irruerunt in domum illam, et non cecidit. Fundata est enim in petra. Est autem petra Christus [48]. »

VERS. 3, 4. *Feci commutationem tuam Ægyptum, et Æthiopiam, et Syenen pro te, ex quo honorabilis factus es coram me, gloriosus factus es, et ego te dilexi. Et dabo homines multos pro te, et principes pro capite tuo. Ne timeas, quia ego tecum sum.*

Difficile est assequi sane mentem horum verborum; enarrabo tamen, Deo dirigente, ut potero : ipse enim dat sapientiam et cognitionem. Priusquam ergo Christus mundo illuxisset, qui est vera lux, terra universa errabat, et profundis altissimisque peccati tenebris obscurata erat, et complures passim cultus erant, per regiones et per gentes. Cæteris autem superstitiosiores exstiterunt Chaldæi et Phœnices, et quotquot terram Ægyptiorum occupant, usque ad Syenen et Æthiopiam. Conterminam namque regionem terræ **560** Ægyptiorum inhabitant. Solus Israel, Dei sors erat electa, et portio Domini, sicuti scriptum est. Cum autem impii fuerint in Dominum nostrum Jesum Christum, et dominicidæ exstiterint, nequaquam jam sors Dei manserunt, sed a cognatione quæ cum illo erat deciderunt, gentesque sunt assumptæ, et factæ loco Israelis commutatio : etiam qui reliquis omnibus olim erant superstitiosiores, et qui propterea sordes habebant non eluendas. Dixi vehementes et acres fuisse Ægyptios, maxime quod ad idolorum inventionem attinet, et profunde immersi pseudololatria ac falsis cultibus, altum sapiebant, quod supra modum ac sophistice in adoratione et nominibus dæmonum philosopharentur. Itaque, inquit, pro te dilecto, pro te mihi in sortem tributo, feci commutationem, Ægyptum et Æthiopiam, id est, rursus Ægyptum. Æthiopas

[47] II Tim. III, 12. [48] Matth. VII, 24, 25.

enim nominare Ægyptios solet divinitus inspirata A Scriptura. Hinc per quemdam e sanctis prophetis dixit: Et vos, Æthiopes, vulnerati estis gladio meo [49]. Pro te igitur suscepi, inquit, graviter inquinatos, et qui haberent impuritatem indelebilem quodammodo. Verum ex quo honorabilis factus es in conspectu meo, gloria evectus es. Non enim hæsit Israel in hac repudiatione et infamia perpetuo; nam ipse per fidem vocabitur quæ est in Christo, et sanctorum gloriæ socius erit ac particeps. Gloria enim subvectus es, inquit, et ego te dilexi. Illud autem: Dabo homines multos pro te, et principes pro capite tuo: demonstrare videtur, vocatis ad agnitionem Christi suo tempore Israelitis, quamplurimos fore qui sciant eos mysteria docere, et sapientes viros et facundissimos. Pro te enim, B inquit, dabo multos homines, et principes dabo, qui pro tuo capite dicant. Caput autem credentium Christus, in quem omnis mystagogia respicit, ac institutio populorum qui docentur et ducuntur suo tempore, suffragio scilicet ipsius ac sententia. Ergo pro te, significare poterit, e re tua, pro utilitate tua, quæ cedet tibi discenti augustum et magnum capitis tui, id est Christi, mysterium. Vel etiam alio modo intelliges: Dabo homines multos pro te, et principes pro capite tuo. Abjectus enim fuisti et relegatus, inquit, et ab amicitia erga me et conjunctione prorsus alienus. **561** Hinc etiam in commutationem pro te gentes accepi, quæ ad ultimam C prostitutæ sunt infamiam. Sed ex eo quod honoratus factus es in conspectu meo, nimirum quatenus credidisti, et gloriam ea de re adeptus es, dilexi te, et ita dilexi, ut si tempus incideret aut usus, ut multos homines ac principes pro capite tuo dari esset necesse, equidem darem. Est enim oratio hypothetica, et maximam habet emphasin et argumentum, honorari a Deo Israelem. Spemque facit certam, quod omni tempore et undequaque cum illis sit Deus. Tecum enim sum. Quod quidem satis est illis, ad omnem felicitatem. Si enim Deus una sit, e medio tollentur mala, et omne genus tranquillitatis nobis eorum loco inducitur.

VERS. 5, 6. *Ab oriente adducam semen tuum, et ab occidente congregabo te. Dicam Aquiloni: Adduc; et Africo: Ne prohibeto, adducito filios meos e terra longinqua, et filias meas ab extremis terræ, quotquot appellantur nomine meo.*

Apparuit his qui in terra erant, in forma nostra, id est, factum homo unigenitum Dei Verbum, ut Græcos et Judæos per multas ac varias offensiones detrusos in apostasiam ac defectionem ab omnium, inquam, Conditore, ad veram et incontaminatam Dei cognitionem attraheret, et in unionem spiritualem, per fidem et sanctificationem perpulchre consummatam congregaret, tandemque conjunctione

[49] Soph. II, 12.

A γὰρ τοὺς Αἰγυπτίους ὀνομάζειν ἔθος τῇ θείᾳ Γραφῇ. Ἔφη γοῦν δι' ἑνὸς τῶν ἁγίων προφητῶν, Καὶ ὑμεῖς, Αἰθίοπες, τραυματίαι μαχαίρας μού ἐστε. Εἰσεδεξάμην τοίνυν ἀντὶ σοῦ, φησὶ, τοὺς ἐν μολυσμοῖς ὄντας δεινοῖς, μόνον δὲ οὐχὶ καὶ ἀναπόβλητον ἔχοντας τὴν ἀκαθαρσίαν. Πλὴν ἀφ' οὗ ἔντιμος ἐγένου, ἐναντίον μου ἐδοξάσθης. Οὐ γὰρ ἔμεινεν ὁ Ἰσραὴλ ἐν ἀποστροφῇ τε καὶ ἀτιμίᾳ διηνεκεῖ. Κληθήσεται γὰρ καὶ αὐτὸς διὰ πίστεως τῆς ἐν Χριστῷ, καὶ τῆς τῶν ἁγίων δόξης κοινωνὸς ἔσται, καὶ μέτοχος. Ἐδοξάσθης γὰρ, φησὶ, κἀγώ σε ἠγάπησα. Τὸ δὲ, Δώσω ἀνθρώπους πολλοὺς ὑπὲρ σοῦ, καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου, καταδηλοῦν ἔοικεν, ὅτι κεκλημένων κατὰ καιροὺς εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ τῶν ἐξ Ἰσραὴλ, πλεῖστοί τινες ἔσονται μυσταγωγεῖν εἰδότες αὐτοὺς, B ἄνθρωποι σοφοὶ καὶ ἐλλογιμώτατοι. Ὑπὲρ σοῦ γὰρ ποιῶν, φησὶ, δώσω πολλοὺς ἀνθρώπους. Δώσω δὲ καὶ ἄρχοντας ὑπὲρ τῆς σῆς λέγοντας κεφαλῆς· κεφαλὴ δὲ τῶν πιστευόντων Χριστὸς, εἰς ὃν πᾶσα βλέπει μυσταγωγία παρὰ τῶν εἰς τὸ καθηγεῖσθαι λαῶν ἀγομένων κατὰ καιροὺς, ψήφῳ δηλονότι τῇ παρ' αὐτοῦ. Οὐκοῦν τὸ, ὑπὲρ σοῦ, κατασημαίνειεν ἂν τὸ, ὑπὲρ τοῦ χρησίμου καὶ τελοῦντος εἰς ὄνησιν σοὶ τῷ μανθάνοντι τὸ σεπτὸν καὶ μέγα μυστήριον τῆς σῆς κεφαλῆς, τουτ' ἔστι Χριστοῦ. Ἤγουν καὶ καθ' ἕτερον συνήσεις τρόπον τὸ, Δώσω ἀνθρώπους πολλοὺς ὑπὲρ σοῦ, καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου. Γέγονας γὰρ ἀπόβλητος, φησὶ, καὶ ἐξῳκισμένος, καὶ C τῆς πρὸς ἐμὲ φιλίας τε καὶ οἰκειότητος ἀλλότριος παντελῶς. Ταύτητοι, καὶ εἰς ἀντάλλαγμά σου τὰ εἰς ἔσχατα ἥκοντα διαβολῆς τῶν ἐθνῶν ἐδεξάμην. Ἀλλ' ἀφ' οὗ ἔντιμος ἐγένου ἐναντίον μου, πιστεύσας δηλονότι, καὶ τὴν ἐπὶ τούτῳ δόξαν εὑράμενος, ἠγάπησά σε. Ἠγάπησα δὲ οὕτως, ὥστε καὶ εἰ γένοιτο καιρὸς ἢ χρεία τοῦ πολλοὺς ἀνθρώπους καὶ ἄρχοντας ὑπὲρ τῆς σῆς δοθῆναι κεφαλῆς, δοίην ἄν. Ἔστι γὰρ ὑποθετικὸς ὁ λόγος, καὶ πλείστην ὅσην τὴν ἔμφασιν ἔχων τοῦ τετιμῆσθαι παρὰ Θεοῦ τὸν Ἰσραὴλ, δίδωσί γε μὴν τὸ θαῤῥεῖν ἀραρότως, ὡς ἐν παντὶ καλῷ πάντῃ τε καὶ πάντως συνόντος Θεοῦ· Μετὰ σοῦ γὰρ εἰμι. Ἀπόχρη δὲ τοῦτο αὐτοῖς πρὸς πᾶσαν εὐημερίαν· Θεοῦ γὰρ συνόντος, ἐκποδὼν μὲν ἔσται τὰ μοχθηρὰ, ἅπας δὲ τρόπος ἡμῖν εὐθυμίας καὶ τερπωλῆς ἤτ' οὖν D χαρᾶς ἀντεισκρίνεται.

Ἀπὸ ἀνατολῶν ἄξω τὸ σπέρμα σου, καὶ ἀπὸ δυσμῶν συνάξω σε. Ἐρῶ τῷ Βοῤῥᾷ· Ἄγε, καὶ τῷ Λιβί· Μὴ κώλυε· ἄγε τοὺς υἱούς μου ἀπὸ γῆς πόῤῥωθεν, καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρων τῆς γῆς, πάντας ὅσοι ἐπικέκληνται τῷ ὀνόματί μου.

Ἐπέφανε τοῖς ἐπὶ γῆς ἐν εἴδει τῷ καθ' ἡμᾶς, τουτ' ἔστι, γενόμενος ἄνθρωπος, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵν' Ἕλληνάς τε καὶ Ἰουδαίους διὰ πολλῶν τε καὶ ποικίλων ὀλισθημάτων κατακομισθέντας εἰς ἀπόστασιν, τὴν ἀπό γε φημὶ τοῦ πάντων Δημιουργοῦ, συνελάσῃ πρὸς θεογνωσίαν τὴν ἀληθινὴν καὶ ἀμώμητον, συναγάγῃ δὲ καὶ εἰς ἑνότητα τὴν πνευματικὴν διὰ πίστεως καὶ ἁγιασμοῦ, τελουμένης εὖ μάλα

καὶ τῆς πρὸς αὐτὸν οἰκειότητος, ἀξίους ὄντας A ἀποφήνῃ λοιπὸν, οὕτω τε συνάψῃ δι' ἑαυτοῦ τῷ Θεῷ, καὶ Πατρί. Ὅτι γὰρ καὶ ταύτης ἕνεκα τῆς αἰτίας ἐνηνθρώπησεν, ὁ Χριστὸς, χαλεπὸν οὐδὲν κατιδεῖν δι' ἁγίων εὐαγγελικῶν Γραμμάτων. Ἀνεβίω μὲν γὰρ παραδόξως ὁ Λάζαρος ἐκ νεκρῶν· ἡ δέ γε τῶν ἀνοσίων Ἰουδαίων πληθὺς, ἤτοι τὸ τῶν Φαρισαίων θεομισὲς ἐργαστήριον, συνήδρευόν τε καὶ ἔφασκον· «Τί ποιοῦμεν; ὅτι ὁ ἄνθρωπος οὗτος πολλὰ ποιεῖ σημεῖα. Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸ ἔθνος, καὶ τὴν χώραν. Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας εἶπεν αὐτοῖς· Ὑμεῖς οὐκ οἴδατε οὐδὲν, ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.» Εἶτα τούτοις ἐπήγαγεν εὐθὺς ὁ θεσπέσιος εὐαγγελιστής· «Ταῦτα δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλ' ἀρχιερεὺς B ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν, ὅτι ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους, καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ Θεοῦ ἐσκορπισμένα συναγάγῃ εἰς ἕν.» Ὅσον μὲν γὰρ ἧκεν εἰς τὴν ἐν ἀρχαῖς τοῦ ἀνθρώπου ποίησιν, καὶ τὸν ἐπ' αὐτῷ σκοπὸν τοῦ παρενεγκόντος εἰς ὕπαρξιν, τέκνα ἅπαντες ἦσαν αὐτοῦ. Κατεσκέδασε δ', ὡς ἔφην, ἅπαντας ὁ Σατανᾶς εἰς πολύτροπον ἁμαρτίαν, ἀπεβουκόλησέ τε τῆς πρὸς αὐτὸν οἰκειότητος κατενεγκὼν εἰς πλάνησιν· πλὴν συνεκόμισεν ἅπαντας ὁ Χριστός. Ἦλθε γὰρ ζητῆσαι τὸ ἀπολωλός. Τοῦτό τοι καὶ διὰ τῶν προκειμένων σημαίνεται. Ὑπισχνεῖται γὰρ τῇ ἐξ ἐθνῶν τε καὶ Ἰουδαίων συνεγηγερμένῃ συναγωγῇ, ἤγουν ἐκκλησίᾳ, συγκομίζειν C ἅπαντας τοὺς ἐξ ἠοῦς εἰς δύσιν, καὶ ἐκ Βοῤῥᾶ, καὶ Λιβὸς, ἤτοι Νότου, ἵνα ἐντεῦθεν ἐννοῇς τὸ ἐκ παντὸς κλίματος τῆς ὑπ' οὐρανόν. Ἠὼς γὰρ καὶ δύσις, βοῤῥᾶς, καὶ Νότος, τουτὶ δή που πάντως ἡμῖν ὑπεμφήνειεν ἄν· λέγων· Ἄγε μὴν, τῷ Βοῤῥᾷ, τῷ δὲ Λιβί, Μὴ κώλυε, δίδωσί πως ἐννοεῖν, ὅτι τῶν ἀγρίων καὶ πονηρῶν πνευμάτων τὴν ἀντίστασιν οὐκ ἐᾷ τοῖς πρὸς αὐτὸν ἰοῦσιν ἀντιφέρεσθαι νοητῶς. Καθὰ καὶ πάλαι οἷά τις τύραννος ὠμός τε καὶ ἀλαζὼν κατεφύετο τῶν ἐπὶ γῆς ὁ ἀλητήριος Σατανᾶς ὁμοῦ τοῖς ἰδίοις ὑπασπισταῖς, οὐκ ἐῶν ἀναβλέψαι πρὸς ἀλήθειαν, ἤγουν ἰέναι πρὸς Θεὸν δι' ἐπιστροφῆς. Πέπαυται δὲ καὶ τοῦτο διὰ Χριστοῦ, καταλειαίνοντος μὲν τοῖς κεκλημένοις τὴν εἰς σωτηρίαν ὁδὸν, ἅπαν δὲ τὸ παρὰ πόδας κείμενον, οἷον ἐκ μέσου γενέσθαι παρασκευάζοντος. D Ὀνομάζων δὲ υἱοὺς, καὶ θυγατέρας ἐκ τῶν τεσσάρων τρέχοντας κλιμάτων, τῆς Χριστοῦ παρουσίας ἐμφανῆ καθίστησι τὸν καιρὸν, καθ' ὃν δέδοται τοῖς ἐπὶ τῆς γῆς τῆς υἱοθεσίας ἡ χάρις δι' ἁγιασμοῦ ἐν Πνεύματι. Ὅτι δὲ οὐχ ἔθνους ἑνὸς, κοινὴ δὲ καὶ μία πάντων γέγονεν ἡ κλῆσις, ὑπέφηνεν εἰπὼν, Πάντας, ὅσοι ἐπικέκληνται τῷ ὀνόματί μου. Ὀνομάσμεθα γὰρ Χριστιανοὶ, ἤτοι λαὸς Θεοῦ. Οὕτω γάρ που καὶ ὁ Πέτρος τοῖς κεκλημένοις διὰ τῆς πίστεως ἐπιστέλλει καί φησιν· «Ὑμεῖς δὲ, γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα· ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλοῦντος ἐπὶ τὸ θαυμαστὸν αὐτοῦ φῶς, οἵ ποτε οὐ λαὸς, νῦν δὲ λαὸς ἐν Κυρίῳ.»

cum ipso dignos efficeret, et ita per seipsum Deo ac Patri conjungeret. Nam Christum hac de causa hominem factum esse, ex sacrosanctis Evangelii litteris, perspicere non est difficile. Revixit enim mirabiliter et supra omnium opinionem Lazarus, è mortuis. Multitudo autem Judæorum impiorum, et Pharisæorum invisa Deo officina, coacto concilio, dicebant: «Quid agimus? nam hic homo multa signa edit. Si eum sic sinimus, venient Romani, et tollent gentem nostram et locum. Tum eorum quidam, Caiphas, dixit eis: Vos nihil scitis, neque cogitatis, conducibilius esse nobis, unum hominem mori pro populo, quam totam gentem perire [50].» Quibus mox subnectit divinus evangelista: «Hæc autem ex semetipso non dixit, sed quod esset ejus anni pontifex, **562** prophetavit Jesum moriturum esse pro gente, nec solum pro gente, sed etiam ut filios Dei dispersos in unum congregaret.» Nam quantum ad primam hominis creationem, et ad consilium ejus qui produxit, attinet, omnes ejus filii erant. Sed, uti dixi, Satanas omnes dissipavit, et in varia peccata præcipitavit, et a conjunctione quæ cum illo erat, abstraxit in errorem abductos. Verum reduxit simul omnes Christus. Venit enim quæsitum id quod perierat. Hoc verbis hisce etiam significatur. Pollicetur enim Synagogæ seu Ecclesiæ ex gentibus et Judæis coactæ, se omnes ab oriente ad occidentem, et ab Aquilone ac Africo, sive Austro, collecturum, ut inde omne clima ac plagam mundi intelligas. Oriens enim et occasus, Aquilo et Auster, id omnino nobis subindicant. Cum dicit enim, Aquiloni: Ducito, et Africo: Ne prohibeto: dat intelligere se non permittere ut ferì et mali spiritus ad se venientibus resistant intelligibiliter: quemadmodum et olim sceleratus Satanas, cum suis propugnatoribus, cen tyrannus quidam sævus et superbus, in terræ incolas grassatus est, non permittens eos intueri veritatem, vel ad Deum per conversionem accedere. Sed et hoc per Christum abolitum est, qui complanat viam salutis his qui vocati sunt, et omne obstaculum ante pedes jacens, quasi e medio tollendum curat. Cum nominat filios et filias, qui a quatuor plagis currunt, adventus Christi tempus manifestat, quo data est terræ incolis adoptionis gratia per sanctificationem in Spiritu. Non esse autem unius gentis, sed communem, et unam omnium vocationem, subindicavit, cum dixit: Quotquot vocati sunt nomine meo. Nominamur enim Christiani, seu populus Dei. Sic enim et Petrus, missa epistola ad eos qui vocati sunt per fidem, inquit: «Vos autem genus electum, regale sacerdotium, gens sancta, populus acquisitus, ut virtutes prædicetis ejus, qui e tenebris vos ad suum lucem admirabilem vocavit: qui quondam non populus, nunc autem populus in Domino [51].»

[50] Joan. XI, 50. [51] I Petr. II, 9, 10.

VERS. 7, 8. *Nam in gloria mea creavi eum, et formavi et feci eum. Et eduxi populum cæcum, et oculi eorum similiter cæci, et surdas aures habent. Omnes* **563** *gentes congregatæ sunt, et congregabuntur principes ex illis.*

Omnia facta sunt in Christo nova. Quod confirmabit sanctissimus Paulus, scribens : « Quare, si quis in Christo sit, nova creatura est. Vetera præterierunt. » Scribit etiam vocatis ad novitatem, scilicet spiritualem : « Et ne conformemini sæculo huic, sed transformemini in renovatione mentis vestræ, ut probetis vos, quæ sit voluntas Dei, bona et perfecta et placita [32]. » Renovati sumus enim in Christo per sanctificationem, regressi ad antiquam naturæ pulchritudinem, quæ est videlicet ad imaginem ejus qui condidit, per ipsum et in ipso : et ad novitatem vitæ, et quasi elementis quibusdam erudimur, peccato et omni vitiositate inveterata abjecta, et veterem hominem corruptum cupiditatibus erroris exuimus, et novum hominem renovatum ad imaginem ejus, qui ipsum condidit, induimus. Cæterum in Christo facta est reformatio, et quæ dicitur, nova creatura : quam non ex semine corrupto habuimus, sed ex sermone Dei viventis et manentis. Hunc ergo populum a quatuor orbis tractibus collectum, vocatumque nomine meo, non alius quispiam, sed ego in gloria mea creavi, et formavi, et feci. Gloriam autem Dei et Patris, licet Filium dicere; per ipsum enim et in ipso gloriose extollitur, juxta illud : Ego te glorificavi in terra, quod ab ipso diserte est dictum. Formatos enim, ut dixi, per ipsum fuisse, qui in illum credimus, inde certiores reddimur, quod ipsi conformes sint, et divinæ naturæ pulchritudinem animis suis illucescentem habeant. Simile quiddam dixit et divinus Psalmista : « Annuntiabit Domino ætas ventura, et populus qui creabitur laudabit Dominum [33]. » Cumque adjicit his, Populum eduxi cæcum : potentiæ suæ præstantiam, quæ nulla oratione explicari potest, et vere admirabilem, ostendit perspicue. Olim enim, quorum mens et cor diabolicæ perversitatis caligine et errore circumfusum erat, hos illustres effecit et irradiatos, quasi lucifer quispiam, et sol justitiæ illis exoriens, et filios reddens non jam noctis et tenebrarum, sed lucis potius et diei, juxta sapientissimi Pauli vocem. Quod igitur populum cæcum eduxerit, nemini mortalium obscurum est. Sed perinde quasi huic orationi occurreret quispiam et diceret : Etiamnum **564** videre est oculos eorum cæcos, et aures surdas habent : apologiam instituit atque inquit : Omnes gentes congregatæ sunt una, et congregabuntur principes ex illis. O vos, prophetiæ sermones propemodum accipite, nondum quippe rerum tempus instat : atqui prorsus ac omnino congregabuntur suo tempore omnes gentes. Nam congregatæ sunt, dicit, pro congregabuntur, ut Scriptura divinitus

[32] Rom. XII, 2. [33] Psal. CI, 19.

A *Ἐν γὰρ τῇ δόξῃ μου κατεσκεύασα αὐτὸν, καὶ ἔπλασα, καὶ ἐποίησα αὐτόν. Καὶ ἐξήγαγον λαὸν τυφλὸν, καὶ ὀφθαλμοὶ αὐτῶν ὡσαύτως τυφλοὶ, καὶ κωφὰ τὰ ὦτα ἔχοντες. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν.*

Πάντα γέγονεν ἐν Χριστῷ καινὰ, καὶ πιστώσεται γράφων ὁ ἱερώτατος Παῦλος· « Ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθε. » Γράφει δὲ καὶ τοῖς εἰς καινότητα κεκλημένοις, δῆλον δὲ ὅτι τὴν πνευματικήν· « Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ τέλειον, καὶ εὐάρεστον. » Ἀνεκαινίσθημεν γὰρ ἐν Χριστῷ, δι' ἁγιασμοῦ πρὸς τὸ ἀρχαῖον B τῆς φύσεως ἀναφοιτήσαντες κάλλος, τὸ κατ' εἰκόνα δηλονότι τοῦ ἐκ τῆς ἁμαρτίας, καὶ ἁπάσης φαυλότητος ἀποβαλόντες παλαίωσιν· ἀπεδυσάμεθα δὲ τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καὶ ἐνεδυσάμεθα τὸν νέον τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Πλὴν ἐν Χριστῷ γέγονεν ὁ ἀναπλασμὸς καὶ ἡ καλουμένη καινὴ κτίσις, ἣν οὐκ ἐκ σπορᾶς φθαρτῆς ἐσχήκαμεν, ἀλλὰ διὰ λόγου ζῶντος Θεοῦ μένοντος. Τὸν τοίνυν λαὸν τὸν ἐκ τεσσάρων τῆς ὑπ' οὐρανὸν κλιμάτων συνειλεγμένον ἐπικληθέντα τε τῷ ὀνόματί μου οὐχ ἕτερός τις, ἀλλ' ἐγὼ μᾶλλον ἐν τῇ δόξῃ μου κατεσκεύασα, καὶ ἔπλασα, καὶ ἐποίησα· καὶ δόξαν μὲν εἶναι τοῦ Θεοῦ, καὶ Πατρὸς φαίη ἄν τις τὸν Υἱὸν, δι' αὐτοῦ γὰρ καὶ C ἐν αὐτῷ δοξάζεται, καὶ κατά γε τὸ, Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, παρ' αὐτοῦ σαφῶς εἰρημένον. Πεπλάσθαι γὰρ, ὡς ἔφην, δι' αὐτοῦ τοὺς εἰς αὐτὸν πιστεύσαντας διαβεβαιούμεθα, τῇ πρὸς αὐτὸν συμμορφίᾳ τὸ τῆς θείας φύσεως κάλλος ἐναστράπτον ἔχοντας ταῖς ἑαυτῶν ψυχαῖς. Ἔφη τι τοιοῦτον καὶ ὁ θεσπέσιος Ψαλμῳδός· « Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. » Προστιθεὶς δὲ τούτοις, ὅτι Καὶ λαὸν ἐξήγαγον τυφλὸν, τῆς ἑαυτοῦ δυνάμεως τὴν ἐπέκεινα λόγου παντὸς καὶ ἀξιάγαστον ὄντως ὑπεροχὴν καθίστησιν ἐναργῆ. Τοὺς γάρτοι πάλαι τὴν ἐκ διαβολικῆς σκαιότητος ἀχλὺν, καὶ ἀπάτην εἰς νοῦν ἔχοντας καὶ καρδίαν, λαμπροὺς ἀπέφηνε καὶ κατηυγασμένους, ἑωσφόρος οἷά τις, καὶ δικαιοσύνης ἥλιος ἀνίσχων αὐτοῖς, καὶ υἱοὺς ἀποφήD νας, οὐκέτι νυκτὸς καὶ σκότους, φωτὸς δὲ μᾶλλον, καὶ μὴν καὶ ἡμέρας, κατὰ τὴν τοῦ σοφωτάτου Παύλου φωνήν. Ὅτι μὲν οὖν ἐξήγαγε λαὸν τυφλὸν, οὐδενὶ τῶν ὄντων ἀσυμφανές· ἀλλ' ὥσπερ τινὸς τοῖς τοιοῖσδε λόγοις ἀντανισταμένου τε καὶ λέγοντος· Καίτοι καὶ εἰς δεῦρο κατίδοι τις ἂν τοὺς ὀφθαλμοὺς αὐτῶν ὡσαύτως τυφλοὺς, καὶ μὴν ὅτι κωφὰ τὰ ὦτα ἔχουσιν, ἀπολογεῖται λέγων· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Μόνον γὰρ οὐχὶ προφητείας, ὦ οὗτοι, δέχεσθε λόγους· οὔπω γε μὴν τῶν πραγμάτων ἐνέστηκε καιρός· πλὴν πάντῃ τε καὶ πάντως συναχθήσονται κατὰ καιροὺς πάντα τὰ ἔθνη. Τὸ γὰρ συνήχθησαν, ἀντὶ τοῦ, συναχθήσονται,

φησὶν, ἔθους ὄντος τοιούτου τῇ θεοπνεύστῳ Γραφῇ. Τὰ γὰρ πάντη τε καὶ πάντως ἐσόμενα, καὶ ὡς ἤδη γεγονότα τίθησιν ἔσθ' ὅτε. Εἴρηται γοῦν ὡς ἐκ προσώπου Χριστοῦ διὰ μὲν τῆς Ἡσαΐου φωνῆς· Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, ἀντὶ τοῦ, δώσω. Καὶ διά γε τοῦ Ψάλλοντος· « Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, » ὅπερ καὶ γέγονεν ἐν καιρῷ τῆς ἐπιδημίας. Οὐκοῦν ἐπισυναχθήσονται, φησὶ, πάντα τὰ ἔθνη, καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ ἔσονται καὶ ἄρχοντες ἐξ αὐτῶν, τοῦτ' ἔστι, λαῶν ἡγούμενοι, καὶ μυσταγωγοὶ, καὶ οἵ ποτε πλανώμενοι, καὶ ἐν σκότῳ κείμενοι βαθείᾳ, φωτὸς ἔσονται τοῦ θείου πρόξενοι τοῖς παρ' αὐτῶν μυσταγωγουμένοις. Ἔφη τι τοιοῦτον περὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας ὁ Μελῳδός· « Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. » Ὥσπερ γὰρ ἀμέτρητον καὶ βαθὺν ἠρρώστησε σκότον ἐν τῷ τῆς πλάνης καιρῷ, οὕτω πάλιν ὑπέρλαμπρος γέγονε, καὶ ὑπερφυῶς λελευκαμένη. Ἀληθὲς γὰρ ὅτι, καθά φησιν ὁ θεσπέσιος Παῦλος· « Οὗ ἐπερίσσευσεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. »

Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ, καὶ ἀκουσάτωσαν.

Διαμνημονεύσας ἅπαξ τῶν ἐθνῶν, ἤτοι τῶν διὰ πίστεως κεκλημένων εἰς ἐπίγνωσιν ἀληθείας, ἐξυφαίνει τινὰ τρόπον μυσταγωγίας αὐτοῖς, καταγορεύοντα μὲν οὐ μικρῶς τῆς τῶν δαιμονίων ἀπάτης, οὐδὲν δὲ οὖσαν παντελῶς τὴν εἰδώλων ποίησιν ἀποφαίνοντα· τὸ μὲν γὰρ εἰδέναι τὰ πάντα ἐξ ἀρχῆς μέχρι τέλους, πρέποι ἂν μόνῳ τῷ κατὰ φύσιν ὄντι Θεῷ. Πᾶσα γὰρ σύνεσις ἐξ αὐτοῦ, καὶ γνώσεως ἁπάσης ἐστὶ πηγή, καὶ ἐν αὐτῷ πάντες εἰσὶν οἱ θησαυροὶ σοφίας καὶ γνώσεως ἀπόκρυφοι, κατὰ τὸ γεγραμμένον. Εἰ δέ τις, καὶ τῶν ἐσομένων ἐσχηκὼς εὑρίσκεται γνῶσιν, ἐξ ἀποκαλύψεως τῆς παρ' αὐτοῦ τὸ δῶρον ὁρᾶται λαβών. Προσδιαλέγεται τοίνυν, ὡς ἔφην, τοῖς ἐξ ἐθνῶν, καὶ δή καί φησι· Πάντα μὲν ὑμῖν τὰ ἐσόμενα, καὶ ὅτι κληθήσεσθε μὲν κατὰ καιροὺς εἰς ἐπίγνωσιν ἀληθείας, διήγγελκά τε καὶ ἔφην ἐγώ· ἕτερος δὲ τίς ταῦτα ὑμῖν ἀπαγγελεῖ, ἤγουν ὁρᾶται διειρηκώς; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ, καὶ ἀκουσάτωσαν. Ἐγὼ μὲν γὰρ, φησὶ, λελάληκα διὰ προφητῶν· προεκήρυξα τὰ ἐσόμενα κατὰ καιροὺς, δι' ἀνδρῶν ἁγίων, καὶ ἔχω μάρτυρας τοῦ προειδέναι τὰ ἐσόμενα τοὺς ταῖς ἐμαῖς διακονησαμένους φωναῖς. Τίνες δ' ἂν μαρτυρήσειαν τοῖς δαίμοσιν, ἤτοι τοῖς ἀψύχοις εἰδώλοις, ὡς εἰρηκόσι τοιοῦτον δι' αὐτῶν; Πλεῖστοι μὲν γὰρ οἱ παρ' Ἕλλησι λογάδες εἰσὶ καὶ ποιηταὶ, ἔφη δ' ὅλως ἐξ αὐτῶν οὐδεὶς ὡς παρά γε τῶν ἰδίων θεῶν, ὅτι ταῦτα συμβήσεται κατὰ καιροὺς αὐτοῖς· οὔτε μὴν ἐπαθρῆσαι τις ἂν προαπηγγελκότα τινὰ τῶν παρ' Ἕλλησι σοφῶν, ὅτι τῆς πεπορισμένης αὐτῷ δόξης ἐκ πλεονεξίας ἐξωσθήσεται κατὰ καιροὺς ὁ Σατανᾶς, ἤγουν ὅτι καταφαιδρυνθήσεται διὰ πίστεως τῆς εἰς Χριστὸν ἡ ὑπ' οὐ-

A inspirata loqui consuevit. Nam quæ prorsus ac penitus futura sunt, interdum quasi jam facta essent, ponit. Dictum est scilicet, velut in persona Christi, voce Isaiæ : Tergum meum verberibus exposui, pro, exponam. Et per Psalten : « Diviserunt vestimenta mea sibi, et super vestem meam miserunt sortem [54] : » quod factum est adventus tempore. Itaque congregabuntur, inquit, omnes gentes, nec id solum, verum et erunt ex illis principes, id est, populi duces et mysteriorum antistites, et qui olim erraverunt, et in profundis tenebris jacuerunt, divinam lucem his, qui mysteriis initiati sunt per ipsos, præferent. Cujusmodi est quod de gentium ecclesia dixit Psalmographus : « Ut caligo ejus, sic lux ejus [54*]. » Quemadmodum enim in tenebris immensis

B ac profundis versati sunt, tempore erroris : sic iterum eximie resplenduit, et supra naturam candida facta est et illustris. Verum est enim quod dixit Paulus divinus : « Ubi abundavit peccatum superabundavit gratia [55]. »

VERS. 9. *Quis annuntiabit hæc? Aut quæ a principio sunt, renuntiabit vobis? Adducant testes suos, et justi reddantur, et dicant vera, et audiant.*

Cum semel gentium, vel eorum qui vocati sunt per fidem ad agnitionem veritatis, mentionem fecerit : contexit quamdam viam [illegible] rationem mystagogiæ, qua non parum suggillat errorem dæmoniorum, et idolorum effictionem omnino nihil esse

C declarat. Nam scire omnia, et quæ ab initio sunt usque ad finem, soli ei qui secundum naturam Deus est competit. Omnis enim ab illo est cognitio, et omnis fons est scientiæ, et in illo omnes sunt thesauri sapientiæ et scientiæ absconditi, secundum id quod scriptum est. Si quis autem posterorum futurus sit scientia præditus, ex ipsius revelatione videtur hoc doni accepisse. Pergit itaque porro, ut dixi, cum ethnicis agere, **565** et inquit : Omnia vobis quæ sunt futura, et quod vocandi sitis tempore suo ad agnitionem veritatis, annuntiavi ego, et dixi : at quis alius hæc vobis annuntiabit, aut dixisse visus est? Adducant testes suos, et justi reddantur, et dicant vera, et audiant. Ego enim,

D inquit, locutus sum per prophetas. Proclamavi ante per sanctos prophetas, quæ successu temporum eventura erant, et testes habeo, me prævidisse futura, eos, qui ministerio, meo jussu, functi sunt. At qui testes erunt dæmonibus, aut inanimis idolis, quod aliquid ejusmodi dixerint? Nam plurimi erant oratores et poetæ apud Græcos : at eorum nemo prorsus dixit tanquam a suis diis, hæc illis, temporibus suis, eventura. Neque videre licet quemquam Græcorum sapientum, prænuntiasse, Satanam propter tyrannidem, suo tempore, a gloria ei tributa, depellendum : aut quod illustrandus sit fide in Christum orbis terrarum, et quod vocandæ essent

[54] Psal. XXI 19. [54*] Psal. CXXXVIII, 12. [55] Rom. V 20.

ad agnitionem ejus gentes : aut quod tenebræ idololatriæ facesserent, et in orbe terrarum obtineret veritas. Adducant ergo testes suos, et ostendant ac dicant vera : et si hoc fiat, audiant eos, obsequantur, et collaudent, quod grex dæmoniorum, rerum futurarum notitia sit ditatus. Sed nullus illis testis adest : neque est rerum futurarum index. Erraverunt siquidem extra controversiam, qui eos putant deos esse. Sunt enim profani, et seductores, et scurræ.

Vers. 10. *Estote mihi testes, et ego testis, dicit Dominus Deus, et puer quem elegi, ut sciatis, et credatis, et intelligatis, quia ego sum. Ante me quoque non fuit alius deus, et post me non erit.*

Cum dixisset nihil testimonio suffragaturum impuris dæmonibus, vel operibus manuum hominis, quod futura sciant, pergit suos prophetas affari, et inquit : Estote mihi testes, locutus enim sum per vos cognitionem futurorum; meus Spiritus in vobis emicuit. Itaque vos meæ gloriæ et divinæ eminentiæ testes citabo. Testificabor et mihi ipse, et Filius quem elegi. Simile huic est, quod Servatoris nostri voce dictum est **566** Judæis : « Si ego testimonium fero de meipso, testimonium meum verum est, quia scio unde sum, et quo vado [86]. » Et rursus : « Ego testimonium fero de meipso, et testimonium fert de me, qui misit me Pater [87]. » Digna est ergo fide Dei vox, quæcunque velit de sua gloria et excellentia dicere. Sequitur autem secundo loco, sanctorum virorum suffragium et cognitio, quæ ei reddit quæcunque naturæ omnes naturas superanti conveniunt. Propterea cum testes sanctos assumpsisset prophetas, ulterius pergit, et ad id quod extra controversiam est minimeque vanum, ad seipsum, inquam, et ad proprium Filium. Sufficit enim, ut dixi, ad fidem cordatis hominibus vox Dei. « Hæc locutus sum, inquit, vobis, non frustra, sed ut sciatis, et credatis, et cognoscatis, quod ego sum [88]. » Per cognitionem enim fides est, et per fidem cognitio. Nisi enim, inquit, credideritis, non intelligetis. Credite autem, ante me non fuisse alium Deum, et post me non futurum. Neque enim erat præter ipsum Deus alius, sed ipse omnium principium, et supra omnem mentem, et post illum non erit. Manet enim idem, et naturam habet invariabilem, et prærogativam in omnes inviolabilem, regnumque perpetuum. Nam qui principium essentiæ non habet, ad quem finem perget?

Vers. 11-13. *Ego Deus, et non est præter me qui servet. Annuntiavi, et servavi, et exprobravi, et non erat in vobis alienus. Vos mihi testes : et ego testis, dicit Dominus Deus ab initio : et non est, qui de manibus meis eruat. Faciam, et quis avertet?*

[86] Joan. VIII, 14. [87] ibid. 18. [88] Joan. X, 38.

A ρανον, καὶ κεκλήσονται τὰ ἔθνη πρὸς ἐπίγνωσιν αὐτοῦ, εἴτ' οὖν ὅτι τὸ τῆς εἰδωλολατρίας οἰχήσεται σκότος, καὶ κρατήσει τῆς ὑπ' οὐρανὸν ἡ ἀλήθεια. Ἀγαγέτωσαν τοίνυν τοὺς μάρτυρας αὐτῶν, καὶ δειξάτωσαν εἰπόντας ἀληθῆ. Κἂν ᾖ τοῦτο γένοιτο, ἀκουσάτωσαν αὐτῶν, τοῦτ' ἔστιν, ἀκολουθήτωσαν, καὶ συναινείτωσαν, ὅτι καὶ ἡ τῶν δαιμονίων ἀγέλη τὴν τῶν ἐσομένων γνῶσιν καταπλουτεῖ. Ἀλλ' οὐδεὶς ὁ ἐκείνοις μαρτυρήσας ἐστὶν, οὔτε μὴν τῶν ἐσομένων ἐξαγγελεύς. Πεπλάνηνται δὴ οὖν ὁμολογουμένως οἱ θεοὺς εἶναι νομίσαντες αὐτούς· εἰσὶ γὰρ βέβηλοι, καὶ ἀπατεῶνες καὶ βωμολόχοι.

Γένεσθέ μοι μάρτυρες, κἀγὼ μάρτυς, λέγει Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε, καὶ πιστεύητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. B *Καὶ ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται.*

Εἰπὼν, ὅτι μαρτυρήσειεν ἂν οὐδὲν τοῖς ἀκαθάρτοις δαίμοσιν, ἤγουν τοῖς ἔργοις τῶν ἀνθρωπίνων χειρῶν τὸ εἰδέναι τὰ ἐσόμενα, τοῖς ἑαυτοῦ προφήταις προδιαλέγεται, καί φησιν· Γένεσθέ μοι μάρτυρες. Λελάληκα γὰρ δι' ὑμῶν, καὶ τῶν ἐσομένων τὴν γνῶσιν, τὸ ἐμὸν ὑμῖν ἐνήστραψε Πνεῦμα. Οὐκοῦν τῆς ἐμαυτοῦ δόξης καὶ θεοπρεποῦς ὑπεροχῆς παροίσω μάρτυρας. Μαρτυρήσω δὲ ἐμαυτῷ, καὶ ὁ Παῖς ὃν ἐξελεξάμην. Ὅμοιον τούτῳ τὸ διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν φωνῆς εἰρημένον πρὸς Ἰουδαίους· « Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν, ὅτι οἶδα πόθεν εἰμὶ καὶ ποῦ ὑπάγω. » Καὶ πάλιν· « Ἐγὼ μαρτυρῶ περὶ C ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ. » Ἀξιόχρεως γὰρ ἡ Θεοῦ φωνὴ πρὸς πίστιν ὧν ἂν βούλοιτο λέγειν περὶ τῆς ἑαυτοῦ δόξης καὶ ὑπεροχῆς. Ἕπεται δὲ κατὰ λόγον δεύτερον, καὶ ἡ παρὰ τῶν ἁγίων ψῆφος, καὶ σύνεσις ἀπονέμουσα αὐτῷ τὰ ὅσαπερ ἂν πρέποι τῇ πασῶν ἐπέκεινα φύσει. Διὰ τοῦτο μάρτυρας παραλαβὼν τοὺς ἁγίους προφήτας, ἐπὶ τὸ μεῖζον ἄνεισι καὶ ἀψευδὲς ὁμολογουμένως, ἑαυτὸν, φημὶ, καὶ τὸν ἴδιον Υἱόν. Ἀπόχρη γὰρ, ὡς ἔφην, εἰς πίστιν ἅπασαν τοῖς ἀρτίφροσιν ἡ Θεοῦ φωνή. « Ταυτὶ δὲ λελάληκα πρὸς ὑμᾶς, φησὶν, οὐ μάτην, ἀλλ' ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. » Διὰ γὰρ γνώσεως ἡ πίστις, διὰ δὲ τῆς πίστεως ἡ σύνεσις. Ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε, φησί· πιστεύσητε δὲ ὅτι ἔμπροσθέν μου οὐκ D ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Οὔτε γὰρ πρὸ αὐτοῦ Θεὸς ἦν ἕτερος, ἀλλὰ αὐτὸς ἡ πάντων ἀρχὴ καὶ παντὸς ἐπέκεινα νοῦ, καὶ μετ' αὐτὸν οὐκ ἔσται. Μένει γὰρ ὁ αὐτὸς, καὶ ἀναλλοίωτον ἔχει τὴν φύσιν, καὶ ἀκράδαντον τὴν κατὰ πάντων ὑπεροχὴν, καὶ διηνεκῆ βασιλείαν. Ὁ γὰρ ἀρχὴν οὐκ ἔχων τοῦ εἶναι, πρὸς ποῖον δραμεῖται τέλος;

Ἐγὼ Θεὸς, καὶ οὐκ ἔστι παρὲξ ἐμοῦ σώζων. Ἀνήγγειλα, καὶ ἔσωσα. Ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεὸς, ὅτι [al. ἔτι] *ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς γε μὴν ἀποστρέψει;*

Μαρτυρήσατε, φησὶν, ὅτι ἐγὼ μόνος ὁ τῶν ὅλων Θεὸς, οὐδενὸς πρὸ ἐμοῦ γεγονότος, οὔτε μὴν ἐσομένου μετ' ἐμέ. Μόνος γάρ εἰμι ὁ σώζων ἐγὼ, καὶ τοῦτο ὑμῖν ἔκπαλαι προσήγγελκα, καὶ τὸ λαληθὲν ἤγαγον εἰς πέρας. Διέσωσα γὰρ ἐν Χριστῷ· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ἐπελανθάνοντο μὲν γὰρ κατὰ καιροὺς οἱ ἐξ Ἰσραὴλ τῶν ἱερῶν θεσπισμάτων, τῶν διά γέ φημι τοῦ πανσόφου Μωσέως, καὶ φιλήδονοι μᾶλλον ἦσαν οἱ φιλόθεοι. Εἶτα ῥᾳθυμίας πραττόμενοι λόγους, κατεκινδύνευον ἔσθ' ὅτε πολεμίων αὐτοῖς ἐπαφιεμένων. Ἀλλ' ἐν τῷ τῆς θλίψεως καιρῷ τὸν ἀεὶ σώζοντα καλεῖν ἐπεχείρουν εἰς ἐπικουρίαν. Καὶ τοῦτο αὐτοῖς ὠνείδισα, διὰ τῆς Ἱερεμίου φωνῆς λέγων· « Καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν· Ἀνάστα, καὶ σῶσον ἡμᾶς. Καὶ ποῦ εἰσιν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ; Εἰ ἀναστήσονται, καὶ σώσουσί σε ἐν καιρῷ τῆς κακώσεώς σου; » Οὐκοῦν ὠνείδισα πλειστάκις ὑμῖν τοῖς ἐξ αἵματος Ἰσραὴλ, καὶ μεμαθήκατε διὰ πείρας, ὅτι οὐκ ἦν ἐν ὑμῖν Θεὸς, ἀλλότριος δηλονότι. Σέσωκε γὰρ ὑμᾶς ἐκείνων οὐδείς. Εἰμὶ τοιγαροῦν μόνος ὁ σώζων ἐγώ. Διὸ δὴ μαρτυρήσατε, κἀγὼ δὲ μάρτυς ἐμαυτοῦ γενήσομαι, λέγει Κύριος ὁ Θεός. Ἤγουν κατ' ἐκεῖνο· « Πᾶς οὖν ὅστις ὁμολογήσειεν ἂν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ. » Μαρτυρήσατε δὴ οὖν ὅτι ἐγώ εἰμι ἔτι ἀπ' ἀρχῆς, τοῦτ' ἔστιν, ὁ ἀπ' ἀρχῆς εἰς δεῦρο προαπαγγέλλων τε τὰ ἐσόμενα, καὶ σώζειν ἀκονητὶ δυνάμενος τοὺς τὴν πρὸς ἐμὲ διψῶντας οἰκείωσιν. Σώζων δὲ οὕτως, ὡς δύνασθαι παντελῶς οὐδένα τῶν ἐμῶν ἐξαρπάσαι χειρῶν τὸν ἅπαξ προειλημμένον. Οὐκ ἔστι γὰρ ὁ ἐκ τῶν χειρῶν μου, φησὶν, ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Πεποίηκα γὰρ τὴν τῶν ἐθνῶν κλῆσιν, φησὶν, ἤτοι, σέσωκα τοὺς πλανωμένους. Καὶ τίς τοῦτο μεταβαλεῖ, ἤγουν μεταστήσει πρὸς τὸ μὴ οὕτως ἔχειν. Ὅτι γὰρ ἐκ τῆς τοῦ Θεοῦ χειρὸς οὐδεὶς ἁρπάσει τοὺς παρ' αὐτοῦ σεσωσμένους, πιστώσεται λέγων αὐτὸς ὁ Σωτήρ· « Τὰ πρόβατα, τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι· κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐ μὴ ἁρπάσῃ τις αὐτὰ ἐκ τῆς χειρός μου. Ὁ Πατήρ μου, ὃς δέδωκέ μοι, πάντων μείζων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. » Τοῦτ' ἔστιν ἐναργῶς τὸ γεγραμμένον· « Οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. »

Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος Ἰσραήλ· Ἕνεκεν ὑμῶν ἀποστελῶ εἰς Βαβυλῶνα, καὶ ἐπεγερῶ πάντας φεύγοντας, καὶ Χαλδαῖοι ἐν πλοίοις δεθήσονται.

Διὰ τῶν ἀρτίως ἡμῖν εἰρημένων οὐκ ἀγεννῆ παραίνεσιν ἐξυφήνας τοῖς ἐξ ἐθνῶν κεκλημένοις εἰς ἐπίγνωσιν αὐτοῦ, καὶ διαδείξας ὅτι μόνος ἔχει τῶν τε ἐν ἀρχαῖς, καὶ διὰ μέσου, καὶ τελευταίων τὴν γνῶσιν, καὶ μὴν ὅτι παρ' αὐτὸν ἕτερος οὐδείς ἐστι παντελῶς ὁ διασῶσαι δυνάμενος, καὶ βεβαίαν ἐν αὐτοῖς διὰ τούτων ἐνιδρύσας τὴν πίστιν, μεθίστησι τοὺς λόγους ἐπὶ τοὺς ἐξ αἵματος Ἰσραὴλ, καὶ πειρᾶται πληρο-

Testes estote, inquit, quod ego solus universorum Deus, nec fuit quisquam præter me, nec post me futurus est. Solus enim sum ego qui servo, et hoc vobis jam olim prænuntiavi, et quod dictum est, ad finem perduxi. Servavi enim in Christo, exprobravi, et non erat in vobis alienus. Obliti enim erant ad tempus Israelitæ sacrorum vaticiniorum, quæ, inquam, per sapientissimum Moysen sunt prodita; et voluptatis amantiores erant, quam Dei. Deinde otii sui pœnas dantes, interdum, hostibus ipsos invadentibus, periclitati sunt. Verum afflictionis tempore, ejus qui semper servat, conati sunt auxilium implorare. Hoc, inquit, illis exprobravi voce Jeremiæ, dicens: « Et tempore malorum suorum dicent: Surge, et serva nos. Et ubi sunt 567
dii tui, quos fecisti tibi ipsi? Surgentne et servabunt te, tempore afflictionis tuæ [58]? » Itaque exprobravi sæpe vobis, qui estis ex sanguine Israel, et usu didicistis et experientia, non fuisse inter vos Deum, alienum videlicet. Servavit enim vos eorum nullus. Sum igitur solus ego servator. Quare testificamini, et ego testis mihi ipsi ero, dicit Dominus Deus. Nimirum juxta illud: « Quisquis ergo confitebitur me coram hominibus, confitebor et ego illum coram Patre meo qui est in cœlis [59]. » Testificamini igitur, quod ego futura prænuntiem, ab initio huc usque, et servare queam citra pulverem, eos qui meam familiaritatem et consortium sitiunt. Et ita servo, ut nemo unquam possit e manibus meis eripere, quem semel ante cepi et occupavi. Non est enim, inquit, qui de manibus meis eruat. Faciam, et quis avertet illud? Effeci enim, inquit, vocationem gentium, aut, servavi errantes. Et quisnam hoc mutabit? aut transferet, ut ita se non habeat? Nam quod nemo rapiet e Dei manibus eos, qui ab ipso servati sunt, confirmabit ipse Servator, dicens: « Oves meæ vocem meam audiunt, et ego cognosco eas, et sequuntur me, et ego do illis vitam æternam, nec peribunt in æternum, nec quisquam rapiet eas de manu mea. Pater meus, qui dedit mihi, omnium maximus est, et nemo potest rapere de manu Patris mei. » Id plane est, quod scriptum est: « Non est qui ex manibus meis eruat [60]. »

VERS. 14. *Sic dicit Dominus Deus, qui redimit vos, sanctus Israel: Propter vos mittam in Babylonem, et suscitabo cunctos fugientes, et Chaldæi navibus vincientur.*

Cum ex illis quæ modo dicta sunt, haud enervem exhortationem contexuisset, ad eos, qui ex gentibus vocati erant, ad ipsius agnitionem, et declarasset solum habere se omnium, et quæ ante initium fiunt, et in medio et in fine, notitiam: nec esse omnino alium quemquam, qui servare posset, et firmam ac solidam in illis per hæc fidem constabilire: transfert orationem ad sanguine Israelitico oriundos, et

[58] Jer. II, 27, 28. [59] Matth. X, 32. [60] Joan. X, 16-18.

persuadere nititur se omnipotentem esse, et miraculorum effectorem, rerumque naturas suo nutui cedere, et ipsa mundi elementa subservire, ac quidquid **568** ipse velit, hoc omnino perfici, nulla re impediente. Etenim opus, opus, inquam, erat Israelitis maxima illuminatione, et hortatibus et monitis, quæ stabilem constantemque ipsorum mentem redderent. Cæterum cum delaberentur ad quæ fas non erat, et ad alios deos declinarent, idolis et militiæ cœli sacrificarunt, sicuti scriptum est : instituit igitur illis prædictionem futurorum, et Babyloniorum calamitates artificiosissime ante detegit : ipsos quidem fore apud eos captivos præsignificans : illos tamen propter ipsos passuros indignissima, ut dixi, præmonstrans. Et quia de rebus maximis ad eos habebatur oratio, necessario potentiæ suæ incomparabilem gloriam, et fortitudinis eminentiam ostendit, inquiens : Sic dicit Dominus Deus, qui redemit vos, sanctus Israelis. Ut enim vetera facta, in liberatione, inquam, Ægyptiaca, illis revocaret in memoriam, quando magna miraculorum ac ostentorum multitudo ipsius gloriæ testis fuit, propterea se Dominum Deum nominavit, et Redemptorem esse confirmavit. Atque hæc quidem hactenus. Quid est autem illud futurum? Propter vos mittam, inquit, in Babylonem. Cepit enim Babylonius captivum Israelem, et de patria sede deturbavit, imo potius universam Judæorum regionem una cum celebratissimo templo incendit, et ad montes Persarum ac Medorum transtulit. Cumque eo decidissent miseriæ, septuagesimo anno exacto, misertus est eorum Deus, et contra Chaldæos excitat Cyrum, Cambysis filium, Persis et Medis suppetias ferentibus : qui vi Chaldæorum et Babyloniorum terram occuparunt, etiamsi eos ante metuissent, et tyrannicam eorum manum exhorruissent. Habet vero sic traditio : Cyrum magnates quosdam in ea cepisse, dein ferro vinxisse, et per Caspium mare, in loca inaccessa et inculta ablegasse. Suscitatus est autem contra Babylonios Cyrus, Deo incitante, et ei posse superare, concedente. Nam ait voce Isaiæ : « Sic ait Dominus uncto meo Cyro, cujus dexteram apprehendi, ut subjiciantur ei gentes [61]. » Et iterum : « Ego ante te ibo, et montes complanabo, portas æneas conteram, et vectes **569** ferreos confringam. Et dabo tibi thesauros tenebrosos, absconditos, qui non videntur, aperiam tibi [62]. » Nam quandoquidem Babylonii acri et impotenti ira contra Israelitas concitati, Deum offenderant : ideo et ipsi dediti sunt Persis et Medis, qui erga illos quoque intoleranda usi sunt inhumanitate. Dictum est scilicet Babyloni a quodam e sanctis prophetis : Quemadmodum fecisti, sic erit tibi : retributio tua retribuetur in caput tuum. Vestra igitur causa, inquit, o Israel, mittam in Babylonem. At quem mittam? Annon sane celebrem illum Cyrum ejusque copias? Illud, mittam, significat, legabo, aut, emittam. Excitabo quoque in eos, qui olim fugerant,

A φορεῖν ὡς ἔστι παναλκὴς, καὶ θαυματουργὸς, καὶ ὅτι τοῖς αὐτοῦ νεύμασιν αἱ τῶν πραγμάτων εἴκουσι φύσεις· ὑπηρετεῖ δὲ καὶ αὐτὰ τὰ τοῦ κόσμου στοιχεῖα, καὶ ὅπερ ἂν αὐτὸς ἐθελήσει, τουτὶ δὴ πάντως διαπεραίνεται, παρὰ πόδας κειμένου μηδενός. Ἔδει γὰρ, ἔδει τοῖς ἐξ Ἰσραὴλ πλείστης τε ὅσης φωταγωγίας καὶ τῶν εἰς ἑδραιότητα νοῦ καθιστάντων αὐτοὺς παραινέσεών τε καὶ ὑπομνημοσυνῶν, ἐπεί τοι παρώλισθον ἐφ' ἃ μὴ θέμις, καὶ θεοῖς ἑτέροις προσνεύσαντες, κατατεθύκασιν εἰδώλοις, καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὰ γέγραπται· ποιεῖται τοίνυν αὐτοῖς τῶν ἐσομένων τὴν προαγόρευσιν, καὶ τὰς τῶν Βαβυλωνίων προεκκαλύπτει συμφορὰς, εὐτεχνέστατα λίαν, ὡς ἔσονται μὲν αὐτοὶ παρ' ἐκείνων αἰχμάλωτοι προκαταδεικνύς· πείσονται δὲ ὅτι τὰ πάντων αἴ- B σχιστα δι' αὐτοὺς προαναφωνῶν, ὡς ἔφην. Ἐπειδὴ δὲ περὶ μεγίστων πραγμάτων ὁ πρὸς αὐτοὺς ἐγίγνετο λόγος, ἀναγκαίως τῆς ἑαυτοῦ δυνάμεως τὴν ἀπαράβλητον δόξαν, καὶ μὴν τῆς ἰσχύος τὴν ὑπερβολὴν καταδείκνυσι λέγων· Οὕτως λέγει Κύριος ὁ θεὸς, ὁ λυτρούμενος ὑμᾶς ὁ ἅγιος Ἰσραήλ. Ἵνα γὰρ εἰς ἀνάμνησιν αὐτοὺς ἀποκομίσῃ τῶν πάλαι, τῶν ἐπί γέ φημι τῇ λυτρώσει τῇ ἐξ Αἰγύπτου γενομένῃ, ὅτι καὶ πολλὴ τερατουργημάτων πληθὺς μεμαρτύρηκεν αὐτοῦ τῇ δόξῃ, διὰ τοῦτο Κύριον τὸν Θεὸν ἑαυτὸν ὀνομάσας, καὶ λυτρωτὴν εἶναι διεβεβαιώσατο. Καὶ ταυτὶ μὲν ἐν τούτοις. Τί δὲ δὴ τὸ ἐσόμενον; Ἕνεκεν ὑμῶν ἀποστελῶ, φησὶν, εἰς Βαβυλῶνα. Εἷλε μὲν γὰρ ὁ Βαβυλώνιος αἰχμάλωτον τὸν Ἰσραὴλ, καὶ τῆς ἐνεγκούσης ἐξαναστήσας, μᾶλλον δὲ κατεμπρήσας C ἅπασαν τὴν τῶν Ἰουδαίων χώραν ὁμοῦ τῷ διαβοήτῳ ναῷ, μετέστησεν εἰς τὰ ὄρη Περσῶν τε καὶ Μήδων. Ἐπειδὴ δὲ τοῖς εἰς τοῦτο πεσοῦσι ταλαιπωρίας ἑβδομηκοστὸν ἔτος διεπεραίνετο, κατηλέει Θεὸς αὐτοὺς, καὶ δὴ κατεξανίστησι τῶν Χαλδαίων Κῦρον τὸν Καμβύσου συνασπιζόντων Περσῶν καὶ Μήδων· οὗτοι κατὰ κράτος εἷλον τὴν τῶν Χαλδαίων, ἤτοι τὴν Βαβυλωνίων, καίτοι πάλαι δεδιότες αὐτοὺς, καὶ πλεονεκτοῦσαν αὐτῶν τὴν χεῖρα παραιτούμενοι. Ἔχει δὲ ἡ παράδοσις ὅτι τῶν μεγιστάνων ἐν αὐτῇ τινας ὁ Κῦρος ἑλὼν, εἶτα σιδήρῳ καταδεσμεύσας, διὰ τῆς Κασπίας θαλάσσης εἰς ἀβάτους καὶ ἀοικήτους ἐξέπεμψε χώρας. Κατεγήγερται δὲ τῶν Βαβυλωνίων ὁ Κῦρος Θεοῦ καθηγοῦντος, καὶ τὸ δύνασθαι κρατεῖν ἐπινενεμηκότος αὐτῷ. D Ἔφη γάρ που πρὸς αὐτὸν διὰ τῆς Ἡσαΐου φωνῆς· « Οὕτως λέγει Κύριος τῷ Χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη. » Καὶ πάλιν· « Ἐγὼ ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ, θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συνθλάσω· καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς, ἀποκρύφους, ἀοράτους, ἀνοίξω σοι. » Ἐπειδὴ γὰρ οἱ Βαβυλώνιοι κατὰ τῶν ἐξ Ἰσραὴλ δεινῷ καὶ ἀκράτῳ θυμῷ χρησάμενοι προσκεκρούκασι Θεῷ, διὰ τοῦτο δέδονται καὶ αὐτοὶ Πέρσαις τε καὶ Μήδοις, οἳ καὶ ἀφορήτοις ἀπανθρωπίαις ἐχρήσαντο κατ' αὐτῶν. Εἴρηται γοῦν πρὸς τὴν Βαβυλῶνα δι' ἑνὸς τῶν ἁγίων προφητῶν· Καθὼς

[61] Isa. XLV, 1. [62] ibid. 2, 3.

ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου A ἀνταποδοθήσεται εἰς κεφαλήν σου. Ὑμῶν τοίνυν ἕνεκα, φησὶν, ὦ Ἰσραὴλ, ἀποστελῶ εἰς Βαβυλῶνα, ἀποστελῶ δὲ τίνα; Ἢ πάντως που τὸν ἀοίδιμον Κῦρον, καὶ τὴν ὑπ' αὐτῷ στρατιάν; Τὸ δὲ ἀποστελῶ τὸ ἐπιπέμψω δηλοῖ. Ἐπεγερῶ δὲ αὐτοῖς καὶ πάντας τοὺς πάλαι φεύγοντας, εἴκοντάς τε αὐτοῖς καὶ δεδιότας ὡς μαχητὰς, καὶ ἀλκιμωτέρους. Καὶ Χαλδαῖοι ἐν πλοίοις δεθήσονται. Ὡς γὰρ ἔφην φθάσας, καὶ αὐτοὶ μετῳκίσθησαν εἰς ἀπῳκισμένας καὶ ἀβάτους χώρας, τὴν καλουμένην Κασπίαν διαπλεύσαντες θάλασσαν. Ἰστέον δὲ ὅτι καὶ ἑτέρα φέρεται γραφή. Χαλδαῖοι γὰρ, φησὶν, οὐκ ἐν πλοίοις μᾶλλον, ἀλλ' ἐν κλοιοῖς δεθήσονται. Σέσωκε δὲ καὶ νοητῶς ἅπαντας τοὺς ἐπὶ τῆς γῆς ὁ τῶν ὅλων Σωτὴρ καὶ Κύριος τὰ τῶν δαιμονίων καταργήσας στίφη, καὶ τὴν ἄμα- B χον αὐτοῦ καὶ ὑπερφυᾶ δύναμιν κατεξαναστήσας αὐτῶν, τοῦτ' ἔστι Χριστόν. Οὕτω γὰρ ἡμᾶς αἰχμαλώτους ὄντας ἐλυτρώσατο, καὶ τοῖς ἐκείνου θελήμασιν οἱονεὶ θητεύοντας ἀπέφηνεν ἐλευθέρους, καὶ ὡς ἐκ βαρβάρου γῆς ἀποστάσας ἐπανήγαγεν εἰς τὴν νοητὴν Ἰουδαίαν, ἥτις ἐστὶν ἡ Ἐκκλησία ἣν αὐτὸς αὐτῷ περιεποιήσατο, κηλῖδος ἁπάσης ἀπαλλάξας καὶ μολυσμῶν, ἁγίαν τε καὶ ἄμωμον ἀποφήνας.

et cesserant illis, et velut bellatores ac fortiores metuerant. Et Chaldæi navibus vincientur. Nam, ut supra dixi, et ipsi transportati sunt in remota et inaccessa loca, transmisso mari quod Caspium dicitur. Sciendum autem, aliam circumferri scripturam. Chaldæi enim, inquit, non in πλοίοις, id est, navibus, sed in κλοιοῖς, hoc est, torquibus seu ligaminibus vincientur. Servavit autem etiam intelligibiliter omnes terræ incolas universorum Servator et Dominus, catervis dæmonum profligatis et deletis, et invicta sua et supernaturali potentia, hoc est, Christo, contra eos excitato. Sic enim nos captivos redemit, et servientes veluti eorum voluntatibus, liberos efficit, et veluti e barbara terra ereptos, in terram intelligentia ac mente perceptam Judæam, quæ est Ecclesia, adduxit, quam ipse sibi acquisivit, ab omni labe et contaminationibus liberavit, et sanctam ac immaculatam reddidit.

Ἐγὼ Κύριος, ὁ Θεὸς ὑμῶν, ὁ ἅγιος, ὁ καταδείξας Ἰσραὴλ βασιλέα ὑμῶν.

Τὰ μεγάλα καὶ ἐξαίρετα τῶν πραγμάτων καὶ ἀπιστεῖται πολλάκις, ὅταν ἔσεσθαι προαγγέλλωνται. Ταύτητοι καὶ σφόδρα εἰκότως ὁ τῶν ὅλων Θεὸς, ὅτε τι τοιοῦτον ἐπαγγέλλεται, πρὸς πίστιν τοῦ ἀκροωμένου τὴν ἑαυτοῦ δόξαν ἐμφανῆ καθιστὰς, Κύριόν τε τῶν ὅλων καὶ Θεὸν ἑαυτὸν ὀνομάζει. Τί δ' ἂν γένοιτο τὸ ἀντιστατοῦν τό γε οὕτως ἔχοντι φύσεώς τε καὶ δόξης; Ὅταν τοίνυν ὑμῖν προαγορεύσω, φησὶν, οὐ C καθ' ἕνα καὶ αὐτός εἰμι τῶν ψευδωνύμων θεῶν, οἳ μηδὲν ὄντες παντελῶς, οὐδ' ἂν ἐργάσαιντό τι μικρὸν ἢ μέγα· εἰμὶ δὲ μᾶλλον Κύριος ὁ Θεὸς, ὁ ἐν ὑμῖν ἅγιος, τοῦτ' ἔστι, σεπτὸς, καὶ τῶν ἄλλων ἁπάντων ἐξῃρημένος, καὶ ἀμάχοις νεύμασιν ἃ ἂν βούλωμαι κατορθῶν. Εἰμὶ δὲ ὁ καταδείξας Ἰσραὴλ βασιλέα ὑμῶν. Τοῦτο διχῇ νοητέον· ἢ γὰρ ἐκεῖνο φησίν· Ὡς ἐγώ εἰμι ὁ καταδείξας ἐμαυτὸν διὰ πολλῶν σημείων, καὶ τῆς ὑπὲρ λόγον ἀλκῆς τε καὶ ἐξουσίας βασιλέα ὑμῶν· ἤγουν ἕτερόν τι διὰ τούτου καταδηλοῦν ὑποτοπητέον· Ἰσραὴλ καὶ μέν τοι καὶ Ἰακὼβ παρὰ ταῖς θείαις ὠνόμασται Γραφαῖς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καθάπερ ἀμέλει καὶ Δαβίδ· διά τοι τὸ ἐκ σπέρματος εἶναι κατὰ σάρκα τῶν ὠνομασμένων. D Εἰμὶ τοιγαροῦν, φησὶν, ἐγὼ ὁ καταδείξας τὸν ἐξ αἵματος Ἰακώβ τε καὶ Ἰσραὴλ βασιλέα ὑμῶν. Πλείστην δὲ ὅσην ἔχει τὴν οἰκονομίαν ὁ λόγος. Ἐπειδὴ γὰρ λυτρώσεως μερικῆς ἐποιήσατο μνήμην· ἀνεκομίσθη γὰρ, ὡς ἔφην, ὁ Ἰσραὴλ ἐκ τῆς Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν, ἀναγκαίως ἐπὶ τὸ μεῖζον ἀσυγκρίτως ἀναβιβάζει τὴν ὑπόσχεσιν, καὶ διαμέμνηται λυτρώσεως τῆς ἐσομένης διὰ Χριστοῦ, καὶ οὐ μερικῆς ἔτι, καὶ ὡς ἐπ' ἔθνους ἑνὸς, καθὰ καὶ πάλαι, γενικώτερον δὲ μᾶλλον καὶ κατὰ παντὸς ἰούσης τῆς ὑπ' οὐρανόν. Ὅτι δὲ οὐκ ἀθαύμαστον τοῦ Χριστοῦ τὸ μυστήριον διὰ τὴν τῆς οἰκονομίας ὑπερβολὴν, καὶ τὸ τῆς εἰς ἡμᾶς ἡμερότητος μέγεθος, ἐνδοιάσειεν ἂν οὐδεὶς τῶν γε ἅπαξ εἰδότων αὐτό. Θεὸς γὰρ ὢν φύσει, καὶ

VERS. 15. *Ego Deus vester sanctus, qui ostendi Israel regem vestrum.*

Magna et eximia quæ sunt, sæpe, cum fore prænuntiantur, parum creduntur. Idcirco, et sane merito, universorum Deus, cum tale quidpiam promittat, ad fidem faciendam auditoribus, suam gloriam manifestam facit et perspicuam, et se Dominum universorum ac Deum nominat. Quid illi qui eam naturam habet, et tantam gloriam, poterit resistere? Quando igitur vobis prænuntio aliquid, inquit, non sum e numero falso nuncupatorum deorum, qui plane nihil sunt, nec quidquam seu parvum seu magnum efficere poterunt: at sum Dominus Deus, inter vos sanctus, id est, augustus, et præ aliis omnibus eximius et invictus, **570** et inexpugnabilis, quidquid vel nutu volo efficere. Et sum, qui ostendi Israel regem vestrum, hoc dupliciter intelligendum. Vel enim illud inquit: Ego sum, qui ostendi meipsum regem vestrum multis signis, et fortitudine et potentia, quæ verbis exprimi non potest: vel aliud quiddam significari hic credendum est, Israelem scilicet et Jacob dici in divinis Litteris, Dominum nostrum Jesum Christum, quemadmodum videlicet et David: ex eo quod sit ex semine horum secundum carnem, quos diximus, oriundus. Sum igitur, inquit, qui ostendi regem vestrum ortum ex Jacob et Israelis sanguine. Optimam dispositionem habet oratio. Nam postquam mentionem fecisset liberationis particularis, reductus est enim, ut dixi, Israel ex Babylone in Judæam: ad incomparabiliter majora extendit promissionem, et commemorat liberationem quæ per Christum futura est, non particularem jam, aut quæ velut unius sit gentis, ut olim, sed quæ latius pateat, et quæ universum orbem terrarum pervadat. Christi autem mysterium admirabile esse, propter dispensationis eminentiam, et erga nos placabilitatis magnitudinem, nemo eorum qui illud semel

noverunt, est qui ambigat. Deus enim natura, et ex Deo Patre, cum illuxisset Unigenitus, exinanivit se, formamque servi sumpsit, ut a diaboli tyrannide liberaret eos qui ei subjacebant, suisque sceptris subjiceret. Itaque hoc quidem loco meminit hæc oratio, quasi particularis redemptionis quæ futura esset suo tempore, quæ solis Judaico sanguine ortis data est, et generalis, per Christum scilicet, per quam servavit Deus et Pater totum orbem habitabilem.

VERS. 16, 17. *Sic dicit Dominus : Qui dat in mari viam, et in aqua vehementi semitam, qui educit currus et equum, et multitudinem robustam. Sed dormierunt, et non resurgent, exstincti sunt ut linum exstinctum.*

Bona et utilia, etsi dicantur sæpe a Deo et hominibus, tamen molesta sapientibus nullo modo sunt, sed ad salutem potius necessaria. Hinc Paulus sapientissimus scribit quibusdam per epistolam : « Eadem dicere vobis, mihi quidem non grave est, vobis autem tutum [62]. » Quoniam enim humana mens, insigni quadam socordia corrumpitur, ita ut **571** quandoque in oblivionem veniat eorum quæ a Deo unicuique data sunt : idcirco divina oratio subinde eorum memoriam nobis refricat, nec sinit frigere socordia, sed pietatis amore, et studio omnium bonorum accendit. Ergo, cum redemptus fuisset Israel, plurimis ac incredibilibus beneficiis ei præstitis, deinde vero eorum obliti, aversi fuissent ad defectionem, et ad eos declinavissent qui dii non erant : necessario Deus redigit illis in memoriam suam potentiam dicens dedisse se viam in mari, et in aqua vehementi semitam. Trajecerunt enim medium mare, cum e regione Ægyptiorum proficiscerentur, et pedibus Jordanem transierunt. Et hanc esse dicimus in aqua vehementi semitam. Quæ admiratus divinus David psallit : « Quid est tibi, mare, quod fugisti? Et tu, Jordanis, quia conversus es retrorsum [63]? » Et iterum de Deo : « Convertens mare in aridam, per fluvium transibunt pede [64]. » Itaque dedit in mari viam, et in aqua vehementi semitam, et currus et equum et multitudinem fortem eduxit. Pharao enim persecutus est Israelitico sanguine ortos, curribus et equis usus, et terrifica manu subsidiariorum militum : atqui nullo modo injuriam fecit redemptis. Dormierunt enim, et non resurgent, inquit, sed exstincti sunt, ut linum exstinctum. Nam præfocati sunt aquis, et simul cum equis perierunt, et ut linum quod facile comburitur, ira divina consumpti sunt, et exstincti sine labore, id est, in nihilum abierunt, et veluti in cineres redacti sunt. Linum enim igne facile consumitur, et statim antequam manum verteris, exstinguitur, et flammam parit tenuissimam. Si quis autem dicat : Cum princeps terræ Ægyptiacæ, sua sponte in Israelem incursionem faciat, quomodo ipse universorum Deus, equos et

[62] Philip. III, 1. [63] Psal. XI, 5. [64] Psal. LXV, 6.

A ἐκ Θεοῦ Πατρὸς ἀναλάμψας ὁ Μονογενὴς, καθίκετο μὲν εἰς κένωσιν, ἔλαβε δὲ δούλου μορφὴν, ἵνα τῆς τοῦ διαβόλου τυραννίδος ἀπαλλάξας τοὺς ὑπ' αὐτῷ κειμένους, τοῖς ἰδίοις ὑπαγάγῃ σκήπτροις. Μέμνηται δὴ οὖν ὁ λόγος ἐν τούτοις, ὡς ἐσομένης κατὰ καιροὺς λυτρώσεως μερικῆς, ἣ μόνοις δέδοται τοῖς ἐξ αἵματος Ἰσραὴλ, καὶ καθόλου, καὶ γενικωτάτης, διὰ Χριστοῦ δηλονότι, δι' ἧς σέσωκεν ὁ Θεὸς καὶ Πατὴρ τοὺς ἀνὰ πᾶσαν τὴν οἰκουμένην.

Οὕτω λέγει Κύριος· Ὁ διδοὺς ἐν θαλάσσῃ ὁδὸν, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον, ὁ ἐξαγαγὼν ἅρματα, καὶ ἵππον καὶ ὄχλον ἰσχυρόν. Ἀλλ' ἐκοιμήθησαν, καὶ οὐκ ἀναστήσονται, ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον.

B Τὰ χρηστὰ καὶ ὀνησιφόρα, κἂν πλειστάκις λαλεῖται παρά τε Θεοῦ καὶ ἀνθρώπων, ὀχληρὰ μὲν οὐδαμῶς εἶεν ἂν τοῖς ἀρτίφροσιν, ἀναγκαῖα δὲ μᾶλλον εἰς σωτηρίαν. Ταύτῃτοι καὶ ὁ πάνσοφος Παῦλος ἐπιστέλλει τισί· « Τὰ αὐτὰ λέγειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. » Ἐπειδὴ γὰρ ἐκ πολλῆς ἄγαν ῥαθυμίας ὁ ἀνθρώπινος νοῦς καταφθείρεται πρὸς λήθην ἔσθ' ὅτε τῶν δεδωρημένων ἑκάστῳ παρὰ Θεοῦ, διὰ τοῦτο πρὸς ἀνάμνησιν αὐτῶν ἀναβιβάζει πλεισταχοῦ θεῖος ἡμᾶς λόγος, οὐκ ἐῶν εἰσάπαν ἀποψύχεσθαι πρὸς τὸ ῥᾴθυμον, ἀναζωπυρῶν δὲ μᾶλλον εἰς φιλοθεΐαν, καὶ εἰς παντὸς ἔφεσιν ἀγαθοῦ. Οὐκοῦν ἐπειδήπερ λελύτρωται ὁ Ἰσραὴλ, πλείστων ὅσων ὑπὲρ αὐτοῦ παραδόξως τετελεσμένων, εἶτα τούτων C ἀμνημονήσαντες ἐτράποντο πρὸς ἀπόστασιν, καὶ τοῖς οὐκ οὖσι θεοῖς προσνενεύκασιν, ἀναγκαίως αὐτοὺς πρὸς ἀνάμνησιν τῆς ἑαυτοῦ δυνάμεως ἀνακομίζει Θεὸς, δεδωκέναι λέγων ὁδὸν ἐν θαλάσσῃ, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον. Διεβιβάσθησαν γὰρ διὰ θαλάσσης μέσης τῆς Αἰγυπτίων ἀπαίροντες χώρας, διέβησαν δὲ καὶ ποσὶ τὸν Ἰορδάνην. Καὶ ταύτην εἶναί φαμεν τὴν ἐν ὕδατι ἰσχυρῷ τρίβον. Ἃ δὴ καὶ θαυμάσας ὁ θεσπέσιος ψάλλει Δαβίδ· « Τί ἐστί σοι, θάλασσα, ὅτι ἔφυγες; καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; » Καὶ πάλιν περὶ Θεοῦ λέγων· « Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηρὰν, ἐν ποταμῷ διελεύσονται ποδί. » Οὐκοῦν δέδωκεν ἐν θαλάττῃ ὁδὸν, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον. Ἐξήγαγε δὲ, καὶ ἅρματα, καὶ ἵππον, καὶ ὄχλον ἰσχυρόν. Κατεδίωξε μὲν γὰρ ὁ Φαραὼ τοὺς ἐξ D αἵματος Ἰσραὴλ ἐν ἅρμασί τε καὶ ἵπποις, καὶ δυσαντήτῳ χρώμενος τῇ τῶν συνασπιζόντων χειρί, πλὴν κατ' οὐδένα τρόπον νενίκηκε, ἤτουν ἠδίκησε τοὺς λελυτρωμένους. Ἐκοιμήθησαν γὰρ, καὶ οὐκ ἀναστήσονται, φησὶν, ἀλλ' ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον. Ἐναπεπνίγησαν γὰρ τοῖς ὕδασιν, ἵπποις τε ὁμοῦ καὶ διολώλασι, καὶ ὡς εὐκατάπρηστον λίνον ὑπὸ θείας ὀργῆς δεδαπάνηνται, καὶ κατεσβέσθησαν ἀμογητὶ, τοῦτ' ἔστι, κεχωρήκασιν εἰς τὸ μηδὲν, καὶ οἷον ἀποτετέφρωνται. Τὸ γάρ τοι λίνον πυρὶ μὲν ἕτοιμον εἰς ἀφανισμὸν, σβέννυται δὲ καὶ χειρὸς ἀφῇ, καὶ ἀδρανεστάτην ὠδίνει φλόγα. Εἰ δὲ δή τις λέγοι, Τοῦ τῆς Αἰγυπτίων ἐξάρχοντος γῆς ἰδίᾳ βουλήσει

κατατρέχοντες τοῦ Ἰσραὴλ, πῶς αὐτὸς ὁ τῶν ὅλων Θεὸς ἐξαγαγεῖν λέγεται τοὺς ἵππους, καὶ ἅρματα, καὶ τὸν ὑπ' ἐκείνων στρατόν; Φαμὲν ὅτι εἴρηται πρὸς Φαραὼ παρὰ τοῦ τῶν ὅλων κρατοῦντος Θεοῦ· « Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. » Καὶ ταυτὶ μὴν εἰρήσθω πάλιν ἱστορικῶς. Φαμὲν δὲ ὅτι τοὺς εὖ βιοῦν ᾑρημένους, καὶ τὴν ὑπὸ τῷ διαβόλῳ δουλείαν παραιτουμένους, ἀποφοιτῶντάς τε τῶν περὶ γῆν σπουδασμάτων, καὶ οἷον ἀπαίρειν ἐθέλοντας πάσης ἀκαθαρσίας, διώκει μὲν ὁ πονηρὸς, σώζει δὲ παραδόξως Θεὸς, βάσιμον αὐτοῖς ἀποφαίνων τοῦ παρόντος βίου τὸν κλύδωνα, καὶ ἀφράστῳ δυνάμει διαβιβάζων αὐτοὺς, καὶ τοῖς τοῦ παρόντος βίου περισπασμοῖς οὐκ ἐφιεὶς ἐπικλύζειν αὐτοὺς, ἀλλ' ἐπέκεινα σαρκικῶν κυμάτων γενέσθαι παρασκευάζων, ἐξημερῶν δὲ ὥσπερ τινὰ θάλασσαν αὐτοῖς τοὺς πολυτρόπως συμβαίνοντας πειρασμούς· ἵνα ἰσχύσειαν ἐν γῇ γεγονότες ἐρήμῳ, τοῦτ' ἔστιν, ἐν καταστάσει νοῦ καθαρᾷ καὶ σχολαίᾳ φαγεῖν τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, καὶ πιεῖν ὕδωρ ἐκ πέτρας, τοῦτ' ἔστιν, ἐν μεθέξει γενέσθαι Χριστοῦ, διαβιβασθῆναί τε τὸν Ἰορδάνην, οὕτω τε εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἐλάσαι, συνήσει πάντως ὁ πνευματικὸς ὅ φημι.

Μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε. Ἰδοὺ ποιῶ καινὰ, ἃ νῦν ἀνατελεῖ, καὶ γνώσεσθε. Καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδὸν, καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς. Εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες, καὶ θυγατέρες στρουθῶν, ὅτι δέδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ ποταμοὺς ἐν τῇ ἀνύδρῳ, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτὸν, λαόν μου ὃν περιεποιησάμην, τὰς ἀρετάς μου καὶ κατορθώματα διηγεῖσθαι.

Ὥσπερ ἐν τοῖς ἀνόπιν βραχὺ μερικὴν οὖσαν τὴν ἐσομένην λύτρωσιν τοῖς ἐξ Ἰσραὴλ, παρετίθει μὲν εἰς γνῶσιν αὐτοῖς, ἀναβιβάζων δὲ τῶν πραγμάτων τὴν ἀφήγησιν ἐπὶ τὸ ἄμεινον, ἀσυγκρίτως τῆς διὰ Χριστοῦ σωτηρίας ἐποιεῖτο τὴν μνήμην, ἀναδεῖξαι λέγων ἡμῶν βασιλέα τὸν Ἰσραήλ· οὕτω κἀνθάδε διαμνημονεύσας χρησίμως τῆς τε Ἐρυθρᾶς θαλάσσης, καὶ τῶν Ἰορδάνου ναμάτων, καὶ τοῦ διαβιβασμοῦ τῶν ἐξ Ἰσραὴλ, πάλιν ἐπάνεισιν ἐπὶ τὸ Χριστοῦ μυστήριον. Διὰ τοῦτό φησι· Μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε. Ἡ γὰρ τῶν ἀσυγκρίτως ὑπερκειμένων ἐπεισφορὰ, λήθην δίδωσιν ἔσθ' ὅτε τὸ ἔλαττον, καὶ τὰ λαμπρὰ τῶν πραγμάτων ἀπαμβλύνουσί πως τὰ μὴ οὕτως ἔχοντα κατὰ φύσιν, κἂν προτερεύῃ κατὰ τὸν χρόνον. Τοιοῦτόν τι καὶ ὁ πάνσοφος Παῦλος, ὅτι « Νῦν μὲν γινώσκομεν ἐκ μέρους· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται. » Μεγάλα μὲν γὰρ καὶ λόγου παντὸς ἐπέκεινα τὰ τετελεσμένα παρὰ Θεοῦ διὰ τοῦ πανσόφου Μωσέως, ὑπερφερῆ δὲ καὶ ἀνεστηκότα τὰ διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἰσχύος τε καὶ ὑπεροχῆς. Σέσωσται γὰρ δι' αὐτοῦ, καὶ παρ' αὐτοῦ τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐθνῶν ἡ πληθύς. Διὰ τοῦτο μονονουχὶ, καὶ ἐπιλανθάνεσθαι κελεύει τῶν πρώτων. Προσερεῖται [al. προσ-

currus et exercitum ejus dicitur educere? Respondemus dictum esse Pharaoni ab universorum dominatore Deo: « In hoc ipsum excitavi te, ut ostenderem in te potentiam meam, et ut annuntietur nomen meum in universa terra [65]. » Atque hoc quidem dictum sit historice. Dicimus autem, qui recte vitam instituere cupiunt, et servitutem diaboli effugere, et a terrenis studiis recedere, ac qui volunt quasi subducere se ab omni impuritate, **572** eos malignum persequi, sed Deum mirabiliter servare, et inexplicabili potentia, per hujus vitæ fluctuationem commodum transitum et quasi permeabilem illis reddere, nec sinere eos hujus vitæ curis immergi, sed efficere, ut carnalibus quasi fluctibus superiores evadant, ac veluti mare quoddam, sic tentationes varie incidentes tranquillare ac sedare: ut cum in hac terra sunt tanquam in deserto, id est, in statu animi puro et quieto, panem cœlestem edere, et aquam de petra bibere valeant, id est, Christi participes esse, et transire Jordanem, sicque in terram promissionis perduci. Ita spiritualis omnino quod dico, intelliget.

VERS. 18-21. *Ne memineritis priorum, et antiqua ne recogitetis. Ecce facio nova, quæ exorientur, et cognoscetis ea; et faciam in deserto viam, et in loco ubi aqua non est, flumina. Laudabunt me bestiæ agri, sirenes, et filiæ struthionum, quod dederim in deserto aquam, et flumina in aquis carente, ut potum dem generi meo electo, populoque quem acquisivi, ut virtutes meas narret.*

Quemadmodum in superioribus particularem redemptionem Israelitis futuram cognoscendam proposuit, et rerum narrationem ad incomparabiliter majora provehens, salutis per Christum fecit mentionem, dicens se ostendisse regem nostrum Israelem, sive ortum sanguine Israelis: sic etiam hic cum opportune commemorasset mare Rubrum, et undas Jordanis, et transitum Israelitarum: de integro ad Christi mysterium revertitur. Propterea inquit: Ne memineritis priorum, et antiqua ne reputetis. Illatio enim rerum incomparabiliter eminentium, interdum dat oblivioni id quod est minus: et res illustres, ea quæ ex natura sua ita non sunt, hebetant quodammodo et obscurant, etiamsi priora sint tempore. Tale quiddam etiam Paulus sapientissimus tradit: « Nunc cognoscimus ex parte: quando vero venerit quod est perfectum, quod ex parte est abolebitur [66]. » Magna enim sunt, et majora quam quæ ulla oratione explicari queant, quæ sunt a Deo per Moysen sapientissimum exhibita: sed excellunt et antestant quæ fortitudine et præstantia Servatoris nostri sunt præstita. **573** Per illum enim et ab illo, gentium multitudo per universum orbem habitabilem servata est. Pro-

[65] Exod. IX, 16. [66] I Cor. XIII, 12.

pterea jubet tantum non oblivisci priorum, et in illis potius, quæ incomparabiliter eminent, et illustrem habent gloriam, mentem defigere. Faciam ergo, inquit, in deserto viam. Intelligitur hic desertum, arida quondam et infructuosa, et velut parens spinarum, multitudo gentium, eo quod sit in ea nullus omnino pius, et probatus, et qui certo novit bene agere. Nam sicuti Psaltes ait: « Omnes declinaverunt, simul inutiles facti sunt: nec erat in illis qui faceret bonitatem, non erat usque ad unum [67]. » In hoc igitur deserto apparuit via, quæ gradientes illac, ad Dei cognitionem veram, ad sanctam et puram vitam, ad omnem omnium rerum bonarum scientiam deducit. Hanc viam esse dicimus, vel divinam et evangelicam et salutarem prædicationem, vel forte ipsummet Christum. Audivimus enim ipsum luculenter dicentem: « Ego sum via [68]. » Nec solum in deserto via fuit, sed ostensi sunt et fluvii, qui undis intelligibilibus et animo utilibus eos qui in eo fuerunt, poterant inebriare. Quos dicimus esse, evangelicorum et apostolicorum vaticiniorum ministros: quorum meminit etiam divinus David, inquiens: « Extulerunt flumina voces suas [69]. » Ut enim iterum idem dicit: « In omnem terram exivit sonus eorum, et in fines orbis terræ verba eorum [70]. » Præter fluvios jam commemoratos intelligi etiam possunt hi qui populi ductores fuerunt, et qui recte et inculpate mysteria tradere norant, et qui pietatis sermonibus irrogare accedentes ad Christum per fidem potuerunt. Aquis carentem nominat gentium multitudinem. Non enim apud eos erant doctores veritatis, et qui salutares undas haberent. Nam, juxta B. Pauli vocem: « Cum profiterentur se esse sapientes, stulti facti sunt, et mutaverunt gloriam incorruptibilis Dei, in similitudinem imaginis corruptibilis hominis, et volatilium, et quadrupedum, et serpentium [71]. » Monstrata ergo, inquit, via, in deserto, et loco aquis carente flumina capiente, laudabunt me bestiæ agri, sirenes, et filiæ struthionum, quod dederim in deserto aquam, et flumina in terra aquis carente, ut dem potum generi meo electo, populo meo quem acquisivi, ut virtutes meas narret. Bestiæ agri denotare videntur **574** homines præ insigni inscitia efferatos quodammodo, et viventes more agresti. Vixerunt autem sic gentes. Sirenas, et filias struthionum dicit eos, qui apud illos ornate loqui norunt, et qui eximia facultate dicendi sunt præditi. Solet autem divinitus inspirata Scriptura, sirenas vocare, passeres stridulos, et qui melodicum quiddam et numerosum solebant resonare. Ejusmodi erant Græcorum superstitionis doctores, et poetæ, et oratores. Inest enim illis suavitas, et ornatus, quantum ad orationem attinet, nihil vero docent necessarium. Sed hi, inquit, omnes celebrabunt me, ut qui dederim aquam intelligibilem, et in loco qui caret aquis, flumina

A ερείδεσθαι] δὲ μᾶλλον τὸν νοῦν τοῖς ἀσυγκρίτως ὑπερκειμένοις, καὶ λαμπρὰν ἔχουσι δόξαν. Ποιήσω τοίνυν, φησὶν, ἐν τῇ ἐρήμῳ ὁδόν. Νοεῖται γε μὴν ἔρημος ἐν τούτοις, ἡ πάλαι ξηρὰ καὶ ἄκαρπος τῶν ἐθνῶν πληθὺς, καὶ οἷον ἀκανθοτόκος, διὰ τὸ εἶναι παντελῶς ἐν αὐτῇ μηδένα τὸν εὐσεβῆ, καὶ εὐδόκιμον, καὶ ἀγαθοεργεῖν εἰδότα σοφῶς. Ὡς γὰρ ὁ ψάλλων φησί· « Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, καὶ οὐκ ἦν ἐν αὐτοῖς ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός. » Ἐν ταύτῃ δὴ οὖν τῇ ἐρήμῳ πέφηνεν ὁδὸς ἀποφέρουσα τοὺς δι' αὐτῆς ἐρχομένους πρὸς θεογνωσίαν τὴν ἀληθῆ, καὶ εἰς ἁγίαν καὶ ἀβέβηλον ζωὴν, καὶ εἰς πᾶσαν ἐπιστήμην ἀγαθοῦ παντὸς πράγματος. Φαμὲν δὲ εἶναι ταύτην τὴν ὁδὸν, ἢ τὸ θεῖόν τε καὶ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, ἢ τάχα που καὶ αὐτὸν τὸν
B Χριστόν. Ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ἐναργῶς· « Ἐγώ εἰμι ἡ ὁδός. » Ἀλλ' οὐχ ὁδὸς μόνη γέγονεν ἐν τῇ ἐρήμῳ, ἀνεδείχθησαν δὲ καὶ ποταμοὶ, νοητοῖς καὶ ψυχωφελέσι νάμασι καταμεθύσκειν εἰδότες τοὺς ἐν αὐτῇ. Φαμὲν δὲ εἶναι καὶ τούτους τοὺς τῶν εὐαγγελικῶν τε καὶ ἀποστολικῶν θεσπισμάτων ἱερουργοὺς, ὧν καὶ ὁ θεσπέσιος Δαβὶδ διαμνημονεύει λέγων· « Ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. » Ὡς γὰρ αὐτός που πάλιν φησίν· « Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. » Πρὸς δέ γε τοῖς ὠνομασμένοις ποταμοῖς νοηθεῖεν ἂν καὶ οἱ λαῶν ἡγούμενοι, καὶ μυσταγωγεῖν εἰδότες ὀρθῶς τε καὶ ἀμωμήτως, καὶ τοῖς εἰς εὐσέβειαν λόγοις κατάρδειν δυνάμενοι τοὺς προσ-
C ιόντας Χριστῷ διὰ τῆς πίστεως. Ἄνυδρον δὲ τὴν τῶν ἐθνῶν ὀνομάζει πληθύν. Οὐ γὰρ ἦν παρ' αὐτοῖς διδάσκαλος ἀληθείας, καὶ σωτηριῶδες ἔχων τὸ νᾶμα. « Φάσκοντες γὰρ εἶναι σοφοὶ, ἐμωράνθησαν, » κατὰ τὴν τοῦ μακαρίου καὶ θεσπεσίου Παύλου φωνήν· « Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ, ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. » Ἀναδειχθείσης τοίνυν ὁδοῦ, φησὶν, ἐν ἐρήμῳ, καὶ λαβούσης τῆς ἀνύδρου ποταμοὺς, εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες, καὶ θυγατέρες στρουθῶν, ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ ποταμοὺς ἐν γῇ ἀνύδρῳ, ποτίσαι γένος μου τὸ ἐκλεκτὸν, λαὸν ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι· καὶ θηρία μὲν ἀγροῦ δηλοῦν ἔοικε τοὺς ἐκ πολλῆς ἄγαν ἀμαθίας ἐκθηριωθέντας τρόπον τινὰ καὶ
D ζῶντας ἀγρίως. Ἔζη δὲ οὕτως τὰ ἔθνη. Σειρῆνας δὲ καὶ θυγατέρας στρουθῶν τοὺς εὐστομεῖν παρ' αὐτοῖς εἰδότας φησὶ, καὶ ἐξησκημένους τὸ καλλιεπές. Ἔθος δὲ τῇ θεοπνεύστῳ Γραφῇ σειρῆνας ἀποκαλεῖν τὰ τῶν στρουθίων λαλήστατα, καὶ ἐμμελές τι καὶ εὔρυθμον ἀναφωνεῖν εἰωθότα. Γεγόνασι δέ πως τοιοῦτοι τῶν Ἑλλήνων δεισιδαιμονίας οἱ διδάσκαλοι, ποιηταί τε καὶ λογογράφοι. Ἔνεστι γὰρ αὐτοῖς τὸ ἡδύ τε καὶ εὔκομπον, τό γε ἧκον εἰς λόγους. Διδάσκουσί γε μὴν τῶν ἀναγκαίων οὐδέν. Ἀλλ' οὗτοι πάντες δοξολογήσουσί με, φησὶν, ὡς ὕδωρ δόντα τὸ νοητὸν, καὶ ἀνύδρῳ δείξαντα ποταμούς. Ἵνα τὸ ἐκλεκτόν μου ποτίσω γένος· καὶ ποῖον τοῦτό ἐστιν, ἢ ἐκεῖνοί που πάντως,

[67] Psal. XIII, 3. [68] Joan. XIV, 6. [69] Psal. XCII, 3. [70] Psal. XVIII, 5. [71] Rom. I, 23.

οἷς καὶ ὁ πάνσοφος Πέτρος προσπεφώνηκε λέγων· « Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος ἐπὶ τὸ θαυμαστὸν αὐτοῦ φῶς, οἵ ποτε οὐ λαὸς, νῦν δὲ λαὸς ἐν Κυρίῳ; »

Οὐ νῦν ἐκάλεσά σε, Ἰακὼβ, οὐδὲ κοπιάσαι σε ἐποίησα, Ἰσραήλ. Οὐκ ἤνεγκάς μοι πρόβατα τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με, οὐδὲ ἐδούλευσας ἐν ταῖς θυσίαις σου. Οὐδὲ ἔγκοπον ἐποίησά σε ἐν λιβανωτῷ, οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυμίαμα, οὐδὲ τὸ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα. Ἀλλ' ἐν ταῖς ἁμαρτίαις σου, πλημμελήμασί τε καὶ ἀδικίαις καὶ τοῖς τοιουτοτρόποις προέστην σου.

Διὰ τῶν ἤδη προεξητασμένων, ἤγουν προανεγνωσμένων, τῆς ἐν Χριστῷ διαθήκης καὶ τῶν παρ' αὐτοῦ χαρισμάτων ἐποιεῖτο τὴν προαγόρευσιν. Ἔφη γὰρ ἐν ἐρήμῳ ποιήσειν ὁδὸν, καὶ ἐν ἀνύδρῳ ποταμούς· ταύτης ἕνεκα τῆς αἰτίας εὐλογηθήσεσθαι παρὰ πάντων τῶν θηρίων τοῦ ἀγροῦ· τρόπος δ' ἂν νοοῖτο θυσίας νοητῆς ἡ δοξολογία, καὶ τῆς νέας καὶ ἐν Χριστῷ διαθήκης καρπός. Ἐν δέ γε τοῖς προκειμένοις πληροφορεῖν πειρᾶται τὸν Ἰσραὴλ, ὅτι λελύτρωται μὲν ἐξ Αἰγύπτου, καὶ τῆς αὐτόσε θητείας ἐξῄρηται, καὶ τῶν οὕτως ἀνιαρῶν ἀπηλλάχθη πόνων, οὐχ ἵνα μόσχους αὐτῷ προσαγάγῃ, καὶ τὴν δι' αἵματος καὶ καπνῶν ποιῆται πρόσοδον. Ἀποβλήματα γὰρ τὰ τοιάδε παρὰ Θεῷ, καὶ σκιὰ μᾶλλόν εἰσιν ἢ ἀλήθεια. Φησὶ τοίνυν· Οὐ νῦν ἐκάλεσά σε, Ἰακώβ. Τὸ δὲ νῦν, ἐκληπτέον, ἀντὶ τοῦ, οὐχ ὅτε θύεις, ἤγουν οὐκ ἐν τῷ βουθυτεῖν ὄντα καὶ μηλοσφαγεῖν κέκληκά σε, ἵνα μὴ ἄρα πως οἰηθῇς ἀντέκτισιν ὥσπερ τινὰ τῆς προσαγωγῆς ἐσχηκέναι τὴν λύτρωσιν, ἀλλ' ὄντα σε μᾶλλον ἐν ἁμαρτίαις, καὶ μολυσμοῖς ἔνοχον, λελάτρευκας γὰρ τοῖς Αἰγυπτίων θεοῖς, φειδοῦς ἠξίωσα καὶ ἀγάπης. Ἡμερότητος οὖν ἄρα τὸ δῶρον, καὶ φιλανθρωπίας καρπὸς ἡ χάρις, καὶ ὡς ἐξ ἀγάπης ἡ λύτρωσις. Οὐδὲν γὰρ, φησὶ, πρὸς ἐμὲ τὰ πρόβατα τῆς ὁλοκαρπώσεώς σου, οὔτε μὴν ἐν ταῖς θυσίαις σου ἐδόξασάς με. Τὸ γὰρ ἀπαράδεκτον ὅλως καὶ εἰκῆ προσφερόμενον, πῶς ἂν εἰς δόξαν γένοιτο τὴν ἐμήν; Ἀλλ' οὐδὲ ἐδούλευσας ἐν ταῖς θυσίαις σου. Ὁ μὲν γάρ τι τῶν ἀγαθῶν ἐπιτηδεύων, φησὶ, καὶ αὐχημάτων τῶν εἰς ἀρετὴν γενόμενος ἀποτελεστὴς, ὁ τοῖς ἐμοῖς νεύμασιν ὑποθεὶς τὸν αὐχένα, καὶ θεσπισμάτων τῶν ἱερῶν ἐργάτης, δουλεύειν ἂν λέγοιτο τῷ ἐπὶ πάντας Θεῷ. Ὁ δέ γε λιβανωτῷ τὴν ἁγίαν καπνίζων σκηνὴν, καὶ βοῦς προσάγων ἢ πρόβατα, ἢ τί τῶν ἀρίστων κατωρθωκὼς, τὴν τῆς γνησιότητος οὐκ ἀποίσεται δόξαν· Πέπραχε γὰρ ὅλως ὁ τοιοῦτος τῶν ἀρεσκόντων ἐμοὶ οὐδὲν, οὐκοῦν οὐκ ἔν γε τῷ θύειν τὸ δουλεύειν ἐστὶν, ἀλλ' ἐν τῷ βουλεύεσθαι τρυφερόν τε καὶ οἷον ἀναφῆ τοῖς αὐτοῦ θελήμασιν ὑποφέρειν τὸν αὐχένα. Ὅσον γὰρ ἧκον, φησὶν, εἰς τὸ αὐτό μοι δοκοῦν, οὐκ ἂν ἔγκοπόν σε ἐποίησα ἐν λιβανωτῷ, οὐδ'

[72] I Petr. IX, 10.

A ostenderim. Ut potum dem generi meo electo. Quale istud est, nisi illi prorsus, quos etiam sapientissimus Petrus affatus est, inquiens : « Vos genus electum, regale sacerdotium, gens sancta, populus acquisitionis, ut virtutes annuntietis ejus, qui e tenebris vos ad lucem suam admirabilem vocavit, qui quondam non populus, nunc autem populus in Domino [72]? »

VERS. 22-24. *Non jam vocavi te, Jacob, nec laborare te feci, Israel. Non obtulisti mihi oves holocausti tui. Neque in sacrificiis tuis magnificasti me, nec servivisti in hostiis tuis. Neque laborem fecisti in thure, nec emisti mihi argento thymiama, nec adipem hostiarum tuarum concupivi. Sed in peccatis tuis et in injustitiis tuis defendi te.*

B In his quæ jam excussa ante sunt vel prælecta, fœderis in Christo, et ejus charismatum prædictionem posuit. Dixit enim se in deserto facturum viam, et in loco siticuloso flumina, hac de causa se ab omnibus agri bestiis prædicatum iri : prædicatio hæc intelligi potest genus quoddam hostiæ intelligibilis, et fructus novi, et in Christo fœderis. In his autem quæ proposita sunt, fidem conatur facere Israeli, se ex Ægypto liberatum esse, et servituti inibi vindicatum, adeoque gravibus ereptum laboribus : non ut ei vitulos offerat, et per sanguinem et fumos sibi aditum patefaciat. Rejectamenta enim sunt hæc apud Deum, umbra magis sunt, quam veritas. Itaque dicit : Non jam vocavi te, Jacob. Illud, Jam, C accipiendum est, pro, Non quando sacrificas, puta, non cum boves offers et pecora mactas, vocavi te : ne forte **575** putes, te liberationem habuisse velut quoddam oblationis præmium : sed cum in peccatis versareris, et inquinamentis esses implicitus (nam Ægyptiorum diis serviebas), tum misericordia te et amore dignatus sum. Ergo donum est placabilitatis et humanitatis fructus est gratia, et velut ex charitate liberatio. Nihil enim, inquit, ad me holocausti tui oves, nec in hostiis tuis me laudasti. Nam quod plane non est acceptum aut gratum, sed frustra oblatum est, qui hoc ad meam cedet gloriam? Sed neque serviebas in hostiis tuis. Nam qui boni quidpiam, inquit, exercet, et quæ virtutis sunt insignia præstat, qui meo nutui cervicem supponit, D et sacrosancta vaticinia exsequitur, hic dici potest servire Deo qui est super omnia. At qui thuris fumo sanctum tabernaculum perfundit, et boves offert vel oves ; qua re præclare gesta, veram ac germanam gloriam referet? Hic enim plane nihil, quod sit mihi voluptati, fecit. Non est ergo in sacrificando obsequium, sed teneram ac quasi tractabilem cervicem ejus voluntati submittendo. Nam quantum ad id attinet quod mihi placet, inquit, non laborem tibi exhibui in thure, nec emisti mihi thymiama argento, sed nec adipem hostiarum tuarum concupivi. Simile huic est, quod per alium

prophetam dictum est illis : « Holocautomata cum hostiis vestris colligite, et edite carnes. Quia non locutus sum patribus vestris, de holocaustis et hostiis die illa, qua eduxi eos e terra Ægypti [73]. » Dixit autem et alibi iterum idem propheta Jeremias : « Quid mihi thus de Saba affertis, et cinnamomum de terra longinqua? Holocausta vestra non sunt accepta, et victimæ vestræ non placuerunt mihi [74]. » Quin et voce Psalmistæ : « Non accipiam de domo tua vitulos, neque de gregibus tuis hircos [75]. » Declarat autem abjectum esse plane umbratilem cultum, dum eos abducit a typis, et ad justificationem per Christum adducit, docetque evangelicæ conversationis curam suscipiendam esse, per quam solam fit, ut possimus Deo placere, et vere irreprehensibilem ac sincerum cultum, spiritualem videlicet, retinere. « Deus etenim, inquit, est spiritus, et qui adorant eum, in spiritu et veritate adorare oportet [76]. »

ἂν ἐκτήσω μοι ἀργυρίου θυμίαμα, ἀλλ' οὐδὲ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα. Ἔοικε τούτῳ τὸ δι' ἑτέρου προφήτου πρὸς αὐτοὺς εἰρημένον· « Τὰ ὁλοκαυτώματα αὐτῶν ὑμῶν μετὰ τῶν θυσιῶν ὑμῶν συνάγετε, καὶ φάγετε κρέα, ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν, περὶ ὁλοκαυτωμάτων, καὶ θυσιῶν, ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου. » Ἔφη που καὶ ἑτέρωθι πάλιν ὁ αὐτὸς προφήτης Ἱερεμίας· « Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρετε, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; Τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ εἰσὶ δεκτὰ, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν με. » Καὶ μὴν, καὶ διὰ τῆς τοῦ ψάλλοντος φωνῆς· « Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. » Ἀπόβλητον δὲ ποιεῖται πανταχοῦ τὴν ἐν σκιαῖς λατρείαν, ἀφιστὰς μὲν αὐτοὺς τῶν τύπων, συνελαύνων δὲ ὥσπερ εἰς δικαίωσιν τὴν ἐν Χριστῷ, καὶ τῆς εὐαγγελικῆς πολιτείας μεταποιεῖσθαι διδάσκων, δι' ἧς ἂν γένοιτό τε καὶ μόνης τὸ εὐαρεστεῖν δύνασθαι τῷ Θεῷ, καὶ τὸ ἄμωμον ἀληθῶς καὶ εἰλικρινὲς εἰς λατρείαν, δῆλον δὲ ὅτι τὴν πνευματικήν. « Πνεῦμα γάρ, φησὶν, ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτῷ ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. »

576 VERS. 25, 26. *Ego sum, ego sum qui deleo iniquitates tuas nec meminero. Tu autem memento, ut judicemur. Dic tu iniquitates tuas prior, ut justificeris.*

Ἐγώ εἰμι, ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθήσομαι. Σὺ δὲ μνήσθητι καὶ κριθῶμεν. Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς.

Rursus specta, Deum virtuti legalis cultus, facultatem liberandi ab insita ipsorum impuritate, non tribuisse. Nec enim fieri potest, ut sanguis taurorum et hircorum peccata auferat, et in his umbra legis est inutilis. Etenim ex lege nemo justificatur, juxta divini Pauli vocem. Scribit enim in Epistola de se et aliis apostolis seu credentibus ex circumcisione : « Nos, inquit, natura Judæi, et non ex gentibus peccatores, scientes non justificari hominem ex operibus legis, sed fide Jesu Christi : nos quoque, inquam, in Jesum Christum credidimus, ut per illum justificaremur [76*]. » Ne itaque putes, inquit, te unquam posse victimis et fumis liberum te a vitiositatis crimine efficere : at scito potius, quod ego sim qui deleo iniquitates tuas, et non meminero. Justificati enim sumus, non ex operibus justitiæ, quæ fecimus nos, sed ex multa misericordia ejus, qui oblivisci voluit nostrorum delictorum. Hoc enim solum etiam servat terræ incolas, qui mentem infirmam habent, et ad omnia quæ in lege accusantur, facile sequacem. Admodum enim, inquit, proclivis est mens hominis ab adolescentia ad mala. Hinc justissima de causa divinus David humanorum lapsuum meminit, inquiens : « Si iniquitates observaveris, Domine, quis subsistet? Quia apud te propitiatio est [77]. » Misericordiam igitur capit Deus universorum, et auspicato nutu et divina oblivione usus, a culpa liberat et offensis eos, qui deprehensi et convicti sunt. Verum non sinit misericordiam consecutos, miserentis gratiam scire ipsos. Et perutile hoc ac sanctis curæ fuisse

Ἄθρει δή μοι πάλιν, ὡς οὐ τῇ δυνάμει τῆς κατὰ νόμον λατρείας ἐκνενέμηκε Θεὸς τὸ ἀπαλλάττειν δύνασθαι τινὰς τῆς ἐνούσης αὐτοῖς ἀκαθαρσίας. Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας, καὶ ἀνόνητος ἐν τούτοις ἡ τοῦ νόμου σκιά. Δικαιοῦται γὰρ οὐδεὶς ἐν νόμῳ κατὰ τὴν τοῦ θεσπεσίου Παύλου φωνήν. Ἐπιστέλλει γοῦν, καί φησι περί τε αὐτοῦ, καὶ τῶν ἄλλων ἀποστόλων, ἤγουν τῶν πεπιστευκότων ἐκ περιτομῆς· « Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί· εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐν αὐτῷ. » Μὴ τοίνυν, φησὶν, οἰηθῇς ὡς δυνήσῃ ποτὲ τῶν ἐκ φαυλότητος ἐγκλημάτων ἐλεύθερον ἀποφῆναι σαυτὸν διὰ θυσίας καὶ καπνῶν. Ἴσθι δὲ μᾶλλον ὅτι ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθήσομαι. Δεδικαιώμεθα γὰρ οὐκ ἐξ ἔργων δικαιοσύνης, ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἀμνημονεῖν ἐθέλοντος τῶν ἡμετέρων αἰτιαμάτων. Σώζει γὰρ τοῦτο καὶ μόνον τοὺς ἐπὶ τῆς γῆς, ἀδρανῆ, καὶ εὐπαρακόμιστον τὴν διάνοιαν ἔχοντας πρὸς πᾶν ὁτιοῦν τῶν ἐκ νόμου διαβεβλημένων. Ἐπιμελῶς γάρ, φησὶν, ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. Ταύτῃ τοι, καὶ μάλα εἰκότως ὁ θεσπέσιος Δαβὶδ τῶν ἀνθρωπίνων ὀλισθημάτων διαμέμνηται λέγων· « Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, τίς ὑποστήσεται, ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι. » Κατοικτείρει μὲν οὖν ὁ τῶν ὅλων Θεὸς, καὶ δὴ καὶ αἰσίοις νεύμασι καὶ ἀμνηστίαις χρώμενος ταῖς θεοπρεπέσιν, ἔξω τίθησιν αἰτίας, καὶ

[73] Jer. VII, 21, 22. [74] Jer. VI, 20. [75] Psal. XLIX, 9. [76] Joan. IV, 24. [76*] Gal. II, 15, 16. [77] Psal. CXXIX, 3, 4.

A ὀλισθημάτων τοὺς ἁλόντας αὐτοῖς. Πλὴν οὐκ ἐᾷ τοὺς ἠλεημένους τὴν τοῦ δικαιοῦντος αὐτοὺς εἰδέναι χάριν. Ἐπωφελὲς δὲ τοῦτο καὶ διὰ σπουδῆς τοῖς ἁγίοις γεγονὸς εὑρήσομεν. Ψάλλει γοῦν καί φησιν ὁ μακάριος Δαβὶδ, ποτὲ μὲν, ὅτι « Τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός· » καὶ πάλιν, ὅτι « Τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. » Ἐγὼ τοίνυν, φησὶν, ἀμνημονήσω μὲν τῶν αἰτιαμάτων. Μέμνησό γε μὴν αὐτὸς, καὶ δὴ καὶ κριθῶμεν· Ὁμολόγει δὲ σὺ καὶ, βεβαίαν ἔχε τὴν ἀμνηστείαν. Γέγραπται γὰρ ὅτι, « Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. » Καὶ πάλιν· « Μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου. » Οὐ τετήρηκε τὴν τοιαύτην ἐντολὴν ὁ ὑπερόφρυς Φαρισαῖος, ὃν ἐν ταῖς εὐαγγελικαῖς παραβολαῖς ἵστησιν εὐχόμενον ὁ Σωτὴρ
B ἐν τῇ συναγωγῇ, εἶτα πολὺ νοσοῦντα τὸ ἀμαθὲς, καὶ ἐξ εἰκαίου φυσήματος λέγοντα· « Ὁ Θεὸς, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα τὰ ὑπάρχοντά μοι. » Οὗτος οὐκ ἠνέσχετο λέγειν τὰς ἑαυτοῦ ἁμαρτίας. Κατακέκριται δὴ οὖν ὡς ἀλαζών τε καὶ ψεύστης, καθαρὸς γὰρ οὐδεὶς ἀπὸ ῥύπου, καὶ πολλὰ πταίομεν ἅπαντες. Ἔγνω δὲ καὶ ὡμολόγει τὰς ἁμαρτίας ὁ τελώνης τὰς ἑαυτοῦ. Εἱστήκει γὰρ τύπτων τὸ στῆθος, καὶ λέγων· « Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. » Δεδικαίωται δὴ οὖν ὁμολογήσας τὰ ἡττήματα, καὶ τῆς ἐνούσης αὐτῷ βδελυρίας τὸν ῥύπον οὐχ ἀποκρύψας, ἵνα καθαρισθῇ.

invenimus. Psallit enim et inquit beatus David alias: « Iniquitatem meam ego cognosco, et peccatum meum contra me est semper[78]. » Et rursus alias: « Iniquitatem meam ego annuntiabo, et de peccato meo sollicitus ero[79]. » Ego itaque, inquit, obliviscar delictorum. Tu ipse memento, et judicemur. Confitere tu, et scito fore certam oblivionem. Scriptum est enim: « Justus sui ipsius **577** accusator est in principio sermonis[80]. » Et iterum; « Ne pudeat confiteri peccata tua. » Non hoc præceptum servavit superciliosus Pharisæus, quem in evangelicis parabolis proponit Servator precantem in synagoga, morbo ignorantiæ et vani tumoris multum laborantem, ac dicentem: « Gratias tibi ago quod non sum quales reliqui hominum, rapaces, injusti, aut qualis est hic publicanus: jejuno bis in sabbato, decimas do omnium facultatum mearum[81]. » Iste non sustinuit dicere sua peccata. Condemnatus igitur est, ut arrogans et mendax. Nemo etenim mundus est a sordibus. Et multum labimur omnes. Novit autem et confessus est sua publicanus. Stabat enim pulsans pectus, ac dicens: « Deus, propitius esto mihi peccatori. » Justificatus est ergo, confessus culpas, et abominationis suæ sordes non celans, ut emundaretur[82].

C *Οἱ πατέρες ὑμῶν πρῶτοι, καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ. Καὶ ἐμίαναν οἱ ἄρχοντες τὰ ἅγιά μου· καὶ ἔδωκα ἀπολέσαι Ἰακὼβ καὶ Ἰσραὴλ εἰς ὀνειδισμόν.*

Εἰπών· Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθήσομαι, συνεῖδεν ὅτι τάχα πού τινες τοῖς εἰρημένοις ἀνταναστήσονται, καὶ δὴ καὶ ἐροῦσιν· Εἰ τετίμηκας ἀμνηστείᾳ τὸν Ἰσραὴλ, εἰ γέγονεν ἐπ' αὐτῷ πολλή τις ἄγαν ἡ γαληνότης, εἰ κεκάθαρται τῶν ῥύπων, καὶ τῶν ἀρχαίων αἰτιαμάτων τοὺς μολυσμοὺς ἀπενίψατο, πῶς ἢ τίνων ἐξήτηται δίκας τοῖς τῶν πολεμίων ξίφεσι δαπανώμενος· εἶτα δορύληπτος γεγονὼς, καὶ τὴν ἐνεγκοῦσαν ἀφεὶς, καὶ ὑπὸ χεῖρα καὶ ζυγὸν τῶν ᾑρηκότων γεγενημένος; Δέδοται γὰρ τοῖς ἐκ Βαβυλῶνος ἥκουσι μαχηταῖς. Ἀπολογεῖται δὴ οὖν τὸ, Κριθῶμεν, λέγων, καί φησιν, ὡς αὐτοὶ γεγόνασι, καὶ τούτου αἴτιοί τε καὶ πρόξενοι ταῖς σφῶν αὐτῶν κεφαλαῖς. Οἱ γὰρ πατέρες ὑμῶν, φησὶ, καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ. Καὶ οὐχ ἁπλῶς αἰτιᾶται προγόνους πατέρας ἡμῖν ἐν τούτοις εἰπών. Ἔοικε δὲ μᾶλλον βούλεσθαί τι τοιοῦτον ὑποδηλοῦν. Οἱ γάρ τοι πρὸς ἱερουργίαν ἐξειλεγμένοι σοφοί τε καὶ νομοΐστορες, καὶ παιδαγωγεῖν εἰωθότες τοὺς ὑπὸ χεῖρα λαοὺς, πατέρες ἂν λέγοιντο τῶν ὑπεζευγμένων, ἄρχοντές τε καὶ ἡγούμενοι. Ὅταν τοίνυν οὐκ ἐκ πληθύος τῆς ἀγελαίου πράττηταί τινα τῶν ἀτόπων, παρ' ἐκείνων δὲ μᾶλλον οὓς ἦν εἰκὸς δύνασθαι καὶ τὰ τῶν ἑτέρων ἐπανορθοῦν, φορτικὸν τὸ χρῆμα, καὶ δυσδιάφυκτος ἡ δίκη, καὶ ὀφειλομένη

Vers. 27, 28. *Patres vestri primi, et principes vestri inique prævaricati sunt in me. Et contaminarunt principes sancta mea. Et dedi ut perderent Jacob, et Israel in opprobrium*

Cum dixisset: Ego sum qui deleo iniquitates tuas, et non meminero, novit forsitan aliquos his quæ dicta sunt occursuros, et quidem dicturos: Si honoraveris Israelem oblivione peccatorum, si ei comparata sit summa tranquillitas, si emundatus sit a sordibus, et inquinamenta veterum delictorum abluerit: quo modo aut quarum culparum pœnas pendit, hostium gladiis confectus, captivus factus, et patria amissa, et in manu ac sub jugo eorum qui vastarunt? Nam traditus fuit bellatoribus venientibus ex Babylone. Excusat igitur factum,
D inquiens: Judicemur, et ait ipsos fuisse auctores hujus, et accersivisse hæc suis ipsorum capitibus. Patres enim vestri, inquit, et principes vestri inique egerunt in me. Nec simpliciter hoc crimini dat majoribus cum dicit, Patres vestri. Sed tale quid his verbis videtur potius velle denotare. Nam qui ad ministerium electi erant, et sapientes, et legisperiti, et populum sibi commissum erudire solebant eorum qui jugo suberant, patres, et principes, et duces, appellari poterant. Itaque cum hæc absurda et indecora, non a gregaria turba perpetrentur, sed ab his, quorum erat aliorum scelera corrigere **578** molestum est, et pœna inevitabilis, et in posterum debita his qui fecerunt impie. Ergo,

[78] Psal. L, 5. [79] Psal. XXXVII, 19. [80] Prov. XVIII, 17. [81] Luc. XVIII, 11, 12. [82] ibid. 13.

inquit, qui in loco patrum sunt positi, et qui præfuerunt vobis, impii fuerunt in me. Cum dicit, *In me*, ostendit hæc quæ turpiter et impie designata sunt, non in unum aliquem nostræ sortis hominem facta esse, sed contra ipsam majestatem Dei, qui est supra omnia. Puta, cum proximum quis injuria affecerit, vel avaritia, et insolentia, aut alio modo circumveniens: peccat quidem, verum in hominem suæ naturæ similem, et non in Deum. Qui autem cultum repellit, et dæmoniorum deceptionibus seipsum exponit, et adorat illa, contra Deum se opponit, et quantum in ipso est, illum e sedibus divinitatis depellit, et excutere conatur a prærogativa et gloria quæ ipsi et soli congruit. Israelitæ vero diversis temporibus hoc factitarunt. Nam idolis servierunt, et cum sacrosanctis oraculis vale dixissent, puram et superbam in Deum cervicem voluerunt erigere. Accusat igitur eos, et ait: Sacerdotes non dixerunt: Ubi est Dominus? Et profitentes legem non cognoverunt me; et prophetæ impie agebant in me. Et rursus: Quare loquimini mihi? Omnes vos inique egistis, et omnes vos impie egistis in me, dicit Dominus omnipotens. Polluerunt ergo, inquit, principes vestri sancta mea. Ausi sunt enim non in Jerusalem solum dæmonum columnas erigere, sed et in ipso templo divino hoc impie fecisse deprehensi sunt. Dixit igitur universorum Deus de synagoga Judæorum: Quod flagitium abominabile commisit dilecta in domo mea? abominationem dicens, ad Dei formam fabricatam statuam et loco Dei fabricatam imaginem [83]. Contaminantur etiam sancta alio modo, si contemptui habeantur ab aliquibus ea quæ in gloriam Dei reverenter et sancte fieri jubentur, et si qui divinarum ejus legum transgressionem nihili faciant. Itaque quia, inquit, patres vestri impii in me fuerunt, et principes sancta mea contaminarunt, ideo dedi hostibus, ut perdant Jacob, et propter hæc, infamia notavi Israelem.

CAP. XLIV. VERS. 1. *Nunc vero audi, puer mi Jacob, et Israel quem elegi.*

Cum primatum fecerit mentionem, et **579** crimina optime explicuerit, ob quæ traditus est in interitum et opprobrium defector Israel: rursus illis promittit malorum oblivionem, et instaurare vult ac revocare eos ad perfectam et inculpabilem obedientiam. Prætermisso autem velut ignorationis tempore, quo legem habens, Deum non amare deprehendebatur: rursus aliud illis tempus præfinit, cum inquit, Nunc: cui simile est: « Hodie si vocem ejus audieritis, ne obduretis corda vestra sicut in exacerbatione [84]. » Nam tempore, inquit, jam præterito, gravissime in te et quidem semper juste clamatum est. Etenim teipsum in apostasiam præcipitasti, non mediocriter offendisti, magistra lege

A λοιπὸν τοῖς ἠσεβηκόσι. Οὐκοῦν, οἱ ἐν τάξει πατέρων κείμενοι, φησὶ, καὶ τοι λαχόντες ἄρχειν ὑμῶν, ἠνόμησαν εἰς ἐμέ. Τὸ δὲ, εἰς ἐμὲ, λέγων, διαδείκνυσιν ὅτι οὐχ εἰς ἕνα τῶν καθ' ἡμᾶς πέπρακται τὰ παρ' ἐκείνων ἐκτόπως τε καὶ ἀνοσίως πεπλημμελημένα, ἀλλ' εἰς αὐτὴν τὴν δόξαν τοῦ πάντων ἐπέκεινα Θεοῦ. Οἷόν τί φημι· ὅταν μὲν γάρ τις ἀδικήσῃ τινὰς τῶν πέλας, ἢ πλεονεξίᾳ καὶ ὕβρει περιβαλὼν, ἤγουν καθ' ἕτερόν τινα τρόπον, πλημμελεῖ μὲν, πλὴν εἰς ἄνθρωπον ὁμοφυᾶ, καὶ οὔτι που πρὸς Θεόν. Ὁ δέ γε τὴν ὑπ' αὐτῷ λατρείαν διωθούμενος, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ἑαυτὸν ὑποθεὶς καὶ προσκυνήσας αὐτοῖς, ἀνταίρει κατὰ Θεοῦ, καὶ τό γε ἧκον εἰς αὐτὸν τῶν τῆς θεότητος αὐτὸν ἐξίστησι θώκων, καὶ ἀποσαλεύειν πειρᾶται τῆς αὐτῷ καὶ μόνῳ πρεπούσης ὑπεροχῆς τε B καὶ δόξης. Πεπράχασι δὲ τοῦτο κατὰ καιροὺς οἱ ἐξ Ἰσραήλ. Λελατρεύκασι μὲν γὰρ εἰδώλοις, καὶ δὴ καὶ ἐῤῥῶσθαι φράσαντες τοῖς ἱεροῖς θεσπίσμασι, σκληρὸν καὶ ἀγέρωχον ἀνατείνειν ἤθελον τῷ Θεῷ τὸν αὐχένα. Αἰτιᾶται γοῦν αὐτοὺς, καί φησιν· Οἱ ἱερεῖς οὐκ εἶπαν, Ποῦ ἐστι Κύριος; Καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με, καὶ οἱ προφῆται ἠσέβουν εἰς ἐμέ. Καὶ πάλιν· Ἵνα τί λαλεῖτε πρός με; Πάντες ὑμεῖς ἠνομήσατε, καὶ πάντες ὑμεῖς ἠσεβήσατε εἰς ἐμὲ, λέγει Κύριος παντοκράτωρ. Ἐμίαναν τοίνυν οἱ ἄρχοντες, φησὶ, τὰ ἅγιά μου. Τετολμήκασι γὰρ οὐκ ἐν μόνῃ τῇ Ἱερουσαλὴμ τὰς τῶν δαιμονίων ἐγεῖραι στήλας, ἀλλὰ γὰρ καὶ ἐν αὐτῷ τῷ θείῳ ναῷ τοῦτο πεπραχότες ἀνοσίως ἁλοῖεν ἄν. Ἔφη γοῦν ὁ τῶν ὅλων Θεὸς περὶ C τῆς Ἰουδαίων συναγωγῆς· Τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; βδέλυγμα λέγων τὸ εἰς τύπον Θεοῦ τετεχνουργημένον ἄγαλμα καὶ εἰκόνα. Μιαίνονται δὲ τὰ ἅγια καὶ καθ' ἕτερον τρόπον, εἰ καταφρονοῖντο πρός τινων τὰ εἰς δόξαν Θεοῦ σεπτῶς καὶ ἁγίως ἐπιτελεῖσθαι προστεταγμένα, καὶ παρ' οὐδὲν ἡγοῖντό τινες τῶν θείων αὐτοῦ νόμων τὴν παράβασιν. Οὐκοῦν ἐπειδήπερ οἱ πατέρες ὑμῶν, φησὶν, ἠνόμησαν εἰς ἐμὲ, ἐμίαναν δὲ καὶ οἱ ἄρχοντες τὰ ἅγιά μου. Τοῦτο δέδωκα τοῖς ἐχθροῖς ὥστε ἀπολέσαι τὸν Ἰακὼβ, καὶ ὀνείδεσι τοῖς ἐπὶ τούτων περιβέβληκα τὸν Ἰσραήλ.

Νῦν δὲ ἄκουσον, παῖς μου Ἰακὼβ, καὶ Ἰσραὴλ ὃν ἐξελεξάμην.

Διαμνημονεύσας τῶν πρώτων, καὶ τὰς αἰτίας D εὖ μάλα διετρηκὼς, ἐφ' οἷς δέδοται πρὸς ἀπώλειάν τε καὶ ὀνειδισμὸν ὁ ἀποστάτης Ἰσραήλ· πάλιν αὐτοῖς ἀμνησικακίαν ἐπαγγέλλεται, καὶ ἀνακαινίζειν βούλεται πρὸς ὁλοτελῆ καὶ ἀμώμητον εὐπείθειαν αὐτούς. Παρεὶς δὲ ὥσπερ τὸν τῆς ἀμαθίας καιρὸν, καθ' ὃν ὁ φιλόθεος γεγονὼς, ὁ νόμον ἔχων πεφώραται, πάλιν ἕτερον αὐτοῖς ὁρίζει καιρὸν, τὸν Νῦν λέγων· ἐοικέναι τούτῳ φημὶ τὸ, « Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ. » Κατὰ μὲν γὰρ τὸν ἤδη παρῳχηκότα καιρὸν, φησὶ, πλείστη τε ὅση κατὰ σοῦ γέγονε καὶ δικαία που πάντως ἡ καταβοή· σεαυτὸν γὰρ καθῆκας εἰς ἀπόστασιν, προσκέκρουκας

[83] Jer. XI, 17. [84] Psal. XCIV, 8.

οὐ μετρίως παρωθούμενος τὸν παιδαγωγοῦντα νόμον, A τραπόμενος δὲ πρὸς ἃ μὴ θέμις, καὶ τοῖς τῆς ἀπειθείας ἐγκλήμασι σεαυτὸν ἐνιείς. Ἀλλ' ἐκεῖνα παρείσθω, φησί. Νῦν ἄκουσον, τοῦτ' ἔστι, Κάθες τὸ φρόνημα τὸ ὑπέροφρυ. Γνῶθι τὸν σεαυτοῦ Δεσπότην· ὕπελθε τὸν τῆς εὐπειθείας ζυγὸν, ἐννοήσας ὅτι παῖς ὠνομάσθης ἐμός. Ἐποιησάμην δέ σε καὶ ἀπόλεκτον, ἐκ πάντων, δηλονότι τῶν ἐθνῶν τῶν ὄντων ἐπὶ τῆς γῆς. Ὅτε γὰρ διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. Ἐγενήθη λαὸς Κυρίου μερὶς αὐτοῦ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Ἐντρέπει δὴ οὖν, καὶ οἷον ἐλέγχει παρανομήσαντας καὶ προσκρούσαντας οὐ μετρίως τοὺς ἐν τάξει τέκνων γεγονότας αὐτῷ, καὶ ἐν τῇ τῶν ἀπολέκτων μοίρᾳ κειμένους. B

repulsa, et conversus ad quæ non erat licitum et inobedientiæ crimen incurrens. Sed hæc, inquit, missa fiant. Nunc audi, id est, deprime affectum hunc superciliosum, nosce Dominum tuum, obedientiæ jugum subi, cogitans, te meum puerum esse nominatum. Et selegi te ex omnibus, scilicet gentibus in terra degentibus. Quando enim dividebat gentes Altissimus, et dispergebat filios Adæ, constituit fines gentium, pro numero angelorum Dei: factus est populus Domini portio ejus, funiculus hæreditatis ejus, Israel. Ruborem incutit itaque, et velut arguit eos qui prævaricati sunt, et haud parum offenderant, cum in loco filiorum ei essent, et in numero ac sorte electorum.

ΛΟΓΟΣ Β'.

Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας σε, καὶ ὁ πλάσας σε ἐκ κοιλίας, Ἔτι βοηθήσῃ.

Ἐγκαλέσας τοῖς ἐξ Ἰσραὴλ τὴν ἀπόστασιν, καὶ τὸ ἀποφοιτῆσαι μὲν τῆς πρὸς αὐτὸν ἀγάπης, ἑαυτοὺς δὲ προσνεῖμαι τοῖς οὐκ οὖσι θεοῖς· ἔφη γὰρ, ὅτι Οἱ πατέρες ὑμῶν, καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμὲ, καὶ ἐμίαναν οἱ ἄρχοντες τὰ ἅγιά μου· οἰκονομικώτατα λίαν καὶ ταῦτα ἐπιφέρει· οὐκ ἐᾷ γὰρ ἀπενεχθῆναι πρὸς ἀπόστασιν, ἤτ' οὖν ἀπόγνωσιν, οὔτε μὴν τῆς εἰς αὐτὸν ἐλπίδος εἰσάπαν ἀπολισθεῖν. Ἡμερότητα δὲ πάλιν αὐτοῖς ἐπαγγέλλεται, καὶ διὰ τῆς C συνήθους ἀνακτᾶται φιλανθρωπίας, καὶ ἀνακομίζει πρὸς μετάγνωσιν. Καὶ δίδωσιν ἐννοεῖν, ὅτι μὴ εἰσάπαν ἀπεστράφη τοὺς ἡμαρτηκότας, οὔτε μὴν ὁλόῤῥιζος ὁ Ἰσραὴλ ἀπολεῖται, κατοικτείροντος αὐτοῦ, καὶ τοῖς εἰς αὐτὸν πιστεύουσι τὴν τῆς σωτηρίας ὁδὸν εὖ μάλα καταλειαίνοντος· ἑαυτὸν δὲ λέγων Κύριόν τε καὶ Θεὸν, ποιήσαντα καὶ πλάσαντα ἐκ κοιλίας, ὑπεμφαίνειν ἔοικεν, ὅτι καὶ πεπλάνηται τὸ τῆς θεότητος ὄνομα περιθεὶς ἑτέροις, καὶ τὴν τῆς κυριότητος δόξαν ἀνάψας ἀβούλως τοῖς οὐκ οὖσι θεοῖς. Ὅτι δὲ καὶ οὐκ ἔγνω τὸν Ποιητὴν, καὶ τὸν παρενεγκόντα πρὸς ὕπαρξιν οὐκ ὄντα ποτὲ τὸν ἐπὶ τῆς γῆς ἄνθρωπον, ὑπεμφαίνει πάλιν, πλάστην τε καὶ ποιητὴν ἑαυτὸν εἶναι διαβεβαιούμενος, καὶ οἷον ἀχαριστίας γραφόμενος τοὺς τῆς εἰς αὐτὸν ἀγάπης ἀποπηδήσαντας. Καὶ γάρ D ἐστι τῶν ἀτόπων, τοῖς μὲν κατὰ σάρκα γονεῦσι τὰς ἀνωτάτω τιμὰς προσφέρεσθαι παρ' ἡμῶν, νόμου τοῦ θείου καὶ τοῦτο βραβεύοντος, τὸν δέ γε τῶν ὅλων γενεσιουργὸν, μὴ οὐχὶ δὴ μᾶλλον ἐκείνων ταῖς αὐτῷ πρεπούσαις εὐφημίαις καταγεραίρεσθαι καὶ τιμᾶσθαι πρὸς ἡμῶν διὰ τῆς εἰσάπαν ὑποταγῆς. Τοιοῦτόν τί φησι καὶ δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Υἱὸς δοξάζει τὸν πατέρα, καὶ δοῦλος τὸν αὐτοῦ κύριον. Καὶ εἰ πατήρ εἰμι ἐγὼ, ποῦ ἔστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι ἐγὼ, ποῦ ἔστιν ὁ φόβος μου; λέγει Κύριος παντοκράτωρ. » Ἐν ταυτῷ γάρ ἐστι, καὶ Κύριος μὲν ὡς ὑπὸ ζυγὰ καὶ δουλείαν ὅλην ἔχων τὴν κτίσιν.

ORATIO II.

VERS. 2. *Sic ait Dominus Deus, qui fecit te, et qui formavit te de ventre: Adhuc habebis auxilium.*

Cum Israelitas apostasiæ insimulaverit, et quod a dilectione erga ipsum recesserint, seque non diis addixerint; nam dixit: Patres vestri et principes vestri impie egerunt in me, et polluerunt principes sancta mea: appositissime hæc quoque infert; nec enim sinit eos ad desperationem redigi, aut omni in illum spe excidere: sed denuo placabilitatem promittit, et pro consueta **580** humanitate recreat, et ad resipiscentiam reducit. Et subindicat non in totum se aversatum esse eos qui peccarunt, nec funditus interiisse Israelem, ipso commiserante, et credentibus in ipsum viam salutis perpulchre complanante. Seipsum vero Dominum ac Deum cum dicit, facientem et formantem de ventre, subinnuere videtur, errasse illum cum nomen divinitatis aliis attribuerit, et dominationis gloriam inconsiderate ad non deos transtulerit. Quod autem non norit effectorem, et eum qui non hominem aliquando in terra, produxit ut esset, rursus subinnuit, cum se formatorem et effectorem esse affirmat, et cum dicam ingratitudinis velut scribit illis, qui a charitate erga ipsum resilierunt. Est enim absurdissimum, carnalibus parentibus summos honores a nobis exhiberi, lege divina etiam hoc præscribente: et universorum Conditorem, non multo etiam magis quam illos, sibi convenientibus decorari laudibus, ac honorari a nobis submissione et obedientia in omnibus. Cujusmodi est etiam, quod per quemdam e sanctis prophetis dicit: « Filius glorificat patrem, et servus dominum suum. Et si pater ego sum, ubi est gloria mea? Et si dominus sum, ubi est timor meus? dicit Dominus omnipotens [88]. » Similiter enim est et Dominus, quippe qui universam creaturam sub jugo et servitute habeat. Dixit enim illi divinus Psaltes: « Omnia tua: » et item, Pater, utpote formator et fictor, et essentiæ procreator.

[88] Mal. I, 6.

itaque velut et debito et officio submisse præstanda est ei filiis digna subjectio, et servis conveniens timor. Quando igitur Deus seipsum formatorem et effectorem esse dicit, mentibus ac cogitationibus subjicit oportere nos ipsum colere, ut hujus essentiæ suppeditatorem, et substantiæ auctorem his qui quondam non fuerunt. Cum autem ait peccatoribus, Adhuc habebis auxilium, in spem ac fiduciam erigit, licet multis et inevitabilibus culpis sint impliciti, reservari tamen bonitatis et humanitatis reliquias, nec quidquam obstare, quominus et illi quoque serventur, si quidem velint redire ad meliora, et decentiora, et ejus legibus consentanea.

A Ἔφη γάρ που πρὸς αὐτὸν ὁ θεσπέσιος Μελῳδὸς, ὅτι « Τὰ σύμπαντα σά. » Πατὴρ δὲ δὴ πάλιν ὡς πλάστης, καὶ ποιητὴς, καὶ εἰς τὸ εἶναι παρενεγκών. Οὐκοῦν καθάπερ ἐν ὀφλήματος τάξει καταθετέον τῷ Θεῷ καὶ τὴν υἱοῖς πρέπουσαν ὑποταγὴν, καὶ τὸν ἁρμόττοντα τοῖς οἰκέταις φόβον. Ὅταν τοίνυν πλάστην τε καὶ ποιητὴν ἑαυτὸν εἶναι λέγει Θεὸς, ἀναφέρει πρὸς ἐννοίας τοῦ χρῆναι τιμᾷν, ὡς καὶ αὐτοῦ τοῦ εἶναι γενόμενον χορηγὸν, καὶ τῆς ὑπάρξεως αἴτιον τοῖς οὐκ οὖσί ποτε. Λέγων δὲ τοῖς ἡμαρτηκόσι τὸ, Ἔτι βοηθήσῃ, δίδωσι θαῤῥεῖν ὅτι καίτοι πολλαῖς καὶ ἀφύκτοις αἰτίαις ἐνειλημμένοις ἡμερότητός τε καὶ φιλανθρωπίας τετήρηται λείψανον. Καὶ ἀπείρξῃ ἂν οὐδὲν τοῦ σώζεσθαι καὶ αὐτοὺς, εἴπερ ἕλοιντο μεταφοιτᾷν ἐπὶ τὰ ἀμείνω καὶ πρεπωδέστερα, καὶ τοῖς παρ' αὐτοῦ συμβαίνοντα νόμοις.

VERS. 3-5. *Ne timeas, puer mi Jacob, et dilecte Israel, quem elegi, quia ego dabo aquam in siti ambulantibus in loco aquis carente. Ponam spiritum meum super semen tuum et* **581** *benedictiones meas super filios tuos. Et orientur ut gramen in medio aquæ, et ut salix juxta præterfluentem aquam. Hic dicet, Dei sum, et ille clamabit in nomine Jacob. Et alius scribet, Dei sum in nomine Israel.*

B *Μὴ φοβοῦ, παῖς μου Ἰακὼβ, καὶ ὁ ἠγαπημένος Ἰσραὴλ, ὃν ἐξελεξάμην. Ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ. Ἐπιθήσω τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου. Καὶ ἀνατελοῦσιν ὡσεὶ χόρτος ἀνὰ μέσον ὕδατος, καὶ ὡς ἰτέα ἐπὶ παραῤῥέον ὕδωρ. Οὗτος ἐρεῖ, Τοῦ Θεοῦ εἰμι, καὶ οὗτος βοήσεται ἐπὶ τῷ ὀνόματι Ἰακώβ. Καὶ ἕτερος ἐπιγράψει, Τοῦ Θεοῦ εἰμι, ἐπὶ τῷ ὀνόματι τοῦ Ἰσραήλ.*

[1] Videtur his verbis Israelem et Jacob nominare, sanctorum apostolorum chorum, velut una persona comprehensum. Unum enim sunt omnes in Christo. Considera enim quomodo eum dilectum et electum esse dicat: tametsi quomodo non sit omnibus manifestum, nunquam nominasse eos dilectos et electos, qui fidem in ipsum respuerunt. Verum quia erant ex sanguine Jacob et Israelis, vasa honorata et electa, et vocati sunt ad sacrum evangelicæ prædicationis opus: putavit oportere illos tam splendidis nominibus coronare, utpote futuros tanquam luminaria in mundo sermonem vitæ continentia, et universæ terræ sub sole mystagogos. Ne timeas igitur, ait: id est, viriliter age, et corroborare, et patienti ac juvenili animo præditus sis, et persequentium assultus et tumultus deridens, firmam habe in Deo fiduciam. Complures enim sacrosanctis repugnant prædicationibus, et insurget multitudo impia, nostris sermonibus resistens. Sed, inquit, vince timiditatem, et ignaviam, et parum virilem mollitiem. Ego enim dabo aquam ambulantibus in loco aquis carente. Est enim jucundum et salubre, in loco siticuloso euntibus, in fontes aquarum incidere. Et ter desiderabile ac multo jam magis optabile esse dicimus, languentibus amore pietatis, ut divinis et intelligibilibus madefiant rivulis, et spiritualibus consolationibus: unde fiat, ut mens humana, etsi debilitata aliquantulum, virilitate ac robore instauretur. Aqua quam Deus hic promittit suppeditaturum se ambulantibus in loco aquis carente, est Spiritus sanctus. Nimirum ipse Servator dixit, quemadmodum inquit Scriptura: « Fluvii de ventre

Ἔοικεν ἐν τούτοις Ἰσραήλ τε καὶ Ἰακὼβ ὀνομάζειν τὸν τῶν ἁγίων ἀποστόλων χορὸν ὡς ἑνὶ προσώπῳ νοούμενον. Ἓν γὰρ πάντες εἰσὶν ἐν Χριστῷ. Ἄθρει γὰρ ὅπως ἠγαπημένον αὐτὸν καὶ ἀπόλεκτον εἶναί φησι, καίτοι πῶς οὐχ ἅπασιν ἐναργὲς, ὡς οὐκ ἂν C πώποτε τοὺς τὴν εἰς αὐτὸν πίστιν ἠθετηκότας ὠνόμασεν ἀγαπητοὺς καὶ ἐξειλεγμένους. Ἐπειδὴ δὲ ἐξ αἵματος ὄντες Ἰακὼβ τοῦ καὶ Ἰσραὴλ, σκεύη γεγόνασιν τίμια καὶ ἀπόλεκτα, καὶ κέκληνται πρὸς ἱερουργίαν τῶν εὐαγγελικῶν κηρυγμάτων, δεῖν ᾠήθη ταῖς οὕτω λαμπραῖς στεφανῶσαι φωναῖς, ἅτε δὴ καὶ ἐσομένους ὡς φωστῆρας ἐν κόσμῳ, λόγον ἐπέχοντας ζωῆς, καὶ τῆς ὑφ' ἡλίῳ μυσταγωγούς. Μὴ φοβοῦ τοίνυν, φησὶ, τοῦτ' ἔστιν, ἀνδρίζου, καὶ ἴσχυε, τληπαθές τε καὶ νεανικὸν ἔχε τὸ φρόνημα, καὶ τὰς τῶν διωκόντων ἐπαναστάσεις καταγελῶν, βεβαίαν ἔχε τὴν πίστιν ἐπὶ τῷ Θεῷ. Πλεῖστοι γὰρ ὅσοι τοῖς ἱεροῖς διαμάχονται κηρύγμασι, καὶ ἀνταναστήσεται πληθὺς ἀνοσία τοῖς παρ' ὑμῶν ἀντιπράττουσα λόγοις. Ἀλλ' ἔσο δειλίας ἀμείνων, φησὶν, ὄκνου τε καὶ ἀνανδρείας. Ἐγὼ D γὰρ δώσω ὕδωρ τοῖς πορευομένοις ἐν ἀνύδρῳ. Ἡδὺ μὲν γὰρ καὶ σωτήριον τοῖς ἐν τῇ διψάδι βαδίζουσι τὸ πηγαῖς ὑδάτων περιτυχεῖν. Τριπόθητόν τε, καὶ ἔτι μᾶλλον εἶναί φαμεν τοῖς κάμνουσι δι' εὐσέβειαν τὸ τοῖς θείοις τε καὶ νοητοῖς κατάρδεσθαι νάμασιν, ἤτοι ταῖς διὰ τοῦ πνεύματος παρακλήσεσι, δι' ὧν ἂν γένοιτο τὸν ἀνθρώπινον νοῦν ἀτονήσαντά πως βραχὺ ἀνηῤῥωθῆναι πρὸς εὐανδρείαν. Ὕδωρ δὲ ἐν τούτοις, ὅπερ ὑπισχνεῖται τοῖς ἐν ἀνύδρῳ πορευομένοις χορηγήσειν Θεὸς, τὸ Πνεῦμά φαμεν εἶναι τὸ ἅγιον. Ἔφη γοῦν αὐτὸς ὁ Σωτὴρ, καθὼς εἶπεν ἡ Γραφή· « Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζωῆς. »

[81] Joan. VII, 38.

Διατρανῶν δὲ τῶν εἰρημένων τὴν δύναμιν ὁ πάνσοφος εὐαγγελιστὴς ἐπήνεγκεν εὐθύς· « Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος ὃ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. » Ζωοποιὸν μὲν γὰρ τὸ ὕδωρ ἐστὶ, καὶ ἀναβιβάζει πρὸς αὔξησιν φυτά τε καὶ χόρτους, ἀπομιμεῖται δέ πως τοῦ ἁγίου Πνεύματος τὴν ἐνέργειαν, δι' οὗ τὰ πάντα συνέστηκε πρὸς τὸ εὖ εἶναι διακρατούμενα, καὶ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἐπίδοσιν ἡ νοητὴ κτίσις καταπλουτεῖ, καὶ οἷον ἀναπηδᾷ πρὸς αὔξησιν ἰοῦσα τὴν πνευματικήν. Ὅτι δὲ τὴν τοῦ ἁγίου Πνεύματος ζωοποιὸν δύναμιν καὶ ἐνέργειαν, τὴν δι' αὐτοῦ παράκλησιν νοητὴν ὑπεμφαίνει τὸ τοῖς δι' ἀνύδρου βαδίζουσιν ἐπαγγέλλεσθαι ὕδωρ σαφηνιεῖ τὸ ἐφεξῆς. Ἐπιθήσω γὰρ, φησὶ, τὸ Πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου. Σπέρμα δὲ καὶ τέκνα τῶν ἁγίων ἀποστόλων εἶναί φαμεν τοὺς δι' αὐτῶν κεκλημένους εἰς ἐπίγνωσιν ἀληθείας, καὶ εἰς ἀναγέννησιν τὴν πνευματικὴν, ἣν οὐκ ἐκ σπορᾶς φθαρτῆς τούτους ἀναγεννῶσιν, ἀλλὰ διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος, καὶ δι' αὐτοῦ τοῦ ἁγίου Πνεύματος ἐνεργείας. Ἐπιστέλλει γοῦν ὁ θεσπέσιος Παῦλος τοῖς δι' αὐτοῦ κεκλημένοις, καί φησι· « Κἂν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. » Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Εὑρήσομεν δὲ πανταχοῦ τέκνα καλοῦντα τοὺς εἰς αὐτὸν δι' αὐτῶν πιστεύσαντας. Ἐπιθήσω τοίνυν, φησὶ, τὸ Πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου. Εὐλογίας δέ φαμεν τὰς ἐκ Θεοῦ τοῖς ἁγίοις χορηγουμένας, τῶν πνευματικῶν χαρισμάτων τὸ πολυειδές. Ὧ μὲν γὰρ δίδοται λόγος σοφίας, ἑτέρῳ δὲ λόγος γνώσεως, καὶ τὰ τούτοις ἑπόμενα. Γράφει δέ που, καὶ ὁ πάνσοφος Παῦλος, ὅτι « Ἕκαστος ὑμῶν ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ. » Εἶτα ποίατις ἂν γένοιτο τῶν εὐλογιῶν ἡ ὄνησις, διεσάφησε προστιθεὶς, ὅτι Ἀνατελοῦσιν ὡς χόρτος ἀνὰ μέσον ὕδατος, καὶ ὡς ἰτέα ἐπὶ παραῤῥέον ὕδωρ. Πόαι καὶ φυτὰ, ἅπερ ἐν χώροις εἶεν ἀνύδροις, βραδέως μὲν ὅλως ἀνίσχει, ἀνίσχοντα δὲ παραχρῆμα μαραίνεται. Εὐανθῆ δὲ λίαν τὰ οἷσπερ ἂν παραχέοιτο ναμάτων χύσις, καὶ ὑδάτων φορὰ συνέχουσα πρὸς τὸ ζῆν, ἀειθαλὲς δὲ φυτὸν τῆς ἰτέας τὸ χρῆμα, πηγαῖς τε καὶ ποταμοῖς ἀεὶ παραπεφυκός. Ἐκμεμεθυσμένοι δὴ οὖν, φησὶ, τοῖς νοητοῖς νάμασιν οἱ ταῦτα καταπλουτήσαντες, ὁμολογήσουσιν ὅτι μόνον ἴσασιν ἐμὲ, καὶ Θεὸν ἐπιγράψονται τὸν καλέσαντα αὐτούς. Λέγων δὲ, ὅτι οὗτος ἐρεῖ, ὅτι Τοῦ Θεοῦ εἰμὶ, καὶ οὗτος βοήσεται, καὶ ἕτερος ἐπιγράψει, τὴν τῶν ἐπ' αὐτῶν τρεχόντων διὰ πίστεως τῆς ἐν Χριστῷ κατασημαίνει πληθύν. Οὐ γὰρ κεκλήσεται λαὸς, ἅπασα δὲ μᾶλλον τῶν ἐθνῶν ἡ πληθὺς, ἡ κατά γε τὴν ὑφήλιον, καὶ πάντες ὁμολογήσουσιν, ὅτι γεγόνασι τοῦ Θεοῦ, καὶ αὐτὸν ἐπιγράψονται Σωτῆρα, καὶ Λυτρωτὴν, καὶ χρηματίζουσι λοιπὸν ἐπὶ τῷ ὀνόματι Ἰακὼβ, τοῦτ' ἔστιν, ὅτι σχοίνισμα, καὶ κλῆρός εἰσι τοῦ Θεοῦ. Ἐγενήθη γὰρ, φησὶ, λαὸς Κυρίου μερὶς αὐτοῦ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Καυχώμεθα δὲ οἱ πιστεύσαντες

A ejus fluent aquæ vitæ. » Explicans autem dictorum vim sapientissimus evangelista, mox adjecit : « Hoc autem dixit de Spiritu quem accepturi erant credentes in ipsum [87]. » Vivifica enim res est aqua, et plantas ac gramina facit augescere : et quodammodo imitatur sancti Spiritus energiam : per quem omnia constiterunt, et bene sunt, et firmantur, et intelligibilis creatura omnium **582** bonorum accessione locupletatur, et velut assilit et ascendit ad spirituale incrementum. Quod autem Spiritus sanctus vivificam vim et energiam, ac intelligentia perceptam ejus consolationem significet, cum promittit aquam, iter per locum aqua carentem facientibus, id quod sequitur, declarabit. Ponam enim, inquit, Spiritum meum super semen tuum, et benedictiones meas

B super filios tuos. Semen autem et filios sanctorum apostolorum esse dicimus eos qui per ipsos vocati sunt ad agnitionem veritatis, et ad regenerationem spiritualem : quos non ex semine corrupto regenerant, sed per verbum viventis et manentis Dei, et per Spiritus sancti energiam. Scribit ergo in Epistola divinus Paulus his qui vocati sunt per ipsum, et ait : « Nam etiamsi innumeros pædagogos habetis in Christo, tamen non multos habetis patres. Siquidem in Christo Jesu per Evangelium ego vos genui [88]. » Semperque inveniemus eum qui crediderunt in illum per ipsos, vocare filios. Ponam itaque, inquit, Spiritum meum super semen tuum, et benedictiones meas super filios tuos. Benedictiones autem sanctis a Deo subministratas appellamus, spi-

C ritualium donorum varietatem. Huic enim datus est sermo sapientiæ, alteri sermo scientiæ, et quæ sequuntur. Scribit siquidem sapientissimus Paulus: « Unusquisque nostrum donum proprium habet a Deo [89]. » Deinde, quænam sit benedictionum utilitas, declaravit, cum adjicit : Exorientur ut gramen in medio aquæ, et ut salix juxta præterfluentem aquam. Herbæ enim et plantæ, quæ sunt in locis aqua carentibus, lente omnino crescunt, et cum creverint, statim emarcescunt. Sed optime florent, quæ rivulorum fluxus, et aquarum cursus alluit, qui vitam conservat: semperque viret planta salicis, fontibus ac fluminibus semper adnascens. Irrigati ergo, inquit, rivulis sub intelligentiam cadentibus,

D qui his ditati sunt confitebuntur, quod me solum sciant, et Deum nuncupabunt, qui eos vocavit. Cumque ait : Hic dicet: Dei sum, et ille clamabit, et alius scribet, multitudinem ad eum per fidem in Christo currentium denotat. Non enim vocabitur aliquis unus populus, sed omnis potius quæ sub sole est multitudo gentium, et omnes confitebuntur, quod sint Dei, et ipsum nuncupabunt Servatorem et Redemptorem, et appellabuntur deinceps nomine Jacob (Et quodnam erat nomen Jacobæis? Portio et funiculus, et sors Dei. Ascendent ergo credentes, et scribent in nomine Jacob) [*Desunt inclusa verba in Græco cod.*] : id **583** est, quod sint funiculus et sors Dei.

[87] Joan. VII, 39. [88] I Cor. IV, 15. [89] I Cor. VII, 7.

Factus est enim, inquit, populus Domini sors ejus, funiculus hæreditatis ejus, Israel. Gloriemur itaque qui credimus, quod simus sors Dei, et Christi omnium nostrum Servatoris portio.

Vers. 6, 7. *Sic ait Dominus Deus rex Israel, qui liberavit ipsum, Deus Sabaoth: Ego primus, et ego post hæc, præter me non est Deus. Quis est qualis ego sum? Stet, vocet, et paret mihi, ex quo feci hominem in æternum. Et ventura antequam veniant annuntient vobis. Ne abscondamini, et annuntiavi vobis.*

Cognitionis in Christo, cum ex his quæ jam lecta sunt mentionem fecisset, sermonem ad aliud quidpiam necessarium convertit. Quia enim pro tempore, divinus propheta Isaias hosce nobis de istiusmodi rebus composuit sermones, regnabat apud eos Dei hostis, ut intolerandis vitiis plena essent omnia. Erat enim cuique deus et religio, sua libido: necessariam admonitionem inducit Deus, aptissimis argumentis involutam: a cultu multorum numinum, et vitiis, quæ inde oriuntur, transferens, et per resipiscentiam ad agnitionem veritatis exhortans, et suæ ipsius gloriæ et incomparabilis potentiæ refricans memoriam. Hinc ait: Sic dicit Dominus rex Israel, qui liberavit eum, Deus Sabaoth. Scire enim vult eos, se Deum esse et Dominum exercituum, et ut videant velut ab ebrietate respirantes, se a tyrannide Ægyptiorum, Deo mira operante, et potentiæ suæ, et amplitudinis magnitudinem exserente, fuisse liberatos. Nam quid factum est non mirabile? Quæ plaga non est inflicta his qui eos invaserunt? Nonne inexplicabilis potentiæ ipsius aperta demonstratio esse poterit, mare divisum esse, aquas, tanquam murum, fixas ac firmas constitisse, et fugientes medium transire? Et quæ tandem in deserto exstiterunt miracula? Nonne illis panem cœlitus dedit? Nonne petram disrupit in deserto, et illis tanquam in abysso multa, potavit? Et nonne aquas perinde quasi flumina deduxit? nonne Jordanis rivulis velut frenum quoddam apposuit, ita ut pedibus eorum transitum paraverit? Necessario itaque, non simpliciter, his verbis Dominum sese et Deum appellat, sed adjunxit porro, qui liberavit ipsum: in memoriam **584** reducens, ut dixi, incredibiliter ab ipso præstita. Scito igitur, ait: quod ego Deus primus, et ego post hæc, et præter me non est Deus. Deus enim est principium universorum, ipse sine principio, et omnia ab ipso ortum habent; ortus autem ipse est et genitus a nemine: sed est qui est, et qui futurus est. Hoc enim est nomen ei, et monumentum æternum, in ævum sempiternum. Neque ergo ante illum alius erat, Deus neque erit præter ipsum. Longe autem utilissima est hæc exhortatio his, qui negarunt ipsum, et qui ex insigni imprudentia lapsi sunt in hanc opinionem multorum numinum. Quod vero nullus sit ei similis, vel alius ab ipso sit numerandus,

A ἐπὶ τῷ γενέσθαι Θεοῦ κλῆρος, καὶ μερὶς τοῦ πάντων ἡμῶν Σωτῆρος Ἰησοῦ Χριστοῦ.

Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ ῥυσάμενος αὐτὸν Θεὸς Σαβαώθ· Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα· πλὴν ἐμοῦ οὐκ ἔστι Θεός. Τίς ὥσπερ ἐγώ; Στήτω, καὶ καλεσάτω, καὶ ἑτοιμασάτω μοι, ἀφ' οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα. Καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀναγγειλάτωσαν ὑμῖν. Μὴ παρακαλύπτεσθε, καὶ ἀπήγγειλα ὑμῖν.

Τῆς ἐν Χριστῷ γνώσεως διὰ τῶν ἀρτίως ἡμῖν ἀναγνώσεων ποιησάμενος μνήμην, μεθίστησι τὸν λόγον ἐφ' ἕτερόν τι τῶν ἀναγκαίων. Ἐπειδὴ γὰρ B κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν ὁ θεσπέσιος προφήτης Ἡσαΐας τοὺς περὶ τῶν τοιούτων ἡμῖν συνετίθει λόγους, βασιλεύοντος παρ' αὐτοῖς θεομισοῦς, καὶ ἐν ἀφορήτοις γέγονεν ὀλισθήμασιν. Ἦν γὰρ ἑκάστῳ τὸ δοκοῦν θεὸς καὶ σέβας· ἀναγκαίαν αὐτοῖς τὴν παραίνεσιν εὐφυεστάτοις ἐλέγχοις ἐγκεκλωσμένην ποιεῖται Θεός· μεθιστὰς μὲν αὐτοὺς τῆς πολυθεΐας, καὶ τῶν ἐν τούτοις ἀῤῥωστημάτων· προσκαλούμενος δὲ διὰ μεταγνώσεως εἰς ἐπίγνωσιν ἀληθείας, καὶ τῆς αὐτοῦ δόξης, καὶ ἀσυγκρίτου δυνάμεως ἀνακομίζων εἰς ἀνάμνησιν. Ταύτῃ τοι φησίν· Οὕτω λέγει Κύριος ὁ βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ ῥυσάμενος αὐτὸν Θεὸς Σαβαώθ. Ὅτι γὰρ Θεός ἐστι καὶ τῶν δυνάμεων Κύριος, εἰδέναι βούλεται, καὶ καθάπερ ἐκ μέθης ἀνενεγκόντας ἰδεῖν, ὅτι καὶ τῆς Αἰγυπτίων πλεονεξίας ἐξ- C ῄρηνται, θαυματουργοῦντος αὐτοῦ, καὶ τῆς ἐνούσης αὐτῷ δυνάμεως, καὶ ὑπεροχῆς τὸ μέγεθος ἐμφανίζοντος. Τί γὰρ οὐ πέπρακται τῶν τεθαυμασμένων; Ποία δὲ τοῖς πλεονεκτοῦσιν αὐτοὺς οὐκ ἐπηνέχθη πληγή; Ἢ πῶς τῆς ἀφράστου δυνάμεως αὐτοῦ οὐκ ἂν γένοιτο σαφὴς ἀπόδειξις, τὸ διαστῆναι μὲν θάλασσαν, παγῆναι δὲ καὶ ὡσεὶ τεῖχος τὰ ὕδατα, καὶ διὰ μέσων ἰέναι τοὺς φεύγοντας; Τί δὲ δὴ τὰ ἐν τῇ ἐρήμῳ μετὰ τοῦτο θαυματουργήματα; Οὐκ ἄρτον αὐτοῖς ἔδωκε τὸν ἐξ οὐρανοῦ; Οὐ διέῤῥηξε πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ; καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα; οὐ τοῖς Ἰορδάνου νάμασιν οἷά τινα χαλινὸν ἐπιθεὶς, ποσὶ παρεσκεύασε παρελθεῖν; Ἀναγκαίως τοίνυν, οὐχ ἁπλῶς Κύριόν τε καὶ Θεὸν ἐν τούτοις ἑαυτὸν ἀποκαλεῖ· προσεπήγαγε D δὲ, ὅτι Καὶ ῥυσάμενος αὐτὸν, εἰς ἀνάμνησιν ἀνακομίζων, ὡς ἔφην, τῶν δι' αὐτὸν παραδόξως τετελεσμένων. Ἴσθι δὴ οὖν, φησὶν, ὅτι Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἦν Θεός. Ἀρχὴ γὰρ τῶν ὅλων Θεός. ἄναρχος ὢν αὐτὸς, καὶ παρ' αὐτοῦ πάντα παρήχθη πρὸς γένεσιν· αὐτὸς μὲν οὖν γέγονεν ὑπ' οὐδενὸς, ἀλλ' ἔστιν ὤν τε καὶ ἐσόμενος. Τοῦτο γὰρ ὄνομα αὐτῷ, καὶ μνημόσυνον αἰώνιον γενεῶν γενεαῖς. Οὔτε τοίνυν πρὸ αὐτοῦ Θεὸς ἕτερος ἦν, οὔτε τις ἔσται μετ' αὐτόν. Εἷς γὰρ φύσει Θεὸς, καὶ ἕτερος παρ' αὐτὸν οὐδείς. Χρησιμωτάτη δὲ λίαν ἡ παραίνεσις τοῖς ἀρνησαμένοις αὐτὸν, καὶ ἐκ πολλῆς ἄγαν ἀσυνεσίας ὠλισθηκόσιν εἴς γε τὸ οἴεσθαι θεοὺς εἶναι πολλούς. Ὅτι δὲ κατ' αὐτὸν οὐδεὶς ἤγουν ἕτε-

ρος ἐπ' αὐτῷ καταλογισθῆναι, διαδείκνυσι λέγων· Τίς ὥσπερ ἐγώ; Ποῖος ἄρα τοῖς παρ' ὑμῶν ὑπονοηθεῖσι θεοῖς, ἤγουν ἀσυνέτως ὠνομασμένοις, κατὰ τὴν ἐμὴν ἔσται δόξαν τε καὶ δύναμιν; Ἐκ ποίας ἄρα μεγαλουργίας θεοὺς αὐτοὺς εἶναι πεπιστεύκατε; Στήτω τις, εἴπερ ἐστὶ κατ' ἐμέ. Ἑτοιμασάτω τις τὸν ἰσόῤῥοπον ἔχοντα φύσιν, ἢ κατ' ἰσχὺν ἢ δόξαν. Καλεσάτωσαν οὓς ἂν ἕλοιντο τῶν ψευδωνύμων θεῶν, ἀφ' οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα. Ἐκτισάμην γὰρ, φησὶν, οὐρανοὺς, καὶ τὰ ἐν αὐτοῖς, ἀναριθμήτων ἁγίων πνευμάτων ἀγέλας προσκυνούσας ἔχων καὶ λατρευούσας ἐμοί, πλὴν ἀφ' οὗ πεποίηκα τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ ἐν τοῖς ἐφεξῆς, τοῦτ' ἔστιν, εἰς τὸν αἰῶνα, δειξάτω μοί τις τὸν κατ' ἐμέ. Λέγων δὲ πάλιν τὸ, Ἀφ' οὗ ἐποίησα ἄνθρωπον, ἑαυτὸν μὲν δείκνυσιν ὄντα δημιουργὸν, τοὺς δὲ ψευδωνύμους θεοὺς οὐδὲν ὄντας παντελῶς. Τίνα γὰρ τῶν προσκυνούντων αὐτοὺς εἰς τὸ εἶναι παρήνεγκαν, πλὴν δημιουργὸς ἐγὼ ὑπάρχων γνωρίζομαι, καὶ κτίστης τῶν ὅλων, καὶ ἁπάντων ἔχων τὴν γνῶσιν. Ἐρευνήσατε τοῦτο παρὰ τοῖς παρ' ὑμῶν ῥηθεῖσι θεοῖς, τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀναγγειλάτωσαν ὑμῖν. Θεῷ γὰρ κατὰ φύσιν πρέποι ἂν τὸ πᾶσαν ἔχειν τὴν γνῶσιν τῶν τε ἤδη παρῳχηκότων, καὶ τῶν ἐσομένων. Εἰ δὲ οὐδεὶς ἐν τοῖς ψευδωνύμοις θεοῖς τοῦτο λαχὼν εὑρίσκεται, ἀσυμφανὲς, ὅτι οἱ τὴν Θεοῦ γνῶσιν οὐκ ἔχοντες, οὐκ ἂν εἶεν θεοί. Μὴ παρακαλύπτεσθε, ἀντὶ τοῦ, Μὴ σιωπᾶτε, μηδὲ ἀποπροσποιεῖσθε.

Οὐκ ἀπαρχῆς ἠνωτίσασθε, καὶ ἀπήγγειλα ὑμῖν;

Ὡς γὰρ ὑπάρχων φύσει Θεὸς, καὶ πάντα εἰδὼς τὰ ἐσόμενα, καὶ τὰ ἤδη προγεγενημένα, προαπήγγειλα ὑμῖν διὰ προφητῶν ἁγίων διὰ τοῦ πανσόφου Μωσέως. Ἐξεκάλυψα γὰρ τὸ Χριστοῦ μυστήριον, καὶ οὐδὲν ἐστὶν ὧν ἦν ἀκόλουθον καταφανῆ καὶ ἡμῖν αὐτοῖς γενέσθαι τὴν γνῶσιν, ὃ μὴ προαπήγγελται παρ' ἐμοῦ. Οὐκοῦν ἐκεῖνοι μὲν οὐ θεοὶ, τῶν ἐοικότων Θεῷ λαχόντες οὐδέν. Ἐγὼ δέ εἰμι κατὰ φύσιν, ὅπερ εἶναι πεπίστευμαι Θεὸς, δῆλον δὲ ὅτι τῶν ὅλων, καὶ γένεσιν ἔχων θεοπρεπῆ. Μυσταγωγεῖ τοιγαροῦν ὁ λόγος τοὺς τῆς ἀληθοῦς θεοπτίας ἀπενηνεγμένους, καὶ ἀψύχοις εἰδώλοις προσνεύσαντας, καὶ τῷ ξύλῳ λέγοντας· Πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ· Σὺ ἐγέννησάς με. »

Μάρτυρες ὑμεῖς ἐστε, εἰ ἔστι Θεὸς πλὴν ἐμοῦ.

Ἀποφέρει πάλιν εἰς ἀνάμνησιν τῆς ἐπιδειχθείσης αὐτοῖς δυνάμεώς τε καὶ ἐξουσίας, ἥπερ ἂν πρέποι τῷ γε ὄντι κατὰ φύσιν Θεῷ, καὶ τῶν ὅλων Κυρίῳ, ὅτε τῆς Αἰγυπτίων ἐκλελύτρωνται γῆς. Τότε γὰρ τότε συνωπλίζετο τῷ Δεσπότῃ καὶ ἡ κτίσις αὐτὴ, καὶ τῆς τῶν πλεονεκτούντων αὐτοὺς κατεξανέστη σκαιότητος, στοιχείων γὰρ ἐπράττοντο μεταβολαῖς [ἴσ. μεταβολαί]. Μετεσκευάζετο γὰρ εἰς αἷμα τὸ ὕδωρ, τριήμερός τε καὶ βαθὺς ἐξετείνετο σκότος. Κατηφίει δὲ αὐτῶν καὶ χαλάζας ὁ οὐρανὸς, σκνῖπες τε καὶ βάτραχοι, καὶ κυνόμυια, καὶ ὁ τῶν πρωτοτόκων θάνατος ἐπενήνεκται, καὶ διέβησαν δὲ διὰ θαλάσσης μέσης.

[A] ostendit, cum ait: Quis est sicut ego sum? Quis ergo apud eos qui a vobis dii existimantur, et imprudenter nominantur, meam adæquat gloriam et potentiam? Ex qua operum magnificentia credidistis eos esse deos? Stet aliquis, si mei similis sit, paret quis aliquem qui par sit vel natura, vel fortitudine, vel gloria. Vocent quos lubet falso nuncupatos deos, ex quo feci hominem in æternum. Condidi enim, inquit, cœlos, et innumerabilem sanctorum spirituum gregem, qui adorat et colit me, ex quo creavi hominem, in terra, et quæ sequuntur, id est, ab omni æternitate ostendat mihi quispiam mihi similem. Cum iterum ait: Ex quo creavi hominem, seipsum declarat esse opificem, falso autem nuncupatos deos, nihil prorsus esse. Quem [B] enim cultorum suorum produxerunt in vitam et in essentiam? Verum ego opifex esse cognoscor, et conditor universorum, et omnium rerum cognitione præditus. Scrutamini hoc ab his qui dii a vobis dicti sunt. Ventura, antequam veniant, annuntient vobis. Deo enim natura convenit, omnem habere et jam præteritorum et futurorum notitiam. Sin nemo reperiatur in falso nuncupatis diis, qui hoc sit consecutus, eos qui cognitione divina præditi non sunt, deos non esse, obscurum non est. Ne abscondamini, pro, Ne tacete, ne dissimulate.

VERS. 8. *Nonne ab initio auribus accepistis, et annuntiavi vobis?*

[C] Nam velut natura Deus, et omnia intelligens, futura, et jam facta, **585** prænuntiavi vobis, per prophetas sanctos, per sapientissimum Moysen. Christi enim mysterium revelavi, nec erat quidquam, cujus cognitionem par erat vobis patefieri, quod non fuerit a me pronuntiatum. Itaque illi qui Deo nihil dignum habuerunt, dii non sunt. Ego vero sum natura, ut esse me credunt, Deus, videlicet universorum, et ortum habeo divinum. Mystica itaque sacra docet hæc oratio, eos qui abducti erant a vera divina contemplatione, et delapsi ad inanimata idola, et qui dicunt ligno: Pater meus es tu, et lapidi: Tu genuisti me [20].

[D] *Testes vos estis, si est Deus præter me.*

Rursus in memoriam revocat, exhibitam ipsis potentiam et auctoritatem, quæ Deo natura et Domino universorum convenit, quando fuerint e terra Ægyptiorum redempti. Tunc enim, tunc etiam creatura ipsa cum Domino simul armata est, et perversitati eorum, qui illos invaserunt tyrannice, restitit. Elementorum namque factæ sunt mutationes: quippe in sanguinem aqua conversa est, per triduum profundæ tenebræ diffusæ sunt, et infestavit eos grando cœlestis, et ciniphes, et ranæ, cynomia, et mors primogenitorum est illata, ac mare trajecerunt. Postquam autem in terram promissionis

[20] Jer. II, 27.

A perveníssent, gentes multas subegerunt, etiam viribus pollentiores. Et terrifici et formidabiles exstiterunt, tum finitimis gentibus, tam longe dissitis, et suspiciendi et celebres. Itaque non alii vestra, sed vos ipsi intelligere potestis, quis hæc gesserit, quis creaturam in vestro negotio armaverit, quis vires hostium fregerit, vosque contra omnes robore coronaverit, vos estis testes meæ eminentiæ, siquidem recte volueritis judicare. Nec opus habebitis aliis pædagogis. Plurimi enim erant dii apud Ægyptios, illorumque adyta referta erant imaginibus. Plurimi item apud Amorrhæos, Evæos, Pherezæos, aliasque gentes: sed eorum nemo satis præsidii in suis habuisse visus est: imo et qui adorati sunt una cum adoratoribus vos comminuistis. B Est enim vaticinio proditum per Moysen: Aras eorum demoliemini, et columnas eorum comminuetis, **586** et sculptilia deorum igni comburetis. Itaque si verum velitis dicere, vos mihi testes eritis, num sit Deus præter me. Nam si quis meis copiis obstiterit, et vicerit, reputetur apud vos deus. Sin deprehensi fuerint nihil esse, et per vos facti fuerint opus ac fomentum ignis: ipsa experientia, inquit, novistis, non esse Deum præter me.

A Ἐπειδὴ δὲ εἰς τὴν τῆς ἐπαγγελίας ἐπέδραμον γῆν, νενικήκασιν ἔθνη πολλά τε καὶ εὐσθενέστερα τῆς ἐνούσης αὐτοῖς ἰσχύος. καὶ δεινοὶ γεγόνασι, καὶ δυσάντητοι τοῖς τε ὁμόροις τῶν ἐθνῶν, καὶ τοῖς ἔτι μακρὰν ἀπόβλεπτοί τε καὶ διαβόητοι. Οὐκοῦν οὐχ ἕτεροι μᾶλλον εἰδεῖεν ἄν, ἀλλ' ὑμεῖς αὐτοὶ τὰ καθ' ὑμᾶς αὐτούς, τίς ὁ ταῦτα κατορθώσας, τίς δὲ ὁ τὴν κτίσιν σύνοπλον ἔχων ἐν τοῖς καθ' ὑμᾶς· τίς ὁ συνθραύσας ἐχθρῶν δυνάμεις, καὶ ταῖς κατὰ πάντων ὑμᾶς στεφανῶν εὐανδρείαις· ὑμεῖς ἐστε τῆς ἐμῆς ὑπεροχῆς οἱ μάρτυρες, εἴπερ ἕλοισθε φρονεῖν ὀρθῶς, καὶ οὐχ ἑτέρων δεηθήσεσθε παιδαγωγῶν. Πλεῖστοι μὲν γὰρ παρὰ τοῖς Αἰγυπτίοις ἦσαν οἱ θεοί, καὶ μεστοὶ τῶν ἀγαλμάτων οἱ παρ' ἐκείνοις σηκοί. Πλεῖστοι δὲ ὁμοίως, οἱ παρά γε Ἀμοῤῥαίοις, Εὐαίοις B τε καὶ Φερεζαίοις, καὶ τοῖς ἑτέροις τῶν ἐθνῶν· ἀλλ' ἐκείνων οὐδεὶς ἀρκέσας εἰς σωτηρίαν τοῖς σφετέροις ὁρᾶται· μᾶλλον δὲ καὶ αὐτοὺς τοὺς προσκυνουμένους τοῖς προσκυνοῦσιν ὁμοῦ συνετρίψατε. Τεθέσπισται γὰρ διὰ Μωσέως ὅτι τοὺς βωμοὺς αὐτῶν καθελεῖτε, καὶ τὰς στήλας αὐτῶν συντρίψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν κατακαύσετε πυρί. Οὐκοῦν εἴπερ ἕλοισθε τἀληθὲς εἰπεῖν, ὑμεῖς ἐμοὶ μαρτυρήσατε, εἰ ἔστι Θεὸς πλὴν ἐμοῦ. Εἰ μὲν γὰρ ἀντεγήγερταί τις ταῖς ἐμαῖς δυνάμεσι, καὶ νενίκηκε, λογιζέσθω παρ' ὑμῖν θεός. Εἰ δὲ οὐδὲν ὄντες πεφώρανται, καὶ πυρὸς ἔργον γεγόνασι δι' ὑμῶν, διὰ πείρας αὐτῆς ἐγνώκατε, φησίν, ὅτι οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ τοῦ ὄντως Θεοῦ.

VERS. 9, 10. *Et non audierunt tunc, qui formarunt et sculpserunt, omnes vani sunt qui fingunt quæ ipsis allubescunt, quæ non proderunt eis: sed pudefient qui fingunt deum, et qui sculpunt inutilia, et omnes quotquot facti sunt, exaruerunt, et surdi ex hominibus.*

C *Καὶ οὐκ ἤκουσαν τότε οἱ πλάσαντές τε καὶ γλύφοντες, πάντες μάταιοι οἱ ποιοῦντες τὰ καταθύμια αὐτῶν, ἃ οὐκ ὠφελήσει αὐτούς· ἀλλ' αἰσχυνθήσονται οἱ πλάσσοντες θεόν, καὶ γλύφοντες ἀνωφελῆ, καὶ πάντες ὅσοι ἐγένοντο ἐξηράνθησαν, καὶ κωφοὶ ἀπὸ ἀνθρώπων.*

Ostendit his verbis dira et gravissima defectorum flagitia, siquidem tanta fide præditi, non esse alium natura et vere Deum præter ipsum, et ex ipsis præclare factis persuasi, illum solum fuisse, eo prolapsi sunt stupiditatis, ut, etiam ipsa lege diserte illis proclamante, et dicente: « Dominum Deum tuum adorabis, et eum solum coles, et non facies tibi ipsi simulacrum, nec ullius similitudinem rei, quæcunque in cœlo supra, et quæcunque D in terra deorsum, et quæcunque in aquis sub terra [91], » obedire tamen ei pro nihilo duxerunt, sed potius conversi sunt impie, ut fingerent et formarent deos ex lignis et lapidibus. Sed vani sunt ejusmodi, et sane merito, nulla enim necessaria causa ad hoc aggressi sunt, sed pro libidine potius sua fecerunt. Facti sunt enim amatores vanitatis. Quæ est enim ex ligno et lapide utilitas? Itaque consilii inconsiderati fructus, et manifestum argumentum frigidæ cogitationis est, idoli effictio. Verum non cessuram illis hanc rem impune, denuntiat, inquiens: Pudefient omnes fingentes deum, et sculpentes inutilia. Et omnes quotquot facti sunt, exaruerunt, et surdi ex hominibus. Si quidem de manu conditis sumantur hæc dicta. Exaruerunt,

Ἀποφαίνει διὰ τούτων δεινά, καὶ παγχάλεπα τὰ ἐγκλήματα τῶν ἀποστατῶν, εἰ τοσαύτην ἔχοντες πληροφορίαν, ὅτι μὴ ἕτερός ἐστι παρ' αὐτόν, φύσει τε, καὶ ἀληθῶς Θεός· ἐξ αὐτῶν δὲ ὥσπερ ἀναπεπεισμένοι τῶν κατωρθωμένων, ὡς εἴη μόνος αὐτός, πρὸς τοῦτο κατώλισθον εὐηθείας, ὥστε καὶ αὐτοῦ τοῦ νόμου διαῤῥήδην αὐτοῖς ἐπιφωνοῦντος καὶ λέγοντος· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ D παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. » Ἐποιήσασθε μὲν παρ' οὐδὲν τὸ ὑπακούειν αὐτῷ· ἐτράπεσθε δὲ μᾶλλον ἀφιλοθέως ἐπί γε τὸ δεῖν πλάττειν τε καὶ διαμορφοῦν τοὺς ἐκ ξύλων τε καὶ λίθων θεούς. Μάταιοι δὴ οὖν οἱ τοιοῦτοι, καὶ σφόδρα εἰκότως, ἐπ' οὐδενὶ μὲν τῶν ἀναγκαίων εἰς τοῦτο ἰόντες, ποιοῦντες καὶ μᾶλλον τὰ καταθύμια ἑαυτῶν, γεγόνασι γὰρ ματαιότητος ἐρασταί. Ποία γὰρ ὄνησις ἡ παρὰ λίθου τε καὶ ξύλου; Οὐκοῦν βουλῆς ἀσυνέτου καρποὶ καὶ ψυχρῶν ἐνθυμημάτων ἔργον ἂν νοοῖτο σαφὲς ἡ εἰδώλου ποίησις. Πλὴν ὅτι τὸ χρῆμά ἐστιν οὐκ ἀζήμιον, προαπεφαίνει λέγων· Αἰσχυνθήσονται πάντες οἱ πλάσσοντες θεόν, καὶ γλύφοντες ἀνωφελῆ, καὶ πάντες ὅσοι ἐγένοντο ἐξηράνθησαν, καὶ κωφοὶ

[91] Deut. v, 8 seqq.

ἀπὸ ἀνθρώπων. Εἰ μὲν οὖν ἐπ' αὐτῶν ἐκληφθείη τῶν A χειροτμήτων τὰ εἰρημένα, φαμὲν, ὅτι τὸ Ἐξηράνθησαν, ἀντὶ τοῦ, ἀπώλοντο, νοητέον. Εἰ δὲ ἐπ' αὐτῶν λέγοιτο τῶν τὰ τοιάδε δρᾷν εἰωθότων, εὖ ἂν ἔχοι καὶ τῇδε νοεῖν· εἴρηται γὰρ ὡς ἐπὶ φυτῶν τῶν ἀκαρπεῖν εἰωθότων, εἰ ἀφαναίνοιντό πως καὶ ἐκκόπτοιντο λοιπὸν εἰς φλόγα καὶ καῦσιν. Τὸ δὲ, Κωφοὶ ἀπ' ἀνθρώπων, ἀντὶ τοῦ, Τελοῦντες μὲν ἐν ἀνθρώποις οὐκ ἔτι, κωφοὶ δὲ μᾶλλον καὶ ἀναίσθητοι παντελῶς, ὥστε κατ' οὐδένα τρόπον ἐπεοικέναι τοῖς παρ' αὐτοῖς γενομένοις. Ψάλλει γάρ που καί φησιν ὁ μακάριος Ψαλμῳδός· « Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς, καὶ οὐχ ὄψονται· ὦτα, καὶ οὐκ ἀκούσουσιν. » Ἐπιφέρει δὲ τούτοις· « Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πε- B ποιθότες ἐπ' αὐτοῖς. » Καρποὶ γὰρ τῆς ἐσχάτης ἀναισθησίας νοηθεῖεν ἂν τὰ τοιάδε τῶν κακῶν. Καίτοι τὸν φύσει καὶ ἀληθῶς ὄντα Θεὸν διὰ πείρας αὐτῆς ἐγνωκότες, εἶτα λίθοις καὶ ξύλοις τὴν αὐτῷ καὶ μόνῳ πρεπωδεστάτην δόξαν ἀναπέμποντες, πῶς οὐκ ἂν νοηθεῖεν μωροὶ, καὶ ἀκάρδιοι, καὶ τῆς εἰς λῆξιν ἐμβροντησίας μεμεστωμένην ἔχοντες τὴν καρδίαν, καὶ μὴν ὀλίγα διενεγκεῖν διά γε σφῶν αὐτῶν τετεχνουργημένων·

intelligendum esse dicimus pro, Perierunt. Si de ipsis hominibus qui talia factitarunt, accipiantur, recte quadrat si etiam sic intelliges. Nam velut de arboribus infructuosis quæ inaruerunt et exscindi possent ad flammam et combustionem, dictum est. Illud autem, Surdi ex hominibus, **587** pro, Nihil inter homines efficientes amplius, sed surdi et insensati prorsus, ut nihil ab his, quæ facta sunt ab ipsis, differant. Psallit enim etiam beatus David, ac inquit: « Idola gentium argentum et aurum, opera manuum hominum. Os habent, et non loquentur; oculos habent, et non videbunt; aures habent, et non audiunt [92]. » Subditque istis: « Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in illis [93]. » Fructus enim extremæ stupiditatis, intelligi possunt ejusmodi mala. Quamvis eum natura et vere Deum esse, ipsa experientia noverint, postea lapidibus et lignis gloriam ei et soli convenientissimam accommodaverint, quidni stulti et vecordes intelligantur esse cor deliriis plenum possidentes, nec multum his quæ fabricata sunt dissimiles?

Συναχθήτωσαν πάντες, καὶ στήτωσαν ἅμα, καὶ ἐντραπήτωσαν, καὶ αἰσχυνθήτωσαν ἅμα, ὅτι ὤξυνε τέκτων σίδηρον, σκεπάρνῳ εἰργάσατο αὐτὸ, καὶ ἐν τερέτρῳ ἔτρησεν αὐτό. Εἰργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ, καὶ πεινήσει, καὶ ἀσθενήσει, καὶ οὐ μὴ πίῃ ὕδωρ

VERS. 11, 12. *Congregentur omnes, et stent simul, et pudefiant, et erubescant simul; quia acuit faber ferrum, ascia operatus est illud, et terebro perforavit illud. Fabricavit illud brachio fortitudinis suæ, et esuriet, et infirmus erit, et non bibet aquam*

C

Οὐ καθ' ἕνα μᾶλλον, ἀλλ', εἴπερ ἕλοιντο, καὶ κατὰ πληθὺν συναγηγερμένους ἐντραπήσεσθαί φησι τοὺς τῶν εἰδώλων θεραπευτὰς ταῖς σφῶν αὐτῶν δυσβουλίαις, καὶ λῦσαι τὸ προτεινόμενον, καὶ ποῖον ἄρα τοῦτό ἐστιν, εὐθὺς ἐπιφέρει λέγων· Ὤξυνε, φησὶ, τέκτων σίδηρον. Διαμέμνηται δὲ καὶ τῶν ὀργάνων δι' ὧν ἡ ποίησις, ἵνα τὴν τοῦ λιθουργοῦ τέχνην προσκυνοῦντας αὐτοὺς ἀποφήνῃ, καὶ οὐκ αὐτὸ τὸ ξύλον. Εἰ γὰρ ἦν θεὸς, οὐκ ἂν ἐδέησε τέχνης αὐτῷ, καὶ τῆς τινὸς ἐπιστήμης· ἀλλ' ἦν ἂν καὶ οὕτω Θεός. Εἰ δὲ ξύλον μὲν οὐκ εἰργασμένον, οὔτε μὴν εἰδοποιηθὲν, εἰκαίαν ὕλην νομίζεις, τεκτονευθὲν δὲ προσκυνεῖς καὶ θεὸν εἶναι λέγεις, ἡ τέχνη σοι γέγονεν εἰς θεὸν, καὶ τοῦτο ἀνδρὸς ἀσθενοῦς καὶ ὑποκειμένου τῷ φθείρεσθαι. Φθορᾶς γὰρ ἀπόδειξις τὸ δεῖσθαι τροφῆς καὶ ποτοῦ. Τὸ γὰρ, Οὐ μὴ πίῃ ὕδωρ, D οὐκ ἀποφαντικῶς εἰρῆσθαί φαμεν. Ἀναγνωστέον δὲ μᾶλλον ὡς ἐν ἐρωτήσει καὶ ὑποστιγμῇ. Ἕψεται γὰρ ἡ σύνεσις, ὅτι καὶ πάντως που καὶ πίεται. Εἶτα πῶς ὁ φθαρτὸς θεῶν ἀφθάρτων ἔσται δημιουργὸς, ἢ πῶς ὁ θνητὸς ποιήσει τοὺς ἀθανάτους; Δεῖ γὰρ πάντως ἐνεῖναι τῷ γε ὄντι κατὰ ἀλήθειαν Θεῷ τὸ ἄφθαρτον καὶ ἀνώλεθρον, μᾶλλον δὲ καὶ τὸ εἶναι ζῶν, καὶ ζωοποιεῖν δύνασθαι τὰ οἷσπερ ἂν ἐνιέναι βούλοιτο τὴν ζωήν. Σκεπάρνου δὴ οὖν καὶ τερέτρου, καὶ τεκτονικῆς ἰσχύος τε καὶ τέχνης ἐπίδειξις ἡ τῶν πλανωμένων λατρεία· εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἔφην, ὅτι

Non singulos idolorum cultores, sed, si velint, etiam universos congregatos, pudefaciendos ait, et quod ipsi prætexunt, sua ipsorum insipientia dissolvere. Quod quale sit, statim infert, dicens: Acuit faber ferrum. Commemorat etiam instrumenta quibus fit effictio, ut declaret illos, non ipsum lignum, sed latomi artem adorare. Si enim deus esset, non egeret arte ejus, aut alicujus scientia. At esset ita quoque Deus. Si autem lignum non fabrefactum, nec figuratum, vanam materiam putas, fabricatum autem adoras, et deum esse dicis: ars illa tibi est pro deo, idque hominis imbecilli et interitui subjecti. Corruptionis enim indicium est, cibo egere et potione. Illud enim: Non bibet aquam, non cum negatione enuntiatum dicimus, sed legendum potius est cum interrogatione et subdistinctione. Sequitur enim sensus: Certe omnino bibet. Deinde quomodo corruptibilis, deorum incorruptibilium erit opifex? aut quomodo mortalis, faciet immortales? Insit enim oportet vero Deo incorruptio et interitus vacuitas, imo et ut vivat, et ut vitam tribuere possit **588** his, quibus vitam velit inesse. Itaque cultus horum qui errant, manifesto in ascia et terebro, et fabrili robore et arte positus est: siquidem quod dixi verum sit, nolle eos lignum aut lapidem informem adorare: forma vero torno inducta, omnia quæ ab illis conspiciuntur, deos esse.

[92] Psal. CXIII, 12-14. [93] ibid. 16.

ξύλον μὲν ἢ λίθον ἀμόρφωτον οὐκ ἂν ἕλοιντο προσκυνεῖν· μορφῆς γε μὴν ἐντετορνευμένης, θεοὶ πάντα παρ' αὐτοῖς τὰ ὁρώμενα.

VERS. 13-20. *Cum elegisset faber lignum, statuit illud in mensura, et formavit illud in circino, et fecit illud velut formam viri, et velut speciem hominis, ut statueret illud in domo. Qui succidit lignum de silva, quod plantavit Dominus, pinum quam etiam pluvia nutrivit, ut sit hominibus in combustionem, et cum sumpsisset, ab eo calefactus est. Et succendentes, coxerunt panes, inde ex reliquo fecerunt deos et adorant eos; cujus dimidium combusserunt igni, et succendentes, panes inde coxerunt, et inde carnes assavit, comeditque et repletus est, et calefactus dixit: Jucundum mihi, quod calefactus sim et viderim ignem. De reliquo autem fecit deum sculptilem, et adorat illum, et orat, dicens: Libera me, quia deus meus es tu. Non cognoverunt, ut saperent, quia tenebræ illis offusæ sunt, ut non viderent oculis suis, nec intelligerent corde suo. Nec perpendit corde suo, neque expendit animo suo, neque cognovit prudentia, quod dimidium ejus combusserit igni, et coxerit super carbones panes, et assatas carnes ederit, et reliquum ejus in abominationem verterit. Et adorant illud. Scitote, quod cinis cor eorum, et errant, et nemo potest eripere animam suam. Videte, non dicetis, quod mendacium in dextra mea.*

A *Ἐκλεξάμενος τέκτων ξύλον ἔστησεν αὐτὸ ἐν μέτρῳ, καὶ ἐν κόλλῃ ἐρύθμισεν αὐτὸ, καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς, καὶ ὡς ὡραιότητα ἀνθρώπου, στῆσαι αὐτὸ ἐν οἴκῳ. Ἐξέκοψε ξύλον ἐκ τοῦ δρυμοῦ, ὃ ἐφύτευσε Κύριος, πίτυν καὶ ὑετὸς ἐμήκυνεν, ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν, καὶ λαβὼν ἀπ' αὐτοῦ ἐθερμάνθη, καὶ καύσαντες ἔπεψαν ἄρτους ἐπ' αὐτῷ, τὸ δὲ λοιπὸν εἰργάσαντο εἰς θεοὺς, καὶ προσκυνοῦσιν αὐτοῖς· οὗ τὸ ἥμισυ αὐτοῦ κατέκαυσαν ἐν πυρὶ, καὶ καύσαντες ἄρτους ἔπεψαν ἐπ' αὐτῷ, καὶ ἐπ' αὐτοῦ κρέας ὀπτήσας ἔφαγε, καὶ ἐνεπλήσθη, καὶ θερμανθεὶς εἶπεν· Ἡδύ μοι ὅτι ἐθερμάνθην, καὶ εἶδον πῦρ. Τὸ λοιπὸν ἐποίησεν εἰς θεὸν γλυπτὸν, καὶ προσκυνεῖ αὐτῷ καὶ προσεύχεται λέγων·* B *Ἐξελοῦ με, ὅτι θεός εἶ σύ. Οὐκ ἔγνωσαν φρονῆσαι, ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν. Καὶ οὐκ ἐλογίσατο τῇ καρδίᾳ αὐτοῦ, οὐδὲ ἀνελογίσατο τῇ ψυχῇ αὐτοῦ, οὐδὲ ἔγνω τῇ φρονήσει, ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρὶ, καὶ ἔπεψεν ἐπὶ τῶν ἀνθράκων αὐτοῦ ἄρτους, καὶ ὀπτήσας κρέας ἔφαγε, καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα ἐποίησε, καὶ προσκυνοῦσιν αὐτῷ. Γνῶτε ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται, καὶ οὐδεὶς δύναται ἐξελέσθαι τὴν ψυχὴν αὐτοῦ. Ἴδετε, οὐκ ἐρεῖτε ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου.*

Perspicua est admodum horum verborum mens, nec quidquam est hic præruptum aut arduum. Scribitur enim, quasi excordem et prorsus tota mente alienatum, et ratione sensuque debito omnino privatum esse, cultorem idolorum, pariter et artificem. Multum autem in narratione ac descriptione eorum commoratur: simul et pudore velut errantes afficiens, et malo captis oculos aperiens, suadensque ipsam spectare **589** veritatem. Quod si velint hoc animo reputare, immunes erunt a plaga, et a fatuitatis vulneribus, capita sua eximent. Verum illud dicimus, graviter et sapienter videri orationem hanc nobis esse temperatam, ut quæ satis sit efficax ad persuadendum multis, ut ab errore multorum deorum desistant, ac natura et vere Deo velint subjici. Cum elegisset, inquit, faber lignum, statuit illud in mensuram, et circino concinnavit, et ad formam viri direxit, et quasi ad pulchritudinem hominis in domo statuit. Ars, inquit, eorum qui deos fabricari solent, omni admiratione est dignissima, quando in ligno formam et pulchritudinem viri effingit. Quod autem ad imitationem alicujus est fabricatum a quopiam homine, semper veritate ipsa est inferius, et quasi a tergo sequitur. Itaque qui ligna vel lapides ad hominis speciem factos adorant, plane deprehensi sunt suam ipsorum speciem colere, et cum longe præstantiores sint his ad imitationem expressis, suam ipsorum naturam contumelia afficiunt, ut qui gloriam uberiorem eis tribuant. Est ergo extremæ stupiditatis accusatio, et summæ insulsitatis criminatio. Statuit enim in domo, id est, in templo

Ἐναργὴς μὲν σφόδρα τῶν προκειμένων ὁ νοῦς καὶ οὐδὲν ἄναντες ἐν αὐτοῖς. Γράφεται γὰρ ὡς ἀκάρδιον, C καὶ πάσης ἔξω φρενὸς γεγονότα, καὶ λογισμοῦ τοῦ καθήκοντος ὁλοτρόπως ἐστερημένον τὸν τῶν εἰδώλων προσκυνητὴν, καὶ προσέτι τὸν τεχνουργόν. Ἐμφιλοχωρεῖ δὲ σφόδρα τοῖς περὶ αὐτὸν διηγήμασιν· ὁμοῦ μὲν ἐντρέπων ὡς πεπλανημένους, καὶ ἀνοιγνὺς ὀφθαλμὸν τοῖς ἐνειλημμένοις τῷ κακῷ, καὶ εἰς αὐτὴν ὁρᾷν ἀναπείθων τὴν ἀλήθειαν, ἣν εἴπερ ἕλοιεν εἰς νοῦν, ἔξω γενήσονται πάγης, καὶ τῶν ἐξ ἀβελτηρίας τραυμάτων τὰς ἑαυτῶν ἀπαλλάξουσι κεφαλάς. Πλὴν ἐκεῖνό φαμεν· πικρὸν γάρ τοι καὶ σοφὸν ἔοικεν ἡμῖν ἐν τούτοις κατασκευάζειν ὁ λόγος, καὶ οὐκ ἔχων ἀνικάνως εἰς τὸ ἀναπεῖσαι δύνασθαι πολλοὺς, τῆς μὲν πολυθέου πλάνης ἀποφοιτᾷν, ἀνθελέσθαι δὲ μᾶλλον τὸ ὑπὸ Θεῷ γενέσθαι τῷ φύσει καὶ ἀληθῶς. Ἐκλεξάμενος γὰρ, φησὶ, τέκτων ξύλον, ἔστησεν αὐτὸ D ἐν μέτρῳ, καὶ ἐν κόλλῃ ἐρύθμισεν αὐτό· ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς, καὶ ὡς ὡραιότητα ἀνθρώπου στῆσαι αὐτὸ ἐν οἴκῳ. Ἡ τέχνη, φησὶ, τῶν θεουργεῖν εἰωθότων, τότε δὴ μάλιστα τοῦ παντὸς ἀξιωθείη θαύματος, ὅταν ἐνεργάσηται τῷ ξύλῳ μορφὴν, καὶ κάλλος ἀνδρός. Τὸ δὲ κατὰ μίμησιν τὴν τινὸς ὑπό του τεχνουργούμενον ἡττᾶται πάντως που τἀληθοῦς, ἤτοι κατόπιν ἔρχεται. Οὐκοῦν οἱ προσκυνοῦντες τοῖς εἰς ἄνθρωπον εἰδοποιηθεῖσι ξύλοις ἢ λίθοις, τὸ ἑαυτῶν εἶδος θρησκεύοντες ἁλοῖεν ἂν, καὶ πολλῷ κρείττους ὄντες τῶν κατὰ μίμησιν τὴν ἑαυτῶν ὑβρίζουσι φύσιν, ὡς τὴν ἀμείνω δόξαν ἐκείνοις προσνέμοντες. Ἀναισθησίας οὖν ἄρα τῆς ἐσχάτης ἡ γραφὴ, καὶ τῆς εἰς ἄκρον ἀβελτηρίας τὰ ἐγκλήματα. Ἵστησι γὰρ ἐν

A οἴκῳ, τοῦτ' ἔστιν ἐν ναῷ τὸ ξύλον ὃ ἐξέκοψεν ἐκ τοῦ δρυμοῦ. Καταδείκνυσιν ἐν τούτοις τοὺς θεοποιεῖν εἰωθότας, οὔτε τὴν ὕλην ἠγνοηκότας ἐξ ἧς γεγόνασιν, ἵνα μὴ λέγωσι τινὲς, κατὰ τὸ Ἑλλήνων ἔθος, διϊπετῆ τε καὶ αὐτόγονα, ἤγουν αὐτολόχευτα τὰ ἐν σηκοῖς ἀνατεθειμένα. Ὅτι δὲ τῆς τοῦ Θεοῦ δημιουργίας παρασημαίνουσι τὸν σκοπὸν, διελέγχει λέγων πεφυτεῦσθαι ἐν δρυμῷ τὸ ξύλον, ἐκτετράφθαι δὲ καὶ ὑετῶν χορηγίαις, ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν· τὰ δὲ εἰς καῦσιν γεγονότα θεοποιοῦντες, αὐτοὶ πυρὸς ἔσονται τροφὴ σὺν αὐτοῖς. Μονονουχὶ καταπλήττεται λέγων, ὅτι τὸ ἥμισυ κατέκαυσεν ἐν πυρὶ, καὶ ταῖς ἑαυτοῦ δεδαπάνηκε χρείαις. Τοῦτο μὲν ὀψοποιῶν, καὶ εἰς ἄρτου πέψιν τὰ τῶν θεῶν δεχόμενος μέρη. Εἶτα εἰς τοῦτο πέπτωκεν ἀσυνεσίας ὡς τῷ τῆς χρείας λειψάνῳ B προσκυνεῖν, προσεύχεσθαί τε καὶ λέγειν· Ἐξελοῦ με ὅτι θεός μου εἶ σύ. Σποδὸς οὖν ἄρα καὶ ἕτερον οὐδὲν, ἡ καρδία αὐτῶν, καὶ πεπλάνηνται, καὶ οὐδεὶς ἂν ἐξέλοιτο τὰς τῶν εἰς τοῦτο πεσόντων ψυχὰς, πλὴν ὅτι μόνος, εἴπερ ἕλοιτο, Θεὸς, ποιῶν πάντα, καὶ μετασκευάζων, καὶ φωτίζων τὸ ἐσκοτισμένον, καὶ ἐπιστρέφων τὸ πεπλανημένον. Ἀλλ' ἔνεστι μὲν τὸ ἀνωφελὲς καὶ μάταιον τοῖς χειροτμήτοις θεοῖς, ὕλη γάρ εἰσι κωφὴ καὶ ἀναίσθητος. Ἴδετε δὲ, τοῦτ' ἔστι, κατανοήσατε καὶ οὐκ ἐρεῖτε ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου. Πάντα μὲν γὰρ ἐπ' ἐκείνοις, φησὶν, ἐψευσμένα ὀνόματά τε καὶ δόξα. Ἐν δὲ τῇ ἐμῇ δεξιᾷ, τοῦτ' ἔστιν, ἐν τῷ Υἱῷ· δεξιὰ γὰρ τοῦ Πατρὸς ὁ Υἱὸς ὠνόμασται πανταχοῦ παρὰ τῇ θεοπνεύστῳ Γραφῇ· οὐδὲν ἂν εὑρεθείη τὸ ἐψευσμένον, ἀλλὰ καὶ εἴ τε Θεὸς ὀνομά- C ζοιτο, Θεός ἐστιν ἀληθινός· καὶ εἴτε Κύριος, οὐκ εἰσκεκριμένον ἔχει τὸ χρῆμα, φύσει δὲ μᾶλλόν ἐστι τῶν ὅλων δεσπότης· κἂν εἰ βασιλεὺς, κἂν εἰ φῶς, κἂν ζωὴ καὶ δύναμις, κἂν δημιουργὸς, πάντα ταῦτά ἐστιν οὐ κατεψευσμένως· οὐ γάρ ἐστι γενητὸς, ἐπέκεινα δὲ φυσικῶς παντὸς νοοῖτο ἂν τοῦ παρηγμένου πρὸς γένεσιν, Θεὸς ὑπάρχων ἐκ Θεοῦ, καὶ φῶς ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ.

Μνήσθη τιταῦτα, Ἰακὼβ καὶ Ἰσραὴλ, ὅτι παῖς μου εἶ σύ· ἔπλασά σε παῖδά μου· καὶ σὺ, Ἰσραὴλ, μὴ ἐπιλανθάνου μου. Ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου, καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου. Ἐπιστράφηθι πρός με, καὶ λυτρώσομαί σε.

Ἔφη που Χριστός· Ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου D αὐτοῦ καὶ μὴ ποιήσας δαρήσεται πολλάς· ὁ δὲ μὴ εἰδὼς, καὶ μὴ ποιήσας, δαρήσεται ὀλίγας. Ὁσία δὲ πάντως ἡ ἐφ' ἑκατέρῳ πράγματι ψῆφος. Τοῖς μὲν γὰρ οὐκ εἰδόσι τὸ θέλημα τὸ δεσποτικὸν, εἶτα διαπταίουσι, καὶ τοῖς τῆς παραβάσεως αἰτιάμασιν ἐνεσχημένοις συγγνοίη τις ἂν τὸ μὴ ἐγνωκέναι, δεχόμενος εἰς ἐλέου πρόφασιν. Τοῖς γε μὴν ἐν ειδήσει νόμων τὸ ῥᾳθυμεῖν ᾑρημένοις προσγένοιτο ἂν ἐν δίκῃ τὸ κολάζεσθαι δεῖν. Ὑπτιώσεως γὰρ ἐναργοῦς τὰ αἰτιάματα. Ἵνα τοίνυν ἑαυτοῦ γένοιτο κρείττων ὁ Ἰσραὴλ, πλείστοις μὲν ὅσοις ἁλοὺς αἰτιάμασιν, ἀμνηστίᾳ δὲ τῇ παρὰ Θεοῦ τιμώμενος, μεμνῆσθαι προστέτακται

lignum, quod de silva excidit. Ex quibus ostendit eos qui deos fingere solent, ne materiam quidem unde fierent ignoravisse, ne possent aliqui dicere, juxta Græcæ nationis opinionem, quæ in adytis erant reposita ac dedicata, a Jove delapsa, et sua sponte nata, et ex se genita fuisse. Quod autem divinæ creationis institutum adulterent, arguit, cum ait : Lignum in silva plantatum, et pluviarum ministerio ac ope enutritum, ut hominibus ad combustionem serviret. Qui autem ex his quæ combustioni destinata erant, deos faciunt, ipsi simul cum illis ignis alimentum erunt. Præterea tantum non admiratione percellitur, cum dicit : Dimidium combussit igni, et ad suos usus assumpsit. Hinc edulium conficit, et panes coxit, cum gentibus sortem capiens. Deinde eo insipientiæ recidit, ut sui usus reliquias adoret et oret, et dicat : Eripe me, quia deus meus es tu. Cinis proinde est, et præterea nihil, cor eorum, et decepti sunt, nec quisquam poterit animas eorum, qui huc prolapsi sunt eripere : præterquam solus, si quidem velit, Deus, qui facit omnia et transponit, quod est obtenebratum illustrat, et quod erravit, convertit. Cæterum his diis manu factis nulla inest utilitas, **590** sed vanitas : quippe materia sunt surda et insensata. Videte, id est, intelligite. Et non dicetis : Mendacium in dextra mea. Omnia enim in illis sunt falsa, et nomina et gloria. At in dextra mea, id est, in Filio (nam semper in Scriptura divinitus inspirata, Filius nominatur dextera Patris), nihil mendacii inveniri potest : sed sive dicatur Deus, est Deus verus : sive Dominus, non falso aut furtim huc se insinuat, at est potius natura herus universorum : sive rex, sive lux, sive vita, sive potentia, sive opifex, omnia hæc non vane, non falso exsistit. Non enim genitus est naturaliter, sed supra omnia esse intelligitur, quæ genita sunt ac producta, Deus exsistens ex Deo, et verum lumen de vero lumine.

VERS. 21, 22. *Memento horum, Jacob et Israel, quia puer meus es tu, formavi te puerum meum : et tu, Israel, ne obliviscaris mei. Ecce enim delevi velut nubem iniquitates tuas, et velut caliginem peccata tua. Revertere ad me, et redimam te.*

Christus dixit : Qui novit voluntatem domini sui, et non facit, vapulabit multis; qui autem non novit, nec facit, vapulabit paucis [94]. Sancta omnino est in utravis re sententia. Qui enim voluntatem herilem non norunt, peccantque, his, licet transgressionis crimini affines sint, potest quis ignoscere, sumens ignorantiam ad occasionem misericordiæ. Sed qui cum leges scirent, torpescere malunt, jure in eos animadvertitur. Supinitatis enim crimen est manifestum. Quo igitur melior se ipso evadat Israel, cum plurimorum criminum convictus fuerit, ita tamen in pretio et honore apud Deum habitus, ut oblivisci noluerit : jubetur suæ socordiæ memi-

[94] Luc. XII, 47, 48.

nisse, et ejus, qui pro sua placabilitate est commiseratus. Horum, inquit, memento, Jacob. Et quænam sunt illa? Quæ jam supra dicta sunt, et quod filius meus tu sis. Et formavi te puerum meum. Manifestissimo demonstrat his verbis, Israelem non caruisse pædagogis, sed legi et jugo subditum fuisse, et complures monitores habuisse : puer itaque fuit in hoc, et ad hoc formatus. Quonam pacto? Dicemus ut possumus. Formatur enim homo simpliciter, nempe de terra, quemadmodum et primus parens Adam. Sumpsit enim, inquit, Deus pulverem de terra, et **591** formavit hominem. Serpit deinde, et post hunc modum creationis progreditur ad hanc, qua nos sumus præditi, formam. Etenim formatur unusquisque in utero matris suæ, et hæc via terræ incolas ducit eo, ut sint essentiæ participes. Formatur item in filium Dei, intelligibiliter informatus, divinarum legum scientia, ad speciem effigiemque excellentem, quæ virtutum ornatu in animis hominum inhæret ac insidet. Hæc autem pulchritudo intelligi potest spiritualis. Formantur etiam velut in Christo, per sancti Spiritus participationem, ad ipsius speciem. Scribit siquidem ad Galatas divinus Paulus : « Filioli, quos iterum parturio, donec formetur Christus in vobis [95]. » Formatur autem in nobis Christus, sancto Spiritu nobis divinam quamdam formam, per sanctificationem et justitiam indente. Sic enim, sic in animis nostris elucet, character substantiæ Dei ac Patris : reformante, ut dixi, sancto Spiritu, nos per sanctificationem in ipsum. Itaque rursum dixit sanctissimus Paulus : « Ne conformes sitis sæculo huic, sed transfiguremini mentis vestræ renovatione, ut probetis vos, quæ sit voluntas Dei bona, et accepta et perfecta [96]. » Quin et velamen dicit appositum fuisse Judæorum cordibus, nos autem omnes detecta facie gloriam Domini speculantes, in eamdem transformari imaginem, a gloria in gloriam, tanquam a Domini Spiritu [97]. Formamur igitur in pueros Dei. Quoniam autem pueri nomen commune est; accipitur enim tum de servis, tum de filiis, dicimus convenire formatis in lege, ut potius in servos formentur. Spiritus enim servitutis erat super Israel, et eorum socordia illis non erat impunita : quippe quos lex ut servos punivit. Si quis autem formetur in Christo, in filium Dei formatur, his, quos jam diximus, modis. Meminisse itaque oportet etiam humanitatis ejus qui justificat, et quod simus in filiorum adoptionem, atque in gloriam formati, ac tanquam Patri Deo, eorum quæ in nos facta sunt ab ipso, quasi vices rependentes. Quo autem pacto recte hoc fiat, docet, cum inquit : Et tu, Israel, ne sis oblitus mei. Oblivisci autem quis poterit Dei, cum pietatem quæ erga illum est contemnit, aut cum prorsus recedit. Quod Israelitæ factitarunt, cum non deos colebant : faciunt etiamnum quidam, cum retrocedunt a **592** fide, quo-

A τῆς ἑαυτοῦ ῥᾳθυμίας, καὶ τῆς τοῦ κατοικτείροντος ἡμερότητος. Μνήσθητι γὰρ ταῦτα, φησὶν, Ἰακώβ. Καὶ ποῖα ταῦτα; Τά τε ἤδη προειρημένα, καὶ ὅτι παῖς μου εἶ σύ. Καὶ ἔπλασά σε παῖδά μου. Διαδείκνυσι δὲ καὶ μάλα σαφῶς ἐν τούτοις, ὅτι [οὐ] μεμένηκεν ἀπαιδαγώγητος ὁ Ἰσραὴλ, ἀλλ' ἦν ὑπὸ νόμον καὶ ζυγὰ, καὶ πλείστους ἔχων τοὺς νουθετεῖν εἰδότας· παῖς νῦν ἄρα κατὰ τοῦτο καὶ πεπλασμένος εἰς τοῦτο. Τίνα δὲ τρόπον, ἐροῦμεν ὡς ἔνι. Πλάττεται μὲν γὰρ τις ἄνθρωπος ἁπλῶς, καθάπερ ἀμέλει καὶ ὁ προπάτωρ Ἀδὰμ ἐκ γῆς. Ἔλαβε γὰρ, φησὶν, ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον. Ἕρπει δὲ κατά γε τὸν τῆς δημιουργίας τρόπον, καὶ εἰς δεῦρο τὰ καθ' ἡμᾶς. Πλάττεται γὰρ ἕκαστος ἐν γαστρὶ τῆς ἑαυτοῦ μητρὸς, καὶ ὁδὸς αὕτη πρὸς τὸ εἶναι φέρουσα B τοὺς ἐπὶ τῆς γῆς. Πλάττεται δὲ καὶ εἰς παῖδα Θεοῦ διαμορφούμενος νοητῶς τῇ τῶν θείων εἰδήσει νόμων πρὸς εἶδος ἐξαίρετον, τὸ ἐκ τῆς τῶν ἀρετῶν εὐκοσμίας ταῖς τῶν ἀνθρώπων ἐπισυμβαῖνον ψυχαῖς. Τοῦτο κάλλος ἂν νοοῖτο τὸ πνευματικόν. Πλάττονται δὲ καὶ οἷον ἐν Χριστῷ διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος εἰς εἶδος τὸ πρὸς αὐτόν. Γράφει γοῦν Γαλάταις καὶ ὁ θεσπέσιος Παῦλος· « Τεκνία, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. » Μορφοῦταί γε μὴν ἐν ἡμῖν ὁ Χριστὸς, ἐνιέντος ἡμῖν τοῦ ἁγίου Πνεύματος θείαν τινὰ μόρφωσιν, δι' ἁγιασμοῦ καὶ δικαιοσύνης. Οὕτω γὰρ, οὕτω ταῖς ἡμετέραις ἐμπρέπει ψυχαῖς ὁ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρὸς, ἀναμορφοῦντος ἡμᾶς, ὡς ἔφην, τοῦ ἁγίου Πνεύματος C δι' ἁγιασμοῦ πρὸς αὐτόν. Ἔφη γοῦν καὶ ὁ ἱερώτατος πάλιν Παῦλος· « Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ ἀναμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθόν. » Καὶ εὐάρεστον καὶ τέλειον καὶ κάλυμμα μὲν ταῖς Ἰουδαίων καρδίαις τεθεῖσθαί φησιν, ἡμᾶς δὲ πάντας ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζομένους, τὴν αὐτὴν εἰκόνα μεταμορφοῦσθαι ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. Πλαττόμεθα δὴ οὖν εἰς παῖδα Θεοῦ. Ἐπειδὴ δὲ τὸ τοῦ παιδὸς ὄνομα κοινόν πώς ἐστι· λαμβάνεται γὰρ ἐπί τε οἰκετῶν καὶ υἱῶν, φαμὲν, ὅτι πρέποι ἂν τοῖς ἐν νόμῳ πλαττομένοις τὸ εἰς οἰκέτας πλάττεσθαι μᾶλλον. Πνεῦμα γὰρ ἦν δουλείας ἐπὶ τὸν Ἰσραὴλ, καὶ ἦν αὐτοῖς τὸ ῥᾳθυμεῖν D οὐκ ἀζήμιον· ἐκόλαζε γὰρ ὡς οἰκέτας ὁ νόμος. Εἰ δὲ ἐν Χριστῷ πλάττοιτό τις, εἰς υἱὸν πλάττεται Θεοῦ, κατά γε τοὺς ἀρτίως εἰρημένους τρόπους. Χρὴ τοιγαροῦν μεμνῆσθαι καὶ τῆς τοῦ δικαιοῦντος φιλανθρωπίας, καὶ ὅτι πεπλάσμεθα πρὸς υἱότητα καὶ δόξαν, καὶ οἷον τῷ Πατρὶ τῷ Θεῷ εἰς ἡμᾶς παρ' αὐτοῦ γενομένων ἀνταποτιννύντες τὰς ἀμοιβάς. Καὶ ὅπως ἂν γένοιτο τοῦτο, καλῶς ἐκπαιδεύει λέγων· Καὶ σὺ, Ἰσραὴλ, μὴ ἐπιλανθάνου μου. Ἐπιλανθάνοιτο δὲ ἄν τις Θεοῦ, τῆς εἰς αὐτὸν εὐσεβείας ὀλιγωρῶν, ἢ καὶ εἰσάπαν ἀποφοιτῶν. Δεδράκασι μὲν οἱ ἐξ Ἰσραὴλ τοῦτο τοῖς οὐκ οὖσι θεοῖς λατρεύσαντες· δρῶσι δὲ καὶ εἰς δεῦρό τινες, ἀνόπιν ἰόντες μετὰ τὴν πίστιν,

[95] Gal. iv, 19. [96] Rom. xii, 2. [97] II Cor. iii, 14.

ὧν τὸ κρῖμα ἔνδικόν ἐστι, κατὰ τὸ γεγραμμένον. A Ὅτι δὲ τὸ ἐπιλανθάνεσθαι Θεοῦ κατασημαίνει πλειστα χοῦ τὸ τῆς εὐσεβείας τῆς εἰς αὐτὸν ἀποδραμεῖν, εἰσόμεθα, λέγοντος αὐτοῦ πρὸς τοὺς ἐξ αἵματος Ἰσραήλ· « Ὑμεῖς οἱ ἐπιλανθανόμενοί μου, καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν, καὶ πληροῦντες τῇ τύχῃ κέρασμα, καὶ ἐγκαταλιπόντες τὸ ὄρος τὸ ἅγιόν μου. Ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν, πάντες σφαγῇ πεσεῖσθε. » Καὶ ἐπ' αὐτῷ δὴ τούτῳ καταβεβόηκε τῶν ἐξ Ἰσραὴλ διὰ φωνῆς Ἱερεμίου λέγων· « Μὴ ἐπιλήσεται νύμφη τὸν κόσμον αὐτῆς; ἢ παρθένος τῆς στηθοσιδεσμίδος αὐτῆς; ὁ δὲ λαός μου ἐπελάθετό μου ἡμέρας πολλὰς, ὧν οὐκ ἔστιν ἀριθμός. » Οὐκοῦν ἡ μὲν λήθη πολλάκις τὴν ἀπόστασιν ὑπεμφήνειεν ἄν. Ἡ δέ γε μνήμη τὸ ἑδραῖον εἰς πίστιν, καὶ ἀκράδαντον εἰς ἀγάπην, καὶ τὸ εἰς πᾶν ὁτιοῦν τῶν B αὐτῇ δοκούντων εὐσθενές. Μὴ δὴ τοιγαροῦν ἐπιλανθάνου μου, φησὶν, μέμνησο δὲ μᾶλλον. Ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου. Καὶ τὸ ἀπήλειψά φησιν ἐν τούτοις, ἀντὶ τοῦ ἀπαλείψω, καὶ ὥσπερ τινὰ γνόφον, καὶ νεφέλην διαλύσας ἀφανίσω. Ὅτι γὰρ ἀντὶ τοῦ ἀπαλείψω τὸ ἀπήλειψά φησι, διαδείξειεν εὖ μάλα τὸ ἐφεξῆς· Ἐπιστράφηθι γὰρ, φησὶ, πρός με, καὶ λυτρώσομαί σε. Πῶς γὰρ ἀπήλειψεν ὁ καλῶν εἰς ἐπιστροφήν; Ὡς οὔπω μὲν ἐπιστρέψαντας, ἥξοντας δὲ καὶ εἰς τοῦτο κατὰ καιροὺς, ὅταν ἐπιλάμψῃ τῷ κόσμῳ Χριστὸς, δι' οὗ πᾶσα πλημμελημάτων ἄφεσις, καὶ ἐπιστροφὴ καὶ κλῆσις ἡ πρὸς Θεὸν, διά τε τῆς εἰς αὐτὸν πίστεως, καὶ πολιτείας εὐαγγελικῆς, καὶ ἀρίστων ἀνδραγαθημάτων.

Εὐφράνθητε, οὐρανοὶ, ὅτι ἠλέησεν ὁ Θεὸς C *Ἰσραήλ. Σαλπίσατε, θεμέλια τῆς γῆς, βοήσατε, ὄρη, εὐφροσύνην, οἱ βουνοὶ καὶ πάντα τὰ ξύλα τὰ ἐν αὐτοῖς, ὅτι ἐλυτρώσατο ὁ Θεὸς τὸν Ἰακὼβ, καὶ Ἰσραὴλ δοξασθήσεται.*

Καταθρῆσαι τις ἂν κἀντεῦθεν ἀμογητὶ, ὅτι τῶν ἁμαρτιῶν ἡ ἄφεσις, καὶ μὴν καὶ ἡ πάντων ἐπιστροφὴ καὶ λύτρωσις, ὡς ἐσομένη διὰ Χριστοῦ προαναφωνεῖτο κατὰ καιροὺς διὰ προφητῶν ἁγίων. Ἐπειδὴ γὰρ Θεὸς Κύριος ὢν ἐπέφανεν ἡμῖν, καὶ συνανεστράφη τοῖς ἐπὶ τῆς γῆς, ὡς ἄνθρωπος, ὁ ἀμνὸς ὁ ἀληθινὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, τὸ πάναγνον ἱερεῖον· τότε δὴ τότε, καὶ πρόφασις ἑορτῆς τὸ χρῆμα γέγονε ταῖς ἄνω τε καὶ ἐν οὐρανῷ δυνάμεσι λογικαῖς, ἤτοι τοῖς τῶν ἁγίων ἀγγέλων τάγμασιν. Ἦδον γὰρ, ᾖδον ἐπὶ τῇ γεννήσει αὐτοῦ, τῇ κατὰ σάρκα φημὶ, καὶ δὴ καὶ ἔφασκον· « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ D γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. » Καὶ εἴπερ ἐστὶν ἀληθὲς, πάντως δὲ δή που καὶ ἀληθὲς, ὅτι κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν χαρά ἐστιν ἐν τοῖς οὐρανοῖς ἐνώπιον τῶν ἁγίων ἀγγέλων ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, πῶς ἂν ἐνδοιάσειέ τις ὡς τὴν ὑφήλιον πᾶσαν εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν ἀνακομίζοντος τοῦ Χριστοῦ, καὶ καλοῦντος εἰς ἐπιστροφὴν, καὶ δικαιοῦντος ἐν πίστει, καὶ διαπρεπῆ τεθέντος δι' ἁγιασμοῦ, χαρὰ καὶ πανήγυρις παρὰ τοῖς ἄνω πνεύμασιν ἦν; Εὐφραινομένων τοίνυν τῶν οὐρανῶν, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν Ἰσραὴλ καὶ οὔτι που τὸν κατὰ σάρκα μόνον,

A rum judicium justum est, sicuti scriptum est. Quod autem oblivisci Deum, significet sæpenumero a pietate resilire, intelligemus, ipso loquente ad Israelitas: « Vos qui obliviscimini mei, et paratis dæmonio mensam, et impletis fortunæ potionem, et derelinquitis montem sanctum meum. Ego tradam vos gladio, omnes cæde cadetis [98]. » Et ob eamdem quoque rem vociferatus est contra Israelitas, voce Jeremiæ dicens: « Num obliviscetur sponsa mundi sui? num virgo fasciæ pectoralis suæ? Populus autem meus oblitus est mei, dies multos, quorum non est numerus [99]. » Itaque sæpe oblivio defectionem potest denotare. Memoria vero est firmitudo fidei, stabilitas dilectionis, et in omni quod illi placet constans fortitudo. Ne obliviscaris ergo mei, sed B memento potius. Ecce enim delevi velut nubem iniquitates tuas. Delevi, dicit hic pro, delebo, et velut caligine quadam ac nube dispulsa auferam. Nam quod delevi pro, delebo dicat, optime declarat quod sequitur. Revertere enim, inquit, ad me, et redimam te. Quomodo enim delevit, qui vocat ad conversionem? perinde quasi nondum essent reversi, sed huc suo venirent tempore, quando illucescet Christus mundo, per quem omnis est delictorum remissio, et conversio, et ad Deum vocatio, per fidem in ipsum et vitæ institutionem evangelicam, et optima facta.

C VERS. 23. *Lætamini, cœli, quia misertus est Deus Israelis. Canite tuba, fundamenta terræ. Clamate, montes, præ lætitia, colles et omnia ligna quæ in eis, quia redemit Deus Jacob, et Israel gloria afficietur.*

Hinc facile nullo labore perspicere licet proclamatum fuisse per prophetas sanctos, illis temporibus futuram per Christum remissionem peccatorum, et reversionem ac redemptionem omnium. Postquam enim Deus et Dominus apparuit nobis, et versatus est simul cum terræ incolis, ut homo agnus verus, qui tollit peccata mundi, sacrosancta victima, tunc tunc, supremis ac cœlestibus potestatibus ratione præditis, seu sanctorum angelorum ordinibus, causa festi exstitit. Cecinerunt enim, cecinerunt 593 propter nativitatem ejus carnalem, inquam, et di- D xerunt: « Gloria in excelsis Deo, et in terra pax, in hominibus bona voluntas [1]. » Et si verum sit (est autem omnino verum), secundum Servatoris vocem, gaudium esse in cœlis coram sanctis angelis, super uno peccatore resipiscente [11], an dubitandum est, cum totum terrarum orbem ad veritatis agnitionem reducit Christus, cum ad conversionem vocat, cum fide justificat, et per sanctificationem illustrem reddit, gaudium et panegyrim summis spiritibus fuisse? Lætantibus igitur cœlis, quod misertus sit Deus Israelis, non carnalis solum, sed ejus etiam qui spiritualis intelligitur,

[98] Isa. LXV, 11, 12. [99] Jer. XXII, 32. [1] Luc. II, 13, 14. [11] Luc. XV, 7.

tuba cecinerunt fundamenta terræ, id est, evangelicorum vaticiniorum ministri, quorum sonus clarissimus ubique circumferebatur, et quasi tubæ quædam sacræ circumsonuerunt, ubivis gentium annuntiantes Servatoris gloriam, vocantes ad agnitionem Christi, et qui ex circumcisione fuerunt, et qui olim creaturam supra Creatorem coluerunt. Sed quare eos dicimus vocari terræ fundamenta? Est enim omnium fundamentum et basis inconcussa Christus, qui omnia coercet ac continet, ut bene firma sint: in ipso enim omnes ædificamur, domus spiritualis, compacti per Spiritum in templum sanctum, in habitaculum ipsius; habitat enim in cordibus nostris per fidem. Fundamenta etiam proxima et viciniora nobis intelligi possunt, apostoli et evangelistæ, oculati testes, et ministri sermonis, facti in confirmationem fidei. Nam ubi cognoverimus ipsorum traditiones esse sequendas, rectam et minime alienam aut deviam a Christo fidem servabimus. Ab ipso enim dictum est divino Petro (quando sapienter et inculpate fidem in ipsum confessus est, dicens: Tu es Christus Filius Dei viventis): « Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam [2]; » petram, opinor, vocans, immotam fidem discipuli. Dictum est item voce Psallentis: « Fundamenta ejus in montibus sanctis [3]. » Optime sanctis montibus comparandi sunt sancti apostoli et evangelistæ, quorum cognitio firmata est instar fundamenti posteris, non sinens eos, qui per ipsos irretiti sunt, in reprobam fidem **594** decidere. Tuba igitur canunt fundamenta terræ. Verum specta mihi hanc observationem. Exilii enim voce et tarda lingua erat Moyses. Non enim erat lex exaudibilis, nisi per solam Judæam. Tuba ergo canite, qui pro Christo legatione fungimini. « Exivit enim in omnem terram sonus eorum, et in fines orbis terræ verba eorum [4]. » Jubet autem montes clamare lætitiam. Fundamenta terræ, montes hic iterum vocat. Spectabiles enim erant et conspicui divini discipuli, opere et sermone illustres, et omnibus ubique notissimi, quos etiam allocutus est sermo propheticus: « Montem excelsum conscende, qui evangelizas Sion. Extollere fortitudine tua, qui evangelizas Jerusalem [5]. » Hos igitur montes intelligibiles clamare jubet lætitiam. Hinc etiam videre licet et vim legis et, longe præstantiorem evangelicæ prædicationis differentiam. Lex enim punitiones minitans transgredientibus, et supplicia inevitabilia his qui convicti sunt intentans, lætitiam non clamavit, sed potius tristitiam. At evangelicorum vaticiniorum administratores, et Christi charismatum ministri, lætitiam mundo prædicant. Etenim ubi est peccati remissio, et justificatio per fidem, et sancti Spiritus participatio, et adoptionis splendor, et regnum cœlorum, et non vana spes bonorum, quæ mens nequit complecti, ibi continua est lætitia et gaudium. Colles autem et ligna in illis esse dicimus, quæ inferiora sunt monti-

ἀλλὰ γὰρ καὶ τὸν κατὰ πνεῦμα νοούμενον· ἐσάλπισε τὰ θεμέλια τῆς γῆς, τοῦτ' ἔστιν οἱ τῶν εὐαγγελικῶν θεσπισμάτων ἱερουργοί· τούτων ἠχὴ διαπρύσιος προσηνέχθη πανταχοῦ, καὶ οἷά τινες σάλπιγγες ἐξεφώνησαν ἱεραὶ, τὴν τοῦ Σωτῆρος δόξαν περιαγγέλλουσαι τοῖς ἁπανταχοῦ, καὶ καλοῦσαι πρὸς ἐπίγνωσιν τοῦ Χριστοῦ τούς τε ἐκ περιτομῆς, καὶ τοὺς πάλαι τῇ κτίσει λατρεύοντας παρὰ τὸν Κτίστην. Θεμέλια δὲ τῆς γῆς ὠνομάσθαι φαμὲν αὐτοὺς, διὰ ποίαν αἰτίαν; Ἔστι μὲν γὰρ ἁπάντων θεμέλιος καὶ ἀκατάσειστος ὑποβάθρα Χριστὸς, ὁ ἀνέχων ἅπαντα, καὶ διακρατῶν εἰς τὸ εὖ εἶναι τὰ ἐρηρεισμένα· ἐπ' αὐτῷ γὰρ πάντες ἐποικοδομούμεθα, οἶκος πνευματικὸς συναρμολογούμενοι διὰ Πνεύματος εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον αὐτοῦ. Κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ πίστεως, θεμέλιοι δὲ προσεχέστεροι, καὶ ἐγγὺς μᾶλλον, ἢ καθ' ἡμᾶς νοηθεῖεν ἂν ἀπόστολοί τε καὶ εὐαγγελισταὶ, γεγονότες μὲν αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου, γενόμενοι δὲ καὶ εἰς ἑδραίωμα πίστεως. Ταῖς γὰρ αὐτῶν παραδόσεσιν ἕπεσθαι δεῖν ἐγνωκότες, εὐθῆ καὶ ἀδιάστροφον τῷ Χριστῷ τὴν πίστιν τηρήσομεν. Εἴρηται γάρ που παρ' αὐτοῦ πρὸς τὸν θεσπέσιον Πέτρον (ὅτε σοφῶς καὶ ἀνεπιπλήκτως τὴν εἰς αὐτὸν πίστιν ὁμολογῶν ἔφασκεν· Σὺ εἶ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος)· « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ θεμελιώσω μου τὴν Ἐκκλησίαν, » πέτραν, οἶμαι, λέγων τὸ ἀκράδαντον εἰς πίστιν τοῦ μαθητοῦ. Εἴρηται δέ που καὶ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· « Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. » Ὄρεσι δὲ παρεικαστέον ἁγίοις εὖ μάλα τοὺς ἁγίους ἀποστόλους τε καὶ εὐαγγελιστὰς, ὧν ἡ γνῶσις τοῖς μετ' αὐτοὺς θεμελίου δίκην ἐρήρεισται, μεταπίπτειν οὐκ ἐῶσα πρὸς τὸ ἀδόκιμον εἰς πίστιν τοὺς δι' αὐτῶν σεσαγηνευμένους. Σαλπίζουσι τοίνυν τὰ θεμέλια τῆς γῆς· πλὴν ὅρα τὴν ἐπιτήρησιν. Ἰσχνόφωνος γὰρ καὶ βραδύγλωσσος ἦν ὁ Μωϋσῆς. Οὐ γὰρ ἦν ὁ νόμος ἐξάκουστος, πλὴν ὅτι τοῖς κατὰ μόνην τὴν Ἰουδαίαν. Σαλπίσατέ γε μὴν, οἱ τὰ Χριστοῦ πρεσβεύοντες. « Ἐξῆλθε γὰρ εἰς πᾶσαν τὴν γῆν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. » Βοᾷν δὲ τοῖς ὄρεσιν εὐφροσύνην προστέταχε· τὰ δὲ θεμέλια τῆς γῆς, ὄρη πάλιν ἐν τούτοις εἰπών· ἀπόβλεπτοι γὰρ καὶ διαφανεῖς οἱ θεσπέσιοι μαθηταὶ, ἔργῳ τε καὶ λόγῳ διαπρεπεῖς, καὶ τοῖς ἁπανταχοῦ γνωριμώτατοι, οἷς καὶ προφητικὸς ἐπεφώνησε λόγος· « Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον τῇ ἰσχύϊ σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ. » Ταυτὶ δὴ οὖν ἄρα τὰ ὄρη τὰ νοητὰ βοῆσαι προστέταχεν εὐφροσύνην. Ἔνεστι δὲ κἀντεῦθεν ἰδεῖν τήν τε τοῦ νόμου δύναμιν, καὶ τῶν εὐαγγελικῶν κηρυγμάτων τὴν ἐπὶ τὸ κρεῖττον διαφοράν. Ὁ μὲν γὰρ νόμος κολάσεις ἀπειλῶν τοῖς παραβαίνουσι, καὶ δίκαις ἀφύκτοις ἐνιεὶς τοὺς ἁλισκομένους, οὐκ εὐφροσύνην ἐβόα μᾶλλον, ἀλλὰ κατήφειαν· οἱ δέ γε τῶν εὐαγγελικῶν θεσπισμάτων ἱερουργοὶ, καὶ τῶν παρὰ Χριστοῦ χαρισμάτων διάκονοι, εὐφροσύνην τῷ κόσμῳ διακηρύττουσιν. Ὅπου γὰρ ἄφεσις ἁμαρτιῶν, καὶ μὴν καὶ

[2] Matth. xvi, 18. [3] Psal. lxxxvi, 1. [4] Psal. xviii, 5. [5] Isa. xl, 9.

δικαίωσις ἐν πίστει, καὶ ἁγίου Πνεύματος μέθεξις, A καὶ υἱοθεσίας λαμπρότης, καὶ οὐρανῶν βασιλεία, καὶ τῶν ὑπὲρ νοῦν ἀγαθῶν ἐλπὶς οὐ κατεψευσμένη, ἐκεῖ που πάντως ἐστὶν εὐφροσύνη καὶ χαρά. Βουνοὺς δὲ καὶ ξύλα τὰ ἐν αὐτοῖς φαμεν εἶναι πάλιν τοὺς τῶν ὀρῶν ἡττωμένους, καὶ βραχύ πως ὑποκαθημένους, κατά γε τὸ τῆς ἐνούσης αὐτοῖς εὐζωΐας μέτρον, ὑπερανεστηκότων δηλονότι τῶν ἁγίων ἀποστόλων, καὶ εὐαγγελιστῶν. Οὐκοῦν βουνοὶ μὲν ἂν εἶεν οἱ βραχύ πως τῆς ἐκείνων εὐκλείας ὑφιζηκότες, καὶ τοῦ μεγέθους τῆς ἀρετῆς ἡττώμενοι, πλὴν ἀνέχοντες καὶ αὐτοὶ, καὶ ἐπιγείων ὄντες ἐπέκεινα πραγμάτων, καὶ φρονοῦντες τὰ ἄνω, καὶ τὸ ὑψοῦ νοεῖσθαι κατ' ἀρετὴν κεκληρωμένοι. Ξύλα δὲ τὰ ἐν αὐτοῖς, τὰ ὑπ' αὐτῶν τεθραμμένα, νοηθεῖεν ἂν οἱ δι' αὐτῶν πιστεύσαντες, καὶ οἷον εἰς ἄνδρα τέλειον ἀναβεβηκότες, καὶ εἰς μέ- B τρον ἡλικίας διελάσαντες τοῦ πληρώματος τοῦ Χριστοῦ. Εἶεν δ' ἂν οὗτοι καὶ διδάσκαλοι λαῶν, καὶ ποιμνίων καθηγηταὶ, ταῖς παρὰ σφῶν αὐτῶν νοηταῖς εὐκαρπίαις τοὺς προσιόντας αὐτοῖς ἀνακτώμενοι. Οὐκοῦν τὴν ἐν Χριστῷ νοουμένην εὐφροσύνην συγκεκράγασι τοῖς θεμελίοις τῆς γῆς, βουνοὶ καὶ ξύλα τὰ ἐν αὐτοῖς, χαίρουσι δὲ ὅτι ἐλυτρώσατο ὁ Θεὸς τὸν Ἰακὼβ, καὶ Ἰσραὴλ δοξασθήσεται. Οὐ γὰρ ἐλυτρώθη μόνον τοὺς τῆς ἁμαρτίας ἀποτριψάμενος μολυσμοὺς, καὶ πυρὸς καὶ δίκης ἐξῃρημένος, ἀλλὰ γὰρ καὶ ἐδοξάσθη Θεοῦ γεγονὼς οἰκεῖος, καὶ υἱὸς αὐτοῦ χρηματίσας, καὶ ἀδελφότητα λαχὼν τὴν πρός γε τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς Υἱὸν, τοῦτ' ἔστι, Χριστόν.

bus, et paululum subsidentia ac subjecta, quod ad illorum rectæ vitæ mensuram attinet : eminentibus nimirum et exstantibus sanctis apostolis et evangelistis. Colles igitur esse possunt, qui paululum cedunt illorum gloriæ, et qui a magnitudine virtutis vincuntur : quanquam et hi quoque excellunt, et rebus terrenis superiores sunt, et quæ supra sunt sapiunt, et ut sublimia quæ cum virtute sunt cogitent, delecti sunt et cooptati. Ligna quoque hic enutrita ab ipsis, intelligi possunt qui per illos crediderunt, et velut in virum perfectum adoleverunt, et ad mensuram ætatis plenitudinis Christi pervenerunt. Hi sunt etiam doctores populorum, et moderatores gregis, instaurantes et corroborantes eos qui ad ipsos accedunt, ubertate ac fertilitate sub intelligentiam cadente. Conclamant igitur lætitiam, quæ in Christo intelligitur, **595** fundamentis terræ, colles et ligna quæ in eis sunt, et gaudent, quod redemerit Deus Jacob, et Israel gloria afficietur. Non enim solum liberatus est, deletis peccati inquinationibus, et ab igne et pœna vindicatus : sed gloria affectus est, Dei factus domesticus, et vocatus ejus filius, et fraternitatem cum eo qui unus est et natura et vere Filius, id est, Christus, sortitus.

C *Οὕτω λέγει Κύριος ὁ λυτρούμενός σε, καὶ ὁ πλάσας σε ἐκ κοιλίας· Ἐγὼ Κύριος ὁ συντελῶν πάντα. Ἐξέτεινα τὸν οὐρανὸν μόνος, καὶ ἐστερέωσα τὴν γῆν. Τίς ἕτερος διασκεδάσει σημεῖα ἐγγαστριμύθων, καὶ μαντείας ἀπὸ καρδίας; ἀποστρέφων φρονίμους εἰς τὰ ὀπίσω, καὶ τὴν βουλὴν αὐτῶν μωραίνων, καὶ ἱστῶν ῥήματα παιδὸς αὐτοῦ, καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων.*

VERS. 24, 25. *Sic dicit Dominus qui redimit te, et qui formavit ab utero : Ego Dominus consummans omnia. Extendi cœlum solus, et firmavi terram. Quis alius dissipabit signa ventriloquorum, et divinationes de corde? Convertens prudentes retrorsum, et consilium eorum infatuans, et confirmans verba pueri sui, et consilium angelorum suorum ratum efficiens.*

Οἰκονομικώτατα λίαν ὁ τῶν ὅλων Θεὸς κἀν τούτοις ἡμῖν διαλέγεται, καὶ πειρᾶται πληροφορεῖν τούς οἵ γε πεπαρῳνήκασιν εἰς τὴν δόξαν αὐτοῦ, μεθιστάντες αὐτὴν εἰς ἑτέρους, δῆλον δὲ ὅτι τοὺς οὐκ ὄντας θεοὺς, ὡς ἔστιν αὐτὸς γενεσιουργὸς τῶν ὅλων, καὶ ταμίας, κτίστης τε καὶ ποιητὴς καὶ αὐτῶν τῶν παιδευομένων. Ἐπειδὴ δὲ περὶ πραγμάτων πλείστων τε ὅσων καὶ D θαυμαστῶν ἐποιεῖτο τὰς ὑποσχέσεις, ἃς δὴ καὶ ἦν εἰκὸς ἀπιστεῖσθαι πρός τινων, χρησίμως, ὡς ἔφην, τὴν ἰδίαν αὐτοῖς προαναφαίνει δύναμιν καὶ ὑπεροχὴν, ὡς ἂν εἰδεῖεν, ὅτι πάντῃ τε καὶ πάντως, ὅπερ ἂν ἕλοιτο κατορθοῦν, τοῦτο δραμεῖται πρὸς πέρας. Πρὸς τί γὰρ ἀνικάνως ἔχοι, ἢ πῶς οὐκ ἂν δύναιτο λυτροῦσθαί τινας ὁ ἐκ κοιλίας πλάσας, τοῦτ' ἔστιν, ὁ καὶ εἰς αὐτὸ τὸ εἶναι καλέσας, καὶ εἰς ὕπαρξιν ἐνεγκὼν τοὺς οὐκ ὄντας ποτὲ, ὁ συντελῶν τὰ πάντα, τοῦτ' ἔστιν, ὁ ταμίας τῶν ὅλων, ἕκαστά τε διοικῶν τε καὶ διιθύνων κατὰ τὸ αὐτῷ δοκοῦν; Τοῦτο δὲ πάντως εὖ ἔχει. Οὐ γὰρ ἂν ἁμάρτῃ Θεὸς τοῦ τῇ ἰδίᾳ δόξῃ πρεπωδεστάτου. Ἢ πῶς οὐκ ἂν εἴη πανσθενὴς, καὶ παντὸς ἐπέκεινα, καὶ νοῦ, καὶ λόγου, ὁ τὸν παμμεγέθη τοῦτον τανύσας οὐρανὸν, καὶ στερεώσας τὴν γῆν, ὡς γάρ ὁ Ψάλλων

Appositissime universorum Deus etiam hic nobiscum disputat, et fidem conatur facere his, qui convertentes se ad alios, qui scilicet dii non sunt, in illum debacchabantur, se esse procreatorem universorum, et dispensatorem, et conditorem, et effectorem eorum qui docentur. Postquam autem de rebus plurimis et mirabilibus promissa fecisset, quæ verisimile erat ab aliquibus non credi, utiliter, ut dixi, suam illis prius ostendit potentiam et eminentiam, ut intelligant, quidquid ille ullo modo velit perficere, hoc ad finem perventurum. Quid enim non potest? quid non valet? quomodo non posset redimere, qui ex utero formavit, id est, qui vocavit ut essent et exsisterent, producens eos qui aliquando non erant, consummans omnia, id est, dispensator universorum, et pro suo quoque arbitratu disponens? Quod semper feliciter succedet. Non enim Deus errabit ab eo quod est suæ gloriæ convenientissimum. Aut qui omnipotens non esset, qui omni est tempore antiquior et oratione major, qui ingens hoc cœlum extendit, et firmavit terram, quemadmodum etiam Psaltes ait : « Fun-

davit terram super firmitatem ejus [6]. » Qui autem eo ascendit potentiæ, vel potius omnis est potentia, semper quæ facturus est, nemine vetante, perducet ad exitum, cum dicit: « Solus extendens cœlum [7], » non excipit eum qui est de substantia sua Deus Verbum unigenitum: illum, inquam, per quem omnia, et in **596** quo omnia: sed quia nullus Deus falso nuncupatus, quidquam omnino opis Deo, qui est super omnia, conferat. Cum enim omnino non sint, quo pacto ut cooperarii creantis Dei admitti possunt? Non igitur his verbis distinctionem inesse dicimus, quoad naturalem et ex ipso genitum Filium: sed quod non alterius sit præterquam Dei effectio, ut cœlum extendatur, aut ut terra sedes immotas ac stabiles habeat. Cum ergo ostenderit ex his verbis suam gloriam, et incomparabilem eminentiam, et potentiæ magnitudinem: quarum rerum effector erit posteris temporibus, hic consequenter declarat, aperteque exponit. Quis enim alius, inquit, dissipabit signa ventriloquorum et divinationes cordis? Cum namque Servator omnium nostrum Christus nobis de cœlo nondum effulsisset, in omnes diabolicæ tyrannidis violentia extensa erat, et profundæ tenebræ incolas terræ omnes obruerunt, et quasi devoraverunt. Erant enim, erant et per regiones et per civitates aræ ac delubra, et examina imaginum, et deorum falso nuncupatorum innumerabilis multitudo, et incantationes, et falsæ divinationes passim, et imposturæ ac fuci dæmoniorum, quæ scire se fingebant et prænuntiare posse futura, cum nihil quidquam vel dicerent, vel scirent. Postquam autem vera lux, id est, unigenitus Sermo Dei, totum orbem terrarum undequaque evangelicis oraculis illustrasset, ignorationisque nebula dispulsa esset, et illæ tenebræ profundæ desiissent, vocatique essent ad agnitionem veritatis errantes: tunc, tunc signa ventriloquorum dissipata sunt. Ventriloquos dicit falsos vates, vel pythonicos, ex sui cordis sensu eructantes quod lubet, qui nihil tamen veri sciunt. De quibus etiam dixit propheta Ezechiel: « Væ prophetantibus de corde suo, et omnino nihil videntibus [8]. » Dissipata igitur sunt ejusmodi hominum data aliquibus ex falsa divinatione signa seu prædictiones. Abolita sunt enim ubique carmina ac decantationes Græcanicæ, et qui mentiri consuerunt dii Græcorum obticuerunt: et aversi sunt retro prudentes, et consilia eorum infatuata sunt. Videtur autem his verbis prudentes appellare, vel Græcorum magos: vocabantur enim apud eos sophi: **597** vel forte qui sapientiæ opinionem apud eos nacti sunt, et intelligentia acres, et qui vi ac facultate dicendi præditi erant, et linguæ volubilitate præstantes, et qui non erant imparati ab eloquentia, sed qui mendacium dictionis suæ elegantia ornare valuerunt. Istos dicimus aversos fuisse retro, cum deinceps sapientia ipsorum infructuose et inutilis de-

[6] Psal. CIII, 4. [7] Ibid. 2. [8] Ezech. XIII, 3.

A φησίν· « Ἐθεμελίωσε τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς; » Ὁ δὲ εἰς τοῦτο δυνάμεως ἀναβεβηκὼς, μᾶλλον δὲ ἡ πᾶσα δύναμις, πάντως που καὶ οἴσει πρὸς πέρας ἅπερ ἂν ἐθέλοιτο δρᾷν, ἀπείργοντος οὐδενός· μόνος δέ φησιν ἐκτεῖναι τὸν οὐρανὸν, οὐκ ἔξω τιθεὶς τὸν ἐκ τῆς οὐσίας αὐτοῦ Θεὸν Λόγον μονογενῆ, τὸν δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα· ἀλλ' ὅτι τῶν ψευδωνύμων θεῶν παντελῶς οὐδεὶς συνειργάσατό τι τῷ ἐπὶ πάντας Θεῷ. Οἱ γὰρ οὐκ ὄντες ὅλως, πῶς ἂν εἰσδεχθεῖεν ὡς ἐργάται, ἢ μᾶλλον εἰπεῖν ὡς συνεργάται δημιουργοῦντος Θεοῦ; Οὐκοῦν οὐ πρός γε τὸν φύσει καὶ ἐξ αὐτοῦ γεννηθέντα Υἱόν φαμεν ἐν τούτοις γενέσθαι τὴν ἀντιδιαστολὴν, ἀλλ' ὅτι μὴ ἑτέρου μᾶλλον Θεοῦ γέγονεν ἐναποτέλεσμα τὸ τανυσθῆναι τὸν οὐρανὸν, ἤγουν ἀκραδάντους ἕδρας ἐσχηκέναι τὴν γῆν. B Καταδείξας τοίνυν ἑαυτοῦ διὰ τούτων τὴν δόξαν, καὶ τὴν ἀπαράβλητον ὑπεροχὴν, καὶ τὸ τῆς δυνάμεως μέγεθος, τίνων ἔσται κατὰ καιροὺς ἀποτελεστὴς, ἐν τοῖς ἐφεξῆς διαδείκνυσί τε καὶ ἀφηγεῖται σαφῶς. Τίς γὰρ ἕτερος, φησὶ, διασκεδάσει σημεῖα ἐγγαστριμύθων, καὶ μαντείας ἀπὸ καρδίας; Οὔπω γὰρ ἡμῖν ἐπιλάμψαντος ἐξ οὐρανῶν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, τῆς τοῦ διαβόλου τυραννίδος ἡ πλεονεξία κατὰ πάντων ἐξετείνετο, καὶ βαθὺς ἅπαντας τοὺς ἐπὶ τῆς γῆς κατεβόσκετο σκότος. Ἦσαν γὰρ, ἦσαν κατά τε χώραν καὶ πόλιν, βωμοὶ καὶ τεμένη, καὶ ἀγαλμάτων ἑσμὸς, καὶ ψευδωνύμων θεῶν οὐκ ἀριθμουμένη πληθὺς, γοητεῖαί τε καὶ ψευδομαντεῖαι πανταχοῦ, καὶ δαιμονίων φενακισμοὶ, πλαττομένων μὲν εἰδέναι τε καὶ προαγ- C γέλειν δύνασθαι τὰ ἐσόμενα, λεγόντων γε μὴν ἢ εἰδότων παντελῶς οὐδέν. Ἐπειδὴ δὲ τὸ φῶς τὸ ἀληθινὸν, τοῦτ' ἔστιν, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, τοῖς εὐαγγελικοῖς θεσπίσμασιν ὅλην περιήστραψε τὴν ὑπ' οὐρανὸν, ἀπελήλαται μὲν ἡ τῆς ἁμαρτίας ἀχλὺς, καὶ ὁ βαθὺς ἐκεῖνος πέπαυται σκότος, κέκληνται δὲ πρὸς ἐπίγνωσιν ἀληθείας οἱ πεπλανημένοι· τότε δὴ τότε διεσκεδάσθησαν τὰ σημεῖα τῶν ἐγγαστριμύθων. Ἐγγαστριμύθους δέ φησι τοὺς ψευδομάντεις, ἤτοι πυθωνικοὺς, τοὺς ἀπό γε τῆς σφῶν αὐτῶν καρδίας ἀνερευγομένους τὸ δοκοῦν, καὶ τῶν ἀληθῶν εἰδότας οὐδέν. Περὶ τῶν τοιούτων καὶ ὁ προφήτης Ἰεζεκιὴλ φησιν· « Οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθ' ὅλου μὴ βλέπουσι. » Διεσκεδάσθη τοιγαροῦν τῶν τοιούτων τὰ ἐκ τῆς ψευδομαντείας δι- D δόμενά τισι σημεῖα, ἤτοι προαναῤῥήσεις. Ἤργησαν γὰρ τὰ Ἑλληνικὰ χρηστήρια πανταχοῦ, καὶ σεσιγήκασιν οἱ ψευδοεπεῖν εἰωθότες τῶν παρ' Ἕλλησι θεῶν· ἀπεστράφησαν δὲ καὶ φρόνιμοι εἰς τὰ ὀπίσω, καὶ ἐμωράνθησαν αἱ βουλαὶ αὐτῶν. Ἔοικε δὲ φρονίμους ἐν τούτοις, ἢ τοὺς παρ' Ἕλλησι μάγους ἀποκαλεῖν· ὠνομάζοντο γὰρ παρ' ἐκείνοις σοφοί· ἢ τάχα που καὶ τοὺς ἐν δόξῃ σοφῶν παρ' αὐτοῖς γεγονότας, καὶ πικροὺς εἰς σύνεσιν, καὶ λόγων ἔχοντας δείνωσιν, καὶ ἀρίστους εἰς εὐγλωττίαν, καὶ οὐκ ἔχοντας ἀνικάνως εἴς γε τὸ δύνασθαι ταῖς παρὰ σφῶν εὐεπείαις κατακαλλῦναι τὸ ψεῦδος. Τοὺς τοιούτους ἀπεστράφθαι φαμὲν εἰς τὰ ὀπίσω· λοιπὸν ἀχρήστου καὶ ἀνωφελοῦς ἀποδεδειγμέ-

νης τοῖς ἐν αὐτοῖς σοφίας, ἡ ψυχική τέ ἐστι καὶ ἐπίγειος δαιμονιώδης. Μεμωράνθαι δέ φησι τὴν σοφίαν τοῦ κόσμου, παρὰ Θεοῦ δηλονότι, καὶ ὁ πάνσοφος Παῦλος. Ἀποστραφέντων δὲ, φησὶ, τῶν φρονίμων, καὶ πάσης αὐτῶν βουλῆς ἀσυνέτου τε καὶ ἀνοήτου παντελῶς ἀποδεδειγμένης, ἔστησεν ὁ Θεὸς καὶ Πατὴρ τὰ ῥήματα τοῦ ἑαυτοῦ Παιδὸς, τοῦτ' ἔστι, τὸ εὐαγγελικὸν καὶ σωτήριον θέσπισμα, ὅπερ ἡμῖν αὐτὸς ἐλάλησεν ὁ Χριστός. Ἀπέδειξε δὲ καὶ ἀληθῆ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ. Ἄγγελοι γὰρ νοηθεῖεν ἂν οἱ τὰ Χριστοῦ πρεσβεύοντες, καὶ τῷ κόσμῳ διακηρύττοντες. Βουλὴ δὲ ἦν αὐτοῖς ἀγαθὴ, καὶ παραίνεσις τοῖς ἁπανταχοῦ τὸ τῶν ἀρχαίων μὲν αἰτιαμάτων ἀποφοιτᾷν, ἀναῤῥώννυσθαι δὲ πρὸς ἀγαθουργίας, καὶ τῶν ἀμεινόνων ἀντέχεσθαι, καὶ Θεὸν εἰδέναι τὸν φύσει καὶ ἀληθῶς, καὶ τοῖς αὐτοῦ νόμοις ὑπενεγκεῖν τὸν αὐχένα, τρέχειν δὲ οὕτω πρὸς σωτηρίαν καὶ ζωήν. Οὐκοῦν μεστοὶ μὲν ἁπάσης ἀληθείας εἰσὶν οἱ παρ' αὐτῶν λόγοι· μεμώρανται δὲ τὰ Ἑλλήνων, τὸ τῆς ἀληθείας οὐκ ἔχοντες κάλλος· πάντα γὰρ παρ' ἐκείνοις ψευδῆ, καὶ προφητεία, καὶ σύνεσις, καὶ τῶν ἐν δοκήσει θεῶν, ἢ καὶ αὐτοῖς τοῖς πλανωμένοις ἀγνοουμένη πληθύς.

Ὁ λέγων Ἱερουσαλήμ· Κατοικηθήσῃ, καὶ ταῖς πόλεσι τοῦ Ἰούδα· Οἰκοδομηθήσεσθε, καὶ τὰ ἔρημα αὐτῆς ἀνατελεῖ.

Ἕψεται καὶ οὕτω τὸ, Ἐγώ εἰμι, τοῦτ' ἔστιν, Ἱερουσαλὴμ, ὁ λυτρούμενός σε, ὁ συντελῶν πάντα, καὶ ἐκτείνας τὸν οὐρανόν. Εἰμὶ τοιγαροῦν, φησὶν, ὁ λέγων Ἱερουσαλήμ· Κατοικηθήσῃ. Εἷλον μὲν γὰρ αὐτὴν κατὰ κράτος οἱ Βαβυλώνιοι, τὴν τῶν Ἰουδαίων ὅλην καταδῃώσαντες χώραν. Ἀλλ' ἐκλελύτρωνται παρὰ Θεοῦ, καὶ τὸν τῆς αἰχμαλωσίας ἀπεδύσαντο ζυγὸν, ἀφέντος τοῦτο δρᾷν τοῦ τὴν Βαβυλῶνα κατεμπρήσαντος, Κύρου φημὶ τοῦ Καμβύσου· καὶ δὴ καὶ ὑπονοστήσαντες εἰς τὴν Ἰουδαίαν, τάς τε πόλεις ἀνεδείμαντο καὶ τὸν νεὼν, καὶ κατῳκήκασιν ἐν εἰρήνῃ. Εὐφυέστατα τοίνυν ὁ προφητικὸς ἡμῖν λόγος οἰκοδομηθήσεσθαι λέγων τὴν Ἱερουσαλὴμ, δίδωσιν ἔννοιαν τοῖς ἀκροωμένοις, ὡς ἁλώσεται κατὰ καιροὺς, καὶ καταστραφήσεται. Καὶ οὐκ ἀπό γε τῶν μοχθηρῶν ποιεῖται τὴν προαγόρευσιν τῶν συμβησομένων αὐτοῖς, ἀπ' ἐκείνων δὲ μᾶλλον ἐφ' οἷς ἦν εἰκὸς ἡσθῆναι λίαν· μετὰ τοῦ καὶ εἰς ἐννοίας, ὡς ἔφην, ἐλθεῖν τῶν σκυθρωποτέρων. Οὐκοῦν Θεοῦ προστάττοντος οἰκοδομηθήσεσθαι τὴν Ἱερουσαλὴμ, ἁλοῦσάν που πάντως πρότερον ὁ τῆς προφητείας κατασημαίνει λόγος. Εἰ δὲ δή τις βούλοιτο καὶ βαθυτέροις ἔτι θεωρήμασιν ἐμβάλλειν, φαμὲν ὅτι τὴν ἀληθεστέραν Ἰουδαίαν, δῆλον δὲ ὅτι τὴν Ἐκκλησίαν, ἧς ἂν ἔνοικοι καὶ πολῖται νοηθεῖεν ἂν οἱ τὴν ἐν πνεύματι φοροῦντες περιτομήν. Ἔρημον οὖσάν ποτε πολυανδροῦσαν ἔδειξεν ὁ τοῦτον γενέσθαι προστεταχώς, δῆλον δὲ ὅτι Θεὸς ἐν Χριστῷ, ἀνέτειλε δὲ τὰ ἔρημα αὐτῆς. Ξύλοις γὰρ νοητοῖς εὑρέθη κατάκομος, καὶ οἷον εὐδενδροτάτη, καὶ ὑψηλὰς ἁγίων ἔχουσα κεφαλάς. Ἔθος γὰρ τῇ θεοπνεύστῳ Γραφῇ φυτοῖς καὶ ξύλοις ἀφομοιοῦν ἐσθ' ὅτε τὸν τῶν ἁγίων χορόν. Ἔφη γοῦν ὁ τῶν

A clararetur, ut quæ esset animalis, terrena et dæmoniaca. Infatuatam enim sapientiam mundi fuisse, a Deo nempe, dicit Paulus sapientissimus [84]. Aversis autem, inquit, prudentibus, et omni eorum consilio imprudenti et inutili declarato, statuit Deus et Pater verba Pueri sui, id est, evangelicum et salutare oraculum, quod ipsemet Christus nobis locutus est, et consilium angelorum suorum verum ratumque effecit. Angeli autem intelligi possunt, qui nomine Christi legatione funguntur, et mundo tanquam præcones concionantur. Consilium autem eorum bonum erat et exhortatio ubique omnibus, ut a pristinis vitiis discederent, et honestas actiones fortiter capesserent, et adhærerent melioribus, ac Deum natura et vere cognoscerent, ejus-
B que legibus collum subderent, itaque ad salutem vitamque contenderent. Siquidem eorum sermones omni veritate pleni sunt, Græcorum autem deliria nullam veritatis pulchritudinem habebant, sed falsa apud illos erant omnia, et prophetia, et cognitio, et imaginariorum deorum illis ipsis qui errabant ignota multitudo.

VERS. 26. *Qui dicit Jerusalem: Habitaberis, et civitatibus Juda: Ædificabimini, et solitudines ejus suscitabo.*

Sequetur hoc sic: Ego sum, nimirum, o Jerusalem, redimens te, consummans omnia, et extendens cœlum. Ego sum igitur, inquit, dicens Jerusalem: Ædificaberis. Nam eam vi ceperunt Ba-
C bylonii, qui universam terram Judæorum depopulati sunt: sed redempti sunt a Deo, et captivitatis jugum exuerunt, permittente hoc facere eos Cyro, patre, inquam, Cambysis, qui Babylonem incendit. Hi reversi in Judæam, et urbes refecerunt, et templum, et pacate habitarunt. Itaque perscite sermo propheticus cum Jerusalem ædificandam dicit, subindicat auditoribus, **598** capiendam temporibus subsequentibus et subvertendam. Nec prædictionem facit molestiarum quæ illis contingerent, sed eorum, de quibus verisimile erat eos impense gavisuros: ita tamen ut res asperiores quoque mentem cogitationemque, ut dixi, subeant. Cum ergo Deus jubet, ut ædificetur Jerusalem, capiendam omnino primum oratio prophetica innuit. Si quis autem profundiorem velit adhuc speculationem
D considerationemque annectere, veriorem Judæam esse dicimus Ecclesiam, cujus incolæ ac cives intelligantur esse, qui circumcisionem gestant in spiritu. Quæ deserta et solitaria quondam erat, viris refertam effecit is, qui hoc fieri jussit, nimirum Deus in Christo, et solitudines ejus reparavit. Lignis enim intelligentia perceptis densa inventa est, et veluti obsita arboribus, et habens alta sanctorum capita. Solet enim divinitus inspirata Scriptura plantis arboribusque sanctorum interdum chorum assimilare. Dixit siquidem universorum Deus voce sanctorum: « Ponam in siticulosa terra cedrum et

[84] I Cor. I, 20.

buxum, et myrtum, et cupressum, et populum [9]. » Dictum est autem voce Psallentis ad Deum : « Saturabuntur ligna campi, cedri Libani quas plantasti [10]. » Iterum alio loco : « Tunc exsultabunt omnia ligna silvæ a conspectu Domini, quia venit ad judicandum terram. Judicabit autem terram in justitia, et populos in veritate [10*]. » Neque dicimus esse lignorum sensu carentium gaudere : sed potius quadrabit hoc sanctis, quos gavisuros dicit, ubi Christus illuxerit. Judicavit enim sic orbem terrarum in justitia, quando eos qui errarunt quondam justificavit, et Satanam ejusque angelos ad interitum damnavit.

A ὅλων Θεὸς διὰ φωνῆς ἁγίων, ὅτι « Θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον, καὶ πύξον, καὶ μυρσίνην, καὶ κυπάρισσον, καὶ λεύκην. » Εἴρηται δὲ καὶ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς περὶ τῶν ἁγίων πρὸς Θεὸν, ποτὲ μὲν, ὅτι « Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας· » ποτὲ δὲ πάλιν· « Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ, ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ. » Καὶ οὔτι πού φαμεν ὡς τῶν ἀναισθήτων ξύλων τὸ χαίρειν ἐστὶ, πρέποι δ' ἂν μᾶλλον ἁγίοις τὸ χρῆμα, οὓς δὴ καὶ ἡσθῆναί φησιν ἐπιλάμψαντος τῷ κόσμῳ Χριστοῦ. Ἔκρινε γὰρ οὕτω τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, δικαιώσας μὲν ἐν πίστει τοὺς πεπλανημένους ποτὲ, καταδικάσας δὲ τὸν ὄλεθρον τοῦ Σατανᾶ καὶ τῶν ἀγγέλων αὐτοῦ.

VERS. 27, 28. *Qui dicit abysso : Desolaberis, et fluvios tuos exsiccabo. Qui dicit Cyro, ut sapiat, et omnes voluntates meas faciet. Qui dicit Jerusalem : Ædificaberis et domum sanctam meam fundabo.*

B *Ὁ λέγων τῇ ἀβύσσῳ· Ἐρημωθήσῃ, καὶ τοὺς ποταμούς σου ξηρανῶ. Ὁ λέγων Κύρῳ φρονεῖν, καὶ πάντα τὰ θελήματά μου ποιήσει. Ὁ λέγων Ἱερουσαλήμ· Οἰκοδομηθήσῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω.*

Abductus est Israel, ut dixi, processu temporis captivus : ceperunt enim Judæam Babylonii. Cum autem septuagesimus annus captis jam exactus esset, et clementiæ, scilicet divinæ, tempus tandem instaret, contra Chaldæos excitavit **599** Cyrum Cambysis patrem, qui Persarum et Medorum imperium administrabat. Is cepit eos, et solvit Judæos ac laxavit, doctus, prædixisse de eo Deum, cui servierunt, quod ejus præsidiis munitus et hostibus foret superior, et plane volentibus resistere formidabilis, quodque divinum ipse templum restauraret. Quod igitur omnino in vastitatem redigenda esset Babyloniorum regio, quantumvis populosissima, denotat, cum inquit : Ego sum qui dico abysso : Desolaberis. Abyssum enim hic innumerabilem Babyloniorum multitudinem nominavit : fluvios autem ejus, gentes quæ ad eam confluxerunt, quæ finitimæ erant, ac loca habebant confinia, ab ipsis in subsidium accersita. Familiare deinde est Scripturæ divinæ, fluminibus, et mari, et aquis, semper multas gentes comparare. Dixit siquidem divinus Psaltes de omnium nostrum Servatore Christo, et de multitudine gentium, quæ ejus voce ac verbis irretita et capta est : « Vox Domini super aquas, Deus gloriæ tonuit [11]. » Vox enim Domini, id est, evangelica et salutaris prædicatio, per omnes gentes pervagata est, quando tantum non in illas detonabat. Personuit enim velut per universum orbem terrarum sacra et salutaris prædicatio. Rursus scriptum est : « Elevaverunt flumina voces suas [12]. » Flumina enim hic nominari dicimus sanctos apostolos, quorum voces, id est, doctrinæ, factæ sunt passim omnibus conspicuæ. Dictum est autem et de ipsa Babylone et Ninive, quia piscina aquæ sint aquæ ejus. Erat igitur Deus qui dicit abysso : Desolaberis, et fluvios tuos exsiccabo. Ille item erat, qui dicit Cyro, ut sapiat, pro, ut omnia scienter admi-

Ἀπεκομίσθη μὲν αἰχμάλωτος ὁ Ἰσραὴλ, ὡς ἔφην, κατὰ καιρούς· εἷλον γὰρ τὴν Ἰουδαίων χώραν οἱ Βαβυλώνιοι. Ἐπειδὴ δὲ τοῖς ἁλοῦσιν ἑβδομηκοστὸν ἤδη ἔτος τετέλεστο, καὶ ἐνειστήκει λοιπὸν ὁ καιρὸς τῆς ἐν αὐτοῖς ἡμερότητος, δῆλον δὲ ὅτι τῆς παρὰ Θεοῦ, κατεξανέστησε τῶν Χαλδαίων, Περσῶν τε καὶ Μήδων διέποντα τὴν ἀρχὴν τὸν Καμβύσου Κῦρον, ὃς εἷλεν αὐτοὺς, ἀνῆκέ τε τοὺς Ἰουδαίους μεμαθηκὼς ὅτι Θεὸς ᾧ λελατρεύκασι προηγόρευσε περὶ αὐτοῦ, ὡς ταῖς παρ' αὐτοῦ νευρούμενος ἐπικουρίαις, καὶ C ἀμείνων ἔσται τῶν ἐχθρῶν, καὶ δυσάντητος κομιδῇ τοῖς ἐθέλουσιν ἀντανίστασθαι, καὶ ὅτι τὸν θεῖον αὐτὸς ἀναστήσει ναόν. Ὅτι τοίνυν ἔμελλεν ἐρημωθήσεσθαι παντελῶς, καίτοι πολυανδροῦσα λίαν, ἡ Βαβυλωνίων, κατασημαίνει λέγων· Ἐγώ εἰμι ὁ λέγων τῇ ἀβύσσῳ· Ἐρημωθήσῃ. Ἄβυσσον γὰρ ἐν τούτοις τὴν ἀριθμοῦ κρείττονα τῶν Βαβυλωνίων ὠνόμαζε πληθύν· ποταμοὺς δὲ αὐτῆς τὰ εἰς αὐτὴν ἐπιῤῥέοντα τῶν ἐθνῶν, ἢ περίοικά τε ἦν, καὶ τὰς ὁμόρους ἔχοντα χώρας ἐκέκλητο παρ' αὐτῶν εἰς ἐπικουρίαν. Ἔθος δὲ πάλιν τῇ θείᾳ Γραφῇ, ποταμοῖς καὶ θαλάσσαις, καὶ ὕδασι παρεικάζειν ἀεί πως τὰ πολλὰ τῶν ἐθνῶν. Ἔφη γοῦν ὁ θεσπέσιος Μελῳδὸς περί τε τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ τῆς τῶν ἐθνῶν πληθύος, ἣ D ταῖς αὐτοῦ σεσαγήνευται φωναῖς· « Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε Κύριος. » Ἡ γάρ τοι φωνὴ τοῦ Κυρίου, τοῦτ' ἔστι, τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα κατὰ πάντων ἠνέχθη τῶν ἐθνῶν, ὅτε μονονουχὶ κατεβρόντησεν αὐτῶν. Περιεκτύπησε γὰρ ὡς παρὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν, τὸ ἱερὸν καὶ σωτήριον κήρυγμα. Γέγραπται δὲ πάλιν· « Ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. » Ποταμοὺς γὰρ ἐν τούτοις ὠνομάσθαι φαμὲν τοὺς ἁγίους ἀποστόλους, ὧν αἱ φωναὶ, τοῦτ' ἔστιν, αἱ διδασκαλίαι γεγόνασι γνώριμοι τοῖς ἁπανταχοῦ. Εἴρηται δέ που καὶ περὶ αὐτῆς τῆς Βαβυλῶνος, καὶ Νινευὶ, ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς. Ἦν

[9] Isa. XLI, 19. [10] Psal. CIII, 16. [10*] Psal. XCVII, 8, 10. [11] Psal. XXVIII, 3. [12] Psal. XCIII, 3.

οὖν ἄρα ὁ Θεὸς ὁ λέγων τῇ ἀβύσσῳ· Ἐρημωθήσῃ, καὶ A τοὺς ποταμούς σου ξηρανῶ. Καὶ αὐτὸς ἦν ὁμοίως ὁ λέγων τῷ Κύρῳ φρονεῖν, ἀντὶ τοῦ μετὰ συνέσεως πάντα δρᾷν, καὶ πάντα τὰ αὐτῷ δοκοῦντα πληροῦν. Ταῦτα δὲ ἦν τὸ δίκην ἐκτίσαι τοὺς Βαβυλωνίους ὧν πεπράχασιν ὠμῶς καταδῃοῦντες τὴν Ἰουδαίαν, καὶ τὸν ἱερὸν καὶ θεῖον καταπιμπράντες ναὸν, ἀνεῖσθαί τε πρὸς τούτῳ τὸν Ἰσραὴλ, καὶ ἀναδείμασθαι τὸν οἶκον, ἤγουν θεμελιῶσαι. Τοῦτο γὰρ μᾶλλον εἰπεῖν ἀληθέστερον. Προστέταχε μὲν γὰρ ὁ Κῦρος, καὶ χρημάτων πόρους προστιθεὶς ἀναστῆναι τὸν νεὼν, καὶ κατεβάλετο μὲν ὑποβάθρας. Ἐπειδὴ δὲ μεταξὺ τὸν ἀνθρώπινον κατέλυσε βίον, κεκώλυται μὲν ἔκ τῆς τινων βασκανίας ἡ τῶν ἔργων ἐπίδοσις παρὰ τοῦ μετ' αὐτόν. Ἤχθη γε μὴν εἰς πέρας καὶ μετὰ τοῦτο B πάλιν, Θεοῦ κατανεύοντος. Ἔχομεν δὲ τῆς ἱστορίας τὸ ἀκριβὲς παρά γε τῇ θεοπνεύστῳ Γραφῇ· καὶ τὸ μακροὺς ἐν τούτοις τρίβειν ἑλέσθαι λόγους, περιττὸν οἶμαί που. Μὴ δὲ λεγέτωσάν τινες, ὡς ὁ θεῖος διέψευσται λόγος, ὅτι μὴ πάντα τὰ τῷ Θεῷ δοκοῦντα πεποίηκεν ὁ Κῦρος, ἄνθρωπος ὢν εἰδωλολάτρης. Τέτακται γὰρ τὸ, Πάντα τὰ θελήματά μου ποιήσει, κατ' ἐκεῖνά που πάντως ἅπερ εἰκὸς βούλεσθαι δηλοῦν Θεὸν, τὸ ἀλῶναί φημι τὴν Βαβυλωνίων, τὸ ἀπαλλαγῆναι δεσμῶν καὶ δουλείας τὸν Ἰσραὴλ, καὶ τὸ ἐγερθῆναι τὸν νεὼν, καὶ τὰς τῆς Ἰουδαίας οἰκοδομηθῆναι πόλεις.

nistret, omniaque quæ ipsi videntur exsequatur. Hæc sunt autem pœnam factorum a Babyloniis exigere, Judæam crudeliter populantibus, ac sacrosanctum et divinum templum incendentibus, et Israelem præterea relaxare et domum reficere sive fundare. Hoc enim dicere propius est veritati. Mandavit enim Cyrus, subsidio pecuniarum addito, templum excitare : et fundamenta quidem jecit. At postquam ex humana vita migravit, quorumdam invidia operum fastigium et accessio impediebatur ab eo qui ei **600** successit. Postea vero rursus ad finem adductum est, Deo annuente. Historiam satis accurate expositam habemus in Scriptura divinitus inspirata : et de his longos sermones conterere ac consumere, supervacaneum esse arbitror. Neque vero dicat aliquis, Dei verbum mentitum esse, propterea quod non omnia quæ Deus volebat fecit Cyrus cum idola coleret. Hoc enim adjungitur : Omnes meas voluntates exsequetur, nimirum ea, quæ verisimile est Deum velle commonstrare, occupare, inquam, regionem Babyloniorum, liberare Israelem vinculis et servitute, et templum erigere, et civitates Judææ ædificare.

Οὕτω λέγει Κύριος ὁ Θεὸς τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων διαῤῥήξω, ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται. Ἐγὼ ἔμπροσθεν αὐτοῦ πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ, θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συνθλάσω. Καὶ C *δώσω σοι θησαυροὺς σκοτεινοὺς, ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι, ἵνα γνῷς ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὁ καλῶν τὸ ὄνομά σου, Θεὸς Ἰσραήλ. Ἕνεκεν Ἰακὼβ τοῦ παιδός μου, καὶ Ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου, ἐγὼ καλέσω σε τῷ ὀνόματί μου* [Vulg. σου], *καὶ προσδέξομαί σε. Σὺ δὲ οὐκ ἔγνως με, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ Θεός. Οὐκ ᾔδεις δέ με. Ἵνα γνῶσιν οἱ ἀπὸ ἀνατολῶν ἡλίου, καὶ οἱ ἀπὸ δυσμῶν, ὅτι οὐκ ἔστι πλὴν ἐμοῦ. Ἐγὼ Κύριος ὁ Θεὸς, καὶ οὐκ ἔτι. Ἐγὼ ὁ κατασκευάσας φῶς, καὶ ποιήσας σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. Ἐγὼ Κύριος ὁ Θεὸς ποιῶν πάντα ταῦτα.*

CAP. XLV. VERS. 1-7. *Sic dicit Dominus Deus christo meo Cyro, cujus apprehendi dexteram, ut obediant ante eum gentes, et fortitudinem regum frangam, aperiam ante eum portas, et urbes non claudentur. Ego ante eum ibo, et montes complanabo, portas æneas conteram, et vectes ferreos confringam. Dabo tibi thesauros tenebrosos, abstrusos, inaspectabiles aperiam tibi, ut cognoscas quod ego sim Dominus Deus, vocans nomen tuum, Deus Israel. Propter Jacob puerum meum, et Israel electum meum, ego vocabo te nomine meo, et suscipiam te. Tu autem non cognovisti me, quia ego Dominus Deus, et non sit præter me alius Deus. Non novisti me. Ut cognoscant qui ab ortu solis, et qui ab occasu, quod non sit præter me. Ego Dominus Deus, et non est præter me. Ego qui fabricavi lucem et feci tenebras, faciens pacem, et creans mala. Ego Dominus Deus faciens omnia hæc.*

Ταύτῃ φαμὲν ἐντετυχηκέναι τῇ προφητείᾳ τὸν D ἀλκιμώτατον Κῦρον, ἡσθῆναί τε λίαν ἐπὶ τοῖς περὶ αὐτοῦ προηγορευμένοις παρὰ Θεοῦ, καὶ εἰς τοῦτο γνώμης ἐλθεῖν, ὥστε καὶ ἐν ταῖς ὑπὸ χεῖρα πόλεσί τε καὶ χώραις ποιήσασθαι τὴν ἀνάῤῥησιν τῆς τοῦ Θεοῦ δόξης, ὁμολογοῦντα σαφῶς, ὅτι μόνος αὐτὸς εἴη Θεὸς, καὶ τῶν ὅλων Κύριος, ὁ παρὰ τῶν Ἰουδαίων προσκυνούμενος. Καὶ σαφὴς μὲν λίαν, ὥς γε οἶμαι, τῆς προφητείας ἡ δύναμις, ἤτοι τῶν προφητικῶν προῤῥήσεων. Ἕκαστα δὲ τῶν εἰρημένων ἐπιδραμόντες, ὡς ἔνι τὸ δοκοῦν εἶναί φησιν [ἀφανὲς] ἔσθ' ὅτε καὶ ἄναντες, σαφὲς καταστήσωμεν. Χριστὸν μὲν γὰρ ὀνομάζει τὸν Κῦρον, καὶ οὐχ ὡς ἕνα τῶν ἁγίων, καθ' ὧν ἂν κέοιτο τοὔνομα, καταχρηστικῶς δὲ, ὡς ἀπό γε τοῦ κεχρίσθαι, ληφθὲν, ἀλλ' ὅτι τοὺς καλουμένους εἰς βασιλείας

Narrant hic, potentissimum Cyrum legisse hanc prophetiam, et impendio de his quæ a Deo de ipso prænuntiata sunt gavisum, et eo animo fuisse, ut divinæ gloriæ præconium in suis urbibus et regionibus promulgarit, confessusque fuerit diserte, illum solum esse Deum universorumque Dominum, qui a Judæis colebatur. Sed apertissima est, ut ego quidem arbitror, prophetiæ seu propheticarum prædictionum vis atque sententia. Singula dictorum percurramus, quoad licuerit, et quod interdum videbitur esse obscurum et præruptum, **601** explicemus. Christum enim nominat Cyrum, non quasi unum quempiam e sanctis, de quibus nomen illud accipi potest, abusive sumptum quasi ab eo quod unctus fuerit, sed quod in more positum fuerat, vocatos a Deo ad regnum,

etiamsi non fuerint sancti et colendi, oleo inungere. Inveniemus enim sanctos prophetas dixisse aliquibus eorum qui ad hoc destinati erant: « Unxit te Dominus regem super Israel [23]. » Christus igitur seu unctus erat Cyrus tanquam rex. Cæterum quod per Deum imperium obtinuerit, et ad hanc insignem gloriam subvectus fuerit, subinnuit, cum eum unctum nominarit, id est, unctione et suffragio suo ad regnum evocatum. Hinc ait se apprehendisse ejus dextram. Assumptionis autem illud signum esse potest evidens, siculi dictum est a sanctis in libro Psalmorum: « Tenuisti manum meam dexteram, in consilio tuo deduxisti me [24]. » Apprehendisse dicit dexteram ejus, ut auscultent ei gentes, id est, ut subjiciantur ei ac cedant, ac regum frangatur potentia. Septem enim dicunt esse reges uni præcellenti subditos apud Babylonios. Quod autem sua sponte urbes aperirentur, nihilque Cyro incursanti contra hostium robur omnino obstaret, demonstrat, inquiens: Urbes non claudentur. Coram te ibo, et montes complanabo, id est, omnia nuda et plana ut sint efficiam, ut nemo resistat. Sin vero quis occurrat, et tanquam mons copiis tuis obviam eat: etiam hunc solo æquabo, id est, miserum et humilem et imbellem reddam. Portas æneas conteram, et vectes ferreos confringam tibi, thesauros tenebrosos, reconditos, inaspectabiles aperiam tibi. Narrant Babylonios postquam capta esset civitas, in speluncis tenebrosis se abdidisse et obruisse, maxime qui inter illos essent cæteris insigniores: qui mortem pertimescentes, more serpentium omnem speluncam et petrarum scissuras ingressi, abscondebantur: sed latere non poterant. Quidam enim significabant hoc Cyro, qui faces accendi jussit, et e recessibus tenebrosis extrahi, qui timore aufugerant, sicque diris pœnis subjici. Alii vero dicunt, quod thesauros Babyloniorum sub terra abditos exinaniverit. Ita tu eris illustris et celebris, ut **602** scias quod ego sum Dominus Deus, qui vocat nomen tuum, Deus Israel, propter Jacob puerum meum, et Israelem electum meum. Vocavi enim te, inquit, ad hoc, ego Deus solus, et hac tam illustri te honoravi gloria, ut fias tu servo meo Israeli beneficus. Ego vocavi te, inquit, et gloria coronavi. Tu autem me non cognovisti, esse Dominum, et præter me non esse Deum. Nec me nosti; perinde est ac si diceret aperte: Non percepisti hanc talem gloriam a me, tanquam mercedem illustrium factorum, ad pietatem spectantium: sed ornavi te, etiam cum meam divinitatem non noveris et excellentiam, imo cum in numero quidem esses eorum qui me adorant; sed ut cognoscant, qui ab ortu solis et occasu sunt, non esse præter me alium. Quia enim volui, inquit, meos eripi, etiam per eos qui gloriam meam non norunt hanc rem conficiam, ut manifeste videant, qui in universa terra sunt, Deum præter me non esse. Sum enim Dominus exercituum, et omnis gentis ac generis Dominus, et quo-

A παρὰ Θεοῦ, κἂν εἰ μή τινες εἶεν ἅγιοι καὶ σεπτοὶ, ἐλαίῳ καταχρίειν ἔθος ἦν. Εὑρήσομεν γὰρ τοὺς ἁγίους προφήτας τισὶν εἰρηκότας τῶν εἰς τοῦτο παρενηνεγμένων, ὅτι « Ἔχρισέ σε Κύριος εἰς βασιλέα ἐπὶ Ἰσραήλ. » Χριστὸς οὖν ὁ Κῦρος ὡς βασιλεύς· πλὴν ὅτι διὰ Θεοῦ κεκράτηκεν, ἤρθη τε εἰς δόξαν ὑπερφυᾶ, δίδωσιν ἐννοεῖν, χριστὸν ὀνομάσας αὐτὸν, τουτ' ἔστι χρίσει καὶ ψήφῳ τῇ παρ' αὐτοῦ κεκλημένον εἰς βασιλείαν. Ταύτητοί φησιν, ὅτι κεκράτηκε τῆς δεξιᾶς αὐτοῦ. Ἀντιλήψεως δ' ἂν σημεῖον γένοιτο καὶ τοῦτο σαφὲς, κατά γε τὸ ὑπὸ τῶν ἁγίων ἐν βίβλῳ Ψαλμῶν εἰρημένον· « Ἐκράτησας τῆς χειρός μου, τῆς δεξιᾶς μου, ἐν τῇ βουλῇ σου ὡδήγησάς με. » Κεκρατηκέναι δέ φησι τῆς δεξιᾶς αὐτοῦ, ὥστε καὶ ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, τουτ' ἔστιν, ὑποταχθῆναι καὶ B ὑπείκειν αὐτῷ, διαῤῥαγῆναι δὲ τὴν βασιλέων ἰσχύν. Ἑπτὰ γὰρ εἶναί φασι βασιλέας ὑπὸ τὸν ἕνα καὶ προὔχοντα παρὰ τοῖς Βαβυλωνίοις. Ὅτι δὲ ἔμελλον ἀνοίγνυσθαι μὲν αὐτομάτως αἱ πόλεις, διακωλύσαι δὲ παντελῶς οὐδὲν κατατρέχοντα τὸν Κῦρον τῆς τῶν πολεμίων ἰσχύος, διαδείκνυσι λέγων· Πόλεις οὐ συγκλεισθήσονται. Ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ, τουτ' ἔστιν, ἅπαντά σοι ψιλὰ, καὶ εὐήλατα γενέσθαι παρασκευάσω, ὡς μηδὲν εἶναι τὸ ἀντιστατοῦν. Ἀλλὰ κἂν εἴ τις ἐπέλθοι, καὶ οἷον ὄρος ταῖς σαῖς δυνάμεσιν ὑπαντήσειε, καὶ τοῦτο ὁμαλιῶ, τουτ' ἔστιν, οἰκτρὸν ἀποφανῶ, καὶ χαμαιῤῥιφὲς, καὶ ἄναλκες. Θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συνθλάσω, καὶ δώσω σοι θησαυροὺς ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι. Φασὶ τοὺς Βαβυλωνίους C μετὰ τὸ ἁλῶναι τὴν πόλιν, σπηλαίοις ἑαυτοὺς ἐγκαταχῶσαι σκοτεινοῖς, μάλιστα δὲ τοὺς ἐν αὐτοῖς ὄντας περιφανεστέρους τῶν ἄλλων, οἳ δεδιότες τὸν θάνατον, ὄφεων δίκην ἐν παντὶ σπηλαίῳ καὶ σχισμαῖς πετρῶν καταδύντες ἐκρύπτοντο, οὐ μὴν ἰσχῦσαι διαλαθεῖν. Κατεσημαίνοντο γὰρ τούτῳ [ἴσ. τοῦτο] τῷ Κύρῳ τινές· ὁ δὲ καὶ δᾷδας ἀναφθῆναι προστέταχε, καὶ ἐκ μυχῶν σκοτεινῶν ἀνορύττεσθαι τοὺς πεφοβημένους, οὕτω τε πικραῖς ὑποθεῖναι δίκαις. Ἕτεροι δέ φασιν ὅτι τοὺς Βαβυλωνίων ἐκένωσε θησαυροὺς ὑπὸ γῆν ὄντας καὶ κεκρυμμένους. Ἔσῃ δὴ γοῦν περιφανὴς οὕτω καὶ ἀοίδιμος, ἵνα γνῷς ὅτι ἐγὼ Κύριος ὁ Θεὸς, ὁ καλῶν τὸ ὄνομά σου, Θεὸς Ἰσραὴλ, ἕνεκεν Ἰακὼβ τοῦ παιδός μου, καὶ Ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου. Κέ- D κληκα γάρ σε πρὸς τοῦτο, φησὶν, ἐγὼ Θεὸς μόνος, καὶ τετίμηκά σε ταῖς οὕτω λαμπραῖς εὐκλείαις, ἵνα εὖ πάθοι παρὰ σοῦ ἐμὸς ὢν οἰκέτης ὁ Ἰσραήλ. Ἐγὼ μὲν κέκληκά σε, φησὶ, καὶ κατεστεφάνωσα ταῖς εὐκλείαις. Σὺ δὲ οὐκ ἔγνως με ὅτι ἐγώ εἰμι Κύριος, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ Θεὸς, καὶ οὐκ ᾔδεις με· ὅμοιον ὡς εἰ λέγοι σαφῶς· Οὐκ ἀντέκτισιν λαμπρῶν ἀνδραγαθημάτων τῶν ὁρώντων εἰς εὐσέβειαν ἐκομίσω παρ' ἐμοῦ τὴν τοιαύτην δόξαν· τετίμηκα δέ σε, καίτοι μὴ εἰδότα τὴν ἐμὴν θεότητα καὶ ὑπεροχὴν, ἀλλ' οὐδ' ἐναρίθμιον ὄντα τοῖς προσκυνοῦσί με, ἀλλ' ἵνα γνῶσιν οἱ ἀπὸ ἀνατολῶν ἡλίου, καὶ οἱ ἀπὸ δυσμῶν, ὅτι οὐκ ἔστι πλὴν ἐμοῦ. Εἰ γὰρ ἐλοίμην

[23] Psal. XLIV, 8. [24] Psal. LXXII, 24.

φησὶν, ἐκρύεσθαι τοὺς ἐμοὺς, κα οια τῶν οὐκ εἰδό-:ων τὴν δόξαν τὴν ἐμὴν ἀποπερανῶ τὸ χρῆμα, ὑπέρ γε τοῦ σαφῶς εἰδέναι τοὺς ἀνὰ πᾶσαν ὄν ιας τὴν γῆν, ὅτι Θεὸς οὐκ ἔστι πλὴν ἐμοῦ. Εἰμὶ γὰρ τῶν δυνάμεων Κύριος, καὶ παντὸς ἔθνους, καὶ γένους Δεσπότης· καὶ ὅποιπερ ἂν θελήσαιμι, τὰς τῶν ἐπὶ γῆς ἀποφέρω καρδίας, ὥστε τῶν ἐμῶν θελημάτων ὑπουργοὺς ἀναφαίνεσθαι καὶ τοὺς οὐκ ὄντας ἐμούς. Ἐγὼ τοίνυν εἰμὶ Κύριος ὁ Θεὸς, ὁ κατασκευάσας φῶς καὶ ποιήσας σκότος, τοῦτ' ἔστιν, ἡμέραν τε καὶ νύκτα, ἤγουν φῶς μὲν τοῖς λελυτρωμένοις, σκότος δὲ τοῖς πεπορθημένοις. Οἱ μὲν γὰρ ἔχαιρον, ὡς ἀπαλλαττόμενοι τῶν δεσμῶν, οἱ δὲ ἦσαν ἐν ἀφύκτοις συμφοραῖς. Ἐγώ εἰμι ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. Ἐκλήψῃ καὶ τοῦτο κατὰ τὴν ἴσην διάνοιαν, ὡς ἔφην, ἀρτίως· Εἰρήνην μὲν τοῖς λελυτρωμένοις, κακὰ δὲ, τοῦτ' ἔστι, κακωτικὰ, ἤτοι πάσης κακώσεως ἐμποιητικὰ, τοῖς ὠμοῖς καὶ ἀγρίοις, τοῖς ἐπενηνεγμένοις τῷ Ἰσραήλ. Ὅτι γὰρ λελύπηκε τὸ χρῆμα Θεὸν, σαφὲς ἂν γένοιτο, λέγοντος αὐτοῦ διὰ φωνῆς ἀγγέλου τῷ προφήτῃ Ζαχαρίᾳ· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ' ὧν μὲν ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Καὶ μὴν καὶ ὡς πρὸς αὐτῶν τῶν Βαβυλωνίων· « Ἐγὼ δέδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. » Ὅτι δὲ κατὰ βούλησιν Θεοῦ ταῖς Βαβυλωνίων ἀλαζονείαις ἐπεπήδησεν ὁ Κῦρος, θρασύς τε καὶ παναλκὴς, καὶ τῇ πρεπούσῃ τοῖς πάσχουσιν ὠμότητι χρώμενος, εἰσόμεθα, λέγοντος αὐτοῦ, διὰ τῆς Ἱερεμίου φωνῆς, ὡς πρός γε τὸν Κῦρον· « Πικρῶς ἐπίβηθι ἐπ' αὐτὴν, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ ἐκδίκησον μάχαιραν, καὶ ἀφάνισον, λέγει Κύριος, καὶ ποίει κατὰ πάντα ὅσα ἐντέλλομαί σοι. » Καὶ πρὸς τούτοις ἔτι· « Ἤνοιξε Κύριος τὸν θησαυρὸν αὐτοῦ, καὶ ἐξήνεγκε τὰ σκεύη τῆς ὀργῆς αὐτοῦ, ὅτι ἔργον Κυρίῳ ἐν γῇ Χαλδαίων, ὅτι ἐληλύθασιν οἱ καιροὶ αὐτῆς. Ἀνοίξατε τὰς ἀποθήκας αὐτῆς, ἐρευνήσατε αὐτὴν ὡς σπήλαιον, καὶ ἐξολοθρεύσατε αὐτήν. Μὴ γενέσθω αὐτῆς κατάλειμμα, ἀναξηράνατε πάντας τοὺς καρποὺς αὐτῆς, καταβήτωσαν εἰς σφαγήν. Οὐαὶ αὐτοῖς, ὅτι ἥκει ἡ ἡμέρα αὐτῶν, καὶ καιρὸς ἐκδικήσεως αὐτῶν. » Ἔφη δέ που καὶ αὐτὸς ὁ προφήτης Ἡσαΐας, ὡς ἐκ προσώπου τοῦ Θεοῦ πρὸς Βαβυλωνίους· « Ἰδοὺ ἐπεγερῶ ὑμῖν τοὺς Μήδους, οἳ οὐ λογίζονται ἀργύριον, οὐδὲ χρυσίου χρείαν ἔχουσι. Τοξεύματα νεανίσκων συντρίψουσι, καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν, οὐδ' ἐπὶ τοῖς τέκνοις σου φείσονται οἱ ὀφθαλμοὶ αὐτῶν, » δηλονότι τῶν Μήδων.

cunque voluero, corda eorum qui in terra sunt, inclino, ut etiamsi mei non sunt, voluntates tamen meas exsequantur. Ego igitur sum Dominus Deus, qui fabricavi lucem, et feci tenebras, id est, diem et noctem, vel lucem redemptis, tenebras perditis. Illi enim, velut liberati vinculis, gaudebant : hi autem in miseria indeclinabili versabantur. Ego sum qui constituo pacem, et creo mala. Et hoc accipies eo, quem jam dixi, sensu : Pacem redemptis, mala vero, id est, male affligentia, vel omnis malæ afflictionis efficientia, crudelibus et immanibus, qui invaserunt Israelem. Nam quod offenderit Deum hæc res, perspicuum esse potest, cum dicat voce angeli, prophetæ Zachariæ : « Æmulatus sum Jerusalem et Sion æmulatione magna, et furore magno irascor gentibus simul conspirantibus, pro eo quod ego iratus parum fuerim, ipsæ autem conspiraverunt ad mala [14*]. » Quin et velut de ipsis Babyloniis : « Ego tradidi eos in manus tuas : tu autem non exhibuisti illis misericordiam [15]. » Quod autem ex voluntate Dei Babyloniorum insolentiæ insultarit Cyrus, et audax, et fortissimus, et digna his qui supplicio affecti sunt usus crudelitate : **603** intelligemus, ipso dicente velut ad Cyrum, voce Jeremiæ : « Acriter invade eam, et habitantes in ea. Ulciscere gladio, et vasta, ait Dominus, et fac juxta omnia quæcunque præcipio tibi [15*]. » Et ad hæc iterum : « Aperuit Dominus thesaurum ejus, et protulit vasa iræ suæ, quia opus Domino in terra Chaldæorum, quoniam venerunt tempora ejus. Aperite apothecas ejus, scrutamini illam tanquam speluncam, et delete eam. Ne sint illius reliquiæ. Exsiccate omnes fructus ejus, et descendant in occisionem. Væ illis, quia venit dies eorum, et tempus vindictæ eorum [16]. » Dixit etiam ipse propheta Isaias, velut in persona Dei, ad Babylonios : « Ecce excitabo contra vos Medos, qui non rationem habent argenti, nec auro opus habent. Arcus juvenum conterent, et filiorum vestrorum misericordiam non capient, nec filiis tuis parcent oculi eorum [16*], » nimirum Medorum.

Εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην· ἀνατειλάτω ἡ γῆ, καὶ βλαστησάτω ἔλεος, καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα.

VERS. 8. *Lætetur cœlum desuper, et nubes spargant justitiam, aperiatur terra, et germinet misericordia, et justitia exoriatur simul.*

Ἔθος καὶ μελέτη πλεισταχοῦ τῇ θεοπνεύστῳ Γραφῇ διεξάγειν τοὺς λόγους ἐκ τῶν καθ' ἕκαστά τε καὶ ἀνὰ μέρος ἐπί τισι γεγονότων εἰς τὸ καθόλου καὶ ἐπὶ πάντας, καὶ καθάπερ ἐξ ἐνεργοῦς εἰκόνος τῶν ἱστορικῶς πεπραγμένων ἀναβιβάζειν ἀστείως τῶν παιδευομένων τὸν νοῦν εἰς θεωρίας μυστικωτέρας. Ὃ δὴ καὶ ἐπὶ τῶν ἐν χερσὶ στίχων ἔνεστιν ἰδεῖν. Μακρὸς μὲν γὰρ δεδαπάνηται λόγος διὰ τῶν ἀνόπιν

Solemne ac familiare est divinitus aspiratæ Scripturæ, sæpenumero sermonem ab his quæ sigillatim et particulatim de aliquibus facta sunt, ad genus universum et ad omnes producere, et velut a luculenta rerum historice gestarum imagine, mentem eorum qui instituuntur, ad considerationes magis arcanas ac mysticas scite traducere. Quod etiam in his versibus qui præ manibus sunt, videre

[14*] Zachar. I, 14, 15. [15] Isa. XLVII, 6. [15*] Jer. I, 17. [16] Jer. L, 25, 27. [16*] Jer. LI, 1-3.

licet. Longa enim oratio in superioribus consumpta est de Cyro Persarum et Medorum principe, ut qui Babylonicam regionem devastarit, et vi eam deleverit, Israelem a servitute inibi et captivitatis vinculis relaxarit, templum Hierosolymitanum fundarit, et contra Chaldæos, Deo ipsum exacuente, et portas æneas ipsi aperiente, et vectes ferreos confringente, excitatus fuerit. Erat autem hæc narratio particularis. Soli enim ex sanguine Israelitico erant in tranquillitate collocandi, et a laboribus captivitatis liberandi. Deinceps vero sententiarum vim transfert jam ad ipsum Emmanuelem, qui exhibitus erat a Deo et Patre, ut captivis remissionem prædicaret, et cæcis visum, **604** ut peccatorum suorum catenis inevitabiliter constrictos malo eriperet, et incolas terræ, a diaboli tyrannide liberatos, rursus ad se recurrere faceret, itaque per se Deo et Patri adduceret. Factus enim est sequester Dei et hominum; et per ipsum in uno spiritu Patri reconciliamur, et ipse est pax nostra [16**], secundum Scripturas : ipse divinum, hoc est, suum templum restauravit, id est, Ecclesiam. Ipse enim sibi eam repræsentavit virginem puram, non maculam, aut rugam, aut tale quidpiam habentem, sed potius sanctam et intemeratam. Itaque perspicere licet optime in Cyro ejusque factis, tanquam in imagine, divina ac præclara beneficia universæ terræ habitatoribus divinitus donata. Hic est itaque scopus propositorum verborum. Singula autem, ordine prout scripta sunt, quoad licet interpretabimur. Lætetur ergo cœlum sursum, id est, qui in supera civitate versantur, et illustre atque admirabile tenent habitaculum, angeli et archangeli, et qui ultra illos sunt, et throni, et dominationes, et potestates rationis participes, et supremarum sedium astites et apparitores. Dicimus autem causam hilaritatis fuisse etiam cœlestibus spiritibus conversionem terræ incolarum errantium ad Deum, per Christum, inquam, omnium nostrum Servatorem, et cæcorum receptum visum, et ut semel dicam, perditorum salutem. Si enim gaudent de uno peccatore resipiscente [17], qui fas est ambigere, gaudere eos et lætari, cum orbem terrarum servatum conspicantur? Itaque inquit : Cœlum lætetur supra, et spargant nubes justitiam. Nubes autem intelligibiles esse dicimus supernas potestates, a quibus spirituales consolationes pluviæ instar demittuntur, et in corda destillant credentium : juxta id quod alibi aperte dictum est de Israelitis, quasi de vite : Et nubibus mandabo, ne depluant in eos pluviam [18] : vel etiam ipsos sanctos mystagogos, et eos qui sunt in terra, quorum primi et primitiæ fuerunt divini discipuli, qui universam terram peragrantes, divinum et sacrosanctum sermonem dissiparunt, et quasi siticulosam quampiam et infructuosam terram, quotquot ubique sunt, exhilarantes, et quasi intelligibiliter irrigantes, **605** spiritualis feracitatis causa

A περὶ Κύρου, τοῦ Περσῶν τε καὶ Μήδων ἐξάρχοντος, ὡς καταδῃώσαντος μὲν τὴν Βαβυλωνίων, καὶ κατὰ κράτος αὐτὴν ᾑρηκότος, θητείας δὲ τῆς αὐτόσε, καὶ τῶν τῆς αἰχμαλωσίας δεσμῶν ἀνέντος τὸν Ἰσραήλ· θεμελιώσαντος δὲ καὶ τὸν ἐν τοῖς Ἱεροσολύμοις νεὼν, κατεγήγερται δὲ καὶ ὅτι τῆς Χαλδαίων καὶ Θεοῦ καταθήγοντος, καὶ ἀνοιγνύντος αὐτῷ θύρας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνθραύοντος. Ἀλλ' ἦν τοῦτο διήγημα μερικόν. Ὑπῆρξε γὰρ μόνοις τὸ διευθυμεῖσθαι δεῖν, καὶ τῶν τῆς αἰχμαλωσίας ἀπαλλάττεσθαι πόνων, τοὺς ἐξ αἵματος Ἰσραήλ. Μεθίστησι δὲ λοιπὸν τῶν ἐννοιῶν τὴν δύναμιν ἐπ' αὐτὸν ἤδη τὸν Ἐμμανουὴλ, ὃς ἀνεδείχθη παρὰ Θεοῦ καὶ Πατρὸς, ἵνα κηρύξῃ μὲν αἰχμαλώτοις ἄφεσιν, τυφλοῖς ἀνάβλεψιν, ἵνα τοὺς ταῖς τῶν ἰδίων ἁμαρτημάτων
B σειραῖς ἀφύκτως κατεσφιγμένους ἐξέληται τοῦ κακοῦ, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἐλευθέρους ἀποφήνας, τοὺς ἐπὶ τῆς γῆς παλινδρομῆσαι παρασκευάσῃ πρὸς ἑαυτὸν, προσαγάγῃ τε οὕτω δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί. Γέγονε γὰρ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, καὶ δι' αὐτοῦ τὴν καταλλαγὴν ἐσχήκαμεν ἐν ἑνὶ πνεύματι πρὸς τὸν Πατέρα, καὶ αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, κατὰ τὰς Γραφάς· αὐτὸς τὸν θεῖον ἤτοι τὸν ἑαυτοῦ ναὸν ἀνεδείματο, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν. Αὐτὸς γὰρ αὐτὴν ἑαυτῷ παρέστησεν παρθένον ἁγνὴν, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἁγίαν δὲ μᾶλλον, καὶ ἄμωμον. Οὐκοῦν ὡς ἐν εἰκόνι τῷ Κύρῳ καὶ τοῖς παρ' αὐτοῦ γεγονόσι κατίδοι τις ἂν εὖ μάλα τὰ τοῖς ἀνὰ πᾶσαν τὴν γῆν δεδωρημένα
C παρὰ Θεοῦ θεοπρεπῆ κατορθώματα. Οὗτος μὲν οὖν τῶν προκειμένων ἡμῖν ὁ σκοπός. Ἕκαστα δὲ κατὰ μέρος τῶν γεγραμμένων ὡς ἔνι διερμηνεύσομεν. Εὐφραινέσθω τοίνυν, φησὶν, ὁ οὐρανὸς ἄνωθεν, τοῦτ' ἔστιν, οἱ τὴν ἄνω τρίβοντες πόλιν, καὶ τὸ λαμπρὸν καὶ ἀξιάγαστον ἔχοντες ἐνδιαίτημα, ἄγγελοί τε καὶ ἀρχάγγελοι, καὶ τὰ τούτων ἐπέκεινα, θρόνοι τε καὶ ἐξουσίαι, καὶ δυνάμεις λογικαὶ, καὶ τῶν ἀνωτάτω θώκων οἱ παραστάται. Φαμὲν δὲ ὅτι θυμηδίας πρόφασις καὶ αὐτοῖς δὴ γέγονε τοῖς ἐν οὐρανῷ πατράσιν, ἡ τῶν πεπλανημένων ἐπὶ τῆς γῆς ἐπιστροφὴ πρὸς τὸν Θεὸν, ἡ διά γέ φημι τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ἡ τυφλῶν ἀνάβλεψις, καὶ ἅπαξ ἁπλῶς τῶν ἀπολωλότων ἡ σωτηρία. Εἰ γὰρ χαίρουσιν ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, πῶς ἐνδοιάσαι
D θέμις, ὡς ἥδονταί τε καὶ κατευφραίνονται σεσωσμένην ὁρῶντες τὴν ὑπ' οὐρανόν; Οὐκοῦν ἄνωθεν μὲν ὁ οὐρανὸς εὐφραινέσθω, φησὶ, ῥανάτωσαν δὲ καὶ αἱ νεφέλαι δικαιοσύνην. Νεφέλας δὲ εἶναί φαμεν νοητὰς τὰς ἄνω δυνάμεις, δι' ὧν αἱ διὰ τοῦ πνεύματος παρακλήσεις ὑετοῦ καθίενται δίκην, καὶ ταῖς τῶν πιστευόντων καρδίαις ἐνστάζουσι, κατά γε τὸ ἑτέρωθί που σαφῶς εἰρημένον ὡς περὶ ἀμπέλου περὶ τῶν ἐξ Ἰσραήλ· Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι ἐπ' αὐτοὺς ὑετόν· ἤγουν καὶ αὐτοὺς τοὺς ἁγίους μυσταγωγοὺς, καὶ τοὺς ὄντας ἐπὶ τῆς γῆς, ὧν καὶ πρῶτοι καὶ ἀπαρχὴ γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, οἳ δὴ ἅπασαν περιφοιτῶντες τὴν γῆν, τὸν

[16**] Ephes. II, 14. [17] Luc. XV, 47. [18] Isa. V, 6.

θεῖόν τε καὶ ἱερὸν κατεσκέδασαν λόγον, καὶ καθάπερ A τινὰ διψάδα καὶ ἄκαρπον γῆν, τοὺς ἁπανταχοῦ κατευφραίνοντες, καὶ οἷον κατάρδοντες νοητῶς, πρόφασις αὐτοῖς εὐκαρπίας γεγόνασι τῆς πνευματικῆς. Οὐκοῦν Ἰουδαίοις ἅτε μὲν, ἅτε δὲ καὶ γεγονόσι κυριοκτόνοις, καὶ εἰς αὐτὸν παροινήσασι τὸν τῶν νοητῶν ναμάτων δοτῆρα Χριστὸν, ἐκέλευε Θεὸς ταῖς νεφέλαις τὸ μὴ διδόναι τοὺς ὑετοὺς, τοῖς γε μὴν εἰς αὐτὸν πιστεύουσι καθεῖναι προστάττονται, καὶ κατάρδειν ἀμφιλαφῶς τὰς τῶν προσιόντων αὐτῷ καρδίας. « Ὑετῶν γε μὴν καθιεμένων, ἀνατειλάτω, φησὶν, ἡ γῆ, καὶ βλαστησάτω ἔλεος, καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα. » Ἦν γὰρ ἀναγκαῖον τῶν νοητῶν νεφελῶν, ὡς ἔφην, τοῖς εἰς δικαιοσύνην μαθήμασιν ἀρδευουσῶν τὴν ὑπ' οὐρανὸν, καθάπερ ἐκ σπερμάτων ἀγαθῶν, ἀναφῆναί τε καὶ ἀναβλαστῆσαι καρποὺς ἀγα- B θούς. Ὥσπερ γὰρ κατάρχοντος ἐπὶ τῆς γῆς τοῦ τῆς ἁμαρτίας εὑρετοῦ, καὶ διὰ τῶν ἐν κόσμῳ σοφῶν, μυσαρά τε καὶ βέβηλα πανταχοῦ καθιέντος σπέρματα, οὐδεὶς ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνὸς, ἀλλὰ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, καὶ καρπῶν ἐπιεικείας ἔρημος ἦν ἡ σύμπασα γῆ, οὔπω τῶν τῆς δικαιοσύνης μαθημάτων, ὑετῶν δίκην, καθιεμένων τοῖς ἁπανταχοῦ· λοιπὸν, ἦν ἀκόλουθον τοὺς τῆς εἰς Θεὸν εὐσεβείας εἶναι καρπούς· ἔλεος δὲ εἶναί φαμεν τὴν ἀγάπην, ἥτις ἐστὶ τοῦ νόμου τὸ πλήρωμα, συμπαρομαρτούσης αὐτῇ καὶ δικαιοσύνης, καὶ πάντως που τῆς εὐαγγελικῆς· ἧς καὶ βραβευτὴς καὶ διδάσκαλος αὐτὸς ἡμῖν γέγονεν ὁ Χριστός. Φαίη δ' ἄν τις, ἔλεος καὶ δικαιοσύνην τὴν ἐκ γῆς ἀνίσχουσαν, ἢ καὶ C βλαστήσασαν, αὐτὸν εἶναι τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Γέγονε γὰρ ἡμῖν παρὰ Θεοῦ καὶ Πατρὸς ἔλεος καὶ δικαιοσύνη· εἴπερ ἐστὶν ἀληθὲς ὡς ἠλεήθημεν ἐν αὐτῷ, καὶ δεδικαιώμεθα, τῶν ἀρχαίων αἰτιαμάτων λαβόντες τὴν ἄφεσιν, ἤγουν ὅτι παρ' αὐτοῦ δεδέγμεθα τὴν εἰς λῆξιν ἀγαθοῦ παντὸς ἀνακομίσαι δυναμένην ἡμᾶς δικαιοσύνην, δι' ἧς καὶ σεσώσμεθα. Εἰ δὲ ἡ γῆ τὴν δικαιοσύνην ἀναφῦναι προστέτακται, χαλεπαινέτω μηδεὶς, ἐννοήσας ὅτι καὶ ὁ Ψαλμῳδός πού φησι περὶ Θεοῦ καὶ Πατρὸς, καὶ αὐτοῦ δὲ τοῦ Ἐμμανουήλ· « Εἰργάσατο δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. » Οὐ γὰρ ἄνωθεν καὶ ἐξ οὐρανοῦ κατεκόμισεν ἡμῖν τὴν ἑαυτοῦ σάρκα Χριστὸς, γεγένηται δὲ μᾶλλον κατὰ σάρκα ἐκ γυναικὸς, ἣ καὶ μία γέγονε τῶν ἐπὶ γῆς. Ὅταν ουν λέγηται γῆς γενέσθαι καρπὸς καὶ βλάστημα, συνήσεις, ὡς ἔφην, ὅτι γέγονε κατὰ σάρκα ἐκ γυναικὸς ληφθείσης εἰς τοῦτο πρὸς ὑπουργίαν, καίτοι μιᾶς οὔσης τῶν ἀπὸ τῆς γῆς.

in illis exstiterunt. Itaque Judæis, ut qui dominicidæ fuerint, et in Christum ipsum datorem rivorum sub intelligentiam cadentium debacchati sunt, mandat nubibus Deus, ne dent pluvias : at jubentur demittere in ipsum credentibus, et largiter madefacere corda accedentium. « Pluviis demissis, aperiatur, inquit, terra, et germinet misericordia, et justitia simul exoriatur [18]. » Erat siquidem opus nubibus sub intelligentiam cadentibus, ut dixi, quæ justitiæ præceptis ac institutis orbem irrigarent : ut velut ex seminibus bonis excrescerent boni fructus et efflorescerent. Imperium enim terræ velut obtinente peccati inventore, et per mundi sapientes passim exsecranda et profana semina demittente, cum nemo esset qui bonitatem exerceret, ne ad unum usque, sed omnes declinassent simul, et inutiles facti fuissent, omnisque terra vacua esset probitatis fructibus, justitiæ præceptis ac disciplina, instar pluviæ nondum uspiam demissa : consentaneum deinceps erat, fructus esse pietatis erga Deum. Misericordiam esse dicimus, charitatem quæ est legis complementum, comitante simul justitia evangelica, cujus dispensator et doctor factus est nobis ipse Christus. Potest etiam quis dicere misericordiam et justitiam, ex terra enascentem et germinantem, ipsum Dominum nostrum Jesum Christum. Factus est enim nobis a Deo et Patre misericordia et justitia, siquidem verum est, no s in ipso misericordiam consecutos, et accepta remissione pristinorum scelerum justificatos, et ab illo justitiam, quæ nos in sortem omnium bonorum potest adducere, et per quam servamur, accepisse. Si autem jubeatur terra justitiam germinare, ne quis offendatur, cogitans, etiam Psalmistam de Deo et Patre, et ipso Emmanuele dicere : « Operatus est justitiam in medio terræ [19]. » Non enim e supernis et e cœlo nobis carnem suam Christus deportavit, sed potius natus est secundum carnem de muliere, quæ est una ex his quæ sunt in terra. Quando igitur dicitur terræ esse fructus et germen, intelliges, ut dixi, natum secundum carnem de muliere, quæ ad hoc ministerium assumpta est, licet ex terrestribus illa una fuerit.

Ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὁ κτίσας σε· ποῖον βελτίονα κατεσκεύασα ὡς πηλὸν κεραμέως; D

Τὴν αἰτίαν ὥσπερ ἀποδίδωσιν ἐν τούτοις, τοῦ καὶ Θεὸν ὄντα κατὰ φύσιν Υἱὸν, κενῶσαι μὲν ἑαυτὸν, ἐλέσθαι δὲ καὶ παθεῖν ὑπὲρ ἡμῶν, καὶ τῆς οὕτω μεγάλης ἀξιῶσαι φειδοῦς τοὺς ὄντας ἐπὶ τῆς γῆς, ὡς ἀντάλλαγμα τὴν ἰδίαν προέσθαι ψυχήν· μᾶλλον δὲ καὶ ἀνασχέσθαι λαβεῖν τὴν τοῦ δούλου μορφὴν, καὶ τῆς ἀνωτάτω δόξης ἀλλάξασθαι τῆς ἀνθρώπου φύσεως τὸ μικροπρεπές. Ταύτητοι φησὶν, ὅτι Ἐγώ εἰμι, νῦν ἐκληπτέον, ἀντὶ τοῦ, ὑφέστηκα καὶ ζῶ,

606 *Ego sum Dominus Deus, qui creavi te : quem meliorem paravi ut lutum figuli?*

Causam veluti reddit his verbis, quamobrem Deus cum sit, natura Filius, seipsum exinaniverit, volueritque pro nobis pati, et terræ incolas tanta dignari misericordia, ut pretium velut redemptionis animam suam profuderit, imo et servi formam accipere, et summam gloriam humanæ naturæ parvitate commutare sustinuerit. Hinc ait : Ego sum, quod nunc sumendum est pro, subsisto et vivo, Deus exsistens verus, et exercituum Dominus, et

[18] Isa. v, 7. [19] Psal. LXXIII, 12.

producens in ortum omnia, et mortem non efficiens, sed ad incorruptionem potius creans omnia. Dein hominis naturam honore afficiens, et quoniam nullum in terris animal ei ulla ratione sit æquiparandum, Quem, inquit, meliorem paravi ut lutum figuli? formati enim ab ipso sumus, pulvere sumpto de terra, et efformato instar figuli pulcherrime. Sed non sistit hic humanæ naturæ dignitas, sed majus in nobis est munus et donum artificii divini: ut qui ad imaginem et similitudinem ipsius effecti sumus, et locupletati ipsius majestatis charactere, intelligibiliter coruscante in animis nostris, tametsi carne tenus sumus terra et ex terra. Quare non contemnendum est, sed admirandum in terra animal, homo in quo sic Deus gloriatur. Dixit quippe ad patientissimum Jobum, cum sua magnifica opera declarat: « Num tu, accepto terræ luto, animal formasti, et eloquens illud locasti in terra [19*]? » Psallit etiam divinus David: « Domine, quid est homo, quod memor es ejus, aut filius hominis, quod invisis eum [20]? » Deinde humanæ naturæ excellentiam narrat, inquiens: « Minorasti eum paulo minus ab angelis, gloria et honore coronasti eum, et præfecisti eum operibus manuum tuarum. Omnia subjecisti pedibus ejus [21]. » Sapientissimus enim Paulus propositorum versuum aliquot Christo accommodavit. Dici autem potest convenienter et de omni homine nostræ conditionis; nihil enim falsi inest.

A Θεὸς ὑπάρχων ἀληθινὸς, καὶ τῶν δυνάμεων Κύριος, καὶ παρενεγκὼν εἰς τὸ εἶναι τὰ πάντα, καὶ θάνατον οὐ ποιήσας, κτίσας δὲ μᾶλλον ἐπὶ ἀφθαρσίᾳ τὰ πάντα. Εἶτα τιμῶν τὴν ἀνθρώπου φύσιν, καὶ ὅτι τῶν ἐπὶ γῆς ἁπάντων ζώων ἰσοστατήσειεν ἂν αὐτῇ παντελῶς οὐδὲν. Ποῖον, φησὶ, βέλτιον κατεσκεύασα ὡς πηλὸν κεραμέως; πεπλάσμεθα γὰρ παρ' αὐτοῦ χοῦν λαβόντος ἀπὸ τῆς γῆς, καὶ κεραμέως δίκην εὖ μάλα διαμορφώσαντος. Ἀλλ' οὐ μέχρι τούτων τῆς ἀνθρώπου φύσεως τὸ ἀξίωμα, ἀλλά τι καὶ μεῖζον ἐν ἡμῖν ξένιόν τε καὶ δῶρον εὐτεχνίας Θεοῦ. Πεποιήμεθα γὰρ κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ, καὶ τῆς αὐτοῦ δόξης τὸν χαρακτῆρα πεπλουτήκαμεν νοητῶς ἐναστράπτοντα ταῖς ἡμετέραις ψυχαῖς, εἰκαὶ ἐσμεν κατὰ σάρκα γῆ καὶ ἐκ γῆς. Οὐκοῦν οὐκ εὐκαταφρό- B νητον, μᾶλλον δὲ καὶ ἀξιάγαστον ἐπὶ γῆς ζῶον ὁ ἄνθρωπος· οὕτω τε Θεὸς ἐπ' αὐτῷ σεμνύνεται. Καὶ γοῦν ἔφη πρὸς τὸν τληπαθέστατον Ἰὼβ, τὰς ἑαυτοῦ μεγαλουργίας ἐναργεῖς καθιστάς· « Ἦ συλλαβὼν γῆς πηλὸν, ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸ ἔθου ἐπὶ τῆς γῆς; » Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβίδ· « Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; » Εἶτα τῆς ἀνθρώπου φύσεως τὸ περιφανὲς ἐξηγεῖται λέγων « Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. » Ἐφήρμωσε μὲν γὰρ τῷ Χριστῷ τῶν προκειμένων στίχων τινὰς ὁ πάνσοφος Παῦλος. Λέγοιτο δ' ἂν οὐκ ἀπεοικότως καὶ ἐπὶ παντὸς ἀνθρώπου τοῦ καθ' ἡμᾶς· ἐψευσμένον γὰρ ἐν αὐτοῖς οὐδέν.

Vers. 9, 10. *Nunquid arans arabit terram totum diem? Num dicet lutum figulo: Quid facis, quod non laboras, neque habes manus?* **607** *Væ qui dicit patri, Quid generabis? et matri, Quid parturies?*

Profundus est hic sermo, et obscuritate multa obumbratus: tamen ut quod commodum ac verum est, intelligas, explicandus est prius, credo, paucis scopus sententiarum. Sic enim quasi palpabilis erit et acceptus auditoribus. Universorum itaque Deus Israel ex Ægypto redemit, et ab errore multorum deorum liberavit, et a seductione dæmonum, per legem Mosaicam ad veræ cognitionis Dei fulgorem reducendo. Docuit enim unum Deum colere, et Dominum unum adorare: dein per figuram umbræ ad majora adhuc et perfectiora, id est, ad ea quæ in Christo sunt, traducere voluit. Pædagogus enim erat lex, et ad tempus usque reformationis posita, nimirum adventus Servatoris nostri: qui legalium præceptorum umbra, et litteræ typis semotis, spiritualis et veri cultus pulchritudinem nude et aperte his qui in terra degunt, invexit. Sed gravate hoc ipsum tulerunt Judæi, et adhuc typis patrocinantes, Christo restiterunt, et Mosaicorum vaticiniorum subversionem ei impegerunt, nunc dicentes: « Si hic homo a Deo esset, non violaret Sabbatum [21*]; » nunc aliis ver-

C *Μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅλην τὴν ἡμέραν; Μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ· Τί ποιεῖς, ὅτι οὐκ ἐργάζῃ, οὐδὲ ἔχεις χεῖρας; Ὁ λέγων τῷ πατρί· Τί γεννήσεις; καὶ τῇ μητρί· Τί ὠδινήσεις;*

Βαθὺς μὲν ὁ λόγος, καὶ ἀσαφείᾳ πολλῇ κατεσκιασμένος, εἴσῃ δ' ὅμως εὐθὺ τοῦ χρησίμου, καὶ ἀληθοῦς· χρῆναι δὲ οἶμαι προαναπτύξαι βραχὺ τῶν νοημάτων τὸν σκοπόν. Ἔσται γὰρ οὕτως εὐαφής τε καὶ εὐπαράδεκτος τοῖς ἀκροωμένοις. Οὐκοῦν ὁ τῶν ὅλων Θεὸς ἐλυτρώσατο μὲν ἐξ Αἰγύπτου τὸν Ἰσραὴλ, ἐξείλετο δὲ καὶ τῆς πολυθέου πλάνης, καὶ τῆς τῶν δαιμονίων ἀπάτης, νόμῳ τῷ διὰ Μωσέως ἀνακομίσας αὐτὸν εἰς τὴν τῆς ἀληθοῦς θεογνωσίας αὐγήν. Ἑνὶ γὰρ λατρεύειν ἐδίδαξε Θεῷ, καὶ Κύριον ἕνα προσκυνεῖν· εἶτα διὰ τύπων καὶ σκιᾶς ἀναβιβάζειν ἤθελεν D ἐπὶ τὰ ἔτι μείζω, καὶ τελεώτερα, τοῦτ' ἔστι, τὰ ἐν Χριστῷ. Παιδαγωγὸς γὰρ ὁ νόμος ἦν, ἔκειτο δὲ καὶ μέχρι καιροῦ διορθώσεως· ἦν δὲ οὗτος ὁ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιδημίας, ὅτε τῶν νομικῶν ἐνταλμάτων ἀποστήσας τὴν σκιὰν, καὶ τοὺς ἐν γράμμασι τύπους τῆς ἐν πνεύματι καὶ ἀληθοῦς λατρείας τὸ κάλλος εἰσκεκόμικε τοῖς ἐπὶ τῆς γῆς, γυμνῶς τε καὶ ἀπημφιεσμένως. Ἀλλ' ἐπ' αὐτῷ δὴ οὖν τούτῳ δεδυσφορήκασιν Ἰουδαῖοι, καὶ τοῖς τύποις ἔτι συναγορεύοντες ἀντεπράττοντο τῷ Χριστῷ, καὶ τῶν Μωσαϊκῶν θεσπισμάτων τὴν λύσιν ἐνεκάλουν

[19*] Job. xxxiii, 6. [20] Psal. viii, 5. [21] ibid. 6-8. [21*] Joan. ix, 16.

αὐτῷ, ποτὲ μὲν λέγοντες· « Εἰ ἦν οὗτος παρὰ Θεοῦ A ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον· » ποτὲ δὲ καὶ τοῖς ἔτι χείροσι κατασφενδονῶντες λόγοις. Οὐκοῦν ἐπειδήπερ ἀπαράδεκτον ἐποιοῦντο τῶν εὐαγγελικῶν κηρυγμάτων τὴν ὄνησιν ἀναβιβάζουσαν αὐτοὺς εἰς πνευματικὴν εὐκαρπίαν ἐκ τῆς ἀνονήτου σκιᾶς, ταύτητοί φησι· Μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅλην τὴν ἡμέραν. Ὦ ἀνόητοι, φησίν· ἀνατέμνει μὲν γὰρ τοῖς ἀρότροις τὴν ἄρουραν ὁ γηπόνος, ἀλλ' οὐ μέχρι παντὸς τοῦτο δρᾷ, οὐδὲ ἅπαντα τοῖς ἀρότροις τὸν τῆς γηπονίας δαπανήσει καιρόν. Ἀνατέμνει γὰρ τὴν ἄρουραν, οὐχ ἵνα φαίνηται τοῦτο παθοῦσα μόνον, ἀλλ' ἵνα εὐπαράδοχος ᾖ τοῖς ἐν αὐτῇ καταβαλλομένοις σπέρμασι, καὶ καρπογόνος ὀφθῇ. Οὐκοῦν ὑλομανούσας ποτὲ καὶ οἷον κεχερσωμένας τὰς ἁπάντων ἡμῶν καρδίας, ὥσπερ ἀρότρῳ χρησάμενος τῷ διὰ B Μωσέως νόμῳ, προείργασμαι, καὶ γεωργοῦ δίκην ἀνατέμνων, εὐπρεπεῖς ἀποφαίνω αὐτὰς εἰς καταβολὴν σπερμάτων ἀγαθῶν. Ὁ δέ γε ἀγαθοῦ παντὸς σπορεὺς ὁ ἐμός ἐστιν Υἱός. Προσδέξασθε τοίνυν τὰ παρ' αὐτοῦ, καὶ μὴ βούλεσθε διηνεκῶς στέργειν, καὶ ἀγαπᾷν τὸν ἀροτῆρα νόμον. Ἠροτρίασε γὰρ, ὡς ἔφην, οὐχ ἵνα μὲν ἔχητε τοῦτο· ποία γὰρ ὄνησις ἐντεῦθεν; ἀλλ' ἵνα τοὺς τῆς ἀληθείας ἐκτέκητε καρπούς. Ἐπειδὴ δὲ καὶ μεταπεπλάσμεθα νοητῶς ἐν Χριστῷ, ἤγουν μετεστοιχειώθημεν, οἱ μὲν ἐκ πλάνης Ἑλληνικῆς εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, καὶ εἰς ζωὴν ἁγίαν, τὴν διὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· οἵ γε μὴν ἐκ περιτομῆς εἰς ἀνάληψιν μαθημάτων εὐαγγελικῶν, καὶ εἰς καινότητα λατρείας, οὐκ ἔτι τῶν τύπων ἐχούσης τὸ ἀτερπὲς, ἐκλαμπούσης δὲ C μᾶλλον τῆς πνευματικῆς τὸ εὐπρεπέστατον κάλλος· ὑπῆρξε δὲ ἡμῖν κἀκείνοις τὴν διὰ ὕδατός τε καὶ πνεύματος ἀναγέννησιν ἐν Χριστῷ πλουτήσασιν· ὁμοίως δὲ ἦν τοῖς Ἰουδαίων δήμοις ἀπόβλητός τε καὶ ἀπαράδεκτος ἡ ἐπ' αὐτοῖς δὴ τουτοισὶ χάρις· ἀντέπραττον γὰρ, ὡς ἔφην, τοῖς παρὰ Χριστοῦ θεσπίσμασι· ταύτητοί φησι· Μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ· Τί ποιεῖς, ὅτι οὐκ ἐργάζῃ, οὐδὲ ἔχεις χεῖρας; Ὁ λέγων τῷ πατρί· Τί γεννήσεις; καὶ τῇ μητρί· Τί ὠδινήσεις; Ἐγὼ μὲν γὰρ, φησὶν, ἀναμορφῶσαι βούλομαι πρὸς τὰ ἀμείνω, καὶ οἷον ἀναπλάσαι πρὸς τὰ βελτίω διὰ γεννήσεως νοητῆς, πάντως δήπου τῆς δι' ὕδατός τε καὶ πνεύματος. Ἀλλὰ τοῖς ἐμοῖς σκέμμασιν ἀσυνέτως ἀντικράττετε. Ἆρ' οὖν ἐπετίμησε, φησὶν, ὁ πηλὸς τῷ κεραμεῖ ποτε, ὡς χεῖρα τὴν τεχνουργὸν οὐκ D ἔχοντι, ἢ ὡς οὐκ εἰδότι τίνα χρὴ τρόπον διαμορφῶσαι τὸ ἐν χερσίν; Ἀλλ' ὁ μέλλων τεχθήσεσθαι, φησὶ, μὴ πεῦσιν προσήγαγε τῷ ἰδίῳ πατρὶ, ἄρα γεννήσει; Εἶτα πῶς ὑμεῖς, ὡς πηλὸς ὄντες εἰς χεῖρας κεραμέως, καὶ οὐκ εἰδότες ὅλως τίνα τρόπον ἡ νοητὴ περὶ ὑμᾶς ἀναγέννησις ἔσται, οὐ δεδιάτε φιλονεικεῖν; καὶ οὐχὶ δὴ μᾶλλον ὡς τεχνίτῃ καὶ πατρὶ τὸ ὅπως ἂν γένοιτο ταυτὶ παραχωρεῖν ἐγνώκατε; ὅτι γὰρ ἐφιλονείκουν Ἰουδαῖοι τοῖς τοῦ Σωτῆρος λόγοις, οἳ γεγόνασιν αὐτῷ περὶ τούτων, χαλεπὸν οὐδὲν συνιδεῖν. Ἔφη γὰρ πρὸς Νικόδημον· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν

bis tanquam funda quapiam lacessentes. Quoniam ergo evangelicæ prædicationis utilitatem aspernati sunt, quæ illos ab inutili umbra, ad spiritualem fertilitatem adducit, hinc ait : *Num arans arabit terram, toto die?* O stulti, inquit, scindit aratro terram agricola, sed non semper hoc facit, nec totum agricolationis tempus aratris consumit. Scindit enim terram, non ut hoc solum patiatur, sed ut apta sit recipiendis, quæ jacta sunt in ipsa, seminibus, utque fructuosa appareat. Itaque ante quidem præcolui ac præparavi corda omnium vestrum silvestria quondam et quasi inculta, Mosaico quodammodo usus aratro, et agricolæ in morem scindens, ea effeci ad jactum bonorum seminum accommodata. Bonorum autem omnium sator est hic meus Filius. Itaque hujus doctrinam recipite, neque velitis semper legem aratricem **606** amare et diligere. Aravit enim, ut dixi, non ut ibi acquiesceretis : quæ enim inde est utilitas? sed ut veritatis fructus proferatis. Quoniam autem transformati et transfigurati sumus intelligibiliter in Christo, alii ab errore Græco ad veritatis agnitionem, et ad sanctam vitam, per omnium nostrum Servatorem Christum : alii a circumcisione ad recipiendum instituta ac disciplinam evangelicam, et ad novitatem cultus, non jam deformitatem figurarum habentis, sed potius spirituali decentissima pulchritudine enitescentis : contigit autem hoc nobis et illis, regeneratione per aquam et spiritum in Christo ditatis : similiter etiam postquam hanc suam gratiam Judaicus populus rejecit nec recepit (restiterunt enim, ut dixi, Christi vaticiniis), hinc ait : *Nunquid dicet lutum figulo : Quid facis, quod non operaris, neque manus habes? Væ qui dicit patri : Quid generabis? et matri : Quid parturies?* Ego enim, inquit, reformare volo ad meliora, et velut refingere ad potiora per generationem intelligibilem, eam scilicet omnino quæ fit per aquam et spiritum, sed meis decretis imprudenter resistitis. Num, inquit, aliquando lutum reprehendit figulum, quasi manum artificiosam non haberet? aut quasi nesciret quemadmodum formare, quod præ manibus est, oporteat? Sed et nascendus, inquit, nunquid interrogavit suum patrem, unde generaret? Jam vos quasi lutum in manibus figuli, et omnino ignari, quemadmodum regeneratio mentis et intelligentiæ vestræ sit futura, quomodo non veriti estis contendere? cur non potius novistis ei ut artifici et patri cedere, ac ipsi producendi modum relinquere? Nam contendisse Judæos adversus Servatoris sermones hac de re habitos, videre non est difficile. Dixit enim Nicodemo : « Amen, amen dico vobis, nisi quis natus fuerit ex aqua et spiritu, non potest videre regnum Dei [22]. » Is vero insultans et recalcitrans temere his, quæ mente capi non possunt, oppugnat et dicit : « Num potest homo, senex cum sit, in ventrem matris suæ denuo intrare et nasci [22*]? »

[22] Joan. III, 3. [22*] ibid. 4.

Adjecit his etiam aliam mystagogiam : Qui possunt hæc fieri? Quid igitur ad hæc Christus? « Si terrena dixi vobis, et non creditis, quomodo, si dixero vobis cœlestia, credituri sitis [22]? » **609** Cedendum ergo est his, quæ dicit Deus, necessario. Ipse enim novit suorum operum viam. Et quæ ab eo fabricata sunt, a nemine etiam curioso carpi possunt, et quæ mentem superant, ab hominibus nostri similibus indubitata fide honorari et suspici debent. Sciendum vero prophetam Jeremiam in domum figuli missum fuisse, ut illum fabricantem videret : dissipato autem luto, et in aliud vas refecto, dixit ei Deus : « Nonne ut figulus hic potero vobis facere, domus Israel? Ecce ut lutum figuli vos estis in manibus meis [23*]. » Quod autem transformemur intelligibiliter in sanctam et optimam vitam, declarabit B Paulus, « Nos, inquiens, omnes retecta facie gloriam Domini speculantes, ad eamdem imaginem transformamur, a gloria in gloriam, velut a Domini Spiritu [24] : » per quem et regeneramur, semen habentes non amplius corruptioni obnoxium, sed id quod est per verbum viventis et manentis Dei.

A μή τις γεννηθῇ ἐξ ὕδατος, καὶ πνεύματος, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. » Ὁ δὲ τοῖς ὑπὲρ νοῦν ἀσυνέτως ἐπιπηδῶν ἀντανίστατο λέγων· « Μὴ δύναται ἄνθρωπος γέρων ὢν εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι; » Προσετίθει δὲ τούτοις καὶ ἑτέραν μυσταγωγίαν, Πῶς δύναται ταῦτα γενέσθαι; Τί οὖν πρὸς ταῦτα Χριστός; « Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσητε; » Εἴκειν οὖν ἀναγκαῖον οἷς ἂν λέγοι Θεός. Αὐτὸς οἶδε τῶν ἰδίων ἔργων τὴν ὁδὸν, ἀπολυπραγμόνητα δὲ τὰ παρ' αὐτοῦ τεχνουργούμενα, καὶ ἀνενδοιάστῳ πίστει τὰ ὑπὲρ νοῦν ὄντα, τὸν καθ' ἡμᾶς τιμᾶσθαι προσήκει. Ἰστέον δὲ, ὅτι καὶ ὁ προφήτης Ἰερεμίας εἰς τὸν οἶκον τοῦ κεραμέως ἐπέμπετο, τεχνουργοῦντα αὐτὸν ὀψόμενος· διαπεσόντος δὲ τοῦ πηλοῦ, καὶ εἰς ἀγγεῖον ἕτερον ἀναπεπλασμένου, πρὸς αὐτὸν ἔφη Θεός· « Μὴ, ὡς ὁ κεραμεὺς οὗτος, οὐ δυνήσομαι ὑμᾶς, οἶκος Ἰσραήλ; Ἰδοὺ ὡς πηλὸς τοῦ κεραμέως ὑμεῖς ἐστε ἐν χερσί μου. » Ὅτι δὲ καὶ μεταπλαττόμεθα νοητῶς εἰς ἁγίαν τε καὶ παγκάλην ζωὴν, σαφηνιεῖ λέγων ὁ Παῦλος· « Ἡμεῖς δὲ πάντες, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος· » δι' οὗ καὶ ἀναγεννώμεθα, σπορὰν ἔχοντες οὐκέτι φθαρτὴν, ἀλλὰ τὴν διὰ λόγου ζῶντος Θεοῦ, καὶ μένοντος.

Vers. 11, 12. *Quia sic dicit Dominus Deus sanctus Israel, qui fecit ventura : Interrogate me de filiabus et filiis meis, et de operibus manuum mearum mandate mihi. Ego feci terram et hominem in ea. Ego manu mea firmavi cœlum. Ego omnibus stellis mandavi.*

C *Ὅτι οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ ἅγιος Ἰσραὴλ, ὁ ποιήσας τὰ ἐπερχόμενα· Ἐπερωτήσατέ με περὶ τῶν θυγατέρων, καὶ περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι. Ἐγὼ ἐποίησα γῆν, καὶ ἄνθρωπον ἐπ' αὐτῆς. Ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανόν. Ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην.*

Superiorum verborum sensus expositio in his verbis apparet. Horum autem versuum sententia ita se habet: Si enim, inquit, lutum unquam increpavit figulum, et ejus qui finxit manum velut rudem aut otiosam accusavit; si quis de his quæ nondum sunt, vel facta sunt, sed exspectantur ut fiant, curiose sciscitatus est, cujusmodi liberorum pater suus sit futurus sator : interrogate me et vos, qui mihi, succedentibus temporibus, filii et filiæ eritis, quomodo istuc fiat, ac quemadmodum filii futuri sitis et filiæ. Mandate mihi et de operibus manuum mearum. Mandate, inquit, pro imperate, et Deo, velut ignoranti rerum agendarum viam, ne cunctemini dare consilium. Admiratione igitur et quidem meritissimo dignus est sapientissimus Paulus, qui sic scripsit : « O profunditatem divitiarum, et sapientiæ, et cognitionis Dei! quam sunt inscrutabilia judicia ejus, et impervestigabiles viæ ejus! Quis enim novit mentem Domini? aut quis consiliarius ejus fuit [25]? » Non enim ulla in re sua ullo homine opus habet omnium architectatrix **610** sapientia : non, etiamsi apud nos quidpiam sit factu difficile aut impossibile. Ipsa enim potest omnia, quæ habet omnimodam potentiam, imo quæ est ipsa omnis potentia. Dominus enim est potentiarum et exerci-

Τῆς τῶν ἀνωτέρω διανοίας ἀπόδοσις ἐν τούτοις ὁρᾶται γεγενημένη. Ἔχει δὲ οὕτως τῶν στίχων ὁ νοῦς· Εἰ γὰρ ὁ πηλὸς τῷ κεραμεῖ, φησὶν, ἐπετίμησέ ποτε, καὶ ὡς ἀτεχνῆ πως ἢ ἀργοτέραν τὴν τοῦ διαπλάσαντος ἐγράψατο χεῖρα· εἰ περιειργάσατό τις τῶν οὔπω μὲν ὄντων ἢ γεγεννημένων, γεγεννῆσθαι δὲ προσδοκωμένων, ὁποίων ἄρα τέκνων ὁ αὐτοῦ πατὴρ ἔσται σπορεύς· ἐρωτήσατέ με καὶ ὑμεῖς, οἱ ἐσόμενοί μου κατὰ καιροὺς υἱοί τε καὶ θυγατέρες· πῶς ἂν γένοιτο, καὶ τίνα τρόπον ὑμεῖς εἰς υἱοὺς ἔσεσθέ μοι, καὶ θυγατέρας. Ἐντείλασθέ μοι καὶ περὶ τῶν ἔργων D τῶν χειρῶν μου. Τὸ δὲ ἐντείλασθε, φησὶν, ἀντὶ τοῦ διατάξασθε, καὶ ὡς οὐκ εἰδότι τῶν πρακτέων τὴν ὁδὸν, μὴ ὀκνήσητε γνωμοδοτῆσαι τῷ Θεῷ. Ἀξιάγαστος οὖν καὶ σφόδρα εἰκότως ὁ πάνσοφος Παῦλος ὧδὶ γεγραφώς· « Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ! Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; » Δεῖται γὰρ ὅλως οὐδενὸς ἔν γε τοῖς καθ' αὑτὴν ἡ πάντων τεχνῖτις σοφία. Ἀλλ' οὐδ' ἂν εἴη τι τῶν καθ' ἡμᾶς ἄπορόν τε καὶ ἀμήχανον αὐτῇ. Πάντα γὰρ δύναται τὸ πανσθενὲς ἔχουσα· μᾶλλον δὲ ἡ πᾶσα δύναμίς ἐστιν αὕτη. Κύριος γάρ ἐστι τῶν δυνάμεων ὁ τῶν ὅλων Θεὸς, οἶδέ τε κατὰ μόνας αὐτὸς τῶν ἰδίων ἔρ-

[22] Joan. III, 12. [23*] Jerem. XVIII, 6. [24] II Cor. III, 18. [25] Rom. XI, 33.

γων τὴν ὁδόν. Οὐκοῦν ἀπολυπραγμόνητα αὐτοῦ, καὶ τὰ ὑπὲρ νοῦν, καὶ λόγον ἀνέφικτα μὲν ταῖς ἀνθρώπων διανοίαις, αὐτῷ γε μὴν ἐγνωσμένα. Καὶ γοῦν δι' ὕδατός τε καὶ πνεύματος τὴν νοητὴν ἀναγέννησιν δεδόσθαι πιστεύομεν τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ. Ἐπειδὴ Νικοδήμῳ τὴν χάριν ἐναργῆ καθιστᾷν ἐβούλετο Χριστὸς, ἐξηγεῖτο μὲν τοῦ πράγματος τὴν ὁδόν· ὁ δὲ συνιεὶς τῶν λεγομένων οὐδὲν, τῶν τοῦ Σωτῆρος ῥημάτων κατηγόρευσε τὸ ἀμήχανον. Ὅ τε καὶ οὕτως ἔχοντα γνώμης, πίστει δέχεσθαι τὸ θαῦμα παρενεγγύησε, λέγων· « Ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν. » Οὐκοῦν εἰ μὴ συνίεμεν τῶν θείων ἔργων τὴν ὁδὸν, ἐνδοιασμοῦ παντὸς τὸν ἑαυτῶν ἀπαλλάττοντες νοῦν, Θεῷ λέγομεν· Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν· μὴ ἐρωτῶμεν αὐτὸν περὶ τῶν θυγατέρων, B καὶ τῶν υἱῶν αὐτοῦ. Μήτε μὴν ἐντελλώμεθα, ἤγουν διατάττωμεν αὐτῷ περὶ τῶν ἔργων τῶν χειρῶν αὐτοῦ· ἀλλ' ὡς πηλὸν κεραμεῖ παραχωρῶμεν ἡμεῖς ἐργάζεσθαι τὸ δοκοῦν. Μεθίστησι γὰρ ἀμογητὶ πρὸς ὅπερ ἂν βούλοιτο τὰ καθ' ἡμᾶς, καὶ μεταπλάττει τὸν νοῦν ἐκ τῶν αἰσχιόνων ἐπὶ τὸ ἄμεινον, καὶ καρδίαν ἡμῖν ἐνίησι καινὴν, ἀποῤῥιζώσας τὴν πρώτην. Καὶ γοῦν ἔφη τι τοιοῦτον διὰ φωνῆς Ἰεζεκιὴλ, ὅτι « Ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, τοῦτ' ἔστι, τρυφεράν τε καὶ εὔεικτον, τοῦ εἰδέναι αὐτοὺς ἐμὲ, ὅτι ἐγώ εἰμι Κύριος. » Ἀποφοιτῶντες γὰρ φαυλότητός τε ἁπάσης, καὶ μολυσμῶν, εἶτα τὴν ἑαυτῶν διάνοιαν μεθαρμόζοντες εἰς τὸ πληροῦν ἐθέλει [γρ. ἐθέλειν] τὸ ἀγαθόν· προσλαβόντες δὲ τούτῳ καὶ τὴν C ἐξ ὕδατός τε καὶ Πνεύματος νοητὴν ἀναγέννησιν, εἰς υἱοὺς καὶ θυγατέρας ἐσόμεθα Θεοῦ. Ὅτι γὰρ ἔνεστιν αὐτῷ τὸ πανσθενὲς, διαδείκνυσι λέγων· Ἐγὼ ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς. Ὁ δὲ τῆς ἀνθρώπου γενέσεως εὑρετὴς, ὁ παρενεγκὼν εἰς τὸ εἶναι τὸν οὐκ ὄντα ποτὲ, πῶς ἀτονήσει πρὸς ἀναμόρφωσιν τὴν πνευματικήν; καὶ οὐχὶ δῆλον τοῖς ἑαυτοῦ νεύμασι μεταχωρήσειεν ἂν, εἰς πᾶν ὁτιοῦν τῶν κατὰ γνώμην αὐτῷ, τῶν ποιημάτων ἡ φύσις; Τί τὸ παράδοξον εἰ τὴν τοῦ ἀνθρώπου διάνοιαν μεταχαλκεύει πρὸς τὸ δοκοῦν ὁ ἰδίᾳ χειρὶ στερεώσας τὸν οὐρανόν; Χεῖρά γε μὴν τοῦ Πατρὸς τὴν παντουργὸν εἶναί φαμεν Υἱὸν δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα. Τῷ λόγῳ γὰρ Κυρίου, φησὶν, οἱ οὐρανοὶ ἐστερεώθησαν. Αὐτὸς ἅπασι τοῖς ἄστροις ἐνετείλατο, τοῦτ' ἔστι, D διετάξατο, ὅπως ἕκαστον αὐτῶν εἶναι χρή. Ἥλιος μὲν γὰρ εἰς ἀρχὰς τέθειται τῆς ἡμέρας, σελήνη δὲ τῆς νυκτός. Ἀλλ' ὡς ὁ Ψάλλων φησίν· « Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθετο δὲ σκότος ὁ τῶν ὅλων Θεὸς, καὶ ἐγένετο νύξ. » Ψάλλει γοῦν πάλιν ὁ θεσπέσιος Δαβὶδ, καί φησι· « Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ. Σὺ κατηρτίσω ἥλιον, καὶ σελήνην. » Οὐκοῦν ἑκάτερον τούτων τὸν αὐτῷ τεταγμένον διαπεραίνει δρόμον εὐτάκτῳ φορᾷ, καὶ μεμετρημένοις ὡρῶν διαστήμασιν. Ὁμοίως δὲ καὶ τὰ λοιπὰ τῶν ἄστρων κατὰ τὸν αὐτοῖς δοθέντα παρὰ Θεοῦ νόμον,

A tuum universorum Deus, novitque solus ipse suorum operum viam. Itaque extra reprehensionem etiam curiosorum sunt facta ipsius : et quæ nec mente comprehendi, nec oratione possunt, et ad quæ hominum animi non possunt pertingere, ea ipsi sunt cognita. Siquidem exempli causa, regenerationem intelligibilem per aquam et spiritum datam esse his qui agnoverunt apparitionem Christi, nos credimus. Sed cum Nicodemo gratiam hanc explicare vellet Christus, et rei viam exponeret : is nihil eorum quæ dicta sunt intelligens, verborum Christi difficultatem inexplicabilem accusavit. Hoc autem animo affectum, ut fide miraculum reciperet, confirmavit is qui dicit : « Quod novimus, loquimur, et quod vidimus, testamur [25*]. » Quanquam igitur divinorum operum viam non intelligamus, nec omni dubio mentem liberaverimus, tum Deo dicimus : Scio te omnia posse, et tibi nihil esse impossibile; non sciscitamur de filiabus ejus et de filiis. Nec unquam mandamus aut præcipimus ei de operibus manuum suarum : sed ut lutum nos figulo cedimus et concedimus, ut quod ipsi visum est operetur. Transfert enim citra laborem quocunque, voluerit, quæ nostra sunt, et a turpioribus ad id quod est melius animum transformat, nobisque cor novum immittit, exstirpato priore. Nimirum ejusmodi quidpiam dixit voce Ezechielis : « Evellam cor eorum lapideum ex carne ipsorum, et dabo illis cor carneum, id est, tenerum et sequax, ut ipsi me sciant, quod ego sum Dominus [26]. » Recedentes enim a vitiositate omni et inquinationibus, deinde mentem nostram componentes, ita ut velit quod bonum est exsequi, et huic etiam adjungentes regenerationem intelligentia perceptam, quæ est per aquam et Spiritum, filii et filiæ Dei erimus. Quod enim insit ei cunctipotentia, declarat, inquiens : Ego feci terram et hominem in ea. Inventor autem generationis humanæ et auctor, qui produxit eum, cum non esset quondam, ut sit : quomodo ad reformationem spiritualem erit inhabilis et ineptus? Annon potius nutu ejus et sententia ad quamcunque speciem natura creaturarum demigrare et transire poterit? Et quid ita mirum aut incredibile videri debet, si hominis mentem pro suo arbitratu aliter fingat **611** ac fabricet, qui manu cœlum firmavit? Manum autem Patris, omnium rerum opificem, esse dicimus Filium, per quem omnia, et in quo omnia. Verbo enim Domini, inquit, cœli firmati sunt. Ipse omnibus stellis mandavit, id est, imperavit, quomodo earum unaquæque esse deberet. Sol enim positus est ut diei, luna ut nocti imperet. Sed et, ut Psaltes ait, « Sol novit occasum suum. Posuitque tenebras universorum Deus, et facta est nox [26*]. » Psallit iterum divinus David, et inquit : « Tuus est dies, et tua est nox. Tu constituisti solem et lunam [27]. » Itaque horum utrumvis ab ipso ordinatum cursum

[25*] I Joan. I, 2. [26] Ezech. XXXVI, 26. [26*] Psal. CIII, 19, 20. [27] Psal. LXXIII, 16.

conficit, motu bene composito, et statis horarum intervallis. Similiter et reliquæ stellæ juxta, legem sibi a Deo datam, et oriuntur suis temporum vicibus et occidunt. Ipse enim illis mandavit, qui minus.

VERS. 13. *Ego suscitavi illum cum justitia regem, omnes viæ ejus rectæ. Ipse ædificabit civitatem meam, et captivitatem populi mei convertet, non cum pretio neque cum muneribus, dixit Dominus Sabaoth.*

Quidam fortassis dixerint, hæc de Cyro patre Cambysis efferri, eo quod ille relaxarit Israelem, et e vinculis captivitatis exemerit, templumque Hierosolymitanum fundaverit; verum sequentium considerati sensum vimque sententiarum non ad illum, sed potius ad omnium nostrum Servatorem Christum, qui excitatus est cum justitia, contrahet. Illuxit enim nobis Deus et Dominus, placuitque Deo et Patri, omnia in ipso tum cœlestia, tum etiam terrestria summatim comprehendere. Itaque excitatus est cum justitia, non ficta aut docendo percepta, sed exsistens ipse revera etiam justitia. Scriptum autem est alibi de eo: « Ecce rex justus regnabit et principes cum judicio venient[27*]. » Erat quippe semper rex universorum unigenitum Dei Verbum, simul cum Deo et Patre, et omnem creaturam aspectabilem et inaspectabilem pedibus subjecit. Si quis vero homo terrestris ab ejus regno deficeret et resiliret, ejusque sceptra parvifaceret, eo quod in manu ac potestate esset diaboli, peccatique laqueis teneretur: rursus jugo suo hic omnis justitiæ et administrator et largitor submisit. **612** Sunt enim omnes ejus viæ rectæ. Vias autem Christi esse dicimus evangelica oracula, per quæ, ad omnem tendentes virtutem, et pietatis insignibus nostra ipsorum capita ornantes, ad supernæ vocationis bravium pervenimus. Rectæ siquidem hæ viæ, nihilque in illis obliquum vel perversum, sed directæ velut et permeabiles. Scriptum est enim: « Via piorum recta facta est, et parata via piorum[28]. » Nam semita legis aspera est, per multos typos ac figuras gradiens, et intolerabilis est difficultatis. At plana est evangelicorum oraculorum via, et nihil confragosum omnino habet aut asperum. Viæ igitur Christi rectæ, et ipse ædificavit sanctam civitatem, id est, Ecclesiam, in qua et ipse commoratur; habitat enim in sanctis, et facti sumus templa Dei viventis, Christum in nobis ipsis habentes, per sancti Spiritus participationem. Fundavit ergo Ecclesiam, ipseque est fundamentum in quo et nos tanquam lapides sumptuosi et pretiosi exstruimur in templum sanctum, in habitaculum Dei in spiritu. Inconcussa prorsus Ecclesia est, quæ Christum habet fundamentum, et basim immotam. « Ecce enim, inquit, pono fundamenta Sion, lapidem electum, angularem, pretiosum: et qui credit in eo, non pudefiet[29]. » Ipse igitur, fundata Ecclesia, avertit etiam populi sui

A ἀνίσχει τε κατὰ καιροὺς καὶ δύεται. Αὐτοῖς ἐνετείλατο Θεὸς ὢν φύσει καὶ τῶν ὅλων δημιουργὸς καὶ κύριος.

Deus est natura, et universorum opifex ac do

Ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα. Πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. Οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὔτε μετὰ δώρων, εἶπε Κύριος Σαβαώθ.

Φαῖεν ἂν ἴσως τινὲς, εἰρῆσθαι ταυτὶ περὶ Κύρου τοῦ Καμβύσου, διά τε τὸ αὐτὸν ἀνεῖναι τὸν Ἰσραὴλ, καὶ τὸν τῆς αἰχμαλωσίας ἀπολῦσαι δεσμῶν, θεμελιῶσαι δὲ καὶ τὸν ἐν Ἱεροσολύμοις νεών· ἀλλ' ἤτοι τῶν B ἐφεξῆς θεωρία περιστήσει μᾶλλον τῶν ἐννοιῶν τὴν δύναμιν, οὐκ ἐπ' ἐκείνῳ μᾶλλον, ἀλλ' ἐπὶ τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ, ὃς ἐγήγερται μετὰ δικαιοσύνης. Ἀνέλαμψε γὰρ ἐφ' ἡμᾶς Θεὸς ὢν Κύριος, εὐδοκήσαντος τοῦ Θεοῦ καὶ Πατρὸς ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν αὐτῷ, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς. Οὐκοῦν ἐγήγερται μετὰ δικαιοσύνης οὐκ εἰσποιητοῦ καὶ διδακτῆς, ἀλλ' ὑπάρχων αὐτὸς αὐτόχρημα καὶ δικαιοσύνη. Γέγραπται δὲ καὶ ἑτέρωθί που περὶ αὐτοῦ· « Ἰδοὺ δὴ βασιλεὺς δίκαιος βασιλεύει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσιν. » Ἦν μὲν γὰρ ἀεὶ βασιλεὺς τῶν ὅλων ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ὁμοῦ τῷ Θεῷ καὶ Πατρὶ, καὶ πᾶσαν ἔχων ὑπὸ πόδας τὴν κτίσιν ὁρατήν καὶ ἀόρατον, ἀποσκιρτήσαντα δὲ τῆς ὑπ' αὐτῷ βασιλείας τὸν ἄνθρωπον τὸν C ἐπὶ τῆς γῆς, καὶ τῶν αὐτοῦ σκήπτρων ὀλιγωρήσαντα, διά τοι τὸ ὑπὸ χεῖρα γενέσθαι διαβολικὴν, καὶ τοῖς τῆς ἁμαρτίας ἐνεσχεθῆναι βρόχοις, πάλιν ὑπήγαγε τοῖς ἑαυτοῦ ζυγοῖς ὁ δικαιοσύνης ἁπάσης καὶ βραβευτὴς καὶ δοτήρ. Εἰσὶ γὰρ αὐτοῦ πᾶσαι αἱ ὁδοὶ εὐθεῖαι. Ὁδοὺς δὲ εἶναί φαμεν τοῦ Χριστοῦ τὰ θεῖά τε καὶ εὐαγγελικὰ θεσπίσματα, δι' ὧν εἰς πᾶσαν ἰόντες ἀρετὴν, καὶ τοῖς τῆς εὐσεβείας αὐχήμασιν ἑαυτῶν σεμνύνοντες τὰς κεφαλὰς, εἰς τὸ τῆς ἄνω κλήσεως βραβεῖον ἐρχόμεθα. Εὐθεῖαί γε μὴν αἱ ὁδοί· σκολιὸν γὰρ οὐδὲν ἐν αὐταῖς ἢ διεστραμμένον, ἀλλ' οἷον ὀρθοὶ καὶ εὐήλατοι. Γέγραπται γὰρ, ὅτι « Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν. » Τραχεῖα μὲν γάρ πως ἡ τοῦ νόμου τρίβος διὰ πολλῶν ἰοῦσα τύπων, καὶ δυσχερείας οὐ D φορητῆς, ψιλὴ δὲ ἡ διὰ τῶν εὐαγγελικῶν θεσπισμάτων, καὶ οὐδὲν ἔχουσα παντελῶς τὸ ἄναντες ἢ τραχύ. Εὐθεῖαι δὴ οὖν αἱ ὁδοὶ τοῦ Χριστοῦ, καὶ αὐτὸς ᾠκοδόμησε τὴν ἁγίαν πόλιν, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν, ἐν ᾗ καὶ αὐτὸς αὐλίζεται· κατοικεῖ γὰρ ἐν ἁγίοις, καὶ ναοὶ γεγόναμεν Θεοῦ ζῶντος, Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος. Τεθεμελίωκε τοίνυν τὴν Ἐκκλησίαν αὐτὸς ὢν ὁ θεμέλιος, ἐφ' ᾧ καὶ ἡμεῖς ἐποικοδομούμεθα, ὡς λίθοι πολυτελεῖς καὶ τίμιοι εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι. Ἀκλόνητος δὲ παντελῶς ἡ Ἐκκλησία, Χριστὸν ἔχουσα τὸν θεμέλιον, καὶ ἀκατάσειστον ὑποβάθραν· « Ἰδοὺ γὰρ τίθημι, φησὶ, τὰ θε-

[27*] Isa. XXXII, 1. [28] Isa. XXVI, 7. [29] I Petr. II, 6.

μέλια Σιών, λίθον ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον, καὶ ὁ πιστεύων εἰς αὐτὸν, οὐ μὴ καταισχυνθῇ.» Αὐτὸς οὖν ὁ θεμελιώσας τὴν Ἐκκλησίαν, ἐπέστρεψε καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ. Τυραννουμένους γὰρ ἡμᾶς τοὺς ἐπὶ τῆς γῆς ὑπό τε τοῦ Σατανᾶ καὶ τῆς ἁμαρτίας, σέσωκέ τε καὶ ἐξείλετο, καὶ τοῖς ἰδίοις ὑπήγαγε ζυγοῖς· πλὴν οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων· ὡς γὰρ ὁ αὐτοῦ μαθητής, «Οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθημεν ἐκ τῆς ματαίας ἡμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου, καὶ ἀσπίλου Χριστοῦ.» Δέδωκε γὰρ ὑπὲρ ἡμῶν τὸ ἴδιον αἷμα, καὶ οὐκ ἐσμὲν ἑαυτῶν, ἀλλὰ τοῦ πριαμένου καὶ σώσαντος. Ταύτητοι, καὶ μάλα εἰκότως, οἱ τῆς ὀρθῆς πίστεως τὸν εὐγενῆ κανόνα παρατρέχοντες διὰ τῆς τῶν ἁγίων κατηγοροῦνται φωνῆς, ὡς τὸν ἀγοράσαντα αὐτοὺς Δεσπότην ἀρνούμενοι.

captivitatem. Nos enim oppressos tyrannide in terra, a Satana et peccato servavit et liberavit, et suo jugo subjecit: verum non pretio, neque muneribus. Sic enim ipsius discipulus: «Non corruptibilibus, argento aut auro liberati sumus a vana nostra conversatione a patribus tradita, sed pretioso sanguine, velut agni immaculati et incontaminati Christi [30].» Dedit enim pro nobis proprium sanguinem: neque sumus juris nostri, sed ejus qui emit et servavit. Hinc, et quidem jure optimo, qui rectæ fidei directum canonem prætergrediuntur, voce sanctorum accusantur, ut Dominum qui illos redemit negantes.

Οὕτως λέγει Κύριος Σαβαώθ· Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπορίαι Αἰθιόπων, καὶ οἱ Σαβαῒμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ προσκυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται. Ὅτι ἐν σοὶ ὁ Θεός ἐστιν, καὶ οὐκ ἦν Θεὸς πλὴν σοῦ. Σὺ γὰρ εἶ Θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτήρ. Αἰσχυνθήσονται, καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ.

Vers. 14-16. *Sic ait Dominus Deus Sabaoth: Laboravit Ægyptus, et negotiatio Æthiopum, et Sabaim viri excelsi ad te transibunt, et tibi erunt servi, et post te sequentur vincti manicis, et adorabunt te, et in te orabunt. Quia in te Deus est, et non* **613** *est Deus præter te. Tu enim es Deus, et nescivimus, Deus Israel servator. Erubescent et pudefient omnes qui adversantur ei, et ambulabunt in ignominia.*

Τὸν περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ προεισκομίσας λόγον, καὶ προαπαγγείλας ὅτι ἐπιστρέψει τὸν λαὸν αὐτοῦ οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, καταδείκνυσιν εὐθὺς τοὺς κληθησομένους εἰς λύτρωσιν, δῆλον δὲ ὅτι τοὺς ἐξ ἐθνῶν, οἷς δὴ μάλιστα Χριστὸς ἐπιλάμψας ὁρᾶται. καίτοι λέγων ἐναργῶς· «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.» Ἀλλ' ἐκείνοις μὲν καὶ πρώτοις θεῖόν τε καὶ εὐαγγελικὸν ἐνήστραψε φῶς. Ἐπειδὴ δὲ, καθὰ γέγραπται, ἐλιπάνθη, καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος Ἰσραὴλ (ἀπεκτόνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς)· ταύτητοι καὶ μάλα εἰκότως ταῖς ἐθνῶν ἀγέλαις ἐπέλαμψεν ὁ Χριστὸς, καὶ αὐτὸ δὴ τουτὶ ταῖς τῶν προκειμένων θεωρίαις ἐνὸν εὑρήσομεν. Ὀνομάζει δὲ τῶν ἐθνῶν τὰ πάντων μάλιστα δεισιδαιμονέστατα, ἵνα καὶ ἡ τοῦ καλοῦντος εἰς μετάγνωσιν θαυμάζηται δύναμις. Ὥσπερ γὰρ δὴ τότε μάλιστα τῶν ἰατρεύειν εἰδότων ἐπαινεῖται τὸ εὔτεχνες, ὅταν τινὰς τὰ ἀπεγνωσμένα νοσοῦντας τῶν παθῶν ἀπαλλάττειν δύνωνται ταῖς σφῶν αὐτῶν ἐμπειρίαις ἐπὶ καιροῦ χρώμενοι· οὕτω καὶ ὁ Θεὸς, ἐμφανεστέραν ἑαυτοῦ τὴν ὑπερφυᾶ καθίστησι δόξαν, ὅταν τινὰς τῶν ἄγαν ἐκκεκλικότων, καὶ εἰς αὐτόν που τὸν κατωτάτω πυθμένα φαυλότητός τε καὶ ἀσεβείας κατενηνεγμένων, ἀνανήχεσθαί τε καὶ ἀναφοιτᾷν ἀναπείσῃ πρὸς ἔφεσιν ἀρετῆς, καὶ εἰς ἀπότριψιν τοῦ κακοῦ, καὶ οἷον εἰς ἀμφίεσιν τῶν ἐπαινουμένων. Αἰγύπτιοι τοίνυν, καὶ τὰ τῶν Αἰθιόπων ἐμπορεῖα, τουτ' ἔστιν, αἱ Θηβαίων πόλεις, αἷς εἰσι πρόσοικοί τε καὶ ἀγχιτέρμονες οἱ καλούμενοι Σαβαῒμ, τουτ' ἔστι, τὰ τῶν Αἰθιόπων, ἤγουν τῶν Ἰνδῶν ἔθνη (τάχα που τὴν κλῆσιν

Sermone de Christo omnium nostrum Servatore introducto, et præsignificato quod avertet et dimittet populum suum, non pretio nec muneribus: continuo vocandos ad redemptionem ostendit, videlicet ex gentibus, quibus maxime illuxisse visus Christus, tametsi dicat aperte: «Non sum missus nisi ad oves perditas domus Israel [31].» Sed illis quidem et primis divina et evangelica lux affulsit. At postquam pinguefacti sunt et incrassati, et recalcitravit dilectus meus Israel, quemadmodum scriptum est [31*] (occiderunt enim principem vitæ): hinc jure quidem optimo gregi gentium Christus illuxit. Hoc est quod hic in horum verborum consideratione et contemplatione inesse invenimus. Nominat siquidem gentes omnium superstitiosissimas, ut virtus ac potentia vocantis ad pœnitentiam fiat admirabilis. Quemadmodum enim artificium eorum qui medicinæ periti sunt, tum imprimis laudatur, quando desperatæ valetudinis homines, experimentis suis tempestive usi, liberare possunt, ita etiam Deus insignem gloriam suam illustriorem reddit cum eorum aliquos, qui graviter lapsi sunt, et ad ipsum infimum vitiositatis et impietatis detrusi sunt, emergere facit et egredi, ut virtutem expetant, et mala aversentur, et res cum laude conjunctas suscipiant. Ægyptii itaque et emporia Æthiopum, id est, Thebanorum urbes (quibus accolæ et contermini sunt hi, qui Sabaim dicuntur, id est, Æthiopum vel Indorum gentes, sortiti appellationem fortassis a Saba, temporibus antegressis, eorum regioni et terræ imperitante), laborarunt, inquit. Laborarunt, bifariam in-

[30] I Petr. I, 19. [31] Matth. x, 6. [31*] Deut. xxxii, 15.

telligendum. Vel enim illud vult insinuare, defatigatos fuisse et afflictos intolerabiliter, erroris tempore, crudeli tyranno subjugatos, Satanæ, et gregibus dæmonum servientes, sacrificia et fructus ipsorum, filios, inquam, et filias deposcentibus: vel olim diros et infractos, et propugnatores antiqui erroris, et omni fretos robore, **614** ut Græcanicæ impietati suæ juveniliter adhærescant. At postquam illuxit Christus, et veram lucem omnium in corda immisit, et veluti mentis ac intelligentiæ quidam lucifer exortus est: laborarunt, id est, non manserunt, ut ante, pervicaces, et remiserunt veluti de pristina contentione ac vehementia, victoriamque ipsius prædicationi cesserunt. Nec falsa fuit aut mendax de illis oratio. Sic enim sapientissimus Paulus scribit: « Ubi abundavit peccatum, superabundavit gratia [32]. » Nam Ægyptiorum terra, augustis et sanctis ecclesiis plena conspicitur. Altaria ubique et monachorum greges, et virginum examina, et exercitiorum labores cum ingenti voluptate, et cursus ad virtutem, et magna alacritas et fervens, et quæ frangi non sustinet: Christique cultum ad ipsos usque Sabaim, et Indicas gentes protendit ac propagat. Est enim, est videre etiam apud illos et apud emporia Æthiopiæ, hoc est, in Thebanorum terra. Isti ergo, inquit, Ægyptii, et Sabaim excelsi viri, id est, conspicui et notissimi omnibus, et nulli non cogniti, quod sint insigniter dæmoniorum cultores, et diabolicorum inventorum propugnatores, ad te transibunt: id est, primo relicto errore, et exsilientes a fovea interitus, venient ad te, et tibi erunt servi, tuæ scilicet voluntatis administri. Significat enim hoc servitutis nomen a Deo positum. Sequentur te vincti manicis. Insistent, inquit, tuis vestigiis, evangelica lege manuducti, ad quæcunque agenda, et excellentis vitæ semitam transibunt, vincti manicis, id est, charitatis nexibus, et compedibus inexplicabilis in Deum pietatis, ut dicere queant: « Quis nos separabit a dilectione Christi? Afflictio? num angustia? num persecutio? num fames? num nuditas? num periculum? num gladius [33]? » Hi, inquit, adorabunt te, et in te orabunt; quia in te Deus est, et non est Deus præter te. Tu enim es Deus, et non novimus, Deus Israel servator. Flectit enim omnium Servatori Christo omne genu, et omnis lingua confitetur, et in ipsum omnis precatio desinit. In Christo enim petimus a Deo et Patre postulata, et in ipso oramus, confitentes etiam **615** in ipso Deum esse, et præter ipsum non esse Deum. Sed etenim sentire nos docuit, cum ait divino discipulo, Philippo scilicet [34]: « Tanto tempore vobiscum sum, et me non nosti, Philippe? Non credis, quod ego in Patre, et Pater in me est? qui vidit me vidit Patrem meum. Ego et Pater unum sumus. » Itaque illud: Deus in te est, et: Non est Deus præter te, idem valent, idemque denotant, quod « Et

A λαχόντες ὡς ἀπό γε τῆς Σαβᾶ τῆς βασιλευσάσης κατὰ καιροὺς τῆς αὐτῶν χώρας τε καὶ γῆς). ἐκοπίασαν, φησί· τὸ δὲ, Ἐκοπίασαν, διχῆ νοητέον· ἢ γὰρ ἐκεῖνο βούλεται δηλοῦν, ὅτι κεκμήκασιν οὐ φορητῶς, κατά γε τὸν τοῦ πλανᾶσθαι καιρὸν ὠμῷ τυράννῳ κατεζευγμένοι τῷ Σατανᾷ, καὶ ταῖς τῶν δαιμονίων ἀγέλαις δουλεύοντες ἐξαιτοῦντι θυσίας, καὶ αὐτὰ τὰ αὐτῶν γεννήματα, υἱούς τέ φημι καὶ θυγατέρας· ἤγουν ὅτι πάλαι μὲν ἦσαν δεινοὶ καὶ ἄθραυστοι, καὶ οἷον ὑπασπισταὶ τῆς ἀρχαίας ἀπάτης, καὶ σθένει παντὶ χρώμενοι πρός γε τὸ δεῖν ἔχεσθαι νεανικῶς τῆς προκειμένης αὐτοῖς δυσσεβείας Ἑλληνικῆς. Ἐπειδὴ δὲ ἐπέλαμψεν ὁ Χριστὸς, καὶ φῶς τὸ ἀληθινὸν ταῖς ἁπάντων ἀνῆκε καρδίαις, καὶ ὥσπερ τις νοητὸς ἀνέτειλεν ἑωσφόρος, ἐκοπίασαν, τοῦτ' ἔστιν, οὐ μεμενήκασιν B ἐνστατικοὶ, καθὰ καὶ πρότερον, καθυφῆκαν δὲ ὥσπερ τοῦ πάλαι τόνου, παραχωρήσαντες τὸ νικᾷν τοῖς περὶ αὐτοῦ κηρύγμασι, κατεψεύσθη δὲ οὐδαμῶς ὁ περὶ τούτων λόγος. Ὡς γὰρ ὁ πάνσοφος γράφει Παῦλος· « Οὗ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. » Πλήρης γὰρ ἡ τῶν Αἰγυπτίων ὁρᾶται γῆ σεπτῶν καὶ ἁγίων ἐκκλησιῶν. Θυσιαστήρια πανταχοῦ καὶ μοναστῶν ἀγέλαι, καὶ παρθένων ἑσμοὶ, καὶ ἀσκήσεων πόνοι σὺν θυμηδίᾳ πολλῇ καὶ δρόμος εἰς ἀρετὴν, καὶ προθυμία πολλὴ, σφριγῶσά τε καὶ ἐκκόπτεσθαι μὴ ἀνεχομένη καὶ τῷ [γρ. τὸ] Χριστοῦ παρατείνει σέβας, καὶ μέχρις αὐτῶν τῶν Σαβαῒμ, ἤτοι τῶν Ἰνδικῶν ἐθνῶν. Ἔστι γὰρ, ἔστι καὶ παρ' ἐκείνοις ἰδεῖν ὅσα καὶ ἐν Αἰγύπτῳ, καὶ ἐν τοῖς ἐμπορίοις τῆς Αἰθιοπίας, τοῦτ' ἔστιν, ἐν τῇ Θηβαίων γῇ. Οὗτοι C δὴ οὖν οἱ Αἰγύπτιοι, φησὶ, καὶ οἱ Σαβαῒμ ἄνδρες ὄντες ὑψηλοὶ, τοῦτ' ἔστιν, ἀπόβλεπτοι, καὶ γνωριμώτατοι τοῖς ἁπανταχοῦ, καὶ ἀγνοηθέντες οὐδενὶ ὅτι τέ εἰσιν ἐξῃρημένως δαιμονίων θεραπευταὶ, καὶ διαβολικῶν εὑρεμάτων ὑπασπισταὶ, ἐπὶ σὲ διαβήσονται, τοῦτ' ἔστι, τὴν πρώτην ἀφέντες ἀπάτην, καὶ τῶν τῆς ἀπωλείας βάθρων ἀποπηδήσαντες, ἥξουσι πρὸς σὲ, καί σοι ἔσονται δοῦλοι, καὶ τῶν σῶν δηλονότι θελημάτων ὑπουργοί. Κατασημαίνει γὰρ τοῦτο τὸ τῆς δουλείας ὄνομα τεθειμένον ἐπὶ Θεοῦ. Ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις. Βαδιοῦνται γὰρ κατ' ἴχνος, φησὶ, τὸ σὸν, τοῖς εὐαγγελικοῖς χειραγωγούμενοι νόμοις εἰς ἕκαστα τῶν πρακτέων, καὶ τὴν τῆς ἐξαιρέτου ζωῆς διελάσουσι τρίβον δεδεμένοι χειροπέδαις, D τοῦτ' ἔστι, δεσμοῖς ἀγάπης, καὶ σειραῖς ἀῤῥήτου φιλοθεΐας, ὥστε δύνασθαι λέγειν· « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; » Οὗτοι προσκυνήσουσί σοι, φησὶ, καὶ ἐν σοὶ προσεύξονται, ὅτι Θεὸς ἐν σοί ἐστι, καὶ οὐκ ἔστι Θεὸς, πλὴν σοῦ. Σὺ γὰρ εἶ Θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτὴρ. Κάμπτει γὰρ τῷ πάντων Σωτῆρι Χριστῷ πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογεῖται, καὶ εἰς αὐτὸν ἔρχεται πᾶν πέρας εὐχῆς. Ἐν Χριστῷ γὰρ αἰτοῦμεν παρὰ Θεοῦ καὶ Πατρὸς τὰ αἰτήματα, καὶ ἐν αὐτῷ προσευχόμεθα, ὁμολογοῦντες ὅτι καὶ ἐν αὐτῷ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν

[32] Rom. v, 20. [33] Rom. viii, 35. [34] Joan. xiv, 9, 10.

αὐτοῦ. Οὕτω γὰρ ἡμᾶς φρονεῖν ἐδίδαξε λέγων τῷ θεσπεσίῳ μαθητῇ (Φίλιππος οὗτος ἦν)· « Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν; Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. » Τὸ τοίνυν, Ὁ Θεὸς ἐν σοί ἐστι, καὶ Οὐκ ἔστι Θεὸς πλὴν σοῦ, ἴσην ἔχει δύναμιν τῷ, ὅτι « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. » Εἰ δὲ δὴ βούλοιτό τις τῶν εἰρημένων τὴν δύναμιν καὶ εἰς μόνον τὸ πρόσωπον τοῦ Χριστοῦ περιενεγκεῖν εὐτέχνως, φαμὲν ὅτι κατὰ τὴν τοῦ θεσπεσίου Παύλου φωνὴν, κατῴκηκε μὲν ἐν Χριστῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. Ἦν δὲ αὐτὸς ὁ Θεὸς, οὐχ εἰς υἱοὺς δύο διῃρημένος, ἀλλ' ὡς ἰδίαν ἔχοντος τοῦ Λόγου τὴν σάρκα, ἐν ᾗ καὶ κατῳκηκέναι λέγεται. Οὐκοῦν κἂν τούτῳ νοεῖται Θεὸς, καθάπερ ἐν ἀνθρωπίνῳ σώματι ψυχή· ἀλλ' οὖν εἷς Υἱός ἐστιν ὁ Θεός. Ἰστέον γε μὴν, ὅτι τὴν τοῦ Κυρίου σάρκα φαμὲν ἐψυχῶσθαι ψυχῇ νοερᾷ. Ὁμολογοῦσι δὴ οὖν, ὅτι Καὶ ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ. Σὺ γὰρ εἶ Θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτήρ. Αὕτη μετανοούντων φωνὴ, καὶ μεταφοιτώντων ἤδη πρὸς τὸ φῶς ἐξ ἀπάτης καὶ σκότου, καὶ εἰς ἐπίγνωσιν ἀληθείας διεληλακότων, καὶ τὸν φύσει τε καὶ ἀληθῶς ἐπεγνωκότων Θεὸν, καὶ τῶν ὅλων δημιουργὸν καὶ Κύριον. Σωτῆρά γε μὴν τοῦ Ἰσραὴλ ὀνομάζουσιν αὐτὸν τὸν ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον, αὐτὸν ἐκεῖνον εἶναι πιστεύσαντες, ὃς καὶ πάλαι τοῖς ἐξ Ἰσραὴλ ἐπίκουρος ἦν. Ἤγουν Ἰσραὴλ συνήσεις οὔτι που τὸν κατὰ σάρκα μόνον, ἀλλὰ γὰρ καὶ εἴ τις ἕτερος ὁρᾷν δύναται Θεόν. Διερμηνεύεται γὰρ τὸ Ἰσραὴλ *νοῦς ὁρῶν Θεόν*. Ὁρᾷ δὲ Θεὸν τοῖς τῆς διανοίας ὄμμασιν, ὁ τὸν τοῦ Θεοῦ καὶ Πατρὸς χαρακτῆρα βλέπων, τοῦτ' ἔστι, τὸν Υἱὸν, ᾧ καὶ ἐντραπήσεσθαί φησι τοὺς ἀνθεστηκότας, πορευθήσεσθαι δὲ καὶ ἐν αἰσχύνῃ. Οἱ γὰρ τὴν εἰς αὐτὸν πίστιν οὐ προσηκάμενοι, θεομαχήσαντες δὲ, καθάπερ ἀμέλει καὶ Ἰουδαῖοι, πάντες ἔσονται κατῃσχυμμένοι, ἡττώμενοι μὲν τῆς ἀνικήτου χειρὸς, ἀδικοῦντες δὲ παντελῶς οὐδὲν τὴν δόξαν αὐτοῦ, ταῖς γε μὴν σφῶν κεφαλαῖς ὄλεθρον ἐπαντλήσαντες, εἰς αἰσχύνην ἔσονται καὶ ὄνειδος. Ἔσονται γὰρ εἰς ὅρασιν πάσῃ σαρκὶ, κατὰ τὴν τοῦ προφήτου φωνήν.

A Verbum erat apud Deum, et Deus erat Verbum. Hoc erat in principio apud Deum [35]. » Sin cui libeat vim ac significationem dictorum etiam ad solam Christi personam referre, plane dicimus, juxta divini Pauli vocem, habitasse in Christo omnem plenitudinem divinitatis corporaliter [36]. Erat quippe ipse Deus, et non in duos filios divisus, sed propriam carnem veluti habente Verbo, in qua et habitasse dicitur. Igitur etiam in hoc intelligitur Deus, tanquam in humano corpore anima, tamen unus est Filius Deus. Sciendum vero nos dicere Domini carnem animari, anima intelligentiæ participe. Confitentur igitur: Et in te Deus est, et non est Deus præter te. Tu enim es Deus, et non novimus, Deus Israel servator. Hæc est B pœnitentiam agentium vox, et jam ab errore et tenebris ad lucem revertentium, et ad agnitionem veritatis transeuntium, et natura atque vere Deum, et universorum fabricatorem et Dominum agnoscentium. Servatorem Israelis nominant illum qui humanitatem sumpsit et carnem: illum eumdem credentes esse, qui erat quondam Israelitarum adminiculator. Vel Israelem intelliges, non solum carnalem, sed etiam si quis alius Deum potest videre. Interpretatur enim Israel, *mens videns Deum*. Videt autem Deum mentis oculis, qui Dei ac Patris characterem, nimirum Filium aspicit. Cui, inquit, qui restiterunt, pudefient, et in pudore ambulabunt. Nam qui fidem in ipsum non receperunt, sed cum Deo quodammodo pugnarunt, scilicet C Judæi, omnes erunt prostrati et devicti ab immota manu: qui ejus quidem majestatem nulla prorsus injuria afficiunt, suis autem capitibus exitium creant, et dedecus ignominiamque contrahunt. Erunt enim, juxta vocem prophetæ, spectaculo omni carni.

Ἐγκαινίζεσθε πρός με, νῆσοι. Ἰσραὴλ σώζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον. Οὐκ αἰσχυνθήσονται, οὐδὲ μὴ ἐντραπῶσιν ἕως τοῦ αἰῶνος, λέγει Κύριος παντοκράτωρ.

Ἀνευρύνει πάλιν τὴν προαγόρευσιν τῆς τῶν ἐθνῶν κλήσεως καὶ ἐπιστροφῆς· καὶ οὐ μέχρι μόνον ἵστησι τῶν Αἰγυπτίων τῆς τε Αἰθιοπίας τῶν ἐμπορίων, καὶ αὐτῶν δὲ τῶν Σαβαεὶμ· ἀλλὰ γὰρ ὅτι κεκλήσονται καὶ οἱ κατὰ πᾶσαν ὄντες τὴν γῆν, καὶ ἁγίων Ἐκκλησιῶν ἀνάδειξις ἔσται πανταχοῦ, διαμεμήνυκεν ἐν τούτοις. Προσεφώνει γὰρ ὥσπερ ταῖς Ἐκκλησίαις ὁ πανσθενὴς τοῦ Θεοῦ λόγος τὸ ἐγκαινίζεσθαι πρὸς αὐτὸν, ἃς δὴ καὶ νήσους κατονομάζειν ἀξιοῖ. Ὥσπερ γὰρ αἱ κατὰ τήνδε τὴν θάλασσαν νῆσοι βάλλονται μὲν ἀεὶ ταῖς τῶν κυμάτων ὁρμαῖς, πλὴν ἀκλόνητοι διαμένουσιν, εἰσδέχονται δὲ καὶ κινδυνευούσας ἔσθ' ὅτε τὰς ναῦς, καὶ σώζουσιν ἐκ κυμάτων, κόλπον αὐταῖς προ-

VERS. 17. *Innovamini ad me, insulæ. Israel servatur a Domino salute æterna. Non confundentur,* **616** *neque erubescent usque in sæculum, dicit Dominus* D *omnipotens.*

Rursus explicat et dilatat prædictionem vocationis gentium, et conversionis, et non in solis Ægyptiis, aut emporiis Æthiopiæ, aut ipsis illis Sabaim constituit, sed vocandos esse omnes ubique terrarum, et sanctarum Ecclesiarum patefactionem passim futuram, his verbis significavit. Compellat enim veluti Ecclesias, omnipotens Dei sermo, ut ad ipsum innoventur: quas etiam insulas dignatur nominare. Quemadmodum enim insulæ juxta mare, jactantur quidem semper fluctuum motibus, verum ipsæ manent inconcussæ, et naves quandoque periclitantes recipiunt, et sinum illis fluctibus vacuum porrigentes, servant a fluctibus: sic Ecclesiæ Christi jacent

[35] Joan. I, 1, 2. [36] Coloss. II, 9.

quidem tanquam in mediis vitæ turbis, et solitudine, et innumeris agitantur tentationibus; verum in Christo domicilium habent immotum: et eos qui mundanarum rerum inutilem inanemque turbationem ac tumultuationem fugiunt, et velut tempestatibus acti sunt a Satana et peccato, in domum admittunt. Eas igitur comparare oportet insulis. Hoc enim sibi vult hic divinus sermo. Innovamini igitur ad me, inquit, insulæ. Jam vero nomen Ecclesiæ multitudinem credentium in Christum declarat, ministros, et populos, pastores, et doctores, et subditos. Hi nimirum omnes in Christo innovabantur, suo tempore, scilicet quo nobis illuxit Deus Dominus. Tunc enim, tunc renovabamur etiam ad vitæ, ac morum institutorumque novitatem, et in cultu etiam. Abjecimus enim peccatum inveteratum, et in Christo facti sumus nova creatura, ipsius legibus ac pædagogia instituti ac ducti ad nobilem et amabilem vitæ conversationem. Siquidem Paulus sapientissimus vocatis per fidem scribit, et inquit interdum quidem: « Exuite veterem hominem cum perturbationibus et cupiditatibus suis, et induite novum, renovatum ad imaginem ejus qui condidit eum [37]. » Interdum vero rursus: « Ne conformes sitis sæculo huic, sed reformemini renovatione mentis vestræ, ut probetis vos, quæ sit voluntas Dei bona et accepta et perfecta [38]. » Et crucifigi simul dicit, veterem nostrum hominem, ut novum induamus, **617** per conversationem et vitam in Christo. Innovamur ergo, et cultus ratione: alii, qui Judaicos ritus sectantur, umbris relictis et figuris. Non enim utentur posthac boum victimis et thure, sed spiritualiter et non materialiter, suffimentis odoratissimis; alii e gentium multitudine capti et irretiti, ad meliora transmigrabunt, et ad ea quæ incomparabiliter excellunt atque eminent. Non enim jam veterem mentis habebunt caliginem, sed, divina et intelligibili luce intromissa, et sancti et veri cultores erunt. Desistent enim adorare creaturam et mutam sensusque expertem materiam, et vaticiniis ac præstigiis supersedebunt, et scurrilitatis Græcanicæ erroris que dæmoniorum absurditatem circumcident et amputabunt, atque, ut semel dicam, fœdioribus omissis, et ab exsecrandis recedentes studiis, omni erunt virtute ornati et dogmatum veritatis periti. Innovatio igitur hæc est quoad nos. Nova enim creatura est in Christo. Promittit siquidem universorum Deus, se omnes, inquam, illos qui secundum carnem sunt, et in filiis Abraham ex promissione numerantur (« non enim omnes ex Israel, hi Israel sunt, sed filii promissionis, hi reputantur in filiis [38*] »), servaturum salute æterna, ut cum dedecore, tum ignominia caveant, idque perpetuo. Exuto enim in Christo profano peccato, et diabolicæ tyrannidis jugo soluto, et una cum illis abjecta corruptione, at induta incorruptione in his erimus jugiter. Non etenim nobis peccatum insultabit amplius, neque

A τείνουσαι τὸν ἀκύμονα· οὕτως αἱ Ἐκκλησίαι Χριστοῦ, κεῖνται μὲν ὥσπερ ἐν μεσαιτάτῳ τοῦ βίου τύρβης τε καὶ ἀμιξίας, καὶ ἀναριθμήτων μὲν ἀνέχονται πειρασμῶν, πλὴν ἔχουσιν ἐν Χριστῷ τὸ ἀκράδαντον, εἰσοικίζονται δὲ τοὺς φεύγοντας τῶν ἐν τῷδε τῷ κόσμῳ πραγμάτων ἀνωφελῆ καὶ διάκενον ταραχὴν, καὶ οἷον καταχειμαζομένους ὑπό τε τοῦ Σατανᾶ καὶ τῆς ἁμαρτίας. Νήσοις δὴ οὖν παρεικαστέον αὐτάς. Τοῦτο γὰρ ἐν τούτοις ὁ θεῖος βούλεται λόγος. Ἐγκαινίζεσθε δὴ οὖν πρός με, φησὶν, ὦ νῆσοι. Τό γε μὴν τῆς Ἐκκλησίας ὄνομα τὴν τῶν εἰς Χριστὸν πιστευσάντων ὑφαίνει πληθὺν, ἱερουργούς τε καὶ λαοὺς, ποιμένας, καὶ διδασκάλους, καὶ τοὺς ὑπὸ χεῖρα κατεζευγμένους, ἀλλ' οὗτοι πάντες ἀνεκαινίσθησαν ἐν Χριστῷ, κατὰ καιροὺς δηλονότι καθ' οὓς ἐπέλαμ- B ψεν ἡμῖν Θεὸς ὢν Κύριος. Τότε γὰρ, τότε καὶ ἀνεκαινίσθημεν εἰς καινότητα ζωῆς, ἠθῶν τε καὶ τρόπων, καὶ προσέτι λατρείας. Ἀποβεβλήκαμεν γὰρ τὴν ἐκ τῆς ἁμαρτίας παλαίωσιν, γεγόναμεν δὲ καινὴ κτίσις ἐν Χριστῷ τοῖς αὐτοῦ νόμοις παιδαγωγούμενοι, πρὸς εὐκλεᾶ καὶ ἀξιέραστον πολιτείαν. Καὶ γοῦν ὁ πάνσοφος Παῦλος τοῖς κεκλημένοις διὰ πίστεως ἐπιστέλλει καί φησι, ποτὲ μὲν, ὅτι « Ἐκδύσασθε τὸν παλαιὸν ἄνθρωπον, σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις αὐτοῦ, καὶ ἐνδύσασθε τὸν νέον, τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· » ποτὲ δὲ πάλιν, « Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ ἀναμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον. » Συνεσταυρῶσθαι δέ φησι C καὶ τὸν παλαιὸν ἡμῶν ἄνθρωπον, ἵνα ἐνδυσώμεθα τὸν νέον διὰ τῆς ἐν Χριστῷ πολιτείας καὶ ζωῆς. Ἀνακαινιζόμεθα δὲ κατά γε τὸν τῆς λατρείας τρόπον, οἱ μὲν ἐκ τῶν Ἰουδαϊκῶν ὄντες ταγμάτων, σκιὰς ἀφέντες καὶ τύπους. Κεχρήσονται γὰρ βουθυσίαις μὲν καὶ λιβανωτοῖς οὐκέτι, πνευματικὴν δὲ, καὶ ἄϋλον, καὶ καθάπερ ἐν τάξει τῶν εὐκοσμοτάτων θυμιαμάτων· οἱ δὲ ἐκ τῆς τῶν ἐθνῶν πληθύος σεσαγηνευμένοι μετοικισθήσονται πρὸς τὰ ἀμείνω, καὶ ἀσυγκρίτως ὑπερκείμενα. Οὐ γὰρ ἔτι τὸν ἀρχαῖον εἰς νοῦν ἕξουσι σκότον, ἀλλὰ τὸ θεῖόν τε καὶ νοητὸν εἰσοικισάμενοι φῶς, ὅσιοί τε καὶ ἀληθεῖς ἔσονται προσκυνηταί. Ἀποπεπαύσονται γὰρ τοῦ προσκυνεῖν τῇ κτίσει κωφαῖς τε καὶ ἀναισθήτοις ὕλαις· ἀφέξονται δὲ μαντειῶν τε καὶ γοητειῶν, καὶ καθαρίσουσι τὸ D ἀπηχὲς βωμολοχίας Ἑλληνικῆς καὶ ἀπάτης δαιμονίων, καὶ ἁπαξαπλῶς τὰ αἴσχίω μεθέντες, καὶ βδελυρῶν σπουδασμάτων ἀπονοστήσαντες, ἔσονται ἀρετῆς ἁπάσης ἐν καλῷ, καὶ τῶν τῆς ἀληθείας δογμάτων ἐπιστήμονες. Ἐγκαινισμὸς οὖν ἄρα τὰ καθ' ἡμᾶς. Καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῷ. Ἐπαγγέλλεται γε μὴν ὁ τῶν ὅλων Θεὸς ἅπαντα τὸν κατὰ σάρκα, φημὶ, καὶ τὸν ἐν τέκνοις Ἀβραὰμ ἐξ ἐπαγγελίας, κατατεταγμένον (« Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, ταῦτα λογίζεται εἰς τέκνα »), σώζειν σωτηρίαν αἰώνιον, αἰσχύνης τε καὶ ἐντροπῆς ἔσεσθαι πορρωτέρω, καὶ ταῦτα διηνε-

[37] Ephes. IV, 22. [38] Rom. XII, 2. [38*] Rom. IX, 6-8.

κῶς. Ἀποδυσάμενοι γὰρ ἐν Χριστῷ τὴν βέβηλον A ἁμαρτίαν καὶ τῆς τοῦ διαβόλου πλεονεξίας ἀπολυσάμενοι τὸν ζυγὸν, συναποβάλλοντες δὲ τούτοις τὴν φθορὰν, ἐνδυσάμενοί τε τὴν ἀφθαρσίαν, ἐν τούτοις ἐσόμεθα διὰ παντός. Οὐκέτι γὰρ ἡμῶν ἁμαρτία κατορχήσεται· ἀλλ' οὐδὲ πλεονεξίαις ταῖς πρώταις ὑποθήσει πάλιν ὁ Σατανᾶς· οἰχήσεται δὲ εἰσάπαν καὶ τὸ τοῦ θανάτου κράτος κατὰ τὸν αἰῶνα τὸν μέλλοντα πεπατημένον ἐν Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

priori nos tyrannidi subjiciet denuo Satanas: sed et mortis imperium, prorsus in æternum intercidet atque peribit, calcatum in Christo, per quem et quocum sit gloria et imperium Deo ac Patri cum sancto Spiritu, in æterna sæcula. Amen.

ΛΟΓΟΣ Γ'.

Οὕτω λέγει Κύριος ὁ ποιήσας τὸν οὐρανὸν, οὗτος ὁ καταδείξας τὴν γῆν, καὶ ποιήσας αὐτὴν, οὗτος διώρισεν αὐτήν. Οὐκ εἰς κενὸν ἐποίησεν αὐτὴν, ἀλλὰ κατοικεῖσθαι. Ἐγώ εἰμι Κύριος, καὶ οὐκ ἔστιν ἔτι. Οὐκ ἐν κρυφῇ λελάληκα, οὐδὲ ἐν B *τόπῳ γῆς σκοτεινῷ. Οὐκ εἶπα τῷ σπέρματι Ἰακὼβ, Μάταιον ζητήσατε. Ἐγώ εἰμι Κύριος λαλῶν δικαιοσύνην, καὶ ἀναγγέλλων ἀλήθειαν.*

Προανακηρύξας τὴν ἄφιξιν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ τὸν τῆς σωτηρίας κατασημάνας καιρὸν, καθ' ὃν ἅπαντες τὸν τῆς ἀρχαίας ἀμαθίας ἀφέντες σκότον, πρὸς τὸ τῆς ἀληθοῦς θεογνωσίας μεταχωρήσουσι φῶς, ἀναγκαίαν ἐν τούτοις ποιεῖται τὴν παραίνεσιν Ἰουδαίοις τε καὶ Ἕλλησι προστιθεὶς ἐναργῆ τὰ δι' ὧν εἴσονται καὶ μάλα σαφῶς, ὅτι τε αὐτὸς εἴη Θεὸς τῶν ὅλων καὶ δημιουργὸς, ἕτερος δὲ παρ' αὐτὸν οὐδείς. Ταύτῃ τοι φησίν· Οὕτω λέγει Κύριος, καὶ οὐχ ἁπλῶς Κύριος, πλεῖστοί τε γάρ εἰσιν ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ὡς ἐν καταχρήσει λαχόντες τοὔνομα· ἀλλ' ἐκεῖνος αὐτὸς ὁ φύσει τε καὶ C ἀληθῶς τοῦτο ὑπάρχων ὅπερ εἶναι καὶ λέγεται, καὶ ὡς ἀπό γε τῶν κατωρθωμένων τὴν δόξαν ἔχων οὐ κατεψευσμένην. Οὗτος γὰρ, φησὶ, Κύριος ὁ ποιήσας τὸν οὐρανόν· πάμμεγα πρὸς ἀπόδειξιν εὐκλείας τῆς ἀνωτάτω, καὶ ὑπεροχῆς πανσθενοῦς, τὸ ποιῆσαι τὸν οὐρανὸν καὶ καταδεῖξαι τὴν γῆν, ἱδρῦσαί τε αὐτήν. Αὐτὸς γὰρ διώρισεν αὐτὴν, τοῦτ' ἔστι, κεκρυμμένην ἐν ἀβύσσοις ἀόρατόν τε καὶ ἀκατάσκευον οὖσαν πάλαι ἀπέφηνεν ὁρατὴν, καὶ εἰργασμένην. Διώρισε γὰρ αὐτήν· ἔφη γὰρ κατά γε τὴν πίστιν τῶν Μωσέως βιβλίων· « Συναχθήτω τὸ ὕδωρ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. » Ὤφθη δὴ οὖν ἐξ ὑδάτων, καὶ ὑποβρυχίαν οὖσαν ἀεργῆ τε εἰσάπαν διέστησεν ἀνὰ μέρος, κλεῖθρα καὶ πύλας ταῖς ἀβύσσοις ἐπιθεὶς, καὶ D ἀποκρίνας εὖ μάλα τῶν ὑδάτων αὐτήν. Ὅτι δὲ παρήγαγε χρησίμως εἰς τοῦτό τε καὶ ἀναγκαίως, οὐχ ἵνα ὁρῷτο μόνον, ἀλλ' ἵνα ἔχῃ τοὺς οἰκήτορας, δῆλον δὲ ὅτι τοὺς ἐξ αὐτῆς πεπλασμένους, καθάπερ ἀμέλει καὶ οὐρανὸν τοὺς ἁγίους ἀγγέλους προδιεσάφησεν εἰπών· Οὐκ εἰς κενὸν ἐποίησεν αὐτὴν, ἀλλὰ κατοικεῖσθαι. Ὄχημα δὴ οὖν καὶ ὥς τις οἶκος ἀνεδείχθη τοῖς πατοῦσιν αὐτὴν, τοῦτ' ἔστιν, ἡμῖν. Εἰ δὲ παρήχθημεν παρ' αὐτοῦ πρὸς ὕπαρξιν, πῶς οὐκ ἀληθὲς εἰπεῖν ὅτι πάντως που καὶ διὰ τοῦτο γεγόναμεν, ἵνα προσκυνῶμεν αὐτῷ τε καὶ μόνῳ, καὶ γενεσιουργὸν ὄντα τῶν ὅλων ἐπιγινώσκοντες χαριστηρίους ᾠδὰς ἀναφέρωμεν; Ἐγὼ τοίνυν εἰμὶ, καὶ οὐκ ἔστιν ἔτι. Εἰ γὰρ

ORATIO III.

VERS. 18, 19. *Sic dicit Dominus qui fecit cœlum, hic Deus qui ostendit terram, et fecit eam, hic distinxit eam. Non frustra fecit eam, sed ut habitaretur. Ego sum Dominus, et* **618** *non est alius. Non in occulto locutus sum, neque in loco terræ tenebroso. Non dixi semini Jacob, Vanum quærite. Ego sum Dominus loquens justitiam, et annuntians veritatem.*

Cum Servatoris omnium nostrum Christi adventum prædixerit, et salutis tempus quo, pristinæ ignorantiæ caligine relicta, ad veræ Dei cognitionis lucem omnes pervenient, significarit, necessariam hic attexit adhortationem, declarans et ob oculos proponens cum Judæis, tum Græcis, unde sciant apertissime ipsum esse Deum et universorum opificem, et præterea neminem. Hinc ait: Sic dicit Dominus: et non simpliciter Dominus; complures enim et in cœlo et in terra, per abusionem hoc sortiti nominis: sed ille ipse qui natura et vere exsistit id quod esse dicitur, et a præclaris factis habet hanc non fucatam aut ementitam gloriam. Ille enim, inquit, Dominus est qui fecit cœlum. Plurimum facit ad demonstrationem nobilitatis summæ, et eminentiæ omnipotentis, cœlum facere, et terram ostendere, eamque stabilire. Ipse enim distinxit eam, id est, absconditam in abysso, et inaspectabilem et incompositam quondam, spectabilem fecit et compositam. Distinxit enim eam; dixit enim secundum fidem Mosaicorum librorum: « Congregetur aqua in congregationem unam, et appareat arida[29]. » Apparuit itaque ex aquis, et submersam omninoque illaboratam et incultam seorsim discrevit, claustra et ostia abyssis obdidit eamque optime ab aquis secrevit. Quod autem ad hunc finem utiliter et necessario perduxerit, non ut conspiciatur solum, sed ut incolas habeat, nimirum ex ipsa formatos, sicuti videlicet et cœlum habet sanctos angelos, declaravit supra cum dixit: Non frustra fecit eam, sed ut inhabitetur. Vehiculum igitur et velut domicilium quoddam, eam calcantibus, id est, nobis, proposita est. Quod si ab eo producti sumus et editi, quidni verum sit, si dicamus omnino nos ideo factos esse, ut adoremus illum et solum, agnoscamusque esse creatorem universorum, gratiasque et laudes referamus? Ego igitur sum, et non est præterea alius. Si etenim ille sit qui fecit cœlum et terram ostendit, nec eam frustra fecit, sed ad inhabitandum:

[29] Gen. I, 9.

quisnam alius præter **619** ipsum Deus exsistere intelligatur? aut quis illum potentia et gloria exæquabit? aut quis omnino prope accedet? Et quidni omnis mortalium natura ab hac tam magna et superante omnia gloria, fortitudine, et sapientia vincatur? Nemo est alius. Solus est igitur, et præter ipsum omnino nullus potest natura et vere Deus intelligi. Verumtamen dixerit profecto quispiam aliquando: Quis cognovit scopum et propositum ipsius? aut quis potest dicere utrum aliquando etiam alios quospiam gloria et vocatione Dei velit coronari, an seipsum solum? Defendit itaque, et inquit: Non in occulto locutus sum, nec in loco terræ tenebroso: non dixi semini Jacob, Vanum quærite. Leges, inquit, constitui hisce de rebus, non in abscondito illis loquens, nec id quærens ut laterem, sed perspicue et manifeste. Descendit enim Dominus super montem Sina, specie ignis; illic caligo erat, et procella et fumi, et sonorus clangor tubarum. Circumstetit enim omnis populus, sequestre Mose, et a Deo leges ferebantur, nec præcepit Israeli ut quæreret quidpiam vanum, id est, idolum, vel falso nominatum cultum: sed e contrario præcepta vetuerunt. Nam dictum est ei: « Dominum Deum tuum adorabis, et ei soli servies: et non erunt tibi dii alii præter me. Et non facies tibi ipsi simulacrum, neque similitudinem ullius rei, quæcunque est in cœlo supra, et quæcunque in terra deorsum, et quæcunque in aquis sub terra [16]. » Itaque dictum est ei: Ego sum Dominus. Simile est ei quod non semel, at sæpe dicit: Sum Deus solus, et universorum Dominus, loquens justitiam, et annuntians veritatem. Justitiam, ut ego puto, legem dicit: est enim justitiæ dispensatrix lex; veritatem autem, Christi disciplinam et instituta. Inest enim legi forma veritatis, et occultatur in umbris Christi mysterium. De ipso enim scripsit Moyses. Itaque in eo quod loquatur justitiam, annuntiatur una cum ea etiam veritatis quidam vigor: siquidem verum est umbram fuisse legem, et in ea fuisse formam et speciem veritatis.

ἐστιν αὐτὸς ὁ ποιήσας τὸν οὐρανὸν, καὶ τὴν γῆν καταδείξας, καὶ μὴ εἰς κενὸν ποιήσας αὐτὴν, ἀλλὰ κατοικεῖσθαι· τίς ἂν ἕτερος νοοῖτο παρ' αὐτὸν ὑπάρχων Θεός; ἢ τίς κατ' ἰσχὺν καὶ δόξαν ἰσοστατήσειεν αὐτῷ; ἢ τίς ὅλως ἐγγὺς καὶ παρὰ βραχύ; πῶς δὲ οὐχ ἅπασα ἡττᾶται τῶν γενητῶν ἡ φύσις, τῆς οὕτω μεγάλης καὶ ὑπεραιρούσης τὰ πάντα, δόξης, ἀλκῆς καὶ σοφίας; Οὐκ ἔστιν οὐδείς. Μόνος οὖν ἄρα, καὶ ἕτερος ἐπ' αὐτῷ παντελῶς οὐδεὶς νοοῖτ' ἂν εἶναι Θεὸς φύσει τε καὶ ἀληθῶς. Ἀλλὰ ναὶ φαίη τις ἂν ἔσθ' ὅτε· Τίς ἔγνω τὸν ἐν αὐτῷ σκοπόν; ἢ τίς ὁ φράσαι δυνάμενος, πότερόν ποτε καὶ ἑτέρους τινὰς τῆς τοῦ Θεοῦ δόξης καὶ κλήσει στεφανοῦσθαι βούλεται, ἤγουν ἑαυτόν τε καὶ μόνον; Ἀπολογεῖται δὴ οὖν καί φησιν· Οὐκ ἐν κρυφῇ λελάληκα, οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ· οὐκ εἶπα τῷ σπέρματι Ἰακὼβ, Μάταια ζητήσατε. Νόμους, φησὶ, διέταξα περὶ τούτων αὐτοῖς οὐκ ἐν παραβύστῳ λαλῶν, οὐδὲ λαθεῖν σπουδάσας, ἀλλ' ἐναργῶς, καὶ ἀναφανδόν. Κατέβη γὰρ Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ ἐν εἴδει πυρός· ἐκεῖ γνόφος ἦν καὶ θύελλα καὶ καπνοὶ, καὶ σαλπίγγων ἠχὴ διαπρύσιος. Παρειστήκει γὰρ πᾶς ὁ λαὸς μεσιτεύοντος τοῦ Μωσέως, ἐξηγγέλλοντο δὲ παρὰ Θεοῦ νόμοι, οὐ παρεγγυῶντος τῷ Ἰσραὴλ ζητῆσαί τι μάταιον, τοῦτ' ἔστιν, εἴδωλον, ἤγουν ψευδώνυμον σέβας, ἀλλ' ἔκ γε τῶν ἐναντίων ἀπείργουσαι ἐντολαί. Εἴρηται γὰρ πρὸς αὐτόν· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. Καὶ οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. » Οὐκοῦν εἴρηται πρὸς αὐτόν· τὸ δὲ, Ἐγώ εἰμι Κύριος, ὅμοιον ὡς εἰ λέγοι, καὶ οὐχ ἅπαξ, πλειστάκις, τὸ ὅτι δὴ Μόνος εἰμὶ Θεὸς, καὶ τῶν ὅλων Κύριος, λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν· καὶ δικαιοσύνην μὲν, ὥς γε οἶμαι, φησὶ τὸν νόμον· Ἔστι γὰρ δικαιοσύνης βραβευτὴς ὁ νόμος· ἀλήθειαν δὲ τὰ Χριστοῦ παιδεύματα. Ἔνεστι δὲ τῷ νόμῳ τῆς ἀληθείας ἡ μόρφωσις, καὶ ἐγκέκρυπται ταῖς σκιαῖς τὸ Χριστοῦ μυστήριον. Περὶ αὐτοῦ γὰρ γέγραφεν ὁ Μωσῆς. Οὐκοῦν ἐν τῷ λαλῆσαι τὴν δικαιοσύνην, ἀναγγέλλεται σὺν αὐτῇ καὶ τῆς ἀληθείας ἡ δύναμις, εἴπερ ἀληθές ἐστιν ὅτι σκιὰ μὲν ὁ νόμος ἦν, νῦν δὲ αὐτῷ τῆς ἀληθείας ἡ μόρφωσις.

VERS. 20. *Congregamini et venite, consulite simul, qui servamini ex gentibus. Non cognoverunt qui tollunt lignum sculpturam suam, et qui orant velut deos qui non servant.*

Συνάχθητε, καὶ ἥκετε, βουλεύσασθε ἅμα, οἱ σωζόμενοι ἀπὸ τῶν ἐθνῶν. Οὐκ ἔγνωσαν οἱ αἴροντες τὸ ξύλον τὸ γλύμμα αὐτῶν, καὶ προσευχόμενοι ὡς θεοὺς, οἱ οὐ σώζουσιν.

620 Abduxit ab intima Dei conjunctione et consortio terræ incolas draco defector, et submotos a vera Dei notitia dissipavit ac conjecit in seductionem et errorem multorum deorum, et in vitia præcipitans, perversitatis suæ linum ipsis inexplicabile et inextricabile reddidit. Verum apparuit Emmanuel, impeditos educens viriliter ac fortiter, carnisque mortem nostra causa subivit, ut, quemadmodum ait evangelista, filios Dei dispersos in unum congregaret. Nam quos dissipavit tanquam sævus et fe-

Ἀπεβουκόλησε μὲν τῆς πρὸς Θεὸν οἰκειότητος σχετικῆς τοὺς ὄντας ἐπὶ τῆς γῆς ὁ δράκων ὁ ἀποστάτης, καὶ τῆς ἀληθοῦς θεογνωσίας ἀποσκευάσας κατεσκέδασεν εἰς ἀπάτην, καὶ πολύθεον πλάνησιν, καὶ τοῖς τῆς φαυλότητος τρόποις ἐγκαθιεὶς, δυσδιάφυκτόν τε καὶ ἀνεξίτητον ἀπέφηνεν αὐτοῖς τῆς ἑαυτοῦ δυστροπίας τὸ λίνον. Ἀλλ' ἐπέφανεν ὁ Ἐμμανουὴλ ὁ ἐξάγων τοὺς πεπεδημένους ἐν ἀνδρείᾳ, ὑπέμεινέ τε δι' ἡμᾶς τὸν κατὰ σάρκα θάνατον, ἵνα, ὡς ὁ εὐαγγελιστής φησι, τὰ τέκνα τοῦ Θεοῦ τὰ δι-

[16] Deut. v, 8; vi, 13.

εσκορπισμένα συναγάγῃ εἰς ἕν. Ἃ γὰρ διεσκόρπισεν A ὡς ὠμὸς καὶ ἄγριος λύκος ἐπιπηδήσας ὁ Σατανᾶς, ταῦτα συνεκόμισεν ὁ Χριστὸς ὁ ποιμὴν ὁ καλὸς, ὁ τὴν ψυχὴν ἑαυτοῦ θεὶς ὑπὲρ τῶν προβάτων. Οὐκοῦν αὐτὸ δὴ τοῦτο κατασημαίνει, λέγων· Συνάχθητε, τοῦτ' ἔστι, συνδέθητε πίστει μιᾷ, καὶ ὁμοψυχίᾳ. Συνάχθητε τῷ πάντων κρατοῦντι Θεῷ δι' ἁγιασμοῦ καὶ δικαιοσύνης· ἥκετε πλησίον, οἱ μακρὰν ὄντες ἔτι καὶ ἀπεσχοινισμένοι διὰ τὴν ἁμαρτίαν, καὶ τὸ εἰς αἰσχροτάτην καὶ βδελυρωτάτην κατακομισθῆναι διάθεσιν τοῦ νοῦ. Ἀφεστάναι δέ φαμεν τοῦ Θεοῦ τοὺς πεπλανημένους, οἳ καὶ ἐγγὺς ἔσονται διὰ πίστεως τῆς εἰς Χριστόν. Προσπεφώνηκε γοῦν τοῖς εἰς τοῦτο δραμοῦσι ὁ πάνσοφος Παῦλος· « Νυνὶ δὲ οἵ ποτε ὄντες μακρὰν ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ. » Καὶ πάλιν περὶ αὐτοῦ, ὅτι « Ἐλθὼν εὐ- B ηγγελίσατο εἰρήνην ἡμῖν τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς. » Ταύτῃτοι διὰ προφητῶν ἁγίων τοῖς ἔτι μακρὰν ἐλέγετο· « Ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. » Ἥκετε δὴ οὖν, φησὶ, καὶ βουλεύσασθε ἅμα οἱ σωζόμενοι ἀπὸ τῶν ἐθνῶν. Τὸ δὲ, Βουλεύσασθε, φησὶν, ἀντὶ τοῦ, Πραττέσθωσαν παρ' ὑμῶν τὰ τῆς εἰς Θεὸν ἐπιστροφῆς, μὴ ἀβούλως, ἢ ἀκατασκέπτως, ἀλλ' ἐν φρονήσει τεθαυμασμένῃ. Διὰ γὰρ τῆς πίστεως προελάσαι σύνεσιν, εἴπερ οὐκ ἔστιν ἐνδοιαστὸν ὅτι τῆς ἐν τῷ πεπλανῆσθαι δυσβουλίας κατεγνωκότες, καὶ τῆς ἀρχαίας ἀπάτης ἀποστρεφόμενοι τὴν ζημίαν, ἄπιμεν δρομαῖοι πρὸς Θεὸν, τὸ τῆς ἀληθοῦς θεογνωσίας δεχόμενοι φῶς, καὶ τοῖς ἀμείνοσιν ἀσυγκρίτως τὴν ἐξ ὀρθῆς διανοίας ψῆφον ἐπάγοντες. Βουλεύσασθε C δὴ οὖν, τοῦτ' ἔστιν, φρονήσατε, οἱ ἀπὸ τῶν ἐθνῶν σωζόμενοι. Ὡς γὰρ ἀφροσύνης ὄντας μεστοὺς ἀποφοιτᾶν ἐπιτάττει πρὸς ἔμφρονα νοῦν, ἀξιάγαστόν τε καὶ ἀνεπίληκτον σύνεσιν, δι' ἧς ἂν γένοιτο κατιδεῖν τὴν τοῦ πάντων κρατοῦντος Θεοῦ δύναμίν τε καὶ δόξαν. Ἀλλ' οὐκ ἔγνωσαν τοῦτο, φησὶ, τοῦτ' ἔστιν, ἀνούστατοι παντελῶς νοηθεῖεν ἂν ὄντες, καὶ ἀσυνεσίας ἔμπλεῳ τῆς ἐσχάτης. Οἱ αἴροντες τὸ ξύλον γλύμμα αὐτῶν. Τὸ δὲ αἴροντες ἐν τούτοις, ἀντὶ τοῦ ὑψοῦντες νοήσεις, ὥστε καὶ τὴν τῷ Θεῷ πρέπουσαν δόξαν ἀνάπτειν αὐτῷ, καὶ τούτῳ ξύλῳ καὶ παρ' αὐτῶν ἐγγεγλυμμένῳ. Εἶτα προσευχόμενοι ὡς πρὸς θεοὺς, οἳ οὐ σώζουσιν. Ἀμαθεῖς οὖν ἄρα, καὶ οὐ μακρὰν τῶν προσκυνουμένων τό γε ἧκον εἰς ἀναισθησίαν, οἱ ταῖς ἑαυτῶν προσκυνοῦντες τέχναις, καὶ D ἐξ ὕλης ἀναισθήτου ζητοῦντες ἐπικουρίαν, καὶ τὴν τοῦ Θεοῦ κλῆσιν προσνέμοντες τοῖς διὰ σφῶν αὐτῶν τεχνοποιουμένοις καὶ τεχνουργημένοις. Ἀκουέτωσαν τῆς τοῦ Ψάλλοντος λύρας ἐπιτωθαζούσης αὐτοῖς καὶ βοώσης· « Ὅμοιον αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. »

Εἰ ἀναγγελοῦσιν, ἐγγισάτωσαν, ἵνα γνῶσιν ἅμα, τίς ἀκουστὰ ταῦτα ἐποίησεν ἀπ' ἀρχῆς. Τότε ἀνηγγέλη ὑμῖν· Ἐγὼ ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ· δίκαιος καὶ σωτὴρ οὐκ ἔστι πάρεξ ἐμοῦ. Ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε οἱ ἐπ' ἐσχάτου τῆς γῆς.

Παγίδας ἱστάντες δεινάς τε καὶ πολυτρόπους τοῖς

rus lupus insultans Satanas, hos Christus coegit, tanquam bonus pastor, qui animam suam pro ovibus posuit. Hoc itaque ipsum significat dicens: Congregamini, id est, una fide et animorum consensione colligamini. Congregamini Deo omnium dominatori, per sanctificationem et justitiam. Venite prope, qui longe adhuc estis, ab hoc funiculo ac sorte remoti propter peccatum. Quippe in fœdam et exsecratissimam mentis affectionem deductos, a Deo abscessisse dicimus eos qui erraverunt, qui etiam prope erunt per fidem in Christum. Siquidem Paulus sapientissimus currentes ad hoc affatus est: « Nunc autem qui quondam procul eratis, facti estis prope in sanguine Christi [41]. » Et rursus de eodem: « Venit ut evangelizaret pacem nobis, qui aberamus procul, et his qui prope aderant [42]. » Hinc per prophetas sanctos his qui jam procul aberant, dicebat: « Appropinquate Deo, et appropinquabit vobis [43]. » Venite igitur, inquit, et consulite simul, qui servamini ex gentibus. Consulite, dicit, pro, Quæ ad conversionem attinent, gerantur a vobis non inconsulto neque inconsiderate, sed miranda prudentia. Per fidem enim cognitio augescit: siquidem non est dubium, si erroris nos et stultitiæ condemnaverimus, et a pristina impostura convertamur, nos propere cursimque ire ad Deum, et veræ Dei cognitionis lucem accipere, et rebus melioribus citra comparationem recti judicii calculo subscribere. Consulite igitur, id est, sapite, qui ex gentibus servamini. Nam velut insipientiæ plenos ad mentem sapientem eos jubet redire, et admirabilem inculpatamque intelligentiam, qua perspicere omnium dominatoris Dei et potentiam et majestatem liceat. Sed hoc non **621** noverunt, inquit, id est, omnino amentes esse intelligi possunt, et extrema pleni inscitia. Qui tollunt lignum sculpturam suam. Qui tollunt, intelliges hoc loco, pro, Qui extollunt, ut ei gloriam Deo dignam attribuant, cum lignum sit, et ab ipsis sculptum. Deinde orant veluti deos, qui non servant. Ideoque sunt rudes, et parum abest quin similes illis sint qui adorantur, quantum ad stupiditatem, hi qui suum adorant artificium, et a materia quæ sensu caret, auxilium quærunt, et Dei appellationem rebus a seipsis fabrefactis attribuunt. Audiant ergo lyram Psallentis, subsannantem illos et clamantem: « Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis [44]. »

VERS. 21, 22. *Si annuntiant, appropinquent, ut sciant simul, quis hæc auditui patefecerit ab initio. Tum annuntiatum est vobis: Ego Deus, et non est alius præter me: justus et servator non est præter me. Convertimini ad me, et salvi eritis, vos qui estis in extremo terræ.*

Laqueos ponentes terræ incolis, graves et multi-

[41] Ephes. II, 13. [42] ibid. 17. [43] Jac. IV, 8. [44] Psal. CXIII, 15.

plices, et foveas interitus fodientes scelerati dæmones, et divinitatis gloriam impie rapientes et deprædantes, suisque capitibus accommodantes, audacissimi, erroris sui machinamenta conflare et exstruere nitebantur. Nam semper ad certum tempus fingebant se futura scire, et posse illa discere volentibus annuntiare. Oracula itaque per regiones et urbes erant et falsa vaticinia ubique et ominationes, ac impostorum multitudo, ut scriptum est, ex suo corde loquentium, et, conjectores, et necromantici, et qui e terra edunt vocem, ac ventriloqui, quique e farinis vaticinantur, et ut semel dicam, orbis terrarum mendacium plenus erat et impostorum. Neque igitur ulla vera futurorum cognitione erant præditi, sed vanitate, nugamentis, errore et dolo, nec quidquam erat præterea aliud. Hinc dicit universorum Deus: Si annuntiabunt, appropinquent, ut sciant simul. Si enim possunt annuntiare, inquit, veniant, ut simul sciant, ut aliquid palam omnes in unum coacti annuntient. Erant enim, ut dixi, seorsim ac passim oracula. Aliique alio iverunt, **622** et mentientes impuros dæmonas adorarunt. Si vere, inquit, annuntiare possunt, simul et eodem in loco congregati omnes, sciant aliquid futurorum, quis auditui patefecerit illa ab initio. Quis est enim superstitiosorum, aut quis illorum vatum falsorum, vel eorum qui illis vaticiniis addicti erant, qui unquam novit vel annuntiavit, suo tempore effulsurum in mundo Christum, aut nubem erroris abituram, et falso nominatæ cognitionis tenebras dispellendas, et effulsurum terræ incolis, tanquam intelligibilem luciferum, tanquam splendorem et diem, tanquam solem justitiæ, Christum? Sed neque, inquit, hi qui futurorum cognitionem præ se tulerunt dæmones, hæc ab initio nuntiarunt: neque illorum vanitatis administri. Nullus enim Græcorum poetarum vel rhetorum has res tam illustres commemoravit. Quis igitur hæc auditui patefecit ab initio? Tunc etiam annuntiatum est vobis, id est, ab initio. Annuntiata sunt autem a nullo alio, sed a me potius, qui omnia novi, et antequam fierent, prænuntiavi. Locutus sum enim vobis illa, et per Moysen et per prophetas sanctos, qui meos ad vos tanquam legati deportarunt sermones. Itaque, inquit, ego sum Deus, et non est alius præter me. Sum autem justus et servator. Injusti enim sunt scelerati dæmones, et perniciosi, et sanguinolenti, detrudentes in exitium terræ incolas. Justus et servator est universorum Deus, subveniens oppressis, solvens vinculis direptos, et catenis peccatorum constrictos, illustrans obtenebratos, roborans debilitatum, excitans quod jacet, et convertens quod errat. Hinc dicit: Convertimini ad me, et servamini ab extremo terræ. Quibus ex verbis optime perspicere licet gratiæ per Christum magnitudinem, omnes qui sunt in terra pervadentem. Contracta enim erat salus et gratia per Moysen, ad unam gentem Israelis meaus: at gratia per Christum porrecta est velut et ad ter-

A ἐπὶ τῆς γῆς, καὶ τοὺς τῆς ἀπωλείας ὀρύττοντες βόθρους, οἱ ἀλιτήριοι δαίμονες, καὶ τὴν τῆς θεότητος δόξαν ἀνοσίως καταληστεύοντες, καὶ ταῖς σφῶν αὐτῶν ἀνάπτοντες κεφαλαῖς, οἱ πάντολμοι τὰ τῆς ἑαυτῶν ἀπάτης ἐργαστήρια συγκροτεῖν ἐσπούδαζον. Ὑποκρινόμενοι δὲ τὸ εἰδέναι τὰ μέλλοντα, καὶ ἀπαγγέλλειν αὐτὰ δύνασθαι τοῖς ἐθέλουσι μαθεῖν, μέχρι καιροῦ διατετελέκασι γοῦν ἁρπάζοντες. Χρηστήρια γοῦν κατὰ χώρας τε καὶ πόλεις, ψευδομαντεῖαί τε ἦσαν πανταχοῦ, καὶ κληδωνισμοὶ, καὶ φενάκων πληθὺς τὰ ἀπὸ καρδίας αὐτῶν λαλούντων, κατὰ τὸ γεγραμμένον, χρησμῳδοὶ, καὶ νεκυομάντεις, καὶ οἱ φωνοῦντες ἐκ γῆς, ἐγγαστρίμυθοί τε καὶ ἀλφιτομάντεις, καὶ ἁπαξαπλῶς ψευστῶν, καὶ φενάκων ἡ ὑφήλιος πεπλήρωτο. Ἦν οὖν ἄρα παρ' αὐτοῖς οὐδεB μία μὲν ἀληθὴς τῶν ἐσομένων ἡ γνῶσις, ψευδηγορίαι δὲ, καὶ βωμολογίαι καὶ ἀπάτη, καὶ δόλος, καὶ ἕτερον οὐδέν. Ταύτῃ τοι φησὶν ὁ τῶν ὅλων Θεός· Εἰ ἀναγγελοῦσιν, ἐγγισάτωσαν, ἵνα γνῶσιν ἅμα. Εἰ γὰρ δύνανται, φησὶν, ἀπαγγέλλειν, ἡκέτωσαν ἵνα γνῶσιν ἅμα, ἵνα τι κατὰ πρόσωπον οἱ πάντες εἰς ἓν συνηγηγερμένοι (ἦσαν μὲν γὰρ, ὡς ἔφην, ἀνὰ μέρος πλεισταχοῦ χρηστήρια. Ἄλλοι δὲ ἄλλως ἐφοίτων, καὶ ψευδηγοροῦντας ἐτίμων τοὺς ἀκαθάρτους δαίμονας)· εἰ δὲ ἀληθῶς ἀναγγεῖλαι δύνανται, φησὶν, ἅμα καὶ κατὰ ταὐτὸν γενόμενοι πάντες, γνώτωσάν τι τῶν ἐσομένων, τίς ἀκουστὰ ἐποίησε ταῦτα ἀπ' ἀρχῆς. Τίς γὰρ τῶν δεισιδαιμόνων, ἢ τῶν παρ' ἐκείνοις προφητῶν, ἢ τῶν τοῖς μαντείοις προσκαθημένων, ἔγνω C ποτὲ καὶ ἀπήγγειλεν ὅτι κατὰ καιροὺς ἐπιλάμψει τῷ κόσμῳ Χριστὸς, καὶ ὅτι τὸ τῆς ἀπάτης οἰχήσεται νέφος, καὶ ἀποσκεδασθήσεται μὲν ὁ τῆς ψευδωνύμου γνώσεως σκότος, ἀναλάμψει δὲ τοῖς ἐπὶ τῆς γῆς, ὡς νοητὸς ἑωσφόρος, ὡς αὐγὴ καὶ ἡμέρα, ὡς δικαιοσύνης ἥλιος ὁ Χριστός; Ἀλλ' οὔτε, φησὶν, οἱ τὴν τῶν ἐσομένων γνῶσιν ἔχειν ὑποπλαττόμενοι δαίμονες ἀνήγγειλαν ταῦτα ἀπ' ἀρχῆς, οὔτε μὴν τῆς ἐκείνων ψευδοεπείας οἱ ὑπουργοί. Οὐδεὶς γὰρ τῶν παρ' Ἕλλησι ποιητῶν ἤτοι λογογράφων τῶν οὕτω λαμπρῶν ἐμνήσθη πραγμάτων. Τίς οὖν ταῦτα ἀκουστὰ πεποίηκεν ἀπ' ἀρχῆς; Τότε καὶ ἀνηγγέλη ὑμῖν, τοῦτ' ἔστιν, ἀπ' ἀρχῆς. Ἀνηγγέλη δὲ οὐ παρ' ἑτέρου τινὸς, παρ' ἐμοῦ δὲ μᾶλλον τοῦ πάντα εἰδότος, καὶ πρὶν γενέσθαι προαπηγγελκότος. Λελάληκα γὰρ ὑμῖν D αὐτὰ διά τε Μωσέως, καὶ προφητῶν ἁγίων, οἳ τοὺς παρ' ἐμοῦ πρὸς ὑμᾶς διεπόρθμευσαν λόγους. Οὐκοῦν ἐγώ εἰμι, φησὶν, ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ. Εἰμὶ δὲ δίκαιος, καὶ σωτήρ. Ἄδικοι μὲν γὰρ οἱ ἀλιτήριοι δαίμονες, καθὰ καὶ φθορεῖς, καὶ φιλαίματοι, καὶ κατωθοῦντες εἰς ὄλεθρον τοὺς ἐπὶ τῆς γῆς. Δίκαιος καὶ σωτὴρ ὁ τῶν ὅλων Θεὸς, ἐπαμύνων τοῖς ἠδικημένοις, καὶ δεσμῶν ἀνιεὶς τοὺς διηρπασμένους, καὶ σειραῖς ἁμαρτιῶν κατεσφιγμένους, καταφωτίζων δὲ τοὺς ἐσκοτισμένους, ἐνισχύων τὸ ἠσθενηκὸς, καὶ τὸ κείμενον ἀνιστὰς, καὶ τὸ πλανώμενον ἐπιστρέφων. Ταύτῃ τοι φησίν· Ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε οἱ ἐπ' ἐσχάτου τῆς γῆς. Ἐν τούτοις εὖ μάλα τῆς διὰ Χριστοῦ χάριτος κατίδοι τις ἂν τὸ μέγεθος εἰς πάντας διῆκον τοὺς ὄντας ἐπὶ τῆς

γῆς. Συνεσταλμένη μὲν γὰρ ἡ διὰ Μωσέως χάρις, καὶ σωτηρία, ἡ ἐφ' ἓν ἔθνος ἰοῦσα τὸν Ἰσραήλ· μακρὰ δὲ ὥσπερ καὶ μέχρι τερμάτων τρέχουσα γῆς ἡ διὰ Χριστοῦ. Σεσαγήνευται γὰρ διὰ πίστεως τῆς εἰς αὐτὸν εἰς σωτηρίαν καὶ ζωὴν ἡ σύμπασα γῆ.

Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστιν ἄλλος. Κατ' ἐμαυτοῦ ὀμνύω· εἰ μὴ ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη, οἱ λόγοι μου οὐκ ἀποστραφήσονται· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν Θεόν, λέγουσα· Δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξουσιν.

Ἔδει τῆς ψευδωνύμου λατρείας καθῃρημένης παρελθεῖν εἰς μέσον τὴν ἀλήθειαν, καὶ οἷον ἀπεληλαμένου τοῦ σκότους περιαστράψαι τὸ φῶς. Ταύτῃτοι, καὶ μάλα εἰκότως μετά γε μὴν ἐπωφελῆ, καὶ ὀνησιφόρον ταυτηνὶ παραίνεσιν, τὴν ἑαυτοῦ δόξαν καθίστησιν ἐμφανῆ. Ἐγὼ γάρ εἰμι Θεός, φησί, καὶ οὐκ ἔστιν B ἄλλος. Εἶτα τῶν ἔσεσθαι προσδοκωμένων διὰ Χριστοῦ προκαταμηνύει τὴν δύναμιν, ὅρκῳ πιστούμενος, ὅτι πάντῃ τε καὶ πάντως ἡ δι' αὐτοῦ λαλουμένη δικαιοσύνη, τοῦτ' ἔστιν, ἡ ἐν Χριστῷ διὰ πίστεως τοῖς ἀνὰ πᾶσαν χαρισθεῖσα τὴν ὑπ' οὐρανόν, καὶ οἱ αὐτοῦ λόγοι, τὸ εὐαγγελικὸν δηλονότι καὶ σωτήριον κήρυγμα, πάντῃ τε καὶ πάντως ἀναλάμψει κατὰ καιρούς. Καταδηλοῖ γάρ, οἶμαι, τουτὶ τό, Οὐχ ἀποστραφήσονται. Θεοῦ γὰρ ὑπισχνουμένου, καὶ ὅτι πάντῃ τε καὶ πάντως ἔσται τι λέγοντος, τίς ὁ ἐγκόψαι δυνάμενος; Ὄμνυσι δὴ οὖν καθ' ἑαυτοῦ. Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος. Θεὸς δὲ ὁ πάντων ἐπέκεινα, καὶ ἀσυγκρίτοις ὑπεροχαῖς τῶν ἄλλων ᾑρμένος, C ὄμνυσι καθ' ἑαυτοῦ. Οὐ γὰρ ἦν ὀμόσαι καθ' ἑτέρου αὐτὸς ὤν, ὡς ἔφην, τὸ πάντων ἀκρότατον, καὶ τὸ εἰς λῆξιν ἀνεστηκός, κατά τε φύσιν καὶ δόξαν. Τί οὖν ἄρα τὸ ἐπαγγελθέν; Σωτηρία, καὶ ἐπιστροφὴ παντὸς τοῦ ἐπὶ τῆς γῆς ἔθνους. Ἐμοὶ γὰρ κάμψει, φησί, πᾶν γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν Θεόν. Τὸ δέ, Κάμψει Θεῷ γόνυ, ὁρκιόν τε πρὸς ἁπάντων αὐτοῦ γίνεσθαι τὸ ὄνομα, τί ἂν ἕτερον εἶναι νοοῖτο πλὴν ὅτι πάντων ἐπιστροφή, καὶ ἐπίγνωσις, καὶ τῆς πρὸς αὐτὸν οἰκειότητος δήλωσις; Οἳ γὰρ ὅλως δι' ἐπιστροφῆς πρὸς Θεὸν ἐπιφοιτῶσι παντελῶς καὶ τοῦ κάμψαι γόνυ τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ τοῦ διὰ γλώττης ἔχειν αὐτοὺς ὡς θεοὺς (οὐ γὰρ ὀμοῦνται κατά τινος ὡς περὶ Θεοῦ), ἀλλ' ἕνα τὸν φύσει, καὶ ἀληθῶς ὄντα γινώσκοντες, ταῖς αὐτοῦ ζεύγλαις ὑπέχουσι τὸν αὐ- D χένα, καὶ κάμπτουσί τε τὸ γόνυ ποιούμενοι τὰς λιτάς, κἂν εἰ εὐορκεῖν ἕλοιντό πως, αὐτοῦ καὶ μόνου διαμεμνήσονται λέγοντες, ὅτι Πᾶσα δικαιοσύνη καὶ πᾶσα δόξα πρὸς αὐτὸν ἥξουσι, τοῦτ' ἔστιν, αὐτῷ δὴ πρέπει καὶ μόνῳ. Δεῖ γὰρ τὰ πάντων ἄριστα τῶν ἔργων, καὶ πᾶν ὅσον ἐστὶν ἐν ῥήμασι τελοῦν εἰς δόξαν Θεοῦ, τοῦτο αὐτῷ πρὸς ἡμῶν ἀνάπτεσθαι μόνῳ.

Αἰσχυνθήσονται πάντες οἱ ἀφορίζοντες ἑαυτοὺς ἀπὸ Κυρίου· δικαιωθήσονται, καὶ ἐν τῷ Θεῷ δοξασθήσεται πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ.

Ἀληθὲς κατ' ἄμφω τὸ εἰρημένον, καὶ οὐκ ἂν ὁ θεῖος διαψεύσεται λόγος. Ἕψεται γὰρ πάντως τοῖς

A minos usque terræ excurrit. Capta est enim et irretita per fidem in ipsum, ad salutem et vitam, terra universa.

VERS. 23, 24. *Ego sum Deus, et non est alius. Per me ipsum juro, nisi egredietur de ore meo justitia, sermones mei non avertentur: quia mihi curvabitur omne genu, et* **623** *jurabit omnis lingua per Deum, dicens: Justitia et gloria ad eum venient.*

Sublato falso nominato cultu, in medium prodire veritatem oportuit, et tenebris veluti depulsis lucem undique emicare. Hinc quidem meritissime, post utilem et fructuosam hanc exhortationem, suam declarat gloriam. Ego enim, inquit, sum Deus, et non est alius. Deinde eorum quæ futura exspectantur per Christum, virtutem præsignificat, jurejurando confirmans, quod dicta per ipsum justitia, id est, quæ in Christo, per fidem gratis donata est universum terrarum orbem inhabitantibus, et sermones ejus, evangelica scilicet et salutaris prædicatio, omnibus locis omnibusque modis elucescent. Indicat enim, opinor, hoc: Non avertentur. Nam, Deo promittente, et prorsus penitusque futurum dicente, quis poterit impedire? Jurat igitur per seipsum. Homines enim per eum, qui major est, jurant, et omnis controversiæ finis est illis, ad rem confirmandam, jusjurandum [48]. Deus autem qui est supra omnia, et incomparabili excellentia antestat cæteris, per seipsum jurat. Non enim potuit jurare per alium, cum ipse, ut dixi, omnium sit summus, et ad summum fastigium natura et gloria evectus. Quid est igitur quod annuntiatum est? Salus et conversio omnium ubique gentium. Mihi enim, inquit, flectet se omne genu, et jurabit omnis lingua per Deum. Flectet se genu Deo, et nomen ejus ab omnibus in juramento adhibebitur, quid aliud significat, quam omnium conversionem et agnitionem, et conjunctionis cum ipso patefactionem? Qui enim per conversionem ad Deum redeunt, prorsus nec genu immundis spiritibus flectunt, neque lingua illos ut deos circumferunt. Non enim per ullum aliquem jurabunt, tanquam per Deum: sed unum natura et vere esse cognoscentes, ejus jugo cervicem supponunt, et genu flectunt, et si legitime jurare velint, ejus solius mentionem faciunt, dicentes: Omnis justitia et gloria ad eum venient, id est, ei et soli convenit. Omnia namque facta præstantissima, et dicta omnia quæcunque ad Dei gloriam redundant, debent ei a nobis soli accommodari.

624 VERS. 25, 26. *Confundentur omnes qui se a Domino separant; justi fient, et in Deo glorificabitur omne semen filiorum Israel.*

Verum est in utraque parte quod dictum est, neque potest divinus sermo mentiri. Sequetur enim

[48] Hebr. VI, 16.

semper eos qui volunt a conjunctione et consortio Dei, nimirum spirituali, refugere, pudor : at qui illum ex puro corde diligunt, his obveniet, ut in illo glorificentur, et justitia præluceant. Illi autem sunt, non carnalis Israel, sed verius semen filiorum Israel. Ut autem dilucidiorem ac planiorem faciamus propositorum sententiam, illud dicimus. Illuxit enim terræ incolis, unigenitum Dei Verbum, ea specie qua nos sumus, et caro factum est, secundum Scripturas, et venit captivis remissionem, cæcis visum prædicans, confractos liberans, contritos corde sanans, et annum Domini acceptum vocans. Quanquam autem oportuisset Judæos maxime fidem in ipsum admittere, cum et legem pædagogum, et sanctos prophetas mystagogos sortiti essent : hoc tamen non fecerunt, sed ab eo velut resilierunt, suntque pudore suffusi, peccatum habentes indelebile, quod illis ignominiam inurit et infamiam. Verum est ergo, Omnes qui separant sese a Domino, confundentur. Nam audierunt ipsum dicentem : « Amen, amen dico vobis : Nisi credideritis quod ego sum, in peccatis vestris moriemini [46]. » Qui autem ejus adventum agnoverunt, per fidem justificati sunt, et magnam et perennem lucri fecerunt gloriam, declarati sancti Spiritus participes, et illustri adoptionis filiorum dignitate locupletati. Dedit enim illis hanc dignitatem, ut filii Dei fierent : ad hæc cum spem dignam et calumniæ non obnoxiam habeant, regnum cœlorum accipient hæreditario. Hi possunt intelligi esse, semen filiorum Israel. Filios etiam Israel in his verbis nominari dicimus, sanctos apostolos et evangelistas : erant enim ex Judæis, quod ad carnem attinet : eosque præterea filios ipsorum, qui per ipsos vocati sunt ad agnitionem Christi. Allocutus est scilicet divinus Paulus eos qui per ipsum crediderunt : « Etiamsi mille pædagogos habetis in Domino, non tamen habetis multos patres. Nam in Jesu per **625** Evangelium ego vos genui [47]. » Invenimus etiam sæpenumero et alios præter sanctos apostolos, qui filiolos vocant eos qui per ipsos ad salutem, quæ est in Christo, irretiti sunt.

CAP XLVI. VERS. 1. *Cecidit Bel, contritus est Dagon, facta sunt sculptilia eorum, ut bestiæ et jumenta.*

Vaticinia, quæ fiunt a prophetis sanctis de omnium nostrum Servatore Christo, semper prædictiones necessariæ rerum ab ipso gestarum, vel in mundo recte administratarum, sequuntur. Facinus autem inter omnia insigne, erat, sublatum esse e medio Satanam, et nefariam ac hominum interemptricem dæmoniorum multitudinem. Ubi itaque ille mundo illuxisset, dissipata est ingens et exsecrabilis peccati caligo, quam Satanas omnium animis immiserat, ne lucem veritatis aspicerent. Cessavit porro dæmoniorum tyrannis, et idololatriæ ludibria. Itaque necessario, ut dixi, hic sermo nobis hisce de rebus

A ἀποφοιτᾷν ἐθέλουσι τῆς πρὸς Θεὸν οἰκειότητος, δηλονότι πνευματικῆς, τὸ καταισχύνεσθαι δεῖν· προσίεσθαί γε μὴν, τὸ ἐν αὐτῷ δοξάζεσθαι, καὶ διαπρέπειν ἐν δικαιοσύνῃ, τοῖς ἐκ καρδίας εἰλικρινοῦς ἀγαπῶσιν αὐτόν. Οὗτοι δ' ἂν εἶεν οὔτι που πάντως ὁ κατὰ σάρκα Ἰσραὴλ, τὸ σπέρμα δὲ μᾶλλον τῶν υἱῶν Ἰσραήλ. Σαφεστέραν δὲ τὴν τῶν προκειμένων ἀποτελοῦντες διάνοιαν ἐκεῖνό φαμεν. Ἐπέλαμψε γὰρ τοῖς ἐπὶ τῆς γῆς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἐν εἴδει τῷ καθ' ἡμᾶς, ἤτοι γενόμενος σὰρξ, κατὰ τὰς Γραφάς· ἀφίκετο δὲ κηρύσσων αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστέλλων τεθραυσμένους ἐν ἀφέσει, καὶ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ καλῶν ἐνιαυτὸν Κυρίου δεκτόν. Ἀλλὰ καίτοι δέον Ἰουδαίους μάλιστα τὴν εἰς αὐτὸν προσήκασθαι πίστιν,
B ἅτε δὴ καὶ παιδαγωγὸν λαχόντας τὸν νόμον, καὶ ἁγίους προφήτας μυσταγωγοὺς, τοῦτο μὲν οὐ πεπράχασιν, ἀπεπήδησαν δὲ ὥσπερ αὐτοῦ, καὶ γεγόνασιν ἐντροπῆς ἀνάμεστοι, τὴν καταισχύνουσαν αὐτοὺς ἁμαρτίαν ἀναπόβλητον, ἔχοντες. Ἀληθὲς οὖν, ὅτι Αἰσχυνθήσονται πάντες οἱ ἀφορίζοντες ἑαυτοὺς ἀπὸ Κυρίου. Ἤκουον γὰρ λέγοντος αὐτοῦ· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, Ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Οἵ γε μὴν ἐπεγνωκότες τὴν ἐπιφάνειαν αὐτοῦ δεδικαίωνται μὲν διὰ πίστεως, κεκερδήκασι δὲ μακρὰν καὶ ἀτελεύτητον δόξαν, μέτοχοι μὲν ἁγίου Πνεύματος ἀναδεδειγμένοι, καταπλουτήσαντες δὲ τὸ λαμπρὸν τῆς υἱοθεσίας ἀξίωμα. Δέδωκε γὰρ αὐτοῖς ἐξουσίαν τέκνα γενέσθαι
C Θεοῦ, ἀξιόληπτόν τε πρὸς τούτοις καὶ ἀδιάβλητον ἐσχηκότες ἐλπίδα· κληρονομήσουσι γὰρ τὴν τῶν οὐρανῶν βασιλείαν. Νοηθεῖεν δ' ἂν οὗτοι τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ. Υἱοὺς δὲ Ἰσραὴλ ἐν τούτοις ὠνομάσθαι φαμὲν τοὺς ἁγίους ἀποστόλους, καὶ εὐαγγελιστάς· ἦσαν γὰρ κατὰ σάρκα ἐξ Ἰουδαίων. Υἱοὺς δὲ αὐτῶν τοὺς δι' αὐτῶν κεκλημένους εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ. Προσπεφώνηκε γοῦν ὁ θεσπέσιος Παῦλος τοῖς δι' αὐτοῦ πιστεύσασι· « Κἂν γὰρ μυρίους ἔχητε παιδαγωγοὺς ἐν Κυρίῳ, ἀλλ' οὐ πολλοὺς πατέρας. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. » Εὑρίσκομεν δὲ πλεισταχοῦ καὶ ἑτέρους τῶν ἁγίων ἀποστόλων, τεκνία καλοῦντας τοὺς δι' αὐτῶν σεσαγηνευμένους εἰς σωτηρίαν τὴν ἐν Χριστῷ.

Ἔπεσε Βὴλ, συνετρίβη Δαγὼν, ἐγένετο τὰ
D *γλυπτὰ αὐτῶν ὡς θηρία καὶ κτήνη.*

Ἀεί πως ἀκολουθεῖ ταῖς προῤῥήσεσιν, αἵπερ ἂν γένοιντο διὰ προφητῶν ἁγίων περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, προαγορεύσεις ἀναγκαῖαι τῶν δι' αὐτοῦ γενομένων, ἤγουν τῶν τῷ κόσμῳ κατωρθωμένων. Κατόρθωμα δὲ τὸ πάντων ἐξαίρετον τὸ ἐκ μέσου γενέσθαι τὸν Σατανᾶν, καὶ τὴν βέβηλον δὲ, καὶ ἀνδροκτόνον πληθύν. Ἐπιλάμψαντος τοίνυν αὐτοῦ τῷ κόσμῳ, λέλυται μὲν ἡ πάλαι πολλὴ καὶ ἐπάρατος τῆς ἁμαρτίας ἀχλὺς, ἣν ταῖς ἁπάντων διανοίαις ἐνῆκεν ὁ Σατανᾶς, ἵνα μὴ βλέπωσι τῆς ἀληθείας τὸ φῶς. Πέπαυται δὲ καὶ τῶν δαιμονίων ἡ τυραννὶς, καὶ τὰ τῆς εἰδωλολατρείας παίγνια. Οὐκοῦν ἀναγκαίως, ὡς ἔφην,

[46] Joan. VIII, 21. [47] I Cor. IV, 15.

ὁ περί γε τουτων ἡμῖν εἰσεκομίσθη λόγος, καὶ πε- A πτωκέναι φησὶ τὸν Βὴλ. Εἴδωλον δὲ τοῦτο μάλιστα τῶν Βαβυλωνίων, τετιμημένον δὲ καὶ ἐν ἑτέραις πόλεσι. Καί φασιν εἶναι τὸν Βὴλ τὸν παρ' Ἕλλησι τοῖς ἀθέοις μυθολογούμενον Κρόνον, ὃν καί φασιν ὠμὸν εἶναι καὶ φιλαίματον, καὶ ἀνδροκτασιῶν ἐραστήν. Ἀναγέγραπται γοῦν ἐν ἱστορίαις Ἑλληνικαῖς, ὡς ἐν ἡμέρᾳ μιᾷ τριακοσίους τῶν ξένων ἔσφαζόν τινες αὐτῷ, μυσαρὰν καὶ στυγητὴν Θεῷ καὶ ἀνθρώποις ἐπιτελεσθῆναι πανήγυριν. Καὶ γοῦν ὁ τῶν ὅλων Θεὸς, ἐπὶ ταῖς οὕτω δειναῖς ἀσεβείαις ἀγανακτῶν, δι' ἑνός ποῦ φησι τῶν ἁγίων προφητῶν τοῖς τὰ τοιάδε δρᾷν εἰωθόσι· Θύσατε ἀνθρώπους· μόσχοι γὰρ ἐκλελοίπασιν. Εἰς τοῦτο γὰρ μισανθρωπίας τε καὶ ἀγριότητος καθικέσθαι φησὶ τοὺς ἀκαθάρτους δαίμονας, ὥστε καὶ ἀκορέστως διψῆν ἀνθρώπινον αἷμα, καὶ ταῖς τῶν ἁλισκομένων B φθοραῖς ἐπιγάννυσθαι. Οὐ γὰρ ἂν ἴσως ἔοικεν αὐτοῖς ὁ κλάζων μόσχος ἐπὶ βωμῷ, λιβανωτοί τε καὶ πρόβατα· γλίχονται δὲ μᾶλλον τῆς ἀνθρώπων σφαγῆς. Ἔπεσε τοίνυν, φησὶν, ἡ Βὴλ, τοῦτ' ἔστι, κατηνέχθη, καὶ ἔπεσεν ἡ τοῦ δαίμονος ἰσχύς· ἵνα λοιπὸν τὸν ἐκ τῆς ἐκείνων σκαιότητος ἀποβαλόντες ζυγὸν ἐλευθέρᾳ καὶ ἀβιάστῳ γνώμῃ τρέχωσι πρὸς Θεὸν οἵ ποτε ταῖς ἐκείνου δυστροπίαις ἐνισχημένοι. Συνετρίβη δὲ καὶ ὁ Δαγών. Σέβασμα δὲ καὶ τοῦτο τῶν τὴν παραλίαν οἰκούντων, ἥ καὶ ὁμορός ἐστι τῆς Ἰουδαίας, Ἀσκαλωνιτῶν τέ φημι καὶ Γαζανῶν, οὓς καὶ Φυλιστιεὶμ ἤγουν ἀλλοφύλους ἡ θεία πλεισταχοῦ κατονομάζει Γραφή. Εὖ δὲ δὴ σφόδρα τὸ, Συνετρίβη, φησὶν, ὡς ἀπό γε τοῦ συμβεβηκότος αὐτῷ κατὰ καιροὺς, καὶ C νῦν ὁ προφήτης τὸν περὶ αὐτοῦ διεξάγων λόγον. Ἀνέγνωμεν γὰρ ἐν ταῖς βίβλοις τῶν Βασιλειῶν, ὅτι τὴν θείαν ποτὲ κιβωτὸν λαβόντες οἱ ἀλλόφυλοι εἰσήγαγον εἰς τὸν οἶκον Δαγών· εἶτα εἰσελθόντες οἱ τοῦ δαιμονίου θεραπευταὶ, τεθέανται πεπτωκὸς τὸ εἴδωλον ἔμπροσθεν τῆς κιβωτοῦ, καὶ συντριβὴν ὑπομείναντος αὐτοῦ ὡς ἀποβαλεῖν χεῖράς τε καὶ πόδας, καὶ κεφαλήν. Σφόδρα οὖν χαριέντως ὡς ἀπό γε τοῦ συμβάντος κατὰ καιροὺς τὸ, Συνετρίβη, φησί. Φαμὲν δὲ ὅτι τῆς εἰδωλολατρείας τὴν ἀναίρεσιν ὁ προφητικὸς ἡμῖν ὑπεμφαίνει λόγος, ὡς ἐκ μέρους τό τε Βὴλ, καὶ τὸν Δαγὼν ὀνομάσας. Οὐ γὰρ ἦν ἁπάντων τῶν ἐπὶ τῆς γῆς εἰδώλων ποιήσασθαι μνήμην, ἀλλ' ὡς ἐκ μέρους ἐπὶ τὸ πᾶν διατάττει πάλιν.

Αἴρετε αὐτὰ καταδεδεμένα, ὡς φορτίον κοπιῶντι, καὶ πεινῶντι ἐκλελυμένῳ, οὐκ ἰσχύοντι ἅμα· οἳ οὐ δυνήσονται σωθῆναι ἀπὸ πολέμου· αὐτοὶ δὲ αἰχμάλωτοι ἠχθησαν. D

Τὸ τῶν χειροτμήτων ἀνωφελὲς, καὶ μάταιον καταδείκνυσι πάλιν ἡμῖν ὁ λόγος ἐν τούτοις, ὡς ἀπό γε τῶν ἐπ' αὐτοῖς τελουμένων παιγνίων, αἰσχύνης οὖσαν ἀνάπλεων τὴν τῶν πλανωμένων ἀποφαίνει λατρείαν. Ἐπετέλουν μὲν γὰρ τοῖς δαιμονίοις ψυχρὰς καὶ καταγελάστους ἔσθ' ὅτε τὰς πανηγύρεις· εἶτα τῶν σηκῶν ἐκκομίζοντες τὰ ἀγάλματα, ἐπαναθέμενοί τε ταῦτα τῶν ἱερέων τινὲς περιῄεσαν ἐν πλατείαις κατασειόμενοί τε καὶ οἷον μεθύσκοντες ὡς ἀχθοφοροῦντες ἄγαν, καὶ ἔνθαπερ ἂν ἐπιβαρήσειεν ὃ διακομίζειν

[47] 1 Reg. v, 1 sqq.

introductus est. Et cecidisse ait Bel. Erat autem hoc præcipue Babyloniorum idolum, sed in aliis etiam civitatibus cultum. Narrant autem Belum, apud Græcos atheos, fabulose dictum Saturnum: quem etiam ferunt crudelem esse, et sanguinis sitientem, et cædis hominum amantem. Traditum est etiam in historiis Græcis, quosdam ei uno die triginta hospites mactasse, et abominandam et invisam Deo atque hominibus celebratam panegyrim. Deus sane universorum his adeo gravibus impietatibus indignatus, per unum e sanctis prophetis dicit his qui talia facere solebant: Mactate homines; vituli enim defecerunt. Eo enim inhumanitatis et immanitatis venisse dicit impuros dæmonas, ut sitirent insatiabiliter humanum sanguinem, et eorum qui rei et convicti erant, interitu delectarentur. Non enim forte vitulus in ara clamans, et thura ac oves illis conveniebant, sed hominum cædem cupiebant. Cecidit igitur, inquit, Belus, id est, dejectus est, et cecidit dæmonis potentia: ita ut deinceps, perversitatis jugo abjecto, libera et spontanea mente, qui quondam illius malitia impediti erant et retardati, ad Deum currerent. Contritus est etiam Dagon. Numen erat hoc etiam, eorum qui oram maritimam inhabitarunt, quæ est Judææ contermina: Ascalonitarum, inquam, et Gazanorum, quos etiam Philistiim, vel alienigenas, **626** divina Scriptura sæpe nominat. Pulcherrime dixit: Contritus est: quippe propheta nunc orationem de eo prosequitur, velut ab eventu qui subsequenti tempore ei contigit. Legerat enim in libris Regnorum [47], alienigenas acceptam quandoque Dei arcam, in domum Dagon introduxisse: deinde ingressos dæmonii cultores, idolum collapsum ante arcam vidisse, et comminutum illum fuisse, ut manus, pedes, caput amiserit. Perscite itaque velut ab eo quod subsequentibus post temporibus contigerat, inquit: Contritus est. Dicimus vero propheticam orationem nobis idololatriæ eversionem subindicare, cum quasi ex parte Belum et Dagon nominavit. Non enim potuit omnium in terra idolorum mentionem facere, sed velut a parte totum describit.

Vers. 2. *Portatis ea alligata velut onus laboranti, esurienti, et deficienti, et impotenti denique, qui non poterunt salvi evadere e bello: ipsi autem captivi ducti sunt.*

Manuconditorum inutilitatem et inanitatem rursus hic nobis demonstrat hæc oratio, et velut a ludicris quæ illis exhibebantur, pudendum admodum esse errantium cultum ostendit. Celebrabant etenim dæmoniis frigidas interdum et ridiculas panegyres: deinde sacrifici quidam educentes ex adytis imagines, et illas consecrantes ac dedicantes, circumibant, in plateis titubantes et quasi ebrii, perinde quasi onus gravissimum portarent: et ubi oneraret id quod ferre volebant, ibi et premi se et bajulare onus

non posse simulabant. Populus autem imprudens et gregarius, et mulierculæ mentis inopes laudibus inanimam materiam efferebant, cum tamen speciem aliquam seu viri seu feminæ viderent, et vere putabant pondus intolerabile fuisse eum qui portabatur a dedicantibus. Divina igitur oratio hic deridet magnam Græcorum stupiditatem, et ait de imaginibus quæ erant in adytis, quas inconsulto volebant adorare : Portatis illas illigatas quasi onus laboranti, esurienti, et deficienti, atque impotenti denique. Hæc enim, ut dixi, quidam sacrifici fingebant, cum manufacta circumferrent. Qua autem ratione **627** infirmitas eorum quæ adorabantur dignoscatur, ex multis aliis rebus id quidem licet videre. Lignum enim aut lapis, aut alia quæpiam materia est, ejusmodi idolorum effictio. Cum vero ex rebus maxime opportunis illud demonstrare erat necesse, reducit illos in memoriam suæ captivitatis futuræ, a Babyloniis, inquam, quam etiam perpessi sunt, quandoquidem relicta legis impletione, et unius ac natura Dei cultu, ad omnia infestissima abierunt, et operibus suarum manuum procubuerunt, et, quemadmodum scriptum est[47*], militiæ insuper cœli sacrificarunt. Unde igitur imbecillitas fictitiorum deorum apparebit? Non poterunt, inquit, salvi evadere e bello, sed ipsi sunt captivi ducti. Capta namque urbe vel regione, si qui apud eos sint aurei et argentei dii, ante alia omnia primi ab eversoribus capiuntur, quos deceret, siquidem essent dii, et suis auctoribus subvenire, et se manu hostium superiores declarare. Quid igitur prodest sculptile, quia sculpserunt illud, juxta sermonem prophetæ, et formarunt illud conflatile specie fallaci, si neque sibi ipsis, neque aliis subvenire valeat? At qui hoc fieri a ligno et lapide poterat?

ἤθελον, ἐκεῖ πως καὶ συνωθούμενοι, καὶ μὴ δύνασθαι φέρειν τὸ ἄχθος ὑποκρινόμενοι. Ὁ δὲ ἀσύνετός τε καὶ ἀγελαῖος δῆμος, γύναιά τε φρενῶν ἔρημα, κατεκρότει ταῖς εὐφημίαις, τὴν ἄψυχον ὕλην εἰδοποιηθεῖσαν ὁρῶντες εἰς ἄνδρα τυχὸν ἢ γυναῖκα, ᾤοντό τε κατὰ ἀλήθειαν καὶ ἀφόρητον ἐνιέναι βάρος τὸν διακομιζόμενον τοῖς ἀναθεμένοις εἰς ὤμους αὐτόν. Διαγελᾷ τοιγαροῦν ὁ θεῖος ἡμῖν ἐν τούτοις λόγος τῆς Ἑλληνικῆς ἀναισθησίας τὸ μέγεθος, καί φησι περὶ τῶν ἐν σηκοῖς ἀγαλμάτων, ἃ καὶ προσκυνεῖν ἀσυνέτως ἤθελον· Αἴρετε αὐτὰ καταδεδεμένα ὡς φορτίον κοπιῶντι, καὶ πεινῶντι ἐκλελυμένῳ, οὐκ ἰσχύοντι ἅμα. Ταῦτα γὰρ, ὡς ἔφην, ὑπεπλάττοντο τῶν ἱερέων τινὲς ἐν τῷ περικομίζειν τὰ χειροποίητα. Πῶς οὖν ἄρα τῶν προσκυνουμένων τὸ ἀδρανὲς γνωσθήσεται, ἐκ πολλῶν μὲν καὶ ἑτέρων κατίδοι τις ἂν αὐτό. Ξύλον γὰρ ἢ λίθος ἢ ἑτέρα τις ὕλη τῶν τοιούτων γένεσις. Ἐπειδὴ δὲ ἀναγκαῖον ἐκ τῶν ὅτι μάλιστα χρησίμων καταδεῖξαι τοῦτο, πρὸς ἀνάμνησιν αὐτοὺς ἀποφέρει τῆς ἐσομένης αὐτῶν αἰχμαλωσίας, τῆς ὑπό γέ φημι τῶν Βαβυλωνίων, ἣν δὴ καὶ πεπόνθασιν, ἐπεί τοι μεθέντες τὸ χρῆναι πληροῦν τὸν νόμον, καὶ τὸν ἕνα τε καὶ φύσει θεραπεύειν Θεὸν, κατῴχοντο πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχεστάτων, καὶ προσκεκυνήκασι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν· τεθύκασί τε πρὸς τούτῳ, καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὰ γέγραπται. Πόθεν οὖν ἄρα τὸ ἀδρανὲς τῶν ἐν ὑπολήψει θεῶν ὀφθήσεται; Οὐ δυνήσονται, φησὶ, διασωθῆναι ἀπὸ πολέμου, αὐτοὶ δὲ αἰχμάλωτοι ἤχθησαν. Ἁλούσης γὰρ πόλεως ἢ χώρας, εἰ δή τινες εἶεν παρ' αὐτοῖς περίχρυσοί τε καὶ περιάργυροι θεοὶ, πρῶτοι τῶν ἄλλων ἁπάντων παρὰ τῶν ᾑρηκότων λαμβάνονται, οἷς ἦν εἰκὸς, εἴπερ τινὲς ἦσαν θεοὶ, καὶ τοῖς ἰδίοις ἐπαμύναι προσκυνηταῖς, καὶ ἀμείνους αὐτοὺς ἀποφῆναι τῆς τῶν πολεμίων χειρός. Τί τοίνυν ὠφελεῖ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτὸ κατὰ τὸν τοῦ προφήτου λόγον, ἔπλασεν αὐτὸ χώνευμα φαντασίαν ψευδῆ, οἳ μήτε σφίσιν αὐτοῖς, μήτε μὴν ἑτέροις ἐπαμύνειν εἰσὶν οἷοί τε; Πῶς γὰρ ἂν γένοιτό τι τοιοῦτον παρά γε ξύλου, καὶ λίθου;

Vers. 3, 4. *Audite me, domus Jacob, et residuum Israel, qui portamini ab utero, et erudimini ab infantia usque ad senectutem. Ego sum, et donec senescatis, Ego sum : Ego sustineo vos. Ego feci, et ego dimittam vos. Suscipiam et servabo vos.*

Ἀκούσατέ μου, οἶκος τοῦ Ἰακὼβ, καὶ τὸ κατάλοιπον τοῦ Ἰσραὴλ, οἱ αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἐκ παιδίου ἕως γήρως. Ἐγώ εἰμι, ἕως ἂν καταγηράσητε· Ἐγώ εἰμι. Ἐγὼ ἀνέχομαι ὑμῶν. Ἐγὼ ἐποίησα, καὶ ἐγὼ ἀνήσω· ἐγὼ ἀναλήψομαι, καὶ σώσω ὑμᾶς.

Artificiosissime rursus nectitur oratio, et ornate progreditur, docenter et composite. Postquam enim belli mentionem fecit, quo accidit, ut infinita hominum et mulierum multitudo intermoreretur, et ad virorum paucitatem Judæorum regio admodum redigeretur, hinc ait velut ad domum unam, et velut ad residuum ac barbaricæ crudelitatis reliquias : Audite me, domus Jacob, et omne residuum Israelis. Non mediocrem utilitatem attulisset auditoribus hæc oratio, siquidem sapuissent, et quod e re esset expendissent. Tristia enim et intolerabilia, cum prænuntiata sunt, facile quis evadet, caussas incursionis vitans : sed adventantia et velut insilientia, quonam modo quis repellere poterit? Residuum **628** ergo appellat eos tantum non clamans, consumendos esse bello et prædam fore bar-

Εὐτεχνέστατα πάλιν ὁ λόγος ἔχει, καὶ πρόεισιν ἐν κόσμῳ τῷ δέοντι, καὶ οἰκονομικῶς. Ἐπειδὴ γὰρ πολέμου μνήμην ἐποιήσατο, καθ' ὃν συμβέβηκε πληθὺν ἀμέτρητον ἀνδρῶν, καὶ γυναικῶν ἀποθανεῖν, καὶ ὀλιγανδρῆσαι σφόδρα τῶν Ἰουδαίων τὴν χώραν, ταύτῃ τοι φησὶν ὡς πρὸς οἶκον ἕνα, ὡς πρὸς κατάλειμμα, καὶ βαρβαρικῆς ὠμότητος λείψανον· Ἀκούσατέ μου, ὁ οἶκος τοῦ Ἰακὼβ, καὶ πᾶν τὸ κατάλοιπον τοῦ Ἰσραήλ. Ὤνησε δ' ἂν οὐ μετρίως τοὺς ἀκροωμένους ὁ λόγος, εἴπερ τινὲς ἦσαν ἀγχίνοι, καὶ τῶν χρησίμων ἐξεταστταί. Τὰ γάρτοι σκυθρωπὰ καὶ δυσφόρητα προαπηγγελμένα μὲν εὐκόλως ἄν τις καὶ παρελάσειε τὰς τῆς ἐφόδου φυγὼν αἰτίας· ἀφιγμένα δὲ καὶ οἷον ἐπιπηδήσαντα, πῶς ἂν διακρούσαιτο; Τὸ κατάλοιπον τοίνυν αὐτοὺς ἀποκαλεῖ μονονουχὶ κεκραγὼς, ὅτι δαπανηθήσονται τῷ πολέμῳ, καὶ βαρ-

[47*] IV Reg xvii, 16.

βαρικῆς ὠμότητος ἔσονται θήραμα, εἰ μὴ τῶν οὕτως ἐκτόπων ἀποπεπαύσοιντο σπουδασμάτων. Ὅτι δὲ τὸ δυσμαθὲς ταῖς τῶν Ἰουδαίων ἔνεστι ψυχαῖς, καὶ χρῆμα γέγονεν αὐτοῖς ἀνόνητον, ἡ τοῦ νόμου μελέτη διαδείκνυσι λέγων· Οἱ αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἐκ παιδίου ἕως γήρως. Ἐκ βρέφους γὰρ καὶ μέχρι τῆς πρεσβυτικῆς ἡλικίας τοῖς ἱεροῖς τε καὶ θείοις ἐμμελετῶντες Γράμμασιν ὠφέληνται μὲν οὐδέν· ὥσπερ δὲ οὐδεμιᾶς παράπαν νουθεσίας ἠξιωμένοι κατῴχοντο πρὸς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ. Ἀλλὰ καὶ εἰ μακρὸς ὑμῖν, φησὶν, ἐδαπανήθη χρόνος, ἐν ἀνονήτοις μελέταις, καὶ ἀμαθεστάτους ὄντας ὁρῶν, τῆς ἐμφύτου γαληνότητος οὐ πεπαύσομαι· καθίστημι δὲ οὕτως ἐμαυτὸν ὑμῖν ἐναργῆ λέγων· Ἐγώ εἰμι, τοῦτ' ἔστι, ζῶ καὶ ὑπάρχω· οὐχ ὡς γενέσεως ἔχων ἀρχὴν ἢ καταλήγειν εἰς πέρας εἰδὼς, ἀλλ' ὁ αὐτὸς ἀεὶ καὶ ὡσαύτως ἔχων, καὶ ἕως ἂν καταγηράσητε πάλιν ὁ αὐτὸς ἔσομαι. Οὐ γάρ μοι καθ' ὑμᾶς ἔπεισι γῆρας, ἀλλ' εἰμὶ ζῶν τε καὶ παναλκής. Καὶ ἐγὼ μὲν ἐποίησα τὰς ἐπενεχθείσας ὑμῖν τοῦ πολέμου συμφορὰς ὁσίᾳ ψήφῳ καλῶν εἰς δίκην τοὺς τὴν ἐμὴν ὑβρίσαντας δόξαν. Πλὴν ἐγὼ ἀνήσω, τοῦτ' ἔστιν, ἀφήσω, καὶ ταῖς ἀμνησικακίαις πεπονηκότας ὑμᾶς ἀνακτήσομαι. Ἐγὼ ἀναλήψομαι καὶ σώσω ὑμᾶς. Ὁ γὰρ δοὺς εἰς χεῖρας ἐχθρῶν πάλιν ὑμᾶς οἰκειώσομαι, καὶ τῶν τῆς αἰχμαλωσίας ὑμᾶς ἀπολύσω δεσμῶν. Οὐκοῦν ὡς πολυειδεῖ φαρμάκῳ τὰς τῶν εἰς αὐτὸν πεπαρῳνηκότων, καὶ ἐκ πολλῆς ἄγαν ἀμαθίας ὠλισθηκότων ἐφ' ἃ μὴ θέμις, θεραπεύει καρδίας, τοῦτο μὲν ἀπειλαῖς, τοῦτο δὲ καὶ ὑποσχέσεσιν ἀγαθαῖς. Σκοπὸς γὰρ αὐτῷ σῶσαι τὸ ἀπολωλὸς, καὶ τῶν τοῦ διαβόλου χειρῶν ἁρπάσαι τὸ πλανώμενον.

Τίνι με ὡμοιώσατε; Τεχνάσασθε, οἱ πλανώμενοι, οἱ συμβαλλόμενοι χρυσίον ἐκ μαρσίπου, καὶ ἀργύριον ἐν ζυγῷ· στήσουσιν ἐν σταθμῷ, καὶ μισθωσάμενοι χρυσοχόον ἐποίησαν χειροποίητα, καὶ κύψαντες προσεκύνησαν αὐτῷ. Αἴρουσιν αὐτὸ ἐπὶ τῶν ὤμων, καὶ πορεύσονται. Ἐὰν δὲ θῶσιν αὐτὸ ἐπὶ τοῦ τόπου, μενεῖ, οὐ μὴ κινηθῇ· καὶ ὃς ἂν βοήσει πρὸς αὐτὸ, οὐ μὴ εἰσακούσῃ, ἀπὸ κακῶν οὐ μὴ σώσῃ αὐτόν.

Ὑβριστὰς ὄντας ἐλέγχει, καὶ ὀλιγογνώμονας τοὺς τῶν εἰδώλων προσκυνητὰς, καὶ εἰς αὐτὴν θείαν καὶ ἀνωτάτω πλημμελοῦντας φύσιν. Κατακομίζουσι γὰρ, τό γε ἧκον εἰς ἑαυτοὺς, τῆς ἐνούσης αὐτῇ δόξης τὸ ὑπερτενὲς, ἐφ' ἃ μὴ προσῆκε, καὶ εἰς ἄψυχον ὕλην κατακομίζουσι τοῖς ἰδίοις αὐτὴν τεχνουργήμασιν ἀπονέμοντες, εἶτα ποιναῖς ταῖς ἐσχάταις ἐνισχημένας ὁσίως τὰς ἑαυτῶν ἀποφαίνοντες κεφαλάς. Τίνι δὴ οὖν ὡμοιώσατέ με, φησὶ, τὸν τῇ φύσει τῶν ὅλων διεστηκότα, καὶ ἀσυγκρίτοις ὑπεροχαῖς ὑψοῦ τε ἠρμένον, καὶ παντὸς ἐπέκεινα γενητοῦ, τὸν τῶν ὅλων δημιουργὸν βασιλέα τε ὁμοῦ καὶ Κύριον; Εἰκὸς δὲ δή που, καὶ ἕτερόν τι βούλεσθαι καταδηλοῦν λέγοντα τοῖς πεπλανημένοις τὸν Θεόν· Τίνι με ὡμοιώσατε; Ἴδετε, τεχνάσασθε, οἱ πεπλανημένοι. Χρυσίον μὲν γὰρ, φησὶ, καὶ ἀργύριον συνεισφέροντες, εἶτα μισθωσάμενοι χρυσοχόον διαπλάττουσι μορφὴν ἢ ἀνδρὸς, ἢ γυναικὸς, ἤγουν θηρίου, φέρε εἰπεῖν, ἢ κτήνους, ὄνομά τε

A barorum crudelitatis: si non a studiis adeo fœdis destiterint. Quod autem indociles erant Judæorum animi, et nulli prorsus usui fuerit illis meditatio legis, ostendit, inquiens: Qui portamini ab utero, et erudimini ab infantia ad senectutem usque. A parvulis enim ad senilem ætatem, in sacris et divinis Litteris exercitati, nihil utilitatis ceperunt, et ac si nulla omnino monitione dignati fuissent, in apostasiam a Deo reciderunt. Sed tamen, inquit, etsi longum tempus consumptum vobis fuerit in parum frugiferis exercitationibus, et vos ad docendum ineptissimos videam, ab insita placabilitate non desistam: sed meipsum vobis sic manifesto et dico: Ego sum, id est, vivo et subsisto, non quasi ortus initium habens, vel quasi exitum prospiciens: sed B idem semper, et mihi similis, et iterum donec senescatis, idem ero. Non enim mihi, ut vobis, adest senium, at sum vivens et omnipotens. Et ego effeci calamitates quæ vobis e bello incumbunt, sancto et pio calculo vocans ad pœnam eos qui meam gloriam ignominiose polluerunt. Verumtamen ego dimittam, id est, remittam, et oblitus omnium injuriarum, vos qui laborastis, instaurabo. Ego suscipiam et servabo vos. Nam ego qui dedi vos in manus hostium, rursus vos in gratiam recipiam, vosque solvam captivitatis compedibus. Itaque multiplici quasi pharmaco sanat corda eorum, qui in illum debacchati sunt, et præ insigni inscitia ad quæ fas non erat prolapsi sunt, partim minis, partim bonis pollicitationibus. Scopus enim ipsi et propo- C situm est servare quod periit, et eripere e manibus diaboli, quod erravit.

VERS. 5-7. *Cui me comparastis? videte et excogitate, qui erratis, et qui confertis aurum de marsupio, argentum in statera appendunt libra, et conducto aurifabro, fecerunt opus manu confectum et incurvati adorarunt illud. Portant illud humeris, et vadunt. Si autem posuerint illud in loco, manet, non movebitur: et qui clamaverit ad illud, non exaudiet, e malis non servabit eum.*

Contumeliosos esse arguit et angusto animo præditos idolorum cultores, et in **629** ipsam divinam ac supremam naturam delinquere. Quantum enim in ipsis est, eminentiam ipsius gloriæ, ad quæ non D convenit, et ad inanimam materiam deprimunt et abjiciunt: dum eam ad sua opificia et figmenta transferunt, et pœnis ultimis sacra sua capita implicant. Cui igitur me, inquit, comparastis, cunctis natura præcellentem, et incomparabili præstantia in sublime evectum, et omnibus mortalibus superiorem, universorum opificem, regem simul et dominum? Quin et aliud quidpiam verisimile est significare velle Deum, cum ait errantibus: Cui me comparastis? Videte et excogitate qui erratis. Dicit enim: Aurum et argentum conferentes, deinde, conducto aurifabro, formam aut viri, aut feminæ confingunt, aut etiam bestiæ, ut ita dicam, vel jumenti, nomenque dei illis formato ab ipsis sta-

tim inditur. Cogitate igitur, inquit, cui me comparastis? Vel enim viro, vel mulieri, vel etiam bestiis, vel animalibus rationis expertibus. Annon sane res hæc extreme est impia? Excogitate aliquid in defensionem, exsolvite vos a crimine. Sed enim haud invenietis rationem qua hoc probetis. Nam cum naturam, quæ omnia superat, ad bestias et jumenta deprimatis : qua oratione utemini, quæ ad criminum vim propulsandam sufficiat? Quod autem idolorum fictio nihil aliud sit quam cogitationis vanitas et vilitas, conatur ostendere ; hinc præcise admodum et tenuiter loquitur. Colligunt enim, inquit, e marsupio argentum et aurum, et in statera ponunt et æquilibrio, unoquoque fortassis conferente, ut ex æquo et bono qui plus contribuit, ei magis faveat et propendeat qui fabricatus est. Dicturos enim omnes puto, quod si pecuniarum essent indigi, omnino Deum non haberent : et nisi abundaret orbis terrarum artificibus, nemo esset omnino qui ab illis coleretur. Sed et eo ruditatis et insipientiæ mentis veniunt, ut cum ipsi ante suos deos exsistant, honorent tamen eos qui post sunt geniti, et eos ipsi faciunt, quos par erat potius factores videri : et cum materiæ domini sint, ea necessarium in abusum sumpta ab ipsis petunt salutem. Onus portant, diis in humeros sublatis, cum eos immobiles videant, quique abducantur quocunque libuerit, et illis preces offerunt. Quando igitur videris **630** eos preces accipere, tum exspecta fore auxilium. Sin eos et sensu carere et motu videas, quam tandem utilitatem ab illis exspectes? Sed tu simili morbo laboras, neque quidquam sentis, quippe extreme stupidus et insensatus.

Vers. 8-11. ***Mementote horum, et ingemiscite; pœnitentiam agite qui errastis, redite ad cor. Et mementote priorum a sæculo, quoniam ego sum Deus, et non est præter me : annuntians prius ultima, antequam ipsa fiant, et completa sint. Et dixi : Omne meum consilium stabit, et omnia quæcunque cogitavi faciam, vocans ab oriente volucrem, et de terra remota. De quibus cogitavi locutus sum, adduxi, creavi, et feci. Duxi eum, et faustum effeci iter ejus.***

Conspicatus Deus eos errore, tenebris et gravi ignorantia detentos, iterum eorum capit misericordiam, et jubet respicere veluti, et oculum mentis diligenter ad facta referre, ut a malo ad meliora transferantur, et orationes ad ipsos habitas sempiterna tenentes memoria, resipiscant : nec lingua tantum simpliciter et tenuiter, sed ipso corde et ex animo faciant. Est enim laude dignissimus et verus, ejusmodi pœnitentiæ modus. Quod igitur idolorum effictio res sit ridicula, ex his quæ jam prædixit, perspicere jubet. Quod autem ipse sit omnium Deus, ex dignitatibus Deo dignissimis, quæ ipsi natura insunt, intelligere persuadet. Sum enim, inquit, ego Deus, et omnium cognitionem habeo, et

τῷ διαπεπλασμένῳ Θεὸς εὐθὺς δίδοται παρ' αὐτῶν. Κατανοήσατε τοίνυν, φησὶ, τίνι ὡμοιώσατέ με; Ἢ γὰρ ἀνδρὶ ἢ γυναικὶ, ἢ καὶ θηρίοις ἢ ζώοις ἀλόγοις. Εἶτα πῶς οὐχ ἁπάσης ἐπέκεινα δυσσεβείας τὸ χρῆμά ἐστι; Τεχνάσασθέ τι πρὸς ἀπολογίαν· ἀπολύσασθε τὰς ἁμαρτίας. Ἀλλ' οὐκ ἂν εὕρητε τὸν ἐπικουροῦντα λόγον πρὸς τοῦτο ὑμῖν. Τὴν γὰρ ὑπὲρ πάντα φύσιν εἰς θηρία, καὶ κτήνη καταχομίζοντες, ποίοις ἄρα κεχρήσεσθε λόγοις δυναμένοις ἐξαρκέσαι εἴς γε τὸ δύνασθαι τὰ ἐγκλήματα διαφεύγειν; Ὅτι δὲ χυδαιότητος ἐννοιῶν καὶ ἕτερον οὐδὲν ἢ εἰδώλων ποίησις πειρᾶται διδάσκειν· ταύτῃ τοι καὶ λίαν ἰσχνοεπεῖ. Συνάγουσι γὰρ ἐκ μαρσίπου, φησὶν, ἀργύριον καὶ χρυσίον, καὶ ἐν ζυγῷ θήσουσιν, ἐν σταθμῷ ἰσομέτρῳ, ἑκάστου τάχα συνεισκομίζοντος, ἵνα κατὰ τὸ εἰκὸς τῷ πλέον εἰσφέροντι προσχέοιτο μᾶλλον ὁ τεχνουργούμενος. Φαίη δ' ἄν, οἶμαι, τὶς ὡς εἴπερ ἦσαν χρημάτων ἐπιδεεῖς, οὐδ' ἂν ὅλως ἐσχήκασι Θεὸν, καὶ εἰ μὴ τεχνιτῶν ηὐπόρει ἡ ὑπ' οὐρανὸν, οὐδεὶς ἦν ὅλως ὁ πρὸς αὐτῶν προσκυνούμενος. Ἥκασι δὲ ἀμαθίας εἰς τοῦτο καὶ ἀσυνέτων ἐννοιῶν, ὥστε προϋφεστηκότες αὐτοὶ τῶν ἰδίων θεῶν τιμῶσιν ὄντας ὀψιγενεῖς, καὶ οὓς χρὴ δήπου μᾶλλον ὁρᾶσθαι δημιουργοὺς, δημιουργοῦσιν αὐτοί· καὶ οἱ τῆς ὕλης κύριοι, καὶ εἰς κατάχρησιν ἀναγκαίαν λαβόντες αὐτὴν παρ' αὐτῆς αἰτοῦσι τὸ σώζεσθαι. Ἀχθοφοροῦσι τοὺς θεοὺς ἐπ' ὤμων αἴροντες αὐτούς· ἀκινήτους ὄντας ὁρῶσι, καὶ οἷπερ ἂν ἕλοιτό τις ἀποφερομένους, καὶ αὐτοῖς προσάγουσι τὰς λιτάς. Οὐκοῦν ὅταν ἴδῃς λαβόντας τὴν λιτὴν, τότε προσδόκησον ἔσεσθαι τὴν ἐπικουρίαν. Εἰ δὲ ἀναισθήτους τε ὁμοῦ καὶ ἀκινήτους ὄντας ὁρᾷς, εἶτα τίνα παρ' αὐτῶν ἐκδέχῃ τὴν ὄνησιν; Τὰ ἴσα νοσῶν οὐκ αἰσθάνῃ. Πέπτωκας γὰρ εἰς ἐσχάτην ἀναισθησίαν.

Μνήσθητε ταῦτα, καὶ στενάξατε· μετανοήσατε, οἱ πεπλανημένοι. Ἐπιστρέψατε τῇ καρδίᾳ, καὶ μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστιν πλὴν ἐμοῦ· ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν αὐτὰ γενέσθαι, καὶ ἅμα συνετελέσθη. Καὶ εἶπα· Πᾶσά μου ἡ βουλὴ στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι ποιήσω, καλῶν ἀπὸ ἀνατολῶν πετεινὸν, καὶ ἀπὸ γῆς πόῤῥωθεν. Περὶ ὧν βεβούλευμαι, ἐλάλησα, καὶ ἤγαγον, ἔκτισα, καὶ ἐποίησα. Ἤγαγον αὐτὸν, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ.

Ἀπάτῃ καὶ σκότῳ καὶ ἀμαθίᾳ δεινῇ κεκρατημένους ὁρῶν κατοικτείρει πάλιν αὐτοὺς ὁ Θεὸς, καὶ ἀνόπιν ὥσπερ ἰέναι κελεύει, τῆς διανοίας τὸν ὀφθαλμὸν ἀκριβῆ τοῖς πράγμασιν ἐπιφέροντας, ἵνα καὶ ἵνα κακοῦ εἰσι μαθόντες μεθορμίσωνται πρὸς τὰ ἀμείνω, καὶ τῶν πρὸς αὐτοὺς γεγονότων λόγων ἀτελευτήτους ἔχοντες μνήμας, μετανοεῖν ἕλοιντο, καὶ οὐκ ἀπὸ γλώττης μόνον τοῦτο δρῶντας ἁπλῶς, ἀλλ' ἐξ αὐτῆς καρδίας. Ἀξιεπαινετώτατος γὰρ καὶ ἀληθὴς εἴη ἂν ὁ τῆς τοιᾶσδε μεταγνώσεως τρόπος. Ὅτι μὲν οὖν ἡ εἰδώλων ποίησις χρῆμά ἐστι καταγέλαστον, ἐξ ὧν ἤδη προεῖπε διειδέναι κελεύει. Ὅτι δὲ Θεὸς πάντων ἐστὶν αὐτὸς, ἐκ τῶν ἐνόντων αὐτῷ κατὰ φύσιν θεοπρεπεστάτων ἀξιωμάτων ἐννοεῖν ἀναπείθει. Εἰμὶ

γὰρ ἐγὼ, φησὶν, ὁ πάντων ἔχων τὴν γνῶσιν, καὶ πρὶν γενέσθαι τι καταμηνύων αὐτὸ, καὶ εἰς πέρας ἄγων τὸ ἐπηγγελμένον. Διαβεβαιοῦμαι δὲ πρὸς τοῦτο, ὅτι πᾶν εἴ τι βεβούλευμαι συντετέλεσται, καὶ ἀπρακτήσειεν ἂν παντελῶς οὐδὲν τῶν δοκούντων ἐμοί. Πάμμεγα δὲ καὶ τοῦτο πρὸς ἀπόδειξιν ἰσχύος ἀμάχου καὶ θεοπρεποῦς. Ἄνθρωποι μὲν γὰρ, καίτοι τὰς ἀνωτάτω τιμὰς λαχόντες καὶ τὰς εἰς λῆξιν ἔχοντες δυναστείας, προτίθενταί τινα σκοπὸν, καὶ κατορθῶσαί τι βουλεύονται, ἀλλ' οὐ πάντη τε καὶ πάντως αὐτοῖς ἔρχεται κατὰ ῥοῦν τὰ διεσκεμμένα. Πλεῖστα γὰρ ὅσα παρεμπίπτει τὰ μεταξὺ, καὶ δυσάντητον ἔχει τὴν ἐκκοπήν· Θεός γε μὴν ὁ τῶν ὅλων, εἴπερ τι βούλοιτο δρᾷν, τί ἂν γένοιτο τὸ ἀντιστατοῦν, καὶ ἀντεξάγον αὐτό; Ἃ γὰρ Θεὸς ὁ ἅγιος βούλεται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; Οὐκοῦν εἰς ἀπόδειξιν τοῦ ὅτι Θεός ἐστι κατὰ φύσιν καὶ ἀληθῶς, λέγοιτο ἂν εἰκότως παρ' αὐτοῦ τὸ, Πᾶσα ἡ βουλή μου στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι, ποιήσω. Εἶτα πρὸς τοῦτό φησι, Καλῶν ἀπὸ ἀνατολῶν πετεινὸν, καὶ ἀπὸ γῆς πόῤῥωθεν περὶ ὧν βεβούλευμαι· καὶ ἀκολουθήσει καὶ τούτῳ τὸ, Ἐγώ εἰμι. Πετεινόν γε μὴν τὸ καλούμενον ἐξ ἀνατολῶν, καὶ ἐκ γῆς πόῤῥωθεν τὸν Βαβυλώνιον εἶναί φαμεν, ὃς τὴν Ἰουδαίων ἅπασαν κατεμπρήσας χώραν, εἷλε τὰ Ἱεροσόλυμα καὶ τὸν ἐν αὐτοῖς κατέσεισε νεών· εἶτα πλείστους τῶν τε ἀγελαίων, καὶ ἐπιφανῶν ἐξαναστήσας ἀπεκόμισε μὲν τῆς ἐνεγκούσης αὐτοὺς, ἐναπέθετο δὲ τῇ Περσῶν χώρᾳ τε καὶ γῇ τὸν τῆς αἰχμαλωσίας σκληρῶς τε καὶ ἀφορήτως αὐτοῖς ἐπιῤῥίψας ζυγόν. Ἔσται δέ σοι καὶ τοῦτο σαφὲς, ἐξ ὧν ἔφη Θεὸς πρὸς τὸν μακάριον προφήτην Ἰεζεχιήλ. Ἔχει δὲ οὕτως· « Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων· Υἱὲ ἀνθρώπου, διήγησαι διήγημα, καὶ εἰπὸν παραβολὴν πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, καὶ ἐρεῖς· Τάδε λέγει Ἀδωναῒ Κύριος· Ὁ ἀετὸς ὁ μέγας ὁ μακρὸς τῇ ἐκτάσει, πλήρης ὀνύχων ὃς ἔχει τὸ διήγημα εἰσελθεῖν εἰς τὸν Λίβανον, καὶ ἔλαβε τὰ ἐπίλεκτα τῆς Κέδρου, τὰ ἄκρα τῆς ἁπαλότητος ἀπέκνισε, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Χαναὰν, εἰς πόλιν τετειχισμένην ἔθετο αὐτὰ, καὶ ἔλαβεν ἀπὸ τοῦ σπέρματος τῆς γῆς, καὶ ἔδωκεν αὐτὸ εἰς τὸ πεδίον φυτὸν, ἐν ὕδατι πολλῷ, ἐπιβλεπόμενον ἔταξεν αὐτὸ, καὶ ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν, καὶ μικρὰν τῷ μεγέθει τῷ ἐπιφαίνεσθαι αὐτῇ τὰ κλήματα αὐτῆς ἐπ' αὐτὸ, καὶ αἱ ῥίζαι αὐτῆς ὑποκάτω τῆς γῆς αὐτῆς ἦσαν. Καὶ ἐγένετο εἰς ἄμπελον καὶ ἐποίησεν ἀπωρυγὰς, καὶ ἐξέτεινε τὴν ἀναδενδράδα αὐτῆς. » Ταυτὶ μὲν οὖν ἔφη Θεὸς πρὸς τὸν μακάριον προφήτην Ἰεζεχιήλ. Ἐπειδὴ δὲ δυσέφικτος ἦν ὁ λόγος, καὶ τῶν νοημάτων ἡ δύναμις οὐ σφόδρα σαφὴς τοῖς ἀκροωμένοις, αὐτὸς δὴ πάλιν αὐτὴν διατρανοῖ λέγων· « Εἰπὸν δὲ πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ τὸν παραπικραίνοντα· Οὐκ ἐπίστασθε τί ἐστι ταῦτα ἃ εἶπον. Ὅταν ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἱερουσαλὴμ, καὶ λήψεται τὸν βασιλέα αὐτῆς, καὶ τοὺς ἄρχοντας αὐτῆς, καὶ ἄξει αὐτοὺς πρὸς αὐτὸν εἰς Βαβυλῶνα. Καὶ λήψεται ἐκ τοῦ σπέρματος τῆς βασι-

A antequam fiat quidpiam, id significo, et quod annuntiatum est, ad finem perduco. Quin et porro pergit confirmare: quidquid cogitavi, completum est, et quæcunque mihi placent, omnino fient. Et hoc quidem magnum momentum habet ad demonstrandum insuperabilem et Deo dignam potentiam. Homines enim quanquam summos honores consequantur, et summos principatus obtineant, tamen cum sibi aliquem velut scopum proponunt, et aliquid efficere statuunt, non semper neque omnino illis secundo amne procedunt quæ in animo habent. Plurima enim obiter incidunt, et graves remoras injiciunt. Si quid autem universorum Deus velit agere, quid illi obsistere et obstare poterit? Quæ enim sanctus Deus vult, quis **631** dissipabit? B et quis manum ejus excelsam avertet? Itaque ad demonstrandum se esse natura et vere Deum, merito illud dixerit: Omne consilium meum stabit, et omnia quæcunque cogitavi, faciam. Deinde ad hæc ait: Vocans ab oriente volucrem et e terra longinqua ea de quibus cogitavi, quod sequetur etiam illud: Ego sum. Volucrem autem ab oriente et ex terra remota vocatam, Babylonium esse dicimus, qui universam regionem Judaicam incendit, et Hierosolyma cepit, et templum quatefecit ac disturbavit: dein plurimis tum gregariis tum illustribus viris deturbatis, a patria abduxit, et in regione atque terra Persarum collocavit, jugo captivitatis duriter et intolerabiliter illis injecto. Erit hoc autem perspicuum ex his quæ Deus ad beatum prophetam C Ezechielem dixit, quæ sic habent: « Habitus est autem sermo Domini ad me, dicens: Fili hominis, narra narrationem, et dic parabolam ad domum Israel, et dices: Hæc dicit Adonai Dominus: Aquila magna, longo membrorum ductu, plena unguium, cui voluntas fuit intrandi in Libanum, et tulit electa cedri, summitates mollitiæ amputavit, et attulit eas in terram Chanaan, in civitate mœnibus cincta posuit illas; accepitque de semine terræ, et transtulit id in campum satum, in aqua multa, inspectum id ordinavit. Et facta est vitis infirma, et parva magnitudine, ut appareret, sarmenta ipsius in eo, et radices ipsius subter illa terra erant. Factaque est vitis magna, et fecit propagines, extenditque ramos suos [48]. » Hæc igitur dixit Deus ad beatum prophetam D Ezechielem. Quoniam autem sensum orationis assequi non poterant, nec valde perspicua erat auditoribus, ipse denuo explanat, cum ait: « Dic autem domui Israel irritanti, Nescitis, quid sibi velint quæ dixi. Cum venerit rex Babylonis ad Jerusalem, capiet regem ejus, et principes ejus, et ducet eos ad se in Babylonem. Et accipiet de semine regni, et faciet cum eo fœdus, et inducet in eum exsecrationem, et duces terræ accipiet, ut sit regnum infirmum, nec unquam erigetur, ut servet pactum, **632** ac firmet illud [49]. » Nam ut in libro Paralipomenon legimus: Postquam sancta civitas capta esset, Sedeciam

[48] Ezech. XVII, 2-6. [49] ibid. 12-14.

captivum et aliquot illustriores viros, cum ipso vinctos in terram Chaldæorum Babylonius abduxit [80]. Et hæ quidem sunt electæ arbores cedri. Ego igitur, inquit, sum qui voco ab oriente volucrem. De quibus cogitavi, locutus sum, et adduxi, nec mentitus sum, inquit: prænuntiavi ventura esse suo tempore, et quod prædictum est, ad exitum est perductum. Creavi, id est, paravi mala, scilicet male affligentia, et belli calamitates, his qui meam contaminarunt gloriam, et qui ad idola inanimata declinarunt. Et feci; duxi illum, ac secundavi iter ejus. Non enim ipsius manus erat opus, debellare Israelem, si quidem ei adjutor fuit Deus. Sed enim ego qui servo et præfui, secundavi iter ejus ut supplicium de his sumeret, qui pietatem in ipsum parvi fecerunt, imo vero prorsus resilierunt, ita ut honorem ac gloriam illi et soli convenientem lignis tribuerint et lapidibus.

A λείας, καὶ διαθήσεται πρὸς αὐτὸν διαθήκην, καὶ εἰσάξει αὐτὸν ἐν ἀρᾷ, καὶ τοὺς ἡγουμένους τῆς γῆς λήψεται τοῦ γενέσθαι βασιλείαν ἀσθενῆ, καὶ τὸ καθόλου μὴ ἐπαίρεσθαι τοῦ φυλάσσειν τὴν διαθήκην αὐτοῦ, καὶ ἱστάνειν αὐτήν. Ὡς γὰρ ἐν βίβλῳ τῶν Βασιλειῶν ἀνέγνωμεν, μετὰ τὸ ἁλῶναι τὴν ἁγίαν πόλιν, τὸν Σεδεκίαν αἰχμάλωτον, καί τινας τῶν ἐπιφανῶν σὺν αὐτῷ δεδεμένους, ἀπεκόμισεν εἰς τὴν Χαλδαίων ὁ Βαβυλώνιος· καὶ ταῦτά ἐστι τὰ ἐκλεκτὰ τῆς Κέδρου. Εἰμὶ τοίνυν ἐγὼ, φησὶν, ὁ καλῶν ἀπὸ ἀνατολῶν πετεινόν. Περὶ ὧν βεβούλευμαι, ἐλάλησα καὶ ἤγαγον, οὐ διέψευσμαι, φησί. Προαπήγγελκα μὲν γὰρ ὡς ἥξει κατὰ καιροὺς, ἀλλ' εἰς πέρας ἤχθη τὸ προειρημένον. Ἔκτισα, τοῦτ' ἔστι, κατεσκεύασα κακὰ, δηλονότι γοῦν τὰ κακωτικὰ, καὶ τὰς τοῦ πολέμου συμφορὰς B τοῖς τὴν ἐμὴν ἀτιμάσασι δόξαν, καὶ εἰδώλοις ἀψύχοις προσνενευκόσι. Καὶ ἐποίησα, ἤγαγον αὐτὸν, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ. Οὐ γὰρ τῆς ἐκείνου χειρὸς ἦν ἔργον τὸ κατισχύσαι τοῦ Ἰσραὴλ, εἴπερ ἦν ἐπίκουρος αὐτῷ Θεός. Ἀλλ' αὐτὸς σώζων καὶ προεστηκὼς, εὐώδωσα αὐτοῦ τὴν ὁδὸν αὐτοῦ, ἵνα ὑπαγάγῃ ταῖς δίκαις τοὺς τῆς εἰς αὐτὸν εὐσεβείας ὀλίγα πεφροντικότας, μᾶλλον δὲ καὶ εἰσάπαν ἀποσκιρτήσαντας, ὥστε, καὶ ξύλοις, καὶ λίθοις τὴν αὐτῷ τε καὶ μόνῳ πρεπωδεστάτην ἀναθεῖναι τιμήν τε καὶ δόξαν.

VERS. 12. 13. *Audite me, qui perdidistis cor, qui longe estis a justitia. Prope feci justitiam meam, et salutem quæ ex me est non tardabo. Dedi in Sion salutem Israeli in gloriam.*

Ἀκούσατέ μου, οἱ ἀπολωλεκότες τὴν καρδίαν, ὡς μακρὰν ἀπὸ τῆς δικαιοσύνης. Ἤγγισα τὴν δικαιοσύνην μου, καὶ τὴν σωτηρίαν τὴν παρ' ἐμοῦ οὐ μὴ βραδύνω. Δέδωκα ἐν Σιὼν σωτηρίαν τῷ Ἰσραὴλ εἰς δόξασμα.

Ecce de integro illis salutem appromittit, et animum despondere non sinit, ne immensa tristitia victi et dejecti, procul absint ab ea spe, quod servabuntur scilicet, modo velint resipiscere. Excordes enim erant, errantes, et verus erat de illis sermo. Quo enim illi animo affecti erant, qui quos ipsi creant adorant, et veneratione lignis et lapidibus exhibita, ab ipsis petunt salutem? Verum etiam sic eos suffert, et deceptorum miseretur, et eorum qui ceciderunt commiseratur, et bonis pollicitationibus reducit ad intelligentiam, et expergisci jubet, et qui procul sunt, et remoti a justitiæ sorte, id est, Deo, ad se jubet venire. Videtur autem pollicitatione particularis salutis, etiam universæ ac generalissimæ demonstrationem una intexere. Servaverat enim ex terra Chaldæorum eos, qui captivi in eam fuerunt delati, et hoc, opinor, licebit particulare auxilium dicere: Generalissimum autem fuit **633** illud per Christum, quod veteribus etiam non longe post exhibendum denuntiabatur. Prope enim, inquit, adduxi justitiam meam, et salutem quæ ex me est, non remorabor. Simile esse hoc dicimus ei: « Adhuc paululum, et qui venturus est veniet, et non tardabit [81]. » Data est autem in Sion salus Israeli in gloriam. Sion his verbis nominat eam, quæ cadit sub intelligentiam, id est Ecclesiam Christi, in qua ejus salutem omnes in gloria percipimus, quicunque intelligibilis Israel efficimur. Ut enim Judæus est non ex carne solum, sed si quis in spiritu circumcisione dignus est habitus: sic et Israel non

Ἰδοὺ δὴ πάλιν σωτηρίαν αὐτοῖς ἐπαγγέλλεται, καὶ ἀπογινώσκειν οὐκ ἐᾷ, μὴ ἄρα πως ταῖς ἐπέκεινα C μέτρου δυσθυμίαις κεκρατημένοι, μακρὰν γένοιντο τῆς ἐλπίδος τοῦ ὅτι σωθήσονται, μετανοεῖν ᾑρημένοι. Ἀκάρδιοι μὲν οὖν οἱ πλανώμενοι, καὶ ἀληθὴς ἐπ' αὐτοὺς ὁ λόγος. Ποίῳ γὰρ νῷ κεχρημένοι δημιουργοῦσιν αὐτοὶ τοὺς προσκυνουμένους, ξύλοις τε καὶ λίθοις ἀνατιθέντες τὸ σέβας, παρ' αὐτῶν αἰτοῦντες τὸ σώζεσθαι; Πλὴν καὶ οὕτως ἀνέχεται Θεὸς, καὶ κατοικτείρει μᾶλλον ἠπατημένους, καὶ πεσόντας ἐλεεῖ, καὶ ὑποσχέσεσιν ἀγαθαῖς ἀνακομίζει πρὸς σύνεσιν, καὶ ἀνανήφειν κελεύει, καὶ μακρὰν ὄντας διεσχοινισμένους τε τῆς δικαιοσύνης, τοῦτ' ἔστι, Θεοῦ, πρὸς αὐτὸν ἰέναι κελεύει. Ἔοικε δὲ ταῖς ὑποσχέσεσι τῆς μερικῆς σωτηρίας, καὶ τῆς καθόλου καὶ γενικωτάτης συναναπλέκειν τὴν δήλωσιν. Σέσωκε μὲν γὰρ ἐκ γῆς Χαλδαίων τοὺς ἐν τάξει δορυκτήτων εἰς αὐτὴν ἀπενηνεγμένους, καὶ μερικὸν ἐπικούρημα D φαίη ἂν, οἶμαι, τις τουτὶ, γενικώτατον δὲ τὸ διὰ Χριστοῦ, ὃ καὶ ἀναδείξειν οὐκ εἰς μακρὰν τοῖς πάλαι κατεπηγγέλλετο. Ἤγγισα γὰρ, φησὶ, τὴν δικαιοσύνην μου, καὶ τὴν σωτηρίαν τὴν παρ' ἐμοῦ οὐ μὴ βραδύνω. Ἐοικέναι δὲ τοῦτό φαμεν τῷ, Ἔτι μικρὸν ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. Δέδοται δὲ ἐν Σιὼν ἡ σωτηρία τῷ Ἰσραὴλ εἰς δόξασμα. Καὶ Σιὼν ἐν τούτοις τὴν νοητὴν ὀνομάζει, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν Χριστοῦ, ἐν ᾗ τὴν αὐτοῦ σωτηρίαν ἐν δόξῃ δεχόμεθα πάντες ὅσοι τελοῦμεν εἰς τὸν νοητὸν Ἰσραήλ. Ὥσπερ γὰρ Ἰουδαῖός ἐστιν οὐχ ὁ κατὰ σάρκα μόνον, ἀλλὰ γὰρ εἴ τις καὶ τῆς ἐν πνεύματι περιτο-

[80] II Par. XXXVI, 6. [81] Habac. II, 3.

μῆς ἠξίωται· οὕτως καὶ Ἰσραήλ, οὐχ οἱ ἐξ αἵματος μόνον τοῦ Ἰσραὴλ γεγονότες, ἀλλὰ γὰρ καὶ ὅσοι νοῦν ἐσχήκασιν ὁρῶντα Θεὸν, οἳ καὶ εἰς τέκνα τέθεινται, καὶ κατ' ἐπαγγελίαν του Ἀβραὰμ, καὶ τούτους εἶναί φαμεν τὸν ἀληθέστερον Ἰσραήλ.

Κατάβηθι, κάθισον ἐπὶ τὴν γῆν, παρθένος θυγάτηρ Βαβυλῶνος· κάθισον εἰς τὴν γῆν [οὐκ ἔστι θρόνος· εἴσελθε εἰς τὸ σκότος (1)], *θυγάτηρ Χαλδαίων, ὅτι οὐκέτι προστεθήσῃ κληθῆναι ἁπαλὴ, καὶ τρυφερά. Λάβε μύλον, ἄλεσον ἄλευρον, ἀποκάλυψον τὸ κατακάλυμμά σου, ἀνακάλυψαι τὰς πολιὰς, ἀνάσυρε τὰς κνήμας, διάβηθι ποταμούς. Ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου· φανήσονται οἱ ὀνειδισμοί σου. Τὸ δίκαιον ἐκ σοῦ λήψομαι.*

Εἰπὼν ὅτι Δέδωκα τῷ Ἰσραὴλ σωτηρίαν εἰς δόξασμα, καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας αὐτοῖς ἐπαγγειλάμενος λύτρωσιν, διαμνημονεύει λοιπὸν καὶ ἀφηγεῖται σαφῶς, τίνα τε ἥλω τρόπον καὶ πεπόρθηται, καὶ οἷον ἐν πίνακι καταγράφει τῶν ἁλόντων τὸ σχῆμα. Ὥσπερ γὰρ τῇ τῶν Ἰουδαίων χώρᾳ τὴν ἐκ τοῦ πολέμου τῶν Βαβυλωνίων προκαταμεμήνυκεν ἐξανάστασιν, λεπτῶς ἕκαστα διεξιὼν, καὶ λέγων· « Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν, ἅμα σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών· καὶ Κύριος ἀποκαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τοὺς κόσμους αὐτῶν, καὶ τὰ ἐμπλόκια, καὶ τοὺς κοσύμβους, » καὶ τὰ τούτων ἐφεξῆς· εἶτα προσεπάγει τούτοις· « Καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτὸς, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου φαλακρώματα ἕξεις διὰ τὰ ἔργα σου· καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον· » οὕτω καὶ νῦν οἷα πείσονται τῶν Βαβυλωνίων αἱ θυγατέρες ἤγουν αἱ σύνοικοι, Περσῶν τε καὶ Μήδων περιελκόντων αὐτὰς, διαδείκνυσι λέγων· Κατάβηθι, κάθισον ἐπὶ τὴν γῆν, ὑπεμφήνειεν ἂν τὸ, ταπεινώθητι, καίτοι πάλαι νοσοῦσα δεινῶς τὴν ὑπεροψίαν. Κατάβηθι τοίνυν ἐξ ὄρους καὶ φρονήματος ὑψηλοῦ πρὸς ταπείνωσιν, ἐκ δόξης εἰς ἀτιμίαν, ἐκ τρυφῆς εἰς ταλαιπωρίαν, ἐξ ἀμετρήτου πλούτου εἰς πτωχείαν ἐσχάτην, ἐξ ἐλευθερίας εἰς δουλείαν, καὶ ἁπαξαπλῶς ἐξ ἁπάντων τῶν ἡδίστων ἐπὶ τὰ χείρω καὶ μοχθηρότατα. Κάθισον εἰς τὸ σκότος, τὸ ἐκ τῆς ἀνηκέστου συμφορᾶς δηλονότι. Καταδουλοῖ γὰρ τὸν νοῦν λύπη δριμεῖα καταχεομένη ψυχῆς, καὶ ἀδοκήτων ἔφοδος πόνων, καὶ φορτίου δίκην ἐπικίπτων φόβος. Ὅτι δὲ παρελήλακεν αὐτῆς ὁ τῆς ἀρχαίας εὐημερίας καιρὸς, δείκνυσι λέγων· Οὐκέτι μὴ προσθήσῃ κληθῆναι ἁπαλὴ, καὶ τρυφερά. Τὰ μὲν γὰρ τῶν Χαλδαίων γύναια, τὸ ἀπεικὸς οὐδὲν, ἁβρὰν ἐσχηκέναι τὴν δίαιταν, εἶναί τε φιλόκοσμα, καὶ κομμωτικὴν ἐπιστήμην οὐκ ἐν σμικρῷ ποιεῖσθαι λόγῳ·

A qui ex sanguine solum Israel nati sunt, sed quicunque præditi mente sunt quæ Deum videt, qui etiam ex promissione in filiis Abrahami numerantur: quem nos veriorem Israelem esse dicimus.

CAP. XLVII. VERS. 1-3. *Descende, sede super terram, virgo filia Babylonis; sede in tenebris, filia Chaldæorum; quoniam non ultra adjicietur ut voceris tenera et lauta. Cape molam, mole farinam, retege tegumentum tuum; detege canos, et denuda tibias; transi flumina. Retegetur ignominia tua: apparebunt dedecora tua. Quod justum est de te sumam.*

B Cum dixerit: Dedi Israeli salutem in gloriam, et annuntiaverit captivis redemptionem, commemorat deinceps et exponit clare, quemadmodum capta et vastata sit, et tanquam in tabula depingit captorum habitum. Sicuti enim bellicam incursionem Babyloniorum ante in regionem Judæorum præsignificavit, singula minutatim percurrens, et dicens: « Eo quod evectæ sunt filiæ Sion, et incesserunt elato collo, et in nutibus oculorum, et in progressu pedum, simul trahunt tunicas, et simul pedibus lusitant, humiliabit etiam Deus principes filias Sion. Et Dominus reteget habitum earum die illo, et auferet Dominus gloriam vestimenti earum, et ornamenta, et plexos crines, et vestes fimbriatas, » et quæ sequuntur [50*]; deinde adjungit his: « Eritque pro odore suavi fetor, et pro zona funiculo
C cingeris, et pro ornatu capitis aureo calvitium habebis, propter opera tua; pro tunica clavatæ purpuræ eris succincta **634** sacco [51]: » ita nunc quoque quæ passuræ sunt filiæ Babyloniorum, et finitimæ, Persis atque Medis eas obsidentibus, commonstrat, inquiens: Descende, sede in terra, virgo filia Babylonis. Sede in terra, significat, humilis fias, quæ tantopere superbiæ gravissimo morbo laborasti. Descende ergo de monte, a mente elata ad humilitatem, a gloria ad infamiam, a deliciis ad miseriam, ab immensis opibus ad extremam mendicitatem, a libertate in servitutem, et, ut semel dicam, ab omnibus rebus jucundissimis ad deteriora et
D calamitosissima. Sede in tenebris, nimirum præ insanabili calamitate. Serviliter enim subjugat mentem dolor vehemens infusus in animum, et inopinatorum laborum impressio, et timor quasi incubans. Præteriisse autem veteris ipsorum felicitatis tempus ostendit, cum ait: Non amplius vocaberis delicata et lauta. Non enim vero est dissimile, muliercnlas Chaldæorum splendide victitasse, et studuisse elegantiæ, et comple fucandi artem non in minimo pretio habuisse. Quin ferunt etiam ipsos acierum instruendarum scientes auro et lapidibus gloriari, et ornatu admirabili splendescere in ipsis

[50*] Isai. III, 16-19. [51] ibid. 24.

(1) Quæ uncis inclusa sunt non reperiuntur in Vulg., neque in Sept.

etiam prœliis. Non vocaberis ergo amplius, inquit, lauta, sed volens nolens servitutis miseriam subibis; moles farinam, apparebis nuda velamentis capitis, crinibus scilicet neglectim undique diffluentibus; etiamsi ante fueris varie redimita, reteges canos. Quod signum esse potest evidens, victores eo crudelitatis venturos, ut ne vetulæ mulieri quidem sint parsuri. Denuda tibias, transi flumina. Retegetur ignominia tua, apparebunt dedecora tua. Nam quæ semel in captivitatem redactæ, et a patria in terram victorum abductæ sunt, flumina quæ obiter occurrunt interea pedibus trajicere oportet, renudatas scilicet, et eam quæ feminas decet verecundiam, non amplius oculis præ se ferre, sed velut ex nécessitate multis etiam nudare secreta corporis. Licebit etiam alio modo dicere, ejus ignominiam apparituram et dedecora; ut quæ jam capta sit, et tristi loco futura, quæ quondam molliter ac delicate vixerat, et omni genere felicitatis floruerat. Ait porro: Justum de te **635** sumam, id est, sumam de te quod te pati oportuit. Quid autem illud sit, per alium prophetam sanctum præsignificavit, dicens: « Quemadmodum fecit, ei faciam [52*]. » Et iterum: « Quemadmodum fecisti, ita erit tibi; retributio tua retribuetur tibi in caput tuum [52**]. » Dictum est autem et alibi de omni delinquente: « Væ iniquo, mala opera ejus evenient ei [53]. »

ὅτι καὶ αὐτούς φασι τοὺς τῶν τακτικῶν ἐπιστήμονας χρυσῷ καὶ λίθοις ἐπισεμνύνεσθαι, καὶ οὐκ ἀθαυμάστῳ κόσμῳ διαπρέπειν ἐπείγεσθαι, καὶ ἐν αὐταῖς ταῖς μάχαις. Οὐ κεκλήσῃ τοίνυν ἔτι τρυφερὰ, φησὶν, ὑποστήσῃ δὲ μᾶλλον, καὶ οὐχ ἑκοῦσα, τὴν ἐν τῷ θητεύειν ταλαιπωρίαν· ἀλήσεις ἄλευρον, γυμνὴ τῶν τῆς κεφαλῆς ὀφθήσῃ καλυμμάτων· ἀτημελῶς δηλονότι τῆς τριχὸς διαῤῥεούσης πανταχοῦ, καίτοι πάλαι ποικίλως ἀνεσφιγμένης. Ἀνακάλυψαι τὰς πολιὰς, καὶ τοῦτο σημεῖον ἂν γένοιτο σαφὲς, τοῦ πρὸς τοσαύτην ὠμότητα τοὺς ᾑρηκότας ἐλθεῖν, ὡς μηδὲ πρεσβύτιδος φείσεσθαι γυναικός. Ἀνάσυρε τὰς κνήμας, διάβηθι ποταμούς. Ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου, φανήσονται οἱ ὀνειδισμοί σου. Τὰς γάρ τοι πεσούσας ἅπαξ εἰς ἀπαγωγὴν, καὶ τῆς ἐνεγκούσης ἀποφερομένας, εἰς τὴν τῶν νενικηκότων, καὶ μεταξὺ παρεμπίπτοντας τῶν ποταμῶν διαπεραιοῦσθαι δεῖ ποδὶ, ἀνασυρομένας δηλονότι, καὶ τὴν θηλείαις πρέπουσαν αἰδῶ μηκέτι φερούσας ἐν ὀφθαλμοῖς· ἀλλ' ὡς ἐξ ἀνάγκης καὶ τὰ τοῦ σώματος ἀπόῤῥητα γυμνούσας πολλοῖς. Φαίη δ' ἄν τις καὶ ἑτέρως αὐτῆς ὀφθῆναι τὴν αἰδῶ, καὶ φανῆναι τοὺς ὀνειδισμοὺς ὡς ἁλούσης ἅπαξ, καὶ ἐν τοῖς ἀπευκτοῖς γενομένης, καίτοι πάλαι τρυφώσης, καὶ ταῖς εἰς λῆξιν εὐημερίαις ἐναβρυνομένης. Εἶτά φησιν, ὅτι Τὸ δίκαιον ἐκ σοῦ λήψομαι, τοῦτ' ἔστι, ὅπερ χρή σε παθεῖν, τοῦτο παρὰ σοῦ λήψομαι. Καὶ ποῖον τοῦτό ἐστι, δι' ἑτέρου τῶν ἁγίων προφητῶν προκαταμεμήνυκεν εἰπών· « Καθὼς ἐποίησε, ποιήσω αὐτῇ. » Καὶ πάλιν· « Καθὼς ἐποίησας, ἔσται σοι οὕτως· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν σου. » Εἴρηται δὲ καὶ ἑτέρωθί που περὶ παντὸς τοῦ πλημμελεῖν εἰωθότος· « Οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα αὐτοῦ συμβήσεται αὐτῷ. »

VERS. 4. *Non ultra tradam te hominibus, dicit is qui eripuit te, Dominus Sabaoth: Sanctus Israel nomen ei.*

Interjecta est alia oratio, idque tanquam ad Israelem: promittitque Deus nullo eos tempore in hostium manus casuros, et misertum se eorum ait, qui peccatis dignas ac quasi æquales pœnas luerint, et qui potius ultra id quod æquum est puniti fuerint. De eo namque dixit: « Sacerdotes, loquimini ad cor Jerusalem, consolamini eam; quia impleta est humiliatio ejus, solutum ejus est peccatum, quia recepit de manu Domini duplicia peccata [54*]. » Ergo, inquit, Qui eripuit te Dominus Sabaoth, cui etiam nomen est Sanctus Israel, dixit, quod posthac non traderis malis et immitibus hominibus, scilicet his qui vicerunt eo quod Deus iratus esset, et misericordia ac dilectione vacuum dimiserat Israelem, quos ad defectionem conversos conspicatus est, et effreni ire impetu, ut ea faciant quæ in divinis suis legibus sunt accusata.

Οὐκέτι μὴ παραδῶ σε ἀνθρώποις, εἶπεν ὁ ῥυσάμενός σε Κύριος Σαβαώθ· ὁ Ἅγιος Ἰσραὴλ ὄνομα αὐτῷ.

Παρεισβέβληκε μεταξὺ λόγος ἕτερος, καὶ ὥς πρός γε τὸν Ἰσραὴλ, καὶ ὑπισχνεῖται Θεὸς τὰ κατ' οὐδένα καιρὸν ὑπὸ χεῖρα πεσεῖν ἐχθρῶν, ἐλεῆσαι γὰρ ὡς ἰσοστάθμους τῶν αὐτῷ πεπλημμελημένων ἐκτετικότας δίκας, μᾶλλον δὲ καὶ πέρα τούτου κεκολασμένους. Ἔφη γάρ που περὶ αὐτοῦ· « Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ, παρακαλέσατε αὐτὴν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου τὰ ἁμαρτήματα αὐτῆς. » Οὐκοῦν Ὁ ῥυσάμενός σε, φησὶ, Κύριος Σαβαὼθ, ᾧ καὶ ὄνομα Ἅγιος Ἰσραὴλ, εἶπεν, Οὐκέτι παραδοθήσῃ πονηροῖς, καὶ ἀφιλοικτείρμοσιν ἀνθρώποις, δῆλον δὲ ὅτι τοῖς πάλαι νικήσασιν, ἐπείτοι Θεὸς ὠργίζετο, καὶ φειδοῦς καὶ ἀγάπης ἔρημον ἠφίει τὸν Ἰσραὴλ, τραπομένους ὁρῶν εἰς ἀπόστασιν καὶ ἀσχέτως ἰόντας ἐπὶ τὸ χρῆναι δρᾷν, ἃ τοῖς θείοις αὐτοῦ διαβέβληται νόμοις.

VERS. 5-7. *Sede compuncta, ingredere tenebras, filia Chaldæorum: non ultra vocaberis Robur regni. Irritatus sum contra populum meum, contaminasti hæreditatem meam. Ego dedi eos in manus tuas, tu autem non tribuisti illis misericordiam; senis jugum nimium aggravasti, et dixisti: In æternum ero prin-*

Κάθισον κατανενυγμένη, εἴσελθε εἰς τὸ σκότος, θυγάτηρ Χαλδαίων· οὐκέτι μὴ κληθήσῃ Ἰσχὺς βασιλείας. Παρωξύνθην ἐπὶ τῷ λαῷ μου, ἐμίανας τὴν κληρονομίαν μου. Ἐγὼ δέδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος, τοῦ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν

[52*] Ezech. VII, 27. [52**] Abd., 15. [53] Isa. III, 11. [54*] Isa. XL, 2.

σφόδρα, καὶ εἶπας· Εἰς τὸν αἰῶνα ἔσομαι ἄρ- A *χουσα. Οὐκ ἐνόησας ταῦτα ἐν τῇ καρδίᾳ σου, οὐδὲ ἐμνήσθης τὰ ἔσχατά σου.*

Δικαίᾳ ψήφῳ πανταχοῦ κεχρημένον ἑαυτὸν δεικνύει, καὶ δίκας ἐπάγοντά τισιν οἷς ἂν πλημμελεῖεν, τὰς ἰσοῤῥόπους. Πλεῖστα γὰρ ἦν ὅσα τὰ ἐγκλήματα τῶν Βαβυλωνίων, καὶ γράφεται μὲν αὐτοὺς ἐπὶ πολλῇ λίαν ὠμότητι καὶ ἀπανθρωπίᾳ, καταδείκνυσι δὲ καὶ ἀλαζόνα, καὶ ταῖς ἰδίαις δυνάμεσιν ἀσυνέτως ἐπιθαρσήσασαν, ὥστε καὶ οἴεσθαι τὴν ἐπὶ τὰ χείρω μεταβολὴν κατ' οὐδένα τρόπον ὑποστήσεσθαί ποτε. Οὐκοῦν ὅταν, φησὶν, ὑπομείνῃς τὴν ἅλωσιν, τότε κατανενυγμένη κάθισον. Τὸ δὲ, κατανενυγμένη, φησὶν, ἀντὶ τοῦ, νοήσασα, κἂν γοῦν ὀψέ ποτε, καὶ μάλιστα κατὰ σαυτήν· δέχου δὲ σκοτοδινίαν. Ἔφη γὰρ ὅτι τὰ ἀνήκεστα τῶν κακῶν σκότον ὥσπερ τινὰ καταχέει B τοῦ νοῦ, καὶ οἷον κόνις ἐμπίπτει ταῖς ψυχαῖς. Οὐκέτι τοίνυν, φησὶ, κληθήσῃ Ἰσχὺς βασιλείας. Ὠνομάζετο γὰρ οὕτως ἡ Βαβυλὼν, ἅτε δὴ καὶ πληθὺν ἔχουσα τὴν ἀριθμοῦ κρείττονα, καὶ χεῖρα μαχιμωτάτην, καὶ ἀποχρῶσαν εἰς ἀντίστασιν, εἰ δή πού τινες εἶεν οἱ ἀνθιστάμενοι, καὶ ἀντεξάγοντες τοῖς τὸ κρατεῖν ἔχουσι παρ' αὐτοῖς. Εἶτα ποία τις ἦν ἡ πρόφασις τοῦ κατεπαχθῆναι τῶν Βαβυλωνίων τὰ ἐκ θείας ὀργῆς ἐπενηνεγμένα, διατρανοῖ λέγων· Παρωξύνθην ἐπὶ τῷ λαῷ μου, ἐμίανας τὴν κληρονομίαν μου. Ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. Τοιοῦτόν τι καὶ διὰ φωνῆς Ζαχαρίου φαίνεται λέγων· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην C ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Παιδεύει μὲν γὰρ ἐξ ἀγάπης ἔσθ' ὅτε Θεὸς, καὶ ἀνουθετήτους τινὰς γεγονότας, καὶ γαῦρον αὐτῷ στήσαντας τὸν αὐχένα μεθίστησι διὰ πόνων εἰς εὐήνιον, ἢ χεῖρας ἐχθρῶν ἐπαγαγὼν αὐτοῖς, ἢ καὶ ἑτέραις πη λύπαις ἀνιεὶς αὐτούς. Ὥσπερ γὰρ τὰ δυσίατα τῶν τραυμάτων πῦρ ἢ σίδηρος ἐξιᾶται πολλάκις, ἅτε δὴ τῆς τῶν φαρμάκων συμμετρίας οὐκ ἀνεχόμενα, τὸν αὐτὸν δὴ τρόπον, οἶμαι, καὶ ὁ φιλάρετος ἡμῶν Θεὸς, ὅταν ἴδῃ ψυχὴν ἀσχέτοις ἰοῦσαν ὁρμαῖς κατὰ πετρῶν, καὶ τῶν τῆς φαυλότητος τρόπων ἀπρὶξ ἀντεχομένην, πικροῖς αὐτὴν ἐξιᾶται πόνοις. Εἰσὶ δὲ οἱ κολαστῶν ἐν τάξει παρειλημμένοι, δεινοῖς καὶ ἀκράτοις κέχρηνται θυμοῖς, καὶ πέρα φέρονται τοῦ εἰκότος, ἀφορήτως D καταφορτίζοντες τοὺς ὑπ' αὐτοὺς γεγονότας. Παγχάλεπον τοίνυν τὸ χρῆμά ἐστι, καὶ παροξύνεται Θεὸς ἐπὶ τοῖς τοῦτο δρᾷν εἰωθόσιν. Ἀφεκτέον δὴ οὖν τοῦ κακοῦ, κἂν εἴ πού τινες πράττοιντο δίκας, Θεοῦ παιδεύοντος, ἐπὶ τὸ ἥμερον βλέπωμεν, εὖ εἰδότες ὅτι παροξύνεται λίαν ὁ παιδευτὴς, εἰ παρὰ μέτρον τὰ τῆς δίκης αὐτοῖς ἐπιφέροιτο πρὸς ἡμῶν. Οὐκ ἠλέησας τοίνυν, φησὶ, πρεσβύτην, καὶ εἷλες μὲν αὐτοὺς οὐκ ἀπὸ τῆς σῆς ἰσχύος, δόντος δὲ μᾶλλον ἐμοῦ. Γέγονας δὲ σκληρός τε καὶ ἀγριόθυμος, καὶ τὸ ἔτι τούτου φορτικώτερον εἰς τοῦτο προῆλθες ἀλαζονείας, ὥστε οἴεσθαί τε καὶ λέγειν, ὡς ἀκατάληκτον

ceps. Non cogitasti hæc in corde tuo, neque recordata es novissima tua.

Justo calculo semper usum se ostendit, et pœnas quæ delictis ex æquo respondeant, quibusdam infligere. Plurima enim Babyloniorum erant peccata, et insignis crudelitatis atque inhumanitatis dicam illis scribit, et arrogantem eam esse demonstrat, et inconsulto suis viribus confisam esse: adeo ut [propter muro cinctam urbem] se nullo modo passuram esse mutationem unquam arbitraretur. Itaque, inquit, **636** quando captivitatem pateris, tunc compuncta sede. Compuncta, dicit, pro cogitans, licet sero, apud teipsam maxime. Tenebris involvere. Dixit enim mala incurabilia velut tenebras quasdam menti offundere, et tanquam pulverem in animos incidere. Non ergo, inquit, posthac vocaberis Robur regni. Sic enim nominata est Babylon, utpote quæ innumerabilem haberet multitudinem, et manum bellacissimam et satis ad resistendum instructam, siquidem essent qui adversarentur, et contra illos qui imperium apud se habebant, copias educerent. Dein causam cur hæc Babyloniis ex ira divina illata fuerint et irrogata, exponit, dicens: Irritatus eram contra populum meum, contaminasti hæreditatem meam. Ego dedi illos in manus tuas, tu autem non tribuisti illis misericordiam. Tale quiddam etiam voce Zachariæ videtur dicere: « Æmulatus sum Jerusalem et Sion æmulatione magna, et furore magno irascor gentibus quæ una aggrediuntur, quoniam ego iratus sum modice, ipsæ simul aggressæ sunt ad mala [54]. » Ex amore enim interdum castigat Deus, et qui admonitionis impatientes erant, ac superbam in illum cervicem erigebant, per labores efficit ut sint sequaces et flexiles: vel manum hostium in illos inducendo, vel aliis eos doloribus affligendo. Nam ut vulnera quæ difficulter sanantur, sæpe ignis sanat et ferrum, utpote cum pharmaca commoda respuant: ad eumdem, credo, modum et virtutis amans noster Deus, cum animum videt effreni impetu in rupes ire præcipitem, et vitiis tenaciter adhærescere, acribus eum curat laboribus. Sunt qui ad pœnas inferendas asciti sunt, qui graviter et impotenter ira excandescunt, modumque atque æquum transeunt, ac intolerabiliter eos qui subsunt onerant. Est ergo hæc res gravissima, et offenditur Deus succenseique his qui hoc solent perpetrare. Abstinendum igitur est a malo: et si aliqui, Deo castigante, pœnas sumant, spectemus clementiam et placabilitatem, certo scientes castigatorem valde incandescere, siquidem pœnæ illis immoderate a nobis inferantur. Non ergo, inquit, misertus es senis, cumque non tuis viribus illos, sed me dante, ceperis, durus fuisti et animo immiti: et, quod adhuc est molestius, eo pervenisti arrogantiæ, ut putares et diceres, **637** habiturum te imperium quod non finiri, et potestatem, quæ non la-

[54] Zach. I, 14, 15.

befactari posset. Deinde, inquit, extrema quæ tibi contingunt, nec cogitare, neque meminisse voluisti. Quænam sunt illa? Captivitas scilicet, et calamitas ipsis a Deo illata.

Vers. 8-10. *Nunc vero audi hæc, o delicata, sedens, confidens, dicens in corde tuo: Ego sum, et non est alia; non sedebo vidua, neque sciam orbitatem. Nunc autem invadent te subito duo hæc die uno: viduitas et sterilitas invadent te subito, in veneficio tuo, in robore incantatorum tuorum vehementer, in spe nequitiæ tuæ. Tu enim dixisti: Ego sum, et non est alia. Scito prudentiam horum et fornicationem tibi fore dedecori et confusioni.*

Disputat velut cum nefaria et lasciva quapiam muliercula quæ molliter et solutius deliciatur, ac studet elegantiæ. Cæterum illud dicimus, complures fuisse magos apud Chaldæos, quos etiam sapientes nominarunt: quorum admonitis et mendacibus vaticiniis omnia factitabant Babylonii. Simulantes enim habere se exactam futurorum scientiam, dominatoribus terræ nihil triste vaticinabantur, sed illa potius, quibus delectari auditores viderentur. Cogitandum est ergo, Cyro bellum illis denuntiante, et jam hostilem manum adducente, semper istos coram adfuisse, illud mentientes, et dicentes quod mox illo superiores forent, et citra omnem laborem vincerent, triumphumque contra hostes canerent, et jacentibus insultarent. Hæc quidem illi. Verum audi nunc, o delicata [id est, a me disce vera, o delicata]. Quibus verbis traducit et insectatur Babyloniorum vivendi rationem, ut solutiorem et remissam. Splendidi enim erant, unguentis odoratissimis delibuti, et cultu vario usi, et ornatus elegantiam plurimi facientes: ita ut apud illos in pretio esset fucandi ac lenocinandi ars, et de pulchritudine certamen esset. Propterea delicata dicta est. Vocat etiam illam sedentem, pro, imperitantem, videlicet accolis, imo etiam longe dissitis gentibus. Eratque confidens, id est, infinita multitudine bellatorum nitens audacius, ut etiam diceret: Ego sum, et non est alia. Putabat enim nullam omnino **638** fore aliam secum conferendam. Sed spe frustrata est, et a vero erravit. Excitatus enim est Cyrus, qui Persas in eos et Medos induxit. Et vix agnovit hoc documento, fuisse aliam se fortiorem, Persarum nimirum et Medorum regionem et terram, a qua facta est vidua et sterilis, etiamsi olim se hoc passuram non exspectaverit. Viduata enim est et destituta rege suo, qui ibi morti traditus est: sterilis autem facta est et orbata bellatorum multitudine, gladiis vastantium consumpta. Invasit ergo eam et viduitas et sterilitas. Hæc, inquit, contingent tibi in veneficio tuo, et in incantatorum tuorum magno robore, in spe nequitiæ tuæ. Quoniam, inquit, malam spem habuisti in tuis veneficiis et incantationibus, hinc facta es et sterilis et vidua. In altum enim tollens supercilium, et animo

A ἕξεις τὴν ἀρχὴν, καὶ τὸ ἐν ἀκλονήτοις εἶναι δυναστείαις. Εἶτα ταῦτα συμβαίνοντά σοι, φησὶν, οὐδὲ εἰς νοῦν ἔχειν ἠξίου, οὐδὲ εἰς μνήμην ἐδέξω τὰ ἔσχατα. Ποῖα δὲ ἦν ταῦτα; Τὰ τῆς αἰχμαλωσίας δηλονότι, καὶ τῆς ἐπενεχθείσης αὐτῇ ταλαιπωρίας παρὰ Θεοῦ.

Νυνὶ δὲ ἄκουσον ταῦτα, ἡ τρυφερὰ, ἡ καθημένη, ἡ πεποιθυῖα, ἡ λέγουσα ἐν τῇ καρδίᾳ αὐτῆς· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα· οὐ καθιῶ χήρα, οὐδὲ γνώσομαι ὀρφανίαν. Νῦν δὲ ἥξει ἐξαίφνης τὰ δύο ταῦτα ἐπὶ σὲ ἐν ἡμέρᾳ μιᾷ· χηρεία καὶ ἀτεκνία ἥξει ἐξαίφνης ἐπὶ σὲ, ἐν τῇ φαρμακείᾳ σου, ἐν τῇ ἰσχύϊ τῶν ἐπαοιδῶν σου σφόδρα, τῇ ἐλπίδι τῆς πονηρίας σου. Σὺ γὰρ εἶπας· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. Γνῶθι ὅτι ἡ σύνεσις καὶ B *ἡ πορνεία τούτων ἔσται σοι αἰσχύνη καὶ ἐντροπή.*

Διαλέγεται μὲν ὡς βεβήλῳ καὶ μάχλῳ τινὶ γυναίῳ, θρυπτομένῳ τε καὶ ὡραΐζεσθαι μεμελετηκότι. Πλὴν ἐκεῖνό φαμεν· Πλεῖστοί τινες ἦσαν παρὰ τοῖς Χαλδαίοις οἱ μάγοι, οὓς δὴ καὶ σοφοὺς ὠνόμαζον, ὧν ταῖς ὑποθήκαις καὶ ψευδηγόροις μαντείαις πάντα ἔδρων οἱ Βαβυλώνιοι. Ὑποπλαττόμενοι γὰρ ἀκριβῆ τῶν μελλόντων εἴδησιν ἔχειν ἐμαντεύοντο τοῖς κρατοῦσι τῆς γῆς σκυθρωπὸν μὲν οὐδὲν, ἐκεῖνα δὲ μᾶλλον, οἷς ἦν εἰκὸς ἐπιγάννυσθαι τοὺς ἀκροωμένους. Χρὴ τοίνυν ἐννοεῖν, ὅτι, καὶ Κύρου τὴν ἔφοδον ἀπειλοῦντος αὐτοῖς ἤδη τε ἐπάγοντος τὰς τῶν πολεμίων ἐμβολὰς, παρῆσάν που πάντως εἰς μέσον ἐκεῖνο ψευδηγοροῦντες καὶ λέγοντες, ὡς αὐτίκα δὴ μάλα περιέσονται μὲν αὐτοῦ, κρατήσουσι δὲ καὶ λίαν ἀμογητὶ, C καὶ καταλλάξουσι τῶν ἐχθρῶν, ἐπορχήσονταί τε κειμένοις. Ἀλλ' ἐκεῖνοι μὲν ταῦτα. Νῦν δὲ ἄκουσον, τρυφερά. Διασύρει δὲ διὰ τούτων τῶν Βαβυλωνίων τὴν δίαιταν, ὡς ὑδαρεστέραν καὶ ἀνειμένην. Ἁβροὶ γὰρ ἦσαν, μύροις μὲν τοῖς εὐωδεστάτοις καταχριόμενοι, στολαῖς δὲ ποικίλαις χρώμενοι, καὶ τὴν ἐκ τοῦ κοσμεῖσθαι τιμῶντες φαιδρότητα, ὥστε καὶ ἐν λόγῳ κεῖσθαι παρ' αὐτοῖς τὴν κομμωτικὴν ἐπιστήμην, εἶναί τε καὶ κάλλους ἅμιλλαν. Τρυφερὰ δὴ οὖν ὠνόμασται διὰ τοῦτο. Φησὶ δὲ αὐτὴν καὶ καθημένην, ἀντὶ τοῦ, βασιλεύουσαν, τῶν προσοίκων δηλονότι, μᾶλλον δὲ, καὶ τῶν ἔτι μακρὰν ἐθνῶν. Ἦν δὲ καὶ πεποιθυῖα, τοῦτ' ἔστιν, ἀμετρήτῳ πληθύϊ τῶν μαχίμων ἐπιθαρσήσασα, ὥστε καὶ λέγειν· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. Ὠήθη γὰρ ὅτι κατ' αὐτὴν οὐ- D δεμία ἔσται παντελῶς ἑτέρα. Ἀλλ' ἐσφάλετο τῆς ἐλπίδος, καὶ διημάρτηκε τἀληθοῦς. Ἀντεγήγερται γὰρ ὁ Κῦρος, Πέρσας τε καὶ Μήδους ἐπάγων αὐτοῖς· καὶ μόλις ἔγνω παθοῦσα τὴν ἅλωσιν, ὡς ἦν ἑτέρα καὶ κρείττων αὐτῆς, ἡ Περσῶν δηλονότι καὶ Μήδων χώρα τε καὶ γῆ, ὑφ' ἧς γέγονε χήρα τε καὶ ἄτεκνος, καίτοι τὸ παθεῖν οὐ προσδοκῶσά ποτε. Κεχήρευται γὰρ τοῦ βασιλεύοντος ἐν αὐτῇ κατενηνεγμένου πρὸς θάνατον, ἠτεκνώθη δὲ τῆς τῶν μαχίμων πληθύος ταῖς ἠρηκότων ξίφεσι δεδαπανημένης. Ἦλθεν οὖν ἐπ' αὐτὴν χηρεία τε καὶ ἀτεκνία. Καὶ ταῦτα συμβήσεταί σοι, φησὶν, ἐν τῇ φαρμακείᾳ σου, καὶ ἐν τῇ ἰσχύϊ τῶν ἐπαοιδῶν σου σφόδρα τῇ ἐλπίδι τῆς πονηρίας σου. Ἐπειδὴ γὰρ, φησὶ, πονηρὰν εἶχες ἐλπίδα ἐπί γε ταῖς αὐτῆς φαρ-

μακείαις καὶ ταῖς ἐπαοιδαῖς, ταύτητοι γέγονας ἄτεκνός τε καὶ χήρα· ὑψοῦ γὰρ αἴρουσα τὴν ὀφρὺν, καὶ ἀλαζονείας ἔμπλεων τὴν διάνοιαν ἔχουσα, σαυτὴν ἀμείνω τῶν ἄλλων πασῶν καὶ ἀλκιμωτέραν ᾠήθης εἶναι χωρῶν. Ἔφης γὰρ ὅτι οὐκ ἔστιν ἑτέρα. Γνῶθι δὴ οὖν ὅτι ἡ σύνεσις τούτων, καὶ ἡ πορνεία σου ἔσται σοι αἰσχύνη. Φθάσας ἔφην ὅτι σοφοὺς ἐκάλουν τοὺς μάγους, ἤτοι συνετούς. Ἴσθι δὴ οὖν, ὦ Βαβυλὼν, φησὶν, ὅτι ἡ σοφία τῶν μάγων, ἤγουν ψευδομάντεων, καὶ ἐπαοιδῶν, καὶ ἡ πορνεία σου πρὸς τούτοις ἔσται σοι αἰσχύνη. Πέπτωκας γὰρ ὑπὸ χεῖρα τῶν ἐχθρῶν, ὡς τούτοις ἐπιθαρσήσασα, ὧν οὐδὲν ἀπόνασθαι δυνατὸν, πλὴν ὅτι καταισχυνθῆναι μόνον ὡς εἰκαίαν ἐπ' αὐτοῖς λαβοῦσαν ἐλπίδα. Πορνείαν γέ φησιν ἐν τούτοις τὴν Βαβυλωνίων, οὔτι που πάντως τὴν σωματικὴν, ἀλλὰ γὰρ τὴν ἀκρατῆ καὶ ἀχάλινον ἀπόστασιν τὴν ἀπὸ Θεοῦ. Γῆ γὰρ ἦν τῶν γλυπτῶν, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ὅλοις ὥσπερ ἀπεκομίζετο τοῖς ἱστίοις.

A superbia pleno ac turgido prædita, teipsam omnibus aliis regionibus meliorem esse putavisti et potentiorem. Dixisti enim non esse aliam. Scito igitur prudentiam eorum, et fornicationem tuam fore tibi dedecori. Supra dixi eos vocasse sapientes, magos, sive prudentes. Scias igitur, o Babylon, sapientiam magorum, seu falsorum vatum, et incantatorum, ac fornicationem tuam, fore tibi dedecori. Cecidisti enim in manus inimicorum, quod illis rebus fisa sis, unde nihil adjumenti esse poterat, nisi solum ut confundereris, quod vanam in illis spem collocaveras. Fornicationem dicit hic Babyloniorum, non corporalem, sed intemperantem et effrenem a Deo defectionem. Nam terra erat sculptilium, et dæmonum
B seductionibus tanquam plenis velis abducta est.

Καὶ εἶπας τῇ καρδίᾳ σου· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα· καὶ ἥξει ἐπὶ σὲ ἀπώλεια, καὶ οὐ μὴ γνῷς· βόθυνος, καὶ ἐμπεσῇ εἰς αὐτόν. Καὶ ἥξει ἐπὶ σὲ ταλαιπωρία, καὶ οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι· καὶ ἥξει ἐπὶ σὲ ἐξαίφνης ἀπώλεια, καὶ οὐ μὴ γνῷς.

VERS. 11. *Et dixisti corde tuo : Ego sum, et non est alia; et veniet in te exitium, et nescies : fovea, et in eam incides. Veniet in te miseria, nec poteris munda fieri : ac subito veniet in te exitium, neque scies.*

Γράφεται πάλιν ἀλαζονείας αὐτὴν, καὶ ἀποστήσασαν μὲν ὁλοτρόπως τὴν ἑαυτῆς καρδίαν τοῦ εἰδέναι φιλεῖν, ὡς ἐν ἀνθρώποις μὲν ἀραρὸς οὐδὲν, ἀπήρτηται δὲ τῶν θείων διανευμάτων τὸ εἶναι τυχὸν ἢ μὴ τοὺς ἐπὶ τῆς γῆς· ἀλλ' οἵ γε τοῦτο εἰδέναι μὴ ἀνασχόμενοι, ταῖς σφῶν αὐτῶν ἀνάπτουσι κεφαλαῖς τὸ πάντα δύνασθαι κατορθοῦν, καὶ ὅσαπερ ἂν τελεῖν δύναται πρὸς εὐημερίαν αὐτοὺς, οἱ τοιοῦτοι θαυμάζουσι, καὶ ῥάβδον ὥσπερ ἑαυτοῖς ὑποστήσαντες καλαμίνην ἁλοῖεν ἂν, πίπτουσι γὰρ ἀδοκήτως, καὶ τὸν παρ' ἐλπίδα θρηνοῦσιν ὄλεθρον. Οὐκοῦν ἐπειδήπερ ἔφης ἐν τῇ καρδίᾳ σου· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα, καταλήψεταί σε πικρὸν τῆς οὕτω δεινῆς ἀλαζονείας τὸ πέρας. Ἥξει γὰρ ἐπὶ σὲ ἀπώλεια, καὶ οὐ μὴ γνῷς, τοῦτ' ἔστιν, ἀνόνητός σοι καὶ ἡ μαντεία πρὸς τοῦτο γενήσεται. Πείσει γὰρ ἃ οὐκ ἔγνως, καὶ συμβήσεταί σοι πικρὰ καὶ ἀδόκητος συμφορά. Ἥξει βόθυνος, καὶ ἐμπέσῃ εἰς αὐτόν· ὅμοιον ὡς εἰ λέγοι, δεινὸν καὶ δυσδιάφυκτον κακόν. Τοῖς γὰρ ἅπαξ εἰς βόθρον κατενεχθεῖσιν, εἴπερ τις εἴη βαθὺς, τὸ διαφυγεῖν δύνασθαι τῶν ἀνηνύτων ἔσθ' ὅτε. Ἥξει δὲ καὶ ταλαιπωρία, καὶ οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι· ἥξει καὶ ἀπώλεια, καὶ οὐ μὴ γνῷς. Οὐ γὰρ ἦν εἰδέναι τοὺς μάγους τὸ ἐσόμενον ἁπλῶς· μαντευόμενοι δὲ τὰ πρὸς χάριν, καὶ ἀπὸ καρδίας αὐτῶν λαλοῦντες, κατὰ τὸ γεγραμμένον, ἀσύμβατον ταῖς προαγορεύσεσιν ἑώρων συμβεβηκὸς τῶν ἐλπισθέντων τὸ πέρας.

Arrogantiæ denuo accusat eam et cor ipsius, quod plane defecit, nec scire voluit, in hominibus nihil esse firmum, et pendere a divino nutu, ut sint vel
C non sint in terra habitatores. Hoc illi scire non sustinentes, suis ipsorum capitibus acceptum ferebant quod omnia recte administrare possent; **639** eosque mirabantur, qui tantam illis felicitatem pepererunt. Sed comperiuntur virgam arundineam sibi supposuisse : ceciderunt enim de improviso, et exitium suum præter spem lugent. Quia igitur corde tuo dicebas : Ego sum, et non est alia, assequetur te acerbus tantæ arrogantiæ exitus. Veniet enim in te exitium, neque scies, id est, inutilis reddetur ad hoc tibi vaticinatio. Patieris enim quæ nesciebas, et eveniet tibi acerba et inexspectata calamitas. Veniet fovea, et in illam incides, perinde ac si diceret, grave et inevitabile malum. Qui enim semel in foveam detrusi sunt, modo profunda sit, fieri non potest ut effugiant. Veniet etiam miseria, nec po-
D teris munda fieri. Veniet et exitium, et nescies. Non enim poterant magi scire futurum omnino, sed cum vaticinarentur ad gratiam, et ex corde suo, ut scriptum est, loquerentur, viderunt exitum et prædictionibus suis et spei contrarium accidisse.

Στῆθι νῦν ἐν ταῖς ἐπαοιδαῖς σου, καὶ τῇ πολλῇ φαρμακείᾳ σου, ἃ ἐμάνθανες ἐκ νεότητός σου, εἰ δυνήσῃ ὠφεληθῆναι. Κεκοπίακας ἐν ταῖς βουλαῖς σου. Στήτωσαν, καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι τί μέλλει ἐπὶ σὲ ἔρχεσθαι. Ἰδοὺ πάντες ὡς φρύγανα ἐπὶ πυρὶ κατακαήσονται, καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογὸς, ὅτι ἔχεις ἄνθρακας πυρὸς, κάθισαι ἐπ' αὐτούς· οὗτοι ἔσονταί σοι βοήθεια,

VERS. 12-15. *Sta nunc in incantationibus tuis, et multis veneficiis tuis, quæ didicisti ab adolescentia tua, si poteris juvari. Laborasti in consiliis tuis : stent, et servent te astrologi cœli, qui contemplantur stellas, annuntient tibi, quid tibi venturum sit. Ecce omnes quasi stipulæ igni comburentur, et non eripient animam suam e flamma; quia habes carbones ignis, sedebis super eos. Hi erunt tibi auxilio, laborasti in commutatione ab adolescentia : homo in semetipso erravit, tibi autem non erit salus.*

ἐκοπίασας ἐν τῇ μεταβολῇ ἐκ νεότητος· ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία.

A Deridet et velut ironice deludit magorum superstitionis vanum ludicrum, et omnino inutile esse hoc vitæ institutum demonstrat.. Congregatis enim, inquit, bellatoribus, et Cyro tibi adversante, et hostili phalange contra tuas sagittas prævalente, scuta infirma erunt, et artis sagittariæ virtus nihil proderit, quando cum armatis simul et peditibus equorum sessores cadent. Sta in incantationibus tuis, et in multis veneficiis tuis, quæ didicisti a juventute tua, si juvari poteris. Excita, inquit, contra obsidentes, **640** magos, contra instruendæ B aciei peritos, incantationes frigidas; sed non poteris, inquit. Laborasti in consiliis tuis: laborasti, dicit pro, infirma eras ac debilitata in consiliis tuis veneficis. Juverunt enim te omnino nihil consilia magorum quæ videntur esse sapientia. Si vero putas meum sermonem a veritate aberrasse, stent et servent te astrologi cœli: qui contuentur stellas, annuntient tibi, quid tibi sit venturum. Alius hic est ordo nugatorum, præter magos, inquam, et incantatores. Finxerunt enim apud eos quidam, se ortus et occasus stellarum scire, et motum uniuscujusque emetiri, ubi sint, et unde veniant: affirmaruntque per hanc falsam disciplinam, se futurorum cognitionem assequi. Itaque si non sunt vaniloqui, et si in ordinem prophetarum cooptant eos stellæ, quæ C firmamentum obtinent: dicant ea quæ eventura sunt. Sed non habent, inquit, quod dicant: erunt enim cum aliis velut stipulæ, ignis opus et alimentum, nec quisquam eorum effugiet. Deinde irridens quodammodo Babyloniam tanquam errantem, infert et ait: Habes carbones ignis, id est, inflammatos et ferventes homines, de quibus est sermo. Super eos sedebis. Hæc sessio denotare potest quietem. Hi erunt tibi auxilio; si namque, inquit, volueris in mendaciis magorum acquiescere, et in aliorum nugamentis: multum inde auxilii invenies. Deinde iterum illam alloquitur: Laborasti in mutatione ab adolescentia. Rursus, laborasti, accipiendum est pro, infirmata es. Nam ubi a Deo defeceras, et ad ignominiam prolapsa D eras, declinando ad errores dæmonum, idque ab adolescentia, infirma facta es, et facile capi poteris. Non enim ditata eras præsidio ejus qui solus servare novit, quique est exercituum Dominus. Adjicit his: Homo apud seipsum erravit, tibi vero non erit salus. Simile est ac si dicat: Multi homines erraverunt humanitus, tolerabili defectione Deum offendentes, vel quod desciscerent ad carnalia, vel etiam quod alio quopiam morbi genere laborarent. Tu vero eo impietatis progressa es, ut nullus tibi relictus sit saluti locus. Nam semper gravia delicta pœna æqualis sequetur.

Διαγελᾷ καὶ οἷον κατειρωνεύεται τῆς τῶν μάγων δεισιδαιμονίας, τὸ διάκενον ἄθυρμα, καὶ δὴ καὶ εἰσάπαν ἀνωφελὲς ἀποφαίνει τὸ ἐπιτήδευμα. Συναγηγερμένων γὰρ τῶν μαχίμων, φησὶ, Κύρου τε ὄντος κατὰ σοῦ, καὶ τῆς τῶν πολεμίων φάλαγγος κατευμεγεθούσης τῶν παρὰ σοὶ τοξευμάτων, ἀσθενήσουσιν αἱ ἀσπίδες, καὶ τῆς τοξείας ἡ δύναμις ὠφελήσει μηδὲν, ὅταν ὁπλίταις ὁμοίως, καὶ τοῖς πεζομάχοις οἱ τῶν ἵππων πέσωσιν ἐμβάται. Στῆθι ἐν ταῖς ἐπαοιδαῖς σου, καὶ τῇ πολλῇ φαρμακείᾳ σου, ἃ ἐμάνθανες ἐκ νεότητός σου, εἰ δυνηθῇς ὠφεληθῆναι. Ἀνάστησον, φησὶ, τοῖς πολιορκοῦσι τοὺς μάγους, τοῖς εὖ εἰδόσι τὰ τακτικὰ τῶν ἐπαοιδῶν τὰς ψυχρολογίας· ἀλλ' οὐ δυνήσῃ, φησί. Κεκοπίακας ἐν ταῖς βουλαῖς σου. Ὤνησαν γάρ σε παντελῶς οὐδὲν τὰ δοκοῦντά πως εἶναι σοφὰ τῶν μάγων βουλεύματα. Εἰ δὲ οἴει τὸν ἐμὸν τῆς ἀληθείας ἐφαμαρτῆσαι λόγον, στήτωσαν καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι, τί μέλλει ἐπὶ σὲ ἔρχεσθαι. Ἕτερον τοῦτο βωμολόχων μὲν τάγμα τι, μετά γέ φημι τοὺς μάγους καὶ τοὺς ἐπαοιδούς. Προσεποιοῦντο γὰρ τῶν παρ' αὐτοῖς τινες, τάς γε ἀνατολὰς καὶ τὰς δύσεις τῶν ἄστρων εἰδέναι, καὶ τὴν ἑκάστου κίνησιν ἀναμετρεῖν ὅποι ποτέ εἰσι, καὶ πόθεν ἔρχονται, διετείνοντό τε διὰ τῆς εἰς τοῦτο ψευδοῦς ἀκριβείας τὴν τῶν ἐσομένων δέχεσθαι γνῶσιν. Οὐκοῦν εἴπερ εἰσὶν οὐ ψευδοεπεῖς, καὶ εἰ προφητῶν αὐτοῖς ἀποπληροῦσι τάξιν οἱ τὸ στερέωμα λαχόντες ἀστέρες, λεγέτωσαν τὰ συμβησόμενα. Ἀλλ' οὐκ ἂν ἔχοιεν φράσαι, φησὶν, ἔσονται γὰρ ὁμοῦ τοῖς ἄλλοις, φρυγάνων δίκην, πυρὸς ἔργον καὶ τροφὴ, καὶ οὐκ ἄν τις αὐτῶν διαφύγοι. Εἶτα τρόπον τινὰ προσμειδιῶν τῇ Βαβυλωνίων, ὡς πεπλανημένῃ, ἐπιφέρει καί φησιν, Ἔχεις ἄνθρακας πυρὸς, τοῦτ' ἔστι, θερμοὺς καὶ ζέοντας ἄνδρας τοὺς περὶ ὧν ὁ λόγος, ὅταν ἐπ' αὐτοῖς καθίσεις. Ἡ δὲ κάθισις κατασημαίνειεν ἂν τὴν ἀνάπαυσιν. Οὗτοι ἔσονταί σοι βοήθεια· εἰ γὰρ ἕλοιο, φησὶν, ἐπαναπαύεσθαι ταῖς μάγων ψευδοεπείαις, καὶ ταῖς τῶν ἑτέρων βωμολοχίαις, πολλὴν ἐντεῦθεν εὑρήσεις τὴν ἐπικουρίαν. Εἶτα πάλιν πρὸς αὐτήν· Ἐκοπίασας ἐν τῇ μεταβολῇ ἐκ νεότητος. Πάλιν τὸ, ἐκοπίασας, ἀντὶ τοῦ, ἠσθένησας, ἐκληπτέον. Ἀποστᾶσα γὰρ Θεοῦ καὶ μεταφοιτήσασα πρὸς ἐξιτηλίαν, διὰ τοῦ προσνεῦσαι δαιμονίων ἀπάταις, καὶ τοῦτο ἐκ νεότητος, ἀσθενὴς γέγονας καὶ εὐάλωτος. Οὐ γὰρ ἐπλούτεις εἰς ἐπικουρίαν τὴν παρά γε μόνου τοῦ σώζειν εἰδότος, ὅς δὴ καὶ ἔστι τῶν δυνάμεων Κύριος. Προσεπάγει δὲ τούτοις, ὅτι Ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία· ὅμοιον ὡς εἰ λέγοι· Πολλοὶ τῶν ἀνθρώπων ἀνθρωπίνως ἐπλανήθησαν, συμμέτροις ἀποστάσεσι Θεῷ προσκρούοντες, ἢ διὰ τοῦ καθιχνεῖσθαι πρὸς τὰ σαρκὸς, ἢ καὶ ἕτερόν τι τυχὸν ἀῤῥωστῆσαι τῶν παθῶν. Σὺ δὲ εἰς τοῦτο προσέβης ἀνοσιότητος, ὥστε μηδένα σοι σωτηρίας περιλειφθῆναι τρόπον· ταῖς γὰρ ἀσχέτοις ἐκκλίσεσιν ἕψεται πάντως ἰσοπαλὴς καὶ ἰσόῤῥοπος ἡ δίκη.

641 Cap. XLVIII. Vers. 1-3. *Audite hæc, domus Jacob, qui vocati estis nomine Israelis, et ex Juda exiistis, qui juratis nomine Domini Dei Israel, recitantes non ex veritate, nec ex justitia, et adhæ-*

Ἀκούσατε ταῦτα, οἶκος Ἰακὼβ, οἱ κεκλημένοι τῷ ὀνόματι Ἰσραὴλ, καὶ οἱ ἐξ Ἰούδα ἐξελθόντες, οἱ ὀμνύοντες τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραὴλ, μιμνησκόμενοι, οὐ μετὰ ἀληθείας, οὐδὲ μετὰ

δικαιοσύνης, καὶ ἀντεχόμενοι τῷ ὀνόματι τῆς A *πόλεως τῆς ἁγίας, καὶ ἐπὶ τῷ Θεῷ τοῦ Ἰσραὴλ ἀντιστηριζόμενοι· Κύριος Σαβαὼθ ὄνομα αὐτῷ. Τὰ πρότερον ἔτι ἀνήγγειλα, καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθε, καὶ ἀκουστὸν ἐγένετο. Ἐξάπινα ἐποίησα, καὶ ἐπῆλθε.*

Διαπεράνας τὸν λόγον τὸν ἐπί γε τοῖς Βαβυλωνίοις, μεθίστησι πάλιν τῆς νουθεσίας τὴν δύναμιν ἐπὶ τοὺς ἐξ αἵματος Ἰσραὴλ, κεκλικότας αὐτοὺς εἰσάπαν ὁρῶν, καὶ ὅλαις ὥσπερ ἡνίαις ἀπενηνεγμένους εἰς ἀπόστασιν. Μετὰ γάρ τοι τὴν Ἐζεχίου τελευτὴν τοὺς τῆς βασιλείας διέπων θρόνους ὁ ἐξ αὐτοῦ γεγονὼς Μανασσῆς, ἀνὴρ γέγονε δυσσεβέστατος, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ὁλοτρόπως συνηρπασμένος· προὔβη δὲ εἰς τοῦτο κακίας, φαυλότητός τε καὶ ἀνοσίων ἐγχειρημάτων, ὥστε βωμῶν καὶ ἀγαλμάτων B τὴν ἁγίαν πλῆσαι πόλιν, καὶ ἐν αὐτῷ δὲ τῷ θείῳ ναῷ καθιδρῦσαι βδέλυγμα, τοῦτ' ἔστιν, ἐν τάξει Θεοῦ πεποιημένον ἄγαλμα. Ἠτιᾶτο γοῦν ἐν τούτοις τὴν Ἱερουσαλὴμ ὁ Θεὸς τῶν ὅλων, οὕτω λέγων· «Τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; Μὴ εὐχαὶ καὶ κρέα ἁγίων ἀφελοῦσιν ἀπὸ σοῦ τὰς κακίας σου, ἢ τούτοις διαφεύξῃ;» Ποτὲ δὲ πάλιν, ὅτι «Κατὰ ἀριθμὸν πόλεών σου ἦσαν θεοί σου, Ἰούδα, καὶ κατὰ ἀριθμὸν διόδων τῆς Ἱερουσαλὴμ ἐτάξατε βωμοὺς θυμιᾷν τῷ Βαάλ. Ἵνα τί λαλεῖτε πρός με; Πάντες ὑμεῖς ἠνομήσατε, καὶ πάντες ὑμεῖς ἠσεβήσατε πρὸς ἐμὲ, λέγει Κύριος.» Ἱερεμίου γε μὴν προσπίπτοντος καὶ λιτὰς ἀνατείνοντος τὰς ὑπέρ γε τοῦ Ἰσραὴλ, ἔφη Θεός· «Καὶ σὺ μὴ προσεύχου περὶ τοῦ C λαοῦ τούτου, καὶ μὴ ἀξίου τοῦ ἐλεηθῆναι αὐτοὺς, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν ἐν δεήσει τε καὶ προσευχῇ, ὅτι οὐκ εἰσακούσομαι. Οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ; Οἱ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς τοῦ ποιῆσαι χαμῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με.» Ὡς γὰρ ἔφην φθάσας, ὁ Ἐζεχίου παῖς Μανασσῆς λελάτρευκε μὲν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, λόγου δὲ παντὸς ἀξιοῦν ἤθελε γόητάς τε καὶ ψευδομάντεις, ἐπῳδοὺς καὶ οἰωνοσκόπους, τέθυκέ τε τοῖς εἰδώλοις καί τινα τῶν αὐτοῦ τέκνων. Οὐκοῦν εἰς τοῦτο φαυλότητος καὶ δυσσεβείας ὠλισθηκότα τὸν Ἰσραὴλ συχναῖς νουθεσίαις εἰς τὸ τῆς ἀληθείας D φῶς ἀνακομίζειν ἤθελεν ὁ τῶν ὅλων Θεός. Ταύτῃ τοι καὶ μάλα συχνὸν τὸν τῆς παρακλήσεως αὐτοῖς ἐχαρίζετο λόγον, ἵνα τὸν τῆς ἑαυτῶν διανοίας ἀνευρύνοντες ὀφθαλμὸν, καὶ δαιμονιώδους αὐτὸν ἀχλύος ἀπαλλάττοντες, κἂν γοῦν ὀψέ τε καὶ μόλις ἰδεῖν ἰσχύσωσι, τίς ἐστιν ὁ τῶν ὅλων Γενεσιουργὸς καὶ Δεσπότης. Ταύτῃ τοί φησιν· Ἀκούσατε ταῦτα, ὁ οἶκος Ἰακὼβ, οἱ κεκλημένοι τῷ ὀνόματι Ἰσραὴλ, καὶ οἱ ἐξ Ἰούδα ἐξελθόντες. Οἰκονομικώτατα λίαν τῆς τῶν πατέρων εὐγενείας, τῆς ὡς ἐν ἤθει, φημὶ, καὶ τρόποις ποιεῖται μνήμην πρὸς ἐντροπὴν τῶν ἐκκεκλικότων. Ἦσαν γὰρ, ἦσαν ἐξ αὐτῶν μὲν κατὰ τὴν σάρκα, πλὴν ἀλλό-

rentes nomini civitatis sanctæ, et in Deo Israelis contra stabiliti: Dominus Sabaoth nomen ejus. Priora jam annuntiavi, et ex ore meo egressa sunt, et auditum est. Subito feci, et venerunt.

Absoluto sermone de Babyloniis, admonitionis vim iterum convertit ad Israelitico sanguine oriundos, quos omnino declinasse vidit, et totis velut habenis delatos in apostasiam. Post mortem enim Ezechiæ, qui regni solium administravit, ex ipso genitus Manasses vir maxime impius fuit, et ab erroribus dæmonum in totum abreptus: ad eamque improbitatem, nequitiam impiaque facinora processit, ut aris et imaginibus sanctam civitatem impleverit, et in ipso divino templo abominationem, id est, loco Dei factam imaginem collocaverit. Propterea accusavit universorum Deus Jerusalem, ita inquiens: «Quid dilecta in domo mea commisit abominationem? Nunquid orationes et carnes sanctorum auferent a te iniquitates tuas? aut his fugies [54*]?» Rursus alibi: «Pro numero civitatum tuarum erant dii tui, Juda, et pro numero viarum Jerusalem statuisti aras, et immolasti Baal. Quid loquimini ad me? Omnes vos inique egistis, et omnes vos impie prævaricati estis in me, dicit Dominus [55].» Et cum Jeremias procumberet, et preces funderet pro Israele, Deus dixit: «Et tu noli orare pro populo hoc, et ne roga ut miserear eorum, et ne accedas ad me pro illis in obsecratione et precatione, quia non exaudiam. Annon vides quid hi faciant in civitatibus Juda et in viis Jerusalem? Filii eorum colligunt ligna, et patres eorum accendunt ignem, et mulieres eorum subigunt farinam aqua conspersam, ut faciant placentas militiæ cœli. Et libaverunt liba diis alienis, ut ad iram me concitarent [56].» Nam, ut supra dixi, Manasses filius Ezechiæ coluit militiam cœli, omnique honore dignari voluit præstigiatores, falsos vates, incantatores et augures, ac sacrificavit **642** idolis etiam quemdam e suis filiis. Itaque demum ad hanc impietatem prolapsum Israelem crebris monitis ad veritatis lucem volebat reducere universorum Deus. Hinc sæpissime illis consolationis sermonem impertiit: ut aperto mentis ipsorum oculo, et a dæmoniaca caligine liberato, sero licet et vix aspicere tum queant quis ille sit universorum Creator et Dominus. Hinc ait: Audite hæc, domus Jacob, vocati nomine Israel, et ex Juda exeuntes. Appositissime mentionem facit patrum nobilitatis, in moribus, inquam, ac vitæ consuetudine, ad pudorem eorum qui lapsi sunt. Erant enim, erant, quantum ad carnem attinet, ex illis: verum alieni et longe ab eorum probitate aberant, aliis moribus, alia mente præditi, et nudum tantum eorum nomen habebant, sed mente dissidebant ab his de quorum nobilitate gloriantur. Vanum autem hoc

[54*] Jer. xi, 15. [55] ibid. 13. [56] Jer. vii, 16 seqq.

esse auxilium diserte ostendit Dominus noster A Jesus Christus. Nam Judæi de splendore patrum sese efferentes, et illorum virtutes jactantes, imprudenter dixerunt: « Nos patrem habemus Abraham. » Ille vero iis: « Si filii Abraham essetis, opera Abrahami fecissetis [56*]. » Non satis est igitur ad nobilitatis virtutem nomen his qui ex illustribus sunt patribus, nisi etiam claritatis quæ in illis fuit, sint imitatores. Pudore ergo afficit eos, cum dicit eos vocatos esse nomine Israelis, et exiisse e Juda, id est, semine Juda ortos esse, nulla tamen in re illis prorsus similes fuisse. Crimini etiam illis dat quod in nomine Domini Dei Israelis juraverint, et legis quidem præceptum perfecerint (nam inquit: « Nomine ejus jurabis, percipiens fructus juramentorum [57] »), sed non in veris nec B justis rebus, sed falsis, ex legis præscripto; deinde etiam quod adhæserint sanctæ civitati, et in Deo Israelis stabiliti fuerint. Volebant enim in altum erigere supercilium, quod sanctam et Dei nominatam civitatem inhabitaverint. Audiverunt enim in divino templo psallentes sacrorum ministros de Jerusalem: « Gloriosa dicta sunt de te, civitas Dei [57*]. » Hujus etiam meminit ipse Dominus, dicens non oportere quemquam jurare per **643** caput suum, quia non possunt unum capillum album vel nigrum facere, nec per Hierosolyma, quia civitas est magni regis. Jurarunt enim per Hierosolyma, et eam, ut dixi, civitatem Dei nominarunt. Stabiliti sunt etiam in illo, dicentes eum suum esse C robur, qui Dominus est exercituum. Verum eos qui sic hæc habere putarunt, non oportuit Dei civitatem profanare aris et sacrificiis, et dæmonum erroribus implicitos, nec apud se irritare eum cui confisi sunt, sed bonis potius studiis eum exhilarare, et pietatis soliditatem ei tanquam sacrificium quoddam offerre. Verum audite hæc, inquit. Quænam illa? Priora jam annuntiavi. De ore meo exiverunt, et auditum est. Subito feci, et venerunt. Quia enim, ut dixi ab initio, Manasses, Dei hostis, conjectores et aruspices, ut vocantur, undique congregatos, semper quid futurum esset interrogavit, et eorum nugis abreptus, eos hoc manifeste scire putavit, hinc inquit universorum Deus: Ego tibi prima annuntiavi, nec ab alio quopiam annuntiavi, D nec ab alio quopiam falso nominatorum deorum hæc dicta sunt vobis; sed de ore meo prodierunt. Et auditum tibi est, et subito feci, et venerunt; id est, etiamsi non exspectaveris illa ad finem ventura, tamen ex rebus ipsis finem etiam cognovisti, quia feci, et venerunt. Videtur autem priorem illam ex bello illatam miseriam dicere, quando ex sua patria abducti, et acerbæ servitutis jugum accipientes, in Persarum regionem deportabantur. Secunda enim postea illis contigerunt, ex Babyloniis, quæ ex ira divina illis inflicta sunt: quæ jam a nobis pluribus verbis dicta sunt.

A τριοι, καὶ μακρὰν τῆς ἐκείνων ἐπιεικίας, ἑτερότροποί τε καὶ ἑτερογνώμονες, καὶ ψιλὴν ἔχοντες τὴν ἀπ' ἐκείνων κλῆσιν, ἀσύμβατοι δὲ τὴν γνώμην ἐκείνοις ὄντες ὧν αὐχοῦσι τὴν εὐγένειαν. Ὅτι δὲ εἰκαῖον τοῦτο πρὸς ὄνησιν αὐτοῖς, διέδειξεν ἐναργῶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Ἰουδαῖοι μὲν γὰρ ἐπὶ τῇ τῶν πατέρων λαμπρότητι φρονοῦντες μέγα, καύχημά τε ποιούμενοι τὰς ἐκείνων ἀρετὰς, ἀσυνέτως ἔφασκον· « Ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ. » Ὁ δὲ πρὸς αὐτούς· « Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. » Οὐκοῦν οὐκ ἀπόχρη τοὔνομα πρὸς εὐκλείας δύναμιν τοῖς ἐκ πατέρων οὖσι λαμπρῶν, εἰ μὴ τῆς ἐνούσης αὐτοῖς φαιδρότητος γένοιντο μιμηταί. Ἐντρέπει τοίνυν αὐτοὺς, κεκλῆσθαι μὲν λέγων τῷ ὀνόματι Ἰσραὴλ, ἐξελθεῖν δὲ καὶ B ἐξ Ἰούδα, τοῦτ' ἔστι, καὶ ἐκ τῆς Ἰούδα σπορᾶς ἀναφῦναι, μὴ μὴν ἐοικέναι κατά τι γοῦν αὐτοῖς ὅλως. Αἰτιᾶται δὲ πρὸς τούτοις ὡς ὀμνύοντας μὲν τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ Ἰσραὴλ, καὶ νομικὴν μὲν ἀποπεραίνοντας ἐντολήν· « Τῷ γὰρ ὀνόματι, φησὶν, αὐτοῦ ὀμνύειν δεχόμενος τὰς τῶν ὅρκων χρείας, » οὐκ ἐπ' ἀληθέσι μᾶλλον καὶ δικαίοις πράγμασιν, ἀλλ' ἐπὶ τοῖς ἐκ νόμου κατεψευσμένοις· εἶτα καὶ ἀντεχομένους τῆς πόλεως τῆς ἁγίας, καὶ ἐπὶ τῷ Θεῷ τοῦ Ἰσραὴλ ἀντιστηριζομένους. Ὑψηλὴν γὰρ ἤθελον ἀνατείνειν τὴν ὀφρὺν ὡς ἁγίαν οἰκοῦντες πόλιν, καὶ ὀνομαζομένην Θεοῦ. Ἤκουον γὰρ ἐν τῷ θείῳ ναῷ ψαλλόντων ἱερουργῶν περὶ τῆς Ἱερουσαλήμ· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Διαμέμνηται καὶ τούτου καὶ αὐτὸς ὁ Κύριος C λέγων, μὴ χρῆναί τινας ὀμνύειν κατὰ τῆς ἑαυτῶν κεφαλῆς, ὅτι οὐ δύνανται μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι· μήτε μὴν εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως. Ὤμνυον γὰρ κατὰ τῶν Ἱεροσολύμων, πόλιν αὐτὴν, ὡς ἔφην, ὀνομάζοντες Θεοῦ. Ἀντεστηρίζοντο δὲ καὶ ἐπ' αὐτῷ, ἰσχὺν ἑαυτῶν εἶναι λέγοντες τὸν τῶν δυνάμεων Κύριον. Ἀλλ' ἦν ἀναγκαῖον τοὺς ὧδε τότ' ἔχειν ὑπειληφότας μὴ τὴν τοῦ Θεοῦ βεβηλῶσαι πόλιν βωμοῖς, καὶ θυσίαις, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ἐνισχημένους, μήτε μὴν κατερεθίζειν ἐφ' ἑαυτοῖς τὸν ἐφ' ᾧ τεθαρσήκασι, κατευφραίνειν δὲ μᾶλλον σπουδάσμασιν ἀγαθοῖς, καὶ καθάπερ τινὰ θυσίαν αὐτῷ προσκομίζοντες τὸ ἀραρὸς εἰς εὐσέβειαν. Πλὴν ἀκούσατε ταῦτα, φησί· καὶ ποῖα ταῦτα; Τὰ πρότερα ἔτι ἀπήγ- D γειλα, ἐκ τοῦ στόματός μου ἐξῆλθε, καὶ ἀκουστὸν ἐγένετο. Ἐξάπινα ἐποίησα, καὶ ἐπῆλθεν. Ἐπειδὴ γὰρ, ὡς ἔφην, ἐν ἀρχαῖς τούς τε καλουμένους γνώστας καὶ οἰωνοσκόπους πανταχόθεν συναγαγὼν ὁ θεομισὴς Μανασσῆς ἀεὶ τὸ μέλλον περιειργάζετο, καὶ ταῖς ἐκείνων βωμολοχίαις συνηρπασμένος, ᾤηθη τάχα που καὶ εἰδέναι σαφῶς αὐτό· ταύτῃ τοί φησιν ὁ τῶν ὅλων Θεός· Ἐγώ σοι καὶ τὰ πρῶτα ἀπήγγειλα, καὶ οὐ παρ' ἑτέρου τινὸς τῶν ψευδωνύμων θεῶν ἐλαλήθη ταῦτα πρὸς ὑμᾶς, ἀλλ' ἐκ τοῦ στόματός μου ἐξῆλθε· καὶ ἀκουστόν σοι γέγονε, καὶ ἐξάπινα ἐποίησα, καὶ ἐπῆλθε, τοῦτ' ἔστιν, εἰ καὶ μὴ

[56*] Joan. VIII, 39. [57] Deut. VI, 13. [57*] Psal. LXXXVI, 3.

προσεδόκησας εἰς πέρας ἥξειν αὐτά, ἀλλ' οὖν ἔγνως διὰ πραγμάτων αὐτῶν, καὶ πείρας αὐτῆς, ὅτι καὶ ἐποίησα, καὶ ἐπῆλθεν. Ἔοικε δὲ προτέραν λέγειν τὴν ἐπενεχθεῖσαν αὐτοῖς ἐκ τοῦ πολέμου ταλαιπωρίαν, ὅτε καὶ τῆς ἐνεγκούσης αὐτοὺς ἀπενηνεγμένοι, καὶ πικρᾶς δουλείας λαβόντες ζυγὸν, εἰς τὴν Περσῶν καὶ Μήδων ἀπεκομίζοντο χώραν. Δεύτερα γὰρ μετ' ἐκεῖνα συμβέβηκε τοῖς Βαβυλωνίοις τὰ ἐκ θείας ὀργῆς ἐπενεχθέντα αὐτοῖς, ἃ καὶ ἤδη διὰ πλείστων ὅσων ἡμῖν εἴρηται λόγων.

Γινώσκω ἐγὼ ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. Καὶ ἀνήγγειλά σοι τὰ πάλαι πρὶν ἐλθεῖν ἐπὶ σὲ, ἀκουστόν σοι ἐποίησα. A

Διαδείκνυσιν ἐν τούτοις τῆς ἀνωτάτω φύσεως τὴν ἀπαράβλητον ἡμερότητα, καὶ ὅσον εἰς ἀνθρώπους ποιεῖται τὸν ἔλεον, καὶ εἴ τινα εἶεν τῶν καταλυπεῖν αὐτὸν εἰωθότων. Ἰσοπαλῆ γὰρ ἔχει τὴν γαληνότητα τῇ οἰκείᾳ δόξῃ. Καὶ ὥσπερ ἀμέτροις ὑπεροχαῖς τὸ τῶν γενητῶν ὑπερνήχεται μέτρον, οὕτως ἐστὶ καὶ ἀσυγκρίτως φιλάνθρωπος. Ἄθρει γὰρ ὅπως, καίτοι σκληρὸν ὄντα τὸν Ἰσραὴλ γινώσκων, γαῦρόν τε καὶ ἀπερίθραυστον ἔχοντα τὸν αὐχένα, ὥστε καὶ δοκεῖν νεῦρον εἶναι σιδηροῦν, σκληρὸν δὲ δηλονότι καὶ ἀκαμπὲς, μέτωπόν τε χαλκοῦν, τοῦτ' ἔστι, πάλιν ἀπηρυθριακὸς, καὶ ἀνάτρεπτον, καὶ αἰδοῦς ἁπάσης B ἐστερημένον, προαπήγγειλεν αὐτῷ τὰ ἐσόμενα, καὶ πρὶν ἐλθεῖν ἐποίησεν ἀκουστά. Ἔδρα δὲ τοῦτο οὐ μάτην, ἀλλ' ἐπείπερ ἀνουθέτητον εἶχον τὴν καρδίαν, τὰς τῶν σκυθρωπῶν ἐποιεῖτο προαγορεύσεις, ἵνα τάχα πως βραχὺ περιθραυσθέντες τοῖς δείμασιν ἀποφοιτήσειεν μὲν τῆς ἐκτόπου καὶ βδελυρωτάτης ζωῆς, μεθαρμόσαιντο δὲ πρός γε τὸ δεῖν τὰ ἀμείνω ζητεῖν, καὶ τὴν ἐπάρατον καὶ βδελυρωτάτην ἀφέντες ψευδολατρίαν, ἣν τοῖς ψευδωνύμοις προσῆγον θεοῖς, προσκυνεῖν ἕλοιντο τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς ὄντα Θεόν. Οὓς γὰρ οὐ μεθίστησι λόγος ἐκ τῶν ἀτόπων ἐγχειρημάτων, τούτους ἔσθ' ὅτε καὶ οὐχ ἑκόντας ἐξίστησι φόβος. Καίτοι τοιοῦτον ἡμῖν ὑποδηλοῦν ἔοικεν ὁ θεσπέσιος Δαβὶδ, ψάλλων τε καὶ λέγων πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν· « Ἐν χαλινῷ καὶ κημῷ τὰς C σιαγόνας αὐτῶν ἄγξεις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. »[58]

VERS. 4. *Scio ego quod durus sis, et nervus ferreus collum tuum, et frons tua ænea. Et annuntiavi tibi antiqua antequam venirent super te, auditui tuo patefeci.*

Declarat his verbis summæ naturæ incomparabilem benignitatem, et quanta erga homines afficiatur misericordia, etiamsi illum offenderint; habet enim suæ gloriæ parem clementiam. Et quemadmodum immensa excellentia mensuram mortalium superat quasique eminet, **644** sic est etiam incomparabiliter humanus. Vide enim quomodo, etsi sciat Israelem durum esse, et cervicem habere elatam et infractam, ut etiam nervus ferreus, durus scilicet et inflexilis esse videatur, et frontem habere æneam, id est, quæ depuduit, et quæ omnem pudorem ac verecundiam abjecit, tamen illi futura prænuntiaverit, et antequam venirent, audita fecerit. Idque non abs re fecit: sed quia cor admonitionis impatiens habuerunt, rerum tristium prædictionem mentionemque fecit, ut, paululum his fracti terroribus, a fœda et exsecratissima vita recederent, et se ad quærendum meliora transferrent, omissoque detestabili maximeque exsecrando cultu, quem falso nuncupatis diis attribuerunt, unum et natura et vere Deum adorarent. Quos enim oratio a turpibus non avertit conatibus, eos interdum etiam nolentes metus facit desistere. Tale quid etiam nobis insinuare videtur divinus David, psallens et dicens universorum Servatori Deo: « In freno et camo maxillas eorum constringes qui non appropinquant tibi[58]. »

Μὴ εἴπῃς ὅτι Τὰ εἴδωλά μοι ἐποίησαν, καὶ μὴ εἴπῃς ὅτι Τὰ γλυπτὰ καὶ χωνευτὰ ἐνετείλαντό μοι. Ἠκούσατε ταῦτα, καὶ ὑμεῖς οὐκ ἔγνωτε, ἀλλὰ καὶ ἀκουστά σοι ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν, ἃ μέλλει γίνεσθαι. Καὶ οὐκ εἶπας· Νῦν γίνεται, καὶ οὐ πάλαι, καὶ οὐ προτέραις ἡμέραις ἤκουσας αὐτά. Μὴ εἴπῃς, ὅτι Γινώσκω αὐτά. Οὔτε ἔγνως, οὔτε ἠπίστω, οὔτε ἀπ' ἀρχῆς ἤνοιξά σου τὰ ὦτα. Ἔγνων γὰρ ὅτι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομος ἔτι ἐκ κοιλίας κληθήσῃ. Ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος δείξω σοι τὸν θυμόν μου, καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπὶ σοὶ, ἵνα μὴ ἐξολοθρεύσω σε. Ἰδοὺ πέπρακά σε οὐχ ἕνεκεν ἀργυρίου· D *ἐξειλάμην δέ σε ἐκ καμίνου πτωχείας. Ἕνεκεν ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ἐμὸν ὄνομα βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω.*

VERS. 5-11. *Ne dicas quod Idola mihi fecerunt, neque dicas quod Sculptilia et conflatilia mandaverunt mihi. Audivistis omnia, et vos non cognovistis: imo et patefeci tibi nova, ab hoc tempore, quæ futura sunt. Et non dixisti: Nunc fiunt, et non olim, et non prioribus diebus audivisti ea. Ne dicas: Scio illa. Nec scivisti, nec nosti, nec a principio aperui aures tuas. Novi enim quod prævaricans prævaricaberis, et impius adhuc ab utero vocaberis. Propter nomen meum ostendam tibi furorem meum, et gloriosa mea inducam tibi, ut non destruam te. Ecce vendidi te, non propter argentum, et erui te de fornace mendicitatis. Propter me faciam tibi, quia nomen meum profanatur, et gloriam meam alteri non dabo.*

Ἐν τοῖς Ἱερεμίου τοῦ προφήτου λόγοις εὑρίσκομεν ὅτι τῶν ἐκ Βαβυλῶνος ᾑρηκότων ποτὲ τὴν ἁγίαν πόλιν, καταδῃωσάντων καὶ πᾶσαν τὴν Ἰουδαίαν, ἀποκομισάντων δὲ καὶ τὸν Ἰσραὴλ αἰχμάλωτον, αἱ περι-

In Jeremiæ prophetæ sermonibus invenimus, quod, ubi Babylonii expugnassent sanctam aliquando civitatem, depopulati fuissent omnem Judæam, Israelemque captivum abduxissent, mu-

[58] Psal. xxxi, 9.

lieres relictæ **645** in Ægyptum una cum Israelitis qui servati sunt, voluerint descendere, etiam resistente propheta, et ut domi manerent persuadente, et causam dilucide afferente. Sed illæ his contra reclamarunt dicentes: « Posteaquam cessavimus sacrificare reginæ cœli, invaserunt nos omnia hæc mala [59]. » Nam existimabant, etiamsi passi erant captivitatem, se propterea sub pedibus hostium corruisse, quod falso nominatos deos offendissent, eorumque destituti essent præsidio. Hinc etiam Jeremias propheta affatus est Deum: « Domine, oculi tui in fidem; flagellasti eos, et non doluerunt, confecisti eos, et noluerunt suscipere disciplinam [60]. » Cum ergo, inquit, ego antequam venirent quæ contigerunt patefecerim, ne rursus dicas: Idola mihi fecerunt. Quid fecerunt? Quod implicatus fueris, scilicet belli calamitatibus: non ob iram eorum abductus eras captivus, nec quia eorum præsidium repudiaveris, in hanc pœnam inevitabilem te induxerunt. Sculptilia enim sunt et conflatilia. Neque vero illud, inquit, apud te dicas: Idola mihi mandarunt, pro, minata sunt, seu denuntiarunt me hæc talia mala passurum. Audivisti hæc ex me: at vos non cognovistis, id est, non intellexistis, nec facti estis sapientes. Hoc enim dicimus esse revera intelligere. Intelligentiæ enim opus erat ac officium, et admirabilis prudentiæ fructus, ab his quæ prædicta erant declinare, et tristem non exspectare exitum, sed omnem iram ac pœnam effugere. Itaque patefeci tibi nova ab hoc tempore, quæ futura sunt. Nam rerum quæ non factæ sunt, nec contigerunt, a Deo prædictiones factæ erant. Ne dicas ergo, non olim neque prioribus te diebus audivisse hæc; prædixi enim ab initio. Ne dicas: Scio hæc, videlicet per falsos vates et vaniloquos. Neque enim nosti hæc, nec scivisti, nec ab initio aperui tibi aures; id est, antequam hi mei sermones habiti erant, non hoc tibi notum aut testatum feci per alterum: sed finem his quæ prædicta sunt imposui. Novi enim quod prævaricans prævaricaberis, et impius adhuc ab utero vocaberis. Nam hoc convenit his qui a ventre prævaricari impieque agere voluerunt (docebantur enim a puero servire diis alienis), ut illis dignæ pœnæ irrogarentur. Ostendi tibi furorem meum propter nomen meum, et inducam gloriosa mea **646** super te, ne deleam te. Erat enim necesse furorem ostendi Israeli contemnenti, et ad omnis nequitiæ fastigium provecto, nulloque omnino in pretio divinum honorem habenti. Ut tamen rursus magnitudinem humanitatis quæ in illo inest cerneremus, admisceri tristibus inopinata erat operæ pretium, ne delerentur. Nam e manu hostium eos servavit, et cum in linum supplicii cecidissent, denuo eripuit, et e captivitatis laqueis exsolvit, ne in totum deleret Israelem. Ecce ergo, inquit, vendidi te, non propter argentum, id est, pecuniæ causa. Nec enim abs te aliquid ejusmodi quæsivi,

λειφθεῖσαι γυναῖκες ἐβούλοντο μὲν ἅμα τοῖς ἐξ Ἰσραὴλ ἀνασεσωσμένοις κατελθεῖν εἰς Αἴγυπτον, ἀντανισταμένου γε μὴν τοῦ προφήτου, οἴκαδε τὸ μένειν αὐτὰς ἀναπείθοντος, καὶ τὴν αἰτίαν καταλευκαίνοντος, αἱ κατὰ ταῦτα αὐτοῖς ἀντανέκραγον λέγουσαι· « Ἐπειδὴ διελείπομεν θύουσαι τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, ἐπῆλθεν ἐφ' ἡμᾶς πάντα τὰ κακὰ ταῦτα. » Ὤοντο γὰρ, καίτοι παθόντες τὴν ἅλωσιν, ὅτι τοῖς ψευδωνύμοις θεοῖς προσκρούσαντες, καὶ τῆς ἐπικουρίας ἐστερημένοι πεπτώκασιν ὑπὸ πόδας ἐχθρῶν. Ταύτῃ τοι καὶ ὁ προφήτης Ἱερεμίας ἔφη πρὸς Θεόν· « Κύριε, οἱ ὀφθαλμοί σου εἰς πίστιν· ἐμαστίγωσας αὐτοὺς, καὶ οὐκ ἐπόνεσαν, συνετέλεσας αὐτοὺς, καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν. » Ἐμοῦ τοίνυν, φησὶν, ἀκουστὰ σοι ποιήσαντος πρὶν ἐλθεῖν τὰ συμβεβηκότα, μὴ πάλιν εἴπῃς, Τὰ εἴδωλά μοι ἐποίησαν. Τί ἐποίησαν; Τὸ ἁλῶναι δηλονότι ταῖς ἐκ τοῦ πολέμου συμφοραῖς· οὐκ ἐκ τῆς ἐκείνων ὀργῆς ἀπήχθης αἰχμάλωτος, οὐδὲ ἀποστήσαντι τὴν ἐπικουρίαν τὴν παρά γε σφῶν αὐτῶν δυσδιάφυκτόν σοι τὴν δίκην ἐπήγαγον. Γλυπτὰ γάρ εἰσι καὶ χωνευτά. Μήτε μὴν ἐκεῖνο, φησὶν, εἴπῃς κατὰ σαυτὸν, ὅτι Τὰ εἴδωλά μοι ἐνετείλαντο, ἀντὶ τοῦ, ἠπείλησαν, ἤγουν προαπήγγειλαν ὅτι πείσομαι τὰ τοιάδε τῶν κακῶν. Ἠκούσατε ταῦτα παρ' ἐμοῦ, καὶ ὑμεῖς οὐκ ἔγνωτε, τοῦτ' ἔστιν, οὐ συνήκατε, οὔτε μὴν γεγόνατε σοφοί. Τοῦτο γὰρ εἶναί φαμεν τὸ συνιέναι κατὰ ἀλήθειαν. Ἔργον γὰρ ἦν συνετὸν, καὶ φρονήσεως τῆς ἀξιαγάστου καρπὸς τὸ ἀπονεῦσαι τῶν προηγορευμένων, καὶ τῶν σκυθρωπῶν μὴ περιμεῖναι τὸ πέρας, ἀλλ' ἔξω γενέσθαι πάσης ὀργῆς τε καὶ δίκης. Οὐκοῦν ἀκουστά σοι ἐποίησα καινὰ ἀπὸ τοῦ νῦν ἃ μέλλει γίνεσθαι. Οὔπω γὰρ γενομένων οὔτε μὲν συμβεβηκότων αἱ προαγορεύσεις ἐγένοντο παρὰ Θεοῦ. Μὴ τοίνυν εἴπῃς, ὅτι οὐ πάλαι καὶ οὐ προτέραις ἡμέραις ἤκουσας αὐτὰ, προηγόρευσα γὰρ ἐξ ἀρχῆς. Μὴ εἴπῃς, ὅτι Γινώσκω αὐτὰ, διὰ τῶν ψευδομάντεων δηλονότι καὶ ψευδηγόρων. Οὔτε γὰρ ἔγνως αὐτὰ οὔτε ἠπίστω, οὔτε μὴν ἀπὸ ἀρχῆς ἤνοιξά σου τὰ ὦτα, τοῦτ' ἔστιν, οὐ, πρὶν τοὺς ἐμοὺς λόγους γενέσθαι, πεποίηκά σοι τοῦτο παρ' ἑτέρου γνωστόν· ἐπήγαγον δὲ τῶν προηγορευμένων τὸ πέρας. Ἔγνων γὰρ ὅτι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομος ἔτι ἐκ κοιλίας κληθήσῃ. Ἔδει δὲ τοῖς ἀθετοῦσι καὶ ἀνομεῖν ᾑρημένοις, καὶ τοῦτο ἀπὸ γαστρός· ἐδιδάσκοντο γὰρ ἐκ νηπίου τὸ λατρεύειν θεοῖς ἀλλοτρίοις· τὰς αὐτοῖς πρεπούσας ἐπαρτηθῆναι δίκας. Ἔδειξά σοι τὸν θυμόν μου, ἕνεκεν τοῦ ὀνόματός μου, ἐπάξω δὲ καὶ τὰ ἔνδοξά μου ἐπὶ σὲ, ἵνα μὴ ἐξολοθρεύσω σε. Ἦν γὰρ ἀναγκαῖον καταφρονήσαντι μὲν τῷ Ἰσραὴλ, καὶ ἁπάσης φαυλότητος ἐς λῆξιν ἐληλακότι, καὶ οὐδενὸς λόγου παντελῶς τὴν εἰς Θεὸν ἀξιοῦντι τιμὴν δειχθῆναι τὸν θυμὸν, ὑπὲρ δὲ τοῦ πάλιν ἰδεῖν τῆς ἐνούσης αὐτῷ φιλανθρωπίας τὸ μέγεθος, προσενεχθῆναι τοῖς σκυθρωποῖς καὶ τὰ παράδοξα, ἵνα μὴ ἐξολοθρευθῶσι. Σέσωκε γὰρ αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν, καὶ πεσόντας εἰς τὸ τῆς δίκης λίνον πάλιν ἐξείλετο, καὶ τῶν τῆς αἰχμαλωσίας ἀπέλυσε βρόχων, ἵνα μὴ εἰσάπαν ἐξολοθρεύσῃ τὸν Ἰσραήλ. Ἰδοὺ δὴ οὖν πέπρα-

[59] Jer. XLIV, 18. [60] Jer. V, 3.

κά σε, φησιν, οὐχ ἕνεκεν ἀργυρίου, τοῦτ' ἔστιν, οὐ χρημάτων ἕνεκα. Οὐ γὰρ ἐζήτησά τι τῶν τοιούτων παρὰ σοῦ, οὔτε μὴν ἐν χρείᾳ γέγονα τῶν ἐπιγείων τινὸς, ἢ μόσχων, ἢ προβάτων, ἢ τράγων σφαγῆς· ἀλλ' ἐπείπερ ἡμάρτανες, καὶ ῥᾴθυμος ἦσθα περὶ τὴν ὀφειλομένην ἐμοὶ παρὰ σοῦ τιμήν τε καὶ δόξαν. Πλὴν καὶ οὕτως ἐξειλάμην σε, φησὶν, ἐκ καμίνου πτωχείας· δεδούλευκε γὰρ τοῖς Βαβυλωνίοις. Ἕπεται δὲ πάντως τοῖς ἐκ δουλείας κακοῖς καὶ τὸ ἐν ἐνδείᾳ κεῖσθαι παντὸς ἀγαθοῦ. Ἕνεκεν ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ὄνομά μου βεβηλοῦται. Ὤοντο γὰρ οἱ ᾑρηκότες ὅτι, καίτοι Θεοῦ σώζειν ἐθέλοντος αὐτοὺς καὶ προεστηκότος, ἔτι νενικήκασι, καὶ οὐχ ἑκόντος αὐτοῦ πλεονεκτήσαντες τὸν ἐπικουρούμενον. Βεβηλοῦται τοίνυν, φησὶ, τὸ ὄνομά μου, τοιαύτας ἐκείνων τὰς δόξας περὶ ἐμοῦ ἐχόντων. Δώσω δὲ ἐγὼ οὐδενὶ τῶν ἄλλων τὴν δόξαν μου. Δόξα δὲ Θεοῦ τὸ σώζειν ἐστὶ, καὶ ἐλεεῖν, καὶ τὸ πάντων δύνασθαι κρατεῖν, καὶ τὸ ἀκονιτὶ δύνασθαι πληροῦν, ἅπερ ἕλοιτο κατορθοῦν.

A quasi mihi opus esset re aliqua terrena, seu vitulorum, seu ovium, seu hircorum cæde: sed quia peccavisti, et securus in honore et gloria quam mihi eripueras, fuisti. Verumtamen sic, inquit, eripui te de fornace mendicitatis: servivit namque Babyloniis. Sequitur autem servitutis mala etiam ut omnium bonorum laborent inopia. Propter me faciam tibi, quia nomen meum profanatur. Nam vastatores putabant quod, etiamsi Deus servare voluisset eos et protexisset, tamen vicissent, quodque ipso nolente adjutum subegissent. Itaque profanatur, inquit, nomen meum, illis hanc opinionem de me habentibus. Dabo autem ego gloriam meam nulli alteri. Gloria autem Dei est, servare et misereri, et posse omnibus dominari, et sine labore exsequi quæcunque præstare velit.

Ἄκουέ μου, Ἰακὼβ, καὶ Ἰσραὴλ ὃν ἐγὼ καλῶ. Ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα· καὶ ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν.

B VERS. 12, 13. ***Audi me, Jacob, et Israel quem ego voco. Ego sum primus, et ego sum in æternum, et manus mea fundavit terram, et dextra mea stabilivit cœlum.***

Εἰς ἀνάμνησιν αὐτοὺς ἀναφέρει πάλιν τῆς δοθείσης αὐτοῖς τιμῆς τε καὶ δόξης, καὶ προσέτι φειδοῦς τε καὶ ἀγάπης. Ἠξίωνται γὰρ τῶν ἀνωτάτω γερῶν, οἳ καὶ ἐκ πάντων τῶν ἐθνῶν κέκληνται μόνοι πρὸς οἰκειότητα τὴν πρὸς αὐτὸν, μερίς τε καὶ κλῆρος γεγόνασιν αὐτοῦ. Καὶ γοῦν ὁ θεσπέσιος Μωϋσῆς προσεφώνει ποτὲ τοῖς ἐξ Ἰσραὴλ οὕτω λέγων· « Ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανὸς τοῦ οὐρανοῦ, καί σε ἐξελέξατο ὁ Κύριος ἐκ πάντων τῶν ἐθνῶν εἶναι αὐτοῦ λαόν· » καὶ πάλιν, « Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς δὲ ἔσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησε ὅρια ἐθνῶν κατὰ C ἀριθμὸν ἀγγέλων Θεοῦ, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. » Ἔδει οὖν, ἔδει τοὺς οὕτω τετιμημένους, τοὺς εὐκλεὲς καὶ ἀπόλεκτον λαχόντας ὄνομα, τοὺς εἰς κλῆρον Θεοῦ τεταγμένους, καὶ τὸ ἐν ἀπολέκτοις εἶναι πλουτήσαντας, μὴ ἀπονεῦσαί τι πρὸς ἃ μὴ θέμις, μηδὲ ταῖς ἐξιτήλοις ἐπαναστάσεσι καταλυπεῖν ἑλέσθαι τὸν εὐεργέτην, τὸν ἁπάσης αὐτοῖς δοτῆρα τιμῆς, καὶ χορηγὸν ὄντα τῶν οὕτως ἐξῃρημένων καὶ τριποθήτων ἀγαθῶν. Ἀλλ' οὐδὲν τῶν τοιούτων εἰς νοῦν ἑλόντες οἱ δείλαιοι τοῖς τῆς εἰδωλολατρίας ἐνεπάγησαν τέλμασι, καὶ Θεὸν ἀφέντες τὸν ἀληθινὸν τοῖς τοῦ κόσμου στοιχείοις λελατρεύκασι. Πλὴν καὶ οὕτως κατοικτείρει πάλιν αὐτούς· καλεῖ γὰρ πρὸς εὐπάθειαν τὸ, Ἀκούσατέ μου βοῶν, καὶ ὅπερ ἦν ἄμεινον ἐν ἀρχαῖς ἑλέσθαι πληροῦν ἵνα καὶ ἀκράδαντον ἔχωσι τὴν εὐημερίαν, τοῦτο κἂν γοῦν ὀψὲ διαπεράναι προστέταχεν, D ἵνα ἔξω πόδα θεῖεν τῆς δίκης, καὶ τῆς ἐπενηνεγμένης αὐτοῖς θητείας ἀπολύσαιντο τὰ δεσμά. Ἐπειδὴ δὲ προσεκύνησαν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ τὸν Κτίστην ἀφέντες τοῖς παρ' αὐτοῦ πρὸς τὸ εἶναι παρενηνεγμένοις ἀνήπτοντο σέβας, μυσταγωγεῖ πάλιν αὐτούς. Ὡς γὰρ ὁ μακάριος ἔφη Παῦλος· « Ὀφείλοντες

In memoriam revocat iterum illis honorem quem dedit, et gloriam, et præterea etiam misericordiam ac charitatem. Summis enim honorariis affecti sunt, qui soli ex omnibus gentibus ad consortium familiaritatemque cum ipso vocati sunt, et portio facti ejus et sors. Quippe divinus Moyses affatus est alicubi Israelitas, sic dicens: « Ecce Domini Dei tui cœlum cœli est. Et te elegit Dominus ex omnibus gentibus [61]: » et rursus: « Quando Altissimus separavit gentes, et dispersit filios Adam, statuit fines gentium pro numero angelorum Dei, et factus **647** est portio Domini populus ejus Jacob, funiculus hæreditatis ejus Israel [61*]. » Oportuit itaque, oportuit sic honoratos, nobile et electum nomen sortitos, in sortem Dei cooptatos, et ea prærogativa ditatos ut in electis essent, non ad ea delabi quæ fas non est, nec hunc beneficum enormi rebellione offendere, qui illis omnis honoris dator est, et adeo eximiorum et optatissimorum bonorum suppeditator. Sed horum nihil omnino cogitantes miseri in puteum idololatriæ defixi sunt, et, relicto vero Deo, mundi elementa coluerunt. Verum et sic miseretur rursus illorum: vocat nimirum ad obedientiam: Audite clamores meos, et quod in principio implere præstitisset, ut etiam inconcussa felicitate fruerentur, id, sero licet, jubet nunc exsequi, quo pedem e pœna extrahant, et illatæ sibi servitutis vincula excutiant. Cum autem adorarent militiam cœli, et, Creatore derelicto, rebus ab ipso in lucem editis venerationem attribuerent, rursus mysticis eos initiat rudimentis. Nam, ut beatus Paulus ait: « Cum doctores per tempus esse debuissent, rursus opus habuerunt eo qui ipsos doceret, quæ prima divinorum oraculorum elementa

[61] Deut. VII, 6. [61*] Deut. XXXII, 8, 9.

sint, et lacte, non solido cibo opus habuerunt [62]. » Quod igitur ipse sit « qui est », et ante omnes sit, et essentiam habeat interminatam, Deus natura, demonstrat, cum ait : Ego sum primus, et ego sum in æternum. Primo autem quis intelligi possit esse prior? Quemadmodum enim principio et vero et primo non intelligitur aliud prius : sic neque primo prior alius quispiam potest intelligi. Itaque semper et ante omnia, et in infinita sæcula est universorum Deus. Qui enim principium non habet, in quem tandem finem desinet? Et hæc quidem quoad divinam gloriam. Deorum vero falso nominatorum examina, seu mundi elementa, neque prima intelligi possunt, neque eodem modo et similiter habere se perpetuo poterunt. Stellæ siquidem, sol et luna, adhæc ipsum cœlum, in essentiam suam hanc producta sunt, et principium habuerunt et ortum, atque tandem etiam esse desinent. Nec quidquam in illis videre est quod non prorsus penitusque divinæ ac immortalis naturæ gloriæ subjaceat. Quod autem hæc oratio **648** non erret a veritate, ostendit mox, cum ait : Manus mea fundavit terram, et dextra mea stabilivit cœlum. At quomodo quod factum est, de æqualitate certabit cum eo qui fabricavit? quomodo de gloria contendet cum eo qui illud condidit? Demonstrat itaque absurdissimum esse, et omnis impietatis accusandum, creaturam præ Creatore velle adorare, et illo qui semper et primus est relicto, in tempore factis nomen et dignitatem veræ Divinitatis tribuere, idque suis ipsorum artificiis donare. Adorarunt namque quæ digiti ipsorum fecerant, juxta id quod scriptum est. Manum vero et dextram suam Deus et Pater nominat Filium. Sic enim illum sæpenumero in Scriptura divinitus inspirata vocatum esse invenimus. Siquidem et divinus Moyses dixit : « Dextra tua, Domine, gloriosa facta est; in fortitudine dextra manus tua, Domine, confregit hostes [63]. » Et beatus David : « Roboretur manus, elevetur dextra tua [64]. »

A εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν ἐσχήκασι χρείαν τοῦ διδάσκοντος αὐτοὺς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ γεγόνασι χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. » Ὅτι τοίνυν αὐτός ἐστιν « ὁ ὢν, » καὶ ἔστι πρὸ πάντων, καὶ ἀκατάληκτον ἔχει τὸ εἶναι Θεὸς ὢν κατὰ φύσιν, διαδείκνυσι λέγων· Ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα. Τοῦ δὲ πρώτου τίς ἂν νοοῖτο πρότερος; Ὥσπερ γὰρ τῆς ὄντως τε καὶ πρώτης ἀρχῆς οὐκ ἂν προτέρα νοοῖτο παρ' ἐκείνην ἀρχήν· οὕτως οὐκ ἂν νοοῖτο τοῦ πρώτου πρῶτός τις ἕτερος. Οὐκοῦν ἀεὶ καὶ πρὸ πάντων καὶ εἰς ἀπεράντους αἰῶνάς ἐστιν ὁ τῶν ὅλων Θεός. Ὁ γὰρ μὴ ἔχων ἀρχὴν εἰς ποῖόν ποτε καταλήξει τέλος; Καὶ τὰ μὲν τῆς θείας δόξης ἐν τούτοις. Ὁ δέ γε τῶν ψευδωνύμων θεῶν ἑσμὸς, ἤγουν B τὰ τοῦ κόσμου στοιχεῖα, οὔτε πρῶτα νοηθεῖεν ἂν, οὔτε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν εἰς αἰῶνα δύνανται. Ἄστρα μὲν γὰρ, ἥλιος καὶ σελήνη, καὶ αὐτὸς δὲ πρὸς τούτοις ὁ οὐρανὸς, παρεκομίσθησαν εἰς τὸ εἶναι, καὶ ἀρχὴν λαβόντα καὶ γένεσιν, καὶ εἰς τὸ πέρας τοῦ εἶναι δραμοῦνταί ποτε· καὶ οὐδὲν ἐν αὐτοῖς καταθρήσαι τις ἂν, ὃ μὴ πάντη τε καὶ πάντως τὴν θείας καὶ ἀκηράτου φύσεως ὑποκάθηται δόξαν. Ὅτι δὲ οὐκ ἂν ἁμάρτοι τἀληθοῦς ὁ ἐπὶ τῷδε λόγος, διέδειξεν εὐθὺς λέγων· Ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. Εἶτα πῶς τὸ ποιηθὲν, περὶ τῶν ἴσων ἁμιλλήσεται τῷ τεκτηναμένῳ, καὶ τῇ τοῦ δημιουργήσαντος αὐτὸ φιλονεικήσει δόξῃ; Ἀποφαίνει δὴ οὖν ἀτοπώτατον, μᾶλλον δὲ καὶ δυσσεβείας ἁπάσης ἔχον γραφὴν, τὸ C ἑλέσθαι τῇ κτίσει παρὰ τὸν Κτίσαντα προσκυνεῖν, καὶ τὸν ἀεὶ καὶ πρῶτον ὄντα ἀφέντα, τοῖς ἐν χρόνῳ πεποιημένοις τὸ τῆς ἀληθοῦς Θεότητος ὄνομά τε καὶ χρῆμα προσνέμειν, καὶ ταῖς ἑαυτῶν εὐτεχνίαις χαρίζεσθαι τοῦτο. Προσεκύνησαν γὰρ ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, κατὰ τὸ γεγραμμένον. Χεῖρα δὲ καὶ δεξιὰν ἰδίαν ὁ Θεὸς καὶ Πατὴρ ὀνομάζει τὸν Υἱόν. Οὕτω γὰρ πλεισταχοῦ παρὰ τῆς θεοπνεύστου Γραφῆς κεκλημένον εὑρήσομεν. Καὶ γοῦν ὁ θεσπέσιος ἔφη Μωσῆς· « Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ, ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς.» Ὁ δὲ μακάριος Δαβίδ· « Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. »

Vers. 14. *Vocabo eos, et stabunt simul, et congregabuntur omnes, et audient. Quis eis annuntiavit hæc?*

Vellem, inquit, illis congregatis quæstionem ponere, ut plane dicant quem conjectorem aut prædictorem fuisse putent vere eorum quæ illis inopinato illata sunt, videlicet calamitatis quæ ex bello nascitur. Nam falsorum vatum nullus prænuntiasse cernitur. Fingebant enim se Deum invocare, et fatiscere, ac dæmoniorum numine afflatos esse. Verum nulla erat in impuris spiritibus futurorum præscientia, nec in materiis inanimis quæ in deos formatæ sunt. Nullus igitur omnino deorum imaginariorum prænuntiavit. Ego autem singula minutatim significavi per sanctos prophetas : sed tamen cum licuisset malum subterfugere. et a laqueo im-

Καλέσω αὐτοὺς, καὶ στήσονται ἅμα, καὶ συναχθήσονται πάντες, καὶ ἀκούσονται. Τίς αὐτοῖς ἀνήγγειλε ταῦτα;

D Ἐβουλόμην γὰρ, φησὶ, συνηγγερμένοις αὐτοῖς προσθεῖναι πεῦσιν, καὶ δὴ καὶ ἐρεῖσθαι σαφῶς, τίνα προγνώστην, ἤγουν προαγορευτὴν οἴονται γενέσθαι κατὰ ἀλήθειαν, τῶν ἀδοκήτως αὐτοῖς ἐπενηνεγμένων, δῆλον δὲ ὅτι τῆς ἐκ τοῦ πολέμου συμφορᾶς. Τῶν μὲν γὰρ ψευδομάντεων οὐδεὶς προαπαγγελίας ὁρᾶται. Θεοκλητεῖν μὲν γὰρ ἐσκήπτοντο, καὶ εἶναί τινες ἐπίπονοι καὶ δαιμονίων κάτοχοι. Πλὴν οὐδεμία γὰρ ἐν ἀκαθάρτοις πνεύμασιν ἡ πρόγνωσις τῶν ἐσομένων, οὔτε μὴν ἐν ἀψύχοις ὕλαις μεμορφωμέναις εἰς θεούς. Οὐκοῦν τῶν μὲν ἐν δόξῃ θεῶν παντελῶς οὐδεὶς ὁ παραγγελίας ἐστίν. Ἐγὼ δὲ μεμήνυκα διὰ προφητῶν ἁγίων ἕκαστα λεπτῶς· εἶτα ἐξὸν ὑπεκνεῦσαι τοῦ

[62] Hebr. v, 12. [63] Exod. xv, 6. [64] Psal. LXXXVIII, 14.

κακοῦ, καὶ ἔξω φέρεσθαι παγίδος, ἐνυστάξατε, μαρτυροῦσαν τοῖς ἐμοῖς λόγοις τἀληθὲς τὴν τῶν κακῶν περιμείναντες πεῖραν. Ποία τοίνυν ὑμῖν τῶν γοήτων ἡ χρεία; ποία τῶν ψευδοπροφητῶν ἡ ὄνησις; τί δὲ τῶν οἰωνοσκοπεῖν εἰωθότων εἰδεῖεν ἂν ἐργαστήρια; οἳ τὰ τῶν εἰδώλων τεμένη καταλαμβάνοντες, καὶ τοῖς ἀκαθάρτοις βωμοῖς προσιζήσαντες, ὀβολῶν εὐτελεστάτων πωλοῦσι τὸ ψεῦδος τὸ ἀπὸ καρδίας αὐτῶν ὡς παρὰ Θεοῦ, καὶ τοῖς προσιοῦσιν αὐτοῖς ἀνερευγόμενοι τὸ δοκοῦν ἕνεκεν δρακὸς κριθῆς καὶ κλάσματος ἄρτου, κατὰ τὸ εἰρημένον διὰ φωνῆς Ἰεζεκιήλ.

Ἀγαπῶν σε ἐποίησα τὸ θέλημά σου ἐπὶ Βαβυλῶνος, τοῦ ἆραι σπέρμα Χαλδαίων. Ἐγὼ ἐλάλησα, ἐγὼ ἐκάλεσα, ἤγαγον αὐτὸν, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ. Προσαγάγετε πρός με, καὶ ἀκούσατε ταῦτα· οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ ἐλάλησα· ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην, καὶ νῦν Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ.

Οὐκ ἐᾷ πάλιν ἀποκομίζεσθαι πρὸς ὑπονοίας οὐκ ἀληθεῖς. Ἦν μὲν γὰρ καὶ σφόδρα εἰκὸς, ἅτε δὴ καὶ ἀπαιδαγώγητον ἔχοντας νοῦν, καὶ πολὺ λίαν εὐπαρακόμιστον πρὸς ἀπόστασιν, καὶ τοῖς τῆς ἀπάτης βρόχοις εὐαλώτων, οἴεσθαί τε καὶ λέγειν τὰ ἐκ τοῦ πολέμου συμβῆναι παθεῖν αὐτοὺς ἐξ ὀργῆς τάχα που τῶν ψευδωνύμων θεῶν, παρεωραμένης μὲν τῆς αὐτοῖς πρεπούσης καὶ ὀφειλομένης θεραπείας, προσκεκομισμένων δὲ οὐκέτι τῶν θυσιῶν αὐτῶν, κατοικτεῖραι δὲ πάλιν καὶ τοῖς ἐκεῖνα παθοῦσιν ἐπιμετρῆσαι τὰ ἐξ ὀργῆς, καὶ τὸ ἀπεικὸς οὐδὲν ὁ λόγος ἔχει. Προαπεδείξαμεν γὰρ ὅτι, πεπορθημένης τῆς Ἱερουσαλὴμ, καὶ κατεμπρησθείσης ὁμοῦ τῷ ναῷ τῆς Ἰουδαίας ἁπάσης, αἱ περιλειφθεῖσαι γυναῖκες ἔφασκον συμβῆναι ταῦτα αὐταῖς, ὅτι διαλελοίπασι θύουσαι τῇ βασιλίσσῃ τῶν οὐρανῶν. Ἵνα τοίνυν εἰδεῖεν τὸν Λυτρωτὴν, μὴ ἑτέροις θεοῖς, αὐτῷ δὲ μᾶλλον τὴν ἐπὶ τῷ σώζεσθαι προσνέμοντες χάριν, ἐναργέστατά φησιν, ὡς τῇ περὶ αὐτοῦ φειδοῖ καὶ ἀγάπῃ κεκινημένος, ὅπερ ἦν αὐτοῖς τριπόθητον καὶ πολύευκτον, τοῦτο καὶ εἰς πέρας ἐλθεῖν παρεσκεύασε, τὸ ἐξαρθῆναι δηλονότι τὸ σπέρμα τῶν Χαλδαίων, ἅτε δὴ καὶ ᾑρηκότων αὐτοὺς, καὶ πάντα τρόπον ἀπανθρωπίας ἐνδειξαμένων, καὶ τοῖς εἰς λῆξιν αὐτοὺς περιβεβληκότων κακοῖς. Ἀγάπῃ τοίνυν τῇ πρὸς σὲ παρωρμήθην εἰς τὸ δεῖν συμπερᾶναι τὸ σοὶ δοκοῦν ἐπὶ τῇ τῶν Βαβυλωνίων, ὥστε καὶ ἐξᾶραι τὸ σπέρμα τῶν Χαλδαίων. Εἶτα περὶ Κύρου φησὶν, ὡς τοῖς αὐτοῦ νεύμασιν ἤχθη τε καὶ κέκληται πρός γε τὸ δεῖν καταδῃῶσαι τὴν γῆν, καὶ κατὰ κράτος ἑλεῖν αὐτήν. Ἐγὼ ἤγαγον, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ. Λελάληκα δὲ ταῦτα ἀπ' ἀρχῆς, φησὶ, καὶ οὐκ ἐν κρυφῇ, προαπήγγελκα ἐναργῶς διὰ προφητῶν ἁγίων· Οὕτω λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων διαῤῥήξω. Οὐκοῦν οὐ λαθραῖον οὔτε μὴν ἐν παραβύστῳ τὸν περὶ αὐτοῦ πεποίημαι λόγον, ἀλλ' ἤγαγον αὐτὸν, καὶ ἐκάλεσα, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ· καὶ οὐ λελάληκα μόνον, ἀλλὰ γὰρ καὶ δρῶντι

A omnes esse, vos dormivistis, et horum malorum experientiam verborum testem verum exspectastis. Quæ est igitur præstigiatorum utilitas? qui falsorum prophetarum usus? quid eorum qui augurari solent officinas scire attinet? qui idolorum fana occupantes, et impuris aris assidentes, vilissimis obolis vendunt mendacium, et sui cordis somnia ac quidquid libet tanquam a Deo eructant his qui ad ipsos accedunt, propter pugillum hordei et frustulum **649** panis, juxta id quod voce Ezechielis dictum est.

B VERS. 15, 16. *Qui diligo te, feci voluntatem tuam super Babylonem, ut auferrem semen Chaldæorum. Ego locutus sum, ego vocavi, adduxi eum et secundavi viam ejus. Accedite ad me et audite hæc: principio non in abscondito locutus sum; tum cum fiebat illic eram, et nunc Dominus misit me et Spiritus ejus.*

Non sinit illos denuo ad cogitationes non veras transversim abripi. Erat enim admodum verisimile, eos qui mentem habebant nulla pædagogia institutam, sed ad defectionem proclivem, et erroris expositam laqueis, cogitare et dicere quod ea mala belli pati ipsos contigerit ex indignatione deorum falso nuncupatorum, contempto ab ipsis digno et debito cultu, nec ulterius oblatis sacrificiis: quandoque illi et miserti sint, et rursus cum ista paC terentur, illi admensi sint hæc ex ira supplicia: nec quidquam absonum habet hæc oratio. Nam ante ostendimus, vastata Jerusalem, et simul cum divino templo tota Judæa deflagrante, relictas mulieres dixisse, hæc illis usu venisse quod destitissent reginæ cœli sacrificare. Quo igitur sciant Redemptorem, gratiamque non diis alienis, sed ipsi potius quod servati fuerint, referant, apertissime ait se misericordia sua motum et amore, quod illis erat desideratissimum et optatissimum ad finem perduxisse, ut scilicet auferretur semen Chaldæorum, quippe qui illos expugnarant, et omne genus inhumanitatis ostenderant, et his malis eos gravissimis implicaverant. Amore igitur erga te, inquit, incitatus sum, ut perficerem quod tibi placuit in terra Babyloniorum, D ut semen Chaldæorum tollerem. Deinde ait de Cyro, quod suo nutu adductus et vocatus fuerit, ut terram vastaret et vi caperet. Ego enim, inquit, adduxi, et secundavi viam ejus. Locutus sum hæc, inquit, principio, et non in abscondito: prænuntiavi manifeste per sanctos prophetas: Sic dicit Dominus uncto meo Cyro, cujus apprehendi dexteram, ut subjicerentur ei gentes, et robur regum disrumpam. Non igitur clam vel in occulto de eo sermonem **650** habui, sed adduxi eum et vocavi et prosperavi viam ejus. Nec locutus sum solum, sed quæ tibi grata sunt effeci, et perfeci ex animi tui sententia: robur Chaldæorum evertens, et illum potentissimum reddens et formidabilem, qui illos delevit, ita ut non fuerint illa manu Cyri gesta, sed

mea omnipotentissima dextera : ut qui pœnam illis induxi propter illam in te debacchationem, vel potius immensum odium hominum et impotentem crudelitatem. Dixit enim : Ego dedi eos in manus tuas, tu autem non tribuisti illis misericordiam. Deinde inter hæc verba etiam ponit ipsius Cyri vocem, confitentis, Deum illum stimulasse, et invictissimum ac Babyloniorum robore fortiorem reddidisse. Etenim inquit : Nunc me Dominus misit et Spiritus ejus. Illud : Nunc, ponit pro, etiamsi eorum quæ contigerunt, nihil a Deo prænuntiatum fuerit, tamen ecce nunc confitetur Cyrus, Deum excitasse et summo decore coronasse, ut Babyloniis superior evadam. Nam Cyrus cum audisset a Judæis habitantibus Babylonem, quod Deus de ipso in prophetis sanctis locutus fuisset, venturum ipsum successu temporis, et vi terram Chaldæorum vastaturum, et Israelem ex captivitate relaxaturum : deinde, quemadmodum aiunt, cum Libros sacros ei ostendissent, in hanc eum mentem adduxerunt, ut in suis proclamationibus Deum Israelis Dominum et Altissimum nominaverit. Sic enim scriptum est in primo libro Esdræ : « Regnante Cyro Persarum, anno primo, ut confieret verbum Domini per os Jeremiæ, suscitavit Dominus spiritum Cyri regis Persarum, et promulgavit per totum regnum suum, etiam per diplomata dicens : Hæc dicit rex Persarum Cyrus : Me constituit regem orbis Dominus Israelis altissimus, et designavit mihi ædificandam domum in Jerusalem et in Judæa. Si quis est igitur vestrum, ex gente ejus, sit Dominus ejus cum eo, et ascendens Jerusalem quæ est in Judæa, ædificet domum Domini Dei Israelis. Hic est Dominus habitans in Jerusalem [64]. » Quandoquidem igitur, inquit, scitis hæc quæ contigerunt, patefacta fuisse vobis antequam fierent, non per falso nuncupatos deos, sed per me : audite Cyrum dicentem : « Dominus misit me et Spiritus ejus. »

τὰ σοὶ φίλα, καὶ κατ' εὐχὴν συμπαρήμην ἐγὼ, καταστρέφων μὲν τὴν τῶν Χαλδαίων ἰσχὺν, παναλκῆ δὲ τιθεὶς καὶ δυσάντητον, τὸν καταδηοῦντα αὐτούς· ὥστε μὴ μᾶλλον τῆς Κύρου χειρὸς εἶναι τὰ δρώμενα, ἀλλὰ τῆς ἐμῆς πανσθενεστάτης δεξιᾶς, δίκας αὐτοῖς ἐπάγοντος τῆς εἰς σὲ παροινίας ἕνεκα, μᾶλλον δὲ τῆς ἀμετρήτου μισανθρωπίας, καὶ ἀκρατοῦς ὠμότητος. Ἔφη γὰρ, ὅτι Ἐγὼ δέδωκα αὐτοὺς εἰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. Εἶτα μεταξὺ τῶν τοιῶνδε λόγων αὐτοῦ τοῦ Κύρου τίθησι φωνὰς, ὁμολογοῦντος ὅτι Θεὸς ἦν ὁ καταθήγων αὐτὸν, καὶ δυσμαχώτατον ἀποφαίνων, καὶ τῆς Βαβυλωνίων ἰσχύος κρείττονα. Καὶ νῦν γὰρ, φησὶ, Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ. Τὸ δὲ, Καὶ νῦν, τίθησιν ἀντὶ τοῦ, εἰ καὶ μή τι τῶν συμβεβηκότων προαπηγγέλθη παρὰ Θεοῦ, ἀλλ' ἰδοὺ νῦν διωμολόγηκεν ὁ Κῦρος ὅτι Θεὸς ἦν ὁ ἀναστήσας, καὶ ταῖς εἰς λῆξιν εὐκλείαις στεφανῶν, διὰ δὴ τοῦ κατευμεγεθῆσαι Βαβυλωνίων. Πυθόμενος γὰρ ὁ Κῦρος παρὰ τῶν τὴν Βαβυλῶνα κατοικούντων Ἰουδαίων, ὅτι Θεὸς περὶ αὐτοῦ λελάληκεν ἐν προφήταις ἁγίοις, ὡς ἥξει κατὰ καιροὺς, καὶ κατὰ κράτος αἱρήσει τὴν Χαλδαίων, καὶ αὐτὸς ἀνήσει τὸν Ἰσραὴλ· εἶτα, καθά φησι, καὶ τὰς βίβλους αὐτὰς ἐπιδειξάντων αὐτῷ, παρεσκεύασαν εἰς τοῦτο γνώμης ἐλθεῖν, ὥστε καὶ κηρύγμασιν ἰδίοις Κύριόν τε καὶ Ὕψιστον ὀνομάσαι τὸν Θεὸν Ἰσραήλ. Γέγραπται δὲ οὕτως ἐν βιβλίῳ πρώτῳ τοῦ Ἔσδρα· « Βασιλεύοντος Κύρου Περσῶν ἔτους πρώτου, εἰς συντέλειαν ῥήματος Κυρίου ἐν στόματι Ἱερεμίου, ἤγειρε Κύριος τὸ πνεῦμα Κύρου τοῦ βασιλέως Περσῶν, καὶ ἐκήρυξεν ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἅμα διὰ γραπτῶν λέγων· Τάδε λέγει ὁ βασιλεὺς Περσῶν Κῦρος· Ἐμὲ ἀνέδειξε βασιλέα τῆς οἰκουμένης ὁ Κύριος τοῦ Ἰσραὴλ ὕψιστος, καὶ ἐσήμηνέ μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν Ἱερουσαλὴμ ἐν τῇ Ἰουδαίᾳ. Εἴ τίς ἐστιν οὖν ὑμῶν ἐκ τοῦ ἔθνους αὐτοῦ, ἔστω ὁ Κύριος αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβὰς εἰς τὴν Ἱερουσαλὴμ ἐν τῇ Ἰουδαίᾳ, οἰκοδομείτω τὸν οἶκον Κυρίου τοῦ Θεοῦ Ἰσραήλ. Οὗτος ὁ Κύριος ὁ σκηνώσας τὴν Ἱερουσαλήμ. » Οὐκοῦν ὅταν ἐπιστῆτε, φησὶν, ὡς οὐ διὰ τῶν ψευδωνύμων θεῶν, δι' ἐμοῦ δὲ μᾶλλον γνωστὰ γέγονεν ἐν ὑμῖν πρὶν γενέσθαι τὰ συμβεβηκότα, ἀκούσατε Κύρου λέγοντος ὅτι « Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ. »

651 VERS. 17-19. *Sic dicit Dominus qui liberavit te, Sanctus Israel : Ego sum Deus tuus, qui docui te ut invenires viam in qua ambulares. Quod si audisses mandata mea, facta fuisset velut flumen pax tua, et justitia tua quasi unda maris ; et fuisset quasi arena semen tuum, et fetus uteri tui velut pulvis terræ ; neque nunc exterminaberis, neque delebitur nomen tuum in conspectu meo. Exi de Babylone, fugiens a Chaldæis.*

Οὕτω λέγει Κύριος, ὁ ῥυσάμενός σε, ὁ Ἅγιος Ἰσραήλ· Ἐγώ εἰμι ὁ Θεός σου, δέδειχά σοι τοῦ εὑρεῖν σε τὴν ὁδὸν, ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ. Καὶ εἰ ἤκουσας τῶν ἐντολῶν μου, ἐγένετο ἂν ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου, καὶ ἡ δικαιοσύνη σου ὡσεὶ κῦμα θαλάσσης· καὶ ἐγένετο ἂν ὡσεὶ ἄμμος τὸ σπέρμα σου, καὶ τὰ ἔκγονα τῆς κοιλίας σου ὡς ὁ χοῦς τῆς γῆς· οὐδὲ νῦν οὐ μὴ ἐξολοθρευθῇς, οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιόν μου. Ἔξελθε ἐκ Βαβυλῶνος φεύγων ἀπὸ τῶν Χαλδαίων.

Rursus illis animum constantem et mentem bene constitutam inserit, ut Deum natura et vere exsistentem agnoscant : suamque illis gloriam retegit, ne deceptorum vocibus ad aliquam vanitatem abducerentur, ut videlicet putent et sentiant,

Ἀραρὸς δὴ πάλιν αὐτοῖς ἐργάζεται φρόνημα, καὶ εὖ βεβηκότα νοῦν, εἴς γε τὸ δεῖν εἰδέναι τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεόν· καὶ τὴν ἰδίαν αὐτοῖς ἐκκαλύπτει δόξαν, ἵνα μὴ ταῖς τῶν πλανώντων φωναῖς ἀποφέρωνταί ποι πρὸς τὸ ἐξίτηλον, ἤγουν πρός γε

[64] I Esdr. I, 1-3.

τὸ οἴεσθαι καὶ φρονεῖν, τοὺς ψευδωνύμους αὐτοῖς ἐπαμύναι θεοὺς, τοὺς οὐκ ὄντας ὅλως. Διὰ γάρ τοι τοῦτο, καθάπερ ἔγωμαι, τὸ Ἐγώ εἰμι ὁ Θεός σου, φησὶ, τοῦ, εἰμὶ, σημαίνοντος τὸ, ὑπάρχω. Τοῦτο καὶ τῷ πανσόφῳ Μωσῇ διηγόρευσε λέγων· « Ἐγώ εἰμι ὁ ὤν.» Ὢν γάρ ἐστι κυρίως τε καὶ ἀληθῶς ὁ τῶν ὅλων Θεός. Τὰ δέ γε παρ' αὐτοῦ πρὸς τὸ εἶναι παρενηνεγμένα ὄντα μὲν καὶ αὐτὰ λέγοιντ' ἂν, πλὴν ὅτι γεγόνασι, καὶ ἀρχὴν τοῦ εἶναι διεκληρώσαντο. Οὕτω τοίνυν φησὶ Κύριος ὁ ῥυσάμενός σε, Ἅγιος Ἰσραήλ· Ἐγώ εἰμι ὁ Θεός σου. Ἀλλ', ὦ Δέσποτα, φαίη ἂν, οἶμαι, τις τῶν ἐξ αἵματος Ἰσραὴλ, ἐλυτρώσω καὶ σέσωκας, ἐξεῖλου πυρὸς καὶ δίκης, ζυγοῦ καὶ δουλείας, βαρβάρου χειρὸς, ὡς παναλκὴς δηλονότι, καὶ ψιλοῖς νεύμασιν ἅπερ ἂν ἕλοιο κατορθῶν. Εἶτα πῶς οἱ ὑπὸ σὴν ὄντες φειδῶ καὶ ἀγάπην εἰς σὲ τὸν ἐπίκουρον αὐχοῦντες ἀεὶ, πρὸς τοῦτο ταλαιπωρίας κατενηνέγμεθα, ὥστε καὶ ὑπὸ πόδας πεσεῖν ἐχθρῶν, καὶ θητεῦσαι παρὰ τὸ εἰκὸς τοὺς ἐλευθέρους ἐξ ἐλευθέρων; Τί οὖν πρὸς ταῦτα Θεός; Δέδειχά σοι τοῦ εὑρεῖν σε τὴν ὁδὸν, ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ. Νόμον σοι τέθεικα, φησὶ, τῶν πρακτέων τὸν ὁριστὴν, τὸν ἀπευθύνειν εἰδότα πρὸς πᾶν ὁτιοῦν τῶν ἡδίστων ἐμοὶ, ποδηγὸν εἰς δικαιοσύνην, διδάσκαλον εὐσεβείας, εἰς εὐθεῖαν ὁδὸν ἀποφέροντα, δι' ἧς εἰ πράττειν ἤθελες, κατήντησας εἴς γε τὸ εἶναι γνήσιος καὶ λάτρις ἀληθὴς, καὶ τοῖς ἐξ ἀρετῶν αὐχήμασιν εὖ μάλα κατεστεμμένος. Ἀλλ' ἔξω τρίβου γέγονας τῆς ἐπ' εὐθὺ, καὶ ἀμπεξητὸν ἀφεὶς, ὥσπερ παρετράπης ἐφ' ἃ μὴ θέμις· λελάτρευκας τῇ στρατιᾷ τοῦ οὐρανοῦ, τέθυκας εἰδώλοις, προσκεκύνηκας τοῖς οὐκ οὖσι θεοῖς, ἐπελάθου τοῦ Κτίσαντος, παρ' οὐδὲν ἡγήσω τὸν δοθέντα νόμον. Εἰ γὰρ ἦσθα γεγονὼς τῶν ἐμῶν ὑπάκοος ἐντολῶν, ἐγένετο ἂν ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου· καὶ ἡ δικαιοσύνη ὡσεὶ κῦμα θαλάσσης. Καὶ ὃ βούλεται δηλοῦν, ἔστι τοιοῦτον· Τοὺς χειμάῤῥους φασὶν, ὑετοῦ τοῖς ὄρεσιν ἐνσκήψαντος λάβρου, καταφέρεσθαι δεινῶς τε καὶ ἀφορήτως, ὡς ἀντισχεῖν δύνασθαι παντελῶς οὐδὲν ταῖς ἐκείνων ὁρμαῖς. Εὔδηλον δὲ κἀκεῖνο, οἶμαί που. Αἱ γάρ που τῶν θαλάσσης κυμάτων ἐμβολαὶ δειναὶ καὶ δυσάντητοι, καὶ οὐ πλωτῆρσι μόνοις, ἤγουν ταῖς ὁλκάσιν, ἀλλὰ καὶ αὐταῖς ἔσθ' ὅτε ταῖς πέτραις. Ἀποῤῥήγνυνται γὰρ αὗται, κρουνηδὸν αὐταῖς τῶν ὑδάτων ἐῤῥηγνυμένων. Οὐκοῦν εἰ τῶν ἐμῶν, φησὶ, κατήκοος ἦσθα λόγων, εἰ τὸν νοῦν ἐπήγαγες εὐπειθῆ, ἐγένετο ἂν ἡ εἰρήνη σου ποταμοῦ καὶ ὑδάτων δίκην, ἀκαταμάχητος τοῖς ἐχθροῖς, ἤγουν τοῖς ἐθέλουσιν ὑπαντᾷν. Ἢ τάχα που, καὶ καθ' ἕτερον τρόπον, ἵνα τὸ τῆς εἰρήνης ἄφθονόν τε αὐτοῖς καὶ διηνεκὲς ἀποφήνῃ χρῆμα, ποταμῷ παρεικάζει καὶ κύμασι, ποταμῷ μὲν ἀεὶ καὶ ἀμφιλαφῶς ῥέοντί τε καὶ φερομένῳ, κύμασί τε κυρτουμένοις ἀεὶ, καὶ οἷον διηνεκῶς τῇ χέρσῳ προστρέχουσιν. Ἐγένετο δ' ἂν καὶ τὸ σπέρμα σου ὡσεὶ ἄμμος, καὶ τὰ ἔκγονα τῆς κοιλίας σου ὡς ὁ χοῦς τῆς γῆς. Ὅμοιον ὡς εἰ λέγοι, Οὐδενὸς οὐ ξίφος ἐπανατείνοντος, οὐ τῆς τῶν πολεμίων χειρὸς ὀλοθρευούσης τινὰς, πολύχους ἦσθα

[66] Exod. III, 14.

A falso nuncupatos deos illis opem tulisse, qui omnino non sunt. Propterea ut, equidem arbitror, dicit: Ego sum Deus tuus, sum, denotante, exsisto. Id quod etiam sapientissimo Moysi annuntiavit, cum ait: « Ego sum qui sum [66]. » Proprie enim et vere est ὢν universorum Deus. Quæ autem ab illo producta sunt, ut in rerum natura sint, etiam illa ὄντα dici possunt: verum ideo quod facta sunt, et principium suæ essentiæ sunt sortita. Sic itaque inquit Dominus qui liberavit te, Sanctus Israel: Ego sum Deus tuus. Verum, o Domine, dixerit, credo, quispiam eorum qui ex sanguine Israelitico sunt orti, redemisti nos et servasti, eripuisti ex igne et a pœna, a jugo et servitute et manu barbara: tu videlicet omnipotens, et solo nutu quæ-B cunque volueris peragens. Ergo quomodo nos, qui ex tua misericordia et dilectione pendemus, qui in te adjutore semper gloriamur, ad hoc miseriæ delati sumus, ut etiam pedibus inimicorum succumbamus et præter æquum liberi ex liberis nati serviamus? Quid igitur ad hæc Deus? Docui te invenire viam in qua ambules. Legem tibi, inquit, posui rerum agendarum definitricem, quæ ad omnia mihi acceptissima dirigat, ducem ad justitiam, doctricem pietatis, ad rectam viam perducentem, ex cujus præscripto si agere velis, eo pertigisti, ut genuinus sis et verus cultor, et virtutum ornamentis pulcherrime coronatus. Cæterum tu a recta via exorbitasti et, semita relicta, ad quæ fas non erat deviasti, militiam cœli coluisti, sacrificasti C idolis, **652** non deos adorasti, Conditoris oblitus es, legem datam pro nihilo duxisti. Si enim fuisses meis præceptis audiens, fuisset tanquam flumen pax tua, et justitia tanquam fluctus maris. Quod autem significare vult, ejusmodi est: Aiunt torrentes, pluvia rapida in montes delapsa, ferri violenter et intolerabiliter, ita ut impetuoso eorum cursui nihil omnino possit resistere. Quin et illud puto esse perspicuum. Fluctuum maris impressiones violentæ sunt et terribiles, non modo nautis et onerariis navibus, sed ipsis interdum rupibus. Rumpuntur enim et ipsæ, aquis magno impetu in eas impingentibus. Itaque dicit: Si meis verbis auscultasses, si mentem sequacem et obedientem adhibuisses, facta fuisset pax tua, fluminis et flu-D ctus in morem, inexpugnabilis hostibus et quibuslibet occurrentibus. Vel etiam alio modo, ut pacis ubertatem et perpetuitatem ostendat, flumini comparat et fluctibus; flumini quidem semper et ubertim fluenti et præterlabenti, fluctibus autem semper curvatis, et velut perpetuo terram incursantibus. Factum etiam fuisset semen tuum tanquam arena, et fetus uteri tui quasi pulvis terræ. Perinde est ac si dicat, Nullo vel gladium extrahente, nulla hostium manu quempiam exscindente, fecundus fuisses et innumerabilis, ut arenæ et pulveri comparari possent tui liberi. Quia autem debacchatus es in

Deum, et non mediocriter offendisti, in omnia fœda illapsus, paululum concisus es, et illam generis propagationem multitudine dilatatam non habes; verumtamen neque nunc quidem exterminaberis. Conservatæ enim sunt Israelis reliquiæ ubique. Dixit enim Deus, non casurum funditus illum, propter factam patribus promissionem. Deinde ait: Exi de Babylone, fugiens a Chaldæis. Hic est nutus et voluntas regis a captivitate liberans Israelem. Quemadmodum enim qui in terra rerum summa potiuntur, et regni thronos occupant, terræ habitatoribus interdum exsilii remissionem annuunt, benevolo nutu et voce rem declarantes: sic etiam universorum Deus humanum ac benevolum nutum laborantibus impertiit, et ait aperte: Exi, ut sciant esse Redemptorem, et omnis tranquillitatis præbitorem.

653 VERS. 20-22. *Vocem lætitiæ annuntiate, et audiatur hoc: Annuntiate usque ad extremum terræ. Dicite: Liberavit Dominus servum suum Jacob; quodsi sitierint, per desertum ducet eos; scindentur petræ, et fluent aquæ, et bibet populus meus. Non est lætitia impiis, dicit Dominus.*

Admiratione digna plane sunt omnia, quæ facit Deus. Quæ vero cæteris ejus operibus præcellunt, et summam gloriam obtinent, si latent, officiunt his qui eorum cognitione privantur: si cognita sunt, haud parum adjuvant. Hinc etenim videre licet ineffabilem ejus gloriam, et in omnibus excellentiam, et sublimem manum, et omnipotentem gloriam. Redemit enim ex Ægypto Israelem. At ut magnificus appareret, ejusque gloria universum orbem inhabitantibus illustris fieret, assumptus est velut vas quoddam Pharao, ut cum verbis Mosaicis restitisset, evocaret Deum, ad gloriam suam deinceps omnibus demonstrandam, et ad immensæ potentiæ declarandam magnitudinem. Dictum est enim illi: « In hoc ipsum excitavi te, ut ostenderem in te potentiam meam, et ut annuntietur nomen meum in universa terra [67]. » Hæc veteribus quidem contigerunt, tamen facta sunt ad nostram admonitionem, in quos fines sæculorum devenerunt. Oportuit igitur, oportuit redemptionem Israelitarum ex Babylone non silentio præteriri, sed velut promulgari ubique omnibus. Ideoque ait: Vocem lætitiæ annuntiate. Vocem autem lætitiæ esse dicimus doxologiam, quam instituit aliquis, cum eum celebrat propter hæc tanta et tam illustria facinora. Hæc proprie et vere est lætitiæ vox conveniens justis, quos par est laudes canere. Psallit nimirum etiam divinus David, et inquit: « Vox exsultationis et salutis in tabernaculis justorum [67*]. » Vocem autem vult habere narrationem redemptionis Israelitarum, cujusmodi est in libro Psalmorum. Habet vero se

A καὶ ἀναρίθμητος, ὥστε ψάμμῳ καὶ χοῒ παρεικάζεσθαί σου τὰ τέκνα. Ἐπειδὴ δὲ πεπαρῴνηκας εἰς Θεὸν, καὶ προσκέκρουκας οὐ μετρίως πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἐκδεδηκὼς, συνεστάλης εἰς βραχὺ, καὶ τὴν τοῦ γένους εἰς πληθὺν ἐπίδοσιν εὐρυνομένην οὐκ ἔχεις, πλὴν οὐδὲ νῦν οὐ μὴ ἐξολοθρευθῇς. Τετήρηται γὰρ πανταχοῦ τὸ κατάλειμμα τοῦ Ἰσραήλ. Ἔφη δὲ Θεὸς οὐδαμοῦ πεσεῖν ὁλόῤῥιζον αὐτὸν διὰ τὴν τοῖς πατράσιν δοθεῖσαν ἐπαγγελίαν. Εἶτά φησιν, ὅτι Ἔξελθε ἐκ Βαβυλῶνος φεύγων ἀπὸ τῶν Χαλδαίων. Νεῦμα τοῦτο βασιλικὸν ἀπαλλάττον τῆς αἰχμαλωσίας τὸν Ἰσραήλ. Ὥσπερ γὰρ οἱ τῶν ἐπὶ γῆς κρατοῦντες πραγμάτων, καὶ τοὺς τῆς βασιλείας διέποντες θρόνους τοῖς ὑπὸ γῆν οὖσι φυγῆς κατανεύουσιν ἔσθ' ὅτε τὴν ἄφεσιν, φιλανθρώπῳ νεύματι καὶ φωνῇ B σημαίνοντες τὸ χρῆμα· οὕτω καὶ ὁ τῶν ὅλων Θεὸς νεῦμα φιλάνθρωπον τοῖς πεπονηκόσιν ἐχαρίζετο, καὶ τὸ, Ἔξελθε, φησὶν ἐναργῶς, ἵν' εἰδεῖεν τὸν Λυτρωτὴν καὶ ἁπάσης αὐτοῖς εὐθυμίας τὸν χορηγόν.

Φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ ἀκουστὸν γενέσθω τοῦτο. Ἀναγγείλατε ἕως ἐσχάτου τῆς γῆς. Λέγετε· Ἐῤῥύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακὼβ, καὶ ἐὰν διψήσωσι, δι' ἐρήμου ἄξει αὐτοὺς, σχισθήσονται πέτραι καὶ ῥυήσονται ὕδατα, καὶ πίεται ὁ λαός μου. Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει Κύριος.

Ἀξιοθαύμαστα μὲν πάντα ἐστὶν ὁμολογουμένως ἅπερ δρῴη Θεός. Τά γε μὴν τῶν ἄλλων ὑπερκείμενα, καὶ δόξαν λαχόντα τὴν ἀνωτάτω τῶν ἔργων αὐτοῦ, λανθάνοντα μὲν ἀδικεῖ τοὺς τοῦ εἰδέναι τυ- C χὸν ἀπεστερημένους, γνωσθέντα γε μὴν ὀνίνησιν οὐ μικρῶς. Ἔνεστι γὰρ ἐντεῦθεν ἰδεῖν τήν τε ἄφραστον αὐτοῦ δόξαν, καὶ τὴν κατὰ πάντων ὑπεροχὴν, καὶ τὴν ὑπέρτονον χεῖρα, καὶ πανσθενῆ δόξαν. Ἐλυτροῦτο μὲν γὰρ ἐξ Αἰγύπτου τὸν Ἰσραήλ. Ἀλλ' ἵνα ὁρῷτο μεγαλουργὸς, ὥστε καὶ τοῖς ἀνὰ πᾶσαν οὖσι τὴν γῆν ἐμφανῆ γενέσθαι τὴν δόξαν αὐτοῦ, παρελήφθη μέσος ὁ Φαραὼ καθάπερ τι σκεῦος, ἵνα τοῖς διὰ Μωσέως ἀντανιστάμενος λόγοις, καλέσῃ Θεὸν εἴς γε τὸ χρῆναι λοιπὸν τὴν ἰδίαν ἅπασιν ἐμφανίσαι δόξαν, καὶ τῆς ἀμετρήτου δυνάμεως καταδεῖξαι τὸ μέγεθος. Εἴρηται γὰρ πρὸς αὐτόν· « Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐκδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. » Καὶ D συμβέβηκε μὲν ἐκεῖνα τοῖς πάλαι, γεγόνασι δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκε. Ἔδει δὴ οὖν, ἔδει τὴν ἐκ Βαβυλῶνος λύτρωσιν τῶν ἐξ Ἰσραὴλ μὴ σιγᾶσθαι μᾶλλον, ἀλλ' οἷον ἀνακηρύττεσθαι τοῖς ἁπανταχοῦ. Ταύτῃ τοι καί φησι· Φωνὴν εὐφροσύνης ἀναγγείλατε. Εὐφροσύνης δὲ φωνὴν εἶναί φαμεν τὴν δοξολογίαν, ἣν ἂν ποιήσαιτό τις ὑμνῶν αὐτὸν ἐπὶ τοῖς οὕτω μεγάλοις καὶ λαμπροῖς κατορθώμασιν. Αὕτη κυρίως τε καὶ ἀληθῶς εὐφροσύνη, φωνὴ πρέπουσα δικαίοις, οἷς ἁρμόσαι καὶ τὸ χρῆναι δοξολογεῖν. Ψάλλει γοῦν καὶ ὁ θεσπέσιος Δαβὶδ, καί φησι· « Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. » Βούλεται δὲ τὴν φωνὴν, ἀφή-

[67] Exod. IX, 16. [67*] Psal. CXVII, 15.

ήγησιν ἔχειν τῆς λυτρώσεως τῶν ἐξ Ἰσραὴλ, ὁποία A τις ἦν ἡ ἐν βίβλῳ Ψαλμῶν. Ἔχει δὲ οὕτως· « Εὐδόκησας, Κύριε, τὴν γῆν σου· ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακὼβ, ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. » Ταυτὶ γὰρ εἰ καὶ πραγμάτων πνευματικῶν ἐμπεριέχει τὴν δήλωσιν, ἀλλ' οὖν εἰσι καὶ τῇ ἱστορίᾳ χρήσιμα. Ὑπισχνεῖται δὲ ὅτι, ἐὰν διψήσωσι δι' ἐρήμου βαδίζοντες, ὕδωρ ἐκ πέτρας ἄξει αὐτοῖς. Σχισθήσεται πέτρα, καὶ ῥυήσεται ὕδωρ, καὶ πίεται ὁ λαός μου. Καί φαμεν ὅτι δείκνυσιν ἐν τούτοις, ὡς οὐχ ἕτερός τις Θεὸς ἦν ὁ τῆς Αἰγυπτίων σκαιότητος ἐλευθερώσας τὸν Ἰσραὴλ, καὶ διαγαγὼν διὰ θαλάσσης μέσης, καὶ τροφὰς ἐν ἐρήμῳ διδοὺς, καὶ ὕδωρ ἐκ πέτρας ἐξενεγκών· ἀλλ' ὁ αὐτὸς ἀεὶ κατὰ αὐτὰ, καὶ ὡσαύτως ἔχων, καὶ τὰ ἴσα τοῖς πάλαι τερατουργεῖν δυνάμενος. B Εἰ γὰρ ἔλθοιεν δι' ἐρήμου, φησὶ, εἶτα γένοιντο ποτοῦ, καὶ ὑδάτων ἐν σπάνει, τὸ ἀρχαῖον ἐκεῖνο δειχθήσεται σημεῖον αὐτοῖς· ἐκκομισθήσεται γὰρ ὕδωρ ἐκ πέτρας· καὶ τοῦτο μὲν γεγονὸς, οὐχ εὕροι τις ἂν ἀναβαινόντων εἰς τὴν Ἰουδαίαν ἐκ τῆς Βαβυλῶνος τῶν ἐξ Ἰσραήλ. Εἴρηται δὲ, ὡς ἔφην, οἰκονομικῶς, ἵνα εἰδοῖεν ὅτι Θεὸς ὁ πάλαι, καὶ νῦν ἐστιν, ἴσῃ τε δυνάμει, καὶ ἰσαμίλλοις θαύμασι χρῆσθαι δυνάμενος, καὶ ἀμετάπτωτον ἔχων ἰσχὺν, ἐπιβοᾷ τε ὥσπερ καὶ νόμον ἐκφέρει γενικόν. Οὐ γὰρ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει Κύριος. Ἀληθὲς καὶ τοῦτο. Κατηφὲς γάρ πως ἀεὶ τῶν δυσσεβῶν τὸ πρόσωπον πληττομένης κατὰ τὸ εἰκὸς τῆς καρδίας, καὶ τοῖς τοῦ συνειδότος ἐλέγχοις ἀχθοφοροῦντος τοῦ νοῦ. Προσδοκᾷ C γὰρ οὐ στεφάνους, οὐκ ἐπαίνου τιμὴν, πῦρ δὲ μᾶλλον, καὶ δίκην, ἃ τοῖς πλημμελοῦσιν ηὐτρέπισται. Ἢ τάχα που καὶ ἁρμόσειεν ἂν τοῖς Βαβυλωνίοις ἡ φωνή. Ἔχαιρον μὲν γὰρ ὡς τὸν τοῦ Θεοῦ λαὸν ᾐρηκότες, ᾤοντο δ' ὅτι καὶ τῆς αὐτοῦ κατευμεγεθήσαντες δεξιᾶς τῆς Ἰουδαίας κεκρατήκασιν. Ἀλλ' ἐσφάλοντο τἀληθοῦς. Οἱ μὲν γὰρ ὅτι πλημμελοῦντες πεφώρανται φειδοῦς ἔξω γεγόνασι τῆς παρ' αὐτοῦ, οἱ δὲ ὅτι σκληροί τε ἦσαν, καὶ ἀτεράμονες καὶ τὸ ἐλεεῖν οὐκ εἰδότες τὰς αὐτοῖς πρεπούσας ἐξῄτηνται δίκας, ἐστέρηνται δὲ, καὶ τοῦ χαίρειν, ἔτι κεκολασμένην ἔχοντες τὴν ὀφρὺν, κεκολασμένον ἤδη τὸ φρόνημα. Οὐ γὰρ ὅτι νενικήκασί ποτε τοὺς ἐξ Ἰσραὴλ μετῆν ἔτι τὸ χαίρειν αὐτοῖς, ἀλλ' ὅτι κακοὶ κακῶς διολώλασιν ὠλοθρευμένης αὐτοῖς τῆς χώρας τὸ δριμὺ τῆς λύπης ἐδέχοντο.

ita: « Benedixisti, Domine, terram tuam, avertisti captivitatem Jacob, remisisti iniquitatem plebis tuæ, operuisti omnia peccata eorum [66]. » Hæc enim, etiamsi rerum spiritualium explicationem contineant, tamen sunt etiam historice utilia. Promittit autem, si sitiant iter facientes per desertum, educturum **654** se illis aquam e petra. Scindetur petra, et fluet aqua, et bibet populus meus. Dicimus autem eum his verbis ostendere non fuisse alium Deum, qui a crudelitate Ægyptiorum liberavit Israelem, qui per medium mare traduxit, qui cibum in deserto suppeditavit, qui aquam e petra eduxit: sed eumdem ipsum semper eodem modo et similiter se habentem, et qui antiquis paria miracula potest edere. Si enim transierint solitudinem, inquit, et potionis aquarumque urgeantur inopia, vetus illud signum eis exhibebitur, ex petra enim aqua educetur. Sed hoc nemo inveniet factum esse, Israelitis ex Babylone in Judæam ascendentibus. Dictum est autem, sicuti commemoravi, singulari consilio, ut viderent Deum qui olim fuit, nunc esse, et æquali potentia et consimilibus miraculis uti posse, et inviolabilem habere fortitudinem, quique veluti clamat et legem generalem profert. Non enim est lætitia impiis, ait Dominus. Verum et hoc est. Tristis est enim semper quodammodo vultus impiorum, perculso, ut videtur, corde, animoque conscientiæ redarguentis onus portante. Non enim coronas exspectat, non laudis honorem, sed ignem et supplicium, quæ præparata sunt delinquentibus. Vel etiam forte quadrabit hæc vox Babyloniis. Gaudebant enim quod populum Dei sustulissent: putabantque se, devicta ejus dextra, Judæam obtinuisse. Sed lapsi sunt a vero. Nam illi, quia deliquisse deprehensi sunt, misericordia ejus orbati sunt; hi, quia duri erant et immites et misereri nescii, dignas pœnas deposcebantur et deinceps lætitia privabantur, afflictum jam supercilium, afflictum animum habentes. Non enim, quia olim Israelitas vicerunt, posthac gaudio afficientur, sed quia mali male perierunt, deleta ipsa regione, acerbum dolorem ceperunt.

D

ΛΟΓΟΣ Δ'.

Ἀκούσατέ μου, νῆσοι, καὶ προσέχετε, ἔθνη, διὰ χρόνου πολλοῦ στήσεται, λέγει Κύριος. Ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου, ἔθηκέ τε στόμα μου ὡσεὶ μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην χειρὸς αὐτοῦ ἔκρυψέ με. Ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν, καὶ τῇ φαρέτρᾳ αὐτοῦ ἐσκέπασέ με, καὶ εἶπέ μοι· Δοῦλός μου εἶ σὺ, Ἰσραὴλ, καὶ ἐν σοὶ δοξασθήσομαι.

Διὰ πλείστων ὅσων παραινέσεων, καὶ ὑποθημοσυνῶν ὀνήσει τὸν Ἰσραὴλ, μεθίστησι τὴν μυσταγωγίαν ἐπὶ τὰς τῶν ἐθνῶν ἀγέλας, καὶ δὴ τὸ μυστήριον τοῦ

ORATIO IV.

CAP. XLIX. VERS. 1-3. *Audite me, insulæ, et attendite, gentes; post tempus longum stabit, dicit Dominus. Ex ventre matris meæ* **655** *vocavit nomen meum, posuitque os meum quasi gladium acutum, et sub protectione manus suæ abscondit me. Posuit me quasi sagittam electam, et in pharetra sua abscondit me, et dixit mihi: Servus meus es tu, Israel, et in te glorificabor.*

Cum plurimis exhortationibus et admonitionibus Israelem juverit, mystagogiam ad gentium greges convertit, et illis mysterium Christi patefacit ite-

[66] Psal. LXXXIV, 1.

rum, unde pecunia et exsecrabili vita relicta, ad gratissimam ipsi vitæ institutionem reducantur, verumque lumen animo amplectantur, ut aperte quis natura et vere Deus sit, et quæ sit universorum dominatrix natura intelligant. Affatur autem insulas, quas esse dicimus Christi Ecclesias, velut in mari positas, tempestate videlicet hujus vitæ, et intolerandis fluctuum insultibus agitatas, persecutionibus scilicet et afflictionibus, quas veritatis hostes et vocationi divinæ repugnantes illis inferunt. De talibus insulis dictum est sæpe in Scriptura divinitus inspirata. Psallit nimirum beatus David et ait : « Dominus regnavit, exsultet terra, lætentur insulæ multæ [68]. » Quando enim regnum orbis terrarum Christus tenebat, ac universam terram in manus ditionemque suam recipiebat, et a tyrannide dæmonum evellebat, tunc exsultabant etiam, id est, lætitia plenæ erant per totam terram Ecclesiæ. Nam ex consequentibus perspicuum esse potest, his verbis prophetam, cum insulas nominat, gentium Ecclesiam innuere. Statim namque addidit post illud : Audite me, insulæ, hoc : Attendite, gentes. Ait deinde : Per longum tempus stabit, dicit Dominus. Promittit, ut dixi, omnium nostrum Servatoris Christi patefactionem, et quia Deus Verbum una cum terræ incolis in specie nostra versabitur. Verum quod tum prophetiæ, non ipsarum rerum patefactionis tempus fuerit, ostendit, cum dicit : Per tempus multum stabit, quod promissum videlicet est et prophetatum. Quid autem illud sit, ipsa Servatoris persona introducta declarat : De ventre matris meæ vocavit nomen meum. Immiscet autem hic mysterium profundum et magnum, et quod superna quadam mystagogia opus habet. Revelatum est enim sic divino Petro [69]. Erat enim et est Deus Verbum **656** æqualis potentiæ, et eumdem thronum habens cum Deo et Patre, simulque exsistit et simul æternus est. Nomina etiam ante humanitatem naturæ ipsius erant consentanea, Deus, vita, lux, sapientia, virtus : aliaque ad hæc sunt, quæ in sacris Litteris inveniuntur. Postquam vero seipsum demisit et exinanivit, in similitudine hominum factus, et forma inventus ut homo, [69*] nomen accipit commune, scilicet, Christus, Jesus, et Nobiscum Deus. Illud, Nobiscum, significat in rebus quæ ad nos spectant, et nostræ sunt conditionis et naturæ. Scriptum enim est : « Ecce virgo uterum geret, et pariet filium, et vocabunt nomen ejus Emmanuel [70]. » Beatus quoque Gabriel revelans sanctæ et Deiparæ virgini mysterium : « Ne timeas, » inquit, « Maria. Invenisti enim gratiam apud Deum. Ecce concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum. Ipse enim servabit populum suum a peccatis ipsorum [71]. » Num igitur dissidentia sibi dixerunt hic beatus angelus et propheta? Nequaquam. Divinus enim propheta, spiritu loquens mysteria, Deum nobiscum factum præsignificavit, a natura et dis-

A Χριστοῦ αὐταῖς καταλευκαίνει πάλιν, δι' οὗπερ ἔμελλον τὸν κτηνοπρεπῆ, καὶ ἐπάρατον μεθέντες βίον εἰς τὴν αὐτῷ φιλαιτάτην ἀνακομίζεσθαι πολιτείαν, καὶ φῶς εἰς νοῦν δέχεσθαι τὸ ἀληθινόν· ὥστε σαφῶς εἰδέναι τίς ὁ φύσει καὶ ἀληθῶς Θεός ἐστι, καὶ ἡ τῶν ὅλων καταχρατοῦσα φύσις. Προσφωνεῖ δὲ ταῖς νήσοις, ἃς δὴ καὶ εἶναί φαμεν τὰς Ἐκκλησίας Χριστοῦ, καθάπερ ἐν θαλάττῃ κειμένας, τῷ κλύδωνι δηλονότι τοῦ παρόντος βίου, καὶ ἀφορήτοις κυμάτων περιεχομένας ἐμβολαῖς, διωγμοῖς, δηλονότι, καὶ περιστάσεσιν, ἃς ἐπιφέρουσιν αὐταῖς οἱ τῆς ἀληθείας ἐχθροὶ, καὶ τῇ Θεοῦ κλήσει μαχόμενοι. Περὶ τῶν τοιούτων νήσων, εἴρηται μὲν πλεισταχοῦ παρὰ τῇ θεοπνεύστῳ Γραφῇ. Ψάλλει δέ που καὶ ὁ μακάριος Δαβὶδ, καί φησιν· « Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, B εὐφραινέσθωσαν νῆσοι πολλαί. » Ὅτε γὰρ βεβασίλευκε τῆς ὑπ' οὐρανὸν ὁ Χριστὸς πᾶσαν ὑπὸ χεῖρα λαβὼν, καὶ τῆς τῶν δαιμόνων τυραννίδος ἐκσπάσας· τότε καὶ ἠγαλλιάσαντο, τοῦτ' ἔστιν, εὐφροσύνης μεσταὶ γεγόνασιν, αἱ κατὰ πᾶσαν τὴν γῆν Ἐκκλησίαι. Ὅτι γὰρ ὁ προφήτης ἐν τούτοις νήσους ὀνομάσας τὰς ἐξ ἐθνῶν Ἐκκλησίας δηλοῖ, σαφὲς ἂν γένοιτο διὰ τῶν ἑξῆς. Προσεπήνεγκε γὰρ εὐθὺς τὸ, Ἀκούσατέ μου, νῆσοι, τὸ, Προσέχετε, ἔθνη. Εἶτά φησιν, ὅτι Διὰ χρόνου πολλοῦ στήσεται, λέγει Κύριος. Ὑπισχνεῖται μὲν, ὡς ἔφην, τὴν τοῦ Σωτῆρος πάντων ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνάδειξιν, καὶ ὅτι Θεὸς ὢν ὁ Λόγος, συναναστρέφεται τοῖς ἐπὶ τῆς γῆς ἐν εἴδει τῷ καθ' ἡμᾶς. Πλὴν ὅτι προφητείας ἦν ὁ καιρὸς τὸ τηνικάδε, οὔτω C δὲ καὶ αὐτῆς τῆς τῶν πραγμάτων ἐμφανείας, διαδείκνυσι λέγων, ὅτι Διὰ χρόνου πολλοῦ στήσεται τὸ ἐπαγγελθὲν δηλονότι, ἤγουν τὸ προφητευόμενον. Τί δὴ τοῦτό ἐστιν, αὐτὸ τοῦ Σωτῆρος τὸ πρόσωπον εἰσεκομίσθη λέγον· Ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου. Συνέβαλεν ἐν τούτοις εὐθὺς τὸ μυστήριον τὸ βαθὺ καὶ μέγα, καὶ τῆς ἄνωθεν μυσταγωγίας δεόμενον. Ἐξεκαλύφθη γὰρ οὕτω τῷ θεσπεσίῳ Πέτρῳ. Ἦν μὲν γὰρ καὶ ἔστι Θεὸς ὁ Λόγος, ἰσοκλεὴς, καὶ ὁμόθρονος τῷ Θεῷ καὶ Πατρὶ, συνυπάρχων δὲ, καὶ συναΐδιος. Ὀνόματα δὲ τὰ πρὸ τῆς ἐνανθρωπήσεως οἰκείως πως ἔχοντα τῇ αὐτοῦ φύσει, Θεὸς, καὶ σοφία, καὶ φῶς, ζωὴ, καὶ δύναμις· ἕτερα δὲ πρὸς τούτοις ἃ παρὰ τοῖς ἱεροῖς εὑρίσκεται Γράμμασιν. Ἐπειδὴ δὲ καθῆκεν ἑαυτὸν εἰς κένωσιν ἐν ὁμοιώματι D ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ὄνομα δέχεται τὸ κοινὸν, τοῦτ' ἔστι, τὸ Χριστός τε καὶ Ἰησοῦς, ἤτοι τὸ, Μεθ' ἡμῶν ὁ Θεός. Τοῦ μεθ' ἡμῶν σημαίνοντος τὸ ἐν τοῖς καθ' ἡμᾶς. Γέγραπται γὰρ, ὅτι « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· » ὅτι μακάριος Γαβριὴλ ἐκκαλύπτων τῇ ἁγίᾳ καὶ Θεοτόκῳ παρθένῳ τὸ μυστήριον· « Μὴ φοβοῦ, « φησὶν, » ἡ Μαριάμ. Εὗρες γὰρ χάριν παρὰ Θεῷ, καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ, ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. » Ἆρ' οὖν ἀσυμβάτους ἀλλήλαις εἰρήκασι φω-

[68] Psal. xcvi, 1. [69] Matth. xvi, 17. [69*] Philipp. ii, 7. [70] Isa. vii, 14. [71] Luc. i, 30, 31; Matth. i, 21.

νάς, ὅ τε μακάριος ἄγγελος, καὶ ὁ προφήτης; Οὐ μὲν A οὖν. Ὁ μὲν γὰρ θεσπέσιος προφήτης πνεύματι λαλῶν μυστήρια, μεθ' ἡμῶν γεγονότα Θεὸν προκαταμεμήνυκεν, ἀπό τε τῆς φύσεως, καὶ τῆς οἰκονομίας τῆς μετὰ σαρκὸς οὕτως ὀνομάσας αὐτόν. Ὁ δέ γε μακάριος ἄγγελος ἐκ τῆς ἐνεργείας αὐτῷ τοὔνομα θείς· σέσωκε γὰρ τὸν ἴδιον λαόν. Σωτὴρ οὖν ἄρα κέκληται διὰ τοῦτο. Καὶ γοῦν ὅτε τὴν κατὰ σάρκα γέννησιν ὑπέμεινε δι' ἡμᾶς αἱ τῶν ἀγγέλων στρατιαὶ τοῖς ποιμέσι τὸν τόκον εὐηγγελίζοντο, λέγουσαι· « Μὴ φοβεῖσθε ὑμεῖς· ἰδοὺ γὰρ εὐαγγελιζόμεθα ὑμῖν σήμερον χαρὰν μεγάλην, ἥτις ἐστὶ παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη σήμερον Σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ. » Οὐκοῦν Ἐμμανουὴλ μὲν, ὅτι Θεὸς ὢν φύσει γέγονε μεθ' ἡμῶν, τοῦτ' ἔστιν, ἄνθρωπος. Ἰησοῦς γε μὴν, ὅτι σώζειν ἔδει τὴν ὑπ' οὐρανὸν, B Θεὸν ὄντα αὐτὸν, καὶ γενόμενον ἄνθρωπον. Ὅτε τοίνυν προῆλθεν ἐκ κοιλίας τῆς ἑαυτοῦ μητρὸς, γεγέννηται γὰρ ἐξ αὐτῆς τὸ κατὰ σάρκα, τότε καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ. Ἀνάρμοστον οὖν ἄρα τῷ Θεῷ Λόγῳ πρὸ τῆς γεννήσεως τῆς κατὰ σάρκα φημὶ τὸ Χριστοῦ ὄνομα. Κεχρισμένος γὰρ οὔπω, πῶς ἂν λέγοιτο Χριστός; Ὅτε γὰρ προῆλθεν ἐκ κοιλίας μητρὸς ἄνθρωπος, τότε σύνδρομον τῇ κατὰ σάρκα γεννήσει δέχεται τὴν κλῆσιν. Τεθῆναι δέ φησι τὸ στόμα αὐτοῦ ὡσεὶ μάχαιραν ὀξεῖαν. Ἀληθὲς καὶ τοῦτο. Γέγραπται γάρ που περὶ αὐτοῦ, μᾶλλον δέ φησιν αὐτὸς ὁ προφήτης Ἡσαΐας· « Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευράς, καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ. » Τὸ γάρ C τοι θεῖον καὶ οὐράνιον κήρυγμα, τοῦτ' ἔστι, τὸ εὐαγγελικὸν, τὸ διὰ στόματος λαληθὲν τοῦ Χριστοῦ, μάχαιρα γέγονεν ὀξεῖά τε καὶ τομωτάτη κατὰ τῆς τοῦ διαβόλου τυραννίδος, ἀναιροῦσα τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, καὶ τὰ πνευματικὰ τῆς πονηρίας. Ἀπεσκέδασε γὰρ τὴν τῆς ἀπάτης ἀχλὺν, καὶ ταῖς ἁπάντων καρδίαις τὴν τῆς ἀληθοῦς θεογνωσίας ἐνῆκεν αὐγήν· μετεσκεύασε γὰρ τὴν ὑπ' οὐρανὸν εἰς εὐσεβῆ πολιτείαν, καὶ εὐαγῶν ἐπιτηδευμάτων πάντας ἀπέφηνεν ἐραστὰς, ἀπεθέρισε τοῦ κόσμου τὴν ἁμαρτίαν, δικαιῶν τῇ πίστει τὸν ἀσεβῆ, καὶ Πνεύματος ἁγίου τοὺς προσιόντας ἀναπιμπλὰς, καὶ υἱοὺς αὐτοὺς ἀποφαίνων Θεοῦ, εὐσθενὲς αὐτοῖς, καὶ μαχιμώτατον ἐντιθεὶς τὸ φρόνημα, καὶ δοὺς αὐτοῖς τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, D ἵνα τοῖς ποτε κεκρατηκόσιν ἀντανιστάμενοι πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως τρέχωσι, παρεμποδίζοντος οὐδενός. Ὅτι δὲ τῆς τοῦ διαβόλου τυραννίδος ἀναιρετικὴ γέγονε τοῖς ἐπὶ τῆς γῆς, ἡ διὰ Χριστοῦ παίδευσίς τε καὶ μυσταγωγία, σαφηνιεῖ λέγων ὁ προφήτης Ἡσαΐας· Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν τὴν μεγάλην ἐπὶ τὸν δράκοντα τὸν ὄφιν σκολιὸν, καὶ ἀνελεῖ τὸν δράκοντα. Προσεπάγει δὲ, ὅτι Καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με. Καί φησι μὲν ἀνθρωποπρεπῶς, πλὴν τοῖς ἀρτίφροσι χαλεπὸν οὐδὲν, καὶ διὰ τούτων ἰδεῖν ἀχώριστον ὄντα τοῦ Θεοῦ καὶ Πατρὸς τὸν Υἱὸν,

pensatione quæ simul cum carne conjuncta est, sic illum denominans. Beatus vero angelus ex operatione et efficientia ei nomen imposuit; servavit enim populum suum : propterea vocatus est Servator. Siquidem quando hanc carnis generationem propter nos subiverat, angelorum copiæ pastoribus partum faustum et felicem annuntiarunt, dicentes : « Nolite timere : ecce enim evangelizo vobis hodie gaudium magnum, quod erit futurum omni populo, quia natus est hodie Servator, qui est Deus Dominus in civitate David [72]. » Itaque Emmanuel dictus est, quia Deus natura factus est nobiscum, id est, homo. Jesus autem quia servaturus erat orbem terrarum, Deus ipse et homo factus. Quando igitur prodiit e ventre suæ matris, ex ea enim natus est, quod ad carnem attinet, tunc etiam vocatum est nomen ejus. Parum enim congruens nomen est Christus DeoVerbo, ante nativitatem, quæ est, inquam, secundum carnem. Nondum enim unctus, quomodo Christus dici potest? Quando enim prodiit e ventre matris homo, tunc appellationem accipit carnali nativitati consentientem. Positum etiam sibi os dicit, velut gladium acutum. Verum quoque hoc est. Scriptum est enim de eo, imo dicit ipse propheta Isaias : « Et erunt 657 lumbi ejus succincti justitia, et latera involuta veritate. Et in spiritu per labia auferet impium [72*]. » Divina enim et cœlestis prædicatio, id est, evangelica, ore Christi enuntiata, gladius erat acutus et penetrantissimus [72**], contra diaboli tyrannidem, tollens rectores tenebrarum harum, et spiritualia nequitiæ [73]. Dissipavit enim erroris caliginem, et omnium cordibus veræ Dei cognitionis radium immisit, et orbem terrarum ad piam vitæ conversationem traduxit, omnesque sanctorum institutorum amatores reddidit, ac mundo peccatum quasi decussit atque demessuit, fide justificans impium, replens eos qui accedunt sancto Spiritu, eosque efficiens Dei filios, fortem et ad pugnam validissimum illis indens animum, dansque illis gladium Spiritus, id est, verbum Dei, ut, his qui quondam superiores erant resistentes, ad bravium supernæ vocationis currant, nullo obstante. Quod autem hæc disciplina et mystagogia per Christum diaboli tyrannidem in his qui in terra sunt everterit, declarabit propheta Isaias, dicens : Illo die inducet Deus gladium sanctum, magnum, super draconem serpentem obliquum, et draconem interficiet. Addit : Et sub protectione manus suæ abscondit me. Humano more loquitur; verum prudentibus nihil difficile etiam ex his verbis videre Filium a Deo et Patre non esse dividuum, et fuisse hominem factum. Ait enim fuisse sub protectione dextræ ejus ut subindicet naturæ suæ vim, quæ capi et expugnari non potest, sibi reservari, etiam si nostram conditionem subiverit. Nemo enim omnipotentem dexteram vincet : at, ut dixi, ratione et mensura humanitatis Verbum separatum est. Est enim Verbum a Deo Patre for-

[72] Luc. II, 10, 11. [72*] Isa. XI, 5. [72**] Hebr. IV, 12. [73] Ephes. VI, 12.

tissimum, et ipse est Dominus exercituum. Quia vero factus est homo, non dedecorat Pater virtutem mysterii, sed dispensationem confirmat, et de eo inquit lyra Psallentis : « Non proficiet inimicus in eo, et filius iniquitatis non perget malis afficere eum. Et concidam a conspectu ejus inimicos ejus, et qui oderunt eum in fugam vertam : et veritas mea, et misericordia mea cum eo [73*]. » Vide igitur, vide etiam illum humano more prophetica **658** voce loquentem, qui propter nos nostri similis fuit : Sub protectione manus suæ abscondit me. Posuit me, inquit, velut sagittam electam, et in pharetra sua contexit me. Complures enim fuerunt sagittæ Dei, suis temporibus, in sua præscientia, tanquam in pharetra absconditæ, suo quæque convenienti tempore productæ. Sed electa et supra omnes erat, Christus, abscondita, ut dixi, in præscientia Patris, velut in pharetra. Præscitus enim fuit ante constitutionem mundi, productus vero in medium, quando totam terram oportebat invisere, quæ in interitum et exitium ceciderat, eo quod creaturæ supra Creatorem serviret, et immundis subjaceret spiritibus, et peccati laqueis illigata fuerit. Hæc sagitta electa, uti dixi, ipsum Satanam interimet, et potestates malas quæ cum ipso sunt. Interimet similiter hostes veritatis, et qui sacrosanctis ejus prædicationibus impie restiterunt. Quin et aliter vulnerat, ad utilitatem et salutem. Sic enim in Cantico canticorum ait percussa sponsa : « Vulnerata ego sum amore [74]. » Dixitque mihi, inquit, scilicet Pater : Servus meus es tu, Israel, et in te glorificabor. O profunditatem divitiarum et sapientiæ et scientiæ Dei! quemadmodum scriptum est [74*]. Erat enim et est liber Filius, ut qui arcano modo ortus sit ex essentia quæ est tanquam regina omnium. Verum audivit Patrem dicentem : Servus meus es tu. Itaque Verbum natura liber, dispensatione carnali et secundum carnem intellecta, formatur servus : ut rursus cogites ejus de muliere secundum carnem nativitatem in tempore. Israelem fuisse dicit eum, quod fuerit natus ex sanguine Israel, quod ad carnem attinet; sed etiam, inquit, in te glorificabor. Glorificatus enim erat universorum Deus etiam per prophetas sanctos, sed non in illis. In Christo autem inconsueto et inusitato modo : ut qui in illo glorificatus fuerit. Et Christo glorificato, Pater in ipso glorificatur. Videmus in illo relucentem eum per divinam auctoritatem, ac potentiam, et energiam in omnibus, per sanctificationem, et justitiam, et omnimodam clementiam. Exprimitur enim sic intelligibiliter Divinitas. Siquidem Christus etiam dixit : « Qui vidit me, vidit Patrem meum [75]. » Dixitque sapientissimus Paulus, in persona Christi glorificari eum qui genuit. **659** Itaque inquit : In te glorificabor. Flectet enim se Filio etiam in carne nato, omne genu, cœlestium, terrestrium et subterraneorum, et omnis lingua confitebitur quia Dominus Jesus

A καὶ ὅτι γέγονεν ἄνθρωπος. Ὑπὸ σκέπην γὰρ εἶναί φησι τῆς δεξιᾶς αὐτοῦ, ἵνα τὸ ἄληπτον, καὶ ἀκαταγώνιστον τῆς ἑαυτοῦ φύσεως ὑπεμφαίνῃ σωζόμενον αὐτῷ, καὶ εἰ γέγονεν ἐν τοῖς καθ' ἡμᾶς. Κατισχύσει γὰρ τῆς πανσθενοῦς δεξιᾶς οὐδεὶς, κεχώρισται δὲ, ὡς ἔφην, ὁ Λόγος τοῖς τῆς ἀνθρωπότητος μέτροις. Ἔτι μὲν γὰρ παναλκὴς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ αὐτός ἐστιν ὁ τῶν δυνάμεων Κύριος. Ἐπειδὴ γέγονεν ἄνθρωπος, οὐκ ἀτιμάζων ὁ Πατὴρ τοῦ μυστηρίου τὴν δύναμιν, συγκαθίσταται τῇ οἰκονομίᾳ, καί φησι πρὸς αὐτοῦ διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτὸν, καὶ συγκόψω ἀπὸ προσώπου τοὺς ἐχθροὺς αὐτοῦ. Καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός B μου μετ' αὐτοῦ. » Ἄθρει δὴ οὖν, ἄθρει, καὶ διὰ τῆς τοῦ προφήτου φωνῆς, ἀνθρωποπρεπῶς λέγοντα τὸν δι' ἡμᾶς, καθ' ἡμᾶς· Ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με. Ἔθηκέ με, φησὶν, ὡς βέλος ἐκλεκτὸν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἐσκέπασέ με. Πλεῖστα μὲν γὰρ τὰ τοῦ Θεοῦ βέλη γεγόνασι, κατὰ καιροὺς καθάπερ ἐν φαρέτρᾳ κρυπτόμενα τῇ προγνώσει αὐτοῦ, προκομισθέντα δὲ κατὰ τὸν ἑκάστῳ πρέποντα καιρὸν, ἐκλεκτὸν δὲ βέλος καὶ ὑπὲρ πάντα, Χριστὸν κρυπτόμενον μὲν, ὡς ἔφην, ὡς ἐν φαρέτρᾳ τῇ προγνώσει τοῦ Πατρός. Προεγνώσθη γὰρ πρὸ καταβολῆς κόσμου, παρενεχθὲν δὲ εἰς μέσον, ὅτε καὶ ἐχρῆν ὅλην ἐπισκέψασθαι τὴν γῆν, πεσοῦσαν εἰς ὄλεθρον, καὶ ἀπώλειαν διὰ τοῦ λατρεύειν τῇ κτίσει, παρὰ τὸν κτίσαντα, καὶ τοῖς ἀκαθάρτοις ὑποκεῖσθαι C πνεύμασι, καὶ τοῖς τῆς ἁμαρτίας ἐνδεδέσθαι βρόχοις. Τοῦτο τὸ ἐκλεκτὸν βέλος, ἀναιρεῖ μὲν, ὡς ἔφην, τὸν Σατανᾶν αὐτὸν, καὶ τὰς σὺν αὐτῷ δυνάμεις πονηράς. Ἀναιρεῖ δὲ ὁμοίως τοὺς τῆς ἀληθείας ἐχθροὺς, καὶ τοῖς ἱεροῖς αὐτοῦ κηρύγμασιν ἀνοσίως ἀνθεστηκότας. Τιτρώσκει δὲ καὶ ἑτέρως εἰς ὄνησίν τε καὶ σωτηρίαν. Οὕτω γάρ φησιν ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων πληττομένη νύμφη, ὅτι « Τετρωμένη ἀγάπης ἐγώ εἰμι. » Εἶπε δέ μοι, φησὶν, ὁ Πατὴρ, δῆλον δὲ ὅτι Δοῦλός μου εἶ σὺ, Ἰσραὴλ, καὶ ἐν σοὶ δοξασθήσομαι. Ὢ βάθος πλούτου τε καὶ σοφίας, καὶ γνώσεως Θεοῦ! κατὰ τὸ γεγραμμένον. Ἦν μὲν γὰρ, καὶ ἔστιν ἐλεύθερος ὁ Υἱὸς, ὡς ἐκ τῆς βασιλευούσης πάντων οὐσίας ἀναφὺς ἀποῤῥήτως. Ἀλλ' ἤκουσε τοῦ Πατρὸς λέγοντος· Δοῦλός μου εἶ σύ. Οὐκοῦν ὁ ἐλεύ- D θερος κατὰ φύσιν Λόγος πράττεται δοῦλος δι' οἰκονομίας σαρκικῆς, ἤγουν τῆς κατὰ σάρκα νοουμένης, ἵνα πάλιν ἐννοῇς τὴν ἐκ γυναικὸς ἐν χρόνῳ κατὰ σάρκα γέννησιν αὐτοῦ. Ἰσραὴλ δὲ αὐτὸν γενέσθαι ὀνομάζει, διά τοι τὸ ἐξ αἵματος Ἰσραὴλ γενέσθαι κατὰ σάρκα· ἀλλὰ Καὶ ἐν σοὶ, φησὶ, δοξασθήσομαι. Ἐδοξάσθη μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς, καὶ διὰ προφητῶν ἁγίων, πλὴν οὐκ ἐν αὐτοῖς. Ἐν Χριστῷ δὲ ξένως, καὶ ἀσυνήθως. Ἐδοξάζετο γὰρ ἐν αὐτῷ. Δοξαζομένου δὲ Χριστοῦ, ὁ Πατὴρ ἐν αὐτῷ δοξάζεται. Ὁρῶμεν αὐτὸν ἐν αὐτῷ διαπρέποντα, διὰ τῶν θεοπρεπῶν ἀξιωμάτων καὶ τῆς κατὰ πᾶν ὁτιοῦν ὀυ.ά-

[73*] Psal. LXXXVIII, 23-25. [74] Cant. IV, 9. [74*] Rom. XI, 33. [75] Joan. XIV, 9.

μεώς τε καὶ ἐνεργείας, ἁγιασμοῦ καὶ δικαιοσύνης, καὶ ἡμερότητος τῆς εἰσάπαν. Εἰδοποιεῖται γὰρ νοητῶς τὸ Θεῖον οὕτως. Καὶ γοῦν ἔφη Χριστός· « Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα μου. » Ἔφη δὲ καὶ ὁ πάνσοφος Παῦλος ἐν προσώπῳ Χριστοῦ δοξάζεσθαι τὸν γεννήσαντα. Οὐκοῦν ἐν σοὶ, φησὶ, δοξασθήσομαι. Κάμψει γὰρ τῷ Υἱῷ, καὶ ἐν σαρκὶ πεφηνότι, πᾶν γόνυ, καθὰ γέγραπται, ἐπουρανίων τε καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.

A Christus est in gloria Dei Patris, sicuti scriptum est [76].

Καὶ ἐγὼ εἶπα· Κενῶς ἐκοπίασα, καὶ εἰς μάτην, καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου. Διὰ τοῦτο ἡ κρίσις μου παρὰ Κυρίῳ, καὶ ὁ πόνος μου ἐναντίον τοῦ Θεοῦ μου.

VERS. 4. *Et ego dixi : Frustra laboravi et in vanum, in nihilum dedi fortitudinem meam. Propterea judicium meum apud Dominum, et labor meus coram Deo meo.*

Ἐπέφανεν ὁ τῶν ὅλων μὲν Σωτὴρ, ἵνα πᾶσαν ἀπαλλάξῃ τὴν ὑπ' οὐρανὸν, τῆς τοῦ διαβόλου σκαιότητος, καὶ θανάτου, καὶ ἁμαρτίας, καὶ χαρίσμασιν ἱεροῖς λελαμπρυσμένους τοὺς προσιόντας αὐτῷ διὰ B τῆς πίστεως. Κέκληνται δὲ πρὸς τοῦτο καὶ πρό γε τῶν ἄλλων οἱ ἐξ αἵματος Ἰσραήλ· προτετίμηντο δὲ οὕτως τῶν ἐθνῶν ὥστε φάναι τὸν Ἰησοῦν· « Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Οἱ δὲ τὴν οὕτως εὐκλεᾶ καὶ ἐξαίρετον λαχόντες τιμὴν, ἄπιστοι γεγόνασι, καὶ ἀποστάται θρασεῖς, καὶ ἀτιμαγέλαι δεινοὶ καὶ ἀγέρωχοι. Καίτοι δέον ἀσμενέστατα προσελθεῖν τῇ χάριτι, καὶ κατακερδᾶναι τὴν πίστιν, καὶ τὰ ἐξ αὐτῆς ἀγαθὰ, τοῦτο μὲν οὐκ ἔδρων, πόθεν; ἀντανίσταντο δὲ, καλοῦντι πρὸς σωτηρίαν δυσφημοῦντες ἀφυλάκτως, ἀκαθέκτως λοιδοροῦντες· καὶ τί γὰρ οὐ τῶν δεινῶν ἀποφθεγγόμενοι ἀνέδην, καὶ τελευταῖον ἐσταύρωσαν. Οὐκοῦν τό γε ἧκον εἰς τὸ τῶν ἀπειθούντων ἀπηνὲς, C καὶ τὴν ἐκτόπως αὐτοῖς μελετηθεῖσαν ἀντιλογίαν, κενῶς κεκοπίακεν ὁ Σωτὴρ, καὶ εἰς μάταιον, καὶ εἰς οὐδὲν ἔδωκε τὴν ἰσχὺν αὐτοῦ. Οὐ γὰρ ἠνέσχετο, καθάπερ ἔφην ἀρτίως, τῶν ἱερῶν αὐτοῦ κηρυγμάτων ὁ ἀπόπληκτος Ἰσραήλ· οὐ τετίμηκεν αὐτοῦ τὸν κόπον. Κόπος γὰρ ἦν τῷ Λόγῳ τὸ γενέσθαι καθ' ἡμᾶς, καὶ τῆς ἀνθρωπίνης ἀνασχέσθαι μικροπρεπείας. Ἀλλ' ἡ κρίσις μου, φησὶν, ὁ Πατὴρ, οὓς δεδαπάνηκα πόνους ὑπέρ γε τῆς αὐτῶν σωτηρίας. Διὰ τοῦτο, καὶ ἡ κρίσις ἐξενήνεκται παρ' αὐτοῦ. Ποία δὲ ἡ κρίσις ἦν; Ἐκβέβληνται τῆς πρὸς αὐτὸν οἰκειότητος, ἐξώσθησαν τοῦ εἶναι λαὸς Θεοῦ, ἀμέτοχοι γεγόνασι τῆς παρ' αὐτοῦ σωτηρίας, ἄγευστοι μεμενήκασι τῆς τῶν ἁγίων ἐλπίδος, εἰσκέκληνται δὲ ἀντ' ἐκείνων τῶν ἐθνῶν ἡ πληθύς. Καὶ ἀντὶ τῶν παρ' αὐτοῖς ποιμένων, D ἕτεροι κεχειροτόνηνται δίκαιοι, καὶ θεοφιλεῖς, καὶ σπουδασμάτων εὐαγῶν ἐπιμεληταὶ, καὶ λαῶν ἡγεῖσθαι δυνάμενοι φωστῆρες ἐν κόσμῳ λόγον ἐπέχοντες ζωῆς, καθά φησιν ὁ πάνσοφος Παῦλος. Βούλει τὴν κρίσιν ἰδεῖν τοῦ Πατρὸς, ἤτοι τὴν ἐπ' ἐκείνοις ψῆφον, ἄκουε τοῦ Σωτῆρος λέγοντος τοῖς τῶν Ἰουδαίων καθηγηταῖς· « Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. » Εἶτά φησιν· « Πέπομφε δούλους ἀποληψομένους τοὺς καρποὺς, καὶ πάντες κεκινδυνεύκασιν. Ἐπειδὴ δὲ ὕστε-

Apparuit universorum Servator, ut totum orbem terrarum a diaboli malitia, a morte et a peccato liberaret, et sanctis charismatis illustraret eos qui per fidem ad ipsum accedunt. Vocati sunt autem ad hoc ante alios orti ex sanguine Israelis, et sic honore præpositi gentibus, ut dicat Jesus : « Non sum missus nisi ad oves perditas domus Israel [76*] ; » præcipiatque sanctis apostolis, in viam gentium ne abeant, et in civitatem Samaritanorum ne ingrediantur, sed proficiscantur ad oves perditas domus Israel [77]. Sed hi adeo inclytum et eximium honorem sortiti, infideles facti sunt, et apostatæ audaces, et gregis contemptores, diri et superbi. Cumque oportuisset libentissime ad gratiam hanc accedere, et fidem ejusque bona lucrifacere, hoc neutiquam fecerunt, sed vocanti ad salutem restiterunt, temere insectantes, et intemperanter subsannantes. Quid enim grave non obloquebantur impudenter? et ad extremum crucifixerunt. Itaque quod ad infidelium sævitiam, et ad contradictionem quam illi turpiter meditati sunt, attinet, frustra laboravit Servator, et in vanum et in nihilum dedit fortitudinem suam. Non enim pati potuit, ut jam dixi, sacram ejus prædicationem stupidus Israel, nec laborem ejus honori habuit. Labor enim erat Verbo, ut nostram conditionem susciperet et ad humanam parvitatem se demitteret. Sed, inquit, judicium meum apud Dominum, et labor meus coram Deo meo. Novit, inquit, Pater quos labores consumpsi pro salute eorum. Propterea etiam judicium ab illo prolatum est. Quale erat judicium? Ejecti sunt a conjunctione quæ cum illo est, depulsi sunt, ne fiant populus Dei, expertes facti sunt salutis ejus, nec sanctorum spem gustarunt, ac loco eorum vocata est gentium multitudo. Et pro illorum pastoribus creati sunt alii justi, et Deo grati, et sanctorum studiorum candidati, et qui populis præesse norunt, lumina in mundo, sermonem habentes vitæ, quemadmodum **660** sapientissimus Paulus inquit [77*]. Vis judicium videre Patris, et sententiam in illos latam, audi Servatorem dicentem præfectis Judæorum : « Homo quidam erat paterfamilias, qui plantavit vineam, et sepem ei circumdedit, ac fodit in ea torcular, et ædificavit turrim, locavitque eam agricolis, et peregre profectus est [78]. » Ait deinde :

[76] Philipp. II, 10, 11. [76*] Matth. XV, 24. [77] Matth. X, 5, 6. [77*] Philipp. II, 15, 16. [78] Matth. XXI, 33.

« Emisit servos ut caperent fructus; et omnes in pericula adducti sunt. Postquam etiam deinceps misisset filium, etiam illum conspicati quisque inter se dixerunt: Hic est hæres: venite, occidamus illum, et occupemus nobis ipsis hæreditatem ejus. Et quidem occiderunt. » Hanc parabolam cum illis dixisset, rursus introducitur Dominus dicens: « Quando igitur venerit dominus vineæ, quid faciet illis agricolis? Cui illi: Malos male perdet, et vineam locabit aliis, qui reddant ei fructus tempore suo. Ad hæc dicit Christus: Propterea dico vobis: Tolletur a vobis regnum cœlorum, et dabitur genti alteri, fructus ejus edituræ [79]. » Quod tandem accidit. Constituti enim sunt alii vinearum curatores, et sapientes agricolæ, id est, divini discipuli. Sub his pluviam nubes demiserunt, etiamsi jussæ fuerint ne amplius Judaicam vineam irrigarent. Sub his non spinas, sed uvam vindemiavit Christus. Docemur enim dicere: « Dominus dabit bonitatem, et terra nostra dabit fructum suum [80]. » Posset quis aliter etiam dicere, fuisse præ oculis Patris laborem Filii, et rectum exivisse judicium. Observa mihi iterum vim sermonis, ac considera dispensationem quam nobis quoque sapientissimus Paulus explicat, dicens: « Cum esset in forma et æqualitate Patris Filius, non rapinam arbitratum esse æqualem Deo, sed exinanivisse seipsum, et obedientem fuisse Patri, usque ad mortem, et quidem mortem crucis: hac de causa superexaltatum esse, nomenque ei donatum, super omne nomen, ut in nomine ejus omne genu se flecteret [81]. » Erat enim et est Deus Verbum; sed postquam nuncupatus est homo, et hoc vere factus esset, in gloriam suam cum carne ascendit. Pro Deo enim agnitus est, nec incassum laboravit. Nam hoc dispensationis genus ei cessit in gloriam: non **661** ut insolens quiddam et peregrinum se redderet, sed ut orbis terrarum Servatorem et redemptorem se declararet. Quo etiam cognito, effectum est ut cœli, et terra, et etiam inferiora ei procumberent.

VERS. 5, 6. *Et nunc sic dicit Dominus qui formavit me ab utero servum sibi, ut congregarem Jacob et Israel. Ad eum congregabor, et glorificabor coram Domino: et Deus meus erit mihi fortitudo. Et dixit mihi: Magnum tibi est, ut voceris puer meus, ut suscites tribus Jacob, et dispersionem Israel convertas.*

Dicimus etiam hic Dominum Jesum Christum nihilominus humanis verbis usum esse, etiamsi maximum pietatis mysterium exponat, et modum exinanitionis aperiat. Observa enim quo pacto, cum natura et vere sui juris sit, formasse dicat eum servum sibi, verumtamen ab utero. Non enim cum nudum esset, et carnem non haberet Verbum, in ser-

ρον ἀπέστειλε τὸν υἱὸν, καὶ αὐτὸν ἑωρακότες, φησὶν, εἶπον· Οὗτός ἐστιν ὁ κληρονόμος ἐν ἑαυτοῖς, δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν ἑαυτοῖς τὴν κληρονομίαν αὐτοῦ. Καὶ δὴ καὶ ἀπεκτόνασι. » Ταύτης ῥηθείσης αὐτοῖς τῆς παραβολῆς, εἴρηται πάλιν ὁ Κύριος λέγων· « Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Οἱ δὲ πρὸς αὐτόν· Κακῶς κακοὺς ἀπολέσει αὐτοὺς, καὶ τὸν ἀμπελῶνα ἐκδώσει ἑτέροις, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Καὶ πρός γε ταῦτά φησιν ὁ Χριστός· Διὰ τοῦτο λέγω ὑμῖν, ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ δοθήσεται ἔθνει ἑτέρῳ ποιοῦντι τοὺς καρποὺς αὐτῆς. » Ὃ δὴ καὶ εἰς πέρας ἐνήνεκται. Τέθεινται γὰρ ἕτεροι τῶν ἀμπελώνων μελεδωνοὶ, καὶ σοφοὶ γηπόνοι, τοῦτ' ἔστιν, οἱ θεσπέσιοι μαθηταί. Ἐπὶ τούτων ὑετοὺς ἡμῖν αἱ νεφέλαι καθῆκαν, καίτοι τὸν Ἰουδαϊκὸν ἀμπελῶνα μηκέτι κατάρδειν κεκελευσμέναι. Ἐπὶ τούτων οὐκ ἀκάνθας μᾶλλον, ἀλλὰ σταφυλὴν τετρύγηκεν ὁ Χριστός. Δεδιδάγμεθα γὰρ λέγειν, ὅτι « Ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. » Φαίη δ' ἄν τις, καὶ ἑτέρως, ὅτι γέγονεν ἐν ὀφθαλμοῖς τοῦ Πατρὸς ὁ πόνος τοῦ Υἱοῦ, καὶ κρίσις ἐκβέβηκεν ὀρθή. Καί μοι πάλιν ἄθρει τοῦ λόγου τὴν δύναμιν, ἐννοήσας τὴν οἰκονομίαν, ἣν καὶ αὐτὸς ἡμῖν ὁ πάνσοφος Παῦλος διατρανοῖ λέγων· « Ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς ὄντα τὸν Υἱὸν, οὐχ ἁρπαγμὸν ἡγήσασθαι τὸ εἶναι ἴσα Θεῷ, ἑαυτὸν δὲ κενῶσαι, καὶ ὑπήκοον γενέσθαι τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· ταύτης τε ἕνεκα τῆς αἰτίας ὑπερυψοῦσθαί τε καὶ τὸ ὄνομα αὐτῷ χαρισθῆναι τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι αὐτοῦ πᾶν γόνυ κάμψῃ. » Ἦν μὲν γὰρ, καὶ ἔστι Θεὸς Λόγος. Ἐπειδὴ δὲ κεχρημάτικεν ἄνθρωπος, καὶ γέγονε τοῦτο κατὰ ἀλήθειαν, εἰς τὴν ἑαυτοῦ δόξαν ἀναβέβηκε μετὰ σαρκός. Ἐγνώσθη γὰρ ὅτι Θεός ἐστι, καὶ πεπόνηκεν οὐκ εἰκῇ. Γέγονε γὰρ εἰς δόξαν αὐτῷ τῆς οἰκονομίας ὁ τρόπος, οὐκ εἰς εὐηθές τι, καὶ ξένον ἀνατιθεὶς αὐτὸν, ἀλλὰ Σωτῆρα, καὶ Λυτρωτὴν ἀποφήνας τῆς ὑπ' οὐρανὸν, ὃ δὴ καὶ γνωσθὲν προσπεσεῖν αὐτῷ παρεσκεύασεν οὐρανόν τε καὶ γῆν, καὶ τὰ ἔτι κατώτερα.

Καὶ νῦν οὕτω λέγει Κύριος, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ, τοῦ συναγαγεῖν τὸν Ἰακὼβ καὶ τὸν Ἰσραήλ· Πρὸς αὐτὸν συναχθήσομαι, καὶ δοξασθήσομαι ἐναντίον Κυρίου, καὶ ὁ Θεός μου ἔσται μοι ἰσχύς. Καὶ εἶπέ μοι, Μέγα σοί ἐστι τὸ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακὼβ, καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι.

Οὐδὲν ἧττον ἐν τούτοις εἶναί φαμεν αὐτὸν τὸν Κύριον Ἰησοῦν τὸν Χριστὸν τὸν οὕτως ἀνθρωποπρεπέσι κεχρημένον φωναῖς, εἰ καὶ ὅτι μάλιστα τὸ μέγα τῆς εὐσεβείας διατρανοῖ μυστήριον, καὶ τὸν τῆς κενώσεως τρόπον καθίστησιν ἐναργῆ. Ἄθρει γὰρ ὅπως τὸν φύσει καὶ ἀληθῶς ἑαυτοῦ πλάσαι φησὶν αὐτὸν εἰς δοῦλον ἑαυτῷ, πλὴν ἐκ κοιλίας. Οὐ γὰρ

[79] Matth. XXI, 34-43. [80] Psal. LXVI, 6. [81] Philipp. II, 6-8.

τοι γυμνὸν ὄντα, καὶ ἄσαρκον ἔτι Λόγον, εἰς τὴν A τῆς δουλείας διάπλασιν ἐνεχθῆναί φησιν ἑαυτὸν, εὐδοκήσαντος τοῦτο τοῦ Θεοῦ, καὶ Πατρός· ἐκ κοιλίας δὲ μᾶλλον, τοῦτ' ἔστιν, ὅτε κατὰ σάρκα ἐγεννήθη ἐκ γυναικός. Τότε γὰρ Θεὸς φύσει, καὶ ἐλεύθερος, ὡς ἐκ Θεοῦ τε καὶ ἐλευθέρου Πατρὸς, τὴν τοῦ δούλου δέχεται μορφὴν, ἤτοι πλάσιν. Οὐ γάρ τοι φαίη τις ἂν, εἴ γε νοῦν ἔχοι, ὡς τὸ δοῦλον φύσει εἰς δουλείαν πλάττεται μᾶλλον, ἀλλ' ὁ δουλείας ἐπέκεινα, καὶ ζυγοῦ, καὶ τοῖς τῆς φυσικῆς ἐλευθερίας ἐμπρέπων αὐχήμασι δέχοιτο ἂν εἰκότως τὴν τοῦ δούλου πλάσιν, ἤτοι μορφήν. Ὅτι γὰρ ἐλεύθερος ὢν ὁ υἱὸς καθῆκεν ἑαυτὸν εἰς τοῦτο ἑκὼν, πῶς ἂν ἐνδοιάσειέ τις Παύλου λέγοντος, ἐν μορφῇ μὲν εἶναι αὐτὸν τοῦ Θεοῦ, ἡγεῖσθαι δὲ οὐχ ἁρπαγμὸν τὸ ἴσα εἶναι Θεῷ, ἀλλ' ἐκ τῆς κατὰ πᾶν ὁτιοῦν ἰσότητός τε καὶ ὁμοιό- B τητος, καθικέσθαι μὲν οὐκ ἀβουλήτως εἰς δούλου μορφὴν, ἐν ὁμοιώματι δὲ ἀνθρώπων γενέσθαι. Θεὸς γὰρ ἦν μετὰ τούτου, διέδειξε δὲ οὐδὲν ἧττον ἡμῖν τὸ φύσει τε καὶ ἀληθῶς ἐλεύθερον, καὶ οὐκ ἀνεθελήτως τὸ δοῦλον, ἐν τῇ τῶν διδράχμων συνεισφορᾷ. Ἤροντο μὲν γὰρ τὸν θεσπέσιον Πέτρον οἱ δασμολόγοι, πότερόν ποτε συνεισκομίζει τοῖς ἄλλοις Χριστὸς τὸ δίδραχμον, ἤγουν ἀπόβλητον ποιεῖται τὴν κατάθεσιν. Εἶτα πρὸς αὐτὸν ὁ Κύριος· « Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνος λαμβάνουσι τέλη, ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν ἑαυτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; » Διέποντος δὲ τοῦ μαθητοῦ τἀληθὲς, ἀπὸ γάρ τοι τῶν ἀλλοτρίων κομίζονται οἱ βασιλεῖς τὸ ταχθέν· « Ἄρα γε, φησὶν, ἐλεύθεροι οἱ υἱοί εἰσιν. Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, C καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. » Πλάττεται τοίνυν ὁ ἐλεύθερος κατὰ φύσιν εἰς δοῦλον οἰκονομικῶς, ὅτε καὶ ἐκ κοιλίας ἐγεννήθη τῆς κατὰ σάρκα μητρός. Καιρὸς γὰρ οὗτος ὁ πρέπων τοῖς τῆς κενώσεως μέτροις. Ὅτι δὲ διακονικῶς ἐπλάττετο, πεπληροφόρηκεν εἰπὼν, τοῦ συναγαγεῖν τὸν Ἰακὼβ, καὶ τὸν Ἰσραήλ. Καθίκετο γὰρ ἐν τοῖς καθ' ἡμᾶς Θεὸς ὢν ὁ Λόγος, οὐχ ἑτέρου του χάριν, πλὴν ὅτι τοῦ διασῶσαι τὸν Ἰσραὴλ, καὶ συναγαγεῖν τὸν Ἰακώβ. Κατεσκέδασε μὲν γὰρ ἅπαντας τοὺς ὄντας ἐπὶ τῆς γῆς ὁ φαυλότητος ἁπάσης εὑρετὴς εἰς πολυειδῆ, καὶ πολύμορφον ἁμαρτίαν. Τοὺς μὲν γὰρ ἀπέστησεν ὁλοτρό- D πως τοῦ κτίσαντος, ἑαυτῷ τε καὶ τοῖς ἀκαθάρτοις δαίμοσιν ὑποκεῖσθαι παρασκευάσας, καὶ δυσδιάφυκτον αὐτοῖς τὸν τῆς ἁμαρτίας ἐπιῤῥίψας ζυγὸν, καὶ ἀποστήσας εἰς ἅπαν τοῦ, καὶ εἰδέναι τίς ὁ φύσει τῶν ὅλων ἐστὶ Θεὸς Κύριος. Τοὺς δὲ τὸν Μωσέως νόμον ἔχοντας βραβευτὴν τῶν πρακτέων, ῥαθύμους, καὶ ἀναπεπτωκότας ἀπέφηνε, πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀπενεγκὼν, ὡς ὀλίγον μὲν τοῦ νόμου ποιεῖσθαι λόγον κομιδῇ, πράττεσθαι δὲ μᾶλλον εἴς γε τὸ ἑκάστῳ δοκοῦν, καὶ διδάσκει διδασκαλίας ἐντάλματα ἀνθρώπων. Ἐπειδὴ δὲ ἐπέφανε τῷ κόσμῳ Χριστὸς συνήχθη διὰ πίστεως εἰς μίαν καὶ ὀρθὴν, καὶ ἀνεπί-

A vitutem se formatum et redactum ait, postquam hoc Deo et Patri collibuisset, sed ab utero potius, id est, quando secundum carnem natus esset de muliere. Tum enim Deus natura et liber, utpote ex Deo et libero Patre, servi speciem seu formam accipit. Nemo enim mentis compos dixerit servum natura in servitutem formari; sed qui extra servitutem erat et jugum, ac naturalis libertatis insignibus illustris, merito potest servi formationem sive figuram capere. Nam quod liber et filius se hunc volens submittit, quis dubitaverit, cum dicat Paulus, in forma Dei fuisse, nec rapinam duxisse æqualem se esse Deo, sed ab hac in omnibus rebus æqualitate et similitudine, non libenter ad hanc servi formam devenisse, et ad hominum factum esse similitudinem [80*]. B Deus enim erat cum illo, nihilominus tamen nobis ostendit in collatione didrachmorum, se natura et vere liberum, voluntate autem servum. Interrogabant enim divinum Petrum exactores, utrum cum aliis Christus didrachma conferret, an recusaret contribuere. Tum ei ait Dominus: « Reges terræ a quo tributa exigunt, vel censum? a filiis suis, an ab alienis [81]? » Discipulo autem quod verum erat dicente, ab alienis **662** exigunt reges tributum: « Ergo, » inquit, » liberi sunt filii. Sed ne eos offendamus, abi ad mare, et hamum jacito, et qui primus ascenderit piscis, eum tollito, et aperto ejus ore, staterem invenies: eum capito, et illis pro me ac te dato. » Formatur itaque natura liber, in servum dispensatione, quando natus erat ab utero ma- C tris secundum carnem. Tempus enim illud erat mensuræ exinanitionis congruens. Quod autem in ministri modum formatus sit, fidem facit, cum ait: Ut congregarem Jacob et Israel. Nostram enim induit naturam Deus Verbum, non ob aliud nisi ut servaret Israelem et congregaret Jacob. Dissipavit enim omnes qui sunt in terra, omnis vitiositatis inventor, in multiplex et multiforme peccatum. Alios enim in totum deficere fecit a Creatore, et sibi et impuris dæmonibus subjecit, et inevitabile jugum peccati illis injecit, omninoque abduxit, ut quis esset natura universorum Deus ac Dominus ignorarent. Alios autem, qui legem Mosaicam haberent, rerum agendarum arbitram, pigros et resides effe- D cit, et ad omnem pertraxit turpitudinem, ut exiguam admodum rationem legis habuerint, sed quod cuique visum erat, fecerint, ac doctrinas mandata hominum docuerint. Sed ubi Christus apparuit mundo, congregata sunt per fidem in unam et rectam et inculpatam sententiam quæ Satanas dissipaverat, et qui olim a dilectione Dei recesserant ad illum accurrerunt, et peccato inimicitiæ causa, præ studio rerum bonarum, a tergo rejecto, apud Christum pacem habent. Exhortati sunt enim eos etiam divini prophetæ, ut huc mature tenderent. Nimirum Isaias: Ineamus, inquit, pacem, cum illo, ineamus pacem venientes. Clamarunt etiam divini discipuli

[80*] Philipp. II, 6 seqq. [81] Matth. XVII, 24 seqq.

« Pro Christo igitur legatione fungimur, tanquam Deo exhortante per nos : per Christum rogamus, reconciliamini Deo [82]. » Cum Deo autem reconciliamur, quando ad Christum per fidem accedimus, quemadmodum iterum sanctissimus Paulus inquit : « Deus erat in Christo, mundum reconcilians sibi ipsi [82*]. » In Christo namque mundus Deo reconciliatur. Itaque ministerium humanitatis declarat, 663 cum ait, in servum formatum esse se a Patre, ab utero, ut congreget Israelem et Jacob. Quod si quis dicat gentem Judaicam his verbis denotari, a scopo ille quidem non aberraverit. Dixit enim alicubi Christus : « Non sum missus nisi ad oves perditas domus Israel[82**]. » Sin quis voluerit omnes per fidem servatos, Israelem et Jacobum nominare, sic etiam recte habet. Siquidem verum est, non solum esse Judæum qui in manifesto est : nec eam circumcisionem quæ in carne est, dici posse vere circumcisionem : sed Judæum esse qui in occulto est, et qui circumcisionem habet cordis, in spiritu, non littera, cujus laus non ab hominibus est, sed a Deo. Quod si igitur Judæus sit, qui spiritu habet circumcisionem, non competit in quemquam istorum, ut Israel vel Jacob nominetur [83]. Ad hunc sermonem adjecta est vox eorum qui per fidem vocati sunt, fidem suam interponentium ac pollicitantium. Ad ipsum congregabor, et glorificabor coram Domino. Et Deus meus erit mihi fortitudo. Nam hoc fieri jubet Deus, et simul propemodum jussorum hoc in loco commemoratorum finis venit. Servatus est enim non totus Israel, sed quidam non crediderunt, et propter suam nequitiam evangelicæ doctrinæ gratiam non admiserunt. Vocata est autem simul cum reliquiis multitudo gentium ; hi etiam in filiis Abrahæ numerantur, ita ut, quantum ad dispensationem, scopus illius adventus nunquam frustretur. Congregatus est enim omnis, si quis est Israel, et etiam Jacob sicuti jam illa verba sunt ante nobis exposita. Promittit itaque in Christo vocatus populus, quod ad Deum congregabitur, videlicet per fidem, et quod coram Deo glorificabitur, illustrem adoptionis gloriam lucratus, et divinæ naturæ particeps, et sancto Spiritu ornatus, et factus optimorum institutorum sectator, et etiam quod Deum credet suam esse fortitudinem. Sic enim affici eos par est qui salutem ab eo expetunt. Adjungit porro his : Et dixit mihi : Magnum tibi est, ut voceris puer meus, suscites tribus Jacob et dispersionem Israelis convertas. Si fas sit loqui humano more, non sinit Filium Pater remisse et cunctanter obire dispensationem, nec servilis 664 formæ humilitatem carere patitur suo præmio, sed fructuosum hoc munus reddit, et hanc abjectionem non irremuneratam relinquit, et dispensationis onus non erit absque admiratione, quin et gloriosum fiet, etiamsi ingloriun videatur. Erat enim humile plane Verbo ex Deo nato ut vocaretur puer, id est, famu-

πληκτον γνώμην. ἃ κατεσκέδασεν ὁ Σατανᾶς, καὶ οἱ πάλαι τῆς πρὸς Θεὸν ἀγάπης ἀποφοιτήσαντες προσδεδραμήκασιν αὐτῷ, καὶ τὴν ἐχθροποιὸν ἁμαρτίαν σπούδασμα τῶν ἀγαθῶν ῥιπτοῦντες κατόπιν, εἰρηνεύουσι πρὸς Χριστόν. Προὔτρεπον μὲν γὰρ αὐτοὺς, καὶ οἱ θεσπέσιοι προφῆται γοργῶς ἰέναι πρὸς τοῦτο. Ἡσαΐας γοῦν, Ποιήσωμεν εἰρήνην αὐτῷ, φησὶ, ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι. Ἐκέκραγον δὲ καὶ οἱ θεσπέσιοι μαθηταί· « Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. » Πρὸς Θεὸν δὲ ποιούμεθα τὰς καταλλαγὰς, ὅτε προσίεμεν τῷ Χριστῷ διὰ πίστεως. Ὡς γάρ αὐτός που πάλιν φησὶν ὁ ἱερώτατος Παῦλος· « Θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ. » Ἐν γὰρ Χριστῷ κόσμος τῷ Θεῷ καταλλάττεται. Οὐκοῦν ἐναργῆ τῆς ἐνανθρωπήσεως τὴν διακονίαν καθίστησι λέγων, εἰς δοῦλον πεπλᾶσθαι παρὰ τοῦ Πατρὸς ἐκ κοιλίας, ἵνα συναγάγῃ τὸν Ἰσραὴλ, καὶ τὸν Ἰακώϐ. Κἂν εἰ μέν τις λέγοι τὸ τῶν Ἰουδαίων ἔθνος διὰ τούτων σημαίνεσθαι, οὐκ ἂν ἔξω διάττοι σκοποῦ. Ἔφη γάρ που Χριστός· « Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. » Εἰ δὲ δὴ βούλοιτο τοὺς διὰ πίστεως σεσωσμένους ἅπαντας, Ἰσραήλ τε καὶ Ἰακὼϐ ὀνομάζειν, εὖ ἂν ἔχοι, καὶ οὕτως. Εἴπερ ἐστὶν ἀληθὲς ὡς οὐ μόνον ἐστὶν ὁ Ἰουδαῖος ὁ ἐν τῷ φανερῷ, οὔτε μὴν ἐν σαρκὶ περιτομὴ, λέγοιτ' ἂν οὕτως περιτομή· Ἰουδαῖος δὲ μᾶλλον ὁ ἐν κρυπτῷ, καὶ περιτομὴν ἔχων καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος, οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ. Εἴγε τοίνυν Ἰουδαῖός ἐστιν ὁ πνεύματι περιτομὴν ἔχων, ἀπρὶξ εἶεν ἂν οὐδενὶ τῶν γε τοιούτων Ἰσραήλ τε καὶ Ἰακὼϐ ὀνομάζεσθαι. Παρεμϐέϐληται δὲ μεταξὺ τοῦ λόγου ὑπὸ τῶν διὰ πίστεως κεκλημένων, φωνὴ κατατιθεμένων, ὅτι καὶ πρὸς αὐτὸν συναχθήσομαι, καὶ δοξασθήσομαι ἐναντίον Κυρίου, καὶ ὁ Θεός μου ἔσται μοι ἰσχύς. Ἅμα γάρ τοι προστάττει γενέσθαι Θεὸς, καὶ μονονουχὶ τῶν κατὰ πόδας εἰρημένων τόπων προσταχθέντων ἔρχεται πέρας. Σέσωσται μὲν γὰρ οὐχ ἅπαξ ὁ Ἰσραὴλ, ἀλλ' ἠπίστησάν τινες διά γε τὴν σφῶν αὐτῶν μοχθηρίαν, τὴν τῶν εὐαγγελικῶν παιδευμάτων οὐ προσηκάμενοι χάριν. Συνεισκέκληται δὲ τῷ καταλείμματι τῶν ἐθνῶν ἡ πληθύς· οἳ καὶ εἰς τέκνα τέθεινται τοῦ Ἀϐραὰμ, ὥστε πανταχόθεν τό γε ἧκον εἰς οἰκονομίαν, μὴ ἀφαμαρτάνειν τῆς ἐπιδημίας τὸν σκοπόν· συνήχθη γὰρ ἅπας εἴ τίς ἐστιν Ἰσραὴλ, καὶ μέν τοί γε, καὶ Ἰακὼϐ, κατὰ τοὺς ἀρτίως ἡμῖν προαποδοθέντας λόγους. Ὑπισχνεῖται τοίνυν ὁ ἐν Χριστῷ κεκλημένος λαὸς, ὅτι καὶ συναχθήσεται πρὸς Θεὸν δηλονότι διὰ τῆς πίστεως, καὶ ὅτι δοξασθήσεται ἐναντίον τοῦ Θεοῦ, τὸ λαμπρὸν τῆς υἱοθεσίας ἀποκερδαίνων καύχημα, καὶ θείας φύσεως μέτοχος γεγονὼς, καὶ ἁγίῳ Πνεύματι κατηγλαϊσμένος, καὶ ἀρίστων ἐπιτηδευμάτων ἐπιμελητὴς ἀναδεδειγμένος, καὶ ὅτι Θεὸν ἡγήσεται τὴν ἑαυτοῦ ἰσχύν. Οὕτω γὰρ διακεῖσθαι πρέπει, τοὺς τῆς παρ' αὐτοῦ σωτηρίας, καὶ δόξης ἐφιεμένους. Προστάγει τούτοις·

[82] II Cor. 5, 20. [82*] Ibid., 19. [82**] Matth. xv, 24. [83] Rom. II, passim.

Καὶ εἶπέ μοι· Μέγα σοί ἐστι τὸ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακὼβ, καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι. Εἰ χρή τι καὶ ἀνθρωπίνως εἰπεῖν, οὐχ ἐᾷ τὸν Υἱὸν ὁ Πατὴρ κατοκνῆσαι τὴν οἰκονομίαν, οὔτε μὴν ἄμισθον τὸ μικροπρεπὲς τῆς τοῦ δούλου μορφῆς, ἀλλ' οἷον ἔγκαρπον ἀποφαίνει τὸ χρῆμα, καὶ οὐκ ἄμισθον τὴν ταπείνωσιν, καὶ τὸ τῆς οἰκονομίας φορτικὸν οὐκ ἐσόμενον ἔξω θαύματος, εὐκλεές τε πρὸς τοῦτο, καὶ τὸ ἀδοξῆσαι δοκεῖν. Ἦν μὲν γὰρ σμικρὸν ὁμολογουμένως, τῷ ἐκ τοῦ Θεοῦ φύντι Λόγῳ, τὸ κληθῆναι παῖδα, τοῦτ' ἔστιν, οἰκέτην. Δηλοῖ γὰρ τοὔνομα ποτὲ μὲν τὸν Υἱὸν, ποτὲ δὲ, ὡς ἔφην, τὸν οἰκέτην. Ἡ δέ γε τῶν ἐννοιῶν χρεία τοῦτό τε κἀκεῖνο, κατὰ τὸν ἑκατέρῳ πρέποντα καιρὸν εἰσκομίζεσθαι ποιεῖ. Ἐπειδὴ δὲ περὶ τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ λόγος ἐστὶ, πρέποι ἂν εἰκότως τὸν παῖδα νοεῖσθαι δοῦλον. Οὐκοῦν, κἂν εἰς μικρὸν, ὡς ἔφην, τῷ Υἱῷ τῆς δουλείας τὸ δυσκλεὲς, ἀλλ' ἦν ἑτέρως. Καὶ δὴ καὶ γέγονεν οὐ μικρὸν αὐτῷ· Δοξάζεται γὰρ παρὰ πάντων, ὡς ἁρπαγμὸν μὲν οὐχ ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ, καὶ τοῖς τῆς δουλείας ἐνομιλήσας τρόποις, καὶ καθιγμένος εἰς κένωσιν, ὑπομείνας τε σταυρὸν, καὶ τὰ ἐν αὐτῷ, καὶ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὴν ἑαυτοῦ ψυχὴν καταθεὶς, ἵνα καταλύσῃ τυραννίδα διαβολικὴν, καὶ τὰ τῶν δαιμονίων διελάσῃ στίφη τῆς καθ' ἡμῶν ἀφορήτου πλεονεξίας, ἵνα ἐκ μέσου ποιήσῃ τὴν ὀλεθροποιὸν ἁμαρτίαν, ἵνα καταργήσῃ θάνατον, καὶ τὴν τοῦ ἀνθρώπου φύσιν ἀναμορφώσῃ πρὸς τὸ ἀπ' ἀρχῆς, καὶ παραδῷ τῷ Θεῷ τὴν αὐτοῦ τε καὶ ἑαυτοῦ βασιλείαν, ὑπ' οὐδενὸς ἔτι τυραννουμένην, ἀποβάλλουσαν δὲ μᾶλλον τῆς ἑτέρων πλεονεξίας τὸν ζυγόν.

A lus. Denotat enim hoc nomen aliquando filium: aliquando etiam, ut dixi, famulum. Prout sententia postulat, poterit alterutrum horum suo tempore opportuno adhiberi. Quoniam autem sermo est de dispensatione in carne, apte conveniet nunc, ut puer intelligatur servus. Ergo, ut dixi, licet abjecta res Filio sit ignobilitas servitutis, aliter tamen se res habuit. Non enim parum erat illi ut qui ab omnibus glorificatur, quod cum non rapinam duxerit esse æqualem Deo, etiam servili more versatus hic fuerit, et ad hanc exinanitionem devenerit, crucemque ejusque mala subierit, et ad omnium vitam redimendam suam ipsius animam deposuerit, ut tyrannidem diabolicam aboleret, et dæmoniorum agmina ab intolerabili in nos violentia de- B turbaret, ut exitiosum peccatum de medio tolleret, ut mortem deleret, ut hominis naturam ad primam originem refingeret, et ejus suumque regnum Deo traderet, quod nullius postea tyrannide occuparetur, aliorumque violentiæ jugum potius excuteret.

Ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

Οὐκ ἠγνόησεν ὁ Πατὴρ τὸ τῶν Ἰουδαίων ἀπεσκληκὸς, καὶ ἀνουθέτητον φρόνημα, καὶ ὁλοτρόπως ἐκτετραμμένον εἰς τὸ ἐξήνιον. Προσήκαντο γὰρ οὐδαμῶς τὴν διὰ Χριστοῦ παίδευσιν, καίτοι δέον ἄγασθαι μὲν τῆς ἡμερότητος, καὶ ἀσυγκρίτου φιλανθρωπίας τὸν Λυτρωτὴν, ὑπτίαις δὲ ὥσπερ χερσὶ παραδέξασθαι τὴν φιλοτιμίαν. Ἵνα τοίνυν μὴ ἐν ἀποτεύξει σκοποῦ γενέσθαι δοκῇ τοῦ Σωτῆρος ἡμῶν οἰκονομίαν, ἅτε δὴ, καὶ ἀπολακτίσαντος τοῦ ἡγησαμένου λαοῦ, καὶ οὐ προσιεμένου, καθάπερ ἔφην, τὴν αὐτοῦ λύτρωσιν, προσεπήνεγκεν ὁ Πατὴρ, ὅτι σωτηρίας καταδείξει τρίβον, καὶ τὸ τῆς ἀληθοῦς θεογνωσίας ἐνήσει φῶς τοῖς ἐν ἀχλύϊ καὶ σκότῳ. Ἐκαλεῖτο γὰρ ὁ Ἰσραὴλ εἰς τοῦτο, Χριστοῦ λέγοντος ἐναργῶς· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. » Καί· « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ. » Ἐπειδὴ δὲ μᾶλλον ἠγάπησαν τὸ σκότος, ἢ τὸ φῶς, κατελείφθησαν ὑπ' αὐτοῦ, καίτοι τῶν ἁγίων προφητῶν τὴν ἐν Χριστῷ χάριν αὐτοῖς προηγορευκότων. Ὁ μὲν γάρ τις ἔφη· « Φωτίζου, φωτίζου, Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα ἐπὶ σὲ ἀνατέταλκεν. Ἰδοὺ σκότος, καὶ γνόφος καλύψει γῆν ἐπ' ἔθνη. Ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται. » Ὁ δέ τις ἕτερος· « Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου, ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. » Ἐπειδὴ δὲ, καθά φησι τὸ Γράμμα τὸ ἱερὸν, τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακοῦσαι, τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμυσαν· ἐπέλαμψε τοῖς ἔθνεσιν ὁ Χριστὸς, καὶ φωτὸς τοῦ θείου

Ecce posui te in lucem gentium, ut sis tu salus usque ad extremum terræ.

C Non ignoravit Pater animum Judæorum obduratum, et admonitionis impatientem, et prorsus ad effrenationem aversum. Non enim doctrinam Christi receperunt, etiamsi par esset ut Redemptoris clementiam et incomparabilem humanitatem admirarentur, et obviis veluti manibus majestatem amplecterentur. Itaque ne Servatoris nostri dispensatio scopo ac proposito suo frustraretur, cum videlicet populus recalcitrasset suo præfecto, et redemptionem, ut dixi, non admisisset, subjunxit Pater, salutis viam se ostensurum, et veræ Dei notitiæ lucem immissurum in caligine et tenebris versantibus. Ad hanc enim vocatus erat Israel, Christo aperte dicente: « Ego sum lux mundi [84]. » Et: « Donec lucem habetis, ambulate in luce, ne vos tenebræ compre- D hendant [84*]. » **665** Quoniam vero tenebras dilexerunt magis quam lucem, illis comprehensi sunt, etiamsi sancti prophetæ gratiam in Christo illis ante prædicassent. Alius enim dixit: « Illuminare, illuminare, Jerusalem, venit enim tuum lumen, et gloria Domini super te exorta est. Ecce tenebræ et caligo operient terram et gentes. Super te autem apparebit Dominus, et gloria ejus in te videbitur [85]. » Alter etiam inquit: « Vobis qui timetis nomen meum, exorietur sol justitiæ, et sanatio in pinnis ejus [86]. » Sed quia, ut sacræ Litteræ dicunt, aures eorum aggravatæ sunt ut non audirent, et oculi eorum occlusi, illuxit Christus gentibus, orbemque terrarum divina luce replevit, ut ab ortu usque ad occasum, et ad

[84] Joan. VIII, 12. [84*] Joan. XII, 35. [85] Isa. LX, 42. [86] Malach. IV, 2.

terminos usque terræ, ex ejus gloria fructum perciperent, et puris animi oculis, divinam et supremam naturam perspicerent, eique et soli spiritualem cultum consecrarent.

VERS. 7. *Sic dicit Dominus qui eruit te Deus Israel: Sanctificate eum qui despicit animam suam, qui abominationi habetur a gentibus, qui servus est principum. Reges videbunt eum, et surgent principes, adorabuntque eum propter Dominum, quia fidelis est sanctus Israel, et elegi te. Sic dicit Dominus: Tempore accepto exaudivi te, et in die salutis adjuvi te.*

Quanta misericordia dignatus sit Deus et Pater eos qui per Christum vocati sunt, etiam hinc discere poteris. Mysticis enim sacris eos imbuit, et profundum ac magnum humanitatis retegit mysterium, nec ullum sinit lapide offensionis confringi, et per imprudentiam ad petram scandali impingere. Contritus enim erat sic stupidus Israel. Quid est ergo quod dicit? Ego qui erui te Deus Israel, sic tibi dico: Sanctificate eum qui despicit animam suam, id est, augustum et sanctum habetote, et studio complectimini eum qui animam suam despicit, id est, nihili ducit. Factus enim pro nobis homo unigenitum Dei Verbum, posuit pro nobis animam suam, voluitque propter nos mortem carnis perpeti: nec suæ naturæ quidquam suscepit. Nam ipse superior erat quam ut pateretur, utpote Deus: verum sic, inquam, eam abjecit, idque pro peccatoribus. **666** Quod etiam admiratus est sapientissimus Paulus. Inquit enim: « Commendat autem suam erga nos charitatem Deus: adhuc enim cum nos essemus peccatores, » adhuc, inquam, eo tempore, « pro impiis est mortuus [87]. » Christus etiam ipse ait: « Bonus pastor animam suam ponit pro ovibus [88]. » Itaque et nobis eam posuit; nam vibice ejus nos sanati sumus, et ipse languidus erat propter iniquitates nostras, et propter peccata nostra traditus. Sanctificetur itaque, inquit, id est, sanctus prædicetur. Hoc quippe Deo et soli quadrat proprie et peculiariter; nam quanquam multi sancti sunt, et potestates ratione præditæ, atque etiam in terra homines, attamen ex participatione ejus qui natura et solus est sanctus, vereque hoc exsistit, sancti nuncupantur. Sicuti enim ille vera lux est, dignitatis tamen hoc aliis impertiit: « Vos enim, « inquit, » estis lux mundi [88*]; » sic etiam qui solus est sanctus cum Deo et Patre, et sancto Spiritu, dat velut ex sua plenitudine suis consortibus sanctificationem. Sic dicimus et in precibus: « Pater noster, qui es in cœlis, sanctificetur nomen tuum [89]. » Nec vero dicimus sic precari nos, ut aliqua sanctificationis accessio nomini Patris fiat (id enim perabsurdum)

A μεμεστωμένην ἀπέφηνε τὴν ὑπ' οὐρανὸν, ὥστε τοὺς ἐξ ἠοῦς εἰς δύσιν, καὶ μέχρι τῶν περάτων τῆς γῆς ἀπόνασθαι τῆς φιλοτιμίας, καὶ καθαροῖς διανοίας ὄμμασι τὴν θείαν τε, καὶ ἀνωτάτω περιαθρῆσαι φύσιν, καὶ τοὺς τῆς πνευματικῆς λατρείας, αὐτῇ τε καὶ μόνῃ καθιερῶσαι τρόπους.

Οὕτως λέγει Κύριος, ὁ ῥυσάμενός σε Θεὸς Ἰσραήλ· Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν, τῶν δούλων τῶν ἀρχόντων. Βασιλεῖς ὄψονται αὐτὸν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτῷ ἕνεκεν Κυρίου, ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραὴλ, καὶ ἐξελεξάμην σε. Οὕτως λέγει Κύριος· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.

B Ὅσης ἠξίωσε φειδοῦς τοὺς διὰ Χριστοῦ κεκλημένους ὁ Θεὸς καὶ Πατὴρ, κἀντεῦθεν ἂν μάθοις. Μυσταγωγεῖ γὰρ αὐτοὺς, καὶ τὸ βαθὺ, καὶ μέγα τῆς ἐνανθρωπήσεως ἐκκαλύπτει μυστήριον, οὐκ ἐῶν περιθραύεσθαί τινας τῷ λίθῳ τοῦ προσκόμματος, καὶ προσπταίειν ἐξ ἀβουλίας τῇ πέτρᾳ τοῦ σκανδάλου. Συνετρίβη γὰρ οὕτως ὁ ἀπόπληκτος Ἰσραήλ. Τί δὴ οὖν ἄρα φησίν; Ἐγὼ ὁ ῥυσάμενός σε Θεὸς, οὕτω φημὶ πρὸς σέ· Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τοῦτ' ἔστι, σεπτὸν, καὶ ἅγιον ἡγήσασθε, καὶ ποιεῖσθαι σπουδάσατε τὸν τὴν ἑαυτοῦ ψυχὴν ἐκφαυλίσαντα, τοῦτ' ἔστιν, ἐξευτελίσαντα. Γεγονὼς γὰρ ἄνθρωπος ὁ Θεὸς, καὶ μονογενὴς τοῦ Θεοῦ Λόγος, τέθεικεν ὑπὲρ ἡμῶν τὴν ἰδίαν ψυχὴν, εἵλετό τε παθεῖν δι' ἡμᾶς τὸν κατὰ σάρκα θάνατον, οὐδὲν ὑπομείνας εἰς ἰδίαν φύσιν. C Αὐτὸς γὰρ ὡς ἐπέκεινα τοῦ παθεῖν ὑπάρχων ὡς Θεὸς, πλὴν οὕτως εἴπω παρέῤῥιψεν αὐτὴν, καὶ τοῦτο ὑπὲρ ἁμαρτωλῶν. Ὃ δὴ καὶ τεθαύμακεν ὁ πάνσοφος Παῦλος. Ἔφη γὰρ, ὅτι « Συνίστησι τὴν ἑαυτοῦ ἀγάπην ὁ Θεὸς εἰς ἡμᾶς· ἔτι γὰρ ὄντων ἡμῶν ἁμαρτωλῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν. » Αὐτὸς δέ που ὁ Χριστός φησί που· « Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν ἑαυτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. » Τέθεικε τοίνυν αὐτὴν ὑπὲρ ἡμῶν, τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, καὶ αὐτὸς ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν, καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν παρεδόθη. Ἁγιαζέσθω οὖν, φησὶ, τοῦτ' ἔστιν, ἅγιος ἡγείσθω, ἤτουν ὁμολογείσθω. Θεῷ δ' ἂν πρέποι τοῦτο, καὶ μόνῳ κυρίως τε καὶ ἰδικῶς. Εἰ γὰρ καὶ εἰσὶν ἅγιοι πολλοὶ δυνάμεις τε λογικαὶ, D καὶ μὴν, καὶ ἐπὶ γῆς ἄνθρωποι, ἀλλ' οὖν ἐκ μετοχῆς τοῦ κατὰ φύσιν ἁγίου, καὶ μόνου τοῦτο ὑπάρχοντος ἀληθῶς, ἅγιοι χρηματίζουσιν. Ὥσπερ γὰρ φῶς μέν ἐστι τὸ ἀληθινὸν αὐτὸς, δέδωκε δὲ τὸ ἀξίωμα, καὶ ἑτέροις· « Ὑμεῖς γάρ ἐστε, » φησὶ, « τὸ φῶς τοῦ κόσμου. » Οὕτω καὶ μόνος ὢν ἅγιος ὁμοῦ τῷ Θεῷ, καὶ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι δίδωσιν ὡς ἐξ ἰδίου πληρώματος, καὶ τοῖς μετόχοις αὐτοῦ τὸν ἁγιασμόν. Οὕτω φαμὲν, καὶ ἐν προσευχαῖς· « Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. » Καὶ οὔτι πού φαμεν, ὡς προσθήκην ἁγιασμοῦ τῷ ὀνόματι τοῦ Πατρὸς γενέσθαι παρακαλοῦμεν· εὔηθες γὰρ κομιδῆ τὸ χρῆμά ἐστιν· εἶναι δὲ μᾶλλον παρὰ πᾶσιν ὅπερ ἐστὶν

[87] Rom. v, 8, 9. [88] Joan. x, 15. [88*] Matth. v, 14. [89] Matth. vi, 9.

ἀληθῶς εὐχόμεθα, τοῦτ' ἔστιν, ἅγιον, καὶ φοβερόν· οὕτω κἀνθάδε τὸ, Ἁγιάσατε, νοητέον, κἂν εἰ πεφαύλικε, φησὶ, τὴν ψυχὴν αὐτοῦ, τοῦτ' ἔστι, κἂν εἴ τι τῶν ἀνθρωπίνων παθεῖν λέγεται, καὶ τὴν ἰδίαν σάρκα θανάτου γεύσασθαι παρεσκεύασε, τέθεικε δὲ τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ πολλῶν. Ἐπιτρέχει δὲ ὁ λόγος, καὶ διαμέμνηται καὶ ἑτέρων, ἃ δὲ γένοιτ' ἂν ἔσθ' ὅτε καὶ ἐμποδὼν τοῦ χρῆναι πιστεύειν αὐτῷ τοὺς τῆς οἰκονομίας οὐχ ὁρῶντας βάθος τοῖς γε μὴν ἀρτίφροσιν οὐδὲν ἂν ἐμποιήσαι βλάβος. Παραδοθέντα μὲν γὰρ Πιλάτῳ τὸν Ἰησοῦν, κατεβδελύττοντο τῶν στρατιωτῶν τινες, τοῦτο μὲν καταπαίοντες ἀνοσίως, τοῦτο δὲ, καὶ ἐμπτύσμασιν ἀτιμάζοντες, καὶ στεφάνῳ τῷ ἐξ ἀκανθῶν ὑβρίσαντες, κατακερτομοῦντές τε καὶ λέγοντες· « Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων. » Διὰ τοῦτό φησι τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν, τῶν δούλων, τῶν ἀρχόντων. Ἕψεται δὲ πάντως καὶ τούτῳ τὸ, Ἁγιάσατε, ἀλλ' ὅτι πέπονθε μὲν οἰκονομικῶς τὰ παρὰ τῶν ἐθνῶν ἐμπαίγματα· ἀναλάμψει δὲ μετὰ τοῦτο, καὶ δοξασθήσεται παρὰ πάντων ἐν ὑπεροχαῖς ταῖς ἀνωτάτω, καὶ τῶν ἐν ταῖς ὑποκαθημέναις ὄντων τιμαῖς, προαγορεύει λέγων· Βασιλεῖς αὐτὸν ὄψονται, καὶ ἀναστήσονται, ἐκ τῶν τῆς βασιλείας δηλονότι θώκων. Ἄρχοντες καὶ προσκυνήσουσιν αὐτῷ. Ὄψονται δὲ οὐ τοῖς τοῦ σώματος ὀφθαλμοῖς, ἀλλὰ γὰρ ὡς ἐν περιαθρήσει νοῦ καὶ καρδίας. Ὁρῶμεν γὰρ οὕτω τὴν δόξαν Χριστοῦ. Προσκυνήσουσι δὲ αὐτῷ ἕνεκεν Κυρίου, τοῦτ' ἔστιν, ἕνεκεν ἐμοῦ. Δοξάζεται γὰρ ὡς Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραήλ. Τὸ δὲ πιστὸς ἐν τούτοις τὸν ἀεὶ μένοντα δηλοῖ. Ἀκλόνητος γὰρ ἡ βασιλεία τοῦ Θεοῦ, καὶ Πατρός· ὁμοίως δὲ, καὶ ἡ τοῦ Υἱοῦ· οὐκ ὄντων πιστῶν τῶν ψευδωνύμων θεῶν. Εἰσὶ γὰρ ἀρτιγενεῖς, καὶ ἀπολλύμενοι, καὶ οὐ μένοντες. Ὁ δὲ τῶν ὅλων Σωτὴρ, καὶ Κύριος πιστὸς ἀληθῶς, τοῦτ' ἔστιν, εὖ βεβηκὼς ἐν ταῖς ἰδίαις ὑπεροχαῖς, καὶ ἀκλονήτως ἔχων, καὶ αὐτὸς, ἐξελέξατο τοὺς διὰ Χριστοῦ κεκλημένους. « Οὓς γὰρ ἔγνω, » φησὶ, « καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσεν, ἡγίασέ τε πρὸς τούτῳ, καὶ ἐδόξασεν. Ἔδει δὴ οὖν, ἔδει τοὺς ἐξειλεγμένους ἁγιάσαι τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, καὶ μὴ τοῖς τῆς ἀνθρωπότητος ἐνορῶντας ἀποσφαλῆναι τοῦ πρέποντος, καὶ τῆς ἐπ' αὐτῷ γνώσεως ἀκριβοῦς ἀποφέρεσθαι, συνιέντας δὲ μᾶλλον τῆς οἰκονομίας τὸ σοφὸν προσκυνεῖν αὐτῷ, διακεῖσθαι δὲ, καὶ ἀραρότως, ὅτι τοῦ πιστοῦ Κυρίου φύσει τε καὶ ἀληθῶς Υἱός ἐστι, καὶ εἰ πέφηνεν οἰκονομικῶς ἐν εἴδει τῷ καθ' ἡμᾶς, καὶ τὸ τῆς κενώσεως ὑπέδυ μέτρον. Προσδιαλέγεται δὲ τοῖς ἐξειλεγμένοις, καί φησιν, ὅτι Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Προέγνωστο μὲν πρὸ καταβολῆς κόσμου Χριστὸς, καὶ τὸ αὐτοῦ μυστήριον· ἐπέλαμψε δὲ κατὰ καιροὺς οὓς ἤθελεν ὁ Δυνάστης, καθ' οὓς ἡμῖν βεβοήθηκε, καὶ τὸν τῆς ἐνανθρωπήσεως καιρὸν, σωτηρίας ἡμέραν εἶναί φησιν. Οὕτω γάρ που καὶ ὁ θεσπέσιος Παῦλος· « Ἰδοὺ νῦν, »

sed optamus ut ubique sit quod vere est, id est, sanctum et terribile: sic etiam hic intelligendum est, Sanctificate. Etiam, inquit, qui despexit animam suam, id est, humani quiddam passus esse dicitur, suamque carnem gustare mortem effecit: posuitque animam suam pro multis. Progreditur oratio, et commemorat alia quæ impedire interdum possunt quominus credant ei qui dispensationis profunditatem non vident: prudentibus vero nihil afferet incommodi. Traditum enim Pilato Jesum quidam milites diris devovebant, et partim impie percusserunt, partim etiam sputis dehonestarunt, et corona spinea contumeliam irrogarunt, deriserunt, atque dixerunt: « Ave, rex Judæorum [89]. » Propterea vocat eum abominationi habitum a gentibus, qui servus est principum. Consequetur autem illud: Sanctificate. Cæterum quod perpessus sit ex dispensationis ratione ludibria gentium, ideo etiam postea refulgebit, et illustrabitur ab omnibus, in summa dignitate **667** constitutis, et etiam inferiore honore præditis, prædicit: Reges videbunt eum, et surgent, de regni videlicet solio. Principes etiam adorabunt eum: Videbunt autem non oculis corporis, sed velut mentis et cordis perlustratione. Sic enim videmus gloriam Christi. Adorabunt vero illum propter Dominum, id est, propter me. Glorificatur enim velut Filius Dei et Patris, quia fidelis est Sanctus Israel. Fidelis, hic significat semper manentem. Immotum enim est et stabile regnum Dei et Patris: similiter et Filii, cum tamen falso nuncupati dii fideles non sint. Sunt enim nuper nati, et pereunt, et non manent. Universorum autem Servator et Dominus vere fidelis est, id est, ad suam ipse dignitatem provectus, stabilis et constans, elegit qui per Christum vocati erant. « Quos enim præscivit, » inquit, « etiam præfinivit, ut conformes essent et ipsi imagini Filii sui, et vocavit, et sanctificavit, et glorificavit [90]. » Oportuit igitur, oportuit electos sanctificare eum qui animam inhabitat, et non mensuram humanitatis intueri, et a decoro decidere, et ab exacta ejus cognitione deerrare, sed potius dispensationis sapientiam intelligere, illumque adorare, et constanter sic animo affici ac persuaderi illum esse fidelis Domini natura et vere Filium, etiamsi pro ratione dispensationis in forma nostra apparuerit et exinanitionis mensuram induerit. Alloquitur porro electos et inquit: Tempore accepto exaudivi te, et in die salutis adjuvi te. Præscitus quidem erat ante mundi constitutionem Christus, et ejus mysterium: illuxit autem illis temporibus quibus visum est Dominatori, cum etiam nobis opem attulit. Humanitatis tempus dicit esse diem salutis. Sic enim divinus Paulus: « Ecce nunc, » « inquit, tempus acceptabile, ecce nunc dies salutis [91]. » Psallit etiam propheta David et ait: « Hæc est

[89] Matth. XXVII, 29. [90] Rom. VIII, 29, 30. [91] II Cor. VI, 2.

dies quam fecit Dominus, exsultemus et lætemur A in ea [92]. »

φησι, « καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. » Ψάλλει δὲ καὶ ὁ προφήτης Δαβὶδ, καί φησιν· « Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. »

VERS. 8-12. *Et dedi te in testamentum gentium, ut constituas terram, et possideas hæreditatem deserti, ut dicas his qui in vinculis sunt: Exite; et his qui in tenebris: Illustremini. In omnibus viis suis pascentur, et in omnibus viis pascua eorum. Non* 668 *esurient, neque sitient, neque feriet eos æstus, neque sol; sed qui miseretur eorum, consolabitur eos, et per fontes aquarum ducet eos. Et vertam omnem montem in viam, et omnem semitam in pastum eis. Ecce e longinquo veniunt, hi ab aquilone, illi a mari, alii de terra Persarum.*

Καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίαν ἐρήμου, λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε· καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύφθητε. Καὶ ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς ὁδοῖς ἡ νομὴ αὐτῶν. Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς καύσων, οὐδὲ ὁ ἥλιος· ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς. Καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. Ἰδοὺ οὗτοι πόῤῥωθεν ἔρχονται. Οὗτοι ἀπὸ B *βοῤῥᾶ, καὶ οὗτοι ἀπὸ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν.*

Visum est quibusdam interpretibus qui antegressi sunt, hujus capitis initium facere: Sic dicit Dominus: Tempore accepto exaudivi te, et in die salutis adjuvi te. Et aiunt hæc dici a Deo et Patre omnium nostrum Salvatori Christo, talemque sensum attexunt. Oravit, inquiunt, ante crucem pretiosam, dicens: « Pater, si possibile est, transeat a me calix iste; [93] » nec auditus est, bibit enim illud. Postquam autem calcasset mortem succurrente Patre, dictum est ei necessario: Tempore accepto exaudivi te, et in die salutis adjuvi te. Videtur tamen mihi hæc oratio valde a probabilitate aliena. Nam cum sciret bibendum esse C poculum, et non posse orbem terrarum conservari nisi per mortem carnalem et resurrectionem e mortuis, peraccommodate formatur hujus precationis ratio, ut passionis deprecatio accusatio foret cædis Judaicæ. Quomodo enim impietatis in eum crimine teneretur Israel, si non illi coacta ac violenta hæc passio, propter ignobilitatem fuisset? verum etiam sic voluntarium fuit, et mundi peccatum tollere, et nostram naturam ad novitatem sanctæ vitæ reformare. Sciendum enim sic ab illo dictum esse: « Descendi de cœlo, non ut facerem voluntatem meam, sed voluntatem ejus qui misit me. Hæc est voluntas ejus qui misit me, ne quid perdam ex omnibus quæ dedit mihi, sed ut resuscitem illa in novissimo die [94]. » Apparuit enim D mundo Christus, et sacram prædicationem auspicatus est apud Israelitas. Verum quia inobedientes erant et obdurati, effrenes et audaces, non receperunt fidem, sed contra eam peccarunt multifariam: ad ultimum etiam cruci affixerunt. Hinc mihi specta arcanæ sapientiæ virtutem. Nam mortem videlicet carnis illatam illi a sinistra Judæorum nequitia, causam salutis exstitisse 669 dico universæ terræ incolis. Et mors per ejus resurrectionem abolita est, et calcata est corruptio, posque in vitam refloruimus, qui per Adami prævaricationem detrudebamur in contrarium. Non

Ἔδοξέ τισι τῶν προλαβόντων ἐξηγητῶν ἀρχὴν τοῦ προκειμένου κεφαλαίου ποιήσασθαι. Οὕτω λέγει Κύριος· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Καί φασιν εἰρῆσθαι ταυτὶ παρὰ Θεοῦ καὶ Πατρὸς τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ. Προσεξυφαίνουσι δὲ, καὶ τοιόνδε τινὰ νοῦν. Ηὔξατο μὲν γὰρ, φησὶ, πρὸ τοῦ τιμίου σταυροῦ, λέγων· « Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· » καὶ οὐκ ἠκούσθη, πέπωκε γὰρ αὐτό. Ἐπειδὴ δὲ πεπάτηκε τὸν θάνατον ἀντιλαμβανομένου τοῦ Πατρὸς, εἴρηται πρὸς αὐτὸν ἀναγκαίως τὸ, Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Δοκεῖ δέ μοι πολὺ τὸ εὐπίθανον ἀῤῥωστεῖν ὁ λόγος. Καίτοι γὰρ εἰδὼς ὅτι χρὴ πιεῖν τὸ ποτήριον, καὶ οὐκ ἂν ἐξέλθοι τὸ διασωθῆναι δύνασθαι τὴν ὑπ' οὐρανὸν, πλὴν ὅτι διὰ τοῦ θανάτου τῆς σαρκὸς αὐτοῦ, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως οἰκονομικώτατα λίαν τὸ τῆς προσευχῆς ἐπράττετο σχῆμα, ἵνα τοῦ πάθους ἡ παραίτησις τῆς τῶν Ἰουδαίων μιαιφονίας κατηγορῇ· ἐπεὶ τίνα τρόπον τοῖς τῆς εἰς αὐτὸν δυσσεβείας ἐγκλήμασιν ἔνοχος γέγονεν ὁ Ἰσραὴλ, εἰ μὴ ἀβούλητον ἦν αὐτῷ τὸ παθεῖν διά τοι τὸ δυσκλεές; πλὴν, καὶ οὕτω γέγονε θελητὸν, καὶ ἀποστῆσαι τοῦ κόσμου τὴν ἁμαρτίαν, καὶ ἀναμορφῶσαι τὰ καθ' ἡμᾶς, εἰς καινότητα ζωῆς ἁγίας. Συνιεὶς γὰρ οὕτω καὶ τὸ εἰρημένον παρ' αὐτοῦ, ὅτι « Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με, τοῦτ' ἔστι, τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω αὐτὸ ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. » Ἐπέφανε γὰρ τῷ κόσμῳ Χριστὸς, καὶ τῶν ἱερῶν ἀπήρτητο κηρυγμάτων παρὰ τοῖς ἐξ Ἰσραήλ. Ἐπειδὴ δὲ ἦσαν ἀπειθεῖς, καὶ κατεσκληκότες, ἐξήνιοι, καὶ θρασεῖς, οὐ προσήκαντο τὴν πίστιν, ἀλλ' ἡμάρτανον μὲν εἰς αὐτὴν πολυτρόπως, εἶτα τελευταῖον ἐσταύρωσαν. Ἐνταῦθα βλέπε μοι τῆς ἀποῤῥήτου σοφίας τὴν δύναμιν. Ἀπὸ γὰρ τῆς Ἰουδαίων σκαιότητος ἐπενηνεγμένον αὐτῷ, φημὶ δὴ τὸν θάνατον. Δῆλον δὲ ὅτι τὴν τῆς σαρκὸς σωτηρίας πρόφασιν ἐποιήσατο τοῖς ἀνὰ πᾶσαν τὴν γῆν, κατηργήθη

[92] Psal. CXVII, 24. [93] Matth. XXVI, 39. [94] Joan. V, 38, 39.

δὲ θάνατος διὰ τῆς ἀναστάσεως αὐτοῦ, καὶ πεπάτηται φθορᾷ [γρ. φθορὰ], καὶ ἀνεθάλλομεν εἰς ζωὴν, οἱ διὰ τῆς ἐν Ἀδὰμ παραβάσεως κατενηνεγμένοι πρὸς τὸ ἐναντίον. Οὐκοῦν οὐκ ἀπότευξιν γενέσθαι φαμὲν ἐν τῇ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ προσευχῇ, μὴ γένοιτο, οἰκονομίαν δὲ μᾶλλον, ἥπερ ἂν ἔποιτο τὸ θαυμάζεσθαι δεῖν. Καὶ καθ' ἕτερον δὲ τρόπον σοφὴν γενέσθαι φαμὲν τὴν ἔντευξιν τὴν πρό γέ φημι τοῦ τιμίου σταυροῦ. Γέγονε γὰρ ἡμῖν ὑποτύπωσις, καὶ ὑπογραμμὸς ἀναγκαίου πράγματος· πειρασμοῦ γὰρ ἐπηρτημένου, καὶ φόβου παραχειμάζοντος, οὐ ῥαθύμους εἶναι χρὴ, καὶ ἀναπεπτωκότας, ἐγρηγορότας δὲ μᾶλλον, εἶτα συντείνεσθαι εἰς προσευχὰς, καὶ Θεοῦ δεῖσθαι τοῦ σώζοντος, ἵν' εἴπερ εἴη φίλον αὐτῷ βρόχων ἔξω καὶ παγίδος ἀποφέροιμεν πόδα. Εἰ δὲ δὴ τὸ χρῆναι παθεῖν ὡς ἔσται μᾶλλον ἡμῖν ὀνησιφόρον B ἐπίσταται, καὶ τοῦτο ἥκειν ἐς πέρας, αὐτοῦ νέμοντος τὴν ὑπομονήν. Ἀπιθάνου τοιγαροῦν τῆς τινων δόξης ἀποδεδειγμένης, φέρε τῶν ἐν χερσὶν ἀπτώμεθα πάλιν. Δεδωκέναι γὰρ αὐτόν φησιν εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίαν ἐρήμου, λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύφθητε. Ἀπολακτίσαντος γὰρ τοῦ Ἰσραὴλ, καὶ τῆς εἰς αὐτὸν ἀγάπης διὰ τῆς ἀπιστίας ἀποφοιτήσαντος, νενομοθέτηκε τοῖς ἔθνεσιν ὁ Χριστὸς, καὶ τὴν Καινὴν αὐτοῖς Διαθήκην ὡρίσατο, τοῦτ' ἔστι, τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, καὶ κατέστησε τὴν γῆν τεθορυβημένην δηλονότι, καὶ οὐκ ἐν καλῷ συνέσεως οὖσαν. Πεπλάνητο γὰρ τῇ C κτίσει λατρεύουσα, καὶ ταῖς τῶν ἀκαθάρτων πνευμάτων ἀγέλαις ὑποθητεύουσα. Ἔδρα γὰρ μόνον τὸ ἐκείνοις δοκοῦν. Οἱ δὲ κατεκόμιζον εἰς ἅπαν εἶδος ἀκαθαρσίας αὐτὴν, καὶ κτηνοπρεπῆ διαβιοῦν ἐκέλευον βίον. Τεθορύβητο τοίνυν οὐ μετρίως ἡ γῆ καὶ τετάρακτο· πλὴν κατέστη διὰ Χριστοῦ, καὶ οἷον ἐκ χειμῶνος, καὶ ζάλης μετακεχώρηκεν εἰς εὐδίαν. Γέγονε γὰρ αὐτοῦ μερίς τε καὶ κλῆρος. Καὶ τοῦτο ἦν ἄρα, τὸ ἐν δευτέρῳ ψαλμῷ πρὸς αὐτὸν εἰρημένον, ὡς ἐκ τοῦ Θεοῦ καὶ Πατρός· « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. » Ἔρημον δὲ ὀνομάζει τῶν ἐθνῶν τὴν πληθὺν, ἀκάρπῳ καὶ ἀνύδρῳ γῇ παρεικάζων αὐτήν. Πλὴν, ὡς ἔφην, κλῆρος γέγονε Χριστοῦ. Πῶς δὲ, καὶ τίνα τρόπον; Ἐν δεσμοῖς γὰρ οὖσι, καὶ σειραῖς τῶν ἰδίων ἁμαρτημάτων κατεσφιγμένοις D ἐπεφώνησε τό· Ἐξέλθετε. Οὖσι δὲ καὶ ἐν σκότει, καὶ ἐν ἀχλύϊ τῇ νοητῇ, καὶ μονονουχὶ βαθείᾳ νυκτὶ κατακεχωρισμένοις, ἀνακαλυφθῆναι προστέταχε, καὶ εἰς φῶς ἐλθεῖν, ἀνευρῦναι τῆς διανοίας τοὺς ὀφθαλμοὺς, καὶ τὸ παρ' αὐτοῦ καὶ θεῖον εἰσοικίσασθαι φῶς. Οἱ δὲ δὴ τούτων ἀξιωθέντες, φησὶν, ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν. Πλεῖσται μὲν γὰρ αἱ τῆς ἐπιεικείας ὁδοὶ, ἀλλ' ἦν τοῖς ἔθνεσι βάσιμος μὲν οὐδεμία, τραχεῖα δὲ καὶ ἀνάντης, κεκράτηντο δὲ καὶ ταῖς τῶν ἰδίων παθῶν ἐμβολαῖς, καὶ ταῖς τοῦ διαβόλου πλεονεξίαις, ἄβατον αὐτοῖς τιθέντος τὸ ἀγαθόν. Ἐπειδὴ δὲ ἐπέλαμψε

A igitur desperationem fuisse in hac Servatoris nostri precatione dicimus, absit, sed potius dispensationem, quam par est admirari. Alio quoque modo dicimus banc orationem, ante pretiosam crucem, prudenti consilio factam esse. Exstitit enim nobis exemplar et forma rei necessariæ. Tentatione namque impendente et metu inundante, non desides esse nos oportet et supinos, sed vigilantes potius et intentos orationi, et Deum Servatorem rogare ut, si visum sit, plagis et laqueo pedem extricemus. Sin patiendum sit, nobis magis profuturum scit, si perveniat ad exitum, ipso tribuente patientiam. Cum ergo demonstratum sit opinionem quorumdam minus esse probabilem, agedum rursus quæ præ manibus sunt attingamus. Dedisse enim se illum B ait Pater in testamentum gentium, ut constituat terram, et possideat hæreditatem deserti, dicens illis qui in vinculis sunt: Exite, et his qui in tenebris sunt: Illustramini. Cum itaque recalcitrasset Israel, et a dilectione in illum per infidelitatem recessisset, Christus leges tulit gentibus, et Novum illis Testamentum, id est, evangelicam et salutarem prædicationem descripsit, ac terram, scilicet turbatam et non satis prudentem, constituit. Nam erraverat creaturam colendo, et impurorum spirituum turmis serviendo. Fecerunt siquidem id solum quod ipsis visum esset. Alii vero eam in omne turpitudinis genus deduxerunt, et pecuariam vitam jusserunt vivere. Turbata est igitur terra non mediocri- C ter et tumultuata: verum per Christum constituta est, et velut ex tempestate et fluctuatione, conversa est in serenitatem. Facta est enim portio et sors ejus. Idque est quod in secundo psalmo dictum est ei velut a Deo et Patre: « Postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ [95]. » Desertum nominat, gentium multitudinem, infructuosæ et siticulosæ terræ eam comparans. Verum, ut dixi, facta est sors Christi. Qui et quomodo? **670** His enim qui vinculis et catenis suorum peccatorum constricti erant, acclamavit: Exite. Qui in tenebris et caligine mentis versabantur et tantum non profunda nocte obruti erant, eos jussit illustrari, et ad lucem venire, oculosque animi aperire, suamque ac divinam lu- D cem intromittere. Qui vero his bonis, inquit, digni habiti sunt, in omnibus viis suis pascentur, et in omnibus semitis pascua eorum. Erant enim illis plures viæ probitatis, sed nulla gentibus pervia, ac aspera, et prærupta. Victique sunt a suarum perturbationum impressionibus et diaboli tyrannide, qui bonitatis iter illis interclusit. Sed ubi Christi gratia illuxit, vincula eorum solvit, illustravit cor, inde per omnem viam currere, bonumque mentis ac intelligentiæ pabulum colligere (hoc enim significat, Pascentur) omnemque semitam probitatis celeriter transire valuerunt. Nihilque vetat dicere quia semitæ et viæ nostros animos adducunt

[95] Psal. II, 8.

A ad Deum, seu ad sanctam et excellentem vitæ institutionem, divinitus inspiratæ Scripturæ, quæ errantibus minime fuerunt cognitæ. Postquam autem ad lucem veritatis vocati sunt, suppetebant illis pastus et pascua, quæ spirituali robore nutriunt, omniumque bonorum desiderio; promittitque illis Deus gratiæ suæ, et auxilii, et spiritualis consolationis copiam. Non enim esurient, neque sitient, inquit. Olim enim spiritualis consolationis expertes erant, nec divinam legem habebant, non prophetam, non pædagogum, non magistrum, non doctorem, non intelligibilium aquarum fontem. At cum a Deo misericordiam consecuti sunt, spiritualia bona deinceps affatim suppeditabantur, et cibum qui animos juvat habuerunt : B panem de cœlo ederunt, aquam viventem biberunt, de qua etiam ipse Christus dixit, ad Samaritanam mulierem verba faciens : « Quisquis de hac aqua bibit, iterum sitiet. At qui bibit de aqua illa quam ego dabo ei, fiet ei fons aquæ salientis in vitam æternam [96]. » Dixit item propheta Isaias de justificatis in fide et evangelicis oraculis cervicem mentis submittentibus : « Hic habitabit in excelsa spelunca rupis fortis; panis ei dabitur, et aqua ejus
671 fidelis [97]. » Sed nec æstus illos feriet, neque sol. Factus est enim illis Christus protector : qui etiam olim filiis Israel suspendit interdiu nubem, et noctu in columna ignis præcessit. Itaque inquit : Extra solem erunt et æstum, id est, tegentur umbraculo divino, ut nihil contingat quod sit molestum, C vel quod ad pusillanimitatem adducat. Cujusmodi est quod divinus Paulus etiam dixit : « Potens est Deus, qui non sinet vos tentari supra quam potestis, sed una cum tentatione faciet proventum, ut possitis sufferre [98]. » Hoc enim puto significare, Qui miseretur eorum, consolabitur eos. Ducet enim per fontes aquarum, et vertet omnem montem in viam, et omnem semitam in pastum eis. Fontes hic dicimus sanctos prophetas, et apostolos, et evangelistas, quibuscum versantes sapienter et perite, haurimus ab illis vivificum et divinum sermonem, qui satis abunde posset animas nostras ad pietatem confirmare, et spiritualem nobis ingenerare voluptatem. Sic enim scriptum est : Et haurietis aquas cum lætitia e fontibus salutaris [99]. D » Quod autem nullum præclarum facinus arduum futurum sit aut difficile his qui per Christum servati sunt, illud subinnuere poterit, cum ait, omnem montem in viam esse vertendum. Videtur enim sublime, et altum, et inaccessum multis esse, ut virtutem quis colat, puta, continentiam, temperantiam, longanimitatem, patientiam, mansuetudinem, charitatem et reliqua : sed planam et æquabilem omnem hanc viam nobis reddidit Servator, ut quod impervium et immeabile esse videbatur, id levigatum et prostitutum sit illac ire volentibus. Idque est, opinor, quod aperte dictum

A τοῦ Σωτῆρος ἡ χάρις, ἔλυσεν αὐτῶν τὰ δεσμὰ, κατεφώτισε τὴν καρδίαν, ἴσχυσαν ἐνταῦθα διὰ πάσης τρέχειν ὁδοῦ, καὶ τὴν νοητὴν εὐτροφίαν συλλέγειν· τοῦτο γὰρ, τὸ βοσκηθήσονται δηλοῖ, καὶ εἰς πᾶσαν τρίβον ἀγαθουργίας ἰέναι γοργῶς. Εἴργει δὲ οὐδὲν κἀκεῖνο εἰπεῖν, ὅτι τρίβοι καὶ ὁδοὶ τὰς ἡμετέρας διανοίας ἀποφέρουσι πρὸς Θεὸν, ἤγουν πρὸς εὐαγῆ, καὶ ἐξαίρετον πολιτείαν αἱ θεόπνευστοι Γραφαί· αὗται δὲ ἦσαν γνώριμαι μὲν ἥκιστα τοῖς πεπλανημένοις. Ἐπειδὴ δὲ πρὸς τὸ τῆς ἀληθείας κέκληνται φῶς, νομαὶ γεγόνασιν αὐταῖς, καὶ βοσκήματα τρέφοντα πρὸς εὐανδρίαν τὴν πνευματικὴν, καὶ εἰς ἔφεσιν ἀγαθοῦ παντός. Ὑπισχνεῖται δὲ Θεὸς αὐτοῖς τὸ ἀμφιλαφὲς τῆς παρ' ἑαυτοῦ χάριτος, καὶ ἐπικουρίας, καὶ πνευματικῆς παρακλήσεως. Οὐ γὰρ πεινάσουB σιν, οὐδὲ διψήσουσι, φησί. Πάλαι μὲν γὰρ ἦσαν ἐν ἐνδείᾳ παρακλήσεως πνευματικῆς, οὐ γὰρ ἦν παρ' αὐτοῖς θεῖος νόμος, οὐ προφήτης, οὐ παιδαγωγὸς, οὐ καθηγητὴς, οὐ διδάσκαλος, οὐ νοητῶν ὑδάτων πηγή. Ἐπειδὴ δὲ ἠλέηνται παρὰ Θεοῦ, δαψιλεστάτη λοιπὸν αὐτοῖς ἡ τῶν πνευματικῶν ἀγαθῶν χορηγία γέγονε τροφὴν ἐσχηκόσι τὴν ψυχωφελῆ. Ἔφαγον γὰρ ἄρτον ἐξ οὐρανοῦ, ὕδωρ ζῶν ἔπιον, περὶ οὗ καὶ αὐτὸς ἔφη Χριστὸς πρὸς τὴν ἐν Σαμαρείᾳ γυναῖκα τοὺς λόγους ποιούμενος· « Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν. Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. » Ἔφη δέ που καὶ ὁ προφήτης Ἡσαΐας περὶ τῶν ἐν πίστει δεδικαιωμένων, καὶ τοῖς εὐαγγελικοῖς θεσπίσμασιν ὑπαγόντων τὸν τῆς διανοίας C αὐχένα· « Οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν. » Ἀλλ' οὐδὲ πατάξει αὐτοὺς καύσων, οὐδὲ ὁ ἥλιος. Γέγονε γὰρ αὐτοῖς σκεπαστὴς ὁ Χριστός. Ὁ καὶ πάλαι τοῖς υἱοῖς Ἰσραὴλ ἐπαρτήσας μὲν ἐν ἡμέρᾳ νεφέλην, ἡγούμενος δὲ ἐν στύλῳ πυρὸς τὴν νύκτα. Ἔξω δὴ οὖν ἡλίου, καὶ καύσωνος ἔσονται, φησὶ, τοῦτ' ἔστι, τεύξονται τῆς παρὰ Θεοῦ σκέπης, ὡς μηδὲν αὐτοῖς συμβῆναι φορτίον, ἤγουν ἀποφέρον εἰς ὀλιγοψυχίαν. Τοιοῦτόν τι καὶ ὁ θεσπέσιος ἔφη Παῦλος· « Δυνατὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ, καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. » Τοῦτο οἶμαι δηλοῦν τὸ παρακαλεῖν αὐτοὺς τὸν ἐλεοῦντα αὐτοῖς. Ἄξει γὰρ διὰ πηγῶν ὑδάτων, καὶ θήσει πᾶν ὄρος εἰς D ὁδὸν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. Πηγὰς δέ φαμεν ἐν τούτοις τοὺς ἁγίους προφήτας, ἀποστόλους τε καὶ εὐαγγελιστὰς, οἷς ἐνομιλοῦντες σοφῶς τε καὶ ἐντέχνως ἀρυόμεθα παρ' αὐτῶν ζωοποιόν τε καὶ θεῖον λόγον, ἀποχρώντως ἔχοντα πρὸς τὸ δύνασθαι διανευροῦν εἰς εὐσέβειαν τὰς ἡμετέρας ψυχὰς, καὶ τρυφὴν ἡμῖν ἐργάσασθαι τὴν πνευματικήν. Οὕτω γὰρ γέγραπται· « Καὶ ἀντλήσετε ὕδωρ μετ' εὐφροσύνης, ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. » Ὅτι δὲ ἄναντες, ἢ δύσβατον οὐδὲν τῶν ἐξαιρέτων ἀνδραγαθημάτων τοῖς διὰ Χριστοῦ σεσωσμένοις, ὑπεμφήνειεν ἂν τὸ πᾶν ὄρος εἰς ὁδὸν τεθεῖσθαι λέγειν. Δοκεῖ μὲν

[96] Joan. IV, 13. [97] Isa. XXXIII, 16. [98] I Cor. X, 13. [99] Isa. XII, 3.

γάρ πως ἦρθαί τε καὶ ὑψοῦ, καὶ ἀπρόσιτον εἶναι πολλοῖς τὸ ἐναργῆ γενέσθαι τινά, οἷον ἐγκρατείᾳ, σωφροσύνῃ, μακροθυμίᾳ, ἀνεξικακίᾳ, πρᾳότητι, ἀγάπῃ καὶ τοῖς λοιποῖς· ἀλλὰ λείαν καὶ εὐήλατον πᾶσαν ἡμῖν ὁδὸν ἀπέφηνεν ὁ Σωτήρ, ὥστε καὶ τὸ δυσπόρευτον, καὶ δυσήλατον εἶναι δοκοῦν ἐψιλωμένον προσκεῖσθαι τοῖς δι' αὐτοῦ βαδίζειν ἐθέλουσι. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν σαφῶς εἰρημένον· « Πᾶσα φάραγξ πληρωθήσεται, καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. » Καὶ πάλιν· « Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν. » Ὅτι δὲ ἀριθμοῦ κρείττονες οἱ κεκλημένοι γεγόνασι, καὶ ἐκ παντὸς μέρους τῆς ὑπ' οὐρανὸν συναγηγερμένοι, διαμεμήνυχεν εἰπών· Ἰδοὺ οὗτοι πόῤῥωθεν ἔρχονται, καὶ οὗτοι ἀπὸ βοῤῥᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. Τὸ γὰρ πόῤῥωθεν ἔοικεν ὑποδηλοῦν τὰ μέρη τὰ νότια, ὁ δὲ βοῤῥᾶς τὰ βόρεια, θάλασσα δὲ τὰς πρὸς δυσμὰς χώρας. Οὕτω γὰρ καὶ αὐτῶν ὁ Ψαλμῳδὸς διαμνημονεύει λέγων· « Τὸν βοῤῥᾶν, καὶ τὴν θάλασσαν σὺ ἔκτισας. » Οἱ δὲ ἐκ γῆς Περσῶν εἶεν ἄν, οἱ ἐξ ἠοῦς σεσαγηνευμένοι. Πρὸς ἀκτῖνα γὰρ ἡ Περσῶν γῆ ἐστιν. Ἢ τάχα που, καὶ τοὺς προσκυνήσαντας αὐτῷ μάγους νοεῖσθαι πρέπει. Ἧκον γὰρ εἰς τὴν Ἰουδαίαν πυνθανόμενοί τε καὶ λέγοντες· « Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ Ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. » Προσκυνήσαντες γάρ, καὶ δώροις ἐτίμων, λιβάνῳ τε φημί, καὶ χρυσῷ, καὶ σμύρνῃ. Διαμέμνηται δὲ τοῦτο λέγων ὁ Ψαλμῳδὸς, περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ, ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας. » Ἀραβίαν γὰρ ἐν τούτοις τὴν τῶν Περσῶν ὀνομάζει χώραν.

est ab uno e sanctis prophetis : « Omnis vallis implebitur, et omnia erunt obliqua recta, et aspera in vias planas[1]. » Et iterum : « Via piorum recta fuit, et præparata via piorum[2]. » Quod autem innumeri fuerint vocati, et ex omni parte sub cœlo congregati, ostendit dicens : Ecce e longinquo veniunt, et hi quidem ab aquilone et mari, alii ex terra Persarum. Illud, e longinquo, videtur indicare partes australes ; aquilo, aquilonares ; mare, occidentales regiones. Horum enim sic mentionem facit Psalmodus, cum ait : « Aquilonem et **672** mare tu creasti[3]. » Illi vero e terra Persarum esse possunt, qui capti et inescati sunt Orientales. Ad orientem enim est Persarum terra. Fortassis etiam magos intelligere convenit, qui eum adorarunt. Venerunt enim in Judæam, percontantes et dicentes : « Ubi est qui natus est rex Judæorum? Nam vidimus stellam ejus in Oriente, et venimus adoratum eum[4]. » Siquidem adorarunt, et donis honorarunt, thure, inquam, auro et myrrha. Meminit hujus etiam Psalmodus, cum dicit de omnium nostrum Servatore Christo : « Et vivet, et dabitur ei de auro Arabiæ[5]. » Arabiam enim hic Persarum regionem nominat.

Εὐφράνθητε, οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. Ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν.

Εἰς ἕνα συγκαλεῖ θίασον, οὐρανὸν καὶ γῆν καὶ τὴν ἐπὶ τοῖς παρ' αὐτοῦ σεσωσμένοις ἀποπληροῦν ἑορτὴν εὖ μάλα διακελεύεται. Νοηθεῖεν δ' ἂν οὐρανοὶ μὲν οὐχ αὐτὸ τὸ στοιχεῖον, ἀλλ' οἱ ταῖς ἄνω μοναῖς ἐνδιαιτώμενοι, καὶ ἐναύλισμα πλουτοῦντες τὸν οὐρανὸν, ἅγιαί τε Δυνάμεις, Ἀρχαί, καὶ Θρόνοι, καὶ Ἐξουσίαι, καὶ τὰ ἔτι ἐπέκεινα Σεραφίμ. Γῆ δὲ ὁμοίως οἱ παρ' αὐτοῖς προσδοκῶντες ἔσεσθαι τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ παρεσόμενον εἰδότες αὐτὸν ἐπὶ λυτρώσει τῶν ἐξ Ἰσραήλ, καὶ ἁπάντων δὲ τῶν ἐθνῶν τῶν ἀνὰ πᾶσαν ὄντων τὴν γῆν· καθάπερ ἀμέλει, καὶ Συμεὼν ὁ δίκαιος, βρέφος ἔτι βραχὺ τὸν Ἰησοῦν ἐν ἀγκάλαις ἔχων ἐδοξολόγει Θεὸν, οὕτω λέγων· « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν ἐθνῶν, » καὶ τὰ ἑξῆς. Εἰ τάχα που, καὶ αὐτοὺς νοητέον τοὺς σεσωσμένους, ἐπί γε σφίσιν αὐτοῖς τελοῦντας τὴν ἑορτὴν, καὶ ταῖς καθηκούσαις δοξολογίαις στεφανοῦντας τὸν Λυτρωτήν· ὄρη γε μὴν παραῤῥηγνύντα τὴν εὐφροσύνην, ὑποτοπητέον εἶναι, καθάπερ ἔφην ἀρτίως, τὰς ἠρμένας ὑψοῦ κατ' ἀρετὴν δυνάμεις λογικάς, ἤγουν τοὺς τῶν εὐαγγελικῶν κηρυγμάτων ἱερουργούς, οἱ Χριστὸν λα-

VERS. 13. *Lætamini, cœli, et exsultet terra, erumpant montes lætitiam, quia misertus est Deus populi sui, et humiles populi sui consolatus est.*

Cœlum et terram in unum sodalitium convocat, et propter eos qui ab illo servati sunt, festum celebrare, optime præcipit. Cœli intelligi possunt, non ipsum elementum, sed qui in summis habitaculis commorantur, et cœlesti locupletati sunt domicilio, et sanctæ Potestates, Principatus, Throni, Dominationes, et quæ sunt ultra Seraphim. Terra similiter, qui in ea exspectant fore ejus apparitionem, et qui norunt illum adfore, ad redimendum Israelitas, omnesque gentes in universa terra degentes ; sicuti videlicet Simeon ille justus, parvulum adhuc infantem habens in ulnis, celebravit Deum, sic inquiens : « Nunc dimittis servum tuum, Domine, secundum verbum tuum in pace. Quia viderunt oculi mei salutare tuum, quod parasti in conspectu omnium gentium[6], » etc. Si forte illos intelligere oporteat qui servati sunt, ob hoc ipsum celebrantes festum, et Redemptorem coronantes dignis laudibus. montes erumpentes lætitiam, putandum est esse, quemadmodum modo dixi, subvectas illas in sublime potestates rationis participes, vel evangelicæ prædicationis ministros, qui Christum et quæ ejus sunt louquuntur, et terram implent lætitia quæ

[1] Isa. XL, 4. [2] Isa. XXVI, 7. [3] Psal. LXXXVIII 13. [4] Matth. II, 2. [5] Psal. LXXI, 15. [6] Luc. I, 29-32.

intellectu percipitur. Annuntiant enim : Quia misertus est Deus populi sui, et humiles populi sui consolatus est. Misertus est enim omnium, cum illis Christus illuxerat. Siquidem verum est, erepti sunt e manu **673** diaboli et sævitia dæmoniorum, et a peccato quod in eos tyrannidem exercuit liberati, et mortis insuper vinculis : donatique gratia, et excellenti dono, sancti Spiritus facti participes, et adoptionis gratia illustrati, et spe, quæ mentem ac cogitationem superat, ditati. Verum observa sermonem prophetæ ; ait enim : Humiles populi sui consolatus est. Humiles esse dicimus eos, qui flexile et tractabile collum submittunt Christo, et jugum regni ejus non contemnunt, eo quod fidem admiserunt, ac præparati sunt, in spiritu et veritate adorationem ac cultum ei præstare, cum hi qui fidem non admiserant, non sint humiles, sed cornu in altum erigant, et injustitiam contra eum loquantur, et contra sacrosancta ejus vaticinia, superbam velut cervicem mentis attollunt. Hi non sunt donati spirituali consolatione : non enim erant digni. Quæ enim pars fidelium cum infidelibus, secundum id quod scriptum est ?

Vers. 14, 15. *Dixit enim Sion : Dereliquit me Dominus, et Dominus oblitus est mei. Num obliviscetur mater filii sui, vel non miserebitur partus uteri sui ? Etiamsi autem horum oblita fuerit mulier, ego tamen non obliviscar tui.*

Proposuit enim universorum Servator et Dominus etiam ante alios, filiis Sion, seu ex sanguine Israel gratiam per fidem, et infinitis sermonibus fidem illis conatus est facere, ut apprehenderent opportunitatem, qua possent, si in illum credidissent, gloria patribus promissa locupletari. At hi præfracti erant et inobedientes, et, legibus, quæ per sapientissimum Mosen descriptæ erant, despectis et propheticis prædicationibus neglectis, a fide exciderunt, et crimine dominicidii tanquam laqueo capti sunt. Hac de causa lapsi sunt, et a conjunctione quæ cum ipso est procul sunt alienati ; reliquiæ tamen servatæ sunt, et funditus Israel non periit [8]. Cæterum pauci sunt servati, et præ infidelium multitudine omnino pauci. Perscite itaque Sion, Judææ matris personam sustinens, nunc introducitur propemodum et luget quasi despecta a Deo explodente. Hinc paucissimis ipsi **674** relictis liberis, dicit : Dereliquit me Dominus, et Dominus oblitus est mei. Et quid ad hæc Dominus ? Incomparabilem in homines charitatem declarat, et Sioni intelligibili misericordiæ bona promittit, et quod non posset aliquando sui figmenti oblivisci conatur persuadere. Quemadmodum enim mulier quæ peperit, suorum liberorum oblivisci non potest, ut quæ legem naturæ habet, summæ pietatis et indulgentiæ dispensatricem et administratricem : sic, inquit, ego meo-

[7] II Cor. vi, 15. [8] Isa. x, 21, 22.

A λοῦντες, καὶ τὰ αὐτοῦ νοητῆς εὐφροσύνης πιμπλᾶσι τὴν γῆν. Ἀπαγγέλλουσι γὰρ ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν. Ἠλέησε γὰρ ἅπαντας ἐπιλάμψας αὐτοῖς ὁ Χριστός· εἴπερ ἐστὶν ἀληθὲς, ἐξῄρηνται χειρὸς διαβολικῆς, καὶ δαιμονίων σκαιότητος. Ἀπηλλάχθησαν δὲ, καὶ τῆς πάλαι τυραννούσης κατ' αὐτῶν ἁμαρτίας, καὶ προσέτι τῶν τοῦ θανάτου δεσμῶν· ἠξίωνται δὲ χάριτος, καὶ ὑπερκοσμίου δωρεᾶς, μέτοχοι γεγονότες ἁγίου Πνεύματος, καὶ τῇ τῆς υἱοθεσίας δόξῃ κατηγλαϊσμένοι, καὶ τὴν ὑπὲρ νοῦν ἐλπίδα πλουτήσαντες. Πλὴν ἄθρει τὴν ἐπιτήρησιν τῶν τοῦ προφήτου λόγων· Τοὺς γὰρ ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ, φησὶ, παρεκάλεσε. Ταπεινοὺς δὲ εἶναί φαμεν τοὺς εὐήνιον ὑφέντας τῷ Χριστῷ τὸν αὐχένα, καὶ τῆς ὑπ' αὐτῷ βασιλείας B οὐκ ἀτιμάσαντας τὸν ζυγὸν, διά τοι τὸ προσήκασθαι τὴν πίστιν, ηὐτρεπίσθαι δὲ καὶ τὴν ἐν πνεύματί τε καὶ ἀληθείᾳ προσκύνησιν αὐτῷ, καὶ λατρείαν ἐπιτελεῖν τῶν τὴν πίστιν οὐ προσηκαμένων, οὐκ ὄντων ταπεινῶν, ἀλλ' ὑψοῦ τὸ κέρας ἰόντων [γρ. ἱέντων], καὶ λαλούντων ἀδικίαν κατ' αὐτοῦ, καὶ τοῖς ἱεροῖς αὐτοῦ θεσπίσμασι, γαῦρον ὥσπερ ἀνατεινόντων τὸν τῆς διανοίας αὐχένα. Οὗτοι τῆς πνευματικῆς οὐκ ἠξίωνται παρακλήσεως. Οὐ γὰρ ἦσαν ἄξιοι. Τίς γὰρ μερὶς πιστῶν μετὰ ἀπίστων, κατὰ τὸ γεγραμμένον;

Εἶπε γὰρ Σιὼν, Ἐγκατέλιπέ με Κύριος, καὶ ὁ Κύριος ἐπελάθετό μου. Μὴ ἐπιλήσεται μήτηρ τοῦ παιδὸς αὐτῆς, τοῦ ἐλεῆσαι, καὶ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου.

C Προὔθηκε μὲν γὰρ ὁ τῶν ὅλων Σωτὴρ Κύριος, καὶ πρό γε τῶν ἄλλων τοῖς τῆς Σιὼν τέκνοις, ἤτοι τοῖς ἐξ αἵματος Ἰσραὴλ τὴν διὰ πίστεως χάριν, καὶ διὰ μυρίων ὅσων αὐτοὺς ἀνέπειθε, λέγων, Ἐπιδράξασθε τοῦ καιροῦ, καθ' ὃν ἦν δύνασθαι πιστεύσασιν εἰς αὐτὸν τὰς τοῖς πατράσιν ἐπηγγελμένας καταπλουτῆσαι φιλοτιμίας. Οἱ δὲ ἦσαν ἄτεγκτοι, καὶ ἀπειθεῖς, καὶ γοῦν τῶν διὰ τοῦ πανσόφου Μωσέως ὑπερορῶντες νόμων, καὶ προφητικῶν κηρυγμάτων ὀλίγα πεφροντικότες, καὶ τοῦ πιστεύειν ἐξώλισθον, καὶ ταῖς τῆς κυριοκτονίας ἥλωσαν βρόχοις. Οὐκοῦν ἐξώθησαν ταύτης ἕνεκα τῆς αἰτίας, καὶ τῆς πρὸς αὐτὸν οἰκειότητος τέθεινται μακρὰν, πλὴν σέσωσται τὸ κατάλειμμα, καὶ οὐχ ὁλόῤῥιζος ἀπώλετο ὁ Ἰσραήλ. Βραχεῖς δὲ λίαν οἱ D σεσωσμένοι γεγόνασι, καὶ εὐαρίθμητοι παντελῶς ὡς πρός γε τὴν τῶν ἀπειθούντων πληθύν. Ἀστειότατα τοίνυν ἡ Σιὼν τὸ τῆς Ἰουδαίας μητρὸς ἐπέχουσα πρόσωπον εἰσφέρεται νυνὶ μονονουχὶ, καὶ κλαιούσης ὡς παρεωραμένης παρὰ τοῦ συγκροτοῦντος Θεοῦ. Ταύτῃ τοι, καὶ ὀλιγοστῶν αὐτῇ περιλειφθέντων τέκνων. Ἔφη γὰρ, φησὶν, ὅτι Ἐγκατέλιπέ με Κύριος, καὶ ὁ Κύριος ἐπελάθετό μου. Καὶ τί πρὸς ταῦτα Θεός; Ἀπαράβλητον ἀποφαίνει τὴν εἰς ἀνθρώπους ἀγάπην, καὶ τῇ νοητῇ Θεὸς Σιὼν ἐπαγγέλλεται, τὰ ἐξ οἰκτιρμῶν ἀγαθὰ, καὶ ὡς οὐκ ἂν ἐπιλάθοιτό ποτε τῶν ἑαυτοῦ κτισμάτων πειρᾶται πληροφορεῖν. Ὥσπερ γὰρ οὐκ ἂν ἐπιλάθοιτο τεκοῦσα γυνὴ τῶν ἑαυτῆς τέκνων

βραβευτὴν ἔχουσα τῆς ἀνωτάτω φιλανθρωπίας, ἤτουν A φιλοστοργίας, τὸν τῆς φύσεως νόμον· οὕτως οὐδ' ἂν ἐγὼ ἐπιλαθοίμην, φησὶ, τῶν ἐμῶν· εἰ τάχα που καὶ τῆς ἐν μητράσι φιλοστοργίας ὑπερνήχεται τὰ τοῦ Θεοῦ ἐκεῖνα. Ὁ μὲν γὰρ οὐδὲν ἀπεικὸς, καὶ εἰς λήθην πεσεῖν δύνασθαι. Ἐμὲ δὲ τοῦτο παθεῖν οὐ θέμις. Οὐκοῦν ὁ μὲν λόγος ὡς ἀπό γε τῆς ἐπὶ γῆς Σιὼν, ἤγουν τῆς τῶν Ἰουδαίων μητρὸς παθούσης τὴν ἀπαιδίαν, ἤγουν ὀλιγοπαιδίαν· ἡ δέ γε ὑπόσχεσις ὡς πρός γε τὴν νοητήν ἐστι Σιών· ᾗ καὶ πάνσοφος Παῦλος προσεληλυθέναι φησὶ τοὺς πιστεύσαντας· ἵνα τὴν ἐξ ἐθνῶν, καὶ Ἰουδαίων συναγηγερμένην Ἐκκλησίαν ἐννοῇς, τύπον ἐπέχουσαν τῆς ἄνω, ἧς καὶ ὁ πάνσοφος Παῦλος διαμνημονεύει λέγων· « Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. » Πόλις γάρ ἐστι Θεοῦ ζῶντος, καὶ πρωτοτόκων τροφὸς, καὶ μήτηρ B ἁγίων ἀπογεγραμμένων ἐν οὐρανοῖς, ἧς οὐκ ἂν ἐπιλάθοιτό ποτε Χριστός. Ἀγαπᾷ γὰρ τὴν Ἐκκλησίαν, ἣν αὐτὸς ἑαυτῷ παρέστησε, κτήσας τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, καὶ ἀποκαταλλάξας ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα. Πῶς οὖν ἂν ἐπιλάθοιτο τοῦ ἰδίου σώματος; τοῦτ' ἔστι, τῆς Ἐκκλησίας, ἧς ἐστι κεφαλή.

Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη, καὶ ἐνώπιόν μου εἶ διὰ παντὸς, καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης, καὶ οἱ ἐρημώσαντές σε ἐξελεύσονται ἐκ σοῦ.

Δυσεύρητος κομιδῇ τῶν προκειμένων ὁ νοῦς. Ποίας γὰρ εἶναι τὰς τοῦ Θεοῦ χεῖρας ὑποτοπῆσαι τις ἂν, ἐφ' ὧν καὶ γεγράφθαι τὰ τείχη Σιὼν, ἐννοεῖσθαι θέμις; C Πλεισταχοῦ μὲν τὸ Γράμμα τὸ ἱερὸν χεῖρας ὀνομάζει Θεοῦ, τὰς δραστηρίους αὐτοῦ δυνάμεις, δι' ὧν εἰς τὸ εἶναι τὰ πάντα παρήνεγκεν, εἰ καὶ ἐνεργεῖ τι τῶν κατὰ γνώμην αὐτῷ· οἷον τὴν εἰς τὸ εἶναι πάροδον ἀνθρώπου παντὸς διατρανοῖ λέγων ὁ Μελῳδός· « Αἱ χεῖρές σου ἔπλασάν με, καὶ ἐποίησάν με, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. » Καὶ πάλιν· « Καὶ σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. » Εἶτα πῶς ἄν τις ὑπονοήσειε ταῖς δραστηρίοις δυνάμεσι τοῦ Θεοῦ, καθάπερ ἐν πίνακι γεγράφθαι τὰ τείχη Σιὼν τῆς ἐνθάδε νοουμένης; ἢ καὶ ποίων ὅλως διαμνημονεύει τειχῶν ὁ λόγος; Τί οὖν ἄρα φαμέν; Ἀπείρξειεν ἂν οὐδὲν, ὥς γε οἶμαι, τὸν Χριστοῦ μαθητὴν, τοιοῦτόν τινα τοῖς D προκειμένοις ἐφαρμόσαι νοῦν· Ἠτιᾶτο τὸν Κύριον ἡ Σιὼν, ὡς ἐπιλαθόμενον αὐτῆς. Ἀλλ' ὅτι μὴ τοῦτό ἐστιν ἀληθὲς πειρᾶται δεικνύειν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὡς ἀπό γε τῶν τῆς ἐνανθρωπήσεως, καὶ ὧν ὑπέμεινε δι' ἡμᾶς, γενόμενος καθ' ἡμᾶς. Καίτοι γὰρ ἐξὸν ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς ὑπάρχειν αὐτὸν, οὐχ ἁρπαγμὸν ἐποιήσατο τοῦτο, καθίκετο δὲ μᾶλλον εἰς κένωσιν. Ἔλαβε δούλου μορφὴν, καὶ γέγονεν ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Ἐκρεμάθη γὰρ ἐπὶ ξύλου, προσηλωθεισῶν αὐτοῦ τῶν χειρῶν. Πλὴν τὸ σωτήριον πάθος καθεῖλεν ἀρχὰς, τεθριάμβευκε κοσμοκράτορας τοῦ αἰῶ-

A rum oblivisci nequeo: siquidem affectum indulgentiamque maternam, quæ divina sunt, superant et supereminent. Illa autem, non dissentaneum quin in oblivionem venire possit. Me autem hoc pati fas non est. Itaque oratio est, velut a terrestri Sion, seu Judæorum matre, quæ vel sterilitatem, vel paucitatem liberorum passa est: promissio autem est, velut ad intelligibilem Sion, ad quam sapientissimus Paulus dicit accessisse eos qui crediderunt [9]: ut ex gentibus et Judæis coactam Ecclesiam intelligas, typum habentem superioris, cujus etiam sapientissimus Paulus meminit, cum dicit: « Superna Jerusalem libera est, quæ est mater omnium nostrum [10]. » Civitas enim est Dei viventis, et primogenitorum nutrix, et mater sancto- B rum qui descripti sunt in cœlis: cujus nunquam obliviscetur Christus. Diligit namque Ecclesiam, quam ipse sibi repræsentavit, conditis duobus populis in unum hominem novum, et utroque reconciliato in uno corpore, apud Patrem. Qui autem obliviscatur proprii corporis? id est, Ecclesiæ, cujus ipse est caput.

VERS. 16, 17. *Ecce super manus meas depinxi muros tuos, et coram me es semper, et cito ædificaberis, a quibus destructa es, et qui devastarunt te, egredientur ex te.*

Non facile profecto inveniri potest horum verborum sententia. Quales enim esse Dei manus suspicabitur quis, super quibus depictos muros Sion, C cogitandum est? Sæpenumero enim sacra Scriptura manus Dei nominat, ejus actuosam potentiam, per quam omnia in lucem produxit, et quando aliquid ex animi sui sententia efficit: quemadmodum omnis hominis ingressum in vitam declarat Psaltes cum ait: « Manus tuæ formarunt me, et fecerunt me [11], quia ipsius est mare, et ipse fecit illud, et aridam manus ejus **675** formarunt [12]. » Et rursum: « Et tu ab initio, Domine, terram fundasti, et opera manuum tuarum sunt cœli [13]. » Dein quomodo putabit quispiam actuosa potentia Dei, velut in tabula, pictos esse muros Sion quæ hic intelligitur? vel cujusmodi tandem murorum mentionem facit oratio? Quid igitur dicimus? Nihil D prohibebit, ut opinor, Christi discipulum his verbis hujusmodi sententiam accommodare. Accusabat Dominum Sion, ut qui sui oblitus esset. Quod autem hoc verum non sit, Dominus noster Jesus Christus conatur ostendere ab humanitate veluti, et ab his quæ passus est, factus propter nos nostri similis. Etenim cum licuisset ei in forma et æqualitate Dei et Patris esse, non rapinam illud arbitratus est, sed descendit ad hanc exinanitionem, accepitque formam servi, factus obediens usque ad mortem, et quidem mortem crucis [14]. Suspensus enim est in ligno, affixis clavo manibus. Verum salutaris passio dejecit principatus, et triumphavit

[9] Hebr. XII, 22. [10] Galat. IV, 26. [11] Psal. CXVIII, 73. [12] Psal. XCIV, 5. [13] Psal. CI, 26. [14] Philip. II, 7.

de mundi ac sæculi hujus dominatoribus, omnesque diabolica tyrannide liberavit, nos Deo adduxit. Vibice enim ipsius nos sanati sumus, et super ligno in corpore suo peccata nostra portavit: et ipse quidem languit, at nos servati sumus, et facta est ipsius passio, securitas et murus nobis: ut qui nos ab exsecratione legis redemerit, factus pro nobis exsecratio, et quatenus ipse passus est et tentatus, tentatis succurrit: et passus est extra civitatem, ut suo sanguine populum sanctificaret. Itaque, iterum enim dicam, Christi passio, et pretiosa crux, et manuum ipsius affixio, securitas fuit et murus inaccessus et infractus his qui in ipsum crediderunt. Dicere ergo possit jure: Ecce manibus meis depinxi muros tuos. Intelliges per fossionem manuum, sive passionem hoc uno significari. Depinxi, pro, efformavi, dicit. Et coram me es semper. Si enim passus est pro nobis, quomodo nostri oblivisceretur? vel quomodo non essent in oculis ejus, propter quos ligno affixus est? Sin voluerit quis etiam alio modo horum verborum sententiæ aliud adjicere, nihil absoni fuerit, puto, hoc pacto intelligere, in manibus Dei Patris omnes esse, qui in Christum crediderunt. Hoc licet quidem, **676** opinor, dicere, nec a vero erraverit. Quippe ipse ait: « Oves meæ vocem meam audiunt, et sequuntur me. Et ego do illis vitam æternam. » Porro etiam: « Nemo rapiet eas de manu Patris mei [15]: » utpote quæ sint sub umbraculo superno, et superno auxilio tanquam turri munitæ. Quando igitur Deus et Pater manibus velut nos sustentat, et servat apud se, et non permittit ad quæ fas non est abduci, nec insidiantium malitiæ subjici, nec diabolicæ violentiæ prædam fieri: nihil obstat quominus intelligas etiam Sionis muros quasi depictos esse manibus suis, id est, exercitatos ad decorem spiritualem, et pulchritudinem habentes, ex omni genere virtutis optime dignosci. Muros autem Sionis sub intelligentiam cadentis dicimus, sanctos apostolos et evangelistas, in hoc a Deo positos, et sententia ipsius approbatos, quæ nunquam desinit aut deficit. Scripta sunt enim nomina eorum in cœlis, et positi sunt in libro viventium. Neque mireris, si dicat sanctos esse propugnacula et muros Ecclesiæ. Est enim ipse murus, et circummurale velut munimentum. Quemadmodum autem ipse est lux vera, eos tamen lucem mundi dicit: sic murus cum sit, omnisque securitas eorum qui in ipsum crediderunt, dedit mystagogis quasi illustrem hanc dignitatem, ut vocentur muri suæ Ecclesiæ. Cito, inquit, ædificaberis a quibus destructa fuisti. Nam Judæi, sive Judæorum magistri, terrenam Sion, vel suam matrem demoliti sunt, dum eam a Christo auferrent, et eam fidem non esse accipiendam docerent. Nam dixerunt: « Nos scimus Mosi locutum esse Deum, hic autem unde sit nescimus [16]. » Et cum devenissent in sortem omnium malorum,

A νος τούτου, ἠλευθέρωσεν ἅπαντας τῆς τοῦ διαβόλου τυραννίδος, προσεκόμισεν ἡμᾶς τῷ Θεῷ. Τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, καὶ τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, καὶ ἐμαλακίσθη μὲν αὐτὸς, σεσώσμεθα δὲ ἡμεῖς, καὶ γέγονεν ἡμῖν τὸ αὐτοῦ πάθος ἀσφάλειά τε καὶ τεῖχος· ἠγόρασε γὰρ ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, καὶ ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθεὶς βεβοήθηκε τοῖς πειραζομένοις, ἔξω τε τῆς πόλεως ἔπαθεν, ἵνα ἁγιάσῃ τῷ ἰδίῳ αἵματι τὸν λαόν. Οὐκοῦν, ἐρῶ γὰρ καὶ αὖθις, τὸ Χριστοῦ πάθος, καὶ ὁ τίμιος σταυρὸς, καὶ ἡ προσήλωσις τῶν αὐτοῦ χειρῶν, ἀσφάλεια γέγονε, καὶ τεῖχος ἀπρόσιτόν τε καὶ ἀῤῥαγὲς τοῖς εἰς αὐτὸν πιστεύσασιν. Οὐκοῦν φαίη ἂν εἰκότως, τὸ, Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά
B σου τὰ τείχη. Νοήσεις τὴν διάτρησιν τῶν χειρῶν ἤτοι τὸ πάθος, ὡς δι' ἑνὸς τούτου καταδηλούμενον. Τὸ δὲ Ἐζωγράφησα, ἀντὶ τοῦ ἐνετύπωσα, φησί. Καὶ ἐνώπιόν μου εἶ διὰ παντός. Εἰ γὰρ πέπονθεν ὑπὲρ ἡμῶν, πῶς ἂν ἡμῶν ἐπιλάθοιτο; ἢ πῶς οὐκ ἂν εἶεν ἐν ὀφθαλμοῖς αὐτοῦ δι' οὓς προσηλώθη τῷ ξύλῳ; Εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον τρόπον τῇ τῶν προκειμένων ἐννοίᾳ προσβαλεῖν, οὐδὲν οἶμαι τὸ ἀπεικὸς νοῆσαί τι τοιοῦτον· ἐν ταῖς τοῦ Θεοῦ Πατρὸς χερσὶ πάντας εἶναι τοὺς εἰς Χριστὸν πιστεύσαντας, φαίη ἂν οἶμαί τις, καὶ οὐκ ἂν ἁμάρτοι τἀληθοῦς. Ἔφη γὰρ αὐτός· « Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι, καὶ ἀκολουθοῦσί μοι. Κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον. » Προσέτι καὶ τούτοις, ὡς « Οὐδεὶς ἁρπάσει αὐτὰ ἐκ τῆς χειρὸς τοῦ Πατρός μου, » ἅτε δὴ καὶ ὑπὸ σκέπην ὄντα
C τὴν ἄνω, καὶ ταῖς ἄνωθεν ἐπικουρίαις εὖ μάλα πεπυργωμένα. Ὅτε τοίνυν ἅπαντας μὲν ἐν χερσὶ τοῦ Θεοῦ καὶ Πατρὸς, οἷον ἀνέχοντος ἡμᾶς, σώζοντός τε καὶ παρ' ἑαυτῷ, καὶ οὐκ ἐφιέντος ἀποκομίζεσθαί πῃ πρὸς ἃ μὴ θέμις, οὔτε μὴν ταῖς τῶν ἐπιβουλευόντων ὑποφέρεσθαι δυστροπίαις, ἤγουν διαβολικῆς σκαιότητος γενέσθαι θήραμα, τὸ ἀπεῖργον οὐδὲν, νοεῖν, καὶ τὰ τῆς Σιὼν τείχη, οἷον ἐζωγραφῆσθαι ταῖς ἑαυτοῦ χερσὶ, τοῦτ' ἔστιν, ἐξησκημένα πρὸς ἀστειότητα τὴν πνευματικὴν, καὶ ὡραϊσμὸν ἔχοντα τὸ ἐξ ἁπάσης ἀρετῆς εὖ μάλα διαγινώσκεσθαι. Τείχη δέ γε τῆς νοητῆς Σιὼν γενέσθαι φαμὲν τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστὰς, τεθειμένους εἰς τοῦτο παρὰ Θεοῦ, καὶ ἀδιάληπτον ἔχοντας παρ' αὐτῷ τὴν γνώμην. Ἐγέγραπτο γὰρ αὐτοῖς ἐν οὐρανοῖς τὰ ὀνόματα, τέθεινται
D δὲ καὶ ἐν βίβλῳ ζώντων. Καὶ μή τοι θαυμάσῃς, εἰ περιβόλους καὶ τείχη τῆς Ἐκκλησίας τοὺς ἁγίους εἶναί φησιν. Ἔστι μὲν γὰρ αὐτὸς τὸ τεῖχος, καὶ περιτεῖχος· Ὥσπερ δὲ... ὑπάρχων, καὶ ἀσφάλεια πᾶσα τῶν πιστευσάντων εἰς αὐτὸν, δέδωκε τοῖς ἁγίοις μυσταγωγοῖς ὡς ἐν ἀξιώματος τάξει λαμπροῦ, τὸ καλεῖσθαι τείχη τῆς Ἐκκλησίας αὐτοῦ. Ταχὺ δὲ, φησὶν, οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης. Ἰουδαῖοι μὲν γὰρ, ἤγουν τῶν Ἰουδαίων, καθηγηταὶ, τὴν ἐπίγειον Σιὼν, ἤτοι τὴν ἑαυτῶν μητέρα καθεῖλον, ἀποφέροντες αὐτὴν τοῦ Χριστοῦ, καὶ ἀπαράδεκτον ποιεῖσθαι τὴν πίστιν διδάσκοντες. Ἔφασκον γάρ: « Ἡμεῖς οἴδαμεν ὅτι

[15] Joan. x, 27, 28. [16] Joan. ix, 29.

Μωσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί. » Διελάσαντες δὲ εἰς λῆξιν τοῦ παντὸς κακοῦ, καὶ ἀνελόντες τὸν κληρονόμον, παραίτιοι γεγόνασι τοῦ πεσεῖν αὐτήν. Ἀλλ' ὥσπερ Ἰουδαῖοι καθεῖλον, οὕτω πάλιν Ἰουδαῖοι ὄντες οἱ θεσπέσιοι μαθηταὶ, ἤγειραν αὐτὴν μεταβαλοῦσαν δηλονότι, οὐ μείνασαν ὅπερ ἦν, τοῦτ' ἔστιν, ἀπειθῆ, καὶ Κυριοκτόνον, ἀλλ' ἐν πίστει διαπρέπουσαν, δῆλον δὲ ὅτι τῇ ἐν Χριστῷ. Οἱ δὲ ἐρημώσαντες αὐτὴν ἐξῆλθον ἀπ' αὐτῆς. Ἐκβέβληντο γὰρ οἱ πρῶτοι καθηγηταὶ, καὶ ἀντέστησαν ἕτεροι, ὧν καὶ ἀρτίως διεμνημονεύσαμεν· οὐ γὰρ ἦν ἑτέρως μεταβαλεῖν αὐτὴν, καὶ ἀγαπῆσαι Χριστὸν, καὶ τῆς τοῦ νόμου σκιᾶς ἀνθελέσθαι σκιὰν, εἰ μὴ τοῦ καθηγεῖσθαι παρανόμως αὐτῆς ἐξώσθησαν μὲν οἱ πρῶτοι, ἀντεγήγερται δὲ τῶν ἁγίων μυσταγωγῶν ὁ χορὸς, ὧν καὶ ὁ θεσπέσιος Δαβὶδ ἀρίστην ποιεῖται μνήμην, ψάλλων που, καὶ λέγων πρὸς τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· « Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν, καὶ μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. »

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε πάντας. Ἰδοὺ συνήχθησαν, καὶ ἦλθοσαν πρὸς σέ. Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ἐνδύσῃ, καὶ περιθήσῃ αὐτοὺς ὡς κόσμον νύμφης.

Διὰ πάσης ἁγίας καὶ θεοπνεύστου Γραφῆς διηγόρευται σαφῶς, ὅτι μερὶς καὶ κλῆρός ἐστι Χριστοῦ τοῖς ἐξ αἵματος Ἰσραὴλ, ἢ τοῖς τέκνοις τῆς ἐπιγείου Σιὼν, ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς. « Ἐπιστρέψουσι γὰρ, » φησὶ, « πρὸς Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν. » Καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν. Παρεισβέβληκε μὲν γὰρ, ἀπειθησάντων αὐτῶν, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ἣν καὶ νοητὴν Σιὼν εἶναί φαμεν. Κεκλήσονται δὲ κἀκεῖνοι, ἔσονται μία ποίμνη, εἷς ποιμὴν, ὥστε μηκέτι δύο Σιὼν ὀνομάζεσθαι, ἄμφω δὲ εἰς μίαν Ἐκκλησίαν τελεῖν, ἑνὸς τοῦ πάντων ἀρχιποίμενος ὑπὸ χεῖρα γεγενημένους. Ὅτι δὲ πάντη τε καὶ πάντως ἔσται ταῦτα, πληροφορεῖ λέγων πρὸς τὴν τῶν Ἰουδαίων μητέρα· Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε πάντας. Ἰδοὺ συνήχθησαν, καὶ ἦλθοσαν πρὸς σέ. Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ἐνδύσῃ, καὶ περιθήσῃ ὡς κόσμον νύμφης. Κατεσκεδάσθησαν μὲν γὰρ ὡς οὐκέτι ποιμένος ὑφεστηκότος αὐτοῖς. Εἴρηται γάρ που δι' ἑνὸς τῶν ἁγίων προφητῶν, ὡς ἐκ προσώπου Χριστοῦ· Καὶ εἶπα, Οὐ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα Ἐσθιέτω ἕκαστος τὴν σάρκα τοῦ πλησίον αὐτοῦ. Τὸ γὰρ ὅλως ἐκπεπτωκὸς τῆς παρὰ Θεοῦ φειδοῦς καὶ ἀγάπης, ὁποῖον ἂν οὐ πάθοι τὸ βλάβος; Προσκείσονται γὰρ τοῖς ἐθέλουσι διασπᾷν, καὶ ἀποφέρειν αὐτοὺς οἷπερ ἂν ἑκάστῳ τῶν ἀδικούντων δοκεῖ. Ἀποκομίζουσι δὲ Θεοῦ, καὶ πονηροὶ, καὶ ἀλητήριοι δαίμονες. Γέγραπται γὰρ, ὅτι « Μερίδες ἀλωπέκων ἔσονται. » Δρῶσι δὲ τοῦτο, καὶ τὰ πολύτροπά τε καὶ ἐν ἡμῖν ὄντα πάθη. Δεδόσθαι γάρ φησιν ὁ πάνσοφος Παῦλός τινας εἰς πάθη ἀτιμίας, καὶ εἰς ἀδόκιμον νοῦν. Τί οὖν ἐν

A et sustulissent hæredem : in causa fuerunt ut illa caderet. Sed ut Judæi demoliti sunt, sic rursus Judæi genere divini discipuli eam excitarunt, mutatam videlicet, non ut erat manentem, id est rebellem et dominicidam, sed fide nimirum in Christo resplendentem. Hi autem qui devastarunt eam, ab ea egressi sunt : quippe ejecti sunt primi duces, et loco eorum surrexerunt alii, quos jam commemoravimus. Non enim aliter licuit illam mutare, et Christum diligere, et pro legis umbra, veritatem amplecti, nisi primi depulsi **677** essent, ne illam inique moderarentur. Excitatus est contra sanctorum mystagogorum chorus, quorum David ille divinus pulcherrimam facit mentionem, psallens et inquiens ad universorum Servatorem Christum : B « Constitues eos principes super omnem terram, et recordabuntur nominis tui in omnem æternitatem [17]. »

VERS. 18. *Attolle undique oculos tuos, et vide omnes. Ecce congregati sunt, et venerunt ad te. Vivo ego, dicit Dominus, quia omnibus his vestieris, et circumdaberis eis quasi ornamento sponsæ.*

In tota sancta et divinitus inspirata Scriptura, clare dictum est, portionem et sortem Christi esse sanguine Israelitico oriundos, seu terrenæ Sion liberos, in extremis sæculi temporibus. « Revertentur enim, » inquit, « ad Dominum Deum suum, et ad C David regem suum [18]. » Et stupebunt in Domino, et in bonis ejus, postremis diebus. Subingressa est enim, illis diffidentibus, Ecclesia gentium, quam etiam intelligibilem Sion esse dicimus. Vocabuntur autem et illi, eritque unum ovile, unus pastor, ut non amplius duæ Sion nominentur, sed ambæ in unam consummentur Ecclesiam, unius summi pastoris manui subditam. Quod autem hæc prorsus penitusque futura sint, probat, cum Judæorum matrem alloquitur : Tolle undiquaque oculos tuos, et vide omnes. Ecce congregati sunt, et venerunt ad te. Vivo ego, dicit Dominus, quia omnibus eis vestieris, et circumdaberis velut ornatu sponsæ. Erant enim disjecti, perinde quasi nullus pastor illis præfuisset. Dictum enim est per unum e sanctis D prophetis, velut in persona Christi : Et dixi, Non pascam vos : moriens moriatur, et deficiens deficiat, et reliqua. Et comedat quisque carnes proximi sui. Etenim quod in totum a divina misericordia et amore excidit, quibus tandem incommodis id non est obnoxium? Expositi enim erunt quibuslibet, ut diripiant eos et auferant, quocunque visum sit cuique eorum qui injuriam solent facere : et abducunt a Deo mali ac perniciosi dæmones. Scriptum est enim : « Partes vulpium erunt [19]. » Quod etiam faciunt multiplices in nobis perturbationes. Nam tradi quosdam sapientissimus Paulus ait [20] in perturbationes ignominiosas, et in mentem

[17] Psal. XLIV, 17, 18. [18] Ose. III 5. [19] Psal. LXII, 11. [20] Rom. I, 24 seqq.

reprobam. Quid igitur hisce verbis divina promittit oratio? Vocationem **678** et collectionem eorum qui dissipati sunt, et reversionem in spiritu eorum qui perierunt, et reditum eorum qui fugerunt, et reversionem et expergefactionem, et amoris in Christum præmia. Circumspice namque, inquit, et specta omnes. Ecce congregati sunt ad te. Ut autem firmam ratamque promissionem faciat, jurejurando quod dictum est confirmat, et inquit : Vivo ego, dicit Dominus, quia omnibus eis induam te velut ornatu sponsæ. Nam ecclesiarum ornamentum est multitudo aggregata. Nam ideo solet divinitus inspirata Scriptura Ecclesiam vestitu aureo et variegato exornare. Quemadmodum enim variæ et pretiosissimæ lapidum, Indicorum, inquam, species, aureis regulis inhærescentes, admirabile quoddam et spectabile ornamentum adjungunt : ita quoque sanctorum animæ virtutum insignibus decoratæ, splendidissima pulchritudine fulgent Divinitatis oculis, ita ut quisque gratias agat Christo, et dicat : Exsultet anima mea in Domino. Induit enim me veste salutis, et tunicam lætitiæ sponsalem ornatum mihi circumdedit, et quasi sponsæ circumposuit mihi mitram.

VERS. 19-21. *Quoniam deserta tua, et dissipata, et quæ corruerunt, nunc angustiora fient quam ut habitatores capere possint : et procul segregabuntur a te, qui devorant te. Dicent enim in aures tuas filii tui quos perdidisti : Angustus mihi locus est; fac mihi locum, ut habitem. Et dices in corde tuo : Quis genuit mihi istos? Ego quidem sine liberis, et vidua; hos ergo quis enutrivit mihi? Ego quidem derelicta sum sola; isti autem ubi mihi erant?*

Ex rebus quæ velut aspectu sentiuntur, et manifestiores sunt, etiam nunc contexit orationis habitum. Nam cum Israel non crederet, ipsique Christo manus intulisset, omnis Judæorum regio vastata est, ipsumque adeo templum incensum est una cum Hierosolymis : et tanta virorum paucitas Judæam occupavit, ut id subinde beatus propheta Isaias ænigmatice indicet. Ait enim : « Et apprehendent septem mulieres virum unum, dicentes : Panem nostrum comedemus, et vestibus nostris amiciemur, modo tuo nomine vocemur. Aufer opprobrium nostrum [21]. » Nam in lege dictum est : « Non erit effeta neque **679** sterilis in filiis Israel [22]. » Hique orbitatis dedecus intolerabile putaverunt. Cum igitur bellum omne genus masculum consumpsisset, et qui reliqui erant, pauci admodum essent : septem mulieres dixit rogaturas unum virum, ut ipsarum auferret dedecus, id est, orbitatem. Quia vero onerosum erat unum virum septem mulieribus satis dare : panem suum edere, et vestibus suis amiciri pro-

A τούτοις ὁ θεῖος ὑπισχνεῖται λόγος; Κλῆσιν καὶ συγκομιδὴν τῶν κατεσκεδασμένων, καὶ τὴν ἐν πνεύματι τῶν ἀπολωλότων ἐπιστροφὴν, καὶ τὴν τῶν δραπετευσάντων ἐπάνοδον, ἐπιστροφήν τε καὶ ἐγρηγόρησιν, καὶ τῆς εἰς Χριστὸν ἀγάπης τὰ γέρα. Περίβλεψαι γάρ, φησὶ, καὶ ἄθρει τοὺς ἅπαντας. Ἰδοὺ συνήχθησαν πρὸς σέ. Ἵνα δὲ πιστὴν ἀποφανῇ τὴν ὑπόσχεσιν, ὅρκῳ βεβαιοῖ τὸ ῥηθὲν, καί φησι· Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ἐνδύσω εἰς κόσμον νύμφης. Κόσμημα γὰρ ἐκκλησιῶν τὸ σύστημα. Διὰ γάρ τοι τοῦτο τὴν Ἐκκλησίαν ἱματισμῷ διαχρύσῳ καὶ πεποικιλμένῳ κατακοσμεῖν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ· ὅνπερ γὰρ αἱ πολυειδεῖς καὶ πολυτελέστατοι τῶν λίθων, φημὶ δὴ τῶν Ἰνδικῶν, χρυσοῖς *κανόσιν* (1) ἐνισχημέναι, θαυμαστόν τι καὶ ἀξιοθέατον ἐπιτελοῦσι
B κόσμημα· οὕτω καὶ αἱ τῶν ἁγίων ψυχαὶ τοῖς ἐξ ἀρετῶν αὐχήμασιν ἐξωραϊσμέναι, φαιδρὸν ἀποστίλβουσι κάλλος τοῖς τῆς Θεότητος ὀφθαλμοῖς, ὥστε καὶ ἕκαστον εὐχαριστοῦντα τῷ Χριστῷ λέγειν· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. Ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης ὡς νυμφίῳ περιέθηκέ μοι κόσμον, καὶ ὡς νύμφῃ περιέθηκέ μοι μίτραν.

*Ὅτι τὰ ἔρημά σου, καὶ τὰ διεστραμμένα, καὶ τὰ πεπτωκότα, νῦν στενοχωρήσει ἀπὸ τῶν κατοικούντων, καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ καταπίνοντές σε. Ἐροῦσι γὰρ εἰς ὦτά σου οἱ υἱοί σου, οὓς ἀπολώλεκας· Στενός μοι ὁ τόπος, ποίησόν
C μοι τόπον, ἵνα κατοικήσω. Καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου· Τίς ἐγέννησέ μοι τούτους; Ἐγὼ δὲ ἄτεκνος, καὶ χήρα. Τούτους δὲ τίς ἐξέθρεψέ μοι; Ἐγὼ δὲ κατελείφθην μόνη. Οὗτοι δέ μοι ποῦ ἦσαν;*

Ὡς ἐκ τῶν ἐν ὄψει καὶ ἐμφανεστέρων πραγμάτων ἐξυφαίνει καὶ νῦν τοῦ λόγου τὸ σχῆμα· ἀπιστήσαντος μὲν τοῦ Ἰσραὴλ, καὶ αὐτῷ τὰς χεῖρας ἐπενεγκόντος Χριστῷ, πεπόρθηται πᾶσα τῶν Ἰουδαίων ἡ χώρα, ἐνεπρήσθη δὲ τοῖς Ἱεροσολύμοις ὁμοῦ, καὶ αὐτὸς ὁ νεὼς, καὶ τοσαύτη λειψανδρία κατέσχε τὴν Ἰουδαίαν, ὥστε τὸν μακάριον προφήτην Ἡσαΐαν αἰνιγματωδῶς αὐτὸ δὴ τουτὶ καταμηνῦσαι πλεισταχοῦ. Ἔφη γάρ, ὅτι « Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς, λέγουσαι, Τὸν ἄρτον ἡμῶν φαγώμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλλώμεθα, πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς. Ἄφελε τὸν ὀνειδισμὸν
D ἡμῶν. » Εἴρηται μὲν γὰρ διὰ τοῦ νόμου, τὸ « Οὐκ ἔσται ἄγονος, οὐδὲ στεῖρα ἐν υἱοῖς Ἰσραήλ. » Οἱ δὲ τῆς ἀπαιδίας οὐ φορητὸν ἐποιοῦντο τὸν ὀνειδισμόν. Ὡς οὖν τοῦ πολέμου δαπανήσαντος ἅπαν τὸ ἄρσεν γένος, καὶ εὐαριθμήτων παντελῶς ὑπολελειμμένων, ἑπτὰ γυναῖκας ἔφη δεχθήσεσθαι ἑνὸς ἀνδρὸς, ὥστε ἀφελεῖν αὐτῶν τὸν ὀνειδισμὸν, τοῦτ' ἔστι, τὴν ἀπαιδίαν. Ἐπειδὴ δὲ φορτικὸν ἀρέσαι γυναιξὶν ἑπτὰ τὸν

[21] Isa. IV, 1, 2. [22] Exod. XXIII, 26.

(1) *Κανόσιν*. Hunfred. ad marginem scripserat κίοσιν, dubitans num legendum esset κανόσιν. Sed nullus conjecturæ locus, imo retinenda lectio. Canones enim dicebantur in operibus cujuscunque materiæ exstantia a reliqua superficie ornamenta, quæ quidem producerentur in modum regulæ. Quod notavit Casaubon. ad Athen. V, 7.

ἵνα, τὸν ἑαυτῶν ἄρτον ἐσθίειν ἐπαγγέλλονται, καὶ τὰ ἑαυτῶν ἱμάτια περιβάλλεσθαι, ὡς οὐδενὸς ὅλως δεηθησόμεναι τῶν παρ' αὐτοῦ. Δεδιέναι γὰρ μόνον διεβεβαιοῦντο τὸν τῆς ἀπαιδίας ὀνειδισμὸν, ὡς ἔφην. Ὡς οὖν εἰς ἐρημίαν παντελῆ καταστάσης αὐτῶν τῆς χώρας, λύσιν ὑπισχνεῖται τοῦ συμβεβηκότος, καὶ τὰ ἔρημα, καὶ τὰ πεπτωκότα στενοχωρήσεσθαί φησιν ἀπὸ τῶν κατοικούντων. Μακρυνθέντων δηλονότι τῶν καταπιόντων αὐτὴν, δῆλον δὲ ὅτι τῶν καθηγεῖσθαι λαχόντων· οἳ μονονουχὶ καθάπερ τινὲς θῆρες ὠλόθρευσαν, καὶ κατέπιον αὐτήν. Διαδείκνυσι δὲ τὴν τῶν κληθησομένων πληθὺν, ὡς πολλή τε εἴη, καὶ ἀναρίθμητος. Οἱ γὰρ υἱοί σου, φησὶν, οὓς ἀπολώλεκας, ἐροῦσιν εἰς τὰ ὦτά σου, Ποίησόν μοι τόπον. Εἴρηται δέ που καὶ πρὸς τὴν νοητὴν Σιών· « Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τῶν αὐλαίων σου πῆξον. Μὴ φείσῃ, ἔτι εἰς τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἐκπέτασον. » Ἀνέγνωμεν δὲ καὶ ἐν τοῖς Μωσέως βίβλοις, ὅτι περὶ τὴν ἐν τῇ ἐρήμῳ σκηνὴν, διά γέ φημι τῶν δέῤῥεων ἀποτελεσθεῖσαν, εὐρεῖαι καὶ εὐμήκεις ἐτάχθησαν αὐλαὶ, τοῦτο μὲν εἰς ἠῶ καὶ ἀκτῖνα βλέπουσαι, τοῦτο δὲ καὶ εἰς δύσιν κατόπιν τῆς σκηνῆς, ναὶ μὴν εἰς βοῤῥᾶν καὶ νότον, ὑπεμφαίνοντος τοῦ τύπου τὸ ἐσόμενον κατὰ καιροὺς τῶν ἱερῶν αὐλῶν, ἤτοι τῶν ἐκκλησιῶν, πλάτος τε καὶ μῆκος. Πλὴν καὶ οὕτως πλεοναζούσης ἀεὶ τῆς χάριτος τῆς παρὰ Χριστοῦ, στενοὶ τοῖς πιστεύσασιν οἱ τόποι πανταχοῦ, ὥστε καὶ χαίρουσαν τὴν Ἐκκλησίαν, ἥτις ἐστὶ νοητὴ Σιὼν, ἀναλογίσασθαι, καὶ καθ' ἑαυτὴν βοᾷν· Τίς ἐγέννησέ μοι τούτους; Ἐγὼ δὲ φαίην ἂν, ὅτι πίστις ἡ ἐν Χριστῷ. Δι' αὐτῆς γὰρ ἄτεκνος οὖσα καὶ χήρα, πολλὴ γέγονας ἐν τέκνοις· αὕτη σοι τοὺς σοὺς ἐξέθρεψε λαοὺς, καὶ ἡ πάλαι καταληφθεῖσα μόνη, πεπλούτηκας ἀδοκήτως, καὶ πολύπαις ὤφθης, ἡ πάλαι γυμνὴ καὶ μόνη.

Οὕτω λέγει Κύριος· Ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου, καὶ εἰς τὰς νήσους ἀρῶ σύσσημόν μου, καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπ' ὤμων ἀροῦσι. Καὶ ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχουσαι τροφοί σου ἐπὶ πρόσωπον τῆς γῆς. Καὶ προσκυνήσουσί σοι, καὶ τὸν χοῦν τῶν ποδῶν σου λείξουσι. Καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος, καὶ οὐκ αἰσχυνθήσῃ οὔτε μὴν ἐντραπήσῃ.

Ἐπαγγειλάμενος τῇ Σιὼν ὡς πολύπαις ἔσται καὶ εὔπαις, καὶ εἰς τοῦτο πληθύος ἥξουσι τὰ τέκνα αὐτῆς, ὥστε καὶ εὐρυτέρων ἢ πάλαι δεῖσθαι τόπων, καὶ ἐκπλατύνεσθαι παρακαλεῖν τὴν σκηνὴν, καταδείκνυσιν εὐθὺς ὅτι μὴ μᾶλλον ἐξ Ἰσραὴλ, ἀλλ' ἐκ τῆς τῶν ἐθνῶν ἀγέλης ἡ τῶν ἐπηγγελμένων αὐτῇ τέκνων ἀναφαίνεται πληθύς. Ἀληθὲς δὲ τὸ χρῆμα, καὶ δι' αὐτῶν ἔστιν ἰδεῖν τῶν πραγμάτων. Σέσωσται μὲν γὰρ τὸ κατάλειμμα τῶν ἐξ Ἰσραήλ· βραχὺ δὲ τοῦτο, καὶ εὐαρίθμητον· σεσαγήνευται δὲ διὰ πίστεως τῆς ἐν Χριστῷ ἡ ὑπ' οὐρανὸν. καὶ τῶν ἀποστολικῶν τε καὶ εὐαγγελικῶν κηρυγμάτων ἡ δύναμις προσεκόμισεν αὐτῷ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν. Ὅτι τοίνυν ἔσται τοῦτο, διαδείκνυσιν εἰπών· Ἰδοὺ ἐγὼ αἴρω εἰς

[33] Isai. LIV, 2.

mittunt: quasi nulla re ejus prorsus opus essent habituræ. Solum enim affirmarunt se timere, ut dixi, orbitatis ignominiam. Itaque perinde quasi in solitudinem omnino redacta esset eorum regio, liberationem pollicetur ab eo quod contigit: et ait, deserta et quæ corruerunt, angustiora fore quam ut capiant habitatores: procul abactis scilicet iis qui eam absorbent, nimirum qui præfecturam obtinebant: qui tanquam feræ quædam tantum non vastarunt eam et absorpserunt. Ostendit autem vocandorum multitudinem, utpote quæ copiosa esset futura et innumerabilis. Filii enim tui, inquit, quos perdidisti, in aurem tibi dicent: Fac mihi locum. Est etiam dictum ad Sion intelligentia perceptam: « Dilata locum tabernaculi tui, et pelles tentoriorum tuorum fige. Ne parcas, adhuc in dextris et sinistris extende[33]. » Legimus item in libris Moysis, in tabernaculo ex pellibus in deserto confecto, spatiosa et bene longa tentoria fuisse constituta, partim ad orientem et solis radium spectantia, partim ad occasum post tabernaculum, et versus aquilonem et austrum: qui typus amplitudinem et longitudinem sacrorum tentoriorum, seu ecclesiarum, suo tempore futuram subindicat. Verumtamen sic gratia Christi semper abundante, angusti erunt loci utique credentibus, adeo ut apud se reputet Ecclesia, quæ est intelligibilis Sion, et apud se clamet: Quis generavit mihi istos? Ego vero dicerem, fidem in Christo genuisse. Per eam namque orba et vidua, numerosa facta es ac plena liberis: hæc tibi tuos enutrivit populos. Et quæ olim inventa es sola, præter opinionem ditata es, et liberis fecunda apparuisti, quæ quondam nuda eras et solitaria.

VERS. 22, 23. *Sic dicit Dominus: Tollo ad gentes manum meam, et ad insulas tollam signum meum, et adducent filios tuos in sinu, filiasque tuas in humeris portabunt. Et erunt reges nutritii tui, et reginæ nutrices tuæ* **690** *super faciem terræ. Et adorabunt te, et pulverem pedum tuorum lingent. Et scies me esse Dominum, et non pudore afficieris, neque confunderis.*

Cum promisisset Sion habituram ipsam et multos et probos liberos, filiosque suos eo multitudinis venturos, ut ampliore loco quam olim indigerent, et dilatari tabernaculum rogarent: statim demonstrat, non ex Israel solum, sed ex gentium aggregatione hanc promissorum ipsi filiorum multitudinem exorituram. Verum hoc quidem est, et ex ipsis rebus licet perspicere. Residuum enim ex Israel servatum est: sed exiguum illud quidem et facile numerabile: sed et irretitus ac captus est per fidem in Christo orbis terrarum, et apostolicæ atque evangelicæ prædicationis virtus universæ terræ incolas ei adduxit. Quod igitur hoc futurum sit, ostendit: Ecce, inquiens, ego tollo ad gentes manum

meam. Significat autem illud Tollo, exalto, extollo. Manus autem fortitudinem aut virtutem denotare potest. Quando enim gentibus innotuit Christus per evangelicam prædicationem, et excelsus factus est et conspicuus, propter ea quæ edidit miracula, et per resurrectionem e mortuis, quando signum pretiosæ crucis exhibitum est apud eos qui Deum natura et vere aliquando non noverant : tunc Sion copiosa sobole aucta et ditata est : tunc undique ad eam accurrebant, et sibi mutuo acclamabant, hortantes et dicentes : « Adeste, conscendamus montem Domini, et in domum Dei Jacob, et annuntiabunt nobis viam ejus, in eaque ambulabimus [24]. » Quod vero ad domum Dei pergentibus, abruptum aut asperum, aut obstaculum omnino nullum futurum sit, declarat, eum ait : Adducent filios tuos in sinu, et filias tuas super humeros tollent. Nam velut alumni erant gentium, beati discipuli, et qui post eos, sacræ mystagogiæ sermonem proferunt, et præsunt Ecclesiis. Etenim eos qui fide accedunt, tantum non in sinu gestant, et in humeris repositos ferunt, nihil grave imponentes, sed velut infantes lacte nutrientes, et simplicem, et illis ad intelligendum facilem catecheseos sermonem apponentes. Quod rursus alibi nos docuit ipse propheta Isaias, dicens : « Via piorum recta facta est, et
681 præparata est via piorum [25]. » Via enim Domini judicium. Induxit etiam divinum Baptistam clamantem et dicentem : « Parate viam Domini, rectas facite semitas Dei nostri. Omnis vallis implebitur, et omnis mons et collis humilis erit, et vertentur obliqua in rectam viam, et aspera in vias planas [26]. » Quod igitur his qui ad Sion tanquam ad matrem ire contendunt, futurus sit accessus citra omnem sudorem, illud subindicare potest, in gremium assumi, et in humeros tolli filios ejus et filias. Quod etiam honore summo et gloria et felicitate circumfluent, porro demonstrat, inquiens : Reges eorum nutritii erunt, et reginæ nutrices. Licet enim, licet videre, propter dominatorum pietatem, honore affectos, et omni misericordia dignatos, eos qui in Christum crediderunt, adeo ut nihil aliud quam eorum alumni esse videantur. Si enim in faciem procumbant, et adorent Sion, id est, Ecclesiam, et velut in terram extensis manibus projecti, tantum non pulverem pedum ejus lingant : dubium non est quin ii qui ad hanc cognitionem provecti sint, et hac pietatis gratia illustrati, illud suis factis adjiciant, ut electos honore afficiant, et qui in Christum crediderunt, eos in liberorum loco habeant. Quo facto, non jam ut sterilis et vidua pudore afficietur Sion, quæ, quoad Judæos, orbata erat liberis, sed erit gloria coronata.

τὰ ἔθνη τὴν χεῖρά μου. Σημαίνει δὲ τὸ Αἴρω, τὸ ὑψῶ, καὶ ἐπαίρω. Ἡ δέ γε χεὶρ τὴν ἰσχὺν ἤτοι τὴν δύναμιν ὑπεμφήνειεν ἄν. Ὅτε γὰρ τοῖς ἔθνεσιν ἐγνωρίσθη Χριστὸς διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων, ὑψηλός τε γέγονε καὶ διαπρεπὴς δι' ὧν εἴργασται θαυμάτων, καὶ διὰ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, ὅτε τὸ σύσσημον τοῦ τιμίου σταυροῦ παρεδείχθη, καὶ παρὰ τοῖς οὐκ εἰδόσι ποτὲ τὸν φύσει καὶ ἀληθῶς ὄντα Θεὸν, τότε πεπλούτηκε Σιὼν τὴν πολυπαιδίαν, τότε δρομαῖοι πανταχόθεν ἀφίκοντο πρὸς αὐτὴν προτροπάδην, ἀλλήλοις ἐπιφωνοῦντες, καὶ λέγοντες· « Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελοῦσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. » Ὅτι δὲ τοῖς εἰς τὸν οἶκον ἰοῦσι τὸν θεῖον, ἄναντες ἢ τραχὺ ἤγουν ἐμποδὼν ἔσται παντελῶς οὐδὲν, διαδείκνυσι λέγων· Ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπ' ὤμων ἀροῦσι. Παιδοκόμοι γὰρ ὥσπερ τοῖς ἐξ ἐθνῶν γεγόνασιν οἱ μακάριοι μαθηταὶ, καὶ οἱ μετ' ἐκείνους ἔτι τὸν τῆς ἱερᾶς μυσταγωγίας προϊσχόμενοι λόγον, καὶ προεστῶτες Ἐκκλησιῶν. Τοὺς γάρ τοι προσιόντας τῇ πίστει μονονουχὶ, καὶ ἐν κόλποις αἴρουσι, καὶ εἰς ὤμους ἀνατιθέμενοι φέρουσι, μοχθηρὸν οὐδὲν ἐπιτάττοντες, ἀλλ' οἷον γάλακτι τρέφοντες νηπιοπρεπῶς, καὶ τὸν ἁπλοῦν αὐτοῖς καὶ εὐσύνοπτον κομιδῇ τῆς κατηχήσεως παρατιθέντες λόγον. Τοῦτο πάλιν αὐτὸς ἡμᾶς ὁ προφήτης Ἡσαΐας ἐδίδαξεν εἰπὼν ἑτέρωθί που· « Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς εὐσεβῶν. » Ἡ γὰρ ὁδὸς Κυρίου κρίσις. Εἰσκεκόμικε δὲ καὶ τὸν θεσπέσιον, καὶ Βαπτιστὴν βοῶντα, καὶ λέγοντα· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. » Ὅτι τοίνυν ἱδρῶτος δίχα παντὸς, ὡς ἐπὶ μητέρα τὴν Σιὼν ἰέναι προθυμουμένοις, ἡ διὰ πίστεως ἄφιξις ἔσται, τὸ εἰς κόλπους ἀναλαμβάνεσθαι, καὶ ἐπ' ὤμων αἴρεσθαι τούς τε υἱοὺς αὐτῆς καὶ μέντοι τὰς θυγατέρας, ὑπεμφήνειεν ἄν. Ὅτι δὲ καὶ τιμῆς τῆς ἀνωτάτω, δόξης τε καὶ εὐπαθείας ἔσονται μεστοὶ, προσαποφαίνει λέγων ὡς Ἔσονται μὲν βασιλεῖς αὐτῶν τιθηνοὶ, αἱ δὲ ἄρχουσαι τροφοί. Ἔστι γὰρ, ἔστιν ἰδεῖν καὶ διὰ τῆς τῶν κρατούντων εὐσεβείας θεραπευομένους διὰ τιμῆς τοὺς εἰς Χριστὸν πιστεύσαντας, καὶ φειδοῦς ἁπάσης ἠξιωμένους, ὥστε καὶ δοκεῖν τροφέας αὐτῶν εἶναι μᾶλλον, καὶ ἕτερον οὐδέν. Εἰ γὰρ πίπτουσιν ἐπὶ πρόσωπον, καὶ προσκυνήσουσι τὴν Σιὼν, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν, καὶ οἷον ἀποτεταμέναις χερσὶν εἰς γῆν ἐῤῥιμμένοι, μονονουχὶ καὶ λείχουσι τὸν χοῦν τῶν ποδῶν αὐτῆς· πῶς οὐκ ἂν ἀμφίβολον εἴη ἂν, ὅτι γνώμης εἰς τοῦτο προβεβηκότες, καὶ τῇ τῆς εὐσεβείας χάριτι κατηγλαϊσμένοι, προσθεῖεν ἂν τοῖς ἑαυτῶν ἐπιτηδεύμασι καὶ τὸ χρῆναι τιμᾷν τοὺς ἐξειλεγμένους, καὶ οἵπερ ἂν εἰς Χριστὸν πιστεύσειαν, τούτους ἐν τάξει καταλογιοῦνται τέκνων; Οὗ δὴ γεγονότος οὐχ ὡς ἄτεκνος ἔτι καὶ χήρα καταισχυνθήσεται ἡ τό γε ἧκον εἰς Ἰουδαίους ἀτεκνωθεῖσα Σιὼν, ἀλλ' ἔσται δόξῃ κατεστεμμένη.

VERS. 24. *Num detrahet quis giganti spolia? Et cum captivos duxerit injuste, servabitur?*

Μὴ λήψεταί τις παρὰ γίγαντος σκῦλα; Καὶ ἐὰν αἰχμαλωτεύσῃ ἀδίκως τις, σωθήσεται;

[24] Isa. II, 3. [25] Isa. XXVI, 7. [26] Luc. III, 4, 5.

Ἐρώτησιν μὲν ὑποπλάττεται τὸ σχῆμα τοῦ λόγου, πλὴν ἀπαιτεῖ τὴν σύνεσιν. Ὁ δέ γε τῶν προκειμένων νοῦς τοιοῦτός ἐστί τις· Κατείληπτο μὲν γὰρ ἡ ὑπ' οὐρανὸν ὑπό τε τοῦ διαβόλου καὶ τῆς τῶν δαιμονίων ἀγέλης· οὐχ ἦν ἐπὶ τῆς γῆς ὁ τῆς ἐκείνων σκαιότητος τὴν τυραννίδα διαφυγών. Οὐ γὰρ ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνὸς, ἀλλ' ἓν κατὰ πάντων τὸ τῆς ἁμαρτίας τετάνυστο λῖνον, σκότος δὲ καὶ ἀχλὺς ταῖς ἁπάντων καρδίαις ἐνσκήψασα, ἀπεκόμισέ τε τοῦ εἰδέναι τὸν φύσει καὶ ἀληθῶς ὄντα Θεὸν, προσνενέμηκε δὲ τοῖς κεκρατηκόσι. Προσεκύνουν γοῦν, οἱ μὲν τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ τοῖς τοῦ κόσμου στοιχείοις, οἱ δὲ καὶ αὐτοῖς λελατρεύκασι τοῖς τὴν ἀφόρητον ἐπιτιθεῖσι πλεονεξίαν. Γεγόνασι τοίνυν ὡς ὑπὸ τυράννῳ σκληρῷ δορύληπτοι, καὶ αἰχμάλωτοι, καί τό γε ἧκον εἰς τὸν ἐνόντα νοῦν, τῷ χειρωσαμένῳ. B Ἀλλ' οὐδεὶς ἦν ὅλως ὁ ἐπαμῦναι δυνάμενος τοῖς ἠδικημένοις. Ἔφη γοῦν εἰς ἀσχέτους ὑποψίας ἀναφυσώμενος, ὅτι Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ, ὡς νοσσιὰν, καὶ ὡς ὠὰ καταλελειμμένα ἀρῶ, καὶ οὐκ ἔστι ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι. Τοιαύτην ἔχοντος τοῦ διαβόλου κατὰ τῶν ἐπὶ γῆς τὴν ὀφρῦν, διαπυνθάνεται, καί φησιν ὁ Σωτὴρ, Μὴ λήψεταί τις παρὰ γίγαντος σκῦλα; ὃ δυσχερές φησι, καὶ δυσήνυτον, νικῆσαι τὸν ἰσχυρὸν, γίγαντα γὰρ ἐν τούτοις τὸν ἰσχυρὸν ὀνομάζει, καὶ σκῦλα λαβεῖν παρ' αὐτοῦ. Εἶτα πῶς τοῦτο ἀμφίβολον; Δυσάντητοι γὰρ οἱ τοιοίδε λίαν, καὶ οὐ τοῖς ἐθέλουσιν εὐκαταγώνιστοι, μόνοις δὲ μᾶλλον ἁλώσιμοι τοῖς ὑπερτενῆ καὶ ἄμαχον αἴρειν κατ αὐτῶν ἰσχύουσι χεῖρα. Ἀλλ' ἐγὼ, C φησὶ, λήψομαι, καὶ ἀπαλλάξω τοὺς ἠδικημένους, καὶ τὸν τῆς δουλείας αὐτῶν ἀποῤῥήξας ζυγὸν, τῇ τῆς ἐλευθερίας χάριτι λαμπροὺς ἀποφανῶ. Πλὴν ὅτι δικαία ψῆφος τοῦ Θεοῦ σκυλεύσει τὸν Σατανᾶν, καὶ τῶν εἰς ἡμᾶς πεπλημμελημένων ἐξαιτήσειε δίκας τὸν ἀλιτήριον, πιστώσεται προσεπενεγκὼν, Καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως, σωθήσεται. Ὡς ἐν ἐρωτήσει πάλιν καὶ ὑποστιγμῇ τὸν στίχον ἐκδεξόμεθα. Ὁ γὰρ ἀδίκως ἐπιπηδῶν τοῖς ἠδικηκόσιν οὐδὲν, εἶτα τούτους αἰχμαλώτους ἑλὼν, καὶ ταλαιπωρίαις ἀφύκτοις ἐμβαλὼν, οὐ σωθήσεται, εἰσπραχθήσεται δὲ μᾶλλον τῶν αὐτῷ τετολμημένων τὰς δίκας. Οὐκοῦν ἀνήσει μὲν τοὺς ἐν τάξει σκύλων, ἤγουν δορυκτήτων ὑπ' αὐτῶν γεγονότας, προσοφλήσει δὲ καὶ τῶν ὑπ' αὐτοὺς οὐκ ἐν δίκῃ γεγονότων τοὺς λόγους. D Τοιοῦτον καὶ ἑτέρωθί πού φησιν· Ὃν τρόπον ἱμάτιον πεφυρμένον ἐν αἵματι οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρὸς, διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας, οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον. Προσαναμνήσει δέ τις τοὺς ἐντευξομένους τῇδε τῇ συγγραφῇ, ὡς καὶ αὐτὸς ὁ Σωτὴρ εὑρίσκεταί τι τοιοῦτον εἰπὼν ἐν τοῖς εὐαγγελικοῖς θεσπίσμασιν· « Ἢ πῶς δύναταί τις, » φησὶν, « εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τότε διαρπάσει σκεύη αὐτοῦ; » Οἶκον μὲν γὰρ ἰσχυροῦ, τοῦτ' ἔστι, τοῦ Σατανᾶ, τὸν περίγειον χῶρον ἔφη, καὶ

Interrogatione informatur orationis habitus : verum requirit intelligentiam. Horum autem verborum mens hæc est : Captus est orbis terrarum a diabolo et a grege dæmoniorum : nec erat cuiquam in terra integrum eorum perversitatis tyrannidem effugere. Nec enim erat qui faceret bonum, non erat usque ad unum : sed unum per omnes peccati linum extensum erat, et tenebræ et caligo omnium incumbebant cordibus : ita ut a natura et vere Deo abducerentur, et his qui dominati sunt traderentur. Adorabant enim alii creaturam supra Creatorem, et mundi elementa : alii eos qui intolerabili sævitia oppresserant, **682** coluerunt. Itaque facti sunt duro tyranno subditi et captivi, qui etiam mentem intertyranno subditi et captivi, qui etiam mentem in servitutem et captivitatem redegit. Sed nemo prorsus erat qui injuria affectis subvenire posset. Hinc intemperanti fastu inflatus dixit : Orbem universum comprehendam manu velut nidum, et velut ova derelicta tollam : nec est qui effugiat me, vel qui contradicat mihi. Cum ergo ad hunc modum supercilium erigeret contra terræ incolas diabolus, sciscitatur et inquit Servator : Num detrahet quis a gigante spolia [27]? Difficile est, inquit, et arduum vincere fortem (gigantem enim hic, fortem nominat), et spolia ei detrahere. Qui enim hoc dubium est? Sunt enim hi valde sævi, nec quibuslibet expugnabiles, sed his solummodo expositi et ad capiendum faciles, qui protensa et invicta manu eos volent oppugnare. Sed ego, inquit, detraham, et liberabo injuria affectos : et jugo servitutis abjecto, libertatis gratia illustres reddam. Verum quod justa Dei sententia deprædetur Satanam, et delictorum in nos a scelerato pœnas deposcat, confirmabit, cum addit : Et si captivos duxerit injuste, servabitur? Veluti per interrogationem, interposita subdistinctione, hunc versum accipiemus. Nam qui injuste in eos qui nullam injuriam fecerunt insilit, et eos deinde captivos abducit, et in calamitates inevitabiles conjicit, non servabitur : sed eorum quæ ausus est, pœnas solvet. Itaque dimittet eos qui instar spoliorum seu captivorum erant illi subditi, rationemque insuper reddet eorum quæ præter æquum et justum in illos fecerit. Cujusmodi est quod alibi dicit : Quemadmodum vestis sanguine polluta non erit munda, sic neque tu eris mundus, propterea quod terram meam perdidisti, et populum meum occidisti : non manebis in æternum tempus. Admoneri etiam possunt hi qui hanc Scripturam legent, ipsum etiam Servatorem inveniri tale quidpiam dixisse in evangelicis oraculis : « Quomodo enim, » inquit, « potest quis ingredi domum fortis, et vasa ejus diripere, nisi prius ligaverit fortem, et tum vasa ejus diripiat [28]? » Domum enim fortis, id est Satanæ, hunc orbem terrarum dixit, non quasi vere ejus esset, sed quia ab eo esset occupatus. Sed postquam ingressum est illam **683** incarnatum Verbum, ineffabili potentia ligato forti, vasa ejus,

[27] Luc. XI, 21. [28] Matth. XII, 29.

id est, qui eadem cum ipso quondam sentiebant, ad se traduxit. Ut enim electionis vasa sanctos esse dicimus, sic vasa etiam diabolica, eos qui ei subsunt, et idem cum illo sapere voluerunt vel coacti sunt, nominamus.

οὐχ ὡς ὄντα αὐτοῦ κατὰ ἀλήθειαν, ἀλλ' ὅτι κατείληπτο παρ' αὐτοῦ. Ἐπειδὴ δὲ εἰσῆλθεν εἰς αὐτὸν σαρκωθεὶς ὁ Λόγος, ἀφράστῳ δυνάμει καταδήσας τὸν ἰσχυρὸν, μετέθηκεν εἰς ἑαυτὸν τὰ σκεύη αὐτοῦ, τοῦτ' ἔστι, τοὺς τὰ αὐτοῦ φρονοῦντάς ποτε· Ὥσπερ ἐκλογῆς σκεύη, τοὺς ἁγίους εἶναί φαμεν, οὕτω καὶ σκεύη διαβολικὰ, τοὺς ὑπ' αὐτῷ γεγονότας, καὶ τὰ αὐτοῦ φρονεῖν ἑλομένους, ἤγουν κατηναγκασμένους.

Vers. 25. *Sic dicit Dominus : Si quis captivum duxerit gigantem, accipiet spolia : accipiens autem a forti, servabitur.*

Dixi jam inexplicabili et divina potentia Dominum nostrum Jesum Christum ingressum fuisse domum fortis, id est, in mundum cum carne venisse, et eum qui quondam occupavit et vi subjecit universæ terræ habitatores, eosque peccati jugo subdidit, ac ceu captivos reddidit, spoliasse, et quasi in vincula infracta conjectum, et catenis caliginis in tartarum præcipitatum, tradidisse in judicium magni diei, custodiendum et puniendum, illumque demum diripuisse ; illis vero qui sub eo erant persuasisse ut recurrerent, vellentque Deo vere subjici, et ejus nutui obedire, et ea exsequi satagant, unde salutem possent consequi. Postquam vero obtinuisset victoriam Christus, et ad nos quoque victoriam transmisit : verum non absque illo vincimus. Laus enim virtutis sanctorum ipse est, juxta vocem Psallentis [28*]. Quippe sapientissimus Paulus inquit : « Omnia possum in Christo, qui me corroborat [29]. » Itaque hanc viam nobis aperuit et complanavit, ut possemus fortem spoliare, sive gigantem, nimirum Satanam. Si quis captivum duxerit, inquit, gigantem, accipiet spolia. Quando enim viribus diaboli superiores sumus, et inimicorum insultus evitamus, arma benevolentiæ per omnia habentes ipsummet Christum : tunc malum spoliamus, et victricem sententiam reportamus, et ejus perversitate et malitia fortiores esse videmur. Verum hanc vincendi facultatem adesse viriliter agentibus, per Christum, et non aliter posse quempiam ad hanc dignitatem pervenire, ostendit pulcherrime, cum adjicit : Accipiens autem a forti, servabitur. Etenim si ille dederit ut illum homicidam draconem superemus, illum spoliabimus, et præterea servabimur, transmittente nos hac victoria ad perennem **684** vitam, ad gloriam, ad laudem et ad regnum cœlorum. Dixit etiam ipse Christus, cum spoliasset Satanam, et viam planam et æquabilem ad victoriam obtinendam, his qui in ipsum crediderunt, reddidisset : « Ecce dedi vobis facultatem conculcandi super serpentes et scorpiones, et supra omnem potentiam inimici, et nihil potest vobis nocere [30]. » Verum est igitur quod accipientes a forti, id est, ab ipso (est enim ille exercituum Dominus), et servamur, et vincimus. Quin et aliter spoliare quis poterit Satanam, si ejus subditos et aberrantes, ad veræ Dei cognitionis lucem artificiose reducat, et a vitiositate ad sanctam vivendi rationem traducat.

Οὕτω λέγει Κύριος· Ἐὰν τις αἰχμαλωτεύσῃ γίγαντα, λήψεται σκῦλα· λαμβάνων δὲ παρὰ ἰσχύοντος, σωθήσεται.

Ἔφην ἀρτίως ὅτι δυνάμεσι ταῖς ἀῤῥήτοις καὶ θεοπρεπέσι χρώμενος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, τοῦτ' ἔστιν, εἰς τόνδε τὸν κόσμον ἀφῖκται μετὰ σαρκὸς, καὶ τὸν πάλαι πλεονεκτοῦντα, καὶ βιαζόμενον τοὺς ἀνὰ πᾶσαν τὴν γῆν, καὶ τοῖς τῆς ἁμαρτίας αὐτοὺς ὑποφέροντα ζυγοῖς, καὶ ἐν δορυκτήτων τάξει πεποιημένον, ἐσκύλευσέ τε καὶ οἷον δεσμοῖς ἀῤῥήκτοις ἐμβαλὼν, σειραῖς ζόφου ταρταρώσας, παρέδωκεν εἰς κρίσιν μεγάλης ἡμέρας τηρεῖσθαι κολασθησόμενον, ἐσκύλευσέ τε καὶ μετὰ τοῦτο αὐτὸν, παλινδρομεῖν ἀναπείσας τοὺς ὑπ' αὐτῷ γεγονότας, εἴς γε τὸ θέλειν τῷ κατ' ἀλήθειαν ὑποκεῖσθαι Θεῷ, καὶ τῶν αὐτοῦ νευμάτων ἀντέχεσθαι, καὶ ἀποπεραίνειν ἐπείγεσθαι τὸ τελοῦν αὐτοῖς εἰς σωτηρίας εὕρεσιν. Ἐπειδὴ δὲ καὶ κεκράτηκεν ὁ Χριστὸς, παρέπεμψε τὸ νικᾷν καὶ εἰς ἡμᾶς αὐτοὺς, πλὴν οὐ δίχα αὐτοῦ· τὸ γὰρ καύχημα τῆς δυνάμεως τῶν ἁγίων αὐτός ἐστι, κατὰ τὴν τοῦ Ψάλλοντος φωνήν. Καὶ γοῦν ὁ πάνσοφος Παῦλος· « Πάντα ἰσχύω, φησὶν, ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. » Οὐκοῦν ἱππήλατον καὶ ἡμῖν ἀποφαίνων τὸ δύνασθαι σκυλεύειν τὸν ἰσχυρὸν, ἤτοι τὸν γίγαντα, φημὶ δὴ τὸν Σατανᾶν. Ἐάν τις αἰχμαλωτεύσῃ γίγαντα, φησὶ, λήψεται σκῦλα. Ὅτε γὰρ διαβολικῆς ἰσχύος περιγιγνόμεθα, καὶ τὰς τῶν ἐχθρῶν ἐφόδους διαδιδράσκομεν γενικῶς ὅπλον εὐδοκίας αὐτὸν ἔχοντες τὸν Χριστὸν, τότε σκυλεύομεν τὸν πονηρὸν, καὶ τὴν νικῶσαν ψῆφον ἀποφερόμενοι, καὶ κρείττους ἀναδεδειγμένοι τῆς ἐνούσης αὐτῷ σκαιότητός τε καὶ πονηρίας. Πλὴν ὅτι παρὰ Χριστοῦ τὸ δύνασθαι νικᾷν τοῖς ἀνδριζομένοις προσγένοιτ' ἂν, καὶ οὐκ ἂν ἑτέρως εἰς τοῦτο εὐκλείας διελάσειέ τις, διαδείκνυσιν εὖ μάλα προστιθείς· Λαμβάνων δὲ παρ' ἰσχύοντος σωθήσεται. Διδόντος γὰρ ἡμῖν τὸ δύνασθαι κατευμεγεθεῖν τοῦ μιαιφόνου δράκοντος, σκυλεύσομεν αὐτὸν, σωθησόμεθα δὲ πρὸς τούτῳ παραπέμποντος ἡμᾶς τοῦ νικᾷν εἰς ἀμύρητον ζωὴν, εἰς δόξαν, εἰς καύχημα, καὶ εἰς βασιλείαν οὐρανῶν. Ἔφη δέ που καὶ αὐτὸς ὁ Χριστὸς, σκυλεύσας τὸν Σατανᾶν, καὶ τὴν ὁδὸν δύνασθαι κρατεῖν ψιλὴν, καὶ εὐήλατον τοῖς εἰς αὐτὸν πιστεύσασιν ἀποφήνας· « Ἰδοὺ δέδωκα πατεῖν ἐπάνω ὄφεων ὑμῖν, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. » Ἀληθὲς οὖν, ὅτι λαβόντες παρ' ἰσχύοντος, τοῦτ' ἔστιν, αὐτοῦ, καὶ γάρ ἐστιν αὐτὸς ὁ τῶν δυνάμεων Κύριος, σεσώσμεθά τε καὶ νενικήκαμεν. Σκυλεύσειε δ' ἄν τις καὶ ἑτέρως τὸν Σατανᾶν, τοὺς

[28*] Psal. LXXXVIII, 18. [29] Philip. IV, 13. [30] Luc. X, 19.

ὑπ' αὐτῷ γενομένους καὶ πεπλανημένους εἰς τὸ τῆς ἀληθοῦς θεογνωσίας φῶς ἀποκομίζων εὐτέχνως, καὶ μεθιστὰς ἐκ φαυλότητος εἰς εὐζωΐαν ἁγιοπρεπῆ.

A *Ἐγὼ δὲ τὴν κρίσιν σου κρινῶ, καὶ ἐγὼ τοὺς υἱούς σου ῥύσομαι, καὶ φάγονται οἱ θλίψαντές σε τὰς σάρκας αὐτῶν, καὶ πίονται ὡς οἶνον νέον τὸ αἷμα αὐτῶν, καὶ μεθυσθήσονται, καὶ αἰσθανθήσεται πᾶσα σάρξ, ὅτι ἐγὼ ὁ ῥυσάμενός σε. καὶ ἀντιλαμβανόμενος ἰσχύος Ἰακώβ.*

VERS. 26. *Ego autem judicium tuum judicabo, et ego filios tuos liberabo, et comedent qui afflixerunt te carnes suas, et bibent quasi vinum novum sanguinem suum, et ebrii erunt, et sentiet omnis caro quia ego Dominus qui liberavi te, et qui adjuvi fortitudinem Jacob.*

Ποιεῖται μέντοι τοὺς λόγους ὡς πρός γε φημὶ τὴν Σιών. Υἱοὺς δὲ αὐτῆς ὀνομάζειν ἔοικεν ἐν τούτοις τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστάς, καὶ τοὺς μετ' ἐκείνους ἔτι κεκλημένους εἰς ἱερουργίαν· οἳ καὶ φωστῆρες ἐν κόσμῳ γεγόνασι λόγον ἐπέχοντες ζωῆς, καὶ διακηρύττοντες πανταχοῦ τὴν δόξαν Χριστοῦ, καὶ τῆς παρ' αὐτοῦ σωτηρίας τὴν δύναμιν ἐμφανῆ καθιστῶντες τοῖς ἀνὰ πᾶσαν τὴν γῆν, οἷς δὴ καὶ ὑπῆν οἷά τις θὴρ ὠμός, τε καὶ ἀπηνής, καὶ ἀρχέ- B κακος δράκων, θλίψεις καὶ διωγμοὺς ἐπισωρεύων αὐτοῖς, καὶ καταθήγων ἀφορήτως τοὺς τῆς ἐνούσης αὐτῷ μοχθηρίας ὑπασπιστάς. Ἐπεχειρήθησαν γοῦν διωγμοὶ πλειστάκις, κατὰ τῶν ἁγίων Ἐκκλησιῶν, καὶ τυράννων ἀγρίως ὠμότης ἐπιπηδήσασα, παρεκόμισε πολλοὺς εἰς τοὺς ἐπὶ τοῖς μαρτυρίοις ἀγῶνας. Ἀλλ' ἐγώ, φησίν, ὦ Σιών· φαμὲν δὲ εἶναι τὴν Ἐκκλησίαν, ἣν δὴ καὶ Σιὼν ἀποκαλεῖ· τὴν κρίσιν σου κρινῶ, καὶ ἐγὼ τοὺς υἱούς σου ῥύσομαι. Ἀδικήσαντες γὰρ οὐδὲν οἱ Θεῷ προσκείμενοι, καὶ ἐπ' οὐδενὶ τὸ σύμπαν ἀτόπῳ κατεγνωσμένοι, εἶτα τοὺς μέχρι ψυχῆς καὶ αἵματος διενεγκόντες ἀγῶνας μετὰ λαμπρῶν ἀνδραγαθημάτων εἰς τὰς ἄνω τρέχουσι μονάς· πλὴν τό γε ἧκον εἰς τὸν τῶν ἐπιβουλευσάντων σκοπόν, τεθνήκασί τε καὶ ἀπολώλασιν. Οὐκοῦν ἡ ἐπὶ C τούτοις κρίσις, ἤτοι δικαιοκρισία πάντη τε καὶ πάντως ἔσται παρὰ Θεοῦ. Οἱ μὲν γὰρ δι' εὐσέβειαν τοὺς εὐκλεεστάτους ἀγῶνας διανηξάμενοι, καὶ εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως καταντήσαντες, τὸν τῆς ἀφθαρσίας ἀναδήσονται στέφανον. Οἱ δέ γε τὴν δίωξιν ἐπενεγκόντες αὐτοῖς, καὶ ἀπεκτονότες ἀδίκως, οὓς ἦν ἄμεινον ἐπείγεσθαι ζηλοῦν, τὰς ἑαυτῶν ἔδονται σάρκας, καὶ οὐ τὸ τῶν πεπονθότων μᾶλλον, ἀλλὰ τὸ οἰκεῖον ὥσπερ ἐκροφήσουσιν αἷμα. Ἃ γὰρ ἑτέροις ἐπήγαγον, οὐκ ἐν δίκῃ πείσονται μᾶλλον ψήφῳ δικαίᾳ Θεοῦ, στεφανοῦντος μὲν τοὺς πεπονθότας, ὑποφέροντος δὲ μακρᾷ καὶ ἀτελευτήτῳ κολάσει τοὺς ἀδικήσαντας. Ἔσται δὲ ἡ τοιαύτη δικαιοκρισία γνωριμωτάτη πάσῃ σαρκί, τοῦτ' ἔστιν, ἀνθρώπῳ παντί. Ἔσονται γὰρ ἐν τοῖς δι' εὐσέβειαν κινδυνεύου- D σιν. Ὡς ἀντιλήψεται πάντη τε καὶ πάντως ἡ παρ' ἐμοῦ βοήθεια τοῦ καὶ ἐνισχύοντός σε τὸν Ἰακώβ, τοῦτ' ἔστι, τὸν ἐκ σπέρματος Ἰακώβ. Ἔφην δέ, ὅτι γέγραπταί πως ὁ προφητικὸς ἐν τούτοις λόγος, εἰς πρόσωπον τῶν ἁγίων ἀποστόλων τε καὶ εὐαγγελιστῶν, οἵπερ ἦσαν ἐξ Ἰακώβ, κατά γέ φημι, τὴν σάρκα. Οὐκ ἀπίθανον δὲ καὶ Ἰακὼβ ὀνομάζεσθαι πτερνιστὴν ἅπαντα, τοῦτ' ἔστι, τὸν πτερνίζοντα τὸν Σατανᾶν, καὶ τοὺς τῆς ἁμαρτίας παρελαύνοντα βρόχους εὐτέχνως τε ἅμα καὶ νεανικῶς. Πτερνιστὴς γὰρ ὁ Ἰακὼβ ἑρμηνεύεται.

Verba facit, ut dixi, ad Sion; filios autem ejus hic videtur dicere, sanctos apostolos et evangelistas, et eos qui post illos vocati sunt præterea ad ministerium: qui etiam mundi lumina fuerunt, sermonem vitæ adhibentes, et ubique gloriam Christi prædicantes, et vim salutis ejus declarantes his qui universum orbem terrarum incolunt: contra quos etiam, ceu fera quæpiam immanis et immitis, et malorum princeps draco, afflictiones et persecutiones accumulavit, et in eos improbitatis suæ satellites intolerabiliter stimulavit. Itaque persecutiones sæpe contra sanctas Ecclesias excitatæ sunt, et tyrannorum crudelitas immaniter insiliens, multos in martyrii certamen discrimenque adduxit. Sed ego, inquit, o Sion (eam vero dicimus esse Ecclesiam, quam Sion appellat), judicium tuum judicabo; et ego filios tuos liberabo. Qui enim nullam intulerunt injuriam, Deo adhærentes, et de nullo fœdo crimine accusati, deinde etiam pro vita et sanguine certamen subiverunt, cum his illustribus factis currunt ad suprema habitacula: verum quantum ad consilium eorum qui insidias comparaverunt, mortui sunt et perierunt. Itaque judicium contra istos, sive justum judicium fiet omnino a Deo. Qui enim propter pietatem **685** e nobilissimis hisce certaminibus enatarunt, et ad bravium supernæ vocationis devenerunt, incorruptionis corona revincientur. At qui insectati sunt eos, et injuste eos occiderunt, quos præstabat æmulari, suas carnes edent, et non eorum qui passi sunt, sed proprium velut absorbebunt sanguinem. Nam quæ irrogarunt aliis non juste, patientur ipsi justa sententia, Deo eos qui passi sunt coronante: eos qui injuria affecerunt, diuturnæ et æternæ punitioni subjiciente. Eritque hoc justum judicium omni carni, id est, omni homini notissimum. Nam qui propter pietatem in periculum veniunt, omnino auxilium feretur illis a me, qui te juvare possum, Jacob, id est, ex semine Jacob. Dixi autem hunc sermonem propheticum scriptum esse in persona sanctorum, et apostolorum, et evangelistarum, qui erant ex Jacob, quod sane ad carnem attinet. Nec tamen absurdum est, ut Jacob nominetur quivis supplantator, id est qui supplantat Satanam, et qui callide et quasi juvenili impetu laqueos peccati transilit. Jacob autem interpretatur supplantator.

Οὕτως λέγει Κύριος· Ποῖον βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν· ἐν ᾧ ἐξαπέστειλα

CAP. L. VERS. 1. ***Sic dicit Dominus: Qualis est liber repudii matris vestræ? cui dimisi eam? aut cui***

creditori vendidi vos? Ecce peccatis vestris dimisi A *matrem vestram.*

Sine corpore, et a materia sejuncta, et sine specie atque simplex est Divinitas: nemoque qui recte facit, de eo ullam speciem assumit corporalem. Verum sancta Scriptura humano more nobiscum de ea loquitur. Nec enim aliter intelligere possent qui in hoc palpabili et crasso sunt corpore, nisi hæ res quæ apud nos sunt exempli gratia adducerentur: ut ex rebus sub sensum aspectumque venientibus, ex parte saltem intelligamus aliquid de divina et suprema essentia, quæ omnem speciem corpoream superat. Observa etiam hic humano more habitam esse a propheta orationem. Nam velut vir quispiam B cum uxore habitans, et copulatus cum populo Judaico disserit, et loquitur de matre ipsorum: matre, inquam, quæ est terrestris et sensibilis Jerusalem: ut inde rursus in persona unius mulieris, eorum societas intelligatur. **686** Quemadmodum enim cum Ecclesiam dicimus, non circuitui murorum vim hujus dictionis accommodamus, sed piorum in ea potius sanctissimam multitudinem significamus: sic etiamsi quis matrem Judæorum dicat, ipsos nihilo secius designat. Itaque non ego, inquit, ejeci matrem vestram, cum essem ei sponsi vice, et probitatis semina jecerim, cum per legem, tum etiam per prophetas: sed illa potius divertit, jura quæ mihi debentur parvifaciens, et pro nihilo ducens quodammodo esse cum Deo. Nam qualis liber repudii ei C datus est a me? Neminem enim Deus a suo consortio extrudit, nec quemquam rejicit eorum qui recto pede solent incedere; sed quicunque sunt in fide germani, et omnis honestatis scientes, his permittit ut liceat perpetuo societatis et conjunctionis cum illo firmas quasi opes possidere. Ab hac tanta gloria excidit quisquis divinis ejus oraculis tota mente repugnat et dissidet, et voluptatis quam Dei est amantior. Proinde quasi viri loco cum matre Judæorum cohabitasset, Qualis, inquit, liber repudii matris vestræ? cui illam dimisi? Nec enim quisquam, inquit, probaverit me illam repulisse et odio habuisse, sed illam accusabit potius, ut quæ sponte sua me deseruerit. Cui autem creditori vendidi vos? D Alius est in his verbis orationis habitus ac figura. Nam velut famulos herus alloquitur. An enim, inquit, velut homo inopia pecuniæ pressus, et in creditores [χρεώστης, *debitor* vel *creditor*] incidens, peregre proficiscens aliis dominis famulos meos exposui? At hoc quam plane stultum est vel cogitare, vel dicere! Supra enim necessitatem et inopiam est Divinitas, nec quidquam habet illa cum ea commercii. Igitur non vendidi, inquit, neque elocavi vos aliis heris, qui me diligitis, et a meis pendetis oraculis. Quomodo ergo alienæ servitutis jugum subiistis? Causa hujus mali vobis fuit peccatum. Hujus enim causa fabrificavit vos omnes peccati pater, et omnis vitiositatis inventor, quique eos qui a consortio conjunctioneque cum Deo ex-

A *αὐτήν; ἢ τίνι ὑπόχρεως πέπρακα ὑμᾶς; ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν.*

Ἀσώματόν τε τὸ Θεῖον, ἄϋλόν τε καὶ ἀφανὲς, καὶ ἁπλοῦν. Καὶ οὐκ ἄν τις ἐπ' αὐτῷ τὰ εἰκότα δρῶν φαντασίαν τινὰ λάβῃ σωματικήν. Πλὴν τὸ Γράμμα τὸ ἱερὸν ἀνθρωπίνως ἡμῖν τὰ περὶ αὐτοῦ διαλέγεται. Οὐ γὰρ ἦν ἑτέρως νοεῖν δύνασθαι τοὺς ἐν ἁπλοῖς καὶ παχέσιν ὄντας σώμασιν. Εἰ μὴ καθάπερ ἐν τάξει παραδειγμάτων παρεκομίσθη τὰ καθ' ἡμᾶς, ἵνα ἐκ τῶν ἐν αἰσθήσει καὶ ὁρατῶν πραγμάτων, κἂν γοῦν ἐκ μέρους νοεῖν ἰσχύσωμεν, τὰ περὶ τῆς θείας τε καὶ ὑπερτάτης οὐσίας, ἣ καὶ πάσης ἐστὶν ἐπέκεινα φαντασίας σωματικῆς. Ἄθρει δὴ ἐν τούτοις ἀνθρωποπρεπῆ γεγονότα τῷ προφήτῃ τὸν λόγον. Οἷα γάρ B τις ἀνὴρ γυναικὶ σύνοικος, καὶ συνηρμοσμένος, τοῖς Ἰουδαίων δήμοις διαλέγεται, καί φησι περὶ τῆς αὐτῶν μητρός· φημὶ δὴ τῆς ἐπιγείου, καὶ αἰσθητῆς Ἱερουσαλήμ· ἵνα δὴ πάλιν δι' αὐτοῦ, καὶ ὡς ἐν προσώπῳ μιᾶς γυναικὸς τὸ αὐτῶν νοῆται σύστημα. Ὥσπερ γὰρ Ἐκκλησίαν λέγοντες, οὐ ταῖς τῶν τειχῶν περιβολαῖς τὴν τῆς λέξεως δύναμιν ἐπάγειν εἰθίσμεθα, καταδηλοῦμεν δὲ μᾶλλον τῶν ἐν αὐτῇ θεοσεβεῖν ᾑρημένων τὴν εὐαγεστάτην πληθύν· οὕτω κἂν εἴ τις λέγοι τὴν Ἰουδαίων μητέρα, πάλιν οὐδὲν ἧττον αὐτοὺς κατασημαίνει. Οὐκοῦν οὐκ ἐγὼ, φησὶν, ἀποβέβληκα τὴν μητέρα ὑμῶν, καίτοι γεγονὼς αὐτῇ καθάπερ ἐν τάξει νυμφίου, καὶ τὰ τῆς ἐπιεικείας σπέρματα καταβαλὼν διά τε νόμου καὶ προφητῶν· C ἀπεφοίτησε δὲ μᾶλλον αὐτὴ τῶν εἰς ἐμὲ δικαίων ὀλιγωρήσασα, καὶ μικροῦ παντελῶς ἀξιώσασα λόγου τὸ εἶναι μετὰ Θεοῦ. Ἐπεὶ ποῖον αὐτῇ δέδοται παρ' ἐμοῦ τῆς ἀποστασίας βιβλίον; Ἐκπέμπει μὲν γὰρ οὐδένα Θεὸς τῆς πρὸς αὐτὸν οἰκειότητος· ἀποσείεται δὲ τῶν ὀρθοποδεῖν εἰωθότων οὐδένα· ἀλλ' οἵπερ ἂν εἶεν γνήσιοί τε πρὸς πίστιν, καὶ ἀγαθουργίας ἁπάσης ἐπιστήμονες, τούτοις ἐφίησι τὸ ἐξεῖναι διὰ παντὸς τὴν πρὸς αὐτὸν οἰκειότητα καταπλουτεῖν ἀραρότως. Ἔξω γε μὴν τῆς τοιαύτης ἔρχεται δόξης ὅ γε τοῖς θείοις αὐτοῦ θεσπίσμασιν ἀσυμφυῆ καὶ ἀσύμβατον τὴν διάνοιαν ἔχων, καὶ φιλήδονος ὢν μᾶλλον, ἢ φιλόθεος. Οὐκοῦν ὡς ἐν ἀνδρὸς τάξει, τῇ τῶν Ἰουδαίων συνοικίσας μητρί· Ποῖον, φησὶ, τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ἐν ᾧ ἐξαπέστειλα αὐτήν; D Οὐ γὰρ ἄν τις ἐπιδείξειε, φησὶν, ἐμὲ μᾶλλον αὐτὴν ἐξώσαντα, καὶ μεμισηκότα, καταγνώσεται δὲ μᾶλλον αὐτῆς, ὡς αὐτόκλητον ἑλομένης τὴν ἀπόστασιν. Τίνι δὲ ὑπόχρεως ὢν πέπρακα ὑμᾶς; Ἕτερον ἐν τούτοις τὸ σχῆμα τοῦ λόγου. Ὡς γὰρ οἰκέταις δεσπότης διαλέγεται. Ἆρα γὰρ, ὡς ἄνθρωπος, φησὶν, ἐν ἐνδείᾳ χρημάτων πεπιεσμένος, καὶ χρεώσταις περιπεσὼν ἀπεδόμην δεσπόταις ἑτέροις οἰκέτας ὄντας ἐμούς; Καίτοι πῶς τοῦτο οὐκ εὔηθες παντελῶς, ἢ νοεῖν, ἢ φράσαι; Πέρα γὰρ ἀνάγκης τὸ Θεῖον, καὶ οὐδὲν ἐπέκεινα τὸ σύμπαν αὐτοῦ. Οὐκοῦν οὐ πέπρακα, φησὶν, οὐδ' ἂν ἐξεδόμην ἑτέροις δεσπόταις, ἀγαπῶντας ἐμὲ, καὶ τῶν ἐμῶν θεσπισμάτων ἀπηρτημένους. Πῶς οὖν ἄρα τὸν τῆς ἑτέρων δουλείας ὑπεμείνατε ζυγόν; Πρόφασις ὑμῖν τοῦ κακοῦ γέγονεν ἡ

A ἁμαρτία. Ταύτης γὰρ ἕνεκα κατεκτήσατο πάντας ὑμᾶς ὁ τῆς ἁμαρτίας πατὴρ, καὶ φαυλότητος πάσης εὑρετής· καὶ τοὺς τῆς πρὸς Θεὸν οἰκειότητος ἀποπίπτοντας ἁρπάζων εἰς ἑαυτὸν, καὶ τοῖς τῶν κακῶν βόθροις ἐγκαθιεὶς, καὶ εἰς πέταυρον ᾅδου κατακομίζων αὐτούς. Ἕψεται γὰρ πάντως τοῖς ὠλισθηκόσι τῆς πρὸς Θεὸν οἰκειότητος τὸ δεῖν ἀφύκτοις ἐγκαταπείρεσθαι βρόχοις. Δεινὸς γὰρ εἰς πλεονεξίαν ὁ Σατανᾶς, καὶ οὕσπερ ἂν ἴδοι τῶν ἐπὶ γῆς ὀλιγωρεῖν ἑλομένους τοῦ εἶναι μετὰ Θεοῦ τούτους τοῖς ἰδίοις ὑποφέρει ζυγοῖς, καὶ ἐν τοῖς ἐσχάτοις κατακομίζει κακοῖς, δούλους αὐτοὺς ἀποφαίνων, ἀντ' ἐλευθέρων, καὶ ἐξ ἐνδόξων ἀτίμους. Τοιαῦτα γὰρ ἀεὶ τῆς ἐκείνου σκαιότητος τὰ ὀψώνια.

cidunt, ad se rapit, et in malorum voraginem demittit, et in laqueum orci detrudit. Sequetur enim omnino eos qui lapsi sunt a conjunctione cum Deo, **687** ut inevitabilibus laqueis involvantur. Est enim in occupando vehemens et violentus Satanas: et quos in terra habitantes viderit parviducere esse cum Deo, eos suis jugis subjicit, et in extrema deducit mala, ex liberis eos servos, ex gloriosis inhonoratos reddens. Ejusmodi enim semper sunt ejus sinistræ perversitatis stipendia.

Τί ὅτι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος; Ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων; Μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι; Ἰδοὺ τῇ ἀπειλῇ μου ἐξερημώσω τὴν θάλασσαν, καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ, καὶ ἀποθανοῦνται ἐν δίψει. Καὶ ἐνδύσω τὸν οὐρανὸν σκότον, καὶ ὡς σάκκον τὸ περιβόλαιον αὐτοῦ.

VERS. 2, 3. *Quid quoniam veni, et non erat homo? Vocavi, et non erat audiens. Annon poterit* B *manus mea liberare? Ecce comminatione mea desertum faciam mare, et ponam flumina deserta, et arefient pisces eorum, eo quod non sit aqua, et siti morientur. Et induam cœlum tenebris, et quasi cilicium ponam operimentum ejus.*

Τὰ τῆς Σιὼν τέκνα, τοῦτ' ἔστι, τοὺς ἐξ αἵματος Ἰσραὴλ, καὶ αὐτὴν δὲ τὴν Σιὼν, τὴν ἐπίγειον Ἱερουσαλὴμ δηλονότι, ταῖς σφῶν αὐτῶν ἁμαρτίαις καταπεπρᾶσθαι τε καὶ ἐκβεβλῆσθαι τῆς πρὸς αὐτὸν οἰκειότητος εὖ μάλα διειρηκὼς, ὑπὸ μῶμον ἄγει, καὶ γραφὴν τῆς εἰς λῆξιν ἀπονοίας τε ὁμοῦ καὶ ἀμαθίας. Ἐπιλάμψαντος γὰρ τοῦ Μονογενοῦς μετὰ σαρκὸς τοῖς ἐπὶ τῆς γῆς, καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς πεφηνότος, ἀμνημονήσαντες ἀνοσίως, καὶ νόμου, καὶ προφητῶν, C σκληροὶ καὶ ἄτεγκτοι μεμενήκασι, καὶ ἀσχέτως νοσοῦντες τὸ ἐξήνιον. Οὐ γὰρ ἤθελον εἰδέναι τὸν Λυτρωτὴν, τῆς σωτηρίας τὸν πρύτανιν, τὸν δικαιοῦντα τὸν ἀσεβῆ, καὶ ἁπάσης αἰτίας ἀπαλλάξαι δυνάμενον τοὺς ταῖς ἀνθρωπίναις ἀσθενείαις ἐνειλημμένους. Ἦλθον τοίνυν, φησὶ, τοῦτ' ἔστιν, ἐνηνθρώπησά τε καὶ ἐπέφανα τοῖς ἐξ Ἰσραὴλ, καὶ οὐκ ἦν ἄνθρωπος ἐν αὐτοῖς, νουνεχὴς δηλονότι, καὶ τὸν τῆς λυτρώσεως καιρὸν εἰδέναι δυνάμενος. Ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων. Ὡς γὰρ αὐτός που πάλιν φησὶν ὁ προφήτης Ἡσαΐας ἐκ προσώπου τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Εὑρέθην τοῖς ἐμὲ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. Εἶπα, Ἰδοὺ εἰμὶ, τῷ ἔθνει, οἳ οὐκ ἠπίσταντό με. Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα. » D Ἐν δέ γε τοῖς εὐαγγελικοῖς συγγράμμασι πλεισταχοῦ τὸν Κύριον εὑρήσομεν καλοῦντα πρὸς πίστιν τοὺς ἰδίους [Humfred. legit Ἰουδαίους]· « Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. » Ποτὲ δὲ πάλιν· « Ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. » Ναὶ μὴν καὶ τὸ πιστεύειν αὐτοῖς ἔγκαρπόν τε καὶ ἐπωφελὲς ἀποφαίνων· « Ἀμὴν λέγω, φησὶν, ὑμῖν, ὅτι ὁ πιστεύων ἔχει ζωὴν αἰώνιον. » Πλείστας δ' ἂν καὶ ἑτέρας φωνὰς ἐπισωρεύσειέ τις τὴν ἴσην ἐχούσας δύναμιν, εἴπερ ἕλοιτο μακρηγορεῖν. Οὐκοῦν ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων, φησίν. Ἀλλ' ἴσως ἐκεῖνο ἐροῦσιν οἱ διὰ

Liberos Sion, id est, sanguine Israelitico oriundos, ipsamque Sion, terrestrem videlicet Jerusalem, suis ipsorum peccatis divenditos, et ejectos a conjunctione cum ipso, perpulchre disseruit: vocat nunc in reprehensionem et crimen insignis amentiæ simul et inscitiæ. Nam quando Unigenitus illuxit terræ incolis in carne, et in specie nobis simili apparuit, impie et legem et prophetas oblivioni tradiderunt, duri et præfacti manserunt, et intemperanter effrenes fuerunt. Non enim volebant Redemptorem salutis principem agnoscere, qui justificat impium, qui omni crimine liberare potest eos qui humanis impediti sunt infirmitatibus. Veni igitur, inquit, id est, humanitatem indui, et apparui Israelitis: et non erat inter illos homo, videlicet cordatus, et qui redemptionis tempus scire posset. Vocavi, et non erat audiens. Etenim sic iterum ipse Isaias propheta, in persona omnium nostrum Servatoris Christi inquit: « Inventus sum his qui me non quærunt, conspicuus factus sum his qui me non interrogant. Dixi, Ecce adsum genti quæ mihi non credidit. Toto die expandi manus meas ad populum incredulum et contradicentem [31]. » In evangelicis etiam scriptis, sæpe inveniemus Dominum vocantem ad fidem Judæos: « Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos. Tollite jugum meum super vos. [32] » Rursus alibi: « Qui sequitur me, non ambulabit in **688** tenebris, sed habebit lucem vitæ [33]. » Certe illis fructuosum et utile esse declarat ut credant, inquiens: « Amen dico vobis quia qui credit, habet vitam æternam [34]. » Et complura alia congerere quis poterit in eamdem sententiam, si quidem voluerit prolixe rem persequi. Itaque vocavi, inquit, sed non erat audiens. Cæterum illud fortassis dicent, qui sic ex insigni amentia offenderunt, duro et præfracto pectore, non valere manum meam orbem terrarum liberare. Atqui vere hic non

[31] Isa. LXV, 1, 2. [32] Matth. XI, 28, 29. [33] Joan. VIII, 12. [34] Joan. VI, 47.

sentiunt. Erat enim, ut dixi, in specie nostri, quamvis Deus esset, Verbum, hominem siquidem induit, carnis propagatione ortum habens ex muliere. Sed qui hoc noverunt, et divinorum ejus mysteriorum profunditatem non ignorarunt, illum omnia posse sciverunt, Deum natura exsistentem, et ad redemptionem orbis terrarum satis habuisse virium. At infideles et inscii accesserunt ad eum, velut ad hominem promiscuum et communem, adeo ut insultarent et dicerent: « De bono opere non lapidamus te, sed propter blasphemiam: quia homo cum sis, tu facis teipsum Deum [35]. » Illis consentaneum erat et cogitare et dicere non valuisse manum ejus terræ incolis subvenire, nec liberare eos qui a diabolo et peccato victi sunt. Sed quando hæc, inquit, reputaveritis, etiam aliquid melius cogitate: non enim sum vestri similis, homo simpliciter, sed Deus potius, factus ad similitudinem ac speciem vestram, dispensationis causa, ut vos a morte et peccato eximerem. Ipse enim qui loquor adsum, qui quondam per Moysem edidi miracula, et ineffabili potentia mare, videlicet Rubrum, divisi. Nam aquis velut murus inductus est, et trajecerunt redempti, et qui Ægyptiacæ servitutis jugum exuerunt. Desertum faciam mare hic dicit, pro, exsiccabo. Ponam autem flumina deserta. Ponam rursus, pro posui, intelligendum. Consistere enim fecit Jordanem, eumque reddit aquis vacuum, dum Jesus traduxit Israelem, et in terram promissionis introduxit. Quod autem ait in aquis pisces exsiccari, intellige ad significandum totum exarefactum esse Jordanem, hoc assumi. Hujus adeo illustris et magni miraculi fecit mentionem etiam divinus David, dicens alicubi: « Quid est tibi,
689 mare, quod fugisti? et tu, Jordanis, quod conversus es retrorsum [36]? » Alibi rursus: « Noverunt te aquæ, Deus, noverunt te aquæ, et timuerunt; turbatæ sunt abyssi, multitudo sonitus aquarum [37]. » De Jordane iterum sic dicit: Tu exsiccasti flumina Etham, id est, australia. Meminit etiam alterius miraculi, et inquit: Induam cœlum tenebris, et ponam ut saccum operimentum ejus; et rursus, Induam, intelligendum est, pro indui. Meminimus enim sapientissimum Moysen scripsisse: Triduanæ et profundæ Ægyptiacæ regionis tenebræ dispersæ sunt: at nulla res omnino detrimentum Israelitis attulit: quibus erat dies et lux. Quod mirabile est et nulla oratione dici aut explicari potest. Cum igitur, inquit, ille ego sim qui et in carne apparui, et olim mare desertum feci, sive exsiccavi, illudque etiam in fluminibus effeci, et tenebris ingens cœlum amicivi, multisque experimentis planum reddidi, me universorum Dominum esse, nihil non meis viribus præstari: quidni ridiculus sit, vel potius impietatis crimini affinis, si quis velit sentire et dicere non posse manum meam liberare?

A μακρᾶς οὕτω ἀπονοίας προσκεκρουκότες, οἱ σκληρὰν καὶ ἄθραυστον τὴν διάνοιαν ἔχοντες, ὡς οὐκ ἂν ἰσχύσειεν ἡ ἐμὴ χεὶρ ῥύσασθαι τὴν ἐπ' οὐρανόν. Πεφρονήκασι δὲ κἂν τούτῳ τῶν ἀληθῶν οὐδέν. Ἦν μὲν γάρ, ὡς ἔφην, ἐν εἴδει τῷ καθ' ἡμᾶς, καίτοι Θεὸς ὢν ὁ Λόγος. Ἐνηνθρώπησε δὲ τὴν κατὰ σάρκα ὑπομείνας γέννησιν ἐκ γυναικός. Ἀλλ' οἱ μὲν τοῦτο εἰδότες, καὶ τῶν θείων αὐτοῦ μυστηρίων οὐκ ἀγνοοῦντες τὸ βάθος, ᾔδεσαν ὅτι πάντα δύναται Θεὸς ὢν φύσει, καὶ ἦν ἱκανὸς εἰς λύτρωσιν τῆς ὑπ' οὐρανόν. Οἵ γε μὴν ἄπιστοί τε καὶ ἀμαθεῖς ὡς ἀνθρώπῳ προσῄεσαν κοινῷ, ὥστε καὶ ἐπιπηδῶντάς τε καὶ λέγοντας· « Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν. » Τούτοις ἂν πρέποι καὶ τὸ οἴεσθαί τε, καὶ λέγειν, ὡς
B κἂν ἰσχύσειεν ἡ αὐτοῦ χεὶρ ἐπαμῦναι τοῖς ἐπὶ τῆς γῆς, καὶ ῥύσασθαι τοὺς κεκρατημένους ὑπό τε τοῦ διαβόλου, καὶ τῆς ἁμαρτίας. Ἀλλ' ὅταν ταῦτα λογισθήσεσθε, φησί, προσενθυμήθητέ τι τῶν ἀμεινόνων· οὐ γάρ εἰμι καθ' ὑμᾶς ἄνθρωπος ἁπλῶς, Θεὸς δὲ μᾶλλον ἐν εἴδει τῷ καθ' ὑμᾶς γεγονὼς οἰκονομικῶς, ἵνα ὑμᾶς ἐξέλωμαι, καὶ θανάτου, καὶ ἁμαρτίας. Αὐτὸς γὰρ ὁ λαλῶν, πάρειμι ὁ πάλαι θαυματουργήσας διὰ Μωσέως, καὶ ἀφράστῳ δυνάμει διελὼν τὴν θάλασσαν, δῆλον δὲ ὅτι τὴν Ἐρυθράν. Ἐπάγη γὰρ ὡς τοῖχος τὰ ὕδατα, καὶ διέβησαν οἱ λελυτρωμένοι, καὶ τῆς ἐν Αἰγύπτῳ θητείας ἀποδυσάμενοι τὸν ζυγόν. Τὸ ἐξερημώσω τὴν θάλασσαν, ἐνθάδε φησίν, ἀντὶ τοῦ ξηρὰν αὐτὴν ἀπέφηνα. Θήσω δὲ καὶ ποταμοὺς ἐρήμους. Τὸ δέ γε Θήσω πάλιν ἀντὶ τοῦ Τέθεικα νοητέον. Ἔστησε
C γὰρ τὸν Ἰορδάνην, καὶ ὑδάτων ἔρημον ἀπέφηνεν αὐτὸν διαβιβάζοντος τοῦ Ἰησοῦ τὸν Ἰσραήλ, καὶ εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσκομίζοντος. Εἰ δὲ δή φησιν ἀποξηρανθήσεσθαι ἐν τοῖς ὕδασιν ὄντας ἰχθύας, σύνες, ὅτι πρὸς δήλωσιν τοῦ εἰσάπαν κατεξηράνθαι τὸν Ἰορδάνην, παρελήφθη καὶ τοῦτο, τῆς οὕτω λαμπρᾶς, καὶ μεγάλης θαυματουργίας διαμνημονεύει λέγων καὶ ὁ θεσπέσιος Δαβὶδ ποτὲ μέν· « Τί ἐστί σοι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; » ποτὲ δὲ πάλιν· « Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν. Ἐταράχθησαν ἄβυσσσοι, πλῆθος ἤχου ὑδάτων. » Περὶ δὲ τοῦ Ἰορδάνου πάλιν ὧδέ φησι· Σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ, τοῦτ' ἔστι, τοὺς ἐν τῷ νότῳ. Διαμέμνηται καὶ ἑτέρας θαυματουργίας, καί φησιν, ὅτι Ἐνδύσω τὸν οὐρανὸν
D σκότος, καὶ θήσω ὡς σάκκον τὸ περιβόλαιον αὐτοῦ· καὶ τὸ Ἐνδύσω πάλιν ἀντὶ τοῦ, ἐνέδυσα, νοητέον. Διαμεμνήμεθα γὰρ γεγραφότος τοῦ Μωσέως τοῦ πανσόφου, ὅτι τριήμερος, καὶ βαθὺς τῆς Αἰγυπτίων χώρας κατεσκεδάσθη σκότος, ἠδίκησε δὲ παντελῶς οὐδὲν τοὺς ἐξ Ἰσραήλ. Ἦν γὰρ αὐτοῖς, καὶ ἡμέρα, καὶ φῶς. Παράδοξον δὲ καὶ τοῦτο, καὶ πέρα λόγου παντός. Ὅτε τοίνυν αὐτός, φησίν, ἐκεῖνός εἰμι, καὶ ἐν σαρκὶ πεφηνώς, ὁ πάλαι τὴν θάλασσαν ἐρημώσας, ἤτοι ξηρὰν ἀποφήνας, ἐργασάμενος δὲ τοῦτο καὶ εἰς ποταμούς, καὶ σκότῳ περιβαλὼν τὸν παμμεγέθη τοῦτον οὐρανόν, καὶ διὰ πείρας αὐτῆς καταστήσας ἐμφανὲς ὅτι τῶν ὅλων εἰμὶ Δεσπότης, ἀνήνυτον δὲ ταῖς δυνάμεσι ταῖς ἐμαῖς παντελῶς οὐδέν

[35] Joan. x, 33. [36] Psal. CXIII, 5. [37] Psal. LXXVI, 17.

πῶς οὐκ ἂν ὀφείλει γέλωτα, μᾶλλον δὲ δυσσεβείας ὑπομεῖναι γραφὴν, εἴπερ τις ἕλοιτο φρονεῖν τε καὶ λέγειν, οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι;

A *Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. Ἔθηκέ με πρωΐ· προσέθηκέ μοι ὠτίον ἀκούειν, καὶ ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα.*

Οὐκ ἀπίθανον εἴη ἂν, μᾶλλον δὲ τοῖς τῆς ὀρθότητος λόγοις οὐκ ἀπεοικὸς, τὸ ἐφαρμῶσαι τῷ χορῷ τῶν ἁγίων ἀποστόλων τὰς προκειμένας φωνὰς, ἤγουν ἅπασι τοῖς πιστεύσασιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, καὶ σεσοφισμένοις διὰ τοῦ πνεύματος, καὶ τὸν παρ' αὐτοῦ φωτισμὸν εἰς νοῦν, καὶ διάνοιαν ἐσχηκόσιν ἀμφιλαφῶς, οἳ καὶ ἐν μεθέξει γεγόνασι θείων χαρισμάτων, καὶ τῆς θεοπνεύστου Γραφῆς τὸ βάθος, καθαροῖς διανοίας ὄμμασιν ἴσχυσαν κατιδεῖν, εἴσω τε γεγόνασιν εὐζωΐας εὐαγγελικῆς εὐτεχνίας, καὶ συνέσεως ἁγιοπρεποῦς. Οὗτοι δὴ οὖν χαριστηρίους ᾠδὰς ἀνατείνοντες δεδόσθαι φασὶν ἐν ἑαυτοῖς B γλῶσσαν παιδείας, τοῦτ' ἔστι, τὸ εὐπαιδεύτως δύνασθαι λαλεῖν, καὶ ἀνεπιπλήκτως τὰ θεῖα διατρανοῦν μυστήρια, πηνίκα τε καὶ ὅπως προσήκει κεχρῆσθαι τοῖς τῆς παρακλήσεως λόγοις. Ὃ δὴ καὶ ἔπραττον οἱ θεσπέσιοι μαθηταὶ κατασωρεύσαντες μὲν εἰς νοῦν, καὶ καρδίαν, ὑγιᾶ καὶ ἀμώμητον τὴν τῆς εἰς Χριστὸν πίστεως γνῶσιν, ἑκάστῳ γε μὴν τῶν προσιόντων τοῖς θείοις κηρύγμασι τὸν αὐτῷ πρέποντα καὶ κατάλληλον προϊσχόμενοι λόγον. Τοῖς μὲν γὰρ ἔτι νηπίοις οἷον ἐν τάξει γάλακτος τὸν τῆς ἁπλῆς κατηχήσεως εὖ μάλα προσάγονται λόγον, τοῖς γε μὴν εἰς ἄνδρα τέλειον καταντήσασιν, ἀφιγμένοις δὲ καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ τὸν στερεὸν καὶ τροφιμώτατον. Γλῶσσα δὴ οὖν αὕτη παιδείας, καὶ χάρισμα τοῦ γνῶναι, ἡνίκα δεῖ εἰπεῖν λόγον. Τεθεῖσθαι C δὲ αὐτούς φασιν καὶ πρωΐ, τοῦτ' ἔστιν, εἰς νοῦν, καὶ καρδίαν ἡμέρας διαύγασμα, ἔλλαμψιν θείου καὶ νοητοῦ φωτὸς ἀνατολὴν ἑωσφόρου. Καὶ τοῦτο πάλιν εἰσόμεθα τοῦ μακαρίου Παύλου γεγραφότος ὡδί· «Εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ, ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ ἐν τῷ φωτί.» Ὁ μὲν γὰρ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν ἐν αὐτοῖς τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ. Ἡμῖν δὲ ὁ τῆς δικαιοσύνης ἀνέσχεν ἥλιος, φωτὶ τῷ θείῳ περιαστράπτων τὸν νοῦν, ὥστε καὶ υἱοὺς ἡμᾶς φωτὸς καὶ ἡμέρας εἶναί τε καὶ ὀνομάζεσθαι. Εἶτά φησι, Προσέθηκέ μοι ὠτίον τοῦ ἀκούειν, καὶ ἡ παιδεία Κυρίου D ἀνοίγει μου τὰ ὦτα. Προσηκάμενοι γὰρ τὴν πίστιν τὴν εἰς Χριστὸν, καὶ τὸν παρ' αὐτοῦ πλουτήσαντες φωτισμὸν, ἐσχήκαμεν ὠτίου προσθήκην, τοῦτ' ἔστιν, ἀκοῆς δύναμιν ἀσυνήθους, ἢ πάλαι. Ἰουδαῖοι μὲν γὰρ τὸν νόμον ἀναγινώσκοντες, οὐχ ὑπερτρέχουσι τὴν σκιὰν, ἀλλ' ἐνιζάνουσι τοῖς τύποις ψιλοῖς τε καὶ μόνοις. Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ, καθὰ γέγραπται. Ἡμεῖς γὰρ τὸν νόμον παιδαγωγὸν εἶναι πιστεύοντες, ἡνίκα ἂν τὰ διὰ Μωσέως εἰς οὖς δεξώμεθα, συνίεμεν ἑτέραις

VERS. 4, 5. *Dominus dat mihi linguam disciplinæ, ut sciam quando oporteat me loqui verbum. Posuit mihi summo mane, apposuit mihi aurem ad audiendum, et disciplina Domini aperit mihi aures.*

Non est dissentaneum, imo rectissimæ orationi valde consentaneum est, ut choro sanctorum apostolorum hæc applicemus, vel etiam omnibus qui in Dominum nostrum Jesum Christum credunt, et qui spiritu eruditi sunt, et inde animum et mentem copiose illustratam habent, quique divinorum charismatum participes facti sunt, et Scripturæ divinitus inspiratæ profunditatem puris animi oculis valuerunt contemplari; et qui rectam evangelicamque vivendi rationem, qui prudentiam, qui cognitionem consecuti sunt sanctis accommodam. Hi ergo odas gratulatorias cantantes, dicunt sibi linguam disciplinæ esse datam, id est, ut scienter loqui possint, et inculpate divina explicare mysteria: quando et quomodo consolationis sermonibus uti oporteat. Quod quidem fecerunt divini discipuli, 690 animos et corda, sana et immaculata fidei christianæ cognitione quasi complentes, et cumulantes, unicuique eorum, qui ad divinam prædicationem accesserunt, sermonem alium atque alium, prout sibi conveniebat, ingerentes. Nam parvulis adhuc tanquam lac simplicis institutionis, seu catecheseos sermonem optime proposuerunt: in virum autem perfectum occurrentibus, et ad mensuram ætatis plenitudinis Christi pervenientibus, cibum dederunt solidum, et ad nutriendum aptissimum. Hæc itaque fuit lingua disciplinæ, et donum scientiæ, quando oportet sermonem loqui, additum sibi aiunt mane, id est, in animo et corde diei splendorem, divinæ et intelligibilis lucis illustrationem, luciferi ortum. Idque rursus intelligemus, beato Paulo scribente sic: «Gratias agentes Deo et Patri, qui eripuit nos a potestate tenebrarum, et transtulit ad regnum cœlestis charitatis suæ, in luce[87].» Deus enim sæculi hujus excæcavit sensus infidelium, ne illuminatio Evangelii Christi illis resplenderet: nobis autem sol justitiæ exortus est, mentes divina luce circumfulgens, ut nos filii lucis et diei simus et nominemur. Deinde addit: Apposuit mihi aures ad audiendum, et disciplina Domini aperit meas aures. Nam ubi fidem in Christum admiserimus, et illuminatione ab illo ditati fuerimus, auris appositionem habemus, id est, facultatem ac virtutem auditus, insoliti nec usitati. Judæi enim legem olim legentes, umbram non transgrediuntur, sed typis assident, nudis et solis. Animalis enim homo non capit ea quæ sunt spiritus divini, sicuti scriptum est. Nos enim legem pædagogum esse credentes, cum illa Mosaica in aurem admittimus, eadem aliis auribus intelligimus, transferimusque figuras ad veritatem, et umbram in spiritualis contemplatio-

[87] Colos. I, 12.

nis occasionem vertimus. Habemus igitur aurium appositionem. Disciplina enim per Christum, id est, prædicatio evangelica et ejus mystagogia, docet legem spiritualiter intelligere, et aperit velut aures eorum qui in illum crediderunt, cum hoc Israelitæ non haberent. Alloquitur itaque eos Dominus noster Jesus Christus : « Scrutamini Scripturas, quia in illis putatis vos æternam vitam habere, et illæ sunt quæ testificantur de me : nec voluistis ad me **691** venire, ut vitam habeatis [37**]. » Scribitque de illis sapientissimus Paulus : « Quando legitur Moyses, velamentum eorum cordibus imponitur, neque detegetur quod per Christum abolebitur [38]. »

A ἀκοαῖς αὐτὰ, μεθιστάντες τοὺς τύπους εἰς ἀλήθειαν, καὶ πνευματικῆς θεωρίας πρόφασιν ποιούμενοι τὴν σκιάν. Ἐσχήκαμεν οὖν ὠτίων προσθήκην. Ἡ γὰρ διὰ Χριστοῦ παιδεία, τοῦτ' ἔστι, τὸ κήρυγμα τὸ εὐαγγελικὸν, καὶ ἡ δι' αὐτοῦ μυσταγωγία, πνευματικῶς ἀναπείθει νοεῖν τὸν νόμον. Ἀνευρύνει ὥσπερ τὰ ὦτα τῶν πιστευσάντων εἰς αὐτὸν, οὐκ ἐχόντων τοῦτο τῶν ἐξ Ἰσραήλ. Ἔφη γοῦν ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πρὸς αὐτούς· « Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ὑμεῖς ζωὴν αἰώνιον ἔχειν, καὶ αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν ἔχητε. Γράφει δὲ περὶ αὐτῶν ὁ πάνσοφός τε καὶ θεσπέσιος Παῦλος, ὅτι « Ἡνίκα ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ Ἰησοῦ Κυρίῳ ἡμῶν καὶ Λυτρωτῇ καταργεῖται. »

B

ORATIO V.

VERS. 6, 7. *Ego autem non renuo, neque contradico. Dorsum meum præbui ad flagella, ac genas meas ad alapas, neque faciem meam averti ab ignominia sputorum, et Dominus auxiliator mihi factus est. Propterea non sum confusus, sed posui faciem meam sicut firmam petram, et novi quoniam non confundar, quia prope est qui justificat me.*

Ex his quæ supra jam lecta sunt et excussa, plurimum invectus est in Judæorum inobedientiam. Dixit enim : Veni, et non erat homo : et vocavi, nec erat audiens. Interim persona eorum qui fidem amplexati sunt interjecta est, qui dixerunt : Dominus mihi dat linguam disciplinæ, ut sciam quando oporteat sermonem loqui, et quæ post hæc illata sunt, qui etiam gratulabundas voces resonabant. Rursus intercurrit persona ipsius Christi, suam obedientiam Judæorum contumaciæ opponentis, ut omnino eos Dei hostes esse convincat, eosque qui superbum et durum collum tollunt, ad salutem vocantis. Ego enim vocavi, inquit, nec erat audiens. Desides facti sunt, ad obediendum tardi, et ignari, atque inepti ad intelligendum quid ipsis in rem futurum sit : quibusque modis verisimile erat posse eos, et quidem nullo labore, cum tyrannidem peccati, tum diabolicæ perversitatis insidias effugere : sed hi renuerunt. Ego autem non renui, nec contradico. Nam cum Deus et Pater vellet summatim comprehendere omnia in me, tum cœlestia, tum etiam terrestria : demisi me ut exinanirem meipsum, et ad humanæ mendicitatis descendi mensuram, homo apparens, ut obediens essem usque ad mortem, et quidem mortem crucis. **692** Præbui igitur tergum meum ad verbera, et genas meas ad alapas. Faciem autem meam non averti ab ignominia sputorum. Hoc enim ei contigit pati, cum et Judæorum ignorantia in illum debaccharetur, et Pilatus plagis laceraret, et ex impiis ministris unus contumeliose tractaret, cæderetque, et reliqui despuerent. Verum hic unicus

ΛΟΓΟΣ Ε'.

Ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδ' ἀντιλέγω. Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ ὁ Κύριος ἐγενήθη βοηθός μου. Διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με.

Διὰ τῶν ἤδη προανεγνωσμένων, ἤγουν προεξητασμένων, πλείστην ὅσην πεποίηται τῆς Ἰουδαίων ἀπειθείας τὴν καταβοήν. Ἔφη γὰρ ὅτι Ἦλθον καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων, παρεισβεβληκότος δὲ μεταξὺ τοῦ προσώπου τῶν προσηκαμένων C τὴν πίστιν, καὶ λέγοντος· Κύριος δίδωσί μοι γλῶσσαν παιδείας τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον, καὶ τὰ τούτοις ἐπενηνεγμένα, καὶ χαριστηρίους ἀνατεινάντων φωνάς. Εἰστρέχει πάλιν τὸ αὐτοῦ πρόσωπον τοῦ Χριστοῦ, τὴν ἰδίαν ὑπακοὴν ταῖς Ἰουδαίων ἀπονοίαις ἀντιπαρατιθέναι σπουδάζοντος, ἵν' ὁλοτρόπως αὐτοὺς θεομισεῖς ὄντας ἐλέγξῃ, γαῦρόν τε καὶ ἀπηνῆ τῷ καλοῦντι πρὸς σωτηρίαν ὑψοῦντας αὐχένα. Ἐγὼ μὲν γὰρ κέκληκα, φησὶ, καὶ οὐκ ἦν ὁ ὑπακούων. Ὀκνηροὶ γεγόνασι πρὸς εὐπείθειαν, βραδεῖς καὶ ἀσύνετοι παντελῶς εἴς γε τὸ χρῆναι νοεῖν τὸ τελοῦν εἰς ὄνησιν αὐτοῖς, καὶ τὰ δι' ὧν ἦν εἰκὸς διαδράναι δύνασθαι, καὶ λίαν ἀμογητὶ, καὶ τῆς ἁμαρτίας τὴν τυραννίδα, καὶ τῆς διαβολικῆς σκαιότητος τὰς ἐπιβουλάς. Ἀλλ' αὐτοὶ μὲν ἠπείθησαν, ἐγὼ δὲ οὐκ D ἀπειθῶ. Ἐθελήσαντος γὰρ τοῦ Θεοῦ, καὶ Πατρὸς ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν ἐμοὶ, τά τε ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, καθῆκα πρὸς κένωσιν ἐμαυτὸν, καὶ ἐν τοῖς τῆς ἀνθρωπίνης πτωχείας καταπεφοίτηκα μέτροις, ἄνθρωπος πεφηνὼς ἵνα ὑπήκοος γένωμαι, καὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Δέδωκα τοίνυν τὸν νῶτόν μου εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα. Τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Ταῦτα γὰρ αὐτῷ συνέβη παθεῖν, τῆς Ἰουδαίων ἀπαιδευσίας ἐμπαροινούσης αὐτῷ, καὶ Πιλάτου μὲν μάστιξι καταξαίνοντος, ἑνὸς δὲ τῶν ἀνοσίων ὑπηρετῶν ὑβρίσαντος,

[37**] Joan. v, 39, 40. [38] II Cor. III, 15, 16.

καὶ ῥαπίσαντος, καὶ κατεμπτυόντων ἑτέρων. Ἀλλ' ἦν εἷς ὁ σκοπὸς τῷ πάσχοντι τὸ εἰς πέρας διεξαγαγεῖν τὸ ἀγαθὸν θέλημα τοῦ Πατρός. Καὶ γοῦν ἔφη που Χριστὸς, ὅτι « Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. » Τοῦτο δὲ τὸ θέλημά ἐστι τοῦ πέμψαντός με, « Ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. » Οὐκοῦν ὑπέρ γε τοῦ κατορθῶσαι τοῖς εἰς αὐτὸν πιστεύουσι τὴν ζωὴν, οὐχ ὕβρεις, οὐ μάστιγας, οὐκ ἐμπτυσμάτων πεῖραν ἀπόβλητον ἐποιήσατο, καίτοι Θεὸς ὢν φύσει, καὶ Κύριος ἀληθινός. Εἶτά φησιν ὡς ἄνθρωπος, Καὶ Κύριος βοηθός μου ἐγενήθη, διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ ὅτι ἐγγίζει ὁ δικαιώσας με. Διαλέγεται μὲν οὖν ἀνθρωπίνως, ὡς ἔφην, καὶ κατ' οὐδένα τρόπον ἀπεοικότως τοῖς τῆς κενώσεως μέτροις. Πλὴν ἔοικεν ὑπαινίττεσθαι διὰ τούτων τῶν λόγων τὴν τοῖς λόγοις ἐγκατασκήψασαν δίκην, τῆς εἰς αὐτὸν δυσσεβείας ἕνεκα. Γέγονε γάρ, φησὶ, Κύριος βοηθός μου. Ὅμοιον, ὡς εἰ λέγοι Δόντος μου τὸν νῶτον εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, πεπονθότος δὲ καὶ τὰ ἐπὶ τῷ σταυρῷ πάθη, γέγονε βοηθὸς ὁ Πατήρ. Ἐπήμυνε γὰρ, καὶ οὐ συγκεχώρηκεν εἰς τὸ παντελὲς ἐντραπῆναι τὸν ἴδιον Υἱὸν, οὔτε μὴν καὶ καταισχυνθῆναι. Τετιμώρηνται γάρ, καὶ τῶν εἰς ἐμὲ πλημμελημάτων ἐκτετίκασι δίκας οἱ θεομαχῆσαι τολμήσαντες. Ἐπενεγκὼν δὲ ὅτι Ἐγγίζει ὁ δικαιώσας με, πάλιν ὑπέφηνεν ἀστείως, οὐχ εἰς μακρὰν, οὐδ' εἰς ἀνάβλησιν τὰ τῆς δίκης δραμεῖται τῶν εἰς αὐτὸν πεπαρῳνηκότων, ἀλλ' οἷον ἐγγὺς, καὶ κατὰ πόδας βαδιεῖται τῶν ἐγχειρημάτων. Δεδικαιῶσθαι δέ φαμεν τὸν Υἱὸν κατὰ τοιόνδε τινὰ τρόπον. Ἐπειδὴ γὰρ ὄντα δίκαιον, καὶ κατ' οὐδένα τρόπον, ὡς ἔνοχον γεγονότα πταίσμασιν ἀποκτεῖναι τετολμήκασι, τετιμώρηνται, καθάπερ ἔφην, καὶ ἡ τῶν πεπονθότων κόλασις τὸ ἀνεύθυνον παντελῶς μεμαρτύρηκε τῷ παρ' αὐτῶν ἀνοσίως ἐξυβρισμένῳ. Ἔφη τι τοιοῦτον ὁ Θεὸς καὶ Πατὴρ « Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. » Πλουσίους δὲ καὶ πονηροὺς, τοὺς τῶν Ἰουδαίων καθηγητὰς ὀνομάζει. Φιλοχρηματίαν γὰρ νοσοῦντες ἐσχάτην, κατεκομίσθησαν δι' αὐτῆς, εἰς τὴν ἐπ' αὐτῷ πονηρίαν. Καίτοι γὰρ ἐπεγνωκότες αὐτὸν ἔφασκον· « Οὗτός ἐστιν ὁ κληρονόμος· Δεῦτε, ἀποκτείνωμεν, καὶ σχῶμεν ἑαυτοῖς τὴν κληρονομίαν αὐτοῦ. »

A erat scopus patientis, ut voluntatem bonam Patris exsequeretur. Siquidem Christus dixit : « Descendi de cœlo, non ut faciam voluntatem meam, sed voluntatem ejus qui misit me : ut ex omni quod dedit mihi, nihil perdam, sed resuscitem illud in extremo die [38*]. » Itaque quo procuraret his qui in ipsum credunt vitam, non contumelias recusavit, non verbera, non sputorum tentationem, quantumvis Deus esset natura et verus Dominus. Ait deinde ut homo : Dominus mihi adjutor factus est. Propterea non sum confusus, sed posui faciem meam sicut firmam petram. Et cognovi me nulla ignominia affectum iri, quia prope est qui me justificat. Disserit igitur, uti dixi, humano more, et semper exinanitionis mensuræ congruenter. Verum his
B verbis subindicare videtur supplicium quod illis impietatis in ipsum ergo incumbit. Factus est enim, inquit, Dominus mihi auxiliator. Perinde est ac si dicat : Cum darem tergum meum ad verbera, et genas meas ad alapas, et passionem crucis paterer, factus est auxiliator Pater. Succurrit enim, neque concessit ut Filius suus prorsus rubore afficeretur ac pudefieret. Nam supplicio affecti sunt, et delictorum suorum in me pœnas solverunt, qui ausi sunt cum Deo pugnare. Cum adjungit : Prope est qui me justificat, eleganter rursus innuit pœnam in illum bacchantium non abesse procul, nec deinde procrastinandam, sed velut prope esse, et ipsorum factorum comitem fore quasi et pedisequam.
C Justificari autem dicimus Filium, quodammodo. Cum enim justum et nullo modo criminibus affinem occidere ausi fuissent, ut dixi, supplicio affecti sunt; et punitio eorum qui passi sunt, illius testatur innocentiam qui ab illis contumeliose exagitatus est et impie. Cujusmodi est quod dixit Deus et Pater : « Et dabo malos pro **693** sepultura ejus, et divites pro morte ejus [39]. » Divites et malos, Judæorum duces nominat. Etenim cupiditate incredibili ardentes, propterea in hanc detrusi sunt malitiam. Nam licet agnovissent illum, dixerunt : « Hic est hæres : Venite, occidamus eum, et occupemus nobis ipsis hæreditatem ejus [39*]. »

Τίς ὁ κρινόμενός μοι; ἀντιστήτω ἅμα. Τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι.

D Vers. 8. *Quis est qui litigat mecum? resistat mihi simul. Et quis mecum litigat? appropinquet mihi.*

Ὅτι μὲν δίκαιος, καὶ ἀθῶος ὢν παντελῶς· οὐ γὰρ ἐποίησεν ἁμαρτίας· τὰς ἐκ τῶν Ἰουδαίων ὑπέστη παροινίας, πιστώσεται λέγων καὶ αὐτὸς ὁ θεσπέσιος προφήτης περὶ αὐτοῦ· « Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ. » Καὶ πάλιν ὡς ἐκ προσώπου τῶν Ἰουδαίων περὶ αὐτοῦ· « Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι. » Καὶ αὐτὸ δὲ τὸ χρῆμα διαβοήσειεν ἄν. Τὴν γάρ τοι θείαν, καὶ ἀκήρατον τοῦ λόγου φύσιν, πῶς ἦν ἐφικτὸν ἁμαρ-

Quod justus et plene insons sit, nec fecerit illa peccata quæ Judæi ex debacchatione illi impegerunt, confirmabit ipsemet etiam divinus propheta Isaias, dicens de eo : « Videte quia justus periit, et nemo attendit [40]. » Et iterum velut in persona Judæorum de eo : « Ligemus justum, quia inutilis est nobis [41]. » Hoc etiam res ipsa clamat. Etenim divina et sincera verbi natura, ut ab eo quod decorum ipsique conveniens est aberret, delicti-

[38*] Joan. vi, 38, 39. [39] Isa. liii, 9. [39*] Matth. [x]xi, 38. [40] Isa. lvii, 1. [41] Sap. ii, 12.

que maculam concipiat, fieri non potest. Dictum siquidem est, de omnium nostrum Servatore Christo: « Peccatum non novit, neque inventus est dolus in ore ejus [42]. » Cum igitur insontem se dicat et justum sustinuisse a Judaica Synagoga insidias, necessario eos qui vel omnino ignorarunt ejus innocentiam, vel nihil in illum indigne factum esse, sed juste ea in cruce perpessum esse existimarunt, alloquitur et inquit: Quis est qui litigat mecum? resistat mihi simul. Simile huic est quod ab ipso Christo dictum est diserte, Scribis et Pharisæis: « Quis ex vobis arguet me de peccato? Si veritatem loquor, quare vos non creditis mihi [43]? » Quamvis enim factum fuerit sicuti nos, unigenitum Dei Verbum, eamdemque prorsus induerit similitudinem, tamen hac quoque ratione creditur is solus naturam habere nostra sublimiorem. Cum namque omnes homines subjecti sint offensis et delictis, nemoque sit cujus vita reprehensione omni ex parte careat: hic solus etiam, cum homo factus est, divinam sibi retinuit dignitatem. Nam Dei natura merito censeri potest major quam ut possit delinquere. Itaque etiam dixit: « Venit princeps hujus mundi, et in me non inveniet quidquam [44]. » Nam qui **694** factus est similis nostri, ut nos a peccati laqueis eximeret, quomodo ille nobiscum peccati convinceretur, vel quomodo in reprehensione omnes in ipsum credentes vindicat? « Deus enim est qui justificat, quis est cui condemnet [45]? »

VERS. 9. *Ecce Dominus adjuvabit me: quis malo afficiet me? Ecce omnes vos sicut vestimentum veterascetis, et quasi tinea comedet vos.*

Duo hoc uno docere vult eos qui impia hac et injustâ contra illum laborabant invidia: tum utilia, tum necessaria. Primum, irritum fore prorsus consilium contra eum nefariumque facinus; deinde, acerbas et intolerandas pœnas eos qui in illum deliquerunt, esse daturos. Putarunt enim posse se morti tradere, ducem vitæ Dominum. Cæterum, ut Psaltes ait: « Consultarunt consilium quod non poterunt stabilire [46]. » Etenim fieri non potuit, cum vita ipse esset, eum a morte vinci. Excitatus est igitur potentia Dei et Patris, quemadmodum scriptum est, nec est infirmus, in quantum intelligitur Verbum et Deus, ut non possit, inquam, carnis suæ corruptionem abjicere; sed quia homo factus est, idque visus est a Patre accepisse. Omnia enim homini a Deo data sunt. Nam quod Deus et Pater per ipsum mortis imperium abolevit, ex resurrectione a mortuis perspicuum esse potest, cum dicit Judæorum turbæ: « Solvite templum hoc, et in tribus diebus excitabo illud [47]. » At quia quod supra manum et naturam est hominis, id in more est personæ Patris attri-

A τῆσαι τοῦ πρέποντός τε καὶ ἐοικότος αὐτῇ, καὶ μῶμον ὑποστῆναι πλημμελήματος; Εἴρηται γοῦν περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ὅτι « Ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Οὐκοῦν ἐπειδήπερ ἀθῷον ἑαυτὸν ὄντα, καὶ δίκαιόν φησιν, ὑπομεῖναι τὰς ἐκ τῆς Ἰουδαίων Συναγωγῆς ἐπιβουλὰς, ἀναγκαίως τούτοις οὐκ εἰδόσιν αὐτοῦ τὸ εἰσάπαν εἰλικρινὲς ἢ τάχα που, καὶ οἰηθεῖσιν, ὅτι πέπρακταί τι τῶν ἀτόπων αὐτῷ, πέπονθε δὲ, καὶ ἐν δίκῃ, τὰ ἐπὶ τῷ σταυρῷ, προσδιαλέγεται, καί φησι· Τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα. Ἔοικε τούτῳ τὸ παρ' αὐτοῦ τοῦ Χριστοῦ σαφῶς εἰρημένον τοῖς Γραμματεῦσι, καὶ Φαρισαίοις· « Τίς ἐξ ὑμῶν ἐλέγξει με περὶ ἁμαρτίας; Εἰ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; » Καίτοι γὰρ B γεγονὼς καθ' ἡμᾶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ τὴν κατὰ πᾶν ὁτιοῦν ὁμοίωσιν ὑποδὺς, κατ' αὐτὸ δὴ οὖν τουτὶ καὶ μόνον ἐπέκεινα τῆς καθ' ἡμᾶς φύσεως γενέσθαι πεπίστευται. Ὑποκειμένου γὰρ ἀνθρώπου παντὸς πταίσμασί τε καὶ πλημμελήμασι, καὶ οὐδενὸς τὸ παράπαν ἀμώμητον ὁλοτρόπως ἐσχηκότος τὴν ζωήν· μόνος αὐτὸς, καὶ ὅτε γέγονεν ἄνθρωπος τὸ θεοπρεπὲς ἀξίωμα τετήρηκεν ἑαυτῷ. Θεοῦ γὰρ φύσις τοῦ πλημμελεῖν ἐπέκεινα νοοῖτο ἂν εἰκότως. Τοιγαροῦν καὶ ἔφασκεν, ὅτι « Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. » Ὁ γὰρ γενόμενος καθ' ἡμᾶς, ἵνα ἡμᾶς ἐξέληται τῶν τῆς ἁμαρτίας βρόχων, πῶς ἂν αὐτὸς ἥλω μεθ' ἡμῶν, ἢ πῶς γέγονεν ὑπὸ μῶμον καὶ γραφὴν, ὁ γραφῆς ἀπαλλάττων καὶ μώμου πάντας τοὺς πιστεύσαντας C εἰς αὐτόν; « Θεὸς γὰρ ὁ δικαιῶν, τίς ὁ κατακρίνων; »

Ἰδοὺ Κύριος βοηθεῖ μοι· τίς κακώσει με; Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς.

Δύο κατὰ ταυτὸν διδάξαι βούλεται χρήσιμά τε καὶ ἀναγκαῖα τοὺς τὸν δυσσεβῆ, καὶ ἄδικον κατ' αὐτοῦ νοσήσαντας φθόνον. Πρῶτον μὲν ὅτι πάντῃ τε καὶ πάντως ἀπρακτήσειεν ἂν ἡ κατ' αὐτοῦ σκέψις, καὶ τὸ μιαιφόνον ἐγχείρημα. Εἶτα ὅτι πικράς τε καὶ ἀφορήτους τῶν εἰς αὐτὸν πεπλημμεληκότων πραχθήσονται δίκας· ᾠήθησαν μὲν γὰρ δύνασθαι θανάτῳ περιβαλεῖν ἀρχηγὸν ὄντα ζωῆς τὸν Κύριον. Ἀλλ' ὡς ὁ Ψάλλων φησὶν, « Ἐβουλεύσαντο βουλὴν, ἣν οὐ μὴ D δύνωνται στῆσαι. » Καὶ γὰρ ἦν ἀμήχανον ζωὴν ὄντα αὐτὸν κρατεῖσθαι θανάτου. Ἐγήγερται οὖν τῇ δυνάμει τοῦ Θεοῦ καὶ Πατρὸς, καθὰ γέγραπται, καὶ οὐκ ἀτονήσας αὐτὸς, καθὸ νοεῖται Λόγος καὶ Θεὸς, εἴς γε τὸ δύνασθαί φημι τῆς ἑαυτοῦ σαρκὸς ἀποσοβῆσαι τὴν φθορὰν, ἀλλ' ὅτι γέγονεν ἄνθρωπος, καὶ τοῦτο δέχεσθαι δοκῶν παρὰ τοῦ Πατρός. Πάντα γὰρ ἀνθρώπῳ θεόσδοτα. Ὅτι γὰρ ὁ Θεὸς, καὶ Πατὴρ δι' αὐτοῦ κατήργηκε τὸ τοῦ θανάτου κράτος, διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, σαφὲς ἂν γένοιτο λέγοντος αὐτοῦ ταῖς τῶν Ἰουδαίων ἀγέλαις· « Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. » Ἐπειδὴ δὲ τὰ ὑπὲρ ἀνθρώπου χεῖρά τε καὶ φύσιν, ἔθος αὐτῷ

[42] I Petr. II, 22. [43] Joan. III, 46. [44] Joan. XIV, 30. [45] Rom. VIII, 34. [46] Psal. XX, 12. [47] Joan. II, 19.

τῷ προσώπῳ τοῦ Πατρὸς ἀνατιθέναι μᾶλλον, ταύτητοι κἀνθάδε φησὶν ἀνθρωπίνως· Ἰδοὺ Κύριος βοηθεῖ μοι, τίς κακώσει με; Ἐπαμύνοντος γὰρ, φησὶ, τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ πᾶσαν ὑμῶν ἐπήρειαν ἀφανίζοντος, καὶ τὴν ἐμὴν ἱστῶντος δόξαν, τίς ἔσται τοσοῦτος ἐν ὑμῖν, ὡς ἀντιτάξασθαι τῇ ἀνικήτῳ βουλῇ, καὶ κακῶσαι δύνασθαι τὸν παρ' αὐτοῦ βοηθούμενον; Οὐκοῦν εἴπερ τινὲς ἦσαν νουνεχεῖς οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι, ἀπέσχοντο ἂν τῶν κατ' αὐτοῦ σκεμμάτων τε καὶ ἐπιχειρημάτων, διὰ προφητῶν τῶν ἁγίων προεγνωκότες, ὡς οὐκ ἂν ἰσχύσειαν ἀδικῆσαι Χριστὸν Θεὸν ὄντα, καὶ Κύριον, καὶ Υἱὸν ἀληθινὸν τοῦ Πατρός· αὐτοὶ δὴ μᾶλλον τὴν κατά γε σφῶν αὐτῶν δεινήν τε καὶ τομωτάτην ἕλκουσι δίκην. Καὶ τοῦτο διδάσκει προσεπενεγκών· Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς, τοῦτ' ἔστιν, εἰς παλαίωσιν, καὶ σῆψιν, καὶ εἰς ἀφανισμὸν οἰχήσεσθε, πολλοῖς καὶ ἀφύκτοις ἐντετηγμένοι κακοῖς, καὶ οἷον σητὸς δίκην ἐκδαπανώσης ὑμᾶς ἀνηκέστου συμφορᾶς. Τοῦτο πάλιν καὶ ἑτέρωθί πού φησιν ὁ προφήτης Ἡσαΐας· « Τί ἔτι πληγῆτε προστιθέντες ἁμαρτίας; Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην· ἀπὸ ποδῶν ἕως κεφαλῆς, [οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία,] οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα, οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους. Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτὴν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. » Ἱκανὴ σφόδρα, καὶ τῶν οὕτως ἀπευκτῶν ἡ πρόῤῥησιός ἠρεμεῖν ἀναπεῖσαι τοὺς Ἰουδαίους, καὶ κατὰ μηδένα τρόπον προσκρούειν ἑλέσθαι Θεῷ, εἴπερ ἔμελλεν, ὡς ἔφην, ἀπρακτήσειν μὲν αὐτῶν ἡ ἐπιβουλὴ, τῶν δὲ ἀνηνύτων ἐπιχειρημάτων αὐτοὶ πραχθήσεσθαι δίκας, καὶ εἰς ὄλεθρον καὶ ἀπώλειαν πεσεῖσθαι παντελῆ.

Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ἀκουσάτω τῆς φωνῆς τοῦ Παιδὸς αὐτοῦ.

Ὡς ἱμάτιον παλαιωθήσεσθαι λέγων τοὺς, οἵπερ ἂν ἕλοιντο πονεῖν ἀνηνύτως, καὶ ταῖς παρ' αὐτοῦ παροινίαις ἐντρυφᾷν (ἔφη γὰρ, Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς), προτείνει λοιπὸν τοῖς ἐπιεικέσι τὴν φιλανθρωπίαν, καὶ τὴν τῆς σωτηρίας αὐτοῖς καταδείκνυσι τρίβον· πλεῖστοι γὰρ ὅσοι πεπιστεύκασι τῶν ἐξ Ἰσραὴλ, καθὼς καὶ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων διηγορεύθη σαφῶς. Σέσωσται γὰρ τὸ κατάλειμμα, οὗ καὶ πρωτόλειον ὥσπερ τι καὶ ἀπαρχὴ γεγόνασιν οἱ θεσπέσιοι μαθηταί. Οὐκοῦν τοῖς ἑτοιμοτέροις πρὸς πίστιν τὰ ἐξ ἡμερότητος προΐσχεται λέγων· Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ἀκουσάτω τῆς φωνῆς τοῦ Παιδὸς αὐτοῦ. Ἑαυτὸν δὲ παῖδα Θεοῦ λέγων ἐφίησι νοεῖν, ὅτι καὶ ἄνθρωπος γεγονὼς Υἱός ἐστιν ἀληθινὸς τοῦ Θεοῦ καὶ Πατρός. Καὶ τὸ ἀκοῦσαι τῆς φωνῆς αὐτοῦ οὐ νόμου παράβασις ἦν, ἀλλὰ βεβαίωσις νόμου, διὰ τύπου καὶ σκιᾶς προαναγράφοντος τὴν ἀλήθειαν, ἥτις ἐστὶν ὁ Χριστὸς καὶ τὰ αὐτοῦ θεσπίσματα. Ταύτητοι καὶ ὁ πάνσοφος

A buere : idcirco hic quoque loquitur humano more : Ecce Dominus succurrit mihi, quis malo afficiet me? Etenim, inquit, Deo et Patre subveniente, omnemque vestram delente improbitatem, meamque stabiliente gloriam : quis in vobis erit tantus ut immutabili ejus consilio resistat, eumque qui ab eo adjuvatur, malo afficere possit? Itaque Scribæ et Pharisæi, siquidem fuissent cordati, abstinuissent a consiliis et conatibus in illum moliendis, cum ante ex prophetis sanctis legerant, neminem Christo nocere valuisse, Deo, et Domino et vero Patris Filio : at ipsi sibi hoc dirum et audacissimum contraxerunt supplicium. Idque docet, cum supra **695** adjecit : Ecce omnes vos sicut vestimentum inveterascetis, et quasi tinea comedet vos; id B est, in vetustatem, in corruptionem et interitum abibitis, multis malis confecti et inevitabilibus, et vos consumet quasi tinea insanabilis calamitas. Hoc iterum dicit illis alibi propheta Isaias : « Quid adhuc percutiemini, adjicientes peccatum? Omne caput languet, et omne cor mœret : a pedibus ad caput usque, non est in eo integra valetudo : neque vulnus, neque livor, neque plaga tumens : non licet fomentum apponere, neque oleum, neque ligaturas. Terra vestra deserta, civitates vestræ igne consumptæ sunt. Regionem vestram coram vobis alieni devorant, et desolata est, eversa a populis alienis[48-99]. » Satis esset vehemens horum prædictio ad persuadendum Judæis ut quiescerent, nulloque modo Deum offenderent : siquidem, ut dixi, ina- C nes forent eorum insidiæ, et frustraneorum conatuum daturi erant pœnas, omninoque in interitum ac perniciem recasuri.

Quis est inter vos qui timeat Dominum? Audiat vocem Pueri ipsius.

Veluti vestimentum dicit eos inveterascere, quicunque volunt inutiliter laborare, et debacchationibus contra illum exsultare. Ait enim : Ecce omnes vos sicut vestimentum inveterascetis, et tinea comedet vos. Pergit deinceps probis et moderatis viris exhibere suam humanitatem, et salutis semitam illis monstrat. Plurimi etenim Israelitæ crediderunt, quemadmodum in Actis apostolo- D rum aperte prædicatum est. Servatæ namque sunt reliquiæ, quarum prima quasi spolia et primitiæ fuerunt divini discipuli. Itaque paratioribus ad fidem recipiendam proponit clementiam, dicens : Quis inter vos timet Dominum? audiat vocem Pueri ipsius. Cum se puerum Dei vocat, innuit se hominem factum, Filium verum Dei et Patris esse. Et audire vocem Pueri ejus, non legis erat transgressio, sed legis confirmatio, per figuram et umbram ante describentis veritatem : quæ est Christus ejusque vaticinia. Hinc etiam sapientissimus Paulus scribit, et ait : « Legem igitur abolemus per

[48-99] Isa. I, 5, 6.

fidem ? Absit, imo legem stabilimus. Scriptum est enim : Justus meus ex fide vivet ‹ [1-38]. Eratque legis 696 et prophetarum finis, Christi mysterium, justificans per fidem impium, et a culpis liberans eos qui delictis erant constricti. Itaque audire vocem Christi, id est, evangelicam et salutarem prædicationem recipere, legis erat confirmatio. Quod autem visum sit Deo et Patri, Filii voce institui terræ habitatores, evangelicarum litterarum vis demonstrare potest cordatioribus. Transformatus enim est in monte Christus, et facies ejus sicut sol resplenduit, et vestes ejus candidæ erant velut lux : apparueruntque Moyses et Elias colloquentes inter se; ac deinde vox facta est Dei et Patris, denuntiantis et dicentis sanctis apostolis : ‹ Hic est Filius meus dilectus, ipsum audite [39]. › Si quis ergo, inquit, sit qui Dei timorem in animo habet, et quasi thesaurum quemdam apud se reposuit et occultavit, audiat vocem pueri ejus. Est autem, uti dixi, evangelica et divina prædicatio, vocans ad redemptionem per fidem in Christo, et ad sanctam vitæ institutionem, legali conversatione longe præstabiliorem. Illa enim, ut dixi, erat in umbris : hæc illustrem habet et manifestam veritatem.

A Παῦλος ἐπιστέλλει, καί φησι· ‹ Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν. Γέγραπται γὰρ, ὅτι Ὁ δίκαιός μου ἐκ πίστεως ζήσεται. › Καὶ ἦν καὶ νόμου καὶ προφητῶν τὸ πέρας τὸ Χριστοῦ μυστήριον, δικαιοῦν ἐν πίστει τὸν ἀσεβῆ, καὶ ἀπαλλάττον αἰτιαμάτων τοὺς ταῖς σφῶν αὐτῶν πλημμελείαις ἐνισχημένους. Οὐκοῦν τὸ ἀκοῦσαι τῆς φωνῆς αὐτοῦ, δηλονότι τοῦ Χριστοῦ, τουτό ἐστι τὸ παραδέξασθαι τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, νόμου βεβαίωσις ἦν· ὅτι δὲ θελητόν ἐστι τῷ Θεῷ καὶ Πατρὶ τὸ ταῖς τοῦ Υἱοῦ παιδαγωγεῖσθαι φωναῖς τοὺς ἐπὶ τῆς γῆς, καταδείξειεν ἂν τοῖς νουνεχεστέροις τῶν εὐαγγελικῶν Γραμμάτων ἡ δύναμις. Μετεμορφώθη μὲν γὰρ ἐν τῷ ὄρει Χριστὸς, ἔλαμψε δὲ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, B καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· ὤφθησαν δὲ Μωσῆς καὶ Ἡλίας συλλαλοῦντες μετ' ἀλλήλων· εἶτα φωνὴ γέγονε τοῦ Θεοῦ καὶ Πατρὸς, τοῖς ἁγίοις ἀποστόλοις παρεγγυῶντος καὶ λέγοντος· ‹ Οὗτός ἐστί μου ὁ Υἱὸς ὁ ἀγαπητὸς, ἀκούετε αὐτοῦ. › Εἴ τις οὖν ἄρα ἐστὶ, φησὶ, τὸν τοῦ Θεοῦ φόβον εἰς νοῦν ἔχων, καὶ ὥσπερ τινὰ θησαυρὸν καταχρύψας ἐν ἑαυτῷ, ἀκουσάτω τῆς φωνῆς τοῦ Παιδὸς αὐτοῦ. Ἔστι δὲ, ὡς ἔφην, τὸ εὐαγγελικὸν καὶ θεσπέσιον κήρυγμα καλοῦν εἰς λύτρωσιν τὴν διὰ πίστεως τῆς ἐν Χριστῷ, καὶ εἰς εὐαγῆ πολιτείαν, καὶ πολὺ τῆς ἐν νόμῳ προφερεστέρα[ν]. Ἡ μὲν γὰρ ἦν, ὡς ἔφην, ἐν σκιαῖς, ἡ δὲ λαμπρὰν ἔχει καὶ ἐκφανῆ τὴν ἀλήθειαν.

VERS. 10. *Vos qui ambulatis in tenebris, quibus non est lux, confidite in nomine Domini, et innitimini Domino.*

Peritissimi medici, mordentibus pharmacis, quædam subsidia mitium remediorum admiscent interdum, acerbum et asperiorem dolorem tantum non incantamento delinientes. Quale etiam nunc invenimus Dominum nostrum Jesum Christum fecisse. Reprehendit enim velut ambulantes in tenebris, et quasi caligine detentos, atque omnino luce privatos, divina videlicet et sub intelligentiam cadente, et pergentes non ad ea quæ ad salutem vel utilitatem faciunt, sed ad illa potius quæ facile eos in exitii barathrum deprimant. Non enim possunt, non possunt qui in tenebris sunt, unquam recto pede incedere. Deferuntur enim in puteum si quis inveniatur, et ad lapides si projecti sint, impingunt per imprudentiam. Vobis igitur, inquit, propono admonitiones, in tenebris versantibus, et lucem meam inconsiderate non admittentibus. ‹ Confidite 697 nomini Domini, et innitimini Deo. › Nam populus Judaicus, cum ex insigni fatuitate unigenitum Dei Verbum in specie nobis consimili vidisset, id est hominem factum, mysterium de illo non intellexerunt : sed imprudentes sæpe probrosis verbis offenderunt, interdum Samaritanum eum nominantes et ebriosum : interdum zelo falso ad iram incitati. Dicebant enim : ‹ De opere bono non lapidamus te, sed de blasphemia : quia tu, homo cum sis, teipsum Deum facis [40]. › Necessario, ut iam dixi, homo factus de-

Οἱ πορευόμενοι ἐν σκότει, οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Κυρίῳ.

C Οἱ τῶν ἰατρῶν εὐτεχνέστατοι τοῖς δηκτικοῖς τῶν φαρμάκων ἐπιπλέκουσιν ἔσθ' ὅτε καὶ τὰς ἐκ τῶν ἠπίων ἐπικουρίας, μονονουχὶ καταγοητεύοντες τὴν ἀπηνῆ καὶ ἀγριωτέραν ὀδύνην. Τοιοῦτόν τι καὶ νῦν πεπραχότα εὑρίσκομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Ἐλέγχει μὲν γὰρ ὡς ἐν σκότῳ βαδίζοντας, καὶ οἷον ἀχλύϊ κεκρατημένους, καὶ φωτὸς ἀλοτρόπως ἐστερημένους, δῆλον δὲ ὅτι τοῦ θείου καὶ νοητοῦ, ποιουμένους δὲ καὶ τὰς τροχιὰς ἐπ' οὐδενὶ μὲν τῶν τελούντων εἰς σωτηρίαν, ἤγουν εἰς ὄνησιν αὐτοῖς, ἐπ' ἐκείνοις δὲ μᾶλλον, ἅπερ ἂν εὐχόλως αὐτοὺς εἰς τὸ τῆς ἀπωλείας κατώθησε βάραθρον. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ὀρθοποδεῖν δύνασθαι τοὺς ἐν σκότῳ ποτέ· καταφέρονται γὰρ, κἂν εὑρεθείη που βόθρος, κἂν εἰ D λίθοι διεῤῥιμμένοι, προσπταίουσιν ἀφυλάκτοις αὐτοῖς. Ὑμῖν τοιγαροῦν, φησὶ, πρότεινω τὰς νουθεσίας τοῖς ἐν σκότῳ πορευομένοις, καὶ τὸ παρ' ἐμοῦ φῶς ἀσυνέτως οὐ προσιεμένοις. Πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ. Ἐπειδὴ γὰρ, ἐκ πολλῆς ἄγαν ἀβελτηρίας, οἱ τῶν Ἰουδαίων δῆμοι τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον ὁρῶντες ἐν εἴδει τῷ καθ' ἡμᾶς, τοῦτ' ἔστι γενόμενον ἄνθρωπον, οὐ συνίεσαν μὲν τὸ ἐπ' αὐτῷ μυστήριον, ἀσυνετοῦντες δὲ πλεισταχοῦ παλιμφήμοις ἐλύπουν φωναῖς, ποτὲ μὲν Σαμαρείτην καὶ μέθυσον ὀνομάζοντες, ποτὲ δὲ καὶ ζήλῳ πεπλανημένῳ καταθηγόμενοι πρὸς ὀργὰς (ἔφασκον γάρ· ‹ Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ, ἄνθρωπος ὤν,

[1-38] Rom. III, 17. [39] Matth. XVII, 2-6. [40] Joan. X, 33.

ποιεῖς σεαυτὸν Θεόν) »· ἀναγκαίως, καθάπερ ἔφην, ἀρτίως ἄνθρωπος γεγονώς, ἐναργῆ καθίστησιν αὐτοῖς τὴν ὑπερτενῆ καὶ θεοπρεπεστάτην αὐτοῦ δόξαν τε καὶ δύναμιν, καὶ τοῦ μικρὰ φρονεῖν ἐπ' αὐτῷ βούλεσθαί τινας ἀποκομίζει, λέγων· Πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ· ἐναργέστατα δὴ οὖν ἑαυτὸν Κύριον καὶ Θεὸν εἶναί φησιν, ἀποκομίζων, ὡς ἔφην, τοῦ χαμαιπετῆ καὶ κατεῤῥιμμένα τινὰ περὶ αὐτοῦ βούλεσθαι φρονεῖν τε καὶ λέγειν. Καύχημα δὲ τοῖς τὴν πίστιν εἰσδεξαμένοις, τὸ ἐπ' αὐτῷ πεποιθέναι, καὶ ῥάβδον ποιεῖσθαι καὶ στήριγμα. Ἀνέχει γὰρ πάντα πρὸς τὸ εἶναι καλῶς. Καὶ τοῦτο, οἶμαι, διδάσκει λέγων ὁ θεσπέσιος Μελῳδὸς πρὸς τὸν τῶν ὅλων Πατέρα καὶ Θεόν· « Ἡ ῥάβδος καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. » Εὐόλισθος μὲν γὰρ ὁ ἀνθρώπινος νοῦς πρὸς τὰ ἐν τῷδε τῷ κόσμῳ πράγματα, καὶ πολὺ διανένευκεν εἰς ἐκτόπους ἡδονὰς καὶ φιλοσαρκίας· δεῖται δὲ ἀεὶ τοῦ σώζοντος, καὶ νέμοντος χεῖρα σωτήριον, ὥστε καὶ λέγειν τοὺς ἐν μεθέξει γεγονότας τῆς ἐπικουρίας· « Ἔστησεν ἐπὶ πέτρας τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου. » Ὅτι δὲ σκότῳ καὶ ἀχλύϊ ἐμβέβλητο τῶν Ἰουδαίων ὁ νοῦς, ἐκ τῶν ἱερῶν Γραμμάτων ἔνεστιν ἰδεῖν. Ὁ μὲν γὰρ πάνσοφος Παῦλος, « Ὁ Θεὸς τοῦ αἰῶνος τούτου, φησὶν, ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ. » Ὁ δέ γε θεσπέσιος προφήτης Ἡσαΐας περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ ὡδέ πή φησιν· « Ὑπομεινάντων αὐτῶν φῶς, ἐγένετο αὐτοῖς σκότος, μείναντες αὐγὴν· ἐν ἀωρίᾳ περιεπάτησαν. » Αὐτὸς δὲ Χριστὸς πρὸς τὸ φῶς αὐτοὺς ἐκάλει, λέγων· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἐμοὶ ἀκολουθῶν οὐ μὴ περιπατήσει ἐν τῇ σκοτ[ε]ίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. » Ἄραρε δὴ οὖν, καὶ ἔστιν ἀληθὲς, ὅτι τοῖς οὐχ ἑλομένοις ἀκολουθεῖν αὐτῷ πάντῃ τε καὶ πάντως ἕψεται ὡς ἐν νυκτὶ καὶ σκότῳ πορεύεσθαι.

Ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύσατε φλόγα. Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ, ᾗ ἐξεκαύσατε. Δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

Παραδείκνυσί τε καὶ ἕτερον αὐτοῖς, ὅπερ ἦν εἰκὸς ἀμογητὶ δύνασθαι μεθιστᾷν αὐτοὺς εἴς γε τὸ δεῖν ἑλέσθαι φρονεῖν ὀρθά. Αἱ γάρ τοι τῶν κολάσεων μνῆμαι, καὶ τὸν ἀπειθῆ καὶ κατεσκληκότα νοῦν τοῖς ἐπωφελέσι δείμασιν, οἱονεί πως εὐαφῆ καὶ εὐήνιον ἀποφαίνουσι. Φησὶ τοιγαροῦν, ὅτι πῦρ ἀνακαίουσι καθ' ἑαυτῶν οἳ κατισχύουσι φλόγα. Προσκρούοντες γὰρ διὰ μακρᾶς ἀπειθείας, καὶ ἀνουθέτητον οὕτω καρδίαν ἐθέλοντες ἔχειν, ἐγείρουσι καθ' ἑαυτῶν τὴν ἄσβεστον φλόγα, τὴν τῆς κολάσεως δηλονότι. Τὴν ἴσην ἔχει διάνοιαν τοῖς προκειμένοις καὶ τὸ παρ' αὐτοῦ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ σαφῶς εἰρημένον· « Ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται. Ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ. » Τί γὰρ ἕτερόν ἐστι τὸ κρίνεσθαι, πλὴν ὅτι τὸ εἰς φλόγα πεσεῖν, καὶ εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ

A clarat illis excellentem suam et divinissimam gloriam ac potentiam, et ab humili cogitatione de ipso abducit, dicens: Confidite nomini Domini, et innitimini Deo. Disertissime igitur, Dominum sese et Deum esse dicit, abducens, uti dixi, ab eo ne humilia quædam et abjecta de eo velint vel cogitare vel dicere. Est autem gloriosum his qui fidem acceperunt, illi confidere, eumque sibi virgam et fulcimentum constituere. Sustinet enim omnia, ut bene sint. Idque, opinor, docet divinus Lyricus dicens, ad universorum Patrem et Dominum: « Virga tua et baculus tuus, ipsa me consolata sunt [41]. » Est enim labilis et præceps humana mens in res hujus mundi, et valde proclivis est in fœdas voluptates, et carnis studium: B ac semper eget eo qui servet, manumque salutarem porrigat, adeo ut etiam dicant, qui auxilii participes facti sunt: « Constituit super petram pedes meos, et direxit gressus meos [42]. » Quod autem tenebris et caligine mens Judæorum circumfusa fuerit, ex sacris Litteris videre licet. Sapientissimus enim Paulus inquit: « Deus sæculi hujus excæcavit sensus infidelium, ne resplendeat illuminatio Evangelii gloriæ Christi [43]. » Divinus item propheta Isaias de his qui sanguine Israelitico oriundi sunt, ait sic: « Exspectantibus illis lucem factæ sunt tenebræ, et exspectantes splendorem, in obscuritate ambularunt [44]. » Ipse etiam Christus ad lucem vocavit eos, dicens: « Ego sum lux C mundi; qui sequitur me, non ambulabit in tenebris, sed habebit lucem vitæ [45]. » Est ergo verum, quod qui eum sequi renuunt, omnino illis **698** eveniet ut in nocte et tenebris versentur.

VERS. 11. *Ecce omnes vos ignem accenditis, et firmatis flammam. Ambulate in lumine ignis vestri, et in flamma quam incendistis. Per me facta sunt hæc vobis, in mærore dormietis.*

Aliud quidpiam illis ostendit, quod videbatur eos ad recte sapiendum potuisse sine labore traducere. Commemoratio enim suppliciorum, etiam inobedien- D tem et obfirmatum animum utili terrore, quodammodo tractabilem et sequacem reddit. Ait itaque eos in se ignem accendere, et flammam corroborare. Nam cum per longam inobedientiam offendant, et cor immorigerum habeant, excitant contra seipsos inexstinctam flammam, punitionis scilicet. Consimilem his sensum habet id quod ab omnium nostrum Servatore Christo dictum est aperte: « Qui credit in Filium, non judicatur. At qui non credit, jam judicatus est, quia non credit in nomen Filii Dei [46]. » Quid est enim aliud judicari, quam in flammam incidere, et in ignem æternum, præparatum diabolo et angelis ejus? Cum autem apponit: Firmastis flammam, subinnuit quidpiam asperum. Et

[41] Psal. XXII, 4. [42] Psal. XXXIX, 3. [43] II Cor. IV, 4. [44] Isa. LIX, 9. [45] Joan. II, 12. [46] Joan. III, 18.

quidem verum est. Qui enim materiam apponunt igni, quæ incendat, fortius illud reddit et firmat. Insanit enim quodammodo ex multa materia, flamma: at multis lignis non abundans fit langnidior. Judæi igitur in se ignem inflammarunt, prophetis occisis, et his qui missi sunt lapidibus obrutis. Firmarunt autem et auxerunt flammam suam, cum prioribus sceleribus, debacchationes contra Christum adderent. Apposuerunt enim famulis, filium; et principem vitæ quantum in ipsis erat interfecerunt, etiamsi ut Deus et vita revixerit. Quoniam vero disciplinam Christi, legis umbræ inhærentes, haud admiserunt: ideo meritissime, cum se lucem legis habere autumarent, nec tamen vere haberent, a conjunctione ac consortio suo eos abdicat, dicens: Ambulate in lumine ignis vestri, et in flammam quam incendistis. Nec enim erat lux in illis: sed cum putarent se legem scire, et quia postea nolebant Christianam doctrinam ipsis traditam admittere, hoc illis hanc flammam et incendium peperit. Dedisse autem illos pœnas suæ in Christum debacchationis, et peccatis implicatos morituros, declarat, **699** cum adjicit: Per me facta sunt hæc vobis, in mœrore dormietis. Hæc autem qualia tandem fuerunt? Vastata est eorum regio, mali male perierunt, et capta est sancta civitas, et in manus inimicorum incidit. Combustum quoque est ipsum templum, et dormierunt in mœrore. Qui enim vitam finiunt incircumcisi, et redemptionem per Christum renuunt accipere, non in spe præmiorum, nec in tranquillitate spirituali, sed in timore suppliciorum, et in mœrore, propter illa, dormient.

Cap. LI. Vers. 1, 2. *Audite me, vos qui quod justum est persequimini, et qui Dominum quæritis. Intuemini in solidam petram quam excidistis, et in foveam lacus quam effodistis. Intuemini in Abraham patrem vestrum, et in Sarram quæ peperit vos, quia unus erat, et vocavi eum, et benedixi ei, et dilexi eum, et multiplicavi eum.*

Cum objecerit satis, his qui adversus veritatem obduruerunt, et futurum illis supplicium declaraverit, nisi velint evangelicis oraculis obsequi, desinantque superbum et præfractum mentis suæ collum erigere: commode exhortationis orationem transfert ad eos qui ex sanguine Israel crediderunt. Non enim in totum periit gens Judæorum, sed conservatæ sunt reliquiæ, juxta prophetæ vocem. Siquidem, ut in Actibus sanctorum apostolorum scriptum est, complures sermonem de Christo amplexati sunt, et apparitionem gloriæ ipsius agnoverunt. Hos itaque affatur, et inquit: Audite me, qui persequimini quod justum est, et qui Dominum quæritis. Justum dicit, pro justitiam, illam videlicet quæ per Christum, quæ, inquam, est per fidem in ipsum quæ justificat impium, et ab omnibus sordibus liberat eos qui inquinati sunt, et quæ in Spiritu sanctificat, et quæ illustrem adoptionis laudem parit. Persequun-

τοῖς ἀγγέλοις αὐτοῦ; Προσθεὶς δὲ ἔτι τὸ, Κατισχύετε φλόγα, νοεῖν ἐφίησί τε δριμύ τε καὶ ἀληθές. Οἱ μὲν γὰρ ὕλας ἐπιτιθέντες πυρὶ κατεμπιπρᾶσθαι δυναμένας, κατισχύουσιν αὐτό. Μαίνεται μὲν γὰρ ἐν πολλαῖς ὕλαις ἡ φλὸξ, ἀτονεῖ δέ πως οὐκ εὐποροῦσα πολλῶν. Ἰουδαῖοι τοιγαροῦν πῦρ μὲν ἐξέκαυσαν καθ' ἑαυτῶν, ἀποκτείναντες μὲν τοὺς προφήτας, καὶ λιθοβολήσαντες τοὺς ἀπεσταλμένους, κατισχύσαν[τες] δὲ τὴν ἑαυτῶν φλόγα προσεπενεγκόντες τοῖς προλαβοῦσιν ἐγκλήμασι τὰς κατὰ Χριστοῦ παροινίας. Προστεθείκασι γὰρ τοῖς οἰκέταις τὸν Υἱὸν, καὶ τὸν ἀρχηγὸν τῆς ζωῆς τό γε ἧκον εἰς ἑαυτοὺς ἀπεκτόνασιν, εἰ καὶ ἀνεβίω Θεὸς ὢν καὶ ζωή. Ἐπειδὴ δὲ τὴν διὰ Χριστοῦ παίδευσιν οὐ προσήκαντο, ταῖς τοῦ νόμου σκιαῖς ἐμμένοντες· ταύτῃ τοι, καὶ μάλα εἰκότως, ὡς φῶς μὲν ἔχειν οἰομένους τὸ ἀπὸ τοῦ νόμου, οὐ μὴν καὶ ἔχοντας ἀληθῶς, τῆς πρὸς αὐτὸν οἰκειότητος ἀποπέμπεται, λέγων· Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ, ᾗ ἐξεκαύσατε. Οὐ γὰρ φῶς ἦν αὐτοῖς, ἀλλὰ τὸ δοκεῖν εἰδέναι τὸν νόμον, μὴ μὴν ἔτι προσίεσθαι θέλειν τὰ διὰ Χριστοῦ, πυρὸς αὐτοῖς καὶ φλογὸς γέγονε πρόξενον. Ὅτι γὰρ ἐκτετίκασι δίκας τῆς εἰς Χριστὸν παροινίας μετὰ τοῦ καὶ ἐναποβιῶναι ταῖς ἁμαρτίαις ἐνισχημένους, καθίστησιν ἐναργὲς προσεπενεγκών· Δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν. Ἐν λύπῃ κοιμηθήσεσθε. Ποῖα ταῦτα; Πεπόρθηται γὰρ αὐτῶν ἡ χώρα, κακοί τε κακῶς ἀπολώλασι, καὶ ἥλω μὲν ἡ ἁγία πόλις, καὶ πέπτωκεν ὑπὸ χεῖρας ἐχθρῶν, κατεπρήσθη δὲ καὶ αὐτὸς ὁ νεὼς, ἐκοιμήθησαν δὲ καὶ ἐν λύπῃ. Οἱ γὰρ τελευτῶντες ἀπερικάθαρτοι, καὶ τὴν διὰ Χριστοῦ λύτρωσιν οὐκ ἀξιωθέντες ἑλεῖν, οὐκ ἐν ἐλπίδι γερῶν καὶ θυμηδίᾳ πνευματικῇ, ἀλλ' ἐν φόβῳ κολάσεων καὶ ἐν λύπῃ δι' αὐτὰς κοιμηθήσονται.

Ἀκούσατέ μου, οἱ διώκοντες τὸ δίκαιον, καὶ ζητοῦντες τὸν Κύριον. Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ὃν ὠρύξατε. Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν, καὶ εὐλόγησα αὐτὸν, καὶ ἠγάπησα αὐτὸν, καὶ ἐπλήθυνα αὐτόν.

Κατονειδίσας ἀρκούντως τοῖς ἀπεσκληκόσι τὸ ἀληθὲς, καὶ τὴν συμβησομένην αὐτοῖς κόλασιν ἐναργῆ καταστήσας, εἰ μὴ ἕλοιντο τοῖς εὐαγγελικοῖς κατακολουθεῖν θεσπίσμασιν, ἐπιμένουσι γαῦρόν τε καὶ ἀπηνῆ τὸν τῆς ἑαυτῶν διανοίας ἀνατείναντες αὐχένα, μεθίστησιν ἐπὶ καιροῦ τοὺς τῆς παραινέσεως λόγους ἐπὶ τοὺς ἐξ αἵματος Ἰσραὴλ πιστεύσαντας. Οὐ γὰρ εἰσάπαν ἀπόλωλε τὸ τῶν Ἰουδαίων ἔθνος, σέσωσται δὲ τὸ κατάλειμμα κατὰ τὴν τοῦ προφήτου φωνήν. Καὶ γοῦν, ὡς ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων γέγραπται, πλεῖστοι παρεδέξαντο τὸν περὶ Χριστοῦ λόγον, ἐπέγνωσαν τὴν ἐπιφάνειαν τῆς δόξης αὐτοῦ. Τούτοις οὖν ἄρα προσδιαλέγεται, καί φησιν· Ἀκούσατέ μου, οἱ διώκοντες δίκαιον, καὶ ζητοῦντες τὸν Κύριον. Τὸ δίκαιον δέ φησιν ἀντὶ τοῦ, τὴν δικαιοσύνην, δῆλον δὲ ὅτι τὴν διὰ Χριστοῦ, τὴν διά γε, φημὶ, τῆς εἰς αὐτὸν πίστεως, δικαιούσης τὸν ἀσεβῆ, καὶ ῥύπου παντὸς ἀπαλλαττούσης τοὺς μεμολυσμένους, καὶ

ἁγιαζούσης ἐν Πνεύματι, καὶ τὸ λαμπρὸν τῆς υἱοθεσίας περιποιούσης καύχημα. Διώκουσι δὲ τὸ δίκαιον, οὐχ ὡς ἐλαύνοντες αὐτὸ, καὶ τῆς ἑαυτῶν ἀποστήσαντες διανοίας, ἀλλ' ὡς ἐπ' αὐτὸ τρέχοντες, ἵνα καὶ καταλάβωσι. Τοιοῦτόν τι καὶ ὁ θεσπέσιος ἔφη Δαβίδ· « Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. » Ἤγουν καὶ κατ' ἐκεῖνο νοήσεις, ὃ ἐνήνεκται λέγων παρ' ἑνὶ τῶν ἁγίων προφητῶν· Ἐν τίνι καταλάβω τὸν Κύριον, ἀντιλήψομαι Θεοῦ μου ὑψίστου; Διώκουσι τοίνυν τὸ δίκαιον, ὡς ἔφην, ἵνα εὑρόντες ἁρπάσωσιν. Οὗτοι δ' ἂν εἶεν οἱ καὶ αὐτὸν ζητοῦντες τὸν Κύριον, τοῦτ' ἔστι τὸν Χριστόν. Εὑρίσκουσι γὰρ διὰ πίστεως, καλοῦντος εἰς τοῦτο αὐτοὺς τοῦ Θεοῦ καὶ Πατρός. Καὶ γοῦν ἔφη που Χριστὸς τοῖς Ἰουδαίων δήμοις· « Μὴ γογγύζετε μετ' ἀλλήλων. Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν. » Πλὴν ἐκεῖνο ἄθρει· Προσδιαλέγεται ὁ Θεὸς οὐ πᾶσιν ἁπλῶς, ἐκείνοις δὲ μᾶλλον οἵπερ ἂν εἶεν διώκοντες μὲν τὸ δίκαιον, ζητοῦντες δὲ καὶ αὐτὸν, κατά γε τοὺς ἀρτίως ἡμῖν εἰρημένους τρόπους. Οὐκοῦν θεοδίδακτοι πάντες εἰσὶν οἱ διὰ πίστεως τῆς ἐν Χριστῷ κεκλημένοι πρὸς ἐπίγνωσιν ἀληθείας. Τί δ' ἂν βούλοιτο δηλοῦν καὶ τῶν ἐννοιῶν ἡ δύναμις, ἐροῦμεν ὡς ἔνι. Πλείστη μὲν γὰρ ὅση τις ἦν τῶν Ἰουδαίων πληθὺς, ὀλιγοστοὶ δὲ παντελῶς οἱ ἐξ αὐτῶν πιστεύσαντες. Πλὴν ὅτι προβήσονται κατὰ καιροὺς οἱ πιστεύσαντες εἰς ἀριθμοῦ κρείττονα πληθὺν, προσενηνεγμένων τοῖς ἐκ περιτομῆς καὶ τῆς καλουμένης ἀκροβυστίας, τοῦτ' ἔστι τῶν ἐθνῶν, Θεοῦ συλλέγοντος, πειρᾶται πληροφορεῖν, εἰς παράδειγμα τοῦ πράγματος, ἤγουν εἰς βεβαίωσιν ἐλπίδος τῆς εἰς τοῦτο λαβὼν τὸν θεσπέσιον Ἀβραὰμ, καὶ σὺν αὐτῷ τὴν Σάῤῥαν. Ῥίζα γὰρ γεγόνασι τοῦ παντὸς ἔθνους, καίτοι πρεσβυτικὴν καὶ ὑπέρωρον ἔχοντες ἡλικίαν, καὶ οὐκ ἐν ἐλπίσιν ἔτι τοῦ δύνασθαι τεκεῖν. Ὁ μὲν γὰρ ἑκατὸν ἐτῶν ἦν, ἡ δὲ στεῖρά τε καὶ ἄτεξ. Ἐπειδὴ δὲ Θεῷ δυσήνυτον οὐδὲν, λεῖα δὲ πάντα καὶ εὐήλατα, γεγόνασιν ἀρχὴ καὶ ῥίζα πληθύος ἀνθρώπων φιλονεικούσης τοῖς ἄστροις. Εἴρηται γάρ που πρὸς τὸν θεσπέσιον Ἀβραὰμ, ἀναβλέψαι μὲν εἰς τοὺς ἀστέρας, πιστεῦσαι δὲ ὅτι τοῖς ὁρωμένοις ἰσάριθμον ἔσται τὸ σπέρμα αὐτοῦ. Ὅτι δὲ οὐ κατά γε τὸν τῆς ἀνθρωπίνης φύσεως νόμον ἐκτέτοκεν ἡ Σάῤῥα, καὶ πατὴρ γέγονε παιδὸς ὁ θεσπέσιος Ἀβραὰμ, ὑπέργηρως ἤδη καὶ ἀφηβηκὼς ἄνθρωπος, δύο δέχεται παραδείγματα· πέτραν τε στερεὰν λατομουμένην, καὶ βαθὺν λάκκον ὀρωρυγμένον. Ὥσπερ γάρ ἐστι τῶν ἄγαν δυσχερεστάτων τὰ ἐκ πέτρας στερεᾶς τε καὶ ἀπηνοῦς λιθοτομεῖν δύνασθαι, καὶ φρέαρ ὀρύξαι βαθύ· κατὰ τὸν ἴσον, οἶμαι, τρόπον, οὐκ εὐήλατον εἴη, μᾶλλόν τε καὶ ἀμήχανον τὸ ἐκ πρεσβύτου καὶ στείρας ἐκφῦναι τέκνον. Πλὴν τετέλεσται παραδόξως, καὶ τοῦτο, Θεοῦ κατανεύοντος. Ὅταν τοίνυν ὑμεῖς οἱ πιστεύσαντες ὀλιγοστοὺς ἑαυτοὺς εἶναι νομίσητε, ἅτε δὴ καὶ ὄντος ἐν ἀρχαῖς τοῦ θείου τε καὶ ἱεροῦ κηρύγματος, ἀλλ' οὖν ἀραρότως διατέθεινται, φησὶν, ὅτι καὶ εἰς πληθὺν ἐπιδώσει τὴν ἀριθμοῦ κρείττονα

A tur autem justum, non velut profligantes illud et a mente sua expellentes, sed velut ad id currentes, ut assequantur. Cujusmodi est quod dixit etiam divinus David: « Quære pacem, et persequere eam[47]. » Scilicet juxta illud etiam intelliges quod a propheta sancto quopiam infertur, dicente: In quo apprehendam Dominum? suscipiam Deum meum altissimum. **700** Persequuntur igitur, ut dixi, quod justum est, ut cum invenerint arripiant. Hi sunt qui ipsum quærunt Dominum, id est Christum. Inveniunt enim per fidem, vocante ad hoc eos Deo et Patre. Siquidem dixit Christus Judaico populo: « Nolite murmurare inter vos. Nemo potest venire ad me, nisi Pater, qui misit me, traxerit eum[48]. » Verum
B illud observa: Affatur Deus non omnes simpliciter, sed illos potius qui persequuntur quod justum est, idque quærunt his qui jam dicti sunt modis. Itaque a Deo docti sunt omnes qui per fidem in Christo vocati sunt ad agnitionem veritatis. Quid autem significetur his sententiis, quoad poterimus, dicemus. Maxima enim erat multitudo Judæorum, sed omnino paucissimi ex his crediderunt. Verum quod excrescent temporibus suis credentes in multitudinem innumerabilem, adjuncto his qui ex circumcisione sunt, præputio, ut vocatur, id est gentibus, Deo colligente, conatur probare, sumpto divino Abrahamo, et cum eo Sarra, exempli causa et ad spei confirmationem. Radix enim fuerunt omnium gentium, etiamsi senilem et plusquam maturam ætatem at-
C tigerint, nec spes fuerit posse illos ultra parere. Ille enim centum annorum erat, hæc sterilis et infecunda. Sed quoniam Deo nihil non factu facile, omniaque sunt proclivia et plana, hi principium et stirps exstiterunt multitudinis hominum quæ cum stellis possit contendere. Dictum siquidem est ad divinum Abrahamum ut stellas respiceret, ac crederet par numero fore semen ejus his quas conspexerat. Quia vero non humanæ naturæ lege peperit Sarra, paterque filii factus est divinus Abraham, valde provectæ et inclinatæ jam ætatis homo: duo exempla capit, petram solidam, quæ excisa est, et foveam lacus, lacum quæ effossa est. Quemadmodum enim difficillimum est ex petra solida et immani lapides exscindere, et puteum profundum exhaurire:
D eodem, credo, modo haud proclive est, imo impossibile, ex sene et sterili nasci filium. Verum hoc effectum est supra opinionem, Deo annuente. Quando igitur putabitis, vos qui credidistis, esse vos paucissimos, videlicet cum **701** primum divina et sacra esset prædicatio: certo credendum, inquit, vestrum numerum ac multitudinem fore innumerabilem. Unus enim erat Abraham, et vocavi illum, et benedixi, et cum benedixissem, etiam dilexi, et cum dilexissem, multiplicavi, id est, patrem constitui gentis omnium Judæorum, et eorum præterea qui ex promissione erant. Siquidem dictum est Abrahamo: « Patrem multarum gentium constitui te[49]. » Itaque qui vocatus est, bene-

[47] Psal. xxxiii, 15. [48] Joan. vi, 43, 44. [49] Gen. xvii, 5.

dicitur, et qui benedictus est, omnino diligetur, et qui hoc consecutus est erit numerosus, spiritualiter videlicet. Varios enim virtutum et evangelicorum ornamentorum fructus edet. Verum etiam, juxta historiæ rationem, ex rebus ipsis promissionem esse veram licet videre. Adorat enim orbis terrarum, omnium Servatorem Christum, et omnia plena illius sunt, et omnis terra majestate ejus repleta est.

VERS. 3. *Et nunc consolabor te, Sion, et consolatus sum omnia deserta ejus, et ponam omnia deserta ejus, quasi paradisum Domini. Lætitiam et exsultationem invenient in ea, confessionem et vocem laudis.*

Figuratur semper oratio sanctorum prophetarum rebus sub visum sensumque cadentibus. Affecta sunt enim et referuntur quodammodo ad ea quæ sensibus percipiuntur, illa quæ cadunt sub intelligentiam. Ideoque etsi nominet Sion, noli tamen illam terrenam intelligere, sed accipe eam quæ sub intelligentiam venit, quæ est Dei viventis Ecclesia; unde enim semper prophetæ sermones veros esse videbimus? Consolaturum enim se illam Deus promisit, id autem minime inveniemus factum, sed e contrario desolatam videre est et devastatam. Itaque habita nunc est a propheta oratio ad credentium multitudinem, quæ est Ecclesia Dei viventis. Sic nimirum dicit: Quemadmodum, inquit, vocavi Abrahamum, eumque unum constitui patrem multarum gentium; sic etiam te, o Sion, consolabor. Consolatio autem, hic, est promissio lætitia afficiens, et certam spem afferens et inserens quasi auditoribus, Deo undecunque congregante eos qui per fidem vocandi sunt, non fore eam desertam et vastam, sed tanquam paradisum quamdam florentulam et arboribus fructuosissimam, densam pulchris et generosis plantis, **702** et fertilitatem habentem intelligibilem, id est lætitiam, et exsultationem, ac confessionem, vocemque laudis. Hinc intellige eum promittere abducturum se a legali cultu eos qui futuri sunt loco plantarum, et intelligibilem hortum repleturi, quem etiam Dei paradisum nominat. Olim enim lex Mosaica præcepit bovem sacrificare, pecora mactare, turtures Deo offerre, et similaginem oleo conspersam. Cæterum ultra non patet ad Deum universorum aditus per hæc sacrificia, sed ut ipse Christus ait: « Deus est spiritus, et qui adorant eum, in spiritu et veritate oportet adorare [89]. » Spiritualis autem et vera adoratio et intelligibilis cultus, vis ac virtus, suavem habet fragrantiam, spiritualem lætitiam et exsultationem in spe in Christum. Sic enim confidimus transfiguraturum eum corpus humanitatis nostræ, ut conforme fiat corpori ipsius glorioso, et simul

A τὰ καθ' ὑμᾶς. Εἷς γὰρ ἦν Ἀβραὰμ, καὶ ἐκάλεσα αὐτὸν, καὶ εὐλόγησα, καὶ εὐλογήσας ἠγάπησα, καὶ ἀγαπήσας ἐπλήθυνα, τοῦτ' ἔστι, πατέρα τέθεικα παντὸς τοῦ τῶν Ἰουδαίων γένους, ἤτουν ἔθνους, καὶ πρός γε τούτῳ τῶν ἐξ ἐπαγγελίας. Εἴρηται γὰρ πρὸς Ἀβραὰμ, ὅτι « Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. » Οὐκοῦν ὁ καλούμενος εὐλογεῖται, καὶ ὃς ἂν εὐλογηθῇ, πάντη τε καὶ πάντως ἀγαπηθήσεται, καὶ ὁ τούτου τυχὼν ἔσται πολλοστὸς, πνευματικῶς δηλονότι. Καρποὺς γὰρ ἕξει ποικίλους τοὺς ἐξ ἀρετῶν καὶ ἐξ αὐχημάτων εὐαγγελικῶν. Πλὴν καὶ κατά γε τὸν τῆς ἱστορίας λόγον, ἀληθῆ διὰ πραγμάτων ἔνεστιν ἰδεῖν τὴν ἐπαγγελίαν. Προσκυνεῖ γὰρ ἡ ὑπ' οὐρανὸν τῷ πάντων Σωτῆρι Χριστῷ, γέγονε δὲ τὰ πάντα αὐτοῦ μεστὰ, καὶ πεπλήρωται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ.

Καὶ σὲ νῦν παρακαλέσω, Σιὼν, καὶ παρεκάλεσα πάντα τὰ ἔρημα αὐτῆς, καὶ θήσω τὰ ἔρημα αὐτῆς B *ὡς παράδεισον Κυρίου. Εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολογήσουσι* [*al.* ἐξομολόγησιν] *καὶ φωνὴν αἰνέσεως.*

Τῶν ἁγίων προφητῶν ὁ λόγος σχηματίζεται μὲν ἀεί πως πρὸς τὰ ὁρώμενα, καὶ τὰ ἐν αἰσθήσει πράγματα. Ἔχει γε μὴν τὴν ἀναφορὰν πρὸς τὰ ὑπὲρ αἴσθησίν τε καὶ νοητά. Οὐκοῦν κἂν Σιὼν ὀνομάζῃ, μὴ τὴν ἐπίγειον νόει, δέχου δὲ μᾶλλον τὴν νοητὴν, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος· ἐπεὶ πῶς ἄν τις ἴδοι πρὸς ἀλήθειαν ἐκβαίνοντας τοῦ προφήτου τοὺς λόγους; Παρακαλέσειν μὲν γὰρ αὐτὴν Θεὸς ἐπηγγέλλετο· τοῦτο δὲ οὐδαμοῦ γεγονὸς εὑρήσομεν, ἀλλ' ἐκ γε τῶν ἐναντίων ἐρημωθεῖσαν ἔστιν ἰδεῖν καὶ πεπορθημένην. Γέγονε τοίνυν ὁ λόγος τῷ προφήτῃ νυνὶ C πρὸς τὴν τῶν πιστευσάντων πληθὺν, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος. Καὶ τί δὴ ἄρα φησίν; Ὥσπερ γὰρ, φησὶ, κέκληκα μὲν τὸν Ἀβραὰμ, ἕνα δὲ ὄντα πατέρα τέθεικα πολλῶν ἐθνῶν· οὕτω καὶ σὲ παρακαλέσω, Σιών. Ἡ δὲ παράκλησις ἐν τούτοις ὑπόσχεσίς ἐστι κατευφραίνουσα, καὶ βεβαίαν ἐμφυτεύουσα τὴν ἐλπίδα τοῖς ἀκροωμένοις, τοῦ ὅτι πάντη τε καὶ πάντως Θεοῦ συναγείροντος τοὺς ἐν πίστει κληθησομένους, οὐκ ἔρημος ἔσται καὶ κεχερσωμένη, ἀλλ' οἷά τις παράδεισος εὐανθής τε καὶ εὐδενδρότατος, καλοῖς τε καὶ εὐγενέσι φυτοῖς κατάκομος, καὶ εὐκαρπίαν ἔχων τὴν νοητὴν, τοῦτ' ἔστιν εὐφροσύνην καὶ ἀγαλλίαμα, ἐξομολόγησίν τε καὶ φωνὴν αἰνέσεως. Σύνες ἐντεῦθεν ὅτι τῆς νομικῆς λατρείας ἀποφέρειν ἐπαγγέλλεται τοὺς ἐν τάξει φυτῶν ἐσομένους, καὶ τὸν D νοητὸν πληροῦντας κῆπον, ὃν δὴ καὶ παράδεισον ὀνομάζει Θεοῦ. Πάλαι μὲν γὰρ ὁ Μωσέως νόμος βουθυτεῖν ἐκέλευε, καὶ μηλοσφαγεῖν, τρυγόνας τε προσάγειν Θεῷ, καὶ σεμίδαλιν ἐλαιόδευτον. Ἀλλ' οὐ διὰ τούτων ἔτι προσιτὸς ὁ τῶν ὅλων Θεὸς, ἀλλ' ὡς αὐτὸς ἔφη Χριστός· « Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. » Ἡ δὲ ἐν πνεύματι καὶ ἀληθείᾳ προσκύνησις, καὶ τῆς νοητῆς λατρείας ἡ δύναμις, εὔοσμίαν ἔχει τὴν πνευματικὴν εὐφροσύνην, καὶ ἀγαλλίαμα τῇ ἐλπίδι τῇ εἰς Χριστόν. Διακείμεθα γὰρ ὅτι καὶ μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ· συνεσόμεθά τε καὶ συμβασιλεύσομεν αὐτῷ, τεταγμένοι μὲν ἐν

[89] Joan. IV, 24.

υἱοῖς Θεοῦ, καταπλουτήσαντες δὲ τὸ θεῖον αὐτοῦ καὶ ζωοποιὸν πνεῦμα. Προσάγομέν τε καὶ ἡμεῖς εὐχαριστίαν νοητὴν αὐτῷ, τήν τε ἐξομολογίαν καὶ ᾠδὰς τὰς χαριστηρίους. Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται Θεός.

Ἀκούσατέ μου, λαός μου, καὶ οἱ βασιλεῖς, πρός με ἐνωτίσασθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν.

Ἀνάδειξ[ε]ιν ὑπισχνούμενος πλείστην τε καὶ ἀριθμοῦ κρείττονα τὴν τῶν εἰς αὐτὸν πιστευόντων πληθὺν, οὕτω αὐτῇ προσδιαλέγεται, καθάπερ ἤδη συναγηγερμένῃ. Μυσταγωγεῖ δὲ λοιπὸν ὡς ἰδίους ὄντας προσκυνητὰς, ἵνα καὶ ἀληθὲς ὑπάρχειν ὁρῷτο τὸ γεγραμμένον περὶ αὐτῶν· «Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ.» Ψάλλει γοῦν καὶ ὁ θεσπέσιος Δαβὶδ, ὧδέ τέ φησιν πρὸς τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· «Μακάριος ἄνθρωπος ὃν ἂν σὺ παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.» Ἐπηγγέλλετο δὲ καὶ τῆς ἐπὶ τούτῳ φιλοτιμίας τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Καὶ δὴ καί φησι δι' ἑνὸς τῶν ἁγίων προφητῶν περὶ τῆς ἑαυτοῦ παρουσίας, τῆς γενομένης ἐν τῷδε τῷ κόσμῳ μετὰ σαρκὸς, ὅτι «Ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ εἰς τὰς καρδίας αὐτῶν ἐπιγράψω αὐτούς.» Ὀρθῶς δὲ καὶ τοῦτο συνεὶς ὁ πάνσοφος Παῦλος γράφει, καί φησι τοῖς τούτου τετυχηκόσιν· «Ἡ ἐπιστολὴ ἡ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος.» Οὐκοῦν ἀκούσατέ μου, φησὶ, τοῦτ' ἔστι, τοὺς ἐμοὺς εἰσδέξασθε λόγους, καὶ μὴ καθάπερ ὁ Ἰσραὴλ ἐξήνιοι γένεσθε, τῇ τοῦ νομικοῦ γράμματος προσκείμενοι παλαιότητι, καὶ παρὰ τῶν τύπων ὁρῶντες οὐδέν. Μέχρι καιροῦ διορθώσεως ἡ διὰ Μωσέως τέθειται ἐντολὴ, φησίν. Ἐπειδὴ δὲ ὁ τῆς ἐνανθρωπήσεως οὐ προσδοκᾶται μᾶλλον, ἀλλ' ἐνέστηκεν ἤδη καιρὸς, μεταχωρείτω πρὸς ἀλήθειαν ἡ σκιά. Ἐμοῦ τοίνυν ἀκούετε, λαός μου. Λέγων δὲ, λαός μου, τὴν πνευματικὴν οἰκειότητα τὴν δωρηθεῖσαν αὐτοῖς ἐπὶ καιροῦ προΐσχεται, δυσωπῶν, ὥς γε οἶμαι, καὶ διὰ τούτου, καὶ προθυμοτέρους ἀποτελῶν εἴς γε τὸ χρῆναι, φημὶ, τὸν παρ' αὐτοῦ προσήκασθαι λόγον. Καλεῖ δὲ οὐχὶ μόνους τοὺς τελοῦντας ἐν λαοῖς, ἀλλὰ γὰρ σὺν αὐτοῖς καὶ βασιλέας, ἵνα τοὺς ἄρχοντας ἤτοι τοὺς τῶν λαῶν ἡγουμένους ἐννοῇς. Ἀπὸ γὰρ τῆς τῶν πιστευσάντων πληθύος παρεκομίσθησαν εἰς τοῦτο πολλοὶ, ὧν ἀπαρχὴ γεγόνασιν οἱ θεσπέσιοι μαθηταί· εἶτα μετ' ἐκείνους κατ' ἴχνος ἰόντες οἱ μετ' αὐτοὺς τὸ τῆς βασιλείας ὄνομα περιετέθησαν· ἅτε δὴ καὶ βασιλείας ὄνομα πεπλουτηκότες, τεταγμένοι δὲ καὶ εἰς τὸ καθηγεῖσθαι λαῶν. Καὶ γοῦν ὡς ἐκ πολλῆς ἄγαν χαρᾶς χαριστηρίους ᾠδὰς ἀνατείνουσι Θεῷ λέγοντες· «Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.» Ψάλλει δὲ περὶ αὐτῶν καὶ ὁ θεσπέσιος Μελῳδός· «Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ.» Ὦ τοίνυν λαοὶ καὶ βασιλεῖς,

erimus, ac simul regnabimus cum eo, collocati inter filios Dei, ac divino ejus et vivifico ditati spiritu. Adducimus etiam nos fertilitatem intelligibilem ei, confessionem et vocem laudis, id est hymnos et doxologias et odas gratulatorias. Talibus enim sacrificiis delectatur Deus.

VERS. 4. *Audi me, popule mi; et reges, mihi auscultate, quia lex a me egredietur, et judicium meum in lucem gentium.*

Demonstraturum se pollicitus fore copiosam et innumerabilem in ipsum credentium multitudinem, sic eam affatur, perinde quasi jam esset congregata, et illos instituit ac initiat de cætero, tanquam suos adoratores, ut verum esse appareat quod scriptum est de illis: «Et erunt omnes docti a Deo [80].» Psallit igitur et divinus David sic, et ait ad universorum Servatorem Christum: «Beatus homo quem tu erudieris, Domine, et de lege tua docueris eum [81].» Promittit etiam propterea gloriam his qui ejus apparitionem agnoverunt. Quin et per unum e sanctis prophetis dicit, de suo adventu in hoc mundo cum carne: «In tempore illo, dicit Dominus, dedi leges meas in animum eorum, et cordibus eorum inscribam eas [82].» Quod recte intelligens sapientissimus Paulus, scribit, et inquit his qui hoc assecuti sunt: «Epistola nostra vos estis, scripta, non atramento, sed spiritu Dei viventis [83].» Itaque audite me, inquit, **703** id est, meos accipite sermones; neque, sicut Israel, effrenes et rebelles sitis, legalis litteræ vetustati adhærescentes, et præter typos videntes nihil. Ad tempus usque instaurationis, inquit, præceptum per Moysen positum est. At ubi humanitatis tempus non exspectatur, sed jam instat: transeat ad veritatem umbra. Me itaque audi, o popule mi. Cum dicit, o popule mi, spiritualem conjunctionem ipsis donatam opportune profert, persuadens, ut arbitror, hinc et promptiores eos reddens, ut ejus scilicet admittant orationem. Nec eos solum vocat qui numerantur in populo, sed cum illis una et reges, ut principes vel populorum præfectos intelligas. Multi enim ex credentium multitudine ad hoc sunt adducti, quorum primitiæ fuerunt divini discipuli; deinde post illos secuti eorum vestigia hi quibus regium nomen impositum est, quique constituti sunt ut præsint populo, illi, inquam, regio nomine ditati, velut præ insigni gaudio, carmina gratiarum actionis offerunt Deo, dicentes: «Subjecit populos nobis, et gentes sub pedibus nostris [84].» Psallit item de illis divinus etiam Cantor: «Principes populorum congregati sunt cum Deo Abraham [85].» O igitur, populi et principes, inquit, audite me et auscultate, et quid sit futurum annuntiate. Lex a me egredietur, et judicium meum in lumen gentium. Legem hic divinam et evangelicam prædicationem dicit. Est enim aliusmodi quidem quodam-

[80] Isa. LIV, 13; Joan. VI, 45. [81] Psal. XCIII, 12. [82] Isa. XLI, 22. [83] II Cor. III, 3. [84] Psal. XLVI, 4. [85] Ibid., 10.

modo hoc novum et salutare oraculum : aut potius veteris legis mutatio in melius, et typorum præteritorum ad veritatem translatio. Dixit itaque Christus : « Ne putetis venisse me ut solvam legem et prophetas : non veni ut solvam, sed ut impleam. Dico enim vobis quod iota unum aut unus apex non præteribit ex lege, donec omnia fiant [54]. » Cæterum lex litteræ per Moysen data est : prædicatio autem salutaris, id est evangelica, per Christum exiit. Erat enim, ut videtur, consentaneum ut Moyses umbræ et figuræ minister, cognitionis autem et veri cultus in spiritu illustrator fieret Christus. Est enim lux vera [55]. Infert his : Judicium meum in lumen gentium. Judicium **704** hic vocat, vel sanctam et humanam ejus sententiam et calculum, et progressam ad lumen gentium gratiam, vel judicium, rectitudinem et justum judicium, vel justitiam, evangelicam videlicet. Sic enim divinus David sacræ prædicationis meminit, dicens : « Præparasti rectitudinem, judicium et justitiam in Jacob tu fecisti [56]. » Quid est quod dicat, divinam et salutarem prædicationem habitam esse in Jacob, et non in reliquis gentibus? Meminisse oportet Deum aperte dixisse : « Non missus sum nisi ad perditas oves domus Israel [57]. » Quinimo et voce ipsius divini David : « Ego constitutus sum rex ab eo (scilicet Deo et Patre) super Sion montem sanctum ejus, annuntians præceptum Domini [58]. » Erant enim patres ex Israel, et promissio et legislatio et testamentum. Sed postquam defectores evaserunt, et parum morigeri, ac dominicidæ, migravit propterea deinceps gratia, et facta est lux gentium omnium.

A φησὶν, ἀκούσατέ μου, καὶ ἐνωτίσασθε, καὶ τί τὸ μέλλον ἐπαγγέλ[λ]εσθε· Νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. Νόμον ἐν τούτοις τὸ θεῖόν τε καὶ εὐαγγελικὸν ὀνομάζει κήρυγμα. Καὶ γάρ ἐστιν ἑτεροειδὲς μὲν ὥσπερ τὸ θέσπισμα τὸ νέον τε καὶ σωτήριον· νόμου δὲ ὥσπερ ἀρχαίου μεταβολὴ πρὸς τὸ ἄμεινον, καὶ μετάστασις τύπων ἐκδεδραμηκότων πρὸς ἀλήθειαν. Ἔφη γοῦν ὁ Χριστός· « Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Λέγω γὰρ ὑμῖν, ὅτι ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. » Ἀλλ' ὁ μὲν ἐν γράμμασι νόμος ἐδόθη διὰ Μωσέως· κήρυγμα δὲ τὸ σωτήριον, τοῦτ' ἔστι τὸ εὐαγγελικὸν, ἐξῆλθε διὰ Χριστοῦ. Καὶ γὰρ ἦν ἀκόλουθον, Μωσέα μὲν τῆς B σκιᾶς καὶ τύπου γενέσθαι διάκονον, ὡς ἔοικε, γνώσεώς τε καὶ ἀληθοῦς λατρείας τῆς ἐν πνεύματι φωτιστὴν γενέσθαι Χριστόν. Αὐτὸς γάρ ἐστι τὸ φῶς τὸ ἀληθινόν. Ἐπιφέρει δὲ τούτοις, ὅτι Ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. Κρίσιν ἐνταῦθά φησιν ἢ τὴν ὁσίαν καὶ φιλάνθρωπον αὐτοῦ ψῆφον, τὴν ἐξενεγκοῦσαν εἰς φῶς ἐθνῶν τὴν παρ' αὐτοῦ χάριν, ἤγουν κρίσιν, τὴν εὐθύτητα καὶ δικαιοκρισίαν, ἤτοι τὴν δικαιοσύνην, τὴν εὐαγγελικὴν δηλονότι. Οὕτω γὰρ ὁ θεσπέσιος Δαβὶδ τῶν ἱερῶν κηρυγμάτων διαμέμνηται λέγων· « Σὺ ἡτοίμασας εὐθύτητα, κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. » Εἰ δὲ τὸ θεῖόν τε καὶ σωτήριον κήρυγμα πεποιῆσθαί φησιν ἐν Ἰακὼβ ἐν τούτοις, καὶ οὐχὶ μᾶλλον καὶ ἐν τοῖς ἑτέροις τῶν ἐθνῶν· ἀλλὰ χρὴ μεμνῆσθαι Θεοῦ λέγοντος ἐναρ- C γῶς· « Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Καὶ μὴν καὶ διὰ φωνῆς αὐτοῦ τοῦ θεσπεσίου Δαβίδ· « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ (δῆλον δὲ ὅτι Θεοῦ καὶ Πατρὸς) ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. » Ἦσαν μὲν γὰρ ἐξ Ἰσραὴλ οἱ πατέρες καὶ ἡ ἐπαγγελία, ἡ νομοθεσία τε καὶ ἡ διαθήκη. Ἐπειδὴ δὲ γεγόνασιν ἀποστάται δυσάγωγοι, καὶ Κυριοκτόνοι, μεταπεφοίτηκε λοιπὸν διὰ τοῦτο ἡ χάρις, καὶ γέγονεν εἰς φῶς τῶν ἐθνῶν ἁπάντων.

VERS. 5. *Appropinquat cito justitia mea, et egredietur salus mea, et in brachium meum gentes sperabunt. Me insulæ exspectabunt, et in brachium meum sperabunt.*

Non sinit alacritatem vocatorum extingui, aut mœrore, quasi marcescere, neque in longum tempus sit fore spei dilationem : sed ad pedes quodammodo hæc ipsa verba subsequi ipsam promissionem ostendit. Cujusmodi est quod, voce Habacum, vel ad ipsum a Deo dictum est : « Adhuc paululum, adhuc paululum, qui venit veniet, et non moram faciet [59]. » Bonorum enim spes, cum sitit id quod exspectant, cunctatione ac procrastinatione colliquescit. Hinc ait appropinquare justitiam. Siquidem personæ Dei et Patris sermones hos accommodare voluerimus : dicimus eum justitiam suam vocare Filium. Justificati enim sumus in ipso, et non ex operibus quæ fiunt in justitia, quæ fecimus nos, sed ex magna ipsius misericordia. Venit enim in hunc mundum, non ut illum judicaret, sed ut servetur per ipsum. Nec aliter servatus est nisi ex

Ἐγγίζει μοι ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν. Ἐμὲ νῆσοι ὑπομενοῦσι, καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσιν.

Οὐκ ἐᾷ ταῖς ἀδικίαις καταμαραίνεσθαι τῶν κεκλημένων τὴν προθυμίαν, οὔτε μὴν εἰς χρόνους μακροὺς D ἀνάκλησιν ἔσεσθαι τῆς ἐλπίδος φησὶν, ἀλλ' οἷον κατὰ πόδα τῶν λόγων τρέχουσαν ἀποφαίνει τὴν ὑπόσχεσιν. Ὁποῖόν ἐστι τὸ διὰ φωνῆς Ἀμβακοὺμ, ἤτοι πρὸς αὐτὸν εἰρημένον παρὰ Θεοῦ· « Ἔτι μικρὸν, ἔτι μικρὸν ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. » Αἱ γὰρ τῶν ἀγαθῶν ἐλπίδες, παρὰ τῶν προσδοκώντων αὐτὰς διψώμεναι, τῷ μελλησμῷ κατατήκουσι. Ταύτῃτοί φησιν ἐγγίζειν ἑαυτοῦ τὴν δικαιοσύνην. Καὶ εἰ μὲν τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρὸς τοὺς ἐπὶ τῷδε λόγους ἀνάπτειν ἐθέλοιμεν, φαμὲν ὅτι δικαιοσύνην αὐτοῦ τὸν Υἱὸν ἀποκαλεῖ. Δεδικαιώμεθα γὰρ ἐν αὐτῷ, καὶ οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἃ ἡμεῖς ἐποιήσαμεν, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος. Ἀφίκετο γὰρ εἰς τόνδε τὸν κόσμον, οὐχ ἵνα κρίνῃ μᾶλλον αὐτὸν, ἀλλ' ἵνα σωθῇ δι' αὐτοῦ. Ἐσώθη δὲ οὐχ ἑτέρως πλὴν ὅτι

[54] Matth. v, 17 18. [55] Joan. i 9. [56] Psal. cxlvii 19. [57] Matth. x, 6. [58] Psal. ii, 6. [59] Habac. ii, 3.

διὰ πολλῆς ἡμερότητος. Ἔφη γάρ, ὅτι «Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθήσομαι.» Καὶ πάλιν· «Καὶ σύ, Ἰσραήλ, μὴ ἐπιλανθάνου μου. Ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου, καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου.» Ψάλλει δὲ καὶ Δαβὶδ, καὶ δή καί φησι πρὸς αὐτόν· «Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακὼβ, ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.» Οὐκοῦν ἐν τῇ τοῦ Θεοῦ καὶ Πατρὸς δικαιοσύνῃ, τοῦτ' ἔστιν, ἐν Χριστῷ, σεσώσμεθά τε καὶ ἡγιάσμεθα, τοὺς τῆς φαυλότητος ῥύπους ἀπονιψάμενοι. Εἰ δὲ αὐτὸς εἴη Χριστὸς ὁ λέγων τὸ, Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, δικαιοσύνην οὐδὲν ἧττον συνήσεις ἐν τούτοις, ἢ τὴν παρ' αὐτοῦ δικαιοῦσαν χάριν, ἤγουν τὸ εὐαγγελικὸν καὶ οὐράνιον κήρυγμα, δι' οὗ τῆς ἀρεσκούσης αὐτῷ δικαιοσύνης ἐγνώκαμεν τὴν ὁδὸν, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀνδραγαθημάτων πεποδηγήμεθα, κατὰ τὸ ἐν Ψαλμοῖς εἰρημένον· «Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.» Τὴν δέ γε δικαιοσύνην καὶ σωτήριον ὀνομάζει, καὶ μάλα εἰκότως. Παντὸς γὰρ ἡμᾶς ἐξέλκει κακοῦ, καὶ τῶν τοῦ θανάτου δεσμῶν ἀπαλλάττουσα πρὸς ζωὴν ἀναφέρει τὴν ἀμήρυτον. Ὑπισχνεῖται δέ τι καὶ ἕτερον. Ἔθνη γὰρ ἐλπιοῦσι, φησὶν, εἰς τὸν βραχίονά μου. Καὶ μὴν καὶ νήσους ὑπομένειν αὐτὸν διισχυρίζεται. Πάλαι μὲν γὰρ τῶν ἐθνῶν ἡ πληθὺς, δεσμοῖς ἀῤῥήκτοις ἐνειλημμένη, τοῖς τῆς ἁμαρτίας, φημὶ, καὶ ταῖς τοῦ παμπονήρου καὶ ἀρχεκάκου δράκοντος ὑπενεχθεῖσα πλεονεξίαις αἰχμάλωτος ἦν, καὶ ἐν ἐσχάταις ταλαιπωρίαις ἀνεπικούρητος οὖσα παντελῶς. Οὐ γὰρ ἦν ὁ ἀπαλλάξαι δυνάμενος τῆς οὕτω πικρᾶς καὶ ἀφύκτου συμφορᾶς· οὐκ ἦν ὁ τὸν τῆς πλεονεξίας συνθραύων ζυγὸν, ἀλλ' ἦσαν, ὡς ἔφην, ἐν δορυκτήτων μοίρᾳ, γυμνοὶ μὲν ἁπάσης ἐλπίδος τῆς ἀναφερούσης εἰς ζωὴν, ἔρημοι δὲ παντὸς ἀγαθοῦ πράγματος. Οἱ γὰρ ὅλως τὸν φύσει καὶ ἀληθῶς ὄντα Δεσπότην οὐκ ἐγνωκότες, ἄθεοι πάντως που καὶ ἐλπίδα μὴ ἔχοντες διετέλουν ἐν κόσμῳ, κατὰ τὴν τοῦ μακαρίου φωνὴν Παύλου. Ἀλλ' οἱ πάλαι, φησὶν, ἀσθενεῖς, καὶ οἷον εἰς γῆν ἐῤῥιμμένοι, τὸν ἐμὸν βραχίονα λαβόντες εἰς σωτηρίαν τὴν ἀδόκητον κερδανοῦσιν ἐλπίδα. Βραχίονα δὲ τοῦ Πατρὸς τὸν Υἱὸν ὀνομάζει πανταχοῦ τὸ Γράμμα τὸ ἱερόν. Δύναμις γάρ ἐστιν αὐτοῦ. Εἰ δὲ δὴ βούλοιτό τις καὶ τὸν αὐτοῦ τοῦ Υἱοῦ βραχίονα νοεῖν, ἐφ' ὃν ἡ τῶν ἐθνῶν ἐλπὶς ἔσται καλουμένων εἰς σωτηρίαν, τὴν αὐτοῦ συνήσεις δύναμιν τὴν θεοπρεπῆ καὶ ἐξαίσιον, δι' ἧς συντρίψει τὸν Σατανᾶν καὶ τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου, σέσωκε τοὺς ἐξ ἐθνῶν. Ἔφη γὰρ αὐτός· «Ἢ πῶς δύναταί τις εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθεῖν, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τότε διαρπάσῃ τὰ σκεύη αὐτοῦ; » Ἔφη δὲ καὶ ὁ Δαβίδ· «Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, καὶ ἐν τῇ ἰσχύϊ τοῦ βραχίονός σου διεσκόρπισας τοὺς ἐχθρούς σου.» Ἐλπὶς οὖν ἄρα Χριστὸς καὶ σωτηρίας ὁδὸς οὐχὶ

A multa clementia. Dixit enim: «Ego sum, ego sum qui deleo peccata tua, neque recordabor [60].» Atque iterum: «Et tu, Israel, ne obliviscaris mei: ecce enim delevi tanquam nubem iniquitates **705** tuas, et tanquam caliginem peccata tua [61].» Psallit etiam David, et dicit ei: «Acceptasti, Domine, terram tuam, avertisti captivitatem Jacob; remisisti iniquitates populo tuo, abscondisti omnia peccata eorum [62].» Itaque in Dei ac Patris justitia, id est in Christo, servati sumus et sanctificati, vitiositatis sordibus ablutis. Sin ipse Christus sit qui hoc dicat: Appropinquat cito justitia mea: justitiam nihilominus hic intelliges, vel ejus justificantem gratiam, vel evangelicam et cœlestem prædicationem, per quam accepta et complacente B illi justitia, viam novimus, et ad omnia præclara facta manu ducimur, juxta id quod in Psalmis dictum est: «Lucerna pedibus meis lex tua, et lux semitis meis [63].» Justitiam præterea salutem nominat, et quidem jure optimo. Ab omni enim malo nos extrahit, a mortis vinculis liberat, et ad vitam perennem traducit. Promittit etiam aliud quidpiam. Gentes enim, inquit, sperabunt in brachium meum. Quin et insulas affirmat eum exspectare. Olim enim gentium multitudo vinculis infractis impedita ac capta, peccati, inquam, et in tyrannidem draconis, omnis improbitatis ac malorum principis devoluta, captiva erat, et in summis versabatur miseriis, omni prorsus destituta præsidio. C Nec enim quisquam potuit eam ab hac acerba et inevitabili calamitate liberare: nec quisquam erat qui tyrannidis jugum confringeret. Sed, ut dixi, erant captorum loco, omni spe vitæ nudi, omnibusque bonis vacui. Etenim natura et vere Dominum prorsus ignorarunt, omninoque a Deo alieni, et spem non habentes in mundo permanserunt [64], juxta beati Pauli vocem. Sed qui olim, inquit, infirmi erant, et velut humi prostrati, meo brachio in salutem accepto, spem sibi inopinatam lucrifacient. Brachium autem Patris Scriptura sacra passim vocat Filium. Ejus enim est potentia. Si quis autem velit etiam ipsius Filii brachium intelligere, cui gentium multitudo innitetur, quæ ad salutem vocatæ sunt: scias esse ipsius divinam D atque excellentem potentiam, per quam Satana contrito et mundi dominatoribus, gentes servavit. Dixit enim ipse: «Vel quomodo **706** potest quis ingredi domum fortis, et vasa ejus diripere, nisi prius ligaverit fortem? Et tum rapiet vasa ejus [65].» Dixit item David: «Tu dejecisti ut vulneratum superbum, et in brachio virtutis tuæ dissipasti inimicos tuos [66].» Itaque spes Christus, et via salutis non solis Israelitis patuit, sed et omnibus gentibus: quem etiam exspectabunt insulæ. Insulas quoque, ut opinor, dicit gentium ecclesias, quæ in medio tanquam mari positæ, rerum incur-

[60] Isa. XLIII, 25. [61] Isa. XLIV, 21, 22. [62] Psal. LXXXIV, 2, 3. [63] Psal. CXVIII, 105. [64] Ephes. II, 12. [65] Matth. XII, 29. [66] Psal. LXXXVIII, 11.

sionibus quasi fluctibus agitatæ, collaudationis co- A ronam per patientiam auferunt. Operatur enim patientia probationem, probatio spem, spes autem non confundit. Proinde Deum exspectare, nihil aliud esse intelligatur, quam per tolerantiam et patientiam ei recte placere, et propterea misericordia ipsius et respectu dignari. Scriptum est enim : « Exspectans exspectavi Dominum, et intendit mihi [67]. »

μόνοις γέγονε τοῖς ἐξ Ἰσραὴλ, ἀλλὰ γὰρ καὶ πᾶσι τοῖς ἔθνεσιν· ὃν δὴ καὶ ὑπομενοῦσι νῆσοι. Καὶ νήσους, ὥς γε οἶμαι, φησὶ τὰς ἐξ ἐθνῶν ἐκκλησίας, αἳ καθάπερ ἐν μέσῃ θαλάττῃ κείμεναι, ταῖς τῶν πραγμάτων προσβολαῖς ὡς ὑπὸ κυμάτων πληττόμεναι, τὸν τῆς εὐδοκιμήσεως στέφανον ἀποφέρονται διὰ τῆς ὑπομονῆς. Κατεργάζεται γὰρ ἡ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Οὐκοῦν τὸ ὑπομένειν Θεὸν νοηθείη ἂν ἕτερον οὐδὲν, πλὴν ὅτι διὰ καρτερίας καὶ ὑπομονῆς εὐαρεστεῖν αὐτῷ, καὶ τῆς παρ' αὐτοῦ φειδοῦς τε καὶ ἐποπτείας ἀξιοῦσθαι διὰ τοῦτο. Γέγραπται γὰρ, ὅτι « Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. »

VERS. 6. *Tollite in cœlum oculos vestros, et inspicite in terram deorsum, quoniam cœlum sicut fumus firmatum est, et terra sicut vestimentum vetustate consumetur : inhabitantes autem terram, sicut hæc* B *morientur. At salus mea in sempiternum erit, et justitia mea non deficiet.*

Ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἐμβλέψατε εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες τὴν γῆν ὥσπερ ταῦτα ἀποθανοῦνται. Τὸ δὲ σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσται, ἡ δὲ δικαιοσύνη μου οὐ μὴ ἐκλείπῃ.

Cum se in spem gentibus fore dicit, necessariam illis attexit mystagogiam. Non enim aliter poterant spirituali cognatione Deo agglutinari, qui illum non noverunt, nisi pristino errore liberati, et e laqueis ac diabolica perversitate soluti fuerint, ac nisi vera et irreprehensibili Dei cognitione locupletentur. Aditus enim quasi in familiaritatem ac conjunctionem cum Deo est, plane scire et confiteri Deum alium præter ipsum esse neminem. Quoniam igitur opinati sunt cœlum esse Deum, et stellas lucidiores adorare persuasi sunt, ipsamque terram omnium pedibus subjectam coluerunt, omnino ab opinionibus pietatis, et ab eo qui natura universorum Deus est, pro- C ducitque in ortum quæ aliquando non erant, recedentes : hinc creaturam aliam a se naturam habere ostendens, et incomparabilem esse fictoris et ficti differentiam declarans, tollere jubet oculos **707** in cœlum, id est, ipsum firmamentum, et quæ in eo sunt, considerare, et mentem in terram demittere, ac quæ in ea sunt animantia, ac, ut semel dicam, omnia contemplari; sique velint illum admirari, non ibi mentem sistere, sed ex operum magnitudine, artificis potentiam metiri, et omnium Conditoris summam et ineffabilem gloriam. Solemus autem Dei cognitionem cum ex Scriptura divinitus inspirata, tum ex creaturarum tam magnificentia quam concinnitate colligere. Deridet siquidem Paulus Græcorum sapientes, quod cum opinionis errore D seipsos sapientes esse fingerent, cor habuerunt refertum omni insipientia. « Venerati enim sunt, inquit, et coluerunt creaturam præ Creatore [68]. » Increpat etiam alios qui rursus ad infirma et mendica mundi elementa revertuntur, illisque volunt præter æquum bonumque servire. Nam cordatioribus non erroris causam parere opificii pulchritudinem, sed veræ de Deo cognitionis occasionem esse declaravit, cum ait : « Nam inaspectabilia ejus ex creatione mundi operibus intellecta perspiciuntur, æterna ejus potentia et divinitas [69]. » Quando itaque, inquit, firmatum cœlum mirabimini, et velut

Εἰς ἐλπίδα τοῖς ἔθνεσιν ἑαυτὸν ἔσεσθαι λέγων, ἀναγκαίαν αὐτοῖς ἐξυφαίνει τὴν μυσταγωγίαν. Οὐ γὰρ ἦν ἑτέρως δύνασθαι κολλᾶσθαι Θεῷ κατ' οἰκειότητα τὴν πνευματικὴν, τοὺς οὐκ εἰδότας αὐτὸν, πλὴν ὅτι διὰ τοῦ τῆς ἀρχαίας ἀπαλλάττεσθαι πλάνης, καὶ βρόχων ἔξω γενέσθαι καὶ σκαιότητος διαβολικῆς, καταπλουτῆσαι δὲ τὴν ἀληθῆ καὶ ἀμώμητον περὶ Θεοῦ γνῶσιν. Εἰσβολὴ γὰρ ὥσπερ τῆς εἰς Θεὸν οἰκειότητος τὸ εἰδέναι τε σαφῶς καὶ ὁμολογεῖν, ὅτι Θεὸς ἕτερος παρ' αὐτὸν οὐδείς. Οὐκοῦν ἐπειδήπερ ᾤοντο μὲν Θεὸν εἶναι τὸν οὐρανὸν, καὶ τοῖς τῶν ἄστρων περιφανεστέροις προσκυνεῖν ἀνεπείθοντο, καὶ αὐτὴν δὲ τὴν ὑπὸ πόδας ἁπάντων κειμένην ἐσέβοντο γῆν, ἀποφοιτήσαντες ὁλοτρόπως τῶν τῆς εὐσεβείας δογμάτων, καὶ τίς ὁ φύσει τῶν ὅλων Θεὸς, καὶ παρενεγκὼν εἰς τὸ εἶναι τὰ οὐκ ὄντα ποτέ· ταύτητοί φησιν, ἑτεροφυᾶ τὴν κτίσιν ὡς πρὸς ἑαυτὸν ἀποφαίνων· καὶ ἀσύγκριτον οὖσαν τὴν διαφορὰν ποιητοῦ καὶ ποιήματος εὖ μάλα διαδεικνὺς, ἐπαίρειν κελεύει τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν, τοῦτ' ἔστιν, αὐτὸ κατασκέπτεσθαι τὸ στερέωμα καὶ τὰ ἐν αὐτῷ, κατιέναι δὲ πάλιν τὸν νοῦν καὶ εἰς τὴν γῆν, ἤτοι πρὸς θεωρίαν τῶν ἐν αὐτῇ, ζώων τε, φημὶ, καὶ ἁπαξαπλῶς ἁπάντων τῶν ἐν αὐτῇ, κἂν εἰ ἕλοιντο θαυμάζειν αὐτὸν, μὴ μέχρι τούτου στῆσαι τὸν νοῦν, ἀλλ' ἐκ τῆς τῶν ἔργων μεγαλειότητος ἀναμετρεῖν τοῦ τεχνησαμένου τὴν δύναμιν, καὶ τοῦ πάντων γενεσιουργοῦ τὴν ὑπερτάτην καὶ ἄρρητον δόξαν. Εἰθίσμεθα δέ πως τὴν περὶ Θεοῦ γνῶσιν συλλέγειν ἀπὸ τῆς θεοπνεύστου Γραφῆς, καὶ ἐκ τῆς τῶν κτισμάτων μεγαλουργίας τε ὁμοῦ καὶ τάξεως. Γελᾷ γοῦν ὁ Παῦλος τοὺς παρ' Ἕλλησι σοφοὺς, ὅτι σοφίας δόκησιν καίτοι ἑαυτοῖς περιπλάττοντες, ἀβελτηρίας ἁπάσης ἀνάμεστον ἔχουσι τὴν καρδίαν. « Ἐσεβάσθησαν γὰρ, φησὶ, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. » Ἐπιτιμᾷ γοῦν καὶ ἑτέροις, ὡς ἐπιστρέφουσι πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα τοῦ κόσμου, καὶ δουλεύειν αὐτοῖς ἐθέλουσι παρὰ τὸ εἰκός. Ὅτι γὰρ τοῖς νουνεχεστέροις οὐ τοῦ πλανᾶσθαι πρόφασιν ἂν ἐντέκοι τῆς δημιουργίας τὸ κάλλος, ἀφορμὰς δὲ γνώσεως ἀληθοῦς τῆς περὶ Θεοῦ, διεσά

[67] Psal. XXXIX, 2. [68] Rom. I, 25. [69] Ibid., 20.

φησιν εἰπών· « Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. » Οὐκοῦν ὅταν θαυμάσητε, φησὶ, στερεωθέντα τὸν οὐρανὸν, καὶ οἷον ἐν εἴδει καπνοῦ ὁρώμενον, ἀλλ' ἴστε, φησὶν, ὅτι πρὸς τὸ εἶναι παρενηνεγμένα λυθήσονται πάλιν. Τὰ γὰρ ἀρχὰς γενέσεως ἔχοντα καταλήξει πάλιν εἰς τὸ οὐκ εἶναί ποτε. Παλαιωθήσεται τοίνυν ἡ γῆ, φησὶ, τοῦτ' ἔστιν, ἀφανισθήσεται, καὶ οἱ κατοικοῦντες αὐτὴν ἀποθανοῦνται, καθάπερ ταῦτα. Θάνατον δὲ τῶν στοιχείων εὐφυῶς ὀνομάζει τὴν εἰς τὰ ἀμείνω μεταβολήν. Ὡς γὰρ ὁ Παῦλός φησιν, ὅτι « Καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. » Ἐλευθερωθήσεται δὲ τίνα τρόπον; σαφηνιεῖ λέγων ὁ Χριστοῦ μαθητής· « Ἥξει γὰρ ἡμέρα Κυρίου ὡς κλέπτης, ἐν ᾗ μὲν οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, γῆ δὲ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαυθήσονται πάντα· καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν γῆν κατὰ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν. » Οὐκοῦν τὸν τῆς κτίσεως ἀνακαινισμὸν οἷον ἐκ νεκρῶν ἀνάστασιν, καθάπερ ἐπὶ σωμάτων τῶν ἀνθρωπίνων ἔσεσθαί φησι. Λυομένων δὲ τῶν στοιχείων τὸ σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσται, φησὶν, ἡ δὲ δικαιοσύνη μου οὐ μὴ ἐκλείπῃ. Σωτήριον μὲν οὖν καὶ δικαιοσύνην, καθάπερ πλειστάκις εἴπομεν, ἀποκαλεῖ τὸν Υἱόν· ἑαυτοῦ δὲ λέγων αὐτὸν, τὴν ἰδιότητα δείκνυσιν, ἣν ἔχει πρὸς αὐτὸν, ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ κατὰ φύσιν ὁ Υἱός. Πλὴν εἰς τὸν αἰῶνα ἔσται, φησὶ, καὶ οὐ μὴ ἐκλείπῃ. Ὅση δέ τίς ἐστιν ἡ διαφορὰ δημιουργοῦ τε καὶ κτίσεως, ποιητοῦ καὶ ποιήματος, ἐμφανίζει διὰ τούτων· Ἡ μὲν γὰρ κτίσις παλαιωθήσεται, καὶ ὡς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρενηνεγμένη οὐκ ἀμέτοχος ἔσται καὶ φθορᾶς. Ὁ δέ γε τῶν ὅλων γενεσιουργὸς καὶ τεχνίτης Θεὸς Λόγος, ὁ δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, εἰς τὸν αἰῶνα ἔσται, καὶ οὐ μὴ ἐκλείπῃ. Τοῦτο διδάσκει λέγων καὶ ὁ θεσπέσιος Μελῳδὸς, « Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. »

in specie fumi intuemini, scitote etiam, inquit, quod quæ producta sunt ut sint, rursus dissolventur. Quæ namque principium ortus habent, rursus in id quod non est, aliquando desinent. Vetustate ergo, inquit, consumetur terra, id est, abolebitur; et qui inhabitant terram, sicut illa morientur. Mortem autem elementorum proprie nominat, et apte, mutationem in melius. Ut enim Paulus inquit: « Etiam ipsa creatura liberabitur a servitute corruptionis, in libertatem gloriæ filiorum Dei [70]. » Quo autem modo liberabitur? ostendet Christi discipulus, dicens: « Veniet enim dies Domini ut fur, in qua cœli procellæ in morem præteribunt, et elementa ardentia dissolventur, ac terra et quæ in ea sunt res omnes conflagrabunt. Novos autem cœlos et novam terram, secundum promissiones ejus exspectamus [71]. » Igitur creaturæ renovationem, velut ex mortuis resurrectionem, quemadmodum in humanis corporibus, fore ait. Dissolutis vero elementis, salus mea, inquit, in sempiternum erit. Justitia autem mea non deficiet. Salutem itaque et justitiam, **708** sicuti diximus sæpe, appellat Filium: et, suum, cum dicit, ipsam proprietatem ostendit, quam habet cum eo, et ex ipso ac in ipso natura est Filius. Verum in sempiternum erit, inquit, neque deficiet. Quanta autem sit opificis et creaturæ, fictoris et figmenti differentia, planum facit, hisce verbis, dicens: Vetustate enim consumetur creatura, et ut ex eo quod non erat, in id quod est, producebatur, sic non erit etiam a corruptione aliena. Et universorum creator et artifex Deus Verbum, per quem omnia, et in quo omnia, in sempiternum erit, neque deficiet. Quod docet etiam divinus Lyricus, cum ait: « Ab initio tu, Domine, terram fundasti, et opera manuum tuarum sunt cœli. Ipsi peribunt, tu autem permanebis, et omnes tanquam indumentum inveterascent, et velut amictum involves eos, et mutabuntur: at tu idem es, et anni tui non deficient [72]. »

Ἀκούσατέ μου, οἱ εἰδότες κρίσιν, λαός μου, οὗ ὁ νόμος μου ἐν τῇ καρδίᾳ αὐτῶν· οὐ μὴ φοβηθήσεσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. Ὥσπερ γὰρ ἱμάτιον παλαιωθήσεται ὑπὸ τοῦ χρόνου, καὶ ὡς ἔρια βρωθήσεται ὑπὸ σητός· ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται, τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν.

VERS. 7, 8. *Audite me, qui scitis judicium, popule mi, cujus lex mea in corde eorum: non timeatis opprobrium hominum, et contemptu eorum ne vincamini. Nam ut indumentum erunt, quod a tempore exedetur, et ut lana quæ comedetur a tinea. Justitia autem mea in sempiternum erit, et salus mea in omnes ætates.*

Μυσταγωγήσας τοὺς ἐξ ἐθνῶν, καὶ τὸν ἁπλούστερον αὐτοῖς ἐοικότα τε ταῖς αὐτῶν διανοίαις ἐξυφήνας λόγον (γάλα γὰρ τοῖς ἔτι τὴν ἕξιν νηπιάζουσι πρεπωδέστερον) διαλέγεται πάλιν τοῖς ἀνδρείοις ἤδη, καὶ εὐσθενεστέραν ἔχουσι τὴν καρδίαν, καὶ εὖ βεβηκότα τὸν νοῦν . . . .
εἰ . . . . τληπαθεῖν . . .
καὶ εὐσεβείας οὐδὲν ἡγεῖται . . . . . . (1)

Cum gentes instituerit, et orationem simpliciorem illarumque animis convenientem pertexuerit (lac enim sensu adhuc parvulis magis est accommodum), rursus viriles alloquitur, et qui firmiore pectore, et mente quasi provectiore et maturiore præditi sunt.
. . . . pati et . . . .
. . . . pietas . . . .
pietatis nihil putat. . . . .

[70] Rom. VIII, 21. [71] II Petr. III, 10-13. [72] Psal. CI, 26 28.

(1) Lacuna quæ hic cernitur in duobus codd. Vatic. eadem reperta est.

Qui autem hi sint, manifeste dicit : Qui scitis judicium, id est, qui tanquam probi quidam mensarii, quæque agenda probatis et exacte dijudicatis, et quod bonum est retinetis, ab omni vero re mala abstinetis. Hi sunt qui legem divinam in mente et corde repositam habent, eamque tanquam pædagogum ac directricem quamdam sapientem amplectuntur. Psallit nimirum David, et de omni justo ac sapiente inquit : « Lex Dei ipsius in corde ejus, neque movebuntur gressus ejus [72]. » Est ergo res salutaris, in animo nostro atque corde, **709** divinam legem quasi reponere ac recondere. Sicuti enim vas ex ænea aut alia quapiam materia confectum, admoto et coacervato igne, manet calidum : sic et animus hominis, mente habens divinam legem, semper fervet spiritu. Dicitque sanctorum discipulorum quidam, propterea quod abundaret iniquitas, multorum charitatem refrigescere. Audite igitur, inquit, qui scitis judicium, meamque corde circumfertis legem. Nolite timere opprobrium hominum, et contemptione eorum ne vincamini. Omnes enim qui volunt pie vivere in Christo, persecutionem patiuntur : et cum propter pietatem patiuntur, scommata ab his qui eam nesciunt, ferunt. Sed hæc pro nihilo habenda, sed illud sciendum potius, ipsum universorum Servatorem et Dominum crucem subiisse, ignominia contempta. Propterea etiam dicebat : « Non est discipulus supra doctorem, neque servus supra dominum suum. Si me persecuti sunt, etiam vos persequentur. Si patrem familias Beelzebul vocarunt, multo magis domesticos ejus [73*]. » Ad hæc : « Beati estis, quando persequentur vos, et conviti abuntur, et in vos omnia maledicta dicent, mentientes propter me. Gaudete et lætamini, quia merces vestra multa est in cœlis. Sic enim persecuti sunt prophetas ante vos [74]. » Ergo esse oportet in his malis infracto animo, et frigidam quasi irrisionem persequentium despuere, et omnia dicteria contemnere, idque laudi ac gloriæ ducere, pietatis causa persecutionem pati, ac propter Christum dicteriis affici. Quid est enim contumelia? quid injuria? quid oratio ex animo insipido exæstuans, præ illo qui patientiæ laudem consecutus est? Nam patientium decus suo tempore effulsurum, et eos qui contempserunt ac conviciis onerarunt, in nihilum abituros, probat, cum ait : Quasi indumentum vetustate consumentur a tempore, et quasi lana comedentur a tinea. Lana autem et indumentum, vetustatem et corruptionem patiuntur facillime. At justitia mea, id est justificatio per me, et salus quæ data est, diuturna erit et perennis, et in multas ætates propagabitur, id est, perpetuo consistet. Itaque si pauca pietatis causa fuerimus perpessi, amplissimum inveniemus præmium. Testis erit sapientissimus Paulus dicens : « Brevis et levis hæc afflictio nostra, pondus gloriæ nobis parit, **710** non spectantibus quæ cernuntur, sed quæ non cernuntur.

Τίνες δ' ἂν εἶεν οὗτοι, ἐναργὲς εἰπών· Οἱ εἰδότες κρίσιν, τοῦτ' ἔστιν, οἱ καθάπερ τινὲς τραπεζῖται δόκιμοι, τῶν πρακτέων ἕκαστα δοκιμάζοντες, καὶ ἀκριβῶς διακρίνοντες, καὶ τὸ μὲν καλὸν κατέχοντες, ἀπεχόμενοι δὲ ἀπὸ παντὸς πονηροῦ πράγματος. Οὗτοι δέ εἰσιν οἱ τὸν νόμον τοῦ Θεοῦ εἰς νοῦν ἔχοντες καὶ καρδίαν, καὶ ὥσπερ τινὰ παιδαγωγὸν καὶ ἰθυντῆρα σοφὸν αὐτὸν δέχεσθαι μεμελετηκότες. Ψάλλει γοῦν ὁ Δαβὶδ καί φησι περὶ παντὸς δικαίου καὶ σοφοῦ, ὅτι « Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. » Πρᾶγμα δὴ οὖν σωτήριον, τὸ εἰς νοῦν ἡμῶν καὶ καρδίαν ἀπόθετον ὥσπερ τὸν θεῖον ποιεῖσθαι νόμον. Ὥσπερ γὰρ ἐξ ὕλης χαλκῆς, ἤγουν ἑτέρας τινὸς τοιαύτης, ἄγγος κατεσκευασμένον, εἶτα πῦρ ἐνσεσωρευμένον ἔχον διαμένει θερμὸν, οὕτω καὶ ἀνθρώπου ψυχὴ τὸν θεῖον εἰς νοῦν ἔχουσα νόμον ζέει πάντως τῷ πνεύματι. Φησὶ δέ τις τῶν ἁγίων μαθητῶν, διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἀποψυχθήσεσθαι τὴν ἀγάπην των πολλῶν. Ἀκούσατε τοίνυν, φησὶν, οἱ εἰδότες κρίσιν, καὶ τὸν ἐμὸν ἐν καρδίᾳ φοροῦντες νόμον. Μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε Πάντες μὲν γὰρ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ, διωχθήσονται· πάσχοντες δὲ δι' εὐλάβειαν, τοὺς παρὰ τῶν οὐκ εἰδότων αὐτὴν τωθασμοὺς ὑπομένουσιν. Ἀλλ' οὐδὲν ἡγεῖσθαι τὰ τοιαῦτα χρὴ, νοεῖν δὲ μᾶλλον, ὅτι καὶ αὐτὸς ὁ τῶν ὅλων Σωτὴρ καὶ Κύριος ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας. Καὶ διὰ τοῦτο ἔφασκεν· « Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν κύριον αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐπεκάλεσαν, πολλῷ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ· » ἔτι τε πρὸς τούτοις· « Μακάριοί ἐστε ὅταν διώξωσιν ὑμᾶς, καὶ ὀνειδίσωσιν, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. » Χρὴ τοιγαροῦν ὑμᾶς ἄθραυστον ἔχειν περὶ ταῦτα νοῦν, καὶ διαπτύειν ὡς ἕωλον τὸν τῶν διωκόντων γέλωτα, καὶ λοιδορίας μὲν ἁπάσης ὑπερφρονεῖν, ἡγεῖσθαι δὲ μᾶλλον πάσης εὐκλείας πρόφασιν τὸ διώκεσθαι δι' εὐσέβειαν, καὶ τὸ λοιδορεῖσθαι διὰ Χριστόν. Τί γὰρ ὕβρις ἀδικήσει, καὶ λόγος ἀναβρασθεὶς ἐξ ἀσυνέτου καρδίας τὸν εὐδοκιμοῦντα δι' ὑπομονῆς; Ὅτι γὰρ τὸ μὲν τῶν καθόντων εὐκλεὲς ἐκλάμψει κατὰ καιροὺς, οἰχήσονται δὲ πρὸς τὸ μηδὲν οἱ φαυλίσαντές τε καὶ ὀνειδίσαντες, πεπληροφόρηκεν εἰπὼν, ὅτι Ὥσπερ ἱμάτιον παλαιωθήσονται ὑπὸ χρόνου, καὶ ὡσεὶ ἔριον βρωθήσονται ὑπὸ σητός. Ἑτοιμότατα δὲ πρὸς τὸ παθεῖν τὴν παλαίωσίν τε καὶ σῆψιν, ἔριόν τε καὶ ἱμάτιον. Ἀλλ' ἡ δικαιοσύνη μου, τοῦτ' ἔστιν ἡ παρ' ἐμοῦ δικαίωσις, καὶ ἡ δοθησομένη σωτηρία μακρὰ καὶ ἀμήρυτος ἔσται, καὶ εἰς γενεὰς δραμεῖται πολλὰς, τοῦτ' ἔστι, στήσεται διηνεκῶς. Οὐκοῦν ὀλίγα παθόντες δι' εὐσέβειαν, ἀμφιλαφεστέραν εὑρήσομεν τὴν ἀντιμισθίαν. Καὶ μαρτυρήσει λέγων ὁ πάνσοφος Παῦλος, ὅτι « Τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, βάρος δόξης

[72] Psal. xxxvi, 31. [73*] Matth. x, 24, 25. [74] Matth. v, 12.

κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. Τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.»

Ἐξεγείρου, ἐξεγείρου, Ἱερουσαλὴμ, καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου. Ἐξεγείρου ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ αἰῶνος.

Ἔοικεν ἐν τούτοις τῆς τοῦ Ἰσραὴλ κλήσεώς τε καὶ ἐπιστροφῆς ποιεῖσθαι μνήμην. Κεκλήσεται γὰρ καὶ αὐτὸς εἰς ἐπίγνωσιν τῆς δόξης τοῦ πάντων ἡμῶν Σωτῆρος Ἰησοῦ Χριστοῦ μετά γε τὴν τῶν ἐθνῶν εἰσδρομήν. Γέγραπται γοῦν ἐν προφήταις· «Διότι ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὔτε ἱερατείας, οὔτε δήλων· καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτου ἡμερῶν.» Ὅτι γὰρ ἐν τούτοις ὁ προφήτης Δαβὶδ ὀνομάζει τὸν ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα Χριστὸν, ἐνδοιάσειν οἶμαι παντελῶς οὐδένα. Τεθνεῶτος γὰρ ἤδη τοῦ θεσπεσίου Δαβὶδ, πολλοῖς ὕστερον χρόνοις οἱ τῆς προφητείας γεγόνασι λόγοι. Οἶδε δὲ καὶ ὁ πάνσοφος Παῦλος ἐσομένην κατὰ καιροὺς τῶν ἐξ αἵματος Ἰσραὴλ τὴν διὰ πίστεως κλῆσιν. Ἔφη γὰρ αὐτὸς ποτὲ μὲν, ὅτι «Ὅταν δὲ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται·» ποτὲ δὲ καὶ αὐτοῖς τοῖς ἐξ ἐθνῶν πιστεύσασι προσδιαλέγεται, καί φησιν, ὡς περὶ φυτοῦ καὶ ἐλαίας· «Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, ἵνα σὺ ἐγκεντρισθῇς, μὴ κατακαυχῶ τῶν κλάδων.» Οὐ γὰρ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ. Ὥσπερ γὰρ σὺ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, οὕτω καὶ αὐτοὶ οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ. Ὦ τοίνυν Ἱερουσαλὴμ, φησὶν, ἐξεγείρου. Τοῦτο, οἶμαι, ἐστὶν ἐναργῶς, ὃ δὴ γέγραφέ τισιν ὁ ἱερώτατος Παῦλος· «Ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.» Διαγρηγόρησον τοίνυν, ἤγουν ὡς ἐκ νεκρῶν ἐγέρθητι, φησίν· ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου, καὶ οὐκ αἰσθητοῦ βραχίονος, νοητοῦ δὲ μᾶλλον, τοῦ τῆς ψυχῆς, καθ' ἣν ἐστιν ἐναργῶς εἰς κατόρθωσιν ἀρετῆς. Ἠσθένησε μὲν γὰρ ὁμολογουμένως ὁ Ἰσραὴλ ἐμπαροινήσας Χριστῷ, ἐπιστραφεὶς δὲ καὶ ἀνανήψας ἐνδύσεται πάλιν τὴν παρὰ Χριστοῦ δύναμιν. Καὶ τοῦτο ἦν ἄρα τὸ πρὸς αὐτὸν εἰρημένον δι' ἑνὸς τῶν ἁγίων προφητῶν, Ἐπιστράφηθι, Ἰσραὴλ, πρὸς Κύριον τὸν Θεόν σου, διότι ἠσθένησας ἐν ταῖς ἀδικίαις σου. Εἴρηται δὲ καὶ περὶ αὐτῶν διὰ φωνῆς Ἱερεμίου παρὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· «Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν, καὶ ἀσθενήσουσιν ἐν αὐτῇ πατέρες, καὶ υἱοὶ ἅμα, γείτων καὶ ὁ πλησίον αὐτοῦ ἀπολοῦνται.» Ἀποπέπτωκε γὰρ ἀλλοτρόπως ὁ Ἰσραὴλ, διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν, τοῦ καὶ ὅλως δύνασθαί τι πληροῦν τῶν τελεῖν εἰωθότων ἐξαίρετον ζωήν. Ἀλλ' ἐξεγείρου, φησὶν, ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς ἐν γενεᾷ αἰῶνος, ὥστε σε πρὸς τοῦτο δραμεῖν, καὶ ἀναφοιτῆσαι πάλιν εἰς ὅπερ ἦσθα

tur. Nam quæ cernuntur, temporalia sunt: at quæ non cernuntur, sempiterna [75].»

Vers. 9. *Excitare, excitare, Jerusalem, et indue fortitudinem brachii tui; excitare velut in principio diei, sicut generatio sæculi.*

Videtur hisce verbis vocationis et conversionis Israel mentionem facere. Nam et ille quoque ad agnitionem gloriæ omnium nostrum Servatoris Christi vocabitur, post gentium accursum. Scriptum est enim in prophetis: «Propterea dies multos sedebunt filii Israel, sine rege, sine principe, sine sacerdotio, sine illuminationibus; et deinde revertentur filii Israel, et exquirent Dominum Deum suum et Davidem regem suum, et obstupescent in Domino et in bonis ejus in diebus extremis [76].» Prophetam enim hic Davidem nominare eum qui est ex semine Davidis secundum carnem, Christum neminem omnino dubitaturum arbitror. Nam mortuo jam divino Davide, multis retro annis habiti sunt hi sermones prophetici. Novit etiam sapientissimus Paulus futuram suis temporibus Israelitarum per fidem vocationem. Etenim ait alicubi: «Quando plenitudo gentium ingressa fuerit, tunc omnis Israel salvus erit [77].» Alibi etiam eos qui crediderant ex gentibus, et quasi de planta et oliva ait: «Quod si rami quidam avulsi sunt ut tu insereretis, noli contra ramos gloriari [78].» Non enim tu radicem fers, sed radix te. Nam quemadmodum tu ex naturali amputatus es oleastro, et præter naturam in bonam olivam insitus: sic et illi secundum naturam in propriam inserentur olivam. O Jerusalem ergo, inquit, excitare. Hoc plane esse puto, quod scripsit quibusdam sanctissimus Paulus: «Excitare, qui dormis, et resurge e mortuis, et apparebit tibi Christus [79].» Expergiscere itaque, vel tanquam a mortuis excitare, inquit: indue fortitudinem brachii tui, non brachii sensibus percepti, sed intelligentiæ potius et animi, quæ plane ad virtutem dirigetur. Confessum est enim debilitatum et infirmum fuisse Israelem, cum in Christum debaccharetur. Sed reversus et evigilans, induet rursus Christi potentiam. Itaque est quod illis dictum est a quopiam sanctorum **711** prophetarum: Revertere, Israel, ad Dominum Deum tuum, quia infirmus es in injustitiis tuis. Dictum est item de illis etiam voce Jeremiæ, ab omnium nostrum Servatore Christo: «Ecce ego do super populum hunc infirmitatem, et infirmi erunt in eo patres et filii simul; vicinus et proximus ejus peribunt [80].» Excidit enim prorsus Israel, propter impietatem in Christum, ut omnino implere nequeant quæ ad præclaram vitam faciunt. Sed ait, excitare, velut in principio diei, velut in generatione sæculi, ut eo recurras ac redeas, ut fuisti ab initio, quando ad essentiam producta est humana natura, videlicet primus homo, antequam captus esset laqueis diabolicæ perversitatis, et nihili fecerat datam sibi man-

[75] II Cor. IV, 17. [76] Ose. III, 3, 4. [77] Rom. XI, 25, 26. [78] Ibid. 17, 18. [79] Ephes. V, 14. [80] Jer. VI, 21.

datum. Refingit enim in illum nos Christus, et antiquam naturæ pulchritudinem nobis iterum inscribit, suum quasi characterem imprimens. Facti enim eramus ad imaginem et similitudinem ipsius. Scribit itaque optimus Paulus his qui, post fidem receptam, ad legis umbram per ignorantiam traducti sunt : « Filioli, quos iterum parturio, usquedum formetur Christus in vobis [31]. »

τὴν πίστιν εἰς τὴν τοῦ νόμου σκιὰν ἐξ ἀμαθίας οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. »

VERS. 10. *Nonne tu es quæ vastas mare, aquam abyssi multam? Quæ posuisti profunditates maris, viam transitus liberatis et redemptis?*

Redigit in memoriam Israeli magnifica in Ægypto facinora. Eos enim a dura et inevitabili servitute liberavit : a manu intolerabiliter opprimente eripuit : per medium mare traduxit. Compactæ sunt enim quasi murus aquæ, et unda erat redemptis permeabilis; currebant siquidem tanquam in arido. Nec erant hæc eorum opera, sed declaratio incredibilis admirabilitatis, potentissimæ dexteræ. Deus enim, ut dixi, erat qui humidam illis perviam reddidit. Verumtamen perinde quasi ipsius Jerusalem opera fuissent, ab illa facta esse dicit : simulque suadet bono et fidenti esse animo, quod qui in Christum crediderunt, omnem vincent tentationem, et omnes vires hostis superabunt. Nam qui olim eos per medium mare traduxit, viam transitus ostendit liberatis et redemptis : propulsabit rursus quæ ab aliis fient aliquando, et persequetur fortissime. Scriptum est enim : « Omnes qui volunt pie vivere
712 in Christo, persecutionem patientur [32]. » Deus itaque dicit Jerusalem : « Nonne tu es quæ vastas mare? » et quæ sequuntur. Vel etiam alio modo intelliges horum verborum sententiam. Postesquam vocata esset ad agnitionem Christi, dicente Deo et Patre : « Excitare, excitare, Jerusalem, et indue fortitudinem brachii tui, » expergefacta quodammodo, et in memoriam reducta fortitudine illius, alloquitur eam, et inquit : Nonne tu es quæ vastas mare, et abyssi multitudinem? quæ posuisti profunditates maris viam transitus, liberatis nobis et redemptis via per fluctus patefacta. Et verisimile est, ex his jam factis exemplum ab illis accipi, ut fide inconcussa his quæ deinceps futura sunt credant. Nam qui per medium mare eos traduxit, omnino etiam hujus vitæ fluctus dissipabit, et rerum mundanarum vanam et discordem turbationem, frigidam et frustraneam reddet, ut nullo modo animæ vocatorum mundanis curis præfocentur : sed insuper etiam ex omni tentatione traducet, ita ut servati et redempti prædicent eum et dicant : « Cantate Domino canticum novum, quia mirabilia fecit Dominus. Servavit eum dextera ejus, et brachium sanctum ejus [33]. » Dextera autem et brachium Dei ac Patris, non esse potest alius quisquam, nisi Dominus noster Jesus Christus.

A καὶ ἐν ἀρχαῖς, ὅτε παρήχθη πρὸς ὕπαρξιν ἡ ἀνθρώπου φύσις, ἤγουν ὁ πρῶτος ἄνθρωπος, πρὶν ἁλῶναι βρόχοις σκαιότητος διαβολικῆς, καὶ ποιήσασθαι παρ' οὐδὲν τὴν δοθεῖσαν ἐντολήν. Ἀναμορφοῖ μὲν γὰρ ἡμᾶς εἰς ἐκεῖνον Χριστὸς, καὶ τὸ ἀρχαῖον τῆς φύσεως κάλλος ἐν ἡμῖν ἀναζωγραφεῖ, τοὺς ἑαυτοῦ χαρακτῆρας ἐντιθείς· γεγόναμεν γὰρ κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ. Γράφει γοῦν ὁ πανάριστος Παῦλος τοῖς μετὰ παρενηνεγμένοις· « Τεκνία, οὓς πάλιν ὠδίνω, ἄχρις

Οὐ σὺ εἶ ἡ ἐρημοῦσα θάλασσαν, ὕδωρ ἀβύσσου πλῆθος; ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης ὁδὸν διαβάσεως ῥυομένοις καὶ λελυτρωμένοις;

Εἰς ἀνάμνησιν ἀναφέρει τὸν Ἰσραὴλ τῶν ἐν Αἰγύπτῳ μεγαλουργημάτων. Ἠλευθέρωσε μὲν γὰρ
B σκληρᾶς καὶ ἀφύκτου δουλείας αὐτούς, ἐξείλετό τε χειρὸς τῆς καταθλιβούσης οὐ φορητῶς, διεβίβασέ τε διὰ θαλάσσης μέσης. Ἐπάγη γὰρ ὡσεὶ τεῖχος τὰ ὕδατα, καὶ πορεύσιμον ἦν τοῖς λελυτρωμένοις τὸ ῥέθιον· ἔτρεχον γὰρ ὡς ἐπὶ ξηρᾶς. Καὶ οὐκ αὐτῶν μὲν ἔργα ταυτὶ, παραδοξοποιίας δὲ μᾶλλον ἐπίδειξις τῆς πανσθενεστάτης δεξιᾶς. Θεὸς γὰρ ἦν, ὡς ἔφην, ὁ βάσιμον αὐτοῖς ἀποφαίνων τὴν ὑγράν. Πλὴν ὡς αὐτῆς ἔργα τῆς Ἱερουσαλὴμ τὰ δι' αὐτὴν γεγονότα φησὶν, ὁμοῦ καὶ θαῤῥεῖν ἀναπείθων, ὅτι πιστεύσαντες εἰς Χριστὸν παντὸς περιέσονται πειρασμοῦ, καὶ πάσης ἰσχύος ἐχθροῦ κατευμεγεθήσουσιν. Ὁ γὰρ πάλαι διαγαγὼν αὐτοὺς ἐπὶ θαλάσσης μέσης, καὶ ὁδὸν διαβάσεως τοῖς ῥυομένοις καὶ λελυτρωμένοις ἀποφήνας αὐτὴν, ἀποσοβήσει πάλιν πανσθενῶς, καὶ τὰ ἐσόμενα
C παρά τινων ἔσθ' ὅτε διώξει. Γέγραπται γὰρ, ὅτι «Πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ, διωχθήσονται. » Οὐκοῦν Θεός ἐστιν ὁ λέγων πρὸς τὴν Ἱερουσαλήμ· « Οὐ σὺ εἶ ἡ ἐρημοῦσα θάλασσαν; » καὶ τὰ ἑξῆς. Ἤγουν καὶ καθ' ἕτερον συνήσεις τρόπον τῶν προκειμένων τὴν δύναμιν. Ἐπειδὴ γὰρ κέκληται πρὸς ἐπίγνωσιν τοῦ Χριστοῦ, λέγοντος τοῦ Θεοῦ καὶ Πατρός· « Ἐξεγείρου, Ἱερουσαλὴμ, καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου· » διαγρηγορήσασα τρόπον τινὰ, καὶ εἰς ἀνάμνησιν ἀνενηνεγμένη τῆς ἰσχύος αὐτῆς, προσδιαλέγεται, καί φησιν αὐτῇ· Οὐ σὺ εἶ ἡ ἐρημοῦσα θάλασσαν, καὶ τῆς ἀβύσσου πλῆθος; ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης ὁδὸν διαβάσεως τοῖς ῥυομένοις καὶ λελυτρωμένοις ἡμῖν, ὁδὸν ἀποφήνασα τὴν διὰ κυμάτων; Καὶ εἰκός γε δήπου, τῶν ἤδη γε-
D γενημένων τὴν πεῖραν εἰς πίστιν ἀκλόνητον τῶν ἑξῆς ἐσομένων δεδέχθαι παρ' αὐτῶν. Ὁ γὰρ διὰ μέσης θαλάσσης διαγαγὼν αὐτούς, καταργήσει πάντως καὶ τοῦ παρόντος βίου τὸν κλύδωνα, καὶ τῶν ἐν κόσμῳ πραγμάτων τὴν εἰκαίαν τε καὶ ἄμικτον τύρβην ἕωλον ἀποφανεῖ, ὡς κατὰ μηδένα τρόπον ἐναποπνιγῆναι φροντίσι κοσμικαῖς τὰς τῶν κεκλημένων ψυχάς· ἀλλ' ἐπέκεινα μὲν διελάσει πειρασμοῦ παντὸς, σεσωσμένους δὲ καὶ λελυτρωμένους δοξολογεῖν αὐτὸν λέγοντας· « Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος. Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. »

[31] Gal. IV, 19. [32] II Tim. III, 12. [33] Psal. XCVII, 1.

Δεξιὰ δὲ καὶ βραχίων τοῦ Θεοῦ καὶ Πατρὸς, οὐχ ἕτερος ἂν εἴη τις παρά γε τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν.

Ὑπὸ γὰρ Κυρίου ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης καὶ ἀγαλλιάματος αἰωνίου. Ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν ἀγαλλίασις καὶ αἴνεσις, καὶ εὐφροσύνη καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός.

Διαπλάττει πάλιν τοῦ λόγου τὸ σχῆμα κατὰ τὴν τῶν ἤδη συμβεβηκότων αὐτοῖς δύναμιν. Πολυτρόπως γὰρ Θεῷ προσκρούοντες, καὶ ταῖς τῶν εἰδώλων λατρείαις καθάπερ τισὶ βόθροις ἐνολισθήσαντες, οὐ μετρίως κατεμιαίνοντο· παρωσάμενοι δὲ καὶ τὴν τοῦ πανσόφου Μωσέως ἐντολὴν, ἐτράποντο πρὸς διδασκαλίαν καὶ ἐντάλματα ἀνθρώπων. Τούτων ἕνεκα πάντων δέδονται κατὰ καιροὺς τοῖς Βαβυλωνίοις, καὶ ἦσαν αἰχμάλωτοι τὴν Περσῶν τε καὶ Μήδων νεμόμενοι χώραν. Ἀλλ' ἠλέηνται πάλιν. Κύρου γὰρ ἀνέντος αὐτοὺς κατὰ βούλησιν Θεοῦ, καὶ ἀποτρέχειν αὐτοῖς ἐφέντος, εἰς τὴν Ἰουδαίαν ἀνεκομίζοντο χαίροντες, καὶ ἀλαλάζοντες, καὶ τὰς εἰς Θεὸν ὑμνῳδίας οἷά τινα στέφανον ἔχοντες ἐπὶ κεφαλῆς. Οὐκοῦν ὡς ἀπό γε τῶν ἱστορικῶς γεγονότων, καὶ τὴν ἐπὶ ταῖς τελευταίαις κλήσεσι θυμηδίαν εὖ μάλα διαμορφοῖ. Ἐπιστραφήσονται γὰρ παρὰ Κυρίου, φησὶ, καὶ ἥξουσιν εἰς Σιὼν, τὴν νοητὴν δηλονότι, τοῦτ' ἔστι, τὴν Ἐκκλησίαν, εὐφραινόμενοί τε καὶ χαίροντες. Ἔσται γὰρ ἐπὶ κεφαλῆς αὐτῶν αἴνεσις καὶ εὐφροσύνη, καὶ ἀγαλλίαμα καταλήψεται αὐτούς. Στεφανοῖ γὰρ ὥσπερ τὰς τῶν πιστευόντων ψυχὰς, καὶ πάσης αὐτὰς ἐμπίμπλησι χαρᾶς, ἀγαλλιάσεώς τε καὶ εὐφροσύνης ὁ τῶν ὅλων Σωτὴρ, δοξολογούμενος παρ' αὐτῶν, καὶ χορδὴ καὶ λύρα γεγονὼς αὐτοῖς. Ὅπου δὲ ὅλως κλῆσις καλοῦσα πρὸς μετάγνωσιν, καὶ ἐπιστροφὴν, καὶ εἰς ἀπόνιψιν ἁμαρτίας, τὴν διὰ πίστεως δηλονότι τῆς ἐν Χριστῷ, ὅπου Πνεύματος ἁγίου χορηγία τε καὶ χάρις, καὶ υἱοθεσίας τιμὴ, καὶ ἀτελευτήτων ἀπόλαυσις ἀγαθῶν, καὶ οὐρανῶν βασιλείας ἐλπὶς, ἐκεῖ που πάντως ἐστὶ καὶ τὸ κατευφραίνεσθαι δεῖν, ἀπέδρα δὲ καὶ ὀδύνη, λύπη, καὶ στεναγμός. Ποῖον γὰρ ἕξει τόπον ὀδύνη, καὶ ἐπὶ τίσιν ἂν γένοιτο στεναγμὸς, ἔνθα τοῦ στενάζειν καὶ ὀδυνᾶσθαι πρόφασις μὲν οὐδεμία παντελῶς, καταχρατεῖ δὲ μᾶλλον ἐλπὶς, ἀγαλλιάσεώς τε καὶ εὐφροσύνης, θυμηδίας τε τῆς ἀναποβλήτου καὶ χαρᾶς;

Ἐγώ εἰμι, ἐγώ εἰμι ὁ παρακαλῶν σε. Γνῶθι τί οὖσα ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ, καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἳ ὡσεὶ χόρτος ἐξηράνθησαν. Καὶ ἐπελάθου τὸν Θεὸν τὸν ποιήσαντά σε, τὸν ποιήσαντα τὸν οὐρανὸν, καὶ θεμελιώσαντα τὴν γῆν. Καὶ ἐφόβου ἀεὶ πάσας τὰς ἡμέρας τὸ πρόσωπον τοῦ θλίβοντός σε. Ὃν τρόπον γὰρ ἐβουλεύσατο τοῦ ἆραί σε, καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε; Ἐν γὰρ τῷ σώζεσθαί σε οὐ στήσεται, οὐδὲ χρονιεῖ.

Τὸ, Ἐγώ εἰμι, φησὶν ἐν τούτοις, ἀντὶ τοῦ, ζῶ καὶ ὑπάρχω· καὶ γάρ ἐστιν αὐτὸς Ὁ ὤν. Ἀξίωμα δὲ

[54] Exod. III, 14.

A VERS. 11. *Nam a Domino reaucentur, et venient in Sion, cum lætitia et exsultatione æterna. In capite enim eorum exsultatio et laus, lætitia apprehendet eos; fugiet dolor, mœror et gemitus.*

Format iterum orationis figuram, pro ratione eorum quæ jam illis contigerunt. Multipliciter enim Deum offendentes, et in idolorum cultus tanquam in foveas quasdam illapsi, non mediocriter contaminati sunt: et rejecto sapientissimi Moysis præcepto, conversi sunt ad doctrinas et mandata hominum. Harum rerum causa, traditi sunt, variis temporibus, Babyloniis, erantque captivi, Persarum ac Medorum regionem habitantes. Sed iterum misericordiam consecuti sunt. Cyro enim illos ex voluntate
B Dei liberante, et reditum illis permittente, in Judæam reducti sunt, **712** gaudentes et jubilantes, et hymnos de Deo, tanquam coronam quamdam habentes in capite. Itaque velut a rebus hisce quæ historice gestæ sunt, etiam in postremis vocationibus voluptatem optime depingit. Reducentur enim, inquit, a Domino, et venient in Sion, quæ scilicet intelligentia percipitur, id est Ecclesiam, lætantes et gaudentes. Erit enim in capite eorum laus, et lætitia, et exsultatio eos apprehendet. Coronat enim quasi animas credentium, omnique eas replet gaudio, et exsultatione, et lætitia, universorum Servator, ab ipsis celebratus, illisque quasi chorda et lyra factus. Ubi autem vocatio est vocans ad pœnitentiam et conversionem, et ad peccati abstersionem,
C per fidem videlicet in Christo, ubi Spiritus sancti ministerium est, et gratia, et adoptionis honor, ac infinitorum bonorum fruitio, et regni cœlorum spes: ibi semper est unde lætemur, fugitque etiam dolor, mœror et gemitus. Quis enim locus relictus est dolori? Et quibus de causis gemitus esset, ubi gemendi et dolendi nulla prorsus est occasio, imo ubi spes exsultationem, lætitiam, voluptatem quæ amitti non potest, atque gaudium in sua quasi potestate obtinet et possidet?

VERS. 12-14. *Ego sum, ego sum qui consolor te. Scito quæ sis, ut timeas hominem mortalem, et filium*
D *hominis, qui quasi fenum exaruerunt. Et oblita es Dei qui fecit te, qui fecit cœlum, et qui fundavit terram. Et timuisti semper cunctis diebus faciem affligentis te. Quemadmodum enim cogitavit tollere te, et nunc ubi furor affligentis te? Cum enim tu servaberis, non stabit, neque permanebit.*

Ego sum, hic dicit, pro, vivo et exsisto. Est enim ipse Qui est [54]. Hæc est dignitas, et quasi privilegium

divinum et eximium. Inest siquidem huic soli naturæ quæ omnes superat, esse et vivere, non participatione ab alio, nec hoc quasi datum habenti, sed cum ipsa sit potius vita. Itaque inquit : Ego sum, qui consolor te, id est, qui omnem spiritualem consolationem impertior, et præsidiis sustento, ut pulchre suffulta, tendas fortiter et audacter ad omnis virtutis rectitudinem. Vel etiam fortassis consolationem hic alio modo intelliges. **714** Vocavit enim Servator per Evangelii prædicationem ad peccati ablutionem, per fidem scilicet in ipsum, ad participationem sancti Spiritus, et ad laudem ac gloriam adoptionis. Sed tu, inquit, o Israel, cum ego sim Ille qui est, non veritus es vocantem ad vitam despicere et contemnere, sed timuisti tibi ab homine mortali, et a filio hominis, qui ceu fenum exaruerunt. Deinde oblitus es ejus Dei qui fecit te, qui formavit cœlum, qui terram stabilivit. Et timuisti faciem affligentis te. Accusat autem Deus hisce verbis Judæorum præfectos, qui semper et assidue Servatoris gloriæ resistebant, et quantum in ipsis erat, eam omnino nullam reddiderunt. Varia enim hic edidit miracula : at illi contra divina signa plusquam admirabilia, acerba verba effuderunt, atque in Beelzebul principe dæmoniorum, eum ejicere dæmonia dictitarunt. Hic sæpe auditores doctrina et institutionibus plusquam legalibus demulcebat. Illi eo impietatis prolapsi sunt, ut eos qui laudabant reprehenderent, et dicerent : Dæmonium habet, et insanit; quid auditis illum? Reformidarunt igitur Pharisæorum insidias : idque testificabitur beatus evangelista, dicens : « Noverant igitur principes eum esse Christum : sed propter Pharisæos non confessi sunt [88]. » Jam enim conspiraverant Judæi, ut si quis eum confiteretur Christum esse, Synagogæ communione privaretur. Reprehendit etiam legum doctores ipse Servator, inquiens : « Et vobis leguleiis væ, quia sustulistis clavem scientiæ, nec ipsi ingredimini, et alios ingredientes prohibetis [89]. » Accusat igitur Judaicum populum, quippe qui ex insigni imprudentia, Deum qui est et qui vivit, qui cœlum firmavit verbo, qui terram fundavit, contempserit, prætuleritque reverentiam erga homines, vocesque hominum mortalium acceperit, qui perinde ac herbæ exarescunt. Quod enim subituri sunt ultimum supplicium, qui turpem hunc timorem illis incusserunt, et hoc pacto a colendo eum qui ad salutem vocat abduxerunt, probavit, cum adjecit : Quemadmodum enim cogitarunt tollere te, et nunc ubi furor affligentis te? Cum enim tu servaberis, non stabit, neque permanebit. Scribarum enim et Pharisæorum furor temporarius erat, contra populum manui ac potestati suæ subditum : **715** quin et in interitum abierunt, et mactationi sunt expositi. Et qui in Christum crediderant, servati gaudebant, et ab ira divina liberi. Verum isti non durarunt, hoc est, non ita

A τοῦτο θεοπρεπὲς καὶ ἐξαίσιον· ἔνεστι γὰρ μόνῃ τῇ πασῶν ἐπέκεινα φύσει τὸ εἶναί τε καὶ ζῆν, οὐ μεθεκτῶς παρ' ἑτέρου λαχούσῃ ταῦτα, οὔτε μὴν δοτὸν ἐχούσῃ τὸ χρῆμα, αὐτῆς δὲ μᾶλλον οὔσης τῆς ζωῆς. Οὐκοῦν, Εἰμὶ μὲν ἐγὼ, φησὶν, ὁ παρακαλῶν σε, τοῦτ' ἔστιν, ὁ πᾶσαν παράκλησιν πνευματικὴν δωρούμενος, καὶ ἀνέχων ταῖς ἐπικουρίαις εἰς τὸ ἐρηρεῖσθαι καλῶς, πρός γε τὸ δεῖν ἰέναι μετ' εὐτολμίας εὐθὺ πάσης ἀρετῆς. Ἢ τάχα που καὶ παράκλησιν ἐν τούτοις καὶ καθ' ἕτερον συνήσεις τρόπον. Ἐκάλει γὰρ διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων ὁ Σωτὴρ εἰς ἀπόνιψιν ἁμαρτίας τὴν διά γε, φημὶ, τῆς εἰς αὐτὸν πίστεως εἰς μέθεξιν ἁγίου Πνεύματος, καὶ καύχημα, καὶ δόξαν υἱοθεσίας. Ἀλλὰ σὺ, φησὶν, ὦ Ἰσραὴλ, ἐμοῦ μὲν τοῦ ὄντος οὐ κατέδεισας ὑπερ- B ορῶν, καὶ καταφρονήσας τοῦ καλοῦντος εἰς ζωὴν, ἐφοβήθης δὲ ἀπὸ ἀνθρώπου φθαρτοῦ, καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἳ ὡσεὶ χόρτος ἐξηράνθησαν. Εἶτα ἀπελάθου τοῦ ποιήσαντός σε Θεοῦ, τοῦ τεκτηναμένου τὸν οὐρανὸν, διιδρύσαντος δὲ τὴν γῆν, ἐφόβου δὲ τὸ πρόσωπον τοῦ θλίβοντός σε. Αἰτιᾶται δὲ Θεὸς ἐν τούτοις τοὺς τῶν Ἰουδαίων καθηγητὰς, οἳ μέχρι παντὸς διετέλεσαν τῇ τοῦ Σωτῆρος ἀντανιστάμενοι δόξῃ, καὶ τό γε ἧκον εἰς αὐτοὺς, οὐδὲν οὖσαν αὐτὴν παντελῶς ἀποφαίνοντες. Ἐθαυματούργει μὲν πολυτρόπως· οἱ δὲ τοὺς ὑπὲρ θαῦμα πικροὺς κατέχεον λόγους θεοσημίας· ἔφασκον γὰρ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια. Ταῖς ὑπὲρ νόμου εἰσηγήσεσι κατεκήλησε πολλάκις τοὺς ἀκροωμένους· οἱ C δὲ πρὸς τοῦτο κατώλισθον δυσσεβείας, ὥστε τοῖς ἐπαινοῦσιν ἐπιτιμᾷν, καὶ λέγειν· Δαιμόνιον ἔχει, καὶ μαίνεται· τί ἀκούετε αὐτοῦ; Ἐδεδίεσαν τοίνυν τὰς τῶν Φαρισαίων ἐπιβουλάς· καὶ μαρτυρήσει λέγων ὁ μακάριος εὐαγγελιστής· « Ἔγνωσαν τοίνυν οἱ ἄρχοντες, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν. » Ἤδη γὰρ συνέθεντο οἱ Ἰουδαῖοι, ἐὰν αὐτὸν ὁμολογήσῃ Χριστὸν εἶναι, ἀποσυνάγωγος γένηται. Ἐπιτιμᾷ δὲ τοῖς νομοδιδασκάλοις καὶ αὐτὸς ὁ Σωτὴρ λέγων· « Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσέρχεσθε, καὶ τοὺς εἰσερχομένους κωλύετε. » Αἰτιᾶται τοίνυν τοὺς τῶν Ἰουδαίων δήμους, ὡς ἐκ πολλῆς ἄγαν ἀσυνεσίας καταφρονήσαντας τοῦ ὄντος τε καὶ ζῶντος Θεοῦ, τοῦ τὸν οὐρανὸν ἀναστήσαντος λόγῳ, D καὶ θεμελιώσαντος τὴν γῆν, προτιμήσαντας δὲ μᾶλλον τὴν εἰς ἀνθρώπους αἰδῶ, καὶ φωνὴν δεξαμένους ἀνθρώπων φθαρτῶν, οἳ πόαις ἐν ἴσῳ ξηραίνονται. Ὅτι γὰρ ἔμελλον τὴν ἁπασῶν ἐσχάτην ὑπομεῖναι κόλασιν, οἱ τὸ ἔκτοπον αὐτοῖς ἐπιτιθέντες δόγμα [Humfr. legisse videtur δεῖμα], καὶ ἀπαγαγόντες διὰ τοῦτο τοῦ χρῆναι τιμᾷν τὸν καλοῦντα πρὸς σωτηρίαν, πεπληροφόρηκε, προστιθείς· Ὃν τρόπον γὰρ ἐβουλεύσαντο τοῦ ἆραί σε, καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε; Ἐν γὰρ τῷ σώζεσθαί σε οὐ στήσεται, οὐδὲ χρονιεῖ. Γέγονε γὰρ τῶν Γραμματέων καὶ Φαρισαίων πρόσκαιρος ὁ θυμὸς κατὰ τῶν ὑπὸ χεῖρα λαῶν· ἀλλ' ᾤχοντο πρὸς ἀπώλειαν, καὶ δέδονται πρὸς σφα-

[88] Joan. xii, 42. [89] Luc. xi, 52.

γῆν. Καὶ οἱ μὲν πιστεύσαντες εἰς Χριστὸν, ἔχαιρον A ἀνασεσωσμένοι, ἔξω τε γεγονότες τῆς θείας ὀργῆς. Οἱ δὲ οὐκ ἐχρόνισαν, τοῦτ' ἔστιν, οὐκ εἰς μακρὰν ἀπολώλασι, πεπορθημένης ἁπάσης τῆς Ἰουδαίας, καὶ κατεμπρησθέντος τοῦ ναοῦ, καὶ ὠλοθρευμένης τῆς Ἱερουσαλὴμ, ὁμοῦ τοῖς οἰκοῦσιν αὐτήν.

Ὅτι ἐγὼ ὁ Θεός σου, ὁ ταράσσων τὴν θάλασσαν, καὶ ἠχῶν τὰ κύματα αὐτῆς. Κύριος Σαβαὼθ ὄνομά μοι. Θήσω τοὺς λόγους μου εἰς τὸ στόμα σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ ἔστησα τὸν οὐρανὸν, καὶ ἐθεμελίωσα τὴν γῆν· καὶ ἐρεῖ Σιὼν, ὅτι Θεός μου εἶ σύ.

Αἰτιασάμενος τοὺς ἐξ Ἰσραὴλ, ὡς φοβηθέντας μὲν ἀνθρώπους, ἤτοι τοὺς προεστάναι λαχόντας τῆς συναγωγῆς, αἰδοῖ τε τῇ πρὸς αὐτοὺς τοῖς τῆς ἀπειθείας B τέλμασιν ἀσυνέτως ἐμβεβηκότας, ἀλογήσαντάς τε παντελῶς τῆς εἰς αὐτὸν ἀγάπης, διαδείκνυσιν ἐν τούτοις, ὅτι καὶ περιστάσεις, καὶ διωγμοὺς, οἵπερ ἂν συμβαίνωσι τοῖς εὐσεβεῖν ᾑρημένοις, καθίστησιν ἀμογητί· καὶ τὰς τῶν ἐπηρεαζόντων δυστροπίας, ἀπράκτους τε καὶ ἀδρανεῖς ἀποφαίνει, μεθιστὰς εἰς τὸ ῥᾷον τὰ λυπηρὰ, καὶ παρατρέπων εἰς εὐθυμίαν τῶν ἀνιαρῶν τὴν ἔφοδον. Δέχεται δὲ πρὸς παράδειγμα ταύτην τὴν ὁρωμένην πλατεῖαν θάλασσαν. Ἐγὼ γάρ εἰμι, φησὶν, ὁ ταράσσων τὴν θάλασσαν, καὶ ἠχῶν τὰ κύματα αὐτῆς. Κύριος Σαβαὼθ ὄνομά μοι. Ὥσπερ οὖν κυρτοῦται μὲν ἔσθ' ὅτε τὸ κῦμα, καὶ ῥαγδαῖον τῇ χέρσῳ προσρήγνυται ταῖς τῶν ἀνέμων βίαις συνωθούμενον, μεταπίπτει δὲ πάλιν εἰς C εὐδίαν καὶ γαλήνην εὐθὺς ἐθέλοντος Θεοῦ· κατὰ τὸν αὐτὸν τουτονὶ τρόπον τὰ δεινὰ, καὶ δύσοιστα, καὶ παντὸς εἰς ἔσχατον ἀποφέροντα κακοῦ, μεθίστημι, φησὶν, οἱονεὶ πρὸς εὐδίαν κατανεύσας μόνον· πάντα γὰρ κατευνάσας θόρυβον, εἰς τὸ τῆς εὐθυμίας ἀνίημι πλάτος τοὺς τῆς εὐσεβείας ὑπεραθλεῖν ἑλομένους. Καὶ τοῦτ', οἶμαι, ἐστὶ τὸ διὰ τῆς τοῦ Ψάλλοντος λύρας αἰνιγματωδῶς ὑμνούμενον· « Ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐκόπασε τὰ κύματα αὐτῆς. » Ἵνα δὲ παντὸς ἐνδοιασμοῦ δίχα παραδέχοιντο τὸ θαῤῥεῖν, ὅτι πάντη τε καὶ πάντως εἰς πέρας δραμεῖται τὰ ἐπηγγελμένα, καὶ οὐκ ἄν ποτε διαψεύσαιτο τῆς παρ' αὐτοῦ δοθείσης ἐπικουρίας ἡ ὑπόσχεσις· ἀναγκαίως φησὶν, ὅτι Κύριος Σαβαὼθ ὄνομά μοι. Εἰ γάρ ἐστι Κύριος τῶν δυνάμεων, πῶς D ἀτονήσει πρὸς τὸ διασῶσαί τινας, ἢ ποῖον οὕτω τὸ δυσχερὲς, ἢ ἄναντες τῶν πραγμάτων, ἢ καὶ ἀνήνυτόν ἐστι τῇ πάντα ἰσχυούσῃ δεξιᾷ; Προσεπάγει δέ τι καὶ ἕτερον ἀρκοῦν εἰς ἐπικουρίαν, ὁμοῦ δὲ καὶ ἀποφαῖνον, ὅτι λέλυται μὲν ὁ ἐπ' αὐτοῖς θυμὸς, πέπαυται δὲ τῆς ἀποστροφῆς τὸ βλάβος, καὶ λοιπόν εἰσιν ἐν λόγῳ παρ' αὐτῷ, καὶ φειδοῦς ἠξίωνται καὶ ἀγάπης, ἥπερ ἂν πρέποι τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. « Θήσω γὰρ, φησὶ, τοὺς λόγους μου εἰς τὸ στόμα σου. » Καὶ τί δὴ τοῦτό ἐστιν, ἔφη που ψάλλων ὁ θεσπέσιος Δαβίδ· « Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; »

longe post perierunt, cuncta Judæa vastata, et templo incenso, et deleta Jerusalem, simul cum his qui eam inhabitabant.

VERS. 15, 16. *Quia ego Deus tuus, qui conturbo mare, et qui sonare facio fluctus ejus. Dominus Sabaoth est nomen mihi. Ponam sermones meos in os tuum, et sub umbra manus meæ protegam te, in qua statui cœlum, et fundavi terram : et dicet Sion, Deus meus es tu.*

Accusatis Israelitis, ut qui homines timuerunt, sive synagogæ præsides, ac horum reverentia, in puteum interitus imprudenter inciderunt, omninoque dilectionem in illum parvi duxerunt : ostendit hisce verbis se calamitates ac persecutiones, quæcunque piis contingant, leves ac faciles reddere, et insectantium perversitatem inefficacem infirmamque efficere, tristia in melius vertendo, et rerum asperarum insultum in tranquillitatem commutando. Assumit autem exempli causa, spatiosum hoc, quod videmus, mare. Ego enim sum, inquit, qui conturbo mare, et qui sonare facio fluctus ejus. Dominus Sabaoth nomen mihi. Quemadmodum igitur fluctus interdum attollitur, et vehementi impetu in terram irruit ac impingit, ventorum vi pulsus, ac rursus mox, Deo volente, in serenitatem et tranquillitatem mutatur : ad eumdem quoque modum gravia et intolerabilia, et ad omnium malorum extremum deducentia, solo, inquit, nutu velut in serenitatem converto. Omni enim tumultu consopito, ad voluptatem amplissimam revoco ac resolvo eos qui pro pietate certamen suscipiunt. Idque est, opinor, quod ænigmatice psallentis lyra est decantatum : « Præcepit procellæ, et stetit in auram, et sedavit fluctus ejus [87]. » Ut autem absque omni dubio spem ac fiduciam concipiant, omnino hæc quæ denuntiata sunt, ad exitum procursura, nec fallacem aut mendacem esse promissionem, sed auxilium esse certo ferendum, necessario ait : Dominus Sabaoth nomen mihi. Nam si est Dominus exercituum, **716** quomodo esset ad servandum aliquos imbecillus? aut quæ res tam est difficilis, tam ardua, quæ non possit ab omnipotente dextra perfici? Inducit porro et aliud quiddam quod ad auxilium satis sit, simulque declarat dissolutum esse et exstinctum eorum furorem, et cessasse odii incommodum : deinceps vero se eorum rationem habiturum, et misericordia eos et amore dignaturum, qui his, qui agnoverunt apparitionem ejus, conveniat. « Ponam enim, inquit, sermones meos in os tuum. » Quid autem sit, dixit ille divinus David, psallens : « Peccatori dixit Deus : Quare tu enarras justificationes meas, et assumis testamentum meum ore tuo [88]? »—« Non enim decora est laus in ore peccatoris, [88*] » quemadmodum scriptum est. Interdicit itaque et prohibet profa-

[87] Psal. CVI, 29. [88] Psal. XL, 6. [88*] Eccli. XV, 9.

num et sceleratum Dei lex, omnino ejus sermones memorare. Dictum est enim : « Ex abundantia cordis os loquitur [89]. » Quidni ergo cunctis perspicuum sit, eos qui cor malum habent, bonos sermones eructare non posse? Itaque sanctis maxime convenit, et mente legem Dei tenere, et lingua ac verbis quasi ebullire et depromere. Promittit igitur universorum Deus, velut justis jam et in fide sanctificatis, et ingenuitatis laudem percipientibus, se impositurum suos eorum ori sermones, ut, divinam legem crebris usurpantes sermonibus, viam sibi ad salutem accommodatam intelligant. De omni siquidem justo scriptum est : « Lex Dei ejus in corde ipsius, et non subvertentur gressus ejus [90]. » Et iterum : « In corde meo abscondi oracula tua, ut ne peccem tibi [91]. » Sustinet enim nos divina lex, ut pulchre solidati et fundati simus, et mentem ad optima omnia vitæ instituta recte dirigamus; nec eam delabi ad deteriora sinit, et ab eo quod malo afficere solet, quasi juveniliter abducit et fortiter. Quia vero, ut dixi, eos velut jam ingenuos ac germanos alloquitur, aliud porro quidpiam appromittit. Protegam enim, inquit, te, umbra manus meæ. Dignum possessione est et eximium hoc quoque bonum, et ad salutem sat magnum, quibus semel eo frui conceditur. Manum enim Dei et Patris non aliud esse intelligimus, quam ab eo natum Filium Dominum nostrum Jesum Christum. His autem qui illi parent, nihil poterit nocere, eorum, quæ nocere solent. Erunt **717** namque robusti et fortissimi, omnemque tumultum ac tentationes vincent, nec a Satana capientur, omnemque carnis fœditatem superabunt, nec animi neque corporis motibus affectibusve succumbent. Quod autem omnipotens Patris dextra sic eos afficiat, ostendit, cum adjicit: Qua statui cœlum, et fundavi terram. Si enim, sicuti scriptum est, sermone Domini cœli firmati sunt, si terra constabilita est, ut immota maneat [92]; quidni satis sit potens ad eos servandum, quicunque ejus protectionem volunt magni æstimare? Tunc, tunc, inquit, dicet Sion : Deus meus es tu. Hinc mihi considera Christianæ fidei confessionem clare et perspicue introductam. Olim enim Christum, licet multa edentem miracula, et divinorum signorum splendore, qui omnem orationem superat et admirationem, illustratum, ex insigni quadam impietate, ignorare se dicebant, cum tamen non ignoraverint vere, sed contumelia affecerunt. Dicere enim ausi sunt homines insigniter deliri, et stulti, et impia mente præditi : « Nos scimus cum Moyse locutum esse Deum, hunc autem unde sit, nescimus [93]. » Sed hi, inquit, qui negant, et ad hanc impietatem delapsi sunt, lingua meos sermones circumferentes, et sub protectione manus meæ dexteræ versati, iterum agnoscent Redemptorem, et confitebuntur, dicentes ei : Deus meus es tu. Res igitur salutaris est fides, et via ad vitam adducens

A —« Οὐ γὰρ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ, » καθὰ γέγραπται. Ἀποσοβεῖ τοιγαροῦν τὸν βέβηλόν τε καὶ ἀλιτήριον ὁ τοῦ Θεοῦ θυμὸς [al. νόμος] τοῦ καὶ ὅλως τῶν αὐτοῦ διαμεμνῆσθαι λόγων. Εἴρηται γάρ· « Ἐκ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα. » Πῶς οὐχ ἅπασιν ἐναργὲς, ὡς οἱ καρδίαν ἔχοντες πονηρὰν, ἀγαθοὺς οὐκ ἂν ἐρεύξα[ι]ντο λόγους; Ἁγίοις οὖν ἄρα πρεπωδέστατον τὸ καὶ εἰς νοῦν ἔχειν τὸν τοῦ Θεοῦ νόμον, καὶ ἀναβράττειν αὐτὸν, ὥσπερ διὰ γλώττης καὶ λόγου. Ὑπισχνεῖται τοίνυν ὁ τῶν ὅλων Θεὸς ὡς ἤδη δικαίοις, καὶ ἡγιασμένοις ἐν πίστει, καὶ τὸ τῆς γνησιότητος λαβοῦσι καύχημα, τοὺς ἑαυτοῦ λόγους ἐντιθέναι τοῖς στόμασιν αὐτῶν, ἵνα τοῦ θείου νόμου συχνῶς διαμνημονεύοντες, τὴν τοῦ χρησίμου πρὸς σωτηρίαν αὐτοῖς εἰδεῖεν τρίβον. Γέγραπται γὰρ
B περὶ δικαίου παντὸς, ὅτι « Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. » Καὶ πάλιν· « Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. » Ἀνέχει γὰρ ἡμᾶς ὁ τοῦ Θεοῦ νόμος εἰς τὸ ἐρηρεῖσθαι καλῶς, καὶ εὖ βεβηκότα τὸν νοῦν εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἐπιτηδευμάτων ἔχειν· καὶ καταπίπτειν οὐκ ἐᾷ πρὸς τὰ χείρω, καὶ τοῦ πεφυκότος ἀδικεῖν ἀποφέρει νεανικῶς. Ἐπειδὴ δὲ, ὡς ἔφην, ὡς ἤδη γνησίοις προσδιαλέγεται, προϋπισχνεῖταί τι καὶ ἕτερον. Σκεπάσω γάρ σε, φησὶν, ὑπὸ τὴν σκέπην τῆς ἐμαυτοῦ χειρός. Ἀξιόκτητον δὲ καὶ τοῦτο, καὶ ἐξαίρετον ἀγαθὸν, καὶ ἀποχρῶν εἰς σωτηρίαν τοῖς ἅπαξ ἑλεῖν ἠξιωμένοις αὐτό. Χεῖρα μὲν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς οὐχ ἕτερον εἶναι συνίεμεν, πλὴν ὅτι τὸν ἐξ
C αὐτοῦ πεφηνότα Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Τοὺς δέ γε ὑπ' αὐτῷ γεγονότας ἀδικήσειεν ἂν οὐδὲν τῶν ὅσα πέφυκεν ἀδικεῖν. Ἔσονται γὰρ εὐσθενεῖς καὶ εὐτολμώτατοι, θορύβου τε παντὸς καὶ πειρασμῶν ἀμείνους, καὶ ἀνάλωτοι τῷ Σατανᾷ, καὶ σαρκικῆς ἁπάσης ἐπέκεινα βδελυρίας, καὶ πέρα παθῶν ψυχικῶν τε ἅμα καὶ σωματικῶν. Ὅτι δὲ παναλκὴς ἡ τοῦ Πατρὸς δεξιὰ διακεῖσθαι, παρασκευάζει προστιθείς· Ἐν ᾗ ἔστησα τὸν οὐρανὸν, καὶ ἐθεμελίωσα τὴν γῆν. Εἰ γὰρ τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καθὰ γέγραπται, ἐρήρεισται δὲ καὶ ἡ γῆ πρὸς τὸ ἀκλονήτως ἔχειν· πῶς οὐκ ἂν ἀρκέσειεν εἰς τὸ σῶσαί τινας, τοὺς οἵπερ ἂν ἕλοιντο τὴν ὑπ' αὐτοῦ σκέπην ποιεῖσθαι περὶ πολλοῦ; Τότε δὴ, τότε, φησὶν, ἐρεῖ Σιών· Θεός μου εἶ σύ. Ἐνταῦθά μοι βλέπε
D σαφῶς τε καὶ ἐναργῶς τῆς εἰς Χριστὸν πίστεως τὴν ὁμολογίαν εἰσενηνεγμένην. Πάλαι μὲν γὰρ καίτοι θαυματουργοῦντα πολυτρόπως, καὶ τῇ λαμπρότητι τῆς θεοσημίας, τῇ ὑπὲρ λόγον καὶ θαῦμα, δόξαν ἔχοντα Χριστὸν, ἐκ πολλῆς ἄγαν ἀνοσιότητος ἀγνοεῖν ἔφασκον, οὐκ ἠγνοηκότες ἀληθῶς, ἀλλ' ὑβρίζοντες. Τετολμήκασι γὰρ εἰπεῖν ἐκ πολλῆς ἄγαν ἐμβροντησίας, ἤγουν ἀπονοίας, καὶ ἀφιλοθέου φρονήματος· « Ἡμεῖς οἴδαμεν ὅτι Μωσῇ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. » Ἀλλ' οἱ πάλαι, φησὶν, ἀρνούμενοι καὶ δυσσεβείας εἰς τοῦτο κατολισθήσαντες, λαβόντες ἐν γλώσσῃ τοὺς ἐμοὺς λόγους,

[89] Luc. XII, 34. [90] Psal. XXXVI, 31 [91] Psal. CXVIII, 11. [92] Psal. XXXII, 6. [93] Joan. IX, 29.

καὶ ὑπὸ τὴν σκέπην τῆς ἐμῆς γενόμενοι χειρὸς δεξιᾶς, ἐπιγνώσονται τὸν Λυτρωτὴν, ὁμολογήσουσι λέγοντες πρὸς αὐτόν· Θεός μου εἶ σύ. Χρῆμα τοιγαροῦν σωτήριον ἡ πίστις, καὶ ὁδὸς εἰς ζωὴν ἀποφέρουσα τὴν ἀμήρυτον, τῆς εἰς Χριστὸν ὁμολογίας ἡ δύναμις.

A sempiternam, est virtus Christianæ confessionis.

Ἐξεγείρου, ἐξεγείρου, ἀνάστηθι, Ἱερουσαλὴμ, ἡ πιοῦσα τὸ ποτήριον τοῦ θυμοῦ ἐκ χειρὸς Κυρίου. Τὸ ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες, καὶ ἐξεκένωσας, καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου, ὧν ἔτεκες· καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου, οὐδὲ ἀπὸ πάντων τῶν υἱῶν σου, ὧν ὕψωσας.

Ὡς πεσούσῃ καὶ ἔτι κειμένῃ τῇ Ἰουδαίων Συναγωγῇ προσδιαλέγεται, καὶ ἀναστῆναι κελεύει, μονονουχὶ χεῖρα διδοὺς, καὶ κατοικτείρων ὡς Θεός. Καὶ οὐ δήπου φαμὲν σωματικὴν εἶναι τὴν ἔγερσιν, ὅτι μηδὲ τοιαύτην νοεῖσθαι προσήκει τὴν πτῶσιν, νοητὴν δὲ μᾶλλον, ὡς ἐν ἀπιστίᾳ τετελεσμένην. Οὐκοῦν ἐν πίστει τὸ τῆς ἐν τούτοις ἀναστάσεως ἀγαθόν. Πεπτώκασι γὰρ ὁμολογουμένως εἰς ὄλεθρον, οὐ προσηκάμενοι μὲν τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, προσεσχηκότες δὲ μᾶλλον διδασκαλίαις τε καὶ ἐντάλμασιν ἀνθρώπων, καίτοι Θεοῦ λέγοντος ἐναργῶς διὰ φωνῆς Ἡσαΐου· « Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράττουσιν. » Ἀειλογοῦντες γὰρ παρ' αὐτοῖς τὸν διὰ Μωσέως νόμον, οἱ καθηγεῖσθαι λαχόντες, καὶ συχνῶς ἐκεῖνο βοῶντες· Μακάριοί ἐσμεν, Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν ἐστιν, ἀπεκόμιζον τῶν ὑπὸ χεῖρα τὸν νοῦν τῆς εἰς Χριστὸν ἀγάπης, καὶ τῆς αὐτοῦ χάριτος ἀλογεῖν ἀναπείθοντες, πεπλανήκασιν αὐτοὺς, καὶ τὴν τρίβον τῶν ποδῶν αὐτῶν συνέχεον, ὀρθοποδεῖν οὐκ ἐῶντες, ἤγουν δι' εὐθείας ἔρχεσθαι τρίβου πρὸς τὴν ἐν πίστει δικαίωσιν, καίτοι τοῦ νόμου τελειοῦντος οὐδέν. Οὐκοῦν, Ἐξεγείρου, φησί· τοῦτό ἐστιν ἐναργῶς τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς, « Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. » Καὶ μὴν κἀκεῖνο πρὸς τούτῳ· Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιεῖτε τοῖς ποσὶν ὑμῶν. Ὅτι δὲ πρέπουσαν καὶ ἰσοπαλῆ ταῖς αὐτῶν δυσσεβείαις ἐκτετίκασι δίκην ἐμπαροινήσαντες Χριστῷ, καὶ τὸν ἀρχηγὸν τῆς ζωῆς, τό γε ἧκον ἐπ' αὐτοῖς, θανάτῳ περιβαλεῖν τολμήσαντες, διαδείκνυσι λέγων· Ἡ πιοῦσα τὸ ποτήριον τοῦ θυμοῦ ἐκ χειρὸς Κυρίου. Τὸ ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ ἐξέχεας, καὶ ἐξεκένωσας. Καὶ κόνδυ μέν φησι τὸ κρῖμα· τὸ δὲ, Ἐξεκένωσας, ἐν τούτοις οὐχὶ τὸ, Ἐξέχεας, κατασημαίνει ἂν, ἐκεῖνο δὲ μᾶλλον, ὡς Ἅπαν ἐκπέπωκας, τοῦτ' ἔστι, πλήρη τὸν θυμὸν εἰσεδέξω τὸν παρὰ Κυρίου, καὶ ἰσόῤῥοπον τοῖς παρανομήμασιν ὑπομεμένηκας τὴν ὀργήν. Κακοὶ γὰρ κακῶς ἀπολώλασι, τοῦτο μὲν πεπορθημένης αὐτῶν ἁπάσης τῆς χώρας, ὁμοῦ δὲ τοῖς Ἱεροσολύμοις καὶ αὐτοῦ δὲ κατεμπρησθέντος τοῦ περιβοήτου ναοῦ, καὶ προσέτι τῆς εἰς Θεὸν ἐλπίδος ἀπολισθήσαντες, καὶ τῆς τῶν ἁγίων ἀγέλης ἐξεωσμένοι. Τούτων δὲ ἁπάντων συμ-

VERS. 17, 18. *Excitare, excitare, exsurge, Jerusalem, quæ bibisti poculum furoris de manu Domini. Poculum enim ruinæ, calicem furoris ebibisti et evacuasti, nec erat qui consolaretur te ex omnibus filiis tuis quos peperisti: nec erat qui apprehenderet manum tuam, nec ex omnibus filiis tuis quos extulisti.*

Collapsam veluti et jam jacentem nunc Judæorum synagogam affatur, et jubet resurgere, tantum B non manum porrigens, et ut Deus, miseratus. Nec dicimus corpoream esse nunc excitationem, quia nec illius modi intelligenda est hæc ruina, sed quæ intelligentia percipitur, et in incredulitate quasi perficitur. Ergo hujus resurrectionis bonum in fide est. Ceciderunt enim plane in interitum, eo quod evangelicam **718** et salutarem prædicationem non admiserint, sed potius doctrinis et præceptis hominum attenderint, etiamsi aperte dicat voce Isaiæ Deus: « Popule mi, qui vos beatos prædicant seducunt vos, et semitam pedum vestrorum conturbant [94]. » Semper enim hi qui principatum obtinebant apud eos, Moysis legem blaterantes, illudque crebro clamantes, Beati sumus, Israel, quia quæ Deo accepta sunt, nobis nota sunt: mentes suorum C a dilectione Christi abduxerunt, et ejus gratiam pro nihilo ducere persuaserunt, ac fefellerunt, semitamque pedum eorum confuderunt, non sinentes eos recto pede incedere, nec recta via ad fidei justificationem tendere, cum tamen lex nihil proficeret. Itaque inquit: « Excitare, » id plane est, quod voce Paulina dictum est: « Excitare, qui dormis, et surge e mortuis, ac illuminabit te Christus [95]. » Quin et illud præterea: Quocirca remissas manus, et dissoluta genua surrigite, et rectas facite orbitas pedibus vestris. Quod autem dignam et ipsorum impietatibus parem pœnam solverint, debacchati in Christum, et principem vitæ, quantum in ipsis erat, morte efficere ausi, declarat · Quæ bibisti, inquiens, poculum furoris de manu Domini. Po-D culum enim ruinæ, et calicem furoris exhausisti et evacuasti. Calicem vocat judicium. Evacuasti, his verbis non significat, Effudisti, sed illud potius, velut totum ebibisti, id est, plenum furorem a Domino recepisti, et æqualem prævaricationibus iram sustinuisti. Mali enim male perierunt: partim devastata cuncta eorum regione, et simul cum Hierosolymis incenso ipso templo celebratissimo: deinde etiam a spe in Deum decidentes, et a grege sanctorum expulsi, his, inquit, omnibus tibi accidentibus, et plenissimo furore velut inebriatæ tibi nemo tuorum liberorum adfuit; non erat qui manum tuam apprehenderet, nemo qui consolaretur. Complures enim apud eos erant Levitæ et sacerdotes,

[94] Isa. I, 12. [95] Ephes. v, 14.

Scribæ et Pharisæi, honoribus præ omnibus circumfluentes, et in sublime evecti, eo quod præcellerent et præstarent reliquis. Sed ex omnibus, nemo Judæam prohibuit calamitate quæ ex divina ira **719** illis illata est. Nemo erat tantus, qui intolerabilibus malis implicatæ ullam vel mediocrem consolationem admovere posset. Itaque injuriam fecerunt, dum eos a dilectione Christi abduxerunt, et fidem in illum rejicere persuaserunt, illisque in interitus foveas prolapsis nihil adjumenti attulerunt.

A βεβηκότων σοι, φησί, καὶ οἷον μεμεθυσμένης πληρεστάτῳ θυμῷ, οὐδεὶς παρέστη τῶν σῶν τέκνων· οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου, οὐκ ἦν ὁ παρακαλῶν. Πλεῖστοι μὲν γὰρ ἦσαν παρ' αὐτοῖς Λευῖται καὶ ἱερεῖς, Γραμματεῖς τε καὶ Φαρισαῖοι, ταῖς παρὰ πάντων ἐντρυφῶντες τιμαῖς, ὑψοῦ τε ἠρμένοι διά τε τὸ προὔχειν καὶ προεστάναι τῶν ἄλλων· ἀλλ' οὐδεὶς ἐκ πάντων ἀπεσόβησε τῆς Ἰουδαίας τὴν συμφορὰν τὴν ἐκ θείας ὀργῆς ἐπενηνεγμένην αὐτῇ. Οὐδεὶς ἦν τοσοῦτος, ὃς ἀφορήτοις ἐνειλημμένῃ κακοῖς κἂν γοῦν μετρίαν παράκλησιν προσεπενεγκεῖν δυνάμενος. Οὐκοῦν ἠδίκησαν μὲν ἀπάγοντες αὐτοὺς τῆς εἰς Θεὸν ἀγάπης, καὶ ἀπαράδεκτον ποιεῖσθαι τὴν εἰς αὐτὸν ἀναπείθοντες πίστιν· ὤνησαν δὲ παντελῶς οὐδὲν, τοῖς τῆς ἀπωλείας βόθροις ἐνολισθήσαντες.

VERS. 19, 20. *Duo ista contraria sunt tibi, et quis tecum contristabitur? Ruina et contritio, fames et gladius: quis te consolabitur? Filii tui indigentes, dormientes in compitis omnium viarum, sicut beta semicocta, pleni furore Domini, dissoluti per iram Domini Dei.*

B *Δύο ταῦτα ἀντικείμενά σοι, καὶ τίς σοι συλλυπηθήσεται; Πτῶμα δὲ καὶ σύντριμμα, λιμὸς καὶ μάχαιρα· τίς σε παρακαλέσει; Οἱ υἱοί σου, οἱ ἀπορούμενοι, οἱ καθεύδοντες ἐπ' ἄκρου πάσης ἐξόδου, ὡς σευτλίον ἡμίεφθον, οἱ πλήρεις θυμοῦ Κυρίου, ἐκλελυμένοι διὰ Κυρίου τοῦ Θεοῦ.*

Plurima mala quæ Judæis contigerunt enumerare licet, captivitatis tempore, sub Vespasiano, inquam, et Tito, cum tota Judæorum regio conflagravit, et nullum calamitatis genus illis defuit, sed ad summum quasi omnis mali fastigium pertigerunt. Quod etiam illis omnium Servator Christus prænuntiavit: abductus est enim a Pilati militibus, ad locum crucis. Cum etiam mulieres sequerentur, et eum deflerent, conversus dixit illis: C « Filiæ Jerusalem, nolite deflere me, sed deflete vos et liberos vestros [96]. » Et rursus: « Cum videritis obsessam a militibus Jerusalem, tunc dicetis montibus: Operite nos; et collibus, Cadite in nos [97]. » Quin etiam insanabilis calamitatis pondus a sanctis prophetis pluribus verbis prænuntiatum est. Eadem etiam sententia gignitur et insinuatur nobis in his versibus: O enim misera Jerusalem: duo ista tibi contraria sunt, inquit, pro, repugnant, et dissident. Et cujusmodi sunt illa? Ruina et contritio, fames et gladius. Quibus verbis velut breviter et concise belli calamitas significatur. Verum illud considerandum est non oscitanter. Nam quatuor enumeratis, duo illa esse dicit. D Siquidem ruinam memoravit, et contritionem, et famem, et gladium. Quid ergo dicimus? aut quo pacto esse poterunt duo, quæ dicta sunt? Etiamsi plura esse videantur, primis tamen sequentia hic sermo propheticus conjungit. Nimirum semper casum sequitur contritio, famem gladius, id est, mors. Duo igitur prima sunt, ruina et fames, sequuntur **720** hæc, contritio et gladius. His ergo, inquit, accidentibus, quis subvenire potest? quis impetum calamitatis hujusce propulsare? Hoc enim hic significat consolatio. Numquid igitur, inquit, ad hoc sufficient filii tui? Sed enim eos videre est redactos ad inopiam, id est, nihil habentes quod consulant et faciant ad solatium suum,

Πλεῖστα μὲν ἂν τις ἀπαριθμήσαιτο τὰ τοῖς Ἰουδαίοις συμβεβηκότα κακὰ κατὰ τὸν τῆς ἁλώσεως καιρὸν, τῆς ἐπί γε, φημὶ, Οὐεσπασιανοῦ καὶ Τίτου, ὅτε πᾶσα μὲν ἐνεπρήσθη τῶν Ἰουδαίων ἡ χώρα, συμφορᾶς δὲ τρόπος οὐδεὶς ἐνέλειψεν αὐτοῖς, ἀλλ' εἰς ἄκρον παντὸς διεληλάκασι κακοῦ, προαπηγγελκότος καὶ τοῦτο αὐτοῖς τοῦ πάντων Σωτῆρος Χριστοῦ. Ἀπεκομίζετο μὲν γὰρ ὑπὸ τῶν τοῦ Πιλάτου στρατιωτῶν ἐπὶ τὸν τοῦ σταυροῦ τόπον. Ἐπειδὴ δὲ εἵποντο κλαίουσαι γυναῖκες αὐτῷ, στραφεὶς πρὸς αὐτὰς ἔφη· « Θυγατέρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμοὶ, κλαίετε δὲ ἐφ' ὑμᾶς καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. » Καὶ πάλιν· « Ὅταν εἴδητε κυκλουμένην ἀπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε ἐρεῖτε τοῖς ὄρεσι, Καλύψατε ἡμᾶς· καὶ τοῖς βουνοῖς, Πέσετε ἐφ' ἡμᾶς. » Καὶ διὰ πλείστων ὅσων τῆς ἀνηκέστου συμφορᾶς τὸ βάρος προαπηγγέλλετο διὰ προφητῶν ἁγίων. Ταῦτα δὲ νῦν ἡ τῶν προκειμένων ἡμῖν στίχων ὠδίνει δύναμις. Ὦ γὰρ ἀθλία, φησὶν, Ἱερουσαλὴμ, δύο σοι ταῦτα ἀντίκειται, φησὶν, ἀντὶ τοῦ, μάχεται καὶ πολεμεῖ. Καὶ ποῖα ταῦτά ἐστι; Πτῶμα καὶ σύντριμμα, λιμὸς καὶ μάχαιρα. Ἐν τούτοις μὲν, ὡς ἐν βραχεῖ καὶ συνεσταλμένως, ἡ τοῦ πολέμου συμφορὰ σημαίνεται. Πλὴν ἐκεῖνο ἀθρητέον οὐ παρειμένως. Τέσσαρας γὰρ ἀπαριθμησάμενος, δύο φησὶν αὐτά. Πτῶμα γὰρ, ἔφη, καὶ σύντριμμα, καὶ λιμὸν, καὶ μάχαιραν. Καὶ τί ἄρα φαμέν; ἢ πῶς ἂν εἶεν δύο τὰ ὠνομασμένα; Κἂν εἰ πλειόνων ἔχοιεν δόξαν, τὰ ἑπόμενα τοῖς πρώτοις ὁ προφητικὸς ἐν τούτοις συνάπτει λόγος. Οἷόν τί φημι· Ἕπεται πάντως τῷ πίπτειν ἡ συντριβὴ, καὶ τῷ λιμῷ μάχαιρα, τοῦτ' ἔστιν ὁ θάνατος. Δύο δὴ οὖν τὰ πρῶτα, τοῦτ' ἔστι, πτῶμα καὶ λιμός· ἑπόμενα δὲ τούτοις, σύντριμμά τε καὶ μάχαιρα. Τούτων οὖν ἄρα, φησὶ, συμβεβηκότων, τίς ὁ ἐπαμῦναι δυνάμενος καὶ ἀποσοβῆσαι τῆς συμφορᾶς τὴν ἔφοδον; τοῦτο γὰρ ἡ παράκλησις ἐνθάδε δηλοῖ. Ἆρα γὰρ, φησὶν, ἀρκέσουσιν υἱοί σου πρὸς

[96] Luc. XXIII, 28. [97] Ibid. 29, 30.

τοῦτο; καίτοι καὶ αὐτοὺς ἔστιν ἰδεῖν ἐξηπορημένους, τουτ' ἔστιν, οὐδὲν ἔχοντας, ὃ βουλεύσονταί τε καὶ δράσουσιν εἰς παραψυχὴν ἑαυτοῖς, εἰς ὄνησιν τῶν ἰδίων ψυχῶν. Καθεύδουσι γὰρ ἐπ' ἄκρου πάσης ἐξόδου. Κατασκήψαντος γὰρ τοῦ πολέμου, τῆς Ἰουδαίων χώρας ἐξέδραμον οἱ δυνατοὶ, καὶ κατειλήφασι τὰς τῆς χώρας ἐσχατιὰς, ἵνα εἶεν ἕτοιμοι πρὸς φυγήν. Οἱ μὲν γὰρ ὡς πρὸς ὁμόρους τοὺς Αἰγυπτίους, οἱ δὲ καὶ ὡς γείτονα τῶν Μωαβιτῶν, ἤγουν τὰς ἑτέρας τῶν προσοίκων ἐθνῶν καταλαμβάνειν ἠπείγοντο χώρας. Ἦσαν δὲ ἐπ' ἄκρου πάσης ἐξόδου, τουτ' ἔστιν, ἐν ταῖς ἐσχατιαῖς τῆς γῆς, ὡς ἔφην· οὐκ ἐγρηγορότες, ἤγουν δρᾶσαί τι δυνάμενοι τῶν ὅσα ἐστὶν οὐκ ἀσυντελῆ τοῖς παθοῦσιν εἰς ὄνησιν, ἀλλ' οἷον μεμεθυσμένοι, καὶ καρηβαροῦντες, καὶ κείμενοι, παρειμένοι τε οὕτως τὰς φρένας, καὶ ἐκλελυμένοι τὸν νοῦν, ὡς B σευτλίον ἡμίεφθον. Καὶ ποία τούτων ἡ πρόφασις; Πεπλήρωνται γὰρ θυμοῦ Κυρίου, αἰτία τε τῆς ἐκλύσεως αὐτοῖς αὕτη γέγονε. Πεφύκαμεν γὰρ ἀεί πως, ὅτε καὶ ταῖς εἰς λῆξιν καὶ ἀπαρακλήτοις βαλλόμεθα συμφοραῖς, μονονουχὶ καὶ ἐξεστηκότα τὸν νοῦν ἔχειν ἐν ἑαυτοῖς, καὶ οὐδένα πόρον εὑρίσκειν τὸν διασώσοντα δυνάμενον, θεηλάτου μάλιστα καθ' ἡμῶν ὄντος τοῦ κακοῦ.

Διὰ τοῦτο ἄκουε, τεταπεινωμένη καὶ μεθύουσα οὐκ ἀπὸ οἴνου. Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ κρίνων τὸν λαὸν αὐτοῦ· Ἰδοὺ εἴληφα ἐκ χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ, καὶ οὐ προσθήσῃ πιεῖν αὐτὸ ἔτι, καὶ δώσω, καὶ ἐμβαλῶ αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων σε καὶ τῶν ταπεινωσάντων σε, οἳ εἶπαν τῇ ψυχῇ σου· Κύψον ἵνα παρέλθωμεν, καὶ ἔθηκας τῇ γῇ ἴσα τὰ μέσα σου, ἔξω τοῖς πορευομένοις. C

Κατοικτείροντος οἱ λόγοι, καὶ ἀνασειράζοντος μὲν τοὺς θυμοὺς, ἀνιέντος δὲ μᾶλλον εἰς εὐθυμίαν αὐτούς. Τεταπεινωμένην γὰρ ὀνομάζει καὶ μεθύουσαν. Ἱκαναὶ γὰρ, ὡς ἔφην, αἱ πέρα μέτρου συμφοραὶ, καὶ εἰς ἔσχατον κακοῦ κατενεγκεῖν τοὺς ἁλισκομένους, καὶ μεθύουσαι τοὺς πεπονθότας, πλὴν οὐκ ἀπ' οἴνου, καθά φησι. Τὸ γὰρ Κυρίου ποτήριον, οὐκ αἰσθητὸν νοεῖταί ποθεν, οὐδὲ τὸ ἐν αὐτῷ κρᾶμα τοιοῦτον, ὡς καὶ νοεῖσθαι κοινόν. Ἔθος δὲ μᾶλλον τῇ θεοπνεύστῳ Γραφῇ, ποτήριον ὀνομάζειν τὴν ἐκνεμηθεῖσαν ἑκάστῳ μοῖραν, ἢ ἀδίκῳ τυχὸν, ἢ καὶ ἀγαθῷ. Οἷον τί φημι. Ψάλλει, καί φησι περὶ τῶν ἀλιτηρίων ὁ θεσπέσιος Δαβίδ· « Πῦρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. » Κλῆρος οὗτος ἡὐτρέπισται παρὰ Θεοῦ τοῖς οὐκ εἰδόσιν αὐτὸν, καὶ ψῆφος D αὐτοὺς ἡ παγχάλεπος καταλήψεται. Πῦρ γὰρ ὥσπερ καὶ θεῖον ἐκπίνοντες, διηνεκῆ καὶ ἀνίκητον ὑπομένουσι δίκην. Ἁρμόσειε δ' ἂν δικαίῳ παντὶ τὸ χρῆναι λέγειν· « Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα τοῦ Κυρίου ἐπικαλέσομαι. » Τὸ γὰρ ὅλως εἰδέναι τε καὶ ἐπικαλεῖσθαι τὸν τῶν ὅλων Κύριον, γένοιτ' ἂν τοῖς τοῦτο δρᾷν εἰωθόσι σωτήριον κρᾶμα. Οὐκοῦν οὐκ ἀπὸ οἴνου φησὶ μεμεθύσθαι τὴν Ἱερουσαλὴμ ὁ τὰ δίκαια κρίνων Θεὸς, ἀλλ' ἐξ ἀνηκέστου συμφορᾶς, καὶ δυσπραγίας οὐ φορητῆς. Δίκαια δὲ

A ad utilitatem suarum animarum. Dormiunt enim in compitis omnium platearum. Nam ingruente bello, e regione Judæorum fugerunt potentes, et regionis extrema occuparunt, ut ad fugam parati essent. Alii enim ad finitimos Ægyptios se contulerunt; alii vicina loca Moabitarum, aliasque accolarum gentium regiones capere festinarunt. Erant autem in compitis omnium viarum, id est, in extremis terræ ejus partibus, ut dixi; nec erant vigilantes aut valentes aliquid præstare quod possit afflictis opem ferre, sed velut inebriati, et capite gravi, ac supini et jacentes, et ita remissi animis, ac mente soluti, ut beta semicocta. Et quæ horum causa? Impleti enim sunt furore Domini, et solutionis ac laxitatis hujus causa, hæc est. Solemus B enim semper, quando in summas et inconsolabiles calamitates dejicimur, mente tantum non excedere nec ullum invenire exitum possumus ad salutem, maxime si malum hoc nobis immissum sit divinitus.

VERS. 22, 23. *Propter hoc audi, humiliata et ebria non vino. Sic dicit Dominus Deus, judicans populum suum: Ecce tuli de manu tua poculum ruinæ, calicem furoris, nec perges ultra illum bibere, et dabo, et mittam eum in manus eorum qui injuste oppresserunt te, et humiliarunt te, qui dixerunt animæ tuæ: Inclinare, ut prætereamus, et æquasti solo media tua, foris transeuntibus.*

Commiserantis sunt hæc verba, et iram reprimentis, eosque ad animi tranquillitatem invitantis. Humiliatam enim nominat et ebriam. Immensæ enim, ut dixi, calamitates in extrema mala deducere facile poterant eos qui his impediti sunt, et afflictos inebriarunt, verum non vino, quemadmodum ait. Poculum enim Domini nequaquam intelligitur esse quod sensu percipitur, neque **721** ejusmodi in eo est mistio, ut promiscue et communiter intelligatur. Sed in more est Scripturæ divinitus inspiratæ, poculum nominare, distributam cuique portionem, seu injusto, seu bono. Exempli causa, psallit et ait de facinorosis divinus David: « Ignis, sulphur, et spiritus procellæ, pars calicis eorum [98]. » Sors D hæc præparata est a Domino his qui eum ignorant, et sententia infesta et adversa de illis feretur. Nam qui ignem et sulphur ebibunt, pœnam sustinent perpetuam et inevitabilem. Quadrabit autem justo cuivis, illud dicere: « Calicem salutaris accipiam, et nomen Domini invocabo [99]. » Nosse enim omnino et invocare universorum Dominum, futura est his istuc factitantibus, salutaris potio. Non igitur dicit, qui juste judicat Deus, vino ebriam factam esse Jerusalem, sed insanabili calamitate, et infelicitate intolerabili. Justa autem judicat, bonis quidem

[98] Psal. x, 8. [99] Psal. cxv, 13.

sortem convenientem tribuendo: eos vero qui tales non sunt, reprehendendo, ut se ipsis meliores redditi, ab his vitiorum generibus recedant, mentemque convertant eo, ut velint sapere et facere, quæ divinis ejus legibus videntur consentanea. Verum inquit: Ecce tuli poculum ruinæ quasi de manu tua: nec perges ultra illud bibere. Vocabitur siquidem, ut dixi, ad agnitionem Christi, et supernis bonis nobiscum circumfluet: eritque ipsa sacrorum donorum particeps, spiritualesque habebit divitias. Cujus testis est propheta dicens: « Propterea multis diebus sedebunt filii Israel, nec erit rex, neque princeps, neque sacrificium, neque altare, nec sacerdotium, neque declarationes: et deinceps revertentur filii Israel, et exquirent Dominum Deum suum, et Davidem regem suum. Et stupebunt in Domino et in bonis ejus, novissimis diebus [1]. » Davidem enim his verbis, ex semine Davidis natum secundum carnem Christum, prophetica appellat oratio. Cujus etiam rei evidens argumentum est, quod mortuo jam divino Davide, pluribus post ætatibus, facta sit hæc prophetia. Itaque hactenus quidem nondum vocatus est ad fidei gratiam, nondum amotum est iræ poculum. Sed ubi fide Christum coluerit, tunc omnino poculum ab eo auferetur, et aliis meis bonis ipsa affluet, **722** de quibus scriptum est: Obliviscentur afflictionis ipsorum primæ, nec ascendet in cor eorum: erit autem potius exsultatio, et lætitia æterna in capite eorum. Fugit enim dolor, et mœror, et gemitus. Verum quando auferetur ab ea poculum, dabitur in manus eorum qui inique oppresserunt. Quomodo autem oppresserunt? Cum non sinerent eam recto pede insistere, neque irreprehensibilem semitam intendere, qua licebat vitam Deo acceptam recte instituere, et evangelicæ conversationis splendore convestiri, simulque cum his qui in Christum crediderunt, ad supremam civitatem pervenire. Qui ergo hi intelligi debent qui oppresserunt injuste? Quod ad obvium et perspicuum sensum attinet, primum, qui præfuerunt synagogæ, hi maxime poculum furoris ebiberunt. Nam quo insigniori præ aliis tranquillitate potiebantur, eo molestiorem senserunt belli impetum · cum honore, gloria, opibus, deliciis et ipsa etiam vita deturbarentur. Sin aliud reconditum est dicendum, dicere autem, opinor, est necesse, dicimus injuriis oppressam Judæorum synagogam, non ab his solum qui præfectura functi sunt, sed et a sinistra diaboli malitia, qui non sinit eos divinam lucem animo accipere, quo vocantem ad salutem, justificantem impium, liberantem a pœna, et e mortis vinculis extrahentem, Christum inquam, intelligerent. Cujus testis est Paulus qui sic scripsit: « Quod si tectum est nostrum Evangelium in his qui pereunt tectum est, in quibus Deus hujus sæculi excæcavit mentes infidelium, ne luceat eis illuminatio Evangelii gloriæ Christi [2]. »

[1] Ose. III, 4, 5. [2] II Cor. IV, 3, 4.

κρίνει, τοῖς μὲν ἀγαθοῖς τὸν ἐοικότα κλῆρον ἐκνενεμηκώς, τοῖς γε μὴν οὐκ οὖσι τοιούτοις ἐπιτιμῶν, ἵν' ἑαυτῶν ἀμείνους ἀναδεδειγμένοι, τῶν μὲν τῆς φαυλότητος τρόπων ἀποφοιτήσειαν, μεταστήσειαν δ' ἂν τὸ φρόνημα πρός γε τὸ βούλεσθαι φρονεῖν τε καὶ δρᾷν τὰ τοῖς θείοις αὐτοῦ δοκοῦντα νόμοις. Πλὴν ἰδοὺ, φησὶν, εἴληφα τὸ ποτήριον τῆς πτώσεως ὡς ἐκ χειρός σου, καὶ οὐ προσθήσῃ ἔτι πιεῖν αὐτό. Κεκλήσεται γὰρ, ὡς ἔφην, εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ, καὶ ἐντρυφήσει μεθ' ἡμῶν τοῖς ἄνωθεν ἀγαθοῖς. Ἔσται δὲ καὶ αὕτη χαρισμάτων μέτοχος ἱερῶν, καὶ πλοῦτον ἕξει πνευματικόν. Καὶ τούτου μάρτυς ὁ προφήτης λέγων· « Διότι ἡμέρας πολλὰς καθίσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὔτε δήλων· καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ, ἐπ' ἐσχάτου τῶν ἡμερῶν. » Δαβὶδ γὰρ ἐν τούτοις τὸν ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα Χριστὸν ὁ προφητικὸς ὀνομάζει λόγος. Καὶ τούτου σαφὴς ἀπόδειξις, τεθνεῶτος καὶ ἤδη τοῦ θεσπεσίου Δαβὶδ πλείσταις ὅσαις ὕστερον γενεαῖς γενέσθαι τὴν προφητείαν. Οὐκοῦν ἕως μὲν οὔπω κέκληται πρὸς τὴν διὰ πίστεως χάριν, οὔπω τὸ ποτήριον ἀπέθετο τῆς ὀργῆς. Ἐπειδὰν δὲ τῇ πίστει τιμήσει Χριστὸν, τότε δὴ πάντως ληφθήσεται μὲν παρ' αὐτῆς τὸ ποτήριον, ἐντρυφήσει δὲ καὶ αὐτὴ τοῖς ἄλλοις ἀγαθοῖς ὁμοῦ, περὶ ὧν γέγραπται, ὅτι Ἐπιλήσονται τὴν θλίψιν αὐτῶν τὴν πρώτην, καὶ οὐ μὴ ἀναβῇ αὐτῶν ἐπὶ τὴν καρδίαν· ἔσται δὲ μᾶλλον ἀγαλλίαμα καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Ἀπέδρα γὰρ ὀδύνη, λύπη, καὶ στεναγμός. Πλὴν ὅταν ληφθῇ τὸ ποτήριον ἀπ' αὐτῆς, δοθήσεται τῷ τῶν ἀδικησάντων αὐτὴν ἐσμῷ. Ἠδίκησαν δὲ κατὰ τίνα τρόπον; Ὀρθοποδῆσαι μὴ συγχωρήσαντες, μήτε μὴν ἀμώμητον ἐλάσαι τρίβον, δι' ἧς δύνασθαι τὴν εὐάρεστον τῷ Θεῷ κατορθοῦντας ζωὴν, καὶ τῆς εὐαγγελικῆς πολιτείας τὴν φαιδρότητα κατημφιεσμένους, ὁμοῦ τοῖς πιστεύσασιν εἰς Χριστὸν εἰς τὴν ἄνω καταντῆσαι πόλιν. Τίνες οὖν ἄρα νοηθεῖεν οἱ ἀδικήσαντες αὐτήν; Ὅσον μὲν γὰρ ἧκεν εἰς τὸ πρόχειρόν τε καὶ ἐμφανὲς εἰπεῖν, πρῶτον μὲν οἱ καθηγεῖσθαι λαχόντες τῆς Συναγωγῆς, οἳ δὴ μάλιστα τὸ ποτήριον ἐκπεπώκασι τοῦ θυμοῦ. Ὅσῳ γὰρ διαπρεπεστέραν εἶχον παρὰ τοὺς ἄλλους τὴν εὐθυμίαν, τοσούτῳ φορτικωτέραν ἐσχήκασι τοῦ πολέμου τὴν ἔφοδον, τιμῆς καὶ δόξης, πλούτου καὶ τρυφῆς, καὶ αὐτοῦ δὴ τοῦ ζῆν ἐξωθούμενοι. Εἰ δὲ χρή τι καὶ τῶν κεκρυμμένων εἰπεῖν (ἀναγκαῖον δὲ οἶμαι καὶ τοῦτο), φαμὲν ἠδικῆσθαι τὴν τῶν Ἰουδαίων Συναγωγὴν, οὐκ ἀπό γε τῶν καθηγεῖσθαι λαχόντων μόνον, ἀλλὰ γὰρ καὶ ἀπὸ σκαιότητος διαβολικῆς, οὐκ ἐώσης αὐτοὺς τὸ θεῖον εἰς νοῦν εἰσδέξασθαι φῶς, ἵνα δὴ συνεῖεν τὸν καλοῦντα πρὸς σωτηρίαν, τὸν δικαιοῦντα τὸν ἀσεβῆ, καὶ ἀπαλλάττοντα δίκης, καὶ τῶν τοῦ θανάτου δεσμῶν ἐξέλκοντα, φημὶ δὴ Χριστόν. Καὶ τούτου μάρτυς

ὁ Παῦλος, ὡδί γεγραφώς· « Εἰ δὲ καὶ ἔστι κεκαλυμ- A μένον τὸ Εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης Χριστοῦ. » Ναὶ μὴν καὶ αὐτὸς ὁ Υἱὸς ταῖς Ἰουδαίων ἀγέλαις ἔφη τι συμβῆναι τοιοῦτον, καὶ διήλεγξεν ἐναργῶς, ὡς ἐκ πνεύματος ἀκαθάρτου σκληροὶ γεγόνασι καὶ ἀπειθεῖς, καὶ εἰς πᾶν ὁτιοῦν ἀπεφέροντο τῶν κακῶν. Ἔφη γάρ, ὅτι « Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, πορεύεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν· καὶ ὅταν μὴ εὕρῃ, ὑποστρέφει, φησὶ, λέγον· Ὑποστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον· τότε παραλαμβάνει ἕτερα ἑπτὰ πονηρὰ πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν προτέρων. B Οὕτως ἔσται τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ. » Λελατρεύκασι μὲν γὰρ ἐν Αἰγύπτῳ τοῖς αὐτόθι θεοῖς, καὶ ἦν ἐν αὐτοῖς τὸ ἀκάθαρτον πνεῦμα. Ἐπειδὴ δὲ λελύτρωνται διὰ Μωσέως, καὶ τῶν πρακτέων τὸν ὁριστὴν ἐδέχοντο νόμον (ἤκουον λέγοντος ἐναργῶς· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις »), ἀπελήλαται τῆς καρδίας αὐτῶν καὶ τὸ ἀκάθαρτον πνεῦμα. Ἐπειδὴ δὲ οὐκ ἐσχήκασιν ἐν ἑαυτοῖς τὸν τοῦ Θεοῦ φόβον, οὔτε μὴν ἔνοικον ἐδέξαντο διὰ πίστεως τὸν Ἰησοῦν (« Κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ πίστεως, » καθὰ γέγραπται)· σχολάζοντα τὸν τόπον τὸ ἀρχαῖον ἐκεῖνο καὶ ἀκάθαρτον πνεῦμα τεθεαμένον, εἰσελήλατο πάλιν, καὶ κατῴκησεν ἐν αὐτοῖς, καὶ γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. C Ὅτι δὲ καὶ τὸν προδότην ἐν μαθηταῖς τοιοῦτον γενέσθαι παρεσκεύασεν ὁ τῆς ἀσεβείας εὑρετής, οὐκ ἀσυμφανές. Γέγραπται γάρ, ὅτι μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς. Οὐκοῦν τετιμώρηται μὲν ἡ τῶν Ἰουδαίων Συναγωγή, κατασκοτίζοντος αὐτὴν τοῦ Σατανᾶ, καὶ οὐκ ἐῶντος ἰδεῖν τοῖς τῆς διανοίας ὄμμασι τὸ τοῦ κόσμου φῶς, τοῦτ' ἔστι Χριστόν. Ἐπειδὴ δὲ κέκληνται πρὸς ἐπιστροφήν, δέδοται δὲ τὸ ποτήριον τοῦ θυμοῦ καὶ τὸ κόνδυ τῆς πτώσεως εἰς χεῖρας τῶν ἀδικησάντων αὐτήν· τετιμώρηνται αἱ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις, καθιέντος αὐτὰς εἰς ᾅδην τοῦ πάντων Σωτῆρος Χριστοῦ, καὶ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν μεγάλης ἡμέρας κολασομένους τηρεῖν. D Αὗται γὰρ ἦσαν αἱ λέγουσαι· Ἱερουσαλήμ, κύψον ἵνα παρέλθωμεν. Ἡ δὲ ὑπετίθει τὰ μέσα τῇ γῇ τοῖς δι' αὐτῆς πορευομένοις, τοῦτ' ἔστιν, ἑαυτὴν ὑπέστρωσε καὶ ὑπετίθει τοῖς ἐθέλουσι καταπατεῖν. Τοῦτο δὲ δρῶσιν αἱ πονηραὶ δυνάμεις, ὅταν ἴδωσι ψυχὴν παρειμένην, καὶ τὸν ἴδιον παραῤῥίπτουσαν νοῦν, εἰς τὸ ὑποκεῖσθαι θέλειν εὐκόλως ταῖς ἑαυτῶν ἀνοσίαις καὶ θεομισέσι βουλαῖς.

A Certe ipse etiam Filius tale quiddam dixit Judæorum gregibus accidisse, et eos aperte redarguit, ut qui ex impuro spiritu, duri essent et refractarii, et in omnia mala abducerentur. Ait enim : « Cum immundus spiritus exit ab homine, peragrat siticulosa loca, quærens requiem : quam ubi non invenit, revertitur, inquit, dicens : Revertar in domum meam unde exii : tum assumit alios septem malos spiritus deteriores se, et ingressi ibi habitant, fiuntque novissima hominis illius pejora prioribus. Sic erit progeniei huic malæ [a]. » **723** Coluerunt enim deos qui ibi erant, ineratque illis immundus spiritus. Per Moysen autem redempti, et lege quæ est rerum agendarum definitrix, accepta, audierunt eum diserte dicentem : « Dominum Deum B tuum adorabis, et eum solum coles [b] : » ejectusque est corde eorum immundus spiritus. Sed cum non haberent Dei timorem in se ipsis, nec Jesum per fidem in se reciperent : « Habitat enim in cordibus nostris per fidem [c], » sicuti scriptum est, locum illum vacare antiquus ille et impurus spiritus conspicatus, irrupit denuo, et in illos immigravit, factaque sunt illorum novissima deteriora prioribus. Nam proditorem illum inter discipulos, talem ab hoc impietatis inventore effectum esse, non est obscurum. Scriptum namque est post offam ingressum esse in eum Satanam. Punita est igitur Judæorum synagoga, obtenebrante illam Satana, nec permittente eam animi oculis, mundi lucem, id est, Christum, intueri. Cæterum cum ad conversionem C vocati sunt, datum est poculum furoris, et calix ruinæ in manus eorum qui eam injuria oppresserant. Punitæ sunt enim malæ et adversariæ potestates, dejiciente eas in Orcum omnium Servatore Christo qui eas catenis tenebrosis in Tartarum conjectas, tradidit in judicium magni diei custodiendas et cruciandas. Istæ enim dicunt Jerusalem : Inclinare, ut transeamus. Hæc autem subjecit media terræ illis hac gradientibus, id est, seipsam substravit ac subjecit conculcare volentibus. Hoc autem faciunt malæ potestates tum, cum viderint animam remissam, quæ mentem suam ita abjicit, ut facile velit impiis earum ac Deo infestis consiliis D parere atque subjacere.

[a] Matth. XII, 43-45. [b] Deut. VI, 13. [c] Ephes. III, 17.

ΒΙΒΛΙΟΝ Ε', ΤΟΜΟΙ ΕΞ.

—

LIBER QUINTUS, TOMI SEX.

—

724 TOMUS I.

CAP. LII. VERS. 1. *Excitare, excitare, Sion ; induere fortitudine tua, Sion, et induere gloria tua, Jerusalem, civitas sancta : non ultra perget transire per te incircumcisus et immundus.*

Sion et Jerusalem cum audis in hisce verbis, ne putes civitates ex lapidibus exstructas simpliciter denotari. Significat potius hæc prophetica oratio, eorum qui per fidem acquisiti sunt aggregationem et Ecclesiam, ex Judæorum contubernio et gentium. Excitare quippe cum dicit, idque semel atque iterum, largissimam illis impartit consolationem. Siculi enim sapientissimus Paulus ait : « Ubi abundavit peccatum, eo magis excelluit gratia [6] : » sic ubi ingens pœnæ acerbitas, illic calamitatibus par 725 consolatio, imo longe ipsis rebus tristibus uberior. Induere jubet eam fortitudinem suam, et ad hæc gloriam. Fortitudo intelligi potest actuosa quædam efficientia seu efficacitas, non inepte, qua animus cujusque juvenili impetu fertur ad ea quæ agenda sunt. Gloria vero, quis alius esse potest, præterquam ille gloriæ Dominus, qui est Christus ? quem divinus cantor alicubi alloquitur : « Exsurge, gloria mea [7]. » Rursus alibi, de omni in illum credente : « Laus virtutis eorum tu es [8]. » Quemadmodum autem gloriam et fortitudinem hanc induamus, declaravit nobis sapientissimus Paulus. Iterum enim dixit : « Induite Dominum nostrum Jesum Christum, et carnis rationem ne habeatis ad cupiditatem [9]. » Præterea etiam : « Quicunque enim in Christum baptizati estis, Christum induistis [10]. » Quin et propheta Isaias, velut mulierem variis modis exornatam, Ecclesiæ personam introduxit, « Exsultet, inquiens, anima mea in Domino. Induit enim me vestimento salutis, et tunica lætitiæ. » Indumentum ergo est Christus, omnibus sanctis accommodatissimum : et tunica lætitiæ quæ intelligentia percipitur, quæ fortitudinem nobis conciliat et gloriam. Sanctam civitatem nominat, Ecclesiam. Sanctificata est, non cultu legali ; perficit enim lex neminem ; sed conformis facta Christo, et divinæ ejus naturæ particeps, communicatione scilicet sancti Spiritus : in quo et in diem redemptionis obsignati sumus, omnibus abluti et exuti sordibus, omni labe vacui. Justificati etenim sumus per fidem in ipsum, et securitate quadam in omnibus ab ipso ditati sumus,

A

ΤΟΜΟΣ Α'.

Ἐξεγείρου, ἐξεγείρου, Σιών· ἔνδυσαι τὴν ἰσχύν σου, Σιών, καὶ ἔνδυσαι τὴν δόξαν σου, Ἱερουσαλὴμ, πόλις ἡ ἁγία· οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος καὶ ἀκάθαρτος.

Σιών τε καὶ Ἱερουσαλὴμ ἀκούων ἐν τούτοις, μὴ πόλεις ἁπλῶς τὰς ἐκ λίθων ἐγηγερμένας καταδηλοῦσθαι νομίσῃς. Σημαίνει δὲ μᾶλλον τῆς προφητείας ὁ λόγος τῶν κεκλημένων διὰ τῆς πίστεως τὴν ὁμήγυριν, ἤγουν Ἐκκλησίαν ἔκ τε τῶν Ἰουδαϊκῶν ταγμάτων καὶ ἐξ ἐθνῶν. Τό γε μὴν, Ἐξεγείρου, λέγων, καὶ μάλα συχνῶς, δαψιλεστάτην αὐτοῖς χαρίζεται τὴν παράκλησιν. Ὥσπερ, γὰρ καθά φησιν ὁ πάνσοφος Παῦλος, « Οὗ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις· » οὕτως, ἔνθα πολὺ τὸ πικρὸν τῆς δίκης, ἐκεῖ
B ἰσοπαλὴς ταῖς συμφοραῖς παράκλησις, μᾶλλον δὲ πολὺ λίαν τῶν ἀμυδρῶν ἀμφιλαφεστέρα. Ἐνδύσασθαι δὲ προστέταχε τὴν ἰσχὺν αὐτῆς, καὶ πρός γε τούτῳ τὴν δόξαν. Καὶ ἰσχὺς μὲν ἡ κατ' ἐνέργειαν πρακτικὴ νοοῖτ' ἂν εἰκότως, καθ' ἣν ἡ ἑκάστου ψυχὴ πρὸς τόδε τι τυχὸν τῶν πρακτέων ἵεται σὺν φρονήματι νεανικῷ. Δόξα δὲ τίς ἂν ἕτερος εἴη παρὰ τὸν τῆς δόξης Κύριον, ὅς ἐστι Χριστός ; πρὸς ὃν πού φησι καὶ ὁ θεσπέσιος μελῳδὸς, ποτὲ μὲν, ὅτι « Ἐξεγέρθητι, ἡ δόξα μου· » ποτὲ δὲ πάλιν περὶ παντὸς τοῦ πιστεύοντος εἰς αὐτὸν, ὅτι « Τὸ καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. » Ἐνδυσώμεθα δὲ τίνα τρόπον τήν τε δόξαν, καὶ τὴν ἰσχὺν αὐτὴν, διεσάφησεν ἡμῖν ὁ πάνσοφος Παῦλος. Ἔφη δὲ πάλιν· « Ἐνδύσασθε τὸν Κύριον
C ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν. » Καὶ προσέτι τούτῳ· « Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. » Ναὶ μὴν καὶ ὁ προφήτης Ἡσαΐας ὡς ἐν τάξει γυναικὸς πολυτρόπως ὡραϊσμένης τὸ τῆς Ἐκκλησίας πρόσωπον εἰσκεκόμικε λέγων· « Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. Ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης. » Ἄμφιον οὖν ἄρα Χριστὸς ἁγίῳ παντὶ πρεπωδέστατον· καὶ χιτὼν εὐφροσύνης τῆς νοητῆς, πρόξενος ἡμῖν ἰσχύος καὶ δόξης. Ἁγίαν δὲ πόλιν ὀνομάζει τὴν Ἐκκλησίαν. Ἡγιάσθη τε γὰρ οὐ διά γε τῆς κατὰ νόμον λατρείας (τετελείωκε γὰρ ὁ νόμος οὐδένα), ἀλλὰ σύμμορφος γενομένη Χριστῷ, καὶ τῆς θείας αὐτοῦ φύσεως κοινωνὸς, κατὰ μέθεξιν δηλονότι τοῦ ἁγίου Πνεύματος, ἐν ᾧ καὶ
D ἐσφραγίσθημεν εἰς ἡμέραν ἀπολυτρώσεως, πάντα ῥύπον ἀπονιψάμενοι, καὶ ἁπάσης κηλῖδος ἀπηλλαγμένοι.

[6] Rom. v, 20. [7] Psal. LVI, 9. [8] Psal. XXIII, 10. [9] Rom. XIII, 14. [10] Rom. VI, 4.

Δεδικαιώμεθα γὰρ διὰ πίστεως τῆς εἰς αὐτὸν, καὶ τὴν παρ' αὐτοῦ πρὸς πᾶν ὁτιοῦν ἀσφάλειαν πεπλουτήκαμεν, καὶ οἷον τετειχίσμεθα τῇ παρ' αὐτοῦ χάριτι, πᾶσαν ἡμῶν ἀποσοβοῦντος ἔφοδον διαβολικὴν, καὶ τὰς τῶν ἀντικειμένων δυνάμεων ἀγρίας ἐπαναστάσεις. Καὶ τοῦτο διδάσκει λέγων ὡς πρός γε τὴν Σιὼν, ἤγουν τὴν Ἱερουσαλὴμ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος· Οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος καὶ ἀκάθαρτος. Ἱστορικῶς μὲν γὰρ τοιῶσδε συνήσεις τὸ εἰρημένον· Τὰ περίοικα τῆς Ἱερουσαλὴμ ἔθνη, ἀπερίτμητα καὶ ἀκάθαρτα νοηθεῖεν ἂν, οὔτε Θεὸν εἰδότα τὸν φύσει καὶ ἀληθῶς, οὔτε μὴν τὴν διά γε τοῦ νόμου λαχόντα παιδαγωγίαν· ἐμάχοντο δὲ καὶ μάλα συχνῶς πρὸς τοὺς ἐξ αἵματος Ἰσραὴλ, ὥστε καὶ ἀμείνους ὁρᾶσθαι πλεισταχοῦ τῆς ἐνούσης δυνάμεως αὐτοῖς, μονονουχὶ δὲ καὶ παρῄεσαν δι' αὐτῆς, ὡς ἐῤῥιμμένην ὑπὸ πόδας ἔχοντες αὐτήν. Ἀπὸ δὲ τῶν ἱστορικῶς συμβαινόντων ἔσθ' ὅτε, φέρε, διαπλάττωμεν τὰ πνευματικά. Τὰ τῶν δαιμονίων στίφη, τοῦτ' ἔστιν οἱ κοσμοκράτορες τοῦ σκότους τούτου, καὶ σὺν αὐτοῖς ὁ βέβηλος Σατανᾶς, τὰς οὔπω γεγενημένας ὑπὸ Θεῷ ψυχὰς ὑπὸ πόδας ἔχουσι, καὶ οἷον διέρχονται δι' αὐτῶν, ἐγκόπτοντος οὐδενὸς, ἤγουν ἐπαμύνοντος· ἐπειδὰν δὲ Θεῷ προσῳκειωμέναι δόξαν καὶ ἰσχὺν ἔχωσιν αὐτὸν, τότε δὴ, τότε πεπαύσεται τὰ τῆς ἐκείνων πλεονεξίας. Γέγραπται γὰρ, ὅτι «Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.» Ἀπερίτμητοι οὖν καὶ ἀκάθαρτοι νοηθεῖεν ἂν αἱ βδελυραὶ, καὶ βέβηλοι, καὶ ῥύπου παντὸς ἐμποιητικαὶ, καὶ πονηραὶ, καὶ ἀντικείμεναι δυνάμεις.

Ἐκτίναξαι τὸν χοῦν, καὶ ἀνάστηθι, καὶ κάθισον, Ἱερουσαλήμ. Ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου, ἡ αἰχμάλωτος θυγάτηρ Σιών.

Καυχημάτων ἁγιοπρεπῶν ἀποφαίνει λοιπὸν ἐπιστήμονα· καὶ τίνα τρόπον ἐνδύσεται τὴν ἰσχὺν τοῦ βραχίονος αὐτῆς, καὶ πρός γε τούτῳ τὴν δόξαν, διδάσκει σαφῶς. Πρῶτον μὲν ἀποτινάξασθαι κελεύει τὸν χοῦν, ἀναστῆναί τε οὕτω, καθίσαι τε, καὶ ἐκδύσασθαι τὸν δεσμὸν τοῦ τραχήλου· καὶ χοῦν ἐν τούτοις, καθάπερ ἐγῷμαι, νοεῖσθαι προσήκει τὸ γεῶδες φρόνημα, καὶ τῶν σαρκικῶν ἐπιθυμιῶν τὴν ἀκαθαρσίαν. Ὥσπερ γὰρ τοῖς χαμαὶ κειμένοις πᾶσά πως ἀνάγκη χοῦ καὶ κόνεως ἀναπίμπλασθαι, κατὰ τὸν ἴσον οἶμαι τουτονὶ τρόπον, καὶ τοῖς τὸν νοῦν ἔχουσι χαμαιῤῥιφῆ καὶ γεῶδες τὸ φρόνημα, οἱ τῆς σαρκικῆς ἀκαθαρσίας ἐνιζάνουσι λογισμοί. Χρὴ τοιγαροῦν ἡμᾶς κεκλημένους εἰς οἰκειότητα τὴν πνευματικὴν, τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, καὶ αὐτὸν ἐνδύσασθαι μέλλοντας ὡς ἰσχὺν καὶ δόξαν, προαποτινάξασθαι τὸ χοϊκὸν καὶ γεῶδες φρόνημα, καὶ προκαθῆραι τὸν νοῦν, καὶ, καθά φησιν ὁ πάνσοφος Παῦλος, ἐκδύσασθαι τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καὶ ἐνδύσασθαι τὸν νέον τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Τοῦτο δράσαντες ἀνιστάμεθα, τοῦτ' ἔστιν, ὀρθῷ καὶ βεβηκότι κεχρήμεθα νῷ, καὶ

A et quasi muro quopiam gratia ipsius muniti; qui omnem diabolicum insultum a nobis profligat, et sævas incursiones potestatum resistentium. Idque docet, cum ait quasi ad Sion seu Jerusalem, quæ est Ecclesia Dei viventis: Non perget ultra transire per te incircumcisus et impurus. Historice quidem hoc modo quod dictum est intelliges. Gentes illæ finitimæ Jerusalem, incircumcisæ illæ et impuræ intelligi possunt, quæ nec illum natura et vere Deum cognorunt, nec legis pædagogiam assecutæ sunt; quin etiam sæpissime adversus sanguine Israelitico oriundos dimicarunt, ita ut frequenter etiam illorum **726** viribus superiores viderentur, et tantum non illac transitum facerent, perinde ac si eam pedibus suis haberent subjectam. Sed agedum,
B ex his quæ sæpe contingunt historice, spiritualia formemus. Dæmoniorum cohortes, id est, mundi potentes rectores tenebrarum sæculi hujus, et cum illis profanus Satanas, animas Deo nondum subditas, pedibus suis habent subjectas, et veluti eas pertranseunt ac pervadunt, nullo prohibente, vel subveniente: sed cum Deo conjuncti ac sociati, cum gloriam ac fortitudinem suam habuerint, tunc, tunc eorum tyrannis cessabit. Scriptum est enim: « Castra ponet angelus Domini in circuitu timentium se, et eos eripiet [11]. » Incircumcisi ergo et impuri intelligi poterunt, execrandæ, ac profanæ, omnisque sordis efficientes, ac nequam atque adversariæ potestates.

C

VERS. 2. *Excute pulverem et surge, et sede, Jerusalem, solve vinculum colli tui, captiva filia Sion.*

Quæ laudes sanctis dignæ sint, deinceps demonstrat: et quemadmodum fortitudinem brachii gloriamque induat, clare docet. Primum enim jubet pulverem excutere, et ita resurgere, ac sedere, et vinculum colli solvere. Pulverem hic, quomodo ego quidem arbitror, intelligere convenit, terrenum affectum, et carnalium cupiditatum impuritatem. Quemadmodum enim humi jacentes omnino necesse est, oppleri etiam pulvere, eodem, opinor, modo mentem humi repentem et terrenum affectum ha-
D bentibus, carnalis impuritatis cogitationes insident et inhærent. Oportet ergo nos, qui ad spiritualem conjunctionem cum Domino nostro Jesu Christo vocati sumus, et qui ipsum tanquam fortitudinem et gloriam induere volumus, pulverulentum et terrenum affectum prius excutere, et mentem præpurgare, ac sicuti sapientissimus Paulus ait: Veterem hominem corruptum erroris cupiditatibus exuere, atque novum ad imaginem ejus qui illum condidit renovatum induere [12]. Quod ubi fecerimus, resurgimus, hoc est, recta et stabili mente præditi sumus, ac corde firmo, secundum illud quod alibi dictum est a Deo per unum e prophetis: « Statue

[11] Psal. XXXIII, 8. [12] Ephes. IV, 22, 23

teipsam, Sion.» Et divinus David psallit: «Statuit super petram pedes meos, et direxit **727** gressus meos [13].» Scriptum est enim in libro Psalmorum: «Deus sedit in solio suo [14],» id est, fixum et stabilitum habet perpetuo regnum suum. Nec enim quidquam in Deo cogitandum est corporeum. Sequetur autem, ubi sederit quis, id est, constantem et stabilem retinuerit sententiam, ut etiam colli solvat vinculum. Catenis enim suorum peccatorum quisque constringitur: ac peccati et ipsius Satanæ jugo subdimur. Cæterum in Christo ab his liberamur, et diruptis vinculis eorum, et projecto a nobis ipsis jugo eorum, quemadmodum scriptum est, libera et soluta mente, quod bonum est perficimus. Sic dicit etiam nobis per unum e prophetis, universorum Deus: «Et egrediemini, et salietis tanquam vituli e vinculis relaxati, et conculcabitis iniquos: propterea erunt quasi cinis sub pedibus vestris [15].» Cum autem infert: Captiva filia Sion, primum quidem innuit Deum misereri eorum qui sub jugum diaboli ceciderunt, ac peccato serviunt. Deinde ad hæc, ostendit nos in id cadere, etiam cum liceat illud non pati. Nam cum captivam nominavit Sion, etiam filiam eam vocat. At qui fieri poterat, ut filia Dei, et gloria tam illustri decorata, captivitatis teneretur laqueis? Ergo quis eam huc præcipitavit? Non infirmitas servantis, sed voluntas et propositum patientis, quæ paternorum viscerum misericordia orbata est, quod malum elegerit, et suffragando pejori, bonum respuerit.

A ἐρηρεισμένῃ καρδίᾳ, κατά γε τὸ ἑτέρωθί που δι' ἑνὸς τῶν προφητῶν εἰρημένον παρὰ Θεοῦ· «Στῆσον σεαυτήν, Σιών.» Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβίδ, ὅτι «Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.» Γέγραπται δὲ καὶ ἐν βίβλῳ Ψαλμῶν· «Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ,» τοῦτ' ἔστι, τὸ ἀραρός τε καὶ ἱδρυμένον τῆς ἑαυτοῦ βασιλείας ἔχει διηνεκῶς. Σωματικὸν γὰρ οὐδὲν ἐπὶ Θεοῦ νοεῖσθαι πρέπει. Ἕψεται δὲ τῷ καθίσαι, τοῦτ' ἔστι, τῷ βέβαιόν τε καὶ ἱδρυμένον ἐσχηκέναι τὸ φρόνημα, καὶ τὸ ἐκδύσασθαι τὸν δεσμὸν τοῦ τραχήλου. Σειραῖς μὲν γὰρ τῶν ἰδίων ἁμαρτιῶν ἕκαστος σφίγγεται, ὑπενηνέγμεθα δὲ καὶ ὑπὸ ζυγὰ τῆς ἁμαρτίας, καὶ αὐτοῦ δὲ τοῦ Σατανᾶ. Ἀλλ' ἐν Χριστῷ καὶ τούτων ἐλευθερούμεθα· καὶ B διαῤῥήξαντες τοὺς δεσμοὺς αὐτῶν, καθὰ γέγραπται, καὶ ἀποῤῥίψαντες ἀφ' ἑαυτῶν τὸν ζυγὸν αὐτῶν, ἐλευθέρῳ τε καὶ ἀνειμένῳ φρονήματι κατορθοῦμεν τὸ ἀγαθόν. Οὕτω πού φησι πρὸς ἡμᾶς δι' ἑνὸς τῶν προφητῶν ὁ τῶν ὅλων Θεός· «Καὶ ἐξελεύσεσθε, καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα, καὶ καταπατήσετε ἀνόμους· διότι ἔσονται ὡς σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν.» Ἐπιφέρων δὲ τούτοις, Ἡ αἰχμάλωτος θυγάτηρ Σιών, πρῶτον μὲν ἐφίησιν ἐννοεῖν, ὅτι κατοικτείρει Θεὸς τοὺς ὑπὸ ζυγὰ πεσόντας διαβολικά, καὶ τῇ ἁμαρτίᾳ δουλεύσαντας. Εἶτα πρὸς τούτῳ διαδείκνυσιν, ὅτι πίπτομεν εἰς τοῦτο, καίτοι μετὸν μὴ παθεῖν αὐτό. Αἰχμάλωτον γὰρ ὀνομάσας τὴν Σιών, καὶ θυγατέρα φησὶν αὐτήν. Εἶτα πῶς ἦν ἐφικτὸν τοῖς τῆς αἰχμαλωσίας ἁλῶναι βρόχοις τὴν τοῦ Θεοῦ θυγατέρα, καὶ δόξης τῆς οὕτω λαμπρᾶς ἠξιωμένην; Τίς οὖν ἄρα πρὸς τοῦτο καθῆκεν αὐτήν; Οὐχ ἡ τοῦ [σῴ]ζοντος ἀσθένειά ποθεν, ἀλλ' ἡ τῆς παθούσης βουλὴ καὶ προαίρεσις, ἔξω δραμούσης τῆς τοῦ Πατρὸς εὐσπλαγχνίας, διὰ τοῦ μᾶλλον ἑλέσθαι τὸ πονηρόν, καὶ ψήφῳ τῇ πρὸς τὸ χεῖρον καταλῦσαι τὸ ἀγαθόν.

VERS. 3. *Quia hæc dicit Dominus: Gratis venditi estis, et non argento redimemini.*

Cum eam dixerit captivam, necesse habuit ea, quæ semper contingunt his qui eo miseriæ prolapsi sunt, inducere. Abripiuntur enim in servitutem, nemine pro illis deponente pretium, sed quasi certaminis præmia, et belli ac barbaricæ incursionis fructus. Vi enim et necessitate, ad servitutem non voluntariam vocantur. Sic fore dicit universorum Deus, etiam redemptionem ejus. Nam rapuit Satanas terrestre genus, et quasi captivum habens orbem terrarum intolerabiliter vi oppressit, et sævitiæ suæ jugo alligavit. Sed homo factus est unigenitus Dei Sermo, qui **728** pro nobis vicit, et ingressus domum fortis, et eo ligato, vasa diripuit, et omnes terræ incolas transtulit [15*]. Itaque, ut rapti sumus, ita etiam redempti sumus. Nec enim a volente abstraxit nos Christus, sed ejus potius vires fregit, et tanquam Deus phalangem dæmoniorum profligavit. Non ergo argento venundati sumus, neque sic redempti sumus; at omnium nostrum Servatoris Christi viribus. Pastor enim bonus animam posuit pro ovibus suis et nos proprio servavit sanguine.

C *Ὅτι τάδε λέγει Κύριος· Δωρεὰν ἐπράθητε, καὶ οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε.*

Αἰχμάλωτον αὐτὴν ὀνομάσας, ἀναγκαίως ἐπάγει καὶ τὰ τοῖς εἰς τοῦτο πεσοῦσι ταλαιπωρίας ἀεὶ συμβαίνοντα. Ἀποφέρονται γὰρ εἰς δουλείαν, οὐδενὸς ὑπὲρ αὐτῶν καταθεμένου τιμήν, ἀλλ' ὡς ἆθλα, καὶ πολέμου καὶ βαρβαρικῆς ἐφόδου καρποί· βίᾳ γὰρ καὶ ἀνάγκῃ πρὸς ἀβούλητον καλοῦνται θητείαν. Οὕτως ἔσεσθαί φησιν ὁ τῶν ὅλων Θεὸς καὶ τὴν λύτρωσιν αὐτῆς. Ἥρπασε γὰρ ὁ Σατανᾶς τὸ ἐπὶ τῆς γῆς γένος, καὶ οἷον αἰχμάλωτον ἔχων τὴν ὑπ' οὐρανὸν ἀφορήτως κατεβιάζετο, τοῖς τῆς ἑαυτοῦ σκαιότητος ἐγκαταδήσας ζυγοῖς. Ἀλλὰ γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ὃς νενίκηκεν ὑπὲρ ἡμῶν· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ καταδήσας αὐτόν, D διήρπασε τὰ σκεύη, καὶ μετέθηκεν εἰς ἑαυτὸν ἅπαντας τοὺς ἐπὶ τῆς γῆς. Οὐκοῦν ὡς ἡρπάσθημεν, οὕτω καὶ λελυτρώμεθα. Οὐ γὰρ παρ' ἑκόντος ἡμᾶς ἐξείλετο Χριστός, συντρίψας δὲ μᾶλλον αὐτοῦ τὴν ἰσχύν, καὶ ἀποσοβήσας ὡς Θεὸς τῶν δαιμονίων τὴν φάλαγγα. Οὔτε τοίνυν ἀργυρίῳ πεπράμεθα, οὔτε τὸν ἴσον λελυτρώμεθα τρόπον· ἰσχύϊ δὲ μᾶλλον τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ. Ποιμὴν γὰρ ὑπάρχων ἀγαθός, τέ-

[13] Psal. xxxix, 3. [14] Psal. xlvi, 9. [15] Mal. iv, 2, 3. [15*] Luc. xi, 21, 22.

A θεικε τὴν ψυχὴν ὑπὲρ τῶν ἑαυτοῦ προβάτων, καὶ σέσωκεν ἡμᾶς αἵματι τῷ ἰδίῳ· τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν· καὶ αὐτὸς μὲν ἐμαλακίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν· ἠλευθερώμεθα δὲ ἡμεῖς, καὶ τὸν τῆς ἁμαρτίας ζυγὸν καὶ τὴν τοῦ διαβόλου πλεονεξίαν ἀποσεισάμενοι.

Οὕτω λέγει Κύριος· Εἰς Αἴγυπτον κατέβη ὁ λαός μου τὸ πρότερον παροικῆσαι ἐκεῖ, καὶ εἰς Ἀσσυρίους βίᾳ ἤχθησαν. Καὶ νῦν τί ὧδέ ἐστε; Τάδε λέγει Κύριος· Ὅτι ἐλήφθη ὁ λαός μου δωρεὰν, θαυμάζετε καὶ ὀλολύζετε. Τάδε λέγει Κύριος· Δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν.

Αἰχμάλωτον ὀνομάσας τὴν Σιὼν, εἰδέναι βούλεται τὴν αἰτίαν, ἐφ' ᾗ συμβέβηκεν αὐτῇ τὸ εἰς τοῦτο πεσεῖν δυσκλείας τε καὶ ἀθλιότητος. B Ἀνακομίζει γὰρ ἔσθ' ὅτε πρὸς τὰ ἀμείνω τοὺς ἀδόκητόν τι παθόντας, τὸ μὴ ἐν ἀγνοίᾳ κεῖσθαι τῶν ἡμαρτημένων. Διὰ τοῦτο χρησίμως εἰς ἀνάμνησιν αὐτοὺς ἀναφέρει τῶν κατὰ καιροὺς συμβεβηκότων τοῖς πρὸ αὐτῶν. Λιμοῦ μὲν γὰρ καταβρίθοντος, κατέβη κατὰ καιροὺς Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἀβούλητον αὐτῷ τὴν ἀποδημίαν ἐτίθει, τὸ μηδαμόθεν δύνασθαι τῶν ἀναγκαίων εὐπορεῖν. Ἀπεκομίσθη δὲ καὶ εἰς Ἀσσυρίους ὁ Ἰσραὴλ, τὴν Ἰουδαίαν καταδῃώσαντος τοῦ κατ' ἐκεῖνο τοῦ καιροῦ βασιλεύοντος τῆς Χαλδαίων. Καὶ ποία τις ἦν ἡ τοῦδε πρόφασις; Ἀποφοιτήσαντες γὰρ τοῦ εἶναι γνήσιοι, καὶ τοῦ [al. τὸ] χρῆναι μόνῳ λατρεύειν Θεῷ, κατά γε τὸ νόμῳ δοκοῦν ἀνούστατα δῃωσάμενοι [γρ. διωσάμενοι], C προσνενεύκασιν εἰδώλοις καὶ, προσεκύνησαν τοῖς ἔργοις τῶν ἰδίων χειρῶν· αὕτη γέγονεν αὐτοῖς ἡ πρόφασις τοῦ ταῖς πολεμίων ἁλῶναι χερσὶ, καὶ τῆς ἐνεγκούσης ἀποδραμεῖν, καὶ θητεύειν ἐχθροῖς, τὴν Περσῶν τε καὶ Μήδων οἰκοῦντας χώραν. Βίᾳ τοίνυν ἤχθησαν· οὐ γὰρ ἑκόντες ἦσαν ἐν τούτοις· Ἀλλὰ νῦν τί ὧδέ ἐστε; Τὸ ὧδε φησὶν, ἀντὶ τοῦ, ἐν ταῖς τῶν ἐθνῶν κατεσπαρμένοι χώραις, καὶ εἰς πάντα ἄνεμον κατεσκεδασμένοι, κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἀπεσόβησε γὰρ τῆς Ἰουδαίας ἁπάσης ἡ Ῥωμαίων μάχαιρα τοὺς ἰσχύσαντας ὅλως φεύγειν. Ἤγουν τὸ, ὧδε, Ἐν τῇ τοιᾷδε καταστάσει τῶν πραγμάτων, ἐν ᾗ νῦν ἐστε. Γεγόνασι δὲ, ὡς ἔφην, ἐν ἐσχάτῃ ταλαιπωρίᾳ, τοῦτο μὲν [κατὰ] τὸν πολέμου νόμον καταδραμούσης αὐτῶν τῆς χώρας τῆς τῶν Ῥωμαίων στρατιᾶς, D τοῦτο δὲ, πόλεως ἁπάσης πεπορθημένης, κατεμπρησθέντος δὲ καὶ αὐτοῦ τοῦ ναοῦ. Διὰ τί τοίνυν ἐν τούτοις γεγόνασι; φησίν· ἢ δηλονότι τὴν μὲν δικαιοῦσαν πίστιν οὐ προσηκάμενοι, περιυβρίσαντες δὲ πολυτρόπως τὸν καλοῦντα πρὸς τοῦτο, καὶ αὐτῷ τὰς χεῖρας ἐπαφέντες ἀνοσίως, μετὰ τοὺς ἀπεσταλμένους δικαίους τε καὶ προφήτας, ὧν τοὺς μὲν ἀπεκτόνασι, τοὺς δὲ ἐλίθασαν; Καὶ ταυτὶ μὲν ἐν τούτοις περὶ τῆς ἀγελαίου πληθύος ὁ προφητικὸς ἡμῖν καταμεμήνυκε λόγος. Ἐπειδὴ δὲ ἦν ἔθος τοῖς Ἰουδαίων μάλιστα καθηγηταῖς, ὑψηλὴν ἐπαίρειν κατὰ παντὸς ἔθνους τὴν ὀφρὺν, ἄληπτόν τε καὶ ἀχείρωτον τοῖς ἐχθροῖς διαμένειν ἔσθ' ὅτε τὸν Ἰσραὴλ, εἴπερ κλῆρος Θεοῦ καὶ λαὸς ἅγιος ὠνομάζετο· εἶτα συμβέβηκεν ἐν οἷς ἔφην ἀρτίως κατενεχθῆναι τὴν Ἰουδαίαν, κατεπλήτ-

Vibice enim ejus nos sanati sumus, et ipse languidus factus est propter peccata nostra. Liberati enim sumus et nos, et jugum peccati, tyrannidemque diaboli excussimus.

VERS. 4, 5. *Sic dicit Dominus: In Ægyptum descendit populus meus prius, ut peregrinaretur illic, et ad Assyrios vi abducti sunt. Et nunc quid estis hic? Hæc dicit Dominus: Quia captus est populus meus gratis, admiramini et plorate. Hæc dicit Dominus: Propter vos semper nomen meum male audit apud gentes.*

Cum Sionem captivam nominasset, scire eos vult causam quamobrem hoc ei evenerit, ut in hanc ignominiam et calamitatem incideret. Reducit enim interdum ad meliora eos qui inopinatum quidpiam passi sunt, si peccata non nesciant. Propterea utiliter in memoriam reducit, quæ olim majoribus ipsorum contigerunt. Premente enim fame, descendit olim Jacob in Ægyptum, et coactus est peregrinationem suscipere, eo quod nullibi posset rebus necessariis abundare. Abductus est autem ad Assyrios Israel, cum eo tempore rex Chaldæorum devastasset Judæam. Et quæ tandem hujus rei causa? Cum enim desiissent esse filii genuini, et solum Deum colere, et, legis voluntate rejecta, stultissime ad idola declinassent, et opera manuum suarum adoravissent: hæc causa exstitit, ut in manus hostium inciderent, ut a patria recederent, ut inimicis servirent, ac Persarum et Medorum regionem inhabitarent. Vi ergo sunt abducti: nec enim hæc volebant, sed nunc quid hic estis? Illud, hic, dicit pro, in **729** gentium regionibus dispersi, et ad omnes ventos dissipati, juxta prophetæ vocem. Expulit enim eos ex Judæa Romanorum gladius, quicumque valuerunt omnino fugere. Vel, hic, in eo rerum statu in quo nunc estis. Fuerunt enim, ut dixi, in summis miseriis: partim Romano exercitu, lege belli, eorum regionem incursante: partim tota civitate vastata, et templo ipso cremato. Quare igitur, inquit, in his malis versati sunt? An videlicet quod fidem justificantem non admiserint, sed multifariam ad hoc vocantem contumeliis affecerint, eique impie manus attulerint, deinde etiam justis et prophetis qui missi sunt, quorum alios occiderunt, alios lapidaverunt? Et quidem hæc in his verbis de gregaria multitudine, prophetica nobis significavit oratio. Quia autem solebant Judæorum maxime præfecti, contra omnem gentem tollere altum supercilium, jactabantque interdum Israelem, utpote qui Dei sors, et populus sanctus dictus est, capi et vinci ab hostibus nunquam posse. Cum vero accidit, ut jam dixi, ut ad hæc mala Judæa deveniret, admiratione perculsi sunt, et ululabant, perinde quasi omni spe destituti, hoc malo eos incursante. Propterea ad eos universorum Deus: Quia, inquit, captus est populus meus gratis, admiramini et ululatis; hæc dicit

Dominus: Propter vos semper nomen meum male audit inter gentes. Fuistis enim, inquit, vos auctores et causa, ut qui subjugati sunt paterentur, sinentes eos carere institutione, imo non permittentes omnino ut ad Deum reverterentur, viderentque animi oculis eum qui de cœlo venit, qui in forma humana Deus Verbum apparuit, ut prædicaret captivis remissionem, cæcisque visum, sanaretque contrito corde præditos, et annum Domini acceptum vocaret. Itaque propter vos nomen meum inter gentes male audit. Cum enim per omnes regiones et urbes dissipatus esset, inquit, Israel: vastatam esse sanctam civitatem, opusque et materiam ignis fuisse ipsum templum, nemo uspiam gentium ignorarit; tum meum nomen conviciis incessunt, et meam elevant gloriam. Siquidem fortassis putant meam manum debilem esse, quæ semper fuit auxiliaris Israeli: veram autem causam adhuc ignorant, nec quisquam apud eos scivit, eos **730** cædis dominicæ, et multorum aliorum delictorum pœnas solvisse.

A τοντο καὶ ὠλόλυζον, ὡς ἐλπίδος ἁπάσης πέρα δραμόντος αὐτοῖς τοῦ κακοῦ. Διὰ τοῦτο πρὸς αὐτοὺς ὁ τῶν ὅλων Θεός· Ὅτι ἐλήφθη, φησὶν, ὁ λαός μου δωρεὰν, θαυμάζετε, καὶ ὀλολύζετε. Τάδε λέγει Κύριος· Δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Αὐτοὶ γὰρ, φησὶ, γεγόνατε παραίτιοι τοῦ παθεῖν τοὺς ὑπεζευγμένους, ἀπαιδαγωγήτους ἐῶντες αὐτοὺς, μᾶλλον δὲ οὐκ ἐφιέντες ὅλως ἐπιστρέφειν εἰς τὸν Θεὸν, καὶ τοῖς τῆς διανοίας ὄμμασιν ἰδεῖν τὸν ἐξ οὐρανοῦ καθιγμένον, καὶ ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα Θεὸν Λόγον, ἵνα κηρύξῃ αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἰάσηται δὲ καὶ τοὺς συντετριμμένην [συντεθραυσμένην] ἔχοντας τὴν καρδίαν, καλέσῃ δὲ καὶ ἐνιαυτὸν Κυρίου δεκτόν. B Οὐκοῦν δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Ἐπειδὴ γὰρ ἐν ἁπάσῃ χώρᾳ τε καὶ πόλει κατεσκεδάσθη, φησὶν, ὁ Ἰσραὴλ, οὐδεὶς ἠγνόησε τῶν ἀνὰ πᾶσαν τὴν γῆν, ὅτι πεπόρθηται μὲν ἡ ἁγία πόλις, ἔργον δὲ πυρὸς καὶ αὐτὸς γέγονεν ὁ νεώς· εἶτα τὸ ἐμὸν δυσφημοῦσιν ὄνομα, καὶ τὴν ἐμὴν διασύρουσι δόξαν. Οἴονται γὰρ ἴσως τὴν ἐμὴν ἀτονῆσαι χεῖρα τὴν ἐπίκουρον ἀεὶ γενομένην τῷ Ἰσραὴλ, τὴν δὲ ἀληθῆ πρόφασιν ἀγνοοῦσιν ἔτι, καὶ οὐδεὶς ὁ παρ' αὐτοῖς ἐπιστάμενος, ὅτι τὰς τῆς Κυριοκτονίας καὶ πολλῶν ἑτέρων πλημμελημάτων ἐξήτηνται δίκας.

VERS. 6, 7. *Ideo sciet populus meus nomen meum, in die illa, quia ego sum ipse qui loquebar, Adsum: quasi pulchritudo in montibus, quasi pedes evangelizantis auditionem pacis, sicut evangelizans bona.*

Quoniam enim, inquit, vestræ pigritiæ causa inter gentes male audio, non feram hanc sycophantiam, nec sinam proscindi meam gloriam blasphemis vocibus. Illo autem tempore, quo terræ habitatoribus in carne illuxeseam, quicunque mei fient populi, admittentque fidem, sive ex Judæis illi fuerint, sive ex gentibus, hi scient nomen meum. Nomen vero dicit, pro gloria. Sic enim loqui familiare est Scripturæ divinitus inspiratæ. Scriptum est namque: « Expetendum nomen bonum magis, quam divitiæ multæ [15]. » Nos qui ab illo vocati sumus, gloriam ejus novimus: nec ad eum judicem omnium Servatorem Christum, velut ad hominem accessimus: sed etiamsi factum sit caro Verbum, credimus tamen Deum esse natura et ex Deo Patre, arcano modo factum, supra omnem creaturam esse, et in supremo solio effulgescere, et omnibus dominari, dextramque habere fortissimam, facileque servaturum, quos velit, sibi subditos, et nihil omnino superare, et, ut ita dicam, supereminere ejus potentiam. Non sic animum induxit Israel. Versati sunt enim quasi cum aliquo nobis simili, et non ut cum Deo homine facto. Propterea dixerunt aliquando: « Tu quis es? et quem teipsum facis [16]? » Et: « De bono opere non lapidamus te, sed propter blasphemiam, quod homo cum tu sis, facis teipsum Deum [17]. » Verum qui vocabuntur, inquit, ad veritatis agnitionem, scient meam gloriam. Ipse enim qui in prophetis loquebar, Adsum. Deus enim et Dominus

Διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν· Πάρειμι· ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά.

C Ἐπειδὴ γὰρ, φησὶν, τῆς ὑμετέρας ἕνεκα ῥαθυμίας ἐδυσφημήθην ἐν τοῖς ἔθνεσιν, οὐκ ἀνέξομαι τῆς συκοφαντίας, ἀλλ' οὐδὲ τὴν ἐμαυτοῦ δόξαν παλιμφήμοις ἐάσω βάλλεσθαι φωναῖς. Ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, καθ' ὃν ἐπιλάμψω τοῖς ἐπὶ τῆς γῆς μετὰ σαρκὸς, οἵπερ ἐμοῦ γένωνται λαοὶ προσηκάμενοι τὴν πίστιν, εἴτ' οὖν εἶεν ἐξ Ἰουδαίων, εἴτε καὶ ἐξ ἐθνῶν, οὗτοι γνώσονταί μου τὸ ὄνομα. Τὸ δὲ ὄνομά φησιν ἀντὶ τῆς δόξης. Ἔθος γὰρ οὕτω λέγειν τῇ θεοπνεύστῳ Γραφῇ. Γέγραπται γὰρ, ὅτι « Αἱρετὸν ὄνομα καλὸν, ἢ πλοῦτος πολύς. » Ἐγνώκαμεν αὐτοῦ τὴν δόξαν, οἱ παρ' αὐτοῦ κεκλημένοι, καὶ οὐχ ὡς ἀνθρώπῳ προσίεμεν κριτῇ τῷ πάντων Σωτῆρι Χριστῷ· ἀλλ' εἰ καὶ γέγονε σὰρξ ὁ Λόγος, πιστεύομεν, ὅτι Θεὸς ὢν φύσει, καὶ ἐκ Θεοῦ D Πατρὸς ἀποῤῥήτως γεγενημένος, ὑπὲρ πᾶσαν κτίσιν ἐστὶ, καὶ τοῖς ἀνωτάτω θρόνοις ἐμπρέπει, καὶ κατάρχει τῶν ὅλων, καὶ πανσθενεστάτην ἔχει τὴν δεξιὰν, καὶ σώζει ῥᾳδίως, οὓς ἂν ἕλοιτο τῶν ὑπ' αὐτὸν γεγονότων, ὑπερνήχεται δὲ τὴν αὐτοῦ δύναμιν παντελῶς οὐδέν. Διετέθη γε μὴν οὐχ οὕτως ὁ Ἰσραήλ. Προσεσχήκασι γὰρ ὡς ἑνὶ τῶν καθ' ἡμᾶς, καὶ οὐχ ὡς ἐνανθρωπήσαντι Θεῷ. Διὰ τοῦτό ποτε μὲν ἔφασκον· « Σὺ τίς εἶ; καὶ τίνα σεαυτὸν ποιεῖς; » καί· « Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν. » Πλὴν οἵπερ ἂν κληθεῖεν εἰς ἐπίγνωσιν ἀληθείας, φησὶ, γνώσονταί μου τὴν δόξαν. Αὐτὸς γὰρ ὁ ἐν προφήταις λαλῶν· Πάρειμι. Θεὸς γὰρ ὢν Κύριος ἐπέφανεν ἡμῖν, κατὰ τὸ γεγραμμένον. Τοῦτο καὶ ὁ πάνσοφος Παῦλος

[15] Prov. XXII, 1. [16] Joan. VIII, 53. [17] Joan. X, 33

διδάσκει λέγων· « Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας. » Ἀθρητέον δὴ οὖν ἐν τούτοις, ὅτι παρήνεγκε μὲν εἰς τὸ εἶναι τὰ πάντα δι' Υἱοῦ ὁ Θεὸς καὶ Πατὴρ, λελάληκε δὲ πρὸς ἡμᾶς ἐν ἐσχάτοις καιροῖς, οὐχ ὡς δι' ἑτέρου μᾶλλον υἱοῦ τοῦ κατὰ σάρκα ἐκ γυναικὸς, καθὰ φρονεῖν ἔδοξέ τισι τῶν διεστραμμένων, ἀλλ' ὡς ἑνὸς ὄντος Υἱοῦ μετὰ τῆς σαρκὸς τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Λόγου, ὃς καὶ τῶν αἰώνων ἐστὶ ποιητής. Πάρειμι δὴ οὖν ὡς ὥρα ἐπὶ τῶν ὀρέων, φησίν· ὥραν δέ φησι τὸ ἔαρ. Φέρε δὴ οὖν καταθρήσωμεν ὡς ἐκ πράγματος ἐμφανοῦς τὰ πνευματικά. Τί τὸ ἔαρ ὀφθὲν ἐν τοῖς ὄρεσιν ἀποτελεῖ; Ἄνθει νέῳ στεφανοῖ τὰ φυτὰ, καὶ ἐξ ἀκαρπίας αὐτὰ μεθίστησι πρὸς ἀπότεξιν, ὧν ἂν φυσικῶς ἕκαστον ἔχοι. Τοιοῦτόν τι καὶ ἐν τοῖς Ἄσμασι τῶν ᾀσμάτων γεγραμμένον εὑρήσομεν· « Ἀνάστα γὰρ, ἐλθὲ, φησὶν, ἡ πλησίον μου, καλή μου, περιστερά μου· ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς παρῆλθεν ἑαυτῷ, τὰ ἄνθη ὤφθη ἐπὶ τῆς γῆς, καιρὸς τῆς τομῆς ἔφθασε. » Χειμῶνος γὰρ παρελάσαντος, τὸ λαμπρὸν ἔαρ ἀνίσχει τῇ γῇ, καὶ ἀνθέων αὐτὴν ἀποφαίνει τροφὸν, καὶ καρπῶν ὡρίμων ποιεῖται μητέρα. Τοιοῦτόν τι καὶ περὶ ἡμᾶς πέπρακται νοητῶς. Κατεχείμασε γὰρ τὴν ὑπ' οὐρανὸν ὁ δράκων ὁ ἀποστάτης, ξηρὰν καὶ ἄκαρπον ἀπέφηνεν αὐτήν. Ἦν γὰρ ὅλως οὐδεὶς ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός, « Ἀλλὰ πάντες ἐξέκλιναν ἅμα, ἠχρειώθησαν. » Ἐπειδὴ δὲ μετὰ σαρκὸς ἐπέφανεν ὁ Μονογενὴς, γέγονεν ἡμῖν ὡς ὥρα ἐπὶ τῶν ὀρέων. Ἀπηνθηκότες γὰρ ὥσπερ καὶ ἁπάσης ἀρετῆς ὡραιότητα τῶν ἰδίων ψυχῶν ἀποβεβληκότες, ἀνεθάλλομεν ἐν αὐτῷ καὶ πνευματικῆς εὐκαρπίας πεπληρώμεθα, ὥστε καὶ δύνασθαι λέγειν τὸ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων· « Ἀδελφιδός μου καταβήτω εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. » Γέγονε τοίνυν, ὡς ὥρα ἐπὶ τῶν ὀρέων, καὶ ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, εὐαγγελιζομένου δὲ καὶ ἀγαθά· μεταξὺ γὰρ κειμένης ἡμῶν τε καὶ τοῦ Θεοῦ τῆς ἁμαρτίας, διειστήκειμεν αὐτοῦ, καὶ ἀπενοσφίσθημεν τοῦ Δεσπότου, καὶ τοῖς θείοις αὐτοῦ νόμοις ἀντανιστάμενοι, καὶ Δεσποτικοῖς θελήμασιν ἀντιπράττοντες, καὶ ἐν τάξει πολεμίων κείμενοι. Ἀλλ' ἐπέφανεν ὁ Χριστὸς ἡ εἰρήνη ἡμῶν, ὁ τὴν μεταξὺ κειμένην ἀφελὼν ἁμαρτίαν, καὶ συμβῆναι παρασκευάσας εἰς φιλίαν τῷ Πατρὶ, καὶ συνάψας ἡμᾶς δι' ἑαυτοῦ· δι' αὐτοῦ γὰρ τὴν προσαγωγὴν ἐσχήκαμεν. Ὥσπερ οὖν, εἴ τις ἔρχοιτο, φησὶ, δρομαῖος καὶ ταχὺς, ἁλῶναι λέγων ἐχθροὺς, καὶ ἐπαγγέλλων εἰρήνην, εὐαγγελιζόμενός τε τὰ ἀγαθά· οὕτω καὶ ὁ πάντων Σωτὴρ ἐπεφοίτησε τῷ κόσμῳ μετὰ σαρκὸς, καὶ γέγονεν ἡμῖν εἰρήνης βραβευτὴς πρὸς Θεὸν καὶ Πατέρα, καταργηθέντος τοῦ Σατανᾶ, καὶ πάσης τῆς φάλαγγος αὐτοῦ γενομένης ἐκποδὼν, καὶ ὅτι καιρὸς ἐνέστηκε, καθ' ὃν ἔξεστι τοῖς ἐθέλουσι παντὸς ἐν μεθέξει γενέσθαι καλοῦ· ἕψεται γὰρ πάν-

A apparuit nobis, quemadmodum scriptum est. Quod etiam Paulus sapientissimus docet, cum ait: « Multifariam et multipliciter olim Deus allocutus patres per prophetas, postremis hisce diebus, allocutus est nos in Filio, quem omnium statuit hæredem, per quem etiam fecit sæcula[18]. » Observandum est ergo hic, quod Deus et Pater res omnes in essentiam produxerit per Filium, locutusque fuerit nobis, extremis temporibus: non quasi alius filius esset secundum carnem, ex muliere, sicuti videntur quidam perversi homines sentire: sed unus est Filius cum **731** carne Verbum propter nos humanitate suscepta, qui etiam sæculorum est conditor. Adsum igitur quasi pulchritudo, inquit, in montibus: *ὥραν* autem dicit, ver. Agedum ergo videamus velut ex re quæ con-
B spicua est, spiritualia. Ver apparens in montibus, quid efficit? Ornat eos flore recenti, et ex sterilitate fecunditatem gignit, prout cujusque natura fert. Quale etiam in Canticis canticorum scriptum inveniemus: « Surge enim, veni, inquit, propinqua mea, pulchra mea, columba mea. Quia ecce hiems præteriit, imber abiit, recessit sibi, flores apparuerunt in terra, tempus putationis prævenit[19]. » Prælerlapsa enim hieme, ver pulchrum in terra oritur, et eam nutricem florum reddit, matremque pulcherrimorum fructuum facit. Cujusmodi etiam de nobis factum est intelligibiliter. Hiemem enim offudit orbi terrarum draco apostata, eumque aridum et infructuosum reddidit. Nec enim quisquam omnino erat qui bonitatem exerceret, ne unus quidem: « Sed
C omnes declinarunt pariter, et inutiles facti sunt[19*]. » Sed ubi cum carne apparuit Unigenitus, factus est nobis velut pulchritudo in montibus. Cum enim defloruissemus, omnisque virtutis decorem animis nostris ejecissemus, in ipso refloruimus, et spirituali fertilitate abundavimus, ita ut liceat dicere illud in Cantico canticorum: « Nepos meus descendat in hortum suum, et comedat fructum nucum suarum[20]. » Factus est igitur ceu pulchritudo in montibus, et ut pedes evangelizantis auditionem pacis, evangelizantis etiam bona; nam peccato inter nos et Deum intercedente, ab eo separati sumus, et a Domino disjuncti, divinis ipsius legibus resistentes, et Domini voluntati adversantes, et loco hostium habiti. Sed apparuit Christus pax nostra, qui inter-
D jectum peccatum amovit, et Patri reconciliavit, sibique nos conjunxit. Per ipsum enim accessum habuimus. Quemadmodum igitur, si quis, inquit, celer et festinus veniret, et hostes captos referret, pacemque nuntiaret, et bona evangelizaret: sic accessit omnium Servator in mundum cum carne, et factus est pacis apud Deum et Patrem administer, abolito Satana omnique ejus phalange e medio exterminata; cumque illud tempus instat, quo licet volentibus **732** omnium bonorum participes esse, sequetur eos semper qui in illum crediderunt, et quæ ejus sunt sapiunt ac faciunt, ut affatim in cœle-

[18] Hebr. I, 1. [19] Cant. II, 10-12. [19*] Psal. XIII, 3. [20] Cant. V, 1.

stium bonorum societatem veniant, omnique spe bona pleni sint: donis enim dives est Servator

VERS. 8. *Quia auditam faciam salutem tuam, dicens: Sion, regnabit Deus tuus, quia vox custodientium te intenta est, et voce simul lætabuntur. Quia oculi ad oculos videbunt, quando misertus fuerit Dominus Sion.*

Sion rursus hic vocat, non civitatem aliquam terrestrem, sed potius sanctam Ecclesiam suam, quam ex duobus populis constituit. Scriptum est enim: « Lætamini, gentes cum populo [21]. » Diciturque Christus duo unum fecisse, et interstitium maceriæ diruisse, et legem mandatorum in decretis abrogasse. Patefacta autem evangelica prædicatione, quæ veris decretis referta est, vis legalis umbræ cessavit, id est, cultus et accessus per sanguines. Sion itaque intelligenda est Ecclesia, uti dixi, quam ipse sibi Christus repræsentavit, non habentem maculam aut rugam, imo sanctam, et immaculatam. Hujus salutem auditam fecit, id est, exauditam. Neminem enim omnino in terra degentium latuit evangelicæ prædicationis virtus, nec plane quisquam salutem per Christum non audiit. Dixit enim per lyram Psalmistæ: « Audite hæc, omnes gentes, auscultate omnes inhabitantes orbem terrarum [22]. » Et quemadmodum dæmoniorum memoria periit cum sonitu, id est, insigniter et celebriter, nemo enim dæmoniorum tyrannidis interitum nescivit: sic etiam divina et cœlestis prædicatio audita facta est omnibus ubilibet, salutem afferens his qui apparitionem Christi agnoverunt. Quæ autem hujus prædicationis virtus? Sion, regnabit Deus tuus. Olim quippe, id est, ante Servatoris nostri adventum, regnum in nos per peccatum obtinuit Satanas, et tyrannicæ sævitiæ jugum totius terræ incolis injectum est. At ubi rex ac Dominus universorum nobis illuxit, disruptis eorum vinculis, et abjecto jugo ejus qui olim oppressit, Dei sceptris cervicem submisimus, et regnavit in nos Deus ac **733** Pater, per Filium. Quæ res nobis, celebritatis ac festivitatis causa exstitit. Psallit nimirum David, et inquit: « Dominus regnavit, exsultet terra [23], » ac iterum: « Psallite sapienter. Regnavit Deus super omnes gentes [24]. » Vocavit quoque ad hoc nos, ut dixi, ipse etiam Servator, dicens: « Venite ad me, omnes qui laboratis, et onerati estis, et ego reficiam vos: Tollite jugum meum super vos [25]. » Itaque misere viximus, et in extremis malis versati sumus, immani tyranno subjugati, et peccati jugum subeuntes. At sacrosanctæ prædicationis virtus, Christi regnum felix ac faustum annuntiavit, et subditi ei fuimus. Promisit enim, dicens: « Sion, regnabit Deus tuus. » Qui autem et quomodo regnaturus sit, ipse mox declaravit, dicens: « Vox custodientium te in-

A τως τοῖς πιστεύσασιν εἰς αὐτὸν, καὶ τὰ αὐτοῦ φρονεῖν τε καὶ δρᾷν ᾑρημένοις, ἀμφιλαφεστάτην ἔχειν τὴν οὐρανίων ἀγαθῶν μέθεξιν, καὶ ἁπάσης ἐλπίδος ἀναπίμπλασθαι καλῆς· πλουσιόδωρος γὰρ ὁ Σωτήρ.

Ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου, λέγων· Σιὼν, βασιλεύσει σου ὁ Θεὸς, ὅτι φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται· ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλεήσει Κύριος τὴν Σιών.

Σιὼν μὲν οὖν ὀνομάζει πάλιν ἐν τούτοις, οὐχ ἐπίγειόν τινα πόλιν, τὴν ἁγίαν δὲ μᾶλλον αὐτοῦ Ἐκκλησίαν, ἣν ἐκ τῶν δύο λαῶν συνεστήσατο. Γέγραπται γὰρ, ὅτι « Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ. » Ποιῆσαι δὲ λέγεται Χριστὸς τὰ ἀμφότερα ἓν, καὶ λῦσαι τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ τὸν νόμον τῶν ἐντο- B λῶν ἐν δόγμασι καταργῆσαι. Ἀναδειχθέντος δὲ τοῦ εὐαγγελικοῦ κηρύγματος, ὃ καὶ δογμάτων ἐστὶν ἀληθινῶν κατάμεστον, πέπαυται τῆς ἐν νόμῳ σκιᾶς ἡ δύναμις, τοῦτ' ἔστιν, ἡ δι' αἱμάτων λατρεία καὶ προσαγωγή. Σιὼν οὖν νοητέον τὴν Ἐκκλησίαν, ὡς ἔφην, ἣν αὐτὸς ἑαυτῷ παρέστησεν ὁ Χριστὸς, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα, ἁγίαν δὲ μᾶλλον καὶ ἄμωμον. Ταύτης ἀκουστὴν ἐποιήσατο τὴν σωτηρίαν, τοῦτ' ἔστιν ἐξάκουστον. Ἔλαθε γὰρ τῶν ἐπὶ τῆς γῆς παντελῶς οὐδένα, τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ δύναμις· ἀλλ' οὐδὲ ἀνήκοός τις ἀπομεμένηκε τῆς διὰ Χριστοῦ σωτηρίας. Ἔφη γὰρ καὶ διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη. Ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. » Καὶ ὥσπερ τὸ τῶν δαιμονίων μνημόσυνον ἀπ- C ώλετο μετ' ἤχου, τοῦτ' ἔστιν ἐπισήμως καὶ διαβοήτως, ἠγνόησε δὲ οὐδεὶς τῆς τῶν δαιμονίων τυραννίδος τὴν ἀπώλειαν· οὕτω καὶ τὸ θεῖόν τε καὶ οὐράνιον κήρυγμα γέγονεν ἀκουστὸν τοῖς ἁπανταχοῦ, τὴν σωτηρίαν εἰσφέρον τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ. Τίς δὲ ἡ δύναμις τοῦ κηρύγματος; Σιὼν, βασιλεύσει σου ὁ Θεός. Πάλαι μὲν γὰρ, τοῦτ' ἔστι πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, βεβασίλευκεν ἡμῶν διὰ τῆς ἁμαρτίας ὁ Σατανᾶς, καὶ τυραννικῆς σκαιότητος ἐπέῤῥιπτο ζυγὸς τοῖς ἀνὰ πᾶσαν τὴν γῆν. Ἐπειδὴ δὲ ἐπέλαμψεν ἡμῖν ὁ τῶν ὅλων βασιλεὺς καὶ Κύριος, διαῤῥήξαντες τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψαντες τὸν ζυγὸν τοῦ πάλαι πλεονεκτήσαντος, τοῖς τοῦ Θεοῦ σκήπτροις ὑπηγάγομεν τὸν αὐχένα, καὶ βεβασίλευκεν ἡμῶν ὁ Θεὸς καὶ Πατὴρ δι' Υἱοῦ, καὶ γέγονεν ἡμῖν D τὸ χρῆμα πανηγύρεως ἀφορμή. Ψάλλει γοῦν ὁ Δαβὶδ, καί φησιν· « Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. » Καὶ πάλιν· « Ψάλατε δὴ οὖν συνετῶς, ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ πάντα τὰ ἔθνη. » Κέκληκε δὲ ἡμᾶς πρὸς τοῦτο, ὡς ἔφην, καὶ αὐτὸς ὁ Σωτὴρ, λέγων· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. » Οὐκοῦν ἐπράττετο μὲν ἀθλίως, καὶ ἐν ἐσχάτοις ἦμεν κακοῖς, ἀγρίῳ τυράννῳ κατεζευγμένοι, καὶ τὸν τῆς ἁμαρτίας ὑποδραμόντες ζυγόν. Ἡ δὲ τῶν ἱερῶν κηρυγμάτων δύναμις τὴν τοῦ

[21] Rom. XV, 10. [22] Psal. XLVIII, 2. [23] Psal. XCVI, 1. [24] Psal. XLVI, 9. [25] Matth. XI, 28, 29.

Χριστοῦ βασιλείαν εὐηγγελίσατο, καὶ ὑπ' αὐτῷ πάντες ἐσμέν. Ἐπήγγελται γὰρ λέγων, ὅτι « Σιὼν, βασιλεύσει σου ὁ Θεός. » Βασιλεύσει δὲ πῶς, ἢ τίνα τρόπον, αὐτὸς εὐθὺς διεσάφησεν, εἰπὼν, ὅτι « Φωνὴ τῶν φυλασσόντων σε ὑψώθη. » Καὶ φυλάσσοντες δὲ εἶεν ἂν οἱ θεσπέσιοι μαθηταὶ, ἤγουν ἅπαντες ἁπλῶς οἱ μυσταγωγεῖν εἰδότες καὶ δυνάμενοι, καὶ ὀρθοποδεῖν ἀναπείθοντες τοὺς κεκλημένους, εἴς γε τὸ δύνασθαι κατορθοῦν εὖ μάλα τὸ ἀγαθὸν, καὶ τῆς εἰς Χριστὸν ἀγάπης ἀντέχεσθαι, καὶ ὀρθὴν ἐπ' αὐτῷ καὶ ἀμώμητον ποιεῖσθαι τῆς πίστεως τὴν ὁμολογίαν. Οὗτοι ποιμένες εἰσὶν ἀγαθοὶ φυλάσσοντες τῷ πάντων ἀρχιποιμένι τὰ λογικὰ θρέμματα, καὶ τὰς τῶν ἀτιθάσσων θηρίων ἀποσοβοῦντες ἐφόδους. Τούτων ὑψοῦσθαι λέγει τὴν φωνὴν, τουτ' ἔστιν, ἀκουσθῆναι τοῖς πανταχοῦ. Εἴρηται γὰρ πρὸς αὐτοὺς διὰ φωνῆς Ἡσαΐου· « Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιὼν, ὕψωσον τῇ ἰσχύϊ σου τὴν φωνὴν, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ. » Ὑψώσατε, μὴ φοβεῖσθε. Διαπρύσιον γὰρ καὶ οὐδενὶ τὸ σύμπαν ἠγνοημένον τὸ ἀποστολικόν ἐστι κήρυγμα. Ὅτι δὲ πάντα δραμεῖται δι' εὐημερίας αὐτοῖς, καὶ κεκλήσονται μὲν ἑτοίμως οἱ πρὸς οὕσπερ ἂν ὁ παρ' αὐτῶν γένοιτο λόγος, εὐφρανθήσονται δὲ αὐτοὶ λίαν, τοὺς τῆς ἑαυτῶν μυσταγωγίας ὁρῶντες καρποὺς, ἐναργὲς καθίστησι λέγων, ὅτι Τῇ φωνῇ ἅμα εὐφρανθήσονται. Ἅμα γὰρ λαλήσουσι, φησὶ, καὶ ἡ τῶν μεμυσταγωγημένων ἕψεται πληθὺς, καὶ ἀμελ[λ]ητὶ δραμοῦνται πρὸς πίστιν οἱ παιδαγωγούμενοι. Χαρὰ δὲ τοῦτο τοῖς διδάσκειν ἐπιτεταγμένοις. Ἐπιστέλλει γοῦν ὁ Παῦλος τοῖς δι' αὐτοῦ πιστεύσασιν, ὅτι « Χαρὰ καὶ στέφανός μου. » Ὅτι δὲ ταῖς τῶν ἁγίων μυσταγωγίαις τὸ τῶν μυσταγωγουμένων εὐπειθὲς ἠκολούθει πλεισταχοῦ, διὰ πολλῶν ἄν τις ἴδοι, τὴν ἁγίαν καὶ θεόπνευστον Γραφὴν περινοστήσας. Προσελάλουν μὲν γὰρ ἐν τοῖς Ἱεροσολύμοις τοῖς τῶν Ἰουδαίων τάγμασιν οἱ θεσπέσιοι μαθηταί· ἀλλ' ὡς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων γέγραπται· « Προσετέθησαν ἐν μιᾷ ἡμέρᾳ τρεῖς χιλιάδες ἀνδρῶν. » Ναὶ μὴν καὶ ὁ θεσπέσιος Παῦλος ὁμοῦ τῷ μακαρίῳ Σίλᾳ δεσμῶται τυγχάνοντες ὕμνουν κατὰ μέσην νύκτα τὸν Θεόν. Ἐπειδὴ δὲ ἄγγελος ἅγιος ἐπιστὰς τῷ δεσμωτηρίῳ τὰ πάντων ἀνῆκε δεσμὰ, περιδεὴς γεγονὼς ὁ δεσμοφύλαξ ἠθέλησε μὲν ἑαυτὸν ἀνελεῖν· φωνήσαντος δὲ τοῦ Παύλου· « Μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε· θαυμάσας τὸ παράδοξον, ἐβαπτίσθη σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. » Ὅτι δὲ πρόφασις αὐτῷ θυμηδίας τὸ πρᾶγμα γέγονε, πῶς ἔστιν ἀμφιβαλεῖν; Οὐκοῦν κατὰ πόδα, φησὶν, τῆς μυσταγωγίας τῶν κεκλημένων δραμεῖται τὸ εὐπειθές. Καὶ οἱ ὀφθαλμοί σου πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλεήσει Κύριος τὴν Σιών. Τίνα δὲ ὄψονται, ἢ τὸν τῆς σωτηρίας πρύτανιν, τουτ' ἔστι, Χριστόν; Σαρκωθεὶς γὰρ ἦν ὁ Λόγος, καὶ τούτου μάρτυς ὁ Ψαλμῳδὸς, λέγων· « Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. » Ἤγουν ὅπερ ἔφην, ὅτι Τῇ φωνῇ ἅμα εὐφρανθήσονται, καὶ τοῦτο τοῖς σοῖς ὀφθαλμοῖς θεωρήσεις, φησὶ, κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν ἂν ἐλεήσει Κύριος τὴν Σιὼν, προσθεὶς ἅπασι τὴν διὰ πίστεως χάριν, καὶ τῶν οὐρανίων ἀγαθῶν ἀμφιλαφῆ τὴν ἀπόλαυσιν.

A tenta seu elevata est. » Custodientes esse possent divini discipuli, vel etiam quicunque mysteria tradere sciunt, et possunt recto pede insistere, ac persuadere vocatis, ut quod bonum est obeant rectissime, et charitatem in Christum amplectantur, et rectam de eo ac inculpatam fidei confessionem edant. Hi sunt pastores boni, custodientes omnium pastorum principi oves ratione præditas, et indomitorum animantium insultus prohibentes. Horum vocem intendi ait, id est, auditam esse passim omnibus. Dictum est enim ad eos voce Isaiæ : « Montem excelsum conscende, qui evangelizas Sion, intende fortiter vocem tuam, qui evangelizas Jerusalem [26]. » Intendite, ne timete. Clara enim et nulli non cognita est apostolica prædicatio. Quod autem B omnia illis feliciter et prospere fluent, et prompte vocabuntur, ad quos eorum habebitur oratio, et quod ipsi impense gaudebunt, suæ mystagogiæ fructus conspicati, planum facit, inquiens : Voce simul lætabuntur. Quamprimum enim, inquit, loquentur, multitudo initiatorum sequetur, et pædagogia instructi current ad fidem celeriter. Hoc illis gaudio est, qui ad docendum constituti sunt. Scribit enim in Epistola Paulus, his qui per ipsum crediderunt : « Gaudium et corona mea [27]. » Sanctorum autem mystagogiis obedivisse, et obsecutos esse plerumque eos qui mysteria discebant, ex multis sanctæ et divinitus inspiratæ Scripturæ locis **734** videre est, si quis eam percurrerit et perlustraverit. Allocuti enim sunt Hierosolymis Judæorum cohortem divini disci- C puli : sed, ut in Actis apostolorum scriptum est : « Adjecta sunt uno die tria hominum millia [28]. » Quinimo divinus Paulus et beatus Silas captivi, media nocte Deum laudibus et hymnis celebrabant. Ubi autem sanctus angelus, imminens carceri, solvisset vincula, timuit admodum custos carceris, et seipsum voluit interficere. Clamante autem Paulo : « Nihil tibi mali inferas, sumus enim hic omnes : admiratus rem incredibilem, cum tota domo sua baptizatus est [29]. » Fuisse autem ei hoc lætitiæ causam, et occasionem, dubitari qui potest? Itaque statim, inquit, post mystagogiam, qui vocati sunt, accurrunt obedienter. Et oculi tui ad oculos videbunt, quando misertus fuerit Dominus Sionis. Quem autem videbunt, nisi salutis præsidem et procuratorem, id est, D Christum : carnem enim induit Verbum, cujus testis etiam est Psalmista, cum ait : « Deus manifeste veniet, Deus noster, et non obticebit [30] : » Vel etiam quod dixi : Voce simul lætabuntur, etiam hoc, inquit, oculis tuis intuebere, illo tempore, quo miserebitur Dominus Sion, omnibus proponens gratiam per fidem, et cœlestium bonorum fructum uberrimum.

[26] Isa. XL, 9. [27] Phil. IV, 1. [28] Act. II, 4. [29] Act. XVI, 25, 26, 27. [30] Psal. XLIX, 3.

Vers. 9, 10. *Erumpant lætitiam simul deserta Jerusalem, quia misertus est Dominus ejus, et eruit Jerusalem. Et patefaciet Dominus brachium suum sanctum in conspectu omnium gentium, et videbunt omnia extrema terræ, salutem quæ est a Deo.*

Erumpere lætitiam, significare potest, vocem tollere, et odas gratiarum actionis resonare, et studio quodam adhibito doxologias meditari, quibus Deus lætetur. Scriptum est enim in libro Psalmorum: « Et lingua mea meditabitur justitiam tuam, toto die laudem tuam[31-33]. » Qui autem hoc facere voluerint, his ea res afferet lætitiam. Quoniam vero dicit, deserta Jerusalem debere hoc præstare, ad explanandam horum verborum sententiam, illud necesse est dicere. Qui civitatem aliquam latam et longam inhabitant, si numero tot sint, ut eam replere queant, nullum ejus locum relinquunt vacuum: **735** sin numerabiles sint, eo quod multi obierint, aut quod bellum incubuerit, aut alia quædam occasio ad hoc deduxerit, loca quæ sunt in ea, plurima, et habitationes nudæ manent. Cujusmodi sunt Israelitæ passi. Posteaquam enim Dominicidæ exstitissent, et manus plenas sanguine habuissent, a Romanis consumpti sunt bello, adeo ut pauci admodum relicti fuerint superstites, eratque viris destituta sancta civitas. Sed, inquit, deserta ejus lætabuntur. Lugent enim domus, et tristitia quasi plenæ sunt, cum non habent incolas: sed hilares sunt, et veluti rident, si plures sint qui inhabitent. Age ex hac historia aliquid dicamus spirituale. Gentium Ecclesia, id est, gentes quæ crediderunt, quæ etiam nominantur Sion et Jerusalem, principio quidem paucæ erant, et quasi deserta vere exstitit sancta et Dei civitas, id est, Ecclesia. Sed in ea nihil remansit vacuum: quippe impleta est per Christum. Dictum est scilicet: « Tolle undique oculos tuos, et vide congregatos filios tuos[34]. » — « Ecce illi e longinquo veniunt, hi ab aquilone et mari, alii vero ex terra Persarum. Et dices, inquit, in corde tuo: Quis mihi genuit istos? Ego autem orba et vidua, hi mihi unde erant[35]? » Et rursus: « Dilata locum tabernaculi tui, et pelles tentoriorum tuorum fige. Ne parcas, adhuc in dextris et in sinistris expande[36]. » Ex omni enim gente, urbe et regione concursus factus est gentium per fidem vocatarum ad Christum: ut ab oriente et austro, occidente et aquilone vocarentur qui conversi sunt, longe plures quam ex sanguine Israel. Atque hoc ipsum significavit propheta Isaias, loquens de Ecclesia et synagoga Judæorum. « Lætare, sterilis quæ non paris, erumpe et clama, quæ non parturis, quia plures filii desertæ, quam habentis virum[37]. » Sterilem enim, non parientem, et ad hæc desertam appellat, Ecclesiam gentium. Erat enim expers liberorum, et deserta, id est, vidua, sermonem omnis boni satorem non habens. Judæorum autem synagogam, viro

Ῥηξάτω εὐφροσύνην ἅμα τὰ ἔρημα Ἱερουσαλὴμ, ὅτι ἠλέησε Κύριος αὐτὴν, καὶ ἐῤῥύσατο τὴν Ἱερουσαλήμ. Καὶ ἀποκαλύψει Κύριος τὸν βραχίονα αὐτοῦ τὸν ἅγιον ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς, τὴν σωτηρίαν τὴν παρὰ Θεοῦ.

Τὸ μὲν ῥῆξαι τὴν εὐφροσύνην κατασημήνειεν ἂν τὸ ἐν τῷ χρήσασθαι φωνῇ, χαριστηρίους ᾠδὰς ἀναφέροντας, καὶ μελέτην ποιεῖσθαι σπουδάζοντας τὰς δοξολογίας, δι' ὧν ἂν εὐφραίνοιτο Θεός. Γέγραπται γοῦν ἐν βιβλίῳ Ψαλμῶν· « Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου· » καὶ αὐτοῖς τοῖς τοῦτο δρᾷν ἐθέλουσι πρὸς εὐφροσύνην ἔσται τὸ χρῆμα. Ἐπειδὴ δὲ τὰ ἔρημά φησιν Ἱερουσαλὴμ τοῦτο χρῆναι δρᾷν, ἐκεῖνό φαμεν ἀναγκαίως, διατρανοῦν ἐθέλοντες τὴν τῶν προκειμένων διάνοιαν. Οἱ πόλιν οἰκοῦντες εὐρεῖαν καὶ μακρὰν, εἰ μὲν εἶεν τοσοῦτοι τὸν ἀριθμὸν, ὡς δύνασθαι καὶ ἀποπληροῦν αὐτὴν, οὐδένα τόπον αὐτῆς ἀφιᾶσιν ἔρημον· εὐαριθμήτων δὲ ὄντων διὰ τὸ τεθνάναι πολλοὺς, ἢ πολέμου κατασκήψαντος, ἢ καὶ ἑτέρας τινὸς ἀφορμῆς κατενεγκούσης εἰς τοῦτο, τὰ πλεῖστα τῶν ἐν αὐτῇ χωρίων ἤγουν οἰκημάτων ἀπομένουσι γυμνά. Τοιοῦτόν τι πεπόνθασιν οἱ ἐξ Ἰσραήλ. Ἐπειδὴ γὰρ γεγόνασι Κυριοκτόνοι, καὶ πλήρεις αἱμάτων τὰς χεῖρας ἐσχήκασιν, δεδαπάνηνται τῷ πολέμῳ τῷ παρὰ Ῥωμαίοις, ὡς ὀλίγους κομιδῇ περιλειφθῆναι τοὺς σεσωσμένους, καὶ κένανδρος ἦν ἡ ἁγία πόλις. Ἀλλ' εὐφρανθήσονται, φησὶ, τὰ ἔρημα αὐτῆς. Στυγνοὶ μὲν γὰρ οἶκοι, καὶ κατηφείας ὥσπερ εἰσὶ μεστοὶ τοὺς ἐνοικοῦντας οὐκ ἔχοντες· ἱλαροὶ δέ πως καὶ οἷον γελῶντες, εἰ δὴ πλείστους ἔχοιεν τοὺς ἐνῳκισμένους. Ἀπὸ δὴ τῆς ἱστορίας, φέρε δή τι λέγωμεν τῶν πνευματικῶν· Ἡ ἐξ ἐθνῶν Ἐκκλησία, τοῦτ' ἔστιν οἱ ἐξ ἐθνῶν πιστεύσαντες, οἱ καὶ Σιὼν ὀνομάζονται, καὶ μέντοι καὶ Ἱερουσαλὴμ, ὀλίγοι μὲν ἦσαν ἐν ἀρχαῖς, καὶ οἷον ἔρημος ἡ ἀληθῶς ἁγία καὶ Θεοῦ πόλις ἐτύγχανε, τοῦτ' ἔστιν ἡ Ἐκκλησία. Ἀλλ' οὐδὲν ἀπομεμένηκε σχολάζον ἐν αὐτῇ· πεπλήρωται γὰρ διὰ Χριστοῦ. Καὶ γοῦν εἴρηται πρὸς αὐτήν· « Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. » « Ἰδοὺ οὗτοι πόῤῥωθεν ἔρχονται, οὗτοι ἀπὸ βοῤῥᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. Καὶ ἐρεῖς, φησὶν, ἐν τῇ καρδίᾳ σου· Τίς ἐγέννησέ μοι τούτους; Ἐγὼ δὲ ἄτεκνος καὶ χήρα, οὗτοι δέ μοι ποῦ ἦσαν; » Καὶ πάλιν· « Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τῶν αὐλαιῶν σου· πῆξον, μὴ φείσῃ· ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον. » Ἐκ παντὸς γὰρ ἔθνους, πόλεως, καὶ χώρας συνδρομὴ γέγονεν ἐπὶ Χριστῷ τῶν ἐθνῶν κεκλημένων διὰ πίστεως, ὡς ἐξ ἠοῦς, καὶ νότου, δύσεώς τε, καὶ βοῤῥέου καλεῖσθαι τοὺς ἐπιστρέφοντας, πολλῷ πλείους ὄντας τῶν ἐξ αἵματος Ἰσραήλ. Καὶ τοῦτο αὐτὸ καταμεμήνυκε λέγων ὁ προφήτης Ἡσαΐας περὶ τῆς Ἐκκλησίας καὶ τῆς Ἰουδαίων Συναγωγῆς· « Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης

[31-33] Psal. xxxiv, 28. [34] Isa. xlix, 18. [35] Ibid., 21. [36] Isa. liv, 2. [37] Ibid., 1

τὸν ἄνδρα. » Στεῖραν μὲν γὰρ τὴν οὐ τίκτουσαν, ἔρημόν τε πρὸς τούτοις ἀποκαλεῖ τὴν Ἐκκλησίαν τὴν ἐξ ἐθνῶν. Καὶ γὰρ ἦν ἄπαις καὶ ἐρήμη, τοῦτ' ἔστι χήρα, τὸν ἀγαθοῦ παντὸς σπορέα λόγον οὐκ ἔχουσα. Τὴν δέ γε τῶν Ἰουδαίων Συναγωγὴν ὕπανδρον εἶναί φησι, διὰ τὸ νόμῳ κατεζεῦχθαι τῷ διὰ Μωσέως, ἐγκύμονά τε γενέσθαι τῶν ἱερῶν θεσπισμάτων, δι' ὧν ἦν δύνασθαι καρποφορεῖν τῷ Θεῷ τὴν ὡς ἐν σκιαῖς ἔτι καὶ τύποις λατρείαν. Ἀλλὰ πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, τοῦτ' ἔστι τὰ τῆς χήρας, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Τίνα δὲ τρόπον ἔσται καὶ τοῦτο, διεσάφησε προστιθεὶς, ὅτι Ἀποκαλύψει Κύριος τὸν βραχίονα αὐτοῦ τὸν ἅγιον ἐνώπιον πάντων τῶν ἐθνῶν· καὶ ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν παρὰ Θεοῦ. Ὅτε γὰρ ἐμφανὴς γέγονεν ἐν τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ὁ βραχίων τοῦ Θεοῦ καὶ Πατρὸς, τοῦτ' ἔστιν ὁ Υἱὸς, ὅτε πᾶσιν ἐγνώσθη τοῖς ἔθνεσιν, καὶ τεθέανται τὰ ἄκρα τῆς γῆς, τοῦτ' ἔστιν οἱ ἐκ περάτων εἰς πέρατα, τὴν παρ' αὐτοῦ σωτηρίαν, τὴν διὰ πίστεως δὲ δηλονότι, τότε πεπλήρωται τὰ ἔρημα Ἱερουσαλὴμ, δηλονότι τῆς νοητῆς, καὶ ἀριθμοῦ κρείττων ἡ τῶν κεκλημένων πληθύς. Βραχίονα δὲ τοῦ Θεοῦ καὶ Πατρὸς, τὸν Υἱὸν ἀποκαλεῖν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ. Δύναμις γάρ ἐστιν αὐτοῦ καὶ πανσθενὴς δεξιὰ, δι' ἧς τὰ πάντα ἐργάζεται, καὶ περὶ αὐτῆς φησιν ὁ θεσπέσιος Δαβίδ· « Κρατυνθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. » Καὶ πάλιν περὶ τοῦ Θεοῦ Πατρός· « Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος· ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. »

A subjectam esse ait, eo quod legi Mosaicæ subjugata erat, et sacrosanctis feta ac gravida oraculis, quibus posset umbratilis adhuc quasi et typici **736** cultus fructum edere. Sed plures filii desertæ, quam habentis virum. Quomodo autem hoc futurum sit, declaravit cum adjecit : Patefaciet Dominus brachium suum sanctum in conspectu omnium gentium, et videbunt omnes fines terræ salutem Dei. Nam quando illustre factum erat universæ terræ habitatoribus Dei et Patris brachium, id est, quando Filius notus est omnibus gentibus, et viderunt fines terræ, id est, hi qui a termino ad terminum sunt, ejus salutem, per fidem scilicet : tunc repleta sunt deserta Jerusalem, intelligibilis videlicet, et innumerabilis erat vocatorum multitudo. Brachium vero B Dei et Patris, Filium appellare, mos est divinitus inspiratæ Scripturæ. Est etenim ejus potentia, et omnipotens dextera, qua omnia efficit, et de qua divinus David ait : « Roboretur manus tua, extollatur dextera tua [38]. » Rursus de Deo Patre : « Cantate Domino carmen novum, quia mira fecit Dominus, servavit eum dextera ejus, et brachium sanctum ejus [39]. »

Ἀπόστητε, ἀπόστητε, ἐξέλθετε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε. Ἐξέλθετε ἐκ μέσου αὐτῆς, ἀφορίσθητε, οἱ φέροντες τὰ σκεύη Κυρίου, ὅτι οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε, οὐδὲ φυγῇ. Πορεύσεται γὰρ πρότερος ὑμῶν Κύριος, καὶ ὁ συνάγων ὑμᾶς Κύριος ὁ Θεὸς Ἰσραήλ.

Ἔοικεν ὁ λόγος, ἢ πρὸς ἐκείνους γίνεσθαι παρὰ Θεοῦ τοὺς διὰ πίστεως συναγηγερμένους, καὶ τῆς Ἐκκλησίας χρηματίσαντας τέκνα, ἢ τάχα που πρὸς τοὺς ἁγίους μυσταγωγοὺς, ἀποστόλους δηλονότι, καὶ εὐαγγελιστὰς, οἳ φῶς γεγόνασι τῆς ὑπ' οὐρανὸν, τὸν τῶν εὐαγγελικῶν κηρυγμάτων τοῖς ἀνὰ πᾶσαν τὴν γῆν διαπορθμεύοντες λόγον. Τούτους δὴ οὖν ἀποστῆναι προστέταχε, καὶ ἀπίστων ἀποφοιτᾷν, ὡς ἀπὸ μεμολυσμένων, διὰ τὸ μήτε πιστεύειν ἑλέσθαι Χριστῷ, ἀλλὰ γὰρ καὶ τοῖς τῆς Κυριοκτονίας ἐγκλήμασι τὰς ἑαυτῶν ἐνόχους ἀποφῆναι κεφαλάς. Ἐξέλθετε δὴ οὖν, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, τοῦτ' ἔστι, τῆς πρὸς αὐτοὺς κοινωνίας ἀποσχοινίσθητε, ὡς μηδ' ὅσον αὐτῶν ἐθέλειν ἀποθιγεῖν. Ὁ γὰρ ἁπτόμενος πίσσης, φησὶ, μολυνθήσεται· καὶ γάρ ἐστιν ἀναγκαῖον, τοὺς εἰς Χριστὸν πιστεύσαντας, καὶ δι' αὐτοῦ κεκλημένους εἰς ἀποκάθαρσιν ἁμαρτίας καὶ εἰς μέθεξιν ἁγιασμοῦ, τῆς Ἰουδαϊκῆς ἀμαθίας ἔξω φέρεσθαι φιλεῖν, καὶ ὁλοτρόπως ἑτερογνώμονας παρ' ἐκείνους ὑπάρχειν, ἀφορισθῆναί τε εἰσάπαν· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος, ἀλλ' οὐδὲ μερὶς πιστῷ μετὰ ἀπίστου. Καὶ γοῦν ὁ πάνσοφος Παῦλος ἐπιστέλλει τοῖς ἐκ Γαλατίας, μετὰ τὴν ἐν Χριστῷ δικαίωσιν παλινδρομῆσαι τολμήσασιν ἐπὶ τὴν ἐν νόμῳ λατρείαν· « Ὦ ἀνόητοι Γα-

Vers. 11, 12. *Recedite, recedite, exite illinc, et immundum ne tangite. Exite enim de medio ejus, sepa-* C *ramini, qui portatis vasa Domini, quia neque cum tumultu exibitis, neque per fugam abibitis. Præcedet enim vos Dominus, et qui congregat vos Deus Israel.*

Videtur hæc oratio habita esse a Deo vel ad eos qui per fidem congregati sunt, et Ecclesiæ filii nuncupati sunt : vel ad sanctos mystagogos, nimirum apostolos et evangelistas, qui universæ sub cœli complexu exstiterunt, evangelicæ prædicationis verbum ad omnes terræ incolas velut legati portantes. Hos jubet recedere, et ab infidelibus abire, tanquam ab inquinatis, eo quod noluerint Christo credere, imo et sua ipsorum capita Dominicæ cædis crimine implicaverint. Exite ergo, immundum ne D tangite, id est, a communione cum illis segregamini, ut eorum nihil contingatis. Qui enim tangit picem, inquit [39*], inquinabitur. Est enim necesse ut qui in Christum crediderunt, et per ipsum vocati sunt ad emundationem peccati, et ad participationem sanctificationis, procul absint ab inscitia Judaica, et diversa **737** prorsus ab illis sint sententia, omninoque separentur. Nulla enim communicatio luci cum tenebris, nec pars fideli cum infideli [40]. Siquidem scribit sapientissimus Paulus Galatis, qui post justificationem in Christo ausi sunt denuo ad legalem cultum recurrere : « O dementes Galatæ, quis vos fascinavit, ut veritati non obtemperetis, quibus ob oculos Jesus Christus antea depictus est apud vos crucifixus? »

[38] Psal. xx, 9. [39] Psal. xcvii, 1. [39*] Eccli. xiii, 1. [40] II Cor. vi, 15.

Hoc solum volo discere a vobis, utrum ex operibus A legis spiritum acceperitis, an ex auditione fidei? Adeone dementes estis, ut a spiritu exorsi, nunc in carnem desinatis [40*]? »Circumcisi enim fuerunt imprudenter, etiamsi habuerint circumcisionem in spiritu, vel per Christum. Itaque necessario hic inquit universorum Deus: Recedite, et exite inde, et separamini, qui portatis vasa Domini. Nam qui solida fide Emmanuelem coluerunt, et divinæ ipsius naturæ participes facti sunt, eo quod consortes sint sancti Spiritus, sanctisque ejus donis repleti, vasa portant Deo. Quo autem modo, docebit sapientissimus Paulus, inquiens: « Induite armaturam Dei, quæ est lorica justitiæ, galea salutis, clypeus fidei, gladius spiritus, qui est Verbum Dei [41]. » Etenim habentes hanc armaturam intelligentia perceptam, B obsistunt Satanæ, ejusque adversantur potestatibus, ac præsultant quodammodo, et suas animas protegunt, populosque suæ manui subditos propugnant: hoc est enim munus et statio ducum. Verum cum exire de medio ejus præcipiat, ait: Non exibitis cum tumultu: neque fuga ibitis. Nec enim quasi fugientes et timentes, ab ordine Judaico recedere præcipit, sed quiete potius, et quasi auctoritate præditos, velut detrectantes cum his adeo inquinatis versari, et cum profanis ac improbis connumerari. Itaque ait: Nec fuga ibitis. Quod autem res eorum facili cursu procedent, nihilque prorsus occurret durum, vel abruptum, vel asperum, fidem fecit inquiens: Præcedet vos Dominus, et qui congregat vos Deus Israel. Si Deus nobiscum sit, et præeat, quid est C quod sacræ prædicationis **738** nuntios impediat; imo quidni omnia illis pro voto eveniant, et plana quasi via currant præcones *.

A λᾶται, τίς ὑμᾶς ἐβάσκηνε τῇ ἀληθείᾳ μὴ πείθεσθαι, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐσταυρωμένος; » Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; Οὕτως ἀνόητοί ἐστε; ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε; Περιετέμνοντο γὰρ ἀσυνέτως, καίτοι τὴν ἐν πνεύματι περιτομὴν λαχόντες, ἤτοι διὰ Χριστοῦ. Οὐκοῦν ἀναγκαίως τὸ, Ἀπόστητε, ἐν τούτοις φησὶν ὁ τῶν ὅλων Θεὸς, καὶ τὸ, Ἐξέλθετε ἐκεῖθεν, καὶ τὸ, Ἀφορίσθητε, οἱ φέροντες τὰ σκεύη Κυρίου. Οἱ γὰρ ὅλως τῇ πίστει τιμήσαντες τὸν Ἐμμανουὴλ, καὶ τῆς θείας αὐτοῦ φύσεως κοινωνοὶ γεγονότες, διὰ τοῦ μεταλαχεῖν ἁγίου Πνεύματος, ἐμπλησθῆναί τε τῶν ἱερῶν αὐτοῦ χαρισμάτων, σκευοφοροῦσι Θεῷ. Καὶ τίνα δὲ τρόπον, διδάξει λέγων ὁ πάνσοφος Παῦλος· « Ἐνδύσασθε τὴν B πανοπλίαν τοῦ Θεοῦ· αὕτη δέ ἐστιν ὁ θώραξ τῆς δικαιοσύνης, ἡ περικεφαλαία τοῦ σωτηρίου, ὁ θυρεὸς τῆς πίστεως, ἡ μάχαιρα τοῦ Πνεύματος, ὅ ἐστι Ῥῆμα Θεοῦ. » Ταύτην γὰρ ἔχοντες τὴν νοητὴν πανοπλίαν, ἀντεξάγουσι τῷ Σατανᾷ, καὶ ταῖς σὺν αὐτῷ δυνάμεσιν ἀντανίστανται, προπηδῶντες τρόπον τινὰ καὶ προασπίζοντες τῶν ἰδίων ψυχῶν καὶ τῶν ὑπὸ χεῖρα λαῶν· αὕτη γὰρ τῶν ἡγουμένων τάξις. Πλὴν ἐξελθεῖν ἐπιτάξας ἐκ μέσου αὐτῆς, Οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε, φησὶν, οὐδὲ φυγῇ πορεύσεσθε. Οὐ γὰρ ὡς φυγόντας, ἤγουν δεδιότας, τῶν Ἰουδαϊκῶν ταγμάτων ἀποφοιτᾷν ἐπιτάττει, ἀνειμένως δὲ μᾶλλον καὶ οἷον ἐπ' ἐξουσίας, ὡς παραιτουμένους τὸ συνδιαιτᾶσθαι θέλειν τοῖς οὕτω μεμολυσμένοις, καὶ συναριθμεῖσθαι βεβήλοις καὶ πονηροῖς. Οὐκοῦν, Οὐ φυγῇ C πορεύσεσθε, φησίν· ὅτι δὲ καὶ δι' εὐμαρείας ἥξει τὰ πράγματα αὐτοῖς, καὶ οὐδὲν ὅλως ἀπαντήσει σκληρὸν, ἢ ἄναντες, ἢ τραχὺ, πεπληροφόρηκεν εἰπὼν, ὅτι Προπορεύσεται ὑμῶν Κύριος, καὶ ὁ συνάγων ὑμᾶς ὁ Θεός. Θεοῦ δὲ συνόντος καὶ προβαδίζοντος, ποῖον ἔσται τὸ κακοποιοῦν τῶν ἱερῶν κηρυγμάτων τοὺς διακομιστάς; μᾶλλον δὲ πῶς οὐχ ἅπαντα αὐτοῖς τὰ κατ' εὐχὴν ἐκβήσεται, καὶ διὰ ψιλῆς ὥσπερ ὁδοῦ δραμοῦνται κηρύττοντες;

VERS. 13-15. *Ecce intelliget puer meus, et in altum extolletur, et gloria afficietur valde. Quemadmodum obstupescent super te multi, sic vituperabitur ab hominibus species tua, et gloria tua ab hominibus. Ita mirabuntur gentes multæ eum, et continebunt reges os suum. Quia quibus non est annuntiatum de eo, videbunt, et qui non audiverunt intelligent.*

Ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται σφόδρα. Ὃν τρόπον ἐκστήσονται ἐπὶ σοὶ πολλοὶ, οὕτως ἀδοξήσει ἀπὸ ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ τῶν ἀνθρώπων. Καὶ οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι συνήσουσιν.

Manifeste hisce verbis de omnium nostrum Ser- D vatore Christo Deus et Pater loquitur. Ecce intelliget puer meus, inquit: puerum intelliges, filium vel servum. Sumpsit enim formam servi Deus Verbum: et omnium Dominus cum esset, ad humanitatis modulum ac mensuram descendit. « Non enim rapinam arbitratus est esse se æqualem Deo: sed inanivit seipsum, similis hominibus factus, et habitu repertus ut homo, ipse se dejecit [42]. » Itaque quando factus est homo, seipsum ad hanc dejectionem submittens, tunc etiam servus dictus est, cum servilem formam sumpsisset. Sed, Intelliget, inquit, pro, Omnia cum intelligentia et sapientia divina et faciet

D Ἀναφανδὸν ἐν τούτοις τοὺς περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ ποιεῖται λόγους ὁ Θεὸς καὶ Πατήρ. Ἰδοὺ γὰρ συνήσει ὁ παῖς μου, φησί· καὶ τὸν μὲν παῖδα νοήσεις, τὸν Υἱὸν, ἤγουν τὸν δοῦλον. Ἔλαβε γὰρ δούλου μορφὴν Θεὸς ὢν ὁ Λόγος, καὶ Κύριος πάντων ὢν, τοῖς τῆς ἀνθρωπότητος ἐμβέβηκε μέτροις. « Οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν. » Οὐκοῦν, ὅτε γέγονεν ἄνθρωπος καθεὶς ἑαυτὸν εἰς ταπείνωσιν, τότε καὶ δοῦλος ἀνεγκλήτως ὠνόμασται τὸ τῆς δουλείας σχῆμα λαβών. Ἀλλὰ, Συνήσει, φησὶν, ἀντὶ τοῦ, Πάντα μετὰ συν-

[40*] Gal. III, 1-3. [41] Eph. VI, 11. [42] Philipp. II, 6, 7.

ἔσεως καὶ σοφίας ἐργάσεται καὶ λαλήσει τῆς θεοπρεποῦς. Ἔργον δὲ σοφίας τῆς θεοπρεποῦς, καὶ πρό γε τῶν ἄλλων τὸ σάρκα γενέσθαι τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον, τουτέστιν ἄνθρωπον, καὶ συμπτωχεῦσαι τοῖς ἐπὶ τῆς γῆς, ἵνα ἡμεῖς τῆς [ἐ]αυτοῦ πτωχείας πλουτήσωμεν, ἵνα πιστεύσαντες εἰς αὐτὸν τοὺς τῆς ἁμαρτίας ἀπονιψώμεθα μεμολυσμένους, ἀδρανοῦς ὄντος τοῦ νόμου τοῦ διὰ Μωσέως εἰς τὸ δύνασθαι περιελεῖν ἁμαρτίας, ἵνα τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς καταργήσῃ τὸν θάνατον, καὶ ἀνατρέψῃ τὴν φθοράν, καὶ ἀναχαλκεύσῃ πρὸς ἀφθαρσίαν τοὺς τῷ θανάτῳ κατισχημένους, καὶ οὐρανοῦ πολίτην ἐργάσηται τὸν ἐπὶ τῆς γῆς ἄνθρωπον, καὶ συνάψῃ δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρὶ τὸν πάλαι δραπέτην, καὶ κηρύξῃ μὲν αἰχμαλώτοις ἄφεσιν, τυφλοῖς δὲ ἀνάβλεψιν, καὶ ἰάσηται τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ κενώσῃ τὸν ᾅδην, καὶ ἀποστήσῃ τὸν Σατανᾶν τῆς κατὰ πάντων ἀρχῆς καὶ πλεονεξίας. Συνήσει δὴ οὖν ὁ παῖς μου, φησίν. Ἀσύνετον γάρ, ἤγουν ἄσοφον, ἐν τοῖς γεγονόσιν ὑπὲρ ἡμῶν παντελῶς οὐδέν. Πάντα γὰρ ἐν σοφίᾳ ἐποίησε, κατὰ τὴν τοῦ Ψάλλοντος φωνήν. Ταύτης ἕνεκα τῆς αἰτίας ὑψωθήσεται, φησί, καὶ δοξασθήσεται σφόδρα. Δοξολογεῖται γὰρ πρὸς ἡμῶν ὁ Θεὸς ὡς Κύριος, Σωτῆρα δὲ καὶ Λυτρωτὴν ἀποκαλοῦμεν αὐτόν. Εἶναί τε τοῦτο κατὰ ἀλήθειαν πεπιστεύκαμεν. Ἀλλ' ἵνα ἀληθὴς καὶ ἀδιάβλητος παντελῶς ὁ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχῃ λόγος, ἐπήνεγκεν ἀναγκαίως, ὅτι Ὃν τρόπον ἐκστήσονται ἐπὶ σοὶ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ τῶν ἀνθρώπων. Οἱ μὲν γὰρ ἐπεγνωκότες τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τοῖς τῆς διανοίας ὄμμασι κατιδεῖν ἰσχύσαντες τῆς ἐνούσης αὐτῷ θεοπρεποῦς ἐξουσίας τὸ μέγεθος, καταπλήττονται τὴν οἰκονομίαν· ὁποῖός τις ἦν ὁ προφήτης Ἀββακοὺμ, λέγων· « Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. » Οἵ γε μὴν οὐ συνιέντες αὐτοῦ τὴν δόξαν, ἄπιστοι δὲ καὶ ἀσύνετοι μεμενηκότες, ἀδοξίαν αὐτοῦ καὶ ἀτιμίαν ἀνοσίως κατεψηφίζοντο, Σαμαρείτην ὀνομάζοντες, φάγον τε καὶ μέθυσον, καὶ ἐκ πορνείας γεγενημένον, καὶ πρός γε τούτοις ἁμαρτωλόν. Οὐκοῦν, ὡς ἐκστήσονται ἐπὶ σοὶ πολλοί, οὕτως καὶ παρὰ ἀνθρώποις ἀδοξήσει τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ τῶν ἀνθρώπων. Ἀλλ' ὥσπερ τοῦτο συμβήσεται, οὕτω καὶ θαυμάσονται ἔθνη πολλὰ ἐπὶ σοί, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν. Ἰουδαῖοι μὲν γὰρ οἱ πάντολμοι, καίτοι τοῦ μηδενὸς ἄξιοι ὄντες λόγου, κατακερτομεῖν ἀπετόλμων, καὶ ἀχάλινον ἐπ' αὐτῷ πολλάκις ἀνέντες τὴν γλῶτταν, παλιμφήμοις ἔβαλλον φωναῖς. Πλεῖστοί γε μὴν βασιλεῖς δεδιότες ὡς Θεὸν, καὶ ὡς βασιλεῖ τῶν ὅλων τὴν δόξαν προσάγοντες, συνέξουσι τὸ στόμα αὐτῶν, τουτέστιν, οὐδὲν ἐροῦσιν ἀπηχές, ἀλλ' οὐδὲ φθέγξονταί τι τῶν ὅσα διαλυμαίνεται τῇ δόξῃ τοῦ Χριστοῦ. Ὅτι δὲ τὸ θεῖόν τε καὶ ἱερὸν καὶ σωτήριον κήρυγμα, τουτέστι τὸ εὐαγγελικὸν, ἐκείνων οὐκ ἔσται ποθὲν, παρ' οἷς ἠδόξησε τὸ εἶδος αὐτοῦ, παρ' ἐκείνοις δὲ μᾶλλον, οἱ συνέσχον τὸ στόμα

A et loquetur. Opus autem divinæ sapientiæ præter alia est, ut unigenitum Dei Verbum caro fieret, et ut una cum terræ incolis pauper esset: quo nos ipsius paupertate ditaremur, quo credentes in ipsum, peccati inquinamenta abstergeremus, cum Mosaica lex non satis esset ad tollenda peccata idonea: ut morte carnis suæ mortem aboleret, interitum deleret, morte detentos ad immortalitatem refingeret, hominem terræ incolam, cœli civem efficeret, quondam fugitivum, per se Deo ac Patri conjungeret, captivis liberationem, cæcis visum prædicaret, et contritos corde sanaret, Orcumque exinaniret, et Satanam imperio ac tyrannide contra omnes privaret. Intelliget ergo, inquit, puer meus. Nihil enim non intelligenter, nihil non sapienter factum est nostra causa. Quippe B omnia in sapientia fecit, secundum Psallentis vocem [43]. **739** Hac de causa, inquit, in altum extolletur, et admodum glorificabitur. Celebratur enim a nobis ut Dominus, eumque Servatorem et Redemptorem vocitamus. Quod verum esse credimus. Sed ut verus et irreprehensibilis sit omnino Dei et Patris sermo, induxit necessario: Quemadmodum obstupescent super te multi, sic vituperabitur ab hominibus species tua, et gloria tua ab hominibus. Qui enim agnoverunt apparitionem ejus, et animi oculis divinæ ipsius auctoritatis magnitudinem perspicere voluerunt, dispensationem hanc obstupescunt. Qualis erat propheta Abbacum, dicens: « Domine, audivi auditionem tuam, et timebam; cogitavi opera tua, et C stupui [44]. » At qui ejus gloriam non intellexerunt, sed infideles et ignari manserunt, hi ignominiam illi et dedecus objiciebant impie, vocantes Samaritanum, edonem, ebriosum, ex fornicatione natum, et præterea etiam peccatorem. Ergo ut stupebunt super te multi, sic etiam vituperabitur ab hominibus species tua, et gloria tua ab hominibus. Cæterum ut hoc eveniet, sic etiam admirabuntur te gentes multæ, et continebunt reges os suum. Judæi enim audacissimi, etsi nullo in numero habendi, eum tamen deridere ausi sunt, linguaque eum effreni sæpenumero impetere, ac blasphemas voces emittere. Complures autem reges ut Deum timentes, et ut regi universorum gloriam offerentes, os suum continebunt, id est, nihil dicent absonum nec quidquam quod gloriam Christi labefactare D possit sonabunt. Quod autem divina et sacrosancta et salutaris prædicatio, id est, evangelica, eorum neutiquam sit, a quibus species ejus vituperatur, sed eorum potius, qui os suum continuerunt ejusque gloriam amplificarunt, ostendit, cum ait: Quia quibus non est annuntiatum de eo, hi videbunt: et qui non audierunt, hi intelligent. Annuntiata sunt enim hæc de Christo Israelitis, tum ex lege, tum a prophetis, at non gentibus. Hi tamen, inquit videbunt magis ejus salutem: et qui omnino hæc mysteria non audiverunt, hi illa intelligent, **740** qui scilicet crediderunt. Radix enim et nutrix cognitionis est fides, et veluti aditus ad pietatem, et ad

[43] Psal. CIII, 24. [44] Abac. III, 2.

vitam denuncens eos, qui eam recipiunt. Siquidem propheta Isaias inquit: « Nisi credideritis, non intelligetis [45]. »

A αὐτῶν, κατεπλάγησάν τε τὴν δόξαν αὐτοῦ, διέδειξεν εἰπὼν, ὅτι Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι συνήσουσιν. Ἀνηγγέλη μὲν γὰρ τοῖς ἐξ Ἰσραὴλ διά τε νόμου καὶ προφητῶν τὰ περὶ Χριστοῦ, τοῖς γε μὴν ἔθνεσιν οὐδαμῶς. Ἀλλ' οὗτοι, φησὶν, ὄψονται μᾶλλον τὴν παρ' αὐτοῦ σωτηρίαν· καὶ οἱ τῶν αὐτοῦ μυστηρίων ἀνήκοοι παντελῶς, οὗτοι συνήσουσιν αὐτὰ, πιστεύσαντες δηλονότι. Ῥίζα γὰρ συνέσεως καὶ τροφὸς ἡ πίστις, καὶ οἷον εἰσβολὴ πρὸς εὐσέβειαν καὶ ζωὴν εἰσκομίζουσα τοὺς δεχομένους αὐτήν. Καὶ γοῦν ὁ προφήτης Ἡσαΐας, « Ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε, » φησίν.

CAP. LIII. VERS. 1. *Domine, quis credidit auditui nostro? et brachium Domini cui patefactum est? Annuntiavimus coram eo quasi campus, quasi radix in terra sitiente.*

Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ, ὡς πεδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ.

De omnium nostrum Servatore Christo semper frequens sermo est apud sanctos prophetas: nec admonere destiterunt, sed perspicue denuntiarunt, B suis temporibus venturum in humana forma Deum Verbum, et miracula operaturum divinitus. Illud autem et hic facit, in rectam viam errantes vocans, et fide impium justificans. Cæterum ex sanguine Israelitico oriundos parum omnino juverunt, valde laborantes inobedientia, adeo ut cum prædictionem arripere, et cognitionem vivificam colligere, pectoribusque suis mandare oporteret, e diverso mystagogis insultarent acerrime dicentes: « Alia nobis loquimini, et annuntiate nobis alium errorem [45*]. » Siquidem propheta Jeremias, velut ex immensa Judæorum crudelitate, tædio affectus, ita inquit: « Hei mihi, mater, qualem me peperisti, virum litigantem, et judicio contendentem in omni terra? Nec profui, nec profuit mihi quisquam. Fortitudo C mea defecit propter eos qui exsecrantur me [46]. » In summa, omnis sanctorum chorus, verba quasi de Jerusalem faciens, inquit: « Curavimus Babylonem, et non sanata est. Derelinquamus eam, et abeamus quisque in terram suam, quia appropinquavit ad cœlum judicium ejus, et usque ad sidera exaltatum est [47]. » Babylonem hic nominat Jerusalem, ut quæ illam studeat imitari, et nihil a regione gentium differat, quod quidem ad dissolutam vitam attinet, et quia noluerit legem in honore ac pretio habere, nec propheticæ pædagogiæ utilitatem amplecti. Hunc sensum habent etiam hi versus. Accusat enim Israelem, ut qui prorsus ad inobedientiam declinarit, et inquit: Quis credidit auditui nostro? Nos enim, inquit, o Domine, **741** a te mysteriis D initiati, et instituti sumus, orationemque de humanitate didicimus, et hanc auditionem accepimus, sed nemo credidit, nec ulli manifestum fuit brachium tuum, brachium, inquam, omnium Domini Dei. Brachium autem Dei et Patris, Filium nominare solet divinitus inspirata Scriptura, ut sæpe demonstratum est. Sed perinde quasi occurreret quispiam diceretque: Vos, o prophetæ, auditionem per Spiritum accepistis, et cognitione mysterii ditati estis, num igitur prædicastis mysterium aliis? Certe, inquiunt, annuntiavimus, et tantum non testificati sumus, dicentes: Erimus coram ipso quasi

Πολὺς μὲν ἀεὶ παρὰ τῶν ἁγίων προφητῶν ὁ περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος γέγονε λόγος, καὶ νουθετοῦντες οὐ διαλελοίπασιν, ἀπαγγέλλοντές τε καὶ μάλα σαφῶς, ὅτι καὶ ἥξει κατὰ καιροὺς ἐν ἀνθρωπείᾳ μορφῇ Θεὸς ὢν ὁ Λόγος, καὶ ὅτι θαυματουργήσει θεοπρεπῶς. Κἀκεῖνό τε καὶ τοῦτο ἐργάζεται, εἰς εὐθεῖαν καλῶν ὁδὸν τοὺς πεπλανημένους, καὶ δικαιῶν ἐν πίστει τὸν ἀσεβῆ. Ὤνησαν δὲ παντελῶς ὀλίγα τοὺς ἐξ αἵματος Ἰσραὴλ, πολὺ βλέποντας εἰς τὸ ἀπειθές· ὥστε καίτοι δέον ἁρπάσαι τὴν προαγόρευσιν, καὶ γνῶσιν συλλέξαι ζωοποιὸν, καὶ ταῖς ἑαυτῶν ἐναποθέσθαι καρδίαις, ἐκ τῶν ἐναντίων ἐπιπηδᾷν τοῖς μυσταγωγοῖς, ἐπιφύεσθαί τε καὶ μάλα πικρῶς λέγοντας· « Ἄλλα ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν. » Καὶ γοῦν ὁ μὲν προφήτης Ἱερεμίας, ὡς ἐξ ἀμετρήτου τῆς Ἰουδαίων ὠμότητος κατενηνεγμένος εἰς ἀκηδίαν, οὕτω πού φησιν· « Οἴμοι ἐγὼ, μῆτερ! ὡς τίνα με ἔτεκες ἄνδρα δικαζόμενον καὶ διακρινόμενον ἐν πάσῃ τῇ γῇ; Οὔτε ὠφέλησα, οὔτε ὠφέλησέ με οὐδείς. Ἡ ἰσχύς μου ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με. » Συλλήβδην δὲ, ἅπας ὁ τῶν ἁγίων χορὸς, ὡς περί γε τῆς Ἱερουσαλὴμ τοὺς λόγους ποιούμενοι, φασίν· « Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη. Ἐγκαταλίπωμεν αὐτὴν, καὶ ἀπέλθωμεν ἕκαστος εἰς τὴν γῆν αὐτοῦ· ὅτι ἤγγικεν εἰς τὸν οὐρανὸν τὸ κρίμα αὐτῆς, ἐξῆρεν ἕως τῶν ἄστρων. » Βαβυλῶνα γὰρ τὴν Ἱερουσαλὴμ ἐν τούτοις κατονομάζουσιν, ὡς τὰ ἐκείνης μιμεῖσθαι σπουδάζουσαν, καὶ οὐδὲν ἀποδέουσαν τῆς τῶν ἐθνῶν χώρας, τό γε ἧκον εἰς ἐξιτηλίας, καὶ τὸ μὴ ἀνέχεσθαι τιμᾷν τὸν νόμον, ἤτοι τῆς προφητικῆς παιδαγωγίας τὸ ἐπωφελές. Τοῦτον ἔχει τὸν νοῦν καὶ τῶν προκειμένων στίχων ἡ δύναμις. Αἰτιᾶται γὰρ ὡς ὁλοτρόπως ἐκκεκλικότα πρὸς ἀπείθειαν τὸν Ἰσραὴλ, καί φησι· Τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Ἡμεῖς μὲν γὰρ, ὦ Δέσποτα, φησὶ, μεμυσταγωγήμεθα παρὰ σοῦ τὸν περὶ τῆς ἐνανθρωπήσεως λόγον, καὶ ταύτην ἐσχήκαμεν τὴν ἀκοήν· ἀλλ' οὐδεὶς πεπίστευκε, καὶ οὐδενὶ γέγονεν ἐμφανὴς ὁ σὸς βραχίων τοῦ πάντων Κυρίου καὶ Θεοῦ· Βραχίονα δὲ τοῦ Θεοῦ καὶ Πατρὸς, τὸν Υἱὸν ὀνομάζειν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ, καθὰ δέδεικται πλεισταχοῦ. Ἀλλ' οἷον ἀνθισταμένου τινὸς καὶ λέγοντος· Ὑμεῖς μὲν, ὦ προφῆται, τὴν διὰ τοῦ Πνεύματος ἀκοὴν κατεσχήκατε, καὶ τὴν τοῦ μυστηρίου γνῶσιν κατεπλουτήσατε· ἆρ' οὖν ἐκηρύξατε τοῖς ἄλλοις τὸ μυστήριον; Ναὶ, φασὶν, ἀπηγ-

[45] Isa. VII, 9. [45*] Isa. XXX, 10. [46] Jer. XV, 10. [47] Jer. V, 19.

γείλαμεν, καὶ μονονουχὶ διεμαρτυράμεθα λέγοντες, A ὅτι Ἐσόμεθα ἐναντίον αὐτοῦ ὡς πεδίον, τουτέστιν, ὡς ἀγρὸς εὐανθὴς καὶ καρποφόρος, ἢ καὶ ὡς ῥίζα ἐν γῇ διψώσῃ, ἀρδεύοντος ἡμᾶς δηλονότι θείοις τε καὶ ἀποῤῥήτοις λόγοις τοῦ Μονογενοῦς, ἐν ᾧ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι. Πάλαι μὲν γὰρ ἡ σύμπασα γῆ, ξηρά τις ὥσπερ καὶ ἄκαρπος ἦν, καὶ οἷον διψῶσα γῆ, καὶ καρποὺς ἡμέρους [οὐκ] ἔχουσα. Ἐπειδὴ δὲ τὸν παρὰ Χριστοῦ πεπλούτηκεν ὑετὸν, πνευματικὸν δηλονότι, καὶ τὴν διὰ τοῦ ἁγίου Πνεύματος χορηγίαν, ἀνεθάλ[λ]ομεν ὡς ῥίζα, τουτέστιν ὡς βοτάνη τε καλὴ καὶ εὐανθής. Καὶ γοῦν ἔφη τις πρὸς ἡμᾶς τῶν ἁγίων προφητῶν· « Καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ θελητὴ, λέγει Κύριος παντοκράτωρ. » Θελητὴν δὲ λέγει τὴν εὔκαρπον καὶ γονιμωτάτην· B ἀσπαστὴ γὰρ αὕτη γηπόνοις. Ὅτι δὲ ἡ ἀκανθοτόκος ποτὲ ξηρά τε καὶ ἄνυδρος γῆ μεταπεφοίτηκεν εἰς γονιμωτάτην, καὶ εἰς τὸ δύνασθαι πλουτεῖν εὐκαρπίαις ταῖς πνευματικαῖς, σαφηνιεῖ λέγων ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς Ἡσαΐου· « Καὶ ἔσται, ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη. » Εἴδη μὲν γὰρ ἀκανθῶν, στοιβή τε καὶ κόνυζα, τρέφει δὲ αὐτὰ ἀεί πως ἡ χέρσος τε καὶ ἄνυδρος γῆ· μυρσίνη δὲ καὶ κυπάρισσος διαπρέπουσιν ἐν κήποις. Ἐξῃρημένης τοίνυν ἀκάνθης, φησὶν, ἀναβλαστήσει λοιπὸν τὰ εὐοσμότατα τῶν φυτῶν, ὅταν ἡ διψὰς [al. διψῶσα] ἔνυδρος γένηται, Θεοῦ λέγοντος, ὅτι Ποιήσω τὴν ἔρημον εἰς ἕλη, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. Θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον, C καὶ πύξον, καὶ μυρσίνην, καὶ κυπάρισσον, καὶ λεύκην. Οὐκοῦν ἀνηγγείλαμεν, ὅτι πιστεύσαντες εἰς αὐτὸν τὸν Χριστὸν, ἐσόμεθα ἐναντίον αὐτοῦ, τουτέστιν, ἐφορώμενοι παρ' αὐτοῦ, ὡς πεδίον, ὡς ῥίζα, τουτέστιν ὡς βοτάνη ἐν γῇ ποτε διψώσῃ, ἐνύδρῳ γε μὴν παρ' αὐτοῦ γενομένῃ.

campus, id est, quasi ager floridus et frugifer: vel etiam ut radix in terra sitiente, irrigante nos scilicet divinis et arcanis sermonibus Unigenito, in quo omnes thesauri sapientiæ et cognitionis sunt absconditi. Olim enim omnis terra, arida quæpiam et infructuosa velut terra fuit, et quasi sitiens, et fructus sativos non habens. Sed ubi ditata est a Christo imbre, spirituali videlicet, et sancti Spiritus subsidio, quasi radix refloruimus, id est, quasi herba pulchra et florida. Siquidem dixit etiam nobis e sanctis prophetis quispiam: « Et beatos vos dicent omnes gentes; propterea eritis vos terra spontanea, dicit Dominus omnipotens [48]. » Spontaneam vocat fructuosam et feracissimam; grata enim illa fuit agricolis. Quod autem spinosa quondam et arida et aqua carens terra abierit in terram feracissimam, ita ut dives facta fuerit spirituali fecunditate, declarabit dicens universorum Deus voce Isaiæ: « Et erit, pro stœba crescet cyparissus, et pro conyza crescet myrtus [49]. » Stœba enim et conyza sunt ex genere spinarum, et semper ea nutrit terra inculta et siticulosa: at myrtus et cyparissus in hortis excellunt. Exstirpata ergo, inquit, spina, odoratissimæ deinde plantæ reflorescent, terra sitiens in aquosam vertetur, Deo dicente: « Vertam desertum in latices, et sitientem terram in aquæductus. Ponam in terra aquis carente cedrum, et buxum, et myrtum, cyparissum et populum [49*]. » Annuntiavimus itaque credentes in ipsum Christum fore in conspectu ipsius, id est, ab eo conspiciemur, quasi campus, quasi radix, id est, ut herba in terra quandoque sitiente, quæ ab eo facta est aquosa.

Οὐκ ἔστιν εἶδος αὐτῷ, οὔτε δόξα· καὶ εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος. Ἀλλὰ τὸ εἶδος αὐτῷ ἄτιμον, ἐκλεῖπον παρὰ πάντας ἀνθρώπους.

Τί δὴ ἄρα φησὶν ὁ προφήτης ἐν τούτοις, ἢ ποῖον ἄν τις τοῖς εἰρημένοις ἐφαρμόσαι νοῦν, φέρε δὴ πάλιν καταθρήσωμεν, ὡς ἔνι. Ὡμολόγηκε μὲν γὰρ, ὅτι καὶ Ἀνηγγείλαμεν, τουτέστιν, ἀνελλιπῆ πεποιήμεθα τὴν προαγόρευσιν, ὡς ἥξει κατὰ καιρούς. Ἀλλ' ἴσως ἔφη ἄν τις πρὸς τοῦτο· Τί οὖν, εἰ καθίκετο D μὲν ἐξ οὐρανῶν Θεὸς ὢν ὁ Λόγος, θεοπρεπεῖ δὲ δόξῃ κατεστεμμένος, καὶ ἀπροσίτῳ φωτὶ διαπρέπων ἐπέφανε τοῖς ἐπὶ τῆς γῆς, καὶ ἀπροσωπόληπτος ἦν διὰ τὴν τῆς δόξης ὑπερβολήν; Καὶ γοῦν ὅτε πεφοίτηκεν ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, σκότος ἦν, καὶ γνόφος, καὶ θύελλα, καὶ πῦρ ὕψου διάττον, καὶ καπνὸς, πλεῖστά τε πρὸς τούτοις ἦν ἕτερα, δειμάτων καὶ πτοίας τῆς εἰς ἄκρον ποιητικὰ, ὡς ἀφόρητον γενέσθαι τοῖς θεωμένοις τὴν ὄψιν. Καὶ γοῦν μεσιτεύσασθαι παρεκάλουν οἱ ἐξ Ἰσραὴλ λέγοντες τῷ πανάριστῳ Μωσεῖ· « Λάλει σὺ πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεὸς, ἵνα μὴ ἀποθάνωμεν. » Οὐδὲν οὖν τὸ θαῦμα, φησὶν, εἰ προηγορεύσατε μὲν

742 VERS. 2. *Non est species ei, neque gloria: et vidimus eum, et non habebat speciem, neque decorem. Sed species ei fuit inhonorata, et deficiens præ omnibus hominibus.*

Quid ergo in his verbis dicit propheta? aut quem his dictis sensum accommodaverit, age rursus consideremus, quoad licet. Confessus enim est, et annuntiavimus, id est, plene ac plane prædiximus venturum suo tempore. Sed fortassis dixerit quispiam ad hæc: Quid ergo? Venitne de cœlo Deus Verbum, divina ornatus gloria? Num etiam inaccessa luce collucens, terræ incolis apparuit? Num facies ejus conspici non poterat, propter gloriæ præstantiam? Siquidem cum specie ignis descendit in montem Sina, tenebræ erant, et caligo, et procella, et ignis ab alto emicans, ac fumi, aliaque complura videre licuit, quæ timorem et trepidationem summam incusserunt, ita ut aspectus esset intolerandus spectantibus. Nam rogarunt sequestrem Israelitæ, dicentes optimo Moysi: « Alloquere tu nos, et ne alloquatur nos Deus, ne moriamur [50]. » Non igitur mirum, inquit, si vos prædixeritis, apparuitque illa terræ habitatoribus non spectanda

[48] Malach. III, 12. [49] Isa. LV, 13. [49*] Isa. XLI, 18, 19. [50] Exod. XX, 19.

gloria præditus, nec cuiquam erat tolerabilis. Quid A ergo prophetæ? Audacter obviam eunt, et dicunt: Non abs re, non sine causa hæc fuit incredulitas et defectio. Non est species ei neque gloria. Non enim, inquit, in specie fuit et gloria divina. Exinanivit enim sese, in similitudine hominum constitutus, et habitu repertus ut homo, dejecit seipsum[51]. Hæc autem dicimus, non sola auditione hanc traditionem habentes, sed eum qui prædicatur ipsis oculis contemplati. Vidimus eum, nec habebat speciem, nec decorem: decorem, inquam, divinum. Sed species ejus inhonorata. Parva enim, et abjecta, et inhonorata sunt omnino humana, quemadmodum quoad divinam et supremam excellentiam et illustrem decorem naturæ omnia superantis, dictus est, Formosus pulchritudine præ filiis hominum[51*]. Addit B adhuc majus: Despectior omnibus hominibus, videlicet species ejus. Perinde est ac si dicerent: Videre est, quosdam inter homines, dignitatum quasi splendore fulgentes, divitiarum quasi satellitio ac comitatu elatos et amplos, vel alio modo in terrena dignitate constitutos: sed **743** non inter hos erat Emmanuel, at in humili et abjecto ordine, ita ut aliis hominibus inferior videretur. Et quidem vera est oratio. Non enim ex sancta Virgine matre divite ortus est, sed in omni humilitatis genere versatus est, ut quod humile est eveheret, et quod inhonoratum est, redderet optandum. Alioqui Deus et Dominus et rex universorum cum sit, quo splendore humano indigebat? C

Vers. 3. *Homo in plaga positus, et sciens ferre infirmitatem, quia aversa est facies ejus, contempta est, et non reputata.*

Cum dixissent: Vidimus eum, et non habebat speciem neque decorem: quo in statu et habitu et facie illum quem prædicant viderint, aperte exponunt. Similis enim est, inquiunt, homini plaga affecto, generose tamen ferenti infirmitatem, id est, afflictionem, vel hoc quod male pateretur. Tristem enim fortassis Servatoris vultum conspicati sunt, ut qui turbatus fuerit quasi et consternatus: scilicet jamjam in ligno mortem passurus, quando etiam dixit, modo quidem, « Anima mea turbata est[52]; » modo rursus: « Tristis valde est anima D mea usque ad mortem[53]. — Et quid dicam? Pater, serva me ex hac hora: sed ideo veni in hanc horam[54]. » Dixit etiam quidam e sanctis evangelistis, appropinquante tempore passionis, cœpisse eum tristari et dolore confici[55]. Etenim licet natura Deus esset unigenitum Patris Verbum, in quem nec perturbationes, nec tristitia, nec omnino aliud quidquam ejusmodi cadebat, ad nostram tamen naturam se accommodavit, et se omni angore vacuum ostendit ingruente tentatione, per omnia se nostri similem esse declarans, non, ut quibusdam placet, umbram et spectrum in terra visum, sed hominem

A ὑμεῖς, ὤφθη δὲ τοῖς ἐπὶ γῆς ἀπρόσβλητον ἔχων τὴν δόξαν, καὶ οὐδενὶ γέγονε φορητός. Τί οὖν οἱ προφῆται; θερμῶς ὑπαντῶσι λέγοντες· Ἀπροφάσιστος ἡ ἀπείθεια, οὐκ ἐνάφορμος ἡ ἀπόστασις, οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα. Οὐ γὰρ ἦν ἐν εἴδει, φησὶ, καὶ δόξῃ θεοπρεπεῖ. Κεκένωκε γὰρ ἑαυτὸν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν. Καὶ ταῦτά φαμεν, οὐκ ἐξ ἀκοῆς μόνης ἔχοντες τὴν παράδοσιν, ἀλλὰ καὶ αὐταῖς ὄψεσι τεθεαμένοι τὸν κηρυττόμενον. Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, κάλλος δὲ τὸ θεοπρεπὲς, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον. Σμικρὰ γὰρ, καὶ εὐτελῆ, καὶ ἄτιμα παντελῶς τὰ ἀνθρώπινα, ὡς πρός γε τὴν θείαν καὶ ὑπερτάτην ὑπεροχὴν, καὶ τῆς ὑπὲρ πάντα φύσεως τὸ ὑπέρλαμπρον κάλλος· εἴρηται γοῦν· B Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Καὶ τὸ ἔτι μεῖζόν φησιν· Ἐκλεῖπον παρὰ πάντας ἀνθρώπους, δῆλον δὲ ὅτι τὸ εἶδος αὐτοῦ, ὅμοιον ὡς εἰ καὶ ἔφασαν· Ἔστι μὲν γάρ τινας ἰδεῖν ἐν ἀνθρώποις ἀξιωμάτων φαιδρότητι διαπρέποντας· ταῖς ἐκ πλούτου δορυφορίαις ἠρμένους ὑψοῦ, καὶ εὐρυνομένους, ἤγουν, καὶ καθ' ἕτερόν τινα τρόπον, ἐν ἐπιγείοις ὄντας ὑπεροχαῖς. Ἀλλ' οὐδὲ ἐν τούτοις ἦν ὁ Ἐμμανουὴλ, ἀλλ' ἐν σμικρᾷ καὶ κατερριμμένῃ τάξει, ὥστε δοκεῖν ἡττᾶσθαι τῶν ἄλλων ἀνθρώπων. Καὶ ἀληθὴς ὁ λόγος. Οὐ γὰρ πλουσίας ἐξέφυ μητρὸς τῆς ἁγίας Παρθένου, ἀλλὰ διὰ πάντων ἦλθε τῶν μικρῶν, ἵνα ὑψώσῃ τὸ ταπεινὸν, καὶ ζηλωτὸν ἀποφήνῃ τὸ ἄτιμον. Καὶ καθ' ἕτερον δὲ λόγον, Θεὸς ὢν Κύριος καὶ βασιλεὺς τῶν C ὅλων, ποίας ἂν ἐδεήθη τῆς ἐν ἀνθρώποις λαμπρότητος;

Ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν· ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη.

Εἰπόντες, ὅτι καὶ Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἐν ποίᾳ καταστάσει τεθέανται προσώπου τὸν κηρυττόμενον, διαγγέλλουσι σαφῶς. Ἔοικε γὰρ ἀνθρώπῳ, φασὶν, ἐν πληγῇ μὲν ὄντι, γενναίως δὲ φέροντι μαλακίαν, τουτέστι κάκωσιν, ἤτοι τὸ πάσχειν κακῶς. Κατηφὲς γὰρ ἴσως τὸ τοῦ Σωτῆρος τεθέανται πρόσωπον, καὶ οἷον ἐν θορύβοις ὄντος καὶ πτοίαις, ἅτε δὴ καὶ μέλλοντος ἤδη παθεῖν τὸν ἐπὶ ξύλου θάνατον· ὅτε καὶ ἔφασκεν, ὁτὲ μὲν, ὅτι « Νῦν ἡ ψυχή μου τετάρακται· » ὁτὲ δὲ πάλιν· D « Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. — Καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. » Ἔφη δέ τις καὶ τῶν ἁγίων εὐαγγελιστῶν, ὅτι γεγονότος ἐγγὺς τοῦ καιροῦ, καθ' ὃν ἔμελλε παθεῖν, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. Καίτοι γὰρ φύσει Θεὸς ὑπάρχων ὁ μονογενὴς τοῦ Πατρὸς Λόγος, καὶ παθῶν, καὶ λύπης, καὶ πάντων ἁπαξαπλῶς τῶν τοιούτων ἀνεπίδεκτος ὢν, συνεχώρει τῇ καθ' ἡμᾶς φύσει τὸ μὴ ἀναλγήτως ἔχειν ἐμβάλλοντος τοῦ πειρασμοῦ, διὰ πάντων ἀποδεικνὺς, ὅτι γέγονε καθ' ἡμᾶς, καὶ οὐ, καθὰ φρονεῖν ἔδοξέ τισι, σκιὰ καὶ εἴδωλον ἦν ἐπὶ γῆς ὁρώμενος, καὶ αὐτόχρημα γέγονεν ἄνθρωπος. Ἀπέστραπται δὲ,

[51] Philipp. II, 7. [51*] Psal. XLIV, 3. [52] Joan. XII, 27. [53] Marc. XIV, 34. [54] Joan. XII, 27. [55] Matth. XXVI, 37.

φησὶ, τὸ πρόσωπον αὐτῷ. Τὸ δὲ, Ἀπέστραπται, ἀντὶ A τοῦ, Κατῃσχύνθη, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη. Πιλάτος μὲν γὰρ ἔπεμψε τὸν Ἰησοῦν πρὸς τὸν Ἡρώδην· ὁ δέ γε, φησὶν, ἐξουθενήσας αὐτὸν ἀνέπεμψεν αὐτόν. Οὐ γὰρ ἐλογίσατο εἶναι τὸν Ἰησοῦν, ἠτιμάσθη δὲ καὶ τὸ πρόσωπον αὐτοῦ, πεμπομένων δηλονότι τῶν πτυσμάτων, καὶ καταπαιόντων αὐτὸν τῶν τοῦ Πιλάτου στρατιωτῶν, καὶ λεγόντων· « Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε. » Ἠτιμάσθη δὲ καὶ ἑτέρως, τὰς διὰ μαστίγων αἰκίας ὑπενεγκὼν, καὶ τὰ ἐκ τῶν ὑπηρετῶν ῥαπίσματα. Ἔφη γοῦν διὰ φωνῆς Ἡσαΐου· « Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. » Οὐκοῦν, ὡς ἔφην, ἐοίκασιν οἱ θεσπέσιοι προφῆται καθ' ὅρασιν δηλονότι τὴν διὰ τοῦ ἁγίου Πνεύματος ἰδεῖν τὸν Υἱὸν, B ἤτοι τὸ αὐτοῦ πρόσωπον κατηφείας ἀνθρωποπρεποῦς οὐκ ἀπηλλαγμένον, ἅτε δὴ καὶ ἐνεστηκότος τοῦ καιροῦ, καθ' ὃν ἔδει παθεῖν αὐτὸν, ἵνα τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς καταργήσῃ τὸν θάνατον, ἀποστήσας τοῦ κόσμου τὴν ἁμαρτίαν.

Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτὸν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν.

C Ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ γέγονεν ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου, καὶ τῆς Ἰουδαίων ἠνέσχετο δυσσεβείας, ἵνα, ὡς ἔφην ἀρτίως, ἀφέλῃ τοῦ κόσμου τὴν ἁμαρτίαν, οὐδὲν εἰς τοῦτο κατορθοῦν ἰσχύοντος τοῦ νομικοῦ γράμματος, ἤτοι τῆς κατὰ νόμον λατρείας. Καὶ γὰρ ἦν ἀμήχανον αἷμα τράγων καὶ ταύρων ἀφαιρεῖν ἁμαρτίας. Ἔξω γε μὴν τῆς πύλης ἔπαθεν, ἵνα, ὡς ὁ Παῦλός φησι, διὰ τοῦ ἰδίου αἵματος ἁγιάσῃ τὸν λαόν· πέπονθε γὰρ, οὐχ ὑπέρ γε μᾶλλον ἑαυτοῦ, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὑπὲρ πάσης τῆς ὑπ' οὐρανόν. Καὶ μαρτυρήσει γράφων ὁ πάνσοφος Παῦλος περὶ τοῦ Θεοῦ καὶ Πατρὸς, ὅτι « Τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, ἵνα καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσηται. » Καὶ αὐτὸς D δέ πού φησι διὰ τῆς τοῦ Ψάλλοντος λύρας πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· « Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας, τότε εἶπον· Ἰδοὺ ἥκω. Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου ἠβουλήθην. » Ἀνονήτου γὰρ οὔσης τοῖς ἐπὶ τῆς γῆς εἰς τὸ ἀφελεῖν ἁμαρτίας τῆς κατὰ νόμον λατρείας, ἐπείπερ ἦσαν ἀβούλητοι τῷ Θεῷ βουθυσίαι τε καὶ προβάτων σφαγαὶ, προσκεκόμικεν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας ὑπὲρ ἡμῶν ὁ ἀμνὸς ὁ ἀληθινὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· εἶτα τὸν τῆς σαρκὸς ὑπομείνας

revera exstitisse. **Aversa est, inquit, facies ejus.** Aversa, pro, confusa est, contempta, et non reputata. Pilatus enim misit Jesum ad Herodem; at ille, inquit, eum nihili factum remisit. Non enim reputavit esse Jesum. Contempta quoque fuit ejus facies, conjectis scilicet in eum sputis, et Pilati militibus eum pulsantibus ac dicentibus : « Prophetiza nobis, Christe, quis est qui te percussit [86]? » Contemptus est alio quoque modo, verbera ac supplicia subiens, et ministrorum alapas. Siquidem dixit voce **744** Isaiæ : « Tergum meum objeci verberibus, et maxillas meas alapis, faciem autem meam non averti a dedecore sputorum [86*]. » Vident ergo, ut dixi, divini prophetæ per visionem, scilicet, per Spiritum sanctum, videre Filium, vel faciem ejus, a tristitia humana minime liberam, instante nimirum tempore quo eum pati oportuit : ut morte propriæ carnis mortem aboleret, et mundi peccatum tolleret.

Vers. 4-6. *Hic peccata nostra portat, et pro nobis dolet : et nos putavimus illum in labore esse, et in plaga, et in afflictione. Ipse autem vulneratus est propter peccata nostra, et infirmus factus est propter iniquitates nostras. Disciplina pacis nostræ super eum, livore ejus nos sanati sumus. Omnes ut oves erravimus : homo in via sua erravit, et Dominus tradidit eum iniquitatibus nostris.*

Subivit crucem, ignominia contempta, Dominus noster Jesus Christus, et factus est obediens Patri usque ad mortem, et Judæorum impietatem sustinuit, ut, quemadmodum jam dixi, mundi peccatum auferret, cum nihil ad hoc legalis littera vel legis cultus conduceret. Nec enim possibile erat sanguinem taurorum et hircorum auferre peccata. Extra portam passus est, ut, sicuti Paulus ait [87], proprio sanguine populum sanctificaret : passus est enim non pro seipso, id enim longe abest a vero, sed pro tota sub cœli complexu terra. Et testificabitur etiam Paulus sapientissimus, scribens de Deo et Patre : « Proprio Filio non pepercit, sed pro nobis omnibus tradidit eum, ut et cum ipso omnia nobis donaret [88]. » Ipse item dicit per lyram Psaltæ ad Patrem et Deum in cœlis : « Sacrificium et oblationem noluisti : corpus autem perfecisti mihi. Holocausta et pro peccato non acceptasti, tunc dixi : Ecce venio. In capite libri scriptum est de me, ut facerem, o Deus, voluntatem tuam volui [89]. » Nam cum legis cultus ad tollenda peccata terræ incolis parum prodesset : non enim Deo placebant boum mactationes, et ovium lanienæ : seipsum in odorem bonæ fragrantiæ pro nobis obtulit, **745** agnus verus, qui tollit peccatum mundi : deinde carnis morte perpessa, totum orbem sub cœli complexu liberavit et a morte et a peccato. Unus enim instar omnium

[86] Luc xxii, 64. [86*] Isa. l, 6. [87] Hebr. xiii, 12. [88] Rom. viii, 32. [89] Psal. xxxix, 7-9

passus est pro omnibus, ut omnium dominaretur et regnaret. Confirmabit etiam iterum Paulus, scribens : « Propter hoc Christus mortuus est et vixit, ut et mortuis et vivis imperitaret [60]. » Et iterum : « Unus pro nobis mortuus est, ut qui vivunt, non jam sibi vivant, sed ei qui pro ipsis mortuus est et excitatus [61]. » Recte igitur inquit propheta : Hic in plaga positus, sciens ferre infirmitates, aversam habens faciem, contemptus, et non reputatus, nostra peccata fert, et pro nobis dolet, et nos putavimus eum in labore esse, et in plaga, et in afflictione. Specta mihi rursus quanto artificio prophetica in hoc loco progrediatur oratio. Fingitur enim persona eorum qui Christi ignorabant mysterium, qui existimabant ideo eum passum esse, ut suorum peccatorum pœnas solveret. Putavimus enim eum esse in labore, et in plaga, inquit, et in afflictione, id est, divinitus ei hoc contigisse arbitrati sumus ut pateretur, propter aliqua peccata, et hac de causa, ut in labore, et in plaga, et in afflictione versaretur. At sic res nequaquam se habet, sed vulneratus est propter peccata nostra, et infirmus factus est propter iniquitates nostras. Alias deinde rationes reddit, unde perspicuum est nostræ salutis et vitæ causa eum passum fuisse, qui peccatum non novit. Olim enim odiis et simultate a Deo dissidebamus, sacrosanctis ejus repugnantes legibus, et obedientiæ jugo non subjecti, ac ei servire renuentes. Sed erat, inquit, necesse verbere castigari nos, qui eo audaciæ prolapsi eramus, ut a vitiis recedentes, inimicitiam dirimeremus, pacemque cum Deo iniremus, submittendo ei cervicem, et id quod ei placet efficiendo. Sed hæc, inquit, disciplina, quæ inferenda erat potius peccantibus, ut Deo bellum inferre desinerent, in ipsum devenit. Idque, opinor, est : Disciplina pacis nostræ super eum. Sed planius horum verborum sensum exponit, mox subjungens : Livore ejus nos sanati sumus. Passus enim est, ut dixi, pro nobis. Omnes nos enim ut **746** oves erravimus, quisque via sua erravit, et Dominus eum tradidit pro nostris peccatis. Itaque erravimus nos, a Deo vivente defecimus, voluptates nostras consectantes. Atqui universorum Dominus, id est Deus et Pater, propter peccata nostra tradidit eum, ut nos a pœna absolveret, credentesque conservaret. Quod non ignorans Christus ipse ait : « Sic enim dilexit Deus mundum, ut Filium suum unigenitum daret, ut omnis qui credit in eum, non pereat, sed habeat vitam æternam [62,63]. »

A θάνατον, ὅλην ἠλευθέρωσε τὴν ὑπ' οὐρανὸν, καὶ θανάτου, καὶ ἁμαρτίας. Εἷς γὰρ ὁ πάντων ἀνταξιώτερος πέπονθεν ὑπὲρ πάντων, ἵνα πάντων κρατῇ τε καὶ βασιλεύῃ. Καὶ πιστώσεται πάλιν ὁ Παῦλος γράφων· « Διὰ τοῦτο Χριστὸς ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. » Καὶ πάλιν· « Εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. » Ὀρθῶς οὖν ὁ προφήτης φησὶν, ὅτι « Οὗτος ὁ ἐν πληγῇ ὢν ὁ εἰδὼς φέρειν μαλακίας, ὁ ἀπεστραμμένον ἔχων τὸ πρόσωπον, ὁ ἀτιμασθεὶς, καὶ μὴ λογισθεὶς, τὰς ἡμῶν ἁμαρτίας φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει. » Ἄθρει δή μοι πάλιν, μεθ' ὅσης εὐτεχνίας ὁ προφητικὸς ἐν B τούτοις πρόεισι λόγος. Ὑποπλάττεται γὰρ πρόσωπον τῶν μὴ εἰδότων τὸ Χριστοῦ μυστήριον, οἰηθέντων δὲ ὅτι γέγονεν ἐν τῷ παθεῖν, ὡς ἰδίων ἁμαρτημάτων ἀποτίσων. Ἐλογισάμεθα γὰρ αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει, φησὶ, τουτέστιν, ἐνομίσαμεν θεήλατον ἐπ' αὐτῷ συμβῆναι τὸ πάθος, ὡς διά τινας ἁμαρτίας, ταύτης τε ἕνεκα τῆς ἁμαρτίας ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει γενέσθαι. Τὸ δὲ οὐχ οὕτως ἔχει ποθὲν, ἀλλ' ἐτραυματίσθη μᾶλλον διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Εἶτα καὶ ἑτέρους ἀποδίδωσι λόγους, δι' ὧν ἔστιν ἰδεῖν, ὅτι τῆς ἡμετέρας ἕνεκα σωτηρίας, καὶ ζωῆς, γέγονεν ἐν τῷ παθεῖν ὁ μὴ εἰδὼς ἁμαρτίαν. Πάλαι μὲν γὰρ διειστήκειμεν εἰς ἔχθραν τῷ Θεῷ, τοῖς ἱεροῖς αὐτοῦ μαχόμενοι νόμοις, καὶ τὸν τῆς C εὐπειθείας οὐκ ἔχοντες ζυγὸν, καὶ τὸ δουλεύειν αὐτῷ παραιτούμενοι. Ἀλλ' ἦν ἀναγκαῖον, φησὶ, μάστιγι παιδεύεσθαι τοὺς εἰς τοῦτο θράσους ὠλισθηκότας· ἵνα τῶν φαύλων ἀπαφοιτήσαντες, καταλύσωμεν τὴν ἔχθραν, καὶ εἰρηνεύσωμεν πρὸς Θεὸν, διά γε τοῦ καθυφεῖναι μὲν αὐτῷ τὸν αὐχένα, πειρᾶσθαι δὲ κατορθοῦν τὸ ἀρέσκον αὐτῷ. Ἀλλ' αὕτη, φησὶν, ἡ παιδεία, ἣν ἐπενεχθῆναι μᾶλλον ἐχρῆν τοῖς ἡμαρτηκόσιν, ἵνα καταλλάξειαν (1) πολεμοῦντες Θεῷ, ἦλθεν ἐπ' αὐτόν. Καὶ τοῦτο, οἶμαι, τὸ, Παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν. Σαφέστερον δὲ καθίστησι τὴν τοῦ προκειμένου διάνοιαν, ἐπενεγκὼν εὐθὺς, Τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πέπονθε γὰρ, ὡς ἔφην, ὑπὲρ ἡμῶν. Πάντες μὲν γὰρ ὡς πρόβατα ἐπλανήθημεν· D ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. Οὐκοῦν πεπλανήμεθα μὲν ἡμεῖς, ἀπέστημεν Θεοῦ ζῶντος, κατακολουθήσαντες ταῖς ἑαυτῶν ἡδοναῖς. Ὁ δέ γε τῶν ὅλων Κύριος, τουτέστιν ὁ Θεὸς καὶ Πατὴρ, διὰ τὰς ἡμῶν ἁμαρτίας παρέδωκεν αὐτὸν, ἵνα ἡμᾶς ἀπαλλάξῃ δίκης, καὶ διασώσῃ πιστεύσαντας. Καὶ τοῦτο εἰδὼς αὐτὸς ἔφη Χριστός. « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον (2). »

[60] II Cor. v. 14. [61] Ibid. 15. [62] Joan. III, 16.

(1) Humfr. legisse videtur : καταλήξειαν.

(2) Sequuntur in Vatic. cod. scholia duo, quorum prius sic habet : *Σχόλια εἰς τὸ, Ἐλογισάμεθα* Ὑπελάμβανον αὐτὸν οἱ τῷ ξύλῳ προσηλωμένον ὁρῶντες, ὑπὲρ πλείστων ἁμαρτημάτων κολάζεσθαι. καὶ δίκας τιννύειν ὑπὲρ οἰκείων πλημμελημάτων. Διὸ καὶ μέσον αὐτὸν δύο κακούργων οἱ Ἰουδαῖοι προσήλωσαν, πονηρὰν αὐτῷ δόξαν κατασκευάσαι βουλόμενοι. Ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου διδάσκει. ὅτι αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας

Καὶ αὐτὸς δὲ διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει A *τὸ στόμα αὐτοῦ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον.*

Ἐμφανὴς μὲν λίαν τῶν προκειμένων ὁ νοῦς, εἰρήσεται δὲ καὶ οὕτως ἀνὰ μέρος ἕκαστα πρὸς ἡμῶν, μὴ ἄρα πως καὶ ἀσυμφανὲς εἶναί τι δόξειεν ἔσθ' ὅτε τισίν. Ἐκρίνετο μὲν γὰρ παρὰ τοῖς τῶν Ἰουδαίων καθηγηταῖς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Εἶτά τινες ἦχον εἰς μέσον συκοφαντοῦντες αὐτὸν, καί τινα παρ' αὐτοῦ κατὰ τῆς τοῦ Θεοῦ δόξης εἰρῆσθαι διαβεβαιούμενοι. Ἀλλ' οὐδὲν πρὸς ταῦτα Χριστὸς ἀπεκρίνατο· B ἠπίστατο γὰρ ὀνήσουσαν μὲν οὐδὲν παντελῶς τὴν ἀπολογίαν· ἐκρίνετο γὰρ παρ' ἐχθροῖς. Ὅτι δὲ θερμοτέροις κατ' αὐτοῦ κεχρήσονται θυμοῖς Υἱὸν ἑαυτὸν εἶναι λέγοντος τοῦ Θεοῦ, Σωτῆρά τε καὶ Λυτρωτὴν τῆς ὑπ' οὐρανὸν, οὐκ ἠγνόησε πάλιν. Σεσίγηκε τοίνυν, παρά γε αὐτοῖς καὶ Πιλάτῳ κρινόμενος, πλὴν ὀλίγα καὶ μόλις εἰπὼν, εἰς τὸ ἀπροφάσιστον αὐτοῖς καταστῆσαι τὴν ἁμαρτίαν. Ὁ μὲν γὰρ ἀπηνὴς καὶ ἀνόσιος Καϊάφας ἤρετο λέγων· « Ὁρκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. » Ὁ δὲ πρὸς τοῦτο εὐθύς· « Ἀπάρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. » Ἤρετο δὲ καὶ Πιλάτος, εἰ βασιλεύς ἐστι C τοῦ Ἰσραὴλ, καὶ πρός γε ταῦτα Χριστός· « Σὺ εἶπας τοῦτο. » Ἐντεῦθεν ταῖς τῶν Ἰουδαίων ἀπονοίαις σύνδρομος ἦν ὁ Πιλάτος· καὶ μαστιγώσας τὸν Ἰησοῦν, ἀποφέρειν ἐκέλευσε τοῖς ὑπ' αὐτὸν στρατιώταις λῃσταῖς ἀναμὶξ ἐπὶ τὸ χρῆναι παθεῖν τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. Ἀληθὲς οὖν, ὅτι, καθά φησιν ὁ προφήτης, Διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα. Μυρία γὰρ ὅσα πεπονθὼς κατὰ τὸν τῆς συλλήψεως καιρὸν, ὕβρεις τε ὑπομείνας, καὶ ἐμπτύσματα, καὶ τὰ ἐκ τῶν ἀνοσίων ὑπηρετῶν ῥαπίσματα, ἕτερά τε πρὸς τούτοις, ἅπερ ἦν εἰκὸς δύνασθαι κακῶς διαθεῖναι τὸν πεπονθότα, προσεκομίσθη τῷ Πιλάτῳ. Ἀπὸ δὴ τοῦ κεκακῶσθαι, φησὶν, οὐκ ἀνοίγει τὸ στόμα· ἀλλ' ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς

VERS. 7, 8. *Et ipse propter afflictionem non aperit os suum. Sicut ovis ad victimam ductus est, et sicut agnus coram tondente ipsum mutus, sic non aperit os suum. In humilitate judicium ejus sublatum est. Generationem ejus quis enarrabit? Quia tollitur de terra vita ejus; ab iniquitatibus populi mei ductus est ad mortem.*

Perspicua est sane horum verborum sententia; at a nobis singula particulatim dicentur, ne quid forte ulli obscurum esse videatur. Judicatus est enim Dominus noster Jesus Christus a præfectis Judæorum. Prodierunt deinde in medium quidam calumniantes eum, et quædam ab eo contra divinam majestatem dicta esse affirmantes. Sed ad hæc nihil respondit Christus, ut qui norit defensionem omnino nihil profuturam. Ab inimicis enim judicio accersitus est. Nam inflammatiore in illum animi impetu usuros, si Dei Filium se esse diceret, et orbis terrarum Servatorem ac Redemptorem, minime ignorabat. Tacuit igitur tum apud illos, cum apud Pilatum judicatus: et pauca ac vix locutus est, ut inexcusabile eorum peccatum redderet. Immitis enim et impius Caiphas interrogavit, dicens: « Adjuro te per Deum viventem, ut nobis dicas, sisne tu Christus Filius Dei? » Ad quod ille continuo: « Modo videbitis Filium hominis, sedentem a dextris potestatis, et venientem in nubibus cœli [64]. » Interrogavit etiam Pilatus, an esset rex Israel. Ad hæc Christus: « Tu dixisti hoc [65]. » Hinc Judæorum dementiæ consensit Pilatus, et flagellatum Jesum jussit milites suos inter latrones abducere, **747** ut in cruce mortem pateretur. Verum igitur est, sicuti dicit propheta: Propter afflictionem non aperit os. Infinita enim passus, postquam comprehensus est, et contumelias subiens et sputa, et impiorum ministrorum alapas, aliaque quibus verisimile est afflictum offendi posse, ad Pilatum adductus est. At propter afflictionem, inquit, non aperit os: sed velut ovis ad victimam ductus est, et velut agnus coram tondente, mutus. Ad tondendum enim suo tempore abducuntur oves, et pastores illis novaculas admovent. Quæ etsi patiantur, interdum etiam gladio pelles attingente, mœrent, ferunt et

[64] Matth. XXVI, 63, 64. [65] Matth. XXVII, 11.

ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Καὶ D σαφέστερον τοῦτο ποιεῖ διὰ τῶν ἑξῆς. Παιδεία γὰρ, φησὶν, εἰρήνης ἡμῶν ἐπ' αὐτὸν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Ἐχθροὶ γὰρ ὄντες Θεοῦ, ἅτε δὴ προσκεκρουκότες, παιδείαν καὶ τιμωρίαν ὀφείλομεν· ἀλλὰ ταύτης ἡμεῖς μὲν οὐκ ἐπειράθημεν, αὐτὸς δὲ ταύτην ὑπέμεινε Σωτὴρ ὁ ἡμέτερος.

Alterum his verbis, *Ἤχθη εἰς θάνατον*, quæ mox leguntur, subjicitur, cum hoc titulo: *Σχόλιον*· Ἔπρεπεν αὐτῷ τῷ ὁμοίῳ θεραπεῦσαι τὸ ὅμοιον, καὶ διὰ προβάτου τὴν τῶν προβάτων ἀνακαλέσασθαι πλάνην. Γίνεται δὲ πρόβατον, οὐκ εἰς πρόβατον μεταβληθεὶς, οὐδὲ τροπὴν ὑπομείνας, οὐδὲ τῆς οἰκείας οὐσίας ἐκστὰς, ἀλλὰ τοῦ προβάτου τὴν φύσιν σοφῶς ἐνδυσάμενος· ὡς πρόβατον τοιγαροῦν καὶ ἱερεῖον ἐγένετο, καὶ ὑπὲρ παντὸς γένους προσηνέχθη θυσία. Οὐχ ἁπλῶς δὲ ὁ προφήτης καὶ σφαγῆς ὁμοῦ καὶ κουρᾶς ἐμνημόνευσεν, ἀλλ' ἐπειδὴ Θεὸς ἦν καὶ ἄνθρωπος, τοῦ δὲ σώματος σφαττομένου ἀπαθὴς ἔμεινεν ἡ θεία φύσις, ἀναγκαίως ὁ θεσπέσιος Ἡσαΐας καὶ τοῦ προβάτου τὴν σφαγὴν, καὶ τοῦ ἀμνοῦ ἡμῖν ὑπέδειξε τὴν κουράν. Οὐ γὰρ μόνον, φησὶν, ἐσφάγη, ἀλλὰ καὶ ἀπεκείρατο. Καὶ γὰρ τὸ ἀνθρώπινον τὸν θάνατον ὑπέμεινεν· ὡς δὲ Θεὸς ζῶν, καὶ ἀπαθὴς μένων, τὸν τοῦ σώματος πόκον τοῖς κείρουσιν ἔδωκεν. Subest inscriptio. *Ἑρμηνεία*. Deinde, ἐμφανὴς μὲν, etc. Quæ scholia desunt in versione Humfredi. Utrum vero alicunde in textum irrepserint, nescio, cum in his commentariis nuspiam scholia istiusmodi cernantur. Ea ne perperam omissa quis expostulet, hic repræsentamus integra.

silent, et in eos qui hoc faciunt non insiliunt. Ita Christus conviciis appetitus, convicia non regessit, patiens non minatus est, sed juste judicanti rem commisit. Verum igitur est, in humilitate judicium ejus sublatum esse. Quia enim illis visus est contemptibilis quispiam, et valde demissus, facillimum calculum, seu judicium in eum proferunt. Quod quidem faciunt judices quidam, qui exactæ sententiæ et veritatis parum admodum pensi habent, et qui ex persona potius quam ex factis judicant. Si enim qui in judicium vocatur, sit aliquis in mundo illustris, exacti et acres inquisitores esse comperiuntur, et tum etiam fortassis veritati repugnantes undecunque subsidii genera et auxilii conantur excogitare. Sed ignobili quopiam adducto, tunc tunc præcipites, audaces et sine cunctatione omni, capitalem in eum ferunt sententiam. Sublatum est ergo judicium ejus in humilitate, inquit. Quoniam igitur visus est quibusdam apud Judæos vel judicibus plane humilis, propheta animo contemplatus nobilitatis quæ in illo erat amplitudinem, et quod Deus fuerit in specie nostra, visus terræ incolis, tantum non capite moto deplorat eos, qui judicium in eum statuerunt, et inquit : Generationem ejus quis enarrabit? Non etenim, inquit, ut putatis, contra plebeium et vilem hominem duri et iniqui judices exstitistis : sed in eum potius, cujus generationem vel ortum nulla vobis explicare potest oratio. Dupliciter autem hoc intelliges. Natus est enim ex Deo et Patre Deus Verbum : et nativitatis modus, nec oratione valet, nec intelligentia comprehendi. Non enim corporaliter **748** genitus est, sed ut naturæ sub intelligentiam cadenti et incorporeæ convenit. Lux enim resplenduit de luce, et vita ex vita ortus est. Et genitum esse vere, ex substantia Dei ac Patris, indubie credimus : at quomodo, non est facultatis nostræ, vel exprimere, vel cogitare. Sed cum esset natura Deus, se ipse demisit, ut propter nos exinanitionem pateretur, ac servi formam sumpsit, et nasci de muliere secundum carnem sustinuit, non humanæ tamen nativitatis leges secutus. Non enim ex viro et muliere ortus erat, sed mysticus potius et peregrinus, et supra nos, ac prope inenarrabilis. Dictum enim est sanctæ Virgini : « Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi. Ideo quod natum est sanctum, vocabitur Filius Dei [44]. » Quoniam vero supra naturæ suæ conditionem hoc carnalis nativitatis ejus mysterium factum esse creditur, propterea dicit propheta : Generationem ejus quis enarrabit? Quia tollitur de terra vita ejus. Tollitur, dicit, pro attollitur, et vita ejus terrenis hominibus est sublimior, id est, conversatio et ejus in carne vita. Solus enim ex omnibus, etsi nostræ conditionis homo visus sit, non patravit peccatum, neque inventus est dolus in ore ejus, cum mortalium in terra nemo hoc perfecerit. Nec enim inter nos quisquam est

A ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος. Ἀποφέρονται μὲν γὰρ εἰς τὸ καθαρθῆναι κατὰ καιροὺς τὰ πρόβατα, καὶ τὰς κουρίδας αὐτοῖς μαχαίρας ἐπιφέρουσιν οἱ ποιμένες. Τὰ δὲ, καίτοι πάσχοντα (παραψαύουσα γὰρ ἔσθ' ὅτε τῶν δερμάτων ἡ μάχαιρα λυπεῖ), φέρει καὶ σιωπῇ, καὶ τοῖς τοῦτο δρῶσιν οὐκ ἐπιπηδᾷ. Οὕτω καὶ ὁ Χριστὸς, λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. Ἀληθὲς οὖν, ὅτι Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη. Ἐπειδὴ γὰρ ἔδοξεν εἶναί τις αὐτοῖς εὐτελὴς, καὶ ἐν τοῖς ἄγαν ὑφειμένοις, προχειροτάτην κατ' αὐτοῦ τὴν ψῆφον, ἤτοι κρίσιν, ἐξενηνόχασι. Δρῶσι δὲ τοῦτο τῶν δικαζόντων τινὲς, οἷς ὀλίγος μὲν κομιδῇ τῆς ἀκριβείας, ἤτοι τῆς ἀληθείας, ὁ λόγος· προσώποις δὲ μᾶλλον, ἢ τοῖς γεγονόσι δικάζουσιν. B Εἰ μὲν γάρ τις εἴη τῶν ἐν κόσμῳ λαμπρῶν ὁ κρινόμενος, ἀκριβεῖς τῶν πραγμάτων ἐξετασταὶ εὑρίσκονται, τάχα που καὶ τότε τῇ ἀληθείᾳ μαχόμενοι, καὶ τρόπους ἐπικουρίας ἀνευρεῖν πειρώμενοι· ἀσήμου δέ τινος προσκεκομισμένου, τότε δὴ, τότε θερμοὶ, καὶ θρασεῖς, καὶ ἀοκνότατοι λίαν, καὶ τὴν ἐπὶ τοῖς ἐσχάτοις αὐτοῦ καταφέρουσι ψῆφον. Ἤρθη τοίνυν ἡ κρίσις αὐτοῦ ἐν τῇ ταπεινώσει αὐτοῦ, φησίν. Ἐπειδὴ δὲ ὅλως ἔδοξέ τισιν εἶναι παρὰ τοῖς Ἰουδαίοις, ἤτοι τοῖς κρίνουσι, ταπεινὸς, ἐννοήσας ὁ προφήτης τῆς ἐνούσης εὐκλείας αὐτῷ τὸ περιφανὲς, καὶ ὅτι Θεὸς ἦν, ἐν εἴδει τῷ καθ' ἡμᾶς ὁρώμενος τοῖς ἐπὶ τῆς γῆς· μονονουχὶ κατασείει τὴν κεφαλὴν, καὶ κατοδύρεται τοὺς τὴν ἐπ' αὐτῷ κρίσιν ὁρίσαντας, καί φησι· Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; C Οὐ γὰρ κατὰ τοῦ τυχόντος, φησὶν, ὡς γοῦν ᾠήθητε, σκληροὶ καὶ ἄδικοι γεγόνατε δικασταί· κατὰ τούτου δὲ μᾶλλον, οὗ τὴν γενεὰν, ἤτοι τὴν γέννησιν, οὐδεὶς ἂν ἡμῖν διερμηνεύσει[ε] λόγος. Διχῇ δὲ τοῦτο νοήσεις. Γεγέννηται μὲν γὰρ ἐκ Θεοῦ Πατρὸς Θεὸς ὢν ὁ Λόγος, ἄῤῥητος δὲ καὶ ἀπερινόητος παντελῶς ὁ τῆς γεννήσεως τρόπος. Οὐ γὰρ κατὰ σῶμα γέγονεν, ἀλλ' ὡς ἂν πρέποι τῇ νοερᾷ τε καὶ ἀσωμάτῳ φύσει. Φῶς γὰρ ἐξέλαμψεν ἐκ φωτὸς, ἀνέφυ δὲ καὶ ζωὴ ἐκ ζωῆς· καὶ ὅτι μὲν ἐγεννήθη κατὰ ἀλήθειαν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, ἀνενδοιάστως πιστεύομεν· τὸ δὲ ὅπως, εἰπεῖν ἢ νοεῖν οὐκ ἔστι. Θεὸς δὲ ὢν φύσει, καθῆκεν ἑαυτὸν εἰς τὸ ἑλέσθαι παθεῖν δι' ἡμᾶς τὴν κένωσιν. Ἔλαβε δὲ δούλου μορφὴν, καὶ ὑπέμεινε γέννησιν τὴν κατὰ D σάρκα ἐκ γυναικὸς, οὐ τοῖς τῆς ἀνθρωπείας φύσεως ἀκολουθήσας νόμοις. Οὐ γὰρ ἐξ ἀνδρὸς, ἢ γυναικὸς ἡ πρόοδος· μυστικὴ δὲ μᾶλλον, καὶ ξένη, καὶ ὑπὲρ ἡμᾶς, καὶ ἐγγὺς ἀδιήγητος. Εἴρηται γὰρ πρὸς τὴν ἁγίαν Παρθένον, ὅτι « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. » Ἐπειδὴ δὲ, καὶ ὑπὲρ φύσιν τὴν καθ' ἡμᾶς πεπρᾶχθαι πιστεύεται τὸ τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ μυστήριον, διὰ τοῦτό φησιν ὁ προφήτης, ὅτι Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Τὸ δὲ, Αἴρεται, φησὶν, ἀντὶ τοῦ, Ἐπαίρεται, καὶ ὑψηλοτέρα τῶν ἐπὶ τῆς γῆς ἐστιν ἡ ζωὴ αὐτοῦ,

[44] Luc. I, 35.

τουτέστιν ἡ πολιτεία καὶ ὁ κατὰ σάρκα βίος. Μόνος γὰρ ἐκ πάντων, καίτοι καθ' ἡμᾶς ὁρώμενος ἄνθρωπος, οὐχ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, καίτοι τοῦτο κατωρθωκότος οὐδενὸς τῶν ἐπὶ τῆς γῆς· ἀμώμητος γὰρ παντελῶς ἐν ἡμῖν οὐδείς. Αἴρεται δὲ καὶ ἑτέρως, καὶ ὑπὲρ πάντας ἐστὶ τοὺς ἐπὶ τῆς γῆς ἡ ζωὴ, τουτέστιν ἡ ὕπαρξις, τοῦ Μονογενοῦς, ὅταν ἔξω νοῆται σαρκὸς, καὶ οὔπω καθ' ἡμᾶς γενόμενος ἄνθρωπος. Οὗ τοίνυν παράδοξος καὶ ὑπὲρ φύσιν ἡ κατὰ σάρκα γέννησις, τούτου καὶ ἡ ζωὴ καὶ ὁ βίος ὑπερνήχεται τὸ μέτρον τῶν ἐπὶ τῆς γῆς. Ἀλλ' ὥσπερ τινὸς πρὸς ταῦτα λέγοντος· Πῶς ὁ μὴ εἰδὼς ἁμαρτίαν, ψήφοις ὑπενήνεκται θανάτου, καὶ μετὰ τῶν ἀνόμων ἐλογίσθη; Καταχέκριται γὰρ ὡς ἁμαρτωλός· μονονουχὶ καὶ ἀντανίσταται λέγων ὁ Θεὸς καὶ Πατήρ· Ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. Ἢ γὰρ τοῦτό φησιν, ὅτι Ὑπὲρ τῆς ἁμαρτίας τοῦ λαοῦ μου τὴν τοῦ θανάτου ψῆφον ὑπομεμένηκεν ἑκὼν, ἤγουν ἐκεῖνό που τάχα. Ἐπειδὴ γὰρ ἀνομώτατοι, φησὶ, γεγόνασιν οἱ τελοῦντες εἰς τὸν ἐμὸν λαὸν, διὰ τοῦτο τῆς αὐτῶν ὠμότητος, καὶ μιαιφονίας, καὶ ἐπ' αὐτὸν ἦλθον οἱ βρόχοι, ἤχθη δὲ οὗτος εἰς θάνατον· Ἀληθὲς δὲ πάντως τοῦτό τε κἀκεῖνο. Ἀπέθανε γὰρ ἵνα καταργήσῃ τὴν ἁμαρτίαν τῶν ἐπὶ τῆς γῆς, καὶ σὺν αὐτῇ τὸν ἐξ αὐτῆς ἀναφύντα καταλύσῃ θάνατον. Ἀπέθανε καὶ ἑτέρως, ἀνομησάντων εἰς αὐτὸν Ἰουδαίων. Καίτοι γὰρ ἐπεγνωκότες ὅτι αὐτός ἐστιν ὁ κληρονόμος, εἶπον ἐν ἑαυτοῖς· «Δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν ἑαυτοῖς τὴν κληρονομίαν αὐτοῦ.»

A omnino qui reprehensione careat. Tollitur etiam alio modo, et supra omnes mortales est vita, id est, Unigeniti essentia, quando extra carnem intelligitur, et antequam factus sit homo nostri similis. Cujus igitur generatio carnalis omnem opinionem et naturam superat: hujus etiam vita et vivendi institutum ac ratio mortalium hominum mensuram excedit et longe præeminet. Cæterum perinde quasi contra hæc diceret quispiam: Quomodo qui peccatum non novit, sententiæ mortis subjectus est, et cum iniquis reputatus est? condemnatus est enim ut peccator: propemodum occurrit Deus et Pater, et inquit: Ab iniquitatibus populi mei ductus est ad mortem. Vel enim hoc dicit: Pro peccato populi mei, volens mortis sententiam subiit; vel illud for-
B tassis: Quia nimirum, inquit, iniquissimi exstiterunt hi qui populo meo accensi sunt, propterea eorum crudelitatis et cædis laquei in illum devenerunt, itaque ad mortem ductus est. Verum omnino est et hoc et illud. Mortuus enim est, ut mortalium aboleret peccatum, et una cum eo mortem ex illo
749 enatam deleret. Mortuus est alio modo etiam, Judæis in illum inique agentibus. Etsi enim agnoverunt eum esse hæredem, apud se dixerunt: « Venite, occidamus eum, et hæreditatem ejus nobis occupemus [67]. »

Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. Ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

Ἔοικεν ἐν τούτοις ἐκεῖνο βούλεσθαι δηλοῦν, καὶ ἀληθὲς ὂν ἀποφαίνειν, ὅπερ ἔφαμεν ἀρτίως, ὅτι διὰ τὸ εἶναι δυσσεβεῖς σφόδρα, καὶ ἀνομωτάτους τοὺς τελοῦντας εἰς λαὸν Θεοῦ, ἤχθη Χριστὸς εἰς θάνατον. Ἐπειδὴ γὰρ, φησὶν, πεπαρφνήκασιν εἰς αὐτὸν ἀνοσίως, καὶ ἀρχηγὸν ὄντα τῆς ζωῆς ἀπεκτόνασι, δυσσεβοῦντες ἀφυλάκτως καὶ εἰς αὐτὸν τὸν σώζοντα· ταύτῃτοι καὶ μάλα δικαίως τοὺς πονηροὺς καὶ πλουσίους δώσω, φησὶν, εἰς χεῖρας ἐχθρῶν, ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ ἀντὶ τοῦ θανάτου αὐτοῦ. Πεπλημμελήκασι γὰρ Ἰουδαῖοι κατὰ δύο τρόπους, καὶ ἀπεκτονότες τὸν Κύριον, καὶ συκοφαντοῦντες αὐτοῦ τὴν ταφήν. Καὶ τίνα τρόπον, ἐροῦμεν. Ἐτάφη μὲν γὰρ ὑπομείνας τὸν κατὰ σάρκα θάνατον· πλὴν ἀνεβίω τριήμερος, σεισμοῦ γεγονότος ἐν τῷ μνημείῳ· ὥστε καὶ τοὺς φυλάσσοντας στρατιώτας ἐν αἰσθήσει γενέσθαι τοῦ πράγματος, ἀφικέσθαι τε πρὸς τοὺς τῶν Ἰουδαίων καθηγητὰς, ἀπαγγεῖλαί τε τοῦτο, καὶ αὐτὴν δὲ τὴν ἀνάστασιν. Οἱ δὲ, καθά φησιν ὁ εὐαγγελιστὴς, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, ἵνα εἴπωσιν, ὅτι οἱ μαθηταὶ αὐτοῦ ἐλθόντες νυκτὸς ἔκλεψαν αὐτόν. Καὶ ἐφημίσθη ὁ λόγος οὗτος παρὰ τοῖς Ἰουδαίοις μέχρι τῆς σήμερον ἡμέρας. Οὐκοῦν διττοῖς πλημμελήμασι γράφεται τοὺς ἠσεβηκότας ὁ Θεὸς καὶ Πατήρ· πονηροὺς δὲ αὐτοὺς καὶ πλουσίους

C VERS. 9. *Et dabo improbos pro sepultura ejus, et divites pro morte ejus. Quia iniquitatem non fecit, neque inventus est dolus in ore ejus.*

Videtur in his verbis illud velle significare, et id verum esse ostendere, quod jam diximus, eo quod impii admodum et iniquissimi fuerant, qui populo Dei accensi erant, propterea Christum esse ad mortem abreptum. Nam, inquit, quandoquidem impie in illum debacchati sunt, et principem vitæ interfecerunt, inconsiderate impietatem in eum etiam qui servat exercentes: hinc et quidem valde merito improbos et divites, inquit, pro sepultura ejus et pro morte ejus, dabo in manus hostium. Duobus enim modis deliquerunt Judæi, tum quod interfece-
D rint Dominum, tum quod ejus sepulturam calumniati fuerint. Quo autem modo, dicemus. Sepultus est enim postquam carnis mortem subiisset, et tamen tertio die revixit, terræ motu quodam excitato in monumento, adeo ut milites custodientes rem sentirent, et ad Judæorum præfectos irent, eamque nuntiarent, ipsamque resurrectionem. Hi vero, sicuti evangelista refert, argenteos multos dederunt militibus, ut dicerent discipulos ejus venisse noctu, eumque surripuisse [68]. Estque hic sermo divulgatus apud Judæos ad hodiernum usque diem. Itaque ob hæc duo scelera accusat eos qui impie prævaricati sunt, Deus et Pater; et eos malos appellat et divites: malos, ut qui calumniati

[67] Matth. XXI, 38. [68] Matth. XXVIII, 12, 13.

fuerint, et vanis de causis Jesum occiderint; divites autem, quod pecunia persuaserint Pilati satellitibus venerandum et magnum resurrectionis mysterium calumniari. Est etiam verisimile alio modo eos dictos esse divites : nimirum subinnuit et tacite sugillat hæc oratio, hac de causa eos insidias struxisse Christo, quo divitias habere possent inique coacervatas, e non recte judicando, et quos possent avare spoliando. Dixit nimirum de illis voce Isaiæ: « Principes tui non obediunt, socii **750** sunt furum, diligunt munera, consectantur præmium, pupillis non judicant, et judicium viduæ non attendunt [69]. » Voluerunt etiam sermonem fidei non recipi, cogitantes, cessante legali cultu, se debere quæstibus et emolumentis sacerdotii excidere. Recipiebant enim primitias, et decimas, et minutissima quæque exacte ac præcise colligebant. Siquidem hoc illis probro dedit Christus dicens : « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia decimatis mentham, et anethum, et cuminum; et quæ graviora legis sunt omisistis, judicium, et misericordiam, et fidem [70]. » Convicti sunt etiam ut avari, alio quoque nomine ; nam, ut supra dixi, dominicam sortem ad se transferentes, domino vineæ insidias compararunt. Quod autem justo judicio dederit Deus malos et divites pro morte et sepultura Christi, aperte demonstrat, mox inferens : Quia iniquitatem non fecit, neque inventus est dolus in ore ejus. Quæ ergo oratio Judæis patrocinabitur, in die judicii? Deus enim et Pater, aperte testatus est de Filio, eum esse culpa vacuum. Nec enim inventus est dolus, id est mendacium, in ore ejus, nec fecit iniquitatem. Itaque nec facto nec dicto legis transgressor erat, et ad culmen omnis puritatis pervenit. At isti mentiti sunt, et testimonium tulerunt contra illum, dicentes Pilato, modo quidem : « Hic concitat populum, et vetat dare tributa Cæsari [71] ; » modo rursus: « Si hic maleficus non fuisset, eum tibi non tradidissemus [72]. » Contranituntur igitur testimonio Patris, irreprehensibilem illum et justum criminibus non veris arcessentes ; hanc ob rem traditi sunt hostibus. « Quia vult Dominus purgare eum a plaga [73]. » Etenim si qui in illum debacchati sunt, pœnas non luissent, verisimile est quosdam suspicaturos et dicturos, sancto judicio et calculó Christum fuisse condemnatum, ut qui reus fuerit criminis quod ei impingebatur. Illato autem supplicio, et debita pœna illis irrogata qui in eum impii fuerunt, a plaga purgatur. Non enim iratus esset Deus, nec suum populum despexisset, nec immisisset ei extremas calamitates, nisi Sanctum et Justum negassent, eum calumniis insectantes, **751** et ligno affigentes, et omni inhumanitate inmaniores fuissent.

A ἀποκαλεῖ· πονηροὺς μὲν ὡς συκοφαντήσαντας, καὶ ἐπ' αἰτίαις μὲν ἑώλοις ἀπεκτονότας τὸν Ἰησοῦν· πλουσίους δὲ, ὅτι χρήμασι πεπείκασι τοὺς Πιλάτου δορυφόρους, τὸ σεπτὸν καὶ μέγα τῆς ἀναστάσεως συκοφαντῆσαι μυστήριον. Εἰκὸς δὲ καὶ καθ' ἕτερον τρόπον πλουσίους αὐτοὺς ὠνομάσθαι, ὡς αἰνιττομένου τε καὶ ὑποπλήττοντος τοῦ λόγου, ὅτι ταύτης ἕνεκα τῆς αἰτίας ἐπεβούλευσαν τῷ Χριστῷ, ἵνα ἔχοιεν αὐτοὶ πλοῦτον ἀδίκως σεσωρευμένον, τὸν ἀπό γε τοῦ μὴ κρίνειν ὀρθῶς, καὶ οὓς ἂν δύνωνται πλεονεκτεῖν. Ἔφη γοῦν περὶ αὐτῶν διὰ φωνῆς Ἡσαΐου· « Οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα. ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. » Ἀπαράδεκτον δὲ καὶ τὸν τῆς πίστεως ἐποιοῦντο λόγον, ἐννοοῦντες, B ὅτι παυσομένης τῆς ἐν νόμῳ λατρείας, ἐκπίπτουσι κερδῶν τῶν ἀπό γε τῆς ἱερωσύνης· ἐκομίζοντο γὰρ ἀπαρχὰς, καὶ δεκάτας, καὶ μέχρις αὐτῶν τῶν εὐτελεστάτων ἀκριβολογούμενοι. Καὶ γοῦν ὠνειδίζοντο παρὰ Χριστοῦ λέγοντος· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ ἄνηθον, καὶ τὸ κύμινον· καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸ ἔλεος, καὶ τὴν πίστιν. » Ἁλίσκονται δὲ φιλόπλουτοι, καὶ καθ' ἑτέραν αἰτίαν· ὡς γὰρ ἔφην φθάσας, τὸν δεσποτικὸν εἰς αὐτοὺς μετατιθέντες κλῆρον, ἐπεβούλευσαν τῷ τοῦ ἀμπελῶνος δεσπότῃ· ὅτι δὲ τῇ θείᾳ ψήφῳ δέδωκεν ὁ Θεὸς τοὺς πονηροὺς καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου καὶ τῆς ταφῆς τοῦ Χριστοῦ, διαδείκνυσιν ἐναργῶς, ἐπιφέρων εὐθύς· « Ὅτι C ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Ποῖος οὖν ἄρα τοῖς Ἰουδαίοις ἐπικουρήσει λόγος ἐν ἡμέρᾳ κρίσεως; Ὁ μὲν γὰρ Θεὸς καὶ Πατὴρ μεμαρτύρηκεν ἐναργῶς τὸ ἀναμάρτητον τῷ Υἱῷ. Οὔτε γὰρ εὑρέθη δόλος, τουτέστι ψεῦσμα, ἐν τῷ στόματι αὐτοῦ, οὔτε μὴν ἐποίησεν ἀνομίαν. Οὐκοῦν ἔργῳ τε καὶ λόγῳ πανάμωμος ἦν, καὶ εἰς λῆξιν ἁπάσης καθαρότητος διελήλακεν. Οἱ δὲ κατεψεύδοντο καὶ κατεμαρτύρουν αὐτοῦ, Πιλάτῳ λέγοντες, ποτὲ μὲν, ὅτι « Οὗτος ἀνασείει τὸν λαὸν, καὶ κωλύει διδόναι φόρους Καίσαρι· » καὶ πάλιν, « Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἂν σοι παρεδώκαμεν αὐτόν. » Ἀντιπράττουσι τοίνυν ταῖς τοῦ Πατρὸς μαρτυρίαις, τὸν ἀμώμητον καὶ δίκαιον αἰτιάμασιν D ὑποφέροντες τοῖς οὐκ ἀληθέσι, καὶ ταύτης ἕνεκα τῆς αἰτίας παρεδόθησαν ἐχθροῖς. « Ἐπειδὴ βούλεται Κύριος καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς. » Δίκας μὲν γὰρ οὐκ ἐκτετικότων τῶν εἰς αὐτὸν πεπαρῳνηκότων, ἦν τάχα πού τινας εἰκὸς ὑπονοῆσαι λέγειν, ὡς ὁσίᾳ ψήφῳ κατεδικάσθη Χριστὸς, ἅτε δὴ καὶ ἔνοχος κατὰ στὰς ἐπενεχθείσης αἰτίας αὐτῷ. Ἐξενεχθείσης δὲ τῆς ὀργῆς, καὶ τοῖς εἰς αὐτὸν δεδυσσεβηκόσιν ἀναλόγου κολάσεως ἐπενηνεγμένης, καθαρίζεται τῆς πληγῆς. Οὐ γὰρ ἂν ἠγανάκτησε Θεὸς, οὐδ' ἂν ὑπερεῖδε τὸν ἑαυτοῦ λαὸν, οὐδ' ἂν τοῖς ἐσχάτοις αὐτοὺς ἐνῆκε κακοῖς, εἰ μὴ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσαντο, συκοφαντοῦντες αὐτὸν, καὶ προσηλοῦντες αὐτὸν τῷ ξύλῳ, καὶ ὑπεράνω πάσης ἰόντες ἀπανθρωπίας.

[69] Isa. I, 23. [70] Matth. XXIII, 23. [71] Luc. XXIII, 2. [72] Joan. XVIII, 30. [73] Isa. XLII 21.

Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. Καὶ βούλεται Κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνήσει [vulg. *ἀνοίσει*]. *Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη.*

Ἐγκαλέσας τοῖς ἐξ Ἰσραὴλ, ὡς ἀπεκτονόσιν ἀδίκως τὸν τῆς ζωῆς χορηγὸν, καὶ τῆς ἁπάντων σωτηρίας πρύτανιν, μεθίστησι τοὺς λόγους ἐπὶ τὰς τῶν ἐθνῶν ἀγέλας, καὶ δὴ καί φησιν ὡς πρὸς αὐτάς· Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. Ὅμοιον δὲ ὡς εἰ λέγοι σαφῶς· Τέθεικεν ὑπὲρ ὑμῶν τὴν ἑαυτοῦ ψυχὴν ὁ Χριστός· ἠγόρασεν ὑμᾶς ἐν αἵματι τῷ ἰδίῳ, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἵνα ὑμῶν κατορθώσῃ τὴν σωτηρίαν. Ἂν τοίνυν ἀμείψησθε καὶ ὑμεῖς αὐτοὶ, καὶ καταθῆσθε ὥσπερ ἐν ὀφλήματος τάξει τὸ εὐήνιον, καὶ ὑπαγάγητε τὸν αὐχένα τοῖς αὐτοῦ ζυγοῖς· τότε ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον, τουτέστιν, ἔσεσθε κοινωνοὶ τῶν εἰς μακραίωνα βίον τετηρημένων, ἁγίων δὲ δηλονότι, οἳ τῆς εἰς αἰῶνα ζωῆς τὴν ἐλπίδα πεπλουτήκασιν. Οὐδεὶς μὲν γὰρ παρ' Ἕλλησι λόγος τῆς τῶν νεκρῶν ἀναστάσεως ἦν, ἀπιστεῖται δὲ καὶ εἰς δεῦρο τὸ μυστήριον. Μονονουχί φασι τὸ, ὅτι Καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν, οὗ σβεσθέντος, τέφρα ἀποβήσεται τὸ πᾶν, καὶ τὸ πνεῦμα διαχυθήσεται ὡς χαῦνος ἀήρ. Παρὰ δέ γε τοῖς τῆς Ἐκκλησίας τροφίμοις, ἐλπὶς ἀκράδαντος ἡ ἀνάστασις τῶν κεκοιμημένων ἦν, καὶ τοῖς ἔθνεσιν ὑπισχνεῖται Θεὸς, εἴπερ ἕλοιντο τὴν ἀντέκτισιν τῆς ἑαυτῶν ψυχῆς προσκομίσαι Χριστῷ τῷ παθεῖν ἑλομένῳ διὰ τὴν αὐτῶν ἁμαρτίαν. Ὀφείλημα δὲ τὸ πρὸς ἡμῶν ὁποῖον ἄρα ἐστὶ, σαφηνιεῖ λέγων ὁ Παῦλος· « Εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. » Οὐκοῦν ἐπωφλήσαμεν αὐτῷ τὴν ἑαυτῶν ζωήν. Διὰ τοῦτό φησιν· « Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. » Ὅ γε μὴν ἑαυτὸν ἀρνούμενος, οὐ τὴν αὐτῷ καθ' ἡδονὴν ἔτι διαβιώσεται ζωὴν, ἐκείνην δὲ μᾶλλον, ἥπερ ἂν νοοῖτο Χριστοῦ, τουτέστιν ἁγίαν, καὶ ἀμώμητον, καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Παῦλος, ὃς δὴ καὶ γέγραφεν ἐναργῶς· « Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον· ἵνα Θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι. Ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ. » Ἄθρει δὴ οὖν ὅπως δέδωκε περὶ ἁμαρτίας, ἀναθεὶς ὥσπερ τῷ δι' αὐτὸν παθόντι τὴν ἑαυτοῦ ζωήν. Ἀκηκόαμεν γὰρ λέγοντος τοῦ Χριστοῦ τοῖς ἑαυτοῦ γνωρίμοις· « Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὁ ἀγαπῶν υἱὸν,

VERS. 10-12. *Si dederitis pro peccato, anima vestra videbit semen longævum. Et vult Dominus auferre de dolore animam ejus, ostendere ei lumen et formare intelligentia, justificare justum, bene servientem multis, et peccata eorum ipse remittet. Quapropter ipse possidebit multos, et fortium dividet spolia. Pro eo quod tradita est in mortem anima ejus, et inter iniquos reputatus est, et ipse peccata multorum tulit, et propter peccata eorum traditus est.*

Israelitis accusatis, ut qui injuste occiderunt vitæ datorem et largitorem, omniumque salutis dispensatorem: ad gentium congregationem convertit orationem, et eam sic affatur: Si dederitis pro peccato, anima vestra videbit semen longævum. Perinde est ac si aperte dicat: Posuit pro nobis animam suam Christus: sanguine proprio nos redemit, ignominia contempta crucem subiit, ut nobis salutem procuraret. Si ergo vos reddere vices velitis, si debiti loco quasi obedientiam reposueritis, ejusque jugo cervicem subjeceritis: tunc anima vestra semen longævum videbit, id est, socii eorum eritis, qui ad longam vitam reservantur, sanctorum videlicet, qui æternæ vitæ spe locupletati sunt. Nulla enim apud Græcos erat mortuorum resurrectionis ratio, nulla cura: sed nec adhuc fides adhibetur mysterio, imo tantum non dictitant fumum esse flatum hunc in naribus nostris, quo exstincto, omnia in cinerem recidunt, et hic spiritus tanquam inanis aer diffundetur. Cæterum apud Ecclesiæ alumnos spes inconcussa est resurrectio dormientium, idque promittit Deus gentibus, siquidem voluerint retributionem animarum suarum offerre Christo, qui propter eorum peccatum pati voluit. Debitum autem nostrum cujusmodi sit, declarabit Paulus, dicens: « Unus enim pro nobis mortuus est, ut qui vivunt, non amplius sibi vivant, sed ei qui pro ipsis mortuus est et excitatus [74]. » Debemus ergo illi nostram vitam. Ideoque dicit: « Si quis velit post me venire, abneget semetipsum, et tollat crucem suam, et sequatur me [75]. » **752** At qui se negat, non jam vitam vivet voluptuariam, sed eam quæ Christi esse intelligatur, id est, sanctam et irreprehensibilem: quemadmodum certe divinus Paulus, qui diserte scripsit: « Ego enim per legem legi mortuus sum, ut Deo vivam, cum Christo crucifixus sum. Vivo autem, non jam ego, sed vivit in me Christus. Quod vero nunc in carne vivo, in fide vivo, fide, inquam, Filii Dei, qui dilexit me, et tradidit seipsum pro me. Non repudio gratiam Dei [76]. » Vide ergo quo pacto se dederit pro peccato, consecrans quasi ei qui pro ipso passus est, suam vitam. Audivimus enim Christum dicentem suis familiaribus: « Qui diligit patrem vel matrem supra me, non est me dignus. Et qui diligit filium vel filiam supra me, non est me dignus [77]. » Etenim mater et pater hominis, princi-

[74] II Cor. v, 15. [75] Matth. xvi, 24. [76] Gal. ii, 19-21. [77] Matth. x, 37.

pium et causa ei exstiterunt corporalis essentiæ: universorum autem Deus et Pater morte detentos, et instar herbarum marcidos, ad immortalitatem per Christum in Spiritu regeneravit, fortioresque reddidit quam ut corrumpi possent, et diuturna atque infinita vita coronavit. Itaque hac erga illum charitate non sine causa inferior est illa in parentes reverentia: at Christum tota anima et corde diligere, et nutibus ac sacrosanctis oraculis obsequi, hoc est dare pro peccato, et simul fidem in illum rectam et inculpatam retinere. Videbit ergo, inquit, anima vestra semen longævum. Vult enim Dominus auferre laborem animæ ejus, et ei lucem ostendere, ac formare intelligentia. Valde enim tristis erat, ante pretiosam crucem, usque ad mortem. Sic namque a sanctis evangelistis scriptum est. Postquam vero calcatis inferis, tertio die revixerat, moxque contuitus esset hominis naturam in seipso transformatam ad immortalitatem, et Dei ac Patris benevolentiam per universam jam terram amplificari, ac gentium multitudinem collustratum iri, et pristino ac simul cum ipsis enutrito errore abduci, et ad agnitionem sui ac Patris vocari: abjecit passionis laborem, et victoriam dedit bene sentientibus. Simul enim atque e mortuis excitatus est, et quia bonus est, valde de mundi salute ac vita gavisus, sanctis discipulis dixit:
753 « Data est mihi omnis potestas et in cœlo et in terra. Ite, docete omnes gentes, baptizantes eos in nomen Patris, et Filii, et sancti Spiritus [78]. » Si ergo dederitis pro peccato, eritis etiam ipsi longinqui seminis, videlicet sanctorum participes. Vult enim Deus et Pater auferre laborem animæ ejus, scilicet Christi, id est, crucis tristitiam commutare gaudio: monstrando illi translatos in lucem, qui quondam erant tenebræ, id est, qui quondam erraverunt: quibus etiam sapientissimus Paulus in Epistola scribit, dicens: « Qui quondam tenebræ, nunc autem lux in Domino [79]. » Vult formare intelligentia. Quid autem hoc sit, docebit sapientissimus Paulus, cum dicit: « Nos enim omnes retecta facie gloriam Domini speculantes, ad eamdem imaginem transformamur, a gloria in gloriam, tanquam a Domini Spiritu [80]. » Qui enim versantur in peccatis, et creaturam præ Creatore colunt, deforme habent cor aliquo modo, et animum fœdissimum. Ad quemdam igitur dictum est voce Jeremiæ: « Ecce non sunt oculi tui, nec cor tuum pulchrum [81]. » Sed cum fidem in Christum amplectuntur, transformantur intelligibiliter ad divinam ejus et excellentem pulchritudinem. Scribit enimvero ad quosdam sapientissimus Paulus: « Filioli, quos iterum parturio, quoad formetur in vobis Christus [82]. » Vult autem Deus et Pater intelligentia, id est sua sapientia, divina scilicet, eos qui in ipsum credunt formare, ipsique conformes reddere per sanctificationem in spiritu. « Nam, inquit, quos novit, et

A ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. » Μήτηρ μὲν γὰρ ἀνθρώπου καὶ πατὴρ, ἀρχὴ καὶ πρόφασις αὐτῷ γεγόνασι τῆς εἰς τὸ εἶναι προόδου σωματικῆς· ὁ δέ γε τῶν ὅλων Θεὸς καὶ Πατὴρ, κεκρατημένους θανάτῳ, καὶ μαραινομένους ἐν ἴσῳ πόαις, ἀνεγέννησεν εἰς ἀφθαρσίαν διὰ Χριστοῦ ἐν Πνεύματι, καὶ κρείττους ἀπέφηνε τῆς φθορᾶς, μακρᾷ καὶ ἀτελευτήτῳ στεφανώσας ζωῇ. Οὐκοῦν ἥττηται ἂν εἰκότως τῆς εἰς αὐτὸν ἀγάπης ἡ εἰς γονέας αἰδώς· τὸ δὲ ἀγαπῆσαι Χριστὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας, καὶ τοῖς αὐτοῦ νεύμασιν, ἤγουν ἱεροῖς θεσπίσμασι, κατακολουθεῖν, τὸ δοῦναί ἐστι περὶ ἁμαρτίας, μετὰ τοῦ τὴν εἰς αὐτὸν πίστιν ὀρθῶς τε καὶ ἀμωμήτως ἔχουσαν ἑλέσθαι τηρεῖν. Ὄψεται τοίνυν ἡ ψυχὴ ὑμῶν, φησὶ, σπέρμα μακρόβιον. Βούλεται γὰρ Κύριος ἀφ- B ελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, καὶ δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει. Γέγονε μὲν γὰρ περίλυπος ἕως θανάτου πρὸ τοῦ τιμίου σταυροῦ· γέγραπται γὰρ οὕτω παρὰ τοῖς ἁγίοις εὐαγγελισταῖς. Ἐπειδὴ δὲ πατήσας τὸν ᾅδην ἀνεβίω τριήμερος, εἶτα τεθέαται τὴν ἀνθρώπου φύσιν ἐν ἑαυτῷ μεταμορφωθεῖσαν εἰς ἀφθαρσίαν, καὶ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς εὐδοκίαν πάσης ἤδη κατευρυνομένην τῆς γῆς, μέλλουσάν τε καταφωτίζεσθαι τῶν ἐθνῶν τὴν πληθὺν, καὶ τῆς μὲν ἀρχαίας καὶ συντρόφου πλάνης ἀποφοιτᾷν, καλεῖσθαι δὲ πρὸς ἐπίγνωσιν ἑαυτοῦ τε καὶ τοῦ Πατρός· ἀποβέβληκε τὸν ἐπὶ τῷ παθεῖν πόνον, καὶ τοῖς εὖ φρονοῦσι δέδωκε τὸ νικᾷν. Ἅμα γὰρ ἐκ νεκρῶν ἐγήγερται, καὶ ἐπείπερ ἐστὶν ἀγαθὸς, ἡσθεὶς ἄγαν ἐπὶ τῇ τοῦ κόσμου σωτηρίᾳ καὶ ζωῇ, τοῖς ἁγίοις C ἔφη μαθηταῖς· « Ἐδόθη μοι πᾶσα ἐξουσία ἔν τε οὐρανῷ, καὶ ἐπὶ γῆς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Οὐκοῦν ἐὰν δῶτε περὶ ἁμαρτίας, ἔσεσθε μέτοχοι καὶ αὐτοὶ μακροβίου σπέρματος, τοῦ τῶν ἁγίων δηλονότι. Βούλεται γὰρ ὁ Θεὸς καὶ Πατὴρ ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δῆλον δὲ ὅτι Χριστοῦ, τουτέστι, τὴν ἐπὶ τῷ σταυρῷ λύπην μεταστῆσαι πρὸς χαρὰν, διὰ τοῦ δεῖξαι αὐτῷ μεταποιηθέντας εἰς φῶς τούς ποτε σκότος, τουτέστι τούς ποτε πλανωμένους· οἷς καὶ ὁ πάνσοφος Παῦλος ἐπιστέλλει, λέγων· « Οἱ ποτὲ σκότος, νυνὶ δὲ φῶς ἐν Κυρίῳ. » Βούλεται πλάσαι τῇ συνέσει. Καὶ τί δὴ τοῦτό ἐστι, διδάξει λέγων ὁ πάνσοφος Παῦλος· « Ἡμεῖς γὰρ πάντες ἀνακεκαλυμμένῳ D προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. » Οἱ μὲν γὰρ ὄντες ἐν ἁμαρτίαις, καὶ τὴν κτίσιν παρὰ τὸν Κτίστην λατρεύοντες, δυσειδῆ πως ἔχουσι τὴν καρδίαν, καὶ ἀκαλλεστάτην σφόδρα τὴν διάνοιαν. Εἴρηται γοῦν πρός τινα διὰ τῆς Ἱερεμίου φωνῆς· « Ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία σου καλή. » Ἐπειδὰν δὲ τὴν εἰς Χριστὸν παραδέξωνται, μεταπλάττονται νοητῶς πρὸς τὸ θεῖον αὐτοῦ καὶ ἐξαίρετον κάλλος. Γράφει γοῦν τισιν ὁ πάνσοφος Παῦλος· « Τεκνία, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. »

[78] Matth. xviii, 18, 19. [79] II Cor. xi, 14. [80] II Cor. iii, 18. [81] Jer. xxii, 17. [82] Gal. iv, 19.

Βούλεται τοίνυν ὁ Θεὸς καὶ Πατὴρ τῇ συνέσει, τουτέστι τῇ ἑαυτοῦ σοφίᾳ, θεοπρεπεῖ δὲ δηλονότι, διαπλάσαι πρὸς αὐτὸν τοὺς πιστεύοντας, ἀποφῆναί τε συμμόρφους αὐτῷ δι' ἁγιασμοῦ ἐν πνεύματι. « Οὓς γὰρ ἔγνω, φησὶ, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσε. » Κτίσαι δὲ λέγεται Θεὸς καὶ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον. Βούλεται δὲ, οἶμαι, ὁ Θεὸς, καὶ Πατὴρ δικαιῶσαι δίκαιον, εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνήσει. Ὁ μὲν οὖν δίκαιος εὖ δουλεύων πολλοῖς, νοηθείη ἂν οὐχ ἕτερος, οἶμαί, τὶς, παρά γε τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Οὐ γὰρ ἦλθε διακονηθῆναι, καθά φησιν αὐτὸς, διακονῆσαι δὲ μᾶλλον, κατὰ τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν. Ταύτητοι διάκονον ἐδόκει λέγειν τῷ μακαρίῳ Παύλῳ. Ἔφη γὰρ περί τε τοῦ νόμου καὶ τῆς Καινῆς Διαθήκης· « Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα (δεδόξαστο γὰρ τὸ Μωσέως πρόσωπον), πολλῷ μᾶλλον διαφέρει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ. » Δίκαιος τοίνυν καὶ ἄμωμος ὁ Χριστὸς εὖ δουλεύων πολλοῖς. Ἔλαβε γὰρ δούλου μορφὴν Θεὸς ὢν ὁ Λόγος, οὐχ ἵνα τὴν οἰκείαν αὐτὸς ὀνήσῃ φύσιν, ἀλλ' ἡμῖν καὶ τοῦτο δωρούμενος, καὶ ὥσπερ τινὰ διακονίαν ἀποπληρῶν εἰς ἡμᾶς, δι' ἧς καὶ σεσώσμεθα. Δικαιοῦταί γε μὴν τὴν τοῦ δοκεῖν εἶναι πονηρὸς, ἤτοι δικαίως παθεῖν τὸν ἐπὶ ξύλου θάνατον, ὑποψίαν ἀποκρουόμενος διὰ τοῦ καὶ δίκας ἐκτῖσαι τῆς εἰς αὐτὸν δυσσεβείας τοὺς ἐξ Ἰσραὴλ, καὶ τοῦ βασιλεῦσαι τοῖς ὑπ' οὐρανὸν ἁπάντων αὐτῷ προσδεδραμηκότων ἐθνῶν. Ὅτι γὰρ διακονίας ἰσχὺν ὁ τῆς ἐνανθρωπήσεως ἔχει λόγος, παρέδειξεν εἰπών· « Καὶ αὐτὸς τὰς ἁμαρτίας αὐτῶν ἀνήσει. » Ἵνα γὰρ ἀποστήσῃ τοῦ κόσμου τὴν ἁμαρτίαν, αὐτὸς ἐφ' ἑαυτῷ ταύτην ἀναλαβὼν, καὶ εἷς ὑπὲρ πάντων ἀποθανὼν ὁ πάντων ἀντάξιος, διὰ τοῦτο δεδούλευκε πολλοῖς. Τὸ Πολλοῖς δὲ λέγων, τὰ ἔθνη δηλοῖ. Ἓν γὰρ ἦν ἔθνος Ἰσραήλ. Ἐπειδὴ δὲ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνήνεγκε, φησὶ, διὰ τοῦτο κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα. Πάλιν ἐνθάδε πολλοὺς συνήσεις τοὺς ἐξ ἐθνῶν· μυριοπλασίους γάρ εἰσι τῶν ἐξ Ἰσραήλ· ἰσχυροὺς δέ γε, ἢ τοὺς ἁγίους ἀποστόλους, ἢ καὶ ἅπαντας ἁπλῶς τοὺς ἐν Χριστῷ δυνατοὺς, καὶ εὐανδρίαν ἔχοντας τὴν πνευματικὴν, οἷς ἅτε νενικηκόσι τὸν Σατανᾶν, διαδίδωσι σκῦλα. Διανέμει γὰρ τοῖς ἁγίοις πλουσίᾳ χειρὶ τῶν πνευματικῶν χαρισμάτων τὰς χορηγίας. Ὧ μὲν γὰρ δίδοται, φησὶ, διὰ τοῦ πνεύματος λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, προφητεῖαί τε καὶ διακρίσεις πνευμάτων, καὶ τὰ τῶν ἰαμάτων χαρίσματα. Περιστήσαντες δὲ τοῦ λόγου τὴν δύναμιν εἰς τοὺς ἁγίους ἀποστόλους, ἐκεῖνό φαμεν· ἦσαν μὲν γὰρ κτῆσις ὥσπερ τοῦ Σατανᾶ πάντα τὰ ἔθνη, ἀλλ' ἐμέρισεν αὐτὰ τοῖς ἁγίοις μυσταγωγοῖς ὁ κληρονομήσας πολλούς. Οἱ μὲν γὰρ, διὰ τοῦ θεσπεσίου Πέτρου κέκληνται πρὸς ἐπίγνωσιν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· οἱ δὲ διὰ τῆς τοῦ θεσπεσίου Παύλου μυσταγωγίας, ἤγουν ἑτέρου τινὸς τῶν ἁγίων ἀποστόλων, εἰς τὸ τῆς ἀληθείας ἐσαγηνεύθησαν φῶς. Ἐμέ-

prædestinavit conformes imagini Filii sui, hos et vocavit [83]. « Et condidisse dicitur Deus in unum novum hominem duos populos; vultque, opinor, Deus et Pater justificare justum bene servientem multis, et peccata eorum ipse remittet. Justus autem bene serviens multis, non alius, ut arbitror, quisquam intelligi potest, præter Dominum nostrum Jesum Christum. Non enim venit ut ei ministretur, sicuti ipse ait [84], sed ut ministret potius, inhumanationis dispensatione. Hinc visum est beato Paulo eum ministrum dicere. Ait enim de lege et Novo Testamento : « Si enim ministerium condemnationis gloria (gloriosa enim facta erat Moysis persona), multo **754** magis excellit ministerium justitiæ in gloria [85]. » Justus igitur et irreprehensibilis Christus, bene serviens multis. Formam enim servi accepit Deus Verbum, non ut propriam ipse naturam adjuvaret, sed nobis hoc donans, et veluti quodam in nos fungens ministerio, quo etiam servati sumus. Justificatur autem, dum eam suspicionem amolitur, qua malus esse, et juste mortem in ligno passus videbatur : tum quod pœnas solverint suæ in illum impietatis Israelitæ, tum quia dominetur orbi terrarum, et omnibus ad eum accurrentibus gentibus. Quod enim potens ministerium habeat hæc incarnationis ratio, ostendit cum ait : « Et ipse peccata eorum remittet. » Ut enim peccatum averteret a mundo, ipse in se illud assumpsit, et unus pro omnibus mortuus est, qui omnium instar erat : propterea servivit multis. Cum dicit, Multis, gentes significat. Una enim gens erat Israel. Quia vero, inquit, ipse peccata eorum tulit, propterea multos possidebit, et fortium dividet spolia. Hic multos intelliges eos ex gentibus : infinitis enim partibus plures erant quam Israelitæ : fortes, vel sanctos apostolos, vel etiam omnes simpliciter in Christo potentes, et virilitate spirituali præditos : quibus veluti Satanam vincentibus distribuit spolia. Dispartitur enim sanctis divite manu spiritualium donorum subsidia. Alii enim, inquit, datus est per Spiritum sermo sapientiæ, alii sermo cognitionis, et prophetiæ, et discretiones spirituum, et dona sanationum [86-87]. Sermonis autem potentiam sanctis apostolis tribuimus, illudque dicimus : fuisse velut possessionem Satanæ omnes gentes. Sed divisit eos sanctis mystagogis is qui multos possedit. Alii enim a divino Petro vocati sunt ad agnitionem nostrum omnium Servatoris Christi : alii per mystagogiam Pauli, vel alterius cujuspiam sanctorum apostolorum, ad veritatis lucem adducti sunt. Divisit ergo illis Servator quasi spolia quædam, id est, belli prædas, eorum qui quondam errarunt conversionem et vocationem. Oportuisse autem eum, qui pro omnibus mortuus est, omnium conspici Dominum, persuadet, inquiens : Pro eo quod tradita est in mortem anima ejus, et **755** inter

[83] Rom. VIII, 29-30. [84] Matth. XX, 28. [85] II Cor. III, 9. [86-87] I Cor. XII, 10

iniquos reputatus est. Et ipse peccata multorum tulit, et propter iniquitates eorum traditus est.

A ρισε τοίνυν αὐτοῖς ὁ Σωτὴρ, ὥσπερ τινὰ σκῦλα, τουτέστι, πολέμου λάφυρα, τὴν τῶν ποτε πλανωμένων ἐπιστροφήν τε καὶ κλῆσιν· ὅτι δ' ἐχρῆν τὸν ὑπὲρ πάντων ἀποθανόντα Χριστὸν, πάντων ὁρᾶσθαι δεσπότην, ἀναπείθει λέγων· Ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ δι' ἁμαρτίας αὐτῶν παρεδόθη.

TOMUS II.

Cap. LIV. Vers. 1-3. *Lætare, sterilis, quæ non paris, erumpe et clama, quæ non parturis, quia multi filii desertæ, quam ejus quæ habet virum. Dixit enim Dominus: Dilata locum tabernaculi tui, et aulæorum tuorum, fige, ne parcas: protende funiculos tuos, et palos tuos corrobora, adhuc et in dextris et in sinistris expande. Et semen tuum gentes possidebit, et civitates desertas habitare facies.*

Exposito pulcherrime quemadmodum pretiosam pro nobis crucem, et mactationem pro mundo verus agnus, id est Christus, tulerit; et prædicto etiam, eum multos possessurum: prophetiæ orationem ad eos jam qui illi in sortem a Deo dati sunt, id est gentes, convertit. Hoc enim etiam ipse Filius voce lyrici Psaltæ proclamavit ante, dicens: « Dominus dixit mihi: Filius meus es tu, ego hodie genui te. Postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ [89]. » Multos eos esse dicit: multo enim frequentiores et numero plures, illi ex gentibus intelligi possunt esse, comparatione eorum qui sunt ex sanguine Israel, qui pro una sola gente habentur. Mulieri sterili et abjectæ, viro scilicet destitutæ, comparare dignatur gentium multitudinem, eamque alloquitur: Lætare, sterilis, quæ non paris. Sed dixerit illud fortasse quispiam: Cur gentium multitudinem, seu ex gentibus congregatam Ecclesiam, sterilem nominat? Cum in superiori oratione significatum sit, longe plures fuisse errantes, et creaturam præ Creatore colentes, quam, fuerint redempti qui per Mosem, et propterea in sorte divina numerati? « Quando enim, inquit **756** divisit Altissimus gentes, et dispersit filios Adam, statuit fines gentium pro numero angelorum Dei, et portio Domini erat populus ejus Jacob, funiculus hæreditatis ejus Israel [88]. » Quomodo igitur sterilis est, adeo liberis fecunda, et quasi feracissima? Nullus enim fuit apud eos, qui universorum Deum ignorabant, propter cognitionem et virtutem in filiis Dei numerandus. Præterea, non erat apud eos per aquam et spiritum regeneratio: sed ex semine erant corrupto, corrupti et terreni; et sicuti Psalmodus ait: « A vulva abalienati sunt, a conjunctione cum Deo, et ab ipso utero erraverunt [90] »: utpote ex peccatoribus peccatores, et idololatræ, et spem non habentes, sicuti dicit sapientissimus Paulus [91]. Erat ergo in Deo omnium sterilis, nullum pariens qui deberet aut posset in filiis Dei reputari et recenseri propter

ΤΟΜΟΣ Β'.

Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Εἶπε γὰρ Κύριος· Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τῶν αὐλαιῶν σου· πῆξον, μὴ φείσῃ· μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους κατίσχυσον, ἔτι καὶ εἰς [Vulg. ἔτι εἰς] *τὰ*
B *δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον. Καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς.*

Τίνα δὴ τρόπον τὸν τίμιον ὑπὲρ ἡμῶν ὑπέμεινε σταυρὸν, καὶ τὴν ὑπὲρ τοῦ κόσμου σφαγὴν ὁ ἀμνὸς ὁ ἀληθινὸς, τουτέστι Χριστὸς, διειπὼν εὖ μάλα, καὶ πρός γε τούτοις, ὅτι κληρονομήσει πολλοὺς προηγορευκὼς, μεθίστησι τῆς προφητείας τοὺς λόγους ἐπ' αὐτοὺς ἤδη τοὺς εἰς κλῆρον αὐτῷ δοθέντας παρὰ Θεοῦ, τουτέστι τὰ ἔθνη. Τοῦτο γάρ που καὶ αὐτὸς ὁ Υἱὸς διὰ τῆς τοῦ Ψάλλοντος λύρας προανακεκράγει λέγων· « Κύριος εἶπε πρός με· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν
C σου τὰ πέρατα τῆς γῆς. » Πολλοὺς δὲ αὐτοὺς εἶναί φησι· πολλαπλασίους γὰρ καὶ ἀριθμοῦ κρείττονες οἱ ἐξ ἐθνῶν νοηθεῖεν ἂν, ὡς πρός γε τοὺς ἐξ αἵματος Ἰσραὴλ, εἰς ἓν καὶ μόνον τελοῦντας ἔθνος. Γυναικί γε μὴν στείρᾳ καὶ ἀποβεβλημένῃ, ἤγουν ἐρήμῃ, παρεικάζειν ἀξιοῖ τῶν ἐθνῶν τὴν πληθύν· καὶ δὴ καί φησι πρὸς αὐτήν· Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα. Ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖ τις· Στεῖραν ὀνομάζει τῶν ἐθνῶν τὴν πληθὺν, ἤτοι τὴν ἐξ ἐθνῶν συναγηγερμένην Ἐκκλησίαν, διὰ ποίαν αἰτίαν; καίτοι προμεμήνυκεν ὁ λόγος, ὅτι πολλῷ πλείους ἦσαν οἱ πλανώμενοι, καὶ τῇ κτίσει παρὰ τὸν Κτίστην λατρεύοντες, τῶν λελυτρωμένων διὰ Μωσέως, καὶ διὰ τοῦτο καὶ ἠριθμημένων καὶ εἰς κλῆρον Θεοῦ; « Ὅτε » γὰρ, φησί, « διεμέρισεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ,
D ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοινίσματα κληρονομίας αὐτοῦ Ἰσραήλ. » Στεῖρα οὖν κατὰ τίνα τρόπον ἡ πολύπαις οὕτω καὶ οἷον γονιμωτάτη; Οὐδεὶς γὰρ ἦν παρά γε τοῖς οὐκ εἰδόσι τὸν τῶν ὅλων Θεὸν, ὡς διά τε γνῶσιν καὶ ἀρετὴν καταλογισθῆναι πρέπων ἐν τέκνοις Θεοῦ. Καὶ καθ' ἕτερον δὲ τρόπον οὐκ ἦν παρ' αὐτοῖς ἡ δι' ὕδατός τε καὶ πνεύματος ἀναγέννησις, ἀλλ' ἦσαν ἐκ φθορᾶς ἔτι φθαρτῆς, φθαρτοὶ καὶ γήϊνοι, καὶ καθά φησιν ὁ Ψαλμῳδὸς, « Ἐκ μήτρας ἀπηλλοτριωμένοι τῆς πρὸς Θεὸν οἰκειότητος, καὶ ἐξ αὐτῆς πλανώμενοι τῆς γαστρὸς, » ἅτε δὴ καὶ ὄντες ἐξ ἁμαρτωλῶν ἁμαρτωλοὶ, καὶ εἰδωλολάτραι, καὶ ἐλπίδα μὴ ἔχοντες, καθά φησιν ὁ πάνσοφος Παῦ-

[88] Deut. XXXII, 8, 9. [89] Psal. II, 7, 8. [90] Psal. LVII, 4. [91] Ephes. II, 12.

λος. Ἡ οὖν στεῖρα τῷ ἐπὶ πάντας Θεῷ τίκτουσα μηδένα τῶν ὀφειλόντων, ἢ δυναμένων ἐν τέκνοις αὐτοῦ καταλογισθῆναι, καὶ τελεῖν διά τε πίστιν καὶ ἀρετήν. Ἀλλ' ἰδοὺ προστέτακται ῥῆξαί τε καὶ βοῆσαι. Ἔθος δὲ τοῦτο δρᾷν ταῖς ἐπὶ δίφρῳ λοιπὸν καὶ τικτούσαις γυναιξὶν, ἅς δή φασι παροτρύνειν τὰς μαίας ἔντονόν τι καὶ τορὸν ἀναβοᾷν, ἵν' ἐκθλίβοιτο τῆς μήτρας τὸ βρέφος, εὐρυνομένου τοῦ σπλάγχνου πρὸς τὴν βοήν. Τοῦτο, οἶμαι, ἐστὶ τὸ, «Ῥῆξον, καὶ βόησον.» Ἄρξαι δὴ οὖν τοῦ τίκτειν, φησὶ, καὶ ὡς ὠδίνουσα πολλοὺς, δίδου συχνῶς τὴν ταῖς τικτούσαις ἀεὶ πρέπουσαν βοήν· ὡς ἐσομένη δὲ μήτηρ ἀναριθμήτων λαῶν, εὐφροσύνην δέχου τὴν πνευματικήν. Σαφηνίζων δὲ τοῦ προκειμένου ῥητοῦ τὴν διάνοιαν ὁ τῶν ὅλων Θεὸς, ἐπιφέρει λέγων· Ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Ἔθος μὲν οὖν τῇ θεοπνεύστῳ Γραφῇ ἔρημον ἀποκαλεῖν τὴν χήραν. Ἐχήρευσε δὲ τῶν ἐθνῶν ἡ πληθύς. Οὐ γὰρ ἐπλούτει τὴν κοινωνίαν τὴν πρός γε, φημὶ, τὸν ἁπάσης γνώσεως ἀληθοῦς, καὶ τὸν τῶν εἰς εὐσέβειαν σπουδασμάτων σπορέα λόγον, ὃν ἄν τις εἰπὼν γηπόνον, ὡς περὶ πάσης κτίσεως λογικῆς, οὐκ ἂν ἁμάρτοι τ' ἀληθοῦς. Δι' αὐτοῦ γὰρ πᾶσα καρποφορία πνευματικὴ ἔν τε τοῖς ἁγίοις ἀγγέλοις καὶ ἡμῖν αὐτοῖς ἐμφύεται. Οὐκοῦν χήρα μὲν ἦν πρὸ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, ἄγονός τε διὰ τοῦτο καὶ ἄτεξ. Ἐπειδὴ δὲ παρεδέξατο διὰ πίστεως τὸν ἐξ οὐρανοῦ νυμφίον, πολλὰ γέγονεν αὐτῆς τὰ τέκνα μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα, τουτέστι τῆς τῶν Ἰουδαίων Συναγωγῆς, ἣν δὴ προσηγάγετο Θεὸς διὰ τοῦ πανσόφου Μωσέως πρὸς οἰκειότητα τὴν πνευματικὴν, καὶ ὥσπερ σύνοικον καὶ πολλῶν ἐποιήσατο καὶ ἀπέφηνε μητέρα καὶ τροφόν. Ἀλλ' ἠτεκνώθη διὰ Χριστὸν, καίτοι, καθά φησιν ὁ προφήτης Ἱερεμίας, εὔτεκνος οὖσα πολλή. Πλείους γὰρ, ὡς ἔφην, οἱ τῆς ποτε στείρας υἱοὶ, πρὸς ἣν καί φησι τὸ, «Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τῶν αὐλαιῶν σου.» Ἐπειδὴ γὰρ εὔπαις τε καὶ πολύπαις ἀδοκήτως ἀνέφυ τὸν ἐξ οὐρανοῦ λαβοῦσα λόγον, ἤτοι νυμφίον, ἀναγκαίως ἐκτείνειν εἰς εὖρός τε καὶ μῆκος τὰς ἑαυτῆς αὐλὰς προστέτακται, καὶ καταπηγνύναι τοὺς πασσάλους, ἵνα τὸ ἀκράδαντον τῆς ἐξ ἐθνῶν Ἐκκλησίας διὰ τούτου νοῇς· καὶ τὸ μακρύνεσθαι δὲ τὰ σχοινίσματα, τὸ ἀπαραβλήτως πλούσιον εἰς εὐρυχωρίαν τῶν ἁγίων Ἐκκλησιῶν ὑποφαίνει, καίτοι τῆς ἀρχαίας σκηνῆς ὀλίγης οὔσης παντελῶς, καὶ στενοτάτας ἐχούσης αὐλάς. Πλὴν καὶ ἐν ἐκείνῳ τῷ τεχνήματι κατίδοι τις ἂν ὡς ἐν τύπῳ γραφόμενον τῆς ἐξ ἐθνῶν Ἐκκλησίας τὸ εἰς εὖρός τε καὶ μῆκος ἀμφιλαφές. Περὶ γάρ τοι τὰς δέκα αὐλὰς τὰς ἐκ δέρεων τριχίνων κατεσκευασμένας, αὐλαὶ τετάχατο κύκλῳ τέσσαρες, οἷον εἰς ἕκαστον τῆς οἰκουμένης τρέχουσα μέρος, εἰς μῆκος μὲν ἑκατὸν, πεντήκοντα δὲ εἰς πλάτος. Διὰ τοῦτό φησιν· Ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον, τουτέστιν, ἁπλούσθωσαν πανταχοῦ τὰ σὰ σχοινίσματα. Μεστὴ γὰρ ἁγίων Ἐκκλησιῶν ἡ ὑπ' οὐρανὸν, εἰσὶ δὲ καὶ εὐμεγέθεις, εὐρεῖαί τε καὶ εὐμήκεις πανταχοῦ, καὶ παντὸς

A fidem et virtutem. Sed ecce jussum est erumpere et clamare. Solent autem id facere mulieres quæ in sella sunt, et pariunt: quas aiunt excitare obstetrices, interrita et alta voce exclamare, quo infans e matrice extrahatur, visceribus ad clamorem dilatatis. Hoc, opinor, est, «Erumpe et clama.» Incipe, inquit, parere, et quasi parturiens multos, parientibus convenientem semper clamorem subinde ede; tanquam mater vero futura innumerabilium populorum, voluptatem percipe spiritualem. Declarans vero hujus dicti sensum, universorum Deus infert, dicens: Quia plures filii desertæ, quam habentis virum. Familiare est igitur Scripturæ divinitus inspiratæ, desertam appellare viduam. Vidua autem fuit gentium multitudo. Non
B enim quidquam ei commercii fuit cum sermone; cum sermone, inquam, omnis veræ cognitionis et studiorum ad pietatem pertinentium satore: quem si quis quasi agricolam omnis creaturæ ratione præditæ dicat, a vero neutiquam aberrabit. Per ipsum enim omnis fructificatio spiritualis, tum in sanctis angelis, tum in nobis ipsis insita est. Itaque ante Servatoris adventum vidua erat et sterilis, ob eamque causam orba liberis. Sed postquam per fidem cœlestem sponsum accepit, plures liberos suscepit quam ea quæ virum habuit, id est, Judæorum Synagoga,
757 quam Deus adduxit per sapientissimum Moysem ad conjunctionem spiritualem, quam velut
C cohabitatricem et contubernalem fecit, ac multorum liberorum matrem et nutricem. Sed hæc liberis aucta est per Christum, et, sicuti propheta Jeremias ait, multos habet liberos. Plures enim, ut dixi, ejus quæ quondam sterilis erat, filii sunt, cui et illud dicit: «Dilata locum tentorii tui et tabernaculorum tuorum.» Nam quia bona et numerosa sobole præter opinionem prædita fuit, accepto de cœlo sermone sive sponso, necessario jubetur tabernacula sua in latitudinem et longitudinem extendere, et clavos figere, ut inconcussam Ecclesiæ gentium basim inde intelligas. Protendere funiculos, spatiosam et incomparabiliter divitem sanctarum Ecclesiarum amplitudinem subindicat, etiamsi primum tentorium omnino par-
D vum fuerit, et atria habuerit angustissima. Verumtamen vel in illo opificio videre licet tanquam in figura ac typo descriptam Ecclesiæ gentium latitudinem, longitudinem et laxitatem. Nam circa decem aulæas (1) ex pellibus ciliciniis confectas, aulæ positæ erant undique quatuor, veluti singulas orbis partes secantes, longitudine centum, latitudine quinquaginta. Propterea dicit: Adhuc in dextris et in sinistris expande, id est, undequaque funiculi tui amplientur. Plenus est sanctarum Ecclesiarum orbis terrarum: etenim sunt quoque bene magnæ, spatiosæ et bene longæ undique et pulcherrimæ. Sic enim dicit univer-

(1) Locus obscurus, et ni fallor corruptus, inquit Humfredus.

sorum Deus, templo Hierosolymitano exstructo, post primum manibus Assyriorum exustum: « Quis ex vobis est qui vidit domum hanc in gloria sua priore? Et quomodo nunc, inquit, videtis ipsam, quasi non esset in oculis vestris? Vivo ego, dicit Dominus: quia major erit gloria domus hujus ultimæ, quam primæ, dicit Dominus omnipotens [92]. » Nam templo quod Hierosolymis fuit multo plura et opulentiora per universum orbem terrarum ædificata sunt templa, id est, ecclesiæ, habentes altare in gloriam Christi augustum. Dilata igitur, inquit, locum tentorii tui, et tabernaculorum tuorum. Semen enim tuum gentes possidebit, et civitates vastatas inhabitabis. Plurimorum namque virorum sanctorum **758** et bonorum mater nutrix Ecclesia gentium fuit, ac multos principes atque præfectos populorum peperit: adeo ut multis gentibus dominaretur, eo quod illibatum mystagogiæ sermonem tradere potuit, et artificio pascendi non caruit. Quibus etiam ipse Servator, ut qui laudatam et probatam vitam traduxerant, sortem promittit, et in omne tempus futurum imperium populorum. Etenim in talentorum distributione, his qui duplicatum attulerunt quod datum erat: « Supra decem civitates eris [93], » inquit; alteri: « Eris supra quinque civitates [94]. » Semen ergo tuum hæreditario possidebit gentes. Convenire potest hoc, uti jam dixi, præfectis Ecclesiarum, qui etiam præ magno gaudio dicunt: « Subjecit populos nobis, et gentes pedibus nostris. Elegit nobis hæreditatem suam [94*]. » Sors enim est quæ soli et vere quadrat Christo maxime, præesse universis. Propterea præcepit dicere, Rabbi, nemini: « Unus enim est, » inquit, « præceptor vester Christus [94**]. » Sed quemadmodum cum ipse lux sit vera, lucem vocavit sanctos apostolos, et ut ipse natura et solus vere Filius, nobis in ipsum credentibus potestatem dedit Patrem vocandi Deum, utpote qui dignitate Filii locupletamur: sic etiam ipse, cum sit universorum præceptor, et sortito habeat orbem terrarum, hoc dedit sanctis, eos coronans sua gloria, quia ipsius cooperarii exstiterint, et ingenui ac germani populorum moderatores, multos lucrati fuerint, abductis his per fidem qui creaturam supra ipsum coluerunt, et viam præstabilis vitæ non ignorarunt. Illud vero, Civitates vastatas inhabitabis, sic intelliges. Tanta enim inquit, multitudo seminis tui erit, ut civitates plenæ habitatoribus non suffecerint, sed ut vastas replere possint.

A εἰς λῆξιν ἰοῦσαι κάλλους. Οὕτω γάρ πού φησιν ὁ τῶν ὅλων Θεὸς ἐγηγερμένου τοῦ ναοῦ τοῦ ἐν Ἱεροσολύμοις, μετά γε τὸ διὰ τῆς Ἀσσυρίων χειρὸς κατεμπρησθῆναι τὸν πρῶτον· Τίς ἐξ ὑμῶν, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; Καὶ πῶς νῦν, φησὶν, ὁρᾶτε αὐτὸν, καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν; « Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου, ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος παντοκράτωρ. » Τοῦ γὰρ ἐν τοῖς Ἱεροσολύμοις ὄντος ναοῦ, πολλῷ μείζους, καὶ πλούσιοι κατὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ὠρθώθησαν ναοὶ, τουτέστιν ἐκκλησίαι, τὸ σεπτὸν ἔχουσαι θυσιαστήριον εἰς δόξαν Χριστοῦ. Πλάτυνον δὴ οὖν, φησὶ, τὸν τόπον τῆς σκηνῆς σου καὶ τῶν αὐλαιῶν σου. Τὸ γὰρ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς. B Πλείστων μὲν γὰρ ὅσων ἀνδρῶν ἁγίων καὶ ἀγαθῶν μήτηρ καὶ τροφὸς ἡ ἐξ ἐθνῶν γέγονεν Ἐκκλησία, ἐκτέτοκε δὲ πολλοὺς ἄρχοντάς τε καὶ ἡγουμένους λαῶν· ὥστε καὶ ἐθνῶν καθηγεῖσθαι πολλῶν, διά τοι τὸ δύνασθαι τὸν ἀμώμητον τῆς μυσταγωγίας ποιεῖσθαι λόγον, καὶ ποιμενικῆς εὐτεχνίας οὐκ ἀμοιρεῖν. Οἷς καὶ αὐτὸς ὁ Σωτὴρ, ἅτε δὴ τὴν εὐκλεᾶ καὶ εὐδόκιμον κατωρθωκόσι ζωὴν, κλῆρον ἐπαγγέλλεται, καὶ εἰς αἰῶνα τὸν μέλλοντα τὸ καθηγεῖσθαι λαῶν. Ἐν γάρ τοι τῇ τῶν ταλάντων διανομῇ, τοῖς προσάγουσιν ἐν διπλῷ τὸ δοθὲν, « Ἔσο, φησὶν, ἐπάνω δέκα πόλεων· » ἑτέρῳ δὲ αὖ, « Ἔσο ἐπάνω πέντε πόλεων. » Οὐκοῦν ἔθνη κληρονομήσει τὸ σπέρμα σου. Πρέποι δ' ἂν τοῦτο, καθάπερ ἔφην ἀρτίως, τοῖς ἡγουμένοις Ἐκκλησιῶν, οἳ δὴ καί φασιν ἐκ περιχαρείας τῆς C ἄγαν· « Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν· Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ. » Κλῆρος μὲν γὰρ ὁ μόνῳ καὶ ἀληθῶς πρεπωδέστατος Χριστῷ τὸ καθηγεῖσθαι τῶν ἄλλων. Διὰ τοῦτο καὶ προστέταχε μηδενὶ λέγειν· Ῥαββί· « Εἷς γάρ ἐστι, » φησὶν, « ὑμῶν καθηγητὴς ὁ Χριστός. » Ἀλλ' ὥσπερ φῶς ὑπάρχων αὐτὸς τὸ ἀληθινὸν, φῶς ἐκάλεσε τοὺς ἁγίους ἀποστόλους, καὶ ὥσπερ αὐτὸς ὢν φύσει καὶ μόνος ἀληθῶς Υἱὸς, δέδωκεν ἡμῖν ἐξουσίαν τοῖς πιστεύουσιν εἰς αὐτὸν, Πατέρα καλεῖν τὸν Θεὸν, ἅτε δὴ τὸ τῆς υἱότητος πλουτοῦσιν ἀξίωμα· οὕτω καὶ αὐτὸς ὑπάρχων τῶν ὅλων καθηγητὴς, καὶ κλῆρον ἔχων τὴν ὑπ' οὐρανὸν, δέδωκε τοῖς ἁγίοις τὸ χρῆμα, δόξῃ τῇ ἰδίᾳ στεφανῶν αὐτούς· ὅτι συνεργάται γεγόνασιν αὐτοῦ, D καὶ γνήσιοι λαῶν κηδεμόνες κεκερδήκασι πολλοὺς, προσκομίσαντες αὐτῷ διὰ πίστεως τοὺς τῇ κτίσει παρ' αὐτὸν λατρεύσαντας, καὶ τῆς ἐξαιρέτου ζωῆς οὐκ εἰδότας τὴν ὁδόν. Τὸ δέ γε, Πόλεις ἠρημωμένας κατοικιεῖς, τοιῶσδε συνήσεις. Τοσαύτη γὰρ ἔσται, φησὶ, τοῦ σοῦ σπέρματος ἡ πληθὺς, ὥστε μηδὲ ἀρκέσαι τὰς πόλεις αὐτοῖς, τὰς τῶν οἰκητόρων μεμεστωμένας, ἀλλὰ γὰρ καὶ τὰς ἐρήμους δύνασθαι πληροῦν.

VERS. 4, 5. *Noli timere, quia confusa es: neque confundaris, quia exprobratum tibi est: confusionem enim æternam oblivisceris, et opprobrii viduitatis tuæ non recordaberis; quia Dominus qui fa-*

Μὴ φοβοῦ, ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς, ὅτι ὠνειδίσθης· ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ τὸ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ· ὅτι Κύριος ὁ ποιῶν σε, Κύριος Σαβαὼθ

[92] Agg., II, 4, 10. [93] Luc. XIX, 17. [94] ibid. 19. [94*] Psal. XLVI, 4, 5. [94**] Matth. XXIII, 8.

ὄνομα αὐτῷ, καὶ ὁ ῥυσάμενός σε, αὐτὸς Θεὸς Ἰσραὴλ πάσῃ τῇ γῇ κληθήσεται.

Δεδικαιώμεθα μὲν ἐν Χριστῷ, καὶ οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος. Γράφει δὲ οὕτως ὁ πάνσοφος Παῦλος. Ἀπηλλάγμεθα γὰρ καὶ σκότους, καὶ πλάνης, καὶ ἀνοσιότητος πατροπαραδότου, καθὸ τῇ κτίσει παρὰ τὸν Κτίστην λελατρεύκαμεν, καὶ τρόπος φαυλότητος ἦν οὐδεὶς ταῖς τῶν ἐθνῶν ἀγέλαις ἀνεπιτήδευτος· ὥς γάρ φησιν ὁ Ψαλμῳδὸς, «Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός.» Ὀνειδισμὸς οὖν ἄρα τοῖς ἔθνεσι τὸ χρῆμα γέγονεν, αὐτὸ δὴ τουτὶ τὸ πεπλανῆσθαί φημι, καὶ τὰ ἐκ τοῦ πεπλανῆσθαι συμβαίνοντα βλάβη. Τί γὰρ οὕτως ἀσχήμονα καὶ ἀκαλλεστάτην, καὶ μυρίοις αἰτιάμασιν ἔνοχον ἀποφήνειεν ἂν τὴν τοῦ ἀνθρώπου ψυχὴν, ὡς τὸ ἀποστῆναι Θεοῦ ζῶντος, ἑλέσθαι δὲ προσκυνεῖν παρ' αὐτὸν τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ τοῖς τῆς ἁμαρτίας οἷά τινι πηλῷ καὶ βορβόρῳ ἐγκαθιέναι τέλμασιν; Ἀλλὰ τί φησιν ὁ φιλάνθρωπος τοῖς κεκλημένοις εἰς ἄφεσιν ἁμαρτίας διὰ πίστεως, δῆλον δὲ ὅτι τῆς εἰς αὐτόν; Μὴ φοβοῦ, ὅτι κατῃσχύνθης. Ἐπειδὴ γὰρ ὅλως, καθὼς κατοικτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτὸν, καὶ καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν ἐμάκρυνεν ἀφ' ἡμῶν· τὰς ἀνομίας ἡμῶν· πῶς οὐκ ἔδει τοῖς πάλαι διεπταισμένοις, καὶ τὸν ἐπ' αὐτοῖς ἡμᾶς συναποπτύσαι φόβον, μνησικάκῳ χάριτι δικαιοῦντος Θεοῦ, καὶ οὐκ ἐξαιτοῦντος δίκας τὸν ἀλιτήριον; Καὶ γοῦν ἔφη Χριστὸς τῆς ἐπιδημίας τὸν καιρὸν εἰς ἡμερότητα καταδεικνύς· «Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.» Οὐκοῦν ὡς δίκης ἀπηλλαγμένοι, καὶ τὴν ἐν τοῖς πεπλημμελημένοις οἱ προσδοκῶντες κόλασιν, καὶ δειμάτων ἐλευθέραν ἐσχήκαμεν τὴν διάνοιαν, οὐδὲ τῶν προλαβόντων ὀνειδισμῶν μεμνήμεθα. Νικᾷ γὰρ ἡ χάρις δικαιοῦσα τὸν ἀσεβῆ, καὶ μώμου παντὸς ἀπαλλάττουσα τοὺς ἠλεημένους. Ὡς γὰρ ὁ πάνσοφος Παῦλός φησι, «Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;» Ἀμνησικακοῦντος δὲ τοῦ πάντων Δεσπότου, τίς ἡμῖν ὀνειδίσει τῶν ἐν ἀγνοίᾳ πταισμάτων τὸν ῥύπον; Ἐπιλήσῃ τοίνυν, φησὶν, αἰσχύνην αἰώνιον (ἀντὶ τοῦ, μακρὰν), καὶ τὸ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ. Ὄνειδος δὲ χηρείας, τὸ μηδένα τρόπον καρποφορῆσαι Θεῷ τοὺς ἐξ ἐθνῶν ἰσχῦσαι ποτὲ, καθ' ὃν ἐπλανῶντο καιρόν. Οὐ γὰρ ἦν παρ' αὐτοῖς, ὡς ἔφην, ὁ ἐξ οὐρανοῦ νυμφίος, ὁ πνευματικῆς εὐκαρπίας δοτὴρ, ὁ σπερμάτων ἀγαθῶν ἐντιθεὶς ἀφορμὰς ἑκάστῃ ψυχῇ. Καὶ γοῦν ἐν παραβολαῖς εὐαγγελικαῖς τοιοῦτον ἡμῖν ἑαυτὸν διαδείκνυσι, λέγων· «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ.» Τίνα δὲ τρόπον ἀφανισθήσεται τὸ ὄνειδος τῆς χηρείας αὐτῆς, διατρανοῖ λέγων, ὅτι Κύριος ὁ ποιῶν σε, Κύριος Σαβαὼθ ὄνομα αὐτῷ. Τὸ δὲ, Ποιῶν σε, φησὶν, ἀντὶ τοῦ, κτίζων σε, καὶ μεταμορφῶν εἰς ἑτερότροπον πολιτείαν, καὶ εἰς εὐσχήμονα ζωήν· μετα-

A *cit te, Dominus Sabaoth nomen ei, et qui eruit te, ipse Deus Israel, Deus omnis terræ vocabitur.*

Justificati enim sumus in Christo, et **759** non ex operibus justitiæ quæ fecimus nos, sed ex magna ejus misericordia; nam sic scribit sapientissimus Paulus [95]. Liberati enim sumus a tenebris, et errore, et impietate a patribus tradita, quatenus creaturam præ Creatore coluimus, et gentium grex in nullo non vitiorum genere erat volutatus; ut et Psalmodus ait: « Omnes declinaverunt, simul inutiles facti sunt, non erat qui bene faceret, ne unus quidem [96]. » Quod quidem ipsum probro datum est gentibus, error, inquam, et ex errore incommoda consecuta. Quid enim est quod B hominis animam ita turpificatam, et invenustam, ac infinitis vitiis implicatam reddit, ut a Deo vivente deficere, et supra illum impuris spiritibus se prosternere, et in peccati velut lutum quoddam, ac cœnum et puteum dejicere? Sed quid dicit hominum amans his qui ad remissionem peccati, per fidem in ipsum scilicet, vocati sunt? Noli timere, quia confusa es. Nam cum omnino velut pater miseretur filiorum, sic misertus sit Dominus timentium se, et quantum distat ortus ab occasu longe removeat a nobis peccata nostra, quid ni deceat nos qui quondam lapsi sumus omnem timorem exspuere, Deo gratia oblivionis justificante, et a scelerato pœnas non exigente? Siquidem Christus dixit adventus tempus ad clementiam spe- C ctare: « Non enim, » inquit, » misit Deus Filium suum in mundum ut judicet mundum, sed ut per ipsum mundus servetur [97]. » Quare velut pœna immunes facti, et delictorum supplicium non exspectantes, etiam libero ac terroribus vacuo animo fuimus, nec præcedentium opprobriorum meminimus. Vincit siquidem gratia, quæ justificat impium, et omni labe eos qui misericordiam consecuti sunt liberat. Ut enim sapientissimus Paulus ait: « Deus est qui justificat, quis est qui condemnat [98]? » Cum autem Dominus omnium obliviscatur, quis nobis sordes erratorum in ignorantia admissorum objiciet? Oblivisceris itaque, inquit, ignominiæ sempiternæ, pro, diuturnæ; et opprobrii viduitatis tuæ non recordaberis. Probrum autem viduitatis erat, D quod gentes nullum genus fructuum olim Deo potuerint edere, eo quo errabant tempore. Non enim erat apud eos, ut dixi, e cœlis sponsus spiritualis **760** fertilitatis dator, qui seminum bonorum occasiones cuique animæ inserit. Siquidem talem in evangelicis parabolis se esse ostendit, cum inquit: « Exiit qui serit ad serendum semen suum [99]. » Quomodo autem viduitatis ejus probrum amovebitur, exponit, dicens: Quia Dominus faciens te, Dominus Sabaoth nomen ei. Faciens, dicit, pro, condens te, et transformans ad aliusmodi vitæ institutum, et ad aliam vitam honestam.

[95] Tit. III, 5. [96] Psal. XIII, 3. [97] Joan. III, 17. [98] Rom. VIII, 33, 34. [99] Matth. XIII, 3.

A Transmutamur enim in Christo ad novitatem vitæ sanctæ ac evangelicæ, subolescentes ad ejus formæ pulchritudinem per spiritum, ut deinceps nos alii ex aliis videamur. Dixit nimirum de gentibus voce Ezechielis: « Evellam cor eorum lapideum a carne eorum, et dabo illis cor carneum, ut me cognoscant, quod ego sim Dominus [1]. » Venturam autem ætatem et populum creandum, eos ex gentibus sæpe nominat divinus etiam David. Quin et sapientissimus Paulus: « Nos omnes, » inquit, « retecta facie gloriam Domini speculantes, ad ipsam imaginem transformamur a gloria in gloriam tanquam a Domini spiritu [2]. » Condidit igitur nos Christus, ceu duos populos, in unum novum hominem, faciens pacem, et utrumque apud Patrem B reconcilians in uno corpore. Jubemur nimirum veterem hominem exuere, corruptum cupiditatibus erroris; et novum induere, qui renovatus est ad imaginem ejus qui ipsum condidit, Christi videlicet. Ego igitur sum Dominus Sabaoth faciens te, inquit, id est, condens et refingens. Ne autem quidam propter rei magnificentiam diffiderent, Dominum exercituum sese iterum nominat, et utiliter et necessario. Quod etiam transformationis seu instaurationis tempus sit, declaravit, inquiens: Qui eruit te, ipse Deus Israel, omni terræ vocabitur. At quando hoc effectum est? adventus tempore scilicet. Imperavit enim Christus omnibus gentibus, idque propheta docet, inquiens: Et erit Dominus unus, et nomen ejus unum circuiens om- C nem terram. Olim enim in sola Judæa notus erat Deus [2*]. At posteaquam vocata est per fidem ad agnitionem ejus multitudo gentium: illi deinde flectet
761 se omne genu, et omnis lingua confitebitur esse Dominum Jesum Christum, in gloriam Dei Patris [3]. Deus igitur in omni terra vocabitur, qui eruit nos, et a sævitia diaboli exemit, propriisque sceptris subdidit. Idque docet beatus David, inquiens alicubi: « Omnes gentes, plaudite manibus, jubilate Deo Jacob: quia Dominus altissimus, terribilis, rex magnus super omnem terram [3*]. » Alicubi rursus: « Dominus regnavit, exsultet terra [4]. »

D VERS. 6-8. *Non quasi mulierem derelictam et pusillanimem vocavit te Dominus: nec quasi mulierem a juventute odio habitam, dixit Deus tuus. Tempore modico dereliqui te, et cum misericordia magna miserebor tui. Ira brevi averti faciem meam a te, et in misericordia sempiterna miserebor tui, dixit qui eruit te Dominus.*

Solet Scriptura divinitus inspirata derelictam mulierem, aliquibus de causis abjectam, appellare, cui lege Mosaica libellus repudii datus est ab ejus conjuge, odio habitam rursus, de turpitudine et levitate vitæ insimulatam. Cui etiam convenit pusillanimitatis crimen, ut quæ durare non posset, et

A στοιχειούμεθα γὰρ ἐν Χριστῷ εἰς καινότητα ζωῆς ἁγίας καὶ εὐαγγελικῆς, ἀναβαίνοντες εἰς εὐμορφίαν αὐτοῦ διὰ πνεύματος, ὥστε καὶ ἑτέρους ἡμᾶς ἐξ ἑτέρων ὁρᾶσθαι λοιπόν. Ἔφη γοῦν περὶ τῶν ἐθνῶν διὰ φωνῆς Ἰεζεκιήλ, ὅτι « Καὶ ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην τοῦ εἰδέναι αὐτοὺς ἐμὲ, ὅτι ἐγὼ Κύριος. » Ἐρχομένην δὲ γενεὰν καὶ λαὸν κτιζόμενον τοὺς ἐξ ἐθνῶν ἐπιστρέφοντας ὀνομάζει πλεισταχοῦ. Καὶ ὁ θεσπέσιος Παῦλος· « Ἡμεῖς δὲ πάντες, » φησὶν, « ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος. » Ἔκτισε τοίνυν ἡμᾶς ὁ Χριστὸς, ἤτοι τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ B ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα. Καὶ γοῦν προστετάγμεθα τὸν μὲν παλαιὸν ἄνθρωπον ἀποθέσθαι, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἐνδύσασθαι δὲ τὸν νέον τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, δῆλον δὲ ὅτι Χριστοῦ. Ἐγὼ τοίνυν εἰμὶ Κύριος Σαβαὼθ ὁ ποιῶν σε, φησὶ, τουτέστιν ὁ κτίζων καὶ ἀναμορφῶν. Ἵνα δὲ μὴ ἀπιστῆται πρός τινων διὰ τὸ μεγαλοπρεπὲς τοῦ πράγματος, Κύριον τῶν δυνάμεων ἑαυτὸν ὀνομάζει πάλιν, χρησίμως τε καὶ ἀναγκαίως. Τίς δὲ καὶ ὁ τῆς μεταμορφώσεως, ἤγουν ὁ τοῦ ἀνακτίζεσθαι καιρὸς, διεσάφησε λέγων, ὅτι Ὁ ῥυσάμενός σε, αὐτὸς Θεὸς Ἰσραὴλ πάσῃ τῇ γῇ κληθήσεται. Ἡνίκα δὲ ὅλως καὶ τοῦτο κατώρθωται; κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν C δηλονότι. Βεβασίλευκε γὰρ ὁ Χριστὸς ἐπὶ πάντα τὰ ἔθνη, καὶ τοῦτο διδάσκει λέγων ὁ προφήτης. Καὶ ἔσται Κύριος εἷς, καὶ ὄνομα αὐτοῦ ἓν κυκλοῦν πᾶσαν τὴν γῆν. Πάλαι μὲν γὰρ ἦν κατὰ μόνην τὴν Ἰουδαίαν γνωστὸς ὁ Θεός. Ἐπειδὴ δὲ κέκληται διὰ πίστεως εἰς ἐπίγνωσιν αὐτοῦ τῶν ἐθνῶν ἡ πληθὺς, αὐτῷ λοιπὸν κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται· ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Θεὸς οὖν ἄρα ἐν πάσῃ τῇ γῇ κληθήσεται ὁ ῥυσάμενος ἡμᾶς, καὶ τῆς τοῦ διαβόλου σκαιότητος ἐξελὼν, καὶ τοῖς ἰδίοις σκήπτροις ὑπενεγκών. Καὶ τοῦτο διδάσκει λέγων ὁ μακάριος Δαβὶδ, ποτὲ μὲν, ὅτι « Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ· ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· » ποτὲ δὲ πάλιν, « Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. »

D *Οὐχ ὡς γυναῖκα ἐγκαταλελειμμένην καὶ ὀλιγόψυχον κέκληκέ σε Κύριος, οὐδὲ ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην, εἶπεν ὁ Θεός· Χρόνον μικρὸν κατέλιπόν σε, καὶ μετὰ ἐλέους μεγάλου ἐλεήσω σε. Ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ, καὶ ἐν ἐλέει αἰωνίῳ ἐλεήσω σε, εἶπεν ὁ ῥυσάμενός σε Κύριος.*

Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ καταλελειμμένην γυναῖκα τὴν ἐπί τισιν αἰτίαις ἐκβεβλημένην ἀποκαλεῖν, ᾗ προσερρίπτετο κατὰ τὸν Μωσέως νόμον καὶ βιβλίον ἀποστασίου παρὰ τοῦ συνοικοῦντος αὐτῇ, μεμισημένην δὲ πάλιν ἐπ' ἀκοσμίᾳ καὶ ἀσέμνῳ ζωῇ διαβεβλημένην· Ἧπερ ἂν πρέποι καὶ τὸ τῆς ὀλιγοψυ-

[1] Ezech. XI, 19. [2] II Cor. III, 18. [2*] Psal. LXXV, 2. [3] Rom. XIV, 11; Philip. II, 11. [3*] Psal. XLVI, 2, 3. [4] Psal. XCVI, 1.

A χίας αἰτίαμα, ὡς οὐ δυναμένη διακαρτερεῖν, καὶ τῶν γαμικῶν ἀνέχεσθαι ζυγῶν, ἢ μεθισταμένην ἐφ' ἃ μὴ θέμις, καὶ ὀλιγώρως ἔχουσαν περὶ τὸ πληροῦν τὰ ὅσαπέρ ἐστι τελοῦντα πρὸς εὐκοσμίαν. Τοιαύτη τις γέγονεν ἡ τῶν Ἰουδαίων Συναγωγὴ περὶ τὸν τῶν ὅλων κρατοῦντα Θεόν. Προσηγάγετο μὲν γὰρ αὐτὴν πρὸς οἰκειότητα πνευματικὴν διὰ τοῦ πανσόφου Μωσέως, καὶ ὥς τινα γυναῖκα πορνεύσασαν ἐν Αἰγύπτῳ, διά γε τοῦ τὰ αὐτῶν ἑλέσθαι φρονεῖν, καὶ αὐτόθι λατρεῦσαι θεοῖς, μονονουχὶ καὶ εἰσοικισάμενος. Εἶτα τοῖς ἀρχαίοις τέλμασιν ἐγκαταπηδήσασαν, καὶ παλινδρομεῖν ἐθέλουσαν εἰς ἀπόστασιν (προσκεκύνηκε γὰρ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν), ἀπεώσατό τε καὶ ἀλλοτρίαν ἀπέφηνε τῆς πρὸς αὐτὸν οἰκειότητος, καὶ ὥς τινα γυναῖκα μεμισημένην καὶ ὀλιγόψυχον, ἔξοικον ἐποιήσατο. Καὶ γοῦν ἔφη δι' ἑνὸς τῶν ἁγίων προφη-
B τῶν πρὸς τοὺς ἐξ αἵματος Ἰσραήλ· « Κρίθητε πρὸς τὴν μητέρα ὑμῶν, κρίθητε, ὅτι αὕτη οὐ γυνή μου, κἀγὼ οὐκ ἀνὴρ αὐτῆς. Καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς πρὸ προσώπου μου, καὶ τὴν μοιχείαν αὐτῆς ἐκ μέσου τῶν μαστῶν αὐτῆς, καὶ ἀποκτενῶ αὐτὴν ἐν δίψει, καὶ τὰ τέκνα αὐτῆς οὐ μὴ ἐλεήσω, ὅτι τέκνα πορνείας ἐστίν. ὅτι ἐξεπόρνευσεν ἡ μήτηρ αὐτῶν, κατῄσχυνεν ἡ τεκοῦσα αὐτά. » Ὁποῖος δὲ γέγονεν αὐτῇ τῆς πορνείας ὁ τρόπος, διεσάφησε λέγων διὰ φωνῆς Ἰεζεκιήλ· « Υἱὲ ἀνθρώπου, οὐ κρινεῖς τὴν Ὀολὰν καὶ τὴν Ὀολιβὰν (τουτέστι τὴν Ἱερουσαλὴμ καὶ τὴν Σαμάρειαν), καὶ ἀναγγελεῖς αὐταῖς τὰς ἀνομίας αὐτῶν, ὅτι ἐμοιχῶντο, καὶ αἷμα ἐν ταῖς χερσὶν αὐτῶν; [Τὰ ἐνθυμήματα αὐτῶν]
C ἐμοιχῶντο· καὶ τὰ τέκνα αὐτῶν, ἃ ἐγέννησάν μοι, διήγαγον αὐτοὶ δι' ἐμπύρων. Ἕως καὶ ταῦτα ἐποίησάν μοι· Τὰ ἅγιά μου ἐμίαναν, καὶ τὰ Σάββατά μου ἐβεβήλουν, καὶ ἐν τῷ σφάζειν αὐτοὺς τὰ τέκνα αὐτῶν τοῖς εἰδώλοις αὐτῶν, καὶ εἰσεπορεύοντο εἰς τὰ ἅγιά μου τοῦ βεβηλοῦν αὐτά. » Ἦσαν μὲν γὰρ ἐν τῇ Σαμαρείᾳ δέκα φυλαὶ, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραΐμ· ἐν δέ γε τοῖς Ἱεροσολύμοις Ἰούδα φυλὴ, καὶ τὸ ἥμισυ φυλῆς Βενιαμίν· ἀλλ' οὗτοί τε κἀκεῖνοι δεδυσσεβήκασιν οὐ μετρίως, μᾶλλον δὲ εἰς λῆξιν ἁπάσης ἐμβροντησίας ἀκαθέκτοις ὁρμαῖς διελάσαντες, τὰ ἐνθυμήματα αὐτῶν ἐμοιχῶντο· τουτέστιν, Ἅπερ ἐπένθησαν (1) αὐτοὶ εἴδωλα, ταῦτα μοιχείας ὥσπερ τινὸς καὶ πορνείας νοητῆς ἐποίουν πρόφασιν, ἀποστήσαντες ἑαυτῶν τὰς καρδίας τοῦ ἐν τάξει γυναικὸς παραλαβόντος
D Θεοῦ. Καὶ γοῦν ἔφη πρὸς τὴν τῶν Ἰουδαίων Συναγωγὴν ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς Ἱερεμίου· « Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας· οὐχ ὡς οἶκόν με ἐκάλεσας, καὶ πατέρα, καὶ ἀρχηγὸν τῆς παρθενίας σου. » Ἐκπορνεύσασαν τοίνυν τὴν τῶν Ἰουδαίων μητέρα, καταλελειμμένην γυναῖκα, καὶ ὀλιγόψυχον ἐκ νεότητος [μεμισημένην εἰκότως ἀποκαλεῖ· διαλέγεται δὲ πρὸς τὰ ἔθνη, καί φησιν οὐχ οὕτω κεκλῆσθαι καὶ αὐτὰ πρὸς ἐπίγνωσιν τοῦ Χριστοῦ, καθάπερ ἀμέλει καὶ ἡ καταλελειμμένη, καὶ ὀλιγόψυχος, καὶ ἐκ νεότητος μεμισημένη κέκληται

nuptiale jugum amplecti, sed ad ea quæ fas non est, convertitur, et parvifacit perfunctionem eorum quæ ad dignitatem decusque pertinent. Talis fuit hæc Judæorum Synagoga erga Deum omnium rectorem. Adduxit enim eam ad conjunctionem spiritualem, per sapientissimum Moysem, etiam cum velut mulier quædam scortata fuisset in Ægypto, eo quod eadem cum illis sentiret, et diis illic serviret, eam tamen tantum non in domum recepit. Deinde cum in pristinas lacunas insiliisset, et denuo in apostasiam recurrere vellet, adoravit enim opera manuum suarum [5], repulit, et a conjunctione sua alienavit, et tanquam mulierem quamdam odiosam et pusillanimem foras exclusit. Siquidem apud quemdam sanctorum prophetarum dixit ad sanguine Israelitico oriundos : « Litigate cum matre vestra, litigate, quia ipsa non uxor mea, neque ego sum maritus ejus. Auferam scortationem ejus a facie mea, et adulterium ejus **762** de medio uberum ejus, et interficiam eam siti, et filiorum ejus non miserebor, quia filii scortationis sunt : quippe mater eorum scortata est, dedecore notata est, quæ peperit eos [6]. » Cujusmodi autem fuerit scortationis modus, declaravit voce Ezechielis, dicens : « Fili hominis, an non judicabis Oolam et Olibam, id est, Jerusalem et Samariam, et annuntiabis eis iniquitates suas, quia meretricati sunt, et sanguis in manibus eorum, et meretricati sunt cogitationibus suis, et filios suos quos mihi genuerunt, ipsi per ignem traduxerunt. Et hæc fecerunt mihi : Sancta mea polluerunt, Sabbata mea profanarunt : cum jugularunt, ipsi filios suos idolis suis, et ingrederentur in sancta mea ad polluenda ea [7]. » Fuerunt etenim in Samaria decem tribus, et dimidia tribus Ephraim. Hierosolymis, Juda tribus, et dimidia tribus Benjamin. Sed tum hi, tum illi haud mediocriter impietatem exercuerunt, imo ad omnis stupiditatis culmen effrenato impetu pervenerunt. Cogitationibus suis adulterarunt, id est, quæ ipsi excogitarunt, idola, hæc in adulterii et scortationis cujusdam intelligibilis occasionem verterunt, corde suo deficientes a Deo, qui eos loco uxoris assumpsit. Nam dixit ad Synagogam Judæorum, universorum Deus, voce Jeremiæ : « Facies meretricis facta est tibi, depuduisti ad omnes. Nonne ad hoc usque tempus me vocasti, et patrem et ducem virginitatis tuæ [8]? » Matrem ergo Judæorum quæ scortata est, derelictam mulierem et pusillanimem, ab adolescentia odiosam, merito vocat. Cum gentibus autem disputat, aitque non sic eas ad agnitionem Christi vocatas esse, quemadmodum videlicet hæc derelicta, et parvo animo prædita, et ab adolescentia odio habita mulier, vocata est. Maxima enim est vocationis differentia. Judæorum namque Synagogæ excæcatio] facta est ex parte, sicut inquit sapientissimus Paulus [9]. Et obtene-

[5] Isa. II, 8. [6] Ose. II, 2-5. [7] Ezech. XXIII, 36-39. [8] Jer. III, 3, 4. [9] Rom. XI, 25.

(1) Legisse videtur Humfred. ἐπενοή[θη]σαν.

brati sunt oculi eorum ne videant, et incurvata dorsa [10], id est, mentem curvam habuerunt, semper deorsum spectantem, et in res terrenas proclivem. At gentibus nihil ejusmodi evenit. Non enim oculi earum obtenebrati sunt, sed potius illustrati ; non incurvatum est dorsum, sed intelligibiliter **763** erectum; nec servatæ sunt totius reliquiæ solum, ut in Israel, sed universa eorum multitudo per Christum irretita et capta est, et ad salutem adducta, atque ab erroris criminibus vindicata, ac e laqueorum peccati violentia elapsa. Vocata igitur est, non ut abjecta et odiosa mulier : sed, Modico tempore, inquit, dereliqui te, et in magna misericordia miserebor tui. Etenim superiore memoria, ut ait Christi discipulus, permisit Deus gentes in viis suis ambulare [10*], atque ea est, opinor, ad breve et exiguum tempus derelictio [11]. Etiamsi enim ad multum temporis durasse videatur, tamen sic in breve et exiguum momentum contrahitur. Multo igitur longius est tempus misericordiæ suæ et in infinita sæcula procurrit. Sic etiam intelliges id quod sequitur, nimirum, In ira modica averti faciem meam a te, et in misericordia sempiterna miserebor tui. Breve enim et contractum est iræ tempus, si ad longitudinem humanitatis nunquam finiendæ nobis a Deo datæ conferatur, qui nos et a potestate tenebrarum eruit, et ad regnum Filii dilectionis suæ, in lucem transtulit [11*]. Magna autem hæc misericordia per Christum merito intelligi debet, qui ab omnibus liberat sordibus, a supplicio et pœna eripit, ad conjunctionem cum ipso per sanctificationem reducit, et adoptionis filiorum ornamentis coronat, hæredesque regni cœlorum præstat.

γυνή. Πλείστη γὰρ ὅση τῆς κλήσεως ἡ διαφορά. Τῇ μὲν γὰρ Ἰουδαίων Συναγωγῇ καὶ πώρωσις ἀπὸ μέρους γέγονε, καθά φησιν ὁ πάνσοφος Παῦλος· ἐσκοτίσθησαν δὲ καὶ οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, συνεκάμφθη δὲ καὶ τὰ νῶτα, τουτέστι, τὸν νοῦν ἐσχήκασιν ἀεὶ κάτω βλέποντα, καὶ τοῖς γηΐνοις ἐνορῶντα πράγμασι. Τοῖς γε μὴν ἐξ ἐθνῶν οὐδὲν συνέβη τοιοῦτον. Οὐ γὰρ ἐσκοτίσθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, ἀλλ' ἐφωτίσθησαν μᾶλλον, καὶ οὐ συνεκάμφθη τὸν νῶτον, ἀλλ' ὠρθώθη νοητῶς, ἀλλ' οὐδὲ σέσωσται καὶ παρ' αὐτοῖς τὸ κατάλειμμα τοῦ παντὸς, καθὰ καὶ ἐν τῷ Ἰσραήλ· πᾶσα δὲ μᾶλλον αὐτῶν ἡ πληθὺς σεσαγήνευται διὰ Χριστοῦ, καὶ ἐκομίσθη πρὸς σωτηρίαν, καὶ τῶν τῆς πλάνης αἰτιαμάτων ἀπήλλακται, καὶ τῶν τῆς ἁμαρτίας βρόχων διέδρα τὴν ἐπήρειαν. Κέκληται τοίνυν οὐχ οὕτως, ὡς ἡ ἀπόβλητος καὶ μεμισημένη γυνή. Ἀλλ', Εἰς χρόνον μικρὸν, φησὶ, κατέλιπόν σε, καὶ μετὰ ἐλέους μεγάλου ἐλεήσω σε. Ἐν μὲν γὰρ ταῖς παρῳχημέναις γενεαῖς, καθά φησιν ὁ Χριστοῦ μαθητὴς, συγκεχώρηκε Θεὸς τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν· καὶ τοῦτο, οἶμαι, ἐστὶν ἡ ἐγκατάλειψις ἡ εἰς χρόνον μικρόν. Εἰ γὰρ καὶ δοκοῖ πως εἰς μακροὺς γενέσθαι καιροὺς, ἀλλὰ καὶ οὕτω συστέλλεται πρὸς τὸ βραχύ. Πολλαπλασίων ἄρα ὁ τοῦ ἐλέους καιρὸς, καὶ εἰς ἀπεράντους αἰῶνας τρέχει. Οὕτω συνήσεις καὶ τὸ ἐφεξῆς, τουτέστιν, Ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ, καὶ ἐν ἐλέει αἰωνίῳ ἐλεήσω σε· βραχὺς γὰρ καὶ συνεσταλμένος τῆς ὀργῆς ὁ καιρὸς, ὡς πρός γε τὸ μῆκος τῆς ἀκαταλήκτου φιλανθρωπίας τῆς δοθείσης ἡμῖν παρὰ Θεοῦ· ὃς δὴ καὶ ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ ἐν φωτί. Ἔλεος δὲ μέγα τὸ διὰ Χριστοῦ νοοῖτο ἂν εἰκότως, ὃ καὶ παντὸς ἀπαλλάττει ῥύπου, κολάσεώς τε καὶ δίκης ἐκφέρει, καὶ ἀνακομίζει πρὸς οἰκειότητα τὴν πρὸς αὐτὸν δι' ἁγιασμοῦ, καὶ τοῖς τῆς υἱοθεσίας αὐχήμασι στεφανοῖ, καὶ τῆς τῶν οὐρανῶν βασιλείας καθίστησι κληρονόμους.

VERS. 9, 10. *Ab aqua, quæ fuit sub Noe, hoc mihi est : sicut juravi ei in tempore illo terræ me non succensurum tibi amplius, nec in comminatione tua montes translaturum, neque colles transmovebuntur, sic neque misericordia mea te deficiet, neque testamentum pacis meæ auferetur.*

Ἀπὸ τοῦ ὕδατος τοῦ ἐπὶ Νῶε τοῦτό μοί ἐστιν· ὅτι ὤμοσα αὐτῷ ἐν τῷ χρόνῳ ἐκείνῳ τῇ γῇ, μὴ θυμωθήσεσθαι ἐπὶ σοὶ ἔτι, μηδὲ ἐν ἀπειλῇ σου τὰ ὄρη μεταστήσεσθαι, οἱ δὲ οἱ βουνοὶ οὐ (1) *μετακινηθήσονται. Οὕτως οὐδὲ σοὶ τὸ παρ' ἐμοῦ ἔλεος ἐκλείψει, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης μου οὐ μὴ μετασταθῇ* (2).

In libris Moysis scriptum est manifeste, eum cuncta terra ad defectionem a Deo declinasset, et in varia genera peccati intemperanter prolapsa fuisset, et in studii curandæ carnis cœnum incidisset, Deum, qui supra omnia est, hisce de rebus jure offensum dixisse : « Non permanebit spiritus meus in hominibus istis, quia caro sunt [12], » id est, solum quæ carnalia sunt sapiunt. Quod abominabile est, et illi invisum, ac **764** omni impuritate refertum. Hinc, ut et Servatoris discipulus ait : « Prisco mundo non pepercit, sed omnes perdidit funditus, ac diluvium mundo impiorum induxit [12*]. » Solus autem Noe cum tota

Ἐν ταῖς Μωσέως βίβλοις γέγραπται σαφῶς, ὡς ἁπάσης τῆς γῆς ἀπονευσάσης εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ, καὶ ἀσχέτως κατενηνεγμένης εἰς πολύτροπον ἁμαρτίαν, καὶ τοῖς τῆς φιλοσαρκίας ἐμπαρείσης τέλμασιν· ὁ ἐπὶ πάντων Θεὸς, ἐπ' αὐτοῖς δὴ τούτοις εἰκότως λελυπημένος, « Οὐ μὴ καταμείνῃ, » φησὶ, « τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας, » τουτέστιν, ἐν μόνῳ φρονήματι σαρκικῷ· βδελυρὸν δὲ τοῦτο καὶ ἀπηχθημένον αὐτῷ, καὶ ἀκαθαρσίας ἁπάσης ἔμπλεων. Ταύτητοι, καθά φησι τοῦ Σωτῆρος ὁ μαθητὴς, « Καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἄρδην δὲ πάντας ἀπολώλεκε, κατα-

[10] Rom. XI, 10. [10*] Act. XIV, 15. [11] Rom. XI, 32. [11*] Col. I, 13. [12] Gen. VI, 3. [12*] II Petr. II, 5.

(1) LXX, οὐδὲ οἱ βουνοί σου.

(2) Iidem, σου οὐ μὴ μεταστῇ.

A κλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας· » σέσωσται δὲ πανοικὶ μόνος ὁ Νῶε, ξένιον εὐπειθείας καὶ ὑπακοῆς τὸ χρῆμα κερδαίνων. Ἐπειδὴ δὲ λωφήσαντος τοῦ κατακλυσμοῦ, καὶ τῆς τῶν ὑδάτων πληθύος συνεσταλμένης, ἐξῆλθε τῆς κιβωτοῦ, τέθυκέ τε καὶ ὠσφράνθαι φησὶν αὐτὸν ὀσμὴν εὐωδίας τὸ Γράμμα τὸ ἱερόν· εἶτα τῷ δικαίῳ κατεπαγγείλασθαι τὸ μηκέτι κατακλυσμὸν ἐπάξειν ὅλῃ τῇ γῇ. Οὐκοῦν ἀπὸ τοῦ ὕδατος τοῦ ἐπὶ Νῶε, φησὶ, τοῦτό μοί ἐστι, τουτέστιν, ὡρίσθη τοῦτο, καὶ κεκράτηκε παρ' ἐμοὶ τὸ μηκέτι θυμωθήσεσθαι πάσῃ τῇ γῇ, μήτε μὴν τοῖς ἀνθρωπίνοις φιλονεικῆσαι πταίσμασι, καὶ μίαν κατὰ πάντων ὁρίσαι δίκην. Ὑπεμφαίνει δὲ διὰ τούτων τῶν λόγων, ὅτι καὶ ἐν καιρῷ καθ' ὃν ἐπέλαμψεν ἐν τῷ κόσμῳ Χριστὸς, ἁπάσης ὥσπερ τοῖς τῆς ἀπάτης βρόχοις ἐνειλημμένης, B καὶ πάντων ἐκκεκλικότων, καὶ τὸν μὲν φύσει Θεὸν οὐκ εἰδότων, λελατρευκότων δὲ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καὶ ταῖς τῶν δαιμονίων ἀγέλαις ὑπεζευγμένων, θείᾳ ψήφῳ πάντας ἐχρῆν τὴν ἀρχαίαν ἐκείνην ὑπομεῖναι κόλασιν. Ἔνθα γὰρ ὅλως ἰσοπαλῆ τὰ ἐγκλήματα, ἐκεῖ που πάντως εἴη ἂν οὐκ ἀπεοικὸς τὸ ἰσοῤῥόπως κολάζεσθαι τοὺς κατεγνωσμένους. Ἀλλὰ παρίημι τοῦτο, φησὶ, καὶ μένει βέβαιον παρ' ἐμοὶ τὸ ἐπηγγελμένον· ὥσπερ δέ φησιν· Οὐκ ἂν ἐν θυμῷ μεταστήσαιμι τὰ ὄρη, οὐδ' ἂν σαλεύσαιμι τοὺς βουνοὺς, τουτέστιν, οὐκ εἰς ἕτερόν τι σχῆμα μεταβαλῶ τὴν γῆν, οὐδὲ πρόωρον ἐποίσω τὴν καινουργίαν αὐτῇ· οὕτως οὐδὲ τὸ παρ' ἐμοῦ σοι ἔλεος ἐκλείψει, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης μου οὐ[μὴ] μετασταθῇ· ὁ δὲ τῆς εἰρήνης βραβευτὴς, καὶ τῆς διαθήκης εἴη ἂν C ἕτερος οὐδεὶς παρὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, κατὰ τὰς Γραφὰς, καὶ τὴν πρὸς αὐτὸν οἰκειότητα τὴν πνευματικὴν πλουτοῦντες ἐμπεπλήσμεθα παντὸς ἀγαθοῦ. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ Ἡσαΐου σαφῶς εἰρημένον πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεόν· « Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. » Οὐκοῦν ἐν Χριστῷ διαθήκην εἰρήνης κεκερδήκαμεν τὴν παρὰ τοῦ Θεοῦ καὶ Πατρός. συνήφθημεν γὰρ αὐτῷ διὰ μέσου τοῦ Χριστοῦ, καὶ αὐτὸς τὴν διασπάσασαν ἡμᾶς ἐκ μέσου τέθεικεν ἁμαρτίαν, ἵνα μηδὲν κέοιτο τοῖς πρὸς Θεὸν ἰοῦσιν ἐμποδών. Γέγραπται γοῦν, ὅτι « Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν, » τρεχόντων δηλονότι κατ' οἰκειότητα τὴν πρὸς Θεὸν, μεσιτευούσης εἰς τοῦτο τῆς ἁπάντων εἰρήνης, δῆλον δὲ ὅτι Χριστοῦ.

familia servatus est, xenium quasi ac munus obedientiæ et obtemperationis lucrifaciens. At ubi cessasset diluvium, aquarum vi diminuta, egressus est ac sacrificavit, et, ut narrant sacræ Litteræ, odoratus est odorem suavitatis: deinde justo huic denuntiat, se non inducturum universæ terræ diluvium[11]. Itaque ab aqua, inquit, tempore Noe istud mihi est, id est, definitum et ratum est apud me, non amplius succensere universæ terræ, nec humanis indignari lapsibus, nec unum in omnes supplicium statuere. His verbis subindicat, tempore quo illuxit mundo Christus, tota terra velut laqueis erroris occupata, ac omnibus deficientibus, ac natura Deum ignorantibus, servientibusque manuum suarum operibus, ac gregi dæmoniorum subjugatis, oportuisse divino calculo omnes veterem illam et antiquam pœnam subire. Ubi enim paria omnino sunt crimina, ibi utique consentaneum est condemnatos æquali pœna affici. Cæterum, inquit, hoc ego prætermitto, et firmum manet apud me quod promissum est, ac dicit quodammodo: Non amplius in furore montes transferam, non colles concutiam, id est, non in aliam formam mutabo terram, nec intempestam ei mutationem induceam. Sic neque mea deficiet misericordia, nec testamentum pacis meæ transferetur. Pacis autem administer et fœderis alius esse nemo potest, præter Dominum nostrum Jesum Christum. Ipse enim est pax nostra, secundum Scripturas[12*], et cum ipso conjunctionem spiritualem abunde possidemus, omnique bono repleti sumus ac cumulati. Atque hoc est quod per Isaiam dictum est manifeste ad cœlestem Patrem ac Deum: « Domine Deus noster, pacem da nobis. Omnia enim dedisti nobis[13]. » Itaque per Christum lucrifecimus testamentum pacis apud Deum et Patrem: ei namque conjuncti sumus et copulati per medium Christum, qui peccatum quod nos sejunxit, e medio sustulit, **765** ne ullum euntibus ad Deum injiceretur impedimentum. Scriptum est enim: « Via piorum recta facta est, et præparata via piorum[14*], » currentium scilicet ad hanc, quæ cum Deo est, conjunctionem, intercedente ad hoc omnium pace, videlicet Christo.

D *Εἶπε γὰρ Κύριος, Ἵλεώς σοι. Ταπεινὴ καὶ ἀκατάστατος οὐ παρεκλήθης.*

Ἀγαθὸς ὢν φύσει καὶ ἀσυγκρίτως φιλάνθρωπος ὁ τῶν ὅλων Θεὸς, ἀφορμὰς ἀεί πως συλλέγει πρός γε τὸ δεῖν ἀμνησικάκως χάριτι δικαιοῦν τοὺς ἡμαρτηκότας. Οὐ γὰρ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ μᾶλλον, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν. Οὐκοῦν αὐτὸς ὁ τῶν ὅλων Θεὸς ἵλεως ἔσται σοι, φησί. Καὶ διὰ ποίαν αἰτίαν; Πρῶτον, ὅτι Χριστός ἐστι καὶ ἐπιεικὴς, ἀγαθός τε καὶ πολυέλεος· εἶτα ὅτι γέγονας ταπεινὴ καὶ ἀκατάστατος. Ἔνεστι δὲ ταῦτα ἰδεῖν ταῖς τῶν πλανωμένων

Dixit enim Dominus, Propitius ero tibi humilis et instabilis, non habuisti consolationem.

Bonus natura et incomparabiliter humanus universorum Deus occasiones semper conquirit ut gratia quæ oblivionem inducit, justificet eos qui peccaverunt. Non enim vult mortem peccatoris, sed ut avertat se a via mala, ac vivat[15]. Dicit ergo: Ipse universorum Deus propitius erit tibi. At qua de causa? Primum quia benignus est et clemens, bonus et multum misericors; dein, quia exstitisti humilis et instabilis. Hæc autem videre est, mentes errantium tanquam morbum quemdam infestare. Abjectæ

[11] Gen. VIII, 20, 21. [12*] Ephes. II, 14. [13] Isa. XXVI, 12. [14*] Prov. IV, 27. [15] Ezech. XVIII, 32.

sunt enim valde, id est, humiles, et proculcatæ, et tanquam humi repentes, ac conculcare volentibus prostitutæ, cum sanctorum cor non ita se habeat. Nec enim sunt eorum animi dæmonum incursionibus pervii, seu elati, et fœdis cupiditatibus non subjecti. Sed abjectum est, ut dixi, cor errantium : et præterea etiam instabile, eo quod ebrii sint quodammodo, et vacillent, feranturque præcipites in cupiditates lege divina notatas ac taxatas, ac pro vitiis condemnatas. Circumferuntur enim tanquam omni flatu et, ut Parœmiastes dicit[15*], fluctuationem cupiditatum subeunt. Quod universorum Deus criminatus est evenisse Jerusalem, eo quod in errores dæmonum prolapsa esset, dicens : Cupiditatibus animæ suæ tanquam vento agitata est. Vento igitur circumlata anima, utique est etiam inconstans. Qui vero adhærent Deo, morbum hunc fugiunt, ut qui perniciem afferat, et gratulatorias odas referunt, tanquam a malo liberati. Dicunt enim : « Statuit super petram pedes meos, et direxit gressus meos[15**]. » A Deo quoque dictum est matri Judæorum : « Statue teipsam, o Sion[16]. » Et Paulus sapientissimus in Epistola scribit ad quosdam : « Qui sibi videtur stare, videat ne cadat[16*]. » **766** Caret ergo sacris ornamentis errantium anima. Nec enim est constans. Sed, ut dixi, quoniam misericors est universorum Conditor, defendit quodammodo eam cui hoc accidit, et inquit : Consolatione destituta es. Plurimum enim consolationis habebant Israelitæ a Deo, quæ illos spirituali robore confirmavit, et ad cognitionem ejus quod utile est et ad salutem necessarium adduxit. Nam data est illis lex per Moysem, et sanctorum prophetarum chorus exhibitus est, cœlestibus rivulis eos influens et inundans, Deo illis uberrimam consolationem instar pluviæ immittente. Sed nemo sanctorum unquam gentes allocutus est, nec legis Mosaicæ pædagogia institutæ sunt, sed et propheticarum orationum expertes omnino manserunt. Itaque consolatione destituta est. Idque clare demonstratum est in evangelica parabola qua usus est Christus, ut qui conducit operarios in vineam suam, quod hora prima, et tertia, sexta et nona fecit. Ad horam autem undecimam, cum alios stantes otiosos invenisset, dixit eis : « Quid hic statis totum diem otiosi ? Cui illi : Nemo, inquiunt, nos conduxit[16**]. » Nec enim quisquam vocavit gentium multitudinem, nisi solus vineæ Dominus novissimis temporibus.

A διανοίαις, καθάπερ τινὰ νόσον ἐνσκήψαντα. Ταπειναὶ γὰρ λίαν, τουτέστι χθαμαλαὶ καὶ πεπατημέναι, καὶ οἷον χαμαιῤῥιφεῖς αὗται, καὶ τοῖς ἐθέλουσιν ἐγκεῖσθαι πρὸς καταπάτημα, τῆς τῶν ἁγίων καρδίας ὡς οὐχ οὕτως ἐχούσης ποθέν. Οὐ γάρ εἰσι βάσιμοι ταῖς τῶν δαιμονίων ἐφόδοις, ἀνῳκισμέναι δὲ ὥσπερ καὶ ταῖς ἐκτόποις τῶν ἐπιθυμιῶν ὑποκεῖσθαι μὴ ἀνεχόμεναι. Ταπεινὴ δὲ, ὡς ἔφην, ἡ τῶν πλανωμένων καρδία, καὶ πρός γε τούτῳ καὶ ἀκατάστατος, διά τοι τὸ μεθύειν τρόπον τινὰ, καὶ κατασείεσθαι πρὸς ἐπιθυμίας τὰς τῷ θείῳ νόμῳ διαβεβλημένας, καὶ ταῖς εἰς φαυλότητα ψήφοις καταδεδικασμένας. Περιφέρονται γὰρ ὥσπερ παντὶ πνεύματι, καὶ καθά φησιν ὁ Παροιμιαστὴς, ῥεμβασμὸν ἐπιθυμιῶν ὑπομένουσιν. Ὅπερ παθοῦσαν τὴν Ἱερουσαλὴμ, διὰ τὸ προσνεῦσαι ταῖς B τῶν δαιμονίων ἀπάταις, ᾐτιᾶτο λέγων ὁ τῶν ὅλων Θεός· Ἐν ἐπιθυμίαις ψυχῆς αὐτῆς ἐπνευματοφορεῖτο. Πνευματοφορουμένη δὲ ψυχὴ, πάντως που καὶ ἀκατάστατος. Καὶ γοῦν οἱ Θεῷ προσκείμενοι φεύγουσι τὴν νόσον, ὡς ὀλέθρου πρόξενον, καὶ δὴ καὶ χαριστηρίους ᾠδὰς ἀναφέρουσιν, ὡς ἀπηλλαγμένοι τοῦ κακοῦ· φασὶ γὰρ, ὅτι « Ἔστησεν ἐπὶ τὴν πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου. » Εἴρηται δὲ παρὰ Θεοῦ καὶ πρὸς τὴν τῶν Ἰουδαίων μητέρα· « Στῆσον σεαυτὴν, Σιών. » Καὶ μὴν καὶ ὁ πάνσοφος Παῦλος ἐπιστέλλει τισίν· « Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. » Ἔξω δὴ οὖν τῶν ἁγιοπρεπῶν αὐχημάτων ἡ τῶν πλανωμένων ψυχή. Καὶ γάρ ἐστιν ἀκατάστατος. Ἐπειδὴ δὲ οἰκτίρμων ἐστὶν, ὡς ἔφην, ὁ τῶν ὅλων δημιουργὸς, ὑπεραπολογεῖται τρόπον τινὰ C τῆς τοῦτο παθούσης, καί φησιν· Οὐ παρεκλήθης. Τοῖς μὲν γὰρ ἐξ Ἰσραὴλ πλείστη γέγονε παρὰ Θεοῦ παράκλησις, εἰς εὐρωστίαν αὐτοὺς ἀναφέρουσα τὴν πνευματικὴν, καὶ τὴν τοῦ χρησίμου καὶ ἀναγκαίου πρὸς σωτηρίαν εἰσφέρουσα γνῶσιν. Δέδοται γὰρ αὐτοῖς νόμος ὁ διὰ Μωσέως, καὶ προφητῶν ἁγίων ἀνεδείχθη χορὸς, τοῖς ἐξ οὐρανοῦ νάμασιν ἐπικλύζων αὐτοὺς, καὶ παράκλησιν ἀφθονοτάτην ὑετοῦ δίκην καθιέντος αὐτοῖς τοῦ Θεοῦ· τοῖς γε μὴν ἔθνεσι προσλελάληκεν οὐδεὶς τῶν ἁγίων παντελῶς· οὔτε γὰρ πεπαιδαγώγηται νόμῳ τῷ διὰ Μωσέως, ἀπείρατοι δὲ παντελῶς καὶ προφητικῶν μεμενήκασι λόγων. Οὐκοῦν οὐ παρεκλήθη. Καὶ τοῦτο δέδεικται σαφῶς διὰ τῆς εὐαγγελικῆς παραβολῆς· ἔφη γάρ που Χριστὸς, D ὡς ὁ μισθούμενος τοὺς ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, πέπραχε μὲν τοῦτο περὶ πρώτην, καὶ τρίτην, ἕκτην τε, καὶ ἐννάτην ὥραν. Περὶ δέ γε τὴν ἑνδεκάτην ὥραν, εὑρὼν ἑτέρους ἑστῶτας ἀργοὺς, ἔφη πρὸς αὐτούς· « Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί ; » Οἱ δὲ πρὸς τοῦτο ἔφασαν τὸ, « Οὐδεὶς ἡμᾶς ἐμισθώσατο. » Ἐκάλεσε γὰρ οὐδεὶς τῶν ἐθνῶν τὴν πληθὺν, πλὴν ὅτι μόνος ἐν ἐσχάτοις καιροῖς ὁ τοῦ ἀμπελῶνος δεσπότης.

VERS. 11-13. *Ecce ego præparo tibi carbunculum lapidem tuum, et fundamenta tua sapphirum, et ponam propugnacula tua jaspin, et portas tuas lapides crystalli, et murum tuum lapides electos, et omnes filios tuos discipulos Dei, et in multa pace filii tui.*

Ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον, καὶ τὰ θεμέλιά σου σάπφειρον, καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς πύλας σοῦ λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτοὺς, καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς Θεοῦ, καὶ ἐν πολλῇ εἰρήνῃ τὰ τέκνα σου.

[15*] Sap. IV, 4. [15**] Psal. XXXIX, 3. [16] Baruch, V, 5. [16*] I Cor. X, 12. [16**] Matth. XX, 6.

Ἄθρει δή μοι πάλιν τοῦ λόγου τὸ εὔτεχνες, καὶ A τῶν ἐννοιῶν τὸ εὐμήχανον. Διαλέγεται μὲν γὰρ ὡς ὅσον οὐδέπω πόλεως ὀφθησομένης τῆς ἐξ ἐθνῶν Ἐκκλησίας μεγαλοπρεποῦς τε καὶ περικαλλεστάτης, λίθοις γε μὴν τοῖς ὅτι μάλιστα διαπρεπεστάτοις ἐξωραϊσμένην ἀποφανθήσεσθαι λέγει. Θήσω γάρ, φησίν, ἄνθρακα τὸν λίθον σου. Ἔοικε δὲ διὰ τούτων κατασημαίνειν βούλεσθαι τὸν Ἰησοῦν, ὃν δὴ τεθεῖσθαί φησι τὸ Γράμμα τὸ ἱερὸν εἰς τὰ θεμέλια Σιών, εἰς ὃν εἴ τις πιστεύσειεν, οὐ μὴ καταισχυνθῇ. Ἄνθρακα μὲν αὐτὸν ἐν τούτοις ὀνομάζει. Διαμέμνηται δὲ καὶ ἑτέρως αὐτοῦ διὰ προφητῶν ἁγίων. Ἔφη γοῦν διὰ φωνῆς Ἀμώς· «Ἰδοὺ ἐγὼ ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραήλ.» Διὰ δέ γε φωνῆς Ζαχαρίου· «Ἰδοὺ ἐπάγω ἐπὶ τὸν δοῦλόν μου ἀνατολήν· διότι λίθος ὃν δέδωκα B πρὸ προσώπου Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν.» Ἔνεστι γὰρ τὰ πανταχοῦ δύνασθαι καθορᾷν τῷ παντεπόπτῃ Χριστῷ. Τέθειται τοίνυν ὁ ἄνθραξ εἰς λίθον καὶ ἀκατάσειστον ὑποβάθραν τῆς πόλεως τῆς ἁγίας. Ἐπ' αὐτῷ δὲ λίθοι σαπφείρου, τάχα που τὸ τῶν ἁγίων ἀποστόλων στῖφος ὑποσημαίνοντες. Ἐγγύτεροι γὰρ οὗτοι Χριστοῦ, καὶ οἷόν τινες θεμέλιοι μετ' αὐτὸν γεγόνασι τῆς ὑπ' οὐρανόν. Οὕτω πού φησιν ὁ Δαβὶδ ἐν ἑπτακαιδεκάτῳ ψαλμῷ, ὅτι «Ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθησαν τὰ θεμέλια τῆς οἰκουμένης, ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.» Ἐπιτιμηθέντων γὰρ τῶν ἐξ Ἰσραήλ, καὶ τῷ πνεύματι τῆς θείας ὀργῆς ὑπενηνεγμένων, ἐπεί τοι πεπαρῳνήκασιν εἰς Χριστόν, C ὤφθησαν αἱ τῶν ὑδάτων πηγαί, τουτέστιν ἡ διὰ τοῦ ἁγίου βαπτίσματος κάθαρσις, ἐμφανῆ δὲ γεγόνασι καὶ τὰ θεμέλια τῆς οἰκουμένης, τουτέστι πάλιν οἱ θεσπέσιοι μαθηταὶ ἀπόστολοί τε καὶ εὐαγγελισταί. Θήσω δέ, φησί, καὶ τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς πύλας σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτούς. Ἐπάλξεις, καὶ πύλας, καὶ περίβολον ὀνομάζων τῶν ἁγίων μυσταγωγῶν τὸ θεοφιλές, καὶ σοφώτατον σύστημα, οἳ καὶ προμαχῶνές εἰσι καὶ πύλαι τῆς πόλεως τῆς ἁγίας, περίβολοί τε καὶ τεῖχος. Μάχονται μὲν τοῖς πολεμεῖν ἐθέλουσιν αὐτήν, ἤτοι τοὺς ἐν αὐτῇ, τουτέστι τὴν τῶν διὰ πίστεως σεσωσμένων πληθὺν ἀντεξάγοντες ἐμφρόνως τοῖς τῶν ἀνοσίων αἱρέσεων εὑρεταῖς, καὶ ταῖς τοῦ διαβόλου δυστροπίαις D ἀνθιστάμενοι, καὶ τῶν σεσωσμένων οὐδένα περιπίπτειν που τῆς σκαιότητος συνεχῶς ἐπιτρέποντες, καὶ οἷον ἐν τάξει εἰσκομίζοντες εἰς θεογνωσίαν τοὺς ἐξ ἀπάτης Ἑλληνικῆς, περιφράττοντές τε καὶ περιβάλλοντες νουθεσίαις αὐτοὺς καὶ μυσταγωγίαις, ὥστε καὶ ἀλήπτους εἶναι, καὶ δυνάμεσι πονηραῖς, καὶ βωμολοχίαις ψευδοδιδασκάλων, οἳ τῆς ψευδωνύμου γνώσεως τὸν ἰὸν ἐκχέουσι ταῖς τῶν ἀκεραιοτέρων ψυχαῖς. Ἔθος δὲ τῇ θεοπνεύστῳ Γραφῇ λίθοις πολυτελεστάτοις ἀφομοιοῦν ἔσθ' ὅτε τοὺς τὴν ἁγίαν ἔχοντας ζωήν, καὶ πολυειδέσιν ἀρεταῖς ἐμπρέποντας. Καὶ γοῦν ἔφη που περὶ τῶν ἁγίων ἀποστόλων, ὅτι

Specta mihi rursus orationis artificium, et bellam sententiarum structuram. Disserit enim de civitate velut quæ modo non futura est Ecclesia gentium, quæ magnifica apparebit et illustrissima: quam dicit lapidibus insignissimis exornandam. Ponam enim, inquit, carbunculum lapidem tuum. Videtur autem hisce verbis Jesum velle significare, quem Scriptura sacra dicit in fundamenta Sion esse positum: in quem si quis crediderit, non pudefiet [17]. Hunc nominat hic carbunculum. Aliter quoque ejus **767** fit mentio in sanctis prophetis. Siquidem dixit voce Amos: «Ecce ego constituo adamantem in medio populi mei Israel [17*].» Et voce Zachariæ: «Ecce ego adduco super servum meum Orientem, quia lapis quem dedi ante faciem Jesu, super lapidem unum, septem oculi sunt [17**].» Potest enim omnia passim perlustrare is qui est inspector omnium Christus. Positus est igitur carbunculus in lapidem et immotam sanctæ civitatis basim. Super ipsum autem lapides sapphiri, fortassis sanctorum apostolorum agmen denotant. Sunt enim illi Christo viciniores, et tanquam fundamenta quædam secundum ipsum orbis terrarum exstiterunt. Sic ait David psalmo decimo septimo: «Apparuerunt fontes aquarum, et revelata sunt fundamenta terræ, ab increpatione tua, Domine, ab insufflatione spiritus iræ tuæ [18].» Reprehensis enim Israelitis, et flatui divinæ iræ subjectis, cum in Christum debacchati fuissent, apparuerunt fontes aquarum, id est, per sacrosanctum baptisma purificatio; et conspicua facta sunt fundamenta orbis, id est, divini discipuli, apostoli et evangelistæ. Ponam quoque, inquit, et propugnacula tua jaspidem, et portas tuas lapides crystalli, et murum tuum lapides electos. Propugnacula et portas et munimentum nominat, sanctorum mystagogorum Deo amicum et sapientissimum cœtum: qui etiam propugnacula sunt, et portæ sanctæ civitatis, et munimenta ac muri. Pugnant enim cum his qui bellum inferunt illi, id est, his qui in ea sunt, multitudini nempe eorum qui per fidem servati sunt; et prudenter resistunt impiarum sectarum inventoribus, ac diaboli malitiæ obsistunt, nec quemquam servatorum permittunt in ejus incidere sinistram tyrannidem, continuo ac rite ad Dei cognitionem inducentes ethnica fraude irretitos, monitisque et mystagogiis eos obvallantes et obmunientes, ut non sint expositi malis potestatibus et falsorum doctorum scurrilibus nugis, qui falso nominatæ scientiæ venenum animis simpliciorum offendunt. Est etiam solemne Scripturæ divinitus inspiratæ, lapidibus pretiosissimis assimilare interdum eos qui sancte vitam instituunt, et variis fulgent virtutibus. Dixit siquidem de **768** sanctis apostolis: Lapides sancti volvuntur super terra [18*]. Nam divini discipuli orbem terrarum peragrabant, prædicantes et evangelizantes ubique gentium omnibus gratiam salu-

[17] Isa. XXVIII, 16. [17*] Amos, VII, 8. [17**] Zach. III, 8, 9. [18] Psal. XVII, 16. [18*] Zachar. IX, 16.

tis per Christum. Rursus propheta etiam Isaias dixit, velut sub persona Dei: « Perdam insolentiam iniquorum, et insolentiam superborum deprimam, et erunt derelicti pretiosiores auro obryzo, et homo erit pretiosior lapide ex sapphir [19] (1). » Judæorum enim præfecti qui in Christum prævaricati sunt, perierunt. At superstites per fidem, omni auro et lapide pretiosiores merito censeri possunt. Paulus certe sapientissimus fundamentum dicens esse Jesum Christum, credentes in ipsum, velut lapides pretiosos superstrui ait, in sanctum templum, in ædificium Dei in Spiritu [20]. Proinde sanctos mystagogos, virtutum varietate et pulchritudine intelligibili resplendescentes, lapidibus pretiosissimis comparat: et alios dicit in fundamenta positos esse sanctæ civitati, alios in propugnacula, alios portarum et munitonis usum ac locum supplere. Atque hæc quidem de civitatis præfectis, quam nobis hæc describit oratio. De his vero qui eam inhabitant, quid tandem ait? Et omnes filios tuos doctos a Deo. Olim namque per sapientissimum Moysen et prophetas sanctos instituit Israelem. Extremis autem sæculi temporibus, docti fuimus a Deo. Cujus testis est Paulus, dicens: « Multifariam ac multis modis olim Deus allocutus est patres in prophetis: postremis vero diebus hisce locutus est nobis in Filio [21]. » Præceptorem enim sortiti sumus, non prophetam aliquem sequestrem, et divinis sermonibus ministrantem, sicuti olim: sed ipsum potius ex Deo et Patre genitum sermonem, qui in specie nostra factus est, et qui in carne apparuit. Propterea pax multa est Ecclesiæ filiis, matre nostra ædificata in justitia. Qui enim vere a Deo docti sunt, eos nemo lædere potest eorum qui inanitate verborum uti solent: sed pacem habent apud Deum, amore cum ipso colligati, et justitiam colentes. Hoc ædificat Ecclesiam, et eam sartam tectam conservat **769** ne nutet, Christo protegente et concedente, ut inconcussa sit et immota. Adversum enim hanc, inquit, portæ inferorum non prævalebunt [21*]. De ea namque scriptum est etiam in libro Psalmorum: « Et ædificabit velut unicornis sanctuarium suum in terra, fundavit illud in æternitatem [22]. » Sanctuarium ejus, Ecclesiam esse dicimus, quæ hostibus horribile cornu erigit, quemadmodum videlicet unicornis cæteris etiam animantibus. Fundata est enim in æternitatem a Christo.

A λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς. Περιεφοίτησαν γὰρ τὴν ὑπ' οὐρανὸν οἱ θεσπέσιοι μαθηταὶ, διακηρύττοντές τε καὶ εὐαγγελιζόμενοι τοῖς ἁπανταχοῦ τῆς διὰ Χριστοῦ σωτηρίας τὴν χάριν. Ἔφη δὲ πάλιν καὶ ὁ προφήτης Ἡσαΐας, ὡς ἐκ προσώπου τοῦ Θεοῦ· « Καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω, καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ἔντιμοι μᾶλλον, ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ὁ ἄνθρωπος ἔντιμος μᾶλλον, ἢ ὁ λίθος ὁ ἐκ σουφείρ. » Ἀπολώλασι μὲν γὰρ παρανομήσαντες εἰς Χριστὸν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, οἱ δέ γε διὰ πίστεως ἀνασεσωσμένοι, χρυσίου παντὸς καὶ λίθου τιμιώτεροι καταλογισθεῖεν ἂν εἰκότως· ναὶ μὴν καὶ ὁ πάνσοφος Παῦλος, θεμέλιον λέγων Ἰησοῦν τὸν Χριστὸν, τοὺς εἰς αὐτὸν πιστεύσαντας, ὡς λίθους ἐκλεκτοὺς B ἐποικοδομεῖσθαί φησιν εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι. Οὐκοῦν τῇ τῶν ἀρίστων πολυειδίᾳ καὶ κάλλει τῷ νοητῷ διαπρέποντας τοὺς ἁγίους μυσταγωγοὺς παρεικάζει λίθοις ταῖς τιμιωτάταις· καὶ τοὺς μὲν εἰς θεμέλια τεθεῖσθαι τῇ ἁγίᾳ πόλει φησὶ, τοὺς δὲ εἰς ἐπάλξεις· ἑτέρους δὲ πυλῶν, καὶ περιβόλου χρείαν ἀναπληροῦν. Καὶ ταυτὶ μὲν περὶ τῶν τῆς πόλεως προεστηκότων, ἣν ὁ λόγος ἡμῖν ζωγραφεῖ. Περὶ δέ γε τῶν οἰκούντων αὐτὴν τί ἄρα φησί; Καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς Θεοῦ. Πάλαι μὲν γὰρ διὰ τοῦ πανσόφου Μωσέως καὶ προφητῶν ἁγίων πεπαιδαγώγηκε τὸν Ἰσραήλ. Ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς διδακτοὶ γεγόναμεν Θεοῦ· καὶ τούτου μάρτυς ὁ Παῦλος λέγων· C « Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ. » Καθηγητὴν γὰρ ἐλάχομεν, οὐ προφήτην τινὰ μεσιτεύοντα, καὶ τοῖς παρὰ Θεοῦ λόγοις διακονοῦντα, καθὰ καὶ πάλαι· αὐτὸν δὲ μᾶλλον τὸν ἐκ Θεοῦ καὶ Πατρὸς γεννηθέντα Λόγον, ἐν εἴδει τῷ καθ' ἡμᾶς γεγονότα, καὶ ἐν σαρκὶ πεφηνότα. Διὰ τοῦτο καὶ ἐν εἰρήνῃ πολλῇ τὰ τῆς Ἐκκλησίας εἰσὶ τέκνα, τῆς μητρὸς ἡμῶν οἰκοδομουμένης ἐν δικαιοσύνῃ. Τοὺς γὰρ ὅλως Θεοῦ διδακτοὺς γεγονότας, καταλωβήσαιτο δ' ἂν οὐδεὶς τῶν κενοφωνεῖν εἰωθότων, εἰρηνεύουσι δὲ πρὸς Θεὸν ἀγάπῃ τῇ πρὸς αὐτὸν συνδούμενα, καὶ τοὺς τῆς δικαιοσύνης τιμῶντα τρόπους· οἰκοδομεῖ δὲ τοῦτο τὴν Ἐκκλησίαν, καὶ τὸ ἀκραδάντως ἔχειν αὐτῇ πραγματεύεται, Χριστοῦ D συνασπίζοντος, καὶ τὸ ἀκλονήτως ἔχειν νέμοντος αὐτῇ· Πύλαι γὰρ ᾅδου, φησὶν, οὐ κατισχύσουσιν αὐτῆς. Γέγραπται γὰρ καὶ ἐν βίβλῳ Ψαλμῶν περὶ αὐτῆς· « Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτοῦ, εἰς τὴν γῆν ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. » Ἁγίασμα δὲ αὐτοῦ τὴν Ἐκκλησίαν εἶναί φαμεν, ἣ καὶ ἀπόβλητον ἐγείρει τοῖς ἐχθροῖς τὸ κέρας, καὶ καθάπερ ἀμέλει καὶ ὁ μονόκερως τοῖς ἑτέροις τῶν ζώων. Τεθεμελίωται γὰρ εἰς τὸν αἰῶνα παρὰ Χριστοῦ.

VERS. 14. *Recede ab iniquo, et non timebis, et tremor non appropinquabit tibi. Ecce proselyti accedent ad te per me, et ad te confugient.*

Ἀπέχου ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. Ἰδοὺ προσήλυτοι διελεύσονταί (2) *σοι δι' ἐμοῦ, καὶ ἐπὶ σὲ καταφεύξονται.*

[19] Isa. XIII, 11, 12. [20] I Cor. III, 11-13. [21] Hebr. I, 1, 2. [21*] Matth. XVI, 18. [22] Psal. LXXVII, 69.

(1) Sapphir. Hebr. *Ophir.* (2). LXX, προσελεύσονται.

Εἰπὼν, ὅτι τίθησι μὲν τὸν περίβολον αὐτῆς λίθους ἐκλεκτοὺς, πάντας δὲ τοὺς υἱοὺς αὐτῆς διδακτοὺς Θεοῦ, διαδείκνυσιν εὐθὺς εἰς πέρας ἐκβεβηκὸς τὸ ἐπηγγελμένον. Μυσταγωγεῖ γὰρ ὥσπερ, οὐ διὰ μεσίτου τινὸς, καθὰ καὶ πάλαι διὰ Μωσέως, ἤγουν ἑτέρων τῶν ἁγίων προφητῶν, δι' ἑαυτοῦ δὲ μᾶλλον, ἤτοι φωνῆς ἰδίας. Ἦν γὰρ τοῦτο τὸ, «Ἔσονται πάντες διδακτοὶ Θεοῦ.» Γέγραφε δὲ καὶ ὁ σοφώτατος Παῦλος, ὅτι «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν.» Οὐκοῦν δι' ἑαυτοῦ τῶν αἰώνων ὁ ποιητὴς ἐξυφαίνει τὰς μυσταγωγίας τοῖς δι' αὐτοῦ κεκλημένοις εἰς τὴν διὰ πίστεως χάριν. Διὰ τοῦτο καὶ ἡ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων γραφομένη νύμφη περὶ αὐτοῦ πού φησι· «Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.» Κατησπάζετο μὲν γὰρ ὥσπερ καὶ πάλαι διὰ στόματος αὐτοῦ προφητῶν ἁγίων, καλῶν εἰς συνάφειαν τὴν πρὸς αὐτὸν δι' ἁγιασμοῦ καὶ δικαιοσύνης. Ἐπειδὴ δὲ προῆλθεν ἄνθρωπος ἐκ γυναικὸς, ἀπὸ φιλημάτων στόματος αὐτοῦ πεφιλήμεθα. Στόμα γὰρ πρὸς στόμα λελάληκε πρὸς ἡμᾶς. Ὅταν τοίνυν ἀπόσχῃ, φησὶν, ἀπὸ παντὸς ἀδίκου καὶ πονηροῦ πράγματος, τότε οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι· ἔσῃ γὰρ ἀνάλωτος τοῖς ἐχθροῖς, καὶ πέρα φόβου παντὸς, κἂν ἐξοπλίζωνταί σοι καταδηοῦν ἐθέλοντες τῶν ἐν κόσμῳ τινὲς, πλείστην ὅσην λαχόντες τὴν δυναστείαν, ἤγουν αἱ ἀντικείμεναί τε καὶ πονηραὶ δυνάμεις, ἢ τάχα που καὶ αὐτὰ τῆς ἐκτόπου καὶ μυσαρᾶς ἡδονῆς τὰ κύματα, φέροντα τοὺς φιλαμαρτήμονας εἰς ᾅδου πυθμένα, καὶ εἰς αὐτὸ τῆς ἀπωλείας τὸ κάτω βάραθρον. Ἀξιόληπτα τοίνυν τῆς δικαιοσύνης τὰ γέρα, καὶ λαμπροὶ μὲν λίαν οἱ στέφανοι, τεθαυμασμένη δὲ παρά γε τοῖς ἀρτίφροσι τῶν πνευματικῶν χαρισμάτων ἡ κτῆσις. Προσεπάγει δέ τι καὶ ἕτερον· Ἰδοὺ προσήλυτοι προσελεύσονταί σοι δι' ἐμοῦ, καὶ ἐπὶ σὲ καταφεύξονται. Προσηλύτους δέ φησιν, ἢ τοὺς ἐν ἑκάστῳ καιρῷ προσιόντας τὴν πίστιν καὶ καλουμένους ἐξ ἐθνῶν, ἢ τάχα που καὶ αὐτοὺς τοὺς ἐξ Ἰσραὴλ, οἳ κατόπιν τέθεινται τῶν ἐθνῶν, καίτοι τὴν πρώτην ἔχοντες τάξιν, καὶ οἳ προσηλύτους δεχόμενοι τοὺς ἐκ πλάνης Ἑλληνικῆς πρὸς Θεὸν ἐπιστρέφοντας, αὐτοὶ προσήλυτοι γεγόνασι τῶν ἐθνῶν, πλὴν καὶ τοῦτο διὰ Χριστοῦ. Σημαίνει γὰρ τοῦτο τὸ, δι' ἐμοῦ. Δι' αὐτοῦ γὰρ ἡ πάντων ἐπιστροφή τε καὶ κλῆσις, καὶ ἡ πρὸς Θεὸν καὶ Πατέρα πρόσοδος [al. πρόοδος]. «Οὐδεὶς γὰρ ἔρχεται,» φησὶ, «πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ.» Καὶ πάλιν· «Ἐγώ εἰμι ἡ ὁδός·» καὶ, «Ἐγὼ ἡ θύρα.»

Ἰδοὺ ἐγὼ κτίζω (1) *σε, καὶ οὐχ ὡς χαλκεὺς φυσῶν ἄνθρακας, καὶ ἐκφέρων σκεύη εἰς ἔργα. Ἐγὼ δὲ ἔκτισά σε οὐκ εἰς ἀπώλειαν φθεῖραι. Πᾶν σκεῦος φθαρτὸν* (2) *ἐπὶ σὲ οὐκ εὐοδώσω, καὶ πᾶσα φωνὴ ἀναστήσεται ἐπὶ σὲ εἰς κρίσιν, πάντας αὐτοὺς ἡττήσεις, οἱ δὲ ἔνοχοί σου ἔσον-*

A Cum dixerit, ponere se munitionem ejus lapides electos, omnesque filios ejus doctos a Deo: statim ostendit quod promissum est, ad exitum pervenisse. Mysteriis enim suis initiat et erudit non, tanquam per medium quoddam, sicuti olim per Moysem, aut alium e sanctis prophetis, sed per seipsum potius, seu voce propria. Illud enim hoc significabat: «Erunt omnes docti a Deo [23].» Scripsit item sapientissimus Paulus: «Multifariam multisque modis olim Deus locutus est patribus, in prophetis: extremis autem hisce diebus locutus est nobis in Filio, quem posuit hæredem omnium, per quem etiam fecit sæcula [24].» Proinde per semetipsum effector sæculorum pertexit mystagogias his qui B per ipsum vocati sunt ad hanc per fidem gratiam. Propterea sponsa quæ in Cantico canticorum descripta est, de eo dicit: «Osculetur me osculo oris sui [25].» Amplexatus est enim veluti ore suorum sanctorum prophetarum, vocans ad affinitatem cum ipso, per sanctificationem et justitiam. Posteaquam vero prodiit homo de muliere, osculo oris sui nos osculatus est. Ore enim ad os nos est allocutus. Quando igitur, inquit, ab omni injustitia recesseris, et a rebus malis: tum non timebis, et tremor non appropinquabit tibi. Nec enim eris hostibus expositus, et extra omnem metum eris, etiamsi quidam in mundo armentur contra te, et delere statuant, summa potestate præditi: vel etiam adversariæ ac malæ potestates; vel fortassis fœdæ ac detestandæ C voluptatis fluctus, **770** qui vitiis deditos in orci profundum, et in ipsum exitii barathrum abripiunt. Justitiæ ergo honoraria digna sunt quæ apprehendantur, et coronæ illustrissimæ: et admiranda est cordatis hominibus spiritualium donorum possessio. Adducit et aliud quiddam: Ecce proselyti accedent ad te per me, et ad te confugient. Proselytos vocat, vel quovis tempore accedentes ad fidem, et vocatos ex gentibus, vel etiam forte Israelitas ipsos, qui gentibus postpositi sunt, etiamsi primum ordinem tenerent; et qui acceperunt proselytos ab errore gentili ad Deum reversos, ipsi facti sunt proselyti gentium: attamen etiam per Christum id consecuti sunt. Hoc enim significat illud, per me. Per ipsum siquidem omnium est reversio et vocatio, D et ad Deum ac Patrem accessus. «Nemo enim,» inquit, «venit ad Patrem, nisi per me [26].» Et rursum: «Ego sum via [26'],» et, «Ego ostium. [26'']»

VERS. 16, 17. *Ecce ego creo te, et non ut ærarius sufflans prunas, et proferens vasa in opus. Ego autem creavi te, non in perditionem interficere. Omne vas corruptum in te non prosperabo: et omnis vox surget contra te in judicium; omnes eos vinces, et obnoxii tui erunt in ea. Est hæreditas colentibus*

[23] Isa. LIV,13; Joan. VI, 45. [24] Heb. I, 1, 2. [25] Cant. I. 1. [26] Joan. XIV, 6. [26'] Ibid. [26''] Joan. X, 9.

(1) LXX, ἔκτισα, et mox, σκεῦος εἰς ἔργον. (2) LXX, σκευαστόν.

Dominum : et vos eritis mihi justi, dicit Dominus.

Creari dicimus in his verbis, significare, non utique ab eo quod non est, ad id quod est, processum. Disputat enim veluti cum his qui sunt jam et subsistunt : sed potius renovationem designat per Spiritum sanctum, transmutantem aliquos ad inculpatam et sanctam conversationem atque vitam. Sic enim creare dicitur Christus duos populos in unum novum hominem, faciens pacem, et reconcilians ambos in uno corpore cum Patre. Hortatur etiam nos sapientissimus Paulus, sic scribens : « Nolite conformari sæculo huic, sed transformamini renovatione mentis vestræ, ut probetis vos, quæ sit voluntas Dei bona et accepta [27]. » Jubemur etiam exuere veterem hominem, et induere novum, renovatum ad imaginem ejus qui eum creavit [28]. Creo igitur, inquit, te, non ut homo ærarius, ex materia vasa conficiens **771** instrumentis et igni : sed ineffabili quadam et intelligibili transmutatione et reformatione, et velut renovatione spirituali : quam etiam ipse Servator aliquando expressit Nicodemo, dicens : « Amen, amen dico vobis, nisi quis natus sit ex aqua et Spiritu, non potest videre regnum Dei [29]. » Nati sumus enim non ex semine corrupto, sed per verbum Dei viventis et manentis. Sic creat Christus, reformans per sanctificationem eos qui in ipsum credunt, et ad salutem reducens. Creat enim nos non ad interitum, id est, non ad corruptionem et mortem, sed ad longævam et æternam vitam. Quod autem his qui semel ad hoc splendoris adducti sunt, et hanc innovationem per Christum sortiti sunt, dabitur etiam ab eo spiritualis fortitudinis invicta gratia, et cognitio cui hostes veritatis non possunt resistere, ostendit, cum ait : Omne vas corruptum, quod contra te non promovebo, et omnis vox surget contra te in judicium : omnes eos vinces. Vasa enim corruptibilia dicere quis poterit, diabolicæ nequitiæ operarios, qui etiam corruptionis sunt et interitus filii. Hi grassantur in sanctos, interdum et jacula emittunt multifariam, sævitiæ suæ tela ejaculantes, persecutiones et afflictiones et varia tentationum inventa inducentes. Sed non prosperabuntur a Christo, ut possint animas sanctorum corrumpere : impiarum deinde hæreseon inventores, blasphemas voces contra ineffabilem majestatem projicientes, tantum non vocant in jus sanctos, qui veritatem propugnant, et sinceram ecclesiasticorum dogmatum rectitudinem juveniliter et animose defensant. Verumtamen vincuntur, Christo etiam hoc sanctis largiente. Ab eo enim proficiscitur quod possunt omnem hostium impetum, omnemque impiæ vocis reluctationem superare ac confutare, ut Psaltes ait : « In Deo faciemus virtutem, et ipse in nihilum rediget eos qui affligunt nos [30]. » Verum obnoxii tibi

A *ται ἐν αὐτῇ. Ἔστι κληρονομία τοῖς θεραπεύουσι Κύριον, καὶ ὑμεῖς ἔσεσθέ μοι δίκαιοι, λέγει Κύριος.*

Τὸ κτίζεσθαί φαμεν ἐν τούτοις καταδηλοῦν, οὐχὶ δήπου πάντως τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδον. Διαλέγεται γὰρ ὡς πρὸς ὄντας ἤδη καὶ ὑφεστηκότας, ἀνακαινισμὸν δὲ μᾶλλον ὑποδηλοῖ τὸν διὰ τοῦ ἁγίου Πνεύματος, ἀναστοιχειοῦντά τινας εἰς ἁγίαν καὶ ἀμώμητον πολιτείαν, καὶ ζωήν. Οὕτω γὰρ κτίσαι λέγεται Χριστὸς τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα. Παρεγγυᾷ δὲ ἡμῖν καὶ ὁ πάνσοφος Παῦλος, ὧδὶ γεγραφώς· « Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν
B εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον. » Προστετάγμεθα δὲ καὶ ἀπολύσασθαι μὲν τὸν παλαιὸν ἄνθρωπον, ἐνδύσασθαι δὲ τὸν νέον, τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Κτίζω σε τοίνυν ἐγὼ, φησὶν, οὐχ ὡς ἄνθρωπος χαλκουργὸς τὰ ἐξ ὕλης σκεύη ποιῶν, δι' ὀργάνων καὶ πυρὸς, ἀλλὰ μᾶλλον ἀῤῥήτῳ τινὶ καὶ νοητῇ μεταστοιχειώσει, καὶ ἀναπλασμῷ, καὶ οἷον ἀναγεννήσει πνευματικῇ, ἣν δὴ καὶ αὐτὸς ὁ Σωτὴρ Νικοδήμῳ ποτὲ διεσάφει, λέγων· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. » Γεγεννήμεθα γὰρ οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ διὰ Λόγου ζῶντος Θεοῦ καὶ μένοντος. Οὕτω κτίζει Χριστὸς,
C ἀναμορφῶν δι' ἁγιασμοῦ πρὸς ἑαυτὸν τοὺς πιστεύοντας, καὶ ἀνακομίζων εἰς σωτηρίαν. Κτίζει γὰρ ἡμᾶς οὐκ εἰς ἀπώλειαν, τουτέστιν οὐκ εἰς φθορὰν ἔτι καὶ θάνατον, ἀλλ' εἰς μακραίωνα βίον καὶ ἀτελεύτητον ζωήν. Ὅτι δὲ τοῖς ἅπαξ εἰς τοῦτο λαμπρότητος ἀνηνεγμένοις, καὶ καινουργίαν λαχοῦσι τὴν διὰ Χριστοῦ, δοθήσεται παρ' αὐτοῦ καὶ πνευματικῆς εὐανδρίας ἀνανταγώνιστος χάρις, καὶ σύνεσις οὐκ εὐάντητος τοῖς τῆς ἀληθείας ἐχθροῖς, διαδείκνυσι λέγων· Πᾶν σκεῦος φθαρτὸν, [καὶ] ἐπὶ σὲ οὐκ εὐοδώσω, καὶ πᾶσα φωνὴ, [ἣ] ἀναστήσεται ἐπὶ σὲ εἰς κρίσιν, πάντας αὐτοὺς ἡττήσεις. Σκεύη μὲν φθαρτὰ φαίη ἄν εἶναί τις τῆς τοῦ διαβόλου δυστροπίας τοὺς ὑπουργοὺς, οἳ καὶ φθορᾶς εἰσι καὶ ἀπωλείας τέκνα. Οὗτοι κατεπιφύονται τῶν ἁγίων, ἔσθ' ὅτε καὶ τοξεύουσι
D πολυτρόπως τὰ τῆς ἑαυτῶν σκαιότητος ἐπαφιέντες βέλη, διωγμοὺς καὶ θλίψεις ἐπάγοντες, καὶ πολύτροπα πειρασμῶν εὑρέματα. Ἀλλ' οὐκ εὐοδωθήσονται παρὰ Χριστοῦ, ὥστε καὶ ἰσχῦσαι τὰς τῶν ἁγίων καταφθεῖραι ψυχάς· οἱ δέ γε τῶν ἀνοσίων αἱρέσεων εὑρεταὶ παλιμφήμους φωνὰς κατὰ τῆς ἀῤῥήτου δόξης ἱέντες μονονουχὶ δικάζονται τοῖς ἁγίοις, οἳ τῆς ἀληθείας προμάχονται, καὶ προεστήκασι νεανικῶς τῆς ἀκραιφνοῦς ὀρθότητος τῶν ἐκκλησιαστικῶν δογμάτων. Πλὴν ἡττῶνται, Χριστοῦ νέμοντος τοῖς ἁγίοις καὶ τοῦτο. Παρ' αὐτοῦ γὰρ τὸ δύνασθαι νικᾷν, καὶ πᾶσαν ἐχθρῶν ἐπανάστασιν, καὶ πᾶσαν ἀντίστασιν ἀνοσίου φωνῆς· ὡς γὰρ ὁ Ψάλλων φησίν· « Ἐν τῷ

[27] Rom. XII, 2. [28] Col. III, 9. [29] Joan. III, 5. [30] Psal. LIX, 13.

Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.» Πλὴν οἱ ἔνοχοί σου, φησὶν, ἔσονται ἐν αὐτῇ. Καὶ τῶν μὲν ἑτέρων ἑρμηνευόντων οὐδεὶς τοῦ προκειμένου διαμνημονεύει στίχου, πλὴν οἶμαι δηλοῦν ἐκεῖνό που τάχα· Κρείττους μὲν γὰρ ἐχθρῶν, καὶ ἁπάσης φωνῆς οἱ καινουργίαν λαχόντες τὴν διὰ Χριστοῦ γενήσονται, οὗτοι δέ εἰσιν οἱ ἀναμορφούμενοι πρὸς ἁγιασμὸν ἐν Πνεύματι, καὶ τοὺς τῆς ἁμαρτίας διαπηδῶντες βόθρους. Ἀλλ' οἱ ἔνοχοί σου, φησὶ, τουτέστιν, οἵπερ ἂν εἶεν ἔνοχοι ταῖς ἁμαρτίαις, καὶ μετὰ τὴν κλῆσιν καὶ τὴν ἐν Χριστῷ δικαίωσιν, ἔσονται ἐν αὐτῇ. Ἐν αὐτῇ δὲ, τίνι; Ἢ πάντως τῇ φθορᾷ. Διὰ τοῦτο γὰρ ἐπήνεγκεν εὐθὺς, ὅτι Ἔστι κληρονομία τοῖς θεραπεύουσι Κύριον. Οὐ γὰρ τοῖς εἰωθόσι καταλυπεῖν διὰ τοῦ τετράφθαι καὶ βλέπειν εἰς τὸ ἐξήνιον ὁ παρὰ Θεοῦ δοθήσεται κλῆρος, ἀλλὰ τοῖς εὐφραίνουσιν, ἤγουν θεραπεύουσι, τουτέστι δουλεύουσιν. Ἔσεσθε τοίνυν ἐμοὶ δίκαιοι, φησὶν, ἵνα τοῦ κλήρου γενήσεσθε μέτοχοι, τοῦ τοῖς θεραπεύουσιν ἐπηγγελμένου τε καὶ μὴν καὶ δοθησομένου κατὰ καιρούς.

A erunt in ea. Hujus versus nulli alii interpretes mentionem faciunt, at illud puto significare: Superiores erunt hostibus, et omni voce potentiores hi qui hanc innovationem per Christum sortiti sunt, qui scilicet reformati sunt ad sanctificationem in Spiritu, et peccati foveas effugiunt ac transiliunt. **772** Sed obnoxii tui, inquit, id est, peccatis implíciti, etiam post vocationem et justificationem in Christo, erunt in ea. In qua? Certe in corruptione, nam idcirco mox subintulit: Est hæreditas colentibus Dominum. Non enim sors a Deo illis dabitur qui eum offendunt, et in effrenem ac dissolutam vitam proruunt: sed his qui illum delectant, vel colunt, id est, ei serviunt. Eritis igitur mihi, inquit, justi, quo hujus sortis, quæ cultoribus promissa B est et suo tempore dabitur, sitis participes.

Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ· καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ πίετε (1) *ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ στέαρ. Ἵνα τί τιμᾶσθε ἀργυρίου, καὶ τὸν μόχθον ὑμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατε, καὶ φάγεσθε ἀγαθὰ, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Προσέχετε τοῖς ὠτίοις ὑμῶν, καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου. Ἐπακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν.*

CAP. LV. VERS. 1, 2. *Qui sititis, venite ad aquam, et quotquot argentum non habetis, euntes emite et bibite absque argento et pretio vinum et adipem. Quare emitis pecunia, et laborem vestrum non ad satietatem? Audite, et comedite bona, et delectabitur in bonis anima vestra. Attendite auribus vestris, et sequimini vias meas. Exaudite me, et vivet in bonis anima vestra.*

Ὁ θεσπέσιος Δαβὶδ, τῇ διὰ τοῦ Πνεύματος δαδουχίᾳ καταλαμπόμενος, τὰς πρὸς Θεὸν μελῳδίας ἐποιεῖτο, λέγων περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· «Ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός! οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων, ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. Μεθυσθήσονται ἀπὸ πιότητος τοῦ οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτοὺς, ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·» καὶ ἑτέρωθί που πάλιν, «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.» Καὶ μὴν καὶ διὰ φωνῆς προφητῶν αὐτός πού φησιν ὁ Υἱὸς ἡ παντὸς ἀγαθοῦ πηγὴ, τὸ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προχεόμενον νᾶμα ζωοποιόν· «Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν.» Ἔφη δὲ καὶ ὁ προφήτης Ζαχαρίας, ὅτι «Πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάῤῥουν τῶν σχοίνων.» Πλειστα χοῦ δὲ τῆς θεοπνεύστου Γραφῆς, πηγήν τε καὶ ποταμὸν τὸν τοῦ Θεοῦ Λόγον ὠνομασμένον εὑρήσομεν. Διὰ τοῦτο καὶ αὐτὸς τοῖς Ἰουδαίοις προ[σ]διελέγετο, καὶ δὴ καὶ πρὸς ἑαυτὸν ἐκάλει λέγων· «Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζωῆς.» Ποιούμενος δὲ τοὺς λόγους πρὸς τὴν ἐν τῇ Σαμαρείᾳ γυναῖκα, πάλιν ὧδέ φησι· «Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν. Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς

C Divinus David, Spiritus face illustratus, ad Deum melodias cecinit de omnium nostrum Servatore Christo, dicens: «Quam multiplicasti misericordiam tuam, Deus! Filii hominum in umbraculo alarum tuarum sperabunt. Inebriabuntur ab ubertate domus tuæ, et torrente deliciarum tuarum potabis eos, quia apud te est fons vitæ [31].» Et alibi rursus: «Fluminis impetus lætificant civitatem Dei [32].» Dicit quoque voce prophetarum ipsemet Filius, qui fons est omnis boni, et rivus ab essentia Patris emanans, et vitam afferens: «Ecce ego declino in eos, velut flumen pacis, et velut torrens inundans gloriam gentium [33].» Dixit etiam propheta Zacharias: «Fons de domo Domini egredietur, et irrigabit torrentem juncorum [34].» Sæpe vero in Scri- D ptura divinitus inspirata invenienius Dei Verbum dictum esse fontem ac flumen; ideoque ipse Judæos alloquebatur, et ad se vocabat, dicens: «Si quis sitit, veniat ad me, et bibat. Qui credit in me, quemadmodum dicit Scriptura, flumina de ventre ejus fluent aquæ vitæ [35].» Cum etiam sermonem habet **773** cum Samaritana muliere, rursus sic ait: «Omnis qui bibit de aqua hac, sitiet rursus. At qui biberit de aqua quam ego dabo ei, fiet in illo fons aquæ salientis in vitam æternam [36].» Itaque inquit: Si quis sitit, accedat ad Christum, et bibat, accipiatque uberem per sanctum Spiritum

[31] Psal. XXXV, 8, 10. [32] Psal. XLV, 5. [33] Isa. LXVI, 12. [34] Joel. III, 18. [35] Joan. VII, 37, 38; Isa. XLIV, 3, et LVIII, 11; Joel, II, 28; Act. II, 17. [36] Joan. IV, 13, 14.

(1) LXX, φάγετε.

consolationem, et gratiam, et purissimam mystagogiam. Accipiet autem non emens pecunia, sed liberalissima ac promptissima vocantis munificentia delectatus. Accedentes, inquit, vel euntes, et ab uno loco ad alium migrantes et transeuntes, id est, ab errore rursus ad agnitionem veritatis', emite, et bibite absque argento ac pretio. Ergo quomodo emunt et accipiunt gratis, et sine argento? Fidei enim præmium accipimus a Christo gratiam, rerum autem momentanearum et pereuntium nihil rependimus. « Dixi enim Domino meo, » inquit, « Dominus meus es tu, quia bonis meis opus non habes [36*]. » Sed loco donorum et pretii offerimus Christo fidei in ipsum confessionem. Itaque sine argento et pretio est hæc potio, ac charismatum ejus amplissima donatio. Ac quid mercamur? quam emimus potionem? Vini, inquit; escam vero, adipis et frumenti. Et quidem in confesso est, charismatum Christi copiosam accessionem, animam lætitia efficere, et vinum illi esse intelligibile, et quidem adipem, id est, cibum. Roborat namque eam, maximeque vegetat. Credibile est etiam hos versus subinnuere Christi mysterium. Qui enim bibunt aquam viventem, id est, per Spiritum gratia locupletati sunt, eumque possident ac participant, et fide emunt, participes fient etiam vini et adipis, id est, sacrosancti corporis et sanguinis Christi. Deinde his infert: Cur expenditis argentum, et laborem vestrum non ad satietatem? Græcorum enim principes pro animi sui arbitratu, et mundi spiritu accepto, et loquentes in Beelzebul, orbem terrarum fefellerunt, et dogmatum non verorum, sed incertorum ac vituperandorum expositiones conscripserunt, ex corde suo loquentes, non ex ore Domini, sicuti scriptum **774** est [36**]. Verum cum errantes cognitionem veritatis et divinam ac cœlestem lucem non haberent, disciplinam ac doctrinam perniciosarum opinionum amplectebantur, grandem pecuniæ vim adducentes his qui illas profitebantur. Sed hæc, inquit, quare mercamini argento? Nam quæ utilitas est, scire velle facundia quorumdam, ceu melle inunctum mendacium, et dictionis splendore ornatam doctrinam discere, quæ cum exitio conjuncta est, et vanitatem tanquam lutum in vase aureo repositam cognoscere? Nos enim in vasis testaceis Christi thesaurum possidemus. Quid ergo, inquit, hæc argento mercamini? Et labor vester qui consumitur discendo, non erit in satietatem, id est, ad nutriendam et vivificandam animam non sufficit. Nocet enim illi magis quam prodest perniciosorum dogmatum collectio. Recte ergo inquit sapientissimus Paulus: « Ubi sapiens? Ubi scriba? Ubi conquisitor sæculi hujus? Nonne infatuavit Deus sapientiam mundi [37]? » Et iterum. Postquam enim in sapientia Dei non cognovit mundus per sapientiam Deum; visum est Deo per stultitiam prædicationis servare credentes [37*]. Communem ac vulgarem loquendi modum in Scriptura divinitus

A ζωὴν αἰώνιον. » Οὔκουν εἴ τις διψᾷ, φησὶ, προσίτω τῷ Χριστῷ, καὶ δὴ καὶ πινέτω δεχόμενος ἀμφιλαφῆ τὴν διὰ τοῦ ἁγίου Πνεύματος παράκλησιν, καὶ χάριν, καὶ ἀκραιφνεστάτην μυσταγωγίαν. Δέξεται δὲ οὐ χρημάτων ὠνούμενος, ἀφθονοτάτῃ δὲ μᾶλλον φιλοτιμίᾳ τοῦ καλοῦντος ἐντρυφῶν. Προσιόντες δὲ, φησὶν, ἤγουν βαδίσαντες, καὶ ὡς ἐκ τόπου μεταπηδήσαντες εἰς τόπον ἕτερον, τουτέστιν ἐξ ἀπάτης πάλιν πρὸς ἐπίγνωσιν ἀληθείας, ἀγοράσατε καὶ πίετε ἄνευ ἀργυρίου καὶ τιμῆς. Πῶς οὖν ἀγοράζουσι, καὶ δέχονται δωρεὰν, καὶ ἀργυρίου δίχα; Πίστεως γὰρ ἀντέκτισιν τὴν παρὰ Χριστοῦ, δεχόμεθα χάριν, κατατιθέμενοι μὲν τῶν προσκαίρων καὶ ἀπολλυμένων μηδὲν (« Εἶπα γὰρ τῷ Κυρίῳ μου, » φησί· « Κύριός μου εἶ σὺ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις), » ἐν τάξει B δὲ δώρων καὶ τιμημάτων προσκομίζοντες τῷ Χριστῷ τῆς εἰς αὐτὸν πίστεως τὴν ὁμολογίαν. Οὐκοῦν ἄνευ ἀργυρίου καὶ τιμῆς ἡ πόσις καὶ ἡ τῶν παρ' αὐτοῦ χαρισμάτων ἀφθονοτάτη δωρεά. Τί δὲ δὴ τιμώμεθα, καὶ ποίαν ὠνούμεθα πόσιν; Τὴν οἴνου, φησὶ, βρῶσίν τε πρὸς τούτῳ τὴν στέατος καὶ πυροῦ. Καὶ ὁμολογουμένως μὲν τῶν παρὰ Χριστοῦ χαρισμάτων ἡ ἀμφιλαφὴς ἐπίδοσις κατευφραίνει ψυχὴν, καὶ οἶνος αὐτῇ γίνεται νοητός· καὶ μὴν καὶ στέαρ, τουτέστι τροφή· στερεοῖ γὰρ αὐτὴν καὶ εὐσθενεστάτην ἀποτελεῖ. Οὐκ ἀπίθανον δὲ, καὶ τὸ Χριστοῦ μυστήριον ὑπαινίττεσθαι λέγειν τῶν προκειμένων στίχων τὴν δύναμιν. Οἱ γάρ τοι πίνοντες τὸ ὕδωρ τὸ ζῶν, τουτέστι, τὴν διὰ τοῦ Πνεύματος καταπλουτήσαντες χάριν διὰ τοῦ μετασχεῖν αὐτοῦ, καὶ ἀγοράC σαντες τοῦτο διὰ τῆς πίστεως, ἐν μεθέξει γενήσονται καὶ οἴνου καὶ στέατος, τουτέστι τοῦ ἁγίου σώματος, καὶ τοῦ αἵματος τοῦ Χριστοῦ· εἶτα τούτοις ἐπιφέρει· Ἵνα τί τιμᾶσθε ἀργυρίου, καὶ τὸν μόχθον [al. ὁ μόχθος] ὑμῶν οὐκ εἰς πλησμονήν; Οἱ μὲν γὰρ Ἑλλήνων λογάδες, κατὰ τὸ αὐτοῖς δοκοῦν μᾶλλον, καὶ τὸ πνεῦμα λαβόντες τοῦ κόσμου, καὶ λαλοῦντες ἐν Βεελζεβοὺλ πεπλανήκασι τὴν ὑπ' οὐρανὸν, δογμάτων οὐκ ἀληθῶν, ἀσυστάτων δὲ μᾶλλον καὶ κατεψευσμένων ἐκθέσεις συγγεγραφότες, καὶ ἀπὸ καρδίας αὐτῶν λαλοῦντες, καὶ οὐκ ἀπὸ στόματος Κυρίου, καθὰ γέγραπται. Πλὴν οὐκ ἔχοντες τῆς ἀληθείας τὴν γνῶσιν, οὔτε μὴν τὸ θεῖόν τε καὶ οὐράνιον φῶς, οἱ πλανώμενοι προσῄεσαν τῇ μαθήσει τῶν ὀλεθρίων δογμάτων, πλεῖστα προσάγοντες χρήματα τοῖς αὐτὰ διδάD σκειν ὑπισχνουμένοις. Ἀλλὰ ταῦτα, φησὶν, ἵνα τί τιμᾶσθε ἀργυρίου; Ποία γὰρ ὄνησις τὸ εἰδέναι θέλειν εὐγλωττίᾳ τῇ τινων οἷάπερ μέλι[τι] καταχριομένων [al. κατακεχρισμένον] τὸ ψεῦδος, καὶ ἐν λαμπρότητι λέξεων μάθημα φθοροποιὸν, καὶ οἷον ἐν σκεύει χρυσῷ βορβόρου δίκην σεσωρευμένον τὸ ψεῦδος; ἡμεῖς γὰρ ἐν σκεύεσιν ὀστρακίνοις τὸν Χριστὸν [al. Χριστοῦ] θησαυρὸν κεκτήμεθα. Ἵνα τί οὖν ταῦτα τιμᾶσθε, φησὶν, ἀργυρίου, καὶ ὁ μόχθος ὑμῶν, ὃς ἂν γένοιτο διαπονουμένοις εἰς τὸ μαθεῖν οὐκ εἰς πλησμονὴν ἔσται, τουτέστιν, οὐκ ἀπόχρη πρὸς τὸ διαθρέψαι καὶ ζωοποιῆσαι ψυχήν. Ἀδικεῖ γὰρ μᾶλλον, ἢ ὀνίνησιν

[36*] Psal. xv, 2. [36**] Jerem. xxiii, 16. [37] I Cor. i, 20. [37*] I Cor. i, 21.

αὐτὴν τῶν ὀλεθρίων δογμάτων ἡ συλλογή. Ὀρθῶς οὖν ἄρα καὶ ὁ πάνσοφος Παῦλός φησι· « Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; » Καὶ πάλιν· Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος τοὺς πιστεύσαντας σῶσαι. Μωρίαν δὲ τοῦ κηρύγματος τὴν κοινότητα τῆς λέξεως τῆς ἐνούσης τῇ θεοπνεύστῳ Γραφῇ, φησίν. Ἀφέντες οὖν τὸ εἰκῆ πονεῖν, καὶ ἀκαρπίαν συλλέγειν, καὶ δαπανᾷν ἀνέχεσθαι πόνους ἐπ' ἀνωφελέσι πράγμασι, μᾶλλον ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθὰ τὰ διὰ τῶν εὐαγγελικῶν δηλονότι, οἷς δὴ καὶ περιττῶς, φησὶν, ἐντρυφήσειεν ἡ ψυχὴ ὑμῶν. Ἐκεῖ γνῶσις ἀληθὴς τοῦ κατὰ φύσιν Θεοῦ, καὶ ἀρετῆς ἁπάσης καὶ ἁγιοπρεποῦς εὐκοσμίας μάθημα καὶ σύνεσις, θαυμαστῶς ἕκαστα τῶν πρακτέων ὀρθῶς διακρίνοντα, καὶ τεχνίτην εἰς ἀγαθουργίαν ἀποτελοῦσα τὸν νοῦν· ὥστε καὶ ἅπασι μὲν νοουμένοις προσκεῖσθαι φιλεῖν, ἀποφοιτᾷν δὲ τῶν ὅσα ἐστὶ διαβεβλημένα, καὶ τῆς φαυλότητος αἴτια [γρ. αἰτίᾳ] οὐ μετρίως ἐνισχημένους. Προσέχετε τοίνυν τοῖς ὠσὶν ὑμῶν· τουτέστι, Τὸ δὲ τὸ εὐθὲς καὶ εὐήκοον, ἐπακουληθήσατε ταῖς ὁδοῖς μου. Καὶ γὰρ ἔφη Χριστός· « Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. » Χρὴ τοιγαροῦν, τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθεῖν ἐπείγεσθαι τοὺς ὄντας αὐτοῦ. Καὶ τί ὑπάρξει τοῖς ἐθέλουσι τοῦτο δρᾷν; Ζήσεται, φησὶν, ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Τὴν ἀτελεύτητον ἐλπίδα, τὴν τοῖς ἁγίοις ηὐτρεπισμένην, ἔοικε διὰ τούτων ἡμῖν ὑποδηλοῦν. Ὡς γὰρ ὁ Παῦλός φησιν, « Ὀφθαλμὸς οὐκ εἶδεν, οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. »

inspirata, stultitiam prædicationis vocat. Omittite igitur frustra laborare, et nullos fructus colligere, ac in rebus infrugiferis labores collocare, ac potius audite me, et comedetis bona, ex evangelica scilicet prædicatione: in qua anima vestra, inquit, abunde acquiescet et deliciabitur. Illic cognitio vera, et Dei secundum naturam, et omnis virtutis et sancti decoris disciplina est ac intelligentia, quæ res quasque agendas mirabiliter ac recte discernit, et mentem bonorum operum effectricem reddit; adeo ut omnibus quæ intellectu percipiuntur adhærescant, et ob omni probro recedant, etiam qui ante gravibus criminibus fuerunt affines. Attendite itaque auribus vestris, id est, recte et obedienter. Sequimini vias meas. Sic enim dixit Christus: « Si quis velit post me venire, abneget semetipsum, et tollat crucem suam, et sequatur me [38]. » Quare qui sunt ejus, eos oportet vestigiis ejus insistere. Quid autem erit his, qui sic volunt facere? Vivet, inquit, in bonis anima vestra. **775** Sempiternam spem sanctis destinatam videtur nobis hisce verbis subindicare. Ut enim Paulus inquit: « Oculus non vidit, auris non audivit, et cor hominis non comprehendit quæ præparavit Deus his qui diligunt eum [39]. »

Καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἰδοὺ μαρτύριον ἐν ἔθνεσι δέδωκα αὐτὸν, ἄρχοντα, καὶ προστάσσοντα ἔθνεσιν. Ἰδοὺ ἔθνη ἃ οὐκ ᾔδεισάν σε, ἐπικαλέσονταί σε· καὶ λαοὶ, οἳ οὐκ ἠπίσταντό σε, ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου, τοῦ ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέ σε.

Ὑποσχόμενος, ὅτι Φάγεσθε ἀγαθὰ, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, διαδείκνυσιν εὐθὺς τίνα τρόπον αὐτοῖς εἰς πέρας ἐκβήσεται τὸ ἐπηγγελμένον. Διδόναι γὰρ ἐπαγγέλλεται διαθήκην αἰώνιον (1) εὖ μάλα φησίν. « Οὐ γὰρ εἶχεν ὁ νόμος τὸ διηνεκὲς καὶ ἀσάλευτον, ἔκειτο δὲ μέχρι καιροῦ διορθώσεως, » καθά φησιν ὁ πάνσοφος Παῦλος, καὶ παλαιωθείσης τῆς ἀρχαίας ἐντολῆς ὡς οὐκ ἐχούσης τὸ ἄμεμπτον, δευτέρας ἐζητήθη τόπος, δῆλον δὲ ὅτι τῆς νέας, καὶ ἐν Χριστῷ πολὺ τὸ παρηλλαγμένον ἐχούσης παρὰ τὴν πρώτην. Ἡ μὲν γὰρ ἦν ἐν σκιαῖς, ἡ δὲ τῆς ἀληθείας τὸ κάλλος ἀπαστράπτει πνευματικῶς. Ἔφη γοῦν ὁ τῶν ὅλων Θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰακὼβ καὶ ἐπὶ τὸν οἶκον Ἰσραὴλ διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαμβανομένου μου τῆς χειρὸς αὐτῶν τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου·

VERS. 3—5. *Et constituam vobiscum testamentum æternum, sancta David fidelia. Ecce testimonium in gentibus dedi eum, principem et præcipientem in gentibus. Gentes quæ nesciebant te, invocabunt te; et populi qui ignorabant te, ad te confugient, propter Dominum Deum tuum, sanctum Israel, quia glorificavit te.*

Cum ea promissione sit usus: Comedetis bona, et delectabitur bonis anima vestra, statim quemadmodum ad finem perveniet quod promissum est, demonstrat. Pollicetur enim dare testamentum æternum, evangelicam videlicet et salutarem prædicationem. Quod optime dicit esse æternum. Nec enim perpetua erat et inconcussa lex, sed ad tempus instaurationis posita est [40], sicuti ait sapientissimus Paulus, et vetere præcepto antiquato, utpote in quo aliquid desiderabatur, locus erat secundo novo scilicet, quod in Christo multum a priori discrepabat. Illud enim erat in umbris, hoc veritatis pulchritudinem elucet spiritualiter. Dixit itaque universorum Deus per unum e sanctis prophetis: « Ecce dies veniunt, dicit Dominus, et consummabo super domum Jacob, et super domum Israel testamentum novum, non secundum testamentum quod percussi cum patribus eorum, die eo quo

[38] Matth. XVI, 24. [39] I Cor. II, 9. [40] Hebr. IX, 10.

(1) Desiderantur hic nonnulla.

apprehendi manum eorum, ut educerem eos e terra Ægypti; quia illi non permanserunt in testamento meo. Et ego neglexi eos, dicit Dominus. Nam hoc testamentum est quod feriam cum domo Israel post dies illos, dicit Dominus: dabo leges meas in mentem eorum, et cordibus eorum inscribam eas [41]. » Differentiam etiam veteris et novi testamenti ostendit nobis sapiens Joannes, dicens: « Lex per Moysen data est, gratia et veritas per Jesum Christum facta est [42]. » Gratiam et veritatem appellat institutionem veri et spiritualis cultus per evangelica oracula, quæ cum virtute ac potentia est conjuncta. Moysen enim, cum famulus esset, ministrum esse umbræ non manentis; **776** jugis vero et manentis cultus nuntium eum qui æternus est, Christum dico, oportuit. Quale sit igitur illud æternum testamentum, quod accedentibus ad ipsum per fidem consummabit, planum facit cum subdit statim: Sancta Davidis fidelia. Vel enim pollicitationem factam divino Davidi, de omnium nostrum Servatore Christo, gentibus revertentibus præstandam dicit; vel divina vocat et sacra vaticinia de Christo, qui ex semine David secundum carnem natus est. Sancta dicit illa esse, velut sanctos reddentia eos in quibus insunt: quemadmodum videlicet timorem Dei purum nominavit qui purificat, et vitam evangelicum verbum, quasi vivificans. Dixit enim Christus: « Verba quæ ego locutus sum vobis, spiritus sunt et vita [43], » id est, spiritualia et vivifica. Sancta igitur sunt, quæ sanctificant, et justos ac irreprehensibiles reddunt eos qui illa accipiunt; fidelia quoque, quia fidem faciunt, et stabilitatem fidei et vitæ pietatem his qui ea apprehenderunt, ingenerant. Hæc est enim vaticiniorum Christi virtus et efficacitas. Cum igitur Davidem nominasset, Christum, ex semine Davidis secundum carnem, de eo dicit continuo: « Ecce testimonium gentibus dedi illum, principem et præceptorem inter gentes. » Obtestatur quasi Dominus noster Jesus Christus, greges gentium, quod sint illæ capaces, liceatque volentibus, nullo prohibente, veræ Dei cognitionis luce ditari. Dixit itaque per lyram Psallentis: « Audite hæc, omnes gentes, auribus percipite, omnes qui habitatis orbem terrarum, terrigenæ, et filii hominum, dives simul et pauper. Os meum loquetur sapientiam, et meditatio cordis mei intelligentiam [44]. » Opus enim, opus erat sapientia et intelligentia his qui erraruni, qui ex insigni fatuitate creaturam præ Creatore adorarunt, qui ligna et lapides deos nuncuparunt. Præterea incarnatum est Verbum, quam ob causam innuit ipsis, dicens: « Spiritus Domini super me. Propterea unxit me, ad evangelizandum pauperibus misit me, ad prædicandum captivis liberationem, et cæcis visum, ad sanandum contritos corde [45]. » Hi enim fuerunt morbi gentium, sed per illum redemptæ sunt. Nam sapientia ditati sunt ab eo, et facti sunt intelligen-

A ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος· ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὰς καρδίας αὐτῶν ἐπιγράψω αὐτούς. » Τὴν δέ γε διαφορὰν τῆς τε παλαιᾶς καὶ τῆς νέας διαθήκης διέδειξεν ἡμῖν καὶ ὁ σοφὸς Ἰωάννης λέγων, ὅτι « Ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. » Χάριν δὲ καὶ ἀλήθειαν τὴν διὰ τῶν εὐαγγελικῶν θεσπισμάτων ἀποκαλεῖ παίδευσιν, τῆς ἀληθοῦς καὶ ἐν πνεύματι λατρείας τὴν δύναμιν ἔχουσαν· ἔδει γάρ, οἰκέτην μὲν ὄντα Μωσέα, τῆς μὴ μενούσης σκιᾶς γενέσθαι διάκονον· ἐξαγγελέα δὲ τῆς διηνεκοῦς καὶ μενούσης λατρείας, τὸν αἰώνιον, φημὶ δὴ τὸν Χριστόν. Ποία τοίνυν

B ἐστὶν αἰώνιος διαθήκη, ἣν δὴ συντελέσει τοῖς προσιοῦσιν αὐτῷ διὰ πίστεως, καθίστησιν ἐναργές, ἐπενεγκὼν εὐθύς· Τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἢ γὰρ τὴν τῷ θεσπεσίῳ Δαβὶδ δοθεῖσαν ἐπαγγελίαν περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, δοθήσεσθαί φησι τοῖς ἐξ ἐθνῶν ἐπιστρέφουσιν, ἤγουν θεῖα καλεῖ τὰ ἱερὰ θεσπίσματα τοῦ ἐκ σπέρματος Δαβὶδ τὸ κατὰ σάρκα Χριστοῦ· ὅσια δέ φησιν αὐτά, ὡς ὁσίους ἀποτελοῦντα τοὺς ἐν οἷς ἂν γένοιντο, καθάπερ ἀμέλει καὶ τὸν τοῦ Θεοῦ φόβον ἁγνὸν ὠνόμασε, καὶ ἁγνοποιὸν ὄντα, καὶ ζωὴν τὸ ῥῆμα τὸ εὐαγγελικὸν ὡς ζωοποιόν. Ἔφη γάρ που Χριστός, ὅτι « Τὰ ῥήματα, ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή, » τουτέστι πνευματικὰ καὶ ζωοποιά. Ὅσια δὴ οὖν τὰ ὁσιουργά, καὶ

C δικαίους καὶ ἀμώμους ἀποφαίνοντα τοὺς δεχομένους αὐτά· πιστὰ δέ, ὅτι πάλιν πιστοποιά εἰσι, καὶ τὸ ἱδρυμένον ἐν πίστει καὶ τῇ κατ' εὐσέβειαν ζωῇ τοῖς λαβοῦσιν ἐνεργάζεται. Δύναμις γὰρ αὕτη τῶν διὰ Χριστοῦ θεσπισμάτων. Οὐκοῦν Δαβὶδ ὀνομάσας, τὸν ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα Χριστόν, περὶ αὐτοῦ φησι παραχρῆμα· « Ἰδοὺ μαρτύριον ἔθνεσι δέδωκα αὐτόν, ἄρχοντα, καὶ προστάσσοντα ἔθνεσι. » Διαμαρτύρεται ὥσπερ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὰς ἐξ ἐθνῶν ἀγέλας, ὅτι δεκταὶ γεγόνασι καὶ αὗται, καὶ μέτεστι τοῖς ἐθέλουσιν ἀπείργοντος οὐδενὸς τὸ τῆς ἀληθοῦς θεογνωσίας καταπλουτῆσαι φῶς. Ἔφη γοῦν διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, οἱ γηγενεῖς, καὶ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ

D αὐτὸ πλούσιος καὶ πένης. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. » Ἔδει γάρ, ἔδει σοφίας καὶ συνέσεως τοῖς πεπλανημένοις, οἳ διὰ πολλὴν ἀβελτηρίαν προσεκύνησαν τῇ κτίσει παρὰ τὸν Κτίσαντα, ξύλοις καὶ λίθοις ἐπεγράφοντο θεούς. Ἐνηνθρώπησε δὲ ὁ Λόγος, ὅτου χάριν καὶ ἐπένευσεν αὐτοῖς, λέγων· « Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν. » Ταῦτα γὰρ ἦν τὰ τῶν ἐθνῶν ἀῤῥωστήματα, λελύτρωται δὲ δι' αὐτοῦ· πεπλουτήκασι γὰρ τὴν παρ' αὐτοῦ σοφίαν, καὶ συνετοὶ γεγόνασι, καὶ

[41] Jer. xxxi, 31-33. [42] Joan. i, 17. [43] Joan. vi, 64. [44] Psal. xlviii, 2-4. [45] Isa. lxi, 1.

ἀσθενῆ καὶ συντετριμμένην οὐκέτι τὴν διάνοιαν ἔχουσιν, A [ἀλλ'] ὑγιῆ τε καὶ ἐῤῥωμένην, καὶ ἐπιτηδείως ἔχουσαν πρὸς παραδοχὴν, καὶ κατόρθωσιν ἀγαθοῦ παντὸς καὶ σωτηρίου πράγματος. Πλὴν ἄθρει τὸ ἀκριβὲς τοῦ λόγου. Εἰπὼν γὰρ, Εἰς μαρτύριον τοῖς ἔθνεσί δέδωκα αὐτὸν, ἵνα μή τίς τινα τῶν ἁγίων προφητῶν αὐτὸν ὑπάρχειν ὑποτοπήσειεν, ἐνδείξῃ δὲ μᾶλλον πᾶς ὁστισοῦν, ὅτι τῇ τῆς κυριότητος διαπρέπει δόξῃ. Θεὸς γὰρ ὢν ἐπέφανεν ἡμῖν, οὐ μόνον αὐτὸν μαρτύριον δεδόσθαι φησὶν, ἀλλὰ γὰρ καὶ ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν. Οἱ μὲν γὰρ μακάριοι προφῆται, καὶ πρὸ αὐτῶν ἔτι Μωσῆς, μέτρον ἔχοντες τὸ οἰκετικὸν, τὸ, «Τάδε λέγει Κύριος,» ἐπεφώνουν ἀεὶ τοῖς ἀκροωμένοις, οὐχ ὡς προστάσσοντες μᾶλλον, ἀλλ' ὡς θείαις διακονοῦντες φωναῖς· ὁ δέ γε Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς θεοπρεπεστάτους ἐποιεῖτο λόγους. Ἐθαυ- B μάζετο γοῦν καὶ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ, καὶ ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ Γραμματεῖς αὐτῶν. Οὐ γὰρ ἦν ὁ λόγος αὐτῷ τῆς τοῦ νόμου σκιᾶς, ἀλλ' ὡς αὐτὸς ὢν ὁ νομοθέτης μετετίθει τὸ γράμμα πρὸς ἀλήθειαν, καὶ τοὺς τύπους εἰς ἐμφάνειαν τὴν πνευματικήν· ἄρχων γὰρ ἦν, καὶ τοῦ προστάττειν ἔχων τὴν ἐξουσίαν. Ὅτι δὲ περὶ τῶν ἐθνῶν ὁ τῆς προφητείας ἐξυφαίνεται λόγος, ἀναμάθοι τις ἂν, καὶ λίαν ἀμογητὶ, τοῦ Θεοῦ καὶ Πατρὸς ποιουμένου τοὺς λόγους ὡς πρὸς αὐτὸν τὸν ἴδιον Υἱόν. Ἔθνη γὰρ, φησὶν, ἃ οὐκ ᾔδεισάν σε, ἐπικαλέσονταί σε, καὶ λαοὶ, οἳ οὐκ ἠπίσταντό σε, ἐπὶ σὲ καταφεύξονται. Οἱ γὰρ πάλαι Χριστὸν οὐκ εἰδότες, διὰ τὸ ἐν ἀχλύϊ καὶ σκότῳ διατελεῖν, ἐπεκαλέσαντο, τουτέστιν, Θεὸν ἐπεγράψαντο C τὸν Ἰησοῦν, καὶ ἐπ' αὐτὸν κατέφυγον, ἐλπίδα, καὶ σκεπαστὴν, καὶ σωτηρίας πρόξενον ὀνομάζοντες, καὶ ὡς Θεὸν ἐπικαλούμενοι· καὶ διὰ ποίαν αἰτίαν; Ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου, φησὶ, τοῦ ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέ σε· πρόσεισι μὲν γὰρ τῷ Υἱῷ δοξάζοντες αὐτὸν ὡς ἐκ Θεοῦ Πατρὸς γεννηθέντα κατὰ φύσιν, καὶ τὴν αὐτοῦ τοῦ τεκόντος ἔχοντα δόξαν. Ὁ γὰρ δοξάζων τὸν Πατέρα δοξάζει τὸν ἐξ αὐτοῦ, καὶ ὁ δοξάζων τὸν Υἱὸν συνδοξάζει πάντως αὐτῷ καὶ τὸν ἐξ οὗ γεγέννηται κατὰ φύσιν· ἤγουν καὶ καθ' ἕτερον, εἰ βούλει, τρόπον τοῖς εἰρημένοις προσβάλῃς· «Ὑπάρχων μὲν γὰρ ἐν μορφῇ τοῦ Θεοῦ, καὶ Πατρὸς ὁ Υἱὸς, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, D καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.» Ἐπειδὴ γὰρ διὰ τὸ τῆς ἀνθρωπότητος μέτρον ἀκλεής τις εἶναι ἐνομίσθη Χριστὸς, ἀναφοιτᾷ πάλιν εἰς τὴν ἐνοῦσαν αὐτῷ θεοπρεπῆ τε καὶ ὑπερτάτην ὑπεροχήν τε καὶ δόξαν, καὶ μετὰ σαρκός. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ δεδόσθαι λέγειν τῷ Υἱῷ παρὰ τοῦ

les, et infirmum ac confractum animum **777** non habent amplius, at sanum et ad suscipiendum ac perficiendum omne bonum ac res salutares idoneum. Sed observa orationis elaboratam dispositionem. Dixit enim : In testimonium dedi eum gentibus, ne quis eum e sanctis prophetis aliquem esse suspicaretur ; sed ut omnes quicunque sunt intelligant, dominationis majestate quadam eum præcellere. Deus enim apparuit nobis ; nec solum eum datum esse in testimonium dicit, sed principem esse ac præceptorem inter gentes. Beati enim prophetæ, et qui ante eos fuit Moyses, cum famulorum vicem haberent, semper acclamabant auditoribus : « Hæc dicit Dominus : » non velut præcipientes, sed velut divinis vocibus ministrantes. Dominus autem noster Jesus Christus verba faciebat Deo convenientissima. Admirationi nempe fuit ipsis Judæis, quod cum potestate conjuncta esset ejus oratio : et docuit eos, quasi potestatem habens, et non ut eorum Scribæ [46-47]. Non enim illius oratio ex umbra legis erat, sed tanquam ipse legislator exsistens, litteram ad veritatem, typos ad spiritualem perspicuitatem traducebat. Princeps enim erat, et præcipiendi potestatem habebat. Propheticam autem orationem de gentibus contexi, facile est illud et quidem sine labore discere : cum Deus et Pater verba faciat quasi cum ipso suo Filio. Gentes enim, inquit, quæ te non noverunt, invocabunt te, et populi qui non sciverunt te, ad te confugient. Nam qui olim Christum ignorarunt, eo quod in caligine et tenebris versarentur, invocabant, id est, Deum nuncupabant Jesum, et ad eum confugiebant, spem et protectorem, et salutis conciliatorem eum nominantes, et tanquam Deum invocantes. Et quam ob causam? Propter Dominum Deum tuum, inquit, sanctum Israel, quia gloriosum te fecit. Accedunt enim ad Filium eumque prædicant, quasi natura ex Deo Patre natum, eamdemque cum genitore gloriam habentem. Qui enim illustrat Patrem, et eum qui ex ipso est illustrat ; et qui illustrat Filium, simul cum eo semper illustrat et illum ex quo naturaliter genitus est. Vel, si placet, alio modo jam dictis adde : « Filius enim cum in forma Dei et Patris esset, non rapinam arbitratus est esse se æqualem Deo ; sed inanivit seipsum, forma servi sumpta, **778** in similitudine hominum factus, et habitu repertus ut homo » dejecit ipse se « factus obediens usque ad mortem, et quidem mortem crucis. Propter quod et Deus exaltavit eum, et donavit ei nomen supra omne nomen, ut in nomine Jesu Christi omne genu se flectat, cœlestium, terrestrium et subterraneorum, et omnis lingua confiteatur quia Dominus Jesus Christus est in gloria Dei Patris. Amen [48]. » Quia enim propter humanitatis conditionem ignobilis quispiam esse Christus putabatur, rursus ad divinam suam et summam præstantiam et gloriam cum carne etiam redit. Idque, opinor, est,

[46-47] Marc. I, 22. [48] Philipp. II, 6-11.

datum esse Filio a Patre nomen quod est supra omne nomen. Siquidem dixit ei: « Pater, illustra me ea gloria quam habui, antequam mundus esset, apud te [49]. »

VERS. 6, 7. *Quærite Deum, et in inveniendo eum, invocate. Et postquam vobis appropinquaverit, relinquat impius viam suam, et vir iniquus consilium suum, et convertatur ad Dominum, et misericordiam consequetur, quia multum dimittet peccata vestra.*

Cum fidei in se viam exposuisset Dominus noster Jesus Christus, dixit Judæis: « Ne murmurate inter vos. Nemo potest venire ad me, nisi Pater, qui misit me, traxerit eum [50]. » Introducitur etiam persona ipsius Patris, sic Filium alloquens: « Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum [51]. » Eos enim qui erraront, hostes aliquando, mundi elementa colentes, et peccati laqueis inevitabiliter irretitos, Pater subjecit Filio. Neque vero dicat quispiam, hoc illi quasi parum potenti et imbecillo tribuisse: omnia enim operatur, et ipse est Parentis dextra omnipotens et fortissima. Sed quia singulari dispensatione ad capiendam humanitatis mensuram eum vocarat: idcirco Pater dicitur omnes suæ quasi potentiæ et sapientiæ Filio subdere. Potens enim efficit per ipsum quod est infirmum, et sapientiam indit ei quod est insipiens. Nec quisquam mente præditus unquam existimet, non valuisse Filium aliquos sibi subjicere: sed cogitet potius, ut jam dixi, per illum omnia Deum et Patrem efficere. **779** Quid ergo hic sibi vult prophetiæ oratio? Inducit personam Patris, alloquens et compellans gregem gentium: Quærite Deum, quem modo dicebat testimonium datum esse gentibus, et principem eorum ac præceptorem [52]: hunc illico et Deum appellat, et quæri jubet. Inquisitio autem non loco circumscripta est: Divinitas enim incorporea est, nec in loco intelligitur. Implet namque omnia, nec a re ulla abest, sed in studio animæ quodammodo sita est, quæ per pietatis studia, et veram Dei cognitionem, sitit eam quæ cum ipso est conjunctionem. Quadrat hæc conquisitio his qui procul ab eo disjuncti adhuc sunt, intercedente nimirum peccato, et operante in ipsis ignorantia: quibus e medio sublatis, prope ad Deum accedent. Sic enim Paulus sapientissimus his qui ex gentibus sunt scribit, dicens: « Nunc autem qui quondam procul eratis, facti estis propinqui [53]. » Sic quæritur a vobis universorum Deus. Sed interea, inquit, dum invenietis, invocate. Invocate, aliud nihil significat, quam, Ut Deum celebrate, et quærite ab eo vires et promptitudinem tantam, quanta satis esse vobis ad conversionem poterit. Petite ab illo liberationem, et facultatem effugiendi peccati vincula, et manum ejus qui occupavit, id est, Satanæ. Scriptum est enim: « Laudans invocabo Dominum, et ab inimicis meis salvus ero [54]. » Et dum invenitis et

A Πατρὸς τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. Καὶ γοῦν ἔφη πρὸς αὐτόν· « Πάτερ, δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. »

Ζητήσατε τὸν Θεὸν, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν, ἐπικαλέσασθε. Ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὴν ὁδὸν αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὴν βουλὴν αὐτοῦ, καὶ ἐπιστραφήτω πρὸς Κύριον, καὶ ἐλεηθήσεται, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν.

Τῆς εἰς αὐτὸν πίστεως τὴν ὁδὸν ἐναργῆ καθιστὰς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἔφη που πρὸς Ἰουδαίους· « Μὴ γογγύζετε μετ' ἀλλήλων. Οὐδεὶς δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ὁ Πατὴρ πέμψας με ἑλκύσῃ αὐτόν. » Εἰσφέρεται δὲ καὶ τὸ αὐτοῦ πρόσωπον B τοῦ Πατρὸς, οὕτω λέγον πρὸς τὸν Υἱόν· « Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. » Ἐχθροὺς γὰρ ὄντας τοὺς πεπλανημένους ποτὲ, καὶ τοῖς τοῦ κόσμου στοιχείοις λατρεύοντας, καὶ τοῖς τῆς ἁμαρτίας βρόχοις ἀφύκτως ἐνισχημένους, ὑπέθηκεν ὁ Πατὴρ τῷ Υἱῷ. Καὶ οὐ δή που φαίη τις ἂν, ὡς ἀδυνάτως ἔχοντι προσνέμων [Ἴσ. προσνέμειν] τὸ χρῆμα. Πάντα γὰρ ἐνεργεῖ, καὶ αὐτός ἐστιν ἡ τοῦ τεκόντος δεξιὰ πανσθενὴς καὶ ἀλκιμωτάτη. Ἐπειδὴ δὲ τὸ τῆς ἀνθρωπότητος μέτρον, καὶ εἰς τὸ χρῆναι λαβεῖν κέκληκεν αὐτὸν οἰκονομικῶς, ταύτης ἕνεκα τῆς αἰτίας ὁ Πατὴρ λέγεται πάντας ὑποφέρειν, ὡς ἰδίᾳ δυνάμει, καὶ σοφίᾳ τῷ Υἱῷ· δυναμοῖ γὰρ δι' αὐτοῦ τὸ ἠσθενηκὸς, καὶ σοφοῖ C τὸ ἀσύνετον· καὶ οὐκ ἄν τις νοῦν ἔχων οἰηθείη ποτὲ μὴ δεδυνῆσθαι τὸν Υἱὸν ὑποτάξαι τινὰ ἑαυτῷ· διαλογιεῖται δὲ μᾶλλον ὅτι πάντα δι' αὐτοῦ, καθάπερ ἔφην ἀρτίως, ὁ Θεὸς καὶ Πατὴρ ἐργάζεται. Τί οὖν ἄρα καὶ νῦν βούλεται τῆς προφητείας ὁ λόγος; Εἰσκομίζει τὸ τοῦ Πατρὸς πρόσωπον, ἐπιφωνῶν καὶ λέγων ταῖς τῶν ἐθνῶν ἀγέλαις· Ζητήσατε τὸν Θεὸν, ὃν ἀρτίως ἔφη μαρτύριον δεδόσθαι τοῖς ἔθνεσιν, ἄρχοντά τε αὐτῶν, καὶ προστάττοντα· τοῦτον εὐθὺς καὶ Θεὸν ἀποκαλεῖ, καὶ ζητεῖσθαι προστέταχεν. Ἡ δὲ ζήτησις οὐ τοπική· τὸ γὰρ Θεῖον ἀσώματον, καὶ οὐκ ἐν τόπῳ νοεῖται. Πληροῖ γὰρ ἅπαντα, καὶ οὐδενὸς τῶν ὄντων ἀποδημεῖ, ἀλλ' ὡς ἐν προθυμίᾳ ψυχῆς οἰκειότητα διψώσης τὴν πρὸς αὐτὸν διὰ τῶν εἰς εὐσέβειαν σπουδασμάτων, καὶ θεογνωσίας τῆς ἀληθοῦς. Πρέποι γὰρ D ἂν ἡ τοιαύτη ζήτησις τοῖς ἔτι μακρὰν, καὶ ἀφεστηκόσιν αὐτοῦ, μεσολαβούσης δηλονότι τῆς ἁμαρτίας, καὶ τῆς ἐνεργούσης αὐτοῖς ἀγνοίας, ὧν ἐκ μέσου γεγενημένων ἐγγὺς ἔσονται Θεοῦ. Οὕτω γάρ που καὶ ὁ πάνσοφος Παῦλος τοῖς ἐξ ἐθνῶν ἐπιστέλλει, λέγων· « Νυνὶ δὲ οἵ ποτε ὄντες μακρὰν ἐγενήθητε ἐγγύς. » Οὕτω ζητεῖται πρὸς ὑμῶν ὁ τῶν ὅλων Θεός. Ἀλλ' ἐν τῷ εὑρίσκειν, ἐπικαλέσασθε, φησί. Τὸ δὲ, ἐπικαλέσασθε, κατασημήνειεν ἂν ἕτερον οὐδὲν, πλὴν ὅτι τὸ, ὡς Θεὸν ὑμνήσατε, καὶ ζητεῖτε παρ' αὐτοῦ δύναμίν τε καὶ προθυμίαν ἀποχρῶσαν ὑμῖν εἰς ἐπιστροφήν. Αἰτήσατε παρ' αὐτοῦ τὴν λύτρωσιν, καὶ τὸ δύνασθαι διαφυγεῖν τὰ τῆς ἁμαρτίας δεσμὰ,

[49] Joan. XVII, 5. [50] Joan. VI, 43, 44. [51] Psal. CIX, 1. [52] Isa. LV, 4. [53] Ephes. II, 13. [54] Psal. XVII, 4.

καὶ τὴν τοῦ πλεονεκτήσαντος χεῖρα, τοῦτ' ἔστι, A τοῦ Σατανᾶ. Γέγραπται γὰρ, ὅτι « Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. » Ἐν δὲ τῷ εὑρίσκειν, γενέσθαι δὲ καὶ ἐγγὺς, ἀπολιπέτω ὁ ἀσεβὴς τὴν ὁδὸν αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὴν βουλὴν αὐτοῦ, καὶ ἐπιστραφήτω ἐπὶ Κύριον, καὶ ἐλεηθήσεται. Οἱ γὰρ ὅλως ἀξιωθέντες κλήσεώς τε καὶ ἐπιστροφῆς, καὶ τῶν παρ' αὐτοῦ χαρισμάτων, προσδοκῶντες τὴν μέθεξιν, ἀποφοιτᾷν ὀφείλουσι τῶν ἀρχαίων ἐπιτηδευμάτων, καὶ τῆς εἰς τὸ φαῦλον ὁδοῦ, καὶ ῥοπῆς τῆς εἰς ἁμαρτίαν, καὶ φιληδονίας σαρκικῆς. Ἐλεηθήσεται γὰρ οὕτως ἐξ ἀληθινῆς καρδίας ποιησάμενος τὴν ἐπιστροφὴν, ὅτι ἀφήσει ἐπὶ πολὺ τὰς ἁμαρτίας ὑμῶν. Τὸ δὲ, ἐπὶ πολὺ, φησὶν ἀντὶ τοῦ, παντελῶς καὶ εἰσάπαν· « Οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερπερίσσευσεν ἡ χάρις, » κατὰ τὸ γε- B γραμμένον· δυσαπόνιπτον γὰρ τῶν ἐν ὑμῖν αἰτιαμάτων οὐδὲν, διασμήχειν ἐθέλοντος Θεοῦ. Γέγραπται γὰρ περὶ τοῦ πάντων Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι « Ἰδοὺ αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων. Καὶ καθιεῖται χωνεύων, καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον. » Βαπτίζει γὰρ ἡμᾶς Πνεύματι ἁγίῳ καὶ πυρί. Πῦρ δὲ εἶναί φαμεν τὴν οἷον σμηκτικὴν τοῦ ἁγίου Πνεύματος δύναμιν, πυρὸς δίκην ἐκτήκουσαν τῶν ἐν ἡμῖν πλημμελημάτων τὸν ῥύπον.

postquam vobis appropinquaverit, relinquat impius viam suam, et vir iniquus cogitationem suam, et revertatur ad Dominum, ac consequetur misericordiam. Qui enim vere digni habiti sunt vocatione et conversione, et participationem donorum ejus exspectabant, debent a pristinis vitæ institutis, a via ad nequitiam, ab impulsione ad peccatum, a carnali voluptatis studio recedere. Consequetur enim hoc pacto misericordiam sanctus, ex vero corde conversus, quoniam multum dimittet peccata vestra. Multum dicit, pro, omnino et in totum. « Ubi enim abundavit peccatum, superabundavit et gratia [55], » secundum id quod scriptum est. Nullum enim crimen in nobis indelebile est, si velit Deus abstergere. Scriptum est enim de omnium nostrum Servatore Christo: « Ecce ipse egredietur quasi ignis conflatorii, et velut herba lavantium. Et **780** sedebit conflans, et emundans tanquam argentum et aurum [56]. » Baptizat enim nos Spiritu sancto et igne [56*]. Ignem autem esse dicimus velut sancti Spiritus vim abstergentem, instar ignis sordes delictorum in nobis liquantem et consumentem.

Οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ ὥσπερ αἱ ὁδοί μου, αἱ ὁδοὶ ὑμῶν, ἀλλ' ὥσπερ ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. C

Ἀπιστεῖν οὐκ ἐᾷ διὰ Χριστοῦ χάριτι τοὺς καλουμένους εἰς ἐπιστροφὴν, καὶ λύτρωσιν, καὶ ἀποκάθαρσιν ἁμαρτίας. Τοῦτο πεπόνθασιν οἱ ἐξ αἵματος Ἰσραήλ· Θεοῦ γὰρ καλοῦντος εἰς ἐπιστροφὴν καὶ μετάγνωσιν, τοῖς τοῦ συνειδότος ἐλέγχοις καταδακνόμενοι, καὶ δυσέκνιπτον κομιδῇ τὸν τῆς ἑαυτῶν φαυλότητος ῥύπον λογιζόμενοι, Αἱ πλάναι ἡμῶν, ἔφασκον, ἐν ἡμῖν εἰσιν, καὶ ἐν αὐταῖς ἡμεῖς τικτόμεθα. Καὶ πῶς ζησόμεθα; Καὶ τί πρὸς ταῦτα Θεός; Ἐπιστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν, οἶκος τοῦ Ἰσραὴλ, καὶ οὐκ ἔσονται ὑμῖν εἰς κόλασιν ἀδικίας. Ὅταν τοίνυν ἀπιστῆτε, καὶ ὑμεῖς, αὐτός φησι, διαβεβαιουμένου τε καὶ λέγοντος ἐμοῦ τοῦ πάντα ἰσχύοντος, ὅτι Πάσης ὑμᾶς ἀπαλλάξω κηλῖδος, καὶ τῶν πάλαι διεπταισμένων ἐλευθέρους ἀποφανῶ, τότε καθ' D ἑαυτοὺς ἐννοήσατε, τίς μὲν ἐγὼ, τίνες δὲ καὶ ὑμεῖς, καὶ ὅτι τοσοῦτον διεστήκασιν ἐκ τῶν ὁδῶν ὑμῶν αἱ ὁδοί μου, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου, ὅση τίς ἐστι καὶ τῶν φύσεων ἡ διαφορά. Ἄνθρωποι μὲν γὰρ ὑμεῖς, ἐγὼ δὲ Θεός. Οὐκοῦν ἀμέτρητόν τε τὸ μεταξὺ, καὶ ἀπαράβλητα παντελῶς τὰ Θεοῦ. Νικᾷ γὰρ ἰσχύϊ, καὶ δόξῃ, καὶ ἡμερότητι, καὶ οὐδὲν ἔστι παντελῶς ἐν γεννητοῖς, ὃ τοῖς ἐνοῦσιν αὐτῷ πλεονεκτήμασι συνεκτείνεται, ἤγουν ἐγγὺς ὁρᾶται καὶ παραβραχύ. Ἄνθρωποι μὲν γὰρ ἀοργησίαν οὐκ ἔχουσιν· ἔνεστι δὲ τοῦτο τῇ ὑπὲρ πάντα φύσει· οὐ γὰρ κρατεῖται θυμῷ. Πικρὸς ὁ ἄνθρωπος καὶ πολὺς εἰς πονηρίας, ἀγαθὸς δὲ τῇ φύσει Θεὸς, μᾶλλον δὲ

VERS. 8, 9. *Non enim sunt cogitationes meæ sicut cogitationes vestræ; neque viæ meæ sicut viæ vestræ. Sed, ut distat cœlum a terra, sic distat via mea a viis vestris, et cogitationes vestræ a cogitatione mea.*

Vocatos ad conversionem et redemptionem ac emundationem peccatorum non sinit gratiæ per Christum diffidere. Quod fecerunt Israelitæ. Deo namque ad conversionem et resipiscentiam vocante, accusationibus conscientiæ compuncti et commorsi, sordesque suæ vitiositatis vix elui posse omnino cogitantes, Errores nostri, inquiebant, in nobis sunt, et nos in illis nati sumus. Et quomodo vivemus? Ad quæ Deus: Serio revertamini a via vestra, domus Israel, et non cedent vobis in supplicium injustitiæ. Quando igitur vos, inquit, diffiditis, me qui omnia possum, affirmante et dicente: Omni vos macula liberabo, et ab inveteratis flagitiis immunes reddam; tunc apud vos cogitate quis ego sim, et qui vos sitis, et tantum vias meas a viis vestris, ac cogitationes vestras a cogitatione mea differre, quanta est etiam naturarum differentia. Vos enim homines estis, ego Deus. Ergo immensum est intervallum, et quæ Dei sunt, omnino sunt incomparabilia. Vincit enim fortitudine, gloria, clementia: nec est quidquam in rerum natura quod excellentiam ejus adæquare, aut prope etiam accedere posse videatur. Homines enim ira non vacant: at hoc omnium summæ naturæ inest, ut quæ ira non teneatur. Acer homo et pronus in nequitiam: at bonus natura Deus, imo potius ipsissima bonitas. Remittet ergo ut Deus, et justificabit impium, ignorantiæ lapsus oblivione obruens, et erroris sordes

[55] Rom. v, 20. [56] Malac. iii, 2, 3. [56*] Matth. iii, 11.

delens. Alio quoque modo verborum horum considerationi illud adjicias. Olim enim gentium multitudo insipiens **781** erat et facile in omnem fœditatem abripiebatur, et totis quasi velis transversim auferebatur ad ea facienda quæ fas non est dicere. Sed postquam per fidem quæsierunt Deum, invocarunt, et priores suas vias et iniqua consilia reliquerunt; misericordiam ab ipso consecuti sunt, et ad aliam vitam sunt quasi transformati; sapientes facti sunt, utpote sapientiæ participes, omniumque rerum bonarum scientes; jugum pristini erroris excusserunt, peccatum vicerunt, nec amplius lubrico et labili animo præditi sunt, sed firmo, et forti, et parato ad exsequendum ea quibus Deus oblectatur. Sed quando promitto, inquit, hæc, ne diffidite, nec mutabilem fore mentem suspicamini. Non sunt enim consilia mea sicut consilia vestra; nec viæ meæ sicut viæ vestræ. Vobis enim natura hominibus plurima sunt quæ difficulter acquiri ac perfici possunt. Nec enim quidquid vultis facere hoc semper ad finem procurret. At mihi Deo omnia facilia erunt et proclivia, nec omnino quidquam arduum. Tantum enim distant viæ meæ a viis vestris, quantum intelligitur inter terram et cœlum interesse. Incomprehensum vero hoc et immensum, nec id humana mens capere potest. Dixit igitur divinus propheta Isaias: « Quis mensus est manu aquam, et cœlum palmo, et omnem terram pugno? quis appendit montes pondere, et rupes statera? aut quis novit mentem Domini [87]? »

αὐτόχρημα τὸ ἀγαθόν. Ἀνήσει δὴ οὖν ὡς Θεὸς, καὶ δικαιώσει τὸν ἀσεβῆ, καταχωννὺς ἀμνηστείαις τὰ ἐξ ἀγνοίας πταίσματα, ἀφανίζων δὲ καὶ τοὺς ἐκ τοῦ πεπλανῆσθαι ῥύπους. Καὶ καθ' ἕτερον δὲ τρόπον τῇ τῶν προκειμένων θεωρίᾳ προσβαλεῖς. Πάλαι μὲν γὰρ τῶν ἐθνῶν ἡ πληθὺς ἀσύνετος ἦν, εὔκολος εἰς ἀποφορὰν τὴν εἰσάπαν ὁτιοῦν τῶν ἐκτόπων, καὶ ὅλοις ὥσπερ ἱστίοις ἀποφερομένη πρὸς τὸ δρᾷν ἐθέλειν, ἃ μὴ θέμις εἰπεῖν. Ἐπειδὴ δὲ διὰ τῆς πίστεως ἐζήτησαν τὸν Θεὸν, ἀπεκαλέσαντό τε καὶ ἀπέλιπον ἑαυτῶν τὰς πρώτας ὁδοὺς καὶ ἀνόμους βουλὰς, ἠλέηνται μὲν παρ' αὐτοῦ, μετεστοιχειώθησαν δὲ ὥσπερ εἰς ἑτέραν ζωὴν, σοφοὶ γεγόνασιν ὡς σοφίας μέτοχοι, καὶ ἀγαθοῦ παντὸς πράγματος ἐπιστήμονες, ἀπεσείσαντο τῆς ἀρχαίας ἀπάτης τὸν ζυγὸν, νενικήκασι τὴν ἁμαρτίαν, οὐκ εὐπαρακόμιστον ἔτι τὴν διάνοιαν ἔχοντες, ἐρηρεισμένην δὲ μᾶλλον, καὶ εὐσθενῆ, καὶ πολὺ βλέπουσαν ἐπὶ τὸ χρῆναι πληροῦν τὰ ἐφ' οἷσπερ ἂν ἥσθείη Θεός. Ἀλλ' ὅταν ἐπαγγείλωμαι ταῦτα, φησὶ, μὴ ἀπιστήσητε, μήτε μὴν ἀμήνυτον [ἴσ. ἀνήνυτον] ἔσεσθαι τῆς αὐτῶν γνώμης τὴν μεταβολὴν ὑπολαμβάνετε· οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ ὥσπερ αἱ ὁδοί μου, αἱ ὁδοὶ ὑμῶν. Ὑμῖν γὰρ ἀνθρώποις οὖσι φύσει πλεῖστά τέ ἐστι τῶν πραγμάτων τὰ δυσεργῆ καὶ ἀνήνυτα. Οὐ γὰρ πᾶν, ὅπερ ἕλοισθε δρᾷν, τοῦτο πάντη τε καὶ πάντως δραμεῖται πρὸς πέρας· ἐμοὶ δὲ ὄντι Θεῷ λεῖα πάντη καὶ εὐήλατα, καὶ οὐδὲν ἄναντες ὅλως. Τοσοῦτον γὰρ ἀφεστήκασιν αἱ ὁδοί μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, ὅσον ἂν νοοῖτο τὸ μεταξὺ γῆς τε καὶ οὐρανοῦ· ἀκατάληπτον δὲ τοῦτο παντελῶς, καὶ μέτρου πέρα, καὶ ταῖς ἀνθρώπων διανοίαις οὐχ ἁλώσιμον. Ἔφη γοῦν καὶ ὁ θεσπέσιος προφήτης Ἡσαΐας. « Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρια σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; ἢ τίς ἔγνω νοῦν Κυρίου; »

VERS. 10, 11. *Etenim quemadmodum cum descendit pluvia vel nix de cœlo, et non revertitur donec inebriet terram, et generet, et germinet, et det semen serenti et panem ad escam: sic erit verbum quod exierit de ore meo; non revertetur, donec compleverit quæcunque volui.*

Velut exemplo perspicuo et omnibus notissimo persuadere nititur quanta sit nutuum ipsius potentia. Cadit enim pluvia vel nix cœlitus; demissam vero a Deo nemo impedire poterit, sed demittentis scopus ac propositum finem consequitur. Fecundam enim reddit omnem terram, ita ut agricolæ tum seminis tum cibi **782** magnam habeant copiam. Cum enim adest tempus quo plena spica terræ reddatur, non solum quærunt agricolæ quæ ad victum suppeditent, sed etiam quæcunque illis, tempore vocante ad laborandum, sufficiant. Ita, inquit, nemo meum sermonem prohibebit, nec avertetur, id est, non desinet, donec quod mihi visum est, finem capiat. Et vera est hæc oratio. Nam, sicuti propheta Isaias ait: « Quæ Deus

Ὡς γὰρ καταβῇ ὑετὸς, ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ καὶ βλαστήσει, καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν· οὕτως ἔσται τὸ ῥῆμα ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου· οὐ μὴ ἀποστραφῇ, ἕως ἂν συντελέσῃ (1) *ὅσα ἠθέλησα.*

Ὡς ἐκ παραδείγματος ἐναργοῦς καὶ πᾶσι γνωριμωτάτου πειρᾶται πληροφορεῖν, ὅση τίς ἐστι τῶν αὐτοῦ νευμάτων ἡ δύναμις. Πίπτει μὲν γὰρ ὑετὸς ἢ χιὼν ἐξ οὐρανοῦ, καθιεμένην δὲ παρὰ Θεοῦ διακωλύσειεν ἂν οὐδείς· τρέχει δὲ μᾶλλον εἰς πέρας τοῦ καθιέντος αὐτὸν ὁ σκοπός· εὔκαρπον γὰρ ἀποφαίνει ἅπασαν τὴν γῆν, ὥστε τοὺς γηπόνους ἐν ἀμφιλαφείᾳ γενέσθαι πολλῇ καὶ σπερμάτων, καὶ τροφῆς. Καιροῦ γὰρ ὄντος καθ' ὃν ἂν εὐτραφὴς ὁ στάχυς ἀναδοθείη τῆς γῆς, οὐχὶ μόνα τὰ διαρκέσαι δυνάμενα πρὸς τροφὴν ζητοῦσι γηπόνοι, ἀλλὰ γὰρ καὶ ὅσα πάλιν ἀποχρήσειεν ἂν αὐτοῖς, καιροῦ καλοῦντος ἐπὶ τὸ χρῆναι πονεῖν. Οὕτω, φησὶν, οὐκ ἄν τις τὸν ἐμὸν εἵρξῃ λόγον, οὐδ' ἂν ἀποστραφείη, τουτέστιν, οὐ παύσεται, ἄχρις ἂν εἰς πέρας ἔλθοι τὸ δοκοῦν ἐμοί. Καὶ

[87] Isa. XL, 12, 13.

(1) LXX, τελεσθῇ.

ἀληθὴς ὁ λόγος· ὡς γὰρ ὁ προφήτης φησὶν Ἡσαΐας, A « Ἃ ὁ Θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει, καὶ τὴν χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » Τίς γὰρ ἔσται τοσοῦτος, ὡς θείαις ἀντιστῆναι ψήφοις, καὶ θελήμασιν ἀντεπαναστῆναι δεσποτικοῖς; Οὐδεὶς παντελῶς. Οὐκοῦν ὅπερ ἂν ἐκ στόματος ἐξέλθοι τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ, τοῦτο πάντη τε καὶ πάντως δραμεῖται πρὸς πέρας· ἔνεστι γὰρ τὸ πάντα δύνασθαι κατορθοῦν αὐτῷ, καὶ πρός γε τούτῳ τὸ ἀψευδεῖν. Πλὴν κατέπεμψεν ἡμῖν τοῖς ἐπὶ γῆς ὁ Θεὸς καὶ Πατὴρ ὑετὸν ὥσπερ τινὰ θεῖόν τε καὶ νοητὸν τὴν διὰ Χριστοῦ παράκλησιν, ἤτοι τῶν εὐαγγελικῶν κηρυγμάτων τὴν χορηγίαν, δι' ἧς εὔκαρπος καὶ γονιμωτάτη γέγονεν ἡ σύμπασα γῆ. Ψάλλει γοῦν ὁ θεσπέσιος Δαβὶδ, καί φησιν· « Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτὴν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν· τοὺς B αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. » Καὶ μὴν καὶ διὰ φωνῆς Μωσέως, « Καταβήσεται, φησὶν, ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου. » Ἐπιστέλλει δέ τισι καὶ ὁ πάνσοφος Παῦλος· « Ὁ δὲ Θεὸς τῆς εἰρήνης αὐξῆσαι τὸν σπόρον ὑμῶν, καὶ πληθύναι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. » Οὐκοῦν εὐκαρπίαν ἐσχήκαμεν τὴν πνευματικὴν, τὴν διὰ Χριστοῦ χορηγίαν λαβόντες εἰς νοῦν, ὥστε μὴ μόνον τὴν ἱερὰν συλλέξαι τροφὴν, ἤτοι τὸν ἄρτον ἔχειν ἡμᾶς τὸν ζωοποιὸν, ἀλλὰ γὰρ καὶ σπέρμα τῷ σπείροντι. Οἱ γάρ τοι λαῶν προεστηκότες, καὶ δογμάτων ἱερῶν ἐπιστήμονες, καὶ παιδαγωγεῖν ἑτέρους οἷοί τε καὶ τὸν τῆς C μυσταγωγίας τοῖς ὑπὸ χεῖρα λαοῖς ἐξυφαίνοντες λόγον, σπείρουσιν ἐν ταῖς καρδίαις αὐτῶν, ὃν ἐθησαύρισαν αὐτοῖς σπόρον, προκατασωρεύσαντες ἐν ταῖς ἑαυτῶν ψυχαῖς. Ὡς γὰρ ὁ πάνσοφος Παῦλός φησιν, « Θεοῦ γεώργιόν ἐσμεν· » συνεργοὶ γὰρ Θεοῦ τοῦ σπείροντες ἐν ἡμῖν, καὶ δογματικῆς εὐτεχνίας γνῶσιν ἀκριβῆ, καὶ πολιτείας εὐαγοῦς ἐπιστήμην, καὶ παντὸς ἔφεσιν ἀγαθοῦ πράγματος· οὗτος δέ ἐστιν ὁ Χριστὸς, ὃς δὴ καὶ περὶ αὐτοῦ φησιν· « Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. »

sanctus decrevit, quis dissipabit? Et manum excelsam quis avertet [58]? » Quis enim erit tantus ut divino resistat calculo, et Domini voluntati obnitatur? Prorsus nemo. Itaque quidquid egredietur de ore ejus qui vere Deus est, hoc omnino ac semper ad finem tendet. Inest enim illi, et ut omnia præstare possit, et præterea etiam ut non mentiatur. Sed enim demisit nobis mortalibus Deus et Pater, quasi pluviam quamdam divinam et sub intelligentiam cadentem, consolationem per Christum, sive evangelicæ prædicationis administrationem, per quam universa terra redditur frugifera et fecundissima. Psallit nimirum divinus David, et inquit: « Visitasti terram, et inebriasti eam, multiplicasti locupletare eam. Rivos ejus inebria, multiplica germina ejus, in stillicidiis ejus lætabitur germinans [59]. » Quin et voce Moysis, « Descendet, inquit, tanquam pluvia sonus meus, et descendant ceu ros verba mea [59*]. » Scribit etiam ad quosdam sapientissimus Paulus: « Deus pacis augeat sementem vestram, et multiplicet germina justitiæ vestræ [60]. » Habuimus itaque in animum ubertatem, accepta spiritali per Christum largitione, ita ut non solum sacrum cibum collegerimus, ac panem vivificum nos habeamus, sed etiam semen serenti. Duces enim populorum, et sacrorum dogmatum periti, quique pædagogi aliis esse possunt, et mystagogiæ sermonem populo subdito prætexere, serunt in cordibus eorum semen quod recondiderunt, quodque prius in animis suis congesserunt. Ut enim sapientissimus Paulus ait: « Dei agricolatio sumus [61]. » Cooperarii namque sumus Dei, qui nobis dogmatum cognitionem exactam, et sanctæ conversationis scientiam, et omnis **783** boni desiderium inserit. Hic autem est Christus, qui de se ipso dicit: « Exiit qui serit ad serendum semen suum [62]. »

Καὶ εὐοδώσω τὰς ὁδούς μου, καὶ τὰ ἐντάλματά μου. Ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε.

Ὑποσχόμενος ὅτι πάντη τε καὶ πάντως ἐλεηθήσονται τοὺς τῆς ἁμαρτίας ἀπονιψάμενοι ῥύπους, εἶτα D καθαροὶ γεγονότες αὐτῷ συναφθήσονται πνευματικῶς, ἔσονται δὲ οἱ μακρὰν ἐγγὺς, καὶ ταῖς παρ' αὐτοῦ φιλοτιμίαις καταπιανθήσονται, καὶ διὰ μέσου παρενθεὶς τὰ δι' ὧν ἦν δύνασθαι πιστεύειν αὐτοὺς, ὅτι καὶ ἀψευδής ἐστι, Θεὸς ὢν φύσει, καὶ τῶν δυνάμεων Κύριος, ἔχεται πάλιν τῶν ἐφεξῆς, ἤτοι τῆς ἀπαριθμήσεως τῶν δοθησομένων αὐτοῖς πνευματικῶν χαρισμάτων. Εὐοδώσω γὰρ, φησὶ, τὰς ὁδούς μου, καὶ τὰ ἐντάλματά μου· μέγα τοῦτο καὶ ἀξιόληπτον ἀγαθὸν, καὶ ξένιον οὐρανοῦ· καὶ τίνα τρόπον, ἐροῦμεν. Τοῖς μὲν γὰρ ἐκ φιληδονίας κοσμικῆς εἰς εὐσχήμονα ζωὴν μεθορμίζεσθαι βουλομένοις οὐκ ἄτραχυ τὸ χρῆμά ἐστιν, ἀλλ' οὐδὲ βάσιμον ἐν ἀρχαῖς. Ἀντανίσταται γὰρ αὐ-

VERS. 12. *Et prosperabo vias meas et præcepta mea. Nam cum lætitia egrediemini, et cum gaudio docebimini.*

Cum sit pollicitus plenissimam consecuturos esse misericordiam, qui peccati sordes eluerint, et qui, mundi facti, fuerint conjuncti cum eo spiritualiter, ac fore propinquos qui longinqui fuerunt, ac munificentia ejus saginandos ac recreandos; cumque in medio interposuerit ea unde fidem facere posset se verum esse natura Deum ac Dominum exercituum: rursus quæ sequuntur prosequitur, et continuat enumerationem spiritualium donorum quæ illis dabuntur. Prosperabo, inquit, vias meas et præcepta mea. Magnum hoc, et non aspernandum beneficium, et donum cœleste; quomodo autem, dicemus. Qui enim a mundanæ voluptatis amore ad honestam vitam transire volunt, hi primum in aspera re ac non ita prona et pervia versantur. Adversatur enim illis tritæ quasi consue-

[58] Isa. XIV, 27. [59] Psal. LXIV, 10, 11. [59*] Deut. XXXII, 2. [60] II Cor. IX, 10. [61] I Cor. III, 9. [62] Matth. XIII, 3.

tudinis dulcedo, et mentem eorum tristitia velut inebriat. Nec enim carnis affectus facile sunt evitabiles, nec proclive est volentibus, ad virtutem currere. At prosperante ac promovente Deo, et loca invia et prærupta alleviante et complanante, facillime quis affectuum assultus fugere poterit, et fortissime ad virtutum culmen assilire. Scriptum est enim: « Montes excelsi cervis [63]. » Quid ergo promisit Deus in ipsum credentibus? Prosperabo vias meas, et mandata mea, et non cum tristitia egrediemini, sed cum gaudio docebimini. Hoc demum est, opinor, quod alibi rursus dixit Scriptura prophetica: « Via piorum recta facta est, et præparata via piorum [64]. » Via enim Domini judicium. Alius etiam e sanctis prophetis, « Rectæ, » inquit, « sunt viæ Domini, et justi ambulabunt in eis: impii autem infirmabuntur in eis [65]. » Deo enim illis vias non levigante, per illas ferri non poterunt. Quod enim, ut dixi, donum cœleste sit, vias divinas ire posse, et implere mandata quibus ad Deum aliquis feratur, docuit, cum velut de Synagoga Judæorum, **784** Propterea ecce ego, inquit, obstruam vias ejus sudibus, et quæret vias, et non inveniet. Itaque me, inquit, prosperante mandata, cum lætitia egrediemini: id est, dolori non succumbetis, nec corde pungemini, et affectibus vacui eritis, et ad meliorem et admirandam vitam transcurretis. Docebimini enim gaudentes, et sacrosanctis sermonibus vosmet oblectantes. Nimirum divinus David: « Quam dulcia, » inquit, « faucibus meis oracula tua! Supra mel et favum ori meo [66], » ac prudentissime affirmavit gaudendum in illis magis quam in omnibus divitiis. Cum gaudio accurrere intelligi possunt et aliter. Liberati enim a pristino errore, gaudentes vocationem a Deo arripiunt. Quod verum esse, ex ipsis rebus videre licet.

A τοῖς ὥσπερ τῆς ἐντριβοῦς συνηθείας τὸ γλυκὺ, καὶ καταμεθύσκει ταῖς λύπαις τὸν ἐν αὐτοῖς ὄντα νοῦν. Οὐκ εὐδιάφυκτα γὰρ τὰ τῆς σαρκὸς πάθη, οὔτε μὴν τοῖς ἐθέλουσιν εὔτριβὲς τὸ τρέχειν εἰς ἀρετήν. Εὐοδοῦντός γε μὴν τοῦ Θεοῦ, καὶ τὰ δυσπόρευτα καὶ ἀνάντη ψιλὰ τιθέντος καὶ εὐήλατα, φύγοι τις ἂν καὶ μάλα ῥᾳδίως καὶ τὰς τῶν παθῶν προσβολὰς, εὐσθενέστατα δὲ καὶ εἰς τὰ τῶν ἀρετῶν ὑψώματα διαπηδήσειεν. Γέγραπται γάρ· « Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις. » Τί τοίνυν Θεὸς ἐπαγγέλλεται τοῖς εἰς αὐτὸν πιστεύσασιν; Εὐοδώσω τὰς ὁδούς μου, καὶ τὰ ἐντάλματά μου, καὶ οὐκ ἐν λύπῃ ἐξελεύσεσθε, ἀλλ' ἐν χαρᾷ διδαχθήσεσθε. Τοῦτο, οἶμαι, ἐστὶν, ὅπερ ἔφη πάλιν ἑτέρωθί που τὸ γράμμα τὸ προφητικόν· « Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν B εὐσεβῶν. » Ἡ γὰρ ὁδὸς Κυρίου κρίσις. Ἕτερος δὲ τῶν ἁγίων προφητῶν, « Εὐθεῖαι, φησὶν, αἱ ὁδοὶ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς. » Θεοῦ γὰρ αὐτοῖς τὰς ὁδοὺς οὐ καταλεαίνοντος, οὐκ ἂν ἰσχύσειαν φέρεσθαι δι' αὐτῶν. Ὅτι γὰρ ξένιόν ἐστιν, ὡς ἔφην, οὐρανοῦ τὸ τὰς θείας δύνασθαι βαδίζειν ὁδοὺς, καὶ πληροῦν τὰ ἐντάλματα, δι' ὧν ἄν τις ἐλάσαι πρὸς Θεὸν, ἐδίδαξεν εἰπὼν ὡς περὶ τῆς Ἰουδαίων Συναγωγῆς· Διὰ τοῦτο ἰδοὺ ἐγὼ, φησὶ, φράσσω τὰς ὁδοὺς αὐτῆς ἐν σκόλοψι, καὶ ζητήσει τὰς ὁδοὺς αὐτῆς, καὶ οὐ μὴ εὕρῃ. Οὐκοῦν ἐμοῦ, φησὶν, εὐοδοῦντος τὰ ἐντάλματα, ἐν εὐφροσύνῃ ἐξελεύσεσθε, τουτέστιν, ἀμείνους ἔσεσθε λύπης, οὐ καταδηχθήσεσθε τὴν καρδίαν, ἔξω γεγονότες παθῶν, καὶ εἰς C τὴν ἀμείνω καὶ τεθαυμασμένην μετατρέχοντες ζωήν. Διδαχθήσεσθε γὰρ χαίροντες, καὶ τοῖς ἱεροῖς ἐντρυφῶντες λόγοις. Καὶ γοῦν ὁ θεσπέσιος Δαβίδ· « Ὡς γλυκέα, φησὶ, τῷ λάρυγγί μου τὰ λόγιά σου! ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. » Χαίρειν δὲ μᾶλλον ἐπ' αὐτοῖς διεβεβαιοῦτο, καὶ μάλα ἐμφρόνως ὡς ἐπὶ παντὶ πλούτῳ· ἐν χαρᾷ δὲ καὶ ἑτέρως νοηθεῖεν ἂν ἐκτρέχοντες· ἀπαλλαττόμενοι γὰρ τῆς ἀρχαίας ἀπάτης, ἁρπάζουσι χαίροντες τὴν παρὰ Θεοῦ κλῆσιν, καὶ ἀληθὲς τοῦτο ὑπάρχον ἐξ αὐτῶν ἔνεστι τῶν πραγμάτων ἰδεῖν.

VERS. 11. *Montes enim et colles exsilient, exspectantes vos cum gaudio, et omnia ligna agri applaudent ramis. Et pro stœba succrescet cyparissus, et pro conyza crescet myrtus. Et erit Dominus in nomen, et in signum æternum, et non deficiet.*

Τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται προσδεχόμενα ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις, καὶ ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη. Καὶ ἔσται Κύριος εἰς ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

Montes hic dicit superas et cœlestes potestates, quæ a Deo constitutæ sunt in subsidium mortalium. Sunt enim spiritus administri, qui legantur ad ministerium, propter eos qui salutem adipiscentur, et gaudent super uno peccatore resipiscente [66*]. Equidem merito comparari possunt montibus, quippe qui altam dignitatem obtineant, pro virtutis ipsorum magnitudine. Vel etiam montes accipies pro his qui docendi munus habent in Ecclesiis, nihilque humile sapiunt, sed quæ supera sunt quærunt, et supra res terrenas transiliunt. Colles autem pro his sumes qui illis auctoritate inferiores sunt, et quasi eorum gloriæ subsident et subjiciuntur. Sunt enim

D Ὄρη φησὶν ἐν τούτοις τάχα που τὰς ἄνω τε καὶ ἐν οὐρανῷ δυνάμεις, αἳ δὴ καὶ τετάχαται παρὰ Θεοῦ πρὸς ἐπικουρίαν τῶν ἐπὶ τῆς γῆς. Πνεύματα γάρ εἰσι λειτουργικὰ πεμπόμενα πρὸς διακονίαν διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, χαίρουσι δὲ καὶ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Ναὶ μὴν καὶ ὄρεσι παρεικάζοιντο ἂν εἰκότως ὡς τὸ ὑψοῦ λίαν εἶναι λαχόντες, κατά τε τῆς ἐνούσης αὐτοῖς ἀρετῆς τὸ μέγεθος. Ἤγουν ὄρη μὲν ἐκλήψῃ τοὺς τὸ διδασκαλικὸν ἐν Ἐκκλησίαις ἔχοντας ἐπιτήδευμα, καὶ φρονοῦντας μὲν τῶν χαμαιπετῶν οὐδὲν, ζητοῦντας δὲ μᾶλλον τὰ ἄνω, καὶ τῶν γηΐνων ἀναπηδήσαντας· βουνούς γε μὴν τοὺς τῆς ἐκείνων ὑπεροχῆς ἡττωμένους, καὶ οἷον

[63] Psal. CIII, 18. [64] Isa. XXVI, 7. [65] Ose. XIV, 10. [66] Psal. CXVIII, 103. [66*] Hebr. I, 14; Luc. XV, 7.

A ὑποκαθημένους αὐτῶν τὴν δόξαν. Μέτρα γὰρ ἐν Ἐκκλησίαις εἰσὶ καὶ τιμῆς καὶ λειτουργιῶν· ταῦτά φησι τὰ ὄρη τὰ νοητὰ, καὶ σὺν αὐτοῖς οἱ βουνοὶ ἐξαλοῦνται, τουτέστιν ἀνασκιρτήσουσι, χαίροντα δηλονότι διὰ τὴν ὑμῶν ἐπιστροφήν τε καὶ κλῆσιν, καὶ προσδέξονται ὑμᾶς μετὰ χαρᾶς· ἐπιγαννύμεθα γὰρ οὐ μετρίως, ὅταν τινὲς τῶν πεπλανημένων, τὸ ἐν ἀχλύϊ καὶ σκότῳ διατελεῖν ἔτι μεθέντες, πρὸς τὸ τῆς ἀληθοῦς θεοπτίας ἄττουσι φῶς. Οὕτως αὐτοῖς καὶ ὁ πάνσοφος Παῦλος προσφώνει, λέγων· « Χαρὰ καὶ στέφανός μου. » Ἀλλὰ καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ, φησὶν, ἐπικροτήσει τοῖς κλάδοις. Καὶ ξύλα νοήσεις ἀγροῦ τοὺς τελοῦντας ἐν λαοῖς. Εὐανθὴς γὰρ τοῦ Σωτῆρος ὁ κῆπος. Καὶ γοῦν ἐπείπερ ἐστὶν εὐθαλής τε καὶ εὔκαρπος ἡ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων γραφομένη νύμφη, φησί· « Καταβήτω ὁ ἀδελφιδός μου εἰς κῆπον
B αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. » Οὐκοῦν τὰ ξύλα τὰ νοητὰ τοῖς κλάδοις ἐπικροτήσει, φησί. Χαίρουσι γὰρ οἱ πιστεύσαντες, καθάπερ ἀμέλει καὶ τὰ ὄρη καὶ οἱ βουνοὶ, τουτέστιν, οἱ καθηγεῖσθαι λαχόντες λαῶν, ἐπὶ τῇ σωτηρίᾳ τῶν καλουμένων εἰς ζωὴν, καὶ τῆς ἀχράντου μυσταγωγίας εἰς πέρας, δι' ἧς τὸ θεῖον αὐτοῖς ἐνίεται φῶς. Εἶτα ὅτι πλείστη τις ἔσται τῶν κεκλημένων μεταβολὴ πρὸς τὸ ἀσυγκρίτως ἄμεινον, διαδείκνυσιν εὐθὺς λέγων, ὡς ἀντὶ τῆς στοιβῆς ἔσται κυπάρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη. Στοιβὴν καὶ κόνυζαν πικρὰς, καὶ ἀπροσβλήτους [*al.* ἀποβλήτους] ἀκάνθας εἶναί φασιν, ἐντεθήλασι δὲ χωρίοις μὲν τοῖς ὑπὸ γηπόνους οὐδαμῶς, χέρσῳ δὲ καὶ ἁλμάδι χαίρουσι γῇ. Τοιοῦτοί τινες
C ἦσαν οἱ πλανώμενοι, καὶ τῇ κτίσει παρὰ τὸν κτίσαντα λατρεύοντες. Ἐπειδὴ δὲ κέκληνται πρὸς ἐπίγνωσιν ἀληθείας, ἀφέντες τὸ εἶναι στοίβη, καὶ κόνυζα, μετακεχωρήκασι νοητῶς εἰς τὰ εὐμήκη καὶ εὐοσμότατα τῶν φυτῶν. Χρηματίζουσι γὰρ κυπάρισσος καὶ μυρσίνη. Μέγα τοίνυν τὸ θαῦμα τοῦ γηπονοῦντος τὴν Ἐκκλησίαν, τουτέστι, τοῦ Χριστοῦ. Μεθίστησι γὰρ τὰς ἀκάνθας εἰς τὰ εὐγενῆ καὶ ἐξαίρετα τῶν φυτῶν, καὶ ἑτέρους ἀνθ' ἑτέρων ἀποφαίνει πατρικῶς [*γρ.* πνευματικῶς]. Εὑρήσομεν δὲ τουτὶ γεγονὸς καὶ ἐν τοῖς ἐξ αἵματος Ἰσραήλ. Στοιβὴ γὰρ ὄντες καὶ κόνυζά ποτε Ματθαῖος καὶ Παῦλος· ὁ μὲν γὰρ ἦν τελώνης, ὁ δὲ διώκτης καὶ ὑβριστής· φωστῆρες γεγόνασιν οἰκουμενικοὶ, καὶ Χριστὸν εὐωδιάζουσιν ἐν παντὶ τόπῳ, ἔν τε τοῖς σῳζομένοις, καὶ ἐν τοῖς ἀπολλυμέ-
D νοις, καθά φησιν ὁ ἱερώτατος Παῦλος. Ὅτι δὲ ὁ τούτων πάντων χορηγὸς καὶ πρύτανις ἐν ἀτελευτήτῳ κείσεται δόξῃ καὶ διαμονῇ, διδάσκει λέγων, ὅτι Ἔσται Κύριος εἰς ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει· ὄνομα δέ φησιν ἐν τούτοις τὴν δόξαν, σημεῖον δὲ, ὥς γε οἶμαι, τὴν διὰ σταυροῦ φαιδρότητα, δι' οὗ καὶ σεσώσμεθα, ἐσόμεθα δὲ ἀκαταλήκτως ἐν τούτῳ. Ἐκλείψει γὰρ ἡμῖν ἡ παρ' αὐτοῦ χάρις κατ' οὐδένα καιρὸν ἢ τρόπον.

mensuræ et gradus honoris] ac ministeriorum in Ecclesiis. Hi, inquit, montes sub intelligentiam cadentes, et cum illis colles, exsilient, id est, saltabunt, gaudentes videlicet, propter vestram conversionem et vocationem, et cum gaudio vos recipient. Non enim mediocri lætitia afficimur, cum aliqui eorum qui erraverunt, caligine et tenebris relictis, ad veræ Dei **785** contemplationis lucem emicant. Sic eos etiam affatur sapientissimus Paulus, dicens: « Gaudium et corona mea [67]. » Sed et omnia ligna agri, inquit, applaudent ramis. Ligna agri intelliges eos qui in populo censentur. Est enim hortus Servatoris floridus. Et quidem viridem esse ac frugiferum narrat Sponsa, quæ in Cantico canticorum describitur: « Descendat nepos meus in hortum suum, et comedat fructum nucum suarum [68]. » Itaque ligna intelligibilia applaudent, inquit, ramis. Gaudent enim credentes, non aliter videlicet quam montes et colles, id est, qui præsunt populo, de salute eorum qui ad vitam et ad puræ mystagogiæ perfectionem vocati sunt, per quam divina illis lux affulget. Fore autem eorum qui vocati sunt maximam mutationem ad id quod incomparabiliter præstat, ostendit cum dicit: Pro stœba erit cyparissus, pro conyza crescet myrtus. Stœbam et conyzam amaras spinas et rejectitias esse dicunt: crescunt autem in locis ad agriculturam non accommodis, sed terra inculta et salsuginosa gaudent. Tales sunt qui errant, et creaturam præ Creatore colunt. Postquam autem vocati sunt ad agnitionem veritatis, stœba et conyza esse desinunt, ac vergunt intelligibiliter in proceras et pulcherrimas arbores. Nam cyparissus nuncupantur et myrtus. Magnum itaque est miraculum ejus qui colit Ecclesiam, id est, Christi. Transponit enim spinas in nobiles et præstantes arbores, et alias ex aliis facit spiritualiter. Hoc factum esse inveniemus in Israelitis. Matthæus enim et Paulus, quorum ille publicanus, hic persecutor et ferox erat, cum essent quondam stœba et conyza, facti sunt totius orbis publica lumina, et Christum in omni loco, tum in servatis, tum in perditis redolent, quemadmodum inquit Paulus sanctissimus [68*]. Quod autem omnium horum suppeditator ac largitor æterna gloria et nominis perpetuitate sit potiturus, docet cum ait: Erit Dominus in nomen et in signum sempiternum, et non deficiet. Nomen hic vocat gloriam; signum, ut ego quidem censeo, crucis splendorem, per quam etiam servati sumus, in qua etiam jugiter permanebimus. Nunquam enim ejus gratia ullo tempore aut modo nos deficiet.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

Τάδε λέγει Κύριος· Φυλάσσεσθε κρίσιν, ποιήσατε δικαιοσύνην. Ἤγγικε γὰρ τὸ σωτήριόν μου

786 TOMUS TERTIUS.

CAP. LVI. VERS. 1. *Hæc dicit Dominus: Custodite judicium, facite justitiam. Appropinquavit enim*

[67] Philip. IV, 1. [68] Cant. V, 1. [68*] II Cor. II, 16.

salutare meum ut veniat, et misericordia mea, ut A *patefiat.*

De gentium vocatione per fidem, videlicet in Christo, pluribus verbis egit in paulo superioribus : quo confecto, transit iterum ad commonefaciendum Israelitas. Natura enim bonus Deus omnes homines vult salvos fieri, et ad agnitionem veritatis venire [68*]. Quoniam autem solebant propter nobilitatem patrum supercilium tollere, et hac sola de causa altum sapere, et quia hoc sibi putabant satis esse, etiamsi nulla probæ vitæ laus eluceret, conatur probare inanem fore illis omnino in hisce rebus tumorem : sed eos docet excellentem gloriam consequi, qui ea quæ injuncta sunt, exsequuntur, et in factis splendorem ambiunt. Custodite igitur, inquit, judicium, id est, rectum judicium, vel di- B vina judicia, scilicet mandata. Facite justitiam. Non enim modo divinis legibus velle adhærere satis est, et a præstandi ac perficiendi officio discedere, sed oportet porro sacrorum judiciorum custodes apparere, et omni bonorum operum genere excellere. Ne vero quis nostrum putet his verbis Israelitas ad observationem legis, quæ in umbris nimirum sita est et in typis, excitari : justificatur enim nemo in lege apud Deum, quemadmodum Paulus ille ter optimus scripsit [69]: prope esse dicit salutare suum, et misericordiam patefaciendam. Misericordiam et salutare vocat Christum : per ipsum enim misericordiam adepti sumus, et remissionem ac salutem per fidem lucrati : Simile esse dicimus hoc illi quod a Deo dictum est ad beatum Abbacum : C « Adhuc paululum, qui venit veniet, et non moram trahet [70]. » Patefieri, dicit pro manifestari. Siquidem prænuntiarunt beati prophetæ Servatoris adventum, **787** et patefactus est mortalibus, quando potenti dominatori visum est. Quod etiam divinus David docebit, dicens : « Notum fecit Dominus salutare suum, in conspectu gentium revelavit justitiam suam [71]. » Manifestatus enim est Christus gentibus, qui est salutare et justitia, quippe in ipso, ut jam dixi, Deus ac Pater nos servavit et justificavit.

Vers. 2. *Beatus vir qui facit hæc, et homo qui retinet hæc, et custodit Sabbata, ut non profanet ea,* D *et servat manus suas, ne faciant injustitiam.*

Cognata sunt hæc jam dictis, et eodem tendunt : sed habet oratio quædam observatione digna. Considera enim quo pacto dicat eum beatum esse, non simpliciter qui ex semine Abrahæ est, non qui carnali nobilitate turget, et in eo inani superbia insolescit, sed illum in quo bonæ et illibatæ vitæ velut splendida et illustris dignitas inesse cernitur et enitescere. Tale quiddam beatus Joannes Baptista

A *παραγενέσθαι, καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι.*

Περὶ τῆς τῶν ἐθνῶν κλήσεως τῆς διὰ πίστεως, δηλονότι τῆς ἐν Χριστῷ, μακροὺς πεποίηται λόγους ἐν τοῖς ἀνόπιν βραχύ, διαπεράνας δὲ τοῦτο μέτεισι πάλιν ἐπὶ τὸ χρῆναι νουθετεῖν τοὺς ἐξ αἵματος Ἰσραήλ. Φύσει γὰρ ὑπάρχων ἀγαθὸς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Ἐπειδὴ δὲ ἦν ἔθος αὐτοῖς ἐπὶ τῇ τῶν πατέρων εὐγενείᾳ τὴν ὀφρὺν ἀνασπᾷν, καὶ μέγα φρονεῖν, ἐπ' αὐτῷ δὴ τούτῳ, καὶ μόνῳ, καὶ ἀποχρήσειν αὐτοῖς οἴεσθαι ταυτὶ, κἂν εἰ μὴ μετὸν ὁρῷτο τῆς εὐζωΐας τὸ καύχημα, πειρᾶται πληροφορεῖν, ὡς εἰκαῖον αὐτοῖς ἔσται παντελῶς τὸ ἐπὶ τούτῳ φύσημα, δόξαν δὲ μᾶλλον ἀποφαίνει λαχόντας θεοπρεπῆ, τὸ πληροῦν ἑλέσθαι τὰ διατεταγ- B μένα, καὶ τὸ τὴν ἐν ἔργοις φαιδρότητα μεταποιεῖσθαι φιλεῖν. Οὐκοῦν φυλάσσεσθε, φησὶ, κρίσιν, τουτέστι, τὴν ὀρθοκρισίαν, ἤτοι τὰ θεῖα κρίματα, δῆλον δὲ ὅτι τὰς ἐντολάς. Ποιεῖτε δικαιοσύνην· οὐ γὰρ ἀρκέσει μόνον τὸ βούλεσθαι μὲν τοῖς θείοις προσκεῖσθαι νόμοις, ἀποφοιτᾷν δὲ τοῦ χρῆναι διαπεραίνειν αὐτούς· δεῖ δὲ φύλακας ὁρᾶσθαι τῶν ἱερῶν κριμάτων, διαπρέπειν τε πρὸς τούτῳ διὰ πάσης ἀγαθουργίας. Ἵνα δὲ μή τις οἴηται τῶν καθ' ἡμᾶς ἐπὶ τὴν τοῦ νόμου τήρησιν, τὴν ὡς ἔν γέ φημι σκιαῖς τε καὶ τύποις παραθήγεσθαι διὰ τούτων τοὺς ἐξ Ἰσραήλ· δικαιοῦται γὰρ οὐδεὶς ἐν νόμῳ παρὰ Θεῷ, καθὰ γέγραφέ τισιν ὁ πανάριστος Παῦλος· ἐγγὺς εἶναί φησι τὸ σωτήριον, καὶ τὸ ἔλεος αὐτοῦ ἀποκαλυφθῆναι. Ἔλεος δὲ καὶ σωτήριον ὀνομάζει Χριστόν· ἠλεήμεθα γὰρ δι' αὐτοῦ, C τὴν διὰ πίστεως ἄφεσιν καὶ σωτηρίαν ἀποκερδαίνοντες. Ἐοικὸς εἶναί φαμεν τούτῳ τὸ εἰρημένον [al. τοῦτο τῷ εἰρημένῳ] παρὰ Θεοῦ πρὸς τὸν μακάριον Ἀββακούμ· « Ἔτι μικρὸν, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. » Τὸ δέ γε ἀποκαλυφθῆναί φησιν, ἀντὶ τοῦ φανερωθῆναι· προαπήγγελλον μὲν γὰρ οἱ μακάριοι προφῆται τοῦ Σωτῆρος τὴν ἄφιξιν· γέγονε δὲ τοῖς ἐπὶ τῆς γῆς ἐναργὴς ἐν καιροῖς, καθ' οὓς ἠθέλησεν ὁ δυνάστης· καὶ τοῦτο διδάξει λέγων ὁ θεσπέσιος Δαβίδ· « Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. » Πεφανέρωται γὰρ τοῖς ἔθνεσι Χριστὸς, ὅς ἐστι σωτήριον, καὶ δικαιοσύνη· ὡς γὰρ ἔφην ἀρτίως, σέσωκέ τε καὶ δεδικαίωκεν ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ ἐν αὐτῷ.

Μακάριος ἀνὴρ ὁ ποιῶν ταῦτα, καὶ ἄνθρωπος D *ὁ ἀντεχόμενος αὐτῶν, καὶ φυλάσσων τὰ Σάββατά μου μὴ βεβηλοῦν, καὶ διατηρῶν τὰς χεῖρας αὐτοῦ μὴ ποιεῖν ἀδίκημα* (1).

Ἀδελφὰ καὶ ταῦτα τοῖς ἀρτίως ἡμῖν εἰρημένοις, καὶ διὰ τῶν ἴσων ἔρχεται, ἐπιτήρησίν γε μὴν ὁ λόγος ἔχει πολλήν. Ἄθρει γὰρ ὅπως μακάριον εἶναί φησιν, οὐχὶ δήπου πάντως τὸν ἐκ σπέρματος Ἀβραὰμ, οὔτε μὴν τὸν σαρκὶ καὶ εὐγενείαις ἐπικομπάζοντα, καὶ εἰκαῖον ἔχοντα τὸ ἐπὶ τούτῳ φρόνημα, ἐκεῖνον δὲ μᾶλλον, ὥσπερ ἂν ἐνυπάρχον ὁρῷτο τὸ διαπρέπειν ἐν ἀγαθοῖς, καὶ τῆς ἀβεβήλου ζωῆς τὸ λαμπρὸν, καὶ

[68*] I Tim. II, 4. [69] Galat. III, 11; Rom. I, 17; Hebr. X, 38. [70] Habac. II, 3. [71] Psal. XCVII 2.

(1) LXX, ἄδικα.

περιφανὲς ἀξίωμα. Τοιοῦτόν τι, καὶ ὁ μακάριος Βαπτιστὴς Ἰωάννης ταῖς Ἰουδαίων ἀγέλαις ἐπιφωνήσας ὁρᾶται· προσῄεσαν μὲν γὰρ τὸ παρ' αὐτοῦ τιμῶντες βάπτισμα, μετανοίας δὲ ἦν, καὶ πικροὺς ὄντας λίαν διήλεγχε λέγων· « Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ. » Ὁ δέ φησιν· « Εἰ πατέρα εἴχετε τὸν Ἀβραάμ, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. » Μακάριος τοίνυν, φησὶν, οὐκ εἴ τις υἱός ἐστιν Ἀβραάμ, ἀλλ' ὁ φυλάσσων ταῦτα· ποῖα δὲ ταῦτα; Κρίμα καὶ δικαιοσύνην, καὶ πρός γε τούτῳ φυλάττων καὶ κατορθῶν αὐτὰ, καὶ ἀντεχόμενος αὐτῶν, τουτέστιν, οὐ παρέργως ἢ παρειμένως ἐπ' αὐτὰ χωρῶν, ἀλλ' οἷον ἐν πάσῃ σπουδῇ, καὶ νεανικῶς, ὥστε καὶ ἀντέχεσθαι λίαν αὐτῶν, καὶ φυλάσσειν τὰ Σάββατα μὴ βεβηλοῦν αὐτά. Ἵνα πάλιν τοιοῦτο νοῇς· οὐκ ἐξῆν ἐν Σαββάτῳ φροντίδα ποιεῖσθαί τινα τῶν περὶ τὴν σάρκα πόνων ἢ σπουδασμάτων. Ἔδει δὲ μᾶλλον ἀργεῖν τοῦτο τοῦ θείου προστάσσοντος νόμου, πλὴν ἀργοῦντες τὰς νενομισμένας θυσίας προσεκόμιζον τῷ Θεῷ, τοῦ νομικοῦ γράμματος αἰνιγματωδῶς ὑποφαίνοντος, ὅτι φροντίδος σαρκικῆς ἀποσχομένους ἐμφρόνως ἱερουργεῖν προσήκει τῷ Θεῷ, θυσίας πνευματικὰς, καὶ τὰς εἰς ὀσμὴν εὐωδίας τῆς νοητῆς. Ἀργίας οὖν ἄρα τῆς ἐξ ἁμαρτιῶν καὶ σαρκικῶν ἐπιθυμιῶν τύπον ἐπλήρου τῆς κατὰ τὸ Σάββατον ἀργίας ἡ δύναμις· οὕτω προσήκει φυλάττεσθαι καὶ ἡμᾶς τοῦ μὴ βεβηλοῦν τὰ Σάββατα· ἀποπαυσάμενοι γὰρ, ὡς ἔφην, φροντίδος ἁπάσης γεώδους καὶ σαρκικῆς, νοητῶς σαββατίζομεν, οὐ τὰς δι' αἱμάτων καὶ καπνῶν τελοῦντες θυσίας, ἀλλ' ἱεροῖς σπουδάσμασι κατευφραίνοντες αὐτὸν, καὶ εἰς ὀσμὴν εὐωδίας ἑαυτοὺς ἀναφέροντες. Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεὸς, καθὰ γέγραπται. Δεῖ δὴ οὖν ἄρα μὴ βεβηλοῦν τὰ Σάββατα, διατηρεῖν δὲ πρὸς τούτῳ καὶ τὰς χεῖρας κεκαθαρμένας· καὶ τίνα τρόπον, αὐτὸς ἐδίδαξεν εἰπών· Τοῦ μὴ ποιεῖν ἀδίκημα· οὐ γάρ ἐστι φυλάσσειν δύνασθαι κρίσιν, καὶ ποιεῖν δικαιοσύνην ἀδικεῖν ἐθέλοντας, καὶ τοῖς τῆς ἁμαρτίας ῥύποις τὴν χεῖρα καταμιαίνοντας. Χεῖρα δὲ οὐχὶ πάντως τὴν τοῦ σώματος, ἀντὶ δέ γε τῆς χειρὸς τὴν πρακτικὴν νοήσεις ἐνέργειαν, καθ' ἣν ἑκάστῳ πρόσιμεν τῶν πραγμάτων.

Μὴ λεγέτω ὁ ἀλλογενὴς ὁ προσκείμενος πρὸς Κύριον· Ἀφοριεῖ με ἄρα Κύριος ἀπὸ τοῦ λαοῦ τούτου. Καὶ μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι Ἐγώ εἰμι ξύλον ξηρόν. Τάδε λέγει Κύριος τοῖς εὐνούχοις· Ὅσοι ἂν φυλάξωνται τὰ Σάββατά μου, καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω, καὶ ἀντέχωνται τῆς διαθήκης μου, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρεῖσσον (1) *υἱῶν καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλείψει.*

Ἑτέραν ὀφρὺν τῶν ἐξ αἵματος Ἰσραὴλ, ἤγουν

A dixisse videtur Judæorum turbæ. Accesserunt ad ejus baptisma, quod erat pœnitentiæ, et in pretio habuerunt : quos ut acerbissimos homines et sævos reprehendit, dicens : « Progenies viperarum, quis monstravit vobis ut fugeretis a futura ira? Facite igitur fructus dignos pœnitentiæ, et ne sitis ea opinione ut dicatis apud vos : Patrem habemus Abraham [72]. » [(2) Certe quoque Servator idem persecutus est, et affatus est eos obnixe semper hoc prætendentes dicentesque : « Nos patrem habemus Abraham [73].] Ille vero : « Si patrem, inquit, haberetis Abraham, fecissetis opera Abrahæ. » Beatus est igitur, inquit, non si quis sit filius Abrahæ, sed qui custodit hæc. Quænam? Judicium, justitiam, et præterea qui custodit illa, et efficit ac retinet, id est, qui non leviter aut remisse, sed omni velut studio ac viriliter ea aggreditur, ut ea diligenter retineat, et custodit Sabbata ut non profanet ea. Ut rursus illud intelligas : non licebat in Sabbato laborum et studiorum ad carnem pertinentium curam aliquam agere. Sed otiari potius oportebat, divina lege hoc sanciente : otiantes tamen stata sacrificia Deo offerebant : legali littera ænigmatice subinnuente, carnis cura abstinentes debere spirituales hostias, in odorem bonæ fragrantiæ intelligibilis, **788** Deo prudenter ministrare. Hujus igitur cessationis in Sabbato virtus otium et cessationem a peccato et carnis cupiditatibus figurabat. Sic eamdem curam nos suscipere debemus, ne Sabbata violemus. Supersedentes enim, ut dixi, omni cura terrena et carnali, intelligibiliter sabbatizamus : non per sanguinem et fumos celebrantes sacrificia, sed studiis sanctis illum exhilarantes, et in odorem suavitatis nosmet offerentes. Talibus enim sacrificiis placatur Deus, sicuti scriptum est [73*]. Oportet itaque Sabbata non violare, sed ad hæc manus puras servare. Quomodo autem, ipsemet docuit, inquiens : Ne faciant injuriam. Nec enim custodire judicium, nec colere justitiam possunt hi qui injuriam volunt inferre, et manum peccati sordibus inquinare. Manum autem non simpliciter eam quæ est corporis, sed pro manu actuosam quamdam vim intelliges, per quam ad res quasque gerendas accedimus.

D Vers. 3-5. *Ne dicat alienigena qui appositus est Domino : Separabit me utique Dominus a populo suo. Neque dicat eunuchus : Ego sum lignum aridum. Hæc dicit Dominus eunuchis : Quicunque custodierint Sabbata mea, et elegerint quæ ego volo, et tenuerint testamentum meum, dabo illis in domo mea et intra parietes meos locum celebrem, meliorem filiis ac filiabus, nomen æternum dabo illis, et non deficiet.*

Aliud supercilium Israelitarum et arrogantiæ

[72] Matth. III, 7-9. [73] Joan. VIII, 39. [73*] Hebr. XIII, 16.

(1) LXX, κρείττω.
(2) Quæ uncis inclusa sunt, Græcus codex non habet.

causam putidam et frivolam Deus insectatur. Altum enim, uti dixi, sapiebant, dicentes : « Patrem habemus Abraham [74], » et : Populus sanctus sumus electus, atque in sortem divinam asciti sumus. Fugerunt etiam orbitatem, utpote cum primus pater Abraham loco benedictionis accepisset a Deo, semen suum in immensam multitudinem propagandum, quod Deus promisit stellas numero æquaturum [74*]. Dixitque illis per sapientissimum Moysem : « Non erit in vobis orbus, neque sterilis [75]. » Quod autem magna et præclara res censeretur ab illis fecunditas prolis, e sanctis prophetis quidam probabit : « Gloria eorum ex partubus, et parturitionibus, et conceptionibus [76]. » Propheta **789** item Isaias dicit septem mulieres apprehensuras unum virum, quæ dicant : « Panem nostrum comedemus, et vestimentis nostris amiciemur ; verumtamen vocetur nomen tuum super nos : aufer opprobrium nostrum [77]. » Non enim volebant, ut dixi, tanquam liberis orbæ et steriles notari. Quia igitur videbantur Israelitæ propter carnalem nobilitatem et sobolis fecunditatem elato esse animo, eos necessario ab hac ignorantia abducit, inquiens : Ne dicat alienigena, qui appositus est ad Dominum: Separabit me Dominus a populo suo. Non enim, quia est alienigena, id est, non ex sanguine Israel, propterea non erit ejus donorum et conjunctionis cum ipso, videlicet spiritualis, particeps; sed si Domino adhæreat, omnino inter domesticos et notos collocabitur, et ad gentem sanctam, ad regium sacerdotium, in sortem Dei cooptabitur, et in filiis Abraham numerabitur. Non enim omnes qui sunt ex Israel, hi Israel, sicuti sapientissimus Paulus ait, nec quia semen Abrahæ, omnes filii, sed filii promissionis reputantur in semine [78]. Data est autem Abrahæ promissio a Deo, non solum propter eos qui secundum carnem ab eo sunt, sed propter omnes per fidem genitos. Sic enim Abraham justificatus est. Ergo qui insistunt vestigiis fidei Abrahamiticæ, his omnino dabitur ut filiis accenseantur. Non igitur proselytum separabit a populo suo : at semel additum et vocatum per fidem suscipiet, populumque sanctum nominabit. Quin etiam si quis, inquit, sit eunuchus, id est carens liberis et sobole, ne dicat apud seipsum : Ego sum lignum aridum, id est, ne moleste ferat orbitatem. Apud Deum enim nihil istud est, nec eum rejiciet. Nam quæ virtus est, cujus præclari facinoris splendor, prolis fecunditas? Carnis enim opera sunt hæc, nec reprehensione nec laude digna. Etsi enim aliquibus benedictionis loco datum sit, ad hoc Deo vocante, at nihil erit non habentibus incommodi. Quid enim contra eos dici potest qui præmature mortui sunt, vel ante nuptias et coitum rebus humanis defuncti, liberos non susceperunt? Quomodo etiam juvabit peccatis in hac vita addictos, quod multorum filiorum et filiarum patres exsistant? Neque dicat, inquit, qui liberos non habet : Ego sum

A ἀλαζονείας πρόφασιν, σαθράν τε καὶ ἕωλον κατασύρει Θεός· ἐφρόνουν μὲν γάρ, ὡς ἔφην, μέγα, λέγοντες, « Πατέρα ἔχομεν τὸν Ἀβραάμ, » καὶ μὴν ὅτι Λαὸς ἅγιός ἐσμεν ἐξειλεγμένος, τετάγμεθα δὲ καὶ εἰς κλῆρον Θεοῦ. Ἔφευγον δὲ καὶ τὴν ἀπαιδίαν, ἅτε δὴ τοῦ προπάτορος Ἀβραὰμ ἐν εὐλογίας τάξει λαβόντος παρὰ Θεοῦ τὸ εἰς πληθὺν ἐκταθήσεσθαι τὴν ἀμέτρητον τὸ σπέρμα αὐτοῦ· ἰσάριθμον γὰρ τοῖς ἄστροις ἐπηγγέλλετο Θεὸς ἀναδείξειν αὐτό. Εἴρητο δὲ πρὸς αὐτοὺς καὶ διὰ τοῦ πανσόφου Μωϋσέως τό· « Οὐκ ἔσται ἐν ὑμῖν ἄγονος οὐδὲ στεῖρα. » Ὅτι δὲ μέγα τι χρῆμα καὶ ἐξαίρετον ἡ πολυπαιδία νενόμιστο παρ' αὐτούς, πληροφορήσει τις λέγων τῶν ἁγίων προφητῶν· « Αἱ δόξαι αὐτῶν ἐκ τόκων καὶ ὠδίνων, καὶ συλλήψεων. » Ἑπτὰ δὲ γυναῖκας ἐπιλήψεσθαι ἑνὸς

B ἀνδρός, ὁ προφήτης φησὶν Ἡσαΐας· εἰπόν τε ὅτι « Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα, πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν. » Οὐ γὰρ ἤθελον, ὡς ἔφην, ὡς ἄγονοί τε καὶ στεῖραι κατονειδίζεσθαι. Οὐκοῦν ἐπειδήπερ ἐπ' εὐγενείᾳ σαρκικῇ, καὶ προσέτι τῇ πολυπαιδίᾳ μέγα φρονεῖν ἐδόκει τοῖς ἐξ Ἰσραήλ, ἀναγκαίως αὐτοὺς καὶ ταύτης ἐξίστησι τῆς ἀμαθίας, εἰπών· Μὴ λεγέτω ὁ ἀλλογενὴς ὁ προσκείμενος πρὸς Κύριον, Ἀφοριεῖ με ἄρα Κύριος ἀπὸ τοῦ λαοῦ αὐτοῦ. Οὐ γὰρ ἐπείπερ ἀλλογενής, τουτέστιν, οὐκ ἐξ αἵματος Ἰσραήλ, διὰ τοῦτο καὶ ἀμέτοχος τῶν παρ' αὐτοῦ χαρισμάτων, ἤγουν τῆς πρὸς αὐτὸν οἰκειότητος, δηλονότι πνευματικῆς· ἀλλ' εἰ προσκέοιτο τῷ Κυρίῳ,

C τάξεται πάντως ἐν οἰκείοις, καὶ ἐγνωσμένοις, καὶ εἰς ἔθνος ἅγιον, καὶ εἰς βασίλειον ἱεράτευμα, καὶ εἰς κλῆρον Θεοῦ. τελέσει δὲ καὶ ἐν τέκνοις Ἀβραάμ. Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ, καθά φησιν ὁ πάνσοφος Παῦλος, οὐδὲ ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. Δέδοται δὲ τῷ Ἀβραὰμ ἡ ἐπαγγελία παρὰ Θεοῦ, οὐκ ἐπὶ μόνοις τοῖς ἐξ αὐτοῦ κατὰ σάρκα, ἀλλὰ γὰρ καὶ ἅπασι τοῖς διὰ τῆς πίστεως· ἐδικαιώθη γὰρ οὕτως Ἀβραάμ. Οὐκοῦν τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς πίστεως Ἀβραὰμ δοθήσεται πάντως τὸ τελεῖν ἐν τέκνοις. Οὐκ ἀφοριεῖ τοιγαροῦν τὸν προσήλυτον ἐκ τοῦ λαοῦ αὐτοῦ, τὸν δὲ ἅπαξ προστεθέντα καὶ κεκλημένον ἐν πίστει προσδέξεται, καὶ λαὸν ἅγιον ὀνομάσει. Ἀλλὰ εἴ τις εὐνοῦχός ἐστι, φησίν, τουτέστιν,

D ἄπαις ἢ ἄγονος, μὴ λεγέτω καθ' ἑαυτόν, ὅτι Ἐγώ εἰμι ξύλον ξηρόν, τουτέστι, μὴ λυπείσθω διὰ τὴν ἀπαιδίαν. Οὐδὲν γὰρ τοῦτο παρὰ Θεῷ, οὔτε μὴν ἀπόβλητον ἀποφαίνει. Ὁποῖος γὰρ τρόπος ἀρετῆς, ἢ ποίων κατορθωμάτων λαμπρότης, ἡ πολυπαιδία, Σαρκὸς ἔργα ταυτὶ μώμου τε καὶ ἐπαίνου μακράν. Εἰ γὰρ καὶ δέδοταί τισιν ἐν εὐλογίας τάξει τὸ χρῆμα, καιροῦ καλοῦντος εἰς τοῦτο, ἀλλ' οὐκ ἀδικήσειεν ἂν οὐδὲν τοὺς μὴ λαχόντας αὐτό. Ἐπεὶ ποῖος ἂν γένοιτο καταρρήσεως τρόπος τοῖς τεθνεῶσι πρὸ ὥρας, ἢ πρὸ γάμου καὶ μίξεως, τῶν καθ' ἡμᾶς πραγμάτων ἀποδημήσασιν, οἷς παίδων οὐχ ὑπῆρξε γονή; ὀνήσει δὲ τρόπον τινὰ τοὺς φιλαμαρτήμονας ἐν τῷδε τῷ βίῳ,

[74] Joan. VIII, 39. [74*] Gen. XV, 5 [75] Exod. XXIII, 26. [76] Ose. IX, 11. [77] Isa. IV, 1. [78] Rom. IX, 6-8.

A πολλῶν πατέρας υἱῶν καὶ θυγατέρων; Μηδὲ λεγέτω, φησὶν, ὁ παῖδας οὐκ ἔχων, ὅτι Ἐγώ εἰμι ξύλον ξηρόν. Λυπεῖ δὲ οὐδὲν, μᾶλλον δὲ ἀναγκαῖον εἶναί φημι διαμνημονεῦσαι καὶ νῦν τῶν εὐνουχισάντων ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, οἷς ἂν ἐφαρμόσειέ τις, καὶ μάλα εἰκότως, τὸν ἕν γε τούτοις παρὰ Θεοῦ λόγον. Δώσω γὰρ αὐτοῖς, φησὶν, ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστόν. Οἶκον δὲ καὶ τεῖχος, ἤτοι τὸν περίβολον καὶ ἀσφάλειαν ἀποκαλεῖν ἔοικε τὴν Ἐκκλησίαν, τὴν ἄνω που τάχα καὶ ἐν οὐρανοῖς, ἤγουν τὴν ἐπὶ γῆς, εἰς ἣν διαπρέπουσιν ἄνδρες ἁγνείᾳ καὶ σεμνότητι σύντροφοι, καὶ τὸ τῆς ἐγκρατείας ἀναδούμενοι καύχημα, καὶ πολυπαιδίας κρείττονα τὴν ἐπὶ τούτῳ δόξαν ἡγούμενοι, καὶ τό γε ἧκον εἰς σεμνότητα πολιτείας B εὐνούχων οὐδὲν διαφέροντες. Οὗτοι δέχονται παρὰ Θεοῦ δόξαν αἰώνιον· δηλοῖ δὲ τοῦτο τοὔνομα, καὶ οὐκ ἂν ἐκλείψοι ἐν αὐτοῖς ἡ παρ' αὐτοῦ χάρις· ἐξαίρετα γὰρ τῆς ἐγκρατείας τὰ γέρα, πλὴν οὐχ ἁπλοῖς εὐνούχοις τὴν τῶν οὕτω λαμπρῶν ἀξιωμάτων ἐπαγγέλλεται χορηγίαν, ἀλλὰ τοῖς φυλάττουσι τὰ Σάββατα αὐτοῦ, Χριστοῦ δὲ δηλονότι· ἕτερα δὲ, ὡς ἔφην, τὰ αὐτοῦ Σάββατα παρὰ τοῦ νόμου. Τὰ μὲν γὰρ ἦν ἐν τύποις, τὰ δὲ τῷ τῆς ἀληθείας καταφαιδρύνεται κάλλει. Καὶ ἐπεὶ τοῖς ἐπιλεξαμένοις [ἅπερ] αὐτὸς βούλεται, καὶ ἀντεχομένοις τῆς διαθήκης αὐτοῦ. Βούλεται δὲ Χριστὸς οὐ τὰ ἐν σκιαῖς καὶ γράμματι νομικῶς, ἀλλὰ καὶ τὰ ἐν τῇ διαθήκῃ τῇ παρ' αὐτοῦ· δῆλον δὲ ὅτι τῇ νέᾳ τε καὶ εὐαγγελικῇ.

790 lignum aridum. Nihil autem nocet, imo vero necesse esse dico, ut mentionem faciamus nunc eorum qui se propter regnum cœlorum eunuchos reddiderunt [79], juxta vocem Servatoris: quibus oratio a Deo hoc loco habita non abs re accommodari potest. Dabo enim illis, inquit, in domo mea et intra murum meum locum celebrem. Domum et murum, vel munitionem et securitatem, appellare videtur Ecclesiam, superam et cœlestem, vel hanc quæ in terris versatur: in qua resplendent viri sanctimoniæ et gravitati quasi innutriti, et qui continentiæ corona redimiti sunt, ac gloriam hanc potiorem fecunditate existimant, et quoad gravitatem ac sanctitatem conversationis ab eunuchis nihil differunt. Hi accipiunt a Deo gloriam æternam, hoc enim illustre illis nomen est, illosque gratia ipsius non deficiet. Eximia sunt enim continentiæ præmia. Verum non simpliciter eunuchis hanc adeo illustris dignitatis subministrationem pollicetur, sed observantibus Sabbata ejus, Christi videlicet. Alia vero sunt, uti dixi, ejus Sabbata, quam legis. Hæc namque in typis erant sita, illa veritatis pulchritudine illustrantur. Addit, qui elegerint quæ ipse vult, ac tenuerint testamentum suum. Christus autem vult non quæ in umbris et litteris legalibus consistunt, sed quæ ad testamentum suum pertinent, novum scilicet et evangelicum.

C ***Καὶ τοῖς ἀλλογενέσι τοῖς προσκειμένοις Κυρίῳ δουλεύειν αὐτῷ, καὶ ἀγαπᾷν τὸ ὄνομα Κυρίου, τὸ εἶναι αὐτῷ εἰς δούλους καὶ δούλας, καὶ πάντας τοὺς φυλασσομένους τὰ Σάββατά μου μὴ βεβηλοῦν, καὶ ἀντεχομένους τῆς διαθήκης μου, εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου, καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου. Τὰ ὁλοκαυτώματα αὐτῶν, καὶ αἱ θυσίαι αὐτῶν ἔσονται δεκταὶ ἐπὶ τὸ θυσιαστήριόν μου. Ὁ γὰρ οἶκός μου οἶκος προσευχῆς προσκληθήσεται πᾶσι τοῖς ἔθνεσιν, εἶπε Κύριος ὁ συνάγων τοὺς διεσπαρμένους Ἰσραήλ.***

VERS. 6-8. *Et alienis, qui addicti sunt Domino, servire ei, et diligere nomen Domini, ut sint ei in servos et ancillas, et quicunque custodiunt Sabbata mea, ne profanent ea, et qui tenent testamentum meum, inducam eos in montem sanctum meum, et exhilarabo eos in domo orationis meæ: holocausta eorum et victimæ eorum erunt acceptabiles super altare meum. Domus enim mea domus orationis vocabitur cunctis gentibus, dicit Dominus, qui congregat dispersos Israel.*

Συναπτέον τοῖς ἀνόπιν καὶ ταῦτα, ἵν' ᾖ τοιοῦτον τὸ λεγόμενον· Τάδε λέγει Κύριος τοῖς εὐνούχοις, καὶ τοῖς ἀλλογενέσι τοῖς προσκειμένοις Κυρίῳ δουλεύειν αὐτῷ. D Οὐκοῦν διαλέγεται τοῖς ἐξ ἐθνῶν, καὶ οὔτι που μόνοις τοῖς ἐξ αἵματος Ἰσραὴλ, οἳ τὴν ὀφρὺν ἀνασπῶντες ὑψηλὴν κατεπεφύοντο τῶν ἀλλογενῶν, μερίδα καὶ κλῆρον Θεοῦ καὶ λαὸν ἅγιον ἑαυτοὺς ὀνομάζοντες· φάσκοντες τὸ, «Μακάριοί ἐσμεν Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν ἐστι.» Πρόδηλον οὖν, ὅτι οὐ σαρκικῆς εὐγενείας δύναμις συνάπτει Θεῷ· οὐ γὰρ ὅτι γεγόνασιν ἐξ Ἀβραὰμ, κλῆρος Θεοῦ μεμενήκασι, καταλογισθεῖεν δ' ἂν εἰς λαὸν αὐτοῦ διὰ συναφείας τῆς πνευματικῆς οἱ αὐτῷ προσκείμενοι, κἂν εἴ τινες εἶεν ἀλλογενεῖς, προσκείμενοι δὲ διὰ πίστεώς τε, καὶ τὴν ὑπ' αὐτῷ δουλείαν ἡγεῖσθαι καύχημα, καὶ ἀγαπᾷν τὸ ὄνομα αὐτοῦ· ἀγαπᾷν δὲ

Adnectenda sunt hæc quoque superioribus, ut tale quid dicatur: Hæc dicit Dominus eunuchis, et alienigenis, addictis Domino, ut serviant ei. Habet ergo sermonem cum gentibus, non cum solis Israelitis, **791** qui altum supercilium erigebant, et alienigenas impetebant, se portionem et sortem Dei, et populum sanctum nominantes, ac dictitantes: «Beati sumus Israel, quia quæ sunt accepta Domino, nota sunt nobis [80].» Constat ergo carnalis nobilitatis virtutem nos Deo non conjungere; nec enim quod nati sunt Abrahamo, sors Dei manserunt; sed populo Dei annumerandi sunt, qui spirituali copula ipsi adhærent, etiamsi alienigenæ sint, modo per fidem ei sint addicti, ejusque servitutem gloriæ sibi ducant, ac nomen ejus diligant, et ita diligant, ut per submissionem in omnibus, regni illius jugum semper

[79] Matth. XIX, 12. [80] Baruch. IV, 4.

subeant, non ad ea quæ fas non est digredientes, A nec præcipiti impetu ad alienorum deorum cultum recurrentes, sed fixam ac immotam mentem habentes, et ita Sabbata ejus, videlicet Christi, observantes, ut ea non violent. Sabbatum enim colunt Judæi ex legis præscripto, carnem omni labore vacuam servantes, et otium velut in negotiis corporalibus agentes. Sed hic sabbatismus a Deo rejectus est. Qui vero in requiem Christi ingreditur, et mente sabbatizat, a suis feriatur operibus. Sic nimirum scribit sapientissimus Paulus. Itaque inducturum se pollicetur alienigenas in montem suum sanctum, et lætitia affecturum in domo orationis suæ. Hic mihi vide, umbram legis eversam esse, et litteræ vetustatem jam inefficacem quodammodo. Omnia enim B facta sunt in Christo nova; præterierunt vetera [91]. Vetuit lex alienigenas domum Dei ingredi; nam ait: « Non intrabit Ammonita et Moabita in Ecclesiam Domini [92]. » At universorum Servator et Dominus, rebus nostris in novitatem spiritualem commutatis, alienigenas in domum sanctam suam inducturum se pollicetur. Montem enim sanctum nullum alium esse dicit quam suam Ecclesiam: in quam ingressi, exhilarantur, donis ejus affluentes, et spe sanctorum ditati. Quod autem pure et integre versaturi sint, et Deum universorum placabilem ac propitium habituri, significavit inquiens: « Holocausta eorum et victimæ eorum erunt acceptabiles **792** super altare meum. » Oratio autem hæc tanquam ab exemplo et typo legalis cultus sumpta est. Nam olim arietes et C hircos incendere, ac sacrificia offerre solebant Israelitæ. Sed quoniam, ut dixi, umbra transiit, non per sanguines aditum sibi faciunt, ex gentibus vocati; sed veluti seipsos Deo sacrificant, mundo morientes, justitiæ viventes, sicut scriptum est [92*]. Erunt autem accepti, et in odorem suavitatis, tum hi qui totam quasi vitam sanctam reddunt, velut holocaustomata, tum etiam hi qui particulare sacrificium offerunt: qualis est vita eorum qui nuptias in Domino contraxerunt, divisi quodammodo Deo et mundo. Animantia enim in sacrificium seu hostiam oblata, non integra, sed dimidia vel ex parte aris imponebantur. Accepti sunt ergo alienigenæ, seipsos in fragrantiam spiritualem offerentes. Quod autem D non solis Israelitis tributum sit divinum templum, seu domus orationis Dei qui est supra omnes, sed omnibus per orbem terrarum, conversione et fide ad agnitionem ipsius vocatis patefactum, perspicuum facit, inquiens: Domus mea domus orationis vocabitur omnibus gentibus. Quis est ergo qui hæc promisit? Num divinus propheta Isaias, velut ex sua sententia? Minime. Dixit enim Dominus, inquit, qui congregat dispersos Israel. Hæ sunt igitur orationes, hæ voces commiserantis. Natura enim bonus cum sit, omnes homines salvos fieri vult, et ad agnitionem veritatis venire [92**]. Cæterum clementiæ magnitudinem non in solis gentibus apparuisse

A οὕτως ὡς διὰ τῆς εἰσάπαν ὑποταγῆς τῆς αὐτοῦ βασιλείας ὑποτρέχειν ἀεὶ τὸν ζυγὸν, μὴ ἐξισταμένους ἐφ' ἃ μὴ θέμις, μήτε μὴν εὐπαραφόρως ἔχοντας εἰς τὸ ἑλέσθαι παλινδρομεῖν, ἐπί γε τὸ δεῖν προσκεῖσθαι θεοῖς ἑτέροις, ἐρηρεισμένην δὲ μᾶλλον καὶ ἀκράδαντον ἔχοντας διάνοιαν, οὕτω τε φυλασσομένους τὰ Σάββατα αὐτοῦ, ὥστε μὴ βεβηλοῦν αὐτὰ, Χριστοῦ δὲ δηλονότι. Σαββατίζουσι γὰρ Ἰουδαῖοι κατὰ τὸν νόμον, τὴν σάρκα τηροῦντες ἔξω πόνου παντὸς, καὶ ἀργίαν ἐπιτηδεύοντες τὴν ὡς ἐν ἔργοις σωματικοῖς. Ἀλλ' ὁ τοιοῦτος σαββατισμὸς ἀπόβλητος ἦν παρὰ Θεῷ· ὁ δὲ εἰσελθὼν εἰς τὴν κατάπαυσιν τοῦ Χριστοῦ, καὶ νοητῶς σαββατίζων, κατέπαυσεν ἀπὸ τῶν ἰδίων ἔργων. Γράφει γοῦν οὕτως ὁ πάνσοφος Παῦλος. Τοὺς νῦν ἀλλογενεῖς εἰσάξειν ἐπαγγέλλεται εἰς τὸ ὄρος τὸ ἅγιον B αὐτοῦ, καὶ κατευφραίνειν αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς αὐτοῦ. Ἐνταῦθά μοι βλέπε τὴν τοῦ νόμου σκιὰν ἀνατετραμμένην, καὶ τὴν παλαιότητα τοῦ γράμματος ἀπρακτοῦσαν ἤδη πως. Πάντα γὰρ γέγονεν ἐν Χριστῷ καινὰ, τὰ ἀρχαῖα παρῆλθεν. Ἀπέφησε μὲν ὁ νόμος τοῦ δεῖν εἰς οἶκον ἰέναι Θεοῦ τοὺς ἀλλογενεῖς· ἔφη γάρ· « Οὐκ εἰσελεύσεται Ἀμμονίτης καὶ Μωαβίτης εἰς Ἐκκλησίαν Κυρίου. » Ὁ δέ γε τῶν ὅλων Σωτὴρ καὶ Κύριος εἰς καινότητα τὴν πνευματικὴν τὰ καθ' ἡμᾶς μεθιστὰς, εἰσάξειν εἰς τὸν οἶκον τὸν ἅγιον ἑαυτοῦ κατεπαγγέλλεται τοὺς ἀλλογενεῖς. Ὄρος γὰρ ἅγιον οὐδὲν ἕτερον εἶναί φησι, πλὴν ὅτι τὴν ἑαυτοῦ Ἐκκλησίαν, εἰς ἣν εἰσελάσαντες κατευφραίνονται τοῖς παρ' αὐτοῦ χαρίσμασιν, ἐντρυφῶντες δηλονότι, C καὶ τὴν τῶν ἁγίων πλουτοῦντες ἐλπίδα· ὅτι δὲ πολιτεύσονται καθαρῶς, εὐμενῆ τε καὶ ἵλεω τὸν τῶν ὅλων ἕξουσι Θεὸν, διαμεμήνυκεν εἰπὼν, ὅτι Τὰ ὁλοκαυτώματα αὐτῶν, καὶ αἱ θυσίαι αὐτῶν ἔσονται δεκταὶ ἐπὶ τὸ θυσιαστήριόν μου. Γέγονε δὲ ὁ λόγος ὡς ἐκ παραδείγματος καὶ τύπου τῆς κατὰ νόμον λατρείας. Πάλαι μὲν γὰρ κριοὺς καὶ ταύρους ὁλοκαυτοῦν ἔθος ἦν τοῖς ἐξ Ἰσραὴλ, θυσίας τε προσάγειν. Ἐπειδὴ δὲ, ὡς ἔφην, παρελήλακεν ἡ σκιὰ, οὐ τὴν δι' αἱμάτων ποιοῦνται πρόσοδον οἱ ἐξ ἐθνῶν κεκλημένοι, ἀλλ' οἷον ἑαυτοὺς ἱερουργοῦσι τῷ Θεῷ, κόσμῳ μὲν ἀποθνήσκοντες, ζῶντες δὲ τῇ δικαιοσύνῃ, καθὰ γέγραπται. Ἔσονται δὲ δεκτοὶ, καὶ εἰς ὀσμὴν εὐωδίας, οἱ μὲν ὅλην ἑαυτῶν τὴν ζωὴν ὥσπερ ἱερὰν ἀποφαίνοντες, ὡς ἐν τάξει νοεῖσθαι τῶν ὁλοκαυτωμάτων· οἱ δὲ ὡς D θυσίαν μερικὴν, ὁποία τίς ἐστιν ἡ τῶν ἐν Κυρίῳ γεγαμηκότων ζωὴ, μεμερισμένων τρόπον τινὰ Θεῷ τε καὶ κόσμῳ. Τὰ γὰρ εἰς θυσίας προσφερόμενα τῶν ζώων οὐχ ὁλόκληρα τοῖς θυσιαστηρίοις ἐνατετίθετο μᾶλλον, ἀλλ' ἐξ ἡμισείας, ἤγουν ἐκ μέρους. Δεκτοὶ τοιγαροῦν οἱ ἀλλογενεῖς, ἑαυτοὺς ἀνατιθέντες εἰς εὐοσμίαν πνευματικήν. Ὅτι δὲ οὐχὶ μόνοις τοῖς ἐξ Ἰσραὴλ ὁ θεῖος ἐκνενέμηται νεὼς, ἤγουν ὁ οἶκος τῆς προσευχῆς τοῦ ἐπὶ πάντας Θεοῦ, αἰνεῖται δὲ μᾶλλον τοῖς ἀνὰ πᾶσαν τὴν γῆν δι' ἐπιστροφῆς καὶ πίστεως καλουμένοις εἰς ἐπίγνωσιν αὐτοῦ, καθίστησιν ἐναργὲς εἰπὼν, ὅτι Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσι. Τίς οὖν ἄρα ἐστὶν ὁ ταῦτα

[91] II Cor. v, 17. [92] Deut. xxiii, 3. [92*] Conf. Galat. vi, 14; I Petr. ii, 24. [92**] I Tim. ii, 4.

προϋπισχνούμενος; Ἀρ' ὁ θεσπέσιος προφήτης Ἡσαΐας ὡς ἀπὸ γνώμης ἰδίας; Οὐ μὲν οὖν. Εἶπε γὰρ ὁ Κύριος, φησὶν, ὁ συνάγων τοὺς διεσπαρμένους Ἰσραήλ. Οὗτοι τοιγαροῦν οἱ λόγοι, καὶ τοῦ κατοικτείροντος αἱ φωναί· φύσει γὰρ ὑπάρχων ἀγαθὸς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Πλὴν ὅτι τὸ τῆς ἡμερότητος μέγεθος οὐκ ἐπὶ μόνοις ὤφθη τοῖς ἐξ ἐθνῶν, ἐπιλάμψαντος τῷ κόσμῳ Χριστοῦ, ἀλλὰ γὰρ καὶ ἐπὶ τοὺς ἐξ αἵματος Ἰσραὴλ, σαφὲς ἂν γένοιτο διειπόντος αὐτοῦ τὸ, Εἶπεν ὁ Κύριος ὁ συνάγων τοὺς διεσπαρμένους Ἰσραήλ. Ἦσαν οὖν ἄρα καὶ αὐτοὶ κατεσκεδασμένοι, καὶ οὐχὶ μᾶλλον σωματικῶς, ἤγουν ἔξω που τῆς Ἰουδαίας ἀπενηνεγμένοι, καὶ εἰς πόλεις ὄντες ἑτέρας ἢ χώρας, ἀλλ' ὡς τῆς ἐννόμου πολιτείας ἀποφοιτήσαντες, καὶ τῆς εἰς Θεὸν ἀγάπης ἀποπηδήσαντες· οὐ γὰρ τετηρήκασι τὴν δοθεῖσαν ἐντολήν· εὑρήσομεν δὲ πλεισταχοῦ, καὶ ταῖς τῶν εἰδώλων θεραπείαις προσνενευκότας αὐτοὺς, καὶ χείλεσι μὲν τιμῶντας Θεὸν, ἀπεσχοινισμένην δὲ αὐτῶν τὴν διάνοιαν ἔχοντας, καὶ μάτην αὐτὸν σεβομένους, διδάσκοντάς τε διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Οὐκοῦν μὴ καυχάσθω τῶν ἀλλογενῶν ὁ δυσάγωγος Ἰσραήλ· ἠλέηνται γὰρ ἐν ἴσῳ τρόπῳ καὶ αὐτοὶ παρὰ Θεοῦ· κατελήφθησαν γὰρ, οὐκ ἀκράδαντον ἔχοντες τὸ γνήσιον, οὔτε μὴν ἀμώμητον εἰσάπαν τὸ εὐπαθὲς, κατεσκεδασμένοι δὲ μᾶλλον καὶ ἐσπαρμένοι, καθάπερ ἔφην ἀρτίως.

A postquam mundo Christus illuxerat, sed etiam ex sanguine Israelitico oriundis, planum esse potest, ipso dicente : Dixit Dominus qui congregat dispersos Israel. Erant proinde et hi dissipati, non solum corpore tenus extra Judæam abducti, et ad alias civitates seu regiones evagati, sed tanquam qui a vita justa recesserant, et a dilectione in Deum resilierant. Non enim mandatum sibi datum servarunt : at sæpenumero eos inveniemus et in idolorum cultum prolapsos esse, et labiis Deum honorare, animum autem alienatum **793** habere, ac eum frustra colere, doctrinasque et præcepta hominum docere. Ne itaque glorietur contra alienigenas refractarius Israel. Æqualem enim a Deo misericordiam et ipsi consecuti sunt; atque deprehensi sunt illi B non satis ingenui ac stabiles, nec in omni genere obedientiæ inculpabiles, sed dissipati ac sparsi, quemadmodum jam dixi.

Ὅτι συνάξω ἐπ' αὐτὸν συναγωγήν. Πάντα τὰ θηρία τὰ ἄγρια, δεῦτε, φάγετε, πάντα τὰ θηρία τοῦ δρυμοῦ. Ἴδετε ὅτι πάντες ἐκτετύφλωνται, καὶ οὐκ ἔγνωσαν φρονῆσαι. Πάντες κύνες ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν, ἐνυπνιαζόμενοι κοίτην, φιλοῦντες νυσταγμὸν, καὶ ὡς κύνες ἀναιδεῖς τῇ ψυχῇ, οὐκ εἰδότες πλησμονὴν, καὶ εἰσὶ πονηροὶ οὐκ εἰδότες σύνεσιν, πάντες ἐν ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν, ἕκαστος κατὰ τὸ αὐτό.

Διχῇ τοῖς γεγραμμένοις προσβαλεῖς· ἢ γὰρ θηρία, φησὶν, ἀτίθασσά τε καὶ ἀνήμερα, τοὺς ἐξ ἐθνῶν, ἅτε δὴ καὶ ὑπὸ τυράννῳ τεθραμμένα τοιούτῳ, τῷ διαβόλῳ φημὶ, καὶ οἷον ἐκτεθηριωμένοι, καὶ ζῶντες οὐκ ἀνθρωπίνως· ἤγουν θηρία καλεῖν ἔοικε τοὺς καταδηώσαντας τὸν Ἰσραὴλ, καὶ ὅλῳ τῷ στόματι φαγόντας αὐτὸν διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν. Καὶ εἰ μὲν τῶν ἐθνῶν ὡς θηρίων διαμέμνηται, φαμὲν αὐτοῖς προσπεφωνῆσθαι παρὰ Θεοῦ τὸ, Δεῦτε, φάγετε. Σημαίνει δὲ τοῦτο πᾶσαν αὐτοῖς ἀμφιλαφίαν δεδόσθαι παρ' αὐτοῦ τῶν ἱερῶν χαρισμάτων, καὶ παρατεθεῖσθαι τράπεζαν τὴν ζωοποιόν· κατεδηδόκασι γὰρ καὶ αὐτοὶ τὸν ἄρτον τῆς ζωῆς, μέτοχοι γὰρ γεγόνασι τοῦ Χριστοῦ, καὶ σύσσωμοι τῶν ἁγίων, ὥστε καὶ χαίροντας λέγειν· « Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν, ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν. » Ἔφη δὲ καὶ δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Φάγετε, πίετε, καὶ μεθύσθητε, οἱ πλησίον. » Μακρὰν γὰρ ὄντες Θεοῦ γεγόνασιν ἐγγὺς διὰ τῆς πίστεως, οἱ ποτὲ πλανώμενοι καὶ τῆς ἱερᾶς ἐμπέπληνται τροφῆς· γέγραπται γὰρ, ὅτι « Ἄρτος στηρίζει καρδίαν ἀνθρώπου. » Εἰ δὲ δὴ θηρία νοοῖντο πρὸς

VERS. 9-12. *Quia congregabo ad eum congregationem, Omnes bestiæ feræ, venite, comedite, omnes feræ sylvæ. Videte quia omnes excæcati sunt, non norunt sapere. Omnes canes muti, non valentes latrare, somniantes in lecto, amantes dormitationem, et quasi canes impudentes, animo nescientes satietatem : et mali sunt, nescientes intelligentiam :*
C *omnes vias suas secuti sunt, unusquisque in unum et idem.*

Dupliciter intelligas quæ scripta sunt. Vel enim feras indomitas et immites appellat gentes, utpote sub tali tyranno, diabolo, inquam, educatas, et quasi efferatas, ac non humano more viventes : vel dicere videtur feras eos qui Israelem vastarunt, et propter impietatem in Christum toto ore devorarunt. Si gentium ut ferarum meminit, dicimus illis hoc dictum esse a Deo : Venite, comedite : quo omnem sanctorum charismatum affluentiam illis datam esse significat, et mensam esse appositam quæ vivificat. Ederunt enim et ipsi panem vitæ : nam
D panis Christi participes facti sunt, et ejusdem cum sanctis corporis, adeo ut gaudentes dicant : « Dominus pascit me, et nihil mihi deerit, in loco pascuæ ibi me collocavit. Super aquam refectionis educavit me, animam meam convertit. Parasti in conspectu meo mensam [83]. » Dixit etiam per unum e sanctis prophetis : « Edite, bibite, et inebriamini, vicini [84]. » Qui enim procul aberant a Deo, propinqui per fidem facti sunt : qui quondam errabant, et sacro cibo repleti sunt. Scriptum enim est : « Panis roborat cor hominis [84*]. » Sin feræ intelligantur a nobis, qui devorant Israelem, illud : Venite, edite, est tantum non objicientis illis eos qui impie egerunt, quibusque

[83] Psal. XXII, 1-5. [84] Cant. V, 1. [84*] Psal. CIII, 15.

merito contigit ut id patiantur, quippe **794** qui principem vitæ interfecerunt, fidem non admiserunt, ac longe abacti sunt qui prope erant, nec amplius Dei populus, sed odio habiti sunt, utpote dominicidæ. Ne autem sine causa punire videatur Deus, et de re nihili pœnas exigere, statim illis crimina apponit, quibus implicati, dati sunt in exitium hostibus, vel in esum bestiis. Videte enim, inquit, quia omnes excæcati sunt, non norunt sapere. Vere enim cæci Israelitæ fuerunt, et præ aliis maxime Scribæ ac Pharisæi, et præfecti Synagogæ. Nec enim veram lucem admiserunt, nec Christum scire voluerunt, licet aperte clamantem, nunc: « Ego sum lux mundi [84***]; » nunc iterum: « Ego lux in mundum hunc veni: qui sequitur me, in tenebris non ambulabit, sed habebit lucem vitæ [85]. » Cum ergo liceret, fide suscepta, luce ditari, id quidem non fecerunt, ut et propheta inquit: Exspectantibus illis lucem, factæ sunt tenebræ: et exspectantes splendorem, in caligine versati sunt. Et ipse Servator dixit de illis et de populo illorum manui commisso: « Cæci sunt, et cæcorum duces [85*]. » Omnes igitur, inquit, excæcati sunt, neque sapere norunt. Erat enim vere hominum prudentum et intelligentium, celeriter præsens salutis tempus apprehendere. Ad quod et divinus David eos cohortatus est, dicens: « Apprehendite disciplinam, ne quando irascatur Dominus, et pereatis a via justa, cum cito exarserit furor ejus in vos [86**]. » Quoniam vero hanc per Christum disciplinam non apprehenderunt, exarsit in eos furor, et de via justa perierunt, id est, alieni facti sunt a conversatione evangelica, per quam et quidem solam modus justitiæ Deo gratæ elucet. Præterquam quod, inquit, cæci sint, etiam canes muti erant, non valentes latrare, somniantes in lecto, dediti somno. De illis velut ab exemplo manifesto verba facit. Qui enim gregem sequuntur canes, undique circumeuntes semper, nec somno nec dormitatione vincuntur. Si quod enim animal efferatum conspiciatur, allatrant fortiter, et omnibus viribus a pecore arcere satagunt, atque hoc eorum est officium. Hos imitari necesse est gregis **795** ratione præditi præfectos, duces videlicet et doctores, ut curam habeant subditorum, et omnibus modis eos abigant, qui injuriam parant, quique a dilectione in Deum abducunt, persuadentes reverentiam quæ erga illum habenda est, parvi facere, et ad quod ipsis placet attrahentes. Sed tales esse nolebant Judaicæ Synagogæ præpositi: imo canes erant muti, dormitationem amantes, et in lecto somniantes. Etenim licet populo suo utilia præcipere, ac contra docentium impetus propulsare deberent, id quidem non præstiterunt, sed ipsi potius eos in voraginem interitus præcipitarunt. Quod docebit universorum Deus, inquiens: « Sacerdotes tui non dixerunt: Ubi est Dominus? et qui tenent legem meam, non sciverunt me, ac pastores in me egerunt impie, et prophetæ

A ἡμῶν οἱ καταφαγόντες τὸν Ἰσραὴλ, τὸ Δεῦτε, φάγετε, μονονουχὶ παραῤῥιπτοῦντός ἐστιν αὐτοῖς τοὺς ἠσεβηκότας, καὶ οἷς τὸ παθεῖν πρέπει, καὶ μάλα εἰκότως· ἀπεκτόνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς, τὴν πίστιν οὐ προσηκάμενοι, καὶ γεγόνασι μακρὰν οἱ ἐγγὺς, καὶ λαὸς οὐκέτι Θεοῦ, κατεστυγημένοι δὲ μᾶλλον ὡς Κυριοκτόνοι. Ἵνα δὲ μὴ φαίνηται Θεὸς κολάζων εἰκῆ, καὶ δίκας αἰτῶν τὰς ἐπ' οὐδενὶ, παρατίθησιν εὐθὺς τὰς αἰτίας, αἷς δὴ καὶ ἔνοχοι γεγονότες δέδονται πρὸς ὄλεθρον τοῖς ἐχθροῖς, ἤτοι τοῖς θηρσὶ πρὸς κατάβρωμα. Ἴδετε γὰρ, φησὶν, ὅτι πάντες ἐκτετύφλωνται, οὐκ ἔγνωσαν φρονῆσαι. Τυφλοὶ γὰρ ὄντως οἱ ἐξ Ἰσραὴλ, μάλιστα δὲ τῶν ἄλλων οἱ Γραμματεῖς τε καὶ οἱ Φαρισαῖοι, καὶ οἱ καθηγεῖσθαι λαχόντες τῆς Συναγωγῆς. Οὐ γὰρ παρεδέξαντο φῶς τὸ ἀληθινὸν, B οὔτε μὴν ἠθέλησαν γνῶναι Χριστὸν, καίτοι βοῶντα σαφῶς· ποτὲ μὲν, ὅτι « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, » ποτὲ δὲ πάλιν, « Ἐγὼ φῶς εἰς τὸν κόσμον τοῦτον ἐλήλυθα· ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. » Ἐξὸν οὖν ἄρα καταπλουτῆσαι τὸ φῶς προσηκαμένους τὴν πίστιν, τοῦτο μὲν οὐ πεπράχασιν, ὡς δὲ ὁ προφήτης φησὶν, Ὑπομεινάντων αὐτῶν φῶς, ἐγένετο αὐτοῖς σκότος, μείναντες αὐγὴν ἐν ἀωρίᾳ περιεπάτησαν. Ἔφη δὲ καὶ αὐτὸς ὁ Σωτὴρ περί τε αὐτῶν καὶ τῶν ὑπὸ χεῖρα λαῶν, ὅτι « Τυφλοί εἰσι καὶ τυφλῶν ὁδηγοί. » Ἅπαντες τοίνυν ἐκτετύφλωνται, φησὶ, καὶ οὐκ ἔγνωσαν φρονῆσαι. Καὶ γὰρ ἦν κατὰ τὸ ἀληθὲς ἀνδρῶν ἐμφρόνων καὶ συνετῶν, τὸ ἐπιδράξασθαι γοργῶς τοῦ τῆς σωτηρίας παρόντος καιροῦ· προέτρεπε γοῦν αὐτοὺς C εἰς τοῦτο λέγων ὁ θεσπέσιος Δαβίδ· « Δράξασθε παιδείας μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας, ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ ἐφ' ὑμᾶς. » Ἐπειδὴ δὲ οὐκ ἐπεδράξαντο τῆς διὰ Χριστοῦ παιδείας, ἐξεκαύθη κατ' αὐτῶν ὁ θυμὸς, καὶ ἀπολώλασιν ἐξ ὁδοῦ δικαίας, τουτέστιν, ἔξω γεγόνασι πολιτείας εὐαγγελικῆς, δι' ἧς καὶ μόνης οἱ τῆς ἀρεσκούσης Θεῷ δικαιοσύνης ἐκλάμπουσι τρόποι. Πρὸς δέ γε τὸ εἶναι τυφλοὶ, φησὶ, καὶ κύνες ἦσαν ἐννεοὶ, οὐ δυνάμενοι ὑλακτεῖν, ἐνυπνιαζόμενοι κοίτην, φιλοῦντες νυσταγμόν· ὡς ἐκ παραδείγματος ἐναργοῦς τοὺς περὶ αὐτῶν ποιεῖται λόγους. Οἱ μὲν γὰρ ταῖς ποίμναις ἑπόμενοι κύνες κύκλῳ περινοστοῦντες ἀεὶ, κρείττους εἰσὶ καὶ ὕπνου καὶ νυσταγμοῦ. Εἰ γάρ πού τι τῶν ἀτιθάσσων ὀφθείη θηρίων, D καθυλακτοῦσιν εὐτόνως, καὶ παντὶ σθένει χρώμενοι τῶν θρεμμάτων ἀποσοβεῖν ἐπείγονται, καὶ τοῦτο ἔργον αὐτοῖς. Τούτοις ἐοικέναι χρὴ τοὺς τῶν λογικῶν ποιμνίων προεστηκότας, καθηγητὰς δηλονότι καὶ διδασκάλους, ὥστε κήδεσθαι καὶ τῶν ὑπεζευγμένων, καὶ ἀπελαύνειν τοὺς καθ' ὀντιναοῦν τρόπον ἀδικεῖν ἐθέλοντας, καὶ ἀποφέροντας μὲν τῆς εἰς Θεὸν ἀγάπης, κατολιγωρεῖν ἀναπείθοντας τῆς εἰς αὐτὸν αἰδοῦς, εἰς δὲ τὸ αὐτοῖς δοκοῦν ἁρπάζοντας. Ἀλλ' οὐκ ἤθελον εἶναι τοιοῦτο τῆς Ἰουδαίων Συναγωγῆς οἱ προεστηκότες· μᾶλλον γὰρ ἦσαν κύνες ἐννεοὶ, νυσταγμὸν φιλοῦντες, καὶ κοίτην ἐνυπνιαζόμενοι

[84***] Joan. VIII, 12. [85] Joan. XII, 46. [85*] Matth. XV, 10. [86**] Psal. II, 12, 13.

Καίτοι γὰρ δέον τοῖς ὑπὸ χεῖρα λαοῖς εἰσηγεῖσθαι A τὰ χρήσιμα, καὶ τῶν ἑτεροδιδασκαλεῖν εἰωθότων τὰς ἐφόδους ἀποσοβεῖν, τοῦτο μὲν οὐκ ἔδρων, αὐτοὶ δὲ μᾶλλον αὐτοὺς τοῖς τῆς ἀπωλείας ἐνίεσαν βόθροις. Καὶ τοῦτο διδάξει λέγων ὁ τῶν ὅλων Θεός· « Οἱ ἱερεῖς σου οὐκ εἶπαν· Ποῦ ἐστι Κύριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με, καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμὲ, καὶ οἱ προφῆται ἐπροφήτευον τῇ Βάαλ. » Οὐκοῦν ὥσπερ κύνες καθυλακτεῖν μὲν τῶν ταῖς ποίμναις ἐπηρεαζόντων οὐκ ἤθελον, ἐμιμοῦντο δὲ τῶν κυνῶν τὴν ἀναισχυντίαν, καὶ τὸ μὴ εἰδέναι πλησμονήν. Φιλόπλουτοι γὰρ ὄντες, καὶ λημμάτων αἰσχρῶν ἡττώμενοι, καὶ δωροδοκίαις ἐπιγαννύμενοι παρηνόμουν, οἳ καὶ αἰσχυνόμενοι ψῆφον ἄδικον καταφέροντες ἔσθ' ὅτε τῶν ἀδικούντων μηδὲν, δικαιοῦντες δὲ τὸν ἀσεβῆ, οὐ γὰρ ᾔδεισαν πλησμονὴν, τουτ- B έστι, κόρον λημμάτων αἰσχρῶν δηλονότι· καὶ ἐπὶ τούτοις αὐτοὺς καὶ αὐτὸς ὁ Σωτὴρ ᾐτιᾶτο λέγων· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ ἄνηθον, καὶ Τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸν ἔλεον καὶ τὴν πίστιν. » Ἔφη δὲ περὶ αὐτῶν καὶ ὁ θεσπέσιος προφήτης Ἡσαΐας· « Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως, ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη, νῦν δὲ φονευταί; Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. » Ναὶ μὴν καὶ ὁ θεσπέσιος Ἀββακοὺμ, ἐπ' αὐτῷ δὴ τούτῳ, μονονουχὶ καὶ δεδακρυμένως, προσεφώνει C πρὸς Θεόν· « Ἕως τίνος, Κύριε, Κύριε, κράξομαι καὶ [οὐκ] εἰσακούσῃ; βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; Ἱνατί μοι ἔδειξας κόπους, καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν, καὶ ἀσέβειαν; ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. Ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρίμα διεστραμμένον. » Οὐκοῦν τὸ μὲν φιλογρήγορον τῶν ἐν ἀγέλαις κυνῶν ζηλοῦν οὐκ ἤθελον, ἀπεμιμοῦντο δὲ μόνον αὐτοὺς κατά γε τὸ εἶναι καταφρονητὰς μὲν ἁπάσης αἰδοῦς, ἐγκεῖσθαι δὲ ἀκορέστως ταῖς τῶν λημμάτων συλλογαῖς. Καὶ πρός γε τούτῳ, πονηροὺς αὐτοὺς εἶναί φησι, καὶ οὐκ εἰδέναι σύνεσιν. Οὐκοῦν ἀσύνετος ὁ πονηρός· ἡ γὰρ D σύνεσις πρέποι ἂν μάλιστα τοῖς εἰωθόσιν ἀγαθουργεῖν, πονηρία δὲ φρενὸς ἀπέστω τῆς ἀγαθῆς. Ἴσον γὰρ ἰδεῖν ψώραν τε καὶ ἕλκος ἐν σώματι, καὶ πονηρίαν εἰς νοῦν· ἀσύνετον γὰρ αὐτὸν ἀποφαίνει καταφέρουσα πρὸς σκαιότητα, καὶ ἀποτελοῦσα δύστροπον. Ἐπειδὴ δὲ πονηροὶ γεγόνασι καὶ ἀσύνετοι, ταύτης ἕνεκα τῆς αἰτίας πάντες, φησὶν, ἐν ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν ἕκαστος κατὰ τὸ αὐτό· ἀφέντες γὰρ ὥσπερ τὸ εὐθὺ φέρεσθαι παντὸς ἀγαθοῦ, καὶ τὸ δεῖν ἕπεσθαι τοῖς τεθεσπισμένοις, τοῖς σφῶν θελήμασιν ὅλας ὥσπερ ἀφέντες ἡνίας, ἔπραττον τὸ καθ' ἡδονὴν, καὶ οὐ καθ' ἕνα μόνον, ἀλλὰ γὰρ καὶ κατὰ τὸ αὐτὸ, τουτέστιν, ὁμοῦ καὶ κατὰ πληθύν. Εὑρήσομεν δὲ τοὺς τῶν Ἰουδαίων καθηγητὰς ἔκτοπά

prophetarunt Baal [86]. » Itaque nolebant ceu canes contra infestantes gregem latrare, sed canum impudentiam imitabantur, et voracitatem satietatis nesciam. Nam pecuniæ amantes, et turpi lucro addicti, et munerum largitionibus delectati, legem prævaricati sunt : qui etiam cum pudore interdum injustum calculum ferebant in eos qui injuriam nullam fecerant, impiumque justificabant. Non enim noverunt satietatem, id est, satiari nequibant, turpi quæstu videlicet. His etiam de causis eos accusavit Servator ipse, dicens : « Væ vobis, Scribæ et Pharisæi hypocritæ : decimatis mentham, et anethum, et cuminum, et quæ graviora legis sunt omisistis, judicium, misericordiam et fidem [87]. » De illis autem dixit divinus propheta Isaias : « Quomodo facta est meretrix civitas fidelis, Sion, plena judicio, in qua justitia dormivit, nunc autem homicidæ? Argentum vestrum adulteratum : caupones tui miscent vinum aqua, principes tui non obediunt, socii furum, diligentes munera, persequentes retributionem, orphanis non judicantes, et judicio viduæ non attendentes [88]. » Quin et divinus Abbacum, eadem de re, tantum non illacrymans, appellabat Deum : « Quousque, Domine, Domine, clamabo, et non exaudies? vociferabor ad te, injuria afflictus, et non servabis? Quare mihi ostendisti labores et molestias, ut viderem miseriam et impietatem? Adversum me factum est judicium, et judex accipit. Propterea dissipata **796** est lex, et non deducitur in finem judicium. Impius enim valet contra justum. Idcirco egreditur judicium perversum [89]. » Itaque vigilantiam, quæ est in grege canum, noluerunt æmulari : sed in eo solum imitati sunt, quod sint contemptores omnis verecundiæ, incumbantque prædis coacervandis insatiabiliter. Ad hæc eos malos esse dicit, et nescire intelligentiam. Itaque stultus est malus : nam intelligentia iis convenit maxime qui bene facere solent : at malitia a mente bona absit. Perinde est enim scabiem et ulcus videre in corpore, ac in animo malitiam. Stultum enim ipsum reddit, ad agrestem ruditatem adducens, et ferocem efficiens. Quia vero mali fuerunt et stulti, hinc etiam, Omnes, inquit, vias suas secuti sunt, quisque in unum et idem. Nam cum recta ad omne bonum ferri, et quæ oraculis prodita sunt, sequi desisterent : suæ voluntati totas habenas laxarunt, et fecerunt pro animi sui libidine; nec solum singulatim, sed in unum et idem, id est, simul ac gregatim. Inveniemus enim præfectos Judæorum fœda et divinis legibus dissentientia in collegiis ac consessibus suis et consultasse et fecisse. Ita enim lapsi sunt in dominicidii crimen, et aliis atque aliis modis quisque ad viam suam aversi sunt. Voluptatum enim amantiores erant quam Dei, et vitæ hujus occupationibus magis oblectabantur, vita honesta et præclara in totum neglecta.

[86] Jer. II, 8. [87] Matth. XXIII, 23. [88] Isa. I, 21-23. [89] Habac. I, 2-4.

τε καὶ τοῖς θείοις ἀπᾴδοντα νόμοις, καὶ ἐν συλλόγοις αὐτῶν, καὶ συνεδρίοις βουλευομένους, καὶ πράττοντας. Πεπτώκασι γὰρ οὕτω καὶ εἰς τὰ τῆς Κυριοκτονίας ἐγκλήματα, ἐτράποντο δὲ καὶ ἑτέρως ἕκαστος εἰς τὴν ὁδὸν αὐτοῦ. Φιλήδονοι γὰρ ἦσαν μᾶλλον, ἢ φιλόθεοι, καὶ τοῖς τοῦ παρόντος βίου περισπασμοῖς ἐφήδοντο μᾶλλον, τῆς ἐννόμου τε καὶ ἀρίστης ζωῆς εἰσάπαν ὀλιγωρήσαντες.

Cap. LVII. Vers. 1, 2. *Videte ut justus periit, et nemo excipit corde, et viri justi tolluntur, et nemo animadvertit, A facie enim injustitiæ sublatus est justus. Erit in pace sepultura ejus, sublatus est e medio.*

Cum ostenderit eos canes mutos fuisse, et insatiabili avaritia præditos, his verbis porro demonstrat eos socordes esse et contemptores, adeo ut in extremis flagitiis obdurescerent, et resipiscere ne in animum quidem inducere parati essent. Periit enim justus, inquit, et nemo excipit corde, et homines justi tolluntur, et nemo animadvertit. Quibus verbis subindicare videtur nefarios ausus Judaici gregis contra Christum, **797** et quæcunque fecerunt contra sanctos apostolos. Occiderunt enim Jesum, tantum non propheticum illud clamantes, et dicentes: « Ligemus justum, quia incommodus nobis est[20]; » et quantum ad ipsorum animum consiliumque attinet, periit justus ille, id est, qui peccatum non novit: nec enim justis de causis eum interfecerunt, et viros justos divinum illis et evangelicum sermonem largientes, et ad crudelitatis suæ agnitionem ac resipiscentiam vocantes, in periculum immisericordes adduxerunt. Sublatus hinc est ab illis divinus Stephanus, cum prolixum ad eos sermonem habuisset, et quibus rebus eos illaqueari par erat ad resipiscentiam, his ipsis ad offensionem exacuebantur. Tolluntur ergo, inquit, viri justi, et nemo excipit corde, id est, nemo dignatur animo reponere impietatis magnitudinem. Sublatus est etiam a facie injustitiæ justus, id est, injusti oppugnabant justos, ac mali obtinuerunt contra eum qui non novit delinquere. Erit igitur in pace sepultura ejus, sublatus est de medio. Observa mihi iterum orationis figuram. Scopum enim et propositum eorum qui sustulerunt, non revera ipsius rei exitum ostendit, quasi ita se haberet ut dicitur. Non enim sublatus est de medio Christus: nec hi qui ejus legatione functi sunt, justi etiam ipsi, utpote ab ipso justificati. At quodam modo exterminati sunt e medio, quantum, inquam, ad conatum ac institutum eorum qui occiderunt, attinet. Accusationem autem hanc in omnes occisores cadere et incurrere, et neminem Judæorum extra culpam esse, insinuat, cum inquit: Erit in pace sepultura ejus. Sepulturam vocat mortem. Illud, in pace adjectum insinuat neminem prorsus in tribubus Judaicis, impiis eorum conatibus restitisse, vel se opposuisse, et impie agere volentes increpasse, sed uno omnes consensu et conjunctis animis contra Christum audax hoc facinus suscepisse, et pace inter seipsos facta, eum interfecisse.

A *Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ, καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. Ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος, ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ τοῦ μέσου.*

Ἀποφήνας ὅτι κύνες γεγόνασιν ἐνεοὶ, καὶ ἀκόρεστοι πρὸς φιλοκερδίαν, προσαποδεικνύουσιν ἐν τούτοις ῥαθύμους ὄντας, καὶ καταφρονητὰς, ὡς καὶ ἐπὶ τοῖς ἐσχάτοις τῶν πλημμελημάτων, ἀτέγκτως ἔχειν, καὶ τὸ χρῆναι μετανοεῖν, οὐδὲ εἰς νοῦν βούλεσθαι προθυμουμένους. Ἀπώλετο γὰρ, φησὶν, ὁ δίκαιος, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ, καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. Ἔοικε δὲ διὰ τούτων ὑποδηλοῦν τὰ εἰς Χριστὸν τολμήματα τῆς Ἰουδαίων ἀγέλης, καὶ ὅσα πεπράχασι κατὰ τῶν ἁγίων ἀποστόλων· B ἀπεκτόνασι μὲν γὰρ τὸν Ἰησοῦν, μονονουχὶ τὸ προφητικὸν ἐκεῖνο βοῶντες, καὶ λέγοντες· « Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, » καὶ τό γε ἧκον εἰς τὸν ἐνόντα σκοπὸν αὐτοῖς, ἀπώλετο δίκαιος ὤν, τουτέστιν, οὐκ εἰδὼς ἁμαρτίαν· οὐ γὰρ ἐπ' αἰτίαις εὐλόγοις ἀπεκτόνασιν αὐτὸν, ἄνδρας τε ὄντας δικαίους, τοὺς τὸ θεῖον αὐτοῖς καὶ εὐαγγελικὸν πρεσβεύοντας λόγον, καὶ καλοῦντας εἰς μετάγνωσιν τῆς ἐνούσης αὐτοῖς ὠμότητος, εἰς πεῖραν ἐλθεῖν ἀφιλοικτιρμόνως παρεσκεύασαν. Ἀνῄρηται γοῦν παρ' αὐτοῖς ὁ θεσπέσιος Στέφανος μακρὸν πρὸς αὐτοὺς κατατείνας λόγον, καὶ δι' ὧν ἦν εἰκὸς σαγηνεύεσθαι πρὸς μετάγνωσιν, διὰ τούτων αὐτῶν κατεθήγοντο πρὸς τὸ δυσμενές. Αἴρονται τοίνυν ἄνδρες δίκαιοι, φησὶ, καὶ C οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ, τουτέστιν, εἰς νοῦν ἀξιοῖ βαλέσθαι τῆς δυσσεβείας τὸ μέγεθος· κατηγωνίσαντο τοὺς δικαίους, καὶ κεκρατήκασιν οἱ πονηροὶ τοῦ μὴ εἰδότος πλημμελεῖν. Ἔσται δὴ οὖν ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ· ἦρται ἐκ τοῦ μέσου. Ἄθρει δή μοι πάλιν τοῦ λόγου τὸ σχῆμα· τὸν γάρ τοι σκοπὸν τῶν ἀνῃρηκότων, καὶ οὔτι που πάντως τὸ τοῦ πράγματος οὕτως ἔχον ὡς λέγεται διαδείκνυσι πέρας. Οὐ γὰρ ἦρται ἐκ τοῦ μέσου Χριστὸς, οὔτε μὴν οἱ τὰ αὐτοῦ πρεσβεύοντες, δίκαιοι καὶ αὐτοὶ τυγχάνοντες, ὡς παρ' αὐτοῦ δικαιούμενοι· γεγόνασί γε μὴν οἷον ἐκ μέσου, κατά γέ φημι τὸ τῶν ἀνῃρηκότων ἐγχείρημα· ὅτι δὲ τῶν ἀνῃρηκότων ἁπάντων κατατρέχει τὸ κατηγόρημα, καὶ οὐδεὶς ἦν ἐν τοῖς Ἰουδαίοις, ὃς ἔξω κείσεται τῆς αἰτίας, ὑπέφηνεν, εἰπών· Ἔσται ἐν D εἰρήνῃ ἡ ταφὴ αὐτοῦ. Καὶ ταφὴν μὲν ὀνομάζει τὸν θάνατον, τὸ δὲ, ἐν εἰρήνῃ, προστεθεὶς, ὑπέφηνεν ὅτι οὐδεὶς ἦν ὅλως ἐν τοῖς τῶν Ἰουδαίων τάγμασιν ἀνθεστηκὼς ταῖς ἀνοσίαις αὐτῶν βουλαῖς, ἤγουν ἀντανιστάμενος, καὶ τοῖς ἀνοσιουργεῖν ἐθέλουσιν ἐπιτιμῶν· ἐκ μιᾶς γὰρ ἅπαντες βουλῆς καὶ γνώμης τετολμήκασι κατὰ Χριστοῦ, εἰρηνεύοντές τε πρὸς ἀλλήλους ἀπεκτόνασιν αὐτόν.

[20] Sap. II, 12.

Ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, A *σπέρμα μοιχῶν καὶ πόρνης. Ἐν τίνι ἐνετρυφήσατε; καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν; Οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἄνομον;*

Ἐκ πολλῆς ἄγαν φιλοθεΐας ὁ θεσπέσιος προφήτης ταῖς τῶν Ἰουδαίων ἀθυροστομίαις ἐπιπηδᾷ, καὶ καταλγύνεται λίαν ἐπὶ ταῖς ἀνοσίαις αὐτῶν φωναῖς, ἃς εἰρήκασι κατὰ Χριστοῦ. Διατετελέκασι γὰρ μέχρι παντὸς οἱονεὶ χαλῶντες ἐπ' αὐτῷ τὴν γλῶσσαν, καὶ ὅλοις ὥσπερ ἱστίοις τῆς ἐνούσης ἀνεξικακίας αὐτῷ κατατρέχοντες. Τί γὰρ τῶν ἐκτόπων οὐχ ἄλοιεν ἂν κατειρηκότες αὐτοῦ; Σαμαρείτην, καὶ οἰνοπότην, καὶ ἐκ πορνείας γεγεννημένον ὠνόμαζον αὐτὸν, καὶ δαιμονᾷν ἔφασκον τὸν ἐπιτιμῶντα δαίμοσι, καὶ ἐν Βεελζεβοὺλ ἐργάζεσθαι τὰς θεοσημίας, τὸν συντρίβοντα τὸν B Βεελζεβούλ. Εἶτα τελευτῶντες Πιλάτῳ προσῆγον, καὶ κατηγόρευον αὐτοῦ, τῶν μὲν ἀληθῶν οὐδὲν, ψευδοεπείαις δὲ μᾶλλον καὶ συκοφαντίαις χρώμενοι. Ἔφασκον γὰρ, ὅτι Οὗτος ἀνασείει τοὺς ὄχλους, καὶ κωλύει φόρους διδόναι Καίσαρι· ἕτερα δὲ πρὸς τούτοις, ἃ τῆς αὐτῶν κεφαλῆς τὴν ἄσβεστον καταντλήσει φλόγα. Ἐπὶ τούτοις αὐτοὺς καὶ αὐτὸς ὁ Σωτὴρ ᾐτιᾶτο, λέγων διὰ φωνῆς Ὠσηέ· «Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. Ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ.» Καὶ διά γε τῆς Ἱερεμίου φωνῆς· «Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. Ἐγενήθη ἡ κληρονομία μου C ἐμοὶ, ὡς λέων ἐν δρυμῷ· ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν.» Πρὸς γὰρ ταῖς ἑτέραις συκοφαντίαις, αἷς πεποίηνται κατ' αὐτοῦ, πλεισταχοῦ τετολμήκασιν εἰπεῖν Πιλάτῳ προσάγοντες· «Αἶρε, αἶρε, σταύρου αὐτόν.» Δεδράκασι τοῦτο μάλιστα τῶν ἄλλων τῆς Ἰουδαίων Συναγωγῆς οἱ προεστηκότες. Καίτοι γὰρ εἰδότες, ὅτι αὐτός ἐστιν ὁ κληρονόμος, εἶπον ἐν ἑαυτοῖς· «Δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν αὐτοῖς τὴν κληρονομίαν αὐτοῦ.» Ἀλλ' ἡμάρτανον τῆς ἐλπίδος. Ἀπεκτόνασι μὲν γὰρ, πλὴν οὐ μεμένηκε τῷ θανάτῳ κάτοχος· ἀνεβίω γὰρ, καὶ τὸν ἀμπελῶνα δέδωκε γεωργοῖς ἑτέροις, κακοὺς κακῶς ἀπολέσας τοὺς ἀγνώμονας καὶ Κυριοκτόνους. Ὦ τοίνυν υἱοὶ, φησὶν, ἄνομοι, ὦ σπέρμα μοιχῶν καὶ πόρνης. Καὶ μοιχοὺς μὲν ἐν τούτοις ἀποκαλεῖ τοὺς D καθηγεῖσθαι λαχόντας Γραμματεῖς τε καὶ νομοδιδασκάλους, οἳ μονονουχὶ κατεμοιχῶντο τὴν Συναγωγὴν, καὶ τὰ ἐκ νόμου τοῦ θείου λαλοῦντες αὐτῇ. Παρατρέπονται δὲ μᾶλλον ἐφ' ἃ μὴ θέμις, καὶ διδάσκοντες διδασκαλίαν ἐντάλματα ἀνθρώπων. Πόρνη δὲ εἰκότως ἡ τῶν Ἰουδαίων Συναγωγὴ, τὰ τῶν μοιχωμένων δεχομένη σπέρματα, καὶ τὸν τοῦ πανσόφου Μωσέως ἀθετοῦσα νόμον. Ταύτῃτοι καὶ μάλα εἰκότως υἱοὺς αὐτοὺς ἀποκαλεῖ ἀνόμους. Εἴπατε δὴ οὖν ἐν τίνι, φησὶν, ἐνετρυφήσατε, καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν, καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν

VERS. 3, 4. *Vos autem accedite huc, filii iniqui, semen adulterorum et meretricis. In quo oblectati estis? et super quem aperuistis os vestrum? et in quem laxastis linguam vestram? Nonne vos estis filii perditionis, semen iniquum?*

798 Ex insigni pietatis studio insultat divinus propheta in effrenatam Judæorum petulantiam, et impiis vocibus quas contra Christum dixerunt valde offenditur. Semper enim laxabant velut in eum linguam, et totis quasi velis insectati sunt ejus patientiam. Quid enim fœdum et prodigiosum in eum debacchati non sunt? Samaritanum, vini potorem et ex scortatione natum eum vocabant: et dæmoniacum esse dicebant eum qui increpabat dæmonas: et in Beelzebul operari signa, qui contrivit Beelzebul. Dein ad extremum Pilato adductum accusabant, nihil veri afferentes, sed mendaciis usi et sycophantiis. Dicebant enim: Iste turbam concitat, vetat dare tributa Cæsari, aliaque præterea quæ in ipsorum caput inexstinctam flammam devolvent. De quibus accusavit eos Servator, voce Oseæ dicens: «Væ illis, quia resilierunt a me; miseri sunt, quia impii exstiterunt in me. Ego redemi eos, illi vero oblocuti sunt contra me mendacia [91].» Et voce Jeremiæ: «Dereliqui domum meam, dimisi hæreditatem meam, dedi dilectam animam meam in manum inimicorum ipsius. Facta est hæreditas mea mihi, ceu leo in silva. Edidit contra me vocem suam: propterea odi eam [92].» Nam præter alias sycophantias, quas in illum excogitarunt, sæpenumero accedentes ad Pilatum audebant dicere: «Tolle, tolle, cruci affige eum [93].» Hoc etiam maxime [præ aliis fecerunt Judaicæ Synagogæ proceres. Quamvis enim scirent eum hæredem esse, dixerunt tamen apud sese: «Venite, occidamus eum, et occupemus nobis hæreditatem ejus [94];» sed spe sua frustrati sunt. Occiderunt enim, sed non mansit detentus morte, at revixit, aliisque agricolis dedit vineam, male malos perdens, amentes et dominicidas. O igitur, inquit, filii iniqui, o semen adulterorum et meretricis! Adulteros hic appellat qui præsidebant, Scribas et legis doctores: qui tantum non adulterabant Synagogam, et ei legis præcepta loquentes, sed ad quæ fas non erat detorquentes, et docentes doctrinas mandata hominum. Meretrix autem merito erat Judæorum Synagoga, ut quæ **799** adulterorum semina reciperet, et sapientissimi Mosis legem repudiaret. Hinc eos meritissimo appellat filios iniquitatis. Dicite ergo, inquit, in quo insultastis, et contra quem aperuistis os vestrum, et in quem laxastis linguam vestram? Sæpe, inquit, ludibrio habuistis sanctos prophetas: atqui erant illi germani Dei summi filii, verum et famuli et subditi, et humanæ conditionis: ac in conservos ab ipsis patrata sunt facinora. Nunc autem in quem

[91] Osee, VII, 13. [92] Jer. XII, 7, 8. [93] Joan. XIX, 15. [94] Matth. XXI, 38.

linguam laxavistis? [Non enim prophetis similis fuit, nostræ conditionis famulus, jugo subditus : at ipse Dominus universorum, etsi quidem formam servilem induerit. Filii itaque, inquit, estis ad interitum destinati (1).] Nec enim voluistis recipere Servatorem; et semen iniquum estis : non enim tulistis eum, qui per evangelica oracula vos ad pietatem instituit.

VERS. 5, 7. *Qui vocatis ad idola subter arbores frondosas, immolantes filios vestros in vallibus per medium petrarum. Hæc pars tua, hæc sors tua, et illis effudisti libamina, et illis obtulisti hostias. Propter hæc ergo non irascar? In monte excelso et prealto est cubile tuum, et illuc ascendere fecisti hostias tuas, et post postes ostii tui posuisti memoriam tuam.*

Dominicidas postquam eos esse ostendit, alium morbum patefacit, quod sint osores Dei, et ad cædem faciendam præcipites, nec id novum aut nuperum in illis sit, sed jampridem ac multis retro sæculis eis inoleverit. Vos] enim estis, [inquit, qui superioribus temporibus implorastis idola sub arboribus frondosis. Etsi enim lex Mosaica utilia illis præscriberet et diserte diceret : « Dominum Deum tuum adorabis, et ei soli servies, » eo tamen fatuitatis, vel potius impietatis intolerandæ et immoderatæ prolapsi sunt, ut idolorum architecti fierent, illisque sacra facerent, et exhortarentur ac docerent alios sub arboribus frondosis adorare, et ea divinis honoribus ornare. Quod perspicuum facit universorum Deus voce Jeremiæ, dicens : « Vidisti quæ fecit mihi habitatio Israel. Abierunt ad omnem montem excelsum ; et subtus omne lignum frondosum, et fornicati sunt ibi [95]. » Occupabant enim montium vertices, et lucos florentissimos, et illic aras ac delubra exstruxerunt, et bestias impuris dæmonibus ac libamina **800** obtulerunt, nec suis liberis pepercerunt. Mactavit exempli causa Jechonias filium suum, non diis. Quod etiam Deus ipse per unum e sanctis prophetis dixit, crudelitatem eorum qui talia patrabant demonstrans : « Sacrificate homines, vituli enim defecerunt [96]. » Vos igitur estis, inquit, qui exhortamini ad idola, sub arboribus densis, mactantes liberos vestros in vallibus, per medium petrarum. Quid tum postea? Hæc tua pars, hæc tua sors. Adorasti enim vana, inquit, talem quoque habebis portionem, et sors tibi erit inanis. Vel illud dicere vult : Mactastis liberos vestros, inquit, in vallibus. Illa ergo est tua pars, hæc tua sors : id est, in eadem deducetis mala, eritque pars ac sors tibi mactatio. Quamobrem? Primum quia liberorum exstitisti interfector : deinde quia impuris dæmonibus et inanimis idolis effudisti libamina, illisque obtulisti hostias. Itaque, inquit, nonne ob hoc irascar? nonne

(1) Desiderantur hæc in Græco exemplari.

A ὑμῶν. Πολλὰς πλειστάκις ἐποιήσασθε, φησὶ, λοιδορίας κατὰ προφητῶν ἁγίων, ἀλλ' ἦσαν ἐκεῖνοι, γνήσιοι μὲν τῷ ἐπὶ πάντων Θεῷ, πλὴν οἰκέται, καὶ ὑπεζευγμένοι, καὶ μέτρον ἔχοντες τὸ ἀνθρώπινον καὶ εἰς ὁμοδούλους ἦν τὰ παρ' αὐτῶν πλημμελήματα. Νυνὶ δὲ ἐπὶ τίνα τὴν γλῶσσαν ἐχαλάσατε; Οὐ γὰρ ἠθελήσατε λαβεῖν τὸν σώζοντα· καὶ σπέρμα ἄνομον· οὐ γὰρ ἠνέχεσθε τοῦ καταρυθμίζοντος εἰς εὐσέβειαν διὰ θεσπισμάτων εὐαγγελικῶν.

Οἱ παρακαλοῦντες ἐπὶ τὰ εἴδωλα ὑπὸ δένδρα δασέα, σφάζοντες τὰ τέκνα αὐτῶν ἐν ταῖς φάραγξιν ἀνὰ μέσον τῶν πετρῶν. Ἐκείνη σου ἡ μερὶς, οὗτός σου ὁ κλῆρος, κἀκείνοις ἐξέχεας σπονδὰς, κἀκείνοις ἀνήνεγκας θυσίας. Ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι; Ἐπ' ὄρος ὑψη- B *λὸν καὶ μετέωρον, ἐκεῖ σου ἡ κοίτη, καὶ ἐκεῖ ἀνεβίβασας θυσίας, καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας μνημόσυνόν σου.*

Κυριοκτόνους αὐτοὺς ἀποφήνας, δείκνυσιν ὅτι τὸ μισόθεον αὐτοῖς ἀῤῥώστημα, καὶ τὸ πρόχειρον εἰς μιαιφονίαν, οὐ νέον ἦν ἐν αὐτοῖς, ἀλλὰ γὰρ ἐκ παλαιοῦ καὶ ἄνωθεν ἐνυπάρχον αὐτοῖς. Ὑμεῖς γάρ ἐστε οἱ κατὰ τοὺς ἄνωθεν, φησὶ, καιροὺς παρακαλοῦντες ἐπὶ τὰ εἴδωλα ὑπὸ δένδρα δασέα. Καίτοι γὰρ βραβεύοντος αὐτοῖς τοῦ διὰ Μωσέως νόμου τὰ χρήσιμα, διαῤῥήδην τε λέγοντος, « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, » φρενοβλαβείας εἰς τοῦτο κατώλισθον, μᾶλλον δὲ δυσσεβείας ἀσχέτου καὶ τῆς πέρα μέτρου παντὸς, ὥστε καὶ εἰδώλων γενέσθαι δημιουργοὺς, καὶ ἱερουργεῖν αὐτοῖς, C καὶ παρακαλεῖν, ἤτοι διδάσκειν ἑτέρους ὑπὸ δένδρα δασέα προσκυνεῖν, καὶ τιμαῖς ταῖς θεοπρεπέσιν αὐτὰ στεφανοῦν. Τοῦτο καθίστησιν ἐναργὲς ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς Ἱερεμίου λέγων· « Εἶδες ἃ ἐποίησέ μοι ἡ κατοικία τοῦ Ἰσραήλ· ἐπορεύθησαν ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ ἐπόρνευσαν ἐκεῖ. » Καταλαμβάνοντες γὰρ τὰς τῶν ὀρῶν κορυφὰς καὶ τὰ τῶν ἀλσέων εὐανθέστερα, βωμοὺς καὶ τεμένη κατεσκεύαζον, θυσίας τε καὶ σπονδὰς προσεκόμιζον αὐτόθι, τοῖς ἀκαθάρτοις δαίμοσιν· εἰσὶ δὲ καὶ οἱ τῶν ἰδίων ἀφειδήσαντες τέκνων. Ἔσφαξε γοῦν Ἰεχονίας τὸν ἴδιον υἱὸν τοῖς οὐκ οὖσι θεοῖς. Τοῦτο καὶ αὐτὸς ἔφη που Θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν, τὴν ὠμότητα καταδεικνὺς τῶν τὰ D τοιάδε δρᾷν εἰωθότων· « Θύσατε ἀνθρώπους· μόσχοι γὰρ ἐκλελοίπασιν. » Ὑμεῖς τοίνυν ἐστὲ, φησὶν, οἱ παρακαλοῦντες ἐπὶ τὰ εἴδωλα, ὑπὸ δένδρα δασέα, σφάζοντες τὰ τέκνα αὐτῶν ἐν ταῖς φάραγξιν ἀναμέσον τῶν πετρῶν. Τί οὖν ἐπὶ τούτοις; Ἐκείνη σου μερὶς, οὗτός σου ὁ κλῆρος. Προσκεκύνηκας μὲν γὰρ, φησὶ, τοῖς ματαίοις· ἕξεις δὲ μερίδα τοιαύτην, καὶ κλῆρος ἔσται σοι μάταιος. Ἤγουν ἐκεῖνό που τάχα βούλεται δηλοῦν· Ἐσφάξατε τὰ τέκνα αὐτῶν ἐν ταῖς φάραγξι, φησίν. Οὐκοῦν ἐκείνη σου μερὶς, οὗτός σου ὁ κλῆρος, τουτέστι, τοῖς ἴσοις ἐνσχεθήσῃ κακοῖς, καὶ γενήσεταί σοι μερὶς καὶ κλῆρος ἡ σφαγή. Διὰ ποίαν αἰτίαν; Πρῶτον μὲν ὅτι γέγονας παιδοκτόνος, εἶτα

[95] Jer. III, 6. [96] Ose. XIII, 2.

ὅτι δαίμοσιν ἀκαθάρτοις καὶ ἀψύχοις εἰδώλοις ἐξέχεας σπονδὰς, κἀκείνοις ἀνήνεγκας θυσίας. Ἆρ' οὖν ἐπὶ τούτοις οὐκ ὀργισθήσομαι; φησίν· οὐκ εὐάφορμος καθ' ὑμῶν ὁ θυμὸς, καὶ τὰ τῆς δίκης οὐκ εὔλογον ἔχει τὴν ἀφορμήν; Ἐπ' ὄρος ὑψηλὸν καὶ μετέωρον, ἐκεῖ σου ἡ κοίτη, ἐκεῖ ἀνεβίβασας θυσίας, καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας μνημόσυνόν σου. Ὅτι μὲν οὖν ἐν τοῖς ὄρεσιν ἐκάθευδον ἐνυπνίων ἕνεκα, πλεισταχοῦ διαμεμήνυκεν ὁ προφητικὸς ἡμῖν λόγος. Φασὶ δὲ εἰς τοῦτο πλάνης κατελισθῆσαι τὸν Ἰσραὴλ, ὥστε καὶ ἐν ταῖς θύραις καὶ ἐν τοῖς σταθμοῖς ἐντορνεῦσαι τὰς τῶν εἰδώλων μορφὰς, ἵνα καὶ εἰσβάλλοντες ταῖς οἰκίαις ἔξω τε καὶ βαδίζοντες ὁρῶσιν αὐτὰ, καὶ ἐν ἀτελευτήτοις ἔχωσι μνήμαις. Ἀφιλοθεΐας δὲ τῆς εἰσάπαν ἀπόδειξις ἐναργὴς καταλογισθείη ἂν τὸ χρῆμα αὐτοῖς, καὶ μάλα εἰκότως· ἐκάλουν δὲ τὰ τῶν εἰδώλων ἐντετορ[ν]ευμένα σωτηρίας [al. σωτῆρας] καὶ οἰκουρούς.

A gravis in vos furoris mei causa? et supplicium nonne occasionem habet rationi consentaneam? In monte excelso et præalto est cubile tuum, illuc ascendere fecisti hostias, et post postes ostii posuisti monumentum tuum. Dormivisse nimirum eos in montibus, insomniorum causa, sæpe meminit prophetica oratio. Narrant autem Israelem in eum errorem prolapsum, ut pro foribus et in postibus formas idolorum inciderint, quo introeuntes domum et exeuntes illa viderent, et sempiterna tenerent memoria. Hoc itaque in illis jure optime haberi potest summæ impietatis evidens argumentum. Vocabant autem has idolorum incisas formas servatores, et domorum custodes.

B *Ὤου ὅτι ἐὰν ἀπ' ἐμοῦ ἀποστῇς, πλεῖόν τι ἕξεις. Ἠγάπησας τοὺς κοιμωμένους μετὰ σοῦ, καὶ ἐπλήθυνας τὴν πορνείαν σου μετ' αὐτῶν, καὶ πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ, καὶ ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου.*

VERS. 8, 9. *Putabas, si recesseris a me, plus te habiturum. Dilexisti dormientes tecum, et crebro fornicata es cum eis, et multos fecisti eos qui procul a te, et misisti legatos ultra terminos tuos.*

Ἅπασα μὲν ἔκτοπος ἡδονὴ, καὶ πᾶσα κακία, τὸν ἀνθρώπινον καταγοητεύουσα νοῦν, μονονουχὶ κατεπαγγέλλεται πεῖράν τινα πράγματος ἀγαθοῦ, καὶ ὅτι μεθέξει τῶν οὐ πάλαι διεγνωσμένων, ἔσται δὲ καὶ ἐν ἀμείνοσιν, ἢ πρότερον ἦν. Λαβοῦσα γὰρ οὕτως αἰχμάλωτον, οἷπερ ἂν ἔλοι[ν]το λοιπὸν ἀποφέρει. Ἀλλ' οἱ μὲν ἀσύνετοι, πείρᾳ μαθόντες ἵνα εἰσὶ κακοῦ, μεταφοιτῶσι μόλις ἐπὶ τὸ ἐν ἀρχαῖς· οἵ γε μὴν τοῖς τῆς διανοίας ὄμμασι περιαθροῦντες εὖ μάλα τὸ ἑκάστου πράγματος πέρας, ἀποφορᾶς οὐκ ἀνέχονται· C φυλάττουσι δὲ μᾶλλον ἀπλῆγα, τὸν νοῦν πρὸ πείρας ὁρῶντες τὰ μετὰ ταύτην. Ἀλλ' οὐ τοιαύτη γέγονεν ἡ τῶν Ἰουδαίων Συναγωγή· ἦν μὲν γὰρ ὑπὸ χεῖρα τοῦ πάντα ἰσχύοντος Θεοῦ, καὶ τὴν παρ' αὐτοῦ δόξαν ἠμφιεσμένη, δεινὴ καὶ ἀφόρητος τοῖς ὁμόροις ἦν, καὶ τριπόθητον ἔχουσα τὴν ἐλπίδα, καὶ ἁπάσης εὐημερίας ἔμπλεω[ς]. Ἑπομένη γὰρ τῷ διὰ Μωσέως νόμῳ τῷ φύσει καὶ ἀληθῶς λελάτρευκε Θεῷ· διατετέλεκε δὲ καιροὺς ἕτερον ἐπ' αὐτῷ Θεὸν οὐκ ἀνεχομένη καλεῖν, ἤγουν εἰδέναι προσκυνεῖν. Ἐπειδὴ δὲ προσεκλήθη τισὶ διδασκάλοις καὶ ἀνοσίοις ποιμέσι, πέπτωκεν εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ, καὶ προσεκύνησε τοῖς ἔργοις τῶν ἰδίων χειρῶν· οἰηθεῖσα τάχα που, καὶ ἐν ἀμείνοσιν ἔσεσθαι, τῆς πρὸς Θεὸν ἀγάπης ἐξολισθήσασα. Ἐπὶ τούτοις αὐτὴν αἰτιᾶται λέγων· Ὤου ὅτι D ἐὰν ἀπ' ἐμοῦ ἀποστῇς, πλεῖόν τι ἕξεις. Ἀλλ' οὐκ ἐκβέβηκεν εἰς πέρας αὐτῇ τὰ προσδοκηθέντα τῆς οὕτω ψυχρᾶς καὶ ματαίας ἐλπίδος· γεγόνασι γὰρ μᾶλλον ἐν παντὶ κακῷ. Ἐσχήκασι τοίνυν εἰς γε τὸ εὐημερεῖν τὸ περιττὸν οὐδὲν, ἀποβαλόντες τὸ γνήσιον, καὶ τὸ ἑδραῖον ἐν τούτοις μικροῦ παντελῶς ἀξιοῦντες λόγου. Καὶ τὸ ἔτι τούτου παραλογώτερον, Ἠγάπησας, φησὶ, τοὺς κοιμωμένους μετὰ σοῦ, καὶ ἐπλήθυνας τὴν πορνείαν σου μετ' αὐτῶν· καὶ διαλέγεται μὲν ὡς πρὸς γυναῖκα πόρνην. Τίνες δὲ ἦσαν οἱ κοιμώμενοι μετ' αὐτῆς, ἢ τάχα που « Ψευδοποιμένες ἄνθρωποι τὸν

Omnis fœda voluptas, et omnis vitiositas humanam mentem incantans, specimen aliquod boni rei tantum non pollicetur, et res ante non cognitas adepturam, ac in meliore loco fore, quam prius fuerit, promittit. **901** Nam eum sic captivum ceperit, quocunque tandem vult aufert. Sed stulti experientia docti ubinam malorum sint, vix ad priorem statum relabuntur. Qui autem animi oculis cujusque rei exitum perlustrant diligentissime, præcipites se dari non sinunt, sed mentem servant invulneratam, ante tentationem videntes quid secuturum sit. Sed talis non fuit Judæorum Synagoga: erat enim subdita manui omnipotentis Dei, et gloria ab ipso convestita, terribilis et intolerabilis exstitit finitimis, et optatissimam spem habuit, omnique felicitate abundavit. Secuta enim legem Mosaicam, natura et vere Deum coluit; nec alium ab illo Deum longo tempore sustinuit appellare, nec alium novit adorare. Postquam autem ad quosdam doctores falsos defecit ac impios pastores: recidit in apostasiam a Deo, et opera manuum suarum adoravit, rata fortassis secum melius actum iri, ubi a charitate Dei lapsa fuisset. Hisce de rebus illam accusavit, dicens: Putabas, si recederes a me, plus te habiturum. Sed non pervenerunt ad exitum, quæ hac adeo frigida et inani spe exspectabantur; imo in omnibus malis versabantur. Habuerunt igitur prosperitatis eximiæ nihil, cum veram filiorum et genuinam naturam abjicerent, et firmitatem constantiamque parvi admodum ducerent. Et quod adhuc est absurdius, dilexisti, inquit, dormientes tecum, et crebro fornicata es cum illis; et cum ea velut cum scorto disputat. Qui sunt ergo dormientes cum ea? Falsi pastores sunt, qui mentem inustam et cauterio notatam [97], sicuti ait beatus Paulus, ac diabolica

I Tim. IV, 2.

ignorantia plenam habent, qui illis via et causa interitus fuerunt, ab ingenuitate quam cum Deo habent, abducentes, et immittentes velut impietatis semina, et persuadentes fructus parere Satanæ, fructus debacchationis, scilicet in Deum. Quorumdam fornicationem crebro iteratam dicimus, seu apostasiam a Deo : quando vitiorum vis et ratio non uniusmodi aut uniformis esse conspicitur; sed ex multis velut sceleribus completa et conflata, et multa alia parturit, ob quæ meritissime eos qui ea patrant possit reprehendere, **802** puta si quis Satanam capere velit, sequitur omnino ut nihil sani aut recti aggrediatur, et in omnem viam nefariæ et exsecrandæ voluptatis velut abjiciatur. Affinia quoque talibus vitiis esse possunt et alia mala, præstigiæ, necromantiæ, et eorum qui prodigiorum interpretes sunt inutiles fabulæ, falsa vaticinia, ac incantationes, et astrologorum sycophantiæ, dierumque, horarum, temporum et annorum observatio. Ita, inquit, crebro fornicata es, multos fecisti qui procul sunt abs te. Qui autem hi sint, rursus videndum est necessario. Vel enim sanctos prophetas dicit, qui cum eam ultra omnem audaciam progressam, et in omne genus impietatis provectam cernerent, ab ea velut inquinata recesserunt, prope clamantes, et dicentes : « Curavimus Babylonem, et non sanata est. Relinquamus eam, et abeamus quisque in terram suam; quia appropinquavit ad cœlum judicium ejus, et sublatum est usque ad astra [98]. » Quia enim Babylon nominata est terra sculptilium, et eodem morbo turpiter laboravit Jerusalem : hinc jure optimo eam vocant divini prophetæ Babylonem. Vel fortassis multos fecit eos qui procul a se. Nam finitimarum gentium cultus et falso nominatos apud quosque deos curiose pervestigantes, eos accersiverunt, et illis adhæserunt, et alii hos, alii illos coluerunt. Dixit nimirum Deus alicubi voce Jeremiæ : « Pro numero civitatum tuarum erant dii tibi, Juda, et pro numero viarum Jerusalem construxistis aras ad suffitum faciendum Baal [99]. » Hoc etiam arbitror denotare : Et misisti legatos ultra terminos tuos. Non enim contenti sunt præsentibus apud se diis, sed, ut dixi, alios multos accersebant, prout quisque sibi bonum esse persuaserat. Vel etiam : Misisti legatos ultra terminos tuos, significare potest, ultra mensuram ac modum commissa est ab illis fornicatio, ut instar parabolæ vox usurpetur de iis qui in re quaque ultra modum et æquum prodeunt.

A νοῦν κεκαυτηριασμένοι, » καθά φησιν ὁ μακάριος Παῦλος, καὶ ἀχλύος ἔμπλεῳ διαβολικῆς; Οὗτοι γεγόνασιν αὐτῇ, καὶ ὁδὸς, καὶ πρόφασις ἀπωλείας, ἀποφέροντες μὲν τῆς πρὸς Θεὸν γνησιότητος, ἐνιέντες δὲ ὥσπερ τὰ τῆς δυσσεβείας σπέρματα, καὶ καρποφορεῖν ἀναπείθοντες τῷ Σατανᾷ τῆς κατὰ Θεοῦ παροινίας τὰ ἐγκλήματα. Πληθύνεσθαι δέ φαμεν τήν τινων πορνείαν, ἤτοι τὴν ἀπόστασιν τὴν ἀπὸ Θεοῦ, ὅτε τῶν αἰτιαμάτων ἡ δύναμις, οὐ μονότροπος οὖσα καὶ μονοειδὴς ὁρᾶται τυχὸν, ἀλλ' ὡς ἐκ πολλῆς ἄγαν σκαιότητος ἐπιτελουμένη, καὶ πολλὰ κατ' αὐτῶν ὠδίνουσα τὰ ἐφ' οἷς ἄν τις καταμωμήσαιτο, καὶ μάλα δικαίως, τοὺς δρῶντας αὐτά· οἷόν τί φημι· Παρέπεται πάντως τῷ θεραπεύειν ἑλέσθαι τὸν Σατανᾶν τὸ μηδὲν ὑγιὲς ἀνέχεσθαι δρᾷν· διαῤῥιπτεῖσθαι δὲ ὥσπερ εἰς πᾶσαν B ὁδὸν βεβήλου τε καὶ βδελυρᾶς ἡδονῆς· σύνδρομα δὲ τοῖς τοιούτοις αἰτιάμασιν εἶεν ἂν καὶ τὰ ἕτερα τῶν τοιούτων κακῶν, γοητεῖαί τε καὶ νεκυομαντεῖαι, καὶ τὰ τῶν τερατοσκόπων ἀχρεῖα μυθάρια, ψευδομαντεῖαί τε καὶ ἐπῳδαὶ, καὶ αἱ τῶν ἀστρολογούντων συκοφαντίαι, καὶ ἡμερῶν ἐπιτήρησις, ὡρῶν τε πρὸς τούτῳ, καιρῶν καὶ ἐνιαυτῶν. Οὕτω, φησὶ, τὴν σεαυτῆς πορνείαν πληθύνουσα, πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ. Καὶ τίνες ἂν εἶεν οὗτοι, ἀναγκαῖον πάλιν ἰδεῖν. Ἢ γὰρ τοὺς ἁγίους προφήτας φησὶν, οἳ πέρα θράσους ἰοῦσαν παντὸς ὁρῶντες αὐτὴν, καὶ εἰς λῆξιν ἁπάσης ἀφιλοθεΐας ἐλαύνουσαν, ἀπεφοίτησαν αὐτῆς ὡς μεμολυσμένης, μονονουχὶ βοῶντες, καὶ λέγοντες· « Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη· C ἐγκαταλίπωμεν αὐτὴν, καὶ ἀπέλθωμεν ἕκαστος εἰς τὴν γῆν ἑαυτοῦ· ὅτι ἤγγικεν εἰς οὐρανὸν τὸ κρίμα αὐτῆς, καὶ ἐξῆρεν ἕως ἄστρων· » (ἐπεὶ γὰρ γῆ τῶν γλυπτῶν ὠνομάσθη Βαβυλὼν, ἐκτόπως δὲ τοῦτο νενόσηκεν Ἱερουσαλὴμ, καὶ ταύτῃτοι καὶ μάλα εἰκότως Βαβυλῶνά φασιν αὐτὴν οἱ θεσπέσιοι προφῆται·) ἢ τάχα που, πολλοὺς πεποίηκε τοὺς μακρὰν ἀφ' ἑαυτῆς. Περιεργαζόμενοι γὰρ τὰ τῶν ὁμόρων ἐθνῶν σεβάσματα, καὶ τοὺς παρ' ἑκάστῳ ψευδωνύμους θεοὺς, τούτους μετεπέμποντο· προσέκειντο δὲ καὶ λελατρεύκασιν, οἱ μὲν τούτοις, οἱ δὲ ἐκείνοις. Καὶ γοῦν ἔφη που Θεὸς διὰ τῆς Ἱερεμίου φωνῆς, ὅτι « Κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα, καὶ κατὰ ἀριθμὸν διόδων τῆς Ἱερουσαλὴμ ἐτάξατε βωμοὺς θυμιᾷν τῷ Βαάλ. » Τουτὶ δὲ οἶμαι καταδηλοῦν D καὶ τὸ, Ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου. Οὐ γὰρ ἀρκούμενοι τοῖς παροῦσι παρὰ σφίσι θεοῖς, μετεπέμποντο, καθάπερ ἔφην, καὶ πολλοὺς ἑτέρους, ἕκαστοι κατὰ τὸ αὐτοῖς εὖ ἔχειν ὑπειλημμένον. Ἢ τάχα που τὸ, Ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου, κατασημήνειεν ἂν, ὅτι πέρα μέτρου παρ' αὐτοῖς τὰ τῆς πορνείας ἐπράττετο, ἵν' ὡς ἐν τρόπῳ παραβολῆς τὸ λεγόμενον ᾖ, καὶ σύνηθες ἐπιφώνημα, τοῖς ἐπέκεινα τοῦ εἰκότος ἐφ' ἑκάστῳ τῶν πραγμάτων ἰοῦσι λεγόμενον.

VERS. 10. *Et convertisti, et humiliata es usque ad inferos; multis itineribus tuis laborasti, nec dixisti : Desinam confortata. Quia fecisti hæc, propterea non*

Καὶ ἀπέστρεψας (1), *καὶ ἐταπεινώθης ἕως ᾅδου. Ταῖς πολυοδίαις σου ἐκοπίασας, καὶ οὐκ εἶπας Παύσομαι ἐνισχύουσα.* Ὅτι ἔπραξας ταῦτα, διὰ

[98] Jer. LI, 9. [99] Jer. II, 28.

(1) *Καὶ ἀπέστρεψας.* Desunt hæc verba in edit. LXX.

τοῦτο οὐ κατεδεήθης μου· σὺ τίνα εὐλαβηθεῖσα ἐφοβήθης, καὶ ἐψεύσω με;

Τί τὸ πέρας τῆς ἀποστάσεως τῆς ἀπὸ Θεοῦ, τῆς ἀμετρήτου πορνείας, καὶ τῶν ἀνοσίων ἐγχειρημάτων, ἤτοι τῆς ἀποστροφῆς ἀπό γε τῶν ἀμεινόνων ἐπὶ τὰ χείρω; Ἡ εἰς ἄκρον ταπείνωσις, καὶ τὸ καθιχέσθαι, φησὶν, εἰς τὸ τῆς ἀπωλείας κατωτάτω βάραθρον. Ἐπειδὴ γὰρ οὐκ ἠθέλησας ὑψηλὴ διαμεῖναι, καὶ ἀκράδαντον ἔχειν τὴν εὐημερίαν, ταύτῃτοι γέγονας ταπεινή. Ὅτι γὰρ ὑψηλοί τινες ἦσαν οἱ ἐξ Ἰσραὴλ, τό γε ἧκον εἰς δόξαν τὴν παρὰ Θεοῦ, σαφὲς ἂν γένοιτο, λέγοντος αὐτοῦ διὰ φωνῆς Ἡσαΐου περὶ αὐτῶν· «Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα.» Οὐκοῦν αὐτόκλητον ἔχει τὴν ταπείνωσιν· δεδυσσέβηκε γὰρ εἰς τὸν ὑψοῦντα Θεόν· τεταπείνωται δὲ τίνα τρόπον, διαδείκνυσιν εὐθύς· ἔφη γάρ· Ταῖς πολυοδίαις σου ἐκοπίασας. Εἰς πᾶσαν γὰρ ὥσπερ ἀπωλείας ἐρχόμενοι ὁδὸν, δεδαπανήκασι μὲν ἐπ' οὐδενὶ τῶν χρησίμων τὰς τῆς ψυχῆς εὐτονίας, δῆλον δὲ ὅτι τὰς νοητὰς, κεκμήκασι δὲ οὐ μετρίως, ἐπ' ὀλεθρίοις πράγμασι τιθέμενοι τὰς σπουδάς. Ἢ τάχα που καὶ πολυοδίας ἐν τούτοις φησὶ τὸ ἀεὶ μεθίστασθαι πρὸς θεοὺς ἑτέρους, καὶ τῶν μὲν ἤδη πεπορισμένων ὀλιγωρεῖν, ζητεῖν δὲ τοὺς παρ' ἑτέροις ὄντας τισὶ, καὶ καταμεθύειν ὥσπερ διαρριπτουμένοις πανταχοῦ, ἔρεισμά τε καὶ κατάστασιν οὐκ ἔχειν τὸν ἐν αὐτοῖς ὄντα νοῦν. Συμβαίνει δὲ τοῦτο πάσχειν ἡμᾶς καὶ ἐν ταῖς ἐκτόποις τῶν ἡδονῶν. Ἀποφέρεται γὰρ ὁ νοῦς ἔσθ' ὅτε πρὸς πᾶν εἶδος ἀκαθαρσίας, καὶ ποτὲ μὲν τὸ πλουτεῖν ἐπαινεῖ, ποτὲ δὲ σαρκὸς ἐρᾷ, καὶ δόξης ἡττᾶται κενῆς, καὶ οἷον παντὶ πνεύματι περιφέρεται, κατά γε τὸ εἰρημένον διὰ φωνῆς Ἱερεμίου περί τινος· «Ἐν ἐπιθυμίαις ψυχῆς αὐτῆς ἐπνευματοφορεῖτο· παρεδόθη, τίς ἐπιστρέψει αὐτήν;» Ἡ γὰρ τοῦτο παθοῦσα ψυχὴ παραδοθήσεται πάντως ταῖς τῶν παθῶν προσβολαῖς· καὶ τοῦτο διδάσκει λέγων ὁ Παροιμιαστής· «Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.» Χρὴ τοίνυν ἡμᾶς ἀνασειράζειν τὸν νοῦν, εἰ δὴ βούλοιτό πως ἀσχέτως ἰέναι κατὰ πετρῶν, καὶ ταῖς τῶν ἡδονῶν ἐκτόποις ἐφήδεσθαί τε καὶ ὁμιλεῖν, ἵνα μὴ καμὼν ἐκ πολυοδίας θήρωμα γένηται διαβολικόν. Ταῦτ' οὖν ποιήσασα, φησὶν, ὦ Ἱερουσαλὴμ, οὐκ εἶπας· Παύσομαι ἐνισχύουσα, τουτέστιν, οὐκ ἀνέκοψας τοῖς ἐπιλογισμοῖς τὴν ἐπὶ τὰ αἴσχιω πρόοδον, οὐ μεμέτρηκας τὴν ἀπόστασιν, οὐ κατέλυσας τὴν εἰς τὰ φαῦλα σπουδὴν, ἐπίκεισαι δὲ μᾶλλον ἐντονώτερον τῷ δρᾷν ἐθέλειν, ἃ χρῆν δή που μηδὲ γενέσθαι τὴν ἀρχήν. Ψυχῆς μὲν γὰρ ἔργον ἐστὶ, κἂν γοῦν μετρίαν ἐχούσης σύνεσιν, τὸ μὴ ἁλῶναι θέλειν αἰτιάμασι τοῖς εἰς ἁμαρτίαν· εἰ δὲ δή που γένοιτο καὶ παθεῖν αὐτὸ, κἂν γοῦν ἑλέσθαι μετανοεῖν, καὶ διὰ τῆς εἰς τὸ ἄμεινον ἀναδρομῆς ἀποσκευάσασθαι τὰ ἐγκλήματα. Εἰ δὲ ἀσχέτως καταφέροιτο πρὸς τὰ αἴσχιω, παραιτοῖτό τε προσεπὶ τούτῳ τὸ χρῆναι μετανοεῖν, προσέθηκεν ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ, ἀῤῥώστημα δὲ ἐπ' ἀῤῥωστήματι παθοῦσαν αὐτὴν ἔνεστιν ἰδεῖν. Αἰτιᾶται γοῦν τοὺς ἐν

A **803** *rogasti me; tu, quem timens perterrita es, et mentita es mihi?*

Quis est apostasiæ a Deo, et immoderatæ fornicationis, et impiorum facinorum seu aversionis a melioribus ad deteriora finis? Summa, inquit, depressio, et in infimum interitus barathrum devenire. Nam quia alta manere nolebas, et felicitatem habere inconcussam, hinc humiliata es. Quod enim alti et sublimes fuerint Israelitæ, quod ad gloriam quæ a Deo proficiscitur attinet, perspicuum esse potest, ipso dicente per vocem Isaiæ de illis: « Filios genui et exaltavi [1]. » Itaque accersivit sibi ipsi depressionem, quod impie in Deum qui exaltat, egerit. At quomodo humiliata sit, mox ostendit; dixit enim: Multis viis tuis laborasti. Nam in omnes quasi vias B interitus ingredientes, in re nulla utili, animi nervos, mentis et intelligentiæ scilicet, consumpserunt. Laborarunt haud mediocriter, et in rebus perniciosis studia posuerunt. Vel fortassis vias multas hic dicit, semper ad alios deos transferri, et quos habent, contemnere, et qui apud alios sunt, quærere; et velut ebrios huc et illuc jactari, et fixam et stabilem in iis mentem non esse. Quod etiam nobis usuvenit in fœdis voluptatibus. Abducitur enim interdum mens ad omne genus impuritatis, et aliquando laudat divitias, aliquando carnis studia amat, et inani gloria vincitur, et tanquam omni vento circumfertur, juxta id quod dictum est de quodam voce Jeremiæ: « Cupiditatibus animæ quasi vento agitata est: tradita est, quis convertet eam? » Anima C enim quæ hoc passa est, tradetur semper perturbationum impressionibus quod docet Parœmiasta, dicens: « Pravæ enim cogitationes separant a Deo [2-3], et inconstantia cupiditatis transversim rapit mentem innocentem [4]. » Retrahenda est igitur nobis mens, si velit in rupes præceps ire, et fœdis exsultare voluptatibus, illisque assuefieri; ne, si multis hisce viis defatigata sit, præda fiat diaboli. Hæc igitur, inquit, cum fecisti, o Jerusalem, non dixisti, desinam confortata, id est, cursum hunc in turpiora, posterioribus consiliis **804** non interrupisti, apostasiæ modum non imposuisti, studium ad mala non exstinxisti, sed majori contentione incubuisti, ut ea faceres quæ ne primo quidem tempore fieri debuissent. Animi enim vel mediocriter intelligentis D officium est, erratis et peccato nolle implicari; sin hoc fieri contingat, velle saltem resipiscere, et recursu ad meliora delere crimina. Sin præcipiti impetu ad turpiora devolvatur, recusetque insuper resipiscere: peccatum additur peccato, et morbum videas morbo accedere. Accusat itaque eos qui in his sceleribus versantur, universorum Deus, et inquit: « Num qui cadit, non resurget? num qui aversus est, non revertetur? Quare aversus est populus hic aversione impudente, et confirmati sunt in voluntate sua, et noluerunt reverti [5]? » Sed quia hæc fecisti, inquit, propterea non interrogasti me.

[1] Isa. I, 2. [2-3] Prov. XV, 26. [4] Sap. IV, 12. [5] Jer. VIII, 4.

A At cum tam fœda et abominanda facere ausus sis, an non oportebat preces fundere, et a Deo misericordiam petere? Suscepit enim eos qui volunt resipiscere, bonus natura cum sit, et qui novit figmentum nostrum [6], juxta id quod scriptum est. Dixit igitur per unum e sanctis prophetis : « Revertimini, filii, revertentes, et sanabo contritiones vestras. » Extremæ igitur dementiæ indicium est, et omnimodæ aversionis, ut qui in tot malis versati sunt, dedignentur a Deo misericordiam implorare, cum erratorum confessione. Scriptum est enim : « Dic tu peccata tua prior, ut justificeris [7]. » Psallit quidam etiam, et inquit : « Dixi, Enuntiabo contra me iniquitatem meam Domino : et tu remisisti impietatem cordis mei [8]. » Usi sunt autem Judæi ratione imbecilla et infirma, ac plena ignorantiæ. B Persuadebantur enim deficere a Deo vivente, et ad deos alienos declinare, quod Babylonica acies jamjam ventura nuntiabatur. Sed, o insipiens, inquit, quem timens perterrita es, et mentita es mihi? Homo est Babyloniorum tyrannus, et præ divina potentia, omnino nihil est ejus exercitus. Scriptum est enim de Deo : « Qui continet orbem terræ et habitantes in ea, velut cicadæ. » Dixit rursus propheta Isaias : « Omnes gentes, ut stilla **805** cadi, et ut saliva reputabuntur, ac ut momentum stateræ æstimabuntur. Cui comparastis Dominum? et cui similitudini assimilastis eum [9]? » Dementissimi igitur sunt qui terrenum hominem Deo fortiorem putarunt, et ementiti sunt pietatem erga illum, rati se servatum C iri per eos qui non sunt dii. Quæ enim esse potest utilitas ex lapide et ligno? Est igitur dictum de illis : Et in tempore malorum suorum dicent, Surge et serva nos. Et ubi sunt dii tui, quos fecisti tibi ipsi? Si resurgent servabunt te, tempore afflictionis tuæ. Et mentiti sunt Deo, non verbis tantum hoc factitantes, sed rebus ipsis. Cujusmodi est et illud tantum exemplum de illis dictum : « Et exspectavi ut ederet uvam, sed edidit spinas, non justitiam, sed judicium [10]. » Dixit etiam divinus Cantor, velut sub persona Christi, de illis : « Filii alieni mentiti sunt mihi, et filii alieni inveterati sunt, et claudicaverunt a semitis suis [11]. »

τούτοις ὄντας ὁ τῶν ὅλων Θεὸς, καί φησι· « Μὴ ὁ πίπτων οὐκ ἀνίσταται ; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει ; διατί ἀπέστρεψεν ὁ λαὸς οὗτος ἀποστροφὴν ἀναιδῆ, καὶ κατεκρατήθησαν ἐν τῇ προαιρέσει αὐτῶν, καὶ οὐκ ἠθέλησαν τοῦ ἐπιστρέψαι ; » Ἀλλ' ὅτι ταῦτα πέπραχας, φησὶ, διὰ τοῦτο οὐ κατεδεήθης μου. Καίτοι πῶς οὐ μᾶλλον ἐχρῆν, ἐπειδὴ τὰ οὕτως αἰσχρὰ καὶ ἀπόβλητα δρᾶσαι τετόλμηκας, ἀνατεῖναι τὰς ἱκετηρίας, αἰτῆσαί τε παρὰ Θεοῦ τὸν ἔλεον ; δέχεται γὰρ τοὺς μετανοεῖν ἐθέλοντας, ἀγαθὸς ὢν φύσει, καὶ εἰδὼς τὸ πλάσμα ἡμῶν, κατὰ τὸ γεγραμμένον. Ἔφη γοῦν δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἐπιστράφητε, υἱοὶ, ἐπιστρέφοντες, καὶ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. » Ἀπονοίας οὖν ἀπόδειξις τῆς ἐσχάτης καὶ τῆς εἰσάπαν ἀποστροφῆς, τὸ ἐν κακοῖς γεγονότα τοσούτοις, μὴ ἀνασχέσθαι παρὰ Θεοῦ καὶ γοῦν τὸ ἐλεεῖσθαι ζητεῖν μετὰ τῆς τῶν πταισμάτων ὁμολογίας. Γέγραπται γὰρ, ὅτι « Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. » Ψάλλει δέ τις, καί φησιν· « Εἶπα· Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. » Ἀλλ' ἦν τις τοῖς Ἰουδαίοις λόγος, σαθρός τε καὶ ἄναλκις, καὶ ἀμαθίας ἔμπλεως· διετείνοντο γὰρ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος, καὶ προσνεῦσαι θεοῖς ἑτέροις, ἐπείπερ αὐτοῖς ὁ Βαβυλωνίων ὄχλος ὡς ὅσον οὐδέπω παρεσόμενος ἀπηγγέλλετο. Ἀλλ', ὦ παράφρων, φησὶ, τίνα φοβηθεῖσα ηὐλαβήθης, καὶ ἐψεύσω με ; Ἄνθρωπος ὢν ὁ Βαβυλωνίων τύραννος, καὶ ὥς πρός γε τὴν θείαν ἰσχὺν, οὐδὲν παντελῶς ἡ ἐπ' αὐτῷ στρατιά. Γέγραπται γὰρ περὶ Θεοῦ· « Ὁ κατέχων τὸν γῦρον τῆς γῆς· καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ ὡς ἀκρίδες. » Ἔφη δὲ πάλιν ὁ προφήτης Ἡσαΐας· « Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς σίελος λογισθήσονται, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, τίνι ὡμοιώσατε Κύριον, καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν ; » Ἀνοητότατοι τοίνυν οἱ Θεοῦ κρείττονα τὸν ἀπὸ γῆς ἄνθρωπον εἶναι νομίσαντες, καὶ ψευσάμενοι μὲν τὴν εἰς αὐτὸν εὐσέβειαν, οἰηθέντες δὲ ὅτι σωθήσονται διὰ τῶν οὐκ ὄντων θεῶν. Ποία γὰρ ὄνησις γένοιτ' ἂν ἐκ λίθου καὶ ξύλου ; Εἴρηται γοῦν περὶ αὐτῶν· Καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν· Ἀνάστα καὶ σῶσον ἡμᾶς. Καὶ ποῦ εἰσιν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ ; εἰ ἀναστήσονται, καὶ σώσουσί σε ἐν καιρῷ τῆς κακώσεώς σου. Ἐψεύσαντο δὲ τὸν Θεὸν, οὐ λόγῳ τοῦτο δρῶντες μόνον, ἀλλὰ γὰρ δι' αὐτῶν τῶν πραγμάτων, ὁποῖόν ἐστι τὸ περὶ αὐτῶν εἰρημένον ὡς ἐν τρόπῳ παραδείγματος· « Καὶ ἐπέμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησαν δὲ ἀκάνθας, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κρίσιν. » Ἔφη δέ που καὶ ὁ θεσπέσιος Μελῳδὸς ὡς ἐκ προσώπου Χριστοῦ περὶ αὐτῶν· « Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. »

D Vers. 11-13. *Neque recordata es mei, neque sumpsisti me in mentem, neque in cor tuum. Et ego te videns despicio, et me non timuisti. Ego vero annuntiabo justitiam meam, et mala tua, quæ non proderunt tibi. Cum clamaveris, eripient te in afflictione tua. Hos enim omnes ventus tollet, et auferet tempestas.*

Καὶ οὐκ ἐμνήσθης μου, οὐδὲ ἔλαβές με εἰς τὴν διάνοιάν σου, οὐδὲ εἰς τὴν καρδίαν σου. Κἀγώ σε ἰδὼν παρορῶ, καὶ ἐμὲ οὐκ ἐφοβήθης. Κἀγὼ ἀπαγγελῶ τὴν δικαιοσύνην μου, καὶ τὰ κακά σου, ἃ οὐκ ὠφελήσουσί σε. Ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου. Τούτους γὰρ πάντας ἄνεμος λήψεται, καὶ ἀποίσει καταιγίς.

Dixit Deus voce Ezechielis ad matrem Judæo-

Ἔφη που Θεὸς διὰ φωνῆς Ἰεζεκιὴλ πρὸς τὴν τῶν

[6] Psal. CII, 14. [7] Prov. XVIII, 17. [8] Psal. XXXI, 5. [9] Isa. XL, 15. [10] Isa. V, 4. [11] Psal. XVII, 46.

Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Συναγωγήν· « Καθὼς A ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου. » Ναὶ μὴν καὶ ὁ προφήτης Ἡσαΐας· « Οὐαὶ τῷ ἀνόμῳ, » φησί· « πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. » Τοιοῦτόν τι καὶ νῦν διὰ τῶν προκειμένων σημαίνεται. Ἐπειδὴ γὰρ τὴν περὶ ἐμοῦ γνῶσιν ἀπώσω, φησίν, ὑπερορασθήσῃ παρ' ἐμοῦ, καὶ ἰσοπαλῆ τοῖς πλημμελήμασιν ὑπομενεῖς τὴν δίκην. Ἐπιλανθάνεται δέ τις τοῦ Θεοῦ τοῦ κατὰ φύσιν καὶ ἀληθῶς, καὶ τοῦ κατεξουσιάζοντος τῶν ὅλων, οὐχὶ δήπου πάντως εἰς ἀμνηστίαν ἐλθὼν τοῦ ὅτι Θεός ἐστι (καὶ τὰ δαιμόνια γὰρ πιστεύουσι, καὶ φρίττουσι, κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν), ἀφειδήσας δὲ μᾶλλον τοῦ ὑποκεῖσθαι θέλειν αὐτῷ, καὶ τῶν παρ' αὐτοῦ διατεταγμένων ὀλίγα φροντίσας· ὡς ἐξήνιον ὁρᾶσθαι καὶ ἀπειθῆ, καὶ B ὁλοτρόπως ἐννενευκότα πρὸς πᾶν τοὐναντίον, ὧν ἔδει πληροῦν. Ἐπιλανθάνεται δὲ Θεὸς, ἤγουν ὑπερορᾷ τῶν ἀμνημονούντων αὐτοῦ, μονονουχὶ τὴν ἐπίκουρον χεῖρα συστέλλων, καὶ φειδοῦς ἁπάσης ἀπογυμνῶν αὐτούς· ὃ δὴ πέπονθεν Ἰσραήλ. Οὐ γὰρ ἐφοβήθη τὸν οὐρανοῦ τε καὶ γῆς Κύριον, καὶ τῶν ὅλων δημιουργόν τε καὶ τεχνίτην· ἀπολύσας δὲ ὥσπερ τῶν αὐτοῦ σκήπτρων τὸν αὐχένα, δεδούλευκε τοῖς οὐκ οὖσι θεοῖς. Ταύτητοί φησιν, ὅτι Σὺ οὐκ ἐφοβήθης με, καὶ ἐγὼ ἀναγγελῶ τὴν δικαιοσύνην μου, καὶ τὰ κακά σου· κακὰ λέγων τὴν ἀπόστασιν τὴν ἀπ' αὐτοῦ δηλονότι, καὶ τὸ προσκλίνεσθαι λέγειν, οἷς αὐτὸς εἰργάσατο θεοῖς. Ἐπαγγέλλει δὲ τὴν αὐτοῦ δικαιοσύνην ἐπὶ τῶν τοιάδε δρᾷν εἰωθότων ὁ τῶν C ὅλων Θεὸς, ψῆφον ἐπ' αὐτοῖς θείαν ἐκφέρων, καὶ ἰσόῤῥοπον κόλασιν ἐπιτιθείς. Οὐ γὰρ εἰς ἕνα τὸν καθ' ἡμᾶς τὰ τολμήματα, ἀλλ' εἰς αὐτὴν πράττεται τὴν ὑψοῦ τε καὶ ἄνω, καὶ τῶν ὅλων κατάρχουσαν φύσιν. Ὅτι δὲ ἀνήνυτος [al. ἀνόνητος] αὐτοῖς ἡ τῶν ψευδωνύμων εὕρεσις θεῶν, διαδείκνυσιν εἰπὼν, ὅτι « Οὐκ ὠφελήσουσί σε· » καὶ ὅτι τὸ χρῆμά ἐστιν ἀληθὲς, προσαποφαίνει λέγων· « Ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου. » Οὐκοῦν, ὡς ὁ προφήτης φησί, « Τί ὠφελεῖ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτό; ἔπλασαν αὐτὸ χώνευμα φαντασίαν ψευδῆ, καὶ αὐτὸ τέκτων ἐποίησε, καὶ οὐ Θεός ἐστιν. » Εἶτα πῶς ἐπικουρήσειεν ἂν τοῖς πεπλανημένοις, ἐκ ξύλου καὶ λίθου πεποιημένον ἄγαλμα, καὶ τέχνης ἀνθρώπων εὑρήματα μᾶλλον, ἢ Θεός; Διὰ τοῦτό φησιν, ὅτι Τοὺς D πάντας ἄνεμος λήψεται, καὶ ἀποίσει καταιγίς. Τούτους δὲ, τίνας; Ἢ τοὺς παρ' αὐτῶν ἐπινοηθέντας θεοὺς, ἢ τάχα που τοὺς προσκυνοῦντας αὐτοὺς, οἳ, καθάπερ χοῦς καὶ κόνις, ταῖς τῶν ἀνέμων ἀναῤῥιπτοῦνται πνοαῖς. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ ἐν βίβλῳ Ψαλμῶν εἰρημένον· « Γενηθήτωσαν ὡσεὶ χοῦς κατὰ πρόσωπον ἀνέμου· » τουτέστι, βαδιοῦνται πρὸς τὸ μηδέν. » Ἔθος δὲ τῇ θεοπνεύστῳ Γραφῇ τὰς τῶν πειρασμῶν, ἤτοι τῶν κολάσεων ἐφόδους, λαίλαπι καὶ καταιγίδι πολλάκις ἀφομοιοῦν.

rum, Synagogam, inquam: « Quemadmodum fecisti, sic erit tibi. Retributio tua retribuetur in caput tuum [12]. » Quin et propheta Isaias: « Væ, » inquit, « iniquo: mala secundum opera manuum suarum contingent ei [13]. » Tale quid etiam nunc his verbis propositis significatur. Quoniam enim, inquit, cognitionem mei repulisti, despicieris a me, et parem delictis pœnam subibis. Obliviscitur autem Dei, ejus qui natura et vere Deus est, et universorum dominator, non solum qui in oblivionem venit, quod Deus sit; dæmonia enim credunt et tremunt, secundum apostoli vocem [14]; sed qui non dignatur ei subjici, et ejus præscripta parvi æstimat, ita ut effrenis et contumax videatur, et omnino ad ea quæ contra officium sunt conversus. **808** Obliviscitur vero Deus vel despicit eos qui sunt ipsius immemores, cum tantum non contrahit manum suam auxiliarem, et omni eos nudat misericordia. Quod Israeli accidit. Non enim timuit cœli et terræ Dominum, et universorum opificem et artificem: sed sceptris ejus veluti subtracta cervice falsis diis servivit. Hinc dicit: « Tu non timuisti me, et ego annuntiabo justitiam meam, et mala tua: » mala vocans, apostasiam videlicet ab ipso, et deficere ad deos quos ipse fabricavit. Annuntiat autem justitiam suam universorum Deus contra eos qui talia committunt, dum in illos divinum profert calculum, et dignam pœnam infligit. Non enim audaces conatus hi contra unum aliquem nostræ conditionis fiunt, sed contra excelsam et superam ac universitatis rectricem naturam. Quod autem parum proficiat hæc falso nominatorum deorum inventio, ostendit, cum ait: « Non tibi proderunt. » Quod verum esse insuper demonstrat, dicens: « Cum clamaveris, eripiant te in afflictione tua. » Itaque, ut propheta ait: « Quid proderit sculptile quod sculpserunt? Formarunt illud conflatile, imaginationem falsam, quod fictor finxit, nec Deus est [14*]. » Deinde quam opem errantibus afferet imago ex ligno et lapide facta, et humani artificii inventum potius quam Deus? Propterea inquit: « Omnes ventus tollet, et auferet tempestas. » Quosnam? Vel deos ab ipsis excogitatos, vel qui adorant eos, qui ceu cinis et pulvis, ventorum projiciuntur flatibus. Atque hoc est, opinor, quod in libro Psalmorum dictum est: « Fiant tanquam pulvis a facie venti, id est, in nihil recident [15]. » Est autem solemne Scripturæ divinitus inspiratæ, tentationum seu suppliciorum impetus, procellæ sæpenumero et tempestati comparare.

Οἱ δὲ ἀντεχόμενοί μου κτήσονται γῆν, καὶ κληρονομήσουσι τὸ ὄρος τὸ ἅγιόν μου· καὶ ἐροῦσι· Καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ ὁδοὺς, καὶ ἄρατε σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου.

VERS. 14. *At qui innituntur mihi possidebunt terram, et hæreditate consequentur montem sanctum meum; et dicent: Mundate a facie ejus vias, et auferte offensiones e via populi mei.*

[12] Ezech. VII, 27. [13] Isa. III, 11. [14] Jac. II, 19. [14*] Habac. II, 18. [15] Psal. XXXIV, 5.

Necessario subtexerunt hæc superioribus. Oportuit enim, oportuit, hominum flagitiosorum et defectorum punitionem, et diligentium illum præmia manifesta et perspicua fieri. **807** Ac quidem in universum pollicitatio hæc vera est. Quisquis enim Deum amplectitur, et perfecta ejus dilectione nihil prius aut præstabilius esse censet, omnibusque bonis operibus excellit: hic erit terræ hæres, quæ sanctis destinata est, quam etiam nobis Servator ipse significavit, dicens: « Beati mites, quia ipsi hæreditario possidebunt terram [16]. » Sanctum autem montem hic dico, supremam civitatem, cœlestem Jerusalem, pulchram sanctorum civitatem. Psallit siquidem, deque ea inquit divinus David: « Quis ascendet in montem Domini, aut quis stabit in loco sancto ejus? Innocens manibus et mundus corde [17]. » Omnibus igitur Deum amplectentibus, sors erit terra sanctorum, et mons venerabilis et celebratissimus. Videtur autem nunc de his qui ex tribubus Judaicis crediderunt verba facere: quorum primitiæ ac primi exstiterunt divini discipuli, dilectionem Christi mordicus tenentes, et fidem in illo inconcussam habentes, et obedientiam irreprehensibilem, et charitatem indivulsam. Dicunt siquidem: « Quis nos separabit a dilectione Christi? Afflictio? num angustia? num persecutio? num fames? num nuditas? num periculum? num gladius [18]? » Hi sunt hæredes regni cœlorum: et terram supernam possidebunt, quæ mansuetis est præparata. Convenit mansuetudinis nomen, evangelicam vitam degentibus, quibus etiam Christus præcepit ne irascerentur, ne ulciscerentur quemquam eorum qui offenderunt: sed ut eos qui hostes sunt, beneficiis prosequerentur. « Benefacite enim, » inquit, « inimicis vestris, et orate pro his qui insectantur vos. Et percutienti te in dextram maxillam, ei obverte et alteram [19]. » Patientiæ et mansuetudinis summæ est his rebus excellere. Possidentibus, inquit, terram et montem sanctum, velut in promissione et spe dicetur: « Mundate a facie ejus vias: » id est, certe, « Parate viam Domini, rectas facite semitas ejus [20]. » Quomodo autem præparatio hæc peragetur, declaravit, inquiens: « Tollite offensiones de via populi mei, » id est, viam salutis per fidem planam et expeditam cunctis terræ incolis facite: nihil sit asperum aut arduum. Lex enim Mosaica misericordiam nesciebat, et **808** difficilis erat: omnes enim multum offendimus, et vix reperiri poterat qui prorsus liber esset, et eam inculpate implere posset. Unde divini discipuli his qui post fidem ad legis umbras reverti voluerunt, dicebant: Et nunc quid tentatis Deum, ut imponatis jugum collo discipulorum, quod neque nos neque patres nostri portare valuerunt [21]? Dixit item Paulus, legem transgressionum causa appositam esse: nam lex peccatum arguit: et qui ad eam impingebant

A Ἀναγκαίως ἐπενήνεκται τοῖς ἀνόπιν καὶ ταῦτα. Ἔδει γὰρ, ἔδει καὶ τῶν φιλαμαρτημόνων καὶ ἀποστατῶν ἐναργῆ γενέσθαι τὴν κόλασιν, καὶ τῶν ἀγαπώντων αὐτὸν τὰ ἔργα. Καὶ καθόλου μὲν ἀληθὴς ἡ ὑπόσχεσις· ἅπας γὰρ εἴτις ἀντέχεται Θεοῦ, καὶ τῆς εἰς αὐτὸν ἀγάπης ὁλοτελοῦς οὐδὲν ἡγεῖται τὸ ἄμεινον, διαπρέπει δὲ καὶ δι' ἁπάσης ἀγαθουργίας· οὗτος ἔσται κληρονόμος τῆς ἡτοιμασμένης γῆς τοῖς ἁγίοις, ἣν δὴ καὶ αὐτὸς ἡμῖν ὁ Σωτὴρ κατεσήμαινε λέγων· « Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. » Ὄρος δὲ ἅγιον ἐν τούτοις φημὶ, τάχα που τὴν ἄνω πόλιν, τὴν ἐπουράνιον Ἱερουσαλὴμ, τὴν τῶν ἁγίων καλλίπολιν. Ψάλλει γάρ που, καί φησι περὶ αὐτῆς ὁ θεσπέσιος Δαβίδ· « Τίς ἀναβήσεται εἰς τὸ ὄρος Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ B ἁγίῳ αὐτοῦ; Ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ. » Οὐκοῦν ἅπασι τοῖς ἀντεχομένοις Θεοῦ, κλῆρος ἔσται τῶν ἁγίων ἡ γῆ, καὶ τὸ σεπτόν τε καὶ διαβόητον ὄρος. Ἔοικε δὲ νυνὶ περὶ τῶν πιστευσάντων εἰς αὐτὸν ἐκ τῶν Ἰουδαϊκῶν ταγμάτων ποιεῖσθαι τοὺς λόγους, ὧν ἀπαρχὴ καὶ πρῶτοι γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, τῆς εἰς Χριστὸν ἀγάπης ἀπρὶξ ἐχόμενοι, ἀκράδαντον ἔχοντες ἐπ' αὐτῷ τὴν πίστιν, καὶ ἀδιάβλητον τὴν ὑποταγὴν, καὶ ἀδιάσπαστον τὴν ἀγάπην. Φασὶ γοῦν, ὅτι « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; » Οὗτοι γεγόνασι τῆς τῶν οὐρανῶν βασιλείας κληρονόμοι, καὶ κατεκτήσαντο γῆν τὴν ἄνω· τὴν τοῖς πραέσιν ηὐτρεC πισμένην. Πρέποι δ' ἂν τὸ τῆς πραότητος ὄνομα τοῖς τὴν εὐαγγελικὴν διαβιοῦσι ζωὴν, οἷς καὶ προστέταχεν ὁ Χριστὸς τὸ μὴ ὀργίζεσθαι δεῖν, μήτε μὴν ἀμύνεσθαί τινας τῶν λελυπηκότων, ἐπείγεσθαι δὲ μᾶλλον εὐεργετεῖν καὶ τοὺς ἐν τάξει γεγονότας τῶν ἐχθρῶν. « Εὖ ποιεῖτε » γὰρ, φησὶ, « τοὺς ἐχθροὺς ὑμῶν, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καὶ τῷ παίοντί σε εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. » Ἀνεξικακίας δὲ καὶ πραότητος τῆς εἰς ἄκρον ἀπόδειξις ἂν εἴη τὸ διαπρέπειν ἐν τούτοις. Τοῖς δέ γε κτησαμένοις τὴν γῆν καὶ τὸ ὄρος τὸ ἅγιον, ὡς ἐν ὑποσχέσει καὶ ἐν ἐλπίδι ῥηθήσεται, φησί· « Καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ ὁδούς· » τουτέστιν ἐναργῶς τὸ, « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Τίνα δὲ τρόπον D ἡ ἑτοιμασία πράττεται, διεσάφησεν εἰπών· « Ἄρατε σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου· » τουτέστι λείαν καὶ εὐήλατον ἀποδείξατε τοῖς ἀνὰ πᾶσαν τὴν γῆν τῆς διὰ πίστεως σωτηρίας τὴν ὁδόν· μηδὲν ἔστω τὸ τραχὺ καὶ ἄναντες. Ὁ μὲν γὰρ νόμος διὰ Μωσέως ἐλεεῖν οὐκ ἠπίστατο, καὶ δυσκατόρθωτος ἦν· πολλὰ γὰρ πταίομεν ἅπαντες, καὶ δυσεύρετος ἦν ὁ εἰσάπαν ἐλεύθερος, καὶ ἀμωμήτως αὐτὸν ἀποπεράναι δυνάμενος. Καὶ γοῦν ἔφασκον οἱ θεσπέσιοι μαθηταὶ τοῖς μετὰ τὴν πίστιν ἐπὶ τὰς τοῦ νόμου σκιὰς ὑπονοστεῖν ἐθέλουσι· Καὶ νῦν τί πειράζετε τὸν Θεὸν, ἐπιθεῖναι τὸν ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε ἡμεῖς, οὔτε οἱ πατέρες ἡμῶν ἴσχυσαν βαστάσαι; Ἔφη

[16] Matth. v, 4. [17] Psal. xxiii, 3, 4. [18] Rom. viii, 35. [19] Matth. v, 44. [20] Isa. xl, 3. [21] Matth. xi, 16.

δὲ καὶ ὁ Παῦλος, ὅτι καὶ ὁ νόμος, τῶν παραβάσεων χάριν προσετέθη· ἔλεγχος γὰρ ἁμαρτίας ὁ νόμος, καὶ αὐτῷ προσπταίοντες, ὑπὸ μῶμον ἦσαν καὶ γραφήν. Ἐκώλυον οὖν ἄρα τῆς ἐννόμου ζωῆς τὸ δυσήνυτον. Ἀλλ' αἱρέσθω, φησὶν, ἐκ μέσου· ἡ δὲ εὐστιβὴς καὶ ἀνιδρωτὶ (1) βάσιμος ἀναδεικνύσθω τρίβος, τουτέστι, τῆς εὐαγγελικῆς πολιτείας ἡ δύναμις τὴν ἀληθῆ λατρείαν εἰσφέρουσα. Ἔφη τι τοιοῦτον καὶ ἑτέρωθί που Θεὸς πρὸς τοὺς ἁγίους μυσταγωγούς· « Πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε·[21] » τουτέστι, δυσχερείας ἁπάσης ἀπαλλάξατε τὴν ὁδὸν, ἥπερ ἂν ἀποφέροιτο πρὸς Θεὸν διὰ τῆς ἐν πνεύματί τε καὶ ἀληθοῦς λατρείας, καὶ τῆς ἐν πίστει φαιδρότητος.

Τάδε λέγει Κύριος ὁ ὕψιστος, ὁ ἐν ὑψηλοῖς κατοικῶν τὸν αἰῶνα, ἅγιος ἐν ἁγίοις ἀναπαυόμενος, καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν, καὶ διδοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν· Οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, οὐδὲ διὰ παντὸς ὀργισθήσομαι ὑμῖν. Πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα.

Οἱ μακάριοι προφῆται, ὅτε τι μέγα καὶ θεοπρεπὲς ὑπισχνεῖταί τισιν ὁ τῶν ὅλων Κύριος, πολὺ τὸ θαῦμα δέχονται τῆς δόξης αὐτοῦ καὶ τῆς ἡμερότητος, καὶ οἷον ἀνασκιρτῶντες ἐκ θυμηδίας τρέπονται πρὸς δοξολογίαν. Τοιοῦτόν τι πεπονθότα νυνὶ τὸν προφήτην εὑρήσομεν· οὐ γὰρ ἁπλῶς ἔφη· Τάδε λέγει Κύριος, προσεπάγει δὲ ἀναγκαίως, ὁ ὕψιστος, τουτέστιν, ὁ πάντων ἐπέκεινα καὶ ἀνωτάτω κατὰ φύσιν παντὸς τοῦ παρενεχθέντος εἰς ὕπαρξιν· λέγων δὲ τὸ, κατοικῶν ἐν ὑψηλοῖς, ὑποφαίνει πάλιν ὡς ἐν ἀκλονήτοις ἐστὶν ὑπεροχαῖς, καὶ ἐν ἀῤῥήτοις ὑψώμασιν ἡ θεία τε καὶ ὑπερτάτη φύσις. Καίτοι τοῦτο, οἶμαι, ἐστὶ τὸ κατοικεῖν ἐν ὑψηλοῖς εἰς τὸν αἰῶνα αὐτήν· ἔχει γὰρ ἀναλλοιώτως ἔν γε τοῖς καθ' ἑαυτὴν, καὶ οὐκ ἂν γένοιτό πως ἐν ἀμείνοσιν, ἢ ὅπερ ἐστὶν, ἔνεστι δὲ μᾶλλον ἀμεταπτώτως αὐτῇ τὸ ἐν οἷς ἐστιν εἶναι διηνεκῶς. Ἅγιον δὲ ἐν ἁγίοις ἀναπαύεσθαί τε καὶ κατοικεῖν αὐτόν φησιν, ὑπεμφαίνων ὅτι παραιτεῖται μὲν ὡς μεμολυσμένους διὰ πολλὴν ἁμαρτίαν τοὺς ἐξ αἵματος Ἰσραὴλ, ἐναυλίζεται δὲ φιλαγάθως τοῖς διὰ πίστεως ἐκκεκαθαρμένοις, καὶ ἡγιασμένοις ἐν πνεύματι. Δίδωσι δὲ καὶ ὀλιγοψύχοις μακροθυμίαν, καὶ ὀλιγοψύχους φησὶ τοὺς ἔσθ' ὅτε βραχύ πως ἀσθενεῖν εἰωθότας, περὶ τὸν προτεθέντα αὐτοῖς τοῦ βίου σκοπόν. Δίδωσι δὲ τούτοις μακροθυμία[ν], τουτέστι καρτερίαν καὶ ὑπομονὴν, μονονουχὶ βοῶν τε καὶ λέγων· « Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον. » Δίδωσι δὲ καὶ ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν, τουτέστι τοῖς πτωχοῖς τῷ πνεύματι· τοιοῦτοι δὲ πάντες οἱ ἐν ὑπακοῇ Θεοῦ, καὶ εἰκτικὸν ἔχοντες νοῦν· οὗτοι δ' ἂν εἶεν οἱ διὰ πίστεως κεκλημένοι πρὸς ἐπίγνωσιν τοῦ Χριστοῦ· ὀνομάζονται δὲ πτωχοὶ τῷ πνεύματι, τὴν ἐναντίαν τοῖς ἐξ Ἰσραὴλ ἐρχόμενοι τρίβον. Οἱ μὲν γὰρ ἦσαν ἀλαζόνες, ἀπειθεῖς τε καὶ ἄθραυστοι·

A reprehensioni erant et accusationi obnoxii. Itaque legalis vitæ difficultates prohibuerunt. Sed tollatur, inquit, de medio. At pervia et sine sudore permeabilis via ostendatur, id est, evangelicæ conversationis vis et ratio verum cultum inducens. Dixit alibi quoque Deus tale quiddam sanctis mystagogis: « Ite per portas meas, et lapides de via removete [21]; » id est, omni difficultate viam liberate, quæ ad Deum adducat, per spiritualem ac verum cultum, et fidei splendorem.

VERS. 15, 16. *Hæc dicit Dominus altissimus, qui in altis habitat in æternum, sanctus in sanctis,* B *requiescens, et iis qui sunt parvo animo dans patientiam, et contritis corde dans vitam: Non in æternum ulciscar vos, neque semper irascar vobis. Spiritus enim a me egredietur, et flatum omnem ego feci.*

Beati prophetæ, quando magnum quiddam et divinum pollicetur aliquibus universorum Dominus, magna admiratione gloriæ ejus et clementiæ perfunduntur, et velut exsultantes præ lætitia ad laudes canendas convertuntur. Tale quiddam nunc fecisse prophetam inveniemus. Non enim dixit simpliciter: Hæc dicit Dominus, sed necessario adjungit, Altissimus, id est, qui est supra omnia et natura omnibus rebus creatis sublimior. C Cum dicit, qui habitat in excelsis, subindicat rursus, in dignitate velut inconcussa constitutam esse et ineffabili celsitudine conspicuam, divinam ac summam naturam. Et hoc puto esse, habitare eum in excelsis in æternum. Est enim apud se immutabilis, nec in meliore, quam est, conditione esse potest: imo in eam nulla cadit mutabilitas, sed hoc ei inhæret ut, in quibus est, sit 809
perpetuo. Sanctum eum in sanctis requiescere et habitare dicit: subinsinuans, eum Israelitico sanguine ortos tanquam multis peccatis contaminatos repudiare: commoratur autem ex quodam bonitatis amore cum iis qui per fidem purgati sunt, et sanctificati in spiritu. Dat etiam parvo animo præditis patientiam. Et parvo animo præditos ait, D qui interdum in suscepto vitæ instituto facile franguntur ac debilitantur. Dat etiam illis patientiam, id est, tolerantiam et sustinentiam, propemodum clamans et dicens: « Viriliter agite, et confortetur cor vestrum, omnes qui speratis in Domino [22]. » Dat etiam contritis corde vitam, id est, pauperibus spiritu. Ejusmodi sunt omnes qui Deo præstant obedientiam, et animo sunt submisso et sequace. Hi sunt qui vocati sunt per fidem ad Christi agnitionem, et pauperes spiritu nominantur, semitam ingredientes Israelitis contrariam. Nam hi arro-

[21] Isa. LXII, 10. [22] Psal. XXVI, 14.

(1) Aubertus, σὺν ἱδρῶτι, contraria ut sententia, sic dictione. EDIT.

gantes erant inobedientes, et præfracti: illi boni et cordati, et legibus Dei dominatum ac superiorem partem tribuentes, et jugo Christi mentis cervicem submittentes. Atque hæc opera sunt Christianorum. At quid dicit Altissimus his, qui ex inobedientia in crimen impietatis prolapsi sunt? Non in æternum ulciscar vos, neque semper irascar vobis. Spem salutis non præscindit Israelitis: nam reliquiæ servatæ sunt [24], et maxima pars eorum multitudinis vocata est. Extremis etiam temporibus vocabuntur, Deo refrenante iram in illos et pœnam retrahente, ne omnino in eos intentetur. Bonus enim cum sit, servavit cum patribus eorum datam fidem, nec fefellit. Reddit etiam aliam causam, ut misericors Deus: Spiritus enim a me egredietur. Quo autem modo egredietur, declaravit inquiens: Flatum omnem ego feci. Est enim spirituum Pater. Intelligitur autem non velut ex propria natura illos genuisse, ut proprium Filium genuit: sed nec illos parem Spiritui sancto ex substantia progressum sive processum habuisse dicimus: sed ex creatione potius in essentiam prodiisse ex Deo affirmamus, recte quidem sentientes. Nam ipse omnem fecit flatum. Ubi autem effectio omnino est nominata, ibi semper est egressio, **810** seu exitus, non ratione substantiæ, sed verbo abusivo effectionem significans.

VERS. 17-21. *Propter peccatum paululum tristitia affeci eum, et percussi eum, et averti faciem meam ab eo, et tristitia affectus est, et abiit mæstus in viis suis. Vias ejus vidi, et sanavi eum, et consolatus sum eum, et dedi ei consolationem veram, pacem super pacem his qui longe, et his qui prope sunt. Et dixit Dominus: Sanabo eos; at iniqui sic fluctuabunt, et quiescere non poterunt. Non est gaudium impiis, dixit Dominus Deus.*

Luerunt pœnas Judæi debacchationis in Christum, omnibus quidem hominibus intolerandas, moderatas tamen, si cum erratis comparentur. Nam ultra omnem modum impii fuerunt, justos occiderunt, et sanctorum prophetarum sanguinis reos se reddiderunt: tandem ipsi etiam Christo manus intulerunt: quem, cum Filius esset, misit Pater post famulos. At hi sic contra illum insolescebant, etiamsi inter se dicerent: « Hic est hæres [25]. » Itaque propter hoc peccatum, inquit, tristitia affeci eum, et percussi, et averti faciem meam ab eo. » Dixit enim: « Cum manus vestras extenderitis ad me, avertam oculos meos a vobis: et si multiplicaveritis orationem, non exaudiam vos. Manus enim vestræ plenæ sunt sanguine [26]. » Sed postremis temporibus resipiscente Israele: abibit enim mœstus, desistet ab hac aversione, et per fidem recipietur, et a pristinis peccatis, Deo commise-

A οἱ δὲ ἀγαθοὶ, καὶ εὐκάρδιοι, καὶ τοῖς τοῦ Θεοῦ νόμοις τὸ χρῆναι κρατεῖν ἀπονέμοντες, καὶ ὑποτιθέντες τῇ ζεύγλῃ Χριστοῦ τὸν τῆς διανοίας αὐχένα. Καὶ ταῦτα μὲν τῶν ἐν Χριστῷ τὰ ἔργα. Τί δέ φησιν ὁ Ὕψιστος τοῖς ἐξ ἀπειθείας ὠλισθηκόσιν εἰς τὰ τῆς εἰς αὐτὸν δυσσεβείας ἐγκλήματα; Οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, οὐδὲ διαπαντὸς ὀργισθήσομαι ὑμῖν. Οὐκ ἀποκείρει τοῦ σώζεσθαι τὴν ἐλπίδα τοῖς ἐξ Ἰσραήλ· σέσωσται γὰρ τὸ κατάλειμμα· κέκληται μὲν πλείστη τις μοῖρα τῆς αὐτῶν πληθύος, κεκλήσονται δὲ καὶ ἐν ἐσχάτοις καιροῖς, ἀνακόπτοντος Θεοῦ τὴν ἐπ' αὐτοῖς ὀργὴν, καὶ τὴν δίκην ἀνασειράζοντος, ὡς μὴ εἰσάπαν ἐκτείνεσθαι κατ' αὐτῶν. Ἀγαθὸς γὰρ ὑπάρχων, τετήρηκε τοῖς πατράσιν αὐτῶν ἀψευδῆ τὴν ὑπόσχεσιν. Ἀποδίδωσι δὲ καὶ ἑτέραν B αἰτίαν, ὡς φιλοικτίρμων Θεός. Πνεῦμα γὰρ, φησὶ, παρ' ἐμοῦ ἐξελεύσεται. Ἐξελεύσεται δὲ τίνα τρόπον, διεσάφησεν εἰπών· Πνοὴν πᾶσαν ἐποίησα ἐγώ. Ἔστι μὲν γὰρ πνευμάτων Πατήρ. Νοεῖταί γε μὴν οὐχ ὡς ἐξ ἰδίας φύσεως τετοκὼς αὐτὰ, καθὰ καὶ τὸν ἴδιον Υἱὸν, ἀλλ' οὐδὲ ἐν ἴσῳ τῷ ἁγίῳ Πνεύματι τὴν ἐκ τῆς οὐσίας πρόοδον, ἤγουν ἐκπόρευσιν, ἐσχηκέναι φαμὲν αὐτά· δημιουργικῶς δὲ μᾶλλον ἐκ Θεοῦ προελθεῖν εἰς τὸ εἶναι διαβεβαιούμεθα, φρονοῦντες ὀρθῶς· αὐτὸς γὰρ πᾶσαν ἐποίησε πνοήν. Ὅπου δὲ ποίησις ὅλως ὠνόμασται, ἐκεῖ που πάντως εἴη ἂν ἡ ἐξέλευσις, ἤγουν ἡ ἔξοδος, οὐκ οὐσιωδῶς μᾶλλον, ἀλλ' ὡς ἐν λέξει καταχρηστικῇ τὸ περιποιεῖσθαι σημαίνουσα.

Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν, καὶ C *ἐπάταξα αὐτὸν, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ· καὶ ἐλυπήθη, καὶ ἐπορεύθη στυγνὸς ἐν ταῖς ὁδοῖς αὐτοῦ. Τὰς ὁδοὺς αὐτοῦ ἑώρακα, καὶ ἰασάμην αὐτὸν, καὶ παρεκάλεσα αὐτὸν, καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινὴν, εἰρήνην ἐπὶ εἰρήνην τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσι. Καὶ εἶπε Κύριος· Ἰάσομαι αὐτούς· οἱ δὲ ἄδικοι οὕτως κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ δυνήσονται. Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπε Κύριος ὁ Θεός.*

Ἐκτετίκασι μὲν Ἰουδαῖοι δίκας τῆς εἰς Χριστὸν παροινίας, ἀνθρώπῳ μὲν ἀφορήτους παντὶ, μεμετρημένας δὲ ὅμως, τό γε ἧκον εἰς ἰσότητα τῶν ἡμαρτημένων. Δεδυσσεβήκασι γὰρ τὰ πέρα μέτρου παντὸς, ἀπεκτονότες δικαίους, καὶ προφητῶν ἁγίων D αἵμασιν ἐνόχους ἑαυτοὺς καταστήσαντες. Τελευτῶντες δὲ καὶ αὐτῷ τὰς χεῖρας ἐπήγαγον τῷ Χριστῷ, ὃν Υἱὸν ὄντα πέπομφεν ὁ Πατὴρ μετὰ τοὺς οἰκέτας. Οἱ δὲ καὶ οὕτως ἠλαζονεύοντο κατ' αὐτοῦ, καίτοι πρὸς ἀλλήλους λέγοντες· « Οὗτός ἐστιν ὁ κληρονόμος. » Οὐκοῦν διὰ ταύτην τὴν ἁμαρτίαν ἐλύπησα αὐτὸν, φησὶ, καὶ ἐπάταξα, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ. Ἔφη γάρ· « Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. » Ἀλλ' ἐν ὑστέροις καιροῖς μεταγινώσκοντος τοῦ Ἰσραὴλ (πορεύσεται γὰρ στυγνὸς), πεπαύσεται μὲν τὰ

[24] Isa. x, 22; Rom. ix, 27. [25] Luc. xx, 14. [26] Isa. i, 15.

τῆς ἀποστροφῆς· εἰσδεχθήσεται δὲ διὰ πίστεως, καὶ τῶν ἀρχαίων ἁμαρτημάτων ἀπαλλαχθήσεται, Θεοῦ κατοικτείροντος· λήψεται δὲ καὶ παράκλησιν ἀληθινήν. Καὶ ποίαν εἶναι ταύτην φαμὲν, ἢ δηλονότι τὴν διὰ Χριστοῦ χάριν, δικαιοῦσαν ἐν πίστει, καὶ ἁμαρτιῶν ἀπαλλάττουσαν, προξενοῦσαν δὲ καὶ τὸν διὰ Πνεύματος ἁγιασμὸν, καὶ τῆς υἱοθεσίας τὴν δόξαν, καὶ γερῶν ἐλπίδα τῶν τοῖς ἁγίοις ηὐτρεπισμένων; Ἀληθινὴ τοιγαροῦν ἡ παράκλησις, πρὸς τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς εἰσκομίζουσα τοῖς ἀξιωθεῖσιν αὐτῆς καὶ εἰρήνην ἐπὶ εἰρήνην, τουτέστι διηνεκῆ καὶ ἀνέκλειπτον τὴν τῆς εἰρήνης εὐδίαν, ἣν δέδωκεν ὁ Σωτὴρ καὶ τοῖς μακρὰν, καὶ τοῖς ἐγγὺς, τουτέστι, καὶ τοῖς ἐξ ἐθνῶν, καὶ τοῖς ἐξ αἵματος Ἰσραήλ. Προσπεφώνηκε γὰρ τοῖς ἔθνεσιν ὁ μακάριος Παῦλος, ὅτι «Νυνὶ δὲ ὅλως, οἱ ποτὲ ὄντες μακρὰν, ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ.» Ὅσον μὲν γὰρ ἧκεν εἰς τὸ κατεζεῦχθαι νόμῳ τὸν Ἰσραὴλ, καὶ λατρεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, κατά γε τὸ τοῖς ἱεροῖς κηρύγμασι δοκοῦν (εἴρηται γὰρ πρὸς αὐτούς· «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν»), ἐγγὺς εἶναί πως ἐδόκουν· μακρὰν δὲ τὰ ἔθνη, διὰ τὸ εἰσάπαν ἀπηλλοτριῶσθαι, καὶ μαθημάτων ἁγίων, καὶ τοῦ εἰδέναι τὸν τῶν ὅλων γενεσιουργὸν καὶ Κύριον. Ἀλλ' εἰρήνη δέδοται τούτοις τε κἀκείνοις παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἡ διὰ Χριστοῦ δηλονότι, τοῦ ποιήσαντος τὰ ἀμφότερα ἓν, καὶ τοὺς δύο λαοὺς κτίσαντος εἰς ἕνα καινὸν ἄνθρωπον, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντος, καὶ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσαντος. Οὐκοῦν δι' αὐτοῦ τὴν καταλλαγὴν ἐσχήκαμεν, καὶ ἀδιάτμητον τὴν εἰρήνην, πρὸς Θεὸν καὶ πρὸς ἀλλήλους. Ἔφη γάρ που Χριστὸς πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· «Θέλω ἵνα, ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν.» Ἐπιφέρει δὲ τούτοις ὁ προφήτης· Καὶ εἶπε Κύριος, Ἰάσομαι αὐτοὺς, ἀνακεφαλαίωσιν ὥσπερ τινὰ τοῦ παντὸς λόγου ποιούμενος διὰ τούτου, καὶ ὑπόσχεσιν ἀψευδῆ τοῦ πάντων κρατοῦντος Θεοῦ καθιστὰς ἐναργῆ· ἐπηγγείλατο γὰρ, φησὶ, λέγων, ὡς ἰάσεται αὐτούς· οἱ δὲ ἄδικοι οὕτως κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ δυνήσονται. Ἐπειδὴ γὰρ τῶν κληθησομένων διεξῆλθε τὰ γέρα, ταύτητοι, καὶ μάλα εἰκότως, καὶ τὰς τῶν ἀπειθούντων κολάσεις, καὶ τὸν ἐν αὐτοῖς κλύδωνα, καὶ τὰς ἀπεράντους αἰκίας προσαπαγγέλλει χρησίμως. Οὐ γὰρ ἔστι χαίρειν αὐτοῖς, φησὶν, εἶπε Κύριος ὁ Θεός. Τοῦ δὲ Κυρίου καὶ πάντων Θεοῦ τὸ χαίρειν αὐτῶν ἀποστήσαντος, ποῖος αὐτοῖς θυμηδίας ὑπάρξει τρόπος; Ὅτι δὲ καὶ ἐν καιρῷ τῆς κλήσεως τῶν ἐξ Ἰσραὴλ, ἀπομενοῦσί τινες ἐν ἀπειθείᾳ τῷ τῆς ἀνομίας υἱῷ προσκείμενοι, σαφηνιεῖ λέγων ὁ πάνσοφος Παῦλος· «Ἀνθ' ὧν τὴν ἐπίγνωσιν τῆς ἀληθείας οὐκ ἐδέξαντο, διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης.» Ἔφη δὲ καὶ αὐτὸς ὁ Σωτήρ· «Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ,» τουτέστιν ὁ τῆς ἀνομίας υἱὸς, ὡς ἔφην, «ἐκεῖνον λήψεσθε.» Οὐκοῦν κεκλήσεται μὲν

A rante absolvetur, et capiet veram consolationem. At qualem hanc esse dicimus? an non videlicet gratiam per Christum, quæ per fidem justificat, a peccatis liberat, et sanctificationem per Spiritum conciliat, et adoptionis gloriam, et præmiorum spem quæ sanctis destinata sunt? Vera est igitur hæc consolatio, quæ præter alia bona omnia, affert his qui ea præditi sunt, pacem super pacem, id est, perpetuam et jugem pacis serenitatem quam dedit Servator, et his qui procul, et his qui prope sunt, id est, **811** et his qui ex gentibus, et illis qui ex sanguine Israel sunt. Affatus est enim gentes beatus Paulus: « Nunc autem qui quondam eratis procul, facti estis prope in sanguine Christi [27]. » Nam quatenus Israel subjugatus erat legi, et serviebat Deo

B viventi et vero, ita ut sacræ prædicationi placet (dictum est enim illis: « Dominus Deus tuus Dominus unus est [28] »), prope esse quodammodo videbantur, gentes autem procul abesse, eo quod prorsus a sanctis disciplinis alienæ essent, ignorarentque universitatis Creatorem et Dominum. Sed pax data est et his et illis a Deo et Patre, per Christum videlicet, qui fecit utraque unum, et populos duos in unum novum hominem condidit, et interstitium maceriæ solvit, ac Legem præceptorum in decretis abolevit. Itaque per ipsum reconciliationem habuimus et pacem cum Deo, tum inter nos nunquam scindendam. Nam Christus alicubi dixit ad Patrem et Deum in cœlis: « Volo ut quemadmodum ego et tu unum

C sumus, sic et ipsi in nobis unum sint [29]. » Subjungit hisce propheta: Et dixit Dominus: Sanabo vos, velut anacephalæosin quamdam ac recollectionem totius orationis inducens, et inde promissionem omnium dominatoris Dei veram esse declarans. Promisit enim, inquit, dicens se illos sanaturum: at injusti sic fluctuabunt, et requiescere non poterunt. Nam postquam vocandorum præmia percurrit: hinc et quidem meritissime infidelium supplicia, et fluctuationem ac infinitas plagas ante denuntiat commode. Non est enim, inquit, illis gaudium, dixit Dominus Deus. Domino autem et omnium Deo illos privante suo gaudio, quæ esse potest voluptas? Quod autem tempore vocationis Israelitarum, remanebunt quidam in infidelitate, filio iniquitatis

D adhærentes, ostendet plane sapientissimus Paulus inquiens: « Propterea quod agnitionem veritatis non receperunt, ideo mittet illis operationem erroris [30]. » Dixitque ipse Servator: « Ego veni nomine Patris mei, et non accipitis me: si alius venerit nomine suo, » id est, filius iniquitatis, ut dixi, « illum accipietis [31]. » Itaque vocabitur olim Israel ad agnitionem Christi, et gratia per fidem in ipsum ditabitur: **812** at quidam impii et injusti remanebunt: tum autem veluti instabilibus agitati fluctibus, ac omni amisso gaudio, requiescere non poterunt. Conterentur enim, diuturna et infinita pœna affecti.

[27] Ephes. II, 13. [28] Deut. VI, 4. [29] Joan. XVII, 21. [30] II Thess. II, 10. [31] Joan. V, 43.

κατὰ καιροὺς ὁ Ἰσραὴλ εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ, καὶ τὴν διὰ πίστεως τῆς εἰς αὐτὸν καταπλουτῆσαι χάριν· ἀσεβεῖς δὲ καὶ ἄδικοί τινες ἀπομενοῦσι· καὶ τότε καθάπερ ἐν κλύδωνι πεσόντες ἀστάτῳ, καὶ τὸ χαίρειν εἰσάπαν ἀποβεβληκότες, ἀναπαύσασθαι οὐ μὴ δύνωνται· συντριβήσονται γὰρ μακρᾷ καὶ ἀτελευτήτῳ δίκῃ κατισχημένοι.

CAP. LVIII. VERS. 1. *Clama pro viribus, ne parcas, instar tubæ intende vocem tuam, et annuntia populo meo peccata sua, et domui Jacob iniquitates suas.*

Sermone de Israelitarum vocatione confecto, ad aliud genus admonitionis accedit, præclarum et perutile, omnem honestatem et splendidas coronas ingerens. Sed lectoribus prius, opinor, prophetiæ scopus relegendus, ut videant quo demum tendat horum dictorum sententia. In superioribus itaque sermonibus, quos Deus habuit de Israelitis, manifestæ erant belli et jamjam futuræ calamitatis inevitabilis præsignificationes. Dixit enim: « Et non recordata es mei, neque me reposuisti in mente tua, neque in corde tuo. Et ego videns te despicio, me non timuisti. Ego vero annuntiabo justitiam meam, et mala tua, quæ te non juvabunt. Cum clamaveris, eripiant te in afflictione [32]. » Diximus autem, hic eum mala Israelitarum vocare, idolorum inventa. Ideoque ait: « Cum clamaveris, eripiant te in afflictione tua. » Erat igitur hæc quædam belli denuntiatio, et hoc apud Judæos percrebuit. Sed inter eos quidam erant captantes pietatis existimationem, et committentes quidem temere quæ fas non est dicere, externis tamen decoribus sese exornantes, et opinionem, ut dixi, probitatis aucupantes. Sic et jejunare se, et crebras orationes habere simulabant, hinc rati divinam iram se posse declinare. Cumque in oblivionem suorum delictorum adducerentur, putabant fœdissima patrare solitis, ad justificationem et sanctificationem sufficere solam abstinentiam et precationem. Mandat autem prophetæ Deus, inquiens: « Clama pro viribus, ne parcas, instar tubæ intende vocem tuam, et annuntia populo meo peccata sua, et domui Jacob iniquitates suas. » Non occulte, inquit, nec in abscondito loquere aliquibus, **813** sed intensa et elata voce potius utere, et omni libertate delinquentes redargue. Et discant sua delicta, et a quibus abstinendum sit, siquidem velint apud Deum in aliquo esse pretio, et ejus digni esse misericordia.

ὧν ἀποσχέσθαι χρῆν, εἴπερ ἤθελον εἶναι παρὰ αὐτοῦ.

A *Ἀνάβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰς ἁμαρτίας αὐτῶν, καὶ τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν.*

Τοὺς περὶ τῆς κλήσεως τῶν ἐξ Ἰσραὴλ διαπεράνας λόγους, ἐφ' ἕτερόν τινα νουθεσίας ἔρχεται τρόπον, καλὸν καὶ ἐπωφελῆ, καὶ ἁπάσης εὐκοσμίας πρόξενον, καὶ λαμπρῶν στεφάνων ἐμποιητικόν· χρῆναι δέ φημι τὸν τῆς προφητείας σκοπὸν προαπογυμνῶσαι τοῖς ἐντευξομένοις, ὡς ἂν εἰδεῖεν ἐφ' ὅτῳ λοιπὸν ὁ τῶν εἰρημένων συντείνεται νοῦς. Οὐκοῦν ἐν τοῖς ἀνόπιν λόγοις, οἷς πεποίηται Θεὸς περὶ τῶν ἐξ Ἰσραὴλ, ἐμφανεῖς ἦσαν πολέμου καὶ εἰς ὅσον οὐδέπω παρεσομένης ἀδιαφύκτου συμφορᾶς [προαπαγγελίαι]. Ἔφη γάρ· « Καὶ οὐκ ἐμνήσθης μου, οὐδὲ ἔλαβές με εἰς τὴν διάνοιάν σου, B οὐδὲ εἰς τὴν καρδίαν σου· κἀγὼ ἰδών σε παρορῶ, καὶ ἐμὲ οὐκ ἐφοβήθης· κἀγὼ ἀπαγγελῶ τὴν δικαιοσύνην μου, καὶ τὰ κακά σου, ἃ οὐκ ὠφελήσουσί σε. Ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου. » Ἐλέγομεν δὲ, ὅτι κακά φησιν ἐν τούτοις τῶν ἐξ Ἰσραὴλ, τὰ ἐπὶ τοῖς εἰδώλοις εὑρήματα. Διὰ τοῦτο καὶ ἔφασκεν· « Ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου. » Ἦν οὖν ἄρα τισὶ προαπαγγελία πολέμου, καὶ ἐκτεθρύλλητο παρὰ τοῖς Ἰουδαίων δήμοις τοῦτο· ἀλλ' ἦσάν τινες ἐν αὐτοῖς εὐλαβείας δόκησιν περικείμενοι, καὶ δρῶντες μὲν ἀφυλάκτως, ἃ μηδὲ θέμις εἰπεῖν, ὡραϊσμοῖς δὲ τοῖς ἔξωθεν ἑαυτοὺς καταλλύνοντες, καὶ δόξαν ἐπιεικείας, ὡς ἔφην, ἁρπάζοντες. Οὗτοι καὶ νηστείας ὑπεπλάττοντο, καὶ C συχνὰς ποιεῖσθαι τὰς προσευχὰς, ἀποσκευάζεσθαι διὰ τούτου νομίζοντες τὰ ἐκ τῆς θείας ὀργῆς. Οὐκοῦν ἐπειδήπερ εἰς λήθην ἐνηνεγμένοι τῶν ἰδίων πλημμελημάτων, ᾠήθησαν ὅτι τοῖς τὰ αἴσχιστα δρᾷν εἰωθόσιν ἀπόχρη πρὸς δικαίωσιν καὶ ἁγιασμὸν ἀσιτία μόνη καὶ προσευχή· προστάττει Θεὸς τῷ προφήτῃ, λέγων· « Ἀνάβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν. » Μὴ γὰρ δὴ λεληθότως, φησὶ, μήτε μὴν ἐν παραβύστῳ λάλει τισί· κέχρησο δὲ μᾶλλον ὑψηλῇ τινι καὶ ἐπηρμένῃ φωνῇ, καὶ ἐν πάσῃ παῤῥησίᾳ τοὺς πλημμελοῦντας ἔλεγχε, καὶ μανθανέτωσαν ἑαυτῶν τὰ πλημμελήματα, καὶ Θεῷ τίμιοι, καὶ φειδοῦς ἄξιοι τοῖς [*Ισ.* τῆς] παρ'

VERS. 2. *Me de die in diem quærunt, et scire vias meas cupiunt, quasi populus qui justitiam fecerit, et judicium Dei sui dereliquerit.*

D *Ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι, καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς.*

Junguut, inquit, dies diebus, a me quærentes auxilium, et meas vias scire volentes, id est, cujusque rei administrationem. Bello enim undique nuntiato, et omnibus metu turbatis, jejunaverunt, ac putarunt se cogniluros quo tandem abiret rei ex-

Συνάπτουσι, φησὶν, ἡμέραν ἡμέραις, τὴν παρ' ἐμοῦ ζητοῦντες ἐπικουρίαν, καὶ γνῶναι θέλοντες τὰς ἐμὰς ὁδοὺς, τουτέστι τὰς ἐφ' ἑκάστῳ πράγματι διοικήσεις. Πολέμου γὰρ περιηγγελμένου, καὶ φόβου τὰ πάντα διακυχήσαντος, νενηστεύκασι μὲν, ᾠήθησαν δὲ ὅτι

[32] Isa. LVII, 11-13.

μαθήσονται, καὶ ὅποι ποτὲ τὸ τοῦ πράγματος ἥξει πέρας. Τοῦτο, οἶμαι, ἐστὶ τὸ, Γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν. Ἐπιθυμοῦσι δὲ ὡς λαὸς δικαιοσύνην πεποιηκὼς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς· τουτέστιν, ὡς ἐννόμως πολιτευσάμενοι, καὶ τῶν δοθέντων αὐτοῖς θεσπισμάτων ἄριστοι γεγονότες φύλακες, καὶ ἀμώμητον ἔχοντες ζωὴν, καὶ πολιτείας εὐαγοῦς αὐχήματι περικείμενοι. Τοῖς γὰρ τοιούτοις πρέποι ἂν τὸ, καὶ ζητεῖν τὸν Θεὸν, τουτέστιν, ἐγγὺς εἶναι θέλειν αὐτοῦ, καὶ φειδοῦς ἀπολαύειν τῆς ἄνωθεν, γνῶναί τε πρὸς τούτῳ τὰς ὁδοὺς αὐτοῦ. Εἴρηται γοῦν δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ζητήσατε τὸν Κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε. Ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολειπέτω ὁ ἀσεβὴς τὴν ὁδὸν αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὴν βουλὴν αὐτοῦ, καὶ ἐπιστραφήτω ἐπὶ Κύριον, καὶ ἐλεηθήσεται· ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας αὐτῶν. »

Αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν Θεῷ ἐπιθυμοῦσι, λέγοντες· Τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν, καὶ οὐκ ἔγνως; Ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑπονύσσετε, εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν.

Ἐγκαλοῦσί μοι, φησὶν, ὡς μὴ τὰ δίκαια νέμοντι διὰ τοῦ μὴ βούλεσθαι κατελεεῖν τοὺς ταπεινοὺς διὰ νηστείας καὶ προσευχῆς· εἶτα βούλονται καὶ ἐγγὺς εἶναι Θεοῦ, ἐπ' οὐδενὶ μὲν τῶν εἰς εὐσέβειαν ἀνδραγαθημάτων καυχώμενοι, ἀλλ' οὐδὲ τὴν ἐξ ἀρετῶν φαιδρότητα περικείμενοι, διὰ ψιλὴν δὲ καὶ μόνην τὴν ἀσιτίαν· καὶ δή φασιν· « Ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες· ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν, καὶ οὐκ ἔγνως. » Καὶ οὐχ ὡς ἀγνοήσαντος Θεοῦ τὴν διὰ νηστείας αὐτῶν ταπείνωσιν τὰ τοιάδε φασίν· ἐπειδὴ δὲ οὐ γεγόνασιν ἐν αἰσθήσει τῶν αἰτιαμάτων, τὸ, Οὐκ εἶδες, καὶ τὸ, Οὐκ ἔγνως, φασίν. Εἰδέναι γὰρ τότε φαμὲν τούς τινων πόνους, τοὺς διά γε, φημὶ, προσευχῆς καὶ ἀσκήσεως, τὸν τῶν ὅλων Θεὸν, ὅτε κατανεύει τοῖς αἰτήμασιν αὐτῶν. Πῶς οὖν ἄρα νηστεύοντας οὐ προσίετο, καὶ ἀνευπαραδέκτους ἐποιεῖτο τὰς λιτὰς τῶν ἑαυτοὺς τεταπεινωκότων, ἀπολογεῖται, λέγων· Ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν. Χρῆμα μὲν γὰρ ἐξαίρετον ἡ νηστεία, ὀνησιφόρος δὲ καὶ ἡ προσευχή· καὶ τὸ ταπεινοῦν ἑαυτοὺς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ, πλείστην ὅσην ἔχει τὴν ὄνησιν. Γέγραπται γὰρ, ὅτι « Ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται. » Ἔφη δὲ καὶ ὁ θεσπέσιος Δαβίδ· « Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλεον· » ναὶ μὴν καὶ αὐτὸς ὁ τῶν ὅλων Θεός· Ἐπιστράφητε πρός με, φησὶν, ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ ἐν κοπετῷ. Ἐλεεῖ γὰρ ἑτοίμως τοὺς αὐτόκλητον ποιουμένους τὴν διὰ πόνου ταπείνωσιν. Ἀλλ' ἔστι τῶν ἀτοπωτάτων, τοὺς ἐλεεῖσθαι θέλοντας παροτρύνειν ἑτέρως τὸν νομοθέτην, καὶ καλεῖν εἰς ὀργὰς διὰ τοῦ μηδὲν ἐργάζεσθαι φιλεῖν

ilus. Hoc, opinor, est, Vias meas cupiunt. Cupiunt autem quasi populus justitiam faciens, et judicium Dei sui non deserens, id est, quasi legitime versantes, et vaticiniorum sibi traditorum optimi custodes, ac vitam agentes inculpatam, et conversationis sanctæ ornamentis vestiti. Talibus enim quadrat, Deum quærere, id est, velle prope illum esse, et superna frui misericordia, ac scire insuper vias ejus. Dictumque est a quodam propheta sancto : « Quærite Dominum, et interim dum inveneritis eum invocate. Cum autem appropinquaverit ad vos, relinquat impius viam suam, et vir iniquus consilium suum, et revertatur ad Dominum, et misericordiam consequetur : quia plerumque remittet peccata vestra [33]. »

VERS. 3, 4. *Petunt me nunc judicium justum, et appropinquare Deo cupiunt, dicentes : Quare jejunavimus, et non vidisti? humiliavimus animas nostras, et non cognovisti? Nam in diebus jejuniorum vestrorum, invenitis voluntates vestras, et omnes subjectos vobis affligitis, ad judicia et jurgia jejunatis, et percutitis pugnis humilem.*

In jus me vocant, inquit, ut qui justa non tribuam, eo quod noluerim misereri eorum qui per jejunium et precationem humiles sunt. Deinde volunt esse Dei propinqui, cum de nullo pietatis præclaro officio gloriari possint, nec ullo virtutum splendore vestiantur, **814** nisi sola nuda abstinentia : et dicunt : « Jejunavimus, et non vidisti : humiliavimus animas nostras, et non cognovisti. » Nec hæc dicit, quasi Deus eorum humilitatem per jejunium ignoraverit : sed quia hi errata non senserunt, non vidisti, inquiunt, et non cognovisti. Tunc enim universorum Deum aliquorum labores, per precationem, inquam, et exercitationem, videre dicimus, quando eorum postulatis annuit. Cur ergo jejunantes non receperit, et preces eorum qui se humiliarunt non admiserit, rationem reddit, dicens : In diebus enim jejuniorum vestrorum, invenitis voluntates vestras. Est enim præclara res jejunium, et utilis est precatio, et in oculis Dei sese humiliare maximam habet utilitatem. Scriptum est enim : « Humiliavi in jejunio animam meam, et oratio mea in sinum meum revertetur [34]. » Dixit etiam divinus David : « Genua mea infirmata sunt præ jejunio, et caro mea mutata est propter oleum [35]. » Quin et ipse universorum Deus : Revertimini, inquit, ad me, in jejuniis, et in luctu, et in planctu. Miseretur enim libenter eorum qui sua sponte humiliantur per laborem. Sed est absurdissimum eos qui volunt misericordiam consequi, alio modo legislatorem irritare, et ad iram vocare, nihil eorum quæ præscripta sunt operando. Omnino enim sanctos esse oportet eos qui ad Deum accedunt, et bonis operibus excellere, ac omnibus sordibus libe-

[33] Isa. LV, 6, 7. [34] Psal. XXXIV, 13. [35] Psal. CVIII, 24.

ros videri. Hac de causa inquit : Jejunastis, at ego non vidi, id est, non attendi : humiliastis animas vestras, et non cognovi, id est, humiliationem vestram non dignatus sum ulla mercede : quoniam in diebus jejuniorum vestrorum invenitis voluntates vestras. Qui ergo pure et sancte jejunare volunt, eos oportet suis renuntiare voluntatibus, et quod Deo videtur amplecti, et pro ejus voluntate cervicem frenare. Sed hæc Israelitæ neutiquam præstiterunt, sed voluntates suas secuti sunt, quod autem legislatori placet neglexerunt : afflixeruntque subjectos judicio et jurgiis, cum eos qui inter se dissidebant, ad concordiam redigere, et pacem constituere inter dissentientes oporteret. Sed illi studia sua transtulerunt in omnia quæ erant contraria. **815** Percutiebant etiam humilem : non absolute manibus, sed injuriis et vi, vel aliis modis injustis. Ergo quibus inerat talis ac tanta impuritas, quomodo eos laudaret jejunantes? vel quomodo adeo sceleratorum preces suscipere posset?

A τῶν προστεταγμένων· ὁλοτρόπως γὰρ ἁγίους εἶναι χρὴ τοὺς προσιόντας Θεῷ, καὶ διαπρέπειν ἐν ἀγαθουργίαις, καὶ ῥύπου παντὸς ἐλευθέρους ὄντας ὁρᾶσθαι. Ταύτης γὰρ ἕνεκα τῆς αἰτίας φησί· Νενηστεύκατε μὲν, ἐγὼ δὲ οὐκ εἶδον, τουτέστιν, οὐ προσέσχον· ἐταπεινώσατε τὰς ψυχὰς ἑαυτῶν, καὶ οὐκ ἔγνων, τουτέστιν, οὐκ ἠξίωσά τινος ἀμοιβῆς τὴν ὑμῶν ταπείνωσιν· ἐπειδήπερ ἐν ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν. Δεῖ δὴ οὖν ἄρα, τοὺς νηστεύειν ἐθέλοντας καθαρῶς καὶ ἁγίως, ἀποφοιτῆσαι μὲν τῶν ἰδίων θελημάτων, ἀνθελέσθαι δὲ τὸ τῷ Θεῷ δοκοῦν, καὶ εὐήνιον ὑποσχεῖν τοῖς αὐτοῦ θελήμασι τὸν αὐχένα· ἀλλ' οὐκ ἔδρων τοῦτο οἱ ἐξ Ἰσραὴλ ποθεν· εἵποντο δὲ μᾶλλον τοῖς ἑαυτῶν θελήμασι τὸ τῷ νομοθέτῃ δοκοῦν ἀτιμάζοντες, B ὑπένυττον δὲ καὶ τοὺς ὑποχειρίους εἰς κρίσιν καὶ μάχας· καίτοι δέον εἰς ὁμοψυχίαν συλλέγειν τοὺς ἀλλήλοις ἀντανισταμένους, καὶ βραβεύειν εἰρήνην τοῖς διενηνεγμένοις εἰς διαφοράς. Ἀλλ' εἰς τὸ τοὐναντίον τὰς σπουδὰς ἐκεῖνοι μεθίστασαν. Ἔτυπτον δὲ καὶ ταπεινὸν, καὶ οὐχὶ πάντως χερσὶν, ἀλλ' ὕβρεσι καὶ πλεονεξίαις, ἤγουν καθ' ἕτερόν τινα τρόπον ἀδικίας. Εἶτα πῶς ἦν ἐπαινέσαι νηστεύοντας, τῆς τοιαύτης ἀκαθαρσίας ἐνούσης αὐτοῖς; ἢ πῶς ἂν ἐδέχθησαν εὐχαὶ τῶν οὕτως ἀλιτηρίων;

VERS. 5. *Quare mihi jejunatis, ut hodie audiatur in clamore vox vestra? Non tale jejunium elegi, et die humiliare hominem animam suam. Neque, si incurvaveris velut circulum collum tuum, et cilicium ac cinerem substraveris, nec sic vocabitis jejunium acceptabile.*

Ἵνα τί μοι νηστεύετε, ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν; Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ. Οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτως καλέσετε νηστείαν C *δεκτήν.*

Veri jejunii virtus eximiam habet laudem et approbationem, et apud dominatorem omnium Deum; libenter enim suscipit preces eorum qui ipsum colunt : et si videat eos per laborem et exercitationem humiliatos, abjecta omni cunctatione, concedit postulata. Quod autem segniter fit et negligenter, repudiat ac rejicit. Jejunium dicimus sanctum, quod ex pura fit conscientia : quod ille faciat qui prius mores improbos omnemque labem ex animo ejecerit, et carnalis voluptatis sordes deleverit, et laverit inter innocentes manus suas, secundum id quod scriptum est : et in summa, omnis probitatis studiosus cultor effectus sit. At jejunium quod non hoc modo se habet, fallax est, et speciem tantum habet jejunii : et cum nihil omnino habeat decorum ei ac congruens, ridetur et turpe habetur. Nam quibus nihil curæ est ut probi ac boni sint, ac nullam præclaræ virtutis significationem edunt, abstinentiam tamen cibi et inediam infructuosam et inutilem, tanquam rem insignem et apud Deum pretiosam exercent : hi quidem inaniter pugiles agunt, et aerem verberant. Non enim labor eorum præmio afficitur, quia etiam Deo acceptus non est. Quare igitur nunc mihi jejunatis, inquit, ut in die una clamor vocis vestræ audiatur? » Clamorem dicit, vel precationem, cum inutili jejunio conjunctam, vel ab ipso opere. Habere enim dicuntur vocem quamdam ad Deum quæ a nobis fiunt, juxta id quod dictum est Caino ab eo : « Vox sanguinis fratris tui

Τῆς ἀληθοῦς νηστείας ἡ δύναμις ἐξαίσιον ἔχει τὴν βοὴν παρὰ τῷ πάντων κρατοῦντι Θεῷ. Δέχεται γὰρ ἴσως ἀσμένως τῶν σεβομένων αὐτὸν τὰς λιτάς· κἂν ἴδῃ ταπεινουμένους διὰ πόνων καὶ ἀσκήσεων, μελλησμοῦ δίχα παντὸς ὀρέγει τὰ αἰτήματα. Τῆς γε μὴν, ἥπερ ἂν γένοιτο ῥαθύμως τε καὶ ἀτημελῶς, ἀπόβλητον ποιεῖται τὸν τρόπον. Καὶ νηστείαν μὲν εἶναί φαμεν ἁγιοπρεπῆ, τὴν ἐκ καθαροῦ συνειδότος ἐπιτελουμένην· ἣν ἄν τις ποιοῖτο προαποφοιτήσας εὐσθενῶς τῶν τῆς φαυλότητος τρόπων, καὶ πᾶσαν κηλῖδα τῆς ἑαυτοῦ διανοίας ἀποπεμψάμενος, ἀποτριψάμενός τε τῆς φιλοσαρκίας τοὺς ῥύπους, καὶ νιψάμενος ἐν ἀθώοις τὰς χεῖρας, κατὰ τὸ γεγραμμένον· καὶ ἁπαξαπλῶς, ἁπάσης ἀγαθουργίας ἐκμελητὴς ἀναδεδειγμένος. D Ἡ δὲ οὐχ οὖσα τοιαύτη, πεπλανημένη μὲν ὥσπερ, καὶ ἐν εἴδει μὲν οὖσα νηστείας, ἔχουσα δὲ τῶν αὐτῇ πρεπόντων παντελῶς οὐδὲν, γελᾶται καὶ ἀσχημονεῖ. Οἱ γὰρ τὸ εἶναι χρηστοί τε καὶ ἀγαθοὶ παντελῶς ὀλιγωρήσαντες, καὶ τῶν ἀρίστων ἀνδραγαθημάτων οὐδὲν προκατωρθωκότες· εἶτα τὴν ἀσιτίαν τὴν ἀκερδῆ, καὶ ἀνόνητον, ὡς μέγα τι χρῆμα καὶ παρὰ Θεῷ τίμιον ἐπιτηδεύοντες, εἰκῇ πυκτεύουσι, καὶ εἰς ἀέρα δέρουσιν· οὐ γὰρ ἔμμισθος ὁ πόνος αὐτοῖς, ὅτι καὶ ἀπαράδεκτος τῷ Θεῷ. Ἵνα τί τοίνυν νηστεύετέ μοι, φησὶν, ὥστε ἐν ἡμέρᾳ μιᾷ τὴν κραυγὴν τῆς φωνῆς ὑμῶν ἀκουσθῆναι; Κραυγὴν δέ φησιν, ἤτοι τὴν προσευχὴν τὴν μετά γε, φημὶ, τῆς ἀνωφελοῦς νηστείας, ἤγουν τὴν ἀπ' αὐτοῦ τοῦ πράγματος. Ἔχειν γάρ τινα λέγονται φωνὴν πρὸς τὸν

Θεὸν τὰ δρώμενα παρ' ἡμῶν, κατά γε τὸ εἰρημένον τῷ Κάϊν παρ' αὐτοῦ· « Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ γῆς. » Ἀλλ' οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, φησί· καὶ ποίαν ταύτην, προαπέφηνεν εἰπὼν, ὅτι « Ἐν ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑπονύσσετε εἰς κρίσιν καὶ μάχας. Νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν. » Οὐκοῦν, Οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ[ς], τουτέστι, κἂν τὴν εἰς ἄκραν ἐπιτηδεύσῃς ταπείνωσιν, καὶ πόνου τρίβον ἐλάσῃς οὐ φορητὴν, μετὰ τῶν οὕτως αἰσχρῶν αἰτιαμάτων, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν. Εἰ γὰρ βούλεσθε, φησὶν, ἀληθὲς εἰπεῖν, οὐδ' ἂν ὑμεῖς αὐτὴν νηστείαν δεκτὴν ὀνομάσετε αὐτήν.

A clamat ad me de terra [36]. » Sed jejunium hoc, inquit, non elegi. Quale id sit, declaravit supra, inquiens : « In diebus jejuniorum **816** vestrorum, invenitis voluntates vestras, et omnes subjectos affligitis judicio et pugna. Jejunatis, et percutitis pugnis humilem. » Itaque « si incurvaveris ceu circulum collum tuum, et cilicium ac cinerem substraveris, id est, etiamsi summam humiliationem exerceas, et laboris viam capessas, non tamen cum his adeo fœdis vitiis tolerabile, neque sic vocabitis jejunium acceptum. Si enim velitis, inquit, verum dicere, ne ipsi quidem vos hoc jejunium acceptum appellabitis.

B *Οὐχὶ τοιαύτην νηστείαν ἐγὼ ἐξελεξάμην, λέγει Κύριος, ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα. Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου. Ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει.*

VERS. 6, 7. *Non tale ego jejunium elegi, dicit Dominus : sed solve omnem colligaturam iniquitatis, dissolve obligationes violentorum contractuum; dimitte fractos in remissione, et omnem syngrapham injustam conscinde. Frange esurienti panem tuum, et pauperes tecto carentes induc in domum tuam. Si videris nudum, tege, et domesticos seminis tui ne despicias.*

Ἔδει τοῖς οὐκ εἰδόσι τῆς ἀληθοῦς νηστείας τὸν τρόπον, ἐπιδειχθῆναι τοῦτον παρὰ Θεοῦ. Παρ' αὐτοῦ γὰρ πᾶσα σοφία, καὶ σύνεσις, καὶ ἡ πρὸς πᾶν ὁτιοῦν τῶν ἀρίστων ὁδὸς ἀναδείκνυται. Ψάλλει γοῦν καὶ ὁ θεσπέσιος Δαβὶδ, καί φησιν· « Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. » C Οὐκοῦν ἀπόβλητον μὲν ἐποιήσατο τὴν ἀτεχνεστάτην καὶ κατ' οὐδένα τρόπον ὀνησιφόρον τῶν Ἰουδαίων νηστείαν, ἐμφανίζει δὲ τῆς ἀληθινῆς τὴν δύναμιν. Λύε γὰρ, φησὶ, πάντα σύνδεσμον ἀδικίας, τουτέστιν, ἀπαλλάττου τοῦ πλεονεκτεῖν βούλεσθαί τινας· ἀδικίας γὰρ σύνδεσμος ἡ πλεονεξία, καὶ τὸ ἐπιφύεσθαί τισι τῶν ἀσθενεστέρων, καὶ οἷον ἐπιπλοκαῖς ἀφύκτοις αἰτιαμάτων καταδεσμεῖν αὐτοὺς, ὑπέρ γε τοῦ καταστῆσαι περιδεεῖς, οὕτω τε ζητεῖν ἅπερ ἂν βούλωνται παρ' αὐτῶν λαμβάνειν. Διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων. Συναλλάγματα δὲ βίαια, καὶ τὰ ἐκ στραγγαλιᾶς, ἤγουν δυστροπίας, ἐπίμεστά φαμεν εἶναι τὰ ἐμπορικά. Καὶ πρός γε τούτοις τὰ ἕτερα τῶν καλουμένων δόσεών τε καὶ λήψεων, ἃ πλεονασμούς τινας ἔχει, καὶ λημμάτων αἰσχρῶν ἐραστὰς D ἀποδείκνυσι τοὺς αὐτὰ δρᾷν εἰωθότας. Καὶ τεθραυσμένους δὲ, φησὶν, ἀπόστειλον ἐν ἀφέσει, τουτέστι, τοὺς ὑπομένοντας συντριβὴν, ἢ κάματον, ἢ ἐκ τοῦ συνδέσμου τῆς ἀδικίας, ἤγουν ἐκ τῶν βιαίων συναλλαγμάτων. Ἀπόλυσον ἐν ἀφέσει, τουτέστιν, ἐλευθέρωσον τῆς ἐπενεχθείσης στενοχωρίας· ἐπίτρεψον κάμνουσιν ἀναπαῦσαι λοιπόν· Διάσπα δὲ καὶ πᾶσαν ἄδικον συγγραφήν· ὥς γε οἶμαι, τὰ τῶν τοκιζόντων γραμματεῖά φησιν, συνταχθέντα πολλάκις οὐδὲ ἐπιδόσει χρημάτων τοσούτων, ὅσωνπερ ὠδίνει μέτρον ἡ συγγραφή. Ὅταν δὲ τούτων ἀπόσχῃ, φησὶ, τότε προστίθει τὸ λεῖπον. Ἔστι δὲ τοῦτο καρποφορεῖν τῷ

Qui veri jejunii modum nesciunt, his oportet a Deo ostendi. Ab ipso enim omnis sapientia et intelligentia, et via ad omnia quæ sunt optima ostenditur. Psallit itaque et divinus David, et inquit : « Duc me, Domine, in via tua, et ambulabo in veritate tua [37]. » Proin Judæorum crassissimum et nullo modo utile jejunium rejecit, et veri vim declarat. Solve enim, inquit, omnem nexum injustitiæ, id est, omitte vim alicui facere. Injustitiæ enim nexus est violentia, et imbecilliores invadere, et velut inevitabilibus criminationum vinculis ligare, ut eos reddant timidos, sicque conentur ab illis, quæ volunt accipere. Dissolve nodos violentorum contractuum. Contractus violentos, et nodos sævitia plenos esse dicimus, qui in negotiationibus fiunt, et in aliis quæ vocantur in dando et accipiendo commercia, quæ quæstus quosdam habent, et eos turpis lucri amatores esse arguunt, qui ea solent agere. Et confractos, inquit, dimitte in remissione, id est, qui atteruntur vel defatigantur, vel ex nexu injustitiæ, vel ex violentis contractibus. Dimitte in remissione, id est, ab angustiis in quas conjecti sunt libera. **817** Permitte lassis ut deinceps respirent. « Conscinde etiam omnem injustam syngrapham : » ut opinor, fenerantium libellos dicit, sæpe compositos coacervandarum pecuniarum causa, quas parit syngrapha. Cum vero, inquit, ab his abstinueris, tum quod deest appone, nimirum, ut fructus bonos charitatis erga proximum præferas. Complementum enim legis charitas, juxta id quod scriptum est [38]. Charitatis vero impletio erga fratres et effusæ misericordiæ quæ apud Deum in pretio habita est, demonstratio est : esurienti panem frangere, pauperes tecto

[36] Gen. IV, 10. [37] Psal. LXV, 10. [38] I Tim. I, 5.

carentes in domum intromittere, et nudos vestire, et domesticos seminis, id est, genere conjunctos, misericordia tanta, quanta satis est prosequi, et voluptatis a Deo datæ amplitudinem illis impartiri. Observa autem, non idem esse, a malis abstinere, et bonum operari. Nec satis erit gloriari apud Deum, non patrare malum, sed omnino sequitur ut bonum opus exsequaris, et pietatis studia amplexeris. Nam dissolvere nodos violentorum contractuum, et omnem nexum injustitiæ, ac omnem syngrapham conscindere, aliud nihil est, quam solummodo a vitiositate discedere. Atqui charitatis officia explere, frangendo panem esurienti, pauperes tecto carentes intromittere in ædes, nudos vestire, et domesticos seminis non contemnere : optimarum virtutum manifestam habent demonstrationem. Itaque vetus lex pædagogus ad Christum, illis ea tempestate boni impletionem non adduxit, sed a vitiis docuit recedere. Nam illud [29], Non occides, Non adulterabis, Non pejerabis, eamdem habent vim. At quod perfectum est, omnisque boni impletio, Christi vaticiniis servatur, ex quibus didicimus, charitatis in Deum et fratres officia exsequi.

πέλας τὰ ἐξ ἀγάπης ἀγαθά. Πλήρωμα γὰρ νόμου ἀγάπη, κατὰ τὸ γεγραμμένον. Ἀγάπης δὲ πλήρωσις τῆς εἰς ἀδελφοὺς, καὶ εὐσπλαγχνίας ἀπόδειξις τῆς τετιμημένης παρὰ Θεῷ, τὸ πεινῶντι μὲν διαθρύπτειν τὸν ἄρτον, πτωχοὺς δὲ ἀστέγους εἰσοικίσασθαι, καὶ γυμνοὺς ἀμφιέσαι, καὶ τοῖς οἰκείοις τοῦ σπέρματος, τουτέστι, τοῖς ἐκ γένους, τὴν ἀρκοῦσαν, οἶμαι, φειδὼ [ἀπονεῖμαι] καὶ μερίσασθαι πρὸς αὐτοὺς τῆς παρὰ Θεοῦ δοθείσης εὐθηνίας τὸ πλάτος. Ἐπιτήρησον δὲ, ὅτι οὐ ταυτόν ἐστι τὸ ἀποσχέσθαι κακῶν τῷ ἐργάσασθαι τὸ ἀγαθόν. Οὐδ' ἂν ἀρκέσειέ τισιν εἰς καύχημα τὸ παρὰ Θεῷ τὸ μὴ δρᾶσαι τὸ φαῦλον, ἀλλ' ἕπεσθαι δεῖ πάντη τε καὶ πάντως, καὶ τὸ χρῆναι πληροῦν τὴν ἀγαθουργίαν, καὶ ἀντέχεσθαι τῶν εἰς εὐσέβειαν σπουδασμάτων. Τὸ μὲν γὰρ διαλύειν στραγγαλιὰς βιαίων συναλλαγμάτων, καὶ πάντα σύνδεσμον ἀδικίας, καὶ πᾶσαν συγγραφὴν ἄδικον διασπᾷν, οὐδὲν ἕτερόν ἐστι, πλὴν ὅτι μόνον ἀποφοιτῆσαι φαυλότητος. Τό γε μὴν ἑλέσθαι τὰ τῆς ἀγάπης ἔργα πληροῦν διὰ τοῦ διαθρύψαι πεινῶντι τὸν ἄρτον, καὶ πτωχοὺς ἀστέγους εἰσοικίσασθαι, καὶ γυμνοὺς περιβαλεῖν, καὶ μὴ[ν] ἀνέχεσθαί τινας τῶν ἐκ τῶν οἰκείων τοῦ σπέρματος, τῶν ἀρίστων ἀνδραγαθημάτων ἀπόδειξιν ἔχει σαφῆ. Διὰ τοῦτο καὶ ὁ πάλαι νόμος, παιδαγωγὸς ὑπάρχων ἐπὶ Χριστὸν, οὐ τὴν ἀγαθοῦ πλήρωσιν εἰσκεκόμικε τοῖς τὸ τηνικάδε, ἐδίδασκε δὲ μᾶλλον φαυλότητος προαποφοιτᾷν. Τὸ γὰρ, Οὐ φονεύσεις, Οὐ μοιχεύσεις, Οὐκ ἐπιορκήσεις, ταύτην ἔχει τὴν δύναμιν. Τετήρητο δὲ τὸ τέλειον, καὶ ἡ παντὸς ἀγαθοῦ πλήρωσις τοῖς διὰ Χριστοῦ θεσπίσμασι, παρ' ὧν ἐμάθομεν τὰ τῆς εἰς Θεόν τε καὶ ἀδελφοὺς ἀγάπης ἔργα πληροῦν.

818 TOMUS IV.

VERS. 8. *Tunc erumpet matutinum lumen tuum, et sanitates tuæ cito orientur, et præibit in conspectu tuo justitia tua, et gloria Dei circumdabit te. Tunc clamabis, et Deus exaudiet te. Adhuc loquente te dicet : Ecce adsum.*

Si pure, inquit, jejunaveris, et abstersas ac mundas ostenderis manus Deo, mentemque omnibus liberatam sordibus, nimirum quando supersederis pulsare pugnis humilem, et affligere subjectos, judicio et pugnis, et obsequi tuæ voluntati atque libidini ; quando fregeris esurienti panem, nudum operueris, pauperes tecto carentes in domum tuam introduxeris : tunc erumpet matutinum lumen tuum. Maximam habet emphasim hæc oratio. Non enim dixit simpliciter : Dabitur tibi a Deo lumen : sed erumpet potius instar fulguris cujusdam, cum impetu et cursu demissum a Deo : ex quo perspicue monstratur suppeditantis promptitudo et alacre studium. Cum matutinum dicit, ante tempus adventurum docet. Novit enim, novit rerum nostrarum custos Deus, spiritualium bonorum largitor, opportunitatem munificentiæ suæ singuli accommodatam. Sed si quis honestus et bonus sit, et misericors præterea et freno obsequens : huic etiam matutina ab eo dabuntur præmia, ut instar spicarum exoriantur in eo sanitates ejus, id est, omnis infirmitatis depulsio, et rerum me-

ΤΟΜΟΣ Δ'.

Τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. Τότε βοήσεις, καὶ ὁ Θεὸς εἰσακούσεταί σου. Ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ πάρειμι.

Εἰ καθαρῶς, φησὶ, νηστεύσειας, καὶ διεσμηγμένας τὰς χεῖρας ἀποδείξειας τῷ Θεῷ, καὶ ῥύπου παντὸς ἀπηλλαγμένον τὸν νοῦν, ἤγουν ὅταν ἀποσμήχῃ τοῦ καταπαίειν πυγμαῖς ταπεινὸν, καὶ ὑπονύσσειν μὲν τοὺς ὑποχειρίους εἰς κρίσιν καὶ μάχας, ἕπεσθαι δὲ τοῖς αὐτοῦ [γρ. σοῦ] θελήμασι καὶ φιληδονίαις, ὅταν διαθρύψῃς πεινῶντι τὸν ἄρτον, γυμνὸν ἀμφιέσῃς, πτωχοὺς ἀστέγους εἰσαγάγῃς εἰς τὸν οἶκόν σου· τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου. Ἔμφασιν ἔχει πλείστην ὅσην ὁ λόγος. Οὐ γὰρ ἁπλῶς ἔφη, Δοθήσεταί σοι παρὰ Θεοῦ τὸ φῶς, ῥαγήσεται δὲ μᾶλλον, οἷον ἀστραπῆς τινος δίκην, σὺν ὁρμῇ καὶ δρόμῳ καθιέμενον παρὰ Θεοῦ, δι' οὗ διαδείκνυται σαφῶς τοῦ χορηγοῦντος ἡ προθυμία. Πρώϊμον δὲ λέγων, ὅτι καὶ πρὸ καιροῦ καταφοιτήσει, διδάσκει. Οἶδε μὲν γὰρ, οἶδεν ὁ τῶν καθ' ἡμᾶς ταμίας Θεὸς, ὁ πνευματικῶν χαρισμάτων δοτὴρ, ταῖς ἐφ' ἑκάστῳ φιλοτιμίαις τὸν καιρὸν ἐοικότα. Ἀλλ' εἴ τις γένοιτο καλός τε καὶ ἀγαθὸς, καὶ προσέτι φιλοικτίρμων καὶ εὐήνιος, τούτῳ καὶ πρώϊμα τὰ παρ' αὐτοῦ δοθήσεται γέρα, ὥστε καὶ ἀσταχύων δίκην ἀνατέλλειν ἐν αὐτῷ· καὶ τὰ ἰάματα αὐτοῦ, τουτέστιν, ἀπάσης ἀῤῥωστίας ἀποβολὴν, καὶ τῶν

[29] Exod. xx, 13 sqq.

ἀμεινόνων ἀντεισδρομήν. Ψυχικῶν γὰρ ἀῤῥωστημάτων ὅταν ἀπαλλάττηταί τις, καρποφορήσει πάντως τὴν εἰς ἅπαν ὁτιοῦν τῶν ἀγαθῶν ἔφεσίν τε καὶ προθυμίαν. Φωτὸς οὖν ἐν ἡμῖν διαυγάσαντος τοῦ θείου τε καὶ νοητοῦ, συναγατέλλει πάντη τε καὶ πάντως καὶ τὰ ἰάματα, Θεοῦ μοτοῦντός τε ἡμᾶς καὶ ἀπονευροῦντος τὰ πάθη, καὶ ἀντεισκρίνοντος ἐν ἡμῖν τὸ θέλειν ἀγαθουργεῖν, καὶ διαπρέπειν ἐν δικαιοσύνῃ. Ταύτητοί φησιν, ὅτι «Προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου.» Προπορεύσεται δὲ προεξευμαρίζουσα δηλονότι τὴν εἰς εὐσέβειαν ὁδὸν, καὶ τὸ τραχὺ μεθιστῶσα πρὸς τὸ λεῖόν τε καὶ βάσιμον, καὶ τὸ ἀναντες καταφέρουσα, καὶ τὸν ἐφ' ἅπασι τοῖς ἀρίστοις οἱονεὶ καθευθύνουσα δρόμον. Προσεπάγει δέ τι καὶ ἕτερον. «Ἡ γὰρ δόξα τοῦ Θεοῦ, φησὶ, περιστελεῖ σε,» τουτέστι, κυκλώσει σε, καὶ ἀπόβλεπτόν σε καταστήσει, καὶ κοινὸν ὠφέλημα πολλοῖς. Ἡ γὰρ τῶν ἁγίων φαιδρότης ὀνίνησι μὲν οὐ μετρίως τοὺς ἐνορῶντας αὐτοῖς. Καὶ γοῦν ἔφη Χριστὸς τοῖς ἁγίοις ἀποστόλοις· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.» Οὐκοῦν ἐσόμεθα λαμπροὶ περιφοιτώσης ἡμᾶς καὶ οἷον ἀμφιεννύσης τῆς παρὰ Θεοῦ δόξης, οἷς ἂν χαρίζαιτο τοῖς [ἴσ. τῆς] δικαιοσύνης ἐπιμεληταῖς· τούτων δὴ οὖν ὑπαρξάντων σοι, φησὶ, βοήσῃ τότε, καὶ ὁ Θεὸς εἰσακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ πάρειμι· «Εὐχαῖς γὰρ δικαίων ἐπακούει,» κατὰ τὸ γεγραμμένον. Καὶ καθά φησιν ὁ Μελῳδὸς, «Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.» Κατανεύσει μὲν γὰρ τοῖς αἰτοῦσιν ὡς ἀγαθὸς, ἀλλ' οὐχ ἅπασι παραχρῆμα. Τοῖς γε μὴν διαπρέψασιν ἐν δικαιοσύνῃ, μελλησμοῦ δίχα παντὸς ὀρέγει τὰ αἰτήματα, καὶ ἑτοιμοτάτην αὐτοῖς ὑπέχει τὴν ἀκοὴν, ὥστε καὶ ἐφ' ἑκάστῳ τῶν αἰτημάτων χαίροντας λέγειν· «Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.» Οὐκοῦν τὸ ἀνυπέρθετον τῆς φιλοτιμίας, καὶ τὸ λίαν ἕτοιμον τοῦ διδόντος Θεοῦ παρίστησιν ἐναργῶς τὸ, Ἰδοὺ πάρειμι, βοᾷν ἔτι λαλοῦντος δικαίου, ἀνατείνοντός τε τὰς λιτάς.

Ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον, καὶ χειροτονίαν, καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι τὸν ἄρτον σου (1), *καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ἐν μεσημβρίᾳ, καὶ ἔσται ὁ Θεός σου μετὰ σοῦ διαπαντός.*

Τὰ τῶν μαθημάτων ἐξαίρετα κἂν πολλάκις λέγηταί τισιν, ἀλλ' οὖν ἔχει τὸ ὀνησιφόρον. Γράφει γοῦν ὁ πάνσοφος Παῦλος τοῖς δι' αὐτοῦ πιστεύσασι· «Τὰ αὐτὰ λέγειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές.» Οὐκοῦν πολυτρόπως διὰ τῶν αὐτῶν ἡμῖν ἔρχεται λέγων καὶ τὰς τῆς εὐδοκιμήσεως ὁδοὺς ἐναργεῖς καθιστὰς, καὶ τῶν δοθησομένων τοῖς ἁγίοις γερῶν τὴν φαιδρότητα διηγούμενος, ἵνα καὶ ἔτι μειζόνως προθυμοτέρους ἐργάσηται πρὸς τὸ ἑλέσθαι δρᾷν τὰ δι' ὧν ἂν γένοιντο σεπτοὶ, καὶ τὴν ἄνωθεν καὶ παρ' αὐτοῦ

liorum successio. Nam cum aliquis ab animi morbis liberatus fuerit, utique desiderium et alacritatem ad omnia bona fructificabit. Itaque ubi in nobis lumen divinum et sub intelligentiam cadens effulserit: simul etiam prorsus penitusque orientur sanitates, Deo medente nobis, et vires ac nervos quasi perturbationum elidente, et contra inserente nobis voluntatem, ut bene agamus, et justitia excellamus. Hinc dicit: « Præibit tibi justitia tua. » Præibit autem, lævigans scilicet **819** ante pietatis viam, et aspera reddens lævia et pervia, et quod præruptum est tollens, et cursum ad omnia optima velut patefaciens. Adjungit etiam quiddam aliud: « Gloria enim Dei, inquit, circumdabit te, » id est, cinget te, et te suspiciendum reddet, et ut commune sis multorum præsidium. Splendor enim sanctorum juvat haud mediocriter eos qui intuentur. Siquidem Christus dixit sanctis apostolis: « Luceat lux vestra coram hominibus, ut videant bona opera vestra, et glorificent Patrem vestrum qui est in cœlis [39]. » Erimus ergo illustres, ambiente et quasi amiciente nos divina gloria, quam dat justitiæ cultoribus. Hæc ubi fuerint, inquit, tibi, clamabis tunc, et Deus exaudiet te: adhuc loquente te, dicet: Ecce adsum. « Orationes enim justorum exaudit [40], » juxta id quod scriptum est, et sicuti Psaltes dicit: « Oculi Domini super justos, et aures ejus in precationem eorum [41]. » Annuit enim petentibus, ut bonus, sed non statim omnibus: sed excellentibus justitia absque omni mora postulata concedit, auresque præbet illis promptissimas, ita ut in singulis petitionibus gaudentes dicant: « Audivit de templo sancto suo vocem meam, et clamor meus coram ipso penetrabit aures ejus [42]. » Maturam igitur munificentiam et promptitudinem dantis Dei declarat illud: Ecce adsum, interim dum loquitur justus, et preces intendit.

VERS. 9, 10. *Si abstuleris abs te colligationem, et suffragium, et verbum murmurationis, et dederis esurienti panem tuum, et animam humiliatam saturaveris; tunc orietur in tenebris lumen tuum, et tenebræ tuæ erunt velut meridies: et erit Deus tuus tecum semper.*

Egregia præcepta et documenta, etiamsi sæpe dicantur aliquibus, habent tamen utilitatem. Scribit siquidem Paulus sapientissimus his qui per ipsum crediderunt: « Eadem scribere vobis, mihi quidem non molestum, vobis autem tutum [43]. » Multipliciter itaque ad eamdem recurrit orationem, dum veræ laudis vias aperit, et dandorum sanctis præmiorum splendorem enarrat: quo adhuc incitatiores reddat eos ad faciendum illa, **820** ex quibus suspici et in veneratione haberi possint, et

[39] Matth. v, 16. [40] Prov. xv, 29. [41] Psal. xxxiii, 16. [42] Psal. xvii, 7. [43] Philip. iii, 1.

(1) LXX, ἄρτον ἐκ τῆς ψυχῆς σου.

supernam atque ab eo assequantur. Proinde, inquit: « Si abstuleris abs te colligationem et suffragium. » Colligationem, ut arbitror, dicit, gentium improbitatem, ruditatem et contentionis studium, et velut nexus turbarum in aliquos texere, ac negotia exhibere, et obliquorum inventorum quæstiones movere, ut aliquos illaqueent interdum, et in inevitabiles angustiarum plagas immittant. Oportet enim simplicem esse et apertum hominem, siquidem velit a Deo respici, et ejus dona concupiscere. Suffragium dicit, corrumpi muneribus et turpia lucra expetere. Dicimus enim interdum de nonnullis, ad accipiendum habere manum extensam, et de renuentibus sordium causa, habere eos contractam manum. Dictum est etiam de his qui Judaicæ Synagogæ præfecti erant: « Præfecti ejus ob munera judicabant, et sacerdotes ejus ob argentum vaticinabantur [44], » et quod socii furum exstiterint, diligentes dona, persequentes præmium. Dixitque divinus Habbacum: « Adversum me factum est judicium, et judex accipit [45]. » Vel ergo nomen illud, χειροτονία, dona capere significat: quod hic auferre ac removere jubet: vel alio modo vices rependere notat, et malum malo pensare. De quibusdam nimirum dixit Psalmodus: « Extendit manum suam ad retribuendum [46]. » Addit vero: «Profanaverunt testamentum ejus [46*]. » Itaque, ut dixi, manus extensio significare potest talionem, quam reddit quispiam, eos, qui aliquid intulerunt molestiæ ulciscens, et his qui offenderunt iram regerens. Meminimus etiam ipsum Servatorem dicere: « Si quis alapam tibi impegerit in dexteram maxillam, obverte illi et alteram [47]. » Mansuetudinis enim et vacuitatis iræ summum est argumentum, posse vim æquo animo ferre, et non ulcisci eos a quibus læsi sumus, sed injurias potius eorum oblivisci. Vult etiam auferre verbum obmurmurationis. Nos enim hilari et alacri animo subjici oportet divinis legibus, et eximiæ conversationi omnino non reclamare, aut jugum quasi excutere, cum mens devergat ad cupiditatem rerum deteriorum, et voluptatem magis laudet quam temperantiam, **821** et vitæ venerandæ mundanas delicias anteponat. Quod factitarunt Israelitæ, cum illud profundum desertum pertransirent. Etenim Deo illis demittente manna, ad turpiora inclinabant, dicentes: « Utinam fuissemus mortui percussi a Domino in terra Ægypti, quando assedimus ollis carnium, et comedimus panes ad saturitatem [48]! » Sed hoc contra Deum murmur illis creavit exitium. Perierunt enim a serpentibus. Hinc Paulus sapientissimus inquit: « Nolite murmurare sicuti eorum quidam murmurarunt, et a serpentibus perierunt [49]. » Quare hilari animo ac prompto convenit omnis ornatus et elegantiæ studiosum esse, atque eximia facta expetere. Postquam autem abstuleris verbum murmurationis, si des panem esurienti, et animam

φιλοτιμίαν εὑρήσουσιν. Οὐκοῦν, « Ἐὰν ἀφέλῃς, φησὶν, ἀπὸ σοῦ σύνδεσμον, καὶ χειροτονίαν. » Καὶ σύνδεσμον μὲν, ὥς γε οἶμαι, φησὶ τὴν τῶν ἐθνῶν μοχθηρίαν, σκαιότητά τε καὶ τὸ φιλόνεικον, καὶ τὸ οἷον συνδέσμους πραγμάτων ἐργάζεσθαι κατά τινων, καὶ σκολιῶν εὑρεμάτων ποιεῖσθαι ζητήσεις, ὡς καταδεσμεῖν ἔσθ' ὅτε τινὰς, καὶ ἀφύκτοις περιστάσεων ἐνιέναι βρόχοις. Δεῖ γὰρ ἁπλοῦν, καὶ εὐπρόσιτον εἶναι τὸν ἄνθρωπον, εἴπερ ἔχοι σκοπὸν ἐφορᾶσθαι παρὰ Θεοῦ, καὶ τῶν παρ' αὐτοῦ γλίχεσθαι χαρισμάτων. Χειροτονίαν δὲ τάχα πού φησι τὴν δωροδοκίαν, καὶ τὸ λημμάτων αἰσχρῶν ἐφίεσθαι, φαμὲν γὰρ ἔσθ' ὅτε περί τινων, ὡς δὲ τὴν χεῖρα πρὸς τὸ λαβεῖν ἐκτεταμένην ἔχει, καὶ περὶ τῶν ἀποσειομένων αἰσχροκερδείαις, ὅτι συνεσταλμένην ἔχει τὴν χεῖρα. Εἴρηται δὲ περὶ τῶν ἡγουμένων τῆς Ἰουδαίων Συναγωγῆς· « Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, » καὶ ὅτι γεγόνασι κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα. Ἔφη δέ που καὶ ὁ θεσπέσιος Ἀββακούμ· « Ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. » Οὐκοῦν ἢ δωροληψίας ἔσται σημαντικὸν τοὔνομα, τουτέστιν, ἡ χειροτονία, ἣν δὴ καὶ ἀφελεῖν, ἤγουν ἀποστῆσαι προστέταχεν· ἢ καὶ καθ' ἕτερον τρόπον τὸ ἀνταμύνασθαι δηλοῖ, καὶ τὸ ἀνταποδιδόναι κακὸν ἀντὶ κακοῦ. Ἔφη γοῦν ὁ Ψαλμῳδὸς περί τινων, ὅτι « Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. » Προσεπάγει δὲ, ὅτι « Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. » Οὐκοῦν ἡ τῆς χειρὸς ἔκτασις κατασημήνειεν ἂν, ὡς ἔφην, καὶ τὴν ἀνταπόδοσιν, ἣν ἄν τις ποιοῖτο τοὺς καταλυπήσαντας ἀμυνόμενος, καὶ τοῖς προσκρούσασιν ἀντεπαγαγὼν τὰ ἐξ ὀργῆς. Μεμνήμεθα δὲ καὶ αὐτοῦ τοῦ Σωτῆρος λέγοντος, ὅτι « Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. » Πραότητος γὰρ καὶ ἀοργησίας τῆς εἰς λῆξιν ἀπόδειξις γένοιτ' ἂν τὸ εἰδέναι διακαρτερεῖν ἐν πλεονεξίαις, καὶ μὴ ἀνταμύνεσθαι φιλεῖν τοὺς λελυπηκότας, ἀμνησικάκως δὲ μᾶλλον διακεῖσθαι περὶ αὐτούς. Ἀφελεῖν δὲ βούλεται πρὸς τούτῳ καὶ ῥήματα γογγυσμοῦ. Δεῖ γὰρ ἡμᾶς ἱλαρῷ φρονήματι τοῖς θείοις ὑποκεῖσθαι νόμοις, καὶ τῆς ἐξαιρέτου πολιτείας μηδεμίαν ποιεῖσθαι καταβοὴν, μονονουχὶ τὸν ζυγὸν ἀποσειομένους, καὶ καταφοιτῶντος τοῦ νοῦ πρὸς ἔφεσιν τὴν ἐπί γε τοῖς χείροσι, καὶ φιληδονίαν μᾶλλον ἐπαινοῦντος ἢ ἐγκράτειαν, καὶ τὰς ἐν κόσμῳ τρυφὰς προτάττοντος τοῦ διαβιοῦν ἑλέσθαι σεπτῶς. Ὃ δὴ καὶ πεπράχασιν οἱ ἐξ Ἰσραὴλ τὴν βαθεῖαν ἐκείνην διατρέχοντες ἔρημον. Καθιέντος γὰρ τοῦ Θεοῦ τὸ μάννα αὐτοῖς, τὴν πρὸς τὰ αἴσχιω ῥοπὴν εἰσεδέχοντο λέγοντες, « Ὄφελον ἀπεθάνομεν, πληγέντες ὑπὸ Κυρίου ἐν γῇ Αἰγύπτου, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν, καὶ ἠσθίομεν ἄρτους εἰς πλησμονήν. » Ἀλλ' ἐκβέβηκεν αὐτοῖς εἰς ὄλεθρον ὁ κατὰ Θεοῦ γογγυσμὸς, ἀπώλοντο γὰρ ὑπὸ τῶν ὄφεων. Ταύτῃ τοι καὶ ὁ σοφώτατος Παῦλος, « Μὴ γογγύζετε, φησὶ, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. » Οὐκοῦν ἱλαρῷ φρονήματι προσήκει τὸν

[44] Mich. III, 11. [45] Habac. I, 3. [46] Psal. LIV, 21. [46*] ibid. [47] Matth. v, 39. [48] Exod. XVI, 3. [49] I Cor. X, 9.

ἁπάσης εὐκοσμίας ἐπιμελητὴν, καὶ τῶν ἐξαιρέτων ἐφιέμενον ἀνδραγαθημάτων, ἀφελὼν δὲ τὸ ῥῆμα τοῦ γογγυσμοῦ, ἐὰν δῷς τὸν ἄρτον πεινῶντι, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τουτέστιν, εἰ γένοιο φιλοικτίρμων, φιλάγαθός τε καὶ φιλάλληλος, εὐμετάδοτος, καὶ κοινωνικὸς, καὶ τὸν πλησίον ἀγαπῶν ὡς σεαυτὸν, τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου. Πῶς δὲ δὴ ἄρα καὶ τοῦτο; Ὡς γὰρ ἐκ νυκτὸς ἡμέρα γίνεται, οὕτως ἐν ἡμῖν, ἐκπεμπομένου τοῦ νοητοῦ σκότους τὸ θεῖον ἀντεισκρίνεται φῶς, ὡς δοκεῖν εἶναι ἐν μεσημβρίᾳ, τουτέστιν, ἐν ἀκμῇ λαμπρότητος. Μεσημβρίζων γὰρ ὁ τοῦ ἡλίου κύκλος ἀκμαιότατον τότε δὴ μάλιστα τοῖς ἐπὶ γῆς ἐνίησι τὸ φῶς. Ἔσται δὴ οὕτως ὁ Θεός σου μετὰ σοῦ διὰ παντός. Πάμμεγα δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο. Τί γὰρ οὐχ ὑπάρχει τῶν ἀγαθῶν τοῖς τοῦτο λαχοῦσιν; ἢ ποίων οὐκ ἔσται χαρισμάτων ἐπίμεστος ἄνθρωπος, Θεοῦ συνόντος αὐτῷ τοῦ πάντα ἰσχύοντος, καὶ πλουσίᾳ χειρὶ διανέμοντος τὰ ὧνπέρ ἐστι χορηγὸς καὶ δοτὴρ, καὶ ἀποσοβοῦντος μὲν τὰς τῶν πειρασμῶν ἐφόδους, εὐσθενῆ δὲ οὕτω τιθέντος, ὥστε καὶ ἀντανίσασθαι γενικῶς καὶ αὐτῷ τῷ Σατανᾷ, καὶ ταῖς ἐκ παθῶν ἐπηρείαις;

humiliatam saturaveris, id est, si misericors, si amans honorum, et mutua alios complectens benevolentia, si ad impartiendum et communicandum facilis fueris, et proximum diligas ut teipsum: tunc orietur in tenebris lumen tuum. At qui tandem hoc? Quemadmodum enim ex nocte dies fit, sic et in nobis, spiritalibus tenebris depulsis, divinum lumen earum loco subit, ita ut in meridie, id est, summo in splendore esse videamur. Meridiante enim solis circulo, lux tum intensissima terræ incolis immittitur. Eritque sic Deus tuus tecum semper; est quoque hoc præter alia maximum. Quid enim boni non adest his qui hoc sunt consecuti? Aut quibus donis non abundat homo, si Deus cum illo sit, qui omnia potest et divite manu distribuit ea, quorum suppeditator est et largitor, qui etiam tentationum impetus propulsat, adeoque fortem reddit, ut et in universum ipsi Satanæ et perturbationum insultibus resistat?

Καὶ ἐμπλησθήσῃ, καθάπερ ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ ὀστᾶ σου πιανθήσονται, ὡς κῆπος μεθύων, καὶ ὡς πηγὴ, ἣν μὴ ἐξέλιπεν ὕδωρ, καὶ τὰ ὀστᾶ σου ὡς βοτάνη ἀνατελεῖ καὶ πιανθήσονται, καὶ κληρονομήσουσι γενεὰς γενεῶν.

Καὶ τίνος ἄρα ἐμπλησθήσεσθε· φησί· Θείων δηλονότι χαρισμάτων, καὶ τροφῆς ἁγιοπρεποῦς· ὡς γὰρ αὐτὸς ἔφη που Χριστός· « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ, » τοῦτο καὶ πάλαι τοῖς ἐξ αἵματος Ἰσραὴλ ὡς ἐν τύπῳ ἐνεγράφετο, καθιέντος Θεοῦ τὸ μάννα ἐξ οὐρανοῦ· ἐπεί τινα τρόπον ἄρτος ἀγγέλων νοηθείη ἂν, καὶ ἄρτος οὐρανοῦ. Εἰ δὲ καί τινες εἶεν, οἷς τὸ θεῖον ἐνήστραψε φῶς πλουσίως εἰς νοῦν, καὶ τῶν ἱερῶν Γραμμάτων ἀκριβῆ καὶ ἀμώμητον ἐνειργάσατο γνῶσιν, καὶ τούτους ἐμπεπλῆσθαί φαμεν, καὶ εἰς κόρον ἐλάσαι τῆς ἄνωθεν καὶ παρὰ Θεοῦ τρυφῆς· ἀλλὰ τούτου μὲν ἐκπέπτωκεν ὁ Ἰσραήλ· γεγόνασί γε μὴν ἐν κτήσει καὶ κατοχῇ τὰ ἔθνη διὰ τῆς πίστεως, καὶ ὅσοι τὸν εὐαγγελικὸν καὶ σωτήριον προσιόντες λόγον. Καὶ γοῦν ἔφη τοῖς ἁγίοις ἀποστόλοις ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτι « Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται, » τοῖς ἀπιστήσασι δηλονότι, οἷς δὴ καὶ ὁ θεῖος ἐπεφώνησε λόγος, « Οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε. Ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσητε. » Ἐπείνασαν γὰρ καὶ ἐδίψησαν, ἀμέτοχοι γεγονότες τῶν διὰ τοῦ πνεύματος ἀγαθῶν, καὶ ἄγευστοι παντελῶς τῶν διὰ Χριστοῦ χαρισμάτων, ἤτοι τῆς θείας τε καὶ εὐαγγελικῆς παιδεύσεως. Ἔφη γάρ που δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἰδοὺ ἐγὼ λιμὸν ἐπάγω ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου, καὶ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσιν. » Ἐξῄρηται γὰρ τῆς Ἰουδαίων ἀγέλης ὁ

VERS. 11. *Et impleberis, sicut desiderat anima tua, et ossa tua pinguescent, ut hortus ebrius, et ut fons quem non deseruit aqua. Et ossa velut herba orientur, et pinguescent, et hæreditabunt generationes generationum.*

Et qua re ergo, inquit, implebimini? Divinis scilicet muneribus et sancto cibo. Ut enim ipse alicubi dixit Dominus: « Non in solo pane vivet homo, sed in omni verbo quod procedit ex ore Dei [30], » hoc etiam filiis **822** Israel olim velut in figura describebatur, Deo manna demittente cœlitus; quandoquidem panis angelorum quodammodo et panis cœli possit intelligi. Si etiam sint quidam, quorum mentem divina lux opulenter collustrat, et sacrarum Litterarum exactam et sinceram cognitionem ingeneravit: illos quoque dicimus repleri et superno ac divino cibo exsatiari. Sed hoc excidit Israel: gentes autem per fidem possederunt et retinuerunt, et quicunque evangelicum et salutarem sermonem admittunt. Nimirum dixit sanctis apostolis Dominus noster Jesus Christus: « Vobis datum est scire mysteria regni cœlorum, at illis datum non est [31], » infidelibus scilicet, quos etiam compellavit divina oratio: « Qui serviunt mihi, comedent, vos autem esurietis. Ecce qui serviunt mihi, bibent, at vos sitietis [32]. » Esurierunt enim et sitierunt, expertes bonorum spiritalium, et qui omnino dona Christi non gustaverunt, sive divinam et evangelicam doctrinam. Dixit etenim per quemdam prophetam sanctum: « Ecce ego famem induco super terram, non famem panis, neque sitim aquæ, sed famem audiendi sermonem Domini: et ab ortu ad occasum usque cursitabunt, quærentes sermonem Domini, et non invenient [33]. » Ademptus est enim gregi Judæorum vivificus et nutrientissimus sermo, et datus est, uti dixi, diligentibus

[30] Matth. IV, 4. [31] Matth. XIII, 11. [32] Isa. LXV, 13. [33] Amos VIII, 11, 12.

Christum, quos compellavit, dicens : « Edite, et A inebriamini, vicini [84]. » Sed et divinus David psallit, utpote hujusce adeo præclaræ et uberrimæ munificentiæ particeps : « Parasti in conspectu meo mensam adversus eos qui tribulant me. Impinguasti in oleo caput meum, et calix tuus inebrians me, quam præclarus est [85]. » Quicunque ergo divinorum mysteriorum habuerunt cognitionem vel his impleti sunt, horum ossa pinguefacta sunt. Figurata autem est oratio, sumpta ab his quodammodo qui carni et genio indulgere solent. Horum anima fiet tanquam hortus ebrius, id est, floridus, et bene densus arboribus, et variis florum generibus decoratus, ac multiplices fructus proferens. Horti enim qui aqua carent, maximam habent deformitatem, utpote aridi et omni fructu vacui, imo et B ipsis plantis destituti. At qui aquarum libero impetu inebriati sunt, omnigenis, **823** ut dixi, coronantur fructibus. Hortus Christi facta est Ecclesia : cujus sumpta persona in Cantico canticorum sponsa, « Descendat, inquit, nepos meus in hortum suum, et comedat fructum nucum suarum [86]. » Nam quod inter arbores est nux vel fructus maturus, hoc est in animis sanctorum virtus pulchra et Deo jucundissima. Itaque ut hortus ebrius, inquit, erit anima tua, et ut fons quem non deseruit aqua. Tales fuerunt divini mystagogi, a corde suo, tanquam a perenni fonte, piæ doctrinæ rivulos demittentes, et eorum qui instituuntur animos opulenter irrigantes. Confirmabit etiam ipse adeo C excellentium donorum dispensator, inquiens : « Qui credit in me, sicuti dicit Scriptura, flumina de ventre ejus fluent aquæ vitæ [87]. » Et rursus : « Omnis qui bibit de aqua hac, sitiet rursus. At qui bibit ex aqua, quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam [88]. » Ejusmodi esse dicimus sanctos apostolos et evangelistas, et quicunque divinum verbum annuntiant, partim quidem dogmatum peritia illustres, partim splendoris operum viam commonstrantes. Et ossa tua, inquit, velut herba orientur, et pinguescent, et hæreditabunt generationes generationum. Videtur his verbis resurrectionis mysterium demonstrare. Resurget enim tum corpus, ceu herba in agro, quæ tempore hiberno emarcuit et occidit ; ridente D autem verna serenitate, iterum quasi renascitur, et ad suam naturalem pulchritudinem redit. Exorta, inquit, ossa, velut herba, pinguescent, vivifica scilicet gratia, quæ est a Deo. Psallit enim alicubi et inquit divinus David : « Emittes Spiritum tuum, et creabuntur, et renovabis faciem terræ [89], » id est, terrestrium incolarum. Tum hæreditabimus generationes generationum, in longitudinem dierum videlicet, morte abolita et sublata in totum corruptione. Dicuntur sæpe in Scriptura divinitus inspiratis, ossa animi intelligibilia, actuosæ quædam

A ζωοποιός τε καὶ τροφιμώτατος τοῦ Θεοῦ λόγος. Δέδοται δὲ, ὡς ἔφην, τοῖς ἀγαπῶσι Χριστὸν, οἷς δὴ καὶ ἐπεφώνησε λέγων· « Φάγετε, καὶ μεθύσθητε οἱ πλησίον. » Ψάλλει γοῦν καὶ ὁ θεσπέσιος Δαβὶδ, ἅτε δὴ καὶ ἐν μεθέξει γεγονὼς τῆς οὕτως σεπτῆς καὶ ἀμφιλαφοῦς φιλοτιμίας· « Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με, ὡς κράτιστον. » Οὐκοῦν ὅσοι τῶν θείων αὐτοῦ μυστηρίων ἐσχήκασι γνῶσιν, ἤτοι ἐνεπλήσθησαν τούτων, κατεπιάνθησαν τὰ ὀστᾶ. Ἐσχηματίσθη δὲ ὁ λόγος ὡς ἀπό γε τῶν τρυφᾷν εἰωθότων σαρκικῶς· τῶν τοιούτων ἡ ψυχὴ γένοιτο ἂν ὡς κῆπος μεθύων, τουτέστιν εὐανθὴς, καὶ εὐδενδρότατος, καὶ ποικίλαις ἀνθέων ἰδέαις ἐξωραϊσμένος, καὶ παντοδαB ποὺς ἐκφέρων καρπούς. Οἱ μὲν γὰρ ἄνυδροι τῶν κήπων πολὺ λίαν ἔχουσι τὸ εἰδεχθές· ξηροὶ γάρ εἰσι καὶ παντὸς ἔρημοι καρποῦ, ἢ τάχα που καὶ αὐτῶν ἐν ἐνδείᾳ τῶν φυτῶν. Οἵ γε μὴν ὑδάτων ἀταμιεύτοις ὁρμαῖς ἐκμεμεθυσμένοι παντοδαποῖς, ὡς ἔφην, στεφανοῦνται καρποῖς. Κῆπός γε μὴν Χριστοῦ γέγονεν ἡ Ἐκκλησία, ἧς δὴ καὶ ἀναλαβοῦσα τὸ πρόσωπον ἡ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων γραφομένη νύμφη, « Καταβήτω, φησὶν, ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ· » ὅπερ γάρ ἐστιν ἐν φυτοῖς τὸ ἀκρόδρυον, ἤτοι καρπὸς ὡραῖος, τοῦτο καὶ ἐν ψυχαῖς ἁγίων ἀρετὴ καλὴ καὶ ἡδίστη τῷ Θεῷ. Οὐκοῦν ὡς κῆπος μεθύων ἔσται, φησὶν, ἡ ψυχή σου, ναὶ μὴν καὶ ὡς πηγὴ, ἣν μὴ ἐξέλιπεν ὕδωρ. Τοιοῦτοι γεγόνασιν οἱ θεσπέσιοι C μυσταγωγοὶ, καθάπερ ἀπὸ πηγῆς ἀεννάου τῆς ἑαυτῶν καρδίας τὰ τῆς εὐσεβοῦς διδασκαλίας προϊέντες νάματα, καὶ τὰς τῶν παιδευομένων ψυχὰς πλουσίως καταρδεύοντες. Καὶ πιστώσεται λέγων αὐτὸς ὁ τῶν οὕτως ἐξαιρέτων χαρισμάτων διανομεύς. « Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζωῆς. » Καὶ πάλιν· « Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν, ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. » Τοιούτους εἶναί φαμεν τοὺς ἁγίους ἀποστόλους τε καὶ εὐαγγελιστὰς, καὶ ὅσοι τὸν θεῖον πρεσβεύουσι λόγον, τοῦτο μὲν δογματικῆς εὐτεχνίας ἐν καλῷ γεγονότες, τοῦτο δὲ καὶ τῆς ἐν ἔργοις φαιD δρότητος τὴν ὁδὸν ἐκκαλύπτοντες. Καὶ τὰ ὀστᾶ σου δὲ, φησὶν, ὡς βοτάνη ἀνατελεῖ, καὶ πιανθήσονται, καὶ κληρονομήσουσι γενεὰς γενεῶν. Ἔοικεν ἐν τούτοις τὸ τῆς ἀναστάσεως καταδηλοῦν μυστήριον· ἀναστήσεται γὰρ τότε τὸ σῶμα, καθάπερ τις ἐν ἀγρῷ πόα, κατὰ μὲν τὴν τοῦ χειμῶνος ὥραν μαρανθεῖσα καὶ καταμύσασα, γελώσης γε μὴν ἐαρινῆς εὐδίας, ἀναφυεῖσα πάλιν, καὶ οἷον ὑπονοστήσασα πρὸς τὸν ἐνόντα αὐτῇ κατὰ φύσιν ὡραϊσμόν. Ἀνατείλαντά γε μὴν ὡς βοτάνη τὰ ὀστᾶ καταπιανθήσονται, φησὶ, τῇ ζωοποιῷ δηλονότι χάριτι τῇ παρὰ Θεοῦ. Ψάλλει γάρ που καί φησιν ὁ θεσπέσιος Δαβίδ· « Ἐξαποστε-

[84] Jerem. xxv, 27. [85] Psal. xxii, 5, 6. [86] Cant. vi, 10. [87] Joan. vii, 38. [88] Joan. iv, 13, 14. [89] Psal. ciii, 30.

λεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς, » τουτέστι, τῶν ἐπὶ γῆς· Τότε κληρονομήσομεν γενεὰς γενεῶν, μακροημερεύσιν δηλονότι καταργηθέντος θανάτου, καὶ ἀνῃρημένης εἰσάπαν τῆς φθορᾶς. Εἴρηται δὲ πλειαταχοῦ τῆς θεοπνεύστου Γραφῆς, ὀστᾶ ψυχῆς νοητά, πρακτικαί τινες αὐτῆς δυνάμεις καὶ ἐνέργειαι, ὥς ἔν γε τῷ φάναι, ὅτι « Ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. » Οὐ γάρ τοι τὰ τοῦ σώματος ὀστᾶ διασχίδνησι Θεὸς, συνθραύει δὲ μᾶλλον τὰς τῆς ψυχῆς αὐτῶν δυνάμεις, ὥστε μηδὲν δύνασθαι κατορθοῦν τῶν ὁρώντων (1) αὐτοὺς, καὶ οὐχ εἰς δόξαν Θεοῦ μᾶλλον, οὔτε μὴν εἰς ὄνησιν τῆς αὐτῶν ψυχῆς πράττεσθαί τι τῶν παρ' ἐκείνοις φιλεῖ. Ἔφη δὲ πάλιν ὁ θεσπέσιος Μελῳδὸς, « Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν, » τουτέστι, δοξολογεῖν καὶ προσεύχεσθαι, σεσίγηκα πεσὼν εἰς ἀνθρωπίνην μικροψυχίαν. Ἐπαλαιώθη μου τὰ ὀστᾶ, τουτέστιν, ἐσαθρώθησαν αἱ τῆς διανοίας, ἤτοι τῆς ψυχῆς δυνάμεις. Αὗται τοίνυν ἐκ ῥᾳθυμίας ἔσθ' ὅτε παραλυθεῖσαι βραχὺ πάλιν ὡς βοτάνη ἀνατέλλουσι, καταπιαίνοντος Θεοῦ παρακλήσεσι ταῖς διὰ τοῦ ἁγίου Πνεύματος, καὶ ἀναῤῥωννύντος αὐτήν, ὥστε διὰ τοῦτο κληρονόμους ἡμᾶς καταστῆναι, τῆς εἰς μακραίωνα ζωῆς· σημαίνει γὰρ τοῦτο, καὶ ἕτερον οὐδὲν τὸ εἰς γενεὰς γενεῶν.

Καὶ οἰκοδομηθήσονταί σου αἱ ἔρημοι αἰώνιοι, καὶ ἔσται σου τὰ θεμέλια γενεῶν γενεαῖς, καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν, καὶ τὰς τρίβους τὰς ἀναμέσον παύσεις.

Δι' ἑτέρων δύο παραδειγμάτων ὁ προφητικὸς ἡμῖν ἔρχεται λόγος, καὶ τῶν κεχρυμμένων ἐννοιῶν τὸ κάλλος ἐκφαίνεται. Ὡς γὰρ ἐπὶ πόλεως ἐρημωθείσης ποτὲ, καὶ κατασεσεισμένης εἰσάπαν, ὥς καὶ ἀτείχιστον αὐτὴν ἀπομεῖναι, τὸ τοῦ λόγου πλάττεται σχῆμα. Αἱ γὰρ ἔρημοί σου, φησὶν, οἰκοδομηθήσονται αἰώνιοι, τουτέστιν, οὐκ ἔσῃ γυμνὴ τῶν οἰκούντων τὴν σὴν καρδίαν λογισμῶν ἀγαθῶν, οὔτε μὴν ἀτείχιστος, ἢ ἀφρούρητος ἀπομενεῖς, καὶ βάσιν ἑδραίαν οὐκ ἔχουσα. Γενήσεται γάρ σοι θεμέλιος ὁ Χριστὸς καὶ ἀσφάλεια διηνεκὴς, καὶ ὡς πόλις ἔσῃ πολυανδροῦσα καὶ ἀναριθμήτους ἔχουσα τοὺς οἰκήτορας. Αἱ γὰρ τῶν ἁγίων ψυχαὶ λόγων τε καὶ ἐννοιῶν εἰσι μεσταὶ, τῶν περὶ Θεοῦ δηλονότι. Πλεῖστοι δὲ οὗτοι, καὶ διὰ τῆς εἰς λῆξιν ἀκριβείας ἐρχόμενοι, ἄνω τε καὶ κάτω περιθέοντες αὐτὴν, πλήρη τε αὐτὴν ἀποφαίνοντες ἀγαθοῦ παντός. Κληθήσῃ δὲ πρὸς τούτῳ καὶ οἰκοδόμος φραγμῶν, καὶ τὰς τρίβους τὰς ἀνὰ μέσον παύσεις· τοὺς μὲν γὰρ ἐρήμους τῶν κήπων πολλοὶ λίαν οἱ διαστοιχίζοντες. Ἐφεστηκότος γὰρ ὅλως οὐδενὸς, ἤγουν περιφράττοντος ἀπρὶξ εἶεν ἂν οὐδὲν κωλύοντες τοὺς διὰ μέσου βαδίζειν ἐθέλοντας. Εἰ δὲ δὴ γένοιντό πως ὑπὸ γηπόνον ἀσφαλῆ, τότε καὶ ἀποβάλλουσι τὸ τοῖς τῶν πολλῶν ὑποκεῖσθαι ποσὶν, ἐγηγερμένου δηλονότι φραγμοῦ. Πεπαύσονται γὰρ οὕτως αἱ διὰ μέσου τρίβοι. Ἔσῃ τοίνυν, φησὶν, ὡς ἐπιμελὴς γηπόνος φραγμοὺς ἐγείρων, καὶ παύων

ejus facultates et energiæ, ut cum dicitur : « Deus dispersit ossa eorum qui hominibus placent [60]. » Non enim corporis ossa dissipat Deus, sed animæ vires ac facultates confringit ac comminuit, ut nihil quod spectet ad virtutem **824** possint efficere. « Nemo enim coronatur, nisi legitime certaverit [61], » secundum id quod scriptum est. At scopus et finis eorum qui hominibus placent ac blandiuntur, spectat ad laudes quæ ad ipsos homines redundant : nec vel ad gloriam Dei, vel ad utilitatem animi ipsorum quidquam fieri ab illis solet. Rursus etiam dixit divinus Psaltes : « Quia tacui, inveteraverunt ossa mea, eo quod clamarem tota die [62], » id est, glorificarem et orarem, tacui deinceps, in humanam pusillanimitatem lapsus. Inveteraverunt ossa mea, id est, computruerunt animi facultates. Hæ igitur dissolutæ aliquantulum et torpidæ nonnunquam, rursus, ceu herba, reflorescunt, pinguefaciente Deo consolationibus spiritualibus et eam corroborante, ut inde nos hæredes instituat in longævitatem. Nihil enim aliud significat illud : In generationes et generationes.

VERS. 12. *Et ædificabuntur tibi deserta in æternum, et erunt tua fundamenta generationum generationibus : et vocaberis ædificator maceriarum, et semitas quæ sunt in medio quiescere facies.*

Aliis duobus exemplis prophetica illustratur oratio, et reconditarum sententiarum pulchritudo ostenditur. Nam velut a vastata quondam urbe et in totum disturbata, quæ sine mœnibus nuda manet, oratio formatur. Deserta enim, inquit, tua ædificabuntur in æternum, id est, non eris nuda bonis cogitationibus cor tuum inhabitantibus, nec mœnibus destituta, aut incustodita manebis et firma basi carens. Fiet enim tibi fundamentum Christus et incolumitas perpetua, et quasi civitas eris multis instructa viris, quæ innumerabiles habet incolas. Sanctorum enim animi sermonum et sententiarum pleni sunt, de Deo scilicet ; ac plurimi ad ipsum perfectionis gradum perveniunt, eumque magis ac magis augent, ac omni bono cumulant. Vocaberis præterea ædificator maceriarum, et semitas quæ sunt in medio quiescere facies. Hortos enim vacuos plurimi pertranseunt : nemine enim intendente, nec firmiter obmuniente, nihil est quod eos, qui per medium ire volunt, impediat. At si tuto agricolæ committantur, tunc non amplius multorum pedibus calcantur, sepimento scilicet erecto. Cessabunt enim sic semitæ quæ in medio sunt. Eris igitur, **825** inquit, ceu diligens agricola, sepimenta et semitas intermedias obstruens. Nam quandiu anima est incustodita, stertens socordia, et proinde fœdis voluptatibus exposita : similis est

[60] Psal. LII, 6. [61] II Tim. II, 5. [62] Psal. XXXI, 3.

(1) Deesse hic nonnulla, patet ex Humfredi versione.

horto quem omnes prætereunt et pervadunt. Ubi autem expergefacta, e vitiorum laqueis eruperit et exsilierit, et bene agendi voluntatem susceperit, et mentem quasi sepimento quodam tuto obvallaverit, divino, inquam, timore, et cogitationes animi, quæ olim illi dominatæ sunt, quæ per medium ejus quasi transierunt, ac pedibus subjectum habent ac conculcant, eo quod in eum imperium obtineant, expulerit : tum vocabitur ædificator maceriarum. Sciendum vero malas et adversarias potestates miseram animam interdum incursare, ac voluptates exsecrandas parere, et quocunque volunt auferre tyrannice, et quasi hortum incultum penetrare. At illam calcare desinent, exstructa maceria, quam divinus timor in nobis excitat. Applicabis autem hanc quoque orationem unicuique sanctorum mystagogorum. Sunt enim ædificatores maceriarum, secure munientes virtutis motionibus animas eorum qui instituuntur, ita ut animum habeant voluptatum impressionibus, et ineptis nugis minime pervium eorum, qui vaniloqui esse solent, qui rectum fidei sermonem cauponantur, nescientes neque quid dicunt, neque de quibus affirmant.

A τὰς ἀναμέσον τρίβους. Ἕως μὲν γὰρ ἀφρούρητός ἐστι ψυχὴ, ῥέγχουσα πρὸς τὸ ῥᾴθυμον, καὶ ταῖς τῶν ἡδονῶν ἐκτόποις ταύτης ἕνεκα τῆς αἰτίας οὐκ ἀστιβής, ἀλλ' ἔοικε κήπῳ διοδευομένῳ παρὰ παντὸς ὁτουοῦν. Ἐπὰν δὲ διανήψασα τῶν τῆς φαυλότητος ἀποπηδήσῃ βρόχων, ἐπιδράξηται δὲ μᾶλλον τοῦ θέλειν ἀγαθουργεῖν, καὶ ὥσπερ τινὰ φραγμὸν ἀναστήσῃ τῷ νῷ τὴν ἀσφάλειαν, τὴν ἀπό γε, φημὶ, τοῦ θείου φόβου, καὶ ἀποσοβήσῃ τῆς διανοίας τοὺς πάλαι κρατοῦντας αὐτῆς διαλογισμοὺς, οἳ διὰ μέσης ὥσπερ ᾔεσαν αὐτῆς ὑπὸ πόδας ἔχοντες ταύτην, καὶ θέντες εἰς καταπάτημα διὰ τοῦ κατακρατεῖν αὐτῆς, τότε κεκλήσεται καὶ οἰκοδόμος φραγμῶν. Ἰστέον δὲ ὅτι καὶ αἱ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις κατατρέχουσιν ἔσθ' ὅτε τῆς ἀθλίας ψυχῆς, μυσαρὰς ἡδονὰς B ἐκτίκτουσαι, καὶ ἀποφέρουσαι τυραννικῶς οἷπερ ἂν βούλωνται, καὶ ὡς διὰ κήπου κεχερσωμένου βαδίζουσαι. Πεπαύσονται δὲ τοῦ καταπατεῖν αὐτὴν, ἐγηγερμένου φραγμοῦ, ὃν ὁ θεῖος ἐν ἡμῖν ἀνίστησι φόβος. Ἐφαρμόσεις δὲ τὸν τοιόνδε λόγον καὶ ἑκάστῳ τῶν ἁγίων μυσταγωγῶν. Γεγόνασι γὰρ οἰκοδόμοι φραγμῶν, ἀσφαλιζόμενοι ταῖς εἰς ἀρετὴν νουθεσίαις τὰς τῶν παιδευομένων ψυχὰς, ὥστε καὶ ταῖς τῶν ἡδονῶν ἐφόδοις ὁστισδὴ τρόπον τινὰ τὴν διάνοιαν ἔχειν καὶ βωμολοχίαις, ἔκ τε τῶν κενοφωνεῖν εἰωθότων, οἳ τὸν ὀρθὸν τῆς πίστεως ἐκκαπηλεύουσι λόγον, μὴ εἰδότες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

VERS. 13, 14. *Si averteris pedem tuum a Sabbatis, ut non facias voluntates tuas in die sancta, et vocaveris Sabbata tenera, Deo tuo sancta, non tolles pedem tuum ad opus, neque loqueris verbum in ira de ore tuo, et eris confidens super Dominum. Et elevabit te super bona terræ, et elevabit te hæreditate Jacob patris tui. Os enim Domini locutum est hæc.*

Ἐὰν ἐπιστρέψῃς τὸν πόδα σου ἀπὸ τῶν Σαββάτων, τοῦ μὴ ποιεῖν τὰ θελήματά σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, καὶ καλέσῃς τὰ Σάββατα τρυφερὰ, τῷ Θεῷ σου ἅγια, οὐκ ἀρεῖς τὸν πόδα σου C *ἐπ' ἔργῳ, οὐδὲ λαλήσῃς λόγον ἐν ὀργῇ ἐκ τοῦ στόματός σου, καὶ ἔσῃ πεποιθὼς ἐπὶ Κύριον, καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς, καὶ ψωμιεῖ σε τὴν κληρονομίαν Ἰακὼβ τοῦ Πατρός σου. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.*

Divinus Paulus legis umbram velut inefficacem repellens, ad spiritualem ejus considerationem transfert. Nec enim videbis eum vel carnis circumcisionem, vel Sabbati otium recepisse : at circumcisionem potius simul ac sabbatismum spiritualem prædicare videtur. Ait enim : « Non qui in manifesto Judæus est, neque quæ in manifesto in carne est circumcisio; sed qui in abscondito, Judæus est : **826** et circumcisio cordis, in spiritu, non littera, cujus laus non ex hominibus, sed ex Deo est [63]. » Quod itaque ad Sabbatum attinet, relinquitur populo Dei sabbatismus. Qui enim ingreditur in requiem ejus, etiam ipse requiescit a suis operibus, quemadmodum a suis Deus. Ergo si quis a suis operibus cessat, aut suæ voluntatis imperium sacrosanctis tradit legibus, hic sabbatizat spiritualiter, et sanctum diem vere celebrat. Hoc etiam nobis ostendit prophetiæ, quæ præ manibus est, oratio. Si enim, inquit, averteris pedem tuum a Sabbatis, ut non facias voluntates tuas in die sancta. Illud : Averteris pedem tuum a Sabbatis, aliud nihil est, ut ego censeo, nisi ut non agat quæ quis voluerit, nec

Ὁ θεσπέσιος Παῦλος τὴν τοῦ νόμου σκιὰν ὡς ἀδρανῆ παρωθούμενος εἰς πνευματικὴν θεωρίαν μεθίστησι τὰ ἐν αὐτῷ. Οὔτε γὰρ τὴν κατὰ σάρκα περιτομὴν, οὔτε τὴν κατὰ τὸ Σάββατον ἀργίαν ἀποδεξάμενον καταθρήσαι τις ἂν αὐτὸν, περιτομὴν δὲ μᾶλλον πνευματικὴν, καὶ σαββατισμὸν ὁμοίως διακηρύττων ὁρᾶται. Ἔφη γὰρ, ὅτι « Οὐχ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ D ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ. » Περὶ δὲ τοῦ Σαββάτου ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. Οὐκοῦν εἴ τις παύσαιτο τῶν ἰδίων ἔργων, ἤτοι τῶν ἑαυτοῦ θελημάτων τὸ χρῆναι κρατεῖν ἐπιδοὺς τοῖς ἱεροῖς θεσπίσμασιν, οὕτως Σαββατίζει πνευματικῶς, καὶ ἁγίαν ἀληθῶς ἡμέραν ἐπιτελεῖ. Τοῦτο καὶ τῆς ἐν χερσὶ προφητείας διαδείκνυσιν ἡμῖν ὁ λόγος. Ἐὰν γὰρ ἀποστρέψῃς, φησὶ, τὸν πόδα σου ἀπὸ τῶν Σαββάτων τοῦ μὴ ποιεῖν τὰ θελήματά σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ. Τὸ δὲ, ἀποστρέ-

[63] Rom. II, 28, 29.

ψεις τὸν πόδα σου ἀπὸ τῶν Σαββάτων, οὐδὲν ἕτερον εἴη ἄν, ὥς γε οἶμαι πλὴν ὅτι τὸ μὴ χρῆναι δρᾷν, ἃ ἂν βούλοιτό τις, καὶ τὰς τῶν ἰδίων ἐπιθυμιῶν ἰέναι τρίβους. Ὅτι γὰρ τῶν ἀνθρωπίνων θελημάτων ὁ σκοπὸς εἰς τὸ φιλήδονον βλέπει, πιστώσεται γράφων ὁ πάνσοφος Παῦλος· « Οὐ γὰρ ὃ θέλω τοῦτο ποιῶ ἀγαθὸν, ἀλλ' ὃ μισῶ κακὸν τοῦτο πράσσω, συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. » Δεῖ δὴ οὖν ἄρα καὶ μάλα νεανικῶς καταγωνίσασθαι μὲν τὸ ἴδιον θέλημα τοὺς εὐδοκιμεῖν ἐθέλοντας παρὰ Θεῷ, τοῖς δὲ θείοις αὐτοῦ νόμοις πανταχοῦ ἑπομένους τὴν ἀξιάγαστον τῆς δικαιοσύνης διάττειν ὁδόν. Τρυφερὰ δὲ Σάββατά φησι τὰ μηδὲν ἔχοντα τῶν ἀπὸ γνώμης. Σκληρὰ δὲ γνώμη καὶ ἀπηνής, τὸ μὴ ὑποκεῖσθαι θέλειν, οἷς ἂν βούληται Θεός· τοιοῦτον ὄντα τὸν Ἰσραὴλ διήλεγξε λέγων, « Γινώσκω ἐγὼ ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. » Τὸ εὐπειθὲς οὖν ἄρα, καὶ τὸ εὐήνιον, καὶ τὸ εἰκτικὸν τοῦ τρόπου, τρυφερὰν ἀποφαίνει τῷ Θεῷ τὴν κατὰ τὸ Σάββατον ἀργίαν, ἤτοι τὸν κατὰ πνεῦμα σαββατισμὸν, ὃν οἱ κατορθοῦν ἐθέλοντες ἀμωμήτως οὐκ ἀροῦσιν ἐπ' ἔργῳ τὸν πόδα, τουτέστιν, οὐ βαδίζουσι πρακτικῶς, ἐπιτελοῦσι δὲ μᾶλλον τὴν εὐαγῆ, καὶ ὀνησιφόρον ἀργίαν, τὴν ἐπί γε, φημὶ, τοῖς αἰσχίστοις, καὶ βδελυροῖς, καὶ ἀπηχθημένοις τῷ Θεῷ πράγμασι. Βούλεται δὲ τοὺς τοιούτους καὶ ὀργῆς καὶ θυμοῦ κατευμεγεθοῦντας ὁρᾶσθαι, καὶ θύραν ἔχοντας ἐπὶ γλώττῃ καὶ μοχλόν. Οὐ γὰρ λαλήσεις λόγον, φησὶν, ἐν ὀργῇ ἐκ τοῦ στόματός σου. Δύο δὴ οὖν ἐνταῦθα περιτέμνει δεινὰ καὶ παγχάλεπα, ὧν ἄν τις ἀποφοιτήσας τέλειος ἔσται παρὰ Θεῷ. Ἔφη γάρ τις τῶν ἁγίων ἀποστόλων, « Εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ δυνάμενος χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. » Ὁ δὲ κρείττων ὀργῆς, πάντως που καὶ εὐσχήμων, εἴπερ ἐστὶν ἀληθὲς καὶ τὸ ἔμπαλιν· γέγραπται γὰρ ὅτι « Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. » Πράους οὖν ἄρα καὶ πλείστην ὅσην ἔχοντας τὴν ἀρετὴν εἶναι βούλεται ὁ Θεὸς τοὺς σαββατίζοντας νοητῶς, καὶ ἁγίως, καὶ τρυφερῶς, καὶ πεποιθέναι κελεύει, οὐκ ἐπὶ πλούτῳ μᾶλλον ἢ δυναστείαις κοσμικαῖς, οὐκ ἐπὶ ῥώμῃ σωμάτων, οὐκ ἐφ' ἑτέρῳ τινὶ τῶν τοιούτων, ἃ πόαις ἐν ἴσῳ ταῖς ἐν ἀγροῖς πρόσκαιρά τέ ἐστι καὶ εὐμάραντα, ἐπὶ Κύριον δὲ μᾶλλον τὸν ἁπάσης εὐθυμίας καὶ χορηγὸν καὶ πρύτανιν. Τὰ τῶν οὕτω ζῆν εἰωθότων, ὅτι οἷοί τινες εἶεν, ἀνθρώπους στεφανοῖ, διαδείκνυσι λέγων, ὅτι « Ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς, καὶ ψωμιεῖ σε ἐπὶ τὴν κληρονομίαν Ἰακὼβ τοῦ πατρός σου. » Ἐπηγγείλατο μὲν γὰρ τοῖς τῶν Ἰουδαίων πατράσιν ὁ τῶν ὅλων Θεὸς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ δὴ καὶ εἰσεκομίσθησαν εἰς αὐτὴν στρατηγοῦντος Ἰησοῦ μετὰ τὸν ἱεροφάντην Μωσέα· Εἶτα πῶς διὰ τῶν προκειμένων στίχων, ὡς οὔπω λαβοῦσι τὸν κλῆρον τὸν ἐπαγγελθέντα τῷ πατριάρχῃ Ἰακὼβ,

A propriæ cupiditatis semitas persequatur. Nam humanarum voluntatum scopum ad voluptatem spectare, confirmabit sapientissimus Paulus, scribens : « Non enim quod volo, hoc facio bonum, sed quod odi malum, hoc ago. Delector enim lege Dei, quod ad interiorem hominem attinet. Video autem aliam legem quæ repugnat legi mentis meæ, et captivum me reddit legi peccati, quæ est in membris meis [64]. » Qui ergo a Deo probari volunt, fortiter ac juveniliter suam voluntatem oppugnare debent : et qui divinas ejus leges per omnia sequuntur, admirabilem justitiæ viam alacriter inire oportet. Tenera Sabbata dicit, in quibus propriæ voluntatis nihil est. Dura autem et præfracta mens est, nolle illis quæ Deus vult subjici. Talem esse Israelem arguit, di-B cens : « Scio ego te durum esse, et nervus ferreus collum tuum, et frons tua ænea [65]. » Submissi igitur et tractabiles et sequaces mores tenerum Deo præstant in Sabbato otium, vel spiritualem sabbatismum : quem qui volunt sine reprehensionis nota colere, non levabunt ad opus pedem, id est, non ad rerum actum pergunt, sed potius sanctum et utile celebrant otium, a turpissimis, inquam, et detestandis ac Deo invisis negotiis. Eos vult etiam iram ac furorem vincere, et fores ac repagulum linguæ apponere. **827** Non enim loqueris verbum, inquit, in ira de ore tuo. Duo igitur hinc circumcidit gravia et infestissima : a quibus si quis recesserit, apud Deum perfectus erit. Dixit enim quidam e sanctis apostolis : « Si quis in sermone non offendit, hic perfectus vir est, qui possit etiam totum corpus frenare [66]. » C Qui autem iram coercet, semper moderatus est et compositus, siquidem contrarium verum est : scriptum est enim : « Vir iracundus immoderatus est et incompositus [67]. » Eos igitur qui sabbatizant intelligibiliter, sancte et delicate seu tenere, mites esse vult Deus, et plurimis virtutibus præditos : et confidere jubet non divitiis, aut mundi potentia, non robore corporis, vel rebus ejusmodi, quæ herbis agri similes sunt, et temporariæ ac marcidæ; sed Domino inniti, qui omnis tranquillitatis largitor est ac dispensator. Quod autem eos qui ita vitam instituere solent, quicunque tandem sint, coronet, ostendit, dicens : « Evehet te ad bona terræ, et cibabit te hæreditate Jacob patris tui. » Promisit enim Judæorum patribus universorum Deus terram pro-D missionis, et in eam introducti sunt, duce Jesu, Moysis sacrorum antistitis successore. Jam vero qui fit, quod hisce versibus promittat se illis daturum, perinde quasi sortem promissam Jacobo patriarchæ nondum accepissent? Proinde non de hæreditate sensibus percepta, vel sortito illis a Deo data temporibus divini Jacobi, vel Abrahami et Isaaci intelliges, sed de illa potius, quam ipse nobis Servator designat, dicens : « Beati mites quia ipsi hæreditabunt terram [68]. » Omnino autem hæc ad finem exitura, quæ promissa sunt, probat, cum inquit : Os

[64] Rom. VII, 23. [65] Isa. XLVIII, 4. [66] Jac. III, 2. [67] Prov. XXIX, 22. [68] Matth. V, 4.

enim Domini locutum est hæc. Fieri namque haud potest, ut divini sermones excidant: Deus enim est veritas.

A δώσειν αὐτοῖς ἐπαγγέλλεται; Οὐκοῦν οὐ περὶ τῆς αἰσθητῆς, ἤτοι τῆς κατακληροδοθείσης αὐτοῖς ἡ ἐπαγγελία ἣν τῷ Θεῷ πρὸς τὸν θεσπέσιον Ἰακὼβ, ἤγουν ἐπὶ Ἀβραάμ τε καὶ Ἰσαὰκ, περὶ ἐκείνης δὲ μᾶλλον, ἣν αὐτὸς ἡμῖν ὁ Σωτὴρ κατεσήμαινε λέγων· « Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. » Ὅτι δὲ πάντῃ τε καὶ πάντως εἰς πέρας ἐκβήσονται τὰ ἐπηγγελμένα, πιστοῦται λέγων· Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα· ἀμήχανον δὲ τοὺς θείους διαπεσεῖν λόγους· Θεὸς γάρ ἐστιν ἀλήθεια.

CAP. LIX. VERS. 1-4. *Nonne potest manus mea servare? num aggravata est auris ejus, quo minus audiat? Sed peccata vestra dissidium faciunt inter vos et Deum. Propter peccata vestra avertit faciem a vobis, ne misereatur. Manus enim vestræ inquinatæ sunt sanguine, et digiti vestri in peccatis. Labia vero vestra locuta sunt iniquitatem, et lingua* **828** *vestra meditatur injustitiam. Nemo loquitur justa, neque est judicium verum. Fidunt in vanis, et loquuntur inania.*

Μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ ἀκοῦσαι; Ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀναμέσον ὑμῶν καὶ τοῦ Θεοῦ, διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν, τοῦ μὴ ἐλεῆσαι. Αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις. Τὰ δὲ χείλη ὑμῶν B *ἐλάλησεν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ· οὐδεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι κρίσις ἀληθινή. Πεποίθασιν ἐπὶ ματαίοις, καὶ λαλοῦσι κενά.*

Paulo ante Dei persona introducta est, dicens divino prophetæ: « Clama pro viribus, ne parcas, instar tubæ extolle vocem tuam, et annuntia populo meo iniquitates suas, et domui Jacob peccata sua. Me de die in diem quærunt, et scire vias meas desiderant, quasi populus justitiam faciens, et judicium Dei sui non derelinquens. Postulant a me nunc judicium justum, et appropinquare Deo desiderant, dicentes: Quid quod jejunavimus, et non vidisti? humiliavimus animas nostras, et non cognovisti? In diebus enim jejuniorum vestrorum invenitis voluntates vestras et omnes subjectos vobis affligitis: ad judicia et jurgia jejunatis, et verberatis pugnis humilem. Quare mihi jejunatis? Non hoc jejunium elegi, dicit Dominus [**]. » Diximus autem, cum sensum prophetiæ, ut potuimus, interpretati sumus, eos restitisse his, quæ sapientissimi Moysis prodita sunt oraculis, et vitæ probitatem nullo in loco ac pretio habuisse, sed consueta factitasse, ac Deo infestam et pravam vivendi rationem secutos fuisse. Si bellum quandoque denuntiatum esset, de cibi abstinentia consultabant, rati se hoc nudo et solo jejunio seu abstinentia propitium sibi judicem reddituros. Deinde spe frustrati, obmurmurabant et dicebant: Quid jejunavimus, et non vidisti? humiliavimus animas nostras, et non cognovisti? Vide ergo, vide divinum prophetam, velut ex maximo pietatis studio, increpare eos ac dicere: Nonne potest manus Domini servare? num aggravata est auris ejus, quo minus audiat? Non enim, inquit, omnipotens Domini dextera debilitata est, neque gravatas aures habet vel aversas, ut non audiat; sed peccata vestra divellunt vos ab ipso. Si quis itaque dissidium removeat, et id tollat quod a Dei cognitione quasi muro interposito dividit, id est, peccatum; non procul est qui servat, sed preces semper accipiet. Inest enim illi, ut et omnia possit, et ut bonorum amore precationes laborantium et afflictorum ad-

Ἐν τοῖς ἀνόπιν βραχὺ τὸ τοῦ Θεοῦ πρόσωπον εἰσεκομίσθη, λέγον τῷ θεσπεσίῳ προφήτῃ· « Ἀναβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ, ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰς ἀνομίας αὐτῶν, καὶ τῷ οἴκῳ Ἰσραὴλ τὰς ἁμαρτίας αὐτῶν. Ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι, καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς. Αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν Θεῷ ἐπιθυμοῦσι, λέγοντες, Τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς ψυχὰς ὑμῶν, καὶ οὐκ ἔγνως; C Ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑπονύσσετε, εἰς κρίσιν καὶ μάχας νηστεύσετε· οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος. » Ἐλέγομεν δὲ τὴν τῆς προφητείας δύναμιν, ὡς ἔνι, διερμηνεύοντες, ὅτι τοῖς τεθεσπισμένοις διὰ τοῦ πανσόφου Μωσέως ἀντανιστάμενοι, καὶ ὀλίγου παντελῶς ἀξιοῦντες λόγου τὸ διαζῆν ὀρθῶς, ἔδρων δὲ τὰ συνήθη, στυγητὸν τῷ Θεῷ καὶ φιλαμαρτήμονα πολιτείας τρόπον ἐπιτηδεύοντες, εἶτα πολέμου περιαγγελθέντος ἔσθ' ὅτε τὸ ἀσιτεῖν ἐσκέπτοντο διὰ γυμνῆς καὶ μόνης νηστείας, ἤγουν ἀσιτείας, ἵλεων καταστήσειν ἐφ' ἑαυτοῖς οἰόμενοι τὸν κριτήν. Εἶτα διεγόγγυζον τῆς ἐλπίδος ἡμαρτηκότες, καὶ δὴ καὶ ἔφασκον· Τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες; ἐτα- D πεινώσαμεν τὰς ψυχὰς ἡμῶν, καὶ οὐκ ἔγνως; Ἄθρει δὴ οὖν, ἄθρει τὸν θεσπέσιον προφήτην, ὡς ἐκ πολλῆς ἄγαν φιλοθεΐας ἐπιτιμῶντα αὐτοῖς, καὶ λέγοντα, Μὴ οὐκ ἰσχύει ἡ χεὶρ Κυρίου τοῦ σῶσαι, ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ ἐπακοῦσαι; Οὐ γὰρ ἠτόνησε, φησὶν, ἡ πανσθενὴς τοῦ Κυρίου δεξιὰ, ἀλλ' οὐδὲ τὸ οὖς βαρυνθὲν ἔχει καὶ ἀπεστραμμένον, ὥστε μὴ εἰσακοῦσαι. Τὰ δὲ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀναμέσον ὑμῶν καὶ αὐτοῦ. Οὐκοῦν εἴ τις ἀφέλοιτο τὴν διαφορὰν, καὶ ἀποστήσαι τὸ διατειχίζον τῆς πρὸς Θεὸν γνώσεως, τουτέστι, τὴν ἁμαρτίαν, οὐ μακρὰν ὁ σώζων ἐστὶν, ἀλλὰ δέξεται πάντως τὰς ἱκετηρίας.

[**] Isa. LVIII, 1 seqq.

Ἔνεστι γὰρ αὐτῷ καὶ τὸ πανσθενὲς, καὶ τὸ προσίεσθαι φιλαγάθως τὰς παρὰ τῶν καμνόντων λιτάς. Ποῖαι τοίνυν ἁμαρτίαι διιστῶσιν ἀναμέσον τοῦ Θεοῦ, καὶ τῶν ἐξ αἵματος Ἰσραὴλ ἐπιφέρει, λέγων· « Αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις. Τὰ δὲ χείλη ἐλάλησαν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ. » Ἀπεκτόνασι μὲν γὰρ προφήτας ἁγίους τοὺς ἀπεσταλμένους παρὰ Θεοῦ, κατελάλησαν δὴ καὶ αὐτοῦ. Ἔφη γοῦν Ἱερεμίας, Ἡ ἰσχύς μου ἐξέλιπεν ἐκ τῶν καταρωμένων με· παρεὶς δὲ τὰ τοιάδε νῦν τὴν κατὰ Χριστοῦ δυσσέβειαν ἐγκαλεῖν ἔοικε, τὰς χεῖρας αὐτῶν αἵματι μεμολύνθαι λέγων. Γεγόνασι δὲ κυριοκτόνοι, ἐλάλησαν δὲ καὶ τὰ χείλη αὐτῶν ἀνομίαν, καὶ ἡ γλῶσσα αὐτῶν ἀδικίαν ἐμελέτησε· οὐ γὰρ διαλελοίπασι μαχόμενοί τε καὶ ὀνειδίζοντες, καὶ καταλαλοῦντες Χριστοῦ, καὶ ποτὲ μὲν διασύροντες τὰς θεοσημείας, καὶ καταψευδόμενοι τῆς θεοπρεποῦς μεγαλουργίας, ποτὲ δὲ κατηγοροῦντες καὶ λέγοντες· « Αἶρε, αἶρε, σταύρου αὐτόν. » Ποτὲ δὲ ταύτης ἕνεκα τῆς αἰτίας, ὡς ψῆφον ἄδικον ὑπομείναντος Χριστοῦ, μετὰ παῤῥησίας ἁγιοπρεποῦς ὁ προφήτης ἀναφθέγγεται, Οὐδεὶς λαλεῖ δίκαια, οὐδ' ἔστι κρίσις ἀληθινή. Πεποίθασιν ἐπὶ ματαίοις, καὶ λαλοῦσι κενά. Ποία δὲ αὐτῶν ἡ ματαία πεποίθησις; Ὠήθησαν γὰρ ὅτι τὸν κληρονόμον ἐκ μέσου ποιησάμενοι, καθέξουσι τὸν κλῆρον αὐτοῦ· καὶ ταῦτα πρὸς ἀλλήλους κενοφωνοῦντες οἱ δείλαιοι δεδυσσεβήκασι εἰς αὐτόν. Ἢ τοίνυν τὴν εἰς Χριστὸν δυσσέβειαν ὁ προφητικὸς ἐγκαλεῖ λόγος τοῖς ἐξ αἵματος Ἰσραὴλ, ἤγουν ὅτι κατ' οὐδένα τρόπον ἐπιεικεῖς ὄντες ἁλοῖεν ἄν, οἵ γε καὶ χεῖρας ἔχουσι μεμολυσμένας αἵματι, χείλη τε καὶ γλῶσσαν οὐδὲν εἰδυῖαν ἕτερον μελετᾷν, πλὴν ὅτι τὰ εἰς δυσσέβειαν, καὶ ἀνομίαν, καὶ ἀδικίαν βλέποντα, καὶ ὅτι πρὸς τούτοις ἄδικοι γεγόνασι δικασταὶ, δωροδοκοῦντες δηλονότι, καὶ λημμάτων αἰσχρῶν ἡττώμενοι. Εἴρηται γὰρ ἑτέρωθί που, « Πῶς ἐγένετο πόρνη πόλις πιστὴ, Σιὼν πλήρης κρίσεως, ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί; Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. »

mittat. Quæ igitur peccata inter Deum et Israelitas dissidium faciant, infert, dicens : « Manus enim vestræ inquinatæ sunt sanguine, et digiti vestri in peccatis. Labia locuta **829** sunt iniquitatem, lingua vestra injustitiam meditata est. » Nam interfecerunt prophetas sanctos a Deo missos, et illi oblocuti sunt. Dixit igitur Jeremias : Fortitudo mea dereliquit eos qui exsecrantur me. Cum autem hæc addit, nunc impietatem contra Christum suggillare videtur, cum dicit, manus eorum pollutas esse sanguine. Dominicidæ quippe fuerunt, et locuta sunt labia eorum iniquitatem, et lingua eorum meditata est injustitiam. Non enim destiterunt pugnare, et convicia facere, et obloqui Christo, et nunc subsannare divina signa, et de divina magnificentia mentiri ; nunc accusare et dicere : « Tolle, tolle, cruci affige eum [70]. » Hanc ob causam, perinde quasi injustam sententiam passus fuisset Christus, cum libertate ac fiducia sancta propheta exclamat : Nemo locutus est justa, neque est judicium verum. Confidunt vanis, et loquuntur inania. At quænam est hæc vana ipsorum fiducia ? Arbitrati sunt enim, hærede de medio sublato, ejus se invasuros hæreditatem. Et has quidem inanes voces dum inter se profunderent miseri, impii fuerunt in ipsum. Vel igitur prophetica oratio Israelitico sanguine oriundis impietatem in Christum objicit : vel quod nullo modo æqui et probi esse deprehenderentur, qui et manus sanguine inquinatas habent, et labia ac linguam quæ aliud nihil meditari novit, quam ea quæ spectant ad iniquitatem, injustitiam et impietatem, et quod etiam injusti exstiterint judices, munera videlicet capientes, et sordido quæstui dediti. Alibi enim dictum est : « Quomodo facta est meretrix civitas fidelis, Sion plena judicio, in qua justitia dormivit, in ea nunc homicidæ? Argentum vestrum reprobum ; caupones tui miscent vinum aqua ; principes tui non obediunt, socii furum, diligentes munera, persequentes præmium, orphanis non judicantes, et judicio viduæ non attendentes [70*]. »

Ὅτι κύουσι πόνον, καὶ τίκτουσιν ἀνομίαν. Ὠὰ ἀσπίδων ἔῤῥηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι, καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν φαγεῖν, συντρίψας οὔριον, εὗρε καὶ ἐν αὐτῷ βασιλίσκον. Ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, οὐδὲ μὴν περιβαλοῦνται ἀπὸ τῶν ἔργων τῶν χειρῶν αὐτῶν.

Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ πόνον ἀεί πως τὸν φθόνον ἀποκαλεῖν. Ἔχει δὲ πολὺ τὸ εἰκὸς ὁ λόγος· ἐκτήκει γὰρ καὶ καταμαραίνει τὰς τῶν δεχομένων αὐτὸν καρδίας. Τοιοῦτόν τι καὶ ὁ Ψάλλων φησὶ περί τινος, ἤτοι τοῦ τῶν Ἰουδαίων δήμου, « Συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. » Προωδινήσαντες γὰρ τὸν κατὰ Χριστοῦ φθόνον, ἐκτετόκασι τὴν κατ' αὐτοῦ δυσσέβειαν, ἤγουν ἀνομίαν· μόνον γὰρ οὐχὶ τὸ προφητικὸν ἐκεῖνο λέγοντες ἁλοῖεν ἂν διά γε τῶν ἐπιχειρη-

VERS. 4, 5. *Quia parturiunt laborem, et pariunt iniquitatem. Ova aspidum ruperunt, et telam araneæ texunt. Et qui voluerit de ovis eorum comedere, frangens putridum, reperit etiam in eo regulum. Ex tela eorum non conficietur vestimentum, neque amicientur operibus suarum manuum.*

Familiare est Scripturæ divinitus inspiratæ, laborem fere semper invidiam **830** appellare. Habet autem hæc locutio aliquid probabilitatis. Tabefacit enim eorum corda et consumit, facitque quasi emarcescere. Tale quiddam etiam dicit Psaltes de quodam, vel de Judæorum populo : « Concepit laborem, et peperit iniquitatem [71]. » Nam cum ante parturivissent contra Christum invidiam, pepererunt impietatem in illum, seu iniquitatem, ita

[70] Joan XIX, 15. [70*] Isai. I, 21-23. [71] Psal. VII, 15; Job XV, 35; Isa. LIX, 4.

ut propter nefarios ausus merito illud propheticum dicere coarguantur: « Ligemus justum, quia inutilis nobis est [72]. » Inveniemus item in conventibus suis teterrimum illos cepisse consilium. Nam de omnium nostrum Servatore Christo dicebant: « Quid facimus, quia hic homo multa edit signa? Si dimittamus eum sic, venient Romani, et tollent nostram gentem ac regionem. Unus autem ex illis Caiphas (fuit hic impietatis contra Christum inventor) rursus dixit: Vos nihil quidquam scitis, nam expedit vobis, ut unus homo moriatur pro populo, et non tota gens pereat [73]. » Ex his ergo quæ dicta sunt, clarissime videre licet, eos, qui enixi sunt laborem, id est, invidiam contra illum ante parturierunt, iniquitatem peperisse. Quid igitur prophetica oratio nobis hic significat? Ova aspidum fregerunt, et qui voluerit de ovis eorum comedere, frangens putridum reperit. Putabant enim Judæi consilia hæc contra Christum in finem sibi auspicatum cessura, et utilitati fore omni genti. Sed a scopo erraverunt, atque id illis usu venit, quod his accidere solet, qui præ insigni stultitia aspidum ova rumpunt. Nam ubi fregerint, nihil invenient aliud, præterquam regulum: estque hic partus serpentis valde perniciosus, et depravatum ovum et inane. Itaque non modo non utilitatem, sed perniciem conciliat horum contra Christum nefariorum moliminum exitus. Nam velut serpens illis contigit: et fetus hic plane in orci laqueum induxit. Quod autem malitiosa hæc contra Christum machinatio illis prorsus fuerit inutilis, statim ostendit alio exemplo. Telam enim araneæ texunt. Araneus enim, hoc, inquam, pusillum et vilissimum animal, in vacuis domiciliorum partibus telas artificiose subtilibus staminibus contextas connectit: quæ licet summo confectæ sint labore, omnino tamen nihil illis prosunt: nec enim ei qui fabricavit fiet inde amictus, sed illæ sectiles ac dividuæ sunt et ad operimentum inutiles etiam ipsis artificibus. Sic, **831** inquit, Judæorum inventa, quæ scilicet contra Christum structa sunt. Dolos enim concinnantes, et falsam texentes accusationem, putarunt se, ut dixi, morti carnis illum tradentes, et sibi aliquam allaturos commoditatem, et ex suis conatibus opulentum præsidium ac protectionem comparaturos. Sed spes illis demum cuncta in nihilum recidit. Nudati sunt enim superna benevolentia, et protectorem, id est, Christum abjecerunt. Hæc enim protectio ex operibus bonis continget illis, qui hæc facere recte volunt, tribuente etiam illis hoc Deo. At malorum operarios non amicient ea, quæ ex ipsis fiunt: sed protectione et operimento, maxime divino destituentur.

VERS. 6-8. *Nam opera eorum, opera iniquitatis: et pedes eorum ad malitiam currunt, veloces ad effundendum sanguinem. Cogitationes eorum, cogitationes de homicidiis. Contritio et miseria in viis eo-*

[72] Sap. II, 12. [73] Joan. XI, 47-50.

A μάτων· « Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. » Εὑρήσομεν δὲ καὶ ἐν συλλόγοις αὐτοὺ ἐκτοπωτάτην λαβόντας βουλήν. Ἔφασκον γὰρ περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ ποιεῖ σημεῖα; Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸ ἔθνος, καὶ τὴν χώραν· εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, οὗτος τῆς κατὰ Χριστοῦ δυσσεβείας γέγονεν εὑρετής· ἔφη γὰρ πάλιν, Ὑμεῖς οὐκ οἴδατε οὐδὲν, ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. » Σαφέστατα τοίνυν ἐκ τῶν εἰρημένων ἔνεστιν ἰδεῖν, ὅτι κυήσαντες πόνον, τουτέστι, τὸν κατ' αὐτοῦ πόνον προσωδινήσαντες ἐκτετήκασι τὴν ἀνομίαν. Τί οὖν ὁ προφητικὸς ἐν τούτοις ἡμῖν κατασημαίνει λόγος; Ὠὰ ἀσπί-
B δων ἔρρηξαν, καὶ ὁ μέλλων τῶν ὠῶν αὐτῶν φαγεῖν, συντρίψας οὔριον εὗρεν. Ὤοντο μὲν γὰρ οἱ Ἰουδαῖοι τὰς κατὰ Χριστοῦ διασκέψεις εἰς αἴσιον αὐτοῖς ἐκβήσεσθαι πέρας, καὶ εἰς ὄνησιν ἔσεσθαι τῷ ἔθνει παντί. Ἀλλ' ἡμάρτανον τοῦ σκοποῦ, καί τι τοιοῦτον συμβέβηκε παθεῖν αὐτοὺς, ὁποῖόν τι πάσχουσιν ἐκ πολλῆς ἄγαν ἀσυνεσίας οἱ τὰ τῶν ἀσπίδων ῥηγνύντες ὠά. Συντρίψαντες γὰρ οὐδὲν εὑρήσουσιν ἕτερον, πλὴν ὅτι βασιλίσκον ἐν αὐτῷ· ὄφεως δὲ κύημα τουτὶ τὸ παγχάλεπον, οὔριόν τε πρὸς τούτῳ. Οὐκοῦν ἀνόνητον Ἰουδαίοις, μᾶλλον δὲ καὶ ὀλέθρου πρόξενον τῶν κατὰ Χριστοῦ τολμημάτων τὸ πέρας. Ὄφις γὰρ ὥσπερ ἐκβέβηκεν αὐτοῖς, καὶ ἀπότεξις ὁμολογουμένη, ἡ πρὸς πέταυρον ᾅδου παρακομίζουσα· ὅτι δὲ γέγονεν
C εἰσάπαν ἀνωφελὴς ἡ κατὰ Χριστοῦ σκευωρία, διαδείκνυσιν εὐθὺς καὶ δι' ἑτέρου παραδείγματος· Ἱστὸν γὰρ, φησὶν, ἀράχνης ὑφαίνουσιν. Ὁ μὲν γὰρ ἀράχνης, τουτὶ δέ φημι τὸ σμικρὸν καὶ εὐτελέστατον ζῶον, ἐν τοῖς ἀργοτέροις τῶν δωματίων μέρεσιν ἱστοὺς ἀναπλέκει, στήμοσιν ἰσχνοῖς εὐτέχνως ἐξυφασμένοις, οἱ δὲ οὖν πλείστῳ μόλις γενόμενοι πόνῳ τὸ σύμπαν αὐτοὺς ὠφελοῦσιν οὐδέν· οὐ γὰρ ἔσονται περίβλημα τῷ πεποιηκότι, ἀλλ' εἰσὶν εὐδιάτμητοι πρὸς περιβολὴν, καὶ αὐτῆς τῆς τέχνης ἀμείνους. Οὕτω, φησὶ, καὶ τὰ τῶν Ἰουδαίων εὑρήματα, δῆλον ὅτι τὰ κατὰ τοῦ Χριστοῦ· δόλους γὰρ ἐξυφαίνοντες, καὶ ψευδηγορίας συμπλέκοντες, ᾤοντο μὲν γὰρ, ὡς ἔφην, θανάτῳ σαρκὸς περιβαλόντες αὐτὸν, ἐξανύσαι τι τῶν ὀνησιφόρων αὐτοῖς, καὶ τὴν ἀπὸ τῶν ἰδίων ἐπιχειρη-
D μάτων καταπλουτῆσαι σκέπην, ἀλλ' εἰς οὐδὲν αὐτοῖς τὸ τῶν ἐλπισθέντων ἐξέβη πέρας. Γυμνοὶ γὰρ γεγόνασι τῆς ἄνωθεν εὐμενείας, ἀποβεβλήκασί τε τὸν σκεπαστὴν, τουτέστι Χριστόν· οἱ μὲν γὰρ ἐξ ἔργων ἀγαθῶν τοῖς αὐτὰ κατορθοῦν ἐθέλουσι συμβήσεται σκέπη, νέμοντος αὐτοῖς καὶ τοῦτο Θεοῦ· τοῖς γε μὴν τῶν φαύλων ἐργάταις εἰς περιβολὴν οὐκ ἔσται τὰ ἐξ αὐτῶν, ἀλλ' ἔρημοι σκέπης ἔσονται μᾶλλον τῆς παρὰ Θεοῦ.

Τὰ γὰρ ἔργα αὐτῶν, ἔργα ἀνομίας, οἱ δὲ πόδες αὐτῶν ἐπὶ πονηρίαν τρέχουσι, ταχινοὶ τοῦ ἐκχέαι αἷμα, καὶ οἱ διαλογισμοὶ αὐτῶν, διαλογισμοὶ ἀπὸ φόνων· σύντριμμα καὶ ταλαιπωρία ἐν

ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασιν. A *Οὐκ ἔσται κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν. Αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι, ἃς διοδεύουσι, καὶ οὐκ οἴδασιν εἰρήνην. Διὰ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν* (1).

Ἕκαστα τῶν Ἰουδαϊκῶν πλημμελημάτων ἀπαριθμεῖται λεπτῶς, ἵν' ἐπειδήπερ ἐκβέβληνται τῆς πρὸς αὐτὸν οἰκειότητος, ψήφῳ δικαίᾳ τοῦτο παθόντες ἁλίσκωνται. Ἔργα γὰρ ἀνομίας φησὶ πάντα τὰ ἔργα αὐτῶν, καὶ συλλήβδην ἐν τούτοις ἁπάσης αὐτῶν τῆς ζωῆς ἀληθὴς γέγονεν ἡ κατάῤῥησις· ἐπιτρέχει δὲ καὶ οὕτω τῶν αἰτιαμάτων ἕκαστον, τοὺς μὲν πόδας ἐπὶ πονηρίαν τρέχειν εἰπὼν, καὶ εἶναι ταχυνοὺς εἰς τὸ ἐκχέαι αἷμα, καὶ λογισμοὺς ἐσχηκέναι τοὺς ἐπὶ φόνοις αὐτοῖς. Ἄθρει δή μοι πάλιν, ὅτι, καίτοι πλείστων ὄντων τῶν πλημμελημάτων, πρῶτος διαμέμνηται B τῆς ἑτοιμότητος τῆς εἴς τό γε, φημὶ τὸ ἑλέσθαι φονᾷν. Τρέχειν γὰρ ἔφη πρὸς τοῦτο τοὺς πόδας αὐτῶν, καὶ ὀξεῖς ἤτοι ταχυνοὺς εἶναι πρός γε τὸ δεῖν εἰσδέχεσθαι διαλογισμοὺς τοὺς ἐφ' αἵματί τε καὶ φόνοις· σύντριμμα δὲ καὶ ταλαιπωρίαν ἐν ταῖς ὁδοῖς αὐτῶν εἶναι διατείνεται, οὐκ εἰδέναι τε τὴν εἰρήνην, ἤτοι τὴν τῆς εἰρήνης ὁδόν. Ἃ γὰρ ἔδρων ἀνοσίως, καὶ πέρα παντὸς ἰέντες θράσους, συντριβῆς καὶ ταλαιπωρίας αὐτοῖς, ἤγουν παρ' αὐτῶν ἑτέροις γέγονε πρόξενα. Ἦσαν δέ που πάντως φιλοπραγματίαι, καὶ δικαῤῥάφοι, καὶ πολὺ νοσοῦντες τὸ δύσερι· καὶ ἡ τούτου πρόφασις λημμάτων ἔφεσις καὶ δωροληψίας. Ταύτητοι καὶ μάλα εἰκότως, Οὐκ ἔστι κρίσις, φησὶν, ἐν ταῖς ὁδοῖς αὐτῶν. Κρίσιν δέ φησιν ἐνταῦθα τὴν δικαιοσύνην, C ἤτοι τὴν ἐννομωτάτην καὶ ἀδιάβλητον πολιτείαν. Οὕτω γάρ πού φησιν ὁ θεσπέσιος Δαβὶδ περὶ τῆς διὰ Μωσέως ἐντολῆς, « Κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. » Οὐκοῦν εὐθύτης, ἤτοι δικαιοσύνη, οὐκ ἔστιν ἐν ταῖς ὁδοῖς αὐτῶν. Διεστραμμέναι γάρ εἰσι, καὶ φεύγουσι τὴν εἰρηνὴν, ἤτοι πρὸς ἑτέρους εἰρηνικοὶ παραιτούμενοι, ἤγουν εἰρηνὴν ἐνθάδε φησὶν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃν οὐκ ἠθέλησαν εἰδέναι, τὸν τῆς ἀπωλείας ἑαυτοῖς ὀρύττοντες βόθρον. Διὰ τοῦτο γὰρ, φησὶν, ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν, τουτέστι, ταύτης ἕνεκα τῆς αἰτίας ἀπεφοίτησεν αὐτῶν ἡ δικαιοσύνη, ἤγουν τὸ εἰδέναι δρᾷν, ἃ τὸν τῆς δικαιοσύνης περιποιεῖται στέφανον τοῖς κατορθοῦν ᾑρημένοις αὐτά. Ἔξω δὲ πάσης εἰσὶν εὐτεχνίας πνευματικῆς Ἰουδαῖοι, καὶ οἷον ἀπέπτη τῆς διανοίας αὐτῶν τὸ καὶ ὅλως εἰδέναι δύνασθαί τι τῶν ἀρεσκόντων Θεῷ διαπεραίνειν ὀρθῶς.

Ὑπομεινάντων αὐτῶν φῶς ἐγένετο αὐτοῖς σκότος, D *μείναντες αὐγὴν ἐν ἀωρίᾳ περιεπάτησαν. Ψηλαφήσουσιν ὡς τυφλὸς τοῖχον, καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι, καὶ πεσοῦνται ἐν μεσημβρίᾳ, ὡς ἐν μεσονυκτίῳ. Ὡς ἀποθνήσκοντες στενάξουσιν, ὡς ἄρκος, καὶ περιστερὰ ἅμα πορεύσονται.*

Ἐπάρατον αὐτῶν, καὶ ἐκνομωτάτην ἀποφήνας τὴν ζωήν· ἔφη γὰρ, τίνα ἔργα αὐτῶν ἔργα ἀνομίας, καὶ ταῦτα λεπτῶς ἀπαριθμησάμενος, τίνα τέ ἐστι, καὶ

rum: et viam pacis non cognoverunt. Non est judicium in viis eorum. Semitæ enim eorum perversæ, quas transeunt, et non cognoverunt pacem. Propterea recessit judicium ab ipsis.

Singula Judæorum delicta enumerat minutatim: ut quandoquidem a conjunctione Dei sunt ejecti, justo calculo hoc passi convincantur. Opera enim iniquitatis, inquit, omnia opera eorum, et summatim in his verbis est vera totius ipsorum vitæ refutatio. Percurrit etiam sic singula errata, cum pedes dicit ad malitiam currere, et esse veloces ad effundendum sanguinem, ac cogitationes suscepisse de cædibus. Rursus hoc mihi specta, quod, etsi plurima sint delicta, primum commemoret promptum cædis patrandæ studium. Currere enim huc pedes eorum ait, et celeres ac veloces esse ad capiendum consilia de sanguine et cæde. Affirmat quoque in viis eorum contritionem esse ac miseriam, eosque nescire pacem, seu viam pacis. Nam quæ impie et plusquam audacter patrarunt, contritionem et miseriam ipsis, aut ab ipsis aliis conflaverunt. Erant autem ubique rerum alienarum curiosi, et tabulæ ac litium consutores, et morbo contentiose litigandi laborabant. Cujus etiam causa fuit, prædarum et donorum accipiendorum cupiditas. Hinc et quidem justissime, Non **832** est, inquit, judicium in viis eorum. Judicium hic dicit justitiam, sive honestam et æquam et inculpatam degendæ vitæ rationem. Sic enim dicit divinus David de præceptis Mosaicis: « Judicium et justitiam in Jacob tu fecisti [74]. » Itaque non est rectitudo, seu justitia in viis eorum. Sunt enim perversæ, et pacem fugiunt, vel cum aliis pacem colere detrectant: vel pacem hic vocat Dominum nostrum Jesum Christum, quem scire noluerunt, interitus foveam sibimet fodientes. Propterea enim dicit: Abscessit judicium ab illis, id est, Hac de causa recessit ab illis justitia, et scientia agendi ea, quæ justitiæ coronam his acquirunt, qui illa volunt efficere. Omni autem spirituali scientia carent Judæi, et quodammodo abscessit ab animo eorum, quo pacto rite quod Deo gratum sit obeant.

VERS. 9-11. *Cum exspectarent lucem, factæ sunt eis tenebræ: præstolantes splendorem, in caligine ambularunt. Palpabunt tanquam cæcus parietem, et tanquam hi qui oculis capti sunt, palpabunt, et cadent in meridie, velut in nocte media. Quasi morientes gement, quasi ursus et quasi columba pariter ambulabunt.*

Exsecrabilem eorum et iniquissimam vitam postquam ostendit: dixit enim: Opera eorum, opera iniquitatis: et his minutatim ac sigillatim enumera-

[74] Psal. CXVIII, 121.

(1) LXX addunt, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη.

tis, et quænam essent, ac cujusmodi, postquam exposuit, necessario infert ac subjungit, et damnum hinc illis inflictum, et intolerandæ vitiositatis retaliationem, ac impietatis ipsorum fructus. Exspectabant enim Judæi illustrationem a Christo, audiebant prophetas sanctos clamantes manifeste : « Illuminare, illuminare, Jerusalem : venit enim lux tua, et gloria Domini super te orta est [75]. » Et tunc aperientur oculi cæcorum : et quantum ad sanctorum prophetarum prædictionem attinet, non erant bona spe destituti miseri. Siquidem inter se dicebant aliquando Judaicæ Synagogæ præsides : « Num ex Galilæa Christus venit? Nonne Scriptura dicit, ex semine Davidis, et a Bethleem vico Christum venire [76]? » Samaritana quoque illa mulier confessa est manifeste, ipsum **833** Christum alloquens, B adventus virtutem. Dicebat enim : « Novimus quod Messias venit, qui dicitur Christus. Cum venerit ille, annuntiabit nobis omnia. » Exspectabant ergo, ut dixi, illustrationem a Christo : sed contigerunt præter spem illis omnia. Non enim veram lucem admiserunt, sed cum tenebras ultro sibi accersitas tanquam in domiciliis animorum recepissent, cæci exstiterunt, et duces cæcorum, juxta Servatoris vocem [77]. Dum igitur lucem illi præstolarentur, id est, sperarent et exspectarent, obtigerunt illis tenebræ. Et exspectantes splendorem, in caligine versabantur. Idem rursus aliter etiam de eadem re ponit propheta, dictorum sententiam exponens. Qui enim splendorem exspectarunt, in tenebris profundis ambulaverunt. C Hoc enim τῆς ἀωρίας, id est, caliginis nomen significat. Deinde ut cæcitatis, quæ in illis fuit, magnitudinem exprimeret : *Palpabunt*, inquit, tanquam cæcus ad parietem. Sic enim interdum ambulare consueverunt, qui oculorum cæcitate laborant. Et in ipso, inquit, meridie, tanquam media nocte cadent. Meridiem usitate, mediam diei partem nominat, quando solis circulus medium cœlum tenens, radios intentissimi caloris immittit terræ incolis, et velut opulentiore splendoris copia collustrat omnia ; μεσονύκτιον, id est, medium noctis, quando profundæ tenebræ omnibus sub cœli complexu offunduntur. In meridie igitur, inquit, id est, in abundantissima luce, divina scilicet, et quæ mente percipitur, quæ orbem terræ illuminat, beneficio D omnium nostrum Servatoris Christi, cadent ceu cæci, Judæi quo vadunt nescii. Noluerunt siquidem obedire Christo dicenti : « Quandiu lucem habetis, ambulate in luce, ne vos tenebræ comprehendant [78]. » Comprehensi sunt igitur a tenebris, cum in luce ambulare non sustinerent. Quin et aliud quoque patientur. Gement enim, inquit, quasi morientes, id est, quasi gravi et intolerando morbo debilitati. Ac ibunt quasi ursus simul et columba : non ut duo quidam inter se convenientes, quorum hic ursus intelligi possit, ille columba : sed quisque affectu et animo erit quasi ursus simul et columba.

A δι' ὅσων ἔρχεται τρόπων εἰπὼν, ἀναγκαίως ἐπάγει καὶ παρατίθησι, καὶ τὴν ἐντεῦθεν αὐτοῖς ἐνεστριμμένην ζημίαν, καὶ τῆς ἀσχέτου φαυλότητος τὴν ἀντέκτισιν, ἤτοι τοὺς τῆς ἐνρύσης αὐτοῖς ἀσεβείας καρπούς. Προσεδόκων μὲν γὰρ Ἰουδαῖοι τὸν παρὰ Χριστῷ φωτισμόν. Ἤκουον προφητῶν ἁγίων ἀναβοώντων ἀναφανδὸν, « Φωτίζου, φωτίζου, Ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. » Καὶ τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ τό γε ἧκον εἰς τὴν τῶν ἁγίων προφητῶν προαγόρευσιν, οὐκ ἔξω χρηστῆς ἐλπίδος ἦσαν οἱ τάλανες. Καὶ γοῦν προσελάλουν ἀλλήλοις ποτὲ τῆς Ἰουδαίων Συναγωγῆς οἱ προεστηκότες, « Μὴ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; οὐχ ἡ Γραφὴ εἶπεν, ὅτι ἐκ σπέρματος Δαβὶδ, καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης ὁ Χριστὸς B ἔρχεται; » Καὶ ἡ Σαμαρεῖτις ἐκείνη γυνὴ διωμολόγηκεν ἐναργῶς αὐτῷ προσλαλοῦσα Χριστῷ τῆς ἐπιδημίας τὴν δύναμιν. Ἔφη γὰρ, ὅτι « Οἴδαμεν ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, εὐαγγελεῖ ἡμῖν πάντα. » Οὐκοῦν προσεδόκων μὲν, ὡς ἔφην, τὸν παρὰ Χριστοῦ φωτισμὸν, ἀλλ' ἐκβέβηκεν αὐτοῖς εἰς πᾶν τοὐναντίον τὰ τῆς ἐλπίδος. Οὐ γὰρ προσεδέξαντο τὸ φῶς τὸ ἀληθινὸν, αὐτόκλητον δὲ ὥσπερ ταῖς ἑαυτῶν διανοίαις εἰσοικισάμενοι σκότον, τυφλοὶ γεγόνασι, καὶ τυφλῶν ὁδηγοὶ, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Φῶς τοίνυν ὑπομεινάντων αὐτῶν, τουτέστιν ἐλπισάντων ἤτοι προσδοκησάντων, γέγονεν αὐτοῖς σκότος, καὶ μείναντες αὐγὴν ἐν ἀωρίᾳ περιεπάτησαν. Αὐτὸ δὴ πάλιν ἑτέρως, ἤτοι περὶ τοῦ αὐτοῦ τίθησιν ὁ προφήτης, τῶν εἰρημένων καταλευκαίνων τὸν νοῦν. Οἱ γὰρ C αὐγὴν προσδοκήσαντες, ἐν σκότῳ βαθεῖ περιεπάτησαν. Τοῦτο γὰρ τὸ τῆς ἀωρίας ὄνομα δηλοῖ· Εἶτα τῆς ἐγγενομένης αὐτοῖς τυφλώσεως ἐμφανίζων τὸ μέγεθος, ψηλαφήσειν ὡς τυφλὸς ἔφη τοῖχον. Οὕτω γὰρ ἔσθ' ὅτε περιπατεῖν ἔθος τοῖς τῶν ὀμμάτων ἠῤῥωστηκόσι τὴν πήρωσιν. Μεσημβρίας δὲ οὔσης, φησὶν, ὡς ἐν μεσονυκτίῳ πεσοῦνται· Καὶ μεσημβρίαν μὲν τὸ μεσαίτατον τῆς ἡμέρας ὀνομάζει συνήθως, ὅτε καὶ ἀκμαιοτάτην ἐπαφίησιν ἀκτῖνα τοῖς ἐπὶ γῆς μεσουρανῶν ὁ ἡλίου κύκλος, καὶ οἷον πεπλουσιωτέραις αὐγαῖς περιαστράπτει τὰ σύμπαντα· μεσονύκτιον δὲ τῆς νυκτὸς τὸ μεσαίτατον, ὅτε καὶ βαθὺς ἅπασι τοῖς ὑπ' οὐρανὸν καταχεῖται σκότος. Ἐν μεσημβρίᾳ τοίνυν, φησὶ, τουτέστιν, ἀμφιλαφεστάτου φωτὸς, θείου δὲ D δηλονότι καὶ νοητοῦ, καταυγάζοντος τὴν ὑπ' οὐρανὸν, διὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, πεσοῦνται καθάπερ τυφλοὶ μηδὲ εἰδότες, ὅποι βαδίζουσιν Ἰουδαῖοι· οὐ γὰρ ἠθέλησαν ὑπακούειν λέγοντι τῷ Χριστῷ, « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ. » Κατελήφθησαν τοίνυν ὑπὸ τῆς σκοτίας οὐκ ἀνασχόμενοι περιπατεῖν ἐν τῷ φωτί· πείσονται δέ τι καὶ ἕτερον. Στενάξουσι γὰρ ὡς ἀποθνήσκοντες, φησὶ, τουτέστιν, ὡς βαρείᾳ καὶ ἀσχέτῳ νόσῳ κατισχημένοι. Πορεύσονται δὲ καὶ ὡς ἄρκος ἅμα, καὶ περιστερὰ, καὶ οὐχ ὡς δύο τινὲς ἀλλήλοις συμβιβάζοντες, ὧν ὁ μὲν ὡς ἄρκος νοηθείη ἂν, ὁ δὲ ὡς περιστερὰ, ἀλλ' ἕκαστος αὐτῶν ἐν ταυτῷ κατὰ

[75] Isa. LX, 1. [76] Joan. VII, 41, 42. [77] Matth. XVI, 14. [78] Joan. XII, 35.

τὴν ἕξιν, καὶ κατά γε τὴν ἐνοῦσαν αὐτοῖς διάνοιαν, ὡς ἄρκος ὑπάρχων ὁμοῦ καὶ περιστερά. Ἐπειδὴ γὰρ ἔφη στενάζειν αὐτοὺς, διαδείκνυσιν εὖ μάλα ποῖος ἔσται καὶ ὅσος ὁ στεναγμὸς αὐτῶν. Φασὶ γὰρ τὰς ἄρκους, εἰ ἀτεκνωθεῖεν ὑπό του διηρπασμένων αὐταῖς τῶν σκυμνίων, δεινῶς ὀλοφύρεσθαι, καὶ πίμπλασθαι μὲν ἀκράτου μανίας, ὄρη δὲ καὶ νάπας περινοστεῖν, καὶ τοῖς ὑπαντῶσιν ἀσχέτως ἐπιπηδᾷν· καί που δι' ἑνὸς τῶν ἁγίων προφητῶν τοιοῦτόν τι σημαίνει, λέγων ὁ τῶν ὅλων Θεὸς περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ, Ὑπαντήσομαι αὐτοῖς ὡς ἄρκος ἀπορουμένη, τουτέστιν, ὠμῶς καὶ ἀγρίως. Αἱ δὲ περιστεραὶ ταῖς ἑαυτῶν καλιαῖς ἐνιζάνουσαι διαγογγύζουσι συχνῶς, καὶ οἷόν τινα γοερὰν πέμπουσι φωνήν. Τοιοῦτοί τινες γεγόνασιν οἱ Ἰουδαῖοι· πεπορθημένης γὰρ αὐτῶν ἁπάσης τῆς χώρας ὁμοῦ τῇ ἁγίᾳ πόλει, φημὶ δὴ τῇ Ἱερουσαλὴμ, κατεμπρησθέντος δὲ καὶ αὐτοῦ τοῦ ναοῦ, θηριοπρεπῆ μὲν ἔχουσι γνώμην, κατὰ τῶν ᾑρηκότων αὐτήν. Θρηνοῦσί γε μὴν παθοῦσαν ὡς περιστεραί. Γέγραπται γὰρ, ὅτι «Καὶ ἔσονται ἐπὶ τῶν ὀρέων ὡς περιστεραὶ μελετητικαί.» Ἢ τάχα που καὶ ἕτερόν τι καταδηλοῦν τὸν προφητικὸν ἐν τούτοις οἰησόμεθα λόγον. Πορεύσονται γὰρ, φησὶν, ὡς ἄρκος καὶ περιστερὰ, τουτέστι, διαζήσουσιν ἐν ἀγριότητι νοῦ, συνεζευγμένης ἀσυνεσίας· καὶ ἀγριότητος μὲν ἡ ἄρκος εἰκὼν, ἤτοι παράδειγμα, εὐηθείας δὲ καὶ ἀσυνεσίας ἡ περιστερά. Εἴρηται γοῦν περὶ τοῦ Ἰσραὴλ δι' ἑνὸς τῶν ἁγίων προφητῶν, Καὶ ἦν Ἐφραῒμ περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν· εὑρήσομεν δὲ τοὺς Ἰουδαίους ἀγριομώρους ὄντας τινὰς κατὰ ἀλήθειαν. Οὐ γάρ ἐστιν ἐν αὐτοῖς ἡ παρὰ Χριστοῦ σύνεσις καὶ πραότης· ἠρνήσαντο γὰρ αὐτὸν σοφίας ὄντα καὶ συνέσεως χορηγὸν, ἡμέρους τε καὶ πράους ἀποφαίνοντα τοὺς ἀγαπῶντας αὐτόν. Ἔφη γοῦν ὁ προφήτης Ἱερεμίας περὶ αὐτῶν ποτὲ μὲν, ὅτι «Ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως,» ποτὲ δὲ πάλιν, «Οὐ σοφία τίς ἐστιν ἐν αὐτοῖς, ὅτι τὸν λόγον Κυρίου ἀπεδοκίμασαν.»

Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστι σωτηρία, μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν· πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν· αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν. Ἠσεβήσαμεν, καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ Θεοῦ ἡμῶν. Ἐλαλήσαμεν ἄδικα, καὶ ἠπειθήσαμεν· ἐκύομεν, καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδίκους, καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν, καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκεν.

Ἀεὶ φιλαλήθης ἐστὶ τῶν ἁγίων προφητῶν ὁ λόγος. Λαλεῖ γὰρ ἐν αὐτοῖς τῆς ἀληθείας τὸ πνεῦμα, τουτέστι Χριστοῦ. Ταύτης ἕνεκα τῆς αἰτίας, ἐπειδὰν ποιῶνται μνήμην τῆς ἀποβολῆς τοῦ τῶν Ἰουδαίων ἔθνους, καὶ τῆς ἐπενηνεγμένης αὐτοῖς ὀργῆς διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν, διαμέμνηνται χρησίμως, καὶ τῆς ἐσομένης ἐπιστροφῆς αὐτῶν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, κλήσεώς τε τῆς ἐν Χριστῷ διὰ πίστεως. Οἰκονομικώτατα τοίνυν, ἵνα μή τις οἴηται ψευδοεπεῖν τὴν ἀλήθειαν, αὐτοὺς εἰσκομίζει μετα-

Nam quoniam dixerat, eos gemere, ostendit pulcherrime, qualis futurus sit et quantus eorum gemitus. **834** Dicunt enim ursas si orbatæ sint suis catulis a quopiam sibi ereptis, graviter lugere, et impotenter agi in rabiem, montes et saltus circuire, et in obvios effrenato impetu insilire. Et quidem tale quiddam universorum Deus per quemdam e sanctis prophetis significat, dicens de sanguine Israelitico oriundis: Occurram illis velut ursa orbata, id est, crudeliter et immaniter. Columbæ autem nidis suis insidentes, subinde murmurant, et lugubrem quasi vocem quamdam emittunt. Tales facti sunt Judæi. Nam vastata eorum tota regione, simul cum sancta civitate, Jerusalem dico, ac ipso templo concremato, mente ferina ac belluina affecti sunt in eos qui sustulerunt eam, atque hoc illi accidisse lugent, ceu columbæ. Scriptum est enim: «Et erunt in montibus, ceu columbæ querulantes [79].» Vel aliud quiddam hic significare videtur sermo propheticus. Ibunt enim, inquit, ceu ursus et columba, id est, in mentis immanitate conjuncta cum imprudentia vivent. Ursa enim immanitatis, at simplicitatis et imprudentiæ imago et exemplum est columba. Est enim dictum de Israel apud quemdam e sanctis prophetis: Et erat Ephraim columba amens, non habens cor. Inveniemus autem Judæos quosdam esse crudeliter stultos re vera. Nec enim est in illis Christiana illa prudentia et mansuetudo. Negaverunt enim ipsum sapientiæ et prudentiæ subministratorem, quique diligentes se reddit mites et mansuetos. Dixit ergo propheta Jeremias de illis, alicubi: «Infatuatus est omnis homo a cognitione [80].» Alibi rursus: «Non inest illis sapientia, quia sermonem Domini reprobarunt [81].»

VERS. 12-14. *Exspectavimus judicium, et non est salus; procul recessit a nobis. Multa enim est iniquitas nostra in conspectu tuo, et peccata nostra restiterunt nobis. Iniquitates enim nostræ in nobis, et injustitias nostras novimus. Impie egimus, et mentiti sumus, et recessimus a Deo nostro, locuti sumus injusta, et non obedivimus. Parturivimus, et meditati sumus de corde nostro sermones injustos, et recessimus a judicio, et justitia procul recessit.*

835 Semper veritatis amans est sanctorum prophetarum oratio. Loquitur enim ipsis veritatis, id est, Christi spiritus. Hac de causa, cum mentionem faciunt rejectionis Judaicæ gentis, et illati illis supplicii propter impietatem in Christum: opportune commemorant futuram eorum conversionem postremis sæculi temporibus, et vocationem in Christo per fidem. Appositissime itaque, ne quis mentiri putet veritatem, eos inducit resipiscentes et persona eorum sumpta, eos tantum non sistit

[79] Isa. LIX, 11 [80] Jerem. X, 14. [81] Jerem. VIII, 9.

Deo dicentes : Exspectavimus judicium, et non est. Judicium dicunt justitiam, per Christum videlicet, quam se accepturos sperabant. Sed apud eos non est : quippe qui duri et immorigeri exstiterunt. Ideo dicit : Salus procul secessit a nobis. Multa enim nostra iniquitas in conspectu tuo, et peccata nostra in nobis sunt. Cum enim in totum exciderint ab eo qui justificat per fidem, ab ea salute quæ ab ipso est procul etiam abfuerunt, cum non abjecerint peccati inquinamenta, et iniquitatis crimina non deleverint, sed cum sordes hinc sibi velut infusas et instillatas habeant. Propterea affatus est eos Christus, dicens : « Amen dico vobis, si non credideritis quia ego sum, in peccatis vestris moriemini [81]. » Itaque quia non crediderunt, in peccatis suis mortui sunt. Et quia multifariam impii fuerunt contra Christum, etiam horum ipsorum confessionem edunt. Nam dicunt : Injustitias nostras novimus, impie egimus, et mentiti sumus, ac recessimus a Deo nostro. Impietatem enim commiserunt haud ferendam, mentientes contra majestatem omnium nostrum Servatoris Christi, nec volentes ei obsequi. Confitentur autem porro : Locuti sumus injusta, et non obedivimus. Parturivimus, et meditati sumus ex corde nostro sermones injustos. Nam injusta locuti sunt contra Christum : nunc elevantes ejus gloriam, et miracula calumniantes, dixerunt, in Beelzebul principe dæmoniorum eum ejicere dæmonia : nunc parientes e corde suo sermones injustos, accusarunt eum, Samaritanum, et dæmoniacum, edonem et vinipotorem ausi nominare. Sycophantiis eum prosciderunt, Pilato præside, dicentes : « Concitat turbas, et vetat tributa dare Cæsari [82]. » **836** Propterea dicunt : Recessimus a Deo nostro, locuti sumus injusta, et non obedivimus : parturivimus, et meditati sumus ex corde nostro sermones injustos, et recessimus a judicio, et justitia procul recessit, id est, projecimus justitiam, et velut terga dedimus, eam aversati. Idcirco procul recessit a nobis. Hæ sunt igitur voces pœnitentiam agentium, et a Christo misericordiam quærentium. Etenim res salutaris est, resipiscere, et delictorum confessiones aperte edere. Scriptum est enim : « Dic tu iniquitates tuas prior, ut justificeris [83]. » Dixit etiam divinus Psaltes : « Dixi, Annuntiabo contra me iniquitatem meam Domino : et tu remisisti impietatem cordis mei [84]. »

γινώσκοντας, καὶ τὸ αὐτῶν πρόσωπον ἀναλαβὼν, μονονουχὶ παρίστησι Θεῷ λέγοντας· Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστιν. Κρίσιν δέ φασι τὴν δικαιοσύνην, τὴν διὰ Χριστοῦ δηλονότι, ἣν λήψεσθαι μὲν προσεδόκουν, παρ' αὐτοῖς δὲ οὐκ ἔστι, γεγόνασι δὲ σκληροὶ καὶ ἀπειθεῖς. Διά τοῦτό φησιν, ὅτι Σωτηρία μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν. Πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἐν ἡμῖν. Ἐπειδὴ γὰρ ὅλως ἐκπεπτώκασι τοῦ δικαιοῦντος ἐν πίστει, μακρὰν γεγόνασι καὶ τῆς παρ' αὐτοῦ σωτηρίας, οὐκ ἀποβαλόντες τῆς ἁμαρτίας τοὺς μολυσμοὺς, οὐκ ἀποτριψάμενοι τῆς ἀνομίας τὰ ἐγκλήματα, ἀλλ' οἷον ἐντετηγμένον αὐτοῖς τὸν ἐντεῦθεν ἔχοντες ῥύπον. Διὰ τοῦτο προσεφώνει λέγων αὐτοῖς ὁ Χριστὸς, « Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν μὴ πιστεύσητε, ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Οὐκοῦν ἐπειδήπερ οὐ πεπιστεύκασιν, ἐναπέθανον ταῖς ἁμαρτίαις αὐτῶν· ἐπειδὴ δὲ πολυτρόπως δεδυσσεβήκασι κατὰ Χριστοῦ, καὶ τούτων αὐτῶν ποιοῦνται τὴν ἐξομολόγησιν. Φασὶ γὰρ, ὅτι Τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν, ἠσεβήσαμεν, καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ Θεοῦ ἡμῶν. Ἠσέβησαν γὰρ οὐ φορητῶς καταψευσάμενοι τῆς δόξης τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ ἀποστάντες τοῦ θέλειν κατακολουθεῖν αὐτῷ. Προσομολογοῦσι δὲ, ὅτι Ἐλαλήσαμεν ἄδικα, καὶ ἠπειθήσαμεν, ἐκύομεν, καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδίκους. Ἄδικα γὰρ λελαλήκασι κατὰ Χριστοῦ· ποτὲ μὲν γὰρ διασύροντες αὐτοῦ τὴν δόξαν, καὶ διαβάλλοντες τὰς θεοσημίας, ἔφασκον, ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια, ποτὲ δὲ καὶ τίκτοντες ἀπὸ τῆς ἑαυτῶν καρδίας λόγους ἀδίκους· κατηγόρευσαν γὰρ αὐτοῦ, Σαμαρείτην καὶ δαιμονῶντα, φάγον τε καὶ οἰνοπότην ὀνομάσαι τολμήσαντες, σεσυκοφαντήκασι δὲ καὶ ἐπὶ Πιλάτου λέγοντες, ὅτι « Ἀνασείει τοὺς ὄχλους, καὶ κωλύει φόρους διδόναι Καίσαρι. » Διὰ τοῦτό φασιν, ὅτι « Ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ Θεοῦ ἡμῶν, ἐλαλήσαμεν ἄδικα, καὶ ἠπειθήσαμεν· ἐκύομεν, καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδικίας, καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν, καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκε, » τουτέστιν, ἐῤῥίψαμεν κατόπιν τὴν δικαιοσύνην, καὶ οἷον νῶτα δεδώκαμεν ἀποστραφέντες αὐτήν. Διὰ τοῦτο μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν. Αὗται δὴ οὖν μετανοούντων φωναὶ, καὶ ζητούντων ἐλεεῖσθαι παρὰ Χριστοῦ. Χρῆμα γὰρ σωτήριον τὸ μετανοεῖν, καὶ τὰς τῶν πλημμελημάτων ὁμολογίας ποιεῖσθαι σαφῶς. Γέγραπται γὰρ, « Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. » Ἔφη δὲ καὶ ὁ θεσπέσιος Μελῳδός· « Εἶπα, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. »

VERS. 15-19. *Quia consumpta est in viis eorum veritas, et recta venire non poterant. Veritas autem sublata est, et transtulerunt mentem, ne intelligerent. Et vidit Dominus, et non placuit ei, quia non erat judicium. Et vidit, et non erat vir, et consideravit, et non erat qui defenderet. Et ultus est eos brachio*

Ὅτι κατηναλώθη ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια, καὶ δι' εὐθείας οὐκ ἠδύναντο ἐλθεῖν. Καὶ ἡ ἀλήθεια ἦρται, καὶ μετέστησαν τὴν διάνοιαν, τοῦ συνειδέναι, καὶ εἶδε Κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρίσις. Καὶ εἶδε καὶ οὐκ ἦν ἀνὴρ, καὶ κατενόησε, καὶ οὐκ ἦν ὁ ἀντιληψόμενος. Καὶ

[81] Joan. VIII, 24. [82] Luc. XXIII, 2. [83] Isa. XLIII, 26. [84] Psal. XXXI, 5.

ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ, καὶ τῇ ἐλεημοσύνῃ, ᾗ (1) ἐστηρίσατο, καὶ ἐνεδύσατο δικαιοσύνην, ὡς θώρακα, καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς. Καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως, καὶ περιβόλαιον, ὡς ἀνταποδώσων ἀνταπόδοσιν, ὄνειδος τοῖς ὑπεναντίοις. Καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα Κυρίου, καὶ οἱ ἀπὸ ἀνατολῶν τὸ ὄνομα τὸ ἔνδοξον. Ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ Κυρίου, ἥξει μετὰ θυμοῦ.

A *suo, et misericordia sustentavit. Et indutus est justitia, quasi lorica, et circumdedit galea salutis caput, et amictus est indumento vindictæ pallioque, tanquam ulturus probrum adversariorum. Et timebunt hi qui ab occidente sunt, nomen Domini, et qui ab oriente sunt, nomen gloriosum. Veniet enim tanquam fluvius violentus ira Domini, veniet cum furore.*

Διαμνημονεύσας ὁ προφήτης, ὧν ἐροῦσιν ἐν καιρῷ κλήσεως αὐτῶν οἱ ἐξ Ἰσραὴλ, αἰτοῦντες παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς τῆς διὰ Χριστοῦ σωτηρίας τὴν χάριν, μεθίστησι πάλιν τοὺς λόγους εἰς τὸ ἑαυτοῦ πρόσωπον, καὶ κατηγορεύει τῶν ἐξ Ἰσραὴλ, μᾶλλον δὲ συναινεῖ, ὅτι γεγόνασι πονηροὶ, καὶ ἀποστάται, καὶ τῆς ἀληθείας ἐχθροί· διϊσχυρίζεται δὲ λέγων, B ὅτι Κατηναλώθη ἡ ἀλήθεια ἐν ταῖς ὁδοῖς αὐτῶν, τουτέστι, μονονουχὶ δεδαπάνηται, καὶ εἰσάπαν ᾤχετο. Οὐ γὰρ ἦν ὅλως ἐν τοῖς ἔργοις αὐτῶν ἀλήθεια, τουτέστι, τῆς ἀληθείας ὁ νόμος. Διὰ τοῦτο δι' εὐθείας οὐχ ἠδύναντο διελθεῖν· οἱ γὰρ ὅλως διολισθήσαντες τοῦ εἰδέναι τὸ πολιτεύσασθαι συννόμως, καὶ κατά γε τὸ τῇ ἀληθείᾳ δοκοῦν, ἀλήθεια δὲ ὁ νόμος τοῦ Θεοῦ ὠνόμασται πανταχοῦ, πῶς ἂν ἦλθον εὐθὺ τοῦ πρέποντος; ἢ πῶς οὐ καμπύλας καὶ διεστραμμένας ἐσχήκασι τὰς ὁδούς; Προστιθεὶς δὲ καὶ λέγων, ὅτι Ἡ ἀλήθεια ἦρται, καὶ μετέστησαν τὴν διάνοιαν τοῦ συνιέναι, διαδείκνυσιν ὅτι παντελῶς ἀπεφοίτηκεν αὐτῶν ἡ ἀλήθεια, καὶ μετέστησαν ὁλοτρόπως τοῦ δύνασθαί τε συνιέναι τῶν τελούντων εἰς C σωτηρίαν. Ταῦτα, φησὶν, εἶδε Κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ. Οὐ γὰρ ἦν παρ' αὐτοῖς κρίσις, τουτέστι, δικαιοκρισία, καὶ νόμος. Εἶτα· Τεθέαται, φησὶ, καὶ οὐκ ἦν ἀνὴρ, κατενόησε καὶ οὐκ ἦν ὁ ἀντιληψόμενος. Ἐπειδὴ γάρ ἐστι φιλοικτίρμων, ὡς Θεὸς ἀνίησιν, ἔσθ' ὅτε, καὶ ὁλοκλήρῳ πόλει ἐγκλήματα, δι' ἕνα, καὶ μόνον εὑρεθέντα δίκαιον ἐν αὐτῇ· καὶ γοῦν ἔφη διὰ φωνῆς Ἱερεμίου· « Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἴδετε ἂν εὕρητε ἄνδρα, εἰ ἔστι ποιῶν πίστιν, καὶ ἀγαπῶν ἔλεος, καὶ ἵλεως ἔσομαι αὐτῇ, λέγει Κύριος. » Ὑπέσχετο δὲ καὶ Σοδόμοις τὴν διὰ πυρὸς ἀνήσειν κόλασιν, εἰ πέντε δικαίους ἔσχον παρ' ἑαυτοῖς, τουτέστιν, ἐν ἑκάστῃ πόλει δίκαιον ἕνα. Κατενόησε τοίνυν, φησὶ, καὶ οὐκ ἦν ἀνὴρ, οὐκ ἦν ὁ ἀντιληψόμε- D νος. Ὁ γὰρ δίκαιος τὸν θεῖον κατευνάσας θυμὸν, καὶ ἀρκέσας μόνος εἴς γε τὸ δύνασθαι καταπρᾶξναι Θεὸν, ἀντιλαμβάνεται πάντως ἐκείνων, ὑπὲρ ὧν ἂν προσάγῃ τὰς λιτάς. Ἐπεὶ δὲ ἦν τοιοῦτος οὐδεὶς, ἠμύνατο αὐτοὺς, φησὶ, τῷ βραχίονι αὐτοῦ, τουτέστι, τῇ δυνάμει, ἐστηρίσατο δὲ καὶ τῇ ἐλεημοσύνῃ· οὐ γὰρ ὁλόῤῥιζον ἀνεῖλε τὸν Ἰσραὴλ, σέσωκε δὲ κατάλειμμα φιλάνθρωπος ὢν, καὶ τοῖς ἁγίοις αὐτῶν πατράσιν ἀψευδῆ τετήρηκε τὴν ὑπόσχεσιν. Εἶτά φησιν ὁ προφήτης, ὅτι θώρακα μὲν ἐνεδύσατο, περιέθετο δὲ περικεφαλαίαν καὶ ἱμάτιον ἐκδικήσεως, ὡς ἀνταπο-

Cum propheta commemoraverit quæ tempore vocationis suæ dicent Israelitæ, petentes ab ipso Deo et Patre gratiam salutis per Christum: in personam suam rursus orationem transfert et accusat Israelitas, imo annuit et comprobat, et eos malos et apostatas atque veritatis inimicos esse confirmat, dicens: Consumpta est veritas in viis eorum, id est, tantumnon deleta est et funditus periit. Non enim erat ulla in operibus eorum veritas, id est, lex veritatis. Idcirco per rectam viam non potuerunt transire. Qui enim omnino ex legis et veritatis præscripto vitam instituere nesciunt (veritas autem lex Dei ubique nuncupatur), quomodo **837** recta ad decorum transeant? imo quomodo non obliquas et distortas vias habuerint? Cum addit et dicit: Veritas sublata est, et transtulerunt mentem, ne intelligerent; ostendit, in totum veritatem ab illis recessisse, et eos omnino mentem transtulisse ut quid ad salutem faceret non intelligerent. Hinc dicit: Vidit Dominus et non ei placuit; non enim erat apud eos judicium, id est, justum judicium et lex. Deinde, Aspexit, inquit, et non erat vir, consideravit, et non erat defensor. Nam quoniam misericors est, ut Deus, remittit interdum universæ etiam civitati crimina, propter unum solum, qui in ea justus inventus est. Siquidem dixit voce Jeremiæ: « Cursate in viis Jerusalem, et quærite in plateis ejus, et videte an invenire possitis virum, qui facit fidem, et diligit misericordiam, ac propitius ero illi, dicit Dominus [88]. » Promisit item Sodomis se ignis supplicium illis remissurum, si quinque justos apud se habuissent, id est, unum justum in unaquaque civitate. Consideravit igitur, inquit, et non erat vir, non erat qui defenderet. Justus enim cum furorem sedet, et solus valeat Deum placare, illos semper defendit, pro quibus preces obtulerit. Quoniam vero nullus ejusmodi erat, vindicavit eos, inquit, brachio suo, id est, potentia, et sustentavit misericordia. Non enim radicitus sustulit Israelem, sed humanus cum sit, reliquias servavit, et sanctis ipsorum patribus fidem datam vere servavit. Deinde propheta ait: Indutus est lorica, et galea circumdatus est, ac indumento vindictæ, tanquam ulturus probrum adversariorum; tantum non imperatorem contra eos factum esse dicit universorum Deum, armatura instructum, et rei bellicæ gnarum. Quibus verbis Iræ contra illos impetum declarat. Restitit enim illis Omnipotens, cui merito

[88] Jerem. v, 1.

(1) Vocula ᾗ desideratur in ed. LXX.

dictum est : « Tu terribilis es, et quis resistet tibi ab ira tua [86] ? Supplicio autem Judæis illato, « timebunt qui ab Occidente sunt, et qui ab Oriente, nomen gloriosum. Veniet enim, veniet, inquit, contra infideles ira, veluti violentissimus quidam fluvius rapiens omnia, et tam rapido fluxu decurrens ut ei resisti non possit.

A δώσων ἀνταπόδοσιν ὀνείδος τοῖς ὑπεναντίοις. Μόνον γὰρ οὐχὶ πολεμάρχην ἔφη τινὰ γενέσθαι κατ' αὐτῶν τὸν τῶν ὅλων Θεὸν, πανtευχίαν ἔχοντα, καὶ εὖ εἰδότα τὰ τακτικά. Δείκνυσι δὲ διὰ τούτων τῆς ἐπ' αὐτοῖς ὀργῆς τὴν ἔφοδον· ἀντετάξατο γὰρ αὐτοῖς ὁ παναλκὴς, πρὸς ὃν εἴρηται δικαίως· « Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου; » Ἐπενηνεγμένων δὲ τοῖς Ἰουδαίοις τῶν κολαστηρίων, Φοβηθήσονται οἱ ἀπὸ δυσμῶν καὶ ἀνατολῶν τὸ ὄνομα τὸ ἔνδοξον. Ἥξει γὰρ, ἥξει, φησὶ, κατὰ τῶν ἀπειθησάντων ἡ ὀργὴ, καθάπερ τις βιαιότατος ποταμὸς πάντα κατασύρων, καὶ ἀπρόσβλητον ἔχων τὴν τῶν ναμάτων καταφοράν.

Vers. 20, 21. *Et veniet propter Sion liberator, et*
838 *avertet impietates a Jacob. Et hoc illis testamentum a me, dicit Dominus, Spiritus meus est in te, et verba mea, quæ ego posui in ore tuo, non deficient de ore tuo, et ex ore seminis tui. Dixit enim Dominus deinceps et in sæculum.*

Καὶ ἥξει ἕνεκεν Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακὼβ, καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη λέγει Κύριος. Τὸ Πνεῦμα τὸ ἐμόν ἐστιν ἐπὶ σοὶ, καὶ τὰ ῥήματα, ἃ ἔδωκα εἰς τὸ στόμα μου, οὐ μὴ ἐκλείπῃ, ἐκ τοῦ στόματος B *τοῦ σπέρματός σου* (1). *Εἶπε γὰρ Κύριος ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα.*

Ut in proxime superioribus iræ Judæis irrogatæ diserte meminit, ut qui ducem vitæ interfecerunt, et in universorum Servatorem ac Redemptorem impie bacchati sunt : deinde etiam illis, posterioribus temporibus misericordiam et humanitatem datum iri prædixit : dixit enim : Et vindicavit eos brachio suo, et misericordia sustentavit, sic hoc quoque loco dicit, furorem Domini tanquam torrentem quemdam intolerabilem et rapidissimum in eos descensurum : et de benedictione extremis sæculi temporibus eis danda verba facit. Veniet enim propter Sion liberator. De cœlo enim descendit unigenitum Dei Verbum, et demisit ipse se ad inanitionem, factus homo, ut etiam præ aliis vocaret Israelem, et servaret quoque gentium multitudinem. Testis erit sapientissimus Paulus inquiens : « Dico Christum ministrum fuisse circumcisionis, propter veritatem Dei, ad confirmandas promissiones patrum, gentes autem super misericordia honorare Deum [87]. » Meminimus etiam alibi dicere Christum : « Non missus sum nisi ad oves perditas domus Israel [88]. » Veniet igitur liberator, a peccatis scilicet, a morte et corruptione, a crudelitate diabolica, a dæmonum errore, deceptione et tyrannide. Et hoc illis a me testamentum, dicit Dominus. Quod autem voluntate Dei semel decretum est et promissum, prorsus penitusque firmum erit, et non negabitur. Quod igitur erit, inquit, a me testamentum? Spiritus meus et verba quæ posui in ore tuo, non deficient deinceps et in æternum tempus. Manifestissima enim demonstratio est, redemptum esse genus humanum, et quidem præ aliis Israelitas qui crediderunt factos esse Spiritus sancti participes ; per quem adoptionis decus allatum est, et loquendi lingua verbum fidei, sicuti scripsit sapientissimus Paulus : « Ne dicas enim, inquit, in corde tuo : Quis ascendet in cœlum ? hoc est Christum deducere, aut quis descendet in abyssum ?

Ὥσπερ ἐν τοῖς ἀνόπιν βραχὺ καὶ τῆς ἐπενεχθησομένης τοῖς Ἰουδαίοις ὀργῆς διεμέμνητο σαφῶς, ἀπεκτόνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς, καὶ πεπαρῳνήκασιν ἀνοσίως εἰς τὸν τῶν ὅλων Σωτῆρα, καὶ Λυτρωτήν· εἶτα τῆς δοθησομένης αὐτοῖς ἐν ὑστέροις καιροῖς ἐλεημοσύνης, καὶ φιλανθρωπίας ἐποιεῖτο τὴν προαγόρευσιν· ἔφη γὰρ ὅτι, Καὶ ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ, καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίξατο· οὕτω κἀνθάδε, καθάπερ τινὰ χειμάῤῥουν ἀφόρητόν τε καὶ βιαιότατον καταβήσεσθαι κατ' αὐτῶν τὸν τοῦ Κυρίου θυμόν. Εἰπὼν δὲ, καὶ τὸν περὶ τῆς δοθησομένης αὐτοῖς εὐλογίας ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς C ποιεῖται λόγον. Ἥξει γὰρ ἕνεκεν Σιὼν ὁ ῥυόμενος. Καταπεφοίτηκε γὰρ ἐξ οὐρανῶν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ καθῆκεν ἑαυτὸν εἰς κένωσιν, γενόμενος ἄνθρωπος, ἵνα καὶ πρό γε τῶν ἄλλων καλέσῃ τὸν Ἰσραὴλ, διασώσῃ δὲ καὶ τῶν ἐθνῶν τὴν πληθύν· καὶ μαρτυρήσει γράφων ὁ πάνσοφος Παῦλος· « Λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς, ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν. » Μεμνήμεθα δὲ καὶ αὐτοῦ λέγοντος τοῦ Χριστοῦ, « Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. » Ἥξει δὴ οὖν ὁ ῥυόμενος, ἐξ ἁμαρτιῶν δηλονότι, ἐκ θανάτου καὶ φθορᾶς, ἐξ ὠμότητος διαβολικῆς, ἐκ τῆς τῶν δαιμονίων ἀπάτης καὶ πλεονεξίας. Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, D εἶπε Κύριος. Τὸ δὲ ἅπαξ ὁρισθὲν διὰ βουλῆς τοῦ Θεοῦ καὶ ἐπαγγελθὲν, πάντη τε καὶ πάντως, ἀραρὸς ἔσται, καὶ οὐκ ἀρνηθήσεται. Ποία τοίνυν ἔσται, φησὶν, ἡ παρ' ἐμοῦ διαθήκη; Τὸ Πνεῦμα τὸ ἐμὸν, καὶ τὰ ῥήματα, ἃ ἔδωκα ἐν τῷ στόματί σου, οὐ μὴ ἐκλείπῃ ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα χρόνον. Σαφεστάτη γὰρ ἀπόδειξις τοῦ λελυτρῶσθαι τὸ γένος τὸ ἀνθρώπινον, ἤγουν καὶ πρό γε τῶν ἄλλων τοὺς ἐξ Ἰσραὴλ, πιστεύσαντας τὸ ἐν μεθέξει γενέσθαι Πνεύματος ἁγίου, δι' οὗ καὶ τὰ τῆς υἱοθεσίας εἰσ-

[86] Psal. LXXV, 8. [87] Rom. XV, 8, 9. [88] Matth. XV, 24

(1) LXX, εἰς τὸ στόμα μου, οὐ μὴ ἐκλείπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου.

φέρεται καύχημα, καὶ λαλεῖν ἐν γλώττῃ τὸ ῥῆμα τῆς A πίστεως, καθὰ γέγραφεν ὁ πάνσοφος Παῦλος· « Μὴ γὰρ εἴπῃς, φησὶν, ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν, ἢ, Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. Ἀλλὰ τί λέγει ἡ Γραφή; ἐγγύς σου τὸ ῥῆμα ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, ὅτι ἐὰν εἴπῃς, Κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. » Ἐλάβομεν τοίνυν παρὰ Θεοῦ τὸ ῥῆμα τῆς πίστεως, ἤτοι τὴν ὁμολογίαν· σωτήριον δὲ χρῆμα, καὶ δικαιοσύνης πρόξενον· δικαιοῖ γὰρ οὕτω τὸν ἀσεβῆ Χριστὸς, ὁ καὶ πάλαι βοῶν, « Ἰδοὺ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου, καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου. » B Τοῦτο τὸ ῥῆμα τῆς πίστεως ἐν ἡμῖν ἔστω (1) διηνεκῶς, καὶ ἐκ τοῦ στόματος ἡμῶν οὐ πεπαύσεται. Παραπέμψομεν δὲ αὐτὸ εἰς γενεὰς γενεῶν, δικαιωθήσονται γὰρ οὕτω, καὶ οἱ μεθ' ἡμᾶς. Εἰ γὰρ ἀεὶ Χριστὸς, καὶ ἔστι Θεὸς καὶ Κύριος, οὐ καταλήξει πώποτε τῆς εἰς αὐτὸν πίστεως ἡ ὁμολογία, παρὰ τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

Φωτίζου, φωτίζου, Ἱερουσαλὴμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. Ἰδοὺ γὰρ σκότος καὶ γνόφος καλύψει γῆν ἐπ' ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται. Καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου.

Ὡς δοθείσης τῆς ἐπαγγελίας τοῦ ὅτι σωθήσεται κατὰ καιροὺς ὁ Ἰσραὴλ, ἀνασκιρτᾷ τρόπον τινὰ πρὸς εὐθυμίαν ὁ λόγος ἐν τούτοις ἡμῖν ὁ προφητικὸς, μονονουχὶ γὰρ μεγάλην αἴρων εἰς ὕψος τὴν βοὴν ἐπι- C φθέγγεται· « Φωτίζου, φωτίζου, λέγων, ἥκει γάρ σου τὸ φῶς. » Ἄθρει δὲ ὅπως πρό γε τῶν ἄλλων τοῖς ἐξ Ἰσραὴλ ἐκνεμηθέντος παρὰ Θεοῦ τοῦ θείου φωτὸς, δῆλον δὲ ὅτι τοῦ διὰ Χριστοῦ, τὸ, ἥκει σου τὸ φῶς, ὁ προφήτης φησὶ, μονονουχὶ παρόντα καταδεικνύων αὐτοῖς τὸν πάλαι μὲν διὰ νόμου, καὶ προφητῶν ἁγίων προαπηγγελμένον, ἐπιλάμψαντα δὲ τοῖς ἐπὶ γῆς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς μετὰ σαρκός. Δόξαν δὲ Κυρίου τὸν ἐπιφανέντα φησὶν, ἀνέτειλε γὰρ, οἷά τις ἥλιος ὁ Χριστὸς φωτὶ τῷ θείῳ καὶ νοητῷ περιαστράπτων τὰ σύμπαντα, καὶ τῆς ἀληθοῦς θεογνωσίας καθιεὶς τὴν αἴγλην τοῖς ἑτοιμοτέροις εἰς πίστιν. Ἔστι δὲ καὶ δόξα τοῦ Θεοῦ, καὶ Πατρός. Ἐν αὐτῷ γὰρ, καὶ δι' αὐτοῦ, καὶ σὺν αὐτῷ δοξάζεται. Ζωγραφεῖ δὲ ὥσπερ ἐν ἰδίᾳ φύσει τὸν τεκόντα αὐτόν. Καὶ ἐπείπερ D ἐγνώκαμεν τὸν Υἱὸν, τεθεάμεθα δὲ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τὴν μεγαλειότητα τοῦ Πατρὸς, καὶ τὴν ἀπαράβλητον δόξαν, καὶ τῶν θεοπρεπῶν ἀξιωμάτων τὴν ὑπεροχήν. Καὶ γοῦν ἔφη που Χριστός· « Πάτερ, δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε. » Ὤφθη τοίνυν ἐν ἡμῖν ἡ δόξα τοῦ Θεοῦ καὶ Πατρὸς, εἶτα τῶν ἄλλων ἁπάντων ἐθνῶν ἀποκρίνας τὸν Ἰσραὴλ, ὡς ἐξαιρέτως τετιμημένον παρὰ Θεοῦ, καὶ κλῆρον ὄντα αὐτοῦ, προσεπάγει, καὶ φησίν· « Ἰδοὺ σκότος καὶ γνόφος καλύψει γῆν ἐπ' ἔθνη, ἐπὶ δὲ σε

hoc est Christum **839** a mortuis reducere. At quid dicit Scriptura? Prope est verbum in ore tuo, et in corde tuo, quia si dixeris, Dominus Jesus, et credideris in corde tuo Deum excitasse illum a mortuis, salvus eris. Corde enim creditur ad justitiam, ore autem fit confessio ad salutem [89]. » Accepimus itaque a Deo verbum fidei sive confessionem; quod quidem salutare est, et justitiam conciliat. Justificat enim sic impium Christus, qui et palam clamitat: « Ecce delevi ut nubem iniquitates tuas, et ut caliginem peccata tua. » Hoc verbum fidei in nobis erit perpetuo, et de ore nostro non cessabit, sed illud ad posteritatem usque transmittemus. Sic enim justificabuntur et posteri. Si enim semper Christus sit et Deus et Dominus, nunquam desinet fidei ejus confessio apud eos qui illius apparitionem agnoverunt.

Cap. LX. Vers. 1-3. *Illuminare, illuminare, Jerusalem: venit enim tua lux, et gloria Domini super te orta est. Ecce enim tenebræ et caligo operiet terram super gentes. Super te autem apparebit Dominus, et gloria ejus in te videbitur. Et ambulabunt reges in luce tua, et gentes in splendore tuo.*

Perinde ac si promissio, de servando olim Israele, data esset, exsultat quodammodo hic nobis prophetica oratio. Nam tantum non magno clamore in altum sublato, resonat: « Illuminare, inquiens, illuminare: venit enim tua lux. » Observa autem præ aliis, data Israelitis a Deo divina luce, per Christum videlicet, prophetam dicere: Venit tua lux, tantum non præsentem esse ostendens eum, qui olim in lege et a sanctis prophetis prænuntiatus est, quique in carne postremis sæculi temporibus illuxit mortalibus. Vocatque eum qui apparuit, gloriam Domini. Ortus enim est Christus tanquam sol quidam, luce divina ac intelligentiæ collustrans omnia, et veræ Dei cognitionis splendorem promptioribus ad fidem amplectendam immittens. Estque gloria Dei et Patris. In ipso enim et per ipsum et cum ipso glorificatur. Repræsentat enim tanquam in propria natura eum qui ipsum peperit. Et quatenus novimus Filium, contemplamur etiam per ipsum et in ipso Patris magnificentiam et incomparabilem **840** gloriam, et divinæ auctoritatis dignitatisque præstantiam. Siquidem Christus alicubi dixit: « Pater, glorifica tuum Filium, ut Filius tuus glorificet te [90]. » Visa est itaque in nobis gloria Dei et Patris. Deinde segregato ab aliis gentibus omnibus Israele, ut eximie a Deo in honore ac pretio habito, utque ejus sorte ac hæreditate, porro addit, et inquit: « Ecce tenebræ et caligo operient terram super gentes; super te autem apparebit Dominus. Nec hæc dicit, quasi Chri-

[89] Rom. x, 6-10. [90] Joan. xvii, 1.

(1) Humfr. ἔσται.

sto mundo illucescente, tenebræ per gentes dissipandæ essent: sunt enim illustratæ potius, et pristini erroris tenebras abjecerunt. At qui divinam Scripturam interpretati sunt, promiscue reddunt sæpe tempora. Itaque pro « Tegit, » posuerunt « Teget. » Verum est enim Christo præ aliis illucente Israelitis, detentam fuisse tenebris gentium multitudinem, nondum translata in ipsas gratia. Ecce igitur, inquit, obtecta est tenebris et caligine, ignorationis scilicet et erroris universa terra gentium. Super te autem apparebit Dominus; illuxit enim, ut dixi, illis et quidem primum, et gloria ejus visa est, eximia magnitudine operum, signorum et prodigii. Apud eos namque miracula edidit, ut Deus, partim mortuos a monumentis suscitans: partim cæcorum oculis lumen immittens, leprosos emundans nutu, dæmones increpans cum auctoritate, et nullum omnino modum prætermittens, ad fidem faciendam, persuadendumque se vere Deum esse, et Dei naturalem Filium. « Et ambulabunt, inquit, reges in luce tua, et gentes in splendore tuo. » Adnectit iterum propheta visitationi Israelitarum gentium vocationem, ut videant, si contemnant ipsi sua inobedientia Redemptorem, et resiliant ab ejus dilectione, cum capitis sui interitu se non fore destitutum cultoribus, sed gentes potius et reges per fidem adducturum. In splendore enim dato tibi, inquit, id est, in illustratione per Christum, ambulabunt reges et gentes. At quo ambulabunt? ad salutem videlicet per fidem, ad gloriosam et inculpabilem vitam, ad sciendum et confitendum, quis natura sit ac vere universorum Creator et Opifex. Adorarunt namque creaturam præ Creatore, et lignis ac lapidibus cultum exhibuerunt. Sed postquam, inquit, luce tibi **841** data illustrati sunt, etiam ipsi ambulabunt recta et regia via, ad nullum obicem in medio jacentem impingentes, sed ut in clara luce et die, quantumvis noctis ac tenebrarum filii, omnia offendicula prætercurrentes.

A φανήσεται Κύριος. » Καὶ οὐχ ὡς σκότους μέλλοντος κατασκίδνασθαι τῶν ἐθνῶν ἐπιλάμψαντος τῷ κόσμῳ Χριστοῦ, τὰ τοιάδε φησὶ, κατεφωτίσθη δὲ μᾶλλον, καὶ τὸν τῆς ἀρχαίας ἀπάτης ἀποβέβληκε σκότον. Ἀδιαφοροῦσι δὲ πλειστάκις περὶ τὴν τῶν χρόνων ἀπόδοσιν οἱ τὴν θείαν διερμηνεύσαντες Γραφήν. Τεθείκασι τοίνυν, ἀντὶ τοῦ « καλύπτει, » τὸ, « καλύψει. » Ἀληθὲς γὰρ ὅτι καὶ ἐπιλάμψαντος τοῦ Χριστοῦ, καὶ πρό γε τῶν ἄλλων τοῖς ἐξ Ἰσραὴλ, ἔτι κεκράτητο σκότῳ τῶν ἐθνῶν ἡ πληθὺς, οὔπω μετατιθεμένης ἐπ' αὐτὰ τῆς χάριτος. Ἰδοὺ τοίνυν, φησὶ, κεκάλυπται σκότῳ καὶ γνόφῳ, τῆς ἀμαθίας δηλονότι, καὶ τῷ τῆς πλάνης, ἡ γῆ πᾶσα τῶν ἐθνῶν, ἐπὶ δὲ σὲ φανήσεται Κύριος, ἐπέλαμψε γὰρ, ὡς ἔφην αὐτοῖς, καὶ πρώτως ὤφθη τε αὐτοῖς ἡ δόξα αὐτοῦ, διὰ τῆς ἐξαιρέτου μεB γαλουργίας, καὶ σημείων, καὶ τεράτων. Τεθαυματούργηκε γὰρ ὡς Θεὸς παρ' αὐτοῖς, τοῦτο μὲν νεκροὺς ἀνιστὰς ἐκ μνημάτων, τοῦτο δὲ τυφλῶν ὀφθαλμοῖς τὸ φῶς ἐνιεὶς, λεπροὺς ἐκκαθαίρων νεύματι, δαίμοσιν ἐπιπλήττων μετ' ἐξουσίας, καὶ ἁπαξαπλῶς οὐδένα τρόπον ἀφεὶς, ὃς ἦν ἱκανὸς εἰς πληροφορίαν, ὅτι Θεός ἐστι κατὰ ἀλήθειαν, καὶ Θεοῦ τοῦ κατὰ φύσιν Υἱός. « Πορεύσονται δὲ, φησὶ, βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου. » Συνάπτει πάλιν ὁ προφήτης τῇ ἐπισκέψει τῶν ἐξ Ἰσραὴλ, καὶ τὴν τῶν ἐθνῶν κλῆσιν, ἵν' εἰδοῖεν, ὅτι κἂν ταῖς ἀπειθείαις ἀτιμάσωσιν αὐτοὶ τὸν Λυτρωτὴν, καὶ ἀποπηδήσειαν τῆς εἰς αὐτὸν ἀγάπης, ἐπ' ὀλέθρῳ τῆς αὐτῶν κεφαλῆς, ἔρημος οὐκ ἔσται προσκυνητῶν, σαγηνεύσει δὲ μᾶλλον διὰ τῆς πίστεως, ἔθνη τε καὶ βασιλεῖς· τῇ γὰρ λαμC πρότητι τῇ δοθείσῃ σοι, φησὶ, τουτέστι τῷ φωτισμῷ τῷ παρὰ Χριστοῦ, πορεύσονται βασιλεῖς καὶ ἔθνη. Πορεύσονται δὲ ὅποι; Εἰς τὴν διὰ πίστεως σωτηρίαν δηλονότι, εἰς εὐκλεᾶ καὶ ἀμώμητον ζωὴν, εἰς τὸ εἰδέναι καὶ ὁμολογεῖν, τίς ὁ φύσει καὶ ἀληθῶς ἐστι τῶν ὅλων Γενεσιουργὸς καὶ τεχνίτης. Προσεκύνουν μὲν γὰρ τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ ξύλοις, καὶ λίθοις ἀνῆπτον τὸ σέβας. Ἐπειδὴ δὲ τῷ δοθέντι σοι φωτὶ κατελαμπρύνθησαν, καὶ αὐτοὶ, φησὶ, πορεύσονται τὴν εὐθεῖαν καὶ βασιλικὴν ὁδὸν, οὐδενὶ προσπταίοντες τῶν διὰ μέσου κειμένων, ἀλλ' ὡς ἐν αὐγῇ, καὶ ἡμέρᾳ, καίτοι νυκτὸς, καὶ σκότους ὄντες υἱοὶ, πάντα τὰ σκάνδαλα παρατρέχοντες.

VERS. 4-7. *Leva in circuitu oculos tuos, et vide congregatos liberos tuos. Ecce venerunt filii tui de longe, et filiæ tuæ super humeros portabuntur. Tunc videbis, et timebis, et stupebis corde, quia transferentur ad te divitiæ maris et gentium, populorum, et venient ad te greges camelorum, et operient te cameli Madiam et Gephar. Omnes de Sabba, venient, ferentes aurum et thus, ferent et lapidem pretiosum, et salutare Domini annuntiabunt. Et omnes oves Cedar congregabuntur ad te, et arietes Nabeoth venient ad te, et afferentur acceptabilia super aram meam, et domus orationis meæ glorificabitur.*

D *Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου· Ἰδοὺ ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται· τότε ὄψει, καὶ φοβηθήσῃ, ἐκστήσῃ τῇ διανοίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης, καὶ ἐθνῶν, καὶ λαῶν, καὶ ἥξουσί σοι ἀγέλαι καμήλων, καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ καὶ Γεφάρ. Πάντες ἐκ Σαββᾶ ἥξουσι, φέροντες χρυσίον καὶ λίβανον, οἴσουσι καὶ λίθον τίμιον* (1), *καὶ τὸ σωτήριον Κυρίου εὐαγγελιοῦνται· καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθήσονταί σοι, καὶ οἱ κριοὶ Ναβαιὼθ ἥξουσί σοι, καὶ ἀνενεχθήσονται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται.*

Aptissime et sapientissime disponitur hæc ora-

Οἰκονομίαν ἔχει πλείστην τε ὅσην καὶ σοφὴν ὁ λό-

(1) *Οἴσουσι καὶ λίθον τίμιον.* Desunt hæc verba in LXX.

A γος. Εὐαγγελίζεται γὰρ καὶ τὴν τῶν ἐθνῶν κλῆσιν, καὶ τῶν δύο λαῶν τὴν ἕνωσιν ἐν Χριστῷ, καὶ τῆς τοῦ νόμου σκιᾶς τὴν μεταβολὴν εἰς λατρείαν πνευματικήν. Πάντα γὰρ ἐν Χριστῷ καινὰ, καὶ τὰ ἀρχαῖα παρῆλθεν, ἔκτισε δὲ αὐτὸς τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα. Τούτων ἁπάντων ποιεῖται τὴν προαγόρευσιν, καὶ δή φησι πρὸς τὴν νοητὴν Ἱερουσαλὴμ, τουτέστι τὴν Ἐκκλησίαν, τὴν ἀπ' ἀρχῆς συστᾶσαν ἐξ Ἰουδαίων· πρῶτοι γὰρ αὐτοὶ πεπιστεύκασιν· « Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. Ἰδοὺ γὰρ ἥκασι πάντες υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται. » Ὡς γὰρ ἐκ παντὸς ἔθνους τε καὶ χώρας συλλέγοντος τοὺς πιστεύσαντας, τοῦ θείου καὶ εὐαγγελικοῦ κηρύγματος σαB γηνεύοντος τὴν ὑπ' οὐρανὸν, καὶ ὡς εἴς τινα πόλιν εὐπυργοτάτην ἀποφοιτᾷν ἀναπείθοντος εἰς τὴν διὰ πίστεως χάριν, ἤγουν εἰς τὴν τῶν ἁγίων τροφὴν, φημὶ δὴ τὴν Ἐκκλησίαν, τὰ τοιάδε φησὶ, καθάπερ ἀμέλει, καὶ ἑτέρωθί που· « Ἔσται γὰρ, φησὶν, ἐν ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν εἰς αὐτὸ ἔθνη πολλὰ, καὶ ἐροῦσι· Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ. Καὶ πορευσόμεθα ἐν αὐτῇ. » Τέκνα δὴ τῆς Ἱερουσαλὴμ οὐχὶ μόνοι λέγοιντο ἂν οἱ ἐξ αἵματος Ἰσραὴλ, ἀλλὰ γὰρ καὶ ἅπαντες οἱ ἐκ παντὸς C ἔθνους, καὶ χώρας κεκλημένοι διὰ πίστεως εἰς τὸ τῆς ἀληθείας φῶς. Ὡς γὰρ ὁ πάνσοφος γράφει Παῦλος, « Οὐ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. » Εἴρηται δὲ παρὰ Θεοῦ πρὸς τὸν θεσπέσιον Ἀβραὰμ, ὅτι « Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. » Οὐκοῦν ὡς ἤδη πληθύος συναγηγερμένης ἐξ ἐθνῶν, καὶ προσκυνούσης Χριστῷ· Ἆρον, φησὶ, κύκλῳ τοὺς ὀφθαλμούς σου, τουτέστιν, ἅπασαν περιάθρει τὴν οἰκουμένην, καὶ ἐκ παντὸς μέρους αὐτῆς ὄψει τρέχοντα πρὸς σὲ τὰ σὰ τέκνα, ἥξουσι δὲ καίτοι μακρὰν ὄντες ποτὲ, μακρὰν δὲ οὐ τοπικῶς, ἀλλὰ κατὰ γνώμην, καὶ διάθεσιν νοῦ. Καὶ γοῦν ἔφη τις τῶν ἁγίων προφητῶν τοῖς ἀποδραμοῦσι τοῦ εἰδέναι τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεόν· « Μνήσθητε, οἱ μακρὰν τοῦ Κυρίου, καὶ Ἱερουσαλὴμ ἀναβήτω D ἐπὶ τὴν καρδίαν ὑμῶν. » Γέγραφε δὲ καὶ ὁ πάνσοφος Παῦλος περὶ Χριστοῦ, ὅτι « Ἐλθὼν εὐηγγελίσατο εἰρήνην τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς. » Ἐπιστέλλει δὲ καὶ τοῖς ἐξ ἐθνῶν· « Διαμνημονεύετε ὑμεῖς τὰ ἔθνη, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης ἐν σαρκὶ περιτομῆς χειροποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ ἀπηλλοτριωμένοι τῆς ἐλπίδος τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ, νῦν δὲ ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ. » Οἱ γὰρ ὅλως Θεὸν οὐκ εἰδότες τὸν φύσει τε καὶ ἀληθῶς μακρὰν εἶναι λέγονται, καὶ εἰσὶ, κατὰ

A tio. Evangelizat enim gentium vocationem, et duorum populorum in Christo unionem, et legalis umbræ in spiritualem cultum mutationem. Omnia enim in Christo nova, et vetera præterierunt; condiditque duos illos populos in unum novum hominem, creans pacem, et reconcilians ambos in uno corpore, apud Patrem. Horum omnium prædictionem facit, et intelligibilem Jerusalem, id est Ecclesiam, ab initio ex Judæis constitutam alloquitur: primi enim illi crediderunt: « Leva in circuitu oculos tuos, et vide congregatos liberos tuos. Ecce enim veniunt omnes filii tui e longinquo, et filiæ tuæ in humeris tollentur. » Affatur enim his verbis eos qui ex omni gente et regione collecti crediderunt, Ecclesiam, inquam, divina et evangelica prædicaB tione orbem terrarum irretiente, et tanquam ad civitatem quamdam munitissimam, ad fidei gratiam, ad sanctorum cibum invitante, quemadmodum videlicet et alibi: « Erit enim, inquit, in postremis diebus spectabilis mons Domini, propositus in verticibus montium, et elevabitur supra colles, venientque ad illum gentes multæ, ac dicent: Adeste, ascendamus ad montem Domini, et ad domum **842** Dei Jacob. Et annuntiabit nobis viam ejus. Et ambulabimus in ea [91]. » Liberi autem Jerusalem, non hi soli dicendi sunt, qui ex sanguine Israel oriundi sunt, sed quotquot ex omni gente ac regione vocati sunt per fidem ad veritatis lucem; ut enim sapientissimus Paulus scribit: « Non omnes C qui ex Israel, hi Israel; nec quia semen Abraham sunt, omnes liberi, sed liberi promissionis reputantur in semen [92]. » Dictum enim est a Deo ad divinum Abraham: « Patrem multarum gentium constitui te [93]. » Itaque velut multitudine jam congregata ex gentibus et adorante Christum: Tolle, inquit, circumcirca oculos tuos, id est, universum orbem perlustra, et ex omni parte ejus videbis liberos tuos ad te accurrentes, venientque etsi procul abfuerint aliquando. Procul, non ratione loci dicitur, sed ad animum mentisque affectionem pertinet. Dixit nimirum quidam e sanctis prophetis de his qui refugerunt a notitia ejus qui natura et vere Deus est: « Vos qui procul abestis, memores estote Domini, et Jerusalem veniat vobis in menD tem [94]. » Scripsitque de Christo sapientissimus Paulus: « Venit et evangelizavit pacem his qui procul, et illis qui prope sunt [95]. » Misitque ad gentes epistolam: « Mementote, inquiens, vos gentes, qui præputium dicebamini, ab ea quæ circumcisio in carne dicta est manufacta, quod eratis illo in tempore sine Christo, alienati a spe Israel, et hospites testamentorum promissionis, spem non habentes, et sine Deo in mundo. Nunc autem, vos, qui quondam eratis procul, facti estis propinqui in sanguine Christi [96]. » Qui enim omnino natura et vere Deum ignorant, procul esse dicuntur, et affectione, ut dixi, et animo. Sed ecce, inquit, ve-

[91] Isa. II, 2, 3. [92] Rom. IX, 7. [93] Rom. IV, 17. [94] Jer. LI, 50. [95] Ephes. II, 17. [96] Ibid. 11-13.

nerunt, id est, non longe post futura est nec differetur eorum vocatio, sed statim hanc prædicationem evangelicam sequentur, accedentque ad Deum per fidem, sine omni labore, et omni difficultate et sudore. In humeris enim tollentur. Nam figuratus est habitus orationis, velut exemplo a rebus nostris petito. Solent enim parvuli infantes nutriri, et in materno gremio ac brachiis volunt requiescere. Tale quid fit de his qui vocati sunt ab errore Græco. Deliniuntur enim a mystagogis, non duriter tractantur, nec illico per asperam viam incedunt; sed velut tenera educatione **843** lactantur, et paulatim in virum perfectum adolescunt, in mensuram ætatis plenitudinis Christi. Siquidem præcepit sanctis apostolis, ut baptizarent omnes gentes, in nomen Patris, et Filii, et Spiritus sancti, docerentque eas servare quæcunque illis præceperat. Hi autem hoc factitare volentes, methodo et arte docendi usi, primo nihil onerosum imposuerunt credentibus. Scripserunt enim gentibus: « Visum est Spiritui sancto et nobis nullum onus vobis imponere, nisi ut abstineatis vos a scortatione, et suffocato, et sanguine [97]. » Scripsitque quibusdam optimus Paulus: « Lactis potu vos alui, non esca. Nondum enim poteratis, sed ne nunc quidem potestis [98]. » Perfectorum autem est cibus solidus, eorum, inquam, qui propter assuetudinem sensus cordis habent exercitatos, ad dijudicationem boni et mali. Itaque in humeris, inquit, tollentur filii tui et filiæ tuæ. Tunc videbis et timebis, ac, stupebis, pro, admiraberis. Sic enim et divinus Abbacum: « Domine, inquit, audivi vocem tuam et timui, consideravi opera tua, et obstupui [99]. » Solemus etiam nos ipsi interdum dicere: Stupui, cum aliquid præter opinionem a quopiam fieri contigerit. Admiraberis igitur, inquit: et quæ tandem hujus rei causa? Transferentur enim ad te divitiæ maris, et gentium et populorum. Clarius hic prædicit vocandam esse, suo tempore ad veritatis agnitionem, gentium multitudinem. Sita enim fuit Judæorum regio ad plagam quæ ad partem australem vergit. Quæ vero spectant ad septentrionem, et mare, et civitates, ac regiones ibidem positas, gentium grex sortitus est. Quoniam autem qui a pristino errore discesserant, mutationem in melius fecerunt, vocati ad agnitionem naturalis Dei, per eos qui administrant Evangelium Christi: hinc dicit transferendas ad Ecclesiam maris divitias. Divitiæ autem sunt, ut dixi, urbium et regionum ad mare sitarum, hi qui in illis habitant. « Venientque, inquit, ad te etiam greges camelorum, et tegent te cameli Madiam et Gephar. » Sunt enim Madianitæ et Gepharæi gentes finitimæ Jerusalem, habentes conterminas regiones. **844** Nam abominabiles erant, et incircumcisi, et idololatræ. Sed et eos quoque vocandos esse, et fructum Deo edituros, hisce verbis os-

A διάθεσίν τε καὶ γνώμην, ὡς ἔφην. Ἀλλ' ἰδοὺ ἥκασι, φησί, τουτέστιν, οὐκ εἰς μακρὰν, οὐδὲ εἰς ἀνάβλησιν ἡ κλῆσις αὐτῶν ἔσται· δραμοῦνται γὰρ ὥσπερ κατὰ πόδα τῶν εὐαγγελικῶν κηρυγμάτων. Ποιήσονται δὲ τὴν ἄφιξιν τὴν πρὸς Θεὸν διὰ πίστεως δίχα πόνου παντὸς δυσχερείας τε ἁπάσης, καὶ ἱδρῶτος ἐξῃρημένων. Ἐπ' ὤμων γὰρ ἀρθήσονται· πέπλασται γὰρ τὸ σχῆμα τοῦ λόγου, ὡς ἐκ παραδείγματος τοῦ καθ' ἡμᾶς· τὰ γάρ τοι νεογνὰ τῶν βρεφῶν τιθηνεῖσθαι φιλεῖ, καὶ τοῖς τῶν μητέρων κόλποις καὶ βραχίοσιν ἐπαναπαύεσθαι ζητεῖ. Γίνεταί τι τοιοῦτον ἐπὶ τῶν καλουμένων ἐκ πλάνης Ἑλληνικῆς, θεραπεύονται γὰρ παρὰ τῶν μυσταγωγῶν, σκληραγωγούμενοι μᾶλλον, οὐδὲ τὴν τραχεῖαν εὐθὺς ἰόντες τρίβον, ἀλλ' οἷον διὰ τρυφερᾶς ἀγωγῆς γαλακτοτροφούμενοί τε καὶ ἀναβαίνοντες κατὰ
B βραχὺ πρὸς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Καὶ γοῦν ἐνετέλλετο μὲν τοῖς ἁγίοις ἀποστόλοις βαπτίζειν πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκειν τε αὐτὰ τηρεῖν πάντα ὅσαπερ αὐτοῖς ἐνετείλατο. Οἱ δὲ καὶ τοῦτο δρᾷν ἐθέλοντες φορτικὸν οὐδὲν ἐπετίθεσαν ἐν ἀρχαῖς τοῖς πιστεύουσιν εὐτεχνίᾳ χρώμενοι διδασκαλικῇ. Γεγράφασι γὰρ τοῖς ἐξ ἐθνῶν, ὅτι « Ἔδοξε τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν ἀπέχεσθαι ὑμᾶς πορνείας, καὶ πνικτοῦ, καὶ αἵματος. » Γράφει δέ τισι καὶ ὁ πανάριστος Παῦλος, ὅτι « Γάλα ἐπότισα ὑμᾶς, οὐ βρῶμα, οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε. » Τελείων δέ ἐστιν ἡ
C στερεὰ τροφὴ τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια τῆς καρδίας γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. Οὐκοῦν ἐπ' ὤμων ἀρθήσονται, φησὶν, οἱ υἱοί σου, καὶ αἱ θυγατέρες σου, τότε δὲ ὄψει, καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ, ἀντὶ τοῦ, θαυμάσεις· οὕτω γάρ που καὶ ὁ θεσπέσιος Ἀββακούμ· « Κύριε, φησὶν, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. » Κατειθίσμεθα δέ πως καὶ ἡμεῖς αὐτοὶ, τὸ, ἐξέστην ἔσθ' ὅτε λέγειν, ὅταν τι τῶν παραδόξων ὑπό του γενέσθαι συμβῇ. Θαυμάσεις τοίνυν, φησὶ, καὶ ποία τούτου γενήσεται πρόφασις; Μεταβαλεῖ γὰρ εἰς σὲ πλοῦτος θαλάσσης, καὶ ἐθνῶν, καὶ λαῶν. Σαφεστέραν ἐν τούτοις ποιεῖται τὴν προαγόρευσιν, τοῦ ὅτι κεκλήσεται κατὰ καιροὺς εἰς ἐπίγνωσιν ἀληθείας τῶν
D ἐθνῶν ἡ πληθύς. Ἦν μὲν γὰρ ἐν τοῖς νοτιωτέροις κλίμασι τῶν Ἰουδαίων ἡ χώρα, τά γε μὴν πρὸς ἄρκτον, καὶ θάλασσαν, καὶ πόλεις, καὶ τὰς ἐπ' αὐτῇ κειμένας χώρας αἱ τῶν ἐθνῶν ἀγέλαι διεμοιρώσαντο. Ἐπειδὴ δὲ τῆς ἀρχαίας ἀπάτης ἀπονοστήσαντες τὴν εἰς τὰ ἀμείνω μεταβολὴν ἐσχήκασι κεκλημένα πρὸς ἐπίγνωσιν τοῦ κατὰ φύσιν ὄντος Θεοῦ διὰ τῶν ἱερουργούντων τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Ταύτητοί φησι μεταβαλεῖν εἰς τὴν Ἐκκλησίαν τῆς θαλάσσης τὸν πλοῦτον· πλοῦτος δὲ, ὡς ἔφην, τῶν πρὸς θαλάσσης κειμένων πόλεων καὶ χωρῶν, οἱ κατοικοῦντες ἐν αὐταῖς. « Ἥξουσι δέ σοι, φησὶ, καὶ ἀγέλαι καμήλων, καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ καὶ Γε-

[97] Act. xv, 28. [98] I Cor. iii, 2. [99] Habac. i, 5.

φάρ. » Ἔθνη μὲν γὰρ περίοικα τῆς Ἱερουσαλὴμ, καὶ τὰς ὁμόρους ἔχοντα, Μαδιηναῖοί τε καὶ οἱ ἐκ Γεφάρ. Ἦσαν γὰρ βδελυροὶ, καὶ ἀκρόβυστοι, καὶ εἰδωλολάτραι, ἀλλ' ὅτι κεκλήσονται καὶ αὐτοὶ, καὶ καρποφορήσουσι τῷ Θεῷ, διαδείκνυσιν ἐν τούτοις. Ἦσαν μὲν γὰρ ἐμβάται καμήλων, καὶ τὰς τοῦ ζῆν ἀφορμὰς ἀπό γε τοῦ μάχεσθαι, καὶ κτηνοτροφεῖν ἐπορίζοντο· ἦσαν δὲ ὅτι μάλιστα τοῖς ἐξ Ἰσραὴλ, ἀλλ' οἱ ποτὲ πλανώμενοι βέβηλοί τε καὶ ἄμικτοι τοῖς ἡγιασμένοις ἥξουσι, φησὶν, οὐ καθ' ἕνα μᾶλλον, ἀγεληδὸν δὲ ὥσπερ, καὶ κατὰ πληθὺν, ἢ καμήλοις ἐποχούμενοι, ἤγουν ἅπερ ἔχουσι προσκομίζοντες, καὶ τοῖς κατὰ χεῖρα τιμῶντες Θεόν. « Ἥξουσι δὲ πάντες ἐκ Σαβᾶ φέροντες χρυσίον καὶ λίβανον, οἴσουσι καὶ λίθον τίμιον, καὶ τὸ σωτήριον Κυρίου εὐαγγελιοῦνται. » Χώρα πάλιν ἐστὶν ἡ Σαβᾶ τῆς Ἀράβων ἐπέκεινα, καὶ ἀγχοῦ μᾶλλον θαλάσσης Ἐρυθρᾶς, ἐξ ἧς ἡ Σαβᾶ ἡ τῶν Αἰθιόπων βασίλισσα ἐν τοῖς Σολομῶντος καιροῖς ἐπεφοίτησε τῇ Ἱερουσαλήμ. Γονιμωτάτη δὲ ἡ χώρα λιβανωτοῦ, χρυσοῦ τε καὶ λίθων τῶν Ἰνδικῶν. Ἥξουσι τοίνυν, φησὶ, καρποφοροῦντες εἰς δόξαν Θεοῦ, καὶ προσάγοντες λίβανον, καὶ χρυσὸν, καὶ λίθους, ἤγουν τὴν ἐξ ἔργων ἀγαθῶν εὐοσμίαν, καὶ φαιδρότητα νοητὴν, καὶ πλοῦτον πνευματικόν. « Εὐαγγελιοῦνται δὲ καὶ τὸ σωτήριον τοῦ Θεοῦ. » Πλεῖστοι μὲν γὰρ ὅσοι κέκληνται μὲν ἐξ ἐθνῶν, σεσοφωμένοι δὲ τὴν καρδίαν, καὶ τῶν ἱερῶν δογμάτων νοῦν λαβόντες ἐπιστήμονα διδασκαλικὸν ἐσχήκασι τὸ ἀξίωμα, καὶ τὴν παρὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ σωτηρίαν τε καὶ χάριν, ἑτέροις διακηρύττοντες τὸν τῆς γνησιότητος ἀνεδήσαντο στέφανον. « Ἥξουσι δέ σοι, φησὶ, καὶ τὰ πρόβατα Κηδὰρ, καὶ οἱ κριοὶ Ναβαιὼθ, καὶ ἀνενεχθήσονται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου. » Κηδὰρ δὲ, καὶ Ναβεὼθ χῶραι πάλιν ἕτεραι λιπαραί τε καὶ εὔβοτοι, καὶ πλείστους μὲν ἔχουσαι τοὺς ἐνοικοῦντας αὐταῖς, πλὴν εἰδωλολάτρας, καὶ πεπλανημένους, Ἀλλὰ καὶ οὗτοι, φησὶ, κριοὺς, καὶ πρόβατα προσοίσουσι, καὶ πάντα ἔσται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου· καίτοι κατά γε τὸν Μωσέως νόμον οὐκ ἐξῆν ἀλλογενέσι προσάγειν θυσίας τῷ Θεῷ. Οὐδ' ἂν εἰ προσῆγον δεκτὰς ἐποιήσατό τις αὐτάς. Ἀλλ' ἰδοὺ προστάττει Θεὸς δεκτὰς εἶναι καὶ ταύτας τοῖς ἁγίοις θυσιαστηρίοις. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος, βάρβαρος, Σκύθης, Ἕλλην τε καὶ Ἰουδαῖος, ἀλλὰ πάντα, καὶ ἐν πᾶσι Χριστός. Ἓν γὰρ γεγόνασιν οἱ δύο λαοὶ, κατενεγκόντος αὐτοῦ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσαντος. Δεκταὶ τοίνυν αἱ πάντων θυσίαι, προσιόντων Θεῷ διὰ τῆς πίστεως ἐν Χριστῷ. Ἐδοξάσθη δὲ ὁ οἶκος τῆς προσευχῆς τοῦ Θεοῦ. Καί μοι πάλιν ἄθρει τοῦ λόγου τὸ βάθος· οὐ γὰρ θυσιῶν, καὶ καπνῶν, οἶκον ἔτι βούλεται καλεῖσθαι τὴν Ἐκκλησίαν, καθάπερ ἀμέλει καὶ τὸν ἐν τοῖς Ἱεροσολύμοις ναὸν, εὐχῆς δὲ μᾶλλον, τουτέστι, λατρείας πνευματικῆς. Ψάλλει δέ που καὶ φησὶν ὁ θεσπέσιος Δαβίδ· « Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. » Σημειωτέον δὲ ὅτι τοῦτον τὸν στοῖχον καὶ αὐτὸς ὁ

tendit. Erant enim sessores camelorum, et victum ex bellis et pecoribus pascendis quærebant; erantque Israelitis inimicissimi. Sed qui olim, inquit, errabant et profani erant, nullumque habebant cum sanctificatis commercium, venient, inquit, non viritim, sed gregatim et turmatim, vel camelis vecti, vel quæ habent adducentes, iis quæ præ manibus sunt colentes Deum. « Venientque omnes ex Sabba, ferentes aurum et thus, et ferent lapidem pretiosum, ac salutem Domini evangelizabunt. » Sabba regio est ultra terram Arabum, et prope mare Rubrum: ex qua Sabba Æthiopum regina, temporibus Salomonis, accessit Jerusalem. Fertilissima est regio thure, auro et lapidibus Indicis. Venient igitur, inquit, fructum parientes in gloriam, et adducentes thus et aurum ac lapides, sive bonorum operum suavem fragrantiam et splendorem sub intelligentiam cadentem, divitiasque spirituales. « Et evangelizabunt salutem Domini. » Complures enim vocati sunt ex gentibus, et corde sapientes, et sacra dogmata mente tenentes, docendi auctoritate præditi: et salutem ac gratiam, ab omnium nostrum Servatore Christo, aliis prædicantes, ingenuitatis corona redimiti sunt. « Venient etiam, inquit, oves Cedar et arietes Nabeoth, et offerentur acceptabilia super aram meam. » Cedar et Nabeoth, regiones rursus sunt aliæ, opimæ et pabulosæ ac plurimos habent incolas, verum idololatras et errantes. Sed et hi, inquit, arietes et oves adducent, et omnia erunt accepta super aram meam, etiamsi lege Mosaica licitum non fuerit alienigenis, Deo hostias offerre: et si obtulissent, acceptas illas non habebat. Sed ecce jubet Deus illas acceptas esse, in sanctis aris. In Christo enim Jesu non est servus, neque liber, barbarus, Scytha, Græcus et Judæus, sed omnia et in omnibus Christus. Unum enim facti sunt duo populi, cum ille interstitium maceriæ dejecerit, et legem mandatorum in dogmatis **845** aboleverit. Acceptæ sunt igitur hostiæ eorum, qui per fidem in Christo accedunt ad Deum. « Et gloriosa effecta est domus orationis Dei. Rursus mihi considera orationis profunditatem. Non enim hostiarum et fumorum domum jam vocari vult Ecclesiam, sicuti nimirum templum Jerosolymitanum, sed precationis potius, id est cultus spiritualis. Psallit autem alicubi, et ait divinus David: « Dirigatur oratio mea, sicut incensum in conspectu tuo, elevatio manuum mearum sacrificium vespertinum [1]. » Notandum etiam hujus versiculi mentionem fecisse ipsum Servatorem, cum Judæorum negotiationes reprehendit, et dicit: « Scriptum est: Domus mea, domus orationis vocabitur. Vos autem ipsam fecistis speluncam latronum [2]. » Cum igitur domus orationis facta est, tunc quoque glorificata est.

[1] Psal. CXL, 2. [2] Matth. XXI, 13; Marc. XI, 17; Luc. XIX, 46.

Σωτὴρ διεμνημόνευσέ που ταῖς Ἰουδαίων ἐμπορίαις ἐπιτιμῶν, καὶ λέγων· « Γέγραπται· Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ποιεῖτε σπήλαιον λῃστῶν. » Ὅτε τοίνυν οἶκος γέγονε προσευχῆς, τότε καὶ δεδόξασται.

VERS. 8, 9. *Qui sunt isti qui ut nubes volant, et* A *ut columbæ cum pullis? Me insulæ sustinuerunt, et naves Tharsis in primis, ut adducant liberos tuos e longinquo, et argentum et aurum cum illis, propter nomen Domini sanctum, et propter Sanctum Israel, ut sit gloriosus.*

Licet iterum hic videre Ecclesiæ seu intelligibilis Jerusalem personam introductam, levantem velut in circuitu oculos, ut jussum est a Deo : deinde admiratur (1) currentium eo multitudinem, et populum per fidem congregatum, innumerabilem. « Qui sunt enim, inquit, qui ut nubes volant, et ut columbæ cum pullis ? » Irretiuntur enim per fidem non modo senes, verum etiam cum illis juvenes, et cum filiis patres, et cum filiabus matres. Itaque contra omnem ætatem Evangelicæ prædicationis B rete expanditur. Et hoc, opinor, est quod in libro Psalmorum scriptum est : « Juvenes et virgines, senes cum junioribus laudent nomen Domini [a]. » Volare eos dicit, aut quia vadunt eo non negligenter et remisse, sed tanquam volucres et cursores ; aut quod, terreno et humili affectu deposito, in sublime tendunt quodammodo, et ceu e mari nubes, a tumultuatione et deliciis mundanis, in altum assiliunt et emergunt, ad supremam festinantes civitatem. Admirante igitur Ecclesia ex omni regione per fidem concursum, causam rei aperit, rursus eos captans **846** et irretiens, et inquit : « Me insulæ sustinuerunt, et naves Tharsis, ut adducant liberos tuos e longinquo, et aurum et argentum cum C illis. » Insulas hic intelliges, non absolute insularum solum, quippe ineptum hoc, nec ipsas naves Tharsis, sed potius habitantes in illis, aut qui insulas conscendunt. Tharsis vero divina Scriptura sæpe vocat Indicas ; narrantque in Cypro Tharsis civitatem esse celebrem. Quapropter quia insulæ, inquit, et qui ex Indorum regione veniunt, me sustinuerunt, id est, impositum sibi a me jugum subierunt, idcirco undecunque confluit multitudo credentium. Veniunt enim et ex ipsa barbara terra, viri non pauci, Christi nomen gerentes, et fructificantes in ejus gloriam quæcunque regio ferre potest illorum. Auri autem et argenti fertilem ipsam esse dicunt. Offerunt vero non more institutoque veteri inanimis quibusdam idolis, et dæmoniorum D gregibus, sed quia sanctum habebant apud eos nomen Domini, et gloriosus sanctus Israel. Sed non est alius Dominus, alius rursum Sanctus Israel, sed unus et idem exsistit Dominus, et sanctus, et glorificatus. Sciendum est autem insulas vocari etiam civitates quæ per circuitum sunt, vastæ et vagæ magna ex parte et non habitatæ. Quod si dicantur

Τίνες οἵδε ὡς νεφέλαι πέτανται, καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς; Ἐμὲ νῆσοι ὑπέμειναν, καὶ πλοῖα Θαρσεῖς ἐν πρώτοις, ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν, καὶ τὸν ἄργυρον, καὶ τὸν χρυσὸν μετ' αὐτῶν διὰ τὸ ὄνομα Κυρίου τὸ ἅγιον, καὶ διὰ τὸ τὸν Ἅγιον τοῦ Ἰσραὴλ ἔνδοξον εἶναι.

Ἔνεστι πάλιν ἐν τούτοις ἰδεῖν τὸ τῆς Ἐκκλησίας πρόσωπον εἰσκεκομισμένον, ἤτοι τῆς νοητῆς Ἱερουσαλὴμ, ἆρον ὥσπερ ἐν κύκλῳ τοὺς ὀφθαλμοὺς, καθὰ προστέτακται παρὰ Θεοῦ, εἶτα καταπεπλανημένης τῶν ἐπ' αὐτῇ τρεχόντων τὸ πλῆθος, καὶ τῶν διὰ πίστεως συναγηγερμένων τὸν ἀριθμοῦ παντὸς ἐπέκεινα δῆμον. « Τίνες γὰρ οἵδε πέτανται, φησὶν, ὡς νεφέλαι, καὶ ὡς περιστεραὶ σὺν νεοττοῖς ; » Σαγηνεύονται γὰρ διὰ πίστεως, οὐ πρεσβύται μόνον, ἀλλὰ γὰρ σὺν αὐτοῖς καὶ νέοι, καὶ ὁμοῦ παισὶ πατέρες, καὶ θυγατράσι μητέρες. Οὐκοῦν κατὰ πάσης ἡλικίας, τὸ τῶν εὐαγγελικῶν κηρυγμάτων ἁπλοῦται λῖνον, καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ ἐν τῇ βίβλῳ Ψαλμῶν γεγραμμένον· « Νεανίσκοι καὶ παρθένοι, πρεσβύται μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. » Πετᾶσθαι δέ φησιν αὐτοὺς, ἢ ὅτι βαδιοῦσιν ἐπ' αὐτὴν, οὐκ ἀτημελῶς τε καὶ παρειμένως, ἀλλ' οἷον πτηνοὶ, καὶ δρομαῖοι, ἤγουν τὸ γεῶδες, καὶ χθαμαλὸν ἀφέντες φρόνημα μετεωροπολοῦσι τρόπον τινὰ, καὶ ὥσπερ ἐκ θαλάττης νεφέλαι, ἐκ θορύβου τε καὶ τρυφῆς κοσμικῆς, ἅττουσί τε ὑψοῦ, καὶ ἀνανήχονται πρὸς τὴν ἄνω σπεύδοντες πόλιν. Θαυμαζούσης τοίνυν τῆς Ἐκκλησίας τὴν ἐξ ἁπάσης χώρας τὴν διὰ πίστεως συνδρομὴν, τὴν τοῦ πράγματος αἰτίαν ἀπογυμνοῖ πάλιν ὁ σαγηνεύων αὐτοὺς, καί φησιν· « Ἐμὲ νῆσοι ὑπέμειναν, καὶ πλοῖα Θαρσεῖς ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν, καὶ τὸν χρυσὸν καὶ τὸν ἄργυρον μετ' αὐτῶν. » Καὶ νήσους ἐνθάδε συνήσεις, οὐχὶ δὴ πάντως αὐτὰ τὰ τῶν νήσων ἐδάφη, εὔηθες γὰρ, οὔτε μὴν αὐτὰ τὰ τῆς Θαρσεῖς πλοῖα, τοὺς ἐνοικοῦντας δὲ μᾶλλον αὐταῖς, ἤτοι τῶν νήσων τοὺς ἐμβάτας. Θαρσεῖς δὲ ἡ θεία Γραφὴ τὰς Ἰνδικὰς ὀνομάζει πλεισταχοῦ· φασὶ δὲ εἶναι καὶ ἐν τῇ Κύπρῳ Θαρσεῖς πόλιν ὠνομασμένην. Οὐκοῦν ἐπειδήπερ αἵ τε νῆσοι, φησὶ, καὶ οἱ ἐκ τῆς Ἰνδῶν ἥκοντες χώρας ἐμὲ ὑπέμειναν, τουτέστιν, ὑπέστησαν τὸν ἐπενεχθέντα αὐτοῖς παρ' ἐμοῦ ζυγὸν, διὰ τοῦτο συῤῥεῖ πανταχόθεν ἡ τῶν πιστευόντων πληθύς. Ἥκουσι γὰρ, καὶ ἐξ αὐτῆς τῆς Βαρβάρου γῆς ἄνδρες οὐκ ὀλίγοι τὸ Χριστοῦ φοροῦντες ὄνομα, καὶ καρποφοροῦντες εἰς δόξαν αὐτοῦ τὰ ὅσαπερ ἂν αὐτοῖς ἡ χώρα δύνηται φέρειν. Εὔφορον δὲ εἶναι χρυσοῦ, καὶ ἀργύρου φασὶν αὐτήν. Προσκομίζουσι δὲ οὐ κατά γε τὸ παρῳχηκὸς ἔθος ἀψύχοις τισὶν εἰδώλοις, καὶ δαιμονίων ἀγέλαις, ἀλλ' ἐπειδήπερ ἅγιον γέγονε παρ' αὐτοῖς τὸ ὄνομα Κυρίου, ἔνδοξος δὲ ὁ Ἅγιος τοῦ Ἰσραήλ· καὶ οὐχ ἕτερος μὲν ὁ Κύριος, ἕτερος δὲ πάλιν ὁ Ἅγιος τοῦ Ἰσραὴλ, ἀλλ' εἷς

[a] Psal. CXLVIII, 12.

(1) Humfr. vertit, *admiratur*, pateique hic esse mendum.

καὶ ὁ αὐτὸς ὑπάρχων Κύριός τε καὶ ἅγιος, καὶ δεδοξασμένος. Ἰστέον δὲ ὅτι νῆσοι καλοῦνται, καὶ πόλεις αἱ κύκλῳ, πολλὴν ἔχουσαι καὶ ἀοίκητον ἐρημίαν. Εἰ δὲ λέγοιντο καὶ αὐταὶ ὑπομεῖναι τὸν Κύριον, τουτέστιν, αὐτῷ δουλεῦσαι, συνήσεις, ὅτι καὶ οἱ τὰς ἀβάτους, καὶ ἐξωσμένας ἐρημίᾳ πολλῇ κατοικοῦντες χώρας, ἢ πόλεις ἥξουσι διὰ πίστεως, καὶ καρποφορήσουσι τῷ Χριστῷ χρυσὸν, καὶ ἄργυρον, καὶ οὐχὶ δή που πάντως τὴν ὕλην, ἀλλ' οἷον τὰ ἐν ἡμῖν τίμια, καὶ λαμπρὰ, καὶ τοῦ παντὸς ἄξια λόγου, πίστιν δηλονότι, καὶ τὴν ἐξ ἁπάσης ἀρετῆς φαιδρότητα· ξένια γὰρ ταῦτα Θεῷ, καὶ πνευματικῆς λατρείας ἀναθέματα λαμπρὰ, καὶ τεθαυμασμένα. Γέγραπται δὲ καὶ ἐν βίβλῳ Ψαλμῶν περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ὅτι « Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ προσάξουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. »

B *Καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι.*

Ἐξαίσιον καὶ τοῦτο, καὶ θεοπρεποῦς δυνάμεως ἀποτέλεσμα. Τεύχη μὲν γὰρ καὶ περίβολοι σώζοντες τῆς Ἐκκλησίας τὰ τέκνα, νοηθεῖεν ἂν πίστις ὀρθὴ, καὶ ἀμώμητος, ἔργων τε φαιδρότης ἐξ ἁπάσης ἀρετῆς συλλέγουσα κάλλος, γνώσεως δὲ δογματικῆς, καὶ μέντοι καὶ ἠθικῶς [*Ισ.* ἠθικῆς] εἶεν ἂν εἰσηγηταὶ, καὶ διδάσκαλοι τῶν θείων κηρυγμάτων ἱερουργοὶ πάντες ὅσοι ψήφῳ θείᾳ καλοῦνται πρὸς τοῦτο. Καὶ ἀπαρχὴ μὲν τούτων τῶν ἱερῶν κηρυγμάτων γεγόνασιν ἡμῖν οἱ θεσπέσιοι μαθηταὶ, πλεῖστοι δὲ μετ' ἐκείνους, οἱ τὸν παρ' αὐτῶν ἰχνηλατοῦντες λόγον, οὐκ ἐκ μόνων Ἰουδαίων, ἀλλὰ γὰρ καὶ ἐκ ταγμάτων Ἑλληνικῶν, οἳ καὶ τῆς ἐν κόσμῳ σοφίας ἐν καλῷ γεγονότες, καὶ C εὐγλωττεῖν εἰδότες ἄριστοι γεγόνασι παιδευταὶ τὸν μὲν ἀκλινῆ τῆς πίστεως λόγον οἰκοδομοῦντες ἀστείως ἐν ταῖς τῶν μυσταγωγούντων ψυχαῖς, ἐνιέντες δὲ αὐτοῖς πολιτείας τὴν ἀξιάγαστον συνείδησιν. Οὐκοῦν ἀλλογενεῖς μὲν, ὅτι μὴ ἐξ αἵματος Ἰσραὴλ κατὰ σάρκα, πλὴν ἀρχιτέκτονες σοφοὶ, κατὰ τὸν θεσπέσιον Παῦλον, καὶ εὖ εἰδότες θεμελιοῦν ἐν ἡμῖν τὸν Χριστὸν, διὰ πίστεως δὲ δηλονότι, καὶ εἰσηγήσεως ἀγαθῶν. Τοῦτο, οἶμαι, ἐστὶ τὸ, « Οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι. » Τίνων δὲ οἱ βασιλεῖς; Ἢ δηλονότι τῶν ἀλλογενῶν. Βασιλεῖς δέ φησιν ἐν τούτοις, ἢ τοὺς ἄρχοντας καὶ ἡγουμένους λαῶν, οἳ παρεστήκασι τῇ Ἐκκλησίᾳ Χριστοῦ, δορυφοροῦντες ὥσπερ αὐτὴν, καὶ συνασπίζοντες τοῖς αὐτῆς τέκνοις, καὶ ἀποσοβοῦντες πᾶσαν D ἔφοδον ἐχθρῶν ὁρατῶν τε καὶ ἀοράτων, ἢ κατὰ ἀλήθειαν τοὺς ταῖς ἀνωτάτω τιμαῖς ἐστεφανωμένους, καὶ τὸ τῆς βασιλείας ἔχοντας σκῆπτρον, οἳ καὶ παρέστησαν τῇ Ἐκκλησίᾳ. Ἡ δὲ παράστασις ἐν τούτοις σημαίνει τὴν ὑπακοήν. Εἴκουσι γὰρ τοῖς θείοις, καὶ ἱεροῖς θεσπίσμασι, καὶ τὸ τῆς Ἐκκλησίας κήρυγμα παντὸς ἀξιοῦσι λόγου.

Διὰ γὰρ ὀργὴν ἐπάταξά σε, καὶ δι' ἔλεον ἠγάπησά σε. Καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διὰ παντὸς, ἡμέρας καὶ νυκτὸς, καὶ οὐ συγκλει-

A illæ quoque sustinere Dominum, id est, ei servire; intelliges eos qui inaccessas et magna solitudine horridas regiones et urbes inhabitant, venturos per fidem et fructificaturos Christo aurum et argentum, et non simpliciter illam materiam, sed veluti quæ in nobis sunt pretiosa et illustria, et magni facienda, fidem scilicet omniumque virtutum splendorem. Hæc enim sunt Deo xenia, hæc spiritualis cultus anathemata, et donaria illustria et admiranda. Scriptum est etiam in libro Psalmorum de omnium nostrum Servatore Christo: « Reges Tharsis et insulæ dona adducent: reges Arabum et Sabba dona afferent; et adorabunt eum omnes reges terræ, omnes gentes servient ei [4]. »

Vers. 10. *Et ædificabunt alienigenæ muros tuos, et reges eorum assistent tibi.*

Eximium quodque hoc, et divinæ potentiæ est facinus. Muri enim et munimenta quæ Ecclesiæ liberos servant, intelligi **847** possunt, fides recta et irreprehensibilis, et operum splendor omni virtutum pulchritudine decoratus. Præceptores autem cognitionis dogmaticæ et moralis, adeoque doctores divinorum præconiorum esse possunt, ministri omnes quicunque divino calculo ad hoc vocantur. Et primitiæ quidem hujus sacræ prædicationis exstiterunt nobis divini discipuli, et complures post illos, qui in sermone prædicando secuti sunt eorum vestigia, non solum ex Judæis, sed et ex Græcorum ordinibus, qui, sæculari instructi sapientia, et dicendi facultate præditi, optimi institutores evaserunt, firmum sermonem fidei ædificantes eleganter in animis initiatorum, et inserentes in illis bene vivendi admirabilem conscientiam. Alienigenæ igitur fuerunt, quia non erant ex sanguine Israel, quod ad carnem attinet; architecti tamen sapientes, ut divinus Paulus loquitur, quique recte norant in nobis Christum fundare [5], per fidem videlicet, et rerum bonarum institutionem. Hoc, opinor, est: « Ædificabunt alienigenæ muros tuos, et reges eorum assistent tibi. » Quorum reges? Nimirum alienigenarum. Et reges hic dicit, vel principes et duces populorum, qui assistunt Ecclesiæ Christi, satellitio munientes velut eam; et liberos ejus tanquam scuto protegentes, ac omnem hostium impetum propellentes, tam qui aspectabiles sunt quam qui inaspectabiles; aut certe, summis ornatos honoribus, et regium sceptrum habentes, qui etiam Ecclesiæ assistunt. Assistentia hoc in loco significat obedientiam. Cedunt enim divinis et sacrosanctis vaticiniis, atque prædicationem Ecclesiæ summo in pretio habent.

Vers. 11, 12. *Etenim propter iram percussi te, et propter misericordiam dilexi te. Et aperientur portæ tuæ semper, die et nocte, et non claudentur, ut*

[4] Psal. LXXI, 10, 11. [5] Coloss. I, 23.

introducant ad te potentiam gentium, et reges adducentur. Gentes enim et reges qui non servient tibi, peribunt, et gentes vastabuntur.

Quoniam enim, inquit, deprehensa es, quamplurimis et intolerabilibus implicata vitiis, parem pœnam sustinuisti. Erat enim necesse ut, cum talis sis, iram hanc et supplicium sustineres. Quoniam autem tibi rursus misericordia impartienda erat, utpote a bono et misericorde Domino ac Deo, impartita est, et expellam omnem iram. Quid igitur futurum est? quid dabitur, postquam res asperæ cessaverint? « Aperientur, inquit, portæ tuæ semper, interdiu et noctu, neque claudentur. » Videtur his verbis pacem polliceri illis, et tranquillitatem quæ inde provenit. Nam civitates quæ hostium impressionem aliquam fore suspicantur, non semper apertas habent portas, nisi cum tempus ita fert et necessitas, idque vix interdiu sine metu. At quæ eo timore liberatæ sunt, nec passuras se tale quidquam exspectant, illas aperiunt ingredientibus, idque etiam quidam noctu faciunt. Si igitur pacem illis promittit Deus et amplissimam felicitatem, certe continuus erit adventantium concursus, et veluti perpetuus ingressus eorum, qui trahuntur quodammodo per fidem ad agnitionem Christi, ita ut patefactæ portæ esse videantur, et nullum tempus esse, quo eas claudi oporteat, non his solum quidem demissæ et humilis fortunæ sunt, et jugo regni parent, sed illis qui in omnes habent imperium. Licet autem ex rebus ipsis prophetiæ hujus virtutem etiamnum videre. Accipit enim Ecclesia omni tempore volentes credere, nemini prorsus occludit huc festinanti, sed liberum ac licitum est volentibus quolibet tempore, nullo impediente, ad lucem veritatis adduci. Adducit autem omnes Deus et Pater, ad agnitionem Filii, per quem, et in quo, et cum quo glorificatur. Atque hoc ipse nobis significavit, dicens : « Nemo potest venire ad me, nisi Pater meus qui misit me traxerit eum [a]. » Gentium potentiam inducendam dicit, ut ne solos eos intelligas, ut dixi, qui tenui et abjecta conditione sunt, sed eos etiam, qui cum potestate sunt, et gloria in hac vita spectabiles. Adjungit porro : « Gentes et reges qui non servient tibi, peribunt, et vastabuntur. » Infideles enim et a mysteriis alieni, et salutis quæ per Christum est non participes, sive illi sint illustres, sive obscuri, in profundum inferni et in mortis laqueum incident. Immorientur enim peccatis suis, et pœnam omnium extremam subibunt.

Vers. 13. *Et gloria Libani ad te veniet; in cyparisso et pinu et cedro, ut glorificetur locus sanctus meus.*

Mons est Phœniciæ Libanus, cedris, cyparissis et pinu densus, et ipsis thuris arboribus. Admira-

[a] Joan. VI, 44.

σθήσονται εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ βασιλεῖς ἀγομένους. Τὰ γὰρ ἔθνη, καὶ οἱ βασιλεῖς οἵτινες οὐ δουλεύσουσί σοι, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημωθήσονται.

Ἐπειδὴ γὰρ, φησὶ, πλείστοις τε ὅσοις καὶ ἀφορήτοις πλημμελήμασιν εὑρέθης ἔνοχος τὴν ἰσόῤῥοπον ὑπομεμένηκας δίκην. Ἦν γὰρ ἀνάγκη τοιαύτην οὖσαν ὑπομεῖναι τὰ ἐξ ὀργῆς. Ἐπειδὴ δέ σοι πάλιν ἐχρῆν ὡς ἐξ ἀγαθοῦ τε καὶ φιλοικτίρμονος Κυρίου καὶ Θεοῦ δοθῆναι τὸν ἔλεον, δέδοται, καὶ διώξω τὰ ἐξ ὀργῆς. Τί οὖν ὑπάρξει, τί δὲ δοθήσεται πεπαυμένων τῶν σκυθρωπῶν; « Ἀνεωχθήσονται, φησὶν, αἱ πύλαι σου διὰ παντὸς, ἡμέρας καὶ νυκτὸς, καὶ οὐ συγκλεισθήσονται. » Ἔοικεν ἐν τούτοις εἰρήνην αὐτοῖς ὑπισχνεῖσθαι, καὶ τὴν ἐντεῦθεν εὐδίαν. Αἱ μὲν γὰρ ἐν ὑποψίᾳ πολεμίων ἐμβολῆς οὖσαι πόλεις, οὐκ ἀεὶ τὰς πύλας ἀναπεπτασμένας ἔχουσιν, ἀλλ' ὡς ἐν καιρῷ καὶ χρείᾳ, καὶ ἐν ἡμέρᾳ μόλις, καὶ οὐ δίχα δειμάτων· αἱ δὲ εἰσάπαν ἀπηλλαγμέναι τοῦ προσδοκᾷν τι τοιοῦτο ὑπομεῖναι ἀνευρύνουσιν αὐτὰς τοῖς εἰσβάλλουσι, κἂν εἰ ἐν νυκτὶ τοῦτο δρῶσί τινες. Εἰ τοίνυν εἰρήνην αὐτοῖς ἐπαγγέλλεται Θεὸς, καὶ πλάτος εὐημερίας, ἤγουν ἀδιαλείπτως ἔσται τῶν πρὸς αὐτὴν ἰόντων ἡ συνδρομὴ, καὶ οἷον διηνεκὴς ἡ εἴσοδος, ἑλκομένων τρόπον τινὰ διὰ τῆς πίστεως εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ, ὥστε δοκεῖν ἀνανεῶχθαι τὰς πύλας, καὶ καιρὸν οὐκ εἶναί τινα, καθ' ὃν αὐτὰς κλείεσθαι πρέπει, καὶ οὐχὶ μόνοις τοῖς ἐν ὑφέσει βίου, καὶ ὑπὸ ζυγὰ βασιλείας, ἀλλὰ γὰρ καὶ αὐτοῖς τοῖς τὸ κατὰ πάντων ἔχουσι κράτος. Ἔξεστι δὲ διὰ πραγμάτων ἰδεῖν τῆς προφητείας τὴν δύναμιν κρατοῦσαν εἰς δεῦρο. Δέχεται γὰρ ἡ Ἐκκλησία κατὰ πάντα καιρὸν τοὺς πιστεύειν ἐθέλοντας, ἐκκλείει δὲ ὅλως οὐδενὶ τὴν εἰς τοῦτο σπουδήν· ἔξεστι δὲ τοῖς ἐθέλουσι παραποδίζοντος οὐδενὸς, καθ' ὃν ἂν βούλωνται καιρὸν, πρὸς τὸ τῆς ἀληθοῦς θεογνωσίας ἄγεσθαι φῶς· ἄγει δὲ ἅπαντας Θεὸς καὶ Πατὴρ εἰς ἐπίγνωσιν τοῦ Υἱοῦ, δι' οὗ, καὶ ἐν ᾧ, καὶ μεθ' οὗ δοξάζεται. Καὶ τοῦτο αὐτὸς ἡμῖν καταμεμήνυκε, λέγων· « Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατήρ μου ὁ πέμψας με ἑλκύσῃ αὐτόν. » Ἐθνῶν δὲ δύναμιν εἰσαχθήσεσθαί φησιν, ἵνα μὴ μόνους ἐννοῇς, ὡς ἔφην, τοὺς ἐν σμικρότητί τε καὶ ἐν ὑφέσει, ἀλλὰ γὰρ καὶ αὐτοὺς τοὺς ἐν δυνάμει, καὶ δόξῃ τῇ κατὰ τόνδε τὸν βίον. Προσεπάγει δὲ ὅτι, « Καὶ ἔθνη, καὶ οἱ βασιλεῖς, οἵτινες οὐ δουλεύσουσί σοι, ἀπολοῦνται, καὶ ἐρημωθήσονται. » Οἱ γὰρ ἄπιστοι, καὶ ἀμυσταγώγητοι, καὶ τῆς διὰ Χριστοῦ σωτηρίας ἀμέτοχοι, κἂν εἴτε τινὲς εἶεν τῶν περιφανῶν, εἴτε τῶν ἀσημοτέρων, εἰς πέταυρον ᾅδου, καὶ εἰς παγίδα θανάτου πεσοῦνται· ἐντεθνήξονται γὰρ ταῖς ἑαυτῶν ἁμαρτίαις, καὶ τὴν ἁπασῶν ἐσχάτην ὑπομενοῦσι δίκην.

Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ, καὶ πεύκῃ, καὶ κέδρῳ, ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου.

Ὄρος ἐστὶ τῆς Φοινίκης ὁ Λίβανος, κέδροις τε, καὶ κυπαρίσσοις, καὶ πεύκῃ κατάκομον, καὶ αὐτοῖς δὲ

τοῖς τοῦ Λιβάνου φυτοῖς. Θαυμάζεται δὲ ταύτης A ἕνεκα τῆς αἰτίας τὸ μνημονευθὲν ὄρος, ὡς ἀφθονωτάτην ἔχον τὴν ὕλην, καὶ δένδρεσι τοῖς εὐμηκεστάτοις, καὶ εὐοσμοτάτοις καταπλουτοῦν. Αὕτη τοίνυν ἡ δόξα δοθήσεταί σοι, φησὶ, νοητῶς δηλονότι, καὶ πνευματικῶς. Τρέφει γὰρ ἡ Ἐκκλησία Χριστοῦ πλείστας τε ὅσας, καὶ εὐδοκίμους ἁγίων κεφαλὰς ὕψοῦ τε ἠρμένας ἐξ ἀρετῶν, ναὶ μὴν καὶ εὐοσμοτάτας. Χριστὸν γὰρ εὐωδιάζουσιν· ἔνεστι δὲ αὐτοῖς καὶ τὸ πέρα κεῖσθαι φθορᾶς τῆς ἐκ φρονήματος σαρκικοῦ, καθάπερ ἀμέλει καὶ τὸ μὴ φθείρεσθαι πεύκῃ τε καὶ κέδρῳ. Ἔθος δὲ τῇ θεοπνεύστῳ Γραφῇ τοῖς τοιοῖσδε τῶν φυτῶν ἀφομοιοῦν ἔσθ' ὅτε τὴν τῶν ἁγίων πληθὺν, καὶ γοῦν ἔφη που πάλιν Θεὸς διὰ φωνῆς Ἡσαΐου· « Καὶ ποιήσω ὕδωρ ἐν τῇ ἐρήμῳ, καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς. Θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον, καὶ B πύξον, καὶ μυρσίνην, καὶ κυπάρισσον, καὶ λεύκην. » Γῇ μὲν γὰρ ξηρᾷ τε καὶ ἀνύδρῳ παρεικάζει τὰ ἔθνη· οὐ γὰρ ἦν παρ' αὐτοῖς θεῖος λόγος ὁ ζωοποιεῖν δυνάμενος, καὶ εἰς αὔξησιν ἀναφέρειν τὴν ἐν εὐσεβείᾳ τε καὶ γνώσει Θεοῦ, ἀλλὰ γεγόνασι παρ' αὐτοῖς κέδρος, καὶ πύξος καὶ μυρσίνη, καὶ κυπάρισσος, καὶ λεύκη, τουτέστιν, εὐμήκη τε καὶ ἀξιάγαστα φυτὰ, ὧν καὶ ὁ θεσπέσιος Μελῳδὸς διαμνημονεύει λέγων· « Ἄρτος καρδίαν ἀνθρώπου στηρίζει, χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, καὶ αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. » Ὡς γὰρ ὁ πάνσοφος γράφει Παῦλος, « Θεοῦ γεώργιόν ἐσμεν. » Αὕτη τοίνυν ἡ δόξα τοῦ Λιβάνου, φησὶ, δοθήσεταί σοι, τουτέστιν, ὀφθήσῃ κατάνομος πολλαῖς καὶ τεθαυμασμέναις ἁγίων κεφαλαῖς. Ἔσται δὲ τοῦτο, ὥστε δοξασθῆναι τὸν τόπον τὸν ἅγιόν μου. C Καύχημα μὲν γὰρ Ἐκκλησιῶν οἱ τοῖς τῶν ἀρετῶν ὑψώμασιν ἐμβεβηκότες, καὶ χθαμαλὸν οὐδὲν, ἤγουν γήϊνον, καὶ χαμαιῤῥιφὲς ἔχοντες εἰς νοῦν διὰ τοῦ φρονεῖν τὰ σαρκὸς, ἅπτοντες δὲ μᾶλλον ὕψου, καὶ τὰ ἄνω φρονοῦντες, καὶ οἷον ἀποφοιτῶντες τῆς γῆς, καὶ περιπατοῦντες μὲν ἐπ' αὐτῆς, ἄνω δὲ καὶ ἐν οὐρανοῖς ἔχοντες τὸ πολίτευμα.

Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες οἱ υἱοὶ τῶν ταπεινωσάντων σε, καὶ παροξυνάντων σε, καὶ κληθήσῃ πόλις Κυρίου Σιὼν ἁγίου Ἰσραήλ.

Αὐτὸ τῶν πραγμάτων τὸ πέρας διαδείκνυσιν ἀκριβῶς τῆς προφητείας τὴν δύναμιν, οὐκ ἔξω βαίνουσαν τ' ἀληθοῦς· ἐμπαροινησαμένη γὰρ τῷ πάντων Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ ταπεινὴ γέγονεν ἡ Ἱερουσαλὴμ D τῆς πρὸς Θεὸν οἰκειότητος ἀποβεβλημένη, καὶ τῆς εἰς αὐτὸν ἐλπίδος ἀπολισθήσασα, καὶ φειδοῦς ἐρήμη τῆς ἄνωθεν γενομένη, πεσοῦσα δὲ καὶ εἰς χεῖρας ἐχθρῶν, οἳ δὴ καὶ πᾶσαν τὴν Ἰουδαίαν καταδῃώσαντες, καὶ αὐτὸν ἐνέπρησαν τὸν θεῖόν τε καὶ διαβόητον ναόν. Ἐπειδὴ δὲ σέσωσται τὸ κατάλειμμα Θεοῦ κατοικτείραντος, πεπιστεύκασι γὰρ εἰς Χριστὸν οὐκ εὐαρίθμητοι τῶν ἐξ Ἰσραὴλ, κεχρημάτικεν Ἐκκλησία Χριστοῦ, καὶ γέγονε μήτηρ ὥσπερ ἐθνῶν. Οἱ γὰρ υἱοὶ τῶν ποτε ταπεινωσάντων αὐτὴν, τουτέστιν, οἱ τῶν ἐπιγείων κρατοῦντες πραγμάτων, καὶ ταῖς τῶν σκήπτρων διαδοχαῖς ὡς ἐξ ἐκείνων ἐρχό-

tioni autem habetur **849** hac de causa hic mons quem commemoravimus, ut qui maximam ligni vim habeat, abundetque arboribus procerissimis et fragrantissimis. Hæc igitur gloria, inquit, dabitur tibi, intelligibiliter scilicet et spiritualiter. Nutrit enim Ecclesia Christi plurima et illustria sanctorum capita, tum sublimia virtute, tum odoratissima. Spirant enim suaviter Christum. Adest illis quoque hoc, ut nulli sint carnalis affectus corruptioni obnoxii, ita ut pinus et cedrus non corrumpuntur. Solet autem Scriptura divinitus inspirata, hujusmodi arboribus nonnunquam assimilare sanctorum multitudinem. Siquidem rursus dixit voce Isaiæ Deus: « Et producam aquam in solitudine, et in loco aquis carente flumina. Ponam in terra aquis carente, cedrum, buxum, myrtum, cyparissum et populum [7]. » Cum terra enim arida et aquis carente gentes comparat. Non enim fuit apud eas sermo divinus, qui vivificare potest, et ad pietatis auctus ac incrementum in cognitione Dei adducere. Sed fuerunt apud illas cedrus et buxus et myrtus et cyparissus ac populus, id est, arbores bene proceræ et mirabiles. Quarum etiam meminit divinus Psaltes, dicens: « Panis cor hominis roborat; saturabuntur ligna campi, et cedri Libani quas plantasti [8]. » Nam, ut sapientissimus Paulus scribit: « Dei agricultura sumus [9]. » Hæc igitur, inquit, gloria Libani dabitur tibi, id est, florebis multis et admirandis sanctorum capitibus refertus. Erit autem hoc, ut decoretur locus sanctus meus. Decus enim Ecclesiarum sunt hi qui ad virtutum celsitatem ascenderunt, et qui nihil habent in mente terrenum et humile, nec quæ carnis sunt sapiunt; sed qui altum petunt, et quæ supra sunt sapiunt, et velut e terra secedunt, ac in supernis ambulant [10], in cœlis habentes conversationem [11].

VERS. 14. *Et ibunt ad te timentes filii eorum qui humilem te reddiderunt, et concitaverunt; vocaberisque civitas Domini Sion sancti Israel.*

Rerum exitus satis indicat, prophetiæ vim a vero non deviare. Bacchata enim furiose in omnium Servatorem Christum Jerusalem **850** humilis facta est, a conjunctione ejus ejecta, et a spe in illum delapsa, et a misericordia superna derelicta, cadensque in manus hostium, qui, tota Judæa in vastitatem redacta, ipsum etiam divinum et celebratissimum templum incenderunt. Postquam vero servatæ fuerunt reliquiæ, Deo commiserante (crediderunt enim in Christum innumeri Israelitæ), nuncupata est Ecclesia Christi, et facta est velut mater gentium. Nam filii eorum qui humiliaverunt eam, id est, qui rebus terrenis imperant, et in sceptrorum successiones exinde veniunt, venerationi habent Ecclesiam, et timentes, id est, sollicite et cum Dei metu, ad eam accedunt. « Vocata est

[7] Isa. XLI, 18, 19. [8] Psal. CIII, 15, 16. [9] I Cor. III, 9. [10] Rom. VIII, 5. [11] Philipp. III, 20.

enim civitas Domini Sion sancti Israel. » Dei namque civitas est Ecclesia. Idque docet divinus David, velut illam alloquens : « Gloriosa dicta sunt de te, civitas Dei [12]. » Et ipse universorum Dominus ait lyra Psallentis : « Hic habitabo, quia elegi eam. Portæ ejus benedicens benedicam, pauperes ejus saturabo panibus, sacerdotes ejus induam salute [13]. » Sin velit quispiam posteros eorum regum, qui persecuti sunt Ecclesiam, dicere qui nunc cum honore et timore ad eam veniunt, et divinam quasi civitatem suscipiunt, non discedit a scopo. Videmus enim exemplis rem ad eum eventum deductam.

A μενοι σεπτὴν ἡγοῦνται τὴν Ἐκκλησίαν, καὶ δεδοικότες, τουτέστι, μετ' εὐλαβείας, καὶ τὸν θεῖον εἰς νοῦν ἔχοντες φόβον προσίασιν αὐτῇ· « Κέκληται γὰρ Πόλις Κυρίου Σιὼν ἁγίου Ἰσραήλ. » Θεοῦ γὰρ πόλις ἡ Ἐκκλησία, καὶ τοῦτο διδάσκει ὁ θεσπέσιος Δαβὶδ ὡς πρὸς αὐτήν, « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Καὶ αὐτὸς δέ που φησὶν, ὁ τῶν ὅλων Κύριος διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν, τὴν θύραν αὐτῆς εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτον, τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν. » Εἰ δὲ δὴ βούλοιτό τις καὶ τῶν ποτε διωξάντων τὴν Ἐκκλησίαν βασιλέων υἱοὺς τοὺς καθεξῆς ὀνομάζειν, οἳ μετὰ τιμῆς καὶ δέους προσέρχονται νῦν αὐτῇ, καὶ ὡς θείαν τιμῶσι πόλιν· οὐκ ἔξω φέρεται τοῦ σκοποῦ. Ὁρῶμεν γὰρ εἰς τοῦτο ἐκβεβηκὸς τὸ τῶν πραγμάτων πέρας.

VERS. 15, 16. *Pro eo quod fuisti derelicta, et odio habita, et non erat qui succurreret. Et ponam te exsultationem æternam, gaudium generationum generationibus. Et suges lac gentium, et divitias regum comedes. Et scies quia ego Dominus qui salvo te, et qui eruo te Deus Israel*

B *Διὰ τὸ γενέσθαι σε ἐγκαταλελειμμένην, καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεῶν. Καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι. Καὶ γνώσῃ ὅτι ἐγὼ Κύριος ὁ σώζων σε, καὶ ὁ ἐξαιρούμενός σε ὁ Θεὸς Ἰσραήλ.*

« Eras enim, inquit, derelicta et odio habita, et non erat qui succurreret. » Hæc causa humilitatis tuæ exstitit. Nam debacchata es in eum qui evehere et felicitatem tibi incolumem servare potest; sed nemo fuit qui manum porrigeret auxiliatricem, eo quod Deo invisa eras. Debacchata es enim non in unum aliquem in servili conditione locatum, aut ministri munus obeuntem, sed in ipsum universorum Regem ac Dominum. At quoniam semel **851** humiliationem hanc passa es, hæc molesta præteribunt, et posteriori beneficio te in pristinum statum restituet. Quemadmodum enim par erat, divina Dei sententia, te inobedientem puniri; sic conversam te misericordiam invenire convenit. « Ponam te igitur, inquit, exsultationem æternam. » Nihil est enim triste in Ecclesia Christi. Ubi enim omnino spes est incorruptionis, et æternæ vitæ, et sempiternæ gloriæ, ac regni cœlorum, quomodo mœstitiæ locus esse potest? « Et suges lac gentium, et divitias regum comedes. » Videtur nonnullis sensus propheticus tale quid docere : multos ex grege ac numero Græcorum, Scripturis divinitus inspiratis eruditos et tractandorum dogmatum intelligentia præditos, fore doctores Judaicæ Synagogæ. Sed aliorsum videtur hæc oratio tendere, nec hanc viam esse et progressum hujus sententiæ, illudque potius velle denotare; cumulandos esse eos fructuum oblationibus et regiis donariis gentium. Idque verum esse ostendit ipsa rerum experientia. His ita absolutis : « Ego, inquit, Dominus qui servo te. » Nam, ut propheta Isaias ait : « Nisi Dominus Sabaoth reliquisset nobis semen, quasi Sodoma fuissemus et quasi Gomorrhæ similes [14]. » Gratia enim et humanitate Dei servatæ sunt reliquiæ Israelis, ne in totum illa gens ex sanctis orta patribus disperiret.

« Γέγονας μὲν γάρ, φησὶν, ἐγκαταλελειμμένη, καὶ μεμισημένη, καὶ οὐκ ἦν ὁ βοηθῶν· » Αὕτη σοι πρόφασις τῆς ταπεινώσεως ἦν, πεπαρῴνηκας γὰρ εἰς τὸν ὑψοῦν δυνάμενον, καὶ ἀκράδαντόν σοι φυλάξαι τὸ εὐημερεῖν, ἀλλ' οὐδεὶς ἦν ὁ χεῖρα νέμων ἐπίκουρον, ἐπείπερ ἦσθα θεομισής· πεπαρῴνηκας γὰρ οὐκ εἰς ἕνα τινὰ τῶν ἐν τάξει κειμένων οἰκετικῇ, καὶ διακονικὴν ἐχόντων τὴν λειτουργίαν, ἀλλ' εἰς αὐτὸν τὸν
C τῶν ὅλων βασιλέα καὶ Κύριον. Ἐπειδὴ δὲ ἅπαξ πέπονθας τὴν ταπείνωσιν παρελάσει τὰ μοχθηρά, καὶ τοῖς δευτέροις ἀνακτήσεταί σε. Ὥσπερ γὰρ ἀπειθήσασαν ἔδει κολάζεσθαι ψήφῳ δικαίᾳ Θεοῦ, οὕτως ἐπιστρέψασαν ἐλεεῖσθαι πρέπει. « Θήσω σε τοίνυν, φησὶν, εὐφροσύνην γενεαῖς γενεῶν· » στυγνὸν γὰρ οὐδὲν ἐν Ἐκκλησίᾳ Χριστοῦ, ὅπου δὲ ὅλως ἐλπὶς ἀφθαρσίας, καὶ ἀτελευτήτου ζωῆς, καὶ ἀμηρύτου δόξης, καὶ βασιλείας οὐρανῶν, ποῖον ἂν ἔχοι τὸ κατηφές; Καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι. Καὶ δοκεῖ μέν τισι τοιοῦτόν τι διδάσκειν τῆς προφητείας ὁ νοῦς, ὅτι πολλοὶ τῶν ἐξ ἀγέλης Ἑλληνικῆς σεσοφωμένοι τὸν νοῦν ταῖς θεοπνεύστοις Γραφαῖς, καὶ δογματικῆς εὐτεχνίας εἰς γνῶσιν ἀναπηδήσαντες, ἔσονται διδάσκαλοι τῆς ἐξ Ἰουδαίων Συναγω-
D γῆς. Δοκεῖ δέ πως εἰς τὸ παρὸν ὁ λόγος, οὐχὶ ταύτην ἰέναι μᾶλλον τῶν ἐννοιῶν τὴν ὁδόν, ἐκεῖνο δὲ ἴσως βούλεσθαι καταδηλοῦν, ὅτι ταῖς ἐξ ἐθνῶν καρποφορίαις, καὶ βασιλικοῖς ἀναθήμασιν ἐμπλησθήσεται. Διαδείκνυσι γὰρ ἀληθὲς ὂν καὶ τοῦτο τῶν πραγμάτων ἡ πεῖρα. Τούτων δὲ οὕτω τετελεσμένων φησίν, ὅτι « Ἐγὼ Κύριος ὁ σώζων σε. » Ὡς γὰρ ὁ προφήτης φησὶν Ἡσαΐας· « Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. » Χάριτι γὰρ καὶ φιλανθρωπίᾳ Θεοῦ σέσωσται τὸ κατάλειμμα τοῦ Ἰσραήλ, ὥστε μὴ εἰσάπαν ἀπολέσθαι τὸ ἐξ ἁγίων πατέρων ἔθνος.

[12] Psal. LXXXVI, 3. [13] Psal. CXXXI, 14-16. [14] Isa. I, 9.

Καὶ ἀντὶ χαλκοῦ οἴσω σοι χρυσίον, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύριον, ἀντὶ δὲ ξύλων, οἴσω σοι χαλκὸν, ἀντὶ δὲ λίθων, σίδηρον. Καὶ δώσω τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ. A

Δέχεται μὲν τὰς ὕλας ὡς ἐν τάξει παραδειγμάτων, πλείστην ὅσην ἐχούσας τὴν πρὸς ἀλλήλας διαφοράν. Σημαίνει δέ τι πλαγίως πνευματικὸν καὶ βαθύ. Βούλεται γὰρ εἰπεῖν ὅτι πάντα πρὸς τὰ ἀμείνω μεταστήσεται, καὶ τῶν πρώτων διοίσει τὰ δεύτερα. Παραχωρήσει γὰρ πάντως ἡ ἐν νόμῳ παίδευσις τῇ διὰ Χριστοῦ, τουτέστι τοῖς εὐαγγελικοῖς θεσπίσμασι, καὶ τοσοῦτον ἔσται τὸ μεταξὺ, ὅσονπερ ἂν καὶ εἰ τὸ διὰ μέσου χαλκοῦ καὶ χρυσοῦ. Χρυσοφανὴς μὲν γὰρ ὁ χαλκὸς, πλὴν οὐκ ἔστι χρυσὸς, ἀργυροφανὴς δὲ καὶ ὁ σίδηρος, ἔνεστι γὰρ τὸ λαμπρὸν αὐτῷ, πλὴν οὐκ B ἄργυρος, ἀλλ' ἡττᾶται πολὺ τοῦ προὔχοντος. Οὐκοῦν τὴν ἐν νόμῳ παίδευσιν παρεικάσαι τις δύναιτ' ἂν χαλκῷ, χρυσῷ γε μὴν τὴν διὰ Χριστόν· καὶ πάλιν τῆς ἐν νόμῳ πολιτείας τὴν δύναμιν παρεικάσαι τις ἂν σιδήρῳ, μεμετρημένον ἔχοντι τὸ φαιδρὸν, τήν γε μὴν ἐν Χριστῷ καὶ εὐαγγελικὴν, ἀργύρῳ μᾶλλον· τελεωτάτην γὰρ ἔχει φαιδρότητα, νοητῶς. Ταύτητοι, καὶ ὁ πάνσοφος Παῦλος, καίτοι πλεῖστον ὅσον ἐσχηκέναι λέγων διὰ τῆς ἐν νόμῳ ζωῆς τὸ καύχημα, γνώσεώς τε τῆς ὑπ' αὐτοῦ, σκύβαλα μὲν ἡγεῖτο τὰ πάντα, Χριστὸν δὲ κερδαίνειν ἤθελε, καὶ τὸ ὑπερέχον τῆς γνώσεως αὐτοῦ. Ξύλα δὲ καὶ λίθοι χρήσιμα πρὸς οἰκοδομήν· εὑρήσομεν δὲ τὸν πάνσοφον Παῦλον τῆς παρά τινων μυσταγωγίας τὴν δύναμιν ταύταις C παρεικάζοντα ταῖς ὕλαις. « Εἰ γάρ τις, φησὶν, ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον, ξύλα, χόρτον, λίθους, καλάμην. » Τούτου δὲ οὕτως ἔχοντος, ἐκεῖνό φαμεν, ὅτι τῶν Γραμματέων, καὶ Φαρισαίων ἡ διδασκαλία, ἤγουν καθάπαξ τῶν ἀπίστων Ἰουδαίων ἡ ὑφήγησις, οὐ συνιέντων ὅλως τὸ Χριστοῦ μυστήριον, ὅτι μηδὲ πεπιστεύκασιν εἰς αὐτὸν, παρεικάζοιτο ἂν ξύλοις τυχὸν, καὶ λίθοις, ἡ δὲ ἐν Χριστῷ, καὶ εὐαγγελικὴ, τοσοῦτον ἔχει τὸ ἄμεινον, ὅσον χαλκὸς καὶ ξύλον, σιδηρός τε πρὸς λίθον. Εὐδιάθρυπτα μὲν γὰρ τὰ παρ' ἐκείνοις ἦν διδάγματά τε καὶ ἐνθυμήματα, στερεὰ δὲ, καὶ οἷον ἄθραυστα μετὰ τοῦ λαμπροῦ, καὶ τιμίου, τὰ τῶν ἐν Χριστῷ. Ἰουδαῖοι μὲν γὰρ ἐκπίπτουσιν εἰς γενεαλογίας, καὶ μύθους ἀπεράντους τοῖς ὑπὸ χεῖρα λαοῖς ἐξηγούμενοι, λήρους τε τινὰς ἐμπλέ- D κοντες, καὶ γραώδη τερετίσματα· οἱ δὲ τὸν Χριστὸν φοροῦντες εἰς νοῦν, πᾶσαν ὁδὸν εὐτεχνίας ἁγιοπρεποῦς τοὺς ὑπὸ χεῖρα διδάσκουσι, καὶ δογματικῆς ἀκριβείας ἀποφέρουσιν ἐραστὰς, καὶ ἁπάσης ἀρετῆς ἐργάτας τοὺς προσιόντας αὐτοῖς· διαδείκνυσι δέ πως εὐθὺς τὸ ἐπενηνεγμένον, ὅτι τοῦτον ἔχει τὸν σκοπὸν τῆς προφητείας ὁ νοῦς. « Δώσω γάρ, φησὶ, τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ. » Ὡς γὰρ τῶν πρώτων, φησὶν, ἐξωσμένων, ἑτέρους ἀνίστησιν ἄρχοντάς τε καὶ ἐπισκόπους λαῶν ὁ τῶν ὅλων Σωτὴρ διαπρέποντας ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ. Εἰρηνεύουσι γὰρ πρὸς Θεὸν, οἱ τὰ

VERS. 17. *Et pro ære afferam tibi aurum, pro ferro feram tibi argentum, pro lignis feram tibi æs, pro lapidibus ferrum. Et dabo principes tuos in pace, et episcopos tuos in justitia.*

Materias sumit exempli loco, quæ multum inter se differunt. Significat autem oblique quiddam spirituale et profundum. Vult enim dicere omnia in melius esse convertenda, et primis præstantiora fore secunda. Cedet enim omnino legalis institutio Christianæ, id est, evangelicis oraculis; et tantum erit intervallum, quantum inter æs et aurum interest. Æs enim speciem auri habet, verum non est aurum. Argento simile est ferrum, inest enim ei quiddam lucidum, verum non est argentum, sed præstantiori multum cedit. Legalem itaque institutionem comparare quis poterit **852** æri, Christianam auro. Rursus legalem politiam comparare quis poterit ferro, quod mediocrem quemdam habet splendorem, ac Christianam et evangelicam, argento potius; perfectissimum enim habet splendorem intelligibiliter. Hinc sapientissimus Paulus, etsi dicat se habere unde gloriari possit propter vitam in lege transactam, ejusque cognitionem, pro stercoribus tamen ducit omnia; Christum autem lucrari volebat, et cognitionis ejus præstantiam [15]. Ligna et lapides ad ædificationem quidem conferunt; inveniemus tamen sapientissimum Paulum quorumdam mystagogiæ vim cum his materiis comparare. « Si quis enim, inquit, superstruat fundamento ligna, fenum, lapides, stipulam [16]. » Quod cum ita se habeat, illud dicimus, Scribarum et Pharisæorum doctrinam, vel in universum infidelium Judæorum enarrationem, qui omnino Christi mysterium non intelligunt, ut qui in ipsum non crediderunt, comparari posse lignis et lapidibus; Christi autem et evangelicam tanto esse meliorem, quanto ligno æs, ferrum lapidi antecellit. Illorum enim documenta et inventa fragilia erant : at quæ in Christo sunt, solida exsistunt et infracta, illustria quoque et magnifica. Judæi enim delabuntur in genealogias, et fabulas infinitas populo suo exponunt, nugas etiam quasdam intertexunt, et aniles cantilenas [17]. At qui Christum gerunt in animo, omnem viam sancti artificii suos docent, et exactæ dogmatum peritiæ studiosos reddunt, et omnis virtutis operarios, quicunque ipsos adeunt. Hunc esse scopum propheticæ sententiæ, declarat statim quod infertur. « Dabo enim, inquit, principes tuos in pacem, et episcopos tuos in justitiam. » Perinde enim, inquit, ac primi expulsi essent, alios principes et episcopos populorum excitat universorum Servator, et pace et justitia præcellentes. Pacem enim habent apud Deum, qui student ea sapere quæ illi placent, et qui justitiæ ornamentis coronati sunt. Tale quid alibi quoque dixit propheta Isaias, imo per prophetam Deus, ad matrem Ju-

[15] Philipp. III, 8. [16] I Cor. III, 12. [17] I Tim. I, 4.

dæorum, dico Jerusalem: « Et inducam manum meam super te, et excoquam ad purum; infideles autem perdam, et auferam **853** omnes iniquos a te, et omnes superbos deprimam, et præficiam judices tuos ut prius, et consiliarios tuos ut ab initio. Et deinceps vocaberis civitas justitiæ, metropolis fidelis Sion [18]. » Quin et Servator ipse reprehendit Judæorum præfectos, dicens: « Amen, amen dico vobis, tolletur a vobis regnum cœlorum, et dabitur genti alteri ferenti fructus ejus [19]. »

A αὐτῷ δοκοῦντα φρονεῖν σπουδάζοντες, καὶ τοῖς τῆς δικαιοσύνης αὐχήμασι στεφανούμενοι. Ἔφη τι τοιοῦτον ἑτέρωθί που πάλιν ὁ προφήτης Ἡσαΐας, μᾶλλον δὲ διὰ τοῦ προφήτου Θεὸς πρὸς τὴν τῶν Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Ἱερουσαλήμ· « Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ πυρώσω εἰς καθαρὸν, τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ, καὶ πάντας ὑπερηφάνους ταπεινώσω καὶ ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπ' ἀρχῆς, καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιών. » Ναὶ μὴν καὶ αὐτὸς ὁ Σωτὴρ τοῖς Ἰουδαίων καθηγηταῖς ἐπετίμα λέγων. « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ δοθήσεται ἔθνει ἑτέρῳ, ποιοῦντι τοὺς καρποὺς αὐτῆς. »

B

TOMUS V.

VERS. 18. *Et non audietur ultra injustitia in terra tua, neque contritio, neque miseria in finibus tuis; sed vocabuntur salus muri tui, et portæ tuæ sculptura.*

Magnam habet probabilitatem oratio. Si enim principes ejus in pace et episcopi laudibus justitiæ excellant, valebit etiam semper hoc apud subditos, ut in omni justitia et pietate Christiana vitam transmittere contendant. « Non erit, inquit, contritio in finibus tuis. » Contritionem hic vocat vim contra submissos et infirmos. Ejusmodi enim homines facile patent incursionibus, et prostant diripere volentibus, tanquam præda, promptissime. Injusti autem olim et violenti fuerunt Judaicæ Synagogæ duces: ac legibus divinis obnitentes, perversa ferebant in re quaque judicia. Sæpe igitur eos Litteræ sacræ incusant, ut qui summa impietate ad hunc lapidem impingerent, ita ut intolerandis criminibus conspicerentur impediti. Alicubi enim dicit: Præfecti ejus ob dona judicabant, et prophetæ ejus propter argentum vaticinabantur [20]. Psallit etiam divinus David: « Contritio et miseria in viis eorum, et viam pacis non cognoverunt, non est timor Dei ante oculos eorum [21]. » Reprehendebat et eos qui jejunaverant universorum Deus, sic dicens: « In diebus enim jejuniorum vestrorum, invenitis voluntates vestras, et omnes subditos affligitis judicio et pugnis, jejunatis et **854** percutitis pugnis humilem [22]. » Præterea voce Isaiæ: « Concupiverunt agros, et diripuerunt orphanos, et domos occuparunt, et diripuerunt virum et domum ejus, virum et hæreditatem ejus [23]. » Postquam vero hi esse desierunt, et eorum loco excitatus est sanctorum apostolorum chorus; et qui post illos eorum vestigia sequi studentes, recte secant veritatis sermonem [24], optimique fiunt subjectæ plebis pædagogi: hinc nec sine causa dicit non ultra in terra eorum auditum iri injustitiam, sed nec contritionem nec miseriam; sed vocandos esse muros ejus salutare, et portas sculpturam. Muros, ut ego arbitror, dicit sanctos

ΤΟΜΟΣ Ε'.

Καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου, οὐδὲ σύντριμμα, καὶ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου, ἀλλὰ κληθήσεται σωτήριον τὰ τείχη σου, καὶ αἱ πύλαι σου γλύμμα.

Καὶ πολύ γε τὸ εἰκὸς ὁ λόγος ἔχει. Εἰ γὰρ οἱ ἄρχοντες αὐτῆς ἐν εἰρήνῃ, καὶ διαπρέποντες ἐν αὐχήμασι δικαιοσύνης οἱ ἐπίσκοποι, κρατήσει πάντως, που, καὶ παρὰ τοῖς ὑπεζευγμένοις τὸ ἐν ἁπάσῃ δικαιοσύνῃ, καὶ εὐσεβείᾳ τῇ κατὰ Χριστὸν ἐπείγεσθαι διαβιοῦν. « Οὐκ ἔστι δὲ, φησὶν, οὐδὲ σύντριμμα ἐν τοῖς ὁρίοις σου. » Σύντριμμα δέ φησι τὴν πλεονεξίαν, τὴν κατά γε τῶν ἐν ὑφέσει, καὶ ἀσθενείᾳ. Εὔδρομοι γὰρ οἱ τοιοίδε, καὶ τοῖς διαρπάζειν ἐθέλουσιν ἑτοιμοτάτη πρόκεινται θήρα. Ἄδικοι δὲ καὶ πλεονέκται γεγόνασι
C κατὰ καιροὺς οἱ τῆς Ἰουδαίων Συναγωγῆς ἡγούμενοι, καὶ τοῖς θείοις νόμοις ἀντανιστάμενοι, διαστρόφους ἐποιοῦντο τὰς ἐφ' ἑκάστῳ πράγματι κρίσεις. Αἰτιᾶται γοῦν αὐτοὺς πλεισταχοῦ τὸ Γράμμα τὸ ἱερὸν, ὡς ἀνοσιότητος εἰς τοῦτο διελάσαντας μέτρον, ὥστε καὶ ἀφορήτοις ἐγκλήμασιν ἐνόχους ὄντας ὁρᾶσθαι· ποτὲ μὲν γάρ φησιν, ὅτι οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκριναν, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο. Ψάλλει δὲ καὶ ὁ θεσπέσιος, « Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν, οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. » Ἐπετίμα δὲ καὶ νενηστευκόσιν ὁ τῶν ὅλων Θεὸς, οὕτω λέγων· « Ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν, εὑρίσκετε τὰ θε-
D λήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑπονύσσετε εἰς κρίσεις, καὶ μάχας, νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν· » καὶ προσέτι τούτοις διὰ τῆς Ἡσαΐου φωνῆς· « Καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρπαζον ὀρφανοὺς, καὶ οἴκους κατεδυνάστευον, καὶ διήρπαζον ἄνδρα καὶ τὸν οἶκον αὐτοῦ, ἄνδρα καὶ τὴν κληρονομίαν αὐτοῦ. » Ἐπειδὴ πέπαυται μὲν τὰ ἐκείνων, ἀντεγήγερται δὲ τῶν ἁγίων ἀποστόλων ὁ χορὸς, καὶ οἱ μετ' ἐκείνους ἔτι τοῖς αὐτῶν ἴχνεσι κατακολουθεῖν σπουδάζοντες ὀρθοτομοῦσι μὲν τῆς ἀληθείας τὸν λόγον, ἄριστοι δὲ τῶν ὑπὸ χεῖρα γεγόνασι παιδαγωγοί. Ταύτητοι, καὶ μάλα εἰκότως οὐκ ἔτι μὲν ἀδικίαν ἐν τῇ γῇ αὐτῶν ἀκουσθήσεσθαί φησιν, ἀλλ' οὐδὲ

[18] Isa. I, 25, 26. [19] Matth. XXI, 43. [20] Mich. III, 11. [21] Psal. XIII, 3. [22] Isa. LVIII, 3, 4. [23] Isa. X, 2. [24] II Tim. II, 18-25.

σύντριμμα, καὶ ταλαιπωρίαν· κληθήσεσθαι δὲ μᾶλλον A σωτήριον τὰ τείχη αὐτῆς, γλύμμα δὲ καὶ τὰς πύλας, τείχη δὲ, ὥς γε οἶμαι, φησὶ τοὺς ἁγίους παιδαγωγοὺς, δογματικαῖς τε καὶ ἠθικαῖς εἰσηγήσεσιν ἀσφαλιζομένους τὴν Ἐκκλησίαν, ὥστε καὶ ἀνάλωτον εἶναι τοῖς ἐχθροῖς, κἂν εἴτε τινὲς εἶεν ὁρατοὶ, εἴτ' οὖν καὶ ἀόρατοι. Οἱ αὐτοὶ δ' ἂν εἶεν καὶ πύλαι, ἅτε δὴ καὶ εἰσαγωγικῷ χρώμενοι λόγῳ, καὶ εἰσφέροντες διὰ πίστεως εἰς ἐπίγνωσιν ἀληθείας τοὺς ἔξω τέως ὄντας αὐτῆς. Γλύμμα δὲ ὅτι περικαλλὴς ἦν ἄγαν ὁ λόγος αὐτοῖς, καὶ οἷον εἰς ἀλήθειαν ἐκτετορνευμένος· εὐπρεπὲς γὰρ ἅπαν τὸ γεγλυμμένον· καὶ οἱ μὲν Ἑβδομήκοντα ταύτην δεδώκασι τὴν ἑρμηνείαν, οἱ δὲ ἕτεροι τῶν ἑρμηνευτῶν, ἀντὶ τοῦ γλύμμα τεθείκασι τὸν Ἰησοῦν. Ἔστι δὲ καὶ τοῦτο ἀληθές. Ὡραῖος γὰρ κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων κεχρημάτικέ B τε καὶ ἔστι, τείχη δὲ αὐτὸν, καὶ πύλας πεπλουτήκαμεν. Ἀσφαλίζεται γὰρ ἡμᾶς ἀῤῥήτῳ δυνάμει, καὶ ταῖς τῶν ἁγίων ἀγγέλων ἐπικουρίαις· « Ἐντελεῖται γὰρ, φησὶ, τοῖς ἀγγέλοις αὐτοῦ περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου· » καὶ « Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύεται αὐτούς. » Ἐρχόμεθα δὲ δι' αὐτοῦ εἰς ἐπίγνωσιν τοῦ Πατρὸς, καὶ γέγονε πρὸς τοῦτο καὶ θύρα, καὶ πύλη, καὶ ὁδός. Ἔφη γοῦν ὅτι « Ἐγώ εἰμι ἡ θύρα, καὶ ἡ ὁδὸς, καὶ οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ. » Ἔστι δὲ καὶ γλύμμα, τουτέστιν ἡ μορφὴ, καὶ τὸ εἶδος τοῦ τεκόντος αὐτὸν, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καὶ εἰκὼν, καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ.

pædagogos, qui dogmatum et moralium præceptorum doctrinis Ecclesiam muniunt, ut capi non possit ab hostibus, sive illi sint aspectabiles, sive inaspectabiles. Idem possunt etiam esse portæ ut qui isagogicis utantur sermonibus seu institutionibus, et per fidem adducant ad agnitionem veritatis eos qui tum ab ea fuerunt alienati. Sculpturam autem quod pulchra et elegans sit eorum oratio, et ad veritatem quasi tornata. Speciosum est enim admodum, quod est cælatum et politum. Et hanc quidem interpretationem dederunt Septuaginta. Alii interpretes pro γλύμμα posuerunt Jesum. Est autem illud quoque verum. Speciosus enim forma præ filiis hominum [25] et nuncupatur et est, illumque tanquam muros et portas possedimus. Munit enim nos ineffabili potentia, et sanctorum angelorum præsidiis. « Mandabit namque, inquit, angelis suis de te, ut custodiant te in omnibus viis tuis [26]. » Et: « Castra ponet angelus Domini circa timentes se, et eruet eos [27]. » Ac per illum ingredimur ad agnitionem Patris, et exstitit ad hæc ostium, et porta, et via. Dixit siquidem: « Ego sum ostium, et via, et nemo venit ad Patrem, nisi per me [28]. » Est etiam sculptura seu forma et species ejus qui genuit, et character substantiæ ejus, et imago, atque splendor gloriæ ejus.

Καὶ οὐκ ἔσται σοι ὁ ἥλιος εἰς φῶς ἡμέρας, C *οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σοι τὴν νύκτα, ἀλλ' ἔσται σοι Κύριος φῶς αἰώνιον, καὶ ὁ Θεὸς δόξα σου. Οὐ γὰρ δύσεται ὁ ἥλιός σοι, καὶ ἡ σελήνη οὐκ ἐκλείψει. Ἔσται γάρ σοι Κύριος φῶς αἰώνιον.*

Βούλονταί τινες διὰ τῆς τῶν προκειμένων ἐννοίας ἀποφέρειν ἡμᾶς εἴς γε τὸ χρῆναί τι τοιοῦτον ὑπονοεῖν. Ἐν ἐσχάτοις γὰρ τοῦ αἰῶνος καιροῖς ἐγηγερμένων τῶν ἐν γῇ κειμένων, καὶ καταφοιτήσαντος ἐξ οὐρανοῦ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ μετὰ τῶν ἁγίων ἀγγέλων ἐν τῇ δόξῃ τοῦ Πατρὸς, ἀπρακτήσει μὲν ἡ τῶν στοιχείων λαμπρότης, καινοὺς δὲ οὐρανοὺς, καὶ καινὴν γῆν, καὶ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν, κατὰ τὸ γεγραμμένον. Ἔφη δέ τι τοιοῦτον καὶ αὐτὸς ὁ Σωτὴρ, ὅτι « Ἐν ταῖς ἡμέραις ἐκεί- D ναις ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. » Ἀρκέσει γὰρ τοῖς ἁγίοις εἰς φωτισμὸν αὐτὴ τοῦ Σωτῆρος ἡ δόξα. Ἀλλ' ἵνα δοκῇ πως ἕπεσθαι τῇ τῶν ἀνόπιν ἐννοίᾳ τὰ προκείμενα, τὴν ἑρμηνείαν ἐπαινέσαντες ταυτηνὶ, καὶ ἕτερόν τι δηλοῦσθαί φαμεν διὰ τῶν προκειμένων στίχων. Φῶς μὲν γὰρ τὸ ἡλιακὸν, καὶ προσέτι τὸ σεληνιαῖον, χρειῶδές τε καὶ ἀναγκαῖόν ἐστι τοῖς τοῦ σώματος ὀφθαλμοῖς. Ἀλλ' ἐν νυκτὶ μὲν τὸ ἡλιακὸν συστέλλεται φῶς, ἐν ἡμέρᾳ δὲ τὸ σελήνης. Παραλλὰξ γὰρ ἀλλήλοις παραχωροῦσι τὸ φαίνειν. Τὸ δέ γε θεῖον καὶ νοητὸν, ὃ ταῖς τῶν πιστευσάντων καρδίαις ἐνίησι, φησὶν, ὁ τῶν ὅλων Σωτὴρ διὰ τοῦ ἁγίου Πνεύματος,

VERS. 19, 20. *Et non erit tibi sol in lucem diei, neque lunæ ortus collustrabit te noctu: sed erit tibi Dominus lux æterna, et Deus gloria tua. Non enim occidet sol tibi, et luna te non deficiet. Nam erit tibi Dominus lux æterna.*

855 Volunt quidam ex sententia horum verborum nos adducere, ut tale quiddam intelligamus. Extremis enim sæculi temporibus, excitatis his qui in terra jacent, et descendente de cœlo omnium nostrum Servatore Christo, cum sanctis angelis in gloria Patris, irritus fiet elementorum splendor, novosque cœlos, ac novam terram et promissiones ejus exspectamus, secundum id quod scriptum est. Tale quid dixit etiam Servator noster: « In diebus illis sol obtenebrabitur, et luna non dabit lumen suum [29]. » Satis enim erit sanctis ad illuminationem ipsa Servatoris gloria. Sed quo posita verba cum superiorum sententia cohærescere videantur, interpretationem hanc laudamus quidem, sed aliud quiddam his versibus significari dicimus. Lux enim solaris et præterea lunaris, perutile quiddam est et necessarium corporeis oculis; sed noctu lux solis contrahitur, interdiu lunæ. Alternis enim vicibus lucent. Atqui lux divina et intelligentia percepta, quam credentium cordibus immittit universorum Servator, per Spiritum sanctum et per eos qui mysteria norunt tradere, inexstincta erit, et jugis et semper lucida; adeo ut cujus-

[25] Psal. XLIV, 3. [26] Psal. XC, 11. [27] Psal. XXXIII, 8. [28] Joan. X, 9; XIV, 6. [29] Matth. XXIV, 29.

que mens nec solis opera, nec lunæ opus habeat ad illuminationem et visus recuperationem. Non enim luce sub sensu cadente illustratur mens; sed potius sancti Spiritus illustratione et splendore contenta est ad perspiciendam et intuendam Christi gloriam, utque scire possit quantum habeat cum Patre suo similitudinem, substantiæ scilicet ratione, et quonam sit optimæ vitæ iter certe cognoscere. Factus est igitur nobis lux æterna Salvator. Idque perspicuum facit, dicens: « Ego sum lux mundi [30]. » Et rursus: « Cum in mundo sum, lux sum mundi [31]. » — « Qui sequitur me, non ambulabit in tenebris, sed habebit lucem vitæ [32]. »

καὶ διὰ τῶν εὖ εἰδότων μυσταγωγεῖν, ἄσβεστον ἔσται, καὶ ἀκατάληκτον, καὶ ἀειφανὲς, ὥστε μήτε ἡλίου μήτε σελήνης ἐν χρείᾳ καθεστηκέναι τὸν ἑκάστου νοῦν πρὸς φωτισμὸν, ἢ ἀνάβλεψιν· οὐ γὰρ αἰσθητῷ φωτὶ καταλάμπεται νοῦς, ἀρκεῖται δὲ μᾶλλον τῇ διὰ τοῦ ἁγίου Πνεύματος φωταγωγίᾳ, καὶ φαιδρότητι πρὸς τὸ δύνασθαι καθορᾷν τὴν δόξαν Χριστοῦ, καὶ ὅσον ἂν ἔχοι πρὸς τὸν τεκόντα αὐτὸν τὴν ἐμφέρειαν, οὐσιωδῶς δὲ δηλονότι, ναὶ μὴν καὶ τῆς ἀρίστης ζωῆς ἀπλανῶς εἰδέναι τὴν ὁδόν. Γέγονε τοίνυν φῶς αἰώνιον ἡμῖν ὁ Σωτὴρ, καὶ τοῦτο ἡμῖν ἐναργὲς καθίστησι, λέγων· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, » καὶ πάλιν· « Ὅταν ὦ ἐν τῷ κόσμῳ, φῶς εἰμι τοῦ κόσμου. » — « Ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. »

Vers. 21, 22. *Et complebuntur dies luctus tui, et populus tuus omnis justus, et in sæculum terræ hæreditatem possidebit, custodiens plantationem, opera manuum suarum in gloriam. Qui paucus est, erit in millia, et qui minimus, in gentem magnam. Ego Dominus in tempore congregabo eos.*

Καὶ ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους σου, καὶ ὁ λαός σου πᾶς δίκαιος, καὶ δι' αἰῶνος κληρονομήσουσι τὴν γῆν, φυλάσσων τὸ φύτευμα ἔργα χειρῶν αὐτοῦ εἰς δόξαν· Ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας, καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα. Ἐγὼ Κύριος κατὰ καιροὺς συνάξω αὐτούς.

Qui tempus consummationis designari aiunt, ex eo quod non ultra lumen solare et **856** lunare opus suum peragat, sed contrahatur, ut Dominus noster fiat lux æterna, dicunt lugentibus nunc, quos etiam consolandos ait Servator, finem luctus fore illo tempore. Desinent enim laborare et curis macerari, et æterna consequentur præmia. Hoc est enim, opinor, consolatione perfundi. Quoniam autem rursus tractationis et theorematum sententiam ex præcedentibus sequi oportet, illud dicimus, his qui manent ac jacent in peccatis, tristitiam propriam esse et convenientissimam. Exspectant enim non honores et coronas, non consolationem a Deo, sed potius supplicium, et ignem atque tenebras. Qui autem benefaciunt, spe gaudent [33], quemadmodum sapientissimus Paulus ait. Excipit enim ac comitatur probitatem eorum, in infinita sæcula, et gloria, et voluptas. Verum quando conversus fuerit ad Dominum etiam qui plurimis peccatis occupatus est, deinde justificatus fuerit per fidem, et remissionem criminum adeptus fuerit, exspectaveritque accipere honores sanctis destinatos, tunc cessabunt dies luctus ejus, et a sudore ac mœstitia desistet. Confirmat quasi hunc sensum, quod deinceps positum est: « Et populus tuus omnis justus, » id est, justificabitur populus quantus est futurus. Habeturque oratio tanquam ad Ecclesiam: Justificat autem impium Christus, gratia et humanitate, et ipse solvit ab omni crimine eos qui convicti sunt. Nam quis horum largitor sit, significavit, cum inquit: Custodiens plantationem, opera manuum suarum in gloriam. Plantatio enim sumus plantarum omnium nostrum Servatoris Christi, ejusque opus. Cum namque essemus oleaster, olivæ pulchræ insiti sumus, tantum non

Οἱ τὸν τῆς συντελείας καιρὸν καταδηλοῦσθαι λέγοντες διὰ τοῦ μηκέτι τὸ ἡλιακὸν, ἤτοι τὸ σεληναῖον ἐνεργῆσαι φῶς, συσταλῆναι δὲ μᾶλλον, ἵν' ὁ Κύριος ἡμῶν φῶς αἰώνιον γένηται, φασὶν ὅτι τοῖς πενθοῦσι νῦν, οὓς δὴ καὶ παρακληθήσεσθαί φησιν ὁ Σωτὴρ, τέλος ἔσται τοῦ πενθεῖν κατ' ἐκεῖνό που τοῦ καιροῦ· πεπαύσονται γὰρ τοῦ ποιεῖν ἔτι, καὶ κατατρύχεσθαι, καὶ τῶν εἰς αἰῶνα τεύξονται γερῶν. Τοῦτο γὰρ, οἶμαι, τὸ παρακληθῆναί ἐστιν. Ἐπειδὴ δὲ πάλιν τῶν θεωρημάτων ἕπεσθαι χρὴ τοῖς ἀνόπιν, ἐκεῖνό φαμεν, ὅτι τοῖς μένουσιν ἐν πλημμελείαις τὸ κατηφὲς οἰκεῖον, καὶ ἁρμοδιώτατον. Προσδοκῶσι γὰρ οὐ τιμὰς καὶ στεφάνους, οὐ παράκλησιν τὴν παρὰ Θεοῦ, κόλασιν δὲ μᾶλλον, καὶ πῦρ, καὶ σκότος· οἵ γε μὴν ὄντες ἐν ἀγαθουργίαις τῇ ἐλπίδι χαίρουσι, καθά φησιν ὁ πάνσοφος Παῦλος· διαδέχεται γὰρ τὸ ἐπιεικὲς αὐτῶν ἡ εἰς ἀπεράντους αἰῶνας δόξα, καὶ τρυφή· πλὴν ὅταν ἐπιστρέψῃ πρὸς Κύριον, καὶ ὁ πλείσταις ὅσαις ἁμαρτίαις ἐνισχημένος, εἶτα δικαιωθῇ διὰ τῆς πίστεως, καὶ κομίσηται μὲν τῶν αἰτιαμάτων τὴν ἄφεσιν, προσδοχήσει δὲ λαβεῖν καὶ τὰς τοῖς ἁγίοις ἡτρεπισμένας τιμάς. Τότε δὴ πεπαύσονται μὲν αἱ ἡμέραι τοῦ πένθους αὐτοῦ, καταλήξει δὲ ἱδρῶτος, καὶ κατηφείας, βεβαιοῖ δὲ ὥσπερ ταυτηνὶ τὴν διάνοιαν τὸ ἐφεξῆς κείμενον· « Ἔσται γὰρ, φησὶν, πᾶς ὁ λαός σου δίκαιος, » τουτέστι, δικαιωθήσεται πᾶς ὁ σοὶ ἑπόμενος λαός· ἔστι δὲ ὁ λόγος ὡς πρὸς τὴν Ἐκκλησίαν· δικαιοῖ δὲ Χριστὸς τὸν ἀσεβῆ χάριτι καὶ φιλανθρωπίᾳ, καὶ ἀνίησι παντὸς αἰτιάματος τοὺς ἁλόντας αὐτός. Τίς γὰρ ἔσται τῶν τοιούτων ὁ χορηγὸς, διαμεμήνυκεν, εἰπών· Φυλάσσων τὸ φύτευμα, ἔργα χειρῶν αὐτοῦ εἰς δόξαν. Φύτευμα γάρ ἐσμεν τῶν φυτῶν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ ἔργον αὐτοῦ· ἀγριέλαιοι γὰρ ὄντες ἐνεκεντρίσθημεν εἰς καλλιέλαιον, μονονουχὶ καὶ αὐτουργοῦντος εἰς ἡμᾶς τοῦ

[30] Joan. VIII, 12. [31] Joan. IX, 5. [32] Joan. VIII, 12. [33] I Tim. VI, 18.

Χριστοῦ· οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς A ὁ Κύριος ἔσωσεν ἡμᾶς. Ἔφη γοῦν αὐτός· « Ὁ λαλῶν πάρειμι. » — « Ἔσται δὲ, φησὶ, καὶ ὁ ὀλιγοστὸς εἰς χιλιάδας, καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα. » Νῦν μὲν γὰρ, τουτέστιν, ἐν τῷ αἰῶνι τούτῳ κέκρυπται τῶν ἁγίων ἡ δόξα, καὶ τό γε ἧκον εἰς ἀλαζονείας κοσμικὰς ἐλάχιστοί τινες εἶναι δοκοῦσιν οὐκ ἔχοντες δόξαν ἐμφανῆ. Ἐπιλάμψαντος δὲ πάλιν ἐξ οὐρανῶν τοῦ Χριστοῦ τὸ τηνικάδε, καὶ ὁ νομισθεὶς ἐλάχιστος εἶναι, καὶ ὀλιγοστὸς ἔσται εἰς ἔθνος μέγα. Καθηγήσεται γὰρ λαῶν, καὶ ἡγεμονεύσει πολλῶν, ἅτε δὴ τὸν εὐδόκιμον ἐν τῷδε τῷ βίῳ διανύσας δρόμον· καὶ τοῦτο ἔστιν ἰδεῖν ἐξ ὧν ἔφη Χριστός· τοῖς γὰρ ἀποστόλοις προσλαλῶν· « Ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου καθίσῃ, φησὶν, ἐπὶ θρόνου δόξης αὐτοῦ, τότε καὶ ὑμεῖς καθίσεσθε ἐπὶ δώδεκα θρόνων, κρίνοντες τὰς δώδεκα B φυλὰς τοῦ Ἰσραήλ. » Ἀλλὰ γὰρ καὶ ἐν τῇ τῶν ταλάντων διανεμήσει εὑρίσκεται λέγων, « Ἔσο ἐπάνω δέκα φυλῶν· » ἑτέροις δὲ τὴν μείω δίδωσι μοῖραν· « Ἔσο γὰρ, φησὶν, ἐπάνω πέντε πόλεων. » Ἰσοστατοῦσάν που πάντως ταῖς ἐπιεικείαις αὐτῶν τὴν ἀντιμισθίαν ὀρέγων, καὶ τὴν ἑκάστῳ πρέπουσαν ταλαντεύων τιμήν. Ἐπ' αὐτῷ δὴ οὖν τούτῳ χαίροντες οἱ ἅγιοί φασιν· « Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. » Τούς γε μὴν ἐλαχίστους νομισθέντας εἶναι κατὰ τὸν βίον, εἶτα γεγονότας εἰς χιλιάδας, καὶ εἰς ἔθνος μέγα. « Ἐγὼ, φησὶν, ὁ πάντων Κύριος, συνάξω κατὰ καιροὺς » τοὺς τῆς ἐξ οὐρανῶν ἐπιδημίας δηλονότι. Τότε γὰρ ἔσται τοῖς ἁγίοις ἡ παντὸς ἀπόλαυσις ἀγαθοῦ· οἳ καὶ ἁρπασθήσονται, καθά φησιν ὁ πάνσοφος Παῦλος, ἐν νεφέλαις C εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, οὕτω τε πάντοτε σὺν Κυρίῳ ἐσόμεθα ταῖς ἀτελευτήτοις ἐντρυφῶντες τιμαῖς;

operante in nobis Christo. Non enim legatus, non angelus, sed ipse Dominus servavit nos. Dixit itaque ipse : « Qui loquor, adsum [34]. » — « Qui autem paucus est, inquit, erit in millia, et qui minimus, in gentem magnam. » Nunc enim, id est, in hoc sæculo, occultata est gloria sanctorum, et si fastum mundi respicias, minimi esse videntur, qui illustrem non habent gloriam; sed rursus ubi illuxerit de cœlo Christus, tunc etiam qui habitus est, minimus et paucus, erit in magnam gentem. Præficietur enim populis et imperitabit multis, utpote in hac vita confecto cursu laudabili. Quod videre est, ex his quæ dixit Christus. Nam affatus apostolos, inquit : « Cum Filius hominis sedebit **857** in throno gloriæ suæ, tunc etiam sedebitis vos in duodecim thronis judicantes duodecim tribus Israel [35]. » Quin et in distributione talentorum invenimus eum dicere : « Esto super decem tribus; » aliis autem minorem largitur portionem. « Esto enim, inquit, super quinque civitates [36], » probitati ipsorum parem utique mercedem tribuens, et cuique convenientem talentorum honorem. Ideoque gaudentes sancti, dicunt : « Subjecit populos nobis et gentes sub pedibus nostris [37]. » Minimos autem in vita reputatos, deinde in millia et in gentem magnam amplificatos. « Ego, inquit, omnium Dominus congregabo suo tempore, » adventus scilicet de cœlo. Tunc enim sancti omni bono fruentur qui rapientur, ut sapientissimus Paulus inquit, in nubibus in occursum Domini in aerem; itaque semper cum Domino erimus [38], vel erunt, æternis circumfluentes honoribus.

Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καὶ καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας.

CAP. LXI. VERS. 1-3. *Spiritus Domini super me propter quod unxit me; evangelizare pauperibus misit me, sanare contritos corde, prædicare captivis remissionem, et cæcis visum, vocare annum Domini acceptabilem, et diem retributionis, consolari omnes lugentes, ut detur lugentibus Sion gloria pro cinere, unctio lætitiæ lugentibus, et amictus gloriæ pro spiritu mæroris.*

Ὁ ἐν τοῖς ἀνόπιν εἰπὼν περὶ τῶν ἐν πίστει κληθησομένων· « Ἐγὼ Κύριος κατὰ καιροὺς συνάξω D αὐτοὺς, » ὡς ἐνεστηκότος ἤδη τοῦ καιροῦ, καθ' ὃν ἐπήγγελται συναγείρειν αὐτοὺς, καὶ ὡς ἤδη γενόμενος ἄνθρωπος, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, καὶ καθεὶς ἑαυτὸν εἰς κένωσιν, « Πνεῦμα Κυρίου, φησὶν, ἐπ' ἐμὲ, » καίτοι φύσει Θεὸς ὑπάρχων ὁ Μονογενὴς Ἅγιος ἁγίων ἐστὶ, καὶ πᾶσαν αὐτὸς ἁγιάζει τὴν κτίσιν, ἅτε δὴ καὶ ἐξ ἁγίου Πατρὸς πεφυκὼς, καὶ τὸ ἐξ αὐτοῦ προχεόμενον Πνεῦμα, καὶ ταῖς ἄνω δυνάμεσιν ἐνιεὶς, ὡς ἑαυτοῦ, καὶ προσέτι τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Πῶς οὖν ἡγιάζετο; Θεὸς γὰρ ὑπάρχων ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς, δίδωσι μὲν θεϊκῶς τὸ πνεῦμα τῇ κτίσει, δέχεται δὲ αὐ-

Qui in superioribus dixit de vocandis per fidem : « Ego Dominus, in tempore congregabo eos [39], » veluti jam instante tempore, quo promisit eos se coacturum, et quasi factus jam homo, et similitudinem nostram suscipiens, et se ad inanitionem submittens, « Spiritus Domini, inquit, super me; » quoniam natura Deus exsistens Unigenitus Sanctus sit sanctorum, et omnem ipse naturam sanctificet, utpote ex sancto Patre natus, cumque ex se procedentem Spiritum immittat superis potestatibus suis, et porro apparitionem ipsius agnoscentibus, quomodo igitur sanctificatus est? Deus nempe cum sit idemque homo, dat spiritum creaturæ Deitatis ratione, accipit autem illum a Deo et

[33*] Isa. LXIII, 9. [34] Isa. LII, 6. [35] Matth. XIX, 28. [36] Luc. XIX, 17. [37] Psal. XLVI, 4. [38] I Thess. IV, 16. [39] Isa. LX, 22.

Patre, ratione humanitatis. Hanc dicimus esse unctionem. **858** Causamque humanitatis declarat. Cum enim dixisset, a Patre, adjunxit necessario : « Eo quod unxit me, evangelizare pauperibus misit me, sanare contritos corde, ac prædicare remissionem captivis, et cæcis visum reddere, ac præterea vocare diem retributionis. » Multa siquidem in illos exstiterunt humanitatis Unigeniti illustria specimina. Ut enim reficeret orbem, et universæ terræ incolas Deo et Patri adduceret, omnibus in melius transmutatis, et facie terræ quasi renovata, accepit formam servi [40], quamtumvis esset Dominus universorum, et fausta nuntiavit pauperibus, propterea missum se dicit. Pauperes esse et intelligi possunt, qui omnis boni laborant indigentia, nec quidquam spei habent, et sine Deo sunt in mundo, sicuti scriptum est[40*]. Hi autem sunt ex gentibus, qui fide in ipsum locupletati, divinum et cœlestem thesaurum lucrati sunt, evangelicam videlicet et salutarem prædicationem, per quam facti sunt cœlestis regni participes, et consortes sanctorum, atque hæredes eorum quæ nec mens nec oratio complecti potest. « Oculus enim, inquit, non vidit, et auris non audivit, nec in cor hominis ascendit, quæ paravit Deus diligentibus se [41]. » Vel fortassis oratio hic dicit, pauperibus spiritu donatum esse locuples charismatum per Christum ministerium. Contritos corde vocat infirmo et fracto animo præditos, et perturbationum incursionibus non valentes obsistere, itaque illis subjectos, ut captivi esse videantur. His sanationem ac medicinam promittit, ac cæcis dat visum. Nam qui creaturam colunt, et ligno dicunt: « Pater meus es tu; et lapidi : Tu genuisti me [42];» deinde natura et vere Deum non agnoverunt : quidni cæci sint, et pectus habeant luce divina et intelligibili nudum? His immittit Pater veræ Dei cognitionis lucem. Vocati sunt enim per fidem, et illum cognoverunt, imo ab ipso cogniti sunt; filiique noctis cum essent ac tenebrarum, filii lucis exstiterunt. **859** Collustravit etenim illos dies, et ortus est Sol justitiæ, et illustris apparuit Lucifer. Nihil incommodi erit, si ex sanguine Israelitico oriundis omnia dicta accommodemus. Nam erant pauperes, et contriti corde, ac velut captivi, et obtenebrati. « Non enim in terra erat quisquam qui faceret bonum, non erat usque ad unum. Omnes pariter declinaverunt, simul inutiles facti sunt [43]. » Venit autem Christus, et Israelitis ante alios nuntiavit fausta ac præclara præsentiæ suæ facinora : præterea, ut annum quoque Domini proclamaret acceptum et diem retributionis. Acceptus annus erat, quo pro nobis crucifixus est Christus. Tum enim accepti facti sumus Deo et Patri, et per ipsum fructus edidimus. Idque nos docuit ipse, dicens : « Amen, amen dico vobis : Nisi granum frumenti cadens in terram mortuum fuerit, ipsum manet solum; quod si mortuum fuerit, fructum uberiorem profert [44]. »

A τὸ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, κατὰ τὸ ἀνθρώπινον. Ταύτην εἶναί φαμεν τὴν χρῆσιν [*l.* χρίσιν]. Ἐναργῆ δὲ καθίστησι τῆς ἐνανθρωπήσεως τὴν αἰτίαν. Εἰπὼν γὰρ ὅτι παρὰ τοῦ Πατρὸς, προσεπήνεγκεν ἀναγκαίως, « Οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, ἄφεσίν τε κηρύξαι τοῖς ἐν αἰχμαλωσίᾳ, χαρίσασθαι δὲ καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι τε πρὸς τούτοις, καὶ ἡμέραν ἀνταποδόσεως· » πολλὰ κατὰ ταὐτὸν τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς τὰ περιφανῆ κατορθώματα. Ἵνα γὰρ κατακτήσηται τὴν ὑπ' οὐρανὸν, καὶ τοὺς ἀνὰ πᾶσαν ὄντας τὴν οἰκουμένην προσκομίσῃ τῷ Θεῷ καὶ Πατρὶ μεταστοιχειώσας τὰ πάντα πρὸς τὸ ἀμεινόνως ἔχειν, καὶ οἷον ἀνακαινίσας τὸ πρόσωπον τῆς γῆς, ἔλαβε δὲ δούλου B μορφὴν, καίτοι Κύριος ὑπάρχων τῶν ὅλων. Εὐηγγελίσατο γοῦν πτωχοῖς, ἀπεστάλθαι διὰ τοῦτό φησι. Πτωχοὶ δ' ἂν εἶεν, ἤγουν νοηθεῖεν, οἱ παντὸς ἀγαθοῦ νενοσηκότες ποτὲ τὴν ἔνδειαν, ἐλπίδα τε μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ, κατὰ τὸ γεγραμμένον. Οὗτοι δ' ἂν εἶεν οἱ ἐξ ἐθνῶν, οἱ τὴν εἰς αὐτὸν πίστιν πλουτήσαντες, τὸν θεῖόν τε καὶ οὐράνιον κεκερδηκότες θησαυρὸν, τὸ εὐαγγελικὸν δηλονότι, καὶ σωτήριον κήρυγμα, δι' οὗ γεγόνασι καὶ τῆς τῶν οὐρανῶν βασιλείας μέτοχοι, καὶ συμμερισταὶ τῶν ἁγίων, κληρονόμοι τῶν ὑπὲρ νοῦν καὶ λόγον. « Ὀφθαλμὸς γὰρ οὐκ εἶδε, φησὶ, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. » Ἢ τάχα που καὶ τοῖς πτωχοῖς τῷ C πνεύματι δεδωρῆσθαί φησιν ὁ λόγος ἐν τούτοις τῶν διὰ Χριστοῦ χαρισμάτων τὴν ἄφθονον χορηγίαν. Συντετριμμένους δέ φησι τὴν καρδίαν, τοὺς ἀσθενῆ καὶ εὐδιάθρυπτον ἔχοντας νοῦν, καὶ ταῖς τῶν παθῶν προσβολαῖς ἀντιφέρεσθαι μὴ δυναμένους, ὑπενηνεγμένους δὲ οὕτως αὐταῖς, ὡς αἰχμαλώτους εἶναι δοκεῖν. Τούτοις ἴασίν τε καὶ ἄφεσιν ἐπαγγέλλεται, τυφλοῖς δὲ οὖσιν αὐτοῖς δίδωσι καὶ ἀνάβλεψιν. Οἱ γὰρ τῇ κτίσει λατρεύοντες, καὶ τῷ ξύλῳ λέγοντες· « Πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με, » εἶτα τὸν φύσει, καὶ ἀληθῶς ὄντα Θεὸν οὐκ ἐπεγνωκότες, πῶς οὐκ ἂν εἶεν τυφλοὶ, καὶ φωτὸς τοῦ θείου καὶ νοητοῦ γυμνὴν ἔχοντες τὴν καρδίαν, τούτοις ἐνίησιν ὁ Πατὴρ τῆς ἀληθοῦς θεογνωσίας τὸ φῶς. Κέκληνται γὰρ διὰ πίστεως, καὶ ἔγνωσαν αὐτὸν, μᾶλλον δὲ ἐγνώσθησαν ὑπ' αὐτοῦ, καὶ υἱοὶ νυκτὸς ὄντες, καὶ σκότους, φωτὸς D γεγόνασι τέκνα· διηύγασε γὰρ αὐτοὺς ἡ ἡμέρα, καὶ ὁ τῆς δικαιοσύνης ἀνέσχεν Ἥλιος, καὶ λαμπρὸς ἀνέτειλεν Ἑωσφόρος. Λυπεῖ δὲ οὐδὲν καὶ τοῖς ἐξ αἵματος Ἰσραὴλ ἐφαρμόσαι πάντα τὰ εἰρημένα. Καὶ γὰρ ἦσαν πτωχοὶ, καὶ συντετριμμένοι τὴν καρδίαν, καὶ οἷον αἰχμάλωτοι, καὶ ἐσκοτισμένοι. « Οὐ γὰρ ἦν ἐπὶ γῆς ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνὸς, ἀλλὰ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. » Ἀφῆκται δὲ ὁ Χριστὸς καὶ πρό γε τῶν ἄλλων εὐαγγελιζόμενος τοῖς ἐξ Ἰσραὴλ τῆς ἑαυτοῦ παρουσίας τὰ κατορθώματα. Καὶ πρός γε δὴ τούτοις, ἵνα καὶ ἐνιαυτὸν Κυρίου καλέσῃ δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως. Καὶ

[40] Philipp. II, 7. [40*] Ephes. II, 12. [41] I Cor. II, 9. [42] Jer. II, 27. [43] Psal. XIII, 3. [44] Joan. XII, 24, 25.

δεκτὸς μὲν ἐνιαυτὸς, καθ' ὃν ἐσταυρώθη ὑπὲρ ἡμῶν Χριστός. Δεκτοὶ γὰρ τότε γεγόναμεν τῷ Θεῷ καὶ Πατρὶ, καὶ καρποφορηθέντες δι' αὐτοῦ, καὶ τοῦτο αὐτὸς ἡμᾶς ἐδίδαξεν, εἰπὼν, « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πλείονα φέρει. » Καὶ πάλιν, « Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Καὶ γοῦν ἀνεβίω τριήμερος πατήσας τοῦ θανάτου τὸ κράτος. Εἶτα τοῖς ἁγίοις μαθηταῖς προσεφώνει, λέγων· « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Δεκτὸς οὖν ἐνιαυτὸς ἐκεῖνός που πάντως, καθ' ὃν εἰσεδέχθημεν τὴν πρὸς αὐτὸν λαχόντες οἰκείωσιν, ἀπονιψάμενοι τὴν ἁμαρτίαν διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ τῆς θείας αὐτοῦ φύσεως γενόμενοι κοινωνοὶ διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος. Ἤγουν δεκτὸς ἐνιαυτὸς, καθ' ὃν πεφανέρωκε τὴν δόξαν αὐτοῦ διὰ τῆς ὑπὲρ λόγον θεοσημείας· ἐδεξάμεθα γὰρ ἀσμένως τὸν τῆς παρ' αὐτοῦ σωτηρίας καιρὸν, ὃν δὴ καὶ ὁ πάνσοφος Παῦλος καταμεμήνυκε λέγων· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. » ἡμέραν γε μὴν ἀνταποδόσεως εἶναί φαμεν οὐδὲν ἧττον αὐτὸν τὸν τῆς ἐπιδημίας καιρὸν, καθ' ὃν ἡ ἀνταπόδοσις δέδοται παρ' αὐτοῦ τοῖς πιστεύσασιν εἰς αὐτὸν διὰ τῆς ἐν ἐλπίσιν ἐπαγγελίας· οἷον δὲ δή τι φημί· Ἡ κατὰ τὸν Μωσέως νόμον πολιτεία ἐπαινουμένη πρόξενος ἦν τοῖς ἀμωμήτως αὐτὴν ἐθέλουσι κατορθοῦν τῆς ἐνταῦθα εὐπραγίας, ὑπόσχεσιν δὲ γερῶν τῶν εἰς τὸ μέλλον οὐκ εἶχε. Μόνης δὲ τάχα που τῆς κατὰ τόνδε τὸν βίον εὐημερίας ἐποιεῖτο μνήμην· ἐκέλευε μὲν γὰρ ἀπέχεσθαι πλημμελημάτων, ἐπιφωνῶν, ἵνα « Μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου. » Ἐπεφώνει δὲ καὶ τέκνοις· « Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. » Ἐπηγγέλλετο δὲ καὶ καρπῶν ἀφθονίαν, ἔσθ' ὅτε, καὶ πολέμου παῦλαν, καὶ εἰρήνης πλάτος, καὶ τὴν ἐπ' αὐτῆς εὐθυμίαν. Ἔφη γοῦν διὰ φωνῆς Ζαχαρίου· « Κατακάρπως κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν τῶν ἐν αὐτῇ, καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. » Καὶ πάλιν· « Ἔτι καθίσονται πρεσβύτεροι ἐν ταῖς πλατείαις Ἱερουσαλήμ. Ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἐν τῇ χειρὶ ἔχων ἀπὸ πλήθους ἡμερῶν, καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδαρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς. » Προσκαίρων οὖν ἄρα γερῶν ἀπόλαυσιν ὁ διὰ Μωσέως νόμος ὑπισχνεῖτο τοῖς πάλαι· τὸ δὲ θεῖον καὶ σωτήριον κήρυγμα τὰς εἰς τὸ μέλλον ἀνταποδόσεις· « Μακάριοι γὰρ, φησὶν, οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· » καὶ τοὺς ἐφεξῆς κειμένους μακαρισμοὺς εἴ τις ἕλοιτο πολυπραγμονεῖν ἀνταποδόσει ἐπηγγελμένας, λαμπρὰς καὶ μεγάλας εὑρήσει παρὰ

A Et iterum : « Quando de terra exaltatus fuero, omnes traham ad meipsum [45]. » Siquidem revixit tertio die, calcato mortis imperio. Deinde sanctos discipulos allocutus ait : « Data est mihi omnis potestas in cœlo et in terra. Ite, docete omnes gentes, baptizantes eos in nomen Patris, et Filii, et Spiritus sancti [46]. » Acceptus est igitur omnino annus ille, quo admissi sumus, adepti societatem cum ipso, abluto peccato per sanctum baptisma, et divinæ illius naturæ facti participes communicatione sancti Spiritus. Vel annus acceptus est, quo manifestavit gloriam suam miraculo ineffabili. Libenter enim arripuimus salutis per ipsum tempus, quod sapientissimus significavit Paulus, dicens ; « Ecce nunc tempus acceptabile, ecce nunc dies salutis [47]. »

B Retributionis diem esse nihilo secius dicimus, ipsum adventus tempus, quo retributio data est ab ipso credentibus in ipsum, ex promissione quam spes amplectitur. Quod dico, ita se habet : Legis Mosaicæ politia laudata, recte et inculpate facere volentibus, felicitatis præsentis conciliatrix erat; pollicitationem vero bonorum futurorum adjunctam non habebat, sed solummodo prosperitatem hujus vitæ **860** prædicabat; jubebat enim abstinere a delictis, acclamans : « Ne moriaris in tempore non tuo [48]. » Liberis autem aiebat : « Honora patrem tuum et matrem tuam, ut bene tibi sit, et longævus sis in terra [49]. » Interdum etiam promittebat fructuum ubertatem, et quietem a bello, ac pacis am-

C plitudinem, et inde animi tranquillitatem. Dixit siquidem voce Zachariæ : « Fructuose inhabitabitur Jerusalem a multitudine hominum et jumentorum, quæ sunt in ea. Et ego ero illi, dicit Dominus, murus ignis circumcirca, et gloria ero in medio ejus [50]. » Et iterum : « Adhuc sedebunt seniores in plateis Jerusalem, quisque virgam suam habens in manu, a multitudine dierum. Et plateæ civitatis implebuntur puerulis et puellis ludentibus in plateis ejus [51]. » Temporariam itaque præmiorum perfruitionem Mosaica lex promittebat veteribus; at divina et salutaris prædicatio, retributiones in futuro tempore. « Beati enim, inquit, pauperes spiritu, quia ipsorum est regnum cœlorum [52]. » Et, si consequentes beatitudines quis indagare velit diligen-

D ter, retributiones quæ promissæ sunt, inveniet a Deo, et illustres et magnas. Sin alio modo visum sit alicui, retributionem a Christo factam de adventus tempore interpretari, non aberrabit a scopo. Olim enim insolenter gessit se contra mortales profanissimus Satan, et orbem occupavit, a vera cognitione, Dei, inquam, naturalis segregatum ac divulsum, et in puteum quasi peccati præcipitatum, ac sui malarumque secum potestatum reddidit cultorem. Itaque dixit : « Totum orbem comprehendam manu ut nidum, et ut derelicta ova tollam : nec est qui possit me effugere, vel qui contradicat mihi [53]. »

[45] Joan. xii, 32. [46] Matth. xxviii, 18, 19. [47] II Cor. vi, 2. [48] Eccle. vii, 18. [49] Exod. xx, 12. [50] Zach. ii, 4. [51] Zach. viii, 4. [52] Matth. v, 3. [53] Isa. x, 14.

Sed deprehensus est vanas spes hac de re concepisse. Excitatus enim est contra Christus, et obluctatus est pro nobis, et pœnas impietatis in nos ab eo exegit. Omnem enim illius demolitus est fortitudinem, et tyrannide in nos exturbavit, « et rudentibus inferni detractos in Tartarum, » ut scriptum est, « tradidit cruciandos in Judicium magni diei reservari [54], » tam ipsum quam cæteros, qui cum ipso apostatæ exstiterunt. Psallit siquidem divinus David, velut sub persona redemptorum, et
861 inquit : « Confitebor tibi, Domine, in toto corde meo, narrabo omnia mirabilia tua. Lætabor et exsultabo in te, psallam nomini tuo, Altissime, quia fecisti judicium meum et causam meam. Sedisti super thronum, qui judicas justitiam, increpasti gentes, et periit impius. Nomen ejus delevisti in sæculum sæculi [55]. » Alibi rursus sic de eo : « Quæretur, inquit, peccatum ejus et non invenietur [56]. » Dixit quoque ipse Servator : « Nunc judicium est mundi hujus; nunc princeps mundi hujus ejicietur foras [57]. » Tempus igitur retributionis etiam hoc modo est quo illuxit mundo Christus. Venisse autem eum dicit, ut consoletur omnes lugentes Sion, ut det illis gloriam pro cinere, et unctionem lætitiæ, et amictum gloriæ pro spiritu mœroris. Exstiterunt enim quondam apud Judæos sancti viri et in lege docti, ac propheticorum præconiorum scrutatores et gnari. Hi cum viderent sanguine Israelitico oriundos, Mosaica præcepta parvi duxisse, et ad sua placita conversos, docereque doctrinas præcepta hominum, ac vitam legi maxime contrariam et flagitiosam vivere, tristitia quæ sanctos decet affecti sunt, ac redemptionem per Christum exspectabant. Non etenim ignorarunt, cum Spiritu afflati essent, eum, qui fide justificat impium, et qui gratia injuriarum immemori, contaminatos abstergit. Nam Simeon ille justus, Christo infante ulnis excepto, precatus est, dicens : « Nunc dimittis servum tuum, Domine, secundum verbum tuum in pace. Quia viderunt oculi mei salutare tuum, quod parasti ante faciem omnium populorum. Lumen ad revelationem gentium et gloriam populi tui Israel [58]. » Inveniemus etiam divinum Zachariam, Joannis patrem, dicere : « Benedictus Dominus Deus Israel, quia visitavit, et fecit redemptionem plebi suæ. Et erexit cornu salutis nobis [59]. » Evangelizavit item Philippus Nathanaeli, sic dicens : « Quem scripsit Moses in lege, et prophetæ, invenimus Jesum filium Josephi, a Nazareth [60]. » Scribit etiam sapientissimus Paulus : « Tristitia mihi magna est, et continuus dolor cordi, pro fratribus meis, qui sunt cognati mei secundum carnem [61]. » — « Data est igitur **862** lugentibus Sion, consolatio, » per Christum, « et pro cinere gloria. » Desierunt enim illam lugere et deflere, ceperuntque per Christum gaudium, prædicantes et

A Θεοῦ. Εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον τρόπον τὴν ἀνταπόδοσιν τὴν γεγενημένην παρὰ Χριστοῦ κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν, οὐκ ἂν ἔξω βάλοι σκοποῦ. Πάλαι μὲν γὰρ κατηλαζονεύετο τῶν ἐπὶ τῆς γῆς ὁ παμβέβηλος Σατανᾶς· πεπλεονέκτηκε γὰρ τὴν ὑπ' οὐρανὸν ἀποβουκολήσας αὐτὴν τῆς ἀληθοῦς γνώσεως τῆς ἐπί γέ φημι τῷ κατὰ φύσιν Θεῷ, τέλμασι δὲ ὥσπερ τοῖς τῆς ἁμαρτίας ἐμβαλὼν, ἑαυτοῦ τε καὶ τῶν σὺν αὐτῷ δυνάμεων πονηρῶν ἀπέφηνε προσκυνητάς. Ἔφασκε γοῦν, ὅτι « Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ, ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι· » ἀλλ' ἧλω κενὰς ἔχων ἐπ' αὐτῷ δὴ τούτῳ καὶ τὰς ἐλπίδας. Ἀντεγήγερται γὰρ, καὶ ἀντείρηκεν ὑπὲρ ἡμῶν ὁ Χριστὸς, εἰσεπράξατο
B δὲ καὶ δίκας αὐτὸν τῆς καθ' ἡμῶν ἀσεβείας, καθεῖλε γὰρ αὐτοῦ πᾶσαν ἰσχὺν, ἐκβέβληται τῆς καθ' ἡμῶν τυραννίδος, « Καὶ σειραῖς ζόφου ταρταρώσας, » κατὰ τὸ γεγραμμένον, « παρέδωκεν εἰς κρίσιν μεγάλης ἡμέρας κολασθησομένους τηρεῖν » αὐτόν τε καὶ τοὺς ἑτέρους, οἳ συναποστάται γεγόνασιν αὐτῷ. Ψάλλει γοῦν καὶ ὁ θεσπέσιος Δαβὶδ ὡς ἐκ προσώπου τῶν λελυτρωμένων, καί φησιν· « Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου. Εὐφρανθήσομαι, καὶ ἀγαλλιάσομαι ἐν σοί. Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε, ὅτι ἐποίησας τὴν κρίσιν μου, καὶ τὴν δίκην μου. Ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην· ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. « Ναὶ μὴν καὶ
C ἑτέρωθί που πάλιν φησὶ περὶ αὐτοῦ ὧδε. « Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν. » Ἔφη δὲ καὶ αὐτὸς ὁ Σωτήρ· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. » Καιρὸς οὖν ἀνταποδόσεως, καὶ κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν ἐπέλαμψε τῷ κόσμῳ Χριστός· ἐληλυθέναι δέ φησιν, ὥστε παρακαλέσαι πάντας τοὺς πενθοῦντας Σιὼν, δοῦναι αὐτοῖς δόξαν ἀντὶ σποδοῦ, καὶ ἄλειμμα εὐφροσύνης, καὶ καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας. Γεγόνασι μὲν γὰρ κατὰ καιροὺς παρὰ τοῖς Ἰουδαίοις ἄνδρες ἅγιοι, καὶ νομομαθεῖς, καὶ προφητικῶν κηρυγμάτων ἐρευνηταὶ, καὶ ἐπιστήμονες. Οὗτοι θεωροῦντες τοὺς ἐξ αἵματος Ἰσραὴλ τῆς διὰ Μωσέως ἐντολῆς ὀλίγα
D πεφροντικότας, τραπομένους δὲ μᾶλλον εἰς τὸ αὐτοῖς δοκοῦν, καὶ διδάσκοντας μὲν διδασκαλίαν ἐντάλματα ἀνθρώπων, ἐκνομωτάτην δὲ καὶ φιλαμαρτήμονα διαβιοῦντας ζωὴν, τὴν ἁγίοις πρέπουσαν ἐπ' αὐτοῖς ἐδέχοντο λύπην. Προσεδόκουν δὲ τὴν διὰ Χριστοῦ λύτρωσιν. Οὐ γὰρ ἠγνόησαν ὄντες πνευματοφόροι τὸν δικαιοῦντα πίστει τὸν ἀσεβῆ, καὶ ἀμνησικάκῳ χάριτι διασμήχοντα τοὺς μεμολυσμένους. Καὶ γοῦν ὁ μὲν δίκαιος Συμεὼν βρέφος ὄντα Χριστὸν ἐν ἀγκάλαις λαβὼν προσηύχετο λέγων· « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ

[54] II Petr. II, 4. [55] Psal. IX, 2-6. [56] Psal. X, 15. [57] Joan. XII, 31. [58] Luc. II, 29-32. [59] Luc. I, 68, 69. [60] Joan. I, 45. [61] Rom. IX, 2.

πρόσωπον παντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν A ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.» Εὑρήσομεν δὲ καὶ τὸν θεσπέσιον Ζαχαρίαν τὸν Ἰωάννου πατέρα λέγοντα· «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπισκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν.» Εὐηγγελίζετο δὲ καὶ Φίλιππος τῷ Ναθαναὴλ οὕτω λέγων· «Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, ηὕραμεν Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζάρετ.» Γράφει δέ που καὶ ὁ πάνσοφος Παῦλος, ὅτι «Λύπη μοί ἐστι καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ, ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα.» — «Δέδοται τοίνυν τοῖς πενθοῦσι Σιὼν παράκλησις,» ἡ διὰ Χριστοῦ, «καὶ ἀντὶ σποδοῦ δόξα.» Κατέληξαν μὲν γὰρ τοῦ πενθεῖν, καὶ κλαίειν αὐτήν, ἐδέχοντο δὲ τὴν διὰ Χριστοῦ χάριν, εὐαγγελιζόμενοί τε καὶ ἐπαγγέλλοντες· «Ἐδόθη B δὲ αὐτοῖς ἄλειμμα εὐφροσύνης ἀντὶ πένθους, καὶ καταστολὴ δόξης, ἀντὶ πνεύματος ἀκηδίας.» Ἄλειμμα δέ φησιν ἐν τούτοις τὸ ἱλαρόν, ἤτοι τὴν ἱλαρότητα, καὶ τὴν εὐφροσύνην, ἀντὶ τοῦ πενθεῖν, καὶ κλαίειν, καὶ δόξης καταστολήν, τουτέστι, περίβλημα, ἤγουν στολήν, καὶ ἄμφιον ἀντὶ πνεύματος ἀκηδίας, τουτέστιν, ἀντὶ τῆς πάλαι μικροψυχίας. Ἐδοξάσθησαν γὰρ οἱ πάλαι θρηνοῦντες αὐτήν· καὶ ἀκηδιῶντες ὑπὲρ αὐτῆς· ἐδοξάσθησαν δὲ πῶς; τέθεινται γὰρ αὐτῆς καθηγηταὶ καὶ διδάσκαλοι, καὶ τοῦτο ἦν ἄρα τὸ πρὸς αὐτὴν εἰρημένον διὰ τῆς τοῦ Ψάλλοντος λύρας· «Ἀντὶ τῶν πατέρων σου, ἐγενήθησάν σοι υἱοί.» Τέκνα γὰρ ὄντες τῆς τῶν Ἰουδαίων Συναγωγῆς οἱ πάνσοφοι μαθηταί, γεγόνασι πατέρες. Γράφει γοῦν τισιν ὁ πάνσοφος Παῦλος, «Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Τέθεινται οὖν ἐν τάξει πατέρων οἱ γεγονότες αὐτῆς υἱοί, ὅτι δὲ τῆς παρὰ Θεοῦ δόξης ἐσχήκασιν τὴν περιστολὴν οἱ θεσπέσιοι μαθηταί, σαφὲς ἂν γένοιτο, Χριστοῦ λέγοντος αὐτοῖς, ποτὲ μέν, ὅτι «Ἀσθενοῦντας θεραπεύετε, δαιμόνια ἐκβάλλετε, νεκροὺς ἐγείρετε·» ποτὲ δὲ πάλιν· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.»

annuntiantes Evangelium. «Data est illis pro luctu unctio lætitiæ, et amictus gloriæ pro spiritu mœroris.» Unctionem autem hic vocat, quod hilare est, seu hilaritatem et lætitiam pro luctu et fletu: et καταστολήν, id est, amictum, sive stolam, et vestimentum pro spiritu ἀκηδίας, id est, pro veteri illa animi dejectione et contractione. Nam glorificati sunt, qui olim deplorabant eam, et qui mœrore pro ea afficiebantur. Glorificati vero sunt, quomodo? Nam constituti sunt ejus præceptores et doctores. Atque hoc est quod ei dictum est lyra Psallentis: «Pro patribus tuis nati sunt tibi filii [63].» Liberi enim Judaicæ Synagogæ cum essent sapientissimi discipuli, facti sunt patres. Scribit scilicet sapientissimus Paulus: «In Christo enim Jesu per Evangelium ego vos genui [64].» Constituti quippe sunt patrum loco, qui fuerunt ejus filii. Habuisse autem divinos discipulos amictum gloriæ a Deo, clarum esse potest, dicente Christo illis alicubi: «Infirmos curate, dæmonia ejicite, mortuos excitate [65];» rursus alibi: «Vos estis lux mundi [66].»

Καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύ- C τευμα Κυρίου εἰς δόξαν. Καὶ οἰκοδομήσουσι πόλεις ἐρήμους αἰωνίας, ἐξερημωμένας πρότερον ἐξαναστήσουσι, καὶ καινιοῦσι πόλεις ἐρήμους ἐξερημωμένας εἰς γενεάς.

Χρηματίζουσι γὰρ οἱ ἐν Χριστῷ «Γένος ἐκλεκτόν, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν,» διά τοι τὸ κάλλος τῆς ἐνούσης αὐτοῖς δικαιοσύνης, καὶ οὔτι πού φημι τῆς κατὰ νόμον, ἐκείνης δὲ μᾶλλον, ἣν διὰ τῶν τοῦ Σωτῆρος ἐσχήκασι θεσπισμάτων· ἀμείνων δ' ἀσυγκρίτως ἡ διὰ Χριστοῦ τῆς ἐν νόμῳ· καὶ γοῦν ἔφη τοῖς ἁγίοις ἀποστόλοις· «Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.» — «Κεκλήσονται τοίνυν, φησί, δικαιοσύνης γενεαί, καὶ προσέτι φύτευμα Κυρίου.» D Καὶ γάρ ἐσμεν ἀληθῶς Θεοῦ γεώργιον, καὶ περὶ ἡμῶν ὁ θεσπέσιος Δαβὶδ φησι· «Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι.» Καὶ γοῦν ὁ πάνσοφος Παῦλος Θεοῦ γεώργιον ὀνομάζει τοὺς κεκλημένους διὰ πίστεως τῆς ἐν Χριστῷ. Ἔφη δὲ πάλιν, ὅτι «Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ὁ δὲ Θεὸς ηὔξανε.» Γεωργεῖ γὰρ ἡμᾶς ὁ Σωτὴρ διὰ τῶν ἁγίων μυσταγωγῶν· ταύτητοι καὶ μάλα εἰκότως φασὶν ἑαυτοὺς συνεργοὺς γενέσθαι Θεοῦ. Ψάλλει δὲ καὶ ὁ πάνσοφος Δαβίδ· «Δίκαιος

VERS. 4. *Et vocabuntur progenies justitiæ, plantatio Domini in gloriam. Et ædificabunt solitudines æternas, vastatas prius excitabunt, et innovabunt civitates desertas, vastatas in generationes.*

Nuncupantur enim qui in Christo sunt «genus electum, gens sancta, populus acquisitus [66],» propter justitiæ quæ illis inest pulchritudinem. Justitiam dico non legalem, sed potius eam, quam ex Servatoris oraculis habuerunt. Quæ in Christo est, legali justitia melior est incomparabiliter. Siquidem sanctos apostolos allocutus est: «Amen dico vobis, nisi abundaverit justitia vestra plusquam Scribarum et Pharisæorum, non ingrediemini in regnum cœlorum [67].» — «Vocabuntur igitur, inquit, progenies justitiæ, et præterea plantatio Domini.» Etenim sumus vere Dei agricultura, et de nobis divinus David ait: «Plantati in domo Domini, in tabernaculis Dei nostri florebunt [68].» Siquidem Paulus sapientissimus Dei agriculturam nominat [69], **863** qui per fidem in Christo vocati sunt. Rursus dixit: «Ego plantavi, Apollo rigavit, sed Deus incrementum dedit [70].» Colit enim nos quasi agricola Servator, per sanctos mystagogos. Unde et quidem justissime dicunt se Dei esse cooperarios. Psallit quoque David sapientissimus: «Justus ut palma florebit,

[63] Psal. XLIV, 17. [64] I Cor. IV, 15. [65] Matth. X, 8. [66] Matth. V, 14. [66] I Petr. II, 9. [67] Matth. V, 20. [68] Psal. XCI, 14. [69] I Cor. III, 9. [70] Ibid. 6.

quasi cedrus in Libano multiplicabitur[71]. » Sumus itaque plantatio Domini, et in gloriam ejus. « Ædificabunt autem, inquit, civitates desertas æternas, et innovabunt civitates desertas. » Videtur inde velle significare, vel multitudinem vocandorum tantam fore, ut et alias civitates, præter eas quæ sunt, quærant, et quæ vastatæ sunt aliquando reficiant; vel illud fortassis: In angustias enim redacti, inquit, propter multitudinem, ecclesias nudas licet et desertas olim, tale quiddam efficient, quale solent facere, qui civitates vastatas ædificant, et qui humi jacentes quodammodo excitare satagunt. Dictum est enim Ecclesiæ: « Dilata locum tentorii tui et aulatorum tuorum, fige, ne parcas[72]. Adhuc in dextris et in sinistris expande. » Veram esse de hac re prædictionem, ipse rerum eventus ostendit facillime.

VERS. 5-7. *Et venient alienigenæ pascentes oves tuas, et alienæ gentis aratores et vinitores. Vos autem sacerdotes Domini vocabimini, ministri Dei. Fortitudinem gentium comedetis, et in divitiis eorum eritis admirabiles. Pro confusione vestra duplici, et pro rubore lætabitur pars eorum, et sic terram secundo possidebunt. Et gaudium sempiternum erit super caput eorum.*

Diserte hic legis et sacerdotii in ea descripti translationem fore dicit. Non enim jam Leviticis sacrificium, non ministerii nomen aut res quadraverit; sed exclusi sunt isti, ac data est hæc gloria illis qui ex gentibus per fidem vocati sunt. Dei enim calculo coronati sunt, et ipsi constituti sunt ministri ac sacerdotes. « Venient enim, inquit, alienigenæ pascentes oves tuas. » Habetur autem hæc oratio velut ad Ecclesiam, cujus oves intelligi possunt, servatorum per fidem sancta multitudo. Hæc ab alienigenis pascitur. Olim enim Scribæ et Pharisæi, qui docendi
864 munus apud Israelitas sortiti sunt, socordes et resides ac imperitissimi pastores exstiterunt. Periit igitur ipsis subjecta multitudo, quandoquidem argentum reprobum habebant, et docebant doctrinas mandata hominum, et a Christi cognitione subditos abducebant, modo dicentes: « Nos scimus Moysi locutum esse Deum, hunc autem nescimus unde sit[73]; » modo iterum: « Dæmonium habet et insanit, quid illum auditis[74]? » Testatus est itaque voce prophetarum universorum Dominus, sic dicens: « Pastores stulti facti sunt, et Dominum non quæsierunt. Propterea non intellexit grex, et dispersi sunt[75]. » Item voce Ezechielis: « O pastores Israel, ecce lac comeditis, et oves meas non pascitis[76]; » et ad hæc: « Pulchra pascua devorastis, et reliquias conculcastis pedibus vestris. Et collectam aquam bibistis, et reliquias turbastis pedibus vestris. Oves autem meæ

A ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. » Ἐσμὲν δὴ οὖν ἄρα φύτευμα Κυρίου, καὶ εἰς δόξαν αὐτοῦ. « Οἰκοδομήσουσι δὲ, φησὶ, πόλεις ἐρήμους αἰωνίας, καὶ καινιοῦσι πόλεις ἐρήμους. » Ἔοικε βούλεσθαι διὰ τούτου δηλοῦν, ἢ τὸ πλῆθος τῶν κληθησομένων, ὡς ἔσται τοσοῦτον, ὥστε καὶ πόλεις ἑτέρας παρὰ τὰς οὔσας ἐπιζητεῖν, καὶ ἀνανεοῦν αὐτὰς ἐρημωμένας ποτέ· ἤγουν ἐκεῖνό που τάχα· Στενοχωροῦντες γὰρ, φησὶ, τῷ πλήθει τὰς ἐκκλησίας, καίτοι γυμνὰς οὔσας καὶ ἐρήμους ποτὲ, δράσουσί τι τοιοῦτον, ὁποῖον εἰώθασιν δρᾷν οἱ πόλεις ἠρημωμένας οἰκοδομεῖν ἐθέλοντες, καὶ οἷον χαμαὶ κειμένας ἐγείρειν σπουδάζοντες. Εἴρηται γοῦν πρὸς τὴν Ἐκκλησίαν· « Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ αὐλαιῶν σου πῆξον, μὴ φείσῃ· ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ
B ἀριστερὰ ἐκπέτασον. » Ἀληθῆ δὲ οὖσαν τὴν περὶ τούτου προαγόρευσιν, αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις ἐκδείξειεν ἂν, καὶ μάλα ῥᾳδίως.

Καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοί· ὑμεῖς δὲ ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ. Ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. [(1) Ἀντὶ τῆς αἰσχύνης ὑμῶν τῆς διπλῆς, καὶ ἀντὶ τῆς ἐντροπῆς ἀγαλλιάσεται ἡ μερὶς αὐτῶν, καὶ οὕτως] ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν. Καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν.

Ἐνταῦθα σαφῶς τοῦ νόμου μετάθεσιν καὶ τῆς κατ' αὐτὸν ἱερωσύνης ἔσεσθαί φησιν. Οὐ γὰρ ἔτι τοῖς αἵματος τοῦ Λευὶ τὸ ἱερουργεῖν ἁρμόσει, καὶ τὸ τῆς
C λειτουργίας ὄνομά τε καὶ χρῆμα, ἀλλ' ἐξώσθησαν μὲν ἐκεῖνοι, δέδοται δὲ τοῖς ἐξ ἐθνῶν κεκλημένοις διὰ τῆς πίστεως ἡ ἐπὶ τῷδε δόξα. Ψήφῳ γὰρ στεφανοῦνται Θεοῦ, καὶ αὐτοὶ τετάχαται λειτουργοί τε καὶ ἱερεῖς· « Ἥξουσι γὰρ, φησὶν, ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου. » Ἔστι δὲ ὁ λόγος, ὡς πρός γε τὴν Ἐκκλησίαν, ἧς ἂν νοηθεῖεν πρόβατα τῶν διὰ πίστεως σεσωσμένων ἡ ἁγία πληθύς· αὕτη ποιμαίνεται ἐξ ἀλλογενῶν. Οἱ μὲν γὰρ πάλαι Γραμματεῖς τε καὶ Φαρισαῖοι, οἱ τὸ καθηγεῖσθαι λαχόντες τῶν ἐξ αἵματος Ἰσραὴλ, ῥᾴθυμοί τε καὶ ἀναπεπτωκότες, καὶ ἀτεχνέστατοι γεγόνασι ποιμένες. Ἀπόλωλε γοῦν ἡ ὑπ' αὐτοῖς τεταγμένη πληθὺς, ἐπειδήπερ ἦν αὐτοῖς ἀδόκιμον τὸ
D ἀργύριον. Ἐδίδασκον δὲ καὶ διδασκαλίαν ἐντάλματα ἀνθρώπων, καὶ τοῦ εἰδέναι Χριστὸν ἀπεκόμιζον τοὺς ὑπεζευγμένους, ποτὲ μὲν λέγοντες· « Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί· » ποτὲ δὲ πάλιν· « Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε; » Διεμαρτύρατο γοῦν διὰ φωνῆς προφητῶν ὁ τῶν ὅλων Θεὸς, ὡδὶ λέγων, ὅτι « Οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν. Διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν· » καὶ μὴν διὰ φωνῆς τοῦ Ἰεζεκιήλ· « Ὦ ποιμένες τοῦ Ἰσραὴλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτοὺς, οὐχὶ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες;

[71] Psal. XCI, 13. [72] Isa. LIV, 2. [73] Joan. IX, 29. [74] Joan. X, 20. [75] Jer. X, 21. [76] Ezech. XXXIV, 2, 3.

(1) Quæ uncis comprehensa sunt, negat S. Hieronymus in LXX haberi. Sed et in Humfredi versione desunt.

Ἰδοὺ τὸ γάλα κατεσθίετε, καὶ τὰ πρόβατά μου οὐ βόσκετε· » ἔτι τε πρὸς τούτοις· « Τὴν καλὴν νομὴν ἐνέμεσθε, καὶ τὰ ὑπόλοιπα κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν, καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε, καὶ τὸ ἐπίλοιπον ἐταράσσετε τοῖς ποσὶν ὑμῶν, καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο, καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον. » Ὕδωρ μὲν γὰρ καθεστηκὸς τὴν διὰ νόμου παίδευσιν ὀνομάζει, καὶ ἀρίστην νομήν· οἱ δὲ πάντα φύροντες, καὶ καταθολοῦντες αὐτὴν διὰ τοῦ μὴ διδάσκειν ὀρθῶς τοὺς ὑπὸ χεῖρα λαούς, παρεσκεύαζον ὕδωρ ὥσπερ ἐκπίνειν οὐ καθαρὸν, οὔτε μὴν ἐνανθῆ νέμεσθαι νομήν. Ἐξώσθησαν τοιγαροῦν, καὶ μάλα εἰκότως, τοῦ ποιμαίνειν ἔτι τὸν τοῦ Κυρίου λαόν. Κέκληνται γὰρ πρὸς τοῦτο ἀλλογενεῖς. Διδάσκαλοι γὰρ Ἐκκλησιῶν χειροτονοῦνται παρὰ Χριστοῦ σοφοὶ, καὶ ἀγχίνοι, καὶ δογματικῆς εὐτεχνίας ἐπίμεστον ἔχοντες νοῦν, ἄνδρες ἐξ ἀγέλης ἑλληνικῆς, καὶ οὐκ ἐξ αἵματος ὄντες Ἰσραὴλ, οὗτοι γεγόνασι καὶ ἀροτῆρες, καὶ ἀμπελουργοί. Ἐπειδὴ γὰρ ἐκλεκτὴ γῆ κέκληνται πλεισταχοῦ τῆς θεοπνεύστου Γραφῆς οἱ πιστεύσαντες, καὶ ἀμπελὼν, καὶ κῆπος· ταύτῃτοί φησιν ὁ λόγος, ὡς ἀροτῆρας ἔσεσθαι, καὶ ἀμπελουργοὺς, τοὺς οἵπερ ἂν γένοιντο κατὰ καιροὺς ἱερεῖς Κυρίου καὶ λειτουργοὶ Θεοῦ, τὸν τῆς ἀληθείας ὀρθοτομοῦντες λόγον, καὶ ἱερουργοῦντες τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καθὰ γέγραπται· οὐκοῦν οὐχ ἑαυτοῖς ἁρπάζουσι τὴν τιμὴν, κέκληνται δὲ μᾶλλον παρὰ Θεοῦ, καθὼς καὶ ὁ πάνσοφός φησι Παῦλος. Καίτοι γὰρ φυλῆς ὑπάρχων Βενιαμὶν, ἱερουργὸν αὐτὸν ὀνομάζει πανταχοῦ, καὶ κλητὸν ἀπόστολον Ἰησοῦ Χριστοῦ. « Ὑμεῖς δὴ οὖν ἅπαντες οἱ τὸ τῆς ἱερουργίας λαχόντες ἀξίωμα, ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. » Ἰσχὺν δέ φησιν ἐθνῶν, ἢ τὰς τιμὰς τὰς ἐκ τῶν δυνατωτάτων, οἵπερ ἂν εἶεν ἐξ ἐθνῶν κεκλημένοι, ἢ καθ' ἕτερον συνήσεις τρόπον. « Οὐδεὶς γὰρ ὑμῶν, φησὶ, διαφεύξεται τὸ στόμα, » τουτέστι τὸν λόγον, ἀντὶ γὰρ τοῦ λόγου τὸ στόμα τίθησι πανταχοῦ τὸ Γράμμα τὸ ἱερὸν, οἷον, « Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει. » — « Καταναλωθήσεσθε τοιγαροῦν, φησὶ, τὴν ἰσχὺν τῶν ἐθνῶν. » Ἐθνῶν δὲ δύναμιν, ἢ τοὺς παρ' ἐκείνοις λαμπροὺς, ἤγουν ἐλλογιμωτάτους, καὶ σοφίαν ἔχοντας κοσμικὴν ὀνομάζειν ὁ λόγος ἔοικεν ἐν τούτοις. Εὑρήσομεν δὲ καὶ αὐτὸν τὸν τῶν ἁγίων μυσταγωγῶν κατισχύσαντα λόγον, καὶ τὴν αὐτῶν κλῆσιν πλουτήσαντες ἐδοξάσθησαν. Καύχημα γὰρ διδασκάλων, στέφανός τε καὶ δόξα, οἱ διὰ τῆς αὐτῶν σεσωσμένοι φωταγωγίας. Διὰ τοῦτό φησιν, ὅτι « Ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. » Ὅτι δὲ τὸ θεσπέσιον κήρυγμα καταδράξεται τῶν χωρῶν, καὶ παντὸς ἔθνους, καὶ μονονουχὶ κληρονόμοι τῆς ὑπ' οὐρανὸν ἔσονται κατὰ καιροὺς οἱ τῶν ἁγίων Ἐκκλησιῶν ἡγούμενοι, Χριστῷ τὴν δόξαν ἀνάπτοντες, ὑπεμφαίνει, λέγων· « Οὕτως ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν. » Πάλαι μὲν γὰρ κατεκληροδότησε τοῖς ἐξ Ἰσραὴλ Ἰησοῦς ὁ τοῦ Ναυῆ τὰς τῶν ἐθνῶν χώρας· ἔλαβον γὰρ τὴν γῆν τῶν Ἀμοῤῥαίων, καὶ Ἰδουμαίων, καὶ Εὐαίων, καὶ

A conculcationibus pedum vestrorum pascebantur, et aquam turbatam a pedibus vestris bibebant [77]. » Aquam enim collectam vocat doctrinam legis et pascuum optimum. Qui autem corrumpebant et contaminabant eam, eo quod suum populum non recte docerent, aquam non puram ad bibendum propinabant, nec florida pascua pascebant. Dejecti sunt itaque ab officio pascendi deinceps Domini populum, idque jure merito. Vocati sunt enim ad hoc alienigenæ, quippe qui doctores Ecclesiarum a Christo designati sunt, sapientes et cordati, et sana dogmatum intelligentia cumulati et instructi, et viri ex Græco grege, non ex sanguine Israel oriundi, hi exstiterunt etiam aratores et vinitores. Cum enim credentes sæpe in Scripturis divinitus inspiratis, vocati sint B electa terra, et vinea, et hortus, idcirco dicitur hac oratione, fore eos aratores et vinitores qui olim constituendi sint sacerdotes Domini et ministri Dei, verbum veritatis recte secantes [78], et Evangelium Christi ministrantes, quemadmodum scriptum est. Itaque non sibi usurpant honorem, sed vocati sunt a Deo potius [79], sicuti Paulus sapientissimus, etsi ex tribu Benjamin exstiterit, se tamen ipse ministrum et vocatum apostolum **865** Jesu Christi nominat. « Vos igitur omnes, qui ministerii dignitatem sortiti estis, fortitudinem gentium comedetis, et in divitiis eorum admirabiles eritis. » Fortitudinem gentium dicit, vel honores potentissimorum hominum, qui ex gentibus vocati sunt, vel alio modo intelliges. « Nemo C enim vestrum, inquit, effugiet os, » id est, sermonem. Pro sermone enim sæpenumero os ponunt sacræ Litteræ, exempli causa : « Quorum os maledictione et amarulentia plenum est [80]. » — « Devorabitis enim, inquit, fortitudinem gentium, » id est, Oratio vestra vincet gentium potentiam. Potentiam autem gentium vel illustres viros apud eas, vel disertissimos et mundi prudentia valentes nominare videtur hic oratio. Inveniemus autem sanctorum mystagogorum orationem prævaluisse, et qui eorum vocatione ditati sunt, gloria sunt affecti. Laus namque doctorum et corona et gloria sunt qui illorum illuminatione servati sunt. Propterea ait : « In divitiis earum admirabiles eritis. » Quod autem divina prædicatio ad regiones pertinget et ad omnem gentem, et quod D hæredes orbis terrarum futuri sunt olim sanctarum Ecclesiarum præfecti, qui Christo gloriam tribuunt, subindicat, dicens : « Sic terram secundo possidebunt. » Olim quippe sortito divisit Israelitis Jesus, filius Nave, regiones gentium ; acceperunt enim terram Amorrhæorum, Idumæorum, Evæorum et aliorum. Cum autem mundo illuxisset Christus, cujus figura erat Jesus ille antiquus, non solam Judæam suis ministris distribuit, sed et terram universam. Et hæc secunda fuit post primam divisio hæreditatis. Dispartiti sunt enim calculo et judicio ipsius regiones ac civitates mystagogi et doctores : etiamnum gaudent in Christo, et gaudio quodam spiritali

[77] Ezech. xxxiv, 18, 19. [78] II Tim. ii, 15. [79] Rom. i, 6. [80] Psal. xiii, 3.

quasi corona sunt redimiti. Estque gaudium æternum. Nam in temporariis rebus non exspectamus fore remunerationem, sed in spe longa et vita sempiterna, et in bonis cogitationem et orationem excedentibus.

Vers. 8, 9. *Ego enim sum Dominus, diligens justitiam et odio habens rapinas ex injustitia. Et dabo laborem eorum aliis, et testamentum æternum disponam eis. Et cognoscetur in gentibus semen eorum,* **866** *et nepotes eorum in medio populorum. Omnis qui viderit eos, agnoscet eos, quia illi sunt semen benedictum a Deo, lætitiam lætabuntur super Dominum.*

Cum dixerit: « Alienigenæ venturi sunt qui pascant oves tuas, et alienæ gentis aratores et vinitores, » ejectis videlicet primis, et deturbatis dominatu quem in populum obtinuerunt, cur hoc passi sint sancto calculo ac judicio ejus qui juste judicat, causas ostendit. Quia enim, inquit, amo justitiam, rapinasque ex injustitia conflatas odi, et quia isti Judaicæ Synagogæ præfecti tales fuerunt, dimisi eos et expuli. Rapientium enim injustas rapinas et laborem dabo aliis. Qui enim injuste ditescunt, et, ut propheta ait, colligunt et accumulant sibi ipsis impietatem ac miseriam, ad alios ea transmittunt. Hinc Solomon: « Divitiæ, inquit, injuste congestæ evomentur, e domo ejus trahet illas angelus. » Et iterum: « Qui congerit divitias suas per usuras et avaritiam, et qui miseretur pauperum, relinquet eas; nec utique bonis viris et misericordibus, sed potius decoctoribus [81]. » Lepide enim dixit eos misereri pauperum. Nam qui profuse vivunt, his complures agglutinantur, et una cum illis consumunt quæ multis sudoribus per nefasque sunt coacervata. De illiusmodi hominibus psallit divinus David, et inquit: « At frustra tumultuatur; thesaurizat, et nescit cui congreget ea [82]. » Præterea alio modo: Labor seu cura Scribarum et Pharisæorum aliis data est, videlicet gentium doctoribus. Christus itaque ait: « Amen dico vobis, tolletur regnum Dei a vobis, et dabitur genti facienti fructus ejus [83]. » Ergo illi, inquit, expulsi sunt. At vobis, qui ex gentibus vocati estis ad sacrum ministerium, testamentum æternum disponam: inde vel prædicationem evangelicam, vel spem sempiternam intelligens: « In gentibus, » inquit, « cognoscetur semen eorum, et progenies eorum. Quos qui viderit agnoscet quia hi sunt semen benedictum a Deo. » Nam qui institutione et doctrina filii sanctorum mystagogorum exstiterunt propter insignem probitatem et vitæ pietatem, omnibus sunt notissimi, quia pro-

A τὰς τῶν ἑτέρων. Ἐπιλάμψας δὲ τῷ κόσμῳ Χριστὸς, οὗ καὶ εἰς τύπον ἦν Ἰησοῦς ὁ πάλαι κατεκληροδότησε τοῖς ἰδίοις ἱερουργοῖς, οὐχὶ δή που μόνον τὴν Ἰουδαίαν, ἀλλὰ γὰρ ἅπασαν τὴν γῆν. Καὶ δευτέρα μετὰ τὴν πρώτην κληροδοσίαν γέγονε. Διενείμαντο γὰρ τάς τε χώρας καὶ πόλεις ψήφῳ τῇ παρ' αὐτοῦ μυσταγωγοὶ καὶ διδάσκαλοι, καὶ εἰσὶν εἰς δεῦρο χαίροντες ἐν Χριστῷ, καὶ νοητὴν εὐφροσύνην, ὥσπερ τινὰ στέφανον ἔχοντες ἐπὶ κεφαλῆς. Αἰώνιος δὲ ἡ εὐφροσύνη· οὐ γὰρ ἐν προσκαίροις πράγμασι προσδοκῶμεν ἔσεσθαι τὴν ἀντιμισθίαν, ἀλλ' ἐν ἐλπίδι μακρᾷ, καὶ ἀτελευτήτῳ βίῳ, καὶ ἐν τοῖς ὑπὲρ νοῦν καὶ λόγον ἀγαθοῖς.

Ἐγὼ γάρ εἰμι Κύριος ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. Καὶ γνώσονται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν. Καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέσῳ B *τῶν λαῶν. Πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ, εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον.*

Εἰπὼν, ὅτι « Ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοὶ, » ὡς ἐξωσθέντων δηλονότι τῶν πρώτων, καὶ τοῦ καθηγεῖσθαι λαῶν ἐκσεσοβημένων, διαδείκνυσι τὰς αἰτίας, ἐφ' αἷς τοῦτο πεπόνθασιν, ὁσίᾳ ψήφῳ τοῦ τὰ δίκαια κρίνοντος. Ἐπειδὴ γὰρ ἀγαπῶ, φησὶ, τὴν δικαιοσύνην, ἁρπάγματα δὲ τὰ ἐξ ἀδικίας μισῶ, γεγόνασι δὲ τοιοῦτοι τῆς Ἰουδαίων Συναγωγῆς οἱ προεστῶτες, παρῆκα, φησὶ, καὶ ἐξεωσάμην αὐτούς. Τῶν γὰρ ἁρπαζόντων ἁρπάγματα ἐξ ἀδικίας τὸν μόχθον ἑτέροις δίδωμι. Οἱ γὰρ ἀδίκως πλουτοῦντες, καὶ, καθά φησιν ὁ προφήτης, θησαυρίζοντες ἑαυ- C τοῖς ἀσέβειαν καὶ ταλαιπωρίαν, εἰς ἑτέρους αὐτὰ παραπέμπουσιν. Ἔφη γοῦν ὁ Σολομὼν, ὅτι « Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται, ἐξ οἰκίας αὐτοῦ ἑλκύσει αὐτὸν ἄγγελος. » Καὶ πάλιν· « Ὁ συνάγων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκου, καὶ πλεονασμῶν, τῷ ἐλεοῦντι πτωχοὺς καταλείψει αὐτὸν, καὶ οὐ δή που πάντως ἀγαθοῖς ἀνδράσι, καὶ φιλοικτίρμοσιν, ἀλλὰ ἀσώτοις μᾶλλον. » Εὐφήμως γὰρ τοὺς τοιούτους ἐλεεῖν ἔφη πτωχούς. Τοῖς γὰρ ζῶσιν ἐν ἀσωτίᾳ πλεῖστοι λίαν οἱ κολλώμενοι, καὶ συνδαπανῶντες αὐτοῖς τὰ πολλοῖς ἱδρῶσιν ἀδίκως σεσωρευμένα. Ψάλλει δὲ καὶ ὁ θεσπέσιος Δαβὶδ περὶ τῶν τοιούτων, καί φησι· « Πλὴν μάτην ταράσσεται· θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά· » Καὶ καθ' ἕτερον δὲ τρόπον ὁ μόχθος, ἤγουν ἡ φροντὶς τῶν Γραμματέων καὶ D Φαρισαίων ἑτέροις ἐδόθη, δῆλον δὲ ὅτι (1) « Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. » Οὐκοῦν ἐκεῖνοι μὲν ἐξώσθησαν, φησὶν, ἡμῖν δὲ τοῖς κεκλημένοις ἐξ ἐθνῶν εἰς ἱερουργίαν διαθήκην αἰώνιον διαθήσομαι, ἢ τὸ κήρυγμα τὸ εὐαγγελικὸν διὰ τοῦτο δηλῶν, ἤγουν ἐλπίδα τὴν ἀτελεύτητον. « Ἐν δὲ τοῖς ἔθνεσι γνωσθήσεται, » φησὶ, « τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ. » Οἱ γὰρ κατὰ μαθητείαν υἱοὶ τῶν ἁγίων μυσταγωγῶν ἐκ πολ-

[81] Prov. XXVIII, 8. [82] Psal. XXXVIII, 7. [83] Matth. XXI, 43

(1) In exemplari Græco prætermissa sunt duo triave vocabula.

λῆς ἄγαν ἀγαθουργίας, καὶ τῆς κατ' εὐσέβειαν ζωῆς, γνωριμώτατοι πᾶσίν εἰσιν, ὅτι καὶ ἁγίων ἔκγονα γεγόνασι κατὰ μαθητείαν, ὡς ἔφην, « Καὶ ὅτι σπέρμα εἰσὶν εὐλογημένον ὑπὸ Θεοῦ, » οἷόν τὰ τῶν ἁγίων μοναστῶν συστήματα, περὶ ὧν φησιν ὁ Παῦλος· « Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, » οἱ τὸν ἐπιεικῆ καὶ φιλόπονον διαζῶντες βίον· τῶν ἐν παρθενίᾳ τὰ στίφη, καὶ χοροὶ γέμοντες εὐλογίας Θεοῦ, οὗτοι σπέρμα εἰσὶν εὐλογημένον ὑπὸ Θεοῦ, οὗτοι χαίρουσι, καὶ εὐφραίνονται ἐπὶ Κύριον· οὐ γὰρ ἐφήδονται πράγμασι κοσμικοῖς, ἐμπίμπλασι δὲ μᾶλλον τὰς ἑαυτῶν καρδίας ἀγάπης τῆς εἰς Χριστόν, σωτήριον δὲ τὸ χρῆμά ἐστι, καὶ θυμηδίας ἁπάσης ἐμποιητικόν.

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπον τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν.

Φιλότιμον ἐπ' αὐτοῖς ἁπλώσας τὴν χεῖρα, πλείστοις τε ὅσοις καὶ ἀξιοκτήτοις χαρίσμασι στεφανώσειν εἰπών· « Πᾶς γὰρ ὁ ὁρῶν, φησὶν, αὐτοὺς ἐπιγνώσεται, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ, » εἶτα προσεπενεγκὼν ὅτι « Καὶ εὐφρανθήσονται ἐπὶ Κύριον, » δίδωσιν εὐθὺς τὴν εὐφροσύνην αὐτοῖς. Ταύτητοι καὶ μάλα εἰκότως τὸ τῆς Ἐκκλησίας εἰσεκομίσθη πρόσωπον ἐκ περιχαρείας τῆς ἄγαν ἀναφωνοῦν, « Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης. » Χιτῶνα εὐφροσύνης τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν φησι. Γράφει γοῦν καὶ ὁ πάνσοφος Παῦλος τοῖς εἰς αὐτὸν πιστεύσασιν· « Ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν. » Οἵ γε μὴν ἀμφίου δίκην ἐσχηκότες αὐτὸν πρὸς τῇ σωτηρίᾳ κερδαίνουσι τὸ εὐημερεῖν, καὶ τὸ ἐν εὐφροσύναις εἶναι μακραῖς. Ἔφη γοῦν αὐτὸς ὁ Σωτήρ· « Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ, καὶ ἀπολέσῃ. Ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. » Οὐ γὰρ σώζει μόνον, ὡς ἔφην, ἀλλὰ γὰρ καὶ ἀτελευτήτῳ κατευφραίνει χαρᾷ· καὶ τοῦτό ἐστι τὸ περιττὸν προστεθησόμενον ἡ τοῖς ἁγίοις ζωή. Χριστὸς οὖν ἄρα τὸ ἐξ οὐρανοῦ, καὶ ἄνωθεν ἄμφιον ὁ τῆς ἀφθαρσίας χιτὼν, ὃν εἴ τις λάβοι στεφανωθήσεται κόσμῳ παντὶ, νοητῷ δηλονότι, καὶ τοῖς ἐξ ἀγαθουργίας αὐχήμασιν. Ἔσται γὰρ ὡς νυμφίος, ὡς μίτραν διεζωσμένος, καὶ ὡς νύμφη κόσμῳ παντὶ διαπρέπουσα. Εἰσὶ γὰρ, εἰσὶν οἱ ἐν Χριστῷ δεινοὶ μὲν, καὶ ἀλκιμώτατοι, πρός γε τὸ δεῖν ἀνδρίζεσθαι νοητῶς, καταπλουτοῦσι δὲ λίαν καὶ τὸ εὐπρεπὲς εἰς ἅπαν εἶδος ἀρετῆς. Ἐοίκασι δὲ καὶ νύμφαις διὰ τὸ καρπογόνον μετὰ τοῦ ποικίλον ἔχειν ὡς ἐν ἀρετῶν φαιδρότητι κάλλος. Ἔφη γοῦν τις τῶν ἁγίων προφητῶν, ἐγκάρπους ὄντας ἀποδεικνὺς τοὺς τὸν εὐαγῆ κατορθοῦντας βίον· « Διὸ τὸν φόβον

A genies sanctorum facti sunt institutione et disciplina, ut dixi, « et quia semen benedictum a Deo: » **867** puta, sanctorum monachorum cœtus, de quibus Paulus: « Qui autem Christi Jesu sunt, carnem crucifixerunt cum affectibus et cupiditatibus [84], » qui probam et laboriosam traducunt vitam: et in virginitate degentium cohortes et chori qui Dei benedictione abundant: hi sunt semen benedictum a Deo, hi gaudent et lætantur in Domino. Non enim mundanis afficiuntur negotiis, sed corda sua potius charitate Christi complent. Hæc res salutaris est, et omnis voluptatis effectrix.

VERS. 10, 11. *Exsultet anima mea in Domino;* B *induit enim me veste salutis et tunica lætitiæ, tanquam sponsum circumdedit me mitra, et quasi sponsam ornavit me mundo muliebri; et sicut terra profert florem suum, et ut hortus semina sua, sic germinare faciet Dominus justitiam et exsultationem coram omnibus gentibus.*

Munificam in illos manum extendit, et plurimis et insignibus donis coronaturum se illos dixit: « Omnis enim, inquit, qui videt eos, cognoscet esse illos semen benedictum a Deo. » Subjunxit deinde: « Et lætabuntur in Domino. » Statim illis dat lætitiam. Hinc non immerito Ecclesiæ persona introducta est, præ insigni gaudio in has voces erumpens: « Exsultet anima mea in Domino; induit enim C me veste salutis et tunica lætitiæ. » Tunicam vocat Dominum nostrum Jesum Christum. Scribit itaque sapientissimus Paulus his qui in ipsum crediderunt: « Induite Dominum nostrum Jesum Christum, et carnis curam ne gerite in cupiditatibus [85]. » Qui autem illum tanquam vestem habuerunt, præter salutem lucrantur felicitatem; itaque diuturno fruuntur gaudio. Ait itaque ipse Servator: « Fur non venit nisi ut furetur, et mactet et perdat; ego veni ut vitam habeant, et abundantem habeant [86]. » Non etenim servat modo, ut dixi, sed etiam perenni gaudio afficit. Et hoc est illud abundans seu eximium quod adjicietur sanctis vita. Christus igitur est illa cœlestis et superna vestis, illa incorruptionis tunica, D quam si quis sumpserit, omni ornatu coronabitur, videlicet qui sub intelligentiam cadit et virtutis ornabitur insignibus. Erit enim tanquam sponsus mitra cinctus, et tanquam sponsa omni ornatu excellens. **868** Sunt enim, sunt Christiani potentes et fortissimi, et intelligibili robore præditi, omnique genere decoris ac virtutis sunt locupletati. Similes autem sunt etiam sponsis propter fecunditatem, eo quod vario splendore virtutum decorati sint. E sanctis igitur prophetis quidam dixit, cum illos qui sanctam vitam instituunt fecundos ac fructuosos esse innueret: « Propterea timorem tui, Domine, in utero concepimus, et parturivimus, et peperimus spiritum

[84] Galat. v, 24. [85] Rom. xiii, 14. [86] Joan. x, 10.

salutis, quem dedisti super terram [87]. » Itaque sancti comparandi sunt sponso et sponsæ, propter fortitudinem, et præterea ob fecunditatem. Verum illud observa semper hoc illis inesse, ut venustate et decore quodam enitescant. Servaturque hoc ab illis, tum in edendis præclaris facinoribus, tum etiam in fortiter debellandis affectibus. Quod autem gentibus Christo justitiam et exsultationem elucente, velut florida quædam herba coronat orbem, ostendit, inquiens: « Et ut terra profert florem suum, et ut hortus semina sua, sic germinare faciet Dominus justitiam et exsultationem in conspectu omnium gentium. » Videtur autem hic germinans vel exoriens semen ac florem coram gentibus dicere ipsum Dominum nostrum Jesum Christum. Dixit nimirum in Cantico canticorum: « Ego flos campi, lilium convallium [88]; » vel evangelicam et salutarem prædicationem, ejusque justificationem legali præstantiorem, quam semper comitatur gaudium, id est, exsultatio. Qui enim recte eam administrant, his a Deo tribuetur ut diuturna voluptate perfundantur. Audient enim omnium nostrum Servatorem Christum dicentem: « Euge, serve bone et fidelis, in pauca fuisti fidelis, supra multa te constituam. Intra in gaudium Domini tui [89]. » Exsultatio autem, salutaris prædicatio alio modo potest intelligi. Lex enim vindex erat et valde severa. Si quis enim legem Mosaicam violasset, sine misericordia sub duobus aut tribus testibus moritur [89*]. At evangelicum oraculum nobis affert vitam, et præmiorum pollicitationem, et veram spem bonorum quæ superant mentis captum et intelligentiam [90].

σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. » Οὐκοῦν νυμφίῳ καὶ νύμφῃ τοὺς ἁγίους παρεικαστέον, διάτοι τὸ εὐσθενὲς, καὶ πρός γε τούτῳ τὸ καρπογόνον· πλὴν ἐκεῖνο ἄθρει, πανταχοῦ γὰρ αὐτοῖς ἔνεστι τὰ ὡς ἐν κάλλει διαπρέπειν. Σώζεται δὲ τοῦτο παρ' αὐτοῖς, καὶ ἐν τῷ καρπογονεῖν τὰ ἐξαίρετα τῶν ἀνδραγαθημάτων, καὶ ἐν τῷ κατανδρίζεσθαι παθῶν. Ὅτι δὲ τοῖς ἔθνεσιν ἐπιλάμψαντος τοῦ Χριστοῦ δικαιοσύνην, καὶ ἀγαλλίαμα, καθάπερ τις εὐανθὴς πόα στεφανοῖ τὴν ὑπ' οὐρανὸν, διέδειξεν εἰπών· « Ὡς γῆν αὐξάνουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπον τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν. » Ἔοικε δὲ διὰ τούτων τὸ ἀνίσχον, ἤγουν ἀνατέλλον, σπέρμα τε καὶ ἄνθος ἐναντίον τῶν ἐθνῶν, αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ὀνομάζειν. Ἔφη γὰρ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων· « Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων· » ἤγουν τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, καὶ τὴν αὐτοῦ δικαίωσιν προφερεστέραν οὖσαν τῆς κατὰ τὸν νόμον, ᾗ πάντη τε καὶ πάντως τὸ χαίρειν ἀκολουθεῖ, ὅ ἐστιν ἀγαλλίαμα. Τοῖς γὰρ ὅλως κατωρθωκόσιν αὐτὴν τὸ ἐν θυμηδίαις εἶναι μακραῖς νεμηθήσεται παρὰ Θεοῦ. Ἀκούσονται γὰρ λέγοντος τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· » ἀγαλλίαμα δὲ τὸ σωτήριον κήρυγμα, καὶ καθ' ἕτερον τρόπον νοηθείη ἄν. Ὁ μὲν γὰρ νόμος ἦν κολαστὴς, καὶ πολὺ τὸ κατηφὲς ἔχων· ἀθετήσας γάρ τις νόμον Μωσέως χωρὶς οἰκτιρμῶν, ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει, ζωὴν δὲ καὶ γερῶν ὑπόσχεσιν, καὶ ἀληθινὴν ἐλπίδα τῶν ὑπὲρ νοῦν ἀγαθῶν τὸ εὐαγγελικὸν ἡμῖν εἰσκομίζει θέσπισμα.

Cap. LXII. Vers. 3. *Propter Sion non tacebo, et propter Jerusalem non relinquam, donec egrediatur sicut lux justitia mea, et salutare meum sicut lampas ardebit. Et videbunt gentes justitiam tuam, et reges gloriam* **869** *tuam: et vocabit te nomen novum quod Dominus nominabit illud; erisque corona pulchritudinis in manu Domini, et diadema regni in manu Dei tui.*

Sion vocat Ecclesiam, cujus primitiæ exstiterunt et filii primogeniti divini discipuli, et qui per ipsos ad agnitionem Christi vocati sunt, et ante alios qui oriundi sunt ex sanguine Israel. Servatæ sunt enim reliquiæ, et complures ex illis qui crediderunt. Itaque non relinquam, inquit, id est, non desistam, donec ad finem perduxero quæ Sioni pollicitus sum. Promisit autem Deus et Pater salutem per Christum Judæis et Græcis. Siquidem « unus Deus est, » sicuti Paulus sapientissimus dicit, « qui justificabit circumcisionem ex fide, et præputium per fidem. » Etenim non modo Judæorum Deus est, sed et gentium [91]. Itaque non relinquam, inquit, donec egrediatur sicut lux justitia mea, et salutare meum sicut lampas ardebit. Justitia et salus apparuit et fuit

Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται, καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτὸ, καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου.

Σιὼν ἐν τούτοις τὴν Ἐκκλησίαν ἀποκαλεῖ ᾗ; γεγόνασιν ἀπ' ἀρχῆς καὶ τέκνα πρωτόγονα οἱ θεσπέσιοι μαθηταὶ, καὶ οἱ δι' αὐτῶν κεκλημένοι πρὸς ἐπίγνωσιν τοῦ Χριστοῦ, καὶ πρό γε τῶν ἄλλων οἱ ἐξ αἵματος Ἰσραήλ. Σέσωσται γὰρ τὸ κατάλειμμα, καὶ πλεῖστοι λίαν οἱ ἀπ' αὐτῶν πιστεύσαντες. Οὐκοῦν οὐκ ἀνήσω, φησὶ, τουτέστιν, οὐκ ἂν καταπαύσαιμι τοῦ χρῆναι πρὸς πέρας ἐξενεγκεῖν ἅπερ ἐπήγγελμαι τῇ Σιών. Ὑπέσχετο δὲ ὁ Θεὸς καὶ Πατὴρ τὴν διὰ Χριστοῦ σωτηρίαν Ἰουδαίοις τε καὶ Ἕλλησιν, εἴπερ « Εἷς ὁ Θεός. » καθά φησιν ὁ πάνσοφος Παῦλος, « ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Οὐ γὰρ Ἰουδαίων μόνον ὁ Θεὸς, ἀλλὰ καὶ ἐθνῶν. » Οὐκοῦν οὐκ ἀνήσω, φησὶν, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου. Τὸ δὲ σωτήριόν

[87] Isa. xxvi, 18. [88] Cant. ii, 1. [89] Matth. xxv, 21. [89*] Hebr. x, 28. [90] Philipp. iv, 7. [91] Rom. iii, 29, 30.

μου ὡς λαμπὰς καυθήσεται. Δικαιοσύνη τε καὶ σωτήριον τοῖς ἐπὶ τῆς γῆς ὤφθη τε καὶ γέγονε Χριστὸς, δικαιοῖ γὰρ, καὶ σώζει, φῶς ὑπάρχων αὐτὸς τὸ ἀληθινὸν, καὶ οἷά τις ἐν σκότῳ λαμπάς. Ἔφη γοῦν αὐτὸς, ὅτι « Ὅταν ὦ ἐν τῷ κόσμῳ, φῶς εἰμι τοῦ κόσμου. » Ἀχλύϊ μὲν γὰρ καὶ σκότῳ τὰ πάντα κατείληπτο, τὰς ἁπάντων καρδίας τοῦ διαβόλου καταμελαίνοντος, καὶ οὐδεὶς ἦν ὁ ποιῶν χρηστότητα, καὶ δικαιοσύνην εἰδὼς, ἤγουν τὴν ἀπάγουσαν [al. ἐπάγουσαν] ἐπὶ τὸ σώζεσθαι τρίβον. Ἀλλ' οὐδὲ ἦν ὁ φῶς ἔχων τὸ θεῖον εἰς νοῦν, καὶ τοῖς τῆς διανοίας ὄμμασι καταθρῆσαι δυνάμενος, τίς ὁ φύσει καὶ ἀληθῶς ἐστι Θεὸς, καὶ τῶν ὅλων γενεσιουργὸς, καὶ Κύριος· ἐπεὶ δὲ ὡς φῶς ἀνέσχε, καὶ ὡς λαμπὰς ἀνέλαμψεν ὁ Σωτὴρ, κατεφωτίσθη λοιπὸν ἡ ὑπ' οὐρανὸν, καὶ τὴν τῆς δι' αὐτοῦ σωτηρίας τεθεάμεθα τρίβον. Εἶτα πρὸς τὴν Ἐκκλησίαν φησὶ τὴν ἀπό γε τῆς Ἰουδαίων ἀγέλης, καὶ ὡς οὔπω τῆς τῶν ἐθνῶν πληθύος σεσαγηνευμένης, ὅτι « Ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου. » Δικαιοσύνην δὲ πάλιν ἐν τούτοις, καὶ μέν τοι καὶ δόξαν, οὐδὲν ἕτερον εἶναί φησι πλὴν ὅτι τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Δεδικαιώμεθα γὰρ ἐν αὐτῷ, καὶ τὴν παρ' αὐτοῦ πεπλουτήκαμεν δόξαν. Αὐτοῦ γὰρ γεγόναμεν, καὶ κλῆρος αὐτοῦ χρηματίζομεν. Τετάγμεθα δὲ καὶ ὑπὸ ζυγὰ καὶ σκῆπτρα, τὴν τοῦ καθ' ἡμῶν τυραννήσαντος πλεονεξίαν ἀπονιψάμενοι· ὅτι δὲ τῆς κατὰ νόμον λατρείας ἀποφοιτήσασα, καὶ οἷον μεταβαλοῦσα πρὸς καινότητα ζωῆς εὐαγγελικῆς, καὶ τὴν ἀρχαίαν κλῆσιν συναποβαλεῖ, μετονομασθήσεται δὲ λοιπὸν ὀνόματι καινῷ, κατὰ τὸ δοκοῦν τῷ ἐπὶ πάντας Θεῷ, διαδείκνυσι λέγων· « Καλέσει τὸ ὄνομά σου τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό· » κέκληται γὰρ οὐκέτι συναγωγὴ μᾶλλον, ἀλλ' Ἐκκλησία Θεοῦ ζῶντος, πόλις τε καὶ οἶκος αὐτοῦ. Διαμέμνηται γὰρ αὐτῆς καὶ ὁ θεσπέσιος Δαβὶδ, οὕτω λέγων· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ. » Ἔσται δὲ ὅτι καὶ εὐπρεπὴς ἄγαν, καὶ ἀπαραβλήτῳ κάλλει κατεστεμμένη, διδάσκει λέγων· « Ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου. » Ἑκάστην γὰρ ἁγίαν ψυχὴν, καὶ συλλήβδην τὴν Ἐκκλησίαν, τουτέστι, τὰ τῶν ἁγίων συστήματα, στεφάνῳ παρεικαστέον ἐκ πολλῶν ἀνθέων συντεθειμένῳ, ἤγουν διαδήματι βασιλικῷ, λίθοις Ἰνδικοῖς ἐκλάμποντι, καὶ πολυειδῶς ἔχοντι τὸ διαπρεπές· πλεῖστα δὲ ὅσα καὶ τὰ τῶν ἁγίων ἀνδραγαθήματα, καὶ οὐχ εἷς μᾶλλον τῶν αὐχημάτων ὁ τρόπος, πολὺς δὲ καὶ διάφορος. Καὶ γοῦν ὁ θεσπέσιος Δαβὶδ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένην πεποικιλμένην εἰσφέρει, τὸ δὲ « Ἐν χειρὶ Κυρίου, » φησὶ, τουτέστιν, ὑπὸ σκέπην τῆς χειρός μου σκεπάσω σε· καὶ αὐτὸς δέ που Χριστὸς περὶ τῶν ἰδίων θρεμμάτων, καὶ ἤτοι τῆς τῶν πιστευσάντων εἰς αὐτὸν ἀγέλης φησὶν, ὅτι « Οὐδεὶς ἁρπάσει αὐτὰ ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. »

A mortalibus Christus. Justificat enim et servat, quippe lux vera cum sit ipse, et ceu lampas quæpiam in tenebris. Siquidem ipse dixit : « Quando in mundo sum, lux sum mundi [92]. » Caligine namque et tenebris omnia comprehensa erant, diabolo corda omnium offuscante. Nemo erat qui faceret bonum, et justitiam nosset, aut viam quæ ducit ad salutem; sed nec quisquam erat qui divinam lucem in mente haberet, et qui posset animi oculis videre, quisnam sit ille natura et vere Deus, et universorum Conditor et Dominus. Postquam vero Servator ceu lux exortus est, et ceu lampas illuxit, deinceps illustratus est orbis terrarum, et salutis viam per ipsum intuiti sumus. Deinde alloquitur Ecclesiam ex Judæorum grege, perinde quasi nondum irretita esset multi- B tudo gentium. « Videbunt gentes justitiam tuam, et reges gloriam tuam. » Justitiam rursus et gloriam hic aliud nihil esse dicit, præterquam Dominum nostrum Jesum Christum. In ipso enim justificati sumus, et gloria ab ipso ditati sumus. Ipsius namque sumus, et sors ejus nuncupamur. Ipsius jugo et sceptro paruimus, abdicato violento ejus imperio qui in nos tyrannidem exercuit. Quod autem a legis cultu recedens, et velut ad novitatem 870 vitæ evangelicæ transmutata, veterem simul abjiciet vocationem, et novo deinceps denominabitur nomine, arbitratu et voluntate Dei omnium supremi, ostendit, dicens : « Vocabitur tibi nomen novum, quod Dominus nominabit. » Non enim ultra dicta est C Synagoga, sed Ecclesia Dei viventis, civitas ac domus ejus. Cujus meminit etiam divinus David in hanc sententiam : « Gloriosa dicta sunt de te, civitas Dei [93]. » Fore quoque illam valde speciosam et incomparabili gloria coronatam docet, inquiens : « Eris corona pulchritudinis in manu Domini, et diadema regni in manu Dei tui. » Unamquamque enim animam sanctam, et universam omnino Ecclesiam, id est, sanctorum cœtum, coronæ comparare licet, ex multis flosculis compositæ, vel regio diademati lapidibus Indicis fulgenti, et quod multiplicem habet et variam elegantiam. Plurimæ sunt etiam sanctorum egregiæ virtutes, et non unum est ornamentorum genus, sed multiplex et diversum. Siquidem et divinus David Ecclesiam Christi in vestitu D deaurato circumdatam ac variegatam inducit [94]. « In manu Domini, » inquit, id est, protectione manus meæ protegam te. Et ipse quoque Christus de suis ovibus vel de grege credentium in ipsum dicit : « Nemo eripiet eas de manu Patris mei [95]. »

Καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔρημος· σοὶ γὰρ κληθήσεται θέλημα ἐμὸν, καὶ τῇ γῇ σου οἰκουμένη (1).

VERS. 4. *Et nequaquam ultra vocaberis derelicta, nec terra tua vocabitur deserta. Tibi enim vocabitur voluntas mea, et terræ tuæ habitata.*

[92] Joan. IX, 5. [93] Psal. LXXXVI, 3. [94] Psal. XLIV, 10. [95] Joan. X, 29.

(1) Sequitur in edit. LXX, ὅτι εὐδόκησε Κύριος ἐν σοὶ, καὶ ἡ γῆ σου συνοικισθήσεται, quæ tamen S. Hieronymus negat apud LXX haberi.

que mens nec solis opera, nec lunæ opus habeat A ad illuminationem et visus recuperationem. Non enim luce sub sensu cadente illustratur mens; sed potius sancti Spiritus illustratione et splendore contenta est ad perspiciendam et intuendam Christi gloriam, utque scire possit quantum habeat cum Patre suo similitudinem, substantiæ scilicet ratione, et quodnam sit optimæ vitæ iter certe cognoscere. Factus est igitur nobis lux æterna Salvator. Idque perspicuum facit, dicens: « Ego sum lux mundi [30]. » Et rursus: « Cum in mundo sum, lux sum mundi [31]. » — « Qui sequitur me, non ambulabit in tenebris, sed habebit lucem vitæ [32]. »

VERS. 21, 22. *Et complebuntur dies luctus tui,* B *et populus tuus omnis justus, et in sæculum terræ hæreditatem possidebit, custodiens plantationem, opera manuum suarum in gloriam. Qui paucus est, erit in millia, et qui minimus, in gentem magnam. Ego Dominus in tempore congregabo eos.*

Qui tempus consummationis designari aiunt, ex eo quod non ultra lumen solare et **856** lunare opus suum peragat, sed contrahatur, ut Dominus noster fiat lux æterna, dicunt lugentibus nunc, quos etiam consolandos ait Servator, finem luctus fore illo tempore. Desinent enim laborare et curis macerari, et æterna consequentur præmia. Hoc est enim, opinor, consolatione perfundi. Quoniam autem rursus tractationis et theorematum C sententiam ex præcedentibus sequi oportet, illud dicimus, his qui manent ac jacent in peccatis, tristitiam propriam esse et convenientissimam. Exspectant enim non honores et coronas, non consolationem a Deo, sed potius supplicium, et ignem atque tenebras. Qui autem benefaciunt, spe gaudent [33], quemadmodum sapientissimus Paulus ait. Excipit enim ac comitatur probitatem eorum, in infinita sæcula, et gloria, et voluptas. Verum quando conversus fuerit ad Dominum etiam qui plurimis peccatis occupatus est, deinde justificatus fuerit per fidem, et remissionem criminum adeptus fuerit, exspectaveritque accipere honores sanctis destinatos, tunc cessabunt dies luctus ejus, et a D sudore ac mœstitia desistet. Confirmat quasi hunc sensum, quod deinceps positum est: « Et populus tuus omnis justus, » id est, justificabitur populus quantus est futurus. Habeturque oratio tanquam ad Ecclesiam: Justificat autem impium Christus, gratia et humanitate, et ipse solvit ab omni crimine eos qui convicti sunt. Nam quis horum largitor sit, significavit, cum inquit: Custodiens plantationem, opera manuum suarum in gloriam. Plantatio enim sumus plantarum omnium nostrum Servatoris Christi, ejusque opus. Cum namque essemus oleaster, olivæ pulchræ insiti sumus, tantum non

A καὶ διὰ τῶν εὖ εἰδότων μυσταγωγεῖν, ἄσβεστον ἔσται, καὶ ἀκατάληκτον, καὶ ἀειφανὲς, ὥστε μήτε ἡλίου μήτε σελήνης ἐν χρείᾳ καθεστηκέναι τὸν ἑκάστου νοῦν πρὸς φωτισμὸν, ἢ ἀνάβλεψιν· οὐ γὰρ αἰσθητῷ φωτὶ καταλάμπεται νοῦς, ἀρκεῖται δὲ μᾶλλον τῇ διὰ τοῦ ἁγίου Πνεύματος φωταγωγίᾳ, καὶ φαιδρότητι πρὸς τὸ δύνασθαι καθορᾷν τὴν δόξαν Χριστοῦ, καὶ ὅσον ἂν ἔχοι πρὸς τὸν τεκόντα αὐτὸν τὴν ἐμφέρειαν, οὐσιωδῶς δὲ δηλονότι, ναὶ μὴν καὶ τῆς ἀρίστης ζωῆς ἀπλανῶς εἰδέναι τὴν ὁδόν. Γέγονε τοίνυν φῶς αἰώνιον ἡμῖν ὁ Σωτὴρ, καὶ τοῦτο ἡμῖν ἐναργὲς καθίστησι, λέγων· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, » καὶ πάλιν· « Ὅταν ὦ ἐν τῷ κόσμῳ, φῶς εἰμι τοῦ κόσμου. » — « Ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. »

B *Καὶ ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους σου, καὶ ὁ λαός σου πᾶς δίκαιος, καὶ δι' αἰῶνος κληρονομήσουσι τὴν γῆν, φυλάσσων τὸ φύτευμα ἔργα χειρῶν αὐτοῦ εἰς δόξαν· Ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας, καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα. Ἐγὼ Κύριος κατὰ καιροὺς συνάξω αὐτούς.*

Οἱ τὸν τῆς συντελείας καιρὸν καταδηλοῦσθαι λέγοντες διὰ τοῦ μηκέτι τὸ ἡλιακὸν, ἤτοι τὸ σεληναῖον ἐνεργῆσαι φῶς, συσταλῆναι δὲ μᾶλλον, ἵν' ὁ Κύριος ἡμῶν φῶς αἰώνιον γένηται, φασὶν ὅτι τοῖς πενθοῦσι νῦν, οὓς δὴ καὶ παρακληθήσεσθαί φησιν ὁ Σωτὴρ, τέλος ἔσται τοῦ πενθεῖν κατ' ἐκεῖνό που τοῦ καιροῦ· πεπαύσονται γὰρ τοῦ ποιεῖν ἔτι, καὶ κατατρύχεσθαι, καὶ τῶν εἰς αἰῶνα τεύξονται γερῶν. Τοῦτο γὰρ, οἶμαι, C τὸ παρακληθῆναί ἐστιν. Ἐπειδὴ δὲ πάλιν τῶν θεωρημάτων ἕπεσθαι χρὴ τοῖς ἀνόπιν, ἐκεῖνό φαμεν, ὅτι τοῖς μένουσιν ἐν πλημμελείαις τὸ κατηφὲς οἰκεῖον, καὶ ἁρμοδιώτατον. Προσδοκῶσι γὰρ οὐ τιμὰς καὶ στεφάνους, οὐ παράκλησιν τὴν παρὰ Θεοῦ, κόλασιν δὲ μᾶλλον, καὶ πῦρ, καὶ σκότος· οἵ γε μὴν ὄντες ἐν ἀγαθουργίαις τῇ ἐλπίδι χαίρουσι, καθά φησιν ὁ πάνσοφος Παῦλος· διαδέχεται γὰρ τὸ ἐπιεικὲς αὐτῶν ἡ εἰς ἀπεράντους αἰῶνας δόξα, καὶ τρυφή· πλὴν ὅταν ἐπιστρέψῃ πρὸς Κύριον, καὶ ὁ πλείσταις ὅσαις ἁμαρτίαις ἐνισχημένος, εἶτα δικαιωθῇ διὰ τῆς πίστεως, καὶ κομίσηται μὲν τῶν αἰτιαμάτων τὴν ἄφεσιν, προσδοκήσει δὲ λαβεῖν καὶ τὰς τοῖς ἁγίοις ηὐτρεπισμένας τιμάς. Τότε δὴ πεπαύσονται μὲν αἱ ἡμέραι τοῦ πένθους αὐτοῦ, καταλήξει δὲ ἱδρῶτος, καὶ κατη- D φείας, βεβαιοῖ δὲ ὥσπερ ταυτηνὶ τὴν διάνοιαν τὸ ἐφεξῆς κείμενον· « Ἔσται γὰρ, φησὶν, πᾶς ὁ λαός σου δίκαιος, » τουτέστι, δικαιωθήσεται πᾶς ὁ σοὶ ἑπόμενος λαός· ἔστι δὲ ὁ λόγος ὡς πρὸς τὴν Ἐκκλησίαν· δικαιοῖ δὲ Χριστὸς τὸν ἀσεβῆ χάριτι καὶ φιλανθρωπίᾳ, καὶ ἀνίησι παντὸς αἰτιάματος τοὺς ἁλόντας αὐτός. Τίς γὰρ ἔσται τῶν τοιούτων ὁ χορηγὸς, διαμεμήνυκεν, εἰπών· Φυλάσσων τὸ φύτευμα, ἔργα χειρῶν αὐτοῦ εἰς δόξαν. Φύτευμα γάρ ἐσμεν τῶν φυτῶν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ ἔργον αὐτοῦ· ἀγριέλαιοι γὰρ ὄντες ἐνεκεντρίσθημεν εἰς καλλιέλαιον, μονονουχὶ καὶ αὐτουργοῦντος εἰς ἡμᾶς τοῦ

[30] Joan. VIII, 12. [31] Joan. IX, 5. [32] Joan. VIII, 12. [33] I Tim. VI, 18.

Χριστοῦ· οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς. Ἔφη γοῦν αὐτός· « Ὁ λαλῶν πάρειμι. » — « Ἔσται δὲ, φησὶ, καὶ ὁ ὀλιγοστὸς εἰς χιλιάδας, καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα. » Νῦν μὲν γὰρ, τουτέστιν, ἐν τῷ αἰῶνι τούτῳ κέκρυπται τῶν ἁγίων ἡ δόξα, καὶ τό γε ἧκον εἰς ἀλαζονείας κοσμικὰς ἐλάχιστοί τινες εἶναι δοκοῦσιν οὐκ ἔχοντες δόξαν ἐμφανῆ. Ἐπιλάμψαντος δὲ πάλιν ἐξ οὐρανῶν τοῦ Χριστοῦ τὸ τηνικάδε, καὶ ὁ νομισθεὶς ἐλάχιστος εἶναι, καὶ ὀλιγοστὸς ἔσται εἰς ἔθνος μέγα. Καθηγήσεται γὰρ λαῶν, καὶ ἡγεμονεύσει πολλῶν, ἅτε δὴ τὸν εὐδόκιμον ἐν τῷδε τῷ βίῳ διανύσας δρόμον· καὶ τοῦτο ἔστιν ἰδεῖν ἐξ ὧν ἔφη Χριστός· τοῖς γὰρ ἀποστόλοις προσλαλῶν· « Ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου καθίσῃ, φησὶν, ἐπὶ θρόνου δόξης αὐτοῦ, τότε καὶ ὑμεῖς καθίσεσθε ἐπὶ δώδεκα θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. » Ἀλλὰ γὰρ καὶ ἐν τῇ τῶν ταλάντων διανεμήσει εὑρίσκεται λέγων, « Ἔσο ἐπάνω δέκα φυλῶν· » ἑτέροις δὲ τὴν μείω δίδωσι μοῖραν· « Ἔσο γὰρ, φησὶν, ἐπάνω πέντε πόλεων. » Ἰσοστατοῦσάν που πάντως ταῖς ἐπιεικείαις αὐτῶν τὴν ἀντιμισθίαν ὀρέγων, καὶ τὴν ἑκάστῳ πρέπουσαν ταλαντεύων τιμήν. Ἐπ' αὐτῷ δὴ οὖν τούτῳ χαίροντες οἱ ἅγιοί φασιν· « Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. » Τούς γε μὴν ἐλαχίστους νομισθέντας εἶναι κατὰ τὸν βίον, εἶτα γεγονότας εἰς χιλιάδας, καὶ εἰς ἔθνος μέγα. « Ἐγὼ, φησὶν, ὁ πάντων Κύριος, συνάξω κατὰ καιροὺς » τοὺς τῆς ἐξ οὐρανῶν ἐπιδημίας δηλονότι. Τότε γὰρ ἔσται τοῖς ἁγίοις ἡ παντὸς ἀπόλαυσις ἀγαθοῦ· οἳ καὶ ἁρπασθήσονται, καθά φησιν ὁ πάνσοφος Παῦλος, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, οὕτω τε πάντοτε σὺν Κυρίῳ ἐσόμεθα ταῖς ἀτελευτήτοις ἐντρυφῶντες τιμαῖς

Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καὶ καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας.

Ὁ ἐν τοῖς ἀνόπιν εἰπὼν περὶ τῶν ἐν πίστει κληθησομένων· « Ἐγὼ Κύριος κατὰ καιροὺς συνάξω αὐτοὺς, » ὡς ἐνεστηκότος ἤδη τοῦ καιροῦ, καθ' ὃν ἐπήγγελται συναγείρειν αὐτοὺς, καὶ ὡς ἤδη γενόμενος ἄνθρωπος, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, καὶ καθεὶς ἑαυτὸν εἰς κένωσιν, « Πνεῦμα Κυρίου, φησὶν, ἐπ' ἐμὲ, » καίτοι φύσει Θεὸς ὑπάρχων ὁ Μονογενὴς Ἅγιος ἁγίων ἐστὶ, καὶ πᾶσαν αὐτὸς ἁγιάζει τὴν κτίσιν, ἅτε δὴ καὶ ἐξ ἁγίου Πατρὸς πεφυκὼς, καὶ τὸ ἐξ αὐτοῦ προχεόμενον Πνεῦμα, καὶ ταῖς ἄνω δυνάμεσιν ἐνιεὶς, ὡς ἑαυτοῦ, καὶ προσέτι τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Πῶς οὖν ἡγιάζετο; Θεὸς γὰρ ὑπάρχων ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς, δίδωσι μὲν θεϊκῶς τὸ πνεῦμα τῇ κτίσει, δέχεται δὲ αὐ-

operante in nobis Christo. Non enim legatus, non angelus, sed ipse Dominus servavit nos. Dixit itaque ipse : « Qui loquor, adsum [34]. » — « Qui autem paucus est, inquit, erit in millia, et qui minimus, in gentem magnam. » Nunc enim, id est, in hoc sæculo, occultata est gloria sanctorum, et si fastum mundi respicias, minimi esse videntur, qui illustrem non habent gloriam; sed rursus ubi illuxerit de cœlo Christus, tunc etiam qui habitus est, minimus et paucus, erit in magnam gentem. Præficietur enim populis et imperitabit multis, utpote in hac vita confecto cursu laudabili. Quod videre est, ex his quæ dixit Christus. Nam affatus apostolos, inquit : « Cum Filius hominis sedebit **857** in throno gloriæ suæ, tunc etiam sedebitis vos in duodecim thronis judicantes duodecim tribus Israel [35]. » Quin et in distributione talentorum invenimus eum dicere : « Esto super decem tribus; » aliis autem minorem largitur portionem. « Esto enim, inquit, super quinque civitates [36], » probitati ipsorum parem utique mercedem tribuens, et cuique convenientem talentorum honorem. Ideoque gaudentes sancti, dicunt : « Subjecit populos nobis et gentes sub pedibus nostris [37]. » Minimos autem in vita reputatos, deinde in millia et in gentem magnam amplificatos. « Ego, inquit, omnium Dominus congregabo suo tempore, » adventus scilicet de cœlo. Tunc enim sancti omni bono fruentur qui rapientur, ut sapientissimus Paulus inquit, in nubibus in occursum Domini in aerem; itaque semper cum Domino erimus [38], vel erunt, æternis circumfluentes honoribus.

Cap. LXI. Vers. 1-3. *Spiritus Domini super me propter quod unxit me; evangelizare pauperibus misit me, sanare contritos corde, prædicare captivis remissionem, et cæcis visum, vocare annum Domini acceptabilem, et diem retributionis, consolari omnes lugentes, ut detur lugentibus Sion gloria pro cinere, unctio lætitiæ lugentibus, et amictus gloriæ pro spiritu mœroris.*

Qui in superioribus dixit de vocandis per fidem : « Ego Dominus, in tempore congregabo eos [39], » veluti jam instante tempore, quo promisit eos se coacturum, et quasi factus jam homo, et similitudinem nostram suscipiens, et se ad inanitionem submittens, « Spiritus Domini, inquit, super me; » quoniam natura Deus exsistens Unigenitus Sanctus sit sanctorum, et omnem ipse naturam sanctificet, utpote ex sancto Patre natus, cumque ex se procedentem Spiritum immittat superis potestatibus suis, et porro apparitionem ipsius agnoscentibus, quomodo igitur sanctificatus est? Deus nempe cum sit idemque homo, dat spiritum creaturæ Deitatis ratione, accipit autem illum a Deo et

[33] Isa. LXIII, 9. [34] Isa. LII, 6. [35] Matth. XIX, 28. [36] Luc. XIX, 17. [37] Psal. XLVI, 4. [38] I Thess. IV, 16. [39] Isa. LX, 22.

Patre, ratione humanitatis. Hanc dicimus esse unctionem. **858** Causamque humanitatis declarat. Cum enim dixisset, a Patre, adjunxit necessario : « Eo quod unxit me, evangelizare pauperibus misit me, sanare contritos corde, ac prædicare remissionem captivis, et cæcis visum reddere, ac præterea vocare diem retributionis. » Multa siquidem in illos exstiterunt humanitatis Unigeniti illustria specimina. Ut enim reficeret orbem, et universæ terræ incolas Deo et Patri adduceret, omnibus in melius transmutatis, et facie terræ quasi renovata, accepit formam servi [40], quamtumvis esset Dominus universorum, et fausta nuntiavit pauperibus, propterea missum se dicit. Pauperes esse et intelligi possunt, qui omnis boni laborant indigentia, nec quidquam spei habent, et sine Deo sunt in mundo, sicuti scriptum est [40*]. Illi autem sunt ex gentibus, qui fide in ipsum locupletati, divinum et cœlestem thesaurum lucrati sunt, evangelicam videlicet et salutarem prædicationem, per quam facti sunt cœlestis regni participes, et consortes sanctorum, atque hæredes eorum quæ nec mens nec oratio complecti potest. « Oculus enim, inquit, non vidit, et auris non audivit, nec in cor hominis ascendit, quæ paravit Deus diligentibus se [41]. » Vel fortassis oratio hic dicit, pauperibus spiritu donatum esse locuples charismatum per Christum ministerium. Contritos corde vocat infirmo et fracto animo præditos, et perturbationum incursionibus non valentes obsistere, itaque illis subjectos, ut captivi esse videantur. His sanationem ac medicinam promittit, ac cæcis dat visum. Nam qui creaturam colunt, et ligno dicunt: « Pater meus es tu; et lapidi : Tu genuisti me [42]; » deinde natura et vere Deum non agnoverunt : quidni cæci sint, et pectus habeant luce divina et intelligibili nudum? His immittit Pater veræ Dei cognitionis lucem. Vocati sunt enim per fidem, et illum cognoverunt, imo ab ipso cogniti sunt; filiique noctis cum essent ac tenebrarum, filii lucis exstiterunt. **859** Collustravit etenim illos dies, et ortus est Sol justitiæ, et illustris apparuit Lucifer. Nihil incommodi erit, si ex sanguine Israelitico oriundis omnia dicta accommodemus. Nam erant pauperes, et contriti corde, ac velut captivi, et obtenebrati. « Non enim in terra erat quisquam qui faceret bonum, non erat usque ad unum. Omnes pariter declinaverunt, simul inutiles facti sunt [43]. » Venit autem Christus, et Israelitis ante alios nuntiavit fausta ac præclara præsentiæ suæ facinora : præterea, ut annum quoque Domini proclamaret acceptum et diem retributionis. Acceptus annus erat, quo pro nobis crucifixus est Christus. Tum enim accepti facti sumus Deo et Patri, et per ipsum fructus edidimus. Idque nos docuit ipse, dicens : « Amen, amen dico vobis : Nisi granum frumenti cadens in terram mortuum fuerit, ipsum manet solum; quod si mortuum fuerit, fructum uberiorem profert [44]. »

A τὸ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, κατὰ τὸ ἀνθρώπινον. Ταύτην εἶναί φαμεν τὴν χρῆσιν [l. χρίσιν]. Ἐναργῆ δὲ καθίστησι τῆς ἐνανθρωπήσεως τὴν αἰτίαν. Εἰπὼν γὰρ ὅτι παρὰ τοῦ Πατρὸς, προσεπήνεγκεν ἀναγκαίως, « Οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, ἄφεσίν τε κηρύξαι τοῖς ἐν αἰχμαλωσίᾳ, χαρίσασθαι δὲ καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι τε πρὸς τούτοις, καὶ ἡμέραν ἀνταποδόσεως· » πολλὰ κατὰ ταὐτὸν τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς τὰ περιφανῆ κατορθώματα. Ἵνα γὰρ κατακτήσηται τὴν ὑπ' οὐρανὸν, καὶ τοὺς ἀνὰ πᾶσαν ὄντας τὴν οἰκουμένην προσκομίσῃ τῷ Θεῷ καὶ Πατρὶ μεταστοιχειώσας τὰ πάντα πρὸς τὸ ἀμεινόνως ἔχειν, καὶ οἷον ἀνακαινίσας τὸ πρόσωπον τῆς γῆς, ἔλαβε δὲ δούλου B μορφὴν, καίτοι Κύριος ὑπάρχων τῶν ὅλων. Εὐηγγελίσατο γοῦν πτωχοῖς, ἀπεστάλθαι διὰ τοῦτό φησι. Πτωχοὶ δ' ἂν εἶεν, ἤγουν νοηθεῖεν, οἱ παντὸς ἀγαθοῦ νενοσηκότες ποτὲ τὴν ἔνδειαν, ἐλπίδα τε μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ, κατὰ τὸ γεγραμμένον. Οὗτοι δ' ἂν εἶεν οἱ ἐξ ἐθνῶν, οἱ τὴν εἰς αὐτὸν πίστιν πλουτήσαντες, τὸν θεῖόν τε καὶ οὐράνιον κεκερδηκότες θησαυρὸν, τὸ εὐαγγελικὸν δηλονότι, καὶ σωτήριον κήρυγμα, δι' οὗ γεγόνασι καὶ τῆς τῶν οὐρανῶν βασιλείας μέτοχοι, καὶ συμμερισταὶ τῶν ἁγίων, κληρονόμοι τῶν ὑπὲρ νοῦν καὶ λόγον. « Ὀφθαλμὸς γὰρ οὐκ εἶδε, φησὶ, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. » Ἢ τάχα που καὶ τοῖς πτωχοῖς τῷ C πνεύματι δεδωρῆσθαί φησιν ὁ λόγος ἐν τούτοις τῶν διὰ Χριστοῦ χαρισμάτων τὴν ἄφθονον χορηγίαν. Συντετριμμένους δέ φησι τὴν καρδίαν, τοὺς ἀσθενῆ καὶ εὐδιάθρυπτον ἔχοντας νοῦν, καὶ ταῖς τῶν παθῶν προσβολαῖς ἀντιφέρεσθαι μὴ δυναμένους, ὑπενηνεγμένους δὲ οὕτως αὐταῖς, ὡς αἰχμαλώτους εἶναι δοκεῖν. Τούτοις ἴασίν τε καὶ ἄφεσιν ἐπαγγέλλεται, τυφλοῖς δὲ οὖσιν αὐτοῖς δίδωσι καὶ ἀνάβλεψιν. Οἱ γὰρ τῇ κτίσει λατρεύοντες, καὶ τῷ ξύλῳ λέγοντες· « Πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με, » εἶτα τὸν φύσει, καὶ ἀληθῶς ὄντα Θεὸν οὐκ ἐπεγνωκότες, πῶς οὐκ ἂν εἶεν τυφλοὶ, καὶ φωτὸς τοῦ θείου καὶ νοητοῦ γυμνὴν ἔχοντες τὴν καρδίαν, τούτοις ἐνίησιν ὁ Πατὴρ τῆς ἀληθοῦς θεογνωσίας τὸ φῶς. Κέκληνται γὰρ διὰ πίστεως, καὶ ἔγνωσαν αὐτὸν, μᾶλλον δὲ ἐγνώσθησαν ὑπ' αὐτοῦ, καὶ υἱοὶ νυκτὸς ὄντες, καὶ σκότους, φωτὸς D γεγόνασι τέκνα· διηύγασε γὰρ αὐτοὺς ἡ ἡμέρα, καὶ ὁ τῆς δικαιοσύνης ἀνέσχεν Ἥλιος, καὶ λαμπρὸς ἀνέτειλεν Ἑωσφόρος. Λυπεῖ δὲ οὐδὲν καὶ τοῖς ἐξ αἵματος Ἰσραὴλ ἐφαρμόσαι πάντα τὰ εἰρημένα. Καὶ γὰρ ἦσαν πτωχοὶ, καὶ συντετριμμένοι τὴν καρδίαν, καὶ οἷον αἰχμάλωτοι, καὶ ἐσκοτισμένοι. « Οὐ γὰρ ἦν ἐπὶ γῆς ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνὸς, ἀλλὰ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. » Ἀφῖκται δὲ ὁ Χριστὸς καὶ πρό γε τῶν ἄλλων εὐαγγελιζόμενος τοῖς ἐξ Ἰσραὴλ τῆς ἑαυτοῦ παρουσίας τὰ κατορθώματα. Καὶ πρός γε δὴ τούτοις, ἵνα καὶ ἐνιαυτὸν Κυρίου καλέσῃ δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως. Καὶ

[40] Philipp. II, 7. [40*] Ephes. II, 12. [41] I Cor. II, 9. [42] Jer. II, 27. [43] Psal. XIII, 3. [44] Joan. XII, 24, 25.

δεκτὸς μὲν ἐνιαυτὸς, καθ' ὃν ἐσταυρώθη ὑπὲρ ἡμῶν Χριστός. Δεκτοὶ γὰρ τότε γεγόναμεν τῷ Θεῷ καὶ Πατρὶ, καὶ καρποφορηθέντες δι' αὐτοῦ, καὶ τοῦτο αὐτὸς ἡμᾶς ἐδίδαξεν, εἰπὼν, « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πλείονα φέρει. » Καὶ πάλιν, « Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Καὶ γοῦν ἀνεβίω τριήμερος πατήσας τοῦ θανάτου τὸ κράτος. Εἶτα τοῖς ἁγίοις μαθηταῖς προσεφώνει, λέγων· « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Δεκτὸς οὖν ἐνιαυτὸς ἐκεῖνός που πάντως, καθ' ὃν εἰσεδέχθημεν τὴν πρὸς αὐτὸν λαχόντες οἰκείωσιν, ἀπονιψάμενοι τὴν ἁμαρτίαν διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ τῆς θείας αὐτοῦ φύσεως γενόμενοι κοινωνοὶ διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος. Ἤγουν δεκτὸς ἐνιαυτὸς, καθ' ὃν πεφανέρωκε τὴν δόξαν αὐτοῦ διὰ τῆς ὑπὲρ λόγον θεοσημείας· ἐδεξάμεθα γὰρ ἀσμένως τὸν τῆς παρ' αὐτοῦ σωτηρίας καιρὸν, ὃν δὴ καὶ ὁ πάνσοφος Παῦλος καταμεμήνυκε λέγων· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. » ἡμέραν γε μὴν ἀνταποδόσεως εἶναί φαμεν οὐδὲν ἧττον αὐτὸν τὸν τῆς ἐπιδημίας καιρὸν, καθ' ὃν ἡ ἀνταπόδοσις δέδοται παρ' αὐτοῦ τοῖς πιστεύσασιν εἰς αὐτὸν διὰ τῆς ἐν ἐλπίσιν ἐπαγγελίας· οἷον δὲ δή τι φημί· Ἡ κατὰ τὸν Μωσέως νόμον πολιτεία ἐπαινουμένη πρόξενος ἦν τοῖς ἀμωμήτως αὐτὴν ἐθέλουσι κατορθοῦν τῆς ἐνταῦθα εὐπραγίας, ὑπόσχεσιν δὲ γερῶν τῶν εἰς τὸ μέλλον οὐκ εἶχε. Μόνης δὲ τάχα που τῆς κατὰ τόνδε τὸν βίον εὐημερίας ἐποιεῖτο μνήμην· ἐκέλευε μὲν γὰρ ἀπέχεσθαι πλημμελημάτων, ἐπιφωνῶν, ἵνα « Μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου. » Ἐπεφώνει δὲ καὶ τέκνοις· « Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. » Ἐπηγγέλλετο δὲ καὶ καρπῶν ἀφθονίαν, ἔσθ' ὅτε, καὶ πολέμου παῦλαν, καὶ εἰρήνης πλάτος, καὶ τὴν ἐπ' αὐτῇς εὐθυμίαν. Ἔφη γοῦν διὰ φωνῆς Ζαχαρίου· « Κατακάρπως κατοικηθήσεται Ἰερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν τῶν ἐν αὐτῇ, καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. » Καὶ πάλιν· « Ἔτι καθίσονται πρεσβύτεροι ἐν ταῖς πλατείαις Ἱερουσαλήμ. Ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἐν τῇ χειρὶ ἔχων ἀπὸ πλήθους ἡμερῶν, καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδαρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς. » Προσκαίρων οὖν ἄρα γερῶν ἀπόλαυσιν ὁ διὰ Μωσέως νόμος ὑπισχνεῖτο τοῖς πάλαι· τὸ δὲ θεῖον καὶ σωτήριον κήρυγμα τὰς εἰς τὸ μέλλον ἀνταποδόσεις· « Μακάριοι γὰρ, φησὶν, οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· » καὶ τοὺς ἐφεξῆς κειμένους μακαρισμοὺς εἴ τις ἕλοιτο πολυπραγμονεῖν ἀνταποδόσει ἐπηγγελμένας, λαμπρὰς καὶ μεγάλας εὑρήσει παρὰ

A Et iterum : « Quando de terra exaltatus fuero, omnes traham ad meipsum [45]. » Siquidem revixit tertio die, calcato mortis imperio. Deinde sanctos discipulos allocutus ait : « Data est mihi omnis potestas in cœlo et in terra. Ite, docete omnes gentes, baptizantes eos in nomen Patris, et Filii, et Spiritus sancti [46]. » Acceptus est igitur omnino annus ille, quo admissi sumus, adepti societatem cum ipso, abluto peccato per sanctum baptisma, et divinæ illius naturæ facti participes communicatione sancti Spiritus. Vel annus acceptus est, quo manifestavit gloriam suam miraculo ineffabili. Libenter enim arripuimus salutis per ipsum tempus, quod sapientissimus significavit Paulus, dicens ; « Ecce nunc tempus acceptabile, ecce nunc dies salutis [47]. »
B Retributionis diem esse nihilo serius dicimus, ipsum adventus tempus, quo retributio data est ab ipso credentibus in ipsum, ex promissione quam spes amplectitur. Quod dico, ita se habet : Legis Mosaicæ politia laudata, recte et inculpate facere volentibus, felicitatis præsentis conciliatrix erat ; pollicitationem vero bonorum futurorum adjunctam non habebat, sed solummodo prosperitatem hujus vitæ **860** prædicabat; jubebat enim abstinere a delictis, acclamans : « Ne moriaris in tempore non tuo [48]. » Liberis autem aiebat : « Honora patrem tuum et matrem tuam, ut bene tibi sit, et longævus sis in terra [49]. » Interdum etiam promittebat fructuum ubertatem, et quietem a bello, ac pacis amplitudinem, et inde animi tranquillitatem. Dixit si-
C quidem voce Zachariæ : « Fructuose inhabitabitur Jerusalem a multitudine hominum et jumentorum, quæ sunt in ea. Et ego ero illi, dicit Dominus, murus ignis circumcirca, et gloria ero in medio ejus [50]. » Et iterum : « Adhuc sedebunt seniores in plateis Jerusalem, quisque virgam suam habens in manu, a multitudine dierum. Et plateæ civitatis implebuntur puerulis et puellis ludentibus in plateis ejus [51]. » Temporariam itaque præmiorum perfruitionem Mosaica lex promittebat veteribus; at divina et salutaris prædicatio, retributiones in futuro tempore. « Beati enim, inquit, pauperes spiritu, quia ipsorum est regnum cœlorum [52]. » Et, si consequentes beatitudines quis indagare velit diligen-
D ter, retributiones quæ promissæ sunt, inveniet a Deo, et illustres et magnas. Sin alio modo visum sit alicui, retributionem a Christo factam de adventus tempore interpretari, non aberrabit a scopo. Olim enim insolenter gessit se contra mortales profanissimus Satan, et orbem occupavit, a vera cognitione, Dei, inquam, naturalis segregatum ac divulsum, et in puteum quasi peccati præcipitatum, ac sui malarumque secum potestatum reddidit cultorem. Itaque dixit : « Totum orbem comprehendam manu ut nidum, et ut derelicta ova tollam : nec est qui possit me effugere, vel qui contradicat mihi [53]. »

[45] Joan. xii, 32. [46] Matth. xxviii, 18, 19. [47] II Cor. vi, 2. [48] Eccle. vii, 18. [49] Exod. xx, 12. [50] Zach. ii, 4. [51] Zach. viii, 4. [52] Matth. v, 3. [53] Isa. x, 14.

Sed deprehensus est vanas spes hac de re concepisse. Excitatus enim est contra Christus, et obluctatus est pro nobis, et pœnas impietatis in nos ab eo exegit. Omnem enim illius demolitus est fortitudinem, et tyrannide in nos exturbavit, « et rudentibus inferni detractos in Tartarum, » ut scriptum est, « tradidit cruciandos in judicium magni diei reservari [54], » tam ipsum quam cæteros, qui cum ipso apostatæ exstiterunt. Psallit siquidem divinus David, velut sub persona redemptorum, et **861** inquit : « Confitebor tibi, Domine, in toto corde meo, narrabo omnia mirabilia tua. Lætabor et exsultabo in te, psallam nomini tuo, Altissime, quia fecisti judicium meum et causam meam. Sedisti super thronum, qui judicas justitiam, increpasti gentes, et periit impius. Nomen ejus delevisti in B sæculum sæculi [55]. » Alibi rursus sic de eo : « Quæretur, inquit, peccatum ejus et non invenietur [56]. » Dixit quoque ipse Servator : « Nunc judicium est mundi hujus ; nunc princeps mundi hujus ejicietur foras [57]. » Tempus igitur retributionis etiam hoc modo est quo illuxit mundo Christus. Venisse autem eum dicit, ut consoletur omnes lugentes Sion, ut det illis gloriam pro cinere, et unctionem lætitiæ, et amictum gloriæ pro spiritu mœroris. Exstiterunt enim quondam apud Judæos sancti viri et in lege docti, ac propheticorum præconiorum scrutatores et gnari. Hi cum viderent sanguine Israelitico oriundos, Mosaica præcepta parvi duxisse, et ad sua placita conversos, docereque doctrinas præcepta hominum, ac vitam legi C maxime contrariam et flagitiosam vivere, tristitia quæ sanctos decet affecti sunt, ac redemptionem per Christum exspectabant. Non etenim ignorarunt, cum Spiritu afflati essent, eum, qui fide justificat impium, et qui gratia injuriarum immemori, contaminatos abstergit. Nam Simeon ille justus, Christo infante ulnis excepto, precatus est, dicens : « Nunc dimittis servum tuum, Domine, secundum verbum tuum in pace. Quia viderunt oculi mei salutare tuum, quod parasti ante faciem omnium populorum. Lumen ad revelationem gentium et gloriam populi tui Israel [58]. » Inveniemus etiam divinum Zachariam, Joannis patrem, dicere : « Benedictus Dominus Deus Israel, quia visitavit, et fecit D redemptionem plebi suæ. Et erexit cornu salutis nobis [59]. » Evangelizavit item Philippus Nathanaeli, sic dicens : « Quem scripsit Moses in lege, et prophetæ, invenimus Jesum filium Josephi, a Nazareth [60]. » Scribit etiam sapientissimus Paulus : « Tristitia mihi magna est, et continuus dolor cordi, pro fratribus meis, qui sunt cognati mei secundum carnem [61]. » — « Data est igitur **862** lugentibus Sion, consolatio, » per Christum, « et pro cinere gloria. » Desierunt enim illam lugere et deflere, ceperuntque per Christum gaudium, prædicantes et

A Θεοῦ. Εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον τρόπον τὴν ἀνταπόδοσιν τὴν γεγενημένην παρὰ Χριστοῦ κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν, οὐκ ἂν ἔξω βάλοι σκοποῦ. Πάλαι μὲν γὰρ κατηλαζονεύετο τῶν ἐπὶ τῆς γῆς ὁ παμβέβηλος Σατανᾶς· πεπλεονέκτηκε γὰρ τὴν ὑπ' οὐρανὸν ἀποβουκολήσας αὐτὴν τῆς ἀληθοῦς γνώσεως τῆς ἐπί γέ φημι τῷ κατὰ φύσιν Θεῷ, τέλμασι δὲ ὥσπερ τοῖς τῆς ἁμαρτίας ἐμβαλὼν, ἑαυτοῦ τε καὶ τῶν σὺν αὐτῷ δυνάμεων πονηρῶν ἀπέφηνε προσκυνητάς. Ἔφασκε γοῦν, ὅτι « Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ, ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι· » ἀλλ' ἦλω κενὰς ἔχων ἐπ' αὐτῷ δὴ τούτῳ καὶ τὰς ἐλπίδας. Ἀντεγήγερται γὰρ, καὶ ἀντείρηκεν ὑπὲρ ἡμῶν ὁ Χριστὸς, εἰσεπράξατο B δὲ καὶ δίκας αὐτὸν τῆς καθ' ἡμῶν ἀσεβείας, καθεῖλε γὰρ αὐτοῦ πᾶσαν ἰσχὺν, ἐκβέβληται τῆς καθ' ἡμῶν τυραννίδος, « Καὶ σειραῖς ζόφου ταρταρώσας, » κατὰ τὸ γεγραμμένον, « παρέδωκεν εἰς κρίσιν μεγάλης ἡμέρας κολασθησομένους τηρεῖν » αὐτόν τε καὶ τοὺς ἑτέρους, οἳ συναποστάται γεγόνασιν αὐτῷ. Ψάλλει γοῦν καὶ ὁ θεσπέσιος Δαβὶδ ὡς ἐκ προσώπου τῶν λελυτρωμένων, καί φησιν· « Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου. Εὐφρανθήσομαι, καὶ ἀγαλλιάσομαι ἐν σοί. Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε, ὅτι ἐποίησας τὴν κρίσιν μου, καὶ τὴν δίκην μου. Ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην· ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Ναὶ μὴν καὶ C ἑτέρωθί που πάλιν φησὶ περὶ αὐτοῦ ὧδε· « Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν. » Ἔφη δὲ καὶ αὐτὸς ὁ Σωτήρ· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. » Καιρὸς οὖν ἀνταποδόσεως, καὶ κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν ἐπέλαμψε τῷ κόσμῳ Χριστός· ἐληλυθέναι δέ φησιν, ὥστε παρακαλέσαι πάντας τοὺς πενθοῦντας Σιὼν, δοῦναι αὐτοῖς δόξαν ἀντὶ σποδοῦ, καὶ ἄλειμμα εὐφροσύνης, καὶ καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας. Γεγόνασι μὲν γὰρ κατὰ καιροὺς παρὰ τοῖς Ἰουδαίοις ἄνδρες ἅγιοι, καὶ νομομαθεῖς, καὶ προφητικῶν κηρυγμάτων ἐρευνηταὶ, καὶ ἐπιστήμονες. Οὗτοι θεωροῦντες τοὺς ἐξ αἵματος Ἰσραὴλ τῆς διὰ Μωσέως ἐντολῆς ὀλίγα D πεφροντικότας, τραπομένους δὲ μᾶλλον εἰς τὸ αὐτοῖς δοκοῦν, καὶ διδάσκοντας μὲν διδασκαλίαν ἐντάλματα ἀνθρώπων, ἐκνομωτάτην δὲ καὶ φιλαμαρτήμονα διαβιοῦντας ζωὴν, τὴν ἁγίοις πρέπουσαν ἐπ' αὐτοῖς ἐδέχοντο λύπην. Προσεδόκουν δὲ τὴν διὰ Χριστοῦ λύτρωσιν. Οὐ γὰρ ἠγνόησαν ὄντες πνευματοφόροι τὸν δικαιοῦντα πίστει τὸν ἀσεβῆ, καὶ ἀμνησικάκῳ χάριτι διασμήχοντα τοὺς μεμολυσμένους. Καὶ γοῦν ὁ μὲν δίκαιος Συμεὼν βρέφος ὄντα Χριστὸν ἐν ἀγκάλαις λαβὼν προσηύχετο λέγων· « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ

[54] II Petr. II, 4. [55] Psal. IX, 2-6. [56] Psal. X, 15. [57] Joan. XII, 31. [58] Luc. II, 29-32. [59] Luc. I, 68, 69. [60] Joan. I, 45. [61] Rom. IX, 2.

πρόσωπον παντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν A ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. » Εὑρήσομεν δὲ καὶ τὸν θεσπέσιον Ζαχαρίαν τὸν Ἰωάννου πατέρα λέγοντα· « Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπισκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν. » Εὐηγγελίζετο δὲ καὶ Φίλιππος τῷ Ναθαναὴλ οὕτω λέγων· « Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, ηὕραμεν Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζάρετ. » Γράφει δέ που καὶ ὁ πάνσοφος Παῦλος, ὅτι « Λύπη μοί ἐστι καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ, ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα. » — « Δέδοται τοίνυν τοῖς πενθοῦσι Σιὼν παράκλησις, » ἡ διὰ Χριστοῦ, « καὶ ἀντὶ σποδοῦ δόξα. » Κατέληξαν μὲν γὰρ τοῦ πενθεῖν, καὶ κλαίειν αὐτήν, ἐδέχοντο δὲ τὴν διὰ Χριστοῦ χάριν, εὐαγγελιζόμενοί τε καὶ ἐπαγγέλλοντες· « Ἐδόθη B δὲ αὐτοῖς ἄλειμμα εὐφροσύνης ἀντὶ πένθους, καὶ καταστολὴ δόξης, ἀντὶ πνεύματος ἀκηδίας. » Ἄλειμμα δέ φησιν ἐν τούτοις τὸ ἱλαρὸν, ἤτοι τὴν ἱλαρότητα, καὶ τὴν εὐφροσύνην, ἀντὶ τοῦ πενθεῖν, καὶ κλαίειν, καὶ δόξης καταστολὴν, τουτέστι, περίβλημα, ἤγουν στολὴν, καὶ ἄμφιον ἀντὶ πνεύματος ἀκηδίας, τουτέστιν, ἀντὶ τῆς πάλαι μικροψυχίας. Ἐδοξάσθησαν γὰρ οἱ πάλαι θρηνοῦντες αὐτήν· καὶ ἀκηδιῶντες ὑπὲρ αὐτῆς· ἐδοξάσθησαν δὲ πῶς; τέθεινται γὰρ αὐτῆς καθηγηταὶ καὶ διδάσκαλοι, καὶ τοῦτο ἦν ἄρα τὸ πρὸς αὐτὴν εἰρημένον διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Ἀντὶ τῶν πατέρων σου, ἐγενήθησάν σοι υἱοί. » Τέκνα γὰρ ὄντες τῆς τῶν Ἰουδαίων Συναγωγῆς οἱ πάνσοφοι μαθηταί, γεγόνασι πατέρες. Γράφει γοῦν τισιν ὁ πάνσοφος Παῦλος, « Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Τέθεινται οὖν ἐν τάξει πατέρων οἱ γεγονότες αὐτῆς υἱοί, ὅτι δὲ τῆς παρὰ Θεοῦ δόξης ἐσχήκασιν τὴν περιστολὴν οἱ θεσπέσιοι μαθηταί, σαφὲς ἂν γένοιτο, Χριστοῦ λέγοντος αὐτοῖς, ποτὲ μὲν, ὅτι « Ἀσθενοῦντας θεραπεύετε, δαιμόνια ἐκβάλλετε, νεκροὺς ἐγείρετε· » ποτὲ δὲ πάλιν· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. »

annuntiantes Evangelium. « Data est illis pro luctu unctio lætitiæ, et amictus gloriæ pro spiritu mœroris. » Unctionem autem hic vocat, quod hilare est, seu hilaritatem et lætitiam pro luctu et fletu : et καταστολὴν, id est, amictum, sive stolam, et vestimentum pro spiritu ἀκηδίας, id est, pro veteri illa animi dejectione et contractione. Nam glorificati sunt, qui olim deplorabant eam, et qui mœrore pro ea afficiebantur. Glorificati vero sunt, quomodo? Nam constituti sunt ejus præceptores et doctores. Atque hoc est quod ei dictum est lyra Psallentis : « Pro patribus tuis nati sunt tibi filii [62]. » Liberi enim Judaicæ Synagogæ cum essent sapientissimi discipuli, facti sunt patres. Scribit scilicet sapientissimus Paulus : « In Christo enim Jesu per Evangelium ego vos genui [63]. » Constituti quippe sunt patrum loco, qui fuerunt ejus filii. Habuisse autem divinos discipulos amictum gloriæ a Deo, clarum esse potest, dicente Christo illis alicubi : « Infirmos curate, dæmonia ejicite, mortuos excitate [64]; » rursus alibi : « Vos estis lux mundi [65]. »

Καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν. Καὶ οἰκοδομήσουσι πόλεις ἐρήμους αἰωνίας, ἐξερημωμένας πρότερον ἐξαναστήσουσι, καὶ καινιοῦσι πόλεις ἐρήμους ἐξερημωμένας εἰς γενεάς. C

Χρηματίζουσι γὰρ οἱ ἐν Χριστῷ « Γένος ἐκλεκτὸν, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, » διά τοι τὸ κάλλος τῆς ἐνούσης αὐτοῖς δικαιοσύνης, καὶ οὔτι πού φημι τῆς κατὰ νόμον, ἐκείνης δὲ μᾶλλον, ἣν διὰ τῶν τοῦ Σωτῆρος ἐσχήκασι θεσπισμάτων· ἀμείνων δ' ἀσυγκρίτως ἡ διὰ Χριστοῦ τῆς ἐν νόμῳ· καὶ γοῦν ἔφη τοῖς ἁγίοις ἀποστόλοις· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » — « Κεκλήσονται τοίνυν, φησὶ, δικαιοσύνης γενεαὶ, καὶ προσέτι φύτευμα Κυρίου. » D Καὶ γάρ ἐσμεν ἀληθῶς Θεοῦ γεώργιον, καὶ περὶ ἡμῶν ὁ θεσπέσιος Δαβὶδ φησι· « Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι. » Καὶ γοῦν ὁ πάνσοφος Παῦλος Θεοῦ γεώργιον ὀνομάζει τοὺς κεκλημένους διὰ πίστεως τῆς ἐν Χριστῷ. Ἔφη δὲ πάλιν, ὅτι « Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ὁ δὲ Θεὸς ηὔξανε. » Γεωργεῖ γὰρ ἡμᾶς ὁ Σωτὴρ διὰ τῶν ἁγίων μυσταγωγῶν· ταύτῃ τοι καὶ μάλα εἰκότως φασὶν ἑαυτοὺς συνεργοὺς γενέσθαι Θεοῦ. Ψάλλει δὲ καὶ ὁ πάνσοφος Δαβίδ· « Δίκαιος

VERS. 4. *Et vocabuntur progenies justitiæ, plantatio Domini in gloriam. Et ædificabunt solitudines æternas, vastatas prius excitabunt, et innovabunt civitates desertas, vastatas in generationes.*

Nuncupantur enim qui in Christo sunt « genus electum, gens sancta, populus acquisitus [66], » propter justitiæ quæ illis inest pulchritudinem. Justitiam dico non legalem, sed potius eam, quam ex Servatoris oraculis habuerunt. Quæ in Christo est, legali justitia melior est incomparabiliter. Siquidem sanctos apostolos allocutus est : « Amen dico vobis, nisi abundaverit justitia vestra plusquam Scribarum et Pharisæorum, non ingrediemini in regnum cœlorum [67]. » — « Vocabuntur igitur, inquit, progenies justitiæ, et præterea plantatio Domini. » Etenim sumus vere Dei agricultura, et de nobis divinus David ait : « Plantati in domo Domini, in tabernaculis Dei nostri florebunt [68]. » Siquidem Paulus sapientissimus Dei agriculturam nominat [69], **863** qui per fidem in Christo vocati sunt. Rursus dixit : « Ego plantavi, Apollo rigavit, sed Deus incrementum dedit [70]. » Colit enim nos quasi agricola Servator, per sanctos mystagogos. Unde et quidem justissime dicunt se Dei esse cooperarios. Psallit quoque David sapientissimus : « Justus ut palma florebit,

[62] Psal. XLIV, 17. [63] I Cor. IV, 15. [64] Matth. X, 8. [65] Matth. V, 14. [66] I Petr. II, 9. [67] Matth. V, 20. [68] Psal. XCI, 14. [69] I Cor. III, 9. [70] Ibid. 6.

quasi cedrus in Libano multiplicabitur[71]. » Sumus itaque plantatio Domini, et in gloriam ejus. « Ædificabunt autem, inquit, civitates desertas æternas, et innovabunt civitates desertas. » Videtur inde velle significare, vel multitudinem vocandorum tantam fore, ut et alias civitates, præter eas quæ sunt, quærant, et quæ vastatæ sunt aliquando reficiant; vel illud fortassis: In angustias enim redacti, inquit, propter multitudinem, ecclesias nudas licet et desertas olim, tale quiddam efficient, quale solent facere, qui civitates vastatas ædificant, et qui humi jacentes quodammodo excitare satagunt. Dictum est enim Ecclesiæ: « Dilata locum tentorii tui et aulæorum tuorum, fige, ne parcas [72]. Adhuc in dextris et in sinistris expande. » Veram esse de hac re prædictionem, ipse rerum eventus ostendit facillime.

VERS. 5-7. *Et venient alienigenæ pascentes oves tuas, et alienæ gentis aratores et vinitores. Vos autem sacerdotes Domini vocabimini, ministri Dei. Fortitudinem gentium comedetis, et in divitiis eorum eritis admirabiles. Pro confusione vestra duplici, et pro rubore lætabitur pars eorum, et sic terram secundo possidebunt. Et gaudium sempiternum erit super caput eorum.*

Diserte hic legis et sacerdotii in ea descripti translationem fore dicit. Non enim jam Leviticis sacrificium, non ministerii nomen aut res quadraverit; sed exclusi sunt isti, ac data est hæc gloria illis qui ex gentibus per fidem vocati sunt. Dei enim calculo coronati sunt, et ipsi constituti sunt ministri ac sacerdotes. « Venient enim, inquit, alienigenæ pascentes oves tuas. » Habetur autem hæc oratio velut ad Ecclesiam, cujus oves intelligi possunt, servatorum per fidem sancta multitudo. Hæc ab alienigenis pascitur. Olim enim Scribæ et Pharisæi, qui docendi
864 munus apud Israelitas sortiti sunt, socordes et resides ac imperitissimi pastores exstiterunt. Periit igitur ipsis subjecta multitudo, quandoquidem argentum reprobum habebant, et docebant doctrinas mandata hominum, et a Christi cognitione subditos abducebant, modo dicentes: « Nos scimus Moysi locutum esse Deum, hunc autem nescimus unde sit[73]; » modo iterum: « Dæmonium habet et insanit, quid illum auditis [74]? » Testatus est itaque voce prophetarum universorum Dominus, sic dicens: « Pastores stulti facti sunt, et Dominum non quæsierunt. Propterea non intellexit grex, et dispersi sunt [75]. » Item voce Ezechielis: « O pastores Israel, ecce lac comeditis, et oves meas non pascitis [76]; » et ad hæc: « Pulchra pascua devorastis, et reliquias conculcastis pedibus vestris. Et collectam aquam bibistis, et reliquias turbastis pedibus vestris. Oves autem meæ

ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. » Ἐσμὲν δὴ οὖν ἄρα φύτευμα Κυρίου, καὶ εἰς δόξαν αὐτοῦ. « Οἰκοδομήσουσι δὲ, φησὶ, πόλεις ἐρήμους αἰωνίας, καὶ καινιοῦσι πόλεις ἐρήμους. » Ἔοικε βούλεσθαι διὰ τούτου δηλοῦν, ἢ τὸ πλῆθος τῶν κληθησομένων, ὡς ἔσται τοσοῦτον, ὥστε καὶ πόλεις ἑτέρας παρὰ τὰς οὔσας ἐπιζητεῖν, καὶ ἀνανεοῦν αὐτὰς ἐρημωμένας ποτέ· ἤγουν ἐκεῖνό που τάχα· Στενοχωροῦντες γὰρ, φησὶ, τῷ πλήθει τὰς ἐκκλησίας, καίτοι γυμνὰς οὔσας καὶ ἐρήμους ποτὲ, δράσουσί τι τοιοῦτον, ὁποῖον εἰώθασιν δρᾷν οἱ πόλεις ἠρημωμένας οἰκοδομεῖν ἐθέλοντες, καὶ οἷον χαμαὶ κειμένας ἐγείρειν σπουδάζοντες. Εἴρηται γοῦν πρὸς τὴν Ἐκκλησίαν· « Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ αὐλαιῶν σου πῆξον, μὴ φείσῃ· ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον. » Ἀληθῆ δὲ οὖσαν τὴν περὶ τούτου προαγόρευσιν, αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις ἐκδείξειεν ἂν, καὶ μάλα ῥᾳδίως.

Καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοί· ὑμεῖς δὲ ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ. Ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. [(1) *Ἀντὶ τῆς αἰσχύνης ὑμῶν τῆς διπλῆς, καὶ ἀντὶ τῆς ἐντροπῆς ἀγαλλιάσεται ἡ μερὶς αὐτῶν, καὶ οὕτως*] *ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν. Καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν.*

Ἐνταῦθα σαφῶς τοῦ νόμου μετάθεσιν καὶ τῆς κατ' αὐτὸν ἱερωσύνης ἔσεσθαί φησιν. Οὐ γὰρ ἔτι τοῖς αἵματος τοῦ Λευὶ τὸ ἱερουργεῖν ἁρμόσει, καὶ τὸ τῆς λειτουργίας ὄνομά τε καὶ χρῆμα, ἀλλ' ἐξώσθησαν μὲν ἐκεῖνοι, δέδοται δὲ τοῖς ἐξ ἐθνῶν κεκλημένοις διὰ τῆς πίστεως ἡ ἐπὶ τῷδε δόξα. Ψήφῳ γὰρ στεφανοῦνται Θεοῦ, καὶ αὐτοὶ τετάχαται λειτουργοί τε καὶ ἱερεῖς· « Ἥξουσι γὰρ, φησὶν, ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου. » Ἔστι δὲ ὁ λόγος, ὡς πρός γε τὴν Ἐκκλησίαν, ἧς ἂν νοηθεῖεν πρόβατα τῶν διὰ πίστεως σεσωσμένων ἡ ἁγία πληθύς· αὕτη ποιμαίνεται δι' ἀλλογενῶν. Οἱ μὲν γὰρ πάλαι Γραμματεῖς τε καὶ Φαρισαῖοι, οἱ τὸ καθηγεῖσθαι λαχόντες τῶν ἐξ αἵματος Ἰσραὴλ, ῥάθυμοί τε καὶ ἀναπεπτωκότες, καὶ ἀτεχνέστατοι γεγόνασι ποιμένες. Ἀπώλωλε γοῦν ἡ ὑπ' αὐτοῖς τεταγμένη πληθὺς, ἐπειδήπερ ἦν αὐτοῖς ἀδόκιμον τὸ ἀργύριον. Ἐδίδασκον δὲ καὶ διδασκαλίαν ἐντάλματα ἀνθρώπων, καὶ τοῦ εἰδέναι Χριστὸν ἀπεκόμιζον τοὺς ὑπεζευγμένους, ποτὲ μὲν λέγοντες· « Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί· » ποτὲ δὲ πάλιν· « Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε; » Διεμαρτύρατο γοῦν διὰ φωνῆς προφητῶν ὁ τῶν ὅλων Θεὸς, ὡδὶ λέγων, ὅτι « Οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν. Διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν· » καὶ μὴν διὰ φωνῆς τοῦ Ἰεζεκιήλ· « Ὦ ποιμένες τοῦ Ἰσραὴλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτοὺς, οὐχὶ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες;

[71] Psal. XCI, 13. [72] Isa. LIV, 2. [73] Joan. IX, 29. [74] Joan. X, 20. [75] Jer. X, 21. [76] Ezech. XXXIV, 2, 3.

(1) Quæ uncis comprehensa sunt, negat S. Hieronymus in LXX haberi. Sed et in Humfredi versione desunt.

Ἰδοὺ τὸ γάλα κατεσθίετε, καὶ τὰ πρόβατά μου οὐ βόσκετε· » ἔτι τε πρὸς τούτοις· « Τὴν καλὴν νομὴν ἐνέμεσθε, καὶ τὰ ὑπόλοιπα κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν, καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε, καὶ τὸ ἐπίλοιπον ἐταράσσετε τοῖς ποσὶν ὑμῶν, καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο, καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον. » Ὕδωρ μὲν γὰρ καθεστηκὸς τὴν διὰ νόμου παίδευσιν ὀνομάζει, καὶ ἀρίστην νομήν· οἱ δὲ πάντα φύροντες, καὶ καταθολοῦντες αὐτὴν διὰ τοῦ μὴ διδάσκειν ὀρθῶς τοὺς ὑπὸ χεῖρα λαοὺς, παρεσκεύαζον ὕδωρ ὥσπερ ἐκπίνειν οὐ καθαρὸν, οὔτε μὴν ἐνανθῆ νέμεσθαι νομήν. Ἐξώσθησαν τοιγαροῦν, καὶ μάλα εἰκότως, τοῦ ποιμαίνειν ἔτι τὸν τοῦ Κυρίου λαόν. Κέκληνται γὰρ πρὸς τοῦτο ἀλλογενεῖς. Διδάσκαλοι γὰρ Ἐκκλησιῶν χειροτονοῦνται παρὰ Χριστοῦ σοφοὶ, καὶ ἀγχίνοι, καὶ δογματικῆς εὐτεχνίας ἐπίμεστον ἔχοντες νοῦν, ἄνδρες ἐξ ἀγέλης ἑλληνικῆς, καὶ οὐκ ἐξ αἵματος ὄντες Ἰσραὴλ, οὗτοι γεγόνασι καὶ ἀροτῆρες, καὶ ἀμπελουργοί. Ἐπειδὴ γὰρ ἐκλεκτὴ γῆ κέκληνται πλεισταχοῦ τῆς θεοπνεύστου Γραφῆς οἱ πιστεύσαντες, καὶ ἀμπελὼν, καὶ κῆπος· ταύτητοί φησιν ὁ λόγος, ὡς ἀροτῆρας ἔσεσθαι, καὶ ἀμπελουργοὺς, τοὺς οἵπερ ἂν γένοιντο κατὰ καιροὺς ἱερεῖς Κυρίου καὶ λειτουργοὶ Θεοῦ, τὸν τῆς ἀληθείας ὀρθοτομοῦντες λόγον, καὶ ἱερουργοῦντες τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καθὰ γέγραπται· οὐκοῦν οὐχ ἑαυτοῖς ἁρπάζουσι τὴν τιμὴν, κέκληνται δὲ μᾶλλον παρὰ Θεοῦ, καθὼς καὶ ὁ πάνσοφός φησι Παῦλος. Καίτοι γὰρ φυλῆς ὑπάρχων Βενιαμὶν, ἱερουργὸν αὐτὸν ὀνομάζει πανταχοῦ, καὶ κλητὸν ἀπόστολον Ἰησοῦ Χριστοῦ. « Ὑμεῖς δὴ οὖν ἅπαντες οἱ τὸ τῆς ἱερουργίας λαχόντες ἀξίωμα, ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. » Ἰσχὺν δέ φησιν ἐθνῶν, ἢ τὰς τιμὰς τὰς ἐκ τῶν δυνατωτάτων, οἵπερ ἂν εἶεν ἐξ ἐθνῶν κεκλημένοι, ἢ καθ' ἕτερον συνήσεις τρόπον. « Οὐδεὶς γὰρ ὑμῶν, φησὶ, διαφεύξεται τὸ στόμα, » τουτέστι τὸν λόγον, ἀντὶ γὰρ τοῦ λόγου τὸ στόμα τίθησι πανταχοῦ τὸ Γράμμα τὸ ἱερὸν, οἷον, « Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει. » — « Κατανεμηθήσεσθε τοιγαροῦν, φησὶ, τὴν ἰσχὺν τῶν ἐθνῶν. » Ἐθνῶν δὲ δύναμιν, ἢ τοὺς παρ' ἐκείνοις λαμπροὺς, ἤγουν ἐλλογιμωτάτους, καὶ σοφίαν ἔχοντας κοσμικὴν ὀνομάζειν ὁ λόγος ἔοικεν ἐν τούτοις. Εὑρήσομεν δὲ καὶ αὐτὸν τὸν τῶν ἁγίων μυσταγωγῶν κατισχύσαντα λόγον, καὶ τὴν αὐτῶν κλῆσιν πλουτήσαντες ἐδοξάσθησαν. Καύχημα γὰρ διδασκάλων, στέφανός τε καὶ δόξα, οἱ διὰ τῆς αὐτῶν σεσωσμένοι φωταγωγίας. Διὰ τοῦτό φησιν, ὅτι « Ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. » Ὅτι δὲ τὸ θεσπέσιον κήρυγμα καταδράξεται τῶν χωρῶν, καὶ παντὸς ἔθνους, καὶ μονονουχὶ κληρονόμοι τῆς ὑπ' οὐρανὸν ἔσονται κατὰ καιροὺς οἱ τῶν ἁγίων Ἐκκλησιῶν ἡγούμενοι, Χριστῷ τὴν δόξαν ἀνάπτοντες, ὑπεμφαίνει, λέγων· « Οὕτως ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν. » Πάλαι μὲν γὰρ κατεκληροδότησε τοῖς ἐξ Ἰσραὴλ Ἰησοῦς ὁ τοῦ Ναυῆ τὰς τῶν ἐθνῶν χώρας· ἔλαβον γὰρ τὴν γῆν τῶν Ἀμοῤῥαίων, καὶ Ἰδουμαίων, καὶ Εὐαίων, καὶ

A conculcationibus pedum vestrorum pascebantur, et aquam turbatam a pedibus vestris bibebant [77]. » Aquam enim collectam vocat doctrinam legis et pascuum optimum. Qui autem corrumpebant et contaminabant eam, eo quod suum populum non recte docerent, aquam non puram ad bibendum propinabant, nec florida pascua pascebant. Dejecti sunt itaque ab officio pascendi deinceps Domini populum, idque jure merito. Vocati sunt enim ad hoc alienigenæ, quippe qui doctores Ecclesiarum a Christo designati sunt, sapientes et cordati, et sana dogmatum intelligentia cumulati et instructi, et viri ex Græco grege, non ex sanguine Israel oriundi, hi exstiterunt etiam aratores et vinitores. Cum enim credentes sæpe in Scripturis divinitus inspiratis, vocati sint

B electa terra, et vinea, et hortus, idcirco dicitur hac oratione, fore eos aratores et vinitores qui olim constituendi sint sacerdotes Domini et ministri Dei, verbum veritatis recte secantes [78], et Evangelium Christi ministrantes, quemadmodum scriptum est. Itaque non sibi usurpant honorem, sed vocati sunt a Deo potius [79], sicuti Paulus sapientissimus, etsi ex tribu Benjamin exstiterit, se tamen ipse ministrum et vocatum apostolum **865** Jesu Christi nominat. « Vos igitur omnes, qui ministerii dignitatem sortiti estis, fortitudinem gentium comedetis, et in divitiis eorum admirabiles eritis. » Fortitudinem gentium dicit, vel honores potentissimorum hominum, qui ex gentibus vocati sunt, vel alio modo intelliges. « Nemo

C enim vestrum, inquit, effugiet os, » id est, sermonem. Pro sermone enim sæpenumero os ponunt sacræ Litteræ, exempli causa : « Quorum os maledictione et amarulentia plenum est [80]. » — « Devorabitis enim, inquit, fortitudinem gentium, » id est, Oratio vestra vincet gentium potentiam. Potentiam autem gentium vel illustres viros apud eas, vel disertissimos et mundi prudentia valentes nominare videtur hic oratio. Inveniemus autem sanctorum mystagogorum orationem prævaluisse, et qui eorum vocatione ditati sunt, gloria sunt affecti. Laus namque doctorum et corona et gloria sunt qui illorum illuminatione servati sunt. Propterea ait : « In divitiis earum admirabiles eritis. » Quod autem divina prædicatio ad regiones pertinget et ad omnem gentem, et quod

D hæredes orbis terrarum futuri sunt olim sanctarum Ecclesiarum præfecti, qui Christo gloriam tribuunt, subindicat, dicens : « Sic terram secundo possidebunt. » Olim quippe sortito divisit Israelitis Jesus, filius Nave, regiones gentium ; acceperunt enim terram Amorrhæorum, Idumæorum, Evæorum et aliorum. Cum autem mundo illuxisset Christus, cujus figura erat Jesus ille antiquus, non solam Judæam suis ministris distribuit, sed et terram universam. Et hæc secunda fuit post primam divisio hæreditatis. Dispartiti sunt enim calculo et judicio ipsius regiones ac civitates mystagogi et doctores : etiamnum gaudent in Christo, et gaudio quodam spiritali

[77] Ezech. XXXIV, 18, 19. [78] II Tim. II, 15. [79] Rom. I, 6. [80] Psal. XIII, 3.

quasi corona sunt redimiti. Estque gaudium æternum. Nam in temporariis rebus non exspectamus fore remunerationem, sed in spe longa et vita sempiterna, et in bonis cogitationem et orationem excedentibus.

A τὰς τῶν ἑτέρων. Ἐπιλάμψας δὲ τῷ κόσμῳ Χριστὸς, οὗ καὶ εἰς τύπον ἦν Ἰησοῦς ὁ πάλαι κατεκληροδότησε τοῖς ἰδίοις ἱερουργοῖς, οὐχὶ δή που μόνον τὴν Ἰουδαίαν, ἀλλὰ γὰρ ἅπασαν τὴν γῆν. Καὶ δευτέρα μετὰ τὴν πρώτην κληροδοσίαν γέγονε. Διενείμαντο γὰρ τάς τε χώρας καὶ πόλεις ψήφῳ τῇ παρ' αὐτοῦ μυσταγωγοὶ καὶ διδάσκαλοι, καὶ εἰσὶν εἰς δεῦρο χαίροντες ἐν Χριστῷ, καὶ νοητὴν εὐφροσύνην, ὥσπερ τινὰ στέφανον ἔχοντες ἐπὶ κεφαλῆς. Αἰώνιος δὲ ἡ εὐφροσύνη· οὐ γὰρ ἐν προσκαίροις πράγμασι προσδοκῶμεν ἔσεσθαι τὴν ἀντιμισθίαν, ἀλλ' ἐν ἐλπίδι μακρᾷ, καὶ ἀτελευτήτῳ βίῳ, καὶ ἐν τοῖς ὑπὲρ νοῦν καὶ λόγον ἀγαθοῖς.

Vers. 8, 9. ***Ego enim sum Dominus, diligens justitiam et odio habens rapinas ex injustitia. Et dabo laborem eorum aliis, et testamentum æternum disponam eis. Et cognoscetur in gentibus semen eorum,***
868 ***et nepotes eorum in medio populorum. Omnis qui viderit eos, agnoscet eos, quia illi sunt semen benedictum a Deo, lætitiam lætabuntur super Dominum.***

Ἐγὼ γάρ εἰμι Κύριος ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. Καὶ γνώσονται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν. Καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέσῳ
B *τῶν λαῶν. Πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ, εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον.*

Cum dixerit: « Alienigenæ venturi sunt qui pascant oves tuas, et alienæ gentis aratores et vinitores, » ejectis videlicet primis, et deturbatis dominatu quem in populum obtinuerunt, cur hoc passi sint sancto calculo ac judicio ejus qui juste judicat, causas ostendit. Quia enim, inquit, amo justitiam, rapinasque ex injustitia conflatas odi, et quia isti Judaicæ Synagogæ præfecti tales fuerunt, dimisi eos et expuli. Rapientium enim injustas rapinas et laborem dabo aliis. Qui enim injuste ditescunt, et, ut propheta ait, colligunt et accumulant sibi ipsis impietatem ac miseriam, ad alios ea transmittunt. Hinc Solomon: « Divitiæ, inquit, injuste congestæ evomentur, e domo ejus trahet illas angelus. » Et iterum: « Qui congerit divitias suas per usuras et avaritiam, et qui miseretur pauperum, relinquet eas; nec utique bonis viris et misericordibus, sed potius decoctoribus [81]. » Lepide enim dixit eos misereri pauperum. Nam qui profuse vivunt, his complures agglutinantur, et una cum illis consumunt quæ multis sudoribus per nefasque sunt coacervata. De illiusmodi hominibus psallit divinus David, et inquit: « At frustra tumultuatur; thesaurizat, et nescit cui congreget ea [82]. » Præterea alio modo: Labor seu cura Scribarum et Pharisæorum aliis data est, videlicet gentium doctoribus. Christus itaque ait: « Amen dico vobis, tolletur regnum Dei a vobis, et dabitur genti facienti fructus ejus [83]. » Ergo illi, inquit, expulsi sunt. At vobis, qui ex gentibus vocati estis ad sacrum ministerium, testamentum æternum disponam: inde vel prædicationem evangelicam, vel spem sempiternam intelligens: « In gentibus, » inquit, « cognoscetur semen eorum, et progenies eorum. Quos qui viderit agnoscet quia hi sunt semen benedictum a Deo. » Nam qui institutione et doctrina filii sanctorum mystagogorum exstiterunt propter insignem probitatem et vitæ pietatem, omnibus sunt notissimi, quia pro-

Εἰπὼν, ὅτι « Ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοὶ, » ὡς ἐξωσθέντων δηλονότι τῶν πρώτων, καὶ τοῦ καθηγεῖσθαι λαῶν ἐκσεσοβημένων, διαδείκνυσι τὰς αἰτίας, ἐφ' αἷς τοῦτο πεπόνθασιν, ὁσίᾳ ψήφῳ τοῦ τὰ δίκαια κρίνοντος. Ἐπειδὴ γὰρ ἀγαπῶ, φησὶ, τὴν δικαιοσύνην, ἁρπάγματα δὲ τὰ ἐξ ἀδικίας μισῶ, γεγόνασι δὲ τοιοῦτοι τῆς Ἰουδαίων Συναγωγῆς οἱ προεστῶτες, παρῆκα, φησὶ, καὶ ἐξεωσάμην αὐτούς. Τῶν γὰρ ἁρπαζόντων ἁρπάγματα ἐξ ἀδικίας τὸν μόχθον ἑτέροις δίδωμι. Οἱ γὰρ ἀδίκως πλουτοῦντες, καὶ, καθά φησιν ὁ προφήτης, θησαυρίζοντες ἑαυ-
C τοῖς ἀσέβειαν καὶ ταλαιπωρίαν, εἰς ἑτέρους αὐτὰ παραπέμπουσιν. Ἔφη γοῦν ὁ Σολομὼν, ὅτι « Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται, ἐξ οἰκίας αὐτοῦ ἑλκύσει αὐτὸν ἄγγελος. » Καὶ πάλιν· « Ὁ συνάγων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκου, καὶ πλεονασμῶν, τῷ ἐλεοῦντι πτωχοὺς καταλείψει αὐτὸν, καὶ οὐ δή που πάντως ἀγαθοῖς ἀνδράσι, καὶ φιλοικτίρμοσιν, ἀλλὰ ἀσώτοις μᾶλλον. » Εὐφήμως γὰρ τοὺς τοιούτους ἐλεεῖν ἔφη πτωχούς. Τοῖς γὰρ ζῶσιν ἐν ἀσωτίᾳ πλεῖστοι λίαν οἱ κολλώμενοι, καὶ συνδαπανῶντες αὐτοῖς τὰ πολλοῖς ἱδρῶσιν ἀδίκως σεσωρευμένα. Ψάλλει δὲ καὶ ὁ θεσπέσιος Δαβὶδ περὶ τῶν τοιούτων, καί φησι· « Πλὴν μάτην ταράσσεται· θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά· » Καὶ καθ' ἕτερον δὲ τρόπον ὁ μόχθος, ἤγουν ἡ φροντὶς τῶν Γραμματέων καὶ
D Φαρισαίων ἑτέροις ἐδόθη, δῆλον δὲ ὅτι (1) « Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. » Οὐκοῦν ἐκεῖνοι μὲν ἐξώσθησαν, φησὶν, ἡμῖν δὲ τοῖς κεκλημένοις ἐξ ἐθνῶν εἰς ἱερουργίαν διαθήκην αἰώνιον διαθήσομαι, ἢ τὸ κήρυγμα τὸ εὐαγγελικὸν διὰ τοῦτο δηλῶν, ἤγουν ἐλπίδα τὴν ἀτελεύτητον. « Ἐν δὲ τοῖς ἔθνεσι γνωσθήσεται, » φησὶ, « τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ. » Οἱ γὰρ κατὰ μαθητείαν υἱοὶ τῶν ἁγίων μυσταγωγῶν ἐκ πολ-

[81] Prov. xxviii, 8. [82] Psal. xxxviii, 7. [83] Matth. xxi, 43

(1) In exemplari Græco prætermissa sunt duo triave vocabula.

λῆς ἄγαν ἀγαθουργίας, καὶ τῆς κατ' εὐσέβειαν ζωῆς, γνωριμώτατοι πᾶσίν εἰσιν, ὅτι καὶ ἁγίων ἔκγονα γεγόνασι κατὰ μαθητείαν, ὡς ἔφην, « Καὶ ὅτι σπέρμα εἰσὶν εὐλογημένον ὑπὸ Θεοῦ, » οἷόν τὰ τῶν ἁγίων μοναστῶν συστήματα, περὶ ὧν φησιν ὁ Παῦλος· « Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, » οἱ τὸν ἐπιεικῆ καὶ φιλόπονον διαζῶντες βίον· τῶν ἐν παρθενίᾳ τὰ στίφη, καὶ χοροὶ γέμοντες εὐλογίας Θεοῦ, οὗτοι σπέρμα εἰσὶν εὐλογημένον ὑπὸ Θεοῦ, οὗτοι χαίρουσι, καὶ εὐφραίνονται ἐπὶ Κύριον· οὐ γὰρ ἐφήδονται πράγμασι κοσμικοῖς, ἐμπίμπλασι δὲ μᾶλλον τὰς ἑαυτῶν καρδίας ἀγάπης τῆς εἰς Χριστόν, σωτήριον δὲ τὸ χρῆμά ἐστι, καὶ θυμηδίας ἁπάσης ἐμποιητικόν.

A genies sanctorum facti sunt institutione et disciplina, ut dixi, « et quia semen benedictum a Deo: » **867** puta, sanctorum monachorum cœtus, de quibus Paulus: « Qui autem Christi Jesu sunt, carnem crucifixerunt cum affectibus et cupiditatibus [84], » qui probam et laboriosam traducunt vitam: et in virginitate degentium cohortes et chori qui Dei benedictione abundant: hi sunt semen benedictum a Deo, hi gaudent et lætantur in Domino. Non enim mundanis afficiuntur negotiis, sed corda sua potius charitate Christi complent. Hæc res salutaris est, et omnis voluptatis effectrix.

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπον τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν.

VERS. 10, 11. *Exsultet anima mea in Domino; B induit enim me veste salutis et tunica lætitiæ, tanquam sponsum circumdedit me mitra, et quasi sponsam ornavit me mundo muliebri; et sicut terra profert florem suum, et ut hortus semina sua, sic germinare faciet Dominus justitiam et exsultationem coram omnibus gentibus.*

Φιλότιμον ἐπ' αὐτοῖς ἁπλώσας τὴν χεῖρα, πλείστοις τε ὅσοις καὶ ἀξιοχθήτοις χαρίσμασι στεφανώσειν εἰπών· « Πᾶς γὰρ ὁ ὁρῶν, φησὶν, αὐτοὺς ἐπιγνώσεται, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ, » εἶτα προσεπενεγκὼν ὅτι « Καὶ εὐφρανθήσονται ἐπὶ Κύριον, » δίδωσιν εὐθὺς τὴν εὐφροσύνην αὐτοῖς. Ταύτητοι καὶ μάλα εἰκότως τὸ τῆς Ἐκκλησίας εἰσεκομίσθη πρόσωπον ἐκ περιχαρείας τῆς ἄγαν ἀναφωνοῦν, « Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης. » Χιτῶνα εὐφροσύνης τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν φησι. Γράφει γοῦν καὶ ὁ πάνσοφος Παῦλος τοῖς εἰς αὐτὸν πιστεύσασιν· « Ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν. » Οἵ γε μὴν ἀμφίου δίκην ἐσχηκότες αὐτὸν πρὸς τῇ σωτηρίᾳ κερδαίνουσι τὸ εὐημερεῖν, καὶ τὸ ἐν εὐφροσύναις εἶναι μακραῖς. Ἔφη γοῦν αὐτὸς ὁ Σωτήρ· « Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ, καὶ ἀπολέσῃ. Ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. » Οὐ γὰρ σώζει μόνον, ὡς ἔφην, ἀλλὰ γὰρ καὶ ἀτελευτήτῳ κατευφραίνει χαρᾷ· καὶ τοῦτό ἐστι τὸ περιττὸν προστεθησόμενον ἡ τοῖς ἁγίοις ζωή. Χριστὸς οὖν ἄρα τὸ ἐξ οὐρανοῦ, καὶ ἄνωθεν ἄμφιον ὁ τῆς ἀφθαρσίας χιτὼν, ὃν εἴ τις λάβοι στεφανωθήσεται κόσμῳ παντὶ, νοητῷ δηλονότι, καὶ τοῖς ἐξ ἀγαθουργίας αὐχήμασιν. Ἔσται γὰρ ὡς νυμφίος, ὡς μίτραν διεζωσμένος, καὶ ὡς νύμφη κόσμῳ παντὶ διαπρέπουσα. Εἰσὶ γὰρ, εἰσὶν οἱ ἐν Χριστῷ δεινοὶ μὲν, καὶ ἀλκιμώτατοι, πρός γε τὸ δεῖν ἀνδρίζεσθαι νοητῶς, καταπλουτοῦσι δὲ λίαν καὶ τὸ εὐπρεπὲς εἰς ἅπαν εἶδος ἀρετῆς. Ἐοίκασι δὲ καὶ νύμφαις διὰ τὸ καρπογόνον μετὰ τοῦ ποικίλον ἔχειν ὡς ἐν ἀρετῶν φαιδρότητι κάλλος. Ἔφη γοῦν τις τῶν ἁγίων προφητῶν, ἐγκάρπους ὄντας ἀποδεικνὺς τοὺς τὸν εὐαγῆ κατορθοῦντας βίον· « Διὰ τὸν φόβον

Munificam in illos manum extendit, et plurimis et insignibus donis coronaturum se illos dixit: « Omnis enim, inquit, qui videt eos, cognoscet esse illos semen benedictum a Deo. » Subjunxit deinde: « Et lætabuntur in Domino. » Statim illis dat lætitiam. Hinc non immerito Ecclesiæ persona introducta est, præ insigni gaudio in has voces erumpens: « Exsultet anima mea in Domino; induit enim C me veste salutis et tunica lætitiæ. » Tunicam vocat Dominum nostrum Jesum Christum. Scribit itaque sapientissimus Paulus his qui in ipsum crediderunt: « Induite Dominum nostrum Jesum Christum, et carnis curam ne gerite in cupiditatibus [85]. » Qui autem illum tanquam vestem habuerunt, præter salutem lucrantur felicitatem; itaque diuturno fruuntur gaudio. Ait itaque ipse Servator: « Fur non venit nisi ut furetur, et mactet et perdat; ego veni ut vitam habeant, et abundantem habeant [86]. » Non etenim servat modo, ut dixi, sed etiam perenni gaudio afficit. Et hoc est illud abundans seu eximium quod adjicietur sanctis vita. Christus igitur est illa cœlestis et superna vestis, illa incorruptionis tunica, D quam si quis sumpserit, omni ornatu coronabitur, videlicet qui sub intelligentiam cadit et virtutis ornabitur insignibus. Erit enim tanquam sponsus mitra cinctus, et tanquam sponsa omni ornatu excellens. **868** Sunt enim, sunt Christiani potentes et fortissimi, et intelligibili robore præditi, omnique genere decoris ac virtutis sunt locupletati. Similes autem sunt etiam sponsis propter fecunditatem, eo quod vario splendore virtutum decorati sint. E sanctis igitur prophetis quidam dixit, cum illos qui sanctam vitam instituunt fecundos ac fructuosos esse innueret: « Propterea timorem tui, Domine, in utero concepimus, et parturivimus, et peperimus spiritum

[84] Galat. v, 24. [85] Rom. xiii, 14. [86] Joan. x, 10.

salutis, quem dedisti super terram [87]. » Itaque sancti A comparandi sunt sponso et sponsæ, propter fortitudinem, et præterea ob fecunditatem. Verum illud observa semper hoc illis inesse, ut venustate et decore quodam enitescant. Servaturque hoc ab illis, tum in edendis præclaris facinoribus, tum etiam in fortiter debellandis affectibus. Quod autem gentibus Christo justitiam et exsultationem elucente, velut florida quædam herba coronat orbem, ostendit, inquiens: « Et ut terra profert florem suum, et ut hortus semina sua, sic germinare faciet Dominus justitiam et exsultationem in conspectu omnium gentium. » Videtur autem hic germinans vel exoriens semen ac florem coram gentibus dicere ipsum Dominum nostrum Jesum Christum. Dixit nimirum in Cantico canticorum: « Ego flos campi, lilium convallium [88]; » vel evangelicam et salutarem prædicationem, ejusque justificationem legali præstantiorem, quam semper comitatur gaudium, id est, exsultatio. Qui enim recte eam administrant, his a Deo tribuetur ut diuturna voluptate perfundantur. Audient enim omnium nostrum Servatorem Christum dicentem: « Euge, serve bone et fidelis, in pauca fuisti fidelis, supra multa te constituam. Intra in gaudium Domini tui [89]. » Exsultatio autem, salutaris prædicatio alio modo potest intelligi. Lex enim vindex erat et valde severa. Si quis enim legem Mosaicam violasset, sine misericordia sub duobus aut tribus testibus moritur [89*]. At evangelicum oraculum nobis affert vitam, et præmiorum pollicitationem, et veram spem bonorum quæ superant mentis captum et intelligentiam [90].

σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. » Οὐκοῦν νυμφίῳ καὶ νύμφῃ τοὺς ἁγίους παρεικαστέον, διάτοι τὸ εὐσθενὲς, καὶ πρός γε τούτῳ τὸ καρπογόνον· πλὴν ἐκεῖνο ἄθρει, πανταχοῦ γὰρ αὐτοῖς ἔνεστι τὰ ὡς ἐν κάλλει διαπρέπειν. Σώζεται δὲ τοῦτο παρ' αὐτοῖς, καὶ ἐν τῷ καρπογονεῖν τὰ ἐξαίρετα τῶν ἀνδραγαθημάτων, καὶ ἐν τῷ κατανδρίζεσθαι παθῶν. Ὅτι δὲ τοῖς ἔθνεσιν ἐπιλάμψαντος τοῦ Χριστοῦ δικαιοσύνην, καὶ ἀγαλλίαμα, καθάπερ τις εὐανθὴς πόα στεφανοῖ τὴν ὑπ' οὐρανὸν, διέδειξεν εἰπών· « Ὡς γῆν αὐξάνουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπον τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν. » Ἔοικε δὲ διὰ τούτων τὸ ἀνίσχον, ἤγουν ἀνατέλλον, B σπέρμα τε καὶ ἄνθος ἐναντίον τῶν ἐθνῶν, αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ὀνομάζειν. Ἔφη γὰρ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων· « Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων· » ἤγουν τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, καὶ τὴν αὐτοῦ δικαίωσιν προφερεστέραν οὖσαν τῆς κατὰ τὸν νόμον, ᾗ πάντη τε καὶ πάντως τὸ χαίρειν ἀκολουθεῖ, ὅ ἐστιν ἀγαλλίαμα. Τοῖς γὰρ ὅλως κατωρθωκόσιν αὐτὴν τὸ ἐν θυμηδίαις εἶναι μακραῖς νεμηθήσεται παρὰ Θεοῦ. Ἀκούσονται γὰρ λέγοντος τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· » ἀγαλλίαμα δὲ τὸ σωτήριον κήρυγμα, καὶ καθ' ἕτερον τρόπον νοηθείη ἄν. C Ὁ μὲν γὰρ νόμος ἦν κολαστὴς, καὶ πολὺ τὸ κατηφὲς ἔχων· ἀθετήσας γάρ τις νόμον Μωσέως χωρὶς οἰκτιρμῶν, ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει, ζωὴν δὲ καὶ γερῶν ὑπόσχεσιν, καὶ ἀληθινὴν ἐλπίδα τῶν ὑπὲρ νοῦν ἀγαθῶν τὸ εὐαγγελικὸν ἡμῖν εἰσκομίζει θέσπισμα.

CAP. LXII. VERS. 3. *Propter Sion non tacebo, et propter Jerusalem non relinquam, donec egrediatur sicut lux justitia mea, et salutare meum sicut lampas ardebit. Et videbunt gentes justitiam tuam, et reges gloriam* **869** *tuam: et vocabit te nomen novum quod Dominus nominabit illud; erisque corona pulchritudinis in manu Domini, et diadema regni in manu Dei tui.*

Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται, καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτὸ, καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου.

Sion vocat Ecclesiam, cujus primitiæ exstiterunt et filii primogeniti divini discipuli, et qui per ipsos ad agnitionem Christi vocati sunt, et ante alios qui oriundi sunt ex sanguine Israel. Servatæ sunt enim reliquiæ, et complures ex illis qui crediderunt. Itaque non relinquam, inquit, id est, non desistam, donec ad finem perduxero quæ Sioni pollicitus sum. Promisit autem Deus et Pater salutem per Christum Judæis et Græcis. Siquidem « unus Deus est, » sicuti Paulus sapientissimus dicit, « qui justificabit circumcisionem ex fide, et præputium per fidem. » Etenim non modo Judæorum Deus est, sed et gentium [91]. Itaque non relinquam, inquit, donec egrediatur sicut lux justitia mea, et salutare meum sicut lampas ardebit. Justitia et salus apparuit et fuit

Σιὼν ἐν τούτοις τὴν Ἐκκλησίαν ἀποκαλεῖ ᾗ· γεγόνασιν ἀπ' ἀρχῆς καὶ τέκνα πρωτότοκα οἱ θεσπέσιοι μαθηταὶ, καὶ οἱ δι' αὐτῶν κεκλημένοι πρὸς D ἐπίγνωσιν τοῦ Χριστοῦ, καὶ πρό γε τῶν ἄλλων οἱ ἐξ αἵματος Ἰσραήλ. Σέσωσται γὰρ τὸ κατάλειμμα, καὶ πλεῖστοι λίαν οἱ ἀπ' αὐτῶν πιστεύσαντες. Οὐκοῦν οὐκ ἀνήσω, φησὶ, τουτέστιν, οὐκ ἂν καταπαύσαιμι τοῦ χρῆναι πρὸς πέρας ἐξενεγκεῖν ἅπερ ἐπήγγελμαι τῇ Σιών. Ὑπέσχετο δὲ ὁ Θεὸς καὶ Πατὴρ τὴν διὰ Χριστοῦ σωτηρίαν Ἰουδαίοις τε καὶ Ἕλλησιν, εἴπερ « Εἷς ὁ Θεὸς, » καθά φησιν ὁ πάνσοφος Παῦλος, « ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Οὐ γὰρ Ἰουδαίων μόνον ὁ Θεὸς, ἀλλὰ καὶ ἐθνῶν. » Οὐκοῦν οὐκ ἀνήσω, φησὶν, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου. Τὸ δὲ σωτήριόν

[87] Isa. XXVI, 18. [88] Cant. II, 1. [89] Matth. XXV, 21. [89*] Hebr. X, 28. [90] Philipp. IV, 7. [91] Rom. III, 29, 30.

μου ὡς λαμπὰς καυθήσεται. Δικαιοσύνη τε καὶ σωτήριον τοῖς ἐπὶ τῆς γῆς ὤφθη τε καὶ γέγονε Χριστὸς, δίκαιοί γὰρ, καὶ σώζει, φῶς ὑπάρχων αὐτὸς τὸ ἀληθινὸν, καὶ οἷά τις ἐν σκότῳ λαμπάς. Ἔφη γοῦν αὐτὸς, ὅτι « Ὅταν ὦ ἐν τῷ κόσμῳ, φῶς εἰμι τοῦ κόσμου. » Ἀχλύϊ μὲν γὰρ καὶ σκότῳ τὰ πάντα κατείληπτο, τὰς ἁπάντων καρδίας τοῦ διαβόλου καταμελαίνοντος, καὶ οὐδεὶς ἦν ὁ ποιῶν χρηστότητα, καὶ δικαιοσύνην εἰδὼς, ἤγουν τὴν ἀπάγουσαν [al. ἐπάγουσαν] ἐπὶ τὸ σώζεσθαι τρίβον. Ἀλλ' οὐδὲ ἦν ὁ φῶς ἔχων τὸ θεῖον εἰς νοῦν, καὶ τοῖς τῆς διανοίας ὄμμασι καταθρῆσαι δυνάμενος, τίς ὁ φύσει καὶ ἀληθῶς ἐστι Θεὸς, καὶ τῶν ὅλων γενεσιουργὸς, καὶ Κύριος· ἐπεὶ δὲ ὡς φῶς ἀνέσχε, καὶ ὡς λαμπὰς ἀνέλαμψεν ὁ Σωτὴρ, κατεφωτίσθη λοιπὸν ἡ ὑπ' οὐρανὸν, καὶ τὴν τῆς δι' αὐτοῦ σωτηρίας τεθεάμεθα τρίβον. Εἶτα πρὸς τὴν Ἐκκλησίαν φησὶ τὴν ἀπό γε τῆς Ἰουδαίων ἀγέλης, καὶ ὡς οὔπω τῆς τῶν ἐθνῶν πληθύος σεσαγηνευμένης, ὅτι « Ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου. » Δικαιοσύνην δὲ πάλιν ἐν τούτοις, καὶ μέν τοι καὶ δόξαν, οὐδὲν ἕτερον εἶναί φησι πλὴν ὅτι τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Δεδικαιώμεθα γὰρ ἐν αὐτῷ, καὶ τὴν παρ' αὐτοῦ πεπλουτήκαμεν δόξαν. Αὐτοῦ γὰρ γεγόναμεν, καὶ κλῆρος αὐτοῦ χρηματίζομεν. Τετάγμεθα δὲ καὶ ὑπὸ ζυγὰ καὶ σκῆπτρα, τὴν τοῦ καθ' ἡμῶν τυραννήσαντος πλεονεξίαν ἀπονιψάμενοι· ὅτι δὲ τῆς κατὰ νόμον λατρείας ἀποφοιτήσασα, καὶ οἷον μεταβαλοῦσα πρὸς καινότητα ζωῆς εὐαγγελικῆς, καὶ τὴν ἀρχαίαν κλῆσιν συναποβαλεῖ, μετονομασθήσεται δὲ λοιπὸν ὀνόματι καινῷ, κατὰ τὸ δοκοῦν τῷ ἐπὶ πάντας Θεῷ, διαδείκνυσι λέγων· « Καλέσει τὸ ὄνομά σου τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό· » κέκληται γὰρ οὐκέτι συναγωγὴ μᾶλλον, ἀλλ' Ἐκκλησία Θεοῦ ζῶντος, πόλις τε καὶ οἶκος αὐτοῦ. Διαμέμνηται γὰρ αὐτῆς καὶ ὁ θεσπέσιος Δαβὶδ, οὕτω λέγων· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ. » Ἔσται δὲ ὅτι καὶ εὐπρεπὴς ἄγαν, καὶ ἀπαραβλήτῳ κάλλει κατεστεμμένη, διδάσκει λέγων· « Ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου. » Ἑκάστην γὰρ ἁγίαν ψυχὴν, καὶ συλλήβδην τὴν Ἐκκλησίαν, τουτέστι, τὰ τῶν ἁγίων συστήματα, στεφάνῳ παρεικαστέον ἐκ πολλῶν ἀνθέων συντεθειμένῳ, ἤγουν διαδήματι βασιλικῷ, λίθοις Ἰνδικοῖς ἐκλάμποντι, καὶ πολυειδῶς ἔχοντι τὸ διαπρεπές· πλεῖστα δὲ ὅσα καὶ τὰ τῶν ἁγίων ἀνδραγαθήματα, καὶ οὐχ εἷς μᾶλλον τῶν αὐχημάτων ὁ τρόπος, πολὺς δὲ καὶ διάφορος. Καὶ γοῦν ὁ θεσπέσιος Δαβὶδ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένην πεποικιλμένην εἰσφέρει, τὸ δὲ « Ἐν χειρὶ Κυρίου, » φησὶ, τουτέστιν, ὑπὸ σκέπην τῆς χειρός μου σκεπάσω σε· καὶ αὐτὸς δέ που Χριστὸς περὶ τῶν ἰδίων θρεμμάτων, καὶ ἤτοι τῆς τῶν πιστευσάντων εἰς αὐτὸν ἀγέλης φησὶν, ὅτι « Οὐδεὶς ἁρπάσει αὐτὰ ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. »

A mortalibus Christus. Justificat enim et servat, quippe lux vera cum sit ipse, et ceu lampas quæpiam in tenebris. Siquidem ipse dixit : « Quando in mundo sum, lux sum mundi [92]. » Caligine namque et tenebris omnia comprehensa erant, diabolo corda omnium offuscante. Nemo erat qui faceret bonum, et justitiam nosset, aut viam quæ ducit ad salutem; sed nec quisquam erat qui divinam lucem in mente haberet, et qui posset animi oculis videre, quisnam sit ille natura et vere Deus, et universorum Conditor et Dominus. Postquam vero Servator ceu lux exortus est, et ceu lampas illuxit, deinceps illustratus est orbis terrarum, et salutis viam per ipsum intuiti sumus. Deinde alloquitur Ecclesiam ex Judæorum grege, perinde quasi nondum irretita esset multitudo gentium. « Videbunt gentes justitiam tuam, et reges gloriam tuam. » Justitiam rursus et gloriam hic aliud nihil esse dicit, præterquam Dominum nostrum Jesum Christum. In ipso enim justificati sumus, et gloria ab ipso ditati sumus. Ipsius namque sumus, et sors ejus nuncupamur. Ipsius jugo et sceptro paruimus, abdicato violento ejus imperio qui in nos tyrannidem exercuit. Quod autem a legis cultu recedens, et velut ad novitatem **870** vitæ evangelicæ transmutata, veterem simul abjiciet vocationem, et novo deinceps denominabitur nomine, arbitratu et voluntate Dei omnium supremi, ostendit, dicens : « Vocabitur tibi nomen novum, quod Dominus nominabit. » Non enim ultra dicta est Synagoga, sed Ecclesia Dei viventis, civitas ac domus ejus. Cujus meminit etiam divinus David in hanc sententiam : « Gloriosa dicta sunt de te, civitas Dei [93]. » Fore quoque illam valde speciosam et incomparabili gloria coronatam docet, inquiens : « Eris corona pulchritudinis in manu Domini, et diadema regni in manu Dei tui. » Unamquamque enim animam sanctam, et universam omnino Ecclesiam, id est, sanctorum cœtum, coronæ comparare licet, ex multis flosculis compositæ, vel regio diademati lapidibus Indicis fulgenti, et quod multiplicem habet et variam elegantiam. Plurimæ sunt etiam sanctorum egregiæ virtutes, et non unum est ornamentorum genus, sed multiplex et diversum. Siquidem et divinus David Ecclesiam Christi in vestitu D deaurato circumdatam ac variegatam inducit [94]. « In manu Domini, » inquit, id est, protectione manus meæ protegam te. Et ipse quoque Christus de suis ovibus vel de grege credentium in ipsum dicit : « Nemo eripiet eas de manu Patris mei [95]. »

Καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔρημος· σοὶ γὰρ κληθήσεται θέλημα ἐμὸν, καὶ τῇ γῇ σου οἰκουμένη (1).

VERS. 4. *Et nequaquam ultra vocaberis derelicta, nec terra tua vocabitur deserta. Tibi enim vocabitur voluntas mea, et terræ tuæ habitata.*

[92] Joan. IX, 5. [93] Psal. LXXXVI, 3. [94] Psal. XLIV, 10. [95] Joan. X, 29.

(1) Sequitur in edit. LXX, ὅτι εὐδόκησε Κύριος ἐν σοὶ, καὶ ἡ γῆ σου συνοικισθήσεται, quæ tamen S. Hieronymus negat apud LXX haberi.

Rursus docet depositurum se vetus odium, quo A sæpe prosecutus est Judaicam Synagogam, ab ira destiturum, facturum eam voluntariam et fructuosam, ac multitudine credentium ornaturum. Sion enim, repudiato Domino nostro Jesu Christo, redacta est in vastitatem, et multitudo infidelium periit. Posteaquam vero reliquiæ fidem receperunt, et porro vocata est multitudo gentium, ac in unum populum hi duo conditi sunt, et una demum ex ambobus dicta est Ecclesia, largitur ei Deus, ut nullo modo pristinis malis implicetur, nec derelicta vocetur vel deserta, sed ut potius ei morigera et voluntaria fiat : **971** et non amplius deserta, sed habitata vocabitur. Hoc autem ex rebus ipsis videmus usuvenisse, et Ecclesias ubique in tranquillitate et serenitate collocatas, et fideles ad immensam mul- B titudinem propagatos, et Deum propter illos celebrari. Persecutiones enim motæ sunt olim, sed non diu : et breves erant, et exercebant magis sanctos quam opprimebant. Probati namque sunt propter patientiam, et propter tolerantiam germanæ in Christum fidei coronam reportant, et martyrii gloriam uberrimam possident.

Διαδιδάσκει πάλιν, ὅτι τῆς ἀρχαίας ἀποστροφῆς, ἧς πεποίηται πολλάκις ἐπὶ τῇ τῶν Ἰουδαίων Συναγωγῇ, καταλήξει λοιπὸν, καὶ πεπαύσεται τῆς ὀργῆς, θελητὴν δὲ ποιήσεται, καὶ προσέτι τούτῳ καὶ ἔγκαρπον, καὶ τῷ πλήθει τῶν πεπιστευκότων στεφανουμένην ἀποφανεῖ. Ἀθετήσασα μὲν γὰρ ἡ Σιὼν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δέδοται πρὸς ἐρήμωσιν, καὶ ἡ τῶν ἀπιστησάντων διόλωλε πληθύς. Ἐπειδὴ δὲ παρεδέξατο τὴν πίστιν τὸ κατάλειμμα, εἶτα κέκληται πρὸς αὐτῷ τῶν ἐθνῶν ἡ πληθὺς, καὶ εἰς ἕνα λαὸν ἐκτίσθησαν οἱ δύο, μία τε λοιπὸν ἐξ ἀμφοῖν κεχρημάτικεν Ἐκκλησία, χαρίζεται Θεὸς αὐτῇ τὸ κατὰ μηδένα τρόπον τοῖς ἀρχαίοις ἁλῶναι κακοῖς, μήτε μὴν κληθήσεσθε [*l.* αι] καταλελειμμένην, ἢ ἔρημον, ἀλλ' ὅτι μᾶλλον θελητὴ γενήσεται αὐτῷ, καὶ ἔρημος μὲν οὐκέτι, κατοικουμένη δὲ μᾶλλον κληθήσεται. Ὁρῶμεν δὲ τοῦτο διὰ πραγμάτων αὐτῶν εἰς πέρας ἐκβεβηκός. Ἐν εὐδίᾳ γὰρ καὶ γαλήνῃ τὰς ἁπανταχοῦ κειμένας Ἐκκλησίας ὁρῶμεν, καὶ εἰς πληθὺν ἀεὶ τὴν ἐπέκεινα μέτρου τοὺς πιστεύοντας ἐκτεινομένους, καὶ εὐδοκοῦντα Θεὸν ἐπ' αὐτοῖς. Διωγμοὶ μὲν γὰρ κεκίνηνται κατὰ καιροὺς, ἀλλ' οὐκ ἐν χρόνῳ μακρῷ, συνεσταλμένοι δὲ, καὶ γυμνάσαντες μᾶλλον ἁγίους, ἢ ἀδικήσαντες· εὐδόκιμοι γὰρ γεγόνασι διὰ καρτερίας, καὶ ὑπομονῆς, τὸν τῆς εἰς Χριστὸν γνησιότητος ἀράμενοι στέφανον, καὶ τὴν τοῦ μαρτυρίου δόξαν καταπλουτήσαντες.

Vers. 5. *Et ut habitat juvenis cum virgine, sic habitabunt filii tui tecum : et erit quomodo lætabitur sponsus super sponsa, sic lætabitur super te Dominus.*

Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτως κατοικήσουσιν οἱ υἱοί σου μετὰ σοῦ, καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται ἐπὶ σοὶ Κύριος.

C Deinceps ad Ecclesiam orationem habet, utpote ex Judaicis tribubus primum constitutam, cujus filii quidem fuerunt carnis ratione divini discipuli : sed tamen in illa præstiterunt et præfuerunt reliquis, utpote apostolica auctoritate præditi. Verum summum amorem erga illam et affectum retinebant, adeo ut ea videretur esse talis in eam pietas, qualis juvenem decet habitantem cum virgine, id est, quæ cum eo a virginitate copulata est. Dicunt autem eos ad summum pietatis gradum pervenire, qui eo vinculo tantum non constricti sunt. Nimirum et sapientissimus Paulus : « Tristitia mihi est, » inquit, « et dolor irremissus, in corde, pro fratribus meis cognatis ratione carnis, qui sunt Israelitæ [95]. » Optavitque anathema fieri pro ipsis. D Verum magna rerum novatio, et mira mutatio, hac prophetia nobis proposita significatur. Antiqua enim Synagoga et tantum non inveterata tempore juvenculæ comparatur. « Habitabunt veluti cum virgine, » inquit, « filii tui. » Hoc est, opinor, quod in Psalmis decantatum est : « Renovabitur ut aquilæ juventus tua [96]. » Habitarunt cum ipsa, manuducentes eam, tanquam nutricem consolantes, et ut matrem rerum umbraticarum et typicarum sapienter adducentes, ut pro inutili umbra veritatem eligerent. Cujusmodi est quod ei dixit etiam divinus David : « Pro patribus tuis nati sunt tibi filii [97]. » Nam hi cum ejus exsisterent filii, quod ad carnem

Εἶτα πρὸς τὴν Ἐκκλησίαν ποιεῖται τοὺς λόγους ὡς ἀπό γε τῶν Ἰουδαϊκῶν ταγμάτων συστᾶσαν ἐν ἀρχαῖς. Ταύτης γεγόνασιν υἱοὶ κατὰ σάρκα οἱ θεσπέσιοι μαθηταὶ, ἀλλ' ἦσαν ἐν αὐτῇ προὔχοντες μὲν τῶν ἄλλων, καὶ ἡγεμονεύοντες, ὡς ἐν ἀξιώμασιν ὄντες ἀποστολικοῖς, πλὴν τὴν εἰς ἄκρον αὐτῇ σώζοντες ἀγάπην καὶ διάθεσιν, ὥστε καὶ δοκεῖν τοιαύτην εἶναι τὴν ἐπ' αὐτῇ γενομένην φιλοστοργίαν, οἵά περ ἂν πρέποι νεανίσκῳ συνῳκηκότι παρθένῳ, τουτέστι τῇ ἐκ παρθενίας αὐτῷ συνημμένῃ· φασὶ δὲ εἰς λῆξιν ἁπάσης ἐλάσαι φιλοστοργίας τοὺς ἐπὶ τῷ τοιῷδε δεσμῷ μονονουχὶ κατεσφιγμένους. Καὶ γοῦν ὁ πάνσοφος Παῦλος· « Λύπη μοι, » φησὶν, « ἔστι καὶ ὀδύνη ἀδιάλειπτος ἐν τῇ καρδίᾳ μου ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται. » Ηὔχετο δὲ καὶ ἀνάθεμα γενέσθαι ὑπὲρ αὐτῶν, πλὴν ὅτι πολὺς τῶν πραγμάτων ὁ καινισμὸς διὰ τῆς προκειμένης ἡμῖν προφητείας σημαίνεται, καὶ ἀξιοθαύμαστος ἡ μεταβολή· ἡ γὰρ ἀρχαία Συναγωγὴ, καὶ τρόπον τινὰ πεπολιωμένη [al. πεπαλαιωμένη], διὰ τὸν χρόνον νεάνιδι παρεικάζεται· « Κατοικήσουσι γὰρ ὡς μετὰ παρθένου, » φησὶν, « οἱ υἱοί σου· » Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· « Ἀνακαινισθήσεται, ὡς ἀετοῦ ἡ νεότης σου, » κατῳκήκασί γε μὴν ἐν αὐτῇ χειραγωγοῦντες ὡς τροφὸν, παρακαλοῦντες ὡς μητέρα, τῶν ἐν σκιαῖς καὶ τύποις ἀποκομίζοντες, ἀναβιβάζοντές τε σοφῶς πρός γε τὸ δεῖν τῆς ἀνονήτου σκιᾶς ἀνθελέσθαι τὴν ἀλή-

[95] Rom. IX, 3, 4. [96] Psal. CII, 5. [97] Psal. XLIV, 17.

θειαν· ἔφη τι τοιοῦτον καὶ ὁ θεσπέσιος Δαβὶδ πρὸς A αὐτήν· « Ἀντὶ τῶν πατέρων σου ἐγενήθησάν σοι υἱοί. » Οἱ γὰρ αὐτῆς ὄντες υἱοὶ κατὰ σάρκα γεγόνασιν αὐτῆς πατέρες, ἀρχὴ τῶν νέων αὐτῆς ὄντες τέκνων, τῶν διὰ πίστεως δηλονότι κεκλημένων εἰς ἐπίγνωσιν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· τούτων δὲ οὕτως ἐχόντων, φησίν· « Οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοὶ, καθάπερ ἀμέλει καὶ νυμφίος ἐπὶ νύμφῃ. » Καθίκετο γὰρ ἐξ οὐρανῶν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵνα ἔγκαρπον ἀποφήνῃ τὴν Ἐκκλησίαν, ἣν αὐτὸς ἑαυτῷ παρέστησε παρθένον ἁγνὴν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα, ἁγίαν δὲ μᾶλλον καὶ ἄμωμον. Δεξαμένη τοίνυν παρ' αὐτοῦ εὐαγγελικῆς πολιτείας τὰ σπέρματα, κεκυοφόρηκέ τε καὶ τέτοκεν, οὐκ ἔτι τὴν δι' αἱμάτων καὶ καπνῶν λατρείαν, ἐκείνην δὲ μᾶλλον, ᾗ δὴ μάλιστα τὸ τῆς B ἀληθείας ἐντετόρνευται κάλλος. Ταύτῃτοι καὶ μάλα εἰκότως εὐφραίνεται μετατιθεμένους ὁρῶν τοὺς τοῦ νόμου τύπους εἰς ἀλήθειαν εὐαγγελικὴν, καὶ πνευματικαῖς θυσίαις, καὶ ἁγιοπρεπέσιν ἀληθῶς κατορθώμασιν τὴν νύμφην ἐκλάμπουσαν.

attinet, facti sunt ei patres, initiumque novorum **872** ejus liberorum, qui per fidem scilicet ad agnitionem omnium nostrum Servatoris Christi vocati sunt. His ita se habentibus, inquit: « Sic lætabitur Dominus propter te, quemadmodum videlicet sponsus propter sponsam. » Descendit enim unigenitum Dei Verbum, ut fecundam redderet Ecclesiam, quam ipse sibi exhibuit virginem puram, non habentem maculam aut rugam, sed quæ sancta potius foret et immaculata [97*]. Acceptis igitur ab ipso evangelicæ conversationis seminibus, gravida facta est, et non jam cultum peperit per sanguines et fumos, sed illum magis quo maxime veritatis pulchritudo exornatur. Hinc lætatur, et quidem merito, cum videat legis typos in veritatem evangelicam mutatos, et sponsam spiritualibus sacrificiis et vere sanctis virtutibus enitescentem.

Καὶ ἐπὶ τῶν τειχέων σου, Ἱερουσαλὴμ, κατέστησα φύλακας ὅλην τὴν ἡμέραν, καὶ ὅλην τὴν νύκτα, οἳ διὰ τέλους οὐ σιωπήσονται μιμνησκόμενοι Κυρίου. Οὐκ ἔστι γὰρ ὑμῖν ὅμοιος.

VERS. 6. *Et super muros tuos, Jerusalem, constitui custodes, tota die et tota nocte, qui nunquam tacebunt recordantes Domini. Non enim est vestri similis.*

Ὡς πρὸς πόλιν διαλέγεται λαμπρὰν, καὶ συνῳκισμένην· ἀεὶ δέ πως τὰς τῶν πόλεων διαφανεστέρας πλεῖστοί τε ὅσοι καὶ νηφάλιοι περιέπουσι φύλακες, μή ἄρα τις ἀδοκήτως τῶν πολεμίων ἐμβάλῃ· οὕτω καὶ ὁ τῶν ὅλων Σωτὴρ καὶ Κύριος ἀφράστῳ δυνάμει C καὶ ταῖς τῶν ἀγγέλων ἐπικουρίαις πυργώσας τὴν Ἐκκλησίαν κεχειροτόνηκεν αὐτῇ φύλακας σοφοὺς καὶ ἐγρηγορότας, καὶ ἀκατεύναστον ἔχοντας ἐπ' αὐτῇ τὴν φροντίδα, τοὺς ἁγίους δηλονότι μυσταγωγοὺς, οἳ κατ' οὐδένα τρόπον καταλήγουσι τοῦ διαμεμνῆσθαι τῆς δόξης αὐτοῦ, καὶ τῶν θαυμασίων αὐτοῦ, καθὰ γέγραπται. Κατειθίσμεθα γὰρ ἐν ἐκκλησίαις τοῖς ὑπὸ χεῖρα λαοῖς διακηρύττειν ἀεὶ τὰς τοῦ Σωτῆρος μεγαλουργίας, καὶ τῆς θεοπρεποῦς ὑπεροχῆς τὴν ἔνδειξιν, ἵνα κἀντεῦθεν ἀσφαλῆ καὶ ἀκράδαντον ἔχωσι περὶ αὐτοῦ τὴν πίστιν. Ἢ τάχα που μνησθήσεσθαί φησι τοῦ Κυρίου τοὺς φύλακας ἐπιφωνοῦντάς τε καὶ λέγοντας, ὅτι « Οὐκ ἔστιν ὑμῖν ὅμοιος. » Οὐ γάρ ἐστι καθ' ἡμᾶς, ἀλλ' ὅσον ὑπερνήχεται τὰ ἀνθρώπινα τῇ τῆς εὐκλείας ὑπεροχῇ, καὶ D τῇ τῆς θεότητος δόξῃ, τοσοῦτο νικᾷ καὶ κατά γε τὸ εἶναι χρηστὸς καὶ φιλάνθρωπος. Ὡς γὰρ ὁ Ψάλλων φησίν· « Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. » Σέσωκε γὰρ ὄντας ἁμαρτωλοὺς, καὶ προσηγάγετο φιλανθρώπως οὐκ ὄντας ἀξίους τοῦ σώζεσθαι. Ἔφη τι τοιοῦτον καὶ δι' ἑτέρου προφήτου· « Τί σοι ποιήσω, Ἐφραΐμ; Τί σοι ποιήσω, Ἰούδα; ὡς ἀδάμαντα (1) θήσομαί σε, καὶ ὡς Σεβωῒμ μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ (2), οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου· οὐ μὴ ἐγκαταλείπω τοῦ ἐξαλειφθῆ-

Alloquitur velut civitatem illustrem et habitatam. Semper enim civitates insigniores plurimi et vigiles custodes curant, ne quis hostis de improviso adoriatur: sic et universorum Servator et Dominus, ineffabili potentia et angelorum præsidiis munita Ecclesia, delegit ei custodes sapientes et pervigiles, et ejus curam insomnem habentes, sanctos videlicet mystagogos, qui nullo modo desinunt gloriam ejus et mirabilia ejus commemorare, sicuti scriptum est. Consuevimus enim in ecclesia populis subditis semper magnificentiam Servatoris et divinæ præstantiæ documenta prædicare, ut inde immotam et inconcussam de eo fidem concipiant. Vel recordaturos dicit custodes Domini clamantes ac dicentes: « Non est vestri similis. » Non est enim nobis similis, sed quantum humanam sortem et nobilitatis præstantia et divinitatis gloria superat, tantum bonitate vincit et humanitate. Ut enim Psaltes ait: « Non secundum iniquitates nostras fecit nobis, neque secundum peccata nostra retribuit nobis [98]. » Servavit enim cum essemus peccatores, **873** et humaniter ac clementer indignos salute admisit. Simile est quod dixit per alium prophetam: « Quid tibi faciam, Ephraim? Quid tibi faciam, Juda? Sicut adama ponam te, et sicut Seboim conversum est cor meum in ipso, non faciam pro ira furoris mei. Non relinquam ut deleatur Ephraim. Quoniam Deus ego sum, et non homo, in te sanctus [99]. » Quia enim, inquit, non sum homo, sed potius sanctus in te Deus, propterea non relinquam ut deleatur Ephraim.

[97*] Ephes. v, 27. [98] Psal. cii, 10. [99] Osee. xi, 8, 9.

(1) LXX, τί σε διαθῶμαι, Ἐφραΐμ; ὑπερασπιῶ σου, Ἰσραήλ; τί σε διαθῶ; ὡς Ἀδαμά.

(2) LXX addunt, συνεταράχθη ἡ μεταμέλειά μου.

ναι τὸν Ἐφραῒμ, διότι Θεός] εἰμι ἐγὼ, καὶ οὐχ ἄνθρωπος, ἐν σοὶ ἅγιος. » Ἐπειδὴ γὰρ οὐχ ἄνθρωπός εἰμι, φησὶν, ἅγιος δὲ μᾶλλον ἐν σοὶ Θεὸς, διὰ τοῦτο οὐ μὴ ἐγκαταλείπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραῒμ.

A VERS. 7-9. *Si correxeris, et feceris, Jerusalem, tandem super terram. Juravit Dominus per gloriam, suam, et per fortitudinem brachii sui, Si ultra dedero triticum tuum, et cibos tuos inimicis tuis, et si ultra biberint filii alieni vinum tuum, in quo laborasti, sed qui colligunt, edent illa, et laudabunt Dominum, et colligentes bibent illa in atriis sanctis meis.*

Velut ex similitudine rerum sive calamitatum quæ sæpe inflictæ sunt Israelitis, utilis simarum nobis considerationum contexit narrationem. Peccavimus enim multifariam, relinquentes natura et vere Deum, adhærentesque idolorum cultibus. Opera namque manuum suarum adorarunt, et recalcitrantes quasi contra legalem vitam, ad id quod B sibi visum est rapiebantur. Hac de causa percussi sunt a Deo sterilitate, nonnunquam interitu corporum, hostium impressionibus, qui, omnem eorum regionem devastantes, in agris etiam prædas egerunt. Dictum enim est illis : « Tu seres, at non metes ; tu premes olivas, et non ungeris oleo, et vinum non bibes [1]. » — « Si itaque, inquit, o Jerusalem, correxeris, » id est, si transtuleris te ad cultum spiritualem, si effugeris figuras, et agnoveris de me scripsisse Moysen, si acceperis gratiam per fidem; « et feceris laudem tibi super terram, » id est, illustrem gloriam, in Christo videlicet ; « juravit Dominus per gloriam suam, » nec enim potest per alium quemquam majorem jurare, « et per brachium suum, » quod nihil eorum quæ tibi olim C propter multam inobedientiam contigerunt, ultra obveniet. Non enim tolerabis hunc agricolationis sudorem sine præmio **874** (intelliges autem spiritualiter), sed ut divinus David ait : « Fructus laborum tuorum comedes [2], » et ut Paulus inquit : « Quæ seminaverit homo, hæc et metet. Et qui serit in spiritu, de spiritu metet vitam æternam [3]. » Quod igitur sibi cumulate spiritualem fertilitatem coacervabit, hisce verbis subindicat. « Qui vero hoc consecuti sunt gloriose, inquit, celebrabunt Dominum, et qui colligunt, bibent ea in atriis sanctis. » Deliciabuntur enim in supremo habitaculo, qui præstantis vitæ decerpserunt ornamenta, rectæ et inculpatæ fidei fructus congregantes.

D VERS. 10. *Ite per portas meas, et viam facite populo meo, et lapides de via projicite, tollite signum ad gentes. Ecce enim Dominus fecit ut audiatur usque ad extremum terræ.*

Ipsos jam custodes seu doctores compellat. Jubet enim patefieri sanctæ civitatis aditus, et accessum planum et expeditum facere, remoris et offensioni-

Ἐὰν διορθώσῃ, καὶ ποιήσῃ, Ἱερουσαλὴμ, γαυρίαμα ἐπὶ τῆς γῆς, ὤμοσε Κύριος κατὰ τῆς δόξης αὐτοῦ, καὶ κατὰ τῆς ἰσχύος τοῦ βραχίονος αὐτοῦ, Εἰ ἔτι δώσω τὸν σῖτόν σου, καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς σου, καὶ εἰ ἔτι πίωνται ἀλλότριοι τὸν οἶνόν σου, ἐφ' ᾧ ἐμόχθησας, ἀλλ' ἢ οἱ συνάγοντες φάγονται αὐτὰ, καὶ αἰνέσουσι Κύριον, καὶ οἱ συνάγοντες πίωνται αὐτὰ ἐν ταῖς ἐπαύλεσι ταῖς ἁγίαις μου.

Ὡς ἐξ ὁμοιότητος πραγμάτων, ἤτοι συμφορῶν ἐπενηνεγμένων πλειστάκις τοῖς ἐξ Ἰσραὴλ ἐπωφελεστάτων ἡμῖν θεωρημάτων ἐξυφαίνει διήγησιν. Ἡμάρτανον μὲν γὰρ πολυτρόπως, Θεὸν ἀφέντες τὸν φύσει καὶ ἀληθῶς, καὶ ταῖς τῶν εἰδώλων λατρείαις προσκείμενοι· προσεκύνησαν γὰρ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἀπολακτίσαντες δὲ ὥσπερ καὶ τῆς ἐννόμου ζωῆς πρὸς τὸ αὐτοῖς δοκοῦν ἀπεφέροντο. Ταύτης ἕνεκα τῆς αἰτίας ἐπλήττοντο παρὰ Θεοῦ ἀφορίαις ἔσθ' ὅτε, σωμάτων καταφοραῖς, πολέμων ἐμβολαῖς, οἳ πᾶσαν αὐτῶν καταδηοῦντες τὴν χώραν ἐληΐζοντο καὶ τὰ ἐν ἀγροῖς. Εἴρηται γὰρ πρὸς αὐτούς· « Σὺ σπερεῖς, καὶ οὐ μὴ ἀμήσῃς, σὺ πιέσεις ἐλαίας, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ οἶνον οὐ μὴ πίητε. » — « Ἂν τοίνυν διορθώσῃ, φησὶν, ὦ Ἱερουσαλὴμ, » τουτέστιν, ἐὰν μεταβάλῃς εἰς λατρείαν τὴν πνευματικὴν, ἂν ἀποδράμῃς τῶν τύπων, καὶ ἐπιγνῷς ὅτι περὶ ἐμοῦ γέγραφεν ὁ Μωσῆς, ἐὰν παραδέξῃ τὴν διὰ πίστεως χάριν, « καὶ ποιήσῃς γαυρίαμα σαυτῇ ἐπὶ γῆς, » τουτέστι, καύχημα λαμπρὸν, τὸ ἐν Χριστῷ δηλονότι, « ὤμοσε Κύριος κατὰ τῆς δόξης αὐτοῦ, » κατ' οὐδενὸς γὰρ ἔχει μείζονος ὀμόσαι, « καὶ κατὰ τοῦ βραχίονος αὐτοῦ, » ὅτι τῶν πάλαι σοι, διὰ πολλὴν ἀπείθειαν ἐπενηνεγμένων, οὐδὲν ἔτι συμβήσεται. Οὐ γὰρ ἄμισθον ἕξεις τὸν τῆς γηπονίας ἱδρῶτα· συνήσεις δὲ τοῦτο πνευματικῶς· ἀλλ' ὥς φησιν ὁ θεσπέσιος Δαβίδ· « Τοὺς καρποὺς τῶν πόνων σου φάγεσαι. » Καὶ ὥς ὁ Παῦλός φησιν, ὅτι « Ὃ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει, καὶ ὁ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον· » ὅτι τοίνυν ἑαυτῇ κατασωρεύσει πλουσίως τὰ ἐκ τῆς πνευματικῆς εὐκαρπίας, διὰ τῶν προκειμένων ὑποδηλοῖ· « Οἱ δὲ τούτων τυχόντες δοξολογήσουσι, φησὶ, τὸν Κύριον, καὶ οἱ συνάγοντες πίονται αὐτὰ ἐν ταῖς ἐπαύλεσι ταῖς ἁγίαις. » Ἐντρυφήσουσι γὰρ ταῖς ἄνω μοναῖς οἱ τῆς ἐξαιρέτου ζωῆς ἀποτρυγήσαντες τὰ αὐχήματα, καὶ τοὺς τῆς ὀρθῆς τε καὶ ἀμωμήτου πίστεως καρποὺς συναγείροντες.

Πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους τοὺς ἐκ τῆς ὁδοῦ διαῤῥίψατε, ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη. Ἰδοὺ γὰρ Κύριος ἐποίησεν ἀκουστὸν, ἕως ἐσχάτου τῆς γῆς.

Αὐτοῖς ἤδη τοῖς φύλαξιν, ἤγουν διδασκάλοις ἐπιφωνεῖ· προστέταχε γὰρ ἀνοιγῆναι μὲν τῆς ἁγίας πόλεως τὰς εἰσβολὰς, ψιλὴν δὲ καὶ εὐήλατον, καὶ δὴ

[1] Mich. VI, 15. [2] Psal. CXXVII, 2. [3] Galat. VI, 8.

πταισμάτων ἐλευθέραν τοῖς εἰσβάλλειν ἐθέλουσιν A ἀποφῆναι τὴν εἰσδρομήν· διὰ γάρ τοι τῶν λίθων ὑποδηλοῖ τὰ σκάνδαλα. Εἰ μὲν γάρ τις εἴη τυχὸν ἐκ τῆς Ἰουδαίων ἀγέλης κεκλημένος, προσπταίει πολλάκις τοῖς νομικοῖς ἐντάλμασιν, ἐμφιλοχωρεῖ γὰρ τοῖς τύποις, καὶ οἷον ἐνιζήσας ταῖς σκιαῖς ἀπαράδεκτον ποιεῖται τὴν ἀλήθειαν. Εἰ δὲ δή τις ᾖ τῶν ἐκ πλήθους ἑλληνικῆς, προσπταίει καὶ οὗτος τῷ ξένῳ τῆς διδασκαλίας, θορυβεῖ τε λίαν αὐτὸν τὸ σύνηθες τῆς λατρείας, ἢ τάχα που καὶ μέμνηται λόγων, οὓς ἐπί γε τοῖς σφῶν αὐτῶν ποιοῦνται θεοῖς οἱ παρ' αὐτοῖς λογάδες. Παλαιοὺς γὰρ καὶ γεγηρακότας συγγεγράφασι μύθους πλανῶντες, καὶ πλανώμενοι, καὶ διαβολικῆς ἀχλύος ἀναπιμπλάντες τὴν γῆν. Ἀλλ' οἱ νηφάλιοι φύλακες, καὶ μυσταγωγοὶ τὰς τῶν σκανδάλων περικόπτουσιν ἀφορμάς, ἕκαστα λύοντες εὐτέχ- B νως τὰ ἀνθεστάναι δοκοῦντα τῇ παραδόσει τῆς πίστεως, τῆς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν· τοῦτο δρῶσιν ὀρθῶς, λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ. Εὑρήσομεν δὲ τὸν ἱερώτατον Παῦλον, Ἰουδαίους μὲν σκανδαλισθέντας ἐπανορθούμενον, ἐπιπλήττοντα δὲ τοῖς ἐξ ἐθνῶν τοιοῦτόν τι πεπονθόσιν. Ἔφη μὲν γὰρ τοῖς ἐξ αἵματος Ἰσραήλ· « Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ. » Καὶ πάλιν· « Λέγω γὰρ ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Ἀπηλλοτριώθητε ἀπὸ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. » Ἡμεῖς γὰρ διὰ τῆς πίστεως ἐλπίδα δικαιοσύνης ἐκδεχό- C μεθα· τῆς [Ισ. τοῖς] γε μὴν ἐκ τῆς Ἑλλήνων πληθύος· « Ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιρούς, καὶ ἐνιαυτούς, φοβοῦμαι ὑμᾶς, μήποτε εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. » Ὁρᾷς πανταχοῦ διαῤῥιπτοῦντας τοὺς λίθους, καὶ ἐκ μέσου τιθέντας τὰ ἀμφοῖν σκάνδαλα. Λίθους δὲ εἶναί φαμεν καὶ ἑτέρως, οἷς ἂν ἔσθ' ὅτε προσπταίσειάν τινες, τὰ τῶν ἀνοσίων αἱρετικῶν βέβηλά τε καὶ μυσαρὰ τερετίσματα. Κενοφωνοῦσι γὰρ οἱ δείλαιοι τοῖς ὀρθοποδοῦσιν ἐπιβουλεύοντες, καὶ τῶν τῆς ἀληθείας δογμάτων ἀποκομίζοντες, τῶν εὐσυναρπάστων τινάς· ἀλλὰ καὶ ταῦτα διαῤῥίπτουσιν ἐκ μέσου τῶν τῆς Ἐκκλησίας τειχῶν οἱ φύλακες. Τείχη δὲ αὐτῆς εἶναί φαμεν καὶ τῶν τῆς ἀληθείας δογμάτων τὴν ἑδραιότητα, ὧν οὐκ ἂν κατισχύσαιεν D αἱ ᾅδου πύλαι. « Ἄρατε γὰρ σύσσημον, φησίν, εἰς τὰ ἔθνη. Ἰδοὺ γὰρ Κύριος ἀκουστὸν ἐποίησεν ἕως ἐσχάτου τῆς γῆς. » Καὶ ποῖον ἄρα τοῦτ' ἔστι τὸ ἀκουστὸν σύσσημον, ὃ καὶ τοῖς ἔθνεσι, καὶ ἕως ἐσχάτου τῆς γῆς ἀρθῆναι δεῖν ἔφη, τουτέστιν, ἐπαρθῆναί τε καὶ γενέσθαι γνωριμώτατον τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν, ἢ τάχα που καὶ τοῦ σωτηρίου πάθους τὸ σύμβολον. Ἔστι δὲ καὶ τοῦτο τῆς πίστεως ὁμολογία. Δεῖ γὰρ εἰπεῖν, ὅτι Κύριος Ἰησοῦς, πιστεῦσαί τε, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν. Σώζει δὲ τοῦτο καὶ ἐκ θανάτου, καὶ ἁμαρτίας. Οὐκοῦν οὐ Ἰουδαίων μόνον, ἀλλὰ καὶ ἐθνῶν. Αἴρεται γὰρ τὸ σύσ-

bus vacuum, his qui volunt ingredi; per lapides enim subinnuit scandala. Si quis enim exempli causa, ex congregatione Judæorum vocatus sit, offendit subinde ad legis præcepta, et immoratur figuris, ac velut umbris assidens, non admittit veritatem. Sin fuerit quispiam ex multitudine Græcorum, impingit etiam hic ad doctrinæ peregrinitatem et cultus inconsuetus illum valde turbat, memorque est verborum quæ ipsorum proceres de suis diis faciunt. Nam olim fallentes et falsi, ac caligine diabolica replentes terram, fabulas seniles et aniles conscripserunt. Cæterum vigiles et sobrii custodes mystagogi, offensionum et scandalorum occasiones amputant, singula artificiose dissolventes, quæ traditioni fidei in Dominum nostrum Jesum Christum videntur adversari. Hoc faciunt, recte tollendo ratiocinia, et omnem celsitudinem extollentem se contra cognitionem Dei evertendo, et omnem intellectum ad obedientiam ejus captivando. Inveniemus autem sanctissimum Paulum Judæos offensos corrigentem, et gentes quibus simile quiddam accidit reprehendentem. Dixit enim Israelitico sanguine oriundis: « Circumcisio nihil est, et præputium nihil est, **875** sed observatio præceptorum Dei [4]. » Et rursus: « Dico enim vobis, si circumcidamini, Christus vobis nihil proderit. Alienati estis a Christo; quicunque in lege justificati estis, a gratia excidistis [5]. » Nos enim per fidem spem justitiæ accipimus. Græcorum autem multitudini, « Dies, » inquit, « observatis et menses, tempora et annos. Metuo vobis, ne frustra laboraverim in vobis [6]. » Vides semper illos amovere lapides, et amborum scandala de medio tollere. Lapides aliter quoque dicimus, ad quos interdum possent quidam offendere, impiorum hæreticorum nugæ et profanæ et exsecrabiles. Inaniter enim garriunt miseri, recto pede incedentibus comparantes insidias, et quosdam qui facile averti possunt a veritatis dogmatibus abducunt. Sed et hæc tollunt de medio murorum Ecclesiæ custodes. Muros autem ejus dicimus, veritatis dogmatum stabilitatem, contra quæ nec inferorum portæ valere possunt. « Tollite enim, inquit, signum ad gentes. Ecce enim Dominus fecit ut audiatur usque ad extremos fines terræ. » Et quidnam hoc est? Ut audiatur hoc signum, quod ad gentes et ad extrema terræ tollendum sit, id est extollendum, et passim divulgandum hoc verbum fidei, quod prædicamus, seu forte passionis salutaris symbolum, atque id est fidei confessio. Oportet enim dicere Dominum esse Jesum, ac credere Deum excitasse ipsum e mortuis. Servat autem hoc a morte et peccato. Igitur non Judæorum modo, sed et gentium. Tollitur enim signum, non ad solum credentes ex sanguine Israel, sed ad omnes ubique gentium. Orbis namque totus sub cœli complexu evangelica prædicatione, tanquam reti, captus est.

[4] Galat. v, 11. [5] ibid., 24. [6] Galat. iv, 10, 11.

στημον οὐχὶ μόνοις τοῖς πιστεύσασιν ἐξ αἵματος Ἰσραὴλ, ἀλλὰ γὰρ καὶ τοῖς ἁπανταχόσε γῆς· σεσαγήνευται γὰρ διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ ὑπ' οὐρανόν.

VERS. 11, 12. *Dicite filiæ Sion : Ecce tibi Servator venit, habens suam mercedem, et opus ante faciem suam. Et vocabit eum populum sanctum, redemptum a Domino. Tu autem vocaberis requisita civitas, et non derelicta.*

Prænuntiat adventum Servatoris, et quæcunque inde lucrati sumus, ac divitias dandas in ipsum credentibus. Filiam nominat Sion. Sive autem velit quis antiquam illam utpote jam adeptam misericordiam, et fide justificatam, sive novam, id est Ecclesiam, intelligere : non absurde dixerit, quod hæc sit illius Sionis filia. **876** Primi enim ex sanguine Israelis oriundi crediderunt : et gentium Ecclesia velut filia quædam dicta est ejus quæ ab initio ab illis constituta est. At quibus mandat, ut Evangelium annuntient Sioni ? Annon omnino sanctis mystagogis qui præfuerunt Ecclesiis, quos etiam jussit aperire portas, et lapides diligenter e medio tollere ? Quid est igitur quod prædicatur ? « Ecce tibi Servator advenit habens mercedem suam, et opus ante faciem suam. » Duo simul ponit, divina et eximia, unde manifesta fiat Servatoris gloria. Divini enim prophetæ exhortabantur eam ad vitæ probitatem, et ad conversationem legi congruentem et honestam. Deinde meminerant præmiorum quæ accepturi erant olim a Deo, quibus curæ erat recte factorum gloria ; sed non erant ipsi datores spiritualium charismatum, sed prædicebant, ut dixi, promissiones Dei. Universorum autem Servator, utpote Deus, habet potestatem dandi mercedem, et præterea dispiciendi, qui modus cuique et quod opus tribuendum sit. Est enim hoc divinum. Scriptum namque est : « Coram oculis Dei sunt viæ viri, omnesque semitas ejus considerat [7]. » — « Veniet igitur, » inquit, « habens suam mercedem, » id est, præmia dans his quos par est accipere. Siquidem divino Petro recte fidem confitenti, « Dabo, » inquit, « tibi claves regni cœlorum. Et quæcunque ligaveris super terram, erunt ligata in cœlis. Et quæcunque solveris super terram, erunt soluta in cœlis [8]. » Dedit autem in universum omnibus sanctis apostolis potestatem contra immundos spiritus, et ut possent curare omnem morbum et omnem infirmitatem in populo [9]. Certe et latroni pendenti una cum ipso dixit fidem non carituram suo præmio : « Amen dico tibi, hodie mecum eris in paradiso [10]. » Cum ergo venerit, » inquit, « eos qui credunt in ipsum, « vocabit populum sanctum et redemptum a Domino. » Non enim legatus, non angelus, sed ipse Dominus servavit nos, sicuti scriptum est [10*]. « Tu autem, o Sion, » sive Ecclesia, « vocaberis requisita civitas et non derelicta. » Requisitam dicit, et memoria dignam. Tenetur enim memoria quod quæritur. Et non derelicta, ut pri-

A *Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδού σοι ὁ Σωτὴρ παραγέγονεν ἔχων τὸν ἑαυτοῦ μισθὸν, καὶ τὸ ἔργον πρὸ προσώπου αὐτοῦ· καὶ καλέσει αὐτὸν λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ Κυρίου· σὺ δὲ κληθήσῃ ἐπιζητουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη.*

Προὐπαγορεύει δὲ τοῦ Σωτῆρος τὴν ἄφιξιν, ὅσα τε δι' αὐτῆς κεκερδήκαμεν, καὶ τὸν δοθησόμενον τοῖς εἰς αὐτὸν πιστεύουσι πλοῦτον. Θυγατέρα γε μὴν ὀνομάζει τὴν Σιών. Καὶ εἰ μὲν βούλοιτό τις τὴν ἀρχαίαν νοείτω ὡς ἠλεημένην ἤδη, καὶ δεδικαιωμένην ἐν πίστει. Εἰ δὲ δὴ τὴν νέαν, τουτέστι τὴν Ἐκκλησίαν, λέγοιτο ἂν οὐκ ἀπεικότως καὶ αὕτη θυγάτηρ εἶναι τῆς Σιών. Πρῶτοι γὰρ οἱ ἐξ αἵματος Ἰσραὴλ πεπιστεύκασι, καὶ οἱόν τις θυγάτηρ τῆς ἀπ' αὐτῶν συστάσης ἐν ἀρχαῖς Ἐκκλησίας ἡ ἐξ ἐθνῶν ὀνομάζεται. Τίσι δὲ κελεύει B τὸ εὐαγγελίσασθαι τῇ Σιών; ἢ πάντως που τοῖς ἁγίοις μυσταγωγοῖς τοῖς καθηγεῖσθαι λαχοῦσιν Ἐκκλησιῶν, οἷς καὶ ἀνοιγνύναι τὰς πύλας, καὶ τοὺς λίθους ἐκ μέσου διαῤῥίπτειν εὖ μάλα παρεκελεύετο; Τί δὲ δὴ ἄρα τὸ κηρυττόμενον; « Ἰδού σοι ὁ Σωτὴρ παραγέγονεν ἔχων τὸν ἑαυτοῦ μισθὸν, καὶ τὸ ἔργον πρὸ προσώπου αὐτοῦ. » Δύο τίθησιν ὁμοῦ θεοπρεπῆ τε καὶ ἐξαίρετα, δι' ὧν ἂν γένοιτο καταφανὴς τοῦ Σωτῆρος ἡ δόξα. Οἱ μὲν γὰρ θεσπέσιοι προφῆται παρεκάλουν εἰς εὐζωΐαν αὐτὴν, καὶ εἰς ἔννομόν τε καὶ εὐσχήμονα πολιτείαν. Εἶτα διεμέμνηντο τῶν γερῶν, ἃ παρὰ Θεοῦ λήψονται κατὰ καιροὺς, οἷς ἂν γένοιτο τὸ εὐδοκιμεῖν ἐν λόγῳ, ἀλλ' οὐκ αὐτοὶ χαρισμάτων δοτῆρες ἦσαν τῶν πνευματικῶν. Προηγόρευον δὲ, ὡς ἔφην, ὑποσχέσεις C Θεοῦ. Ὁ δέ γε τῶν ὅλων Σωτὴρ, ἅτε δὴ Θεὸς ὑπάρχων, ἔχει τὸ δύνασθαι διδόναι μισθοὺς, καὶ προσεπιτούτῳ τὸ ἐφορᾷν ἑκάστῳ τὸν τρόπον, ἤτοι τὸ ἔργον· θεοπρεπὲς γὰρ καὶ τοῦτο. Γέγραπται γὰρ, ὅτι « Ἐνώπιόν εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει. » — « Ἥξει τοίνυν, » φησὶν, « ἔχων τὸν ἑαυτοῦ μισθὸν, » τουτέστιν, αὐτὸς τὰ γέρα διδοὺς, οἷς ἂν πρέποι τὸ λαβεῖν. Καὶ γοῦν ὁμολογήσαντι μὲν τὴν πίστιν ὀρθῶς τῷ θεσπεσίῳ Πέτρῳ, « Δώσω σοι, » φησὶ, « τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὅσα ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς, καὶ ὅσα ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. » Ἐχαρίζετο δὲ καὶ συλλήβδην ἅπασι τοῖς ἁγίοις ἀποστόλοις κατὰ πνευμάτων ἀκαθάρτων ἐξουσίαν, καὶ D τὸ θεραπεύειν δύνασθαι πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. Ναὶ μὴν καὶ τῷ συγκρεμαμένῳ λῃστῇ τὴν πίστιν οὐκ ἄμισθον εἰπὼν ἀπέφηνεν· « Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. » Ἀφιγμένος δὴ οὖν, φησὶ, τοὺς μὲν εἰς αὐτὸν πιστεύοντας « καλέσει λαὸν ἅγιον, καὶ λελυτρωμένον ἀπὸ Κυρίου. » Οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς, καθὰ γέγραπται· « Σὺ δὲ, Σιὼν, » ἤγουν Ἐκκλησία, « κληθήσῃ ἐπιζητουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη· »

[7] Prov. v, 21. [8] Matth. xvi, 19. [9] Matth. iv, 23. [10] Luc. xxiii, 43. [10*] Isa. lxiii, 9

τὸ δὲ, ἐπιζητουμένη, φησὶν, ἀντὶ τοῦ, μνήμης ἀξιουμένη. A Μνημονεύεται γὰρ τὸ ζητούμενον· καὶ οὐ καταλελειμμένη, καθὰ καὶ ἡ πρώτη, τουτέστιν ἡ τῶν ἀπιστησάντων πληθύς. Εἴρηται μὲν οὖν παρὰ Χριστοῦ διὰ μὲν τῆς Ἱερεμίου φωνῆς, «Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου,» διὰ δὲ τῆς αὐτοῦ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· «Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ὑμῖν.»

Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ; Οὗτος ὡραῖος ἐν στολῇ, βοᾷ μετὰ ἰσχύος· Ἐγὼ διαλέγομαι δικαιοσύνην, καὶ κρίσιν σωτηρίου. Διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου, ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρους καταπεπατημένης; Καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ. Καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ, καὶ κατέθλασα αὐτοὺς ὡς γῆν. Καὶ κατήγαγον B *τὸ αἷμα αὐτῶν εἰς γῆν* (1), *καὶ πάντα τὰ ἐνδύματά μου ἐμόλυνα. Ἡμέρα γὰρ ἀνταποδόσεως ἐπῆλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστι. Καὶ ἐπέβλεψα, καὶ οὐδεὶς βοηθός. Καὶ προσενόησα, καὶ οὐδεὶς ἀντελάβετο, καὶ ἐῤῥύσατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου ἐπέστη. Καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου, καὶ ἐμέθυσα αὐτοὺς ἐν τῷ θυμῷ μου* (2), *καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν.*

Σοφῶς καὶ ἐντέχνως τῆς προφητείας ὁ λόγος μονονουχὶ ζωγραφεῖ τὴν εἰς οὐρανοὺς ἀναφοίτησιν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ἐξαγαγεῖν γὰρ εἰς πέρας τῆς μετὰ σαρκὸς οἰκονομίας τὴν δύναμιν, ἀνέβη πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα, καὶ Θεόν. Ὤφθη γε μὴν ταῖς ἄνω δυνάμεσιν οὐκ ἐν εἴδει μόνον C τῷ καθ' ἡμᾶς, τουτέστιν, ὡς ἄνθρωπος, ἀλλὰ γὰρ καὶ τὰ τοῦ πάθους σημεῖα δεικνύς· καὶ οὔτι πού φαμεν ὡς μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν αἱ διατρήσεις τῶν ἥλων, καὶ τὰ ἕτερα τῶν στιγμάτων ἐνυπῆρχον ἔτι τῇ ἁγίᾳ σαρκὶ, ἐκεῖνο δὲ μᾶλλον· ὥσπερ γὰρ ἀπιστήσαντι τῷ Θωμᾷ τοῖς ἁγίοις ἀποστόλοις φάσκουσιν, ὅτι τεθέανται τὸν Κύριον ἐγηγερμένον ἐκ νεκρῶν ἐπέδειξε τοὺς τύπους τῶν ἥλων, καὶ τὴν πλευρὰν, οὕτω συνίεμεν ὅτι ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς, καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, ἣν ἐποίησεν ἐν τῷ Χριστῷ μετὰ τῶν τοῦ πάθους σημείων ἀναφοιτῶν, ξένον καὶ ἀσύνηθες παντελῶς ταῖς ἄνω δυνάμεσιν ἐποιεῖτο θέαμα. Κατατεθήπασι γοῦν ἀνιόντα βλέπουσαι, καὶ δὴ καὶ ἔφασκον· «Τίς οὗτος ὁ παρα- D γενόμενος ἐξ Ἐδώμ;» Διερμηνεύεται δὲ τὸ Ἐδὼμ ἑλλάδι φωνῇ «πύρινον,» ἢ «γήϊνον·» τὸ δὲ Βοσὸρ, ἢ «σαρκὸς,» ἢ «σάρκινος.» Τίς οὖν ἄρα, φησὶν, οὗτός ἐστιν ὁ ἐκ γῆς, ἤτοι γήϊνος, «ἐρύθημά τε ἱματίων ἐκ Βοσὸρ,» τουτέστι, πεφοινιγμένος τὸ ἄμφιον ὡς ἀπὸ σαρκὸς, ἤγουν αἵματος; «Οὗτος ὡραῖος ἐν στολῇ.» Ὡς γὰρ ἰσχναὶ καὶ σοφαὶ δυνάμεις, καὶ θεοπρεποῦς

ma illa, id est infidelium multitudo. Dictum est igitur a Deo, voce Jeremiæ: **877** «Dereliqui domum meam, dimisi hæreditatem meam.» Dictumque est per ipsum omnium nostrum Servatorem Christum: «Ecce relinquitur vobis domus vestra[11].»

CAP. LXIII. VERS. 1-7. *Quis est iste qui venit ex Edom, rubor vestium ex Bosor? Hic formosus in stola, violenter clamat cum fortitudine: Ego loquor justitiam et judicium salutaris. Quare rubra sunt tua vestimenta et indumenta tua, sicut de calcato torculari pleno percalcato? Et ex gentibus non est vir mecum. Et conculcavi eos in furore meo, et confregi eos quasi terram. Et deduxi sanguinem eorum in terram, et omnia vestimenta mea inquinavi. Dies enim retributionis venit eis, et annus redemptionis adest. Et respexi, et non erat adjutor; consideravi, et nullus erat qui præberet auxilium. Et liberavit eos brachium meum et furor meus advenit; et conculcavi eos ira mea, et inebriavi eos furore meo, deduxique sanguinem eorum in terram*

Sapienter et artificiose prophetica oratio reditum in cœlos omnium nostrum Servatoris Christi tantum non depingit. Virtute enim dispensationis in carne ad finem perducta, ad cœlestem Patrem ac Deum ascendit, apparuitque supremis potestatibus, non solum in specie nostra, id est, ut homo, sed etiam passionis signa monstrans. Neque vero dicimus, post resurrectionem e mortuis penetrationes clavorum et cætera stigmata in sancta carne adhuc fuisse, sed illud potius: quemadmodum Thomæ, parum credenti sanctis apostolis dicentibus se vidisse Dominum ex mortuis, impressiones clavorum et latus ostendit[12]: ita intelligimus quo nunc principatibus et auctoritatibus, in cœlestibus, varia et multiplex Dei sapientia, quam in Christo propter Ecclesiam declaravit, innotesceret, cum signis passionis rediisse, inusitatum et insolitum omnino supremis potestatibus exhibuisse spectaculum. Stupebant enim cum viderent eum adventare, et dicebant: «Quis hic est, qui advenit ex Edom?» Græca autem lingua si quis Edom interpretetur, «ignem» vel «terrestre» significat. Bosor, «carnis» vel «carnalis.» Quis est igitur hic, inquit, ex terra vel terrestris? «Rubor vestium ex Bosor?» Id est, tinctus veste, **878** quasi ex carne aut sanguine. «Hic formosus in stola.» Nam potestates, utpote subtiles et sapientes, ac divina gloria plenæ, viderunt Christum, quantumvis esset in carne, robore certe in-

[11] Matth. XXIII, 38. [12] Joan. XX, 25.

(1) Verbis τὸ αἷμα αὐτῶν εἰς γῆν in exemplari Vaticano adnexa erant: Ἐν ἄλλοις, καὶ ἐῤῥάφη τῷ καταχινήματι αὐτοῦ τὰ ἱμάτιά μου, quæ a nobis ideo sublata sunt quia in textum irrepsisse non immerito suspicati sumus. Quæ autem sequuntur, καὶ πάντα τὰ ἐνδύματά μου ἐμόλυνα, etiam apud Procopium nomine Theodotionis et Symmachi margini sunt apposita cum asterisco.

(2) Καὶ ἐμέθ... μου desunt in LXX.

victo præditum. Hoc namque credo subindicare spectaculum. Interrogantibus itaque angelis, vel inter sese quærentibus : « Quis est hic ? » respondet et inquit : « Ego loquor justitiam et judicium salutis. » Justitiam vocat, vel evangelicam et divinam prædicationem, vel quod omnis Dei oratio justa sit. Salutis judicium appellat, quod de nobis est judicium. Indicavit enim orbem et Satanam qui eum injuria oppresserat, servavitque intolerabili tyrannide gravatos, et imperio in illos suo dejecit apostatam et alienum. Itaque dixit : « Judicium nunc est hujus mundi. Nunc princeps mundi hujus ejicietur foras. Et ego si exaltatus fuero de terra, omnes traham ad meipsum [13]. » Hæc itaque Christo dicente, rursus percunctantur, et aiunt : « Quare rubra sunt vestimenta tua et indumenta tua, velut ex torculari pleno calcato ? » Hic mihi repete memoria quod patriarcha Jacobus dixit : « Lavabit in vino stolam suam, et in sanguine uvæ amictum suum [14]. » Tincta enim sanguine indumenta apparebant, et tanquam musto colorata rubore. Deinde iterum Servator : « Et ex gentibus nemo fuit mecum. » Cohærent cum oratione hæc, et connectuntur cum superioribus. « Ego enim, inquit, loquor justitiam et judicium salutaris, et ex gentibus non est vir mecum. » Nemo, inquit, patienti mihi adfuit. Nemo ex ulla gente condoluit. Et quantum ad homines attinet, omni prorsus auxilio destitutus fuit, cohorte militum et immanitate ministrorum insultante : qui etiam, ut evangelista narrat, illum ad Caipham adduxerunt. « Tum omnes discipuli, inquit, eo relicto, fugerunt [15]. » Verum illud etiam prædixit Christus : « Ecce enim, inquit, venit hora et adest, ut quisque dispergamini ad sua, et me solum relinquatis. Et non sum solus, quia Pater mecum est [16]. » Dixit etiam lyra Psallentis : « Improperium exspectavit anima mea, et miseriam ; et exspectavi qui simul contristaretur, et non fuit, et qui consolaretur, et non inveni. Dederunt in escam meam fel, et in siti mea potaverunt me **879** aceto [17]. » Itaque « Nemo, inquit, mecum erat ex omnibus gentibus. » An igitur, cum solus esses et adjutoribus destituereris, manu hostili victus es ? Num superarunt, et tuis virtutibus expugnatis tanquam victoria potiti gaudent ? Nequaquam, inquit. Etsi enim neminem haberem assessorem et opitulatorem, conculcavi tamen illos, ac ut terram confregi, deduxique sanguinem eorum in terram. Post reditum enim Christi in cœlos, omne genus intolerandæ calamitatis ex divina ira Judaico populo inflictum est. « Dies enim retributionis, inquit, advenit illis. » Nam quibus licuit fidem arripere, et per eam locupletari gratia, cum tamen facti essent pigri, imo arrogantes et insolentes, et prope Deo bellum indicerent :

A δόξης ἔμπλεοι κατεθεῶντο Χριστὸν, εἰ καὶ ἦν ἐν σαρκὶ, ναὶ μὴν καὶ ἰσχύος ὄντα μεστὸν τῆς ἀμάχου, τοῦτο γὰρ, οἶμαι, τὴν θεῖαν (1) ὑπεδήλου. Ἐρομένων δὴ οὖν τῶν ἀγγέλων, ἢ τάχα που καὶ πρὸς ἀλλήλους τὸ « Τίς οὗτος ; » διηγορευκότων ἀποκρίνεται, καί φησιν· « Ἐγὼ διαλέγομαι δικαιοσύνην, καὶ κρίσιν σωτηρίου· » δικαιοσύνην δέ φησιν, ἢ τὸ εὐαγγελικὸν καὶ θεσπέσιον κήρυγμα, ἤγουν ὅτι Θεοῦ πᾶς λόγος δίκαιος· σωτηρίου δὲ κρίσιν τάχα που τὸ ἐφ' ἡμῖν ὀνομάζει κρῖμα, δεδίκακε γὰρ τὴν ὑπ' οὐρανὸν, καὶ τῷ ταύτην ἀδικήσαντι Σατανᾷ, καὶ τοὺς ταῖς ἀφορήτοις πλεονεξίαις κατηχθισμένους σέσωκεν· ἐκδέβληκε δὲ τῆς κατ' αὐτῶν ἀρχῆς τὸν ἀποστάτην, καὶ ἀλλότριον· ἔφη γοῦν νῦν ὅτι « Κρίσις ἐστὶ τοῦ κόσμου τούτου. Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθή-
B σεται ἔξω, κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Ταῦτα δὲ εἰπόντος τοῦ Χριστοῦ, πάλιν ἀναπυνθάνονται, καί φασι· « Διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρους καταπεπατημένης ; » Ἐνταῦθά μοι μέμνησο τοῦ πατριάρχου λέγοντος Ἰακὼβ τό· « Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. » Πεφοινιγμένα γὰρ τῷ αἵματι τὰ ἐνδύματα κατεφαίνετο, καὶ οἱον ἐξ οἴνου κατακεχωσμένα πρὸς τὸ ἐρυθρόν. Εἶτα πάλιν εὐθὺς ὁ Σωτήρ· « Καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ· » ἔχεται τοῦ λόγου, καὶ συνάπτει κατόπιν καὶ ταῦτα· « Ἐγὼ γὰρ, ἔφη, διαλέγομαι δικαιοσύνην, καὶ κρίσιν σωτηρίου, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ'
C ἐμοῦ. » Οὐδεὶς γάρ μοι πάσχοντι παρίστη, φησὶν, ἐξ οὐδενὸς ἦν ἔθνους ὁ συναλγῶν, καὶ τό γε ἧκον εἰς ἀνθρώπους, ἀνεπικούρητος ἦν παντελῶς, ἐπιπηδώσης αὐτῷ τῆς τε σπείρας τῶν στρατιωτῶν, καὶ τῆς τῶν ὑπηρετῶν ἀγριότητος, « οἳ καὶ ἀπήγαγον αὐτὸν πρὸς Καϊάφαν, καθά φησιν ὁ εὐαγγελιστής, τότε πάντες ἀφέντες αὐτὸν οἱ μαθηταὶ ἔφυγον, » πλὴν καὶ τοῦτο προηγόρευσεν ὁ Χριστός· ἔφη γάρ· « Ἰδοὺ ἔρχεται ὥρα, καὶ ἐλήλυθεν, ἵνα ἕκαστος σκορπισθῆτε εἰς τὰ ἴδια, κἀμὲ μόνον ἀφῆτε, καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ Πατὴρ μετ' ἐμοῦ ἐστιν. » Ἔφη δὲ καὶ διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν, καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντα καὶ οὐχ εὗρον, καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν
D δίψαν μου ἐπότισάν με ὄξος. » Οὐκοῦν « Οὐδεὶς ἦν μετ' ἐμοῦ, φησὶν, ἐκ πάντων τῶν ἐθνῶν. » Ἆρ' οὖν, ἐπεὶ μόνος ἦσθα, καὶ τῶν συναθλούντων ἔρημος, ἥττων γέγονας τῆς τῶν πολεμούντων χειρός ; Ἆρα κεκρατήκασι, καὶ τῆς σῆς ἰσχύος κατευμεγεθήσαντες, χαίρουσί τε λοιπὸν, ὡς νενικηκότες ; Οὐδαμῶς, φησί. Καίτοι γὰρ ἔχων οὐδένα τὸν παραστάτην, κατεπάτησα αὐτοὺς ἐν θυμῷ, καὶ κατέθλασα αὐτοὺς ὡς γῆν, κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν· μετὰ γάρ τοι τὴν εἰς οὐρανοὺς ἀναφοίτησιν τοῦ Χριστοῦ, πᾶν εἶδος ἀφορήτου συμφορᾶς τοῖς Ἰουδαίων δήμοις ἐκ θείας

[13] Joan. XII, 31, 32. [14] Gen. XLIX, 11. [15] Matth. XXVI, 56, 57. [16] Joan. XVI, 32. [17] Psal. LXVIII, 21, 22.

(1) Hunfred. legisse videtur θέαν, et infra lin. 12, ὀλέθριον pro ἀλλότριον.

ὀργῆς ἐπενήνεκται. « Ἡμέρα γὰρ ἀνταποδόσεως, » φησὶν, « ἐπῆλθεν αὐτοῖς. » Οἷς γὰρ ἐξὸν ἁρπάσαι τὴν πίστιν, καὶ τὴν δι' αὐτῆς καταπλουτῆσαι χάριν, εἶτα ῥάθυμοι γεγονότες, μᾶλλον δὲ ἀλαζόνες, καὶ ὑβρισταὶ, καὶ μέχρι παντὸς θεομάχοι, πῶς οὐ σφόδρα εἰκότως παντὸς εἴσω γεγόνασι κακοῦ; Πλὴν ὁ τῆς ἐκείνου ἀνταποδόσεως καιρὸς, λυτρώσεως ἦν τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Ἐν ταυτῷ γὰρ ὁ μὲν ἐξήνιος ἐκολάζετο, ὁ δὲ εὐπειθὴς καὶ ὑφειμένος ἐλυτρώθη παρὰ Χριστοῦ. « Ἐπέβλεψα γὰρ, » φησὶ, « καὶ οὐκ ἦν ὁ βοηθός· προσενόησα, καὶ οὐδεὶς ἀντελάβετο· » καὶ ἐῤῥύσατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου ἐπέστη. « Καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου. » Ἔοικεν ἐν τούτοις τῆς τῶν Γραμματέων καὶ Φαρισαίων ῥαθυμίας ποιεῖσθαι καταβοὴν, οἳ τετάχαντο μὲν εἰς τὸ καθηγεῖσθαι λαῶν, καὶ ἀπευθύνειν B αὐτοὺς εἰς δικαιοσύνην, καὶ παιδαγωγεῖν εὖ μάλα πρὸς τὸ Θεῷ δοκοῦν. Ῥάθυμοι δὲ ἦσαν οὕτω, καὶ ἀναπεπτωκότες, ὡς ἐπικουρεῖν μὲν οὐδενὶ τῶν ὑπεζευγμένων, καὶ ταῖς νουθεσίαις ἐπανορθοῦν, ἐκ δὲ τῶν ἐναντίων καὶ ἀποκομίζειν εἰς ἀπιστίαν. Τετολμήκασι γὰρ εἰπεῖν περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Ἡμεῖς οἴδαμεν ὅτι Μωσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί. » Καὶ πάλιν· « Δαιμόνιον ἔχει καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε; » Οὐκοῦν ἐπειδήπερ οὐδεὶς ἦν, φησὶν, ὁ βοηθῶν, ἢ ἀντιλαμβανόμενος, σέσωκε μὲν ἐκείνους ὁ ἐμὸς βραχίων, τουτέστι, δύναμις, πλεῖστοι γὰρ, ὡς ἔφην, ἐξ Ἰουδαίων πεπιστεύκασι. Τοῖς γε μὴν οὐκ ἐθελήσασι βοηθεῖν ὁ θυμός μου ἐπέστη, γεγόνασι καταπάτημα τῆς ὀργῆς. Κακοὶ γὰρ κακῶς διολώλασι, καὶ ἰσοῤῥόπους τοῖς αἰτιάμασιν ἐξήτηνται δίκας.

A quidni in omne genus malorum devenirent? Verum retributionis tempus illis, erat redemptionis dies his qui ejus apparitionem agnoverunt. Simul enim et hic effrenis punitus est, et ille obediens ac submissus a Christo redemptus est. « Respexi enim, » inquit, « et non erat adjutor; consideravi, et nemo erat qui præberet auxilium. » Et liberavit eos brachium meum, et furor meus invasit eos. « At conculcavi illos ira mea. » Videtur his verbis contra socordiam Scribarum et Pharisæorum vociferari, qui constituti sunt ut præessent populo, et ad justitiam dirigerent, et ad Dei placitum probe instituerent. Sed adeo socordes erant ac desides, ut his qui subditi jugo fuerunt nullam opem afferrent, nullis monitis corrigerent: sed e contrario, etiam ad infidelitatem abducerent. Ausi sunt enim dicere de omnium nostrum Servatore Christo: « Nos quidem novimus Moysi locutum esse Deum; hunc autem haud novimus unde sit [18]. » Et iterum: « Dæmonium habet et insanit, quid illum auditis [19]? » Itaque quia nemo, inquit, erat qui succurreret, vel auxilium præberet, servavit eos brachium meum, id est, potentia. Complures enim, ut dixi, ex Judæis crediderunt. Qui vero nolebant succurrere eos, furor meus invasit, factique sunt conculcatio iræ. Mali enim male perierunt, et dignas sceleribus pœnas dederunt.

Τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου ἐν πᾶσιν, οἷς ὁ Κύριος ἡμῖν ἀνταποδίδωσι. Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραὴλ, ἐπάγει ἡμῖν καὶ κατὰ τὸ ἔλεος αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ.

Θεοῦ λέγοντος ὡς ἐπέστη μὲν τοῖς ἀπειθήσασιν ὁ θυμὸς, κατεπάτησε δὲ αὐτοὺς ἡ ὀργὴ, καὶ ὅτι κατεκομίσθη τὸ αἷμα αὐτῶν εἰς γῆν, διὰ μέσου κεχώρηκεν ὁ προφήτης, καὶ ἀπογινώσκειν οὐκ ἐᾷ τοὺς καθ' ὧν οἱ λόγοι, μέτεισι δὲ τὸ χρῆμα, καὶ λίαν εὐτέχνως. Ἐμνήσθην γὰρ, φησὶ, κατ' ἐμαυτὸν, ὡς ἔστιν οὐκ ἀπηνὴς ὁ τῶν ὅλων κριτής. Οἶδα γὰρ τὸν ἔλεον καὶ τὰς ἀρετὰς αὐτοῦ, τουτέστι, τὰς δυναστείας ἐν πᾶσιν, οἷς ἀνταποδίδωσιν ἡμῖν. Εἰ γὰρ καὶ ἀπέστραπται, φησὶ, πεπαρῳνηκότα τὸν Ἰσραὴλ, καὶ ἀπειθεῖν ᾑρημένον, καὶ οἷον ἀνταποδίδωσιν ἡμῖν τὰ ἐξ ὀργῆς, D οὐκ ἀκράτου μᾶλλον, ἀλλ' ἡμερότητι κεκρατημένης, ἀλλ' οὖν εὖ ἐπίσταμαι τὰς ἀρετὰς αὐτοῦ, τουτέστι, τὰς δυναστείας γεγενημένας κατὰ καιροὺς επὶ τῇ λυτρώσει τοῦ Ἰσραήλ. « Ἔσται τοίνυν, » φησὶν, « ὁ Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραὴλ, » οὐκ ἀκριβὴς μᾶλλον, ἀλλὰ χρηστὸς, ἤγουν ἀγαθός. Δικαστοῦ μὲν γὰρ ἀκριβοῦς ἔργον ἂν γένοιτο, τὸ δίκας αἰτεῖν τοὺς ἡμαρτηκότας ἀναλόγως ἐχούσας τοῖς αἰτιάμασιν· ἀγαθοῦ γε μὴν, τὸ ἐλεεῖν ὡς ἠσθενηκότας. Οὐκοῦν ἐπειδήπερ κριτὴς ἀγαθὸς, ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ, τουτέστι, συμμετρήσει τὰ ἐξ ὀργῆς, καὶ ἀναμὶξ ἐλέῳ ποιήσει τὴν ἀγανάκτησιν. Πλῆθος

C VERS. 7. *Misericordiæ Domini recordatus sum, virtutum Domini, in omnibus quæ nobis retribuit. Dominus judex bonus domui Israel adducit nobis secundum misericordiam* **880** *suam, et secundum multitudinem justitiæ suæ.*

Deo dicente advenisse incredulis furorem, et illos ira conculcatos, sanguinemque eorum deductum in terram, intervenit propheta, nec sinit eos animum despondere, contra quos hæc verba dicta sunt. Resque hæc valde artificiose interposita est. Recordatus sum enim, inquit, apud me, non esse inclementem universorum Judicem. Novi siquidem misericordiam et virtutes ejus, id est, potentiam, in omnibus quæ nobis retribuit. Etsi enim, inquit, Israelem debacchatum et inobedientem aversatus sit, et velut retribuit nobis iram, non quidem impotentem et immoderatam, sed clementia temperatam, scio tamen virtutes ejus, id est, potentiam variis temporibus in liberatione Israelis exhibitam. « Erit itaque, » inquit, « Dominus judex bonus domui Israel, » non severus, at benignus et bonus. Judicis enim severi officium est pœna sceleribus conveniente afficere peccantes, boni autem, misericordiam capere, ut infirmorum. Itaque bonus judex cum sit, inducit nobis pro misericordia sua, id est, iram moderabitur, et indignationem cum misericordia temperabit. Inest enim ei multitudo justitiæ, id est, ad summam omnis justitiæ sortem pervenit. Hinc, et

[18] Joan. IX, 29. [19] Joan. X, 20.

quidem non immerito, non omnino impunitum dimittet Israelem, sed clementia potius, uti dixi, iram temperabit. Servatæ sunt enim reliquiæ.

VERS. 8-10. *Et dixit Dominus: Nonne populus meus est? filii mei non reprobabunt. Et ipse factus est eis saluti, ex omni afflictione eorum. Non legatus, non angelus, sed ipse Dominus servavit eos, eo quod diligeret eos, et parceret eis. Ipse redemit eos, suscepit, evexit omnibus diebus sæculi. At illi non crediderunt, et exacerbaverunt Spiritum sanctum ejus; et conversus est eis in inimicitiam, Dominus ipse oppugnavit eos.*

Rursus mihi specta Dei personam statim introductam, tantum non clamantem contra inobedientiam Israelis. Dixit enim, inquit, Dominus, id est, ipse universorum Deus : Nonne pro filiis habui populum? Cum autem hoc verum sit : dixit enim : Filius primogenitus meus Israel : nemo poterit dubitare quin durus fuerit et immorigerus. **881** Sed tamen filium ablegatum recipiet. Sed nonne hoc tandem evenit, nec frustratus est spe qui omnia novit? Sciebat enim futura, nihilque eum prorsus latet. Verum humano more formatur orationis habitus. Hæc Deo dicente, occupat propheta, et stupiditatis simul et ingratitudinis accusat Israelem, ostenditque illum bonorum sibi collatorum prorsus fuisse immemorem. « Factus est enim, » inquit, « illis saluti, ex omni afflictione eorum. » Nemoque præterea eos servavit, non legatus, non angelus, sed ipse Dominus per seipsum. Miracula enim operatus est in Ægypto, sequestre quidem Moyse, verumtamen ipse erat, qui illa opinionem mentemque excedentia operabatur. Unde cum vitulum fabricasset Israel, offensusque esset Deus, ac denuntiasset se angelum cum ipsis missurum, moleste tulit Moyses, dicens : « Nisi tu ipse præeas mihi, ne educas me hinc [20]. » Ipse itaque per seipsum servavit eos, non quia in illis quidquam inveniret, sed tantummodo quod diligeret eos curamque eorum haberet. Quod evidens argumentum est incomparabilis humanitatis, et placabilitatis divinæ. Liberavit ergo illos e domo servitutis, suscepit, evexit. Idque, opinor, est, quod principio dixit : « Filios genui et evexi, » id est, educavi, vel insignes reddidi : « sed illi me repudiarunt [21]. » Illud, omnibus diebus sæculi, significare potest, jugiter et perpetuo. Adeo bonus in illos fuit universorum Deus : sed illi inobedientes exstiterunt, et sanctum ejus Spiritum irritare non destiterunt. Quod docet divinus David, inquiens : « Quoties exacerbarunt eum in deserto? ad iram concitarunt eum in terra siticulosa [22]? » Vel exacerbaverunt Spiritum Christi, duri et immites, effrenes et inobedientes. Non enim obedierunt illi ad salutem vocanti. « Versus est » igitur « illis in inimicitiam, et pugnavit

[20] Exod. XXXIII, 15. [21] Isa. I, 2. [22] Psal. LXXVII, 40.

γὰρ ἔνεστιν αὐτῷ δικαιοσύνης, τουτέστιν, εἰς λῆξιν ἁπάσης διελήλακε δικαιοσύνης. Ταύτητοι, καὶ μάλα εἰκότως, οὐχ ἀθῶον εἰσάπαν ἀφήσει τὸν Ἰσραήλ, ἡμερότητι δὲ μᾶλλον, ὡς ἔφην, κεράσει τὰ ἐξ ὀργῆς. Σέσωσται γὰρ τὸ κατάλειμμα.

Καὶ εἶπε Κύριος. Οὐχ ὁ λαός μου; τέκνα μου οὐ μὴ ἀθετήσουσι. Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν· οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς, διὰ τὸ ἀγαπᾷν αὐτούς, καὶ φείδεσθαι αὐτῶν· αὐτὸς ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος. Αὐτοὶ δὲ ἠπείθησαν, καὶ παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ· καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν, Κύριος αὐτὸς ἐπολέμησεν αὐτούς.

Ἄθρει δή μοι πάλιν τὸ τοῦ Θεοῦ πρόσωπον εἰσκεκομισμένον εὐθὺς, μονονουχὶ κατακεκραγὸς τῆς τοῦ Ἰσραὴλ ἀπειθείας. Εἶπε γάρ, φησί, Κύριος, τουτέστιν, αὐτὸς ὁ τῶν ὅλων Θεός· Οὐχ ἐν τάξει τέκνων κατελογισάμην τὸν λαόν; Ἐπειδὴ δὲ τοῦτο ἐστὶν ἀληθές· ἔφη γάρ, ὅτι Υἱὸς πρωτότοκός μου Ἰσραήλ· οὐκ ἂν ἐνδοιάσειέ τις, ὡς οὐκ ἔσται σκληρὸς, καὶ ἀπειθής. Προσδέξεται δὲ μᾶλλον ἀποσταλέντα τὸν Υἱόν. Ἀλλ' οὐκ ἐκβέβηκε τοῦτο πρὸς πέρας, καὶ οὐχ ἥμαρτεν ἐλπίδος ὁ πάντα εἰδώς· ἠπίστατο γὰρ τὰ ἐσόμενα. Λανθάνει δὲ αὐτὸν παντελῶς οὐδέν. Πέπλασται δὲ ἀνθρωπίνως τοῦ λόγου τὸ σχῆμα. Ταῦτα Θεοῦ λέγοντος διαλαβὼν ὁ προφήτης ἀναισθησίας τε ὁμοῦ καὶ ἀχαριστίας γράφεται τὸν Ἰσραήλ, ἀποφαίνει δὲ καὶ ἀμνημονήσαντα παντελῶς τῶν ὑπαρχθέντων αὐτοῖς ἀγαθῶν. « Ἐγένετο γὰρ αὐτοῖς, » φησίν, « εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν· » ἕτερος δὲ παρ' αὐτὸν οὐδεὶς σέσωκεν αὐτούς, οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς Κύριος δι' ἑαυτοῦ. Τεθαυματούργηκε γὰρ ἐν Αἰγύπτῳ μεσολαβοῦντος μὲν τοῦ Μωσέως, πλὴν ἐνεργῶν αὐτὸς τὰ παράδοξα. Καὶ γοῦν ὅτε μεμοσχοποίηκεν ὁ Ἰσραήλ, εἶτα πρὸς τοῦτο λελύπηται Θεός, καὶ συνεκπέμψειν αὐτοῖς ἄγγελον ἐπηγγέλλετο, δεδυσφόρηκεν ὁ Μωσῆς λέγων· « Εἰ μὴ σὺ αὐτὸς πορεύσῃ μετ' ἐμοῦ, μή με ἀναγάγῃς ἐντεῦθεν. » Αὐτὸς οὖν ἄρα δι' ἑαυτοῦ σέσωκεν αὐτούς, ἐσχηκὼς μὲν παρ' αὐτῶν τὸ σύμπαν οὐδὲν, μόνον δὲ διὰ τὸ ἀγαπᾷν αὐτούς, καὶ κήδεσθαι αὐτῶν. Τοῦτο δέ ἐστιν ἀπόδειξις ἐναργὴς τῆς ἀπαραβλήτου φιλανθρωπίας, καὶ γαληνότητος τῆς θεοπρεποῦς· ἐλυτρώσατο τοίνυν αὐτοὺς ἐξ οἴκου δουλείας, ἀνέλαβεν, ὕψωσε· καὶ τοῦτο, οἶμαι, ἐστὶν ὅπερ ἐν ἀρχαῖς ἔφη, « Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, » τουτέστιν, ἐξέθρεψα, ἤγουν ἐπισήμους ἀπέφηνα, « αὐτοὶ δέ με ἠθέτησαν. » Τὸ δὲ πάσας τὰς ἡμέρας τοῦ αἰῶνος κατασημήνειεν ἄν, τὸ, ἀκαταλήκτως, καὶ διηνεκῶς, ἀλλ' ἦν μὲν οὕτω περὶ αὐτοὺς ἀγαθὸς ὁ τῶν ὅλων Θεός, αὐτοὶ δὲ γεγόνασιν ἀπειθεῖς καὶ παροτρύνοντες οὐ διαλελοίπασι τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ. Καὶ τοῦτο διδάξει λέγων ὁ θεσπέσιος Δαβίδ· « Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ; » Ἢ τάχα παρώξυναν τὸ Πνεῦμα Χριστοῦ, σκληροὶ καὶ

ἀμείλικτοι γεγονότες, ἐξήνιοί τε καὶ ἀπειθεῖς; Οὐ γὰρ ὑπήκουον αὐτῷ, καλοῦντι πρὸς σωτηρίαν. « Ἐστράφη » τοίνυν « αὐτοῖς εἰς ἔχθραν, καὶ πεπολέμηκεν αὐτούς· » ἔδει γὰρ, ἔδει τοὺς τῶν παραδόξων ἀμνήμονας, καὶ κατ' οὐδένα τρόπον ὠφελημένους, δι' ὧν ἦν εἰκὸς εἰς πᾶν ὁτιοῦν ἐλάσαι τῶν ἀνδραγαθημάτων, καὶ φειδοῦς, καὶ ἀγάπης ἀπολισθεῖν τῆς παρὰ τοῦ σώζειν ἐθέλοντος, ὥστε καὶ ἐν τάξει πολεμίου λοιπὸν δοκεῖν αὐτοῖς ἀντανίστασθαι.

A contra eos. » Oportuit enim, oportuit eos, qui horum mirabilium facinorum immemores erant, nihilque utilitatis ex iis ceperant, per quæ ad omnes virtutes eos perduci æquum fuit, a misericordia et dilectione ejus qui servare vult, excidere, eumque illis tanquam hostibus deinceps resistere.

Ἐμνήσθη ἡμερῶν αἰωνίων. Ποῦ ὁ ἀναβιβάσας ἐκ τῆς γῆς (1) *τὸν ποιμένα τῶν προβάτων; ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον; ὁ ἀναγαγὼν τῇ δεξιᾷ Μωσῆν; Ὁ βραχίων τῆς δόξης αὐτοῦ κατίσχυσεν ὕδωρ ἀπὸ προσώπου αὐτοῦ, ποιῆσαι αὐτῷ ὄνομα αἰώνιον· ἤγαγεν αὐτοὺς διὰ τῆς ἀβύσσου, ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν, καὶ ὡς κτήνη διὰ πεδίου· κατέβη πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς· οὕτως ἤγαγες τὸν λαόν σου, τοῦ ποιῆσαι σεαυτῷ ὄνομα δόξης.*

882 VERS. 11-14. *Et recordatus est dierum æternorum. Ubi est qui eduxit de terra pastorem ovium? Ubi est qui posuit in eis Spiritum sanctum? qui eduxit dextera Moysen? Brachium gloriæ suæ superavit aquam a facie ejus, ut faceret sibi nomen sempiternum. Duxit eos per abyssum, tanquam equum*
B *per solitudinem, et laboraverunt, et sicut jumenta per campum. Descendit spiritus a Domino, et dux eorum fuit. Sic duxisti populum tuum, ut faceres tibi nomen gloriæ.*

Εἰς ἔχθραν αὐτοῖς μεταβληθῆναι λέγων τὸν φειδοῖ καὶ ἀγάπῃ τὸ πρὶν κατευφραίνοντα, τὰς τοῦ πράγματος αἰτίας ἐξηγεῖται χρησίμως. Διεμνημόνευσε γὰρ, φησὶν, ἤγουν ἀνεπόλησε τὰς ἡμέρας τὰς αἰωνίους, τουτέστι, τὰς ἀειμνημονεύτους, διὰ τὸ ἐν αὐταῖς πλεῖστά τε ὅσα καὶ ἐξαίρετα γενέσθαι θαύματα. Τίς δὲ ὁ μνημονεύσας; ὁ ἀναβιβάσας ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων; Ἔοικεν ἐν τούτοις τῆς ἀναστάσεως ποιεῖσθαι μνήμην τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ὁ γὰρ ἀναβιβάσας, φησὶν, ἀντὶ τοῦ, ὁ ἀναστήσας ἀπὸ γῆς τὸν πάντων ἀρχιποιμένα, ἀναστήσας δὲ οὐχὶ πάντως ἐκ νεκρῶν, ἀλλ' οἷον ἀναδείξας ἐξ ἀνθρώπων· γέγονε γὰρ ὡς εἷς ἐξ ἡμῶν, γέννησιν ὑπομείνας τὴν κατὰ σάρκα ἐκ γυναικὸς ὁ μονογενὴς τοῦ Πατρὸς Λόγος. Ἐπειδὴ δὲ, ὡς ἔφην, ἀμνημόνευτα εἰσάπαν τῆς παρὰ Θεοῦ μεγαλουργίας ἐθεᾶτο τὸν Ἰσραὴλ, μονονουχὶ κατατέθηπεν ὁ προφήτης, καὶ εἰς τοῦτο πεσόντας ἀναισθησίας ὀλοφύρεται λέγων· « Ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, » τουτέστιν, ὁ ἐπιστήσας ἐν αὐτοῖς τὸ θεῖον αὐτοῦ καὶ σωτήριον Πνεῦμα. Κατέβη γὰρ Πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτοὺς, φησίν. Ἔφη δὲ καὶ ὁ θεσπέσιος Δαβὶδ, ὅτι « Ἐξαπέστειλε τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς. » Ὁ δὲ Κύριος τὸ πνεῦμα ἐστιν, ἐνεργεῖ γὰρ διὰ τοῦ ὁμοουσίου Πνεύματος. Ποῦ τοίνυν ἐστίν; ἀντὶ τοῦ, ἐπελάθοντο, καὶ οὐκ ἐξεζήτησαν αὐτὸν, διὰ τοῦ μεμνῆσθαι δηλονότι, καὶ ἀγαπᾷν αὐτόν. Ποῦ ὁ ἀναγαγὼν τῇ δεξιᾷ τὸν Μωσῆν; Μέγας ἦν ὁ Μωσῆς ὁ διαβόητός τε καὶ ὑψηλὸς ἐν εὐκλείᾳ· ὑπεμφαίνει δὲ τοῦτο τὸ, ἀναγαγὼν, ἐνεργούσης δι' αὐτοῦ τῆς τοῦ Θεοῦ δεξιᾶς. « Ὁ βραχίων τῆς δόξης κατίσχυσεν, » ἢ κατηγωνίσατο, καὶ νενίκηκε τὴν τῶν ὑδάτων φύσιν συμπήξας αὐτά. Ἐπάγει γὰρ ὡσεὶ τεῖχος τὰ ὕδατα, φησὶν, ἤγουν αὐτὰ κατίσχυσε τὰ ὕδατα, ὥστε καὶ πῆξιν ὑπομεῖναι, καίτοι φύσιν ἔχοντα τὴν ὑγράν. Πεπλήρωκε δὲ καὶ τοῦτο, φησὶν,

Cum dixerit se conversum esse in inimicitiam illis, qui prius eos misericordia et charitate sublevavit et exhilaravit, causas hujusce rei commode exponit. In memoriam revocavit enim, inquit, animoque volutavit dies æternos, id est, semper memorabiles, propter multa et eximia in illis præstita miracula. Quis autem recordatus est? Quis ille qui eduxit de terra pastorem omnium? Videtur hic resurrectionis omnium nostrum Servatoris Christi mentionem facere. Qui eduxit, inquit, vel ascendere
C fecit, pro: Qui excitavit e terra omnium summum pastorem, qui excitavit, inquam, non solum ex mortuis, sed velut erigens ex hominibus. Factus est enim tanquam unus ex nobis, ortum habens ratione carnis de muliere, unigena Patris Sermo. Sed quia, ut dixi, conspicatus est propheta Israelem omnino oblitum divinæ magnificentiæ, tantum non stupore confusus est, et eo stupiditatis lapsos deplorat, dicens: « Ubi est qui posuit in illis Spiritum sanctum? » id est, qui inseruit illis divinum suum ac salutarem Spiritum? Descendit enim Spiritus a Domino, et duxit eos. Porro divinus David ait: « Emisit Verbum suum, et sanavit eos [23]. » Dominus autem spiritus est [24]. Operatur enim per Spiritum qui æqualis est substantiæ. Ubi est ergo? pro, Obliti
D sunt, et non quæsiverunt eum, recordando scilicet et diligendo eum. Ubi est qui eduxit dextra Moysen? Magnus fuit Moyses, percelebris et dignitate sublimis. Idque subindicat: Eduxit, operante per ipsum divina dextera. « Brachium gloriæ superavit, » vel expugnavit, et vicit naturam aquarum, sistens eas. Inducit enim velut murum aquas, inquit. Vel ipsas aquas repulit, **883** ac superavit, ita ut sisti se paterentur, etiamsi naturam habeant humidam. Implevit hoc, inquit, ut sibi nomen sempiternum acquireret. Sive enim hoc factum est, sive etiam

[23] Psal. CVI, 20. [24] Joan. IV, 24.

(1) Θαλάσσης LXX.

administratum fuerit per sapientissimum Moysen hoc in gloriam Dei factum est. Sistens, inquit, aquas ceu equum, vel ceu jumenta duxit per mare, veluti per campum. Hoc item Psalmodus docet, cum inquit : « Et eduxit tanquam oves populum suum, et duxit eos tanquam gregem in deserto [25]. » Dux autem eorum fuit, uti dixi, Spiritus Domini. Sic duxisti populum tuum, ut comparares tibi ipse nomen gloriosum. Duo enim facta sunt eodem tempore. Non enim modo servatus est Israel, et e manu opprimentium liberatus est : sed etiam rerum admirabiliter gestarum finis universorum dominatori Deo gloriam convenientem peperit.

VERS. 15-17. *Convertere de cœlo, et vide de domo sancta tua, et gloriæ tuæ. Ubi est zelus tuus, et fortitudo tua? Ubi est multitudo misericordiæ tuæ, et miserationum tuarum, quia sustinuisti nos? Tu enim es Pater noster, quia Abraham non novit nos, et Israel non agnovit nos. A principio nomen tuum super nos. Cur seduxisti nos, Domine, a via tua; obdurasti corda nostra, ne timeremus te?*

Hic deinceps propheta pro universa gente preces fundit, et sub persona Israelitarum rogat et supplicat. Orat enim ut ab ira in illos sua desistat, et odio supersedeat, et ad ipsos quasi revertatur, qui ab illis discesserat : ut qui non sit terrestris quispiam, sed Deus verus, et cœlum tanquam domum gloriosam habens. Etsi autem dicatur in cœlo habitare Deus, nihil tamen in eo corporale intelligendum est. Non enim in loco et circumscriptione divinitatem esse dicimus, quod ea simplex sit et incorporea, ac compleat omnia. Quia autem in supremis spiritibus tanquam sanctis conquiescit, hinc dicimus solium et domum ejus esse cœlum. Convertere igitur, inquiunt : « Ubi enim est zelus tuus, et fortitudo tua? » Nec dixerit, opinor, quispiam his caruisse universorum Deum; sed quia jam illis non fruerentur, hæc dicunt. Zelo namque et divina fortitudine usus servavit Israelem. Puta : servierunt **884** Ægyptiis, qui vitam eorum luto et latere afflixerunt, et exactorum crudelitate vexarunt. At zelo accensus est universorum Deus. Dixit itaque : « Æmulatus sum Jerusalem et Sion zelo magno, et furore magno irascor gentibus conspirantibus. » Pro eo quod ego parum iratus sum, illi conspirarunt simul ad mala [26]. Deinde rursus mirabilia operatus est. Babyloniorum enim regionem, licet invictam et insuperabili potentia præditam, vastitati tradidit. Immisit enim in eos Cyrum Cambysis filium. Hac misericordia frui cupientes : « Ubi est, » inquiunt, « zelus tuus, et furor tuus? Ubi est multitudo misericordiæ tuæ, et miserationum tuarum, quia sustinuisti nos? » Sitiunt

A ἵνα ἑαυτῷ περιποιήσῃ ὄνομα αἰώνιον· εἴ τι γὰρ γέγονεν, ἤγουν καὶ ἐνηργήθη διὰ τοῦ πανσόφου Μωσέως, τοῦτο εἰς δόξαν πέπρακται Θεοῦ. Πήξας δὲ τὰ ὕδατα, φησὶν, ὡς ἵππον, ἢ ὡς κτήνη, ὡδήγησε διὰ θαλάσσης, ὡς διὰ πεδίου. Τοῦτο καὶ ὁ Ψαλμῳδὸς διδάσκει λέγων· « Καὶ ἀνήγαγεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ὡδήγησεν αὐτοὺς ὡς ποίμνιον ἐν ἐρήμῳ. » Ὡδήγησε δὲ αὐτοὺς, ὡς ἔφην, Πνεῦμα Κυρίου. Οὕτως ἤγαγες τὸν λαόν σου, τοῦ ποιῆσαι αὐτῷ ὄνομα δόξης. Δύο γὰρ ἐπράττετο κατὰ ταυτόν. Οὐ γὰρ σέσωσται μόνον ὁ Ἰσραὴλ, καὶ τῆς τῶν πλεονεκτούντων ἐλυτρώθη χειρὸς, ἀλλὰ γὰρ καὶ τῶν παραδόξως τετελεσμένων τὸ πέρας τῷ τῶν ὅλων κρατοῦντι Θεῷ τὴν αὐτῷ πρέπουσαν δόξαν ἐπραγματεύετο.

Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ, καὶ ἴδε ἐκ τοῦ B *οἴκου τοῦ ἁγίου σου, καὶ δόξης σου. Ποῦ ἐστιν ὁ ζῆλός σου, καὶ ἡ ἰσχύς σου; Ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν; Σὺ γὰρ εἶ ἡμῶν Πατὴρ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς* (1). *Ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι. Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου, ἐσκλήρυνας ἡμῶν τὰς καρδίας τοῦ μὴ φοβεῖσθαί σε;*

Ἐνταῦθα λοιπὸν ὁ προφήτης τὰς ὑπὲρ παντὸς τοῦ ἔθνους ποιεῖται λιτὰς, καὶ ἐκ προσώπου τῶν ἐξ Ἰσραὴλ ἀνατείνει τὴν ἱκετηρίαν· καταλῆξαι γὰρ παρακαλεῖ τῆς ἐπ' αὐτοῖς ὀργῆς, παῦσαί τε τὴν ἀποστροφὴν, καὶ οἷον ὑπονοστῆσαι πρὸς αὐτοὺς τὸν ἀποφοιτήσαντα αὐτῶν, ἅτε δὴ καὶ οὐχ ἕνα τινὰ τὸν [*Ισ.* C τῶν] ἐπὶ γῆς ὄντα, Θεὸν δὲ μᾶλλον ἀληθινὸν, καὶ ὡς οἶκον δόξης ἔχοντα τὸν οὐρανόν. Εἰ δὲ λέγοιτό που κατοικεῖν ἐν οὐρανῷ Θεὸς, μηδὲν νοείσθω σωματικὸν ἐπ' αὐτοῦ. Οὐ γὰρ ἐν τόπῳ, καὶ περιγραφῇ τὸ Θεῖον εἶναι φαμὲν, ὅτι καὶ ἁπλοῦν ἐστι καὶ ἀσώματον, καὶ πάντα πληροῦν. Ἐπειδὴ δὲ τοῖς ἄνω πνεύμασιν, ὡς ἁγίοις ἐπαναπαύεται, ταύτῃτοί φαμεν θρόνον τε καὶ οἶκον αὐτοῦ τὸν οὐρανόν. Ἐπίστρεψον τοίνυν, φασίν· « Ποῦ γάρ ἐστιν ὁ ζῆλός σου, καὶ ἰσχύς σου; » Καὶ οὐ δή που φαίη ἂν, οἶμαι, τὶς, ὡς ἦν ἐν σπάνει τῶν τοιούτων ὁ τῶν ὅλων Θεὸς, ἀλλ' ὡς οὐκέτι μετέχοντες αὐτῶν τὰ τοιάδε φασί. Ζήλῳ γὰρ ἀεὶ, καὶ ἰσχύϊ τῇ θεοπρεπεῖ χρώμενος σέσωκε τὸν Ἰσραήλ. Οἷόν τί φημι, δεδουλεύκασιν Αἰγυπτίοις οἱ καὶ κατωδύνοντες αὐτῶν τὴν ζωὴν [*al.* κατώδυνον τὴν ζωὴν D αὐτῶν] πηλῷ, καὶ πλινθείᾳ, καὶ τῇ τῶν ἐργοχηδεστῶν ὠμότητι κατατρύχοντες, ἀλλ' ἐζήλωσεν ὁ τῶν ὅλων Θεός. Ἔφη γοῦν· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐγὼ ὀργίζομαι ἐπὶ πάντα τὰ ἔθνη τὰ συνεπιτιθέμενα. » Ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά· εἶτα πάλιν εἰργάζετο τὰ παράδοξα. Καίτοι γὰρ ἄθραυστον οὖσαν τὴν Βαβυλωνίων, καὶ δυσαντήτῳ δυνάμει χρωμένην, δέδωκεν εἰς ἐρήμωσιν. Ἐπαφῆκε γὰρ αὐτοῖς τὸν Καμβύσου Κῦρον. Τῆς τοιαύτης φειδοῦς ἀπολαῦσαι γλιχόμενοι φασὶ τό·

[25] Psal. LXXVII, 52. [26] Zachar. I, 14.

(1) LXX addunt, ἀλλὰ σὺ, Κύριε, Πατὴρ ἡμῶν ῥῦσαι ἡμᾶς.

« Ποῦ ἐστι ὁ ζῆλός σου, καὶ ὁ θυμός σου; Ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν; » Διψῶσι δὲ πάλιν τὸν ἔλεον, καὶ τὴν ἐπὶ πολλοῖς παραπτώμασι δοθεῖσαν αὐτοῖς ἡμερότητα, καὶ φιλανθρωπίαν. Ἠνέσχετο γὰρ αὐτῶν, καὶ οὐ φορητῶς ἔσθ' ὅτε παροτρυνόντων αὐτῶν αὐτὸν κατελάλησαν ἐν τῇ ἐρήμῳ, καὶ ἐξεπείρασαν αὐτὸν ἐν ταῖς καρδίαις αὐτῶν λέγοντες, Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ, ὅτι ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν; Μὴ καὶ ἄρτον δύναται δοῦναι; Καὶ πρὸς τούτοις ἔτι μεμοσχοποιήκασιν ἀπόντος Μωσέως, πλὴν ἠλέηνται παρακαλοῦντος αὐτοῦ. Ἀνέσχου τοίνυν ἡμῶν, φασὶ, καίτοι πλειστάκις προσκεκρουκότων. « Σὺ γὰρ εἶ Πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς. » Οὐκ ἀρνοῦνται τοὺς πατέρας. Ἀσυντελὲς γὰρ τοῦτο αὐτοῖς πρὸς μετάγνωσιν. Οὐ γὰρ ἐκβέβληνται δι' αὐτοὺς, ἀπονέμουσι δὲ μᾶλλον τῷ φιλαγάθῳ Θεῷ τὸ πλεονεκτεῖν εἰς φιλοστοργίαν, καὶ τοὺς κατὰ σάρκα πατέρας· Πατὴρ γάρ ἐστι πατέρων (1). Γεγόναμεν γὰρ ἐξ αὐτῶν, φασὶ, πλὴν οὐ τεθέανται ἡμᾶς. Σύ γε μὴν οὐ διαλέλοιπας τὴν Πατρὶ τῷ φιλόπαιδι πρέπουσαν εἰς ἡμᾶς ἀποσώζων, καὶ φειδῶ, καὶ ἀγάπην. Ῥῦσαι τοίνυν ἡμᾶς· ἐπεκλήθη γὰρ ἡμῖν τὸ ὄνομα τὸ σόν· κλῆρος γάρ σου, καὶ λαὸς χρηματίζομεν. Ἐπειδὴ δὲ διὰ πολλὴν ἀπείθειαν, καὶ σκαιότητα τρόπων ἐμπαροινήσαντες τῷ Χριστῷ ἐκπεπτώκασι τῆς πρὸς αὐτὸν οἰκειότητος, πνευματικῆς δηλονότι, καὶ ἀμέτοχοι γεγόνασι τῶν παρ' αὐτοῦ χαρισμάτων, καὶ τῆς εὐαγγελικῆς πολιτείας οὐκ ἔγνωσαν τὴν ὁδόν· ταύτητοι, καὶ μάλα εἰκότως, θρηνοῦντες φασίν· Ἵνα τί ἐπλάνησας ἀπὸ τῆς ὁδοῦ σου, ἐσκλήρυνας ἡμῶν τὴν καρδίαν, τοῦ μὴ φοβεῖσθαί σε; Ἐσκλήρυναν μὲν γὰρ αὐτοὶ τὰς ἑαυτῶν καρδίας. Εἴρηται γοῦν πρὸς αὐτοὺς διὰ τῆς τοῦ προφήτου φωνῆς· « Διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. » Πλὴν καταμαλθάξαι δυνάμενος ὁ τῶν ὅλων Θεὸς, ἀπηνῆ καὶ ἄθραυστον ἔχειν αὐτοὺς συγκεχώρηκε νοῦν. Καὶ ταύτης ἕνεκα τῆς αἰτίας, ὅτι μὴ τρυφερὰς ἀπέφηνεν αὐτὰς, αὐτὸς σκληρῦναι λέγεται, τοῖς δὲ τοῦτο πεπονθόσι πᾶσά πως ἀνάγκη καὶ τὸ ἕτερον ἐπελθεῖν, φημὶ δὴ τὸ ἔξω τοῦ θείου γενέσθαι φόβου. Βλέπει δὲ τοῦτο πρὸς ὄλεθρον, καὶ εἰς πέταυρον ᾅδου κατακομίζει ψυχάς.

A denuo misericordiam, et in multis delictis exhibitam sibi clementiam et humanitatem. Sustinuit enim eos: etiam cum nonnunquam ipsum irritarent intolerabiliter. Oblocuti sunt in solitudine, et tentarunt ipsum in cordibus suis, dicentes: Num poterit Deus parare mensam in solitudine? quia percussit petram, et fluxerunt aquæ, et torrentes inundaverunt. Num et panem poterit dare? Præterea, Moyse absente, vitulum fabricaverant, verumtamen, eo rogante, misericordiam consecuti sunt. Sustine igitur nos, inquiunt, etiamsi multoties offenderimus. « Tu enim es Pater noster, quia Abraham haud novit nos, et Israel non cognovit nos. » Non negant patres. Parum namque proficit hoc ad resipiscentiam: non enim ejecti sunt propter illos, sed B tribuunt potius Deo amanti bonorum, quod pietate et indulgentia etiam carnales patres superet. Est enim Pater patrum. Nati quidem sumus, inquiunt, ex illis: at non viderunt nos. Tu autem non intermisisti misericordiam et amorem in nos patre et liberorum amante dignum retinere. Erue igitur nos. Nomine enim tuo vocati sumus, ac sors tua et populus tuus nuncupamur. At quoniam propter multam inobedientiam et sinistram malitiam in Christum bacchati sunt, exciderunt conjunctione quæ cum ipso est, spirituali videlicet, et ejus donorum expertes fuerunt, viamque evangelicæ conversationis haud noverunt. Hinc meritissimo flentes dicunt: Quare seduxisti nos, Domine, a via tua? obdurasti C corda nostra, ne timeremus te? Obdurarunt enim sua ipsorum **885** corda. Itaque dictum est illis voce prophetæ: « Disrumpite corda vestra, et non vestimenta vestra [27]. » Verum cum emollire potuisset universorum Deus, permisit illis ut mentem præfractam haberent et contumacem. Hac de causa, quia tenera et mollia ipsa non reddidit, ipse obdurare dicitur. Quibus autem hoc accidit, his omnino necesse est aliud obvenire, ut, inquam, Dei metu careant. Spectat quoque hoc ad interitum, et in profundum inferni animas deturbat.

Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρόν τι κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. Ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς.

Αἰτοῦσι πάλιν τὴν πρὸς αὐτοὺς ἐπιστροφὴν, τὴν διά γε φημὶ γαληνότητα, καὶ φιλανθρωπίαν. Δούλους δὲ καὶ κλῆρον εἶναι φασίν· οὐχ ὡς πεπραχότες τι δουλοπρεπὲς, ἤγουν ταῖς αὐτοῦ ζεύγλαις ὑποσχόντες τὸν αὐχένα, ἀλλ' οὐδὲ ὡς τελοῦντες εἰς κλῆρον τὸν ἐκνεμηθέντα αὐτῷ μελετήσαντες τὸ εὐήνιον. Ἐπειδὴ δὲ ἅπαξ κεχρηματίκασιν αὐτοῦ, καὶ τὴν πρὸς αὐτὸν

D Vers. 18, 19. *Convertere propter servos tuos, propter tribus hæreditatis tuæ, ut modicum possideamus montis sancti tui. Facti sumus sicut a principio, quando non dominareris nostri, neque invocatum est nomen tuum super nos.*

Iterum petunt ut redeat ad se, per serenitatem, inquam, et humanitatem. Servos et hæreditatem esse dicunt se, non quasi aliquid quod servos decet egerint, aut cervicem ejus jugo supponerent, nec quod hæreditate illa potiti præstarent obedientiam, sed quia semel ejus dicti sunt, et conjunctionem cum ipso ab initio intimamque necessitudinem ha-

[27] Joel. II, 13.

(1) *Al.* πνευματων.

buerunt, propter hoc et quidem solum servari petunt. « Revertere enim, inquit, ut modicum possideamus montis sancti tui. » Montem sanctum, Ecclesiam dicunt sæpenumero sacræ Litteræ : cujus exigua quædam portio exstiterunt Israelitæ. Si enim admisissent fidem quæ est in Dominum nostrum Jesum Christum, Ecclesiæ cœtus magna ex parte ex illis coactus fuisset : adjuncta ipsis etiam gentium multitudine. Sed quoniam propter insignem inobedientiam posteriores gentibus facti sunt, et illarum turba est numerosior, hi autem pauci admodum : (servatæ sunt enim reliquiæ : [28]) propterea exiguam portionem in monte sancto, id est, in Ecclesia, possederunt. Si quis autem dicat supremam civitatem, cœlestem Ecclesiam, sanctorum matrem et nutricem, dici ab ipsis montem sanctum, ibique eos velle hæreditatis portionem consequi : recte hoc etiam modo intelliges : Factos esse dicunt se ut a principio, quando non dominabatur eorum, neque erat nomen ejus super ipsos invocatum. Est autem valde consentanea hæc oratio. Cum enim excidissent semel ab ejus **886** misericordia et protectione, in pristinum statum reversi sunt. Quid tandem illud erat? Servierunt Ægyptiis luto et lateritio opere, hisque diu laboribus excruciati sunt. Nunc autem pedibus diabolicis succubuerunt, et carnis affectibus mundique cupiditatibus cumulati sunt. Hæc enim lateritia opera quædam occulta intelligi possunt. Servierunt in Ægypto spiritibus malis : nunc in ipsis est spiritus immundus. Idque Servator ipse nos docuit, de illis loquens : « Cum immundus spiritus exierit ex homine, ambulat per loca arida, quærens requietem, nec invenit. Tunc ait : In domum meam revertar, unde egressus sum. Et cum venit, invenit eam vacuam et purgatam. Tunc assumit, inquit, alios septem spiritus nequiores se, et ingrediuntur, ac ibi babitant, fiuntque novissima hominis illius pejora prioribus. Sic erit, » inquit, « generationi huic malæ [29]. »

A οἰκειότητα πεπλουτήκασιν ἐν ἀρχαῖς, διὰ τοῦτο καὶ μόνον αἰτοῦντες τὸ σώζεσθαι· « Ἐπίστρεψον γάρ, » φησίν, « ἵνα μικρόν τι κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου. » Ὄρος μὲν οὖν ἅγιον τὴν Ἐκκλησίαν πλεισταχοῦ φησι τὸ Γράμμα τὸ ἱερόν, ἧς γεγόνασι βραχύ τι μέρος οἱ ἐξ Ἰσραήλ· εἰ μὲν γὰρ παρεδέξαντο τὴν πίστιν, τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, συναγήγερτο ἂν ἐξ αὐτῶν εἰς πολύ τι μέρος τῆς Ἐκκλησίας τὸ σύστημα, προσεπενεχθείσης αὐτοῖς καὶ τῆς τῶν ἐθνῶν πληθύος. Ἐπειδὴ δὲ διὰ πολλὴν ἀπείθειαν κατόπιν γεγόνασι τῶν ἐθνῶν, καὶ ἀριθμοῦ μὲν κρείττων ἡ ἐκείνων ἐστὶ πληθύς, αὐτοὶ δὲ δὴ κομιδῇ βραχεῖς· σέσωσται γὰρ τὸ κατάλειμμα· διὰ τοῦτο μικρόν τι κεκληρονομήκασι μέρος ἐν τῷ ὄρει τῷ ἁγίῳ, τουτέστι, τῇ Ἐκκλησίᾳ. Εἰ δὲ δή τις B λέγοι τὴν ἄνω πόλιν, τὴν ἐν οὐρανοῖς Ἐκκλησίαν, τὴν τῶν ἁγίων μητέρα καὶ τροφόν, ὄρος ἅγιον ὀνομάζεσθαι παρ' αὐτῶν, καὶ ἐν αὐτῷ βούλεσθαι κλήρου μέρος λαχεῖν, ὀρθῶς συνήσεις, καὶ κατὰ τοῦτον τὸν τρόπον· γενέσθαι δέ φησι τὸ ὡς ἀπαρχῆς, ὅτε οὐκ ἦρχεν αὐτῶν, οὔτε μὴν ἐπεκλήθη τὸ ὄνομα αὐτοῦ ἐπ' αὐτούς· ἔχει δὲ πολὺ τὸ εἰκὸς ὁ λόγος· ἐκπεπτωκότες γὰρ ἅπαξ τῆς παρ' αὐτοῦ φειδοῦς, καὶ σκέπης ὑπενόστησαν εἰς τὸ ἐν ἀρχαῖς. Καὶ ποῖα ταῦτά ἐστιν; Ἐδούλευον Αἰγυπτίοις πηλῷ καὶ πλινθείᾳ, καὶ τοῖς εἰς τοῦτο καμάτοις καταικιζόμενοι διετέλουν· πεπτώκασι δὲ καὶ νῦν ὑπὸ πόδας διαβολικούς, καὶ τοῖς τῆς σαρκὸς πάθεσι καὶ κοσμικαῖς ἐπιθυμίαις καταμιαίνονται· πλινθεία γὰρ αὕτη νοοῖτο ἂν εἰκότως ἡ κεκρυμμένη. Ἐλάτρευον ἐν Αἰγύπτῳ πνεύμασι C πονηροῖς, καὶ νῦν ἐν αὐτοῖς ἐστι πνεῦμα τὸ ἀκάθαρτον. Καὶ τοῦτο αὐτὸς ἡμᾶς ὁ Σωτὴρ ἐδίδαξε λέγων περὶ αὐτῶν, « Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, πορεύεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει. Τότε λέγει· Εἰς τὸν οἶκόν μου ἐπιστρέψω, ὅθεν ἐξῆλθον. Καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα, καὶ σεσαρωμένον· τότε παραλαμβάνει, φησίν, ἕτερα ἑπτὰ πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου, χείρονα τῶν πρώτων. Οὕτως ἔσται, » φησί, « τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ. »

Cap. LXIV. Vers. 1-3. *Si aperueris cœlum, tremor apprehendet ex te montes, et liquescent, ut cera a facie ignis liquefit : et comburet ignis adversarios, et illustre erit nomen tuum in adversariis. A facie tua gentes turbabuntur. Cum feceris gloriosa, tremor apprehendet ex te montes.*

Ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται, ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τήκεται· καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους, καὶ φανερὸν ἔσται τὸ ὄνομα D *Κυρίου ἐν τοῖς ὑπεναντίοις. Ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται, ὅταν ποιήσῃς τὰ ἔνδοξα. Τρόμος λήψεται ἀπὸ σοῦ ὄρη.*

In more est sanctis prophetis fundere preces pro Israele, delinquente aliquoties, et scelerum pœnas luituro : et amota ira, in alios eam emitti rogabant, et in alienigenarum capita converti. Siquidem divinus Modulator septuagesimo octavo psalmo, vastatam Jerusalem deflens, inquit : « Deus, venerunt gentes in hæreditatem tuam, polluerunt templum sanctum tuum [30]. » Aliisque interjectis, ait : « Effunde iram tuam in gentes quæ te non noverunt,

Ἔθος τοῖς ἁγίοις προφήταις τὰς ὑπὲρ τοῦ Ἰσραὴλ ποιεῖσθαι λιτάς, πλημμελοῦντος ἔσθ' ὅτε, καὶ εἰσπράττεσθαι μέλλοντος τῶν αἰτιαμάτων τὰς δίκας, ἀποσκευαζόμενοι δὲ ὥσπερ τὰ ἐξ ὀργῆς, εἰς ἑτέρους αὐτὴν πέμπεσθαι παρεκάλουν, καὶ εἰς τὰς τῶν ἀλλοφύλων τρέπεσθαι κεφαλάς. Καὶ γοῦν ὁ θεσπέσιος Μελῳδός, ἐν ἑβδομηκοστῷ καὶ ὀγδόῳ ψαλμῷ, πεπορθημένην ἐθρήνει τὴν Ἱερουσαλήμ, καὶ δὴ καὶ ἔφασκεν· « Ὁ Θεός, εἰσήλθοσαν ἔθνη εἰς τὴν κληρο-

[28] Rom. IX, 27. [29] Matth. XII, 43-45. [30] Psal. LXXVIII, 1.

νομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. » Ἑτερά A τε πρὸς τούτοις ἐπενεγκὼν διὰ μέσου φησίν· « Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο. » Τοιοῦτόν τι καὶ νῦν ὁ προφήτης φησίν· « Ἐὰν γὰρ ἀνοίξῃς τὸν οὐρανὸν, » τῇ καθόδῳ τῆς ὀργῆς δηλονότι, καθάπερ ἀμέλει καὶ ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ· ἀνεῴχθησαν γὰρ οἱ καταράκται τοῦ οὐρανοῦ· τότε τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ ταχήσονται, « ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τήκεται.» Ὄρη δέ φησιν ἐν τούτοις, οὐχὶ δή που πάντως τὰ αἰσθητὰ, δυνάμεις δὲ μᾶλλον τὰς πονηρὰς, διὰ πολλὴν ἄγαν ὑπεροψίαν, ὄρεσι τοῖς ὑψηλοτάτοις εὖ μάλα παρεικασμένας. Ταύτας δὴ οὖν τὰς τῆς ἀλαζονείας συντρόφους δυνάμεις τρόμος λήψεται. « Κατατακήσονται γὰρ ὡς ὑπὸ πυρός. » Ὑπεναντίους ὄντας B τοῖς σοῖς δηλονότι θεσπίσμασι, πυρὸς δίκην ἐμπίπτουσα κατακαύσειεν ἂν ὀργή. « Καὶ φανερὸν ἔσται τὸ ὄνομα Κυρίου ἐν τοῖς ὑπεναντίοις. » Καὶ τί δὴ τοῦτό ἐστι; Θαυματουργεῖ μὲν γὰρ πλειστάκις ὁ τῶν ὅλων Θεὸς, τῆς ἐνούσης δυνάμεως αὐτῷ καὶ ὑπεροχῆς τὸ μέγεθος ἐναργὲς καθιστάς. Διὰ τούτου ἐκόλαζε, καὶ ἁμαρτωλοὺς ἔσθ' ὅτε, καὶ διὰ τῆς ἐπ' αὐτοῖς ὀργῆς ἐναργῆ καθιστὰς ἑαυτόν· ὁποῖόν τι γέγονεν, ὅτε Σοδομίταις ἐπηφίετο πῦρ, ἤγουν ὅτε τὸν ἀπόπληκτον Φαραὼ πολλαῖς καὶ ἀφορήτοις ὑπετίθει πληγαῖς. Οὐκοῦν, ὦ Δέσποτα, φασὶ, μὴ φανερώσῃς τὴν σεαυτοῦ δόξαν ἤτοι τὸ ὄνομα, διὰ τῆς καθ' ἡμῶν ὀργῆς· ἐπάγαγε δὲ μᾶλλον αὐτὴν δυνάμεσι πονηραῖς, ἤγουν τοῖς ἀναφανδὸν τῇ σῇ μαχομένοις δόξῃ, καὶ ἐκ πολλῆς ἄγαν ὑπεροψίας παρενηνεγμένοις εἰς τοῦτο. Ἔσῃ γὰρ καὶ οὕτως ἐμφανής. Ὅτε γὰρ ποιήσῃς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη· καὶ πάλιν ἐκεῖνα τὰ ὄρη φησὶν, ὧν ἐμνήσθημεν ἀρτίως.

et in regna quæ nomen tuum non invocaverunt [31]. » Tale quiddam etiam nunc propheta dicit: « Si enim aperueris cœlum, » descensu videlicet iræ, sicuti nimirum tempore diluvii: apertæ enim erant cataractæ cœli: tum invadet tremor montes abs te, et liquescent, « ut cera a facie ignis liquefit. » Montes hic vocat non simpliciter, qui percipiuntur sensibus, sed potestates malas, propter insignem elationem, montibus **887** celsissimis optime comparatas. Illas igitur superbiæ alumnas potestates, tremor invadet. « Liquescent enim tanquam ab igne. » Adversantes tuis scilicet oraculis, ira ignis instar decidens comburet. « Et illustre erit nomen Domini in adversariis. » Quid istud est? Miracula enim sæpe edit universorum Deus, potentiæ et præstantiæ suæ magnitudinem patefaciens. Hinc nonnunquam in peccatores animadvertit, et per iram in illos seipsum patefecit. Cujusmodi factum est, cum in Sodomitas demisit ignem, et cum Pharaonem stupidum multis et intolerabilibus plagis subjecit. Itaque, o Domine, inquiunt, ne illustres gloriam tuam, vel nomen per iram in nos: sed inducito potius illam, et infligito malis potestatibus, et palam tuæ majestati repugnantibus, et ex insigni superbia ad hoc adductis. Eris enim etiam sic conspicuus. Quando enim feceris gloriosa, tremor abs te montes invadet. Rursus illos montes dicit, quos modo diximus.

Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ C *ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλὴν σοῦ, καὶ τὰ ἔργα σου, ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον· συναντήσεται γὰρ τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται.*

Ἀόρατον μὲν τῇ φύσει τὸ Θεῖόν ἐστι· « Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, » κατὰ τὸ γεγραμμένον· θεωρεῖταί γε μὴν τοῖς τῆς διανοίας ὄμμασιν, ἐξ ὧν ἂν ἐργάσαιτο παραδόξως, καὶ ὑπὲρ λόγον. « Τὰ γὰρ ἀόρατα αὐτοῦ, » φησὶν, « ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμίς τε καὶ θειότης· » ἐπιγινώσκεται δὲ πλειστάκις, καὶ δι' ὧν ἂν εὐεργετεῖ, καὶ τῆς ἐνούσης αὐτῷ γαληνότητος ποιεῖται τὴν ἔνδειξιν, διασώζων ἀδοκήτως τοὺς ἐξ ἁπάσης ἐλπίδος ὠλισθηκότας, καὶ χεῖρα νέμων σωτήριον τοῖς χαμαί που, καὶ ὡς ἐν γῇ κει- D μένοις. Τοιοῦτόν τί φασιν οἱ τὴν προκειμένην λιτὴν ἀναφέροντες. Ἀπὸ γὰρ τῆς τοῦ κόσμου καταβολῆς οὔτε ἠκούσαμεν, οὔτε μὴν τεθεάμεθα τοιοῦτόν τινα Θεὸν, πλὴν ἄρα σοῦ τε καὶ μόνου· τοῖς γὰρ ὑπομένουσί σε, τουτέστι, τοῖς εἰς σὲ πεποιημένοις τὴν ἐλπίδα, ἐπιδαψιλεύει τὸν ἔλεον· ἕψεται γὰρ πάντως τοῖς τῆς δικαιοσύνης ἐργάταις, κἀκείνοις αὐτὸν ἁρμόσει λαβεῖν, οἵπερ ἂν εἶεν ἐν μνήμῃ τῶν σῶν ὁδῶν, τουτέστι, τῶν σῶν θελημάτων ἀποτελεσταί· ὁδοὺς γὰρ Κυρίου φαμὲν εἶναι τὰς ἐντολὰς αὐτοῦ. Καὶ γοῦν

VERS. 4, 5. *A sæculo non audivimus, neque oculi nostri viderunt Deum præter te, et opera tua, quæ facies exspectantibus misericordiam. Occurret enim facientibus justitiam, et viarum tuarum recordabuntur.*

Inaspectabilis quidem est natura divinitas: « Deum enim nemo vidit unquam, » secundum id quod scriptum est [32]. Cernitur tamen animi oculis ex his quæ gesserit et admirabiliter et ineffabiliter. « Invisibilia enim ejus, » inquit, « a creatione mundi per ea quæ facta sunt intellecta conspiciuntur, æterna scilicet ejus potentia ac divinitas [33]. » Cognoscitur etiam non raro ex his quæ benigne facit, et suæ quasi serenitatis ac placabilitatis edit specimen: dum præter opinionem eos servat qui omni spe exciderunt, et humi et velut in terra jacentibus manum salutarem præbet. Simile est quod dicunt qui hanc precationem effundunt. A mundi enim constitutione neque audivimus, neque vidimus talem Deum, præter te, et quidem solum. Exspectantibus enim te, id est, spem in te collocantibus, largiter misericordiam imparties. Sequetur namque semper operarios justitiæ, eosque eam consequi par est, qui recordabuntur viarum tuarum, id est, qui voluntates **888** tuas exsequuntur. Domini enim vias, præcepta ejus dicimus. Siquidem divinus David psallit

[31] Psal. LXXVIII, 6. [32] Joan. I, 18. [33] Rom. I, 20.

alicubi : « In via tua vivam. » Alibi rursus : « Viam A mandatorum tuorum cucurri, cum dilatasti cor meum [34]. »

ὁ θεσπέσιος ψάλλει Δαβὶδ, ποτὲ μὲν, ὅτι « Ἐν τῇ ὁδῷ σου ζήσομαι, » ποτὲ δὲ πάλιν· « Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. »

TOMUS VI.

ΤΟΜΟΣ ϛʹ.

VERS. 6, 7. *Ecce tu iratus es, et nos peccavimus. Propterea erravimus, et facti sumus velut immundi omnes nos, et tanquam pannus menstruatæ mulieris omnis justitia nostra. Defluximus autem tanquam folia, propter iniquitates nostras. Sic ventus auferet nos ut pulverem, et non est qui invocet nomen tuum, et cogitet apprehendere te. Quia avertisti faciem tuam a nobis, et tradidisti nos propter peccata nostra.*

Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν. Διὰ τοῦτο ἐπλανήθημεν, καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι πάντες ἡμεῖς, καὶ ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν· καὶ ἐξεῤῥύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν· οὕτως ἄνεμος οἴσει ἡμᾶς ὡς χοῦν (1), *καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ ὄνομά σου, καὶ ὁ μνησθεὶς ἀντιλαβέσθαι σου, ὅτι ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, καὶ παρέδωκας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν.*

Visum est quibusdam interpretum, alium sensum B his verbis apponere. Invertunt enim dictionum ordinem et sententiarum vim, ut ad hunc modum se habeat, quod dictum est : « Ecce nos peccavimus, et tu iratus es nobis. » Non enim, inquiunt, causa illis delinquendi fuit ira divina : at quia illi furiose bacchati sunt, Deus iratus est. Timent enim, ut videtur, necubi peccati auctor divinus furor intelligatur. Illud arbitror dicendum esse, iram divinam condemnari propterea non debere, si qui ei sunt obnoxii, non satis virium habeant ad effugiendum peccati insultum. Quandiu enim Servator in nobis voluptatem capit, peccatum vincimus, et a vitiorum sordibus recedentes, spiritualis fortitudinis insignibus strenue coronamur. At ubi fortitudinis suppedi- C torem, et roboris ac virium subministratorem exacerbamus, in debilitatem corruimus, et infirmam ac remissam mentem nostram inveniemus. Deus enim est virtutum Dominus [35]. Et quidem Christus ait : « Sine me non potestis quidquam facere [36]. » Dixitque ei divinus David de omni sancto : « Gloria potentiæ eorum tu es [37]. » Alibi quoque, quod possit boni aliquid præstare; **889** non sibi, sed Dei potentiæ attribuens, psallit et inquit : « Non in arcu meo sperabo, et gladius meus non servabit me. Servasti enim nos ab his qui affligunt [38]. » Ut igitur supernæ clementiæ favor nos reddit fortissimos, et nervosos facit ad resistendum malo : pari ratione cum divinæ iræ subjicimur, tum vitiosis voluptatibus serviliter succumbere, omnino est necesse. Iratus es D ergo, eo quod videlicet bacchati crudeliter sumus, et peccatores ac nefarii exstitimus, adeo ut omnis justitia nostra, inquit, panno menstruatæ mulieris esse similis videatur, id est, abominanda sit et impura. Nec enim facile videris justitiam apud Israelitas, maxime nunc post impietatem in Christum, quæ non reprehendatur et irrideatur. Nam qui pectus habent divino et intelligibili lumine omnino nudum et vacuum : qui fieri posset ut semitam recta ad sacras leges deducentem videant? aut quomodo justi

Ἔδοξε τισὶ τῶν ἐξηγητῶν, καθ' ἑτέραν ἔννοιαν τοῖς προκειμένοις προσβαλεῖν. Ἀναστρέφουσι γὰρ τῶν λέξεων τὴν ἀπόδοσιν, ἤτοι τῶν ἐννοιῶν τὴν δύναμιν, ἵνα τοιοῦτον ᾖ τὸ λεγόμενον· « Ἰδοὺ ἡμεῖς ἡμάρτομεν, ὠργίσθης δὲ σύ. » Οὐ γάρ τοι, φασὶ, παραίτιος αὐτοῖς τοῦ πλημμελεῖν ἡ θεία γέγονεν ὀργή. Ἐπειδὴ δὲ αὐτοὶ πεπαρῳνήκασιν, ὠργίσθη Θεὸς, δεδίασι γὰρ κατὰ τὸ εἰκὸς μὴ ἄρα πως ἁμαρτίας πρόξενος ὁ θεῖος νοεῖται θυμός. Οἶμαι δὲ δεῖν ἐκεῖνο εἰπεῖν, οὐ γάρ τοι κατάῤῥησιν ἔχει τῆς θείας ὀργῆς, τὸ τοὺς ὑπ' αὐτῇ γεγονότας ἀνικάνως ἔχειν πρός γε τὸ δύνασθαι διαφυγεῖν τῆς ἁμαρτίας τὴν ἔφοδον. Ἕως μὲν γὰρ ἐφ' ἡμῖν ὁ σώζων εὐφραίνεται, κατευμεγεθοῦμεν τῆς ἁμαρτίας, καὶ τῶν ἐκ φαυλότητος ῥύπων ἀποφοιτῶντες εὐσθενῶς τοῖς εἰς εὐανδρίαν πνευματικὴν αὐχήμασι στεφανούμεθα. Καταπικραίνοντες δὲ τῆς ἰσχύος τὸν χορηγὸν, καὶ τῆς εὐανδρίας τὸν πρύτανιν, πίπτομεν εἰς τὸ ἄναλκι, καὶ ἀδρανῆ πως, καὶ παρειμένον τὸν ἑαυτῶν εὑρήσομεν νοῦν. Θεὸς γάρ ἐστιν ὁ τῶν δυνάμεων Κύριος. Καὶ γοῦν ἔφη Χριστὸς, ὅτι « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Ἔφη δέ που καὶ ὁ θεσπέσιος Δαβὶδ πρὸς αὐτὸν περὶ παντὸς ἁγίου, ὅτι « Τὸ καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. » Καὶ μὴν καὶ ἑτέρωθί που τὸ δύνασθαί τι τῶν ἀγαθῶν κατορθοῦν, οὐχ ἑαυτῷ μᾶλλον, ἀλλὰ καὶ ταῖς τοῦ Θεοῦ δυνάμεσιν ἀνατεθεὶς ψάλλει, καί φησιν· « Οὐκ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς. » Ὥσπερ τοίνυν τὸ τῆς ἄνωθεν ἡμερότητος εὐμενὲς, ἀλκιμωτάτους ἡμᾶς ἀποφαίνει, καὶ διανευροῖ πρὸς ἀντίστασιν τοῦ κακοῦ· κατὰ τὸν ἴσον τουτονὶ τρόπον, ὅταν ὑπὸ θείαν πίπτωμεν ὀργὴν, τὸ τηνικάδε πᾶσά πως ἀνάγκη δουλοπρεπῶς ὑποφέρεσθαι ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς· ὠργίσθης τοίνυν ἐφ' οἷς δηλονότι πεπαρῳνήκαμεν, καὶ γεγόναμεν ἁμαρτωλοὶ, καὶ βέβηλοι, ὥστε καὶ πᾶσαν ἡμῶν, φησὶ, τὴν δικαιοσύνην ἐοικέναι ῥάκει γυναικὸς ἀποκαθημένης, τουτέστι, βδελυρὰν εἶναι καὶ ἀκάθαρτον. Οὐ γὰρ ἔστι δικαιοσύνην ἰδεῖν παρὰ τοῖς ἐξ αἵματος Ἰσραὴλ, νυνὶ δὴ μάλιστα μετὰ τὴν εἰς Χριστὸν

[34] Psal. CXVIII, 14, 15. [35] Psal. XXIII, 10. [36] Joan. XV, 5. [37] Psal. LXXXVIII, 18. [38] Psal. XLIII, 7, 8.

(1) Ὡς χοῦν LXX delent, nec in versione Hunfredi reperitur.

ἀσέβειαν, ἄμωμόν τε καὶ ἀκατάσκοπον· οἱ γὰρ ὅλως A φωτὸς τοῦ θείου καὶ νοητοῦ γυμνὴν καὶ ἐρήμην ἔχοντες τὴν καρδίαν, πῶς ἂν εἰδεῖεν τὴν εὐθὺ τῶν ἱερῶν νόμων ἀποφέρουσαν τρίβον; Ἢ πῶς ἂν δίκαιοι κατὰ τὸ ἀληθὲς τῶν εὐαγγελικῶν κηρυγμάτων ἠμοιρηκότες, δι' ὧν ἔστι μαθεῖν τῆς ἀξιαγάστου πολιτείας τὴν ὁδόν; ἀκάθαρτοι δὴ οὖν, κἂν εἰ δοκοῖεν εἶναι τινὲς χρηστοὶ καὶ ἐπιεικεῖς. Ὥσπερ δὲ φύλλα πεπτώκασιν ἐκ φυτοῦ, καὶ οὐδὲν ἀπεικὸς εἰ τοῦτο παθόντες, καὶ διαῤῥιπτεῖσθαι πανταχοῦ προσδοκῶσιν οἱ τάλανες· εὐπαρακόμιστον γὰρ ἐσχήκασι τὴν καρδίαν, καὶ οἷον παντὶ περιφερομένην πνεύματι, καὶ οὐδείς ἐστι παρ' αὐτοῖς ὁ γνησίως ἐπικαλεῖσθαι Θεὸν εἰδὼς, ἤγουν διὰ μνήμης ἔχων, ὅτι χρὴ τῆς πρὸς αὐτὸν οἰκειότητος ἀντιλαβέσθαι νεανικῶς· πεπτώκαμεν δὲ, φασὶ, πρὸς τοῦτο ταλαιπωρίας, « ὅτι ἀπ- B έστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, καὶ παρέδωκας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν. » Οὐ γὰρ ἦν εὐπράξαι τοὺς ἀποστροφὴν ὑπομείναντας τὴν παρὰ Θεοῦ, ἀλλ' ἦν πᾶσά πως ἀνάγκη παντὶ περιπείρεσθαι κακῷ τοὺς ταῖς οὕτω πολλαῖς ἁμαρτίαις κατηχθισμένους].

Καὶ νῦν, Κύριε, Πατὴρ ἡμῶν σὺ εἶ. Ἡμεῖς δὲ πηλὸς, ἔργα τῶν χειρῶν σου πάντες ἡμεῖς. Μὴ ὀργίζου ἡμῖν σφόδρα, καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον, ὅτι λαός σου πάντες ἡμεῖς, πόλις τοῦ Ἁγίου σου.

Παραιτοῦνται σφόδρα τὸ εἰσάπαν ἀπολισθεῖν τῆς πρὸς αὐτὸν οἰκειότητος. Ἐπειδὴ δὲ διὰ πολλὴν ἁμαρτίαν παρηνέχθησαν εἰς τοῦτο, πλέκουσί πως ἀρίστῃ C τέχνῃ τὰς λιτάς· οὐ γὰρ ἔχοντες ἐξ ἔργου καὶ ἐξ ἀμωμήτου ζωῆς ἐκδυσωπῆσαι τὸν σώζοντα, ἐφ' ἕτερόν τι βαδίζουσι. Παρακαλοῦσι γὰρ ὡς Δημιουργὸν ποιημάτων ἰδίων θέσθαι τινὰ λόγον, καὶ νεῖμαι φειδῶ τοῖς παρ' αὐτοῦ παρενηνεγμένοις εἰς τὸ εἶναι, καὶ ζῆν. « Πατὴρ γὰρ ἡμῶν κεχρημάτικας, » φησὶν, « ἐσμὲν δὲ ἡμεῖς τῶν σῶν ἔργα χειρῶν. Οὐκοῦν μὴ ὀργίζου ἡμῖν σφόδρα. » Οὐκ ἀγνοοῦσιν, ὅτι προσκεκρούκασιν, ὁμολογοῦσι δὲ μᾶλλον, ὅτι καὶ δίκης ἀξίους ἑαυτοὺς ἀπέφηναν, πεπαρῳνηκότες ἀγρίως εἰς τὸν Υἱόν· διὰ τοῦτο μονονουχὶ κολάζουσι (1) τὴν λιτὴν, καὶ οὐκ ἐλευθέραν παντελῶς ποιοῦνται τὴν πρόσοδον· βραχὺ δέ πως τὴν παῤῥησίαν συστείλαντες, οὐ τὸ μηδὲ ὅλως ὀργίζεσθαι κατ' αὐτῶν αἰτοῦσιν ἐλεεινῶς τὸν Θεὸν, ἀναπλέκεσθαι δὲ μᾶλλον γαληνό- D τητι τὸν θυμόν. Ἄξιοι μὲν γὰρ ὀργῆς ὁμολογουμένως, φησὶν, οἱ τοῖς οὕτως δεινοῖς ἐνισχημένοι κακοῖς, ἀλλὰ τῆς σῆς ἡμερότητος ἄξιον γένοιτο ἂν τὸ κολοβοῦν ἐφ' ἡμῖν, καὶ τὰ ἐκ δικαίας ὀργῆς. « Ἐν καιρῷ » τοίνυν θλίψεως, φησὶ, « μὴ μνησθῇς τῶν ἁμαρτιῶν ἡμῶν, ἐννοῶν ὅτι ὁ λαός σου πάντες ἡμεῖς, καὶ πόλις τοῦ Ἁγίου σου, » τουτέστιν, ἐν ᾗ τὸ σὸν ἁγίασμα. Σημαίνουσι δὲ διὰ τούτων τὸν νεών.

Ἐγενήθη ἔρημος Σιὼν, ὡς ἔρημος ἐγενήθη Ἱερουσαλὴμ, εἰς κατάραν ὁ οἶκος τὸ ἅγιον ἡμῶν, ἡ δόξα ἣν εὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη πυρίκαυστος, καὶ πάντα τὰ ἔνδοξα

A vere sint, qui evangelica prædicatione carent, unde liceret præclaræ conversationis viam discere? Impuri igitur sunt, etiamsi boni et probi esse videantur. Ac tanquam folia ceciderunt de arbore: nec mirum est si cum hoc illis accidat, etiam abjectum iri se plane sperent miseri. Labilem namque et lubricam mentem habuerunt, quæ omni vento circumfertur [39]. Nec quisquam eorum est qui germane ac genuine sciat Deum invocare, aut qui meminerit, conjunctionem quæ cum ipso est, apprehendendam et amplectendam prompte et quasi juveniliter. Cecidimus autem, inquiunt, eo miseriæ, « quia avertisti faciem tuam a nobis, et tradidisti nos propter peccata nostra. » Non enim beati esse poterant, a Deo rejecti; at omni malo transfigi plane oportet eos, B qui adeo multis peccatis onerati sunt.

VERS. 8, 9. *Et nunc, Domine, Pater noster tu es, nos autem lutum; opera manuum tuarum omnes nos. Ne irascaris nobis nimis, et ne memineris in tempore peccatorum nostrorum. Nunc ergo respice, quia populus tuus omnes nos, civitas Sancti tui.*

Valde deprecantur, omnino a conjunctione cum Deo excidere. Quia vero propter multa peccata ad C hoc deducti sunt, **890** preces optimo artificio texunt. Cum enim non possint operibus et inculpata vita Servatorem placare, ad aliud se conferunt. Rogant enim ut Creatorem, ut sui figmenti rationem habeat, et misericordiam conferat in eos qui ab ipso in rerum naturam et vitam producti sunt. « Pater enim noster, » inquit, « nuncuparis, nosque sumus opera manuum tuarum. Itaque ne irascaris nobis graviter. » Non ignorant se offendisse, imo confitentur, quod se pœna dignos effecerint, immaniter debacchati in Filium. Idcirco etiam precationem tantum non conscindunt, nec liberum sibi accessum aditumque faciunt, sed aliquantulum loquendi fiduciam contrahunt, Deumque orant miserabiliter, ne omnino sibi irascatur, sed ut furorem placabilitate D contemperet. Digni quidem, inquit, sumus plane ira, adeo gravibus malis implicati; at tua clementia dignum est iram etiam justam in nos minuere et decurtare. « Tempore » igitur afflictionis, inquit, « ne memineris peccatorum nostrorum, sed cogita populum tuum nos omnes esse, et civitatem Sancti tui, » id est, in qua tuum est sanctuarium. Significant autem his verbis templum.

VERS. 10-12. *Facta est deserta Sion; quasi solitudo facta est Jerusalem, exsecratio domus sancta nostra, gloria cui benedixerunt patres nostri, igne combusta est, et omnia gloriosa conciderunt. Et super*

[39] Jac. I, 6.

(1) Hunfred. legisse videtur κολάπτουσι.

his omnibus tu sustinuisti, Domine, et tacuisti, et humiliasti nos valde.

Cum præsignificarint animi mala, prædixerintque se peccatis irretitos, instabiles, et foliorum instar omni flatu huc illuc jactatos esse; commemorant deinceps et externas calamitates quæ illatæ sunt, ac videntur Hierosolymorum vastationem deplorare, templique incendium. Nam post Servatoris crucem, hæc omnia effecta sunt. « Et deserta, » inquit, « facta est Sion, » quæ adeo speciosa fuit aliquando, celebris illa et populosa. « Factaque est exsecratio domus sancta nostra. » Exsecrationem dicunt, pro, contradictione et convicio Deum ignorantibus. Cultores enim dæmoniorum, cum sancti, aut qui aliquo modo adhærent Deo patiuntur supplicium, profuse rident et efferuntur, et majestatem ejus qui servat illos ludibrio habent. **891** Putant enim fortassis manum ejus laborare, nec posse illos servare; nec cogitant eos pœnæ ideo subjectos esse, quod ea patraverint quæ illi displicent. « Exsecratio » igitur « facta est domus sancta nostra. » Sanctum enim fuit apud illos templum. Et igne combustum est, inquit, quod voce sanctorum patrum adeo decantatum, celebratum ac prædicatum est. Concidisse aiunt omnia gloriosa. Nulla enim erat omnino veneratio sacrosanctorum vasorum, quæ in divino templo posita fuerant, nulla reverentia his qui illa diripiunt et incendunt. « At sustinuisti, » inquit, « in his omnibus et conticuisti, nosque ad solum usque prostravisti. » Quia enim repellere poterat hostilem incursum, permisit tamen eos invalescere, et in ipsum etiam templum irruere: colligunt inde se propter iram et peccata despectos esse, iramque his de causis concipiunt. Qui enim potest injuriam prohibere, prætermittit tamen, et res adversas et asperas ad finem usque progredi et procedere permittit, acerbam iram procul dubio in eos distillasse et effudisse eum, manifestum est; ita ut etiam suam gloriam neglectui habuerit, et ludibria hostium sustinuerit. Quandoquidem bene accidit eos pœnas dare, quos par est ob multa peccata supplicio affici.

Cap. LXV. Vers. 1, 2. *Manifestus factus sum his qui me non quærebant, inventus sum non interrogantibus me. Dixi: Ecce ego genti, quæ non appellavit nomen meum. Expandi manus meas tota die, ad populum incredulum et contradicentem, qui non ambulavit in via vera, sed post peccata sua.*

Necessario jam prædictis hæc inferuntur. Nam quoniam dixerunt: « Quid seduxisti nos, Domine, a via tua? obdurasti corda nostra, ne timeremus te[40]; » adjeceruntque: « Facta est deserta Sion, quasi solitudo facta est Jerusalem, et exsecratio domus sancta nostra: » deinceps necessario Christi ipsius persona inducta est, causas velut referens, cur hæc

[40] Isa. LXIII, 17.

A *συνέπεσε. Καὶ ἐπὶ πᾶσι τούτοις ἠνέσχου, Κύριε, καὶ ἐσιώπησας, καὶ ἐταπείνωσας ἡμᾶς ἕως σφόδρα.*

Τὰς ἐν ψυχῇ ζημίας προαπαγγείλαντες, καὶ ὅτι γεγόνασι ταῖς ἁμαρτίαις εὐάλωτοι προηγορευκότες, εὐπαράφοροί τε καὶ φύλλων δίκην ὑπὸ παντὸς πνεύματος τῇδέ τε κἀκεῖσε διαῤῥυπτούμενοι, διαμνημονεύουσι λοιπὸν καὶ τῶν ἔξωθεν αὐτοῖς ἐπενηνεγμένων συμφορῶν· ἐοίκασι δὲ τὴν τῶν Ἱεροσολύμων πόρθησιν ὀλοφύρεσθαι, καὶ τὸν ἐμπρησμὸν τοῦ ναοῦ· μετὰ γάρ τοι τὸν τοῦ Σωτῆρος σταυρὸν, ταυτὶ δὴ πάντα τετέλεσται· « Ἔρημος δὲ οὖν ἐγενήθη ἡ Σιὼν, » φησὶν, ἡ διαπρεπὴς οὕτω, καὶ διαβόητος, καὶ πολυανδροῦσα ποτέ. « Γέγονε δὲ καὶ εἰς κατάραν τὸ ἅγιον ἡμῶν· » τὸ δὲ, κατάραν φασὶν, ἀντὶ τοῦ, εἰς κα-
B τάῤῥησιν καὶ λοιδορίαν τοῖς οὐκ εἰδόσι Θεόν· οἱ γὰρ τῶν δαιμόνων θεραπευταὶ πασχόντων ἁγίων, ἤγουν τῶν καθ' ὁντιναοῦν τρόπον ἀνακειμένων Θεῷ, πλατὺ γελῶσι, καὶ κατεπαίρονται, καὶ τὴν τοῦ σώζοντος αὐτοὺς διασύρουσι δόξαν. Οἴονται γὰρ ἴσως τὴν αὐτοῦ χεῖρα παθεῖν τὸ μὴ ἰσχύσαι σώζειν αὐτούς. καὶ οὐκ ἐννοοῦσιν, ὅτι πεπτώκασιν ὑπὸ δίκην πεπραχότες τινὰ τῶν ἀπαδόντων αὐτῷ. « Εἰς κατάραν » τοίνυν « ὁ οἶκος τὸ ἅγιον ἡμῶν. » Ἅγιος γὰρ ἦν παρ' αὐτοῖς ὁ ναὸς, γέγονε δὲ καὶ πυρίκαυστος, φησὶν, ὁ διὰ φωνῆς τῶν ἁγίων πατέρων, ὥστε περιφανὴς, καὶ ἀοίδιμος προαπηγγελμένος· συμπεπτωκέναι δέ φασι πάντα τὰ ἔνδοξα· σέβασμα γὰρ ἦν ὅλως οὐδὲν τῶν ἐν τῷ θείῳ ναῷ κειμένων σκευῶν ἱερῶν, τοῖς διαρπάζουσιν
C αὐτὰ, καὶ καταπιμπρᾶσιν· « Ἠνέσχου δὲ, » φησὶν, « ἐπὶ πᾶσι τούτοις, καὶ κατεσίγησας, καὶ κατεκόμισας ἡμᾶς ἕως ἐδάφους. » Ἐπειδὴ γὰρ ἀποσοβῆσαι δυνάμενος τῶν πολεμίων τὴν ἔφοδον, συγκεχώρηκεν ἰσχύσαι, καὶ καταδραμεῖν, καὶ αὐτοῦ τοῦ νεὼ, διατεκμαίρονται λοιπὸν, ὅτι παρεώρανται δι' ὀργὴν, καὶ ἁμαρτιῶν ἐπίχειρα, τὴν ἐπ' αὐτοῖς δὴ τούτοις σιγὴν ἐσχήκασιν. Ὧ γὰρ ἐνὸν εὐκόλως ἀποστῆσαι τὴν ὕβριν, εἶτα τοῦτο μεθεὶς, καὶ προελθεῖν εἰς πέρας ἐφιεὶς τὰ δεινὰ, δῆλος ἂν εἴη δήπουθεν δριμεῖαν αὐτοῖς ἐπιστάξας ὀργὴν, ὡς καὶ δόξης ἰδίας ὑπεριδεῖν, καὶ ἀνασχέσθαι γέλωτος ἐχθρῶν, ὅταν ἐκβαίνῃ καλῶς τὸ ἐκτιννύναι δίκας τοὺς οἷς ἂν πρέποι κολάζεσθαι διὰ πολλὴν ἁμαρτίαν.

Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσιν,
D *εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. Εἶπα· Ἰδοὺ εἰμι τῷ ἔθνει, οἳ οὐκ ἐπεκαλέσαντο τὸ ὄνομά μου. Ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα, οἳ οὐκ ἐπορεύθησαν ὁδῷ ἀληθείας, ἀλλὰ ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν.*

Ἀναγκαίως τοῖς ἤδη προειρημένοις ἐπιφέρεται ταῦτα. Ἐπειδὴ γὰρ ἔφασκον· « Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας ἡμῶν τὰς καρδίας τοῦ μὴ φοβεῖσθαί σε· » προσεπήγαγον δὲ, ὅτι « Ἐγενήθη ἔρημος Σιὼν, ὡς ἔρημος ἐγενήθη Ἱερουσαλὴμ, εἰς κατάραν ὁ οἶκος ὁ ἅγιος ἡμῶν » λοιπὸν ἀναγκαίως τὸ αὐτοῦ πρόσωπον εἰσβέβηκε τοῦ Χρι-

στού, τὰς αἰτίας ὥσπερ ἀπαγγέλλων, ἐφ' αἷς εἰκότως ταυτὶ πεπονθότες, οὐχ ἑαυτοῖς μᾶλλον ἐπιγράφουσι τὰς αἰτίας, ἐγκαλοῦσιν, ὥσπερ τῷ τὴν ἰσόῤῥοπον αὐτοῖς ἐπάγοντι δίκην. « Ἐμφανὴς γὰρ γέγονα, » φησί, « καὶ τοῖς ἐμὲ μὴ ζητοῦσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν· » αὐτόμολος γὰρ ὁ Σωτὴρ εἰστρέχων ἐν ταῖς συναγωγαῖς, ἐδίδασκεν αὐτοὺς κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, καθὰ γέγραπται. Τί γὰρ οὐ πέπρακται παρ' αὐτοῦ τῶν ἐπέκεινα καὶ λόγου καὶ θαύματος; Ἀπηλλάττοντο λεπροί, καὶ χειρὸς ἁφῇ, καὶ νεύματι τῷ θεοπρεπεῖ, ἠγέρθησαν ἐκ μνημάτων νεκροί, τυφλοὶ τὸ τριπόθητον ἐδέχοντο φῶς, ἀνεσκίρτησαν ὡς ἔλαφοι τῷ ποδὶ λελωβημένοι. Καὶ γοῦν τοῖς ταῦτα τεθεαμένοις ἔφασκεν ὁ Χριστός· « Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πα- B τρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύσατε. » — « Εἶπον » τοίνυν, φησίν, « Ἐγώ εἰμι τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου· » εὑρίσκεται γὰρ ποτὲ μὲν λέγων, « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, » ποτὲ δὲ πάλιν, « Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· » ἀλλ' οὐκ ἤθελον ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ, καίτοι διαῤῥήδην τὸ « Ἐγώ εἰμι » λέγοντος πλεισταχοῦ. Ὅτι δὲ γεγόνασιν ἀνουθέτητοι καὶ ἐν ἴσῳ τάχα που τοῖς οὐκ ἔχουσιν ὦτα, σκληροί τε καὶ ἀπειθεῖς, διαδείκνυσι λέγων, ὅτι « Ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα· » κατειθίσμεθα γὰρ C ἀείπως τοῖς ἀνηκόοις προσδιαλεγόμενοι μετὰ βοῆς τὰς χεῖρας ἁπλοῦν, καὶ πλείστην ὅσην κατ' αὐτῶν ποιεῖσθαι τὴν ἐπίπληξιν· « ἀλλ' οὐκ ἐπορεύθησαν, » φησίν, « ὁδῷ ἀληθινῇ. » Παρεδέξαντο γὰρ οὐδαμῶς τὸ σωτήριον κήρυγμα, « εἵποντο δὲ μᾶλλον ταῖς ἑαυτῶν ἁμαρτίαις, » τουτέστιν, ἀσχέτῳ φορᾷ κατεφέροντο πρὸς ἀτημελῆ καὶ ἐκνομωτάτην ζωήν, δίκης τε αὐτοῖς καὶ ὀλέθρου πρόξενον. Τοῦτο πάλιν ὁ Σωτὴρ αὐτοῖς εὑρίσκεται λέγων· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε, ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Ἀντεπράττοντο γὰρ νουθετούμενοι, παρήγγειλον δὲ καὶ τοῖς ὑπὸ χεῖρα λέγοντες· « Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε; » Ναὶ μὴν κἀκεῖνο πρὸς τούτῳ βοῶντες· « Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν. »

A merito passi fuerint. Non sibi causas ascribunt, sed in crimen vocant fere illum, qui dignam illis pœnam inducit. « Apparui, » enim, inquit, « me non quærentibus, inventus sum me non interrogantibus. » Sua namque sponte Servator ingressus in synagogas, **892** docuit illos, prædicans Evangelium regni, et curans omnem morbum et omnem infirmitatem in populo [41], sicuti scriptum est. Quid enim non factum est ab eo, quod non superet omnem et orationem et admirationem? Leprosi manus tactu et nutu divino liberati sunt; excitati e monumentis mortui; cæci optatissimam lucem receperunt; exsilierunt velut cervi pede capti [42]. Hæc spectantibus dixit Christus: « Si non facio opera Patris mei, nolite mihi credere; sin facio, etsi mihi non credatis, operibus meis credite [43]. » « Dixi » igitur, inquit: « Ego adsum genti, quæ non appellavit nomen meum. » Invenitur enim dicens nunc: « Ego sum lux mundi [44]; » nunc rursus: « Si quis sitit, veniat ad me, et bibat. Qui credit in me, sicuti dicit Scriptura, flumina de ventre ejus fluent aquæ viventis [45]. » At noluerunt appellare nomen ejus, quantumvis diserte diceret, et quidem sæpe: « Ego sum. » Fuisse autem eos admonitionis impatientes, et similes his qui aures non habent, duros et inobedientes, ostendit cum ait: « Expandi manus meas ad populum inobedientem ac contradicentem. » Solemus enim semper cum refractarios alloquimur, et immorigeros, cum clamore manus extendere et graviter in illos invehi. « Sed non ambulaverunt, » inquit, « in via vera. » Nullo enim modo admiserunt salutarem prædicationem, « sed peccata sua secuti sunt, » id est, effreni impetu ad solutam vitam maximeque legibus contrariam devoluti sunt, quæ pœnam ipsis et interitum accersivit. Hoc rursus Servator illis dicere invenitur: « Amen dico vobis: Si non credideritis quod ego sim, in peccatis vestris moriemini [46]. » Admoniti enim renitebantur, ac denuntiabant subjectis manui suæ: « Dæmonium habet et insanit, quid ipsum auditis [47]? » Illud insuper clamantes: « Non propter bonum opus lapidamus te, sed propter blasphemiam, quia tu homo cum sis, facis teipsum Deum [48]. »

Ὁ λαὸς οὗτος ὁ παροξύνων με, ἐνώπιον ἐμοῦ D *αὐτοὶ διὰ παντός. Θυσιάζουσιν ἐν τοῖς κήποις, καὶ θυμιῶσιν ἐν τοῖς πλίνθοις τοῖς δαιμονίοις, ἃ οὐκ ἔστι. Καὶ ἐν τοῖς μνήμασι, καὶ ἐν τοῖς σπηλαίοις κοιμῶνται δι' ἐνύπνια, οἱ ἐσθίοντες κρέα ὕεια, καὶ ζωμὸν θυσιῶν, μεμολυσμένα πάντα τὰ σκεύη αὐτῶν· οἱ λέγοντες, Πόῤῥω ἀπ' ἐμοῦ, ὅτι καθαρός εἰμι, μὴ ἐγγίσῃς μοι. Οὗτος ὁ καπνὸς τοῦ θυμοῦ μου, πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας.*

VERS. 3-5. *Populus hic exacerbans me, in conspectu meo semper. Isti sacrificant in hortis, et adolent incensum super lateres dæmonibus, qui non sunt. Et in monumentis ac speluncis dormiunt propter insomnia; comedunt carnes suillas, et jus hostiarum; polluta omnia vasa eorum: dicunt,* **893** *Longe a me, quia mundus sum, ne appropinques mihi. Iste fumus furoris mei, ignis ardet in eo omnibus diebus.*

Ἀνοσίους ὄντας ἐλέγχει τοὺς ἐξ Ἰσραήλ, καὶ οὔτι που μόνον κατὰ τὸν τῆς ἐπιδημίας καιρόν, ἀλλὰ γὰρ

Impios Israelitas arguit, nec solum adventus tempore, sed retro, et velut ab ipsa stirpe et ex patri-

[41] Matth. IV, 23. [42] Matth. XI, 5; Isa. XXXV, 5, 6. [43] Joan. X, 37, 38. [44] Joan. VIII, 12. [45] Joan. VII, 37, 38. [46] Joan. VIII, 24. [47] Joan. X, 20. [48] ibid. 33.

bus, qui divina ejus lege rejecta, et Mosaicis præceptis tantum non vale dicto, idolis servierunt, et falso nuncupatis diis sacrificarunt, et immundorum spirituum cultores exstiterunt. « Hic populus, » inquit, « est qui semper me exacerbat. Sacrificarunt enim indesinenter, » id est, longo tempore, « in conspectu meo. » At quomodo latere poterant, cum Deus omnia inspiciat? Dixit enim per quemdam ex sanctis prophetis : « Deus appropinquans ego sum, dicit Dominus[49], et non Deus e longinquo. An me celabitur quidquam? » Si ergo nihil eum celetur, quomodo latuerunt quidam suffitum facientes in hortis, vel in silvis, montibus et lucis? Quid igitur significat, « In conspectu meo? » Scilicet in ipso temple quod mihi consecratum est. Simile quiddam enim dixit voce Jeremiæ de Jerusalem. « Quam abominationem fecit dilecta in domo mea[50]? » Abominationem nominare consueverunt sacræ Litteræ idolum. Itaque et ob oculos meos « suffitus faciunt, » inquit, « et in hortis, » id est, in montibus, uti dixi, « sub quercu, et populo, et arbore umbrosa[51], » secundum id quod scriptum est. Sacrificabant, ut videtur, Græcorum morem secuti, quibusdam dæmonibus, nymphas illi vocant, hamadryadas, et oreadas. Sed non sunt, inquit, non quod non subsistant exitiosi dæmones; sed quod non sint dii, prout illi qui sacrificant illis opinantur. Sacrificarunt etiam in monumentis et speluncis, necromantica quædam, ut videtur, exercentes. Dormiebant etiam in monumentis, insomniis quibusdam et spectris decepti, et notitiam rerum futurarum indagantes. Ejusmodi sunt enim impietatis Græcorum inventa. Calcasse autem eos quoque legis præcepta, demonstrat inquiens : « Comedunt carnes suillas. » Interdixit enim hæc Israelitis. Absorbebant etiam jus sacrificiorum, omni impuritate repleti, sordes non eluendas habentes, putantes deinde ad summum omnis puritatis gradum se pervenisse, adeo ut dicerent appropinquare volentibus, **894** « Longe a me, ne appropinques mihi, quia purus sum. » Mali enim et impuri dæmones, persuadent his qui se adorant, quod etsi omnia præter æquum et bonum agant, imo etiam res inquinatissimas, futuri sint puri, face illis prælucente, et igne circumeunte, vel etiam aquarum abstersione, et fabulis anilibus incantantibus. Cæterum hæc omnia, inquit, impie et flagitiose ab illis perpetrata, « Fumus sunt furoris mei, et ignis ardet in eo omnibus diebus. » Scimus autem, cum ignis accendendus est, exoriri prius fumos. Itaque ante Servatoris adventum, cum in sordibus versaretur, quem modo diximus, Israel, velut fumi quidam et initia divinæ iræ apparuerunt. Postquam vero prioribus suis impietatibus addiderunt etiam debacchationem in ipsum universorum Servatorem et Redemptorem : interfecerunt enim principem vitæ[52], furor deinde accensus est, et in flammam quodammodo fumi conversi sunt.

A ἄνωθεν, καὶ οἷον ἐκ ῥίζης, καὶ ἐκ πατέρων οἱ τὸν θεῖον αὐτοῦ παρωσάμενοι νόμον, καὶ μονονουχὶ τὸ ἐῤῥῶσθαι φθάσαντες ταῖς διὰ Μωσέως ἐντολαῖς, λελατρεύκασιν εἰδώλοις, καὶ τεθύκασι τοῖς ψευδωνύμοις θεοῖς, καὶ πνευμάτων ἀκαθάρτων γεγόνασι θεραπευταί. « Οὗτος ὁ λαὸς ἀεὶ γέγονε, » φησὶ, « παροξύνων με. Τεθύκασι γὰρ ἀκαταλήκτως, » τουτέστιν, ἐν χρόνοις μακροῖς, « ἐνώπιόν μου. » Εἶτα πῶς ἦν δύνασθαι λαθεῖν αὐτοὺς, καίτοι πάντα ἐφορῶντος Θεοῦ; Ἔφη γάρ που, καὶ δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν, μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι; » Οὐκοῦν εἰ μηδὲν ἀπ' αὐτοῦ κρύπτεται, πῶς ἂν ἔλαθόν τινες θυμιῶντες ἐν κήποις, ἤγουν ἐν δρυμοῖς, ὄρεσί τε καὶ νάπαις; Τί οὖν ἄρα τὸ « ἐνώπιόν μου » δηλοῖ, ἀντὶ τοῦ, καὶ B εἰς αὐτὸν τὸν ἀφιερωθέντα μοι νεών. Ἔφη γάρ τοι τοιοῦτον καὶ διὰ φωνῆς Ἱερεμίου περὶ τῆς Ἱερουσαλήμ· « Τί ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; » Βδέλυγμα δὲ τὸ εἴδωλον ὀνομάζειν ἔθος τοῖς ἱεροῖς Γράμμασιν. Οὐκοῦν κατ' ὀφθαλμοὺς ἐμοὺς « θυμιῶσι, » φησὶ, « καὶ ἐν τοῖς κήποις, » τουτέστιν, ἐν ὄρεσιν, ὡς ἔφην, « ὑποκάτω δρυὸς, καὶ λεύκης, καὶ δένδρου συσκιάζοντος, » κατὰ τὸ γεγραμμένον. Ἔθυον δὲ, κατὰ τὸ εἰκὸς, τοῖς Ἑλλήνων ἀκολουθήσαντες θυμοῖς, δαίμοσι τισὶν, ἃς νύμφας ἐκεῖνοι καλοῦσιν, ἀμαδρυάδας καὶ ὀρειάδας· ἀλλ' οὐκ εἰσι, φησὶν, οὐχ ὅτι μὴ ὑπάρχουσιν οἱ ἀλιτήριοι δαίμονες, ἀλλ ὅτι θεοὶ μᾶλλον οὐκ εἰσι, κατά γε τὰς τῶν θυόντων αὐτοῖς ὑπονοίας. Ἔθυον δὲ καὶ ἐν μνήμασι, καὶ ἐν σπηλαίοις, νεκυομαντείας τὰς καλουμένας ἐπιτηδεύοντες κατὰ τὸ εἰκός. C Ἐκοιμῶντο δὲ καὶ ἐν μνήμασιν, ὀνειροπομπείοις τισὶ καὶ φάσμασιν ἀπατώμενοι, καὶ τῶν ἐσομένων πολυπραγμονοῦντες τὴν γνῶσιν. Τοιαῦτα γάρ πώς εἰσι τῆς τῶν Ἑλλήνων ἀνοσιότητος τὰ εὑρήματα. Ὅτι δὲ καὶ τὴν τοῦ νόμου πεπατήκασιν ἐντολὴν, διαδείκνυσιν εἰπὼν, « Ἐσθίοντες κρέα ὕεια· » ἀπείρητο γὰρ τὰ τοιάδε τοῖς ἐξ Ἰσραήλ· ἐξεῤῥόφουν δὲ καὶ ζωμοὺς θυσιῶν, ἁπάσης ἀκαθαρσίας ἀναπιμπλάμενοι, καὶ δυσαπότριπτον ἔχοντες μολυσμόν· εἶτα νομίζοντες, ὅτι καὶ εἰς λῆξιν ἁπάσης ἐληλάκασι καθαρότητος, ὥστε καὶ λέγειν τοῖς ἐγγὺς εἶναι θέλουσιν αὐτῶν· « Πόῤῥω ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι, ὅτι καθαρός εἰμι. » Οἱ γὰρ πονηροὶ καὶ ἀκάθαρτοι δαίμονες ἀναπείθουσι φρονεῖν τοὺς προσκυνοῦντας αὐτοῖς, ὅτι πάντα δρῶντες, καὶ τὰ πέρα νόμου, καὶ πάσης ἐπιει- D κείας, μᾶλλον δὲ τὰ εἰς ἄκρον ἥκοντα μολυσμοῦ, ἔσονται καθαροὶ, δᾳδὸς ἀφθείσης παρ' [al. ἐπ'] αὐτοῖς, καὶ κύκλῳ πυρὸς περιθέοντες, ἢ τάχα που, καὶ ὕδατος ῥαντισμοῦ, καὶ μυθολογίας γραοπρεποῦς ἐπᾳδομένης αὐτοῖς. Ἀλλὰ ταυτὶ σύμπαντα φησὶ, τὰ δυσσεβῶς τε καὶ ἀνοσίως παρ' αὐτῶν γεγονότα· « Καπνός εἰσι τοῦ θυμοῦ μου, καὶ πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας. » Ἴσμεν δὲ, ὅτι πυρὸς ἐξάπτεσθαι μέλλοντος προανίσχουσι καπνοί. Οὐκοῦν πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἐπιδημίας, ἐν μολυσμοῖς ὄντος τοῖς ἀρτίως ἡμῖν εἰρημένοις τοῦ Ἰσραὴλ, καπνοί τινες ὥσπερ, καὶ ἀρχαὶ τῆς θείας ὀργῆς ἀνεφαίνοντο. Ἐπειδὴ δὲ

[49] Isa. LII, 6. [50] Jer. XI, 15. [51] Osee IV, 13. [52] Act. III, 15.

ταῖς προτέραις ἑαυτῶν δυσσεβείαις προσεπήγαγον, καὶ τὴν εἰς αὐτὸν παροινίαν τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτήν· ἀπεκτόνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐξήφθη λοιπὸν ὁ θυμὸς, καὶ εἰς φλόγα τρόπον τινὰ μετέστησαν οἱ καπνοί.

Ἰδοὺ γέγραπται ἐνώπιόν μου· Οὐ σιωπήσω ἕως ἂν ἀποδῶ, καὶ ἀνταποδώσω εἰς τὸν κόλπον αὐτῶν τὰς ἁμαρτίας αὐτῶν, καὶ τῶν πατέρων αὐτῶν, λέγει Κύριος· οἳ ἐθυμίων ἐπὶ τῶν ὀρέων, καὶ ἐπὶ τῶν βουνῶν αὐτῶν ὠνείδισάν με· ἀποδώσω τὰ ἔργα αὐτῶν εἰς τὸν κόλπον αὐτῶν.

Ὅμοιον ὡς εἰ λέγοι· Τὰ εἰς λύπην ἐμὴν παρά τε τῶν πατέρων αὐτῶν, καὶ παρ' αὐτῶν ἀνοσίως γεγενημένα, μονονουχὶ καὶ ἐν πίνακι γεγραμμένα θεωρῶ, καὶ ἐν τοῖς ἐμοῖς εἰσιν ὀφθαλμοῖς, ἢ πῶς ἂν ἀνασχοίμην τῶν οὕτω δεινῶν, καὶ ἀπαραβλήτων κακῶν; Ἀποδώσω πάντως εἰς τὸν κόλπον αὐτῶν, δεχόμενος ἐν μνήμαις καὶ τοὺς πατέρας αὐτῶν, οἳ ἐθυμίασαν ἐπὶ τῶν ὀρέων, καὶ ἐπὶ τῶν βουνῶν, ὧν ὠνείδισάν με. Ἐπιτήρησον, ὅτι θυμιᾷν αὐτοὺς ἐν κήποις εἰπὼν ἐπὶ τῶν ὀρέων καὶ τῶν βουνῶν, ἐνθάδε φησὶ κήπους, οἶμαι, λέγων τοὺς ἐν ὄρεσι δρυμοὺς, καθὰ προειρήκαμεν. Θύοντες δὲ τοῖς ἀκαθάρτοις δαίμοσιν, εἶτα τὴν ὀφειλομένην τῷ Θεῷ δόξαν, ὀλίγου παντελῶς ἀξιοῦντες λόγου, μονονουχὶ καὶ ὠνείδιζον αὐτὸν ὡς οὐκ ὄντα Θεόν. Τὸ γὰρ ὅλως τοῖς οὐκ οὖσι θεοῖς προσκεῖσθαι θέλειν οὐδὲν ἕτερον εἴη ἂν, πλὴν ὅτι τὴν θείαν καὶ ἀνωτάτω περιυβρίζειν δόξαν. « Ἀποδώσω » τοίνυν, φησὶ, « τὰ ἔργα αὐτῶν εἰς τὸν κόλπον αὐτῶν· » ἀποπεπτώκασι γὰρ ἀγαθοῦ παντὸς, δειναῖς τε καὶ ἀφύκτοις ἐνολισθήσαντες συμφοραῖς, κακοὶ κακῶς διολώλασιν.

Οὕτως λέγει Κύριος· Ὃν τρόπον εὑρεθήσεται ῥὼξ ἐν τῷ βότρυϊ, καὶ ἐροῦσι· Μὴ λυμήνῃ αὐτὸν, ὅτι εὐλογία ἐστὶν ἐν αὐτῷ· οὕτω ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι. Τούτου ἕνεκα οὐ μὴ ἀπολέσω πάντας. Καὶ ἐξαρῶ τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου, καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοὶ, καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ.

Ἐπηνέχθη μὲν Ἰουδαίοις τὰ ἐκ θείας ὀργῆς, καὶ ἰσοστάθμους τοῖς ἑαυτῶν πλημμελήμασιν ἐκτετίκασι δίκας, πλὴν οὐκ ἄρδην ἅπαντες, καὶ ἀδιακρίτως διολώλασι. Δίκαιος γὰρ ὁ κριτὴς, καὶ οὐκ ἂν τοῖς ἀσεβέσι συναπολέσαι τοὺς ἀγαθούς· εἰκόνα δὲ ὥσπερ ποιεῖται λαμπρὰν, καὶ ἐν τάξει παραδείγματος δέχεται βότρυν, μιᾶς ἐν αὐτῷ σωζομένης ῥαγὸς, καίτοι τῶν ἄλλων τεθαυμασμένων· εἶτα τὸν γηπόνον, ἤγουν τὸν τοῦ χωρίου δεσπότην εἰσκομίζει λέγοντά τινι· « Μὴ λυμήνῃ αὐτὸν, ὅτι εὐλογία ἐστὶν ἐν αὐτῷ· οὕτω ποιήσω, » φησὶν, « ἕνεκεν τοῦ δουλεύοντός μοι, » τουτέστιν, ἀκριβείᾳ τοσαύτῃ κεχρήσομαι, ὥστε κἂν ἐν πόλει μιᾷ τῶν ἄλλων ἁπάντων ἀπονευσάντων εἰς τὸ ἐξίτηλον, εἷς καὶ μόνος εὑρίσκηται πιστὸς, καὶ εὐήνιος, οὗτος τεύξεται φειδοῦς, καὶ οὐκ ἂν τοῖς ἑτέροις συγκινδυνεύσειε καθ' ὧν ἂν ἴοι τὸ κρίμα δικαίως. « Οὐ γὰρ μὴ ἀπολέσω πάντας, » φησί. Κατέθορε γὰρ ὥσπερ τῆς Ἰουδαίων ἀλαζονείας ὁ τοῦ Κυρίου θυμὸς, μονονουχὶ καταφλέγων τὸν ἀπειθῆ καὶ δυσάγωγον· ἐσώζετο δὲ προνοίᾳ Θεοῦ, πᾶς εἴ τις ἦν ἐν αὐτοῖς τῆς διὰ Χριστοῦ σωτηρίας ἄξιος· καὶ γοῦν ὁ θεσπέσιος Παῦλος

VERS. 6, 7. *Ecce scriptum est in conspectu meo: Non tacebo, donec reddam et retribuam in sinum eorum peccata sua, et patrum suorum, dicit Dominus. Qui adolebant incensum super montes, et super colles probris affecerunt me. Reddam opera eorum in sinum suum.*

Perinde est ac si dicat : Quæ cum offensione et dolore meo a patribus eorum et ab ipsis impie facta sunt, propemodum in tabula depicta contemplor, et obversantur meis oculis. Quomodo hæc tam gravia et inconsolabilia mala pati potero? Reddam omnino in sinum eorum, memoria etiam tenens patres eorum, qui suffimenta fecerunt in montibus et in collibus, quibus probris affecerunt me. Observa, quod cum dixerit illos suffitus adolere in hortis, hic dicat in montibus et collibus : hortos, arbitror, vocans, silvas in montibus, quemadmodum supra diximus. Sacrificantes autem impuris dæmonibus, deinde gloriam Deo debitam minimi facientes, tantum non probris eum, perinde ac si Deus non esset, affecerunt. Velle enim in totum non diis adhærescere, nihil aliud est, quam divinam et supremam majestatem conspurcare. « Reddam » igitur, inquit, « opera eorum in sinum suum. » **895** Ab omni enim bono deciderunt, illapsique in graves et inevitabiles calamitates, mali male perierunt.

VERS. 8, 9. *Sic dicit Dominus: Quo modo invenietur acinum in botro, et dicent: Ne perdas illud, quia benedictio est in eo: sic faciam propter eum qui servit mihi, cujus causa non perdam omnes. Et tollam ex Jacob semen, et ex Juda, et hæreditabit montem sanctum meum. Et hæreditabunt electi et servi mei, et habitabunt ibi.*

Divina ira Judæis inflicta est, et dignas pro ratione delictorum pœnas dederunt. Verum non funditus omnes et sine discrimine perierunt. Justus enim judex est, nec cum impiis simul perdet bonos. Illustrem autem adhibet quasi imaginem, et exempli loco sumit botrum, uno acino servato, vel aliis admirabilioribus et insignioribus. Deinde agricolam, vel dominum prædii inducit dicentem cuidam : « Ne perdas eum, quia benedictio est in eo : sic faciam, » inquit, « propter eum qui servit mihi, » id est, adeo præcise agam, ut etiamsi in una civitate alii omnes ad ignaviam declinent, si tamen unus solus inveniatur fidelis et sequax, hic consequetur misericordiam, et cum aliis in periculum non vocabitur, quibus juste intentatur judicium. « Non enim perdam omnes, » inquit. Insiliit enim veluti contra Judæorum arrogantiam Domini furor, tantum non comburens inobedientem et refractarium. At providentia Dei servatus est, quisquis inter illos erat salute per Christum dignus. Nimirum divinus Paulus capturam secundum ele-

ctionem gratiæ factam fuisse dicit, et delectu velut ex omni Judæorum regione habito, reliquias Israelis ad fidem irretitas et illaqueatas [53]. « Non » ergo, inquit, « perdam omnes, sed tollam ex Jacob semen et ex Juda. » « Tollam, » hic intelliges, non, Perdam; sed excelsum et suscipiendum reddam. Tollere namque interdum est, evehere. Tales exstiterunt, quoad gloriam, inquam, divini discipuli sublimes et spectabiles omnibus ubilibet, et tanquam civitas in monte sita, et lucerna super candelabro posita, ac lucens omnibus qui in domo sunt [54], secundum ipsius vocem Servatoris. Hoc igitur est semen ex Jacob et Juda. **896** « Possidebit, inquit, montem sanctum meum, » nempe Ecclesiam. Sic enim eam designat alibi ipse sapientissimus Isaias, loquens de vocatis per fidem in Christo ad divinæ ejus naturæ participationem sive communionem: « Quia bibent lætitiam, et bibent vinum, ungent unguento in monte isto. » Trade hæc omnia gentibus. Decretum enim hoc ad omnes gentes pertinet. In monte igitur isto, inquit, hæreditas erit meis electis, et inter illos habitabunt omnes, quicunque regni mei jugum subeunt. Nihil absurdi erit, si dicas supremam civitatem cœlestem Jerusalem, montem nominari in quo sanctorum sors est [55], Deo illis distribuente bona, quæ nec mens, nec oratio potest capere. « Oculus » enim, inquit, « non vidit, et auris non audivit, et in cor hominis non ascendit, quæ paravit Deus diligentibus se [56]. »

Vers. 10. *Et erunt in saltu ovilia gregum, et Achor, in requietem armentorum populo meo, qui quæsivit me.*

Solemne est Scripturæ divinitus inspiratæ, nonnunquam silvis spississimis et floribus densis populosas urbes et regiones comparare. Nam quidam e sanctis prophetis dixit, velut ad Judæorum matrem, Jerusalem, inquam: « Aperi, Libane, fores tuas, et devoret ignis cedros tuas. Ululate, quercus Basan, quia succisus est saltus consitus [57]. » Nemo autem dixerit jubere illum pinus et quercus plorare, est enim id plane ineptum; sed, ut dixi, assimilare dignatur lignis innumerabilem eorum qui in urbibus sunt et regionibus multitudinem. Ulularunt autem Judæi, cum hostium gladiis subjicerentur, propter impietatem in Christum. Psallitque divinus David, utpote apparituro mox Christo in mundo: « Tunc exsultabunt omnia ligna silvæ, a facie Domini, quia venit ad judicandum terram [58]. » Itaque, « In silva, » inquit, id est, in multitudine gentium, seu in urbibus eorum et regionibus, « ovilia erunt gregum, » Christi videlicet Ecclesiæ: « et vallis Achor requies armentorum populo meo, qui quæsivit me. » Achor hic oriundus est ex semine Israel; deleta autem Jericho, deinde jubente Deo **897** omnia quæ in ea fuerant

λημμα κατ' ἐκλογὴν χάριτος γενέσθαι φησὶ καὶ ἀπολογάδην, ὥσπερ ἐξ ἁπάσης τῆς Ἰουδαίων χώρας σαγηνευθῆναι πρὸς πίστιν τὸ κατάλειμμα τοῦ Ἰσραήλ. « Οὐκοῦν οὐ μὴ ἀπολέσω πάντας, » φησὶν, « ἀλλ' ἐξαρῶ τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ Ἰούδα. » Τὸ δὲ « ἐξαρῶ, » συνήσεις ἐνταῦθα, οὐ τὸ ἀπολέσω μᾶλλον, ὑψηλὸν δὲ καὶ ἀπόβλεπτον ἀποφανῶ· τὸ γὰρ ἐξαίρειν ἔσθ' ὅτε τὸ ὑψοῦν ἐστι. Γεγόνασι δὲ τοιοῦτοι, κατά γε φημὶ τὴν δόξαν, οἱ θεσπέσιοι μαθηταὶ ὑψηλοὶ καὶ περίοπτοι τοῖς ἁπανταχοῦ, καὶ οἷα πόλις ἐν ὄρει κειμένη, καὶ λύχνος ἐπὶ λυχνίαν κείμενος, καὶ φαίνων πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν. Τοῦτο δὴ οὖν τὸ ἐξ Ἰακὼβ, καὶ ἐξ Ἰούδα σπέρμα· « Κληρονομήσει, » φησὶ, « τὸ ὄρος τὸ ἅγιόν μου· » δῆλον δὲ ὅτι τὴν Ἐκκλησίαν. Οὕτω γὰρ αὐτὴν καὶ ἑτέρωθί που κατασημαίνει λέγων αὐτὸς ὁ πάνσοφος Ἡσαΐας περὶ τῶν διὰ πίστεως τῆς ἐν Χριστῷ κεκλημένων εἰς μέθεξιν, ἤγουν καὶ κοινωνίαν τῆς θείας αὐτοῦ φύσεως· « Ὅτι πίωνται εὐφροσύνην, καὶ πίωνται οἶνον, χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ. » Παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν. Ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη. Ἐν τούτῳ δὴ οὖν τῷ ὄρει, φησὶ, κλῆρος ἔσται τοῖς ἐμοῖς ἐκλεκτοῖς, καὶ ἐν αὐτοῖς κατοικήσουσι πάντες, ὅσοι τὸν τῆς ἐμῆς βασιλείας ὑποτρέχουσι ζυγόν· τὸ δὲ ἀπεικὸς οὐδὲν, καὶ τὴν ἄνω πόλιν τὴν ἐπουράνιον Ἱερουσαλὴμ ὄρος ὀνομάζεσθαι λέγειν, ἐν ᾧ τῶν ἁγίων ὁ κλῆρος διανέμοντος Θεοῦ τὰ ὑπὲρ νοῦν καὶ λόγον αὐτοῖς ἀγαθά. « Ὀφθαλμὸς » γὰρ, φησὶν, « οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. »

Καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων, καὶ φάραγξ Ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου, οἳ ἐζήτησάν με.

Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ δρυμοῖς παρεικάζειν εὐδενδροτάτοις, καὶ ἄνθεσι τοῖς δασέσι τὰς πολυανδρούσας πόλεις, ἢ χώρας ἔσθ' ὅτε, καὶ γοῦν ἔφη τις τῶν ἁγίων προφητῶν, ὡς πρὸς τὴν τῶν Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Ἱερουσαλήμ· « Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου· ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. » Καὶ οὐ δή που φαίη τις ἂν, ὡς πίτυσί τε καὶ μέντοι δρυσὶν ὀλολύζειν ἐντέλλεται· κομιδῇ γὰρ εὔηθες τὸ χρῆμά ἐστι· ξύλοις δὲ, ὡς ἔφην, ἀφομοιοῦν ἀξιοῖ τὴν ἀριθμοῦ κρείττονα πληθὺν τῶν ἐν ταῖς πόλεσί τε καὶ χώραις. Ὠλόλυζον δὲ ταῖς τῶν πολεμίων μαχαίραις ὑποπίπτοντες Ἰουδαῖοι διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν. Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβὶδ, ἅτε δὴ μέλλοντος ἐπιφαίνεσθαι τῷ κόσμῳ Χριστοῦ· « Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. » Οὐκοῦν, « Ἐν τῷ δρυμῷ, » φησὶ, τουτέστιν, ἐν τῇ τῶν ἐθνῶν πληθύϊ, ἤτοι ταῖς αὐτῶν πόλεσί τε καὶ χώραις, « ἐπαύλεις ἔσονται ποιμνίων, » Ἐκκλησίαι δηλονότι Χριστοῦ. « καὶ φάραγξ Ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου, οἳ ἐζήτησάν με. » Ἀχὼρ οὗτος, γέγονε μέν τις

[53] Rom. xi, 5. [54] Matth. v, 14, 15. [55] Sap. v, 5. [56] I Cor. ii, 9. [57] Zach. xi, 1, 2. [58] Psal. xcv, 12.

τῶν ἐξ αἵματος Ἰσραὴλ· πεπορθημένης δὲ τῆς Ἱεριχὼ, εἶτα Θεοῦ προστάξαντος ἀναθεματίσαι πάντα τὰ ἐν αὐτῇ, κέκλοφεν ἐκ τοῦ ἀναθέματος. Ἐπειδὴ δὲ παρεδείχθη παρὰ Θεοῦ, πικρὰς ἐζητήθη δίκας· ἀπόλωλε γὰρ πανοικὶ, καθορίσαντος αὐτοῦ τὴν δίκην Ἰησοῦ τοῦ Ναυῆ. Ἦν οὖν ἄρα εἰς κατάραν ἡ φάραγξ ἡ Ἀχώρ. Τοιαῦται δέ πως καὶ αἱ τῶν ἐθνῶν χῶραι· κεκατηραμέναι γὰρ, καὶ θεομισεῖς, ὡς οὐδενὸς ὄντος ἐν αὐταῖς τοῦ τὸν φύσει Θεὸν εἰδότος· ἀλλ' ἡ ἐπικατάρατος χώρα, φησὶ, κατὰ τοὺς παλαιοὺς εἰς ἀνάπαυσιν ἔσται βουκολίων, τουτέστι, σηκοὶ προβάτων νοητῶν, ὑπὸ χεῖρα Χριστοῦ τοῦ πάντων ἀρχιποιμένος, ὃς τοῖς Ἰουδαίων δήμοις προσπεφώνηκε λέγων περὶ τῶν ἐθνῶν, « Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενήσονται μία ποίμνη, εἷς ποιμήν. » Ἐζήτησαν γὰρ B αὐτὸν διὰ τῆς πίστεως οἱ ποτὲ πλανώμενοι, καὶ δὴ καὶ εὑρόντες, οἰκεῖοι γεγόνασιν αὐτοῦ, καὶ συμπολῖται τῶν ἁγίων, καὶ συγκληρονόμοι τῶν ἐπηγγελμένων αὐτοῖς ἀγαθῶν.

A consecrare, furatus est ex anathemate. Manifestatus a Deo, acerbas pœnas dedit: nam cum tota domo periit, pœnam in illum statuente Jesu filio Nave. Itaque exsecrabilis facta est vallis Achor. Cujusmodi erant regiones gentium, exsecrationi devotæ, et Deo invisæ, utpote cum in illis nullus sit, qui natura Deum cognorit. Verum, inquit, hæc regio priscis temporibus exsecranda, requies erit armentorum, id est, stabula ovium intelligibilium, manui Christi principis omnium pastoris subjectarum, qui Judaicum populum allocutus est, dicens de gentibus: « Alias oves habeo, quæ non sunt de ovili hoc: quas etiam oportet me adducere, eritque unum ovile, unus pastor [59]. » Quæsiverunt namque illum per fidem, qui aliquando erraverunt: quo invento, facti sunt ejus domestici, et concives sanctorum et cohæredes promissorum ipsis bonorum.

Ὑμεῖς δὲ, οἱ ἐγκαταλιπόντες με, καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τῷ δαίμονι τράπεζαν, καὶ πληροῦντες τῇ Τύχῃ κέρασμα· ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν, καὶ πάντες ἐν σφαγῇ πεσεῖσθε, ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε· ἐλάλησα, καὶ παρηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον μου, καὶ ἃ οὐκ ἐβουλόμην, ἐξελέξασθε.

Ὥσπερ γέγονεν οὐκ ἀζήμιον τοῖς ἐξ αἵματος Ἰσραὴλ τὸ ἀπειθῆσαι Χριστῷ, δέδονται γὰρ εἰς σφαγὴν, ἐλέῳ Θεοῦ καὶ φιλανθρωπίᾳ σεσωσμένου τοῦ C καταλείμματος, οὕτω καὶ ἐπὶ τῇ τῶν ἐθνῶν κλήσει συνήσεις. Οἱ μὲν γὰρ τὴν διὰ Χριστοῦ σωτηρίαν ἁρπάσαντες, ἔξω γεγόνασι καὶ πυρὸς, καὶ δίκης, καὶ τῶν ἐκ θείας ὀργῆς· οἱ δὲ ταῖς ἑαυτῶν ἀμαθίαις ἐναπομείναντες, καὶ ἀναπόνιπτον ἐσχηκότες τῶν ἀρχαίων αἰτιαμάτων τὸν μολυσμὸν, διὰ τοῦ προσκεῖσθαι θέλειν ταῖς τῶν εἰδώλων λατρείαις, δοθήσονται πρὸς σφαγήν. Κατοιχήσονται γὰρ εἰς ᾅδου, καὶ ἀτελεύτητον ἕξουσι τὴν διὰ πυρὸς ἀκοιμήτου κόλασιν. Ὑμεῖς τοίνυν, φησὶν, οἱ ἐγκαταλιπόντες με, τουτέστιν, οἱ μέχρι παντὸς ἀποστάται, καὶ οἷον εἰς λήθην κατενηνεγμένοι παντελῆ τοῦ ὄρους τοῦ ἁγίου μου. Οὐ γὰρ ἀνέχονταί τινες τῶν πεπλανημένων, καὶ τῶν τῇ κτίσει λελατρευκότων, οὐδ' ὅσον εἰπεῖν εἰδέναι τὸ τῆς Ἐκκλησίας ὄνομα· « οἱ τοῖς δαιμονίοις τραπέζας D τελοῦντες, καὶ κεράσματα πληροῦντες τῇ Τύχῃ. » Ἔδρων δέ τι τοιοῦτον οἱ διαβολικῆς ἀχλύος μεμεστωμένην ἔχοντες τὴν καρδίαν. Εἰς σφαγὴν παραδοθήσεσθε, κἂν εἴ τις ὅτου χάριν τολμήσῃ λέγειν, ἐρῶ πρὸς αὐτόν· Ἐκάλεσα καὶ οὐχ ὑπηκούσατε, ἀλλ' ἔμμονον καὶ ἀναπόβλητον ἔχετε πονηρίαν, μόνα δρῶντες τὰ τοῖς ἐμοῖς ἀπᾴδοντα νόμοις, καὶ κατακιβδηλεύοντες μὲν πάντα τρόπον ἀγαθουργίας, ἀπόλεκτα δὲ ποιεῖσθαι σπουδάζοντες, τὰ δι' ὧν ἄν τις γένοιτο παντὸς ἀνάμεστος ῥύπου.

VERS. 11, 12. *Vos autem qui reliquistis me, et obliti estis montis sancti mei, et parantes dæmoni mensam, et implentes Fortunæ potionem: vos ego tradam in gladium, et omnes cæde cadetis; quia vocavi vos, et non audivistis: locutus sum, et abaudivistis, et fecistis malum in conspectu meo, et quæ non volebam, elegistis.*

Quemadmodum inultum non tulerunt Israelitæ, cum Christo non obedirent, traditi sunt enim occisioni, reliquiis misericordia et humanitate Dei servatis: sic et in gentium vocatione intelliges. Qui namque salutem per Christum arripuerunt, immunes fuerunt ab igne, supplicio et divina ira. At qui in sua permanserunt ignorantia, et inquinamenta veterum scelerum non deleruut, eo quod vellent idolorum adhærescere cultibus, tradentur ad cædem. Descendent enim ad inferos, et supplicium æternum habebunt per ignem irrequietum. Vos igitur, inquit, reliquistis me, id est, semper apostatæ, et qui prorsus velut oblivioni tradidistis montem sanctum meum. Quidam enim qui erraverunt et creaturæ servierunt, ne nosse quidem, ut sic dixerim, sustinent nomen Ecclesiæ: « parantes dæmoniis mensas, et potiones implentes Fortunæ. » Hoc factitarunt, quorum animus 898 diabolica caligine oppletus erat. Trademini ad cædem: Si quis causam audebit quærere, sic ei respondeo: Vocavi, et non audivistis, sed manentem habetis nequitiam, quæ non potest abjici, et ea sola patratis quæ a meis dissentiunt legibus, omnemque honestatem adulteratis, et illa expetitis et eligitis studiose, unde possit quis omne genus turpitudinis contrahere.

Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε. Ἰδοὺ οἱ

VERS. 13-15. *Quamobrem, hæc dicit Dominus: Ecce qui serviunt mihi comedent; vos autem esu-*

[59] Joan. x, 16.

rietis. Ecce qui serviunt mihi, bibent, vos autem sitietis. Ecce qui serviunt mihi, lætabuntur, vos autem confundemini. Ecce qui serviunt mihi, exsultabunt in lætitia, vos autem clamabitis præ dolore cordis vestri, et præ contritione spiritus ululabitis. Reliquistis enim nomen vestrum, in saturitatem electis meis. Vos autem interficiet Dominus.

Componit semper idque necessario cum coronis ærumnas, ut utroque modo adducat eos, ut sentiant et faciant quæ ipsi placent. Nam sicuti præmia ad virtutis desiderium inescant: sic pœnæ acerbitas a vitiositate interdum deterret, et revocat ad meliora. Artificiosissime igitur in animos vocatorum se insinuat, cum præmia illis promittens, tum punitionem minitans. « Comedent enim, » inquit, « qui serviunt mihi; at vos esurietis. Et bibent illi, et sitietis vos. » Gaudentibus illis, vos ignominia afficiemini. Nam qui natura et vere Deum agnoverint, et a falso nuncupatis diis resilierint, verique cultus pulchritudinem admirati fuerint, deliciabuntur vere superis benedictionibus, saginantes corda, et accedentes ad vivificam mensam omnium nostrum Servatoris Christi, et panem vitæ edentes, et divinum potum bibentes, per quem fiant superæ voluptatis participes: purgat enim peccata, ac dolorem eximit, suppliciique metum non sinit animas nostras obruere. Lætamur enim potius spe bonorum, quæ destinata esse diligentibus Deum referunt sacræ Litteræ. « Sed vos, » inquit, qui in errore mansistis, « clamabitis præ dolore cordis vestri, et præ contritione spiritus ululabitis. » Descendente enim cœlitus omnium nostrum Servatore Christo, **899** et cuique pro operibus tribuente, plorabunt omnes, et lugebunt qui Deum verum non agnoverunt, sed peccatis ipsi suis immortui sunt. Reliquistis enim, inquit, nomen vestrum ad saturitatem electis meis: vos autem interficiet Dominus. Considera mihi rursum sensus profunditatem. Solet Scriptura divinitus inspirata saturitatem interdum vocare satietatem et odium. Dixit enim Deus Israelitico sanguine oriundis: « Non remittam peccata vestra. Facti estis mihi in saturitatem [60]. » Vos ergo, inquit, qui a falso nuncupatis diis non descivistis, sed in peccatis vestris mortui estis, nomen vestrum in saturitatem, vel in odium reliquistis electis meis. Nemo enim eorum, qui semel electi sunt nomen superstitiosorum admittet. Refugit namque quisque vocari Dei osor, simulacrorum cultor, impius, profanus: cupitque magis dici populus sanctus, gens electa, regium sacerdotium, secundum divini Petri vocem [61]. Sin cui visum sit, hoc quod dictum est, Israelitis accommodare, ut illis dicatur: « Reliquistis nomen ejus in satietatem electis meis: » dicimus quidem vocatum fuisse Israelem, liberos Dei, ejusque populum et sortem, sed postquam in effrenationem

[60] Isa. I, 15. [61] I Petr. II, 9.

A *δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσητε. Ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε. Ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ κεκράξετε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ συντριβῆς πνεύματος ὀλολύζετε. Κατελείψατε γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου· ὑμᾶς δὲ ἀνελεῖ Κύριος.*

Ἀεὶ παρατίθησιν ἀναγκαίως τοῖς στεφάνοις τὰ μοχθηρὰ, δι' ἀμφοῖν ἀποφέρων εἰς τὸ δεῖν ἑλέσθαι τὰ ἀρέσκοντα αὐτῷ, καὶ φρονεῖν τε καὶ δρᾷν· ὥσπερ γὰρ σαγηνεύει τὰ γέρα πρὸς ἄφεσιν ἀρετῆς, οὕτω τῆς δίκης τὸ πικρὸν ἐξίστησι μὲν ἔσθ' ὅτε τῶν τῆς φαυλότητος τρόπων, μετασοβεῖ δὲ πρὸς τὰ βελτίω. Εὐτεχνέστατα τοίνυν τὰς τῶν καλουμένων ὑποτρέχει B διανοίας, γέρα τε ὑπισχνούμενος αὐτοῖς, καὶ κολάσεις ἀπειλῶν. « Φάγονται γὰρ οἱ δουλεύοντές μοι, » φησὶν, « ὑμεῖς δὲ πεινάσετε, καὶ πίωνται μὲν ἐκεῖνοι, διψήσητε δὲ ὑμεῖς. » Εὐφραινομένων δὲ αὐτῶν, ὑμεῖς αἰσχυνθήσεσθε· οἱ γὰρ τὸν φύσει καὶ ἀληθῶς ἐπεγνωκότες Θεὸν, καὶ τῶν ψευδωνύμων ἀποπηδήσαντες, καὶ τὸ τῆς ἀληθοῦς λατρείας θαυμάσαντες κάλλος, ἐντρυφήσουσιν ὄντως ταῖς ἄνωθεν εὐλογίαις καταπιαινόμενοι τὰς καρδίας, καὶ τραπέζῃ προσβάλλοντες τῇ ζωοποιῷ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ τὸν ἄρτον ἐσθίοντες τῆς ζωῆς, καὶ πόμα τὸ θεῖον, δι' οὗπερ ἂν γένοιντο θυμηδίας τῆς ἄνωθεν μέτοχοι· διακαθαίρει γὰρ ἁμαρτίας, καὶ ἐξίστησι τὸ λυποῦν, καὶ τὸν ἐπὶ τῷ κολάζεσθαι φόβον κατισχύειν οὐκ ἐᾷ τῶν ἡμετέρων διανοιῶν. Εὐφραινόμεθα γὰρ μᾶλλον ἐπ' C ἐλπίδι ἀγαθῶν, ἃ τοῖς ἀγαπῶσι τὸν Θεὸν ἠὐτρεπίσθαι φησὶ τὸ Γράμμα τὸ ἱερὸν, « Ἀλλ' ὑμεῖς, » φησὶν, οἱ μεμενηκότες ἐν πλάνῃ, « κεκράξεσθε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ συντριβῆς πνεύματος ὀλολύξετε. » Καταφοιτήσαντος γὰρ ἐξ οὐρανῶν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, εἶτα νέμοντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, θρηνήσουσι πάντες, καὶ κατοιμώξουσιν οἱ μήτε Θεὸν ἐπεγνωκότες τὸν ἀληθινὸν, ἐναποθανόντες δὲ μᾶλλον ταῖς ἑαυτῶν ἁμαρτίαις. Κατελείψατε γὰρ, φησὶ, τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου, ὑμᾶς ἀνελεῖ Κύριος. Ἄθρει δή μοι πάλιν τῆς ἐννοίας τὸ βάθος. Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ τὸ εἰς πλησμονὴν ἔσθ' ὅτε λέγειν, ἀντὶ τοῦ εἰς κόρον, καὶ μῖσος. Ἔφη γάρ που Θεὸς τοῖς ἐξ αἵματος Ἰσραήλ· « Οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν· D ἐγενήθητέ μοι εἰς πλησμονήν. » Ὑμεῖς τοίνυν, φησὶν, οἱ μήτε τῶν ψευδωνύμων ἀποστάντες θεῶν, ἐντεθνεῶτες δὲ καὶ ταῖς ἑαυτῶν ἁμαρτίαις, τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν, ἤγουν εἰς μῖσος κατελείψατε τοῖς ἐκλεκτοῖς μου· τοῖς γὰρ ἅπαξ ἐξειλεγμένοις, οὐδεὶς τὸ τῶν δεισιδαιμόνων ὄνομα ποιεῖται παράδεκτον. Φεύγει δὲ ἅπας τὸ καλεῖσθαι θεομισὴς, καὶ εἰδωλολάτρης ἀνόσιός τε καὶ βέβηλος· ἐφίεται δὲ μᾶλλον τοῦ καλεῖσθαι λαὸς ἅγιος, ἔθνος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, κατὰ τὴν θεσπεσίου Πέτρου φωνήν. Εἰ δὲ δὴ βούλοιτό τις τοῖς ἐξ αἵματος Ἰσραὴλ ἐφαρμόσαι τὸ εἰρημένον, ἵνα πρὸς αὐτοὺς λέγηται τὸ, « Κατελεί-

ψατε τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου· » φαμὲν, ὅτι τέκνα Θεοῦ, καὶ λαὸς αὐτοῦ, καὶ κλῆρος ἐκαλεῖτο μὲν ὁ Ἰσραήλ· ἐπειδὴ δὲ κατώλισθον ἀσχέτως εἰς τὸ ἐξήνιον, ἐκπεπτώκασι μὲν τῆς τοιαύτης δόξης αὐτοὶ, κεκληρονομήκασι δὲ ὥσπερ αὐτὸν οἱ ἐξ ἐθνῶν κεκλημένοι· καὶ τοῦτο, οἶμαι, ἐστὶν ὅπερ ἔφη Θεὸς διὰ φωνῆς Ὡσηέ· « Καλέσω τὸν οὐ λαόν μου, λαόν μου, καὶ ἐρῶ τῷ οὐ λαῷ μου· Λαός μου εἶ σύ. »

Τοῖς δὲ δουλεύουσιν αὐτῷ, κληθήσεται ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς· εὐλογήσουσι γὰρ τὸν Θεὸν τὸν ἀληθινόν. Καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς, ὀμοῦνται τὸν Θεὸν τὸν ἀληθινόν· ἐπιλήσονται γὰρ τὴν θλῖψιν αὐτῶν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν. Ἔσται γὰρ ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινή, καὶ οὐ μὴ μνησθῶσι τῶν προτέρων, οὐδ' οὐ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν, ἀλλ' εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ.

Πάντα γέγονεν ἐν Χριστῷ καινὰ, καὶ λατρεία, καὶ ζωὴ, καὶ νομοθεσία· οὐ γὰρ σκιαῖς ἔτι καὶ τύποις ἀνονήτοις προσκείμεθα· τελοῦμεν δὲ μᾶλλον τῷ ἐπὶ πάντων Θεῷ τὴν ἐν πνεύματί τε καὶ ἀληθείᾳ προσκύνησιν καὶ λατρείαν. Χρηματίζομεν δὲ οὐ κατά γε τοὺς ἐξ αἵματος Ἰσραὴλ, ὡς ἐκ τῶν γεναρχῶν, ἤτοι πατέρων, Ἐφραῒμ, ἢ Μανασσῆ, ἢ καὶ ὡς ἐξ ἑτέρας φυλῆς, ἀλλ' οὐδὲ τὴν τῶν Γραμματέων καὶ Φαρισαίων ἐρχόμεθα τρίβον, τὴν τοῦ γράμματος παλαιότητα τοῦ παντὸς ἀξιοῦντες λόγου, ἀλλ' ἐν καινότητι ζωῆς εὐαγγελικῆς προσίεμεν τῷ Χριστῷ, καὶ τὴν ἀπ' αὐτοῦ κλῆσιν, ὥσπερ τινὰ στέφανον ἀναδούμενοι, χρηματίζομεν Χριστιανοί. Τοῦτο δὴ τὸ διαβόητον, καὶ εὐλογημένον ὄνομα κατὰ πᾶσάν ἐστι τὴν ὑπ' οὐρανόν. Ἐπειδὴ δὲ ηὐλογήθημεν παρὰ Χριστοῦ, καὶ ἡμεῖς αὐτὸν ταῖς εὐλογίαις καὶ ἀκαταλήκτοις δοξολογίαις κατευφραίνειν σπουδάζομεν. Πάλαι μὲν γὰρ, ἤτοι πρὸ τῆς εἰς αὐτὸν πίστεως, τοῖς οὐκ οὖσι θεοῖς ἐξυφαίνοντες τὰς ᾠδὰς, ἐγελώμεθα δικαίως. Ἐπειδὴ δὲ τὸν φύσει Θεὸν ἐγνώκαμεν, ὑμνοῦμεν αὐτὸν, καὶ καρπὸν χειλέων καὶ γλώττης αὐτῷ προσκομίζομεν, τὰς δοξολογίας αὐτοῦ μεμνημένοι, κἂν εἰ γένοιτό πως ἀνάγκη καὶ χρεία τῆς διὰ τῶν ὅρκων πληροφορίας, ἐφ' ὅτῳ οὖν τῶν πραγμάτων ὀμοῦνται τὸν Θεὸν τὸν ἀληθινόν. Ἔθος μὲν γὰρ τοῖς τῶν εἰδώλων θεραπευταῖς, ὅρκιον ἔσθ' ὅτε ποιεῖσθαι τὸν οὐρανὸν, ἢ καὶ ἕτερόν τι τῶν ἐν αὐτῷ στοιχείων. Οἱ δὲ τὴν πίστιν παραδεξάμενοι, καὶ τῶν εἰς τοῦτο πλημμελημάτων ἀποφοιτῶσι νεανικῶς· ὅρκιον γὰρ ποιοῦνται μόνον τὸν τῶν ὅλων Θεὸν, αὐτὸν εἰδότες φύσει τε καὶ ἀληθῶς Δεσπότην, καὶ ἕτερον ἐπ' αὐτῷ παντελῶς οὐδένα. Τοῦτο καὶ ὁ διὰ Μωσέως προστέταχε νόμος· « Κύριον γὰρ, φησὶ, τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ· » εἶτά φησιν, ὅτι « Ἐπιλήσονται τὴν θλῖψιν αὐτῶν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν· » καὶ θλῖψιν ἔοικεν ἐν τούτοις ὀνομάζειν, ἣν ὑπέστησαν μοχθηρίαν, ὅτε Θεὸν οὐκ εἰδότες τὸν ἀληθινὸν, τῇ τῶν δαιμονίων σκαιότητι δεδουλεύκασι. Προσέταττε

toto impetu proruerunt, hac tanta illi gloria exciderunt, eamque velut hæreditario jure possederunt qui ex gentibus vocati sunt. Et hoc est, opinor, quod dixit Deus voce Osee: « Vocabo non populum meum, populum meum: et dicam non populo meo, Populus meus es tu [62]. »

VERS. 16-18. *At qui serviunt ei, vocabuntur nomine novo, cui benedicetur super terram: benedicent enim Deum verum. Et qui jurant in terra, jurabunt per Deum verum: obliviscentur enim afflictionis prioris, neque veniet in cor eorum. Erit enim cœlum novum et terra nova, et non recordabuntur priorum, neque venient illis in mentem, sed lætitiam et exsultationem invenient in ea.*

Omnia facta sunt in Christo nova, cultus, vita, legislatio. Non enim jam umbris et typis inutilibus adhærescimus, sed Deo, qui supra omnes est, in spiritu et veritate cultum præstamus et venerationem. Neque appellamur **900** ut Israelitico sanguine oriundi, vel ut ex gentis principibus, aut patribus, Ephraim, vel Manasse, vel ex alia quas tribu, sed neque Scribarum et Pharisæorum viam ingredimur, litteræ vetustatem summo habentes in pretio, sed in novitate vitæ evangelicæ ad Christum accedimus, et nomen ejus velut corona insigniti et redimiti, Christiani nuncupamur. Hoc est illud celebratissimum et per omnem terram sub cœli complexu benedictum. Et quia nos benedicti sumus a Christo, studemus etiam nos illum benedictionibus et perpetuis laudibus oblectare. Olim enim, et ante fidem in ipsum, odas contexentes non diis, jure ridebamur. Postquam autem natura Deum novimus, illum celebramus, et fructum labiorum ac linguæ ipsi offerimus, laudes ejus commemorantes: sique opus ususve fuerit jurisjurandi confirmatione, in re quapiam, jurant per Deum verum. Est enim in more idolorum cultoribus juramentum per cœlum vel per aliud quodpiam in eo elementorum nuncupare. At qui fidem receperunt, etiam juveniliter ac strenue a suis delictis recedunt: per solum enim universitatis Deum jurant, scientes ipsum natura et vere Dominum esse, et præter ipsum neminem alium. Hoc etiam Mosaica præcepit lex. « Dominum enim, inquit, Deum tuum adorabis, et eum solum coles, et in nomine ejus jurabis [63]. » Ait deinde: « Obliviscentur afflictionis prioris, et non veniet illis in animum. » Afflictionem videtur ille nominare, quas passi sunt ærumnas, cum Deum nescientes verum, dæmoniorum perversitati servierunt. Jubebantur etenim sacrificare illis, non modo oves et boves, sed etiam fetus uteri sui, quemadmodum scriptum est: « Sacrificarunt igitur quidam filios et filias [64]. » Tribulatio alio modo fuit, quod innumerabiles Deos

[62] Osee II, 24. [63] Deut. VI, 13. [64] Psal. CV, 37.

colere et adorare cogerentur ignotos illos. Probabile autem est quibusdam insidias structas esse, certe ita sentire non est improbabile: quia cum illis fortiores essent exsecrandi et sanguinarii dæmones, etiam opprimere potuerunt, cum a Deo non protegerentur. « Hujus, inquit, afflictionis suæ obliviscentur. Erit enim cœlum novum et terra nova. » Qui, aut quomodo? **901** Putabant enim olim deos esse terram et cœlum: at luce divina in animum admissa, per omnium nostrum Servatorem Christum, novas quasi sententias ac notiones in se habebunt. Scient namque non esse deos, sed omnium artificis et fabricatoris figmenta. « Sic autem, inquit, « animo affecti, non ultra recordabuntur priorum. » Abjicient enim simul cum græcismo, etiam quas habuerunt opiniones, de ipsis elementis, et his qui deceperunt, sive dæmoniis sive hominibus, qui errori consenserunt et lingua sua patrocinati sunt. Pro afflictione, inquit, antiqua, lætitiam et exsultationem invenient in ea. » In qua? Certe, inquit, in Ecclesia Christi. Notandum est necessario, quosdam interpretes hæc referre ad tempora non adventus, sed futura post hoc præsens ævum. Fore enim justos in lætitia et gaudio, dicit, et in perpetuis deliciis, spiritualibus videlicet, et ipso hoc opificio mutato in renovationem. Dixit enim quidam e sanctis apostolis: « Veniet enim dies Domini tanquam fur, in quo cœli magno impetu transibunt, elementa vero calore dissolventur, terra autem et quæ in ea sunt conflagrabunt. Cœlos novos et novam terram, et promissa ejus exspectamus[64]. » Liberum ergo et licitum est cordatis, quam velint interpretationem, hanc vel illam eligere. Abjiciendum enim est nullo modo, quod prodest.

A [γρ. προσετάττοντο] γὰρ καταθύειν αὐτοῖς, οὐχὶ δήπου μόνον πρόβατά τε καὶ βοῦς, ἀλλὰ γὰρ καὶ τὰ ἔκγονα τῆς κοιλίας αὐτῶν, καθὰ γέγραπται· « Τεθύκασι γοῦν τινες υἱούς τε καὶ θυγατέρας. » Μοχθηρία δὲ καὶ ἑτέρως ἦν, τὸ ἀναριθμήτοις οὕτω λατρεύειν θεοῖς, καὶ θεραπεύειν ἐπείγεσθαι τοὺς μὴ ἐγνωσμένους· εἰκὸς δὲ τοῦτο, καὶ ἐπιβουλεύεσθαί τινας παρὰ τῶν ἠμελημένων· τὸ ἀπεικὸς γὰρ οὐδὲν ἐννοεῖν, ὅτι κρατοῦντες αὐτῶν οἱ βδελυροὶ καὶ μιαιφόνοι δαίμονες, καὶ ἀδικεῖν ἐδύναντο, σκέπην οὐκ ἔχοντας τὴν παρὰ Θεοῦ. « Ταύτην, φησὶ, τὴν ἑαυτῶν θλίψιν ἐπιλήσονται. Ἔσται γὰρ ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινή. » Πῶς, ἢ τίνα τρόπον; Πάλαι μὲν γὰρ ἐνόμιζον, θεοὺς εἶναι γῆν τε καὶ οὐρανόν· φῶς δὲ τὸ θεῖον λαβόντες εἰς νοῦν διὰ τοῦ πάντων ἡμῶν Σωτῆρος
B Χριστοῦ, καινὰς ὥσπερ ἐννοίας ἕξουσιν ἐπ' αὐτοῖς. Εἴσονται γὰρ ὅτι οἱ μὲν οὐκ εἰσὶ [θεοὶ], ποιήματα δὲ τοῦ πάντων τεχνίτου καὶ δημιουργοῦ. » Οὕτω δὲ διατεθέντες, φησὶν, οὐκ ἔτι μεμνήσονται τῶν προτέρων· ἀποβαλοῦσι γὰρ ὁμοῦ τῷ Ἑλληνισμῷ, καὶ ἃς ἐσχήκασι δόξας περί τε τῶν στοιχείων αὐτῶν, καὶ τῶν πάλαι πεπλανηκότων, ἢ δαιμόνων, ἢ ἀνθρώπων, οἳ τῇ πλάνῃ συνήγορον τὴν ἑαυτῶν παρέστησαν γλῶσσαν. Ἀντὶ δὲ τῆς θλίψεως τῆς πάλαι, φησὶν, εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ. » Καὶ ἐν αὐτῇ, τίνι; Ἢ πάντως φήσειεν· Τῇ Ἐκκλησίᾳ Χριστοῦ. Ἐπισημήνασθαι δὲ ἀναγκαῖον, ὅτι ταῦτα τινὲς τῶν ἐξηγητῶν ἀνάπτουσι τοῖς καιροῖς, οὐ τοῖς τῆς ἐπιδημίας μᾶλλον, ἀλλὰ τοῖς ἐσομένοις μετὰ τὸν αἰῶνα τὸν ἐνεστηκότα· ἔσεσθαι γὰρ τοὺς δικαίους ἐν
C εὐφροσύνῃ καὶ χαρᾷ φησι, καὶ ἐν ἀτελευτήτοις τρυφαῖς, πνευματικαῖς δηλονότι, καὶ αὐτῆς τῆς κτίσεως μεταβαλούσης εἰς ἀνακαινισμόν. Ἔφη γάρ τις τῶν ἁγίων ἀποστόλων· « Ἥξει γὰρ ἡμέρα Κυρίου, ὡς κλέπτης, ἐν ᾗ οὐρανοὶ μὲν ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσεται. Γῆ δὲ καὶ τὰ ἐν αὐτῇ πάντα καυθήσεται, καινοὺς δὲ οὐρανοὺς, καὶ καινὴν γῆν, καὶ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν. » Ἐξέστω δὴ οὖν τοῖς ἐχέφροσι τὸ δοκοῦν ἑλέσθαι τῶν θεωρημάτων, μᾶλλον δὲ τοῦτό τε κἀκεῖνο. Ἀπόβλητον γὰρ κατ' οὐδένα τρόπον τὸ πεφυκὸς ὠφελεῖν.

VERS. 19, 20. *Quia ecce ego facio Jerusalem exsultationem, et populum meum lætitiam, et exsultabo super Jerusalem, et lætabor super populo meo. Nec ultra audietur in ea vox clamoris, neque fiet illic immaturus, et senex, qui non impleat tempus suum. Erit enim adolescens centum annorum: at moriens peccator centum annorum, etiam exsecrabilis erit.*

Ὅτι ἰδοὺ ἐγὼ ποιῶ Ἱερουσαλὴμ ἀγαλλίαμα, καὶ τὸν λαόν μου εὐφροσύνην, καὶ ἀγαλλιάσομαι ἐπὶ Ἱερουσαλὴμ, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου. Καὶ οὐκέτι οὐ μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κραυγῆς, καὶ οὐ μὴ γένηται ἐκεῖ ἄωρος, καὶ πρεσβύτης, ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ.
D *Ἔσται γὰρ ὁ νέος ἑκατὸν ἐτῶν, ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται.*

Profunda hæc consideratio, et obscura admodum est propositæ nobis prophetiæ mens. Verum, ut potero, conabor explicare. Jerusalem igitur, ut videtur, hic dicit, non antiquam illam, sed potius ex Judæis et gentibus Ecclesiam. Huic exsultationem et lætitiam ostensurum se pollicetur; et quidem verum est, ut experientia testatur. Nihil enim tetricum in Ecclesia Christi; **902** dives est spe sempiternæ vitæ, et perennis gloriæ: multum habet splendoris etiam in hoc mundo. Vel etiam aliter. Exsul-

Βαθὺ τὸ θεώρημα, καὶ ἀσυμφανὴς ἄγαν τῆς προκειμένης ἡμῖν προφητείας ὁ νοῦς. Πλὴν, ὡς ἔνι, διειπεῖν πειράσομαι. Ἱερουσαλὴμ τοιγαροῦν ὀνομάζειν ἔοικεν ἐν τούτοις, οὐ τὴν ἀρχαίαν ἐκείνην, ἀλλὰ μᾶλλον τήν τε ἐξ Ἰουδαίων καὶ ἐθνῶν Ἐκκλησίαν, ταύτην ἀγαλλίαμα καὶ εὐφροσύνην ἀναδείξειν ἐπαγγέλλεται, καὶ τὸ πρᾶγμά ἐστιν ἀληθὲς, ὡς ἀπὸ τῆς πείρας αὐτῆς μαρτυρούμενον· κατηφὲς γὰρ οὐδὲν ἐν Ἐκκλησίᾳ Χριστοῦ· πλουτεῖ ἐλπίσι ταῖς εἰς ἀτελεύτητον ζωὴν καὶ ἀμήρυτον δόξαν· ἔχει δὲ πολὺ τὸ

[64] II Petr. III, 10-14

περιφανὲς ἐν τῷδε τῷ κόσμῳ· ἢ τάχα που καὶ ἑτέρως· Ἀγαλλίαμα καὶ εὐφροσύνην ἐμαυτοῦ θήσομαι, φησὶ, τὴν Ἱερουσαλήμ. Ἡσθήσομαι γὰρ ἐπὶ τῷ λαῷ μου· καὶ τῆς θυμηδίας τὰς ἀφορμὰς ἐπιφέρει λέγων· Οὐκέτι μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ, οὐδὲ φωνὴ κραυγῆς· ὡς ἐκ διαβολικῆς δὲ τῶν ἀρχαιοτέρων πραγμάτων τὸν τῆς Ἐκκλησίας ἔπαινον ἐξυφαίνει Θεός. Πάλαι μὲν γὰρ οἱ τῆς Ἰουδαίων Συναγωγῆς ἡγούμενοι, μετὰ δώρων ἔκρινον, καὶ οὐκ ᾔδεσαν δικαιοῦν ὀρφανὸν ἢ χήραν. Ἐπειδὴ δὲ ἦσαν λημμάτων αἰσχρῶν ἐρασταὶ, ἀθώου καὶ δικαίου κατεψηφίζοντο, καὶ τοὺς ταῦτα πεπονθότας πᾶσά πως ἀνάγκη, καὶ δακρυῤῥοεῖν, καὶ κατολοφύρεσθαι μετὰ κραυγῆς, ὡς ἠδικημένους. Εἴρηται γοῦν που περὶ τῆς Ἱερουσαλὴμ διὰ φωνῆς Ἱερεμίου· « Ὦ πόλις ψευδής· ὅλη καταδυναστεία ἐν αὐτῇ. Ὡς ψύχει λάκκος ὕδωρ, οὕτως ψύχει κακία αὐτῆς. Ἀσέβεια καὶ ταλαιπωρία ἀκουσθήσεται ἐν αὐτῇ ἐπὶ πρόσωπον αὐτῆς διὰ παντός. » Ἔφη δέ τις καὶ ἕτερος τῶν ἁγίων προφητῶν· « Καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν, καὶ ὁδὸν ταπεινῶν ἐξέκλιναν. » Ἡσθήσομαι τοίνυν, φησὶν, ἐπὶ τῷ λαῷ μου, δικαιοσύνης ὄντα τῆς ἀληθοῦς ἐργάτην ὁρῶν. Δακρύσει γὰρ οὐδεὶς παρ' αὐτοῖς, δῆλον δὲ ὅτι πλεονεκτούμενος· κατακράξεται δὲ πάλιν οὐδεὶς, ὡς ἠδικημένος. « Καὶ οὐ μὴ γένηται ἐκεῖ, φησὶν, ἄωρος καὶ πρεσβύτης, ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ. Ἔσται γὰρ ὁ νέος ἑκατὸν ἐτῶν, ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται. » Οἶμαι δὲ ἐγὼ βούλεσθαί τι τοιοῦτον ὑποδηλοῦν τῆς προφητείας τὸν νοῦν. Ἄωρον μὲν γὰρ νομίζειν ἔοικε τὸν ἐξ ἐθνῶν ἔτι νέον λαὸν, περὶ οὗ φησιν ὁ Δαβίδ· « Ὁ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον· » τούτοις δὲ ἐπιστέλλει καὶ ὁ Χριστοῦ μαθητὴς, λέγων· « Ὡς ἀρτιγέν[ν]ητα βρέφη τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθήσατε. » Οὐκοῦν ἄωρος ὁ νέος, πρεσβύτης γε μὴν ὁ ἐκ περιτομῆς, ἤγουν ἐξ αἵματος Ἰσραὴλ, ἅτε δὴ προσκεκλημένος, καὶ κατά γε τὴν νοητὴν Ἐκκλησίαν προειληφώς· ἀλλ' ἐν τῇ κλήσει, φησὶ, τῇ διὰ Χριστοῦ, καὶ ἐν καιροῖς τῆς ἐπιδημίας, οὔτε ἄωρος, οὔτε πρεσβύτης διαφορὰν ἕξουσι τὴν κατὰ τοῦτο αὐτὸ πρὸς ἀλλήλους· πάντες γὰρ ἔσονται τέλειοι, καὶ πάντες ἐμπλήσουσι τὸν χρόνον, τουτέστιν, εἰς ἄνδρα τέλειον ἀναβήσονται, καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Ὁ γὰρ νέος, τουτέστιν, ὁ ἐξ ἐθνῶν λαὸς, ἔσται ἑκατὸν ἐτῶν, ἀντὶ τοῦ, τέλειος, καὶ πεπολιωμένος τὰς φρένας, καὶ πνευματικῆς ἡλικίας εἰς λῆξιν ἐλάσας· τελειότητος γὰρ σημεῖον, ἤτοι σύμβολον, ὁ ἑκατὸν ἐτῶν ἀριθμός. Εἶτά φησιν, ὅτι « Ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται. » Διαδείκνυσιν ἐν τούτοις, ὅτι καὶ ἡ κατὰ νόμον τελείωσις, ἀνόνητος τοῖς ἔχουσιν αὐτὴν, οὐ προσηκαμένοις τὴν πίστιν τὴν διὰ Χριστοῦ, καὶ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος λύτρωσιν, δι' ἧς καὶ μόνης τοὺς ἐκ τῆς ἁμαρτίας ἀποτριβόμεθα λογισμούς. Οὐκοῦν κἂν εἴ τις ἑκατὸν ἐτῶν ὑπάρχων, φησὶ, τουτέστι, τὴν τελειότητα τὴν κατὰ τὸν νόμον ἔχοι· εἶτα τελευτήσειεν ἁμαρτωλὸς, τουτέστι, τὴν ἐν πίστει

A tationem, inquit, et lætitiam constituam meipsum Jerusalem. Gaudebo enim de populo meo: causasque voluptatis infert, dicens: Non ultra audietur in ea vox luctus, neque vox clamoris. Ex accusatione quasi rerum antegressarum, Ecclesiæ laudem contexit Deus. Olim enim Judaicæ Synagogæ præfecti, propter dona judicabant: neque norant juste judicare orphanum et viduam, sed quia turpis lucri cupidi erant, innocentem et justum condemnabant. Qui autem hæc passi sunt, eos utpote oppressos necesse omnino erat lacrymari, et cum clamore lugere. Dictum itaque est voce Jeremiæ de Jerusalem: « O civitas mendax, nihil nisi violentia in ea. Ut puteus refrigerat aquam: ita frigidam facit malitiam suam. Impietas et miseria audietur in ea contra fa-
B ciem ejus semper [65]. » Dixit item alius e prophetis sanctis: « Et pulsabant capita pauperum, et viam humilium depravarunt [66]. » Lætabor ergo, inquit, de populo meo, cum videro illum veræ justitiæ esse operarium. Lacrymabitur enim ex illis nemo, videlicet injuria affectus: et rursus clamabit nemo, quasi oppressus. « Et non fiet illic, inquit, immaturus et senex, qui non impleat tempus suum. Erit enim adolescens centum annorum: at qui moritur peccator centum annorum, etiam exsecrabilis erit. » Hoc sibi vult prophetia, ut ego quidem arbitror. Immaturum enim videtur existimare eum, novum adhuc populum ex gentibus, de quo David: « Populus qui creatur laudabit Dominum [67]. » Illosque in epistola affatur Christi discipulus, dicens: « Tanquam modo
C nati infantes lac rationale et doli nescium concupiscite [68]. » Itaque immaturus est qui novus; senex qui ex circumcisione, et ex sanguine Israel: utpote ascitus et ad intelligibilem Ecclesiam assumptus. Sed in vocatione, inquit, per Christum, et temporibus adventus, neque immaturus neque senex inter se different. Nam omnes erunt perfecti, et omnes implebunt tempus, id est, in virum perfectum evadent, et ad mensuram ætatis plenitudinis Christi. Adolescens enim, id est, gentilis populus, erit centum **903** annorum, pro, perfectus, et mente canus, et ad spiritualis ætatis summum gradum perductus. Perfectionis namque signum seu symbolum est, centum annorum numerus. Deinde addit: « Moriens
D peccator centum annorum, etiam exsecrabilis erit. » His verbis ostendit legalem absolutionem fore inutilem, eam habentibus, si fidem per Christum non admiserint, et per sacrum lavacrum redemptionem, per quam et quidem solam peccati inquinamenta delemus. Proinde etiamsi, inquit, quis centum annorum exsistat, id est, perfectionem legalem adeptus sit, maneat tamen peccator, id est, justitiam per fidem non accipiat, erit etiam exsecrabilis, pro, etiam legis transgressionibus obnoxius deprehendetur. Nemo enim inter Judæos talis ac tantus exstitit, qui non aliquo modo ad legem impegerit. « Omnes enim peccaverunt, inquit, et egent gloria

[65] Jerem. vi, 6. [66] Amos ii, 7. [67] Psal. ci, 19. [68] Petr. ii, 2.

Dei, justificati gratis ipsius gratia [69]. » Quod autem ex lege perfectis et consummatis, Christi gratia non adjuncta, inutile sit illud studium, pulcherrime demonstrat sapientissimus Paulus, quibusdam scribens, se pro stercoribus habuisse quæ in lege sunt omnia, ut Christum lucretur, et inveniatur in ipso non habens suam justitiam, hoc est legalem, sed quæ per fidem est Jesu Christi [70]. Judæos etiam insimulat quasi amentiæ, sic dicens : « Ignorantes enim Dei justitiam, et suam volentes constituere, justitiæ Dei non sunt subjecti. Finis enim legis Christus, ad justitiam omni credenti [71]. » Rursus dixit : « Nos natura Judæi, et non ex gentibus peccatores ; scientes autem non justificari hominem ex operibus legis, nisi per fidem Jesu Christi : et nos in Christum credimus [72]. » Ideoque dictus est Christus maledictio, ut a legis maledictione eximeret, qui ei fuerunt obnoxii. Scriptum est enim : « Maledictus omnis qui non manet in omnibus quæ scripta sunt in lege libri hujus, ut ea faciat [73]. »

A δικαιοσύνην οὐ λαβὼν, ἔσται καὶ ἐπικατάρατος, ἀντὶ τοῦ, καὶ ταῖς τοῦ νόμου παραβάσεσιν ἔνοχος εὑρεθήσεται. Οὐδεὶς γὰρ γέγονε τοσοῦτος ἐν Ἰουδαίοις, ὡς κατὰ μηδένα τρόπον διαπεσεῖν· « Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι. Ὅτι δὲ ἀνόνητος καὶ τοῖς κατὰ νόμον τετελειωμένοις ἡ εἰς τοῦτο σπουδὴ, τῆς διὰ Χριστοῦ χάριτος οὐ προσειλημμένης, διαδείκνυσιν εὖ μάλα τισὶ γεγραφὼς ὁ πάνσοφος Παῦλος, ὅτι σκύβαλα μὲν ἡγήσατο τὰ ἐν νόμῳ πάντα, ἵνα Χριστὸν κερδάνῃ, καὶ εὑρεθῇ ἐν αὐτῷ μὴ ἔχων τὴν αὐτοῦ δικαιοσύνην, τουτέστι, τὴν ἐν νόμῳ, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ. Γράφεται δὲ ὥσπερ ἀνοίας τοὺς Ἰουδαίους, οὕτω λέγων· « Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι
B τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.» Ἔφη δὲ πάλιν· « Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί· εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν ἐπιστεύσαμεν. » Κεχρημάτικε δὲ διὰ τοῦτο κατάρα Χριστὸς, ἵνα τῆς τοῦ νόμου κατάρας ἐξέληται τοὺς ὑπ' αὐτῇ γεγονότας· γέγραπται γὰρ, ὅτι « Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ νόμῳ τοῦ βιβλίου τούτου, τοῦ ποιῆσαι αὐτά. »

VERS. 21-24. *Et ædificabunt domos, et ipsi inhabitabunt ; plantabunt vineas, et ipsi comedent fructum earum. Et non ædificabunt, et alii inhabitabunt ; et non plantabunt, et alii comedent. Nam ut dies ligni vitæ, erunt dies populi mei: opera manuum suarum inveterascent. Electi mei non laborabunt frustra, neque filios generabunt in maledictionem : quia* **904** *semen benedictum est a Domino. Et fiet, antequam clament ipsi, ego exaudiam eos. Adhuc loquentibus illis, dicam, quid est ?*

Καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ αὐτοὶ ἐνοικήσουσι· καὶ καταφυτεύσουσιν ἀμπελῶνας, καὶ αὐτοὶ φάγονται τὸν καρπὸν αὐτῶν. Καὶ οὐ μὴ οἰκοδομήσωσι, καὶ ἄλλοι οἰκήσουσι· καὶ οὐ μὴ φυτεύσωσι, καὶ ἄλλοι φάγονται. Κατὰ γὰρ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι τοῦ λαοῦ μου· τὰ ἔργα τῶν πόνων αὐτῶν παλαιώσουσιν. Οἱ δὲ ἐκλεκτοί μου οὐ κοπιάσουσιν εἰς
C *κενὸν, οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν· ὅτι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ ἐστι. Καὶ ἔσται πρὶν κεκράξαι αὐτοὺς, ἐγὼ εἰσακούσομαι αὐτῶν. Ἔτι λαλούντων αὐτῶν, ἐρῶ· Τί ἐστιν ;*

Pacem illis quæ non labefactabitur, misericordiam, propitiationem, bonitatem et humanitatem adpromittit. Antiquitus enim ex sanguine Israel oris undi, insigni insania, multiplicibus vitiis, et quod recte vivere nollent, continenter universorum dominatorem Deum irritabant; hanc ob causam multis modis puniti sunt. Nunc etenim quæ in agris erant corrumpebantur : et rei rusticæ sudores frustra tolerantes, fame cingebantur. Scriptum est enim : « Dedi ærugini fructus eorum et labores eorum locustæ [74]. » Dictum est etiam illis per unum e sanctis prophetis : « Tu seres, et non metes ; tu premes oleam, et non ungeris oleo ; vinum, et non bibes [75]. » Et rursus : « Domos politas ædificabitis, et non habitabitis in eis ; vineas desiderabiles plantabitis, et non bibetis vinum earum [76]. » Ingruebant enim interdum hostium impressiones, ut partim gladiis eorum consumerentur, partim hæc supplicia metuentes, e domo sua ac patria effugerent, et ad alias sedes se reciperent. Sed hæc prisci illi passi sunt, nec semel, propter multa peccata. Qui vero

Εἰρήνην αὐτοῖς τὴν ἀκράδαντον, φειδὼ καὶ εὐμένειαν, χρηστότητα καὶ φιλανθρωπίαν ἐπαγγέλλεται. Πάλαι μὲν γὰρ οἱ ἐξ αἵματος Ἰσραὴλ, διὰ πολλῆς ἄγαν ἀπονοίας, καὶ πολυειδοῦς φαυλότητος, καὶ τοῦ μὴ ἀνέχεσθαι ζῆν ὀρθῶς, παροτρύνοντες διετέλουν τὸν τῶν ὅλων κρατοῦντα Θεόν· ταύτης ἕνεκα τῆς αἰτίας κατὰ πολλοὺς ᾐκίζοντο τρόπους· ποτὲ μὲν γὰρ κατεφθείροντο τὰ ἐν ἀγροῖς, καὶ τοὺς ἐπὶ ταῖς γηπονίαις ἱδρῶτας ὑφιστάμενοι μάτην, λιμῷ κατετρύχοντο· γέγραπται γὰρ, ὅτι « Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. »
D Εἴρηται δέ που πρὸς αὐτοὺς καὶ δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Σὺ σπερεῖς, καὶ οὐ μὴ ἀμήσεις· σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ οἶνον οὐ μὴ πίητε. » Καὶ πάλιν· « Οἴκους ξυστοὺς οἰκοδομήσετε, καὶ οὐ μὴ κατοικήσητε ἐν αὐτοῖς· ἀμπελῶνας ἐπιθυμητοὺς φυτεύσετε, καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν. » Ἐπεφέροντο γὰρ αὐτοῖς ἔσθ' ὅτε καὶ πολέμων ἐμβολαὶ, ὥστε τοὺς μὲν τοῖς αὐτῶν δαπανᾶσθαι ξίφεσι, τοὺς δὲ τὸ παθεῖν δεδιότας, καὶ οἴκων αὐτῶν καὶ τῆς ἐνεγκούσης ἀποπηδᾷν, καὶ εἰς ἑτέρας

[69] Rom. III, 23. [70] Philipp. III, 8, 9. [71] Rom. X, 3, 4. [72] Galat. II, 15, 16. [73] Deut. XXVII, 27; Galat. III, 10. [74] Psal. LXVII, 46. [75] Mich. VI, 15. [76] Amos V, 11.

μετανίστασθαι χώρας· ἀλλὰ ταυτὶ μὲν οἱ παλαιοὶ πεπόνθασι, καὶ οὐχ ἅπαξ, διὰ πολλὴν ἁμαρτίαν· οἵ γε μὴν ἐν Χριστῷ τὴν διὰ πίστεως ἁρπάσαντες χάριν, καὶ τοὺς ἐκ τῆς ἁμαρτίας ἀπονιψάμενοι μολυσμοὺς διὰ τοῦ ἁγίου βαπτίσματος, οὐ τοῖς ἐκείνων περιπεσοῦνται κακοῖς, οὔτε μὴν τῶν αὐτοῖς πεπονημένων πνευματικῶς ἀδόκητον ὑπομενοῦσι ζημίαν· ἐντρυφήσουσι δὲ μᾶλλον τοῖς ἑαυτῶν κατορθώμασι, κατὰ τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· « Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι· » καρπῶν λεγομένων τῶν κάτωθεν τῆς παλάμης σαρκῶν. Ἐκβάλλει γὰρ αὐτοὺς οὐδείς· οὔτε μὴν ἀποσοβήσει ποτὲ τῆς δοθησομένης αὐτοῖς παρὰ Θεοῦ μονῆς. Πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρί· ἀλλ' οὐδ' ἂν ἀποπεσοῦνται τοῦ κλήρου τοῦ δοθησομένου καὶ πρέποντος ταῖς νοηταῖς αὐτῶν εὐκαρπίαις· ἔσται γάρ, φησίν, ἡ ζωὴ αὐτῶν κατὰ τὰς ἡμέρας τοῦ B ξύλου τῆς ζωῆς, τουτέστιν ἁγία[ν]. Τοιαύτη γὰρ ἦν πρὸ τῆς παραβάσεως ἐν τοῖς πρωτοπλάστοις, ὅτε καὶ ἐξῆν αὐτοῖς ἐν μεθέξει γενέσθαι τοῦ ξύλου τῆς ζωῆς, οὔπω τῆς βδελυροτάτης καὶ θεομισοῦς ἁμαρτίας λαβούσης τόπον ἐν αὐτοῖς. Προσεπάγει τι τοιοῦτον καὶ ἕτερον τῆς προφητείας ὁ λόγος· « Τὰ γὰρ ἔργα, φησί, τῶν χειρῶν αὐτῶν παλαιώσουσι, » τουτέστιν, ἀναμετάβλητον ἕξουσι τὴν τῶν πρακτέων ὁδόν. Οἷον δή τί φημι. Δέδοται μὲν γὰρ τοῖς ἐξ Ἰσραὴλ διὰ Μωσέως ὁ νόμος· ἀλλ' ἦν ἐν αὐτῷ σκιὰ καὶ τύπος, ἔχων μὲν τῆς ἀληθείας τὴν μόρφωσιν, πλὴν οὔπω καὶ αὐτὴν τὴν ἀλήθειαν. Ἐπειδὴ δὲ ἐπέλαμψεν ὁ Χριστός, μετέβαλον οἱ τύποι πρὸς ἀλήθειαν, καὶ οἷον μετεκλίθησαν αἱ σκιαὶ καὶ πεπαλαίωνται, τουτέστιν, οὐ μέ- C χρι παντὸς κεκράτηκε τῆς ἐν νόμῳ πολιτείας ἡ δύναμις. Οὐκοῦν οἱ μὲν ἐξ αἵματος Ἰσραὴλ οὐκ ἐπαλαίωσαν τὰ ἔργα αὐτῶν (ἀνόνητος γὰρ ἡ νομικὴ λατρεία, τό γε ἧκον εἰς τύπους), παλαιώσουσι δὲ οἱ ἐν Χριστῷ. Οὐ γὰρ ἕτερος αὐτοῖς δοθήσεται νόμος, ὡς μεθιστᾷν ἐπὶ τὸ ἄμεινον τῶν εὐαγγελικῶν θεσπισμάτων τὴν δύναμιν. Εἴρηται γάρ που πρὸς τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· « Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. — Οἱ δὲ ἐκλεκτοί μου, φησίν, οὐ κοπιάσουσιν εἰς κενόν, οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν. » Διδάσκει πάλιν ὡς ἐκ παραθέσεως, ἤγουν ἀντεξαγωγῆς τῶν πάλαι συμβεβηκότων τοῖς Ἰουδαίων καθηγηταῖς· Γραμματεῖς δὲ οὗτοι καὶ Φαρισαῖοι, οἳ τὸν νόμον ἀφέντες, καὶ διδάσκοντες διδασκα- D λίαν ἐντάλματα ἀνθρώπων, πατέρες μὲν γεγόνασι τέκνων τῶν κατὰ μάθησιν δηλονότι, πλὴν εἰς κενόν, καὶ εἰς κατάραν· ἡμᾶς καὶ τοῦτο ἐδίδαξεν ὁ Σωτήρ, τοῖς Γραμματεῦσι καὶ Φαρισαίοις ἐπιτιμῶν· ἔφη γάρ, ὅτι « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηράν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ἐὰν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. » Οὐκοῦν ἐκεῖνοι μὲν ἐτεκνοποίησαν εἰς κατάραν καὶ εἰς κενόν· οἱ δὲ ἐκλεκτοί μου, φησί, τουτέστιν, οἱ θεσπέσιοι μαθηταί, ἤγουν καθάπαξ οἱ τῶν ἐμῶν θεσπισμάτων ἱερουργοί, οὐκ εἰς κατάραν τεκνοποιήσουσιν, οὔτε

A gratiam Christi per fidem arripuerunt, et sordes peccati per sacrum lavacrum abluerunt, in illorum mala non incident, nec eorum, in quibus elaboraverunt spiritualiter, damnum inexspectandum sustinebunt; sed delectabuntur suis præclare factis, secundum id quod in Psalmis decantatum est: «Fructus laborum tuorum manducabis [77]: » laborum, qui ab inferioribus corporibus tolerantur. Nemo enim illos ejiciet, nec unquam a danda ipsis a Deo sede detrudet. Multæ enim sedes sunt apud Patrem. Sed nec a sorte danda et quæ spirituali eorum fecunditati convenit, decident. Erit enim vita eorum, inquit, ut dies ligni vitæ: id est, sancta. Talis enim erat, ante transgressionem, in primis parentibus, cum etiam liceret illis ligni vitæ fieri participes, exsecratissimo et Deo inviso peccato nondum locum in illis habente. Aliud non dissimile adjungit prophetica oratio. « Opera enim, inquit, manuum suarum inveterascent, id est, **905** cursum in rebus gerendis certum habebunt et immutabilem. Quod dico, ita se habet. Data est enim Israelitis per Moysen lex; sed in illa erat umbra et typus, speciem veritatis habens, nondum tamen ipsam veritatem. Illucescente Christo, mutati sunt typi in veritatem et umbræ velut inclinarunt et inveterarunt, id est, non semper robur suum habuit legalis conversationis virtus. Itaque Israelitæ opera sua inveterascere non fecerunt (inutilis quippe est legalis cultus, quod ad typos attinet), at qui in Christo sunt durabunt. Non enim alia illis lex dabitur quæ evangelicorum oraculorum virtutem in melius commutet. Dictum est enim per universorum Servatorem Christum, voce Psallentis: « Justitia tua, justitia in sæculum, et lex tua veritas [78]. » — « Electi autem, inquit, mei non laborabunt frustra, neque liberos gignent in maledictionem. » Rursus docet, velut ex contentione et oppositione eorum quæ quondam præfectis Judæorum contigerunt: hi autem sunt Scribæ et Pharisæi, qui, lege relicta, et docentes doctrinas, mandata hominum, patres quidem exstiterunt liberorum, per disciplinam, scilicet; at frustra, et in maledictionem. Hoc etiam nos docuit Servator, Scribas et Pharisæos reprehendens. Dixit enim: « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia circuitis mare et aridam, ut faciatis unum proselytum: et cum fuerit factus, facitis illum filium gehennæ, duplo magis quam vos estis [79]. » Itaque illi liberos genuerunt in maledictionem et in vanum: sed electi, inquit, mei, id est, divini discipuli, vel omnino meorum oraculorum administri, non gignent liberos in maledictionem, neque frustra suos posteros. Semen enim benedictum erit, semen eorum et benedictum a Deo. Quod autem illis adhærebit, clementer et humaniter illis omnia largiens, et precibus eorum paratissimam aurem præbens, ostendit, cum dicit: « Priusquam clament illi, ego

[77] Psal. cxxvii, 2. [78] Psal. cxviii, 142. [79] Matth. xxiii, 15.

exaudiam eos. Adhuc loquentibus illis, dicam : A Quid est ? »

μὴν εἰς κενὸν, κατ' ἐκείνους· σπέρμα γὰρ εὐλογημένον ἔσται τὸ σπέρμα αὐτῶν, εὐλογημένον δὲ ὑπὸ Θεοῦ. Ὅτι δὲ προσκείσεται λίαν αὐτοῖς, τὰ ἐξ' ἡμερότητος καὶ φιλανθρωπίας δωρούμενος, ἑτοιμότατόν τε τὸ οὖς ὑπέχων ταῖς παρ' αὐτῶν ἱκετείαις, διαδείκνυσιν εἰπών, ὅτι « Πρὶν κεκράξαι αὐτοὺς, ἐγὼ εἰσακούσομαι αὐτῶν. Ἔτι λαλούντων αὐτῶν, ἐρῶ· Τί ἐστιν; »

VERS. 25. *Tunc lupi et agni pascentur simul, et leo quasi bos comedet paleas, et serpens terram, quasi panem. Non nocebunt, neque corrumpent in monte sancto meo, dicit Dominus.*

Τότε λύκοι καὶ ἄρνες βοσκηθήσονται ἅμα, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, ὄφις δὲ γῆν ὡς ἄρτον. Οὐκ ἀδικήσουσιν, οὐδ' οὐ μὴ λυμανοῦνται ἐπὶ τῷ ὄρει τῷ ἁγίῳ μου, λέγει Κύριος.

906 Bifariam hæc accipies. Vel enim duorum populorum per fidem unionem significare potest sententia prophetica ; vel qui quondam agrestium ferarum more sanctis insultaverunt, et Ecclesiam B insectati sunt, serpentibus non dissimiles, cum illis in unum affectum animique consensionem coalescent, vinculo pacis etiam colligati per Christum, qui justificat impium et quod dispersum est colligit, ac luce divina, tenebris involutum collustrat, omniaque convertit in melius. Facit enim omnia, et transformat, uti scriptum est [80]. Hædi ergo et agni ex lege erant sacrata et munda animalia, adeo ut ad divinum altare adducerentur, et in odorem suavis fragrantiæ Deo offerrentur. Lupus autem et leo, profana ac immunda, et his quæ nominavimus infesta. Serpens præterea, homini inimicissimus, et naturæ legibus ad hoc incitatus. Verum cum his qui in Christo purgati sunt, et sanctam et eximiam vitam institue- C runt, per evangelicam prædicationem in unam animorum consensionem, quæ est in fide, coalescent, etiam hi detestandi quondam et immundi, et belluina crudelitate pectus refertum habentes : « Hi nihil nocebunt, » inquit, neque perdent quemquam in monte sancto meo, id est, Ecclesia. Comedent enim cum mansuetis efferata. Deliciæ vero illis Christus (panis vivus, de cœlo descendens), et vitam dans mundo [81]. Nutrit autem tum carne propria, ad immortalitatem ac vitam nos refingens, tum suis prædicationibus, id est evangelicis. « Non enim in solo pane vivet, inquit, homo, sed in omni verbo quod prodit ex ore Dei [82]. » Observa autem agnos et hædos leonum et luporum cibos non edere. Neque enim dixit : Co- D medent carnes, sed lupi et leones mansuetis utentur cibis cicurum animalium, quæ palearum nomine significantur. Non sequentur autem immundos mundi : neque illorum institutum ac vitam æmulabuntur, sed profani potius mitium et purorum probitatem imitabuntur.

Κατὰ δύο τρόπους ἐκλήψῃ καὶ ταῦτα· ἢ γὰρ τῶν δύο λαῶν τὴν διὰ πίστεως ἕνωσιν κατασημήνειεν ἂν τῆς προφητείας ἡ δύναμις, ἤγουν ὅτι καὶ οἱ ποτὲ θηρίων ἀγρίων δίκην τοῖς ἁγίοις ἐπιπηδήσαντες, καὶ διώξαντες τὴν Ἐκκλησίαν, ὀφεών τε διενεγκόντες οὐδὲν, συμβήσονται πρὸς αὐτοὺς, κατὰ διάθεσιν καὶ ὁμοψυχίαν τῷ συνδέσμῳ τῆς εἰρήνης κατεσφιγμένοι πρὸς τοῦτο διὰ Χριστοῦ, τοῦ δικαιοῦντος τὸν ἀσεβῆ, καὶ συλλέγοντος τὸ ἐσκορπισμένον, καὶ φωτὶ τῷ θείῳ καταφαιδρύνοντος τὸ ἐσκοτισμένον, καὶ τὰ πάντα μεθιστῶντος ἐπὶ τὸ ἄμεινον. Ποιεῖ γὰρ πάντα καὶ μετασκευάζει, κατὰ τὸ γεγραμμένον. Ἐριφοι μὲν οὖν καὶ ἄρνες, ἱερά τέ ἐστι καὶ καθαρὰ ζῶα κατὰ τὸν νόμον, ὥστε καὶ τῷ θείῳ προσφέρεσθαι θυσιαστηρίῳ, καὶ εἰς ὀσμὴν εὐωδίας ἀναφέρεσθαι τῷ Θεῷ· λύκος δὲ καὶ λέων, ἀνίερα, καὶ ἀκάθαρτα, καὶ ἐχθρὰ τοῖς ὠνομασμένοις· ὄφις δὲ πρὸς τούτοις ἀνθρώπῳ πολεμιώτατος, καὶ τοῖς τῆς φύσεως νόμοις εἰς τοῦτο ἠκονημένος, ἀλλὰ τοῖς ἐν Χριστῷ κεκαθαρμένοις, ἱεράν τε καὶ ἐξῃρημένην ἐσχηκόσι ζωὴν, διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων συμβήσονται, πρὸς ὁμοψυχίαν τὴν διὰ πίστεως, οἱ βδελυροί ποτε καὶ ἀκάθαρτοι, καὶ ὠμότητος θηριοπρεποῦς μεστὴν ἔχοντες τὴν καρδίαν. « Οὗτοι, φησὶν, οὐδὲν ἀδικήσουσιν, οὔτε μὴν διαλυμανοῦνταί τισι τῶν ἐν τῷ ὄρει τῷ ἁγίῳ μου, » τουτέστι, τῇ Ἐκκλησίᾳ. Φάγονται γὰρ σὺν τοῖς ἡμέροις τὰ ἄγρια· τροφὴ δὲ αὐτοῖς ὁ Χριστὸς ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· τρέφει δὲ καὶ σαρκὶ τῇ ἰδίᾳ, πρὸς ἀφθαρσίαν ἡμᾶς ἀναμορφῶν καὶ ζωὴν, καὶ τοῖς ἑαυτοῦ κηρύγμασι, τουτέστι, τοῖς εὐαγγελικοῖς· οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται, φησὶν, ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. Ἐπιτήρησον δὲ ὅτι οὐχ ἄρνες καὶ ἔριφοι, τὰς τῶν λεόντων καὶ λύκων ἔδονται τροφὰς (οὐ γὰρ ἔφη· Φάγονται κρέα), ἀλλ' οἱ λύκοι καὶ λέοντες ταῖς τῶν ἡμέρων κεχρήσονται, αἳ διὰ τῶν ἀχύρων σημαίνονται· οὐχ ἕψονται δὲ ἀκαθάρτοις αὐτοῖς μᾶλλον οἱ καθαροὶ, οὐδὲ τὴν ἐκείνων ζηλώσουσι πολιτείαν καὶ ζωήν· ἀλλ' οἱ βέβηλοι μᾶλλον, ταῖς τῶν πράων καὶ κεκαθαρμένων ἐπιεικείαις ἀκολουθήσουσιν.

CAP. LXVI. VERS. 1-3. *Sic dicit Dominus : Cœlum mihi solium, ac terra scabellum pedum meorum. Qualem domum ædificabitis mihi? aut quis locus requietis meæ? Omnia enim hæc fecit manus mea, sunt mea hæc omnia, dicit Dominus.* **907** *Quem respiciam, nisi ad humilem et quietum, ac trementem sermones meos? At iniquus qui sacri-*

Οὕτω λέγει Κύριος· Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ ποῖος τόπος τῆς καταπαύσεώς μου; Πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου, καὶ ἔστιν ἐμὰ πάντα ταῦτα, λέγει Κύριος. Καὶ ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου; Ὁ δὲ

[80] Apoc. XXI, 5. [81] Joan. VI, 33. [82] Luc. IV, 4.

ἄνομος ὁ θύων μοι μόσχον, ὡς ὁ ἀποκτείνων κύνα· ὁ δὲ ἀναφέρων σεμίδαλιν, ὡς αἷμα ὕειον· ὁ δὲ διδοὺς λίβανον εἰς μνημόσυνον, ὡς βλάσφημος.

Ἐξυφήνας ἀποχρώντως τὸν πρός γε τὰ ἔθνη λόγον, μεθίστησι τὴν μυσταγωγίαν πρὸς αὐτὸν ἤδη τὸν Ἰσραήλ. Βούλεται γὰρ καὶ αὐτοὺς τῆς κατὰ νόμον ἀποστῆσαι κακίας (1), καθάπερ ἀμέλει κἀκείνους ἀποφοιτᾷν ἐκέλευε τῆς ἀρχαίας ἀπάτης, καὶ τῆς ἐν τῷ πλανᾶσθαι βεβήλου ζωῆς· ὅτι τοίνυν τῆς ἐν πνεύματι λατρείας μεταποιεῖται μᾶλλον, λόγου δὲ ἀξιοῖ παντελῶς οὐδενὸς, τὴν ὡς ἐν σκιαῖς καὶ τύποις διδάσκει σαφῶς· βούλεται δέ τι πρὸς τούτῳ καὶ ἕτερον αὐτοὺς εἰδέναι, ὡς καὶ ἄνω αἴρουσι τὴν ὀφρὺν, καὶ ἐπ' οὐδενὶ τῶν ἀναγκαίων πεφρονήκασι μέγα, τὸν ἐν τοῖς Ἱεροσολύμοις ἀναστήσαντες ναόν· B ᾤοντο γὰρ, ὅτι καὶ τόπῳ περιληπτὸν τὸ Θεῖόν ἐστι, καὶ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ περιεκτικῶς, καθὰ καὶ οἱ τῶν ἐθνῶν ψευδώνυμοι, καὶ οὐδὲν ὄντες παντελῶς, πλὴν ὅτι ξύλα τε καὶ λίθοι· καὶ διὰ τοῦτό φησιν· Ὦ τῆς θείας δόξης οὐκ εἰδότες τὴν ὑπεροχήν! ὦ τῶν ἐμοὶ προσόντων ἀξιωμάτων οὐκ ἐννοοῦντες τὸ μέγεθος! « Οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ ποῖος τόπος τῆς καταπαύσεώς μου; » Πληροῖ γὰρ τὰ πάντα τὸ Θεῖον· μετὰ δὲ αὐτοῦ γῆ τε καὶ οὐρανός; Εἰρήσθω δὴ ἀνθρωποπρεπῶς, ὅτι θρόνον ἔχων τὸν οὐρανὸν, ὑποπόδιον δὲ ὥσπερ τι ποιεῖται τὴν γῆν. Ποῖος οὖν αὐτὸν δέξεται χῶρος; ἢ ποῖος οἶκος ἀρκέσει περιληπτός; « Πάντα γὰρ ταῦτα, C φησὶν, ἐποίησεν ἡ χείρ μου· καὶ ἔστιν ἐμὰ ταῦτα πάντα. » Ποῖα δὲ ταῦτα; Δῆλον δὲ ὅτι καὶ τὰ ὁρώμενα, καὶ τῶν ὁρωμένων ἐπέκεινα· καὶ αὐτοῦ γὰρ ἡ κτίσις ἅπασα, καὶ τοῖς αὐτοῦ νεύμασι παρήχθη πρὸς γένεσιν τὰ οὐκ ὄντα ποτέ. Τί τοίνυν αὐτῷ προσοίσομεν ὡς οὐκ αὐτοῦ; τοιοῦτόν τί φησι καὶ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· « Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὰ γάρ ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες. Ἔγνωκα πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. » Ἐπὶ τίνα δὴ οὖν ἐπιβλέψω, φησίν; Ἢ πάντως που ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, τουτέστι, τὸν εἰκτικὸν καὶ πρᾶον, καὶ τῶν ἐμῶν θελημάτων γνήσιον ὑπουργὸν, ὥστε καὶ τρέμειν τοὺς οἵπερ ἂν γένοιντο παρ' ἐμοῦ D λόγοι. Σημαίνει δὲ διὰ τούτων τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα· τούτους ἐφορᾷν ἀξιοῖ, καὶ ὡς ταπεινοὺς ἐπισκέπτεσθαι. Θρασὺς γὰρ καὶ ἀλαζὼν ὁ τοῖς θείοις αὐτοῦ νόμοις ἀντανιστάμενος, καὶ διὰ πολλῆς ἀπειθείας, γαῦρον ὥσπερ τινὰ καὶ σκληρὸν ἀνατείνει αὐτῷ τὸν τῆς ἑαυτοῦ διανοίας αὐχένα· ὅτι δὲ ἀπαράδεκτον ποιεῖται τὴν διὰ νόμου λατρείαν, καὶ διὰ μίσους ἔχει, σαφηνιεῖ λέγων· « Ὁ θύων μοι μόσχον, ὡς ὁ ἀποκτείνων κύνα· ὁ δὲ ἀναφέρων σεμίδαλιν, ὡς αἷμα ὕειον· ὁ δὲ δοὺς λίβανον εἰς μνημό-

A *ficat mihi vitulum, quasi qui occidat canem; qui autem offert similam, quasi sanguinem suillum; qui dat thus in memoriale quasi blasphemus.*

Cum abunde sermonem suum ad gentes pertexuerit, mystagogiam ad ipsum jam Israelem convertit. Vult enim eos a legali etiam umbra desciscere, sicuti videlicet illos quoque jussit, a pristino errore, seductione et profana vita recedere. Aperte itaque docet, se spiritualem potius cultum æstimare et curare; umbratilem et typicum nihili facere. Vult porro illos et aliud scire, quod supercilium erigant et de re nihili altum sapiant, qui Hierosolymitanum templum excitarunt. Existimarunt enim loco contineri divinitatem, et in manufactis templis circumscripte et definite habitare : sicut illi falso nuncupati dii, qui revera nihil sunt, quam ligna et lapides. Idcirco ait : O vos qui divinæ majestatis præstantiam ignoratis, qui dignitatis meæ magnitudinem non consideratis : « Cœlum mihi solium est, et terra scabellum pedum meorum. Qualem domum ædificabitis mihi? Aut quis locus requietis meæ? » Implet enim omnia divinitas, et plena ejus sunt terra et cœlum [83]. Humano more dictum sit, solium eum habere cœlum, et scabellum velut quoddam sibi terram supponere. Quis enim locus eum capiet? aut quæ domus satis erit ampla ad comprehendendum? « Omnia enim hæc, inquit, fecit manus mea, et mea sunt hæc omnia. » Quæ autem hæc? Videlicet quæ cernuntur, et quæ cerni nequeunt. Ejus enim est omnis creatura; ejus nutu creata et orta sunt quæ aliquando non erant. Quid igitur ei offeremus, quod ejus non sit? Tale quiddam dicit etiam voce Psallentis : « Si esuriero, non dicam tibi : meæ enim sunt omnes animantes agri, jumenta in montibus et boves. Novi omnia volatilia cœli, et pulchritudo agri mecum est [84]. — Quem igitur respiciam? » inquit : « Omnino ad humilem et quietum, » id est, sequacem et mitem, et meæ voluntatis ingenuum ac germanum effectorem, ut ad verba mea contremiscat. Significat autem his evangelicam ac **908** salutarem prædicationem. Hos dignatur intueri, et velut humiles inspicere. Audax enim et arrogans, qui divinis ejus resistit legibus et ex magna inobedientia, superbam velut et duram cervicem mentis suæ contra illum extollit. Legis vero cultum se non recipere, et odio habere, palam faciet cum inquit : « Qui sacrificat mihi vitulum, est perinde ac is qui occidit canem; qui offert similam, quasi qui sanguinem offert suillum; qui dat thus, ad memoriam sui, est quasi blasphemus. » Considera igitur eum non solum non admittere quæ in umbris ac typis posita sunt, sed, ut dixi, odisse. Vituli enim cædem, canis mortem existimat, et rem impuram, similam oleo conspersam. Significat enim hoc, ut opinor, dum eam san-

[83] Psal. LXI, 19. [84] Psal. XLIX, 10-12

(1) Humfr. σκιᾶς

guini suis comparat. Impura est autem sus, ex legis præscripto. Et thuris fumos pari loco habet, quo vocem blasphemam. Transfert igitur his verbis eos, ut velint non juxta umbram legis, sed evangelice vivere.

A συνον, ὡς βλάσφημον. » Ἄθρει δὴ οὖν ὅπως τὰ ὡς ἐν σκιαῖς καὶ τύποις, οὐκ ἀπόβλητα ποιεῖται μόνον, ἀλλὰ γὰρ καὶ μεμίσηκεν, ὡς ἔφην· τὴν γάρτοι μόσχου σφαγὴν, κυνὸς ἡγεῖται θάνατον, ἀκάθαρτον δὲ καὶ σεμίδαλιν ἐλεόδευ[σ]τον. Δηλοῖ γὰρ, οἶμαι, τουτὶ τῷ συὸς αἵματι παρεικάζειν αὐτήν· ἀκάθαρτον δὲ κατὰ τὸν νόμον ὁ ὗς· τοὺς δέ γε ἐκ λιβάνου καπνοὺς, ἐν ἴσῳ τίθεται παλιμφήμου φωνῆς. Μεθίστησι τοίνυν διὰ τούτων αὐτοὺς εἴς γε τὸ βούλεσθαι διαζῆν εὐαγγελικῶς, καὶ οὕτως [Ἴσ. οὗτοι] που μᾶλλον κατά γε τὴν οὖσαν ἐν τῷ νόμῳ σκιάν.

VERS. 4. *Et ipsi elegerunt vias suas, et abominationes suas, quas anima eorum voluit. Et ego eligam ludibria eorum, et peccata eorum retribuam eis. Quia vocavi eos, et non obedierunt, et egerunt malum in conspectu meo. Et, quæ nolebam, elegerunt.*

Καὶ οὗτοι ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν, ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε. Κἀγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀνταποδώσω αὐτοῖς, ὅτι ἐκάλεσα αὐτοὺς, καὶ οὐχ ὑπήκουσαν, καὶ ἐποίησαν τὸ
B *πονηρὸν ἐναντίον μου. Καὶ ἃ οὐκ ἠβουλόμην, ἐξελέξαντ*

Rursus adornat apologiam, causamque aperte reddit, cur repudiatus fuerit Israel, quantumvis primogenitus dictus, et sors Dei nuncupatus. « Elegerunt enim, inquit, vias suas, et abominationes suas, quas anima ipsorum voluit. » Cum dicit, « Elegerunt, » declarat eos judices esse non rectos in rebus necessariis, sed potius « Dicere bonum malum, et vertere tenebras in lucem, et lucem in tenebras, amarum in dulce, et dulce in amarum [85]. » Cum enim licuisset ipsis per oracula evangelica ad omnes virtutes præclarissimas adduci, cumque penes ipsos esset vitia relinquere, amplecti quod est utile: illi, inquit, voluerunt vias suas, a lege alienas, quæ in rete mortis et in profundum inferni eos adducunt. Revocat autem illis in memoriam pristina eorum peccata. Fuerunt enim olim idololatræ et abominationum cultores. « Quia igitur vocati sunt, inquit, et non audiverunt, » **909** neque attenderunt verbis illis quæ ad ipsos feci; dixi enim: « Ego sum lux mundi, et qui credit in me, etiamsi moriatur, vivet [86]; » ac iterum: « Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos [87]: » hinc feram in illos hanc sanctam sententiam, et ego eligam ludibria eorum, id est, qui ludificent, ac in ipsos debacchentur. Designat autem eos qui vastarunt Judæam et concremarunt sanctam quondam et celebrem civitatem, nempe Romanorum duces. « Retribuam enim, inquit, illis peccata sua [88]. » Nam quæ ego odi et nolui, ipsi elegerunt.

Ἀπολογεῖται πάλιν, καὶ ἐμφανῆ καθίστησι τὴν αἰτίαν, ἐφ' ᾗ καὶ ἀπόπεμπτος γέγονεν ὁ Ἰσραὴλ, καίτοι πρωτότοκος ὠνομασμένος, καὶ κλῆρος Θεοῦ χρηματίσας. « Ἐπελέξαντο γὰρ, φησὶν, αὐτοὶ τὰς ὁδοὺς αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν, ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε· » τὸ δὲ, « Ἐπελέξαντο, » λέγων, οὐκ ὀρθῶς ἀπέφηνε δικαστὰς ἐν ἀναγκαίοις πράγμασιν, « Εἰπόντας δὲ μᾶλλον καὶ τὸ καλὸν πονηρὸν, καὶ θεμένους τὸ σκότος εἰς φῶς, καὶ τὸ φῶς σκότος, καὶ τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν. » Ἐξὸν γὰρ αὐτοῖς διὰ τῶν εὐαγγελικῶν θεσπισμάτων πρὸς πᾶν ὁτιοῦν ἀποφέρεσθαι τῶν ἀρίστων ἀνδραγαθημάτων, καὶ προκειμένης αὐτοῖς ἐξουσίας ἀποστῆναι μὲν τῶν
C τῆς φαυλότητος τρόπων, ἀνθελέσθαι δὲ τὸ πεφυκὸς ὠφελεῖν· αὐτοὶ, φησὶν, ἠθέλησαν τὰς ὁδοὺς αὐτῶν τὰς ἔξω νόμων τῶν ἱερῶν, τὰς παγίδας θανάτου, καὶ εἰς πέταυρον ᾅδου κατακομιζούσας αὐτούς· ἀναβαίνει δὲ καὶ εἰς ἀνάμνησιν ἀρχαιοτέρας αὐτοῖς ἁμαρτίας· γεγόνασι γὰρ κατὰ καιροὺς, καὶ εἰδωλολάτραι, καὶ βδελυγμάτων προσκυνηταί. « Ἐπειδὴ τοίνυν κέκληνται, φησὶ, καὶ οὐχ ὑπήκουσαν, » οὔτε μὴν προσεσχήκασιν, οἷς πρὸς αὐτοὺς πεποίημαι λόγους. Ἔφην γὰρ, ὅτι « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, καὶ ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ ζήσεται· » καὶ πάλιν· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. » Ταύτῃ τῇ ψήφῳ λοιπὸν κεχρήσομαι τῇ κατ' αὐτῶν ὁσίᾳ, κἀγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν, τουτέστι,
D τοὺς ἐμπαίζοντας, ἤγουν ἐμπαροινοῦντας αὐτοῖς. Δηλοῖ δὲ πάντως τοὺς πεπορθηκότας τὴν Ἰουδαίαν, καὶ κατεμπρήσαντας τὴν ἁγίαν ποτὲ καὶ διαβόητον πόλιν· δῆλον δὲ ὅτι τοὺς Ῥωμαίων στρατηγούς. « Ἀνταποδώσω γὰρ αὐτοῖς, φησὶ, τὰς ἁμαρτίας αὐτῶν. » Ἃ γὰρ μεμίσηκα, καὶ οὐχ ἠβουλόμην, ἐξελέξαντο.

VERS. 5. *Audite verbum Domini qui tremitis sermonem ejus; dicite, fratres nostri iis qui oderunt vos, et abominantur, ut nomen Domini glorificetur, et appareat in lætitia eorum, et illi confundentur.*

Ἀκούσατε τὸ ῥῆμα Κυρίου, οἱ τρέμοντες τὸν λόγον αὐτοῦ· εἴπατε, ἀδελφοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις, ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ ὑμῶν, κἀκεῖνοι αἰσχυνθήσονται.

Transfert orationem ad omnem humilem, et quietum, ac trementem sermones ejus: quorum quidem primitiæ et primi fuerunt, et secretione quadam selecti, divini discipuli. Protrahitur autem vis præcepti ad omnes qui deinceps præficiuntur populo, qui

Μεθίστησι τοὺς λόγους ἐπὶ πάντα ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους αὐτοῦ, ὧν δὴ καὶ γεγόνασιν ἀπαρχὴ, καὶ πρῶτοι, καὶ ἀπολέγδην ἐξειλεγμένοι οἱ θεσπέσιοι μαθηταί. Τρέχει δὲ τῆς ἐντολῆς ἡ δύναμις καὶ ἐπὶ πάντας ἐφεξῆς τοὺς λαῶν

[85] Isa. v, 20. [86] Joan. xi, 26. [87] Matth. xi, 28. [88] Prov. xii, 14.

ἡγουμένους, οἳ ψήφῳ θείᾳ κεχειροτόνηνται τῶν ἁγίων Ἐκκλησιῶν, καὶ τῶν ἱερῶν κηρυγμάτων ἱερουργοί. Τούτοις ἐπιτάττει λέγων· « Εἴπατε τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις· Ἀδελφοὶ ἡμῶν. » Ἢ γὰρ πράους αὐτοὺς βούλεται καὶ ἀνεξικάκους εἶναι, κατά γε τὰς εὐαγγελικὰς παραδόσεις, καὶ διὰ τῆς εἰς λῆξιν μακροθυμίας σαγηνεύειν εἰς οἰκειότητα πνευματικὴν, τοὺς ἀνανεύοντας, καὶ παραιτουμένους τὴν πρὸς αὐτοὺς κοινωνίαν· ἤγουν ἐκεῖνό που τάχα διακελεύεται, τὸ κηρύξαι, φημὶ, τοῖς ἔθνεσι, καὶ καλέσαι πρὸς θεογνωσίαν τὴν ἀληθῆ, τοὺς πεπλανημένους, καὶ τῶν ἀκαθάρτων πνευμάτων προσκυνητὰς Ἰουδαίους, ὅτι μὴ κατ' αὐτοὺς ἐδέχοντο τὴν πολυθεΐαν, ἕνα δὲ καὶ φύσει καὶ μόνον ὡμολόγουν Θεόν· ἀλλ' εἰ καὶ «Μεμισήκασι, φησὶν, ὑμᾶς, βδελυροὺς εἶναι καταλογιζόμενοι, προτεινέσθω καὶ οὕτως αὐτοῖς ὁ παρ' ὑμῶν λόγος, καὶ ἐν τάξει καταλογιζέσθωσαν ἀδελφῶν, ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ. » Σεσαγήνευται γὰρ τῶν ἐθνῶν ἡ πληθὺς εἰς δόξαν Χριστοῦ, καὶ γέγονεν ἐμφανὴς ἐν τῇ εὐφροσύνῃ αὐτῶν· εὐφραινομένων γὰρ τῶν ἐθνῶν ἐπὶ τῇ παρ' αὐτοῦ χάριτι καὶ σωτηρίᾳ, κατῃσχύνθησαν οἱ ἐξ Ἰσραὴλ ὡς ἀπόβλητοι, καὶ μεμισημένοι, καὶ ἀμέτοχοι παντελῶς τῆς τῶν ἁγίων ἐλπίδος, καὶ τῶν παρ' αὐτοῦ δεδωρημένων τοῖς πιστεύουσιν εἰς αὐτόν· εἰδέναι δὲ ἀναγκαῖον, ὅτι νομικὴν λέλυκεν ἐντολὴν, ἀδελφοὺς ὀνομάζειν κελεύσας τοὺς ἐξ ἐθνῶν. Ἀπείρητο γὰρ τοῖς ἐξ Ἰσραὴλ τὸ συναναπλέκεσθαι φιλεῖν τοῖς πεπλανημένοις. « Οὐ γὰρ λαλήσεις αὐτοῖς εἰρηνικὰ » φησὶν ὁ διὰ Μωσέως νόμος, « οὐδὲ μὴ ἐπιγαμβρεύσεις αὐτοῖς· τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, οὐδὲ τὴν θυγατέρα αὐτοῦ λήψῃ τῷ υἱῷ σου· ἵνα μὴ ἀποστήσῃ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ πορευθεὶς λατρεύσῃ θεοῖς ἑτέροις. » Ἀλλ' ἐν Χριστῷ γέγονε τὰ ἀμφότερα ἓν, καὶ λέλυται τὸ μεσότοιχον τοῦ φραγμοῦ, κατήργηται δὲ καὶ ὁ νόμος, τῶν ἐντολῶν ἐν δόγμασι· « Καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν. »

Φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ Κυρίου ἀνταποδιδόντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις.

Εἰπὼν, ὅτι « Κἀγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀνταποδώσω αὐτοῖς, » διαδείκνυσιν εὐθὺς τῶν ἀπειληθέντων τὴν ἔκβασιν, καὶ ὡς ἤδη τῶν πολεμίων τήν τε πόλιν αὐτῶν, καὶ τὸν ναὸν ᾑρηκότων, φωνὴν ἐκ πόλεως, καὶ φωνὴν ἐκ ναοῦ γενέσθαι φησὶν, ὡς ἀναμὶξ κλαιόντων ἱερουργῶν, καὶ συνθρηνούντων ἀλλήλοις τῶν λαῶν· καὶ γὰρ ἦν εἰκὸς, τῆς τοῦ πολέμου συμφορᾶς καταχρατούσης αὐτῶν, θρηνεῖν τε καὶ ὀλοφύρεσθαι· οὐ γὰρ ἦν ἀπόνευσις τοῦ κακοῦ, Κυρίου δὲ φωνὴν γενέσθαι φησὶν « ἀνταποδιδόντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις, » οἷον ἐπιτάττοντος καὶ διακελευομένου τοῖς ὀλοθρευταῖς, φείδεσθαι τῶν ἁλόντων οὐδενὸς, ἐπιπηδᾷν δὲ μᾶλλον ἀγρίως τοῖς ἀντικειμένοις, καὶ οὔτι που πάντως ταῖς τῶν πολεμούντων ὁρμαῖς, ἀλλὰ γὰρ θελήμασι τοῖς δεσποτικοῖς· τοῦτο γὰρ αὐτοῖς γέγονε πρόξενον τοῦ καὶ ἁλῶναι, καὶ παθεῖν.

Πρὶν ἢ τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἐλθεῖν τὸν

divino calculo deliguntur sanctarum Ecclesiarum et divinorum præmiorum administri : his in mandatis dat, inquiens : « Dicite iis qui oderunt vos, et abominantur, fratres nostri. » Aut enim vult eos mites esse et malorum tolerantes, secundum traditiones evangelicas, et summa patientia, ad spiritualem conjunctionem inescare eos qui renuunt et refugiunt ipsorum sodalitium; aut illud fortassis mandat ut prædicent, inquit, gentibus, et vocent ad veram Dei cognitionem eos qui erraverunt, Judæosque immundorum spirituum cultores; quia non hi, ut illi multorum deorum cultum receperunt, sed unum et natura ac solum Deum confessi sunt. Sed etiamsi, inquit, « odio prosequantur vos, et credant vos esse abominabiles, proferatur tamen sic apud eos oratio, et fratrum loco ducantur, ut nomen Domini gloriose prædicetur. » Irretita enim est gentium multitudo ad gloriam Christi, et in earum lætitia apparuit. Lætantibus enim gentibus de gratia ejus et salute, confusi sunt Israelitæ, ut rejecti **910** et odio habiti, ac omnino expertes spei sanctorum, et eorum quæ data sunt ab ipso credentibus. Sciendum autem est necessario solvisse eum legis præceptum, cum jubeat nominare fratres eos qui sunt ex gentibus. Interdixit enim Israelitis, ne commercium haberent cum his qui in errore versati sunt. « Non enim loqueris pacem illis, inquit lex Mosaica, nec elocabis illis filiam tuam, nec dabis filio ejus, nec filiam ejus accipies filio tuo, ne avertat filium tuum a me, et abeat serviatque diis alienis [89]. » Verum in Christo facta sunt ambo unum, et solutum interstitium maceriæ, et abolita est lex præceptorum in dogmatis. « Est enim ipse pax nostra [90]. »

VERS. 6. *Vox clamoris de civitate, vox de templo, vox Domini retribuentis retributionem adversariis.*

Cum dixerit : « Et ego eligam ludibria eorum, et peccata eorum retribuam illis, » statim ostendit eorum quæ comminatus est exitum, et jam quasi hostium civitatem ipsam et templum devastantium, vocem de civitate, et vocem de templo editam esse dicit, et ministrorum simul cum populo flentium, et inter se complorantium. Nam cum belli calamitatibus ferendis pares non essent, flere eos par fuit et plorare. Nulla enim erat mali evitatio. « Domini autem vocem fuisse dicit, retribuentis retributionem adversariis, » et præcipientis ac imperantis vastatoribus ut nullius captivi misericordiam capiant, sed ut crudeliter insiliant in adversarios; nec tantummodo bellantium impetu, sed et domini voluntate. Hoc enim illis in causa fuit, cur caperentur et affligerentur.

VERS. 7-9. *Antequam parturiens pariat, antequam*

[89] Deut. VII, 2-4. [90] Ephes. II, 14.

veniat labor parturiginum, effugit, et peperit masculum. Quis audivit tales? et quis vidit sic? Num parturivit terra uno die, aut etiam condita est gens tota simul, quia parturivit, et peperit Sion liberos suos? Ego autem dedi exspectationem hanc, et non recordata est mei, dixit Dominus. Nonne ego parientem et sterilem feci, dixit Dominus?

Iterum docet non funditus perditum iri Israelem. Postquam enim in universum prædixit Jerusalem captivitatem; rursus **911** facit mentionem reliquiarum ex electione. Servata est enim non exigua multitudo, per fidem videlicet in Christo. Hoc autem significare vult: Debacchati enim sunt in ipsum Judæi, et principem vitæ interfecerunt. Postquam autem revixit, calcata morte, rediitque ad cœlestem Patrem ac Deum, prædicarunt eum divini discipuli, alloquentes omnes, etiam qui debacchati sunt, et vocantes ad resipiscentiam ac salutem per fidem, et remissionem peccatorum per sanctum lavacrum. Dixit enim Petrus: « Et nunc, fratres, novi vos ex ignorantia fecisse, sicut et principes vestri [91]. Pœnitentiam igitur agite, et baptizetur unusquisque vestrum in nomine Jesu Christi, et accipietis donum Spiritus sancti. Vestrum enim sunt promissiones, et filiorum vestrorum [92]. » Hæc loquente divino Petro, multi crediderunt. Scriptum est siquidem in Actis sanctorum apostolorum adjectas esse die illo animas plus minus ter mille [93]. Semper itaque divini discipuli instabant, monentes Israelitas, et ad fidem convertentes. Tempore deinde interjecto, inflicta est demum Judæorum regioni ipsisque Hierosolymis divina ira, ingressis jam his qui ad moderatiorem vivendi rationem vocati sunt. Hi vero fuerunt reliquiæ: quod docet, cum inquit: « Antequam parturiens pariat, antequam veniat labor dolorum partus effugit, et peperit masculum. » Nam priusquam instarent dura tempora, et veluti acres bellicæ calamitatis dolores incumberent Hierosolymis, effugit, id est, ante periculum peperit masculum: qui partus præclarus est et optatissimus. Nam quæ pariunt, fetum masculum alteri præferunt; vel forte masculus est editus: non enim effeminatur mollitia Christianus populus. Sensu enim virili præditus est et juvenili. Cujus testis est beatus Paulus, scribens: « Qui Christi carnem crucifixerunt cum affectibus et cupiditatibus [94]. » Dein quasi divina potentia hanc rem insignem operante, miraculum extollit, dicens: « Quis vidit sic? Num parturivit terra uno die, aut etiam condita est gens tota simul, quia parturivit et peperit Sion liberos suos. » Quis enim audivit, inquit, vel quis vidit terram, vel regionem totam, uno die germinantem eos qui eam implere valeant? Num enim semel, id est, **912** uno momento gens tota unquam nata est? At sic, inquit, « Sion peperit liberos suos. » Etenim uno die tria millia animarum adjecta esse, et spiritualem regenerationem per fidem et sacrosanctum baptisma suscepisse: quidni

A *πόνον τῶν ὠδίνων ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν. Τίς ἤκουσε τοιοῦτον; καὶ τίς ἑώρακεν οὕτως; Εἰ ὤδινε γῆ ἐν μιᾷ ἡμέρᾳ, ἢ καὶ ἐτέθ[χ]η ἔθνος εἰσάπαξ, ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ παιδία αὐτῆς; Ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην, καὶ οὐκ ἐμνήσθη μου, εἶπε Κύριος. Οὐκ ἰδοὺ ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποίησα, εἶπε Κύριος;*

Ὅτι μὴ ὁλόῤῥιζος ὁ Ἰσραὴλ ἀπολεῖται, διδάσκει πάλιν. Ἐπειδὴ γὰρ ὅλως προαναπεφώνηκε τῇ Ἱερουσαλὴμ τὴν ἅλωσιν, διαμέμνηται πάλιν τοῦ κατ' ἐκλογὴν καταλείμματος· σέσωσται γὰρ οὐκ ὀλίγη πληθὺς, διὰ πίστεως δὲ δηλονότι τῆς ἐν Χριστῷ· βούλεται δέ τι τοιοῦτον ὑποδηλοῦν· πεπαρῳνήκασι γὰρ εἰς αὐτὸν Ἰουδαῖοι, καὶ ἀπεκτόνασι τὸν ἀρχηγὸν τῆς ζωῆς. Ἐπειδὴ δὲ ἀνεβίω, πατήσας τὸν θάνατον,
B ἀναπεφοίτηκέ τε πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεὸν, διεκήρυττον αὐτὸν οἱ θεσπέσιοι μαθηταὶ προσλαλοῦντες ἅπασι, καὶ τοῖς πεπαρῳνηκόσι, καὶ καλοῦντες εἰς μετάγνωσιν, καὶ εἰς σωτηρίαν τὴν διὰ πίστεως, καὶ εἰς ἄφεσιν ἁμαρτιῶν τὴν διὰ τοῦ ἁγίου βαπτίσματος. Ἔφη γὰρ ὁ Πέτρος· « Καὶ νῦν, ἀδελφοὶ, οἶδα, ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. — Μετανοήσατε οὖν, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. » Ὑμῶν γάρ εἰσιν αἱ ἐπαγγελίαι, καὶ τοῖς τέκνοις ὑμῶν. Ταῦτα λέγοντος τοῦ θεσπεσίου Πέτρου πεπιστεύκασι πολλοί. Γέγραπται γοῦν ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων, ὅτι προσετέθησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. Διατετελέκασι
C τοίνυν οἱ θεσπέσιοι μαθηταὶ νουθετοῦντες τοὺς ἐξ Ἰσραὴλ σαγηνεύοντες εἰς πίστιν· εἶτα χρόνου διαγεγονότος, ἐπηνέχθη λοιπὸν τῇ τε τῶν Ἰουδαίων χώρᾳ, καὶ αὐτοῖς δὲ τοῖς Ἱεροσολύμοις τὰ ἐκ θείας ὀργῆς, ὡς εἰσβεβηκότων ἤδη, καὶ κεκλημένων τῶν ἐπιεικεστέρων, ἦσαν δὲ οὗτοι τὸ κατάλειμμα· τοῦτο διδάσκει λέγων· « Πρὶν ἢ τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν. » Πρὶν γὰρ ἐπιστῆναι τὰ δεινὰ, καὶ οἷόν τινας πικρὰς ὠδῖνας τὰς ἐκ τοῦ πολέμου συμφορὰς κατασκῆψαι τῆς Ἱερουσαλὴμ, ἐξέφυγε, τουτέστι, πρὸ τοῦ κινδύνου ἔτεκεν ἄρσεν, ὅ ἐστι κύημα καλὸν καὶ τριπόθητον· ταῖς γὰρ τικτούσαις ἀῤῥενοτοκία μᾶλλον θατέρου προτέτακται· ἢ τάχα που καὶ ἄρσεν τὸ τεχθέν· οὐ γὰρ θηλύνεται πρὸς μαλακισμοὺς
D ὁ ἐν Χριστῷ λαός. Φρόνημα γὰρ ἀνδροπρεπές ἐστιν ἐν αὐτῷ καὶ νεανικὸν, καὶ τούτου μάρτυς ὁ μακάριος Παῦλος γράφων· « Οἱ δὲ τοῦ Ἰησοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν, σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. » Εἶτα τῆς θείας δυνάμεως τὴν ὑπερβολὴν, ὡς ἐνεργησάσης καὶ τοῦτο, πολὺ θαῦμα ποιεῖται λέγων· « Τίς ἑώρακεν οὕτως; εἰ ὤδινε γῆ ἐν μιᾷ ἡμέρᾳ, ἢ καὶ ἐτέχθη ἔθνος εἰσάπαξ, ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ παιδία αὐτῆς; » Τίς γὰρ ὁ ἀκούσας, φησὶν, ἢ τίς ἑώρακε γῆν, ἤτοι χώραν ὁλόκληρον, ἀναβλαστήσασαν ἐν ἡμέρᾳ μιᾷ τοὺς πληρῶσαι δυναμένους αὐτήν; Ἆρα γὰρ εἰσάπαξ, τουτέστιν, ὑφ' ἓν

[91] Act. III, 17. [92] Act. II, 38. [93] ibid. 41. [94] Galat. V, 24.

A ἔθνος ὅλον ἐτέχθη πώποτε; ἀλλ' οὕτω, φησίν, « Ἡ Σιὼν ἔτεκε τὰ παιδία αὐτῆς. » Τὸ γὰρ ἐν ἡμέρᾳ μιᾷ τρεῖς χιλιάδας προστεθεῖναι ψυχὰς, καὶ πνευματικὴν ἀναγέννησιν ὑπομεῖναι διὰ τῆς πίστεως καὶ τοῦ ἁγίου βαπτίσματος, πῶς οὐκ ἐναργῶς εἴη ἂν ἔθνους ὁλοκλήρου κύησις καὶ ἀπότεξις; Ἀλλ', « Ἐγὼ, φησὶ, δέδωκα τὴν προσδοκίαν ταύτην. » Προείρηται γὰρ καὶ τοῦτο διὰ φωνῆς ἁγίων προφητῶν, καὶ προεπήγγελται Θεὸς αὐτῇ τὴν πολυπαιδίαν· « Πλὴν οὐκ ἐμνήσθη μου, φησὶ Κύριος, καίτοι στεῖραν καὶ γεννῶσαν ἐγὼ πεποίηκα. » Ὁ δὲ τούτων ἔχων τὴν ἐξουσίαν, πῶς ἂν ἄπαιδα γενέσθαι συνεχώρησεν αὐτὴν, εἴπερ ἠθέλησε, τὴν εἰς αὐτὸν πίστιν προσηκαμένη, πολύπαις τε καὶ εὔπαις ὀφθῆναι τοῖς ἀνὰ πᾶσαν τὴν γῆν; ἐπειδὴ δὲ γέγονεν ἀπειθὴς, σκληρὰ, καὶ δυσάγωγος, ἐστειρώθη μὲν αὕτη, γεγέννηκε δὲ B ἡ τῶν ἐθνῶν χώρα τὸν ἀριθμοῦ κρείττονα καὶ ἐπέκεινα λαόν· καὶ αὐτὸ δὴ τουτὶ διδάσκει λέγων ὁ θεσπέσιος προφήτης Ἡσαΐας, ὡς πρός γε τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν· « Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. »

manifeste sit integræ gentis fetus et partus? Sed « Ego, inquit, dedi exspectationem hanc. » Prædictum est enim hoc voce sanctorum prophetarum, et promisit ei Deus fecunditatem. « Verum non recordata est mei, inquit Dominus, etsi sterilem et generantem fecerim. » Qui hæc potest, quomodo permisit eam orbam fieri? Si voluisset fidem in ipsum admittere, et copiosa et pulchra prole dotata apparuisset omnibus terræ incolis; sed quia immorigera fuit, dura et refractaria, facta est sterilis ipsa; gentium autem regio multo maximum et innumerabilem populum generavit. Hoc ipsum docet quoque divinus propheta Isaias, velut alloquens gentium Ecclesiam: « Lætare, sterilis, quæ non paris, erumpe et clama, quæ non parturis, quia plures liberi desertæ sunt, quam ejus quæ habet virum [95]. »

Εὐφράνθητι Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε ἐν αὐτῇ, πάντες οἱ ἀγαπῶντες αὐτήν. Χάρητε χαρᾷ πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῆς, ἵνα θηλάσητε καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς. Ὅτι τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν.

VERS. 10-12. *Lætare, Jerusalem, et conventum facite in ea omnes, qui diligitis eam; gaudete gaudio, omnes, quicunque lugetis super eam, ut sugatis, et impleamini ubere consolationis ejus, ut postquam suxeritis, delectemini introitu gloriæ ejus. Quia hæc dicit Dominus: Ecce ego declino ad eos tanquam flumen pacis, et quasi torrens inundans gloriam gentium.*

C Χαίρειν ἐπιτάττει τῇ νέᾳ καὶ νοητῇ Σιὼν, ἤγουν Ἱερουσαλὴμ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, ἣν αὐτὸς ἑαυτῷ παρέστησεν ὁ Χριστὸς ἄσπιλον καὶ ἄμωμον, ἔκ τε τῶν Ἰουδαϊκῶν ταγμάτων, καὶ ἐκ τῆς τῶν ἐθνῶν ἀγέλης. Συνῆψε γὰρ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξας τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα. Πρέποι δ' ἂν τὸ χαίρειν αὐτῇ· μεμέστωται γὰρ ἐλπίδων τῶν ὑπὲρ νοῦν καὶ λόγον. « Οὐ γὰρ εἶδεν ὀφθαλμὸς, φησὶ, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· » ἡσθῆναί γε μὴν προστέταχε τούς τε ὄντας ἐν αὐτῇ καὶ ἀγαπῶντας αὐτήν· εἶεν δ' ἂν οὗτοι πάλιν οἱ ἀνέχοντες ὥσπερ αὐτὴν, καὶ ταῖς ἀμωμήτοις διδασκαλίαις πολυτρόπως στηρίζοντες, καὶ ὅσοι πενθοῦσιν ἐπ' αὐτῆς, κατά γε τὴν D αὐτοῦ τοῦ Σωτῆρος φωνήν· « Μακάριοι, φησὶν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. » Τὸ δέ γε πένθος ἐν τούτοις τὴν τῶν εὐαγῶν ἀνδραγαθημάτων ὑποφαίνει κατόρθωσιν· ἱδρῶτα γὰρ ἔχουσι τὸν ὀνησιφόρον, καὶ ταλαιπαθοῦσι νεανικῶς, οὐχ ἵνα τι τῶν ἐπιγείων κερδάνωσιν, ἀλλ' ἵνα τῶν παρὰ Θεοῦ χαρισμάτων ἀναπιμπλάμενοι, θυμηδίας ἁπάσης γένωνται μεστοί· τοῦτο γὰρ αὐτοῖς ὑπισχνεῖται λέγων· « Ἵνα θηλάσητε καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς. » Πρόσωπον δὲ ἅπαξ γυναικὸς περιθεὶς τῇ νέᾳ Σιὼν, ἐπιμένει τῇ τοῦ λόγου τροπῇ, καὶ τὴν ἐν αὐτῇ παράκλησιν τὴν διά γε, φημὶ, τοῦ ἁγίου Πνεύματος, μαστοῖς παρεικάζει καὶ γάλακτι. Εἴρηται γάρ που

Gaudere jubet hanc novam et intelligibilem Sionem, seu Jerusalem, quæ est Ecclesia Dei viventis, quam ipse Christus sibi repræsentavit, immaculatam et inculpatam, ex tribubus Judaicis et ex congregatione gentium. Conjunxit enim duos populos in unum novum hominem, constituens pacem, et reconcilians utrumque in uno corpore apud Patrem [96]. Et merito gaudere potest, cum spe plena sit, quam nec complecti mens queat, nec oratio. « Non enim oculus vidit, inquit, nec auris audivit, et in cor hominis non ascenderunt, quæ paravit Deus diligentibus se [97]. » Lætari jubet qui in ea sunt, et eam diligunt. Hi demum sunt ejusmodi, qui eam tanquam sustentant, qui inculpata doctrina multifariam confirmant, quicunque etiam eam **913** deplorant, secundum Servatoris vocem: « Beati enim, inquit, qui lugent, quia ipsi consolabuntur [98]. » Luctus hic subindicat sanctarum actionum emendationem. Sudorem enim patiuntur utilem, et labores tolerant strenue ac juveniliter, non ut aliquid terrenum lucrentur: sed ut divinis donis referti, omni voluptate compleantur. Hoc enim illis promittit, dicens: « Ut sugatis, et impleamini ubere consolationis ejus. » Cum autem personam mulieris semel novæ Sioni attribuerit, in sermonis tropo permanet, et consolationem in ea, sancti Spiritus, inquam, uberibus et lacti comparat. Dictum est enim ei in Cantico canticorum: « Meliora sunt ubera tua vino [99]. » Primus enim cibus infantibus conveniens, admittentibus fidem in Deum

[95] Isa. LIV, 1. [96] Ephes. II, 15, 16. [97] I Cor. II, 9. [98] Matth. V, 5. [99] Cant. I, 1.

nostrum Jesum Christum porrigitur, id est, tener et simplex sermo catecheseos. Sic enim Paulus quosdam alloquens, ait: « Lac vobis ad potandum dedi, non cibum. Nondum enim poteratis, sed nec adhuc quidem potestis [1]. » Quod autem non semper infantes et esse et videri conveniat eos, qui semel catecheseos sermonem imbibunt, sed in virum perfectum et in mensuram ætatis plenitudinis Christi evadere oporteat [2], ut exactam et exquisitam ejus cognitionem deinceps consequantur, docuit, cum adjecit: « Ut, postquam suxeritis, delectemini introitu gloriæ ejus. » Ubi suxeritis, dicit, pro, cum ab uberibus et mamma abstracti estis, vel cum ablactati estis, id est: non infantes maneatis, sed velut in ephebis jam et viris numeramini, et solidum cibum expetentes, delectabimini introitu gloriæ ejus. Gloriam vocat Christum; sic enim et Psaltes de eo: « Ut habitet gloria in terra nostra [3]. » Introitum vero, dispensationis in carne mysterium. Deus enim natura, factus est homo, et velut ingressus est hunc mundum propter incarnationem. Delectantur igitur qui hunc sermonem de illo ad unguem tenent, et quemadmodum in orbem intrarit gloria, id est, Christus, cognoscunt. Propterea et divinus propheta statim et e vestigio apparitionem ejus cum carne manifestam ac perspicuam facit. Personam enim ejus loquentem facit: « Ecce declino in eos tanquam flumen pacis, **914** et tanquam torrens qui inundat gloriam gentium. » Flumen igitur pacis et torrens deliciarum est, Christus. Sic enim illum divinus David vocat, cum inquit: « Quam multiplicata est misericordia tua, o Deus! Filii hominum in umbraculo alarum tuarum sperabunt. Inebriabuntur ab ubertate domus tuæ, et torrente voluptatis tuæ potabis eos [4]. » Et iterum: « Fluminis impetus lætificat civitatem Dei [5]. » Declinavit vero et uberrimis rivulis inundavit gloriam gentium, id est, quod est inter gentes pretiosum et omnino gloriosum. Non enim omnes crediderunt, neque gloria evecti sunt, sed ut Paulus dicit de Deo et Patre: « Quos præscivit, et prædestinavit conformes fieri imaginis Filii sui, hos et vocavit. Quos vocavit, eos et glorificavit [6]. » Cum dicit, « Declino, » illud subindicat: Recta via et iter ei fuit ex proposito et voluntate Patris, ad Israelitas. Itaque ait: « Non missus sum nisi ad perditas oves domus Israel [7]. » Cum vero illi fidem respuerint, declinavit ab illis, sicuti scriptum est, et gentium congregationem ex sacris rivulis consolatione perfudit, id est, evangelica et salutari prædicatione, per quam pacem apud eum lucrifecerunt, et per quem spirituali societate conjuncti sunt cum Deo et Patre.

A πρὸς αὐτὴν καὶ ἐν τῇ τῶν Ἀσμάτων, ὅτι « Ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον. » Πρώτη δὲ πάντως τοῖς τὴν πίστιν προσιεμένοις τὴν εἰς τὸν Θεὸν ἡμῶν Ἰησοῦν τὸν Χριστὸν νηπιοπρεπὴς προσάγεται τροφὴ, τουτέστιν, ὁ τρυφερὸς καὶ ἁπλοῦς τῆς κατηχήσεως λόγος· οὕτω γάρ που καὶ ὁ Παῦλος προσπεφώνηκέ τισιν, εἰπών· « Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε. » Ὅτι δὲ οὐκ ἀεὶ νηπίους τε εἶναι καὶ ὁρᾶσθαι πρέπει, τοὺς οἵπερ ἂν ὅλως τὸν τῆς κατηχήσεως ἐκπίνουσι λόγον, χρῆναι δὲ μᾶλλον ἀναφοιτᾶν, καὶ εἰς ἄνδρα τέλειον, καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα τὸν ἀκριβῆ καὶ ἐξητασμένον ἐπ' αὐτῷ λόγον συνιέναι δύνωνται λοιπὸν, ἐδίδαξε προστιθείς· « Ἵνα ἐκθηλάσαντες τρυφήσητε, ἀπὸ εἰσόδου δόξης αὐτῆς. » B Τὸ ἐκθηλάσαντες δέ φησιν, ἀντὶ τοῦ, μαστῶν ἔξω καὶ θηλῆς γεγονότες, ἤγουν ἀπογεγαλακτισμένοι, τουτέστιν, οὐκ ἔτι μένοντες νήπιοι, τελοῦντες δὲ ὥσπερ ἐν ἐφήβοις ἤδη καὶ ἀνδράσι, καὶ τῆς στερεᾶς ἐφιέμενοι τροφῆς, ἐντρυφύσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς· καὶ δόξαν μὲν ὀνομάζει Χριστὸν (οὕτω γάρ που καὶ ὁ Ψάλλων φησὶ περὶ αὐτοῦ, « Τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν »)· εἴσοδον δὲ, τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον· Θεὸς ὢν φύσει γέγονεν ἄνθρωπος, καὶ οἷον εἰσβέβηκεν εἰς τόνδε τὸν κόσμον διὰ τὴν σάρκωσιν. Ἐντρυφῶσι τοίνυν οἱ τὸν ἀκριβῆ τῆς περὶ αὐτοῦ πίστεως εἰδότες [*al.* δόντες] λόγον, καὶ τίνα τρόπον εἰσβέβηκεν εἰς τὴν οἰκουμένην ἡ δόξα, τουτέστι Χριστὸς, μανθάνοντες· C διὰ τοῦτο καὶ ὁ θεσπέσιος προφήτης εὐθὺς, καὶ παρεζευγμένως, τὴν ἐμφάνειαν αὐτοῦ τὴν μετὰ σαρκὸς καθίστησιν ἐναργῆ· ἵστησι γὰρ τὸ αὐτοῦ πρόσωπον λέγοντος, ὅτι « Ἰδοὺ ἐκκλίνω ἐπ' αὐτοὺς, ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν. » Ποταμὸς μὲν οὖν εἰρήνης, καὶ χειμάῤῥους τρυφῆς, ὁ Χριστὸς (οὕτω γὰρ αὐτὸν καὶ ὁ θεσπέσιος Δαβὶδ ὀνομάζει λέγων· « Ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ Θεός! οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων, ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι· μεθυσθήσονται ἀπὸ τῆς πιότητος τοῦ οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. » Καὶ πάλιν· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ »)· ἐκκέκλικε δὲ, καὶ οἷον ἀμφιλαφεστάτοις νάμασιν ἐπέκλυσε τῶν ἐθνῶν τὴν δόξαν, τουτέστι, τὸ τίμιον τῶν ἐθνῶν, D ἤτοι τὸ δεδοξασμένον ἅπαν. Οὐ γὰρ πάντες πεπιστεύκασιν, οὔτε μὴν ἐδοξάσθησαν, ἀλλ' ὡς ὁ Παῦλός φησι περὶ τοῦ Θεοῦ καὶ Πατρὸς, « Οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσεν· οὓς δὲ ἐκάλεσε, τούτους καὶ ἐδόξασε. » Τό γε μὴν, « Ἐκκλίνω[ν], » λέγων, δίδωσι τοιοῦτον ἐννοεῖν. Ἡ μὲν γὰρ ὁδὸς αὐτῷ καὶ πορεία, κατὰ πρόθεσιν καὶ εὐδοκίαν τοῦ Πατρὸς πρὸς τοὺς ἐξ αἵματος Ἰσραήλ· ἔφη γοῦν ὅτι « Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Ἐπειδὴ δὲ ἀπεώσαντο τὴν πίστιν, ἐξέκλινεν ἀπ' αὐτῶν καθὰ γέγραπται, καὶ ταῖς τῶν ἐθνῶν ἀγέλαις τὴν ἐκ τῶν ἱερῶν ναμάτων παράκλησιν ἐχαρίσατο, τουτέστι, τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, δι' οὗ τὴν πρὸς αὐτὸν εἰρήνην κεκερδήκασι, καὶ δι' αὐτοῦ συνήφθησαν κατ' οἰκειότητα τὴν πνευματικὴν τῷ Θεῷ καὶ Πατρί.

[1] I Cor. III, 2. [2] Ephes. IV, 13. [3] Psal. LXXXIV 10. [4] Psal. XXXV 8 9. [5] Psal. XLV, 5. [6] Rom. VIII, 29, 30. [7] Matth. XV, 24.

Τὰ παιδία αὐτῶν ἐπ' ὤμων ἀρθήσονται, καὶ ἐπὶ γόνατα παρακληθήσονται. Ὡς εἴ τινα μήτηρ παρακαλέσει, οὕτως κἀγὼ παρακαλέσω ὑμᾶς. Καὶ ἐν Ἱερουσαλὴμ παρακληθήσεσθε, καὶ ὄψεσθε, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ. Καὶ γνωσθήσεται ἡ γῆ Κυρίου τοῖς σεβομένοις αὐτόν. A

Ἀμφιλαφεστάτην ἡμῖν τὴν παράκλησιν ἐπαγγέλλεται, καὶ φειδοῦς ἁπάσης ἐπίδοσιν, ὥστε καὶ πόνου δίχα παντὸς κατορθοῦν δύνασθαι τὸ ἀρέσκον αὐτῷ. Οἱ γὰρ ἔτι νηπιάζοντες ἐν αὐτοῖς, φησὶ, καὶ τὰς φρένας οὔπω τετελειωμένοι, βρέφεσιν ἐν ἴσῳ μικροῖς ἐπ' ὤμων ἀρθήσονται, καὶ ἐπὶ γονάτων παρακληθήσονται· ἔθος γὰρ οὕτω μητράσιν ἐπιμελεῖσθαι νηπίων. Ὀλίγα τοίνυν, φησὶ, παραχωρήσω μητρὶ, παρακαλέσω δὲ οὕτω τοὺς ἀδρανῆ τέως ἔχοντας B νοῦν, ὡς ἐλλεῖψαι μηδὲν τῶν τελούντων εἰς ἀνάπαυσιν αὐτοῖς· τιθηνούμενοι δὲ οὕτω, φησὶ, καὶ διὰ πάσης ἰόντες φειδοῦς καὶ ἀγάπης, ὄψεσθέ τε διὰ καιροῦ καὶ τὴν ἄνω πόλιν τὴν ἐπουράνιον Ἱερουσαλήμ· πλησθήσεσθε θυμηδίας, καὶ ὡς ἐν τάξει πόας ἀναθαλήσει τὰ πάντων ὑμῶν ὀστᾶ. Ἐγερθήσονται γὰρ οἱ νεκροὶ, καὶ ἀναστήσονται οἱ ἐν τοῖς μνημείοις, τὴν παρὰ Χριστοῦ πλουτήσαντες δρόσον, τουτέστι, τὸ πνεῦμα τὸ ζωοποιόν· οὕτω γάρ πού φησιν ὁ Ψάλλων πρὸς τὸν Θεὸν περὶ τῶν ἐν γῇ κειμένων· « Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Ὥσπερ οὖν τὰ ἐν ἀγροῖς ἀνθήσαντα μετὰ βραχὺ πίπτει, καὶ μαραίνεται ἐαρινοῦ γε μὴν ἐνστάντος καιροῦ, πάλιν ἀνίσχει καὶ φαίνεται· οὕτω τὰ ἐν τῇ γῇ τῶν τεθνεώτων C λείψανα, κατὰ τὸν τῆς παλιγγενεσίας καιρὸν ἀῤῥήτῳ δυνάμει Θεοῦ πάλιν ἀνατελοῦσιν. Ἐγερθήσονται γὰρ, ὡς ἔφην. « Τότε δὴ, τότε γνωσθήσεται ἡ χεὶρ Κυρίου τοῖς σεβομένοις αὐτόν. » Χεῖρά γε μὴν ἐν τούτοις, ἢ τὴν δύναμιν αὐτοῦ φησιν, ἤγουν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα. Δι' αὐτοῦ γὰρ πάλιν καὶ ἡ τῶν νεκρῶν ἀναβίωσις. Ἀποτέλεσμα γὰρ τῆς αὐτοῦ δυνάμεως εἴη ἂν, καὶ τὸ ἰσχῦσαι παρενεγκεῖν εἰς ὕπαρξιν τὰ οὐκ ὄντα ποτὲ, καὶ πεπονθότα τὴν φθορὰν, ἀνακαινίσαι πάλιν εἰς τὸ ἐν ἀρχαῖς.

Καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν· Ἰδοὺ γὰρ Κύριος ὡς πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ, τοῦ ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν, καὶ D *ἀποσκορακισμὸν ἐν φλογὶ πυρός. Ἐν γὰρ τῷ πυρὶ Κυρίου κριθήσεται πᾶσα ἡ γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ πᾶσα σάρξ· πολλοὶ τραυματίαι ἔσονται ὑπὸ Κυρίου, οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους, καὶ ἐν τοῖς προθύροις ἔσθοντες κρέα ὕων καὶ τὰ βδελύγματα καὶ τὸν μῦν, ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται, εἶπε Κύριος. Κἀγὼ τὰ ἔργα αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν ἐπίσταμαι.*

Ἀποχρώντως παρακαλέσας τοὺς ἐν τῇ νέᾳ Σιὼν, τουτέστι, τῇ Ἐκκλησίᾳ, καὶ διαρκεστάτην αὐτοῖς ἐπαγγειλάμενος τὴν παράκλησιν, καὶ πνευματικῶν

VERS. 13,14. *Parvuli eorum in humeris tollentur, et super genua consolationem habebunt. Quemadmodum si quempiam mater consoletur, sic et ego vos consolabor. Et in Jerusalem consolationem habebitis, et videbitis; et gaudebit cor vestrum, et ossa vestra sicut herba germinabunt. Et innotescet terræ Domini colentibus eum.*

Largissimam consolationem et omnis misericordiæ cumulum nobis adpromittit, idque circa omnem laborem, ut quod ipsi placet, possis exsequi. Qui enim adhuc, inquit, infantes sunt, et animo nondum perfecti, velut parvuli infantes in humeris tollentur, et super genua consolationem habebunt. Solent enim matres curam gerere parvulorum. Non multum ergo, inquit, matri cessero, sed consolabor sic eos qui infirmo sunt et dejecto animo, ut nihil illis desit ad requietem. Sic nutriti, sic omni misericordia et charitate tractati, videbitis **915** tempore, supremam etiam civitatem cœlestem Jerusalem, et complebimini voluptate, et quasi herba, omnia vestra ossa reflorescent. Excitabuntur enim mortui, et resurgent qui in monumentis sunt, locupletati per Christum rore, id est, spiritu vivifico. Sic enim dicit qui ad Deum psallit, de his qui in terra jacent: « Emittes spiritum tuum, et creabuntur, et renovabis faciem terræ [a]. » Perinde igitur, ut quæ in agris floruerunt, paulo post occidunt et marcescunt, verno autem tempore instante, rursus oriuntur et apparent: sic reliquiæ mortuorum in terra, tempore regenerationis ac instaurationis, ineffabili potentia Dei rursus exorientur. Excitabuntur enim, uti dixi. « Tunc, tunc innotescet manus Domini colentibus eum. » Manum hic vocat, vel potentiam suam, vel Dominum nostrum Jesum Christum, per quem omnia, et in quo omnia [b]. Per illum enim rursus est resuscitatio mortuorum. Hoc est enim potentiæ ejus non leve indicium, posse et in lucem proferre quæ aliquando non erant, et quæ passa sunt corruptionem restaurare, ita ut ab initio fuerunt.

VERS. 15-17. *Et minabitur contumacibus: Ecce enim Dominus quasi ignis veniet, et quasi tempestas currus ejus, ut reddat in furore ultionem, et increpationem in flamma ignis. Nam in igne Domini judicabitur omnis terra, et in gladio ipsius omnis caro. Multi vulnerati erunt a Domino. Qui purificantur, et mundantur in hortis, et in liminibus, comedentes carnem suillam, et abominationes, et murem, simul consumentur, dixit Dominus. Ego vero opera eorum et cogitationem eorum scio.*

Abunde consolatus eos qui in nova Sion, id est, Ecclesia, et affluentissimam consolationem ac spiritualium bonorum subsidium pollicitus, et præter-

[a] Psal. CIII, 30. [b] I Cor. VIII, 6.

ea resuscitationem e mortuis, et supremas sedes, ac quæ ibi est, gloriam non impune fore dicit inobedientibus hoc audax contra illos institutum. Veniet enim, inquit, quasi ignis. Descendet namque cœlitus in gloria Patris sui cum sanctis angelis. Hic enim est currus ejus, sicuti et in Psalmis celebratum est : « Currus Dei decem millibus multiplex, millia lætantium [10]. » Veniet autem redditurus ultionem in furore, et increpationem in flamma ignis. **916** Increpatio denotat abjectionem. Dicet enim his qui in peccatis mortui sunt : « Discedite a me, maledicti, in ignem æternum, qui præparatus est diabolo et angelis ejus [11]. » Judicabitur enim, inquit, omnis terra, et tanquam gladio divinæ iræ percussi, multi vulnerabuntur. Hi demum sunt qui pœnas pendunt inevitabiles, et in flammam currunt inexstinctam, catenisque suorum peccatorum constricti, maxime vero aliorum subjicientur supplicio, inquit, expiati et purgati in hortis, id est, rejicientes redemptionem per Christum, et contemnentes gratiam per sacrosanctum baptisma, quæ justificat impium, omnique errato absolvit peccatis conspurcatos, amantes denique in errore potius et ignorantia versari, et non deos adorare, qui etiam usi sunt lustrationibus impuris et immundis. Expiantur enim ut existimant, cum erga seipsos falluntur ; vel enim aspergebantur aquis, vel faces igneas tanquam in orbem circumferentes, animas suas vitiorum inquinamentis fœdatas abstergere se putabant. Quod autem munditiem omnem ac probitatem prorsus neglexerint, et ne humana quidem mente præditi fuerint, sed jumentis insipientibus assimiles, ostendit, cum dicit : Expiantur in hortis, id est, in nemoribus vel silvis, sub quercu et populo et arbore umbrosa. Exstruebantur namque illic ab ipsis aræ et delubra dæmonibus, in vestibulis autem delubrorum carnibus suillis vescebantur. Quod quidem argumentum est luxuriæ. Adorabant abominationes et murem. Eo enim stultitiæ lapsi erant superstitiosi aliquot, ut etiam murium statuas ac figuras haberent. Sed hi omnes, inquit, simul consumentur, id est, pariter cum Israelitis qui inobedientes fuerunt. Etenim « Ego novi opera eorum, et cogitationem eorum. » Cogitationem dicit ratiocinia, quæ secuti, fœda hæc facinora invenerunt : unde istæ etiam abominationes irrepserunt, cum unum natura et vere Deum colere oportuisset.

A ἀγαθῶν χορηγίαν, ἔτι τε πρὸς τούτοις τὴν ἐκ νεκρῶν ἀναβίωσιν, καὶ τὰς ἄνω μονὰς, καὶ τὴν αὐτόθι δόξαν οὐκ ἀζήμιον ἔσεσθαί φησι τοῖς ἀπειθεῖν ἑλομένοις αὐτῷ τὸ ἐπὶ τούτοις ἐγχείρημα. Ἥξει γὰρ ὡς πῦρ, φησί· καταβήσεται γὰρ ἐξ οὐρανῶν, ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἁγίων ἀγγέλων. Τοῦτο γὰρ τὸ ἅρμα αὐτοῦ, κατὰ τὸ ἐν Ψαλμοῖς ὑμνούμενον, « Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων. » Ἥξει δὲ ἀποδῶσων ἐκδίκησιν ἐν θυμῷ, καὶ ἀποσκορακισμὸν ἐν φλογὶ πυρός. Ὁ δὲ ἀποσκορακισμὸς δηλοῖ τὴν ἀποβολήν· ἐρεῖ γὰρ τοῖς τεθνεῶσιν ἐν ἁμαρτίαις· « Πορεύεσθε ἀπ' ἐμοῦ, κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· » κριθήσεται γὰρ οὕτω, φησὶν, ἡ σύμπασα γῆ, καὶ ὥσπερ ἀπὸ ῥομ-
B φαίας τῆς θείας ὀργῆς πληγέντες πολλοὶ τραυματίαι γενήσονται. Οὗτοι δ' ἂν εἶεν οἱ τὴν ἄφυκτον δεχόμενοι δίκην, καὶ εἰς ἄσβεστον τρέχοντες φλόγα, καὶ σειραῖς τῶν ἰδίων πλημμελημάτων κατεσφιγμένοι· μάλιστα δὲ τῶν ἄλλων ὑπενεχθήσονται τῇ δίκῃ, φησὶν, οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους, τουτέστιν, οἱ παρωσάμενοι μὲν τὴν διὰ Χριστοῦ λύτρωσιν, καὶ τὴν διὰ τοῦ ἁγίου βαπτίσματες ἀτιμάσαντες χάριν, δικαιοῦσαν τὸν ἀσεβῆ, καὶ παντὸς αἰτιάματος ἀπαλλάττουσαν τοὺς ταῖς ἁμαρτίαις μεμολυσμένους : ἀγαπήσαντες δὲ μᾶλλον τὸ ἐν πλάνῃ καὶ ἀγνοίᾳ περιπατεῖν, καὶ θεοῖς τοῖς οὐκ οὖσι προσκυνεῖν, οἵ καὶ κέχρηνται περιῤῥαντηρίοις ἀκαθάρτοις καὶ ῥυπαροῖς. Περιαγνίζονται γὰρ, ὡς γοῦν οἴονται, κατὰ σφᾶς αὐτοὺς πλανῶντες καὶ πλα-
C νώμενοι. Ἢ γὰρ ὕδασι κατεῤῥαίνοντο, ἤγουν δᾳδας πῦρ περιενεγκόντες κύκλῳ, διασμήχειν τὰς ἑαυτῶν ψυχὰς τῶν ἐκ φαυλότητος λογισμῶν [al. μολυσμῶν] ᾤοντο. Ὅτι δὲ κοσμιότητος καὶ ἐπιεικείας οὐδεὶς ἐστι παντελῶς παρά γε τοῖς τοιούτοις ὁ λόγος, ἀλλ' οὐδὲ νοῦς ἀνθρωποπρεπὴς, παρασυνεβλήθησαν δὲ μᾶλλον τοῖς κτήνεσι τοῖς ἀνοήτοις, διαδείκνυσιν εἰπὼν, ὅτι ἁγνίζονται μὲν ἐν κήποις, τουτέστιν, ἐν τοῖς ἄλσεσιν, ἤγουν δρυμοῖς, ὑποκάτω δρυὸς καὶ λεύκης, καὶ δένδρου συσκιάζοντος. Ἐξῳκοδόμηνται γὰρ παρ' αὐτῶν αὐτόσε βωμοὶ καὶ τεμένη τοῖς δαίμοσιν, ἐν δὲ τοῖς προθύροις τῶν τεμενῶν ἤσθιον κρέας ὕειον. Ἀπόδειξις δὲ καὶ τοῦτο τρυφῆς. Προσεκύνουν δὲ καὶ τὰ βδελύγματα καὶ τὸν μῦν. Καθίκοντο γὰρ ἴσως εἰς τοῦτο φρενοβλαβείας τῶν δεισι-
D δαιμόνων τινὲς, ὡς καὶ μυῶν ἔχειν ἐν σηκοῖς ἱδρύματά τε καὶ τύπους. Ἀλλ' οὗτοι πάντες, φησὶν, ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται, τουτέστιν, ὁμοῦ τοῖς ἀπειθήσασιν ἐξ Ἰσραήλ· « Ἐγὼ γὰρ ἔγνων τὰ ἔργα αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν. » Λογισμὸν δέ φησι τὰς ἐνθυμήσεις, αἷς ἀκολουθήσαντες αἰσχρῶν ἐπιχειρημάτων γεγόνασιν εὑρεταὶ, δι' ὧν αὐτοῖς καὶ ἡ τῶν βδελυγμάτων γέγονεν εἰσφορὰ, καίτοι δέον ἑνὶ τῷ φύσει καὶ ἀληθῶς λατρεύειν Θεῷ.

VERS. 18, 19. *Venio ut congregem omnes gentes et linguas. Et venient, ac videbunt gloriam meam : et dimittam super eos signum :* **917** *et emittam ex illis qui salvati fuerint ad gentes, et ad Tharsis, et in Phud, Lud, Mosoch, et Thobel, et in Græciam, et insulas remotas, qui non audierunt nomen meum,*

Ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη, καὶ τὰς γλώσσας. Καὶ ἥξουσι, καὶ ὄψονται τὴν δόξαν μου, καὶ καταλείψω ἐπ' αὐτοὺς σημεῖα, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη, καὶ εἰς Θαρσεῖς, καὶ Φοὺδ, καὶ Λοὺδ, καὶ Μοσὸχ, καὶ Θοβὲλ, καὶ εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὰς νή-

[10] Psal. LXVII, 18. [11] Matth. XXV, 41.

σους τὰς πόῤῥω, οἳ οὐκ ἀκηκόασί μου τὸ ὄνομα, οὐδὲ ἑωράκασι τὴν δόξαν μου, καὶ ἀναγγελοῦσί μοι τὴν δόξαν ἐν τοῖς ἔθνεσιν.

Ἀνακεφαλαίωσιν ὥσπερ τινὰ τοῦ παντὸς λόγου, καὶ ἁπάσης προφητείας διὰ τουτωνὶ ποιεῖται Χριστὸς, καὶ ὡς ἐν βραχέσι καὶ συνεσταλμένοις ἀπαγγέλλει τὰ ἀπ' ἀρχῆς μέχρι τέλους, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τὴν δύναμιν. Διαμέμνηται γὰρ καὶ τῆς κλήσεως τῶν ἐθνῶν, καὶ τῆς τῶν ἁγίων ἀποστόλων ἀναδείξεως, καὶ ὅτι προσκυνηθήσεται παρὰ πάσης τῆς ὑπ' οὐρανόν. Ὁ μὲν γὰρ πάλαι νόμος, ἓν καὶ μόνον συνήγαγεν ἔθνος, δῆλον δὲ ὅτι τὸ ἐξ Ἰσραὴλ, καὶ μίαν ἐκάλεσε γλῶσσαν. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐχὶ μόνοις τοῖς ἐξ αἵματος Ἰσραὴλ, τῆς μετὰ σαρκὸς οἰκονομίας τὴν δύναμιν ἐχαρίζετο, ἀλλὰ γὰρ ἔθνει παντὶ καὶ ἁπάσαις γλώσσαις. Ἔφη γοῦν διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· » οὐκοῦν ἅπαντας μὲν συνάξω, φησίν· « Ἥξουσι, καὶ ὄψονται τὴν δόξαν μου. » Κέκληνται γὰρ διὰ πίστεως, καὶ οἱ ποτὲ μακρὰν ὄντες γεγόνασιν ἐγγὺς, καὶ τεθέανται τὴν δόξαν αὐτοῦ· πῶς, ἢ τίνα τρόπον Ἀκηκόασι γὰρ διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων, ὅτι καὶ ἰσουργὸς καὶ ἰσοσθενής ἐστι τῷ Θεῷ καὶ Πατρὶ, καὶ τῶν ὑπὲρ λόγον γέγονεν ἀποτελεστὴς, ὥστε καὶ νεκροὺς ἐκ μνημάτων ἐγεῖραι, καὶ τυφλοῖς ἐνεῖναι τὸ φῶς, ἑτερά τε πρὸς τούτοις ἐργάσασθαι τὰ παντὸς ἄξια καὶ λόγου, καὶ θαύματος. Ἤγουν καθ' ἕτερον τρόπον· τεθέανται τὴν δόξαν αὐτοῦ, μυσταγωγηθέντες ὅτι Θεὸς ἦν ὁ Λόγος, καὶ γέγονεν ἄνθρωπος· οὐ γὰρ κατὰ τοὺς Ἰουδαίους οἱ ἐξ ἐθνῶν εἰρήκασι· « Διατί σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν; » Ἐπεγνωκότες δὲ μᾶλλον τὸ ἐπ' αὐτῷ μυστήριον, τὰς ἱερὰς ἐκείνας ἀναβοῶσι φωνάς· « Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, » καὶ μὴν κἀκεῖνο πρὸς τούτῳ τὸ διὰ τῶν ἁγίων ἀποστόλων, « Ἀληθῶς Θεοῦ Υἱὸς εἶ. » Τέθειται δὲ καὶ ἐπ' αὐτοῖς σημεῖον· ὡς γὰρ ὁ Παῦλός φησιν, « Ἐσφραγίσθημεν τῷ πνεύματι τῆς ἀπολυτρώσεως, καὶ ταῖς ἁπάντων ἡμῶν καρδίαις ἐνεμορφώθη Χριστὸς διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος. » Ἀπὸ δέ γε τῶν ἀνασεσωσμένων, φησὶν, ἀποστελῶ εἰς τὰ ἔθνη, εἰς τούσδε καὶ τούσδε. Ἔθνη δὲ ταῦτα τὰ μὲν εἰς ἑσπέραν, τὰ δὲ εἰς ἠῶ, τα δὲ καὶ ἐν τοῖς βορειοτέροις, ἤγουν κατὰ τὴν Ἑλλήνων χώραν, καὶ εἰς τὰς ἐπέκεινα νήσους. « Ἐκεῖ, φησὶν, ἀναγγελοῦσι τὴν ἐμὴν δόξαν. » Οὐ γὰρ σεσιγήκασιν οἱ μαθηταὶ, διεκήρυξαν δὲ πανταχοῦ τὸ « Εὐαγγέλιον τῆς βασιλείας, καὶ τῶν ἱερῶν κηρυγμάτων τὴν δύναμιν.

Καὶ ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν δῶρον Κυρίῳ μεθ' ἵππων καὶ ἁρμάτων, ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων, εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ, εἶπε Κύριος, ὡς ἂν ἐνέγκαισαν οἱ υἱοὶ Ἰσραὴλ ἐμοὶ τὰς θυσίας αὐτῶν μετὰ ψαλμῶν εἰς τὸν οἶκον Κυρίου, καὶ ἀπ' αὐτῶν λήψομαι ἱερεῖς καὶ Λευΐτας, εἶπε Κύριος.

A *neque viderunt gloriam meam, annuntiabuntque gloriam meam inter gentes.*

Anacephalæosin quamdam hisce verbis facit totius orationis et totius prophetiæ Christus : et breviter quasique succincte quæ ab initio ad finem usque facta sunt, virtutemque dispensationis in carne expedit. Commemorat enim et vocationem gentium et sanctorum apostolorum patefactionem, et quod ab universo terrarum orbe adorabitur. Vetus enim lex unam solam gentem, nimirum Israeliticam congregavit, et unam linguam vocavit. Dominus autem noster Jesus Christus non solis Israelitico sanguine ortis virtutem dispensationis in carne impertiit, sed omni et genti et linguæ. Siquidem B dixit per lyram Psallentis : « Audite hæc, omnes gentes; auscultate omnes qui habitatis orbem[12]. » Proinde omnes, inquit, congregabo. « Venient, et videbunt gloriam meam. » Nam per fidem vocati sunt, et qui quondam aberant procul, facti sunt propinqui, et contemplati sunt gloriam ejus. Qui et quomodo? Audiverunt enim ex Evangelii prædicatione, eum æqualem tum operibus tum potentia Deo et Patri esse, et ea gessisse quæ explicari verbis non possunt, adeo ut mortuos excitarit e monumentis, et cæcis lumen immiserit, aliaque ad hæc operatus fuerit, quæ nec enarrare nec admirari satis possumus. Vel alio modo : viderunt gloriam ejus, instituti et edocti, Deum esse Verbum et hominem esse factum. Non enim, ut Judæi, sic C gentes dixerunt : « Quare tu cum sis homo, facis te ipsum Deum[13]? » Imo cum agnovissent ejus mysterium, sacras illas resonant voces : « Tu es Christus Filius Dei viventis[14]. » Et illud porro, quod a sanctis apostolis dictum est : « Vere Dei Filius es[15]. » Editum est quoque signum apud eos. Nam, ut Paulus ait : « Obsignati sumus spiritu promissionis, et omnium cordibus impressus et informatus est Christus participatione sancti Spiritus[16]. » Ex iis qui salvati fuerint, inquit, emittam ad gentes alias atque alias. Sunt enim gentes hæ, partim ad occidentem, partim ad orientem, **918** quædam in plagis ad aquilonem vergentibus, et in regione Græcorum ac insulis ulterioribus. « Illic, inquit, D annuntiabunt gloriam meam. » Non enim siluerunt discipuli, sed ubique Evangelium regni et sacræ prædicationis virtutem prædicarunt.

VERS. 20, 21. *Et adducent fratres vestros ex omnibus gentibus donum Domino cum equis, curribus et lecticis mulorum, cum umbraculis in sanctam civitatem Jerusalem, dixit Dominus : quasi afferant filii Israel mihi hostias suas cum psalmis in domum Domini, et ex eis sumam sacerdotes et levitas, dixit Dominus.*

[12] Psal. XLVIII, 2. [13] Joan. X, 33. [14] Matth. XVI, 16. [15] Matth. XIV, 33. [16] Ephes. I, 13, 14.

A Quod efficax omnino futura sit et fructuosa sanctorum apostolorum prædicatio, apud gentes quas diximus, et in earum regionibus, his verbis demonstrat: « Vestros enim, fratres, inquit (ut oratio ad Israelitas credentes habeatur), ex gentibus adducent dona Domino. » Nam velut anathema et munus ad gloriam Dei consecratum erat, gentium multitudo, per fidem ab omnibus vitiis absoluta, et per sacrum lavacrum omnibus abjectis sordibus, et quasi xenium ac donarium apostolicæ industriæ, Deo oblatum. De hoc itaque gloriantur, gaudium eos suum et coronam suam nominantes. Facillimam autem fore ac levem, sine omni sudore, industria et labore, gentium ad Deum reversionem, declarat aperte, velut exemplo a nobis sumpto, cum dicit adducendas esse cum equis, curribus, lecticis, et B umbraculis. Nam ut qui his rebus iter suum conficiunt, nullo labore expediunt, sic qui e græcanico errore ad Deum redeunt, via plana et trita veniunt, ac tantum non vecti, et Deo omni eos requietis genere dignante. Venient autem quonam? in sanctam civitatem, nempe Jerusalem, quæ est Dei viventis Ecclesia. Eruntque adeo jucundi et accepti, qui accedunt ad Deum, perinde quasi hostia, inquit, adduceretur cum odis et rerum divinarum celebratione. Imo et « Ex illis sumam sacerdotes et levitas. » Ex quibus? Nec enim satis constat utrum ex iis qui missi sunt ad vocandum gentes, an ex illis qui vocati sunt. Verumtamen inveniemus et hoc et **919** illud esse. Nam sacerdotes oraculorum Christi exstiterunt quoque divini discipuli: vocati autem sunt ex Græcani- C co grege multi, et adhuc vocantur ad sacerdotium, Deo illos ad novitatem vitæ et mentis transferente. Nam fides velut refingit ad id quod ei placet, electos.

Ὅτι πάντη τε καὶ πάντως ἐνεργὸν ἔσται καὶ ἔγκαρπον τὸ διὰ τῶν ἁγίων ἀποστόλων κήρυγμα παρὰ τοῖς ὠνομασμένοις ἔθνεσι καὶ ταῖς αὐτῶν χώραις, διαδείκνυσιν ἐν τούτοις· « Τοὺς γὰρ ἀδελφοὺς ὑμῶν, » φησὶν, ἵν' ὁ λόγος ᾖ πρὸς τοὺς ἐξ αἵματος Ἰσραὴλ πιστεύσαντας, « ἀπὸ τῶν ἐθνῶν ἄξουσι δῶρον τῷ Κυρίῳ. » Ἀνάθημα γὰρ ὥσπερ εἰς δόξαν Θεοῦ τῶν ἐθνῶν γέγονεν ἡ πληθὺς, ἀπηλλαγμένη μὲν παντὸς αἰτιάματος διὰ τῆς πίστεως, καὶ πάντα ῥύπον ἀποβαλοῦσα διὰ τοῦ ἁγίου βαπτίσματος, ξένιον δὲ ὥσπερ ἀποστολικῶν σπουδασμάτων προσκομισθὲν τῷ Θεῷ. Καυχῶνται γοῦν ἐπ' αὐτῷ δὴ τούτῳ, χαρὰν αὐτοὺς καὶ στέφανον ἑαυτῶν ὀνομάζοντες. Ὅτι δὲ ἀπονωτάτη λίαν, καὶ ἱδρῶτος δίχα παντὸς, καὶ ἀγῶνος, καὶ πόνων ἡ πρὸς Θεὸν ἐπιστροφὴ τῶν ἐθνῶν, καθίστησιν ἐναργῶς, ὡς ἐκ παραδείγματος τοῦ καθ' ἡμᾶς λέγων, ὅτι ἀχθήσονται μεθ' ἵππων καὶ ἁρμάτων ἐν λαμπήναις καὶ σκιαδίοις· ὥσπερ γὰρ οἱ διὰ τούτων ὁδοιπορεῖν εἰωθότες, ἀπονωτάτην τὴν προκειμένην αὐτοῖς κατορθοῦσι τρίβον· οὕτως οἱ ἐκ πλάνης Ἑλληνικῆς πρὸς Θεὸν ἐπιστρέφοντες διὰ λείας ὥσπερ καὶ ἐστρωμένης ἥξουσιν ὁδοῦ, καὶ μονονουχὶ καὶ δορυφορούμενοι, καὶ ἁπάσης αὐτοὺς ἀναπαύλης ἀξιοῦντος Θεοῦ· ἥξουσι δὲ, ποῦ; Εἰς τὴν ἁγίαν πόλιν, ἤγουν Ἱερουσαλὴμ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος· ἔσονται δὲ οὕτως ἡδεῖς καὶ εὐπρόσδεκτοι προσιόντες Θεῷ, ὡσανεὶ καὶ θυσία προσαγομένη, φησὶ, μετ' ᾠδῆς καὶ δοξολογίας. Ἀλλὰ καὶ « Ἀπ' αὐτῶν λήψομαι, φησὶ, καὶ ἱερεῖς, καὶ Λευΐτας. » Ἀπ' αὐτῶν δὲ, τίνων; Οὔπω μάλα σαφὲς, πότερον ἐκ τῶν ἀποσταλέντων εἰς τὸ καλέσαι τοὺς ἐξ ἐθνῶν, ἤγουν ἐξ αὐτῶν τῶν κεκλημένων· πλὴν ἀληθὲς ὂν εὑρήσομεν τοῦτό τε κἀκεῖνο. Ἱερουργοὶ γὰρ γεγόνασι τῶν διὰ Χριστοῦ θεσπισμάτων καὶ οἱ θεσπέσιοι μαθηταί· κέκληνται δὲ πρὸς ἱερωσύνην, καὶ εἰς δεῦρο καλοῦνται πολλοὶ τῶν ἐξ ἀγέλης ὄντες Ἑλληνικῆς, Θεοῦ μεθιστάντος εἰς καινότητα ζωῆς καὶ γνώμης αὐτούς. Ἀναχαλκεύει γὰρ ὥσπερ ἡ πίστις εἰς τὸ αὐτῷ δοκοῦν τοὺς ἐξειλεγμένους.

VERS. 22, 23. *Quemadmodum enim cœlum novum et terra nova, quæ ego facio, in conspectu meo manent, dicit Dominus: ita stabit semen vestrum et nomen vestrum, erit que mensis ex mense, et Sabbatum ex Sabbato. Veniet omnis caro, ut in conspectu meo adoret in Jerusalem, dixit Dominus Deus.*

Ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ, ἃ ἐγὼ ποιῶ μένει ἐνώπιόν μου, λέγει Κύριος· οὕτως στήσεται τὸ σπέρμα ὑμῶν, καὶ τὸ ὄνομα ὑμῶν, καὶ ἔσται μὴν ἐκ μηνὸς, καὶ Σάββατον ἐκ Σαββάτου. Ἥξει πᾶσα σὰρξ ἐνώπιόν μου προσκυνῆσαι ἐν Ἱερουσαλὴμ, εἶπε Κύριος ὁ Θεός.

D Firmitatem spei in omnibus bonis pollicetur diligentibus se, et apparitionem suam agnoscentibus. Ut enim inquit, cum novos cœlos et novam terram fabricaverim, ita sinam manere, nec ea ullum tempus delebit: ita semen et nomen vestrum stabit in conspectu meo. Novos enim cœlos et novam terram ac promissiones ejus exspectamus, secundum id quod scriptum est [17]. Sanctorum autem spem staturam semper et permansuram, sapientissimus Paulus confirmabit, scribens [18], dona et vocationem Dei esse sine pœnitentia. Semen itaque benedictum, illud a sanctis apostolis Deo oblatum, servabitur perpetuo, nulloque modo interibit, ac velut cum cœ-

Τὸ ἀκράδαντον τῆς ἐλπίδος τοῖς ἐφ' ἅπασιν ἀγαθοῖς ὑπισχνεῖται Χριστὸς τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Ὥσπερ γὰρ, φησὶ, καινουργήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, οὕτω μένειν ἐάσω, καὶ οὐδεὶς αὐτὰ καταλύσει χρόνος· οὕτω τὸ σπέρμα ὑμῶν, καὶ τὸ ὄνομα στήσεται ἐνώπιόν μου. Καινοὺς γὰρ οὐρανοὺς, καὶ καινὴν γῆν, καὶ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν, κατὰ τὸ γεγραμμένον. Ὅτι δὲ καὶ ἡ τῶν ἁγίων ἐλπὶς στήσεται ἀεὶ καὶ διαμενεῖ, πιστώσεται γράφων ὁ πάνσοφος Παῦλος, ὅτι ἀμεταμέλητα τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ. Οὐκοῦν τὸ σπέρμα τὸ εὐλογημένον τὸ διὰ τῶν ἁγίων ἀποστόλων προσκομισθὲν τῷ Θεῷ,

[17] II Petr. III, 13. [18] Rom. XI, 29.

παυθήσεται διὰ παντὸς, καταφθαρήσεται γὰρ κατ' A οὐδένα τρόπον, ἀλλ' οἷον οὐρανῷ τε καὶ γῇ συνδιαμενεῖ, συνέχοντος εἰς τοῦτο τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ. Ὅτι δὲ καὶ εἰς ἐπίδοσιν ἀεὶ μείζονα ἡ τῶν πιστευσάντων ἀεὶ προβήσεται πληθὺς, διδάσκει λέγων, ὅτι « Μῆν ἐκ μηνὸς, καὶ Σάββατον ἐκ Σαββάτου, ἥξει πᾶσα σὰρξ ἐνώπιόν μου προσκυνῆσαι ἐν Ἱερουσαλήμ. » Οὐ γὰρ διαλελοίπασιν οἱ πιστεύσαντες εἰς Χριστὸν, ἀλλ' ἐξ ἐκείνου τοῦ καιροῦ, καθ' ὃν διεκήρυξαν οἱ θεσπέσιοι μαθηταὶ, καὶ εἰς δεῦρο βαδίζουσιν, οἱ μὲν ἐκ τῆς πολυθέου πλάνης τὸ τῆς ἀληθοῦς θεογνωσίας διψῶντες φῶς, οἱ δὲ καὶ ἐκ ταγμάτων Ἰουδαϊκῶν, εἰ καὶ καθ' ἕνα, καὶ οὐ πολλοί. Πλὴν ἥξουσι καὶ αὐτοὶ, κεκλήσονται γὰρ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, ὅταν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καθά φησιν ὁ πάνσοφος Παῦλος

Καὶ ἐξελεύσονται οἱ ἅγιοι, καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί. Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

Ἔοικε διὰ τούτων τὰς ἐπενεχθείσας τοῖς Ἰουδαίοις συμφορὰς βούλεσθαι δηλοῦν, ἃς ὑπομεῖναί φαμεν αὐτοὺς διὰ τῆς Ῥωμαίων χειρὸς, κατᾳδηωθέντος δηλονότι τοῦ ναοῦ, καὶ ὠμοτάτην σφαγὴν ὑπομεινάντων ἁπάντων. Γεγόνασι γοῦν ταῦτα παθόντες, καὶ εἰς ὅρασιν πάσῃ σαρκὶ, καὶ μονονουχὶ τὴν δίκην ἀτελεύτητον ἔχουσιν. Τοῦτο γὰρ ἴσως ὑποδηλοῖ μήτε τεθνήξεσθαι λέγειν τὸν σκώληκα αὐτῶν, μήτε μὴν κατευνασθῆναι τὸ πῦρ. Βούλονται δέ τινες, καὶ εἰς C τὸν καιρὸν τῆς συντελείας τοῦ αἰῶνος τοὺς περὶ τούτων ἀνακομίζειν λόγους, ὅτε τῶν παραβεβηκότων οἱονεὶ τὰ κῶλα ῥιφήσεται πεμπόμενα εἰς κόλασιν, καὶ εἰς φλόγα τὴν ἀτελεύτητον. Ἐκεῖ γὰρ ὁ σκώληξ τῶν κεκολασμένων ζήσει διηνεκῶς, καὶ οὐκ ἂν σβεσθείη τὸ πῦρ. Ἡμᾶς δὲ τούτων ἁπάντων ἀπαλλάξει Χριστὸς, δι' οὗ, καὶ μεθ' οὗ ἡ δόξα τῷ Θεῷ καὶ Πατρὶ σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A lo et terra permanebit, omnium nostrum Servatore Christo illud continente et conservante. Quod autem credentium multitudo semper in majorem accessionem provehetur et amplificabitur, docet, inquiens: « Mensem ex mense, Sabbatum ex Sabbato, veniet omnis caro, ut in conspectu meo adoret in Jerusalem. » Nunquam enim venire cessarunt credentes in Christum, ab eo tempore, quo divini discipuli prædicarunt et ad hunc usque diem veniunt: alii ex multiplicium deorum errore, veræ Dei cognitionis lucem sitientes, alii ex tribubus Judaicis, licet viritim, non turmatim. Venient tamen et illi, extremis enim mundi temporibus vocabuntur, cum plenitudo gentium intraverit, ut ait sapientissimus Paulus [19].

VERS. 24. *Et egredientur sancti, et videbunt membra hominum qui prævaricati sunt in me. Vermis enim eorum non morietur,* **920** *et ignis eorum non exstinguetur, eruntque in visionem omni carni.*

Videtur hic inferendas Judæis calamitates velle significare, quas passos eos dicimus a Romanorum manu, devastato scilicet templo, omnibusque crudeli occisione sublatis. Hæc passi sunt, eruntque spectaculum omni carni, et supplicio tantum non æterno afficientur. Hoc enim fortassis innuit, cum dicit, vermem eorum non moriturum, et ignem non exstinctum iri aut consopitum. Sunt qui volunt verba hæc ad tempus C consummationis sæculi referre: quando prævaricantium veluti membra projicientur qui relegati sunt ad supplicium et flammam sempiternam. Illic enim vermis supplicio afflictorum vivet perpetuo, et ignis non exstinguetur. Nos autem omnibus his liberabit Christus, per quem et cum quo sit gloria Deo et Patri cum sancto Spiritu, in omnem sæculorum perpetuitatem. Amen.

[19] Rom. XI, 25.

AD TOMUM II SUPPLEMENTUM.

FRAGMENTA EX CATENIS

IN JEREMIAM, BARUCH, EZECHIELEM ET DANIELEM PROPHETAS.

IN JEREMIAM.

(Ex catena Michaelis Ghislerii in Jeremiam. Lugduni 1623, 3 tom. fol.)

III, 23. *Vere in mendacium erant colles et fortitudo montium*; etc.

Montium et collium meminit, quoniam in eis per prisca illa tempora fana delubraque exstruentes et aras erigentes, dæmonibus quam gratissimas victimas offerebant.

III, 24. *Confusio autem consumpsit labores patrum nostrorum ab adolescentia eorum.*

Confusionem vocant vere turpissimum et inglorium idolorum cultum et versantem in eo errorem, qui et patrum suorum labores comedit : insumpserunt enim oves suas et vitulos, dæmonibus sacra peragentes, prudentiæque damnum una cum bonis subierunt.

V, 1. *Heu mihi! quia deficit anima mea super interfectis. Circumcurrite in viis Jerusalem.*

Viden' occisorum causa nimis dolentem lubentissimeque Jerusalem misereri appetentem, sed quodammodo a seipso impeditum, et tantum non revocantem divinam benignitatem ob iniquitatis excessum, quærentem tamen iniquitatibus commiserationem volentemque per unum avertere iram? Unum enim hominem ab his qui percurrebant commonstrari sibi jubebat.

V, 4. *Et ego dixi: Fortasse inopes sunt, quia*, etc.

Qui majores erant et ampliori sacerdotio fungentes apud Judæos merito pro miserioribus habentur; quibus etiam ira abundantior effusa est. Quod planum facit Christus, inquiens, *Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia circuitis mare et aridam ut faciatis unum proselytum*, etc.

VI, 10. *Ad quem loquar et contestabor?*

Opprobriis enim verbum Christi impetebant cum de illo dicerent auditoribus, *Dæmonium habet et insanit. Quid ipsum auditis?*

VII, 17. *Nunquid non vides quid ipsi faciunt in civitatibus Juda?*

A *Ὄντως εἰς ψεῦδος ἦσαν οἱ βουνοὶ καὶ δύναμις τῶν ὀρέων*, κ. τ. λ.

Διαμέμνηται ὀρῶν καὶ βουνῶν, ἐπείπερ ἐν αὐτοῖς κατὰ τοὺς ἀρχαίους ἐκείνους καιροὺς ἱερά τε καὶ τεμένη δειμάμενοι καὶ βωμοὺς ἀναστήσαντες, τοῖς δαιμονίοις χαριεστάτας προσεκόμιζον θυσίας.

Ἡ δὲ αἰσχύνη κατανάλωσε τοὺς μόχθους τῶν πατέρων ἡμῶν ἀπὸ νεότητος αὐτῶν.

Αἰσχύνην λέγουσι τὴν ἀληθῶς ἀκλεᾶ καὶ ἀδοξοτάτην εἰδωλολατρείαν, καὶ τὴν ἐπὶ τούτῳ πλάνησιν, ἣ καὶ τοὺς μόχθους τῶν πατέρων αὐτῶν κατανάλωσε· δεδαπανήκασι γὰρ ἱερουργοῦντες τοῖς δαίμοσι τὰ πρόβατα αὐτῶν, καὶ τοὺς μόσχους αὐτῶν, καὶ φρονήσεως ζημίαν ὁμοῦ τοῖς οὖσιν ὑπέμειναν.

Οἴ μοι! ὅτι ἐκλείπει ἡ ψυχή μου ἐπὶ τοῖς ἀν-
B *ῃρημένοις. Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ.*

Ὁρᾷς ἐν τούτοις ὠδίνοντα μὲν ἐπὶ τοῖς ἀνῃρημένοις, καὶ προχείρως μὲν ἐλεεῖν ἐθέλοντα τὴν Ἱερουσαλὴμ, εἰργόμενον δέ πως ὑφ' ἑαυτοῦ, μονονουχὶ δὲ καὶ ἀνασειράζοντα τὴν θεοπρεπῆ γαληνότητα διὰ τὸ τῆς ἁμαρτίας ὑπέρογκον· ζητοῦντα δ' οὖν ὅμως τὸ κατοικτείρειν τὰς ἁμαρτίας, καὶ ἐφ' ἑνὶ θέλοντα καταλύειν τὰ ἐξ ὀργῆς; Ἕνα γὰρ ἄνδρα τοὺς περιθέοντας ἐπιδεικνύναι πιστὸν ἐν αὐτῇ διετάττετο.

Καὶ ἐγὼ εἶπα· Ἴσως πτωχοί εἰσι, διότι οὐκ ἐδυνήθησαν, κ. τ. λ.

Τὸ προὖχον καὶ ἱερώτερον ἐν τοῖς Ἰουδαίοις ταλανίζεται μὲν εἰκότως. ῥαγδαιοτέραν δὲ τὴν ὀργὴν ἐπ-
C ήντλησεν αὐτῷ. Καὶ τοῦτο σαφηνιεῖ λέγων αὐτὸς ὁ Χριστὸς, *Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον*, κ. τ. ἑ.

Πρὸς τίνα λαλήσω καὶ διαμαρτύρομαι;

Κατωνείδιζον γὰρ τὸ ῥῆμα Χριστοῦ, τοῖς ἀκροωμένοις περὶ αὐτοῦ λέγοντες· *Δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε;*

Οὐχὶ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα;

A Οσία δὴ οὖν τετιμώρηνται ψήφῳ. Ἀναθέντες γὰρ κτίσει τὸ σέβας, καὶ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν λατρεύσαντες, αὐτοὶ ταῖς ἰδίαις ἐπήντλησαν κεφαλαῖς τὰ ἐκ θείας ὀργῆς. Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς, κατὰ τὸ γεγραμμένον.

Ἠσχύνθησαν σοφοί.

Σοφοὺς ἔοικεν ἐν τούτοις ὑποδηλοῦν τοὺς τῶν Ἑλλήνων λογάδας, ποιητάς τε καὶ συγγραφέας· οἳ γλῶτταν μὲν ἔχουσιν εὐφυᾶ καὶ περιειργασμένην, καὶ ταῖς τῶν λόγων κομψείαις ἐξησκημένην εἰς τὸ ἐπίχαρι, φρονήσεως δὲ τῆς ἀληθοῦς ἀμέτοχοι τὴν καρδίαν. Ὡς γὰρ ὁ πάνσοφος γράφει Παῦλος, « Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, » καὶ ἑξῆς. Οὐκοῦν σοφοὶ μὲν, τό γε ἧκον B εἰς φωνὴν καὶ γλῶτταν, ἄσοφοι δὲ εἰς τὴν καρδίαν. *Ἡ δὲ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι*, κατὰ τὸ γεγραμμένον.

Ἐλαίαν ὡραίαν εὔσκιον τῷ εἴδει.

Ἀχρειοῖ γὰρ ὁλοτρόπως τὴν τοῦ ἀνθρώπου ψυχὴν τὸ ἀποφοιτῆσαι Θεοῦ καὶ ἀμοιρῆσαι παντελῶς τῆς παρ' αὐτοῦ χάριτος καὶ ἐπικουρίας. *Φοβερὸν* γὰρ *τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.*

Πρὸς σὲ ἔθνη.

Εἰ γὰρ καὶ γεγόνασιν ὑβρισταὶ καὶ ἀπειθεῖς, καὶ ἀσυνεσίας ἔμπλεω τὴν διάνοιαν ἔχοντες, ἀλλ' οὖν σώζονται καὶ δοξάζονται παρὰ Χριστοῦ. Ἀπαρχὴ δὲ τούτων γεγόνασιν οἱ ἀθλοφόροι μάρτυρες, ὧν τῆς εὐκλείας ἡ φαιδρότης ὅλην ἀστράπτει τὴν ὑπ' οὐρανόν. C

Καὶ ἔσται ὡς τὸ ξύλον.

Οὐ γὰρ ἐπὶ πλούτῳ μέγα φρονεῖ, οὔτε μὴν διακένων δοξαρίων ἐκτὸς γεγονὼς τὴν ὀσφὺν ὑψηλήν (sic)· εἰκαιότητος γὰρ ταῦτα, καὶ ἕτερον οὐδέν. Καὶ γάρ ἐστιν ἀσφαλὲς ἐνέχυρον εἰς σωτηρίαν, τὸ ἐπὶ Θεῷ πεποιθέναι τῷ πάντα ἰσχύοντι· τὸ δὲ ἐφ' ἑτέροις τισὶ ποιεῖσθαι τὴν ἐλπίδα, μάταιον καὶ ἀνωφελές.

Ἰδοὺ ὡς ὁ πηλός.

Μεταπλάττει γὰρ εὐκόλως ἐφ' ᾧπερ ἂν ἕλοιτο τὸ παρ' αὐτοῦ γεγονός.

Οὐκ ἰδοὺ οἱ λόγοι; κ. τ. λ.

Πῦρ ὀνομάζει τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, ἢ καὶ αὐτὴν τὴν τοῦ ἁγίου Πνεύματος μέθεξιν, ὃ καὶ πυρὶ παρεικάζεται. Καὶ γοῦν ὁ πάν- D σοφος Ἰωάννης ὁ Βαπτιστὴς περὶ αὐτοῦ τε καὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Ἰησοῦ Χριστοῦ οὕτω φησίν· *Ἐγὼ ὑμᾶς ὕδατι βαπτίζω εἰς μετάνοιαν*, κ. τ. λ. Ὀρθῶς οὖν ἔφη ὁ Χριστός· *Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη;*

Καὶ ὑπεστρέψατε.

Ὁρᾷς ὅπως οὐκ ἀνέχεται τῶν τύπων ἀθετουμένων, μᾶλλον δὲ αὐτῆς τῆς ἀληθείας ἐξυβρισμένης ὡς ἐν σκιαῖς ἔτι; *Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ*, κατὰ τὸ γεγραμμένον. Τοὺς δὲ ἀνεθέντας ἅπαξ ἀνόπιν ἕλκοντες Ἰουδαῖοι, καὶ τοῖς τῆς δουλείας αὖθις ὑποφέροντες ζυγοῖς, τὸ

Justa pœna mulctati sunt. Cum enim rebus creatis cultum exhibuissent, suarumque manuum opera ut Deum adorassent, in sua capita divinam concitarunt iram. Non enim injuste retia volatilibus extenduntur, juxta id quod scriptum est [1].

VIII, 9. *Confusi sunt sapientes.*

Sapientes videtur significare in his præstantissimos Græcorum poetas et scriptores, linguæ quidem aptitudine et ad proferendum versatilis et ad lepidam sermonis elegantiam accommodatæ pollentes, sed cor habentes vere prudentiæ expers. Sicut enim omni scientia præditus Paulus ait [2], *Evanuerunt in cogitationibus suis, et insipiens eorum cor obtenebratum est; asserentes se esse sapientes, stulti effecti sunt*, et reliqua. Sapientes igitur quod attinet ad linguam et vocem, corde vero insipientes. *Sapientia enim hujus mundi stultitia*, ut ex Scripturis habemus [3], *apud Deum est.*

XI, 16. *Olivam pulchram, bene opacam.*

Omnino enim hominis animum inutilem reddit a Deo recedere ejusque penitus gratia suffragioque privari. *Horrendum* enim *incidere in manus Dei viventis* [4].

XVII, 19. *Ad te gentes.*

Quanquam enim injuriosæ factæ sint et inobedientes plenamque insipientiæ mentem habentes, salvantur tamen et glorificantur a Christo. Primitiæ autem earum fuerunt victoriæ præmia assecuti martyres, quorum gloriæ claritas universum illustrat orbem.

XVII, 8. *Et erit tanquam lignum.*

Non enim superbit in divitiis, neque inanium quarumdam gloriarum compos factus attollit supercilium; plena sunt enim hæc futilitatis, et nihil aliud. Etenim tutum pignus ad salutem est, in Deo, qui omnia potest, confidere; et in aliis quibusdam spem ponere, futile et inutile.

XVIII, 6. *Ecce sicut lutum figuli.*

Transformat enim absque ulla difficultate in quodcunque sibi collubitum fuerit rem a se factam.

XXIII, 29. *Nonne ecce verba?* etc.

Ignem appellat evangelicam salutaremque prædicationem, vel et ipsam Spiritus sancti participationem qui et igni assimilatur. Quare et sapientissimus Joannes Baptista de se ipso et omnium nostrum Salvatore Jesu Christo sic ait: *Ego vos baptizo in aqua ad pœnitentiam* [5], etc. Recte igitur dixit Christus: *Ignem veni mittere super terram, et quid volo nisi ut accendatur* [6]?

XXXIV, 16. *Et reversi estis.*

Vides ut ægre patiatur figuras contemni, imo veritatem ipsam adhuc sub umbra contumeliis affici. *Sine pœnitentia enim sunt dona et vocatio Dei*, secundum quod scriptum est [7]. Semel vero dimissos retrahentes Judæi subque servitutis jugo mittentes, τὸ *Sine pœnitentia* non observarunt;

[1] Prov. I, 17. [2] Rom. I, 21. [3] I Cor. III, 19. [4] Hebr. X, 31. [5] Marc. I, 7. [6] Luc. XII, 49. [7] Rom. XI, 29.

quapropter offenderunt, mysterii vim inhonorantes, A et si adhuc in figuris erat. Justificamur autem quia gratis per gratiam nihil offerentes pro vita quæ in Christo est, nec empta libertatis gloria, humanitate Domini et benevolentia in homines rem hanc lucramur.

XLII, 15. *Si vos dederitis*, etc.

Nam quia Ægyptiorum copiis auxiliisque freti se opponebant Babyloniis, idcirco dolentes post Hierosolymam et Samariam expugnatas, bellum illis intulerunt, et facile victoriam reportarunt.

XLIV, 14. *Ut revertantur*, etc.

Cum Deus insequitur, nullus periclitanti salutem ferre potest; sed ubicunque quis fuerit, ibi iræ obvius B erit.

XLVI, 25. *Ecce ulciscar Ammon.*

Cyrilli simul et Apolinarii. Per Ammon autem sunt qui Alexandriam intelligant, ita olim vocatam, ut et in Nahum habetur: *Num melior es tu Ammone quæ habitat in fluminibus? Aquæ circa ipsam, cujus abundantia mare, et aqua muri ejus; Æthiopia fortitudo ejus, et Ægyptus, et non constitutus est fugæ terminus; et Libes venerunt in auxilium ejus, et ipsa in transmigrationem proficiscetur* [8]. Verum hæc tempora priora sunt ædificatione Alexandri. Fortasse ergo ante Alexandrum urbs ibi erat, et destructam restauravit. Quidam vero aiunt Jovem ab Ægyptiis Ammonam vocari, unde et Ammoniaca regio nuncupatur, quem filium C illius vocat, tanquam ab ipsa diis ascriptum; statua enim est manu artificis confecta, quam, ait, Babylonii capient cæterosque illorum quos memorat deos. Illud vero *super Pharaonem et Ægyptum* commune verbum habet *ulciscar*.

XLIX, 10. *Et angelos ad gentes misit.*

Munitionem autem dixit quos Jeremias *angelos*, et Symmachus *nuntium* exposuit; intelligi autem potest *obsidio*. Convocat vero adversus Idumæam Dei nutus gentes multas, et motos a se angelos vocat. Moti quippe a Deo ad bellum, mutuo se sollicitabant, ut Abdias ait; aggressæ enim sunt cum Israele Idumæam et circumpositæ gentes. Ad Idumæam porro conversus ait: *Ecce parvulum dedi te in gentibus, et tamen factus contemptibilis, in ipsis* D *calamitatibus insolescebas, ignorans quod capieris, licet exaltes tanquam aquila habitationem.* Illi vero, *Et erit Idumæa deserta* et quæ sequuntur, similia dixit Abdias [9-10]: *Et erit domus Esau in stipulam, et accendetur in eos, et non erit ignifer in domo Esau.* Quod etiam profanis scriptoribus adagii loco est, *Ne ignifero quidem parcitum*, de his qui ad internecionem cæsi sunt. Præibat enim quidam ferens ignem et lustrans ante pugnam acies; lexque erat neminem illi hostilem injicere manum.

ἀμεταμέλητον οὐ τετηρήκασι· προσκεκρούκασί τε διὰ τοῦτο, τοῦ μυστηρίου τὴν δύναμιν ἀτιμάζοντες, εἰ καὶ ἦν ἐν τύποις ἔτι. Δικαιούμεθα δὲ ὅτι δωρεὰν διὰ χάριτος τῆς ἐν Χριστῷ ζωῆς ἀντάλλαγμα προσενεγκόντες οὐδὲν, ἀλλ' οὐδὲ τὴν τῆς ἐλευθερίας ἐκπριάμενοι δόξαν, ἡμερότητι δὲ καὶ φιλανθρωπίᾳ Δεσποτικῇ τὸ χρῆμα κερδαίνοντες.

Ἐὰν ὑμεῖς δῶτε, κ. τ. λ.

Ἐπειδὴ γὰρ ταῖς Αἰγυπτίων ἐπικουρίαις ἐπιθαρσήσαντες ἀντεφέροντο τοῖς Βαβυλωνίοις, ταύτῃ τοι λελυπημένοι μετὰ τὴν τῶν Ἱεροσολύμων καὶ τῆς Σαμαρείας ἅλωσιν, ἐτράποντο κατ' αὐτῶν, καὶ ἀμογητὶ νενικήκασιν.

Τοῦ ἐπιστρέψαι, κ. τ. λ.

Ὅταν διώκῃ Θεὸς, οὐδεὶς ἀνασώσει τὸν κινδυνεύοντα· ἀλλ' ἐνθάπερ ἂν εἴη τις, ἐκεῖ περιτεύξεται τῷ θυμῷ.

Ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν Ἀμμών.

Κυρίλλου τὸ αὐτὸ καὶ Ἀπολιναρίου. Ἀμμὼν δὲ οἱ μὲν τὴν Ἀλεξάνδρειαν λέγουσιν, οὕτω πάλαι καλουμένην, ὡς καὶ ἐν τῷ Ναούμ φησι· *Μὴ κρείττων εἶ σὺ τῆς Ἀμμὼν, τῆς κατοικούσης ἐν ποταμοῖς; Ὕδωρ κύκλῳ αὐτῆς ἧς ἡ εὐπορία θάλασσα, καὶ ὕδωρ τὰ τείχη αὐτῆς· Αἰθιοπία ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος, καὶ οὐκ ἔστη πέρας τῆς φυγῆς· καὶ Λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς, καὶ αὐτὴ εἰς μετοικίαν πορεύσεται.* Ἀλλ' οἱ παρόντες καιροὶ τῆς Ἀλεξάνδρου πρεσβύτεροι κτίσεως. Ἴσως οὖν πρὸ Ἀλεξάνδρου πόλις ὑπῆρχεν ἐκεῖ, καὶ παυσαμένην ἀνέκτισε. Τινὲς δέ φασιν ὡς Ἀμμωνᾶν τὸν Δία καλοῦσιν Αἰγύπτιοι, ἀφ' οὗ καὶ Ἀμμωνιακὴ προσαγορεύεται χώρα· ὃν αὐτῆς υἱὸν καλεῖ ὡς παρ' αὐτῆς θεοποιηθέντα· χειροποίητον γὰρ τὸ ἄγαλμα, ὃ δὴ, φησὶν, οἱ Βαβυλώνιοι παραλήψονται, καὶ τοὺς ἄλλους αὐτῶν οὓς ἐπάγει θεούς. Τὸ δὲ *ἐπὶ Φαραὼ καὶ Αἴγυπτον*, κατὰ κοινοῦ ἔχει τὸ *ἐκδικῶ*.

Καὶ ἀγγέλους εἰς ἔθνη ἀπέστειλε.

Περιοχὴν δὲ εἶπεν οὓς Ἱερεμίας *ἀγγέλους*, καὶ Σύμμαχος *ἀγγελίαν* ἐξέδωκεν· νοοῖτο δ' ἂν καὶ *πολιορκία*. Καλεῖ δὲ κατὰ τῆς Ἰδουμαίας ἔθνη πολλὰ τὸ θεῖον νεῦμα, καὶ τὴν ἐξ αὐτοῦ κίνησιν ἀγγέλους εἶπε. Κινηθέντες γὰρ ἐκ Θεοῦ πρὸς πόλεμον, ἀλλήλους ἠρέθιζον, ὥς φησιν Ἀβδιού· συνεισέβαλον γὰρ τοῖς ἐξ Ἰσραὴλ εἰς Ἰδουμαίαν καὶ τὰ περίοικα τῶν ἐθνῶν. Πρὸς Ἰδουμαίαν δὲ μεταστρέψας, φησίν· *Ἰδοὺ μικρὸν ἔδωκά σε ἐν ἔθνεσιν, ἀλλ' ὅμως εὐκαταφρόνητος γενόμενος ἐφρόνεις εἰς μέγα ἐπὶ ταῖς δυσχερείαις, ἀγνοῶν ὡς ἁλώσῃ κἂν ὑψώσῃς ὡς ἀετὸς τὴν κατοίκησιν.* Τῷ δὲ, *καὶ ἔσται Ἰδουμαία εἰς ἄβατον*, καὶ τοῖς ἐφεξῆς, συνῳδὰ πάλιν ἔφησεν Ἀβδιού· *Καὶ ἔσται ὁ οἶκος Ἠσαῦ εἰς καλάμην, καὶ ἐκκαυθήσεται εἰς αὐτοὺς, καὶ οὐκ ἔσται πυρφόρος ἐν τῷ οἴκῳ Ἠσαῦ.* Ἡ δὲ παροιμία καὶ παρὰ τοῖς ἔξω κρατεῖ· *Οὐδὲ πυρφόρος ἐλείφθη*, ἐπὶ τῶν ἄρδην ἀπολλυμένων. Προηγεῖτο γάρ τις πῦρ ἔχων, καὶ περικαθαίρων πρὸ τῆς συμβολῆς τὰ στρατεύματα, καὶ νόμος ἦν μηδένα κατὰ τούτου χεῖρα φέρειν πολέμιον.

[8] Nahum III, 8. [9-10] Abdiæ, 18.

Ἰατρεύσαμεν τὴν Βαβυλῶνα.

Βαβυλῶνα τὴν Ἱερουσαλὴμ ἐν τούτοις κατονομάζουσιν, ὡς τὰ ἐκείνης μιμεῖσθαι σπουδάζουσαν, καὶ οὐδὲν ἀποδέουσαν τῆς τῶν ἐθνῶν χώρας, τό γε ἧκον εἰς ἕξιν τελείαν, καὶ τὸ μὴ ἀνέχεσθαι τιμᾶν τὸν νόμον, ἤτοι τῆς προφητικῆς παιδαγωγίας τὸ ἐπωφελές.

A LI, 9. *Curavimus Babylonem.*

Babylon hic vocatur Jerusalem, quippe quæ illam imitata est, nihilque differebat a locis gentilium, quod attinet ad perfectum animi statum et voluntatem non honorandi legem vel instructionis propheticæ utilitatem

IN LIBRUM BARUCH.

(Ex eadem Ghislerii catena in Jeremiam, tom. III, p. 235.)

—

Ὅτι σὺ καθήμενος εἰς τὸν αἰῶνα.

Ἀεὶ γὰρ καὶ ἐν παντὶ χρόνῳ φθαρτή ἐστιν ἡ πεποιημένη φύσις, καὶ τῶν γεννητῶν ἐν τούτοις τὸ μέτρον. Κάθηται δὲ ἡ πάντων τεχνῖτις καὶ δημιουργὸς σοφία, τουτέστιν ἀκλόνητον ἔχει τὴν ἐν ταυτότητι διαμονήν. *Καὶ πάλιν·* Ἡμῶν γὰρ κάθισις ἐν τούτοις τὸ ἀκράδαντόν τε καὶ ἱδρυμένον τῆς ὑπάρξεως, καὶ διαμονῆς τῆς ἀνωτάτω πασῶν οὐσίας ὑποδηλοῖ· τὸ δὲ, *ἡμᾶς ἀπόλλυσθαι τὸν αἰῶνα*, τὸ εἶναι φθαρτοὺς κατὰ πάντα καιρὸν, τό γε ἧκον εἰς τὸν τοῦ πεποιῆσθαι λόγον· εἴπερ ἐστὶν ἀληθὲς ὅτι πᾶν τὸ ἐν γενέσει, καὶ παρενεχθὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, πάντῃ τε καὶ πάντως ὑπόκειται τῇ φθορᾷ.

B III, 3. *Quia tu sedes in sempiternum.*

Semper enim et quovis tempore natura creata corruptioni obnoxia est, et ea quæ facta sunt has habent mensuras. Sedet autem omnium artifex et effectrix sapientia, hoc est inconcussam habet in eodem statu permanentiam. *Et rursus:* Sessio enim in his immotam firmamque rationem exsistendi et perennitatis substantiæ omni præstantissimæ significat; illud vero, *nos perire in ævum*, omni tempore corruptibiles esse eo quod conditi sumus : siquidem verum est omne quod generatur, et ex non ente ad esse transiit, necessario corruptioni subjacere.

IN EZECHIELEM *.

(Ang. Mai, *Bibliotheca nova Patrum*, II, 467, Romæ 1844, in-4.)

—

Καὶ τέσσαρες πτέρυγες τῷ ἑνί.

(Cat. Ezech. f. 192. b.) Ἑστήκασι γὰρ ἀεί πως αἱ νοεραὶ καὶ ἄνω δυνάμεις, οὐχ ὀκλάζουσαι πρὸς τὰ αἰσχίω, ἀλλὰ τὴν ὀρθὴν καὶ ἀμώμητον τῆς αὐταῖς πρεπούσης ζωῆς διάττουσιν τρίβον.

Καὶ ἔσονται ἐπὶ τῶν ὀρέων ὡς περιστεραί.

(Cat. f. 198. b.) Οἱ μακάριοι μαθηταί· περιῆλθον γὰρ πᾶσαν ὑπ' οὐρανὸν, τὸ Χριστοῦ λαλοῦντες μυστήριον, καὶ ᾠδὴν καὶ λύραν ἔχοντες αὐτό.

Καὶ ἐὰν ὦσιν οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς, Νῶε, καὶ Δανιὴλ, καὶ Ἰώβ.

(Cat. f. 203. b.) Ἐπειδὴ οἶμαι δεῖν οὐκ ἀβασανίστους ἐᾷν τὰς τοῦ προφήτου φωνὰς, φέρε λέγωμεν τί δήποτε, Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ τεθνεώτων ἤδη,

C I, 6. *Et quatuor alæ uni.*

Stant semper intellectuales supernæque virtutes, haud equidem ad turpia labantes, sed quia potius rectam et inculpabilem convenientis sibi vitæ viam decurrunt.

VII, 16. *Et erunt super montes ut columbæ.*

Beati nimirum discipuli; hi enim universum mundum circumierunt, Christi prædicantes mysterium, idque instar cantici et lyræ habentes.

XIV, 14. *Et si fuerint in medio ejus tres viri, Noe, Daniel et Job.*

Quia arbitror non esse sine examine prætereundas prophetæ voces, age dicamus curnam, mortuis

D jamdiu Noacho ac Jobo, et ipse fortasse Daniele

* Cyrilli in minores prophetas commentarii exstant editi; item in Isaiam. In Jeremiam vero multi sunt loci Cyrilli in Ghislerii edita Græce et Latine catena. In Danielem locos Cyrilli edidimus nos cum catena Vaticana, *Script. vet.* t. I (*Bibl. Nov.* II, 467). Denique ad Ezechielem magnam legimus Patrum catenam in codice quodam Vaticano, ubi tamen nonnisi pauca, quæ hic exhibemus, Cyrilli fragmenta comperimus, quamvis aliunde constat Cyrillum more suo in Ezechielem late scripsisse. Mai.

nihilominus salvandos eos fore dicit ob suam justitiam, quanquam reliqua omnis terra, adversus quam mortis decretum infligeretur, corrupta esset. Videtur Noacho comparare eos qui ob suam fidem bene de Deo meriti erant : Danieli autem sapientes et contemplantes : denique Jobo eos, qui ob patientiam in omni re bona apud eum gratiosi fuerunt.

XVII, 22. *Et sumam ego de electa parte cedri, ex vertice.*

Cedris comparat sublimibus et pulcherrimis Israelitas quorum pars electa, et quodammodo cor, beatus David fuit, ex quo sumens Deus Pater, Emmanuelem plantavit, qui in proceram cedrum evasit, omnesque sub umbram suam excepit : moxque agnovit universa terra omnipotentis Dei virtutem et potestatem. Humiliavit enim lignum viride, oriri vero et germinare lignum aridum jussit (id est ethnicorum Ecclesiam) quod antea diaboli violentia defloratum fuerat

XX, 25. *Et ego dedi illis præcepta non bona.*

Quod quidem attinet ad spiritalem divinarum rerum doctrinam, lex sancta est, mandatum item sanctum et bonum. Quod tamen pertinet ad actionum levitatem, et umbratilem tantummodo cultum, haud bona erant præcepta, neque æternam vitam datura. *Nemo enim*, uti scriptum est [1], *justificatur in lege.*

XXXIV, 3. *Ecce lac manducastis.*

Cum enim (levitæ) exigerent legales decimas, primitias, oblata pro gratiarum actione, aliisque populorum donis luxuriose fruerentur, nullam tamen salutis illorum curam gerebant.

XXXIV, 18. *Non satis vobis fuit, quod bona pascua depasti estis?*

Legis periti cum essent levitæ, et optimum veluti pascuum sortiti, puramque et limpidam aquam habentes Moysis doctrinam, unde facile veritatem possent haurire, conculcabant quodammodo id pascuum, sordidabant etiam aquam, crassam quamdam et cœnosam immunditiaque plenam apponentes doctrinam his, qui ovium instar sequebantur eos tanquam arietes.

XXXIV, 23. *Et suscitabo illis pastorem unum servum meum Davidem.*

Quod hæc de Christo dicat propheta, haud arduum est cognoscere : nam jamdiu mortuo et in tumulis jacente beato Davide, vaticinabatur beatus Ezechiel. Promittebat autem Deus Pater rem futuram per tempora, non rem jam peractam; de futuris enim fiunt promissa, non de præteritis.

[1] Gal. III, 11.

A τάχα δέ που καὶ αὐτοῦ τοῦ Δανιὴλ, σωθήσεσθαί φησιν αὐτοὺς ἐν τῇ ἰδίᾳ δικαιοσύνῃ, καί τοι τῆς ἄλλης ἁπάσης γῆς, καθ' ἧς ἂν ἡ τοῦ θανάτου ψῆφος ἐκφέροιτο, καταφθειρομένης. Ἔοικε τοίνυν τῷ μὲν Νῶε παρεικάζειν τοὺς διὰ πίστεως τῆς εἰς Θεὸν εὐεργετοῦντας αὐτῷ· τῷ γε μὴν Δανιὴλ τοὺς σοφούς τε καὶ διορατικούς· Ἰὼβ δὲ πάλιν τοὺς διά γε τῆς ὑπομονῆς, δῆλον δὲ ὅτι τῆς εἰς πᾶν ὁτιοῦν τῶν ἐπαινουμένων, εὐαρεστοῦντας αὐτῷ.

Καὶ λήψομαι ἐγὼ ἐκ τῶν ἐπιλέκτων τῆς κέδρου ἐκ κορυφῆς.

(Cat. f. 208.) Κέδροις μὲν ἀπεικάζει ταῖς ὑψηλαῖς καὶ εὐκοσμοτάταις τοὺς ἐξ Ἰσραὴλ, ἐν οἷς τὸ ἐπίλεκτον, καὶ οἱονεί τις καρδία γέγονεν ὁ μακάριος Δαβὶδ, ἐξ οὗ λαβὼν ὁ Θεὸς καὶ Πατὴρ κατεφύτευσε B τὸν Ἐμμανουὴλ, ὃς καὶ εἰς κέδρον ἀνέστη μεγάλην, καὶ εἰσεδέξατο πάντας εἰς ἰδίαν σκιάν· ἔγνω τε λοιπὸν ἡ ὑφήλιος σύμπασα τὴν τοῦ πάντα ἰσχύοντος Θεοῦ δύναμίν τε καὶ ἐξουσίαν. Τεταπείνωκε γὰρ τὸ ξύλον τὸ ὑγρὸν, φῦναι δὲ καὶ ἀναβλαστῆναι παρεσκεύασε τὸ ξύλον τὸ ξηρὸν, τουτέστιν ἐξ ἐθνῶν Ἐκκλησίαν, ταῖς τοῦ διαβόλου πλεονεξίαις κατευανθέν (*ita cod.*).

Καὶ ἐγὼ ἔδωκα αὐτοῖς προστάγματα οὐ καλά.

(Cat. 210. b.) Ὅσον μὲν γὰρ ἧκεν εἰς θεωρίαν πνευματικὴν, ὁ νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. Ὅσον γε μὴν εἰς τὴν τοῦ πράγματος εἰκαιότητα, καὶ μόνην τὴν ἐν σκιαῖς λατρείαν, οὐ καλὰ τὰ προστάγματα, ἀλλ' οὐδὲ ζωῆς C τῆς αἰωνίου πρόξενα. *Δικαιοῦται* γὰρ *οὐδεὶς ἐν νόμῳ*, κατὰ τὸ γεγραμμένον.

Ἰδοὺ τὸ γάλα κατεσθίετε.

(Cat. f. 224.) Ἐξαιτοῦντες γὰρ κατὰ τὸν νόμον δεκάτας, ἀπαρχὰς, εὐχαριστήρια, καὶ ταῖς ἐκ λαῶν δωροφορίαις ἐντρυφῶντες ἀσώτως, οὐδένα τῆς σωτηρίας αὐτῶν ἐποιοῦντο λόγον.

Καὶ οὐχ ἱκανὸν ὑμῖν ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε;

(Cat. f. 224. b.) Νομομαθεῖς γὰρ ὄντες οἱ ἐξ αἵματος Λευὶ, καὶ καλλίστην ὥσπερ νομὴν, λεπτὸν δὲ καὶ διειδὲς ἔχοντες ὕδωρ τὴν διὰ Μωϋσέως παίδευσιν οὐκ ἀμηχάνως ἔχουσαν προδηγεῖν εἰς ἀλήθειαν, κατεπάτουν τρόπον τινὰ τὴν νομήν· συνετάραττον δὲ καὶ τὸ ὕδωρ, παχεῖάν τινα καὶ ὑλώδη καὶ γαιώ- D δους ἀκαθαρσίας ἀνάπλεων παρατιθέντες διδασκαλίαν τοῖς ἐν τάξει προβάτων ἀκολουθοῦσιν αὐτοῖς ὡς κριοῖς.

Καὶ ἀναστήσω ἐπ' αὐτοὺς ποιμένα ἕνα... τὸν δοῦλόν μου Δαβίδ.

(Cat. f. 225.) Ὅτι δὲ περὶ Χριστοῦ τὰ τοιαῦτά φησιν, ἀταλαίπωρον ἰδεῖν· προτετελευτηκότος γὰρ ἤδη τοῦ μακαρίου Δαβὶδ καὶ ἐν τάφοις ἤδη κειμένου, προεφήτευσε μὲν ὁ μακάριος Ἰεζεκιήλ. Ἐποιεῖτο δὲ τὴν ὑπόσχεσιν ὁ Θεὸς καὶ Πατὴρ ὡς ἐσομένην κατὰ καιροὺς, καὶ οὐχ ὡς ἤδη τετελεσμένην· ἐπὶ γὰρ τοῖς ἐσομένοις αἱ ὑποσχέσεις, οὐκέτι τοῖς ἤδη πεπραγμένοις.

Catena Latina in Ezechielem a Villalpando edita (Romæ 1596, 3 vol. fol.) nonnisi paucissima Cyrilli fragmenta exhibet; ea etiam ita proprio scopo accommodavit catenæ editor ut non jam Cyrillus loquatur, sed ipse Villalpandus. EDIT. PATR.

IN DANIELEM PROPHETAM.

(Ang. MAI, *Biblioth. nov. Patr.* II, 467.)

Τοῦτο δ' ἦν ἕτερον οὐδὲν πλὴν ὅτι μεγαλαυχεῖν κατὰ τῆς δόξης τοῦ Θεοῦ, κατεπαίρεσθαί τε τοῦ προεστηκότος τῶν ἐξ Ἰσραὴλ, ὡς κατὰ μηδένα τρόπον ὀνῆσαι δεδυνημένον τὸν ἴδιον λαόν.

Βίβλοι ἠνεῴχθησαν.

Ὅτε γὰρ ἐν εἴδει γέγονε τῷ καθ' ἡμᾶς ὁ Μονογενὴς, τότε καὶ βίβλους ἀνέῳξεν ὁ Πατήρ· καὶ ἀνῆκε μὲν τοῦ κρίνεσθαι τοὺς ἐνόχους ἁμαρτίαις, ἐφῆκε δὲ τοῖς ἀνδριζομένοις τὸ ἐγγράφεσθαί τε καὶ ἐναριθμεῖσθαι λοιπὸν τοῖς ἄνω χοροῖς καὶ ἐν μνήμῃ κεῖσθαι.

Καὶ τί ἐστιν, *Ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν;*

Ἆρα τοπικῶς; Εἶτα πῶς τοῦτο οὐκ ἀμαθές; ὅτι μὴ ἐν τόπῳ τὸ Θεῖον· πληροῖ γὰρ τὰ πάντα. Τί οὖν ἐστι τὸ, *Ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν;* Εἰς τὴν δόξαν τοῦ Πατρὸς δηλονότι ἔφθασεν ὁ Υἱός. Καὶ πόθεν τοῦτο ἔστιν ἰδεῖν, ἔφη πάλιν αὐτὸς ἐφεξῆς· *Αὐτῷ ἐδόθη ἡ τιμὴ καὶ βασιλεία.* Ἤκουσε γὰρ τοῦ Πατρὸς λέγοντος· *Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.*

[1] Psal. CIX, 1.

V, 2. Nihil aliud hoc erat quam contra Dei majestatem jactantia, dum adversus Israelis protectorem extollitur, quasi is populo suo nulla re prodesse potuisset.

VII, 10. *Libri aperti sunt.*

Cum in forma nostra Unigenitus apparuit, tunc libros Pater aperuit; omissaque reorum damnatione, copiam fecit frugi hominibus semet inscribendi adnumerandique cœlestibus choris atque in album referendi.

VII, 13. Quid est, *usque ad Antiquum dierum pervenit?* Num de loco sermo est? Atqui hoc nonne absurdum sit? Quoniam Deus in loco non est, sed omnia implet. Quid ergo est, *usque ad Antiquum dierum pervenit?* In gloriam scilicet Patris pervenit Filius. Quod ipsum unde innotescat idem postea propheta dicit: *Traditus est ei honor et regnum.* Audivit enim Patrem dicentem: *Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum* [1].

INDEX ANALYTICUS

Revocatur Lector ad numeros typis grandioribus expressos.

A

B

E

F

G

L

M

N

O

P

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

FINIS TOMI SEPTUAGESIMI.

Ex typis MIGNE, au Petit-Montrouge.

Eternal punishment 1414c